LIBRARY OF PRINCETON
APR [illegible] 1955
THEOLOGICAL SEMINARY
BS44
.O39
v.4

LIBRARY OF PRINCETON
APR 20 1955
THEOLOGICAL SEMINARY

ΠΕΡΙ ΤΩΝ

Ο, ΕΡΜΗΝΕΥΤΩΝ

ΤΗΣ

ΠΑΛΑΙΑΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ

ΒΙΒΛΙΑ Δ.

ΣΥΝΤΑΧΘΕΝΤΑ ΥΠΟ

τοῦ Πρεσβυτέρου καὶ Οἰκονόμου τοῦ Οἰκουμενικοῦ Πατριαρχικοῦ Θρόνου,

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ.

Constantine Oikonomos

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

ΑΘΗΝΗΣΙ.

ΤΥΠΟΙΣ Φ. ΚΑΡΑΜΠΙΝΟΥ ΚΑΙ Κ. ΒΑΦΑ.

ὁδῷ Ἁγίου Μάρκου.

ΑΩΜΘ.

« Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες — Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία· ἀλλ' ὑπὸ Πνεύματος Ἁγίου φερόμενοι, ἐλάλησαν οἱ ἅγιοι Θεοῦ ἄνθρωποι » (Β. Πέτρου α, 19—21). « Πέτρος δὲ, καὶ Ἰωάννης, καὶ Ματθαῖος, καὶ Παῦλος, καὶ καθεξῆς οἱ λοιποὶ τῶν Ἀποστόλων, καὶ οἱ τούτων ὀπαδοὶ τὰ προφητικὰ πάντα οὕτως ἐξήνεγκαν, ὡς ταῦτα περιέχει ἡ ἑρμηνεία τῶν Ο, πρεσβυτέρων. Ἓν γὰρ καὶ τὸ αὐτὸ Πνεῦμα τοῦ Θεοῦ διὰ μὲν τῶν Προφητῶν προεκήρυξε, τίς ἔσται, καὶ ὁποία ἡ ἔλευσις τοῦ Κυρίου· διὰ δὲ τῶν Ο καλῶς μεθηρμήνευσε τὰ καλῶς προφητευθέντα· — διὰ δὲ τῶν Ἀποστόλων εὐηγγελίσατο, ὅτι ἦλθε τὸ πλήρωμα τοῦ χρόνου τοῦ τῆς υἱοθεσίας — καὶ κατῴκησεν ἐν τοῖς εἰς αὐτὸν πιστεύουσιν ἀνθρώποις ὁ ἐκ τῆς Παρθένου γεννηθεὶς ΕΜΜΑΝΟΥΗΛ » (Εἰρην. κ. Αἱρέσ. Γ. σελ. 256) « Ταύτῃ μόνῃ (τῇ ἑρμηνείᾳ τῶν Ο) ἡ καθ' ὅλης τῆς οἰκουμένης ἡπλωμένη Χριστοῦ Ἐκκλησία προσέχει, τῶν τοῦ Σωτῆρος Ἀποστόλων τε καὶ Μαθητῶν ἀρχῆθεν αὐτῇ χρῆσθαι παραδεδωκότων » (Εὐσέβ. Χρον. Α. ις). « Ὡς ἐν ἑνὶ δὲ σώματι τῇ ἁπάσῃ προσελθετέον Γραφῇ, καὶ τὰς ἐν τῇ ἁρμονίᾳ τῆς πάσης συνθέσεως αὐτῆς εὐτονωτάτας καὶ στεῤῥοτάτας συνοχὰς οὐ συντριπτέον, οὐδὲ διακοπτέον, ὅπερ πεποιήκασιν οἱ τὴν ἑνότητα τοῦ ἐν πάσαις ταῖς Γραφαῖς Πνεύματος, τὸ ὅσον ἐπ' αὐτοῖς, συντρίβοντες » (Ὠριγέν. Ἐξηγητ. εἰς Ἰωάν. τόμ. ι. σελ. 166. Huet.)

ΠΙΝΑΞ

ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΤΟΥ Δ. ΒΙΒΛΙΟΥ.

Ἡ ὑπὸ τῆς Ἐκκλησίας ἔγκρισις τῆς Τετραβίβλου. δ-ις.

ΚΕΦΑΛ. Α. Προθεωρία . . . . Σελ. 1

ΚΕΦΑΛ. Β. Εἰ καὶ πρὸ τῶν Ο, συνετάχθη ἄλλη τις ἑλληνικὴ ἑρμηνεία τῶν Ἑβραΐδων Γραφῶν. 4

ΚΕΦΑΛ. Γ. Εἰ κατὰ θείαν ἔμπνευσιν οἱ Ο μεθηρμήνευσαν τὰς Γραφάς 46

ΚΕΦΑΛ. Δ. Περὶ τοῦ κύρους τῶν ἐκτὸς τοῦ ἑβραϊκοῦ κανόνος κεκανονισμένων ἐν τῇ Ἐκκλησίᾳ βιβλίων τῆς Παλαιᾶς Διαθήκης . . . 105

ΚΕΦΑΛ. Ε. Χρονολογικὴ ἔκθεσις περὶ τοῦ Θεοπνεύςου τῆς ἑρμηνείας τῶν Ο 225

ΚΕΦΑΛ. Ϛ. Περὶ τῶν εἰς ἄλλας γλώσσας ἀρχαίων μεταφράσεων τῆς ἑρμηνείας τῶν Ο . . . 832

ΚΕΦΑΛ. Ζ. Περὶ τῶν ἐν χειρογράφοις ἀρχαίων ἐκδόσεων τοῦ κειμένου τῶν Ο, καὶ τῶν ἐν ταῖς μεταγενεστέραις ἐπισημοτέρων ἐκτυπώσεων αὐτοῦ 868

ΚΕΦΑΛ. Η. *Ἀνακεφαλαίωσις* 920

ΠΑΡΑΡΤΗΜΑ ἐν ᾧ περιέχονται αἱ περὶ τῆς ἑρμηνείας τῶν Ο ἱστορικαὶ μαρτυρίαι τῶν ἀρχαίων συγγραφέων. 939

ΑΡΙΣΤΕΑΣ 944

ΑΡΙΣΤΟΒΟΥΛΟΣ, ΦΙΛΩΝ, ΙΩΣΗΠΟΣ κτλ. 1004

ΠΡΟΣΘΗΚΑΙ 1058

ΠΑΡΟΡΑΜΑΤΑ 1068

Οἱ κατὰ τὰς ἐκδόσεις διορθωθέντες συγγραφεῖς . . . 1075

ΠΙΝΑΞ γενικὸς τῶν ἐν τῇ Τετραβίβλῳ κυριωτέρων . . 1077

† *Ἄνθιμος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.*

† Σοφολογιώτατε Μέγα Οἰκονόμε, καὶ γενικὲ Ἱεροκήρυξ, καὶ Ἔξαρχε τοῦ καθ' ἡμᾶς ἁγιωτάτου Πατριαρχικοῦ καὶ Οἰκουμενικοῦ θρόνου, Κύριε Κωνσταντῖνε ὁ ἐξ Οἰκονόμων, ἡμέτερε κατὰ πνεῦμα υἱὲ λίαν ἀγαπητὲ καὶ περιπόθητε, χάρις εἴη τῇ αὐτῆς Σοφολογιότητι καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' ἡμῶν δὲ εὐχὴ, εὐλογία, καὶ συγχώρησις. Τὴν περὶ τῶν Ο, ἑρμηνευτῶν τῆς Παλαιᾶς θείας Γραφῆς τετράβιβλον συγγραφὴν τῆς ἱεροσόφου αὐτῆς κορυφῆς, ἣν τῇ Ἐκκλησίᾳ προσεφώνησεν, ἀσμένως ἀποδεξάμενοι, καὶ μετὰ τῆς προσηκούσης διεξελθόντες ἐπιστασίας, δόξαν ἀνεπέμψαμεν τῷ Κυρίῳ, τῷ ἐξάγοντι τοιούτους ἐργάτας εἰς τὸν πνευματικὸν θερισμὸν τῆς ἁγίας αὐτοῦ Ἐκκλησίας, καθαρὸν καὶ πολύχουν τὸν ψυχοτρόφον σῖτον τῶν θείων ἐννοιῶν ἐν ταῖς ἱεραῖς ἀποθήκαις τῆς εὐσεβείας ἐνθησαυρίζοντας. Καὶ τοίνυν διὰ τῆς παρούσης Ἐκκλησιαστικῆς πράξεως ὁμοψήφῳ διαγνώσει τῆς Ἐκκλησίας, πρῶτον μὲν ἐγκρίνομεν καὶ ἐπικυροῦμεν τὴν εἰρημένην Τετράβιβλον, ὡς ἄχραντα καὶ ἀκήρατα τὰ τῆς εὐσεβείας διδάγματα περιέχουσαν, ἔκ τε τῶν πηγῶν τοῦ σωτηρίου, τῶν θείων Γραφῶν, ἀρηρυσμένην, καὶ ταῖς μαρτυρίαις τῶν θεοφόρων Πατέρων πεπιστωμένην, καὶ πᾶσαν, ἣν ἐνεστήσατο, τὴν θεολογικωτάτην ὑπόθεσιν ἀξίως καὶ θεοφιλῶς πραγματευομένην· διὸ καὶ στήλην τῆς περὶ τοῦ ὕψους τῶν θείων Γραφῶν ὀρθοδοξίας ἀνακηρύττομεν τὴν εὐαγεστάτην ταύτην συγγραφήν. Εἶτα δὲ καὶ τῇ περιποθήτῳ ἡμῖν αὐτῆς Σοφολογιότητι, ὡς πολυζήλῳ πατρὶ τοιούτου ἱεροῦ πονήματος, εὐχὰς ὁλοψύχους προσφέρομεν, πατριαρχικαῖς εὐλογίαις τὴν ἱερόσοφον αὐτῆς κορυφὴν καταστέφοντες, ἐφ' οἷς ἀτρύτοις ὑπήνεγκε πόνοις, ἕως οὗ, Θεοῦ συμπαραστατοῦντος, εἰς τέλος ἤγαγε τὸ μεγάτιμον, καὶ κοινωφελέστατον σύγγραμμα. Ἐν αὐτῷ γὰρ θεολογία τε διαλάμπει, καὶ τὸ θεῖον

κῦρος τῆς ἑρμηνείας τῆς Παλαιᾶς τοῦ Θεοῦ Διαθήκης ὑπὸ φωτὶ σταθερῷ ἀναδείκνυται, καὶ τῶν προφητικῶν λογίων τοῦ παναγίου Πνεύματος ἡ ἄσβεστος ἀλήθεια φρυκτωρεῖ· καὶ τὰ μὲν τῆς εὐσεβείας κρατύνεται, καὶ ἡ θεόσδοτος δόξα τῆς τῶν θείων Γραφῶν ταμιούχου καὶ γεραρᾶς Μητρὸς τῶν Ἐκκλησιῶν διαπρέπει, τῶν δὲ πολεμίων τῆς Ἐκκλησίας, ὅσων τε καὶ οἵων στιφηδὸν ἐπελθόντων, τὰ παντοδαπὰ σοφίσματα στηλιτεύονται, καὶ τὰ ἐκ τούτων κατὰ τῆς Ὀρθοδόξου τοῦ Χριστοῦ Ἐκκλησίας ἐπαρθέντα καὶ τραχηλιάσαντα ὑψώματα καθαιροῦνται, τῇ δυνάμει τῶν θείων ῥημάτων, ἅπερ, ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, πεμπόμενα διὰ τῶν ἀξίων ἡ θεία διδάσκει Γραφή. Ἁβρὰ δὲ καὶ ποικίλη ἡ πολυμάθεια, πολλὴν καὶ αὕτη τοῖς φιλοπόνως μετιοῦσι τὴν ὠφέλειαν παρεχομένη· καὶ ἡ χάρις τῆς φράσεως εἰς τὸ κάλλιστον τῆς εὐεπείας ἐξήσκηται, τῷ τε φέγγει τῆς σαφηνείας ἀγλαῶς περιλαμπομένη, καὶ τὴν λέξιν καθαρὰν, καὶ ἑλληνικὴν, καὶ τῷ ὕψει τῆς περὶ τῶν θείων ἐννοιῶν πραγματείας ἐπιπρέπουσαν ἔχουσα. Ὡς γὰρ ἐξ ἁπαλῶν ὀνύχων ἐν τῇ μελέτῃ τῆς τε θείας καὶ τῆς θύραθεν σοφίας γεγυμνασμένη, πολλὰ Αὐτῇ καὶ κάλλιστα πεπόνηται, διά τε τῆς ἀμωμήτου διδασκαλίας, διά τε πολλῶν καὶ περιφανῶν συγγραμμάτων ἐκκλησιαστικῶν τε καὶ φιλολογικῶν, δι' ὧν τὸ Ὀρθόδοξον ἡμῶν γένος ὠφέλησεν, ὡς πιστὸς καὶ φρόνιμος Οἰκονόμος, ὃν ὁ Κύριος κατέστησεν ἐφ' ᾗ περ εὐδοδόκησεν οἰκονομίᾳ, διδόντα ἐν καιρῷ τὸ σιτομέτριον τῆς θείας διδασκαλίας. Θεὸς δὲ ὁ χαρισάμενος αὐτὴν τῇ Ἐκκλησίᾳ, διατηροίη μακρόβιον, ἵνα καὶ δι' ἄλλων συγγραμμάτων κοινωφελῶν διαχέῃ τὸν πνευματικὸν αὐτῆς πλοῦτον, κηρύττουσα καὶ διερμηνεύουσα τὸν λόγον τῆς θείας ἀληθείας πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν τοῦ χριστωνύμου πληρώματος, εὔκλειαν δὲ καὶ καθ' ἡμᾶς τῆς Ὀρθοδόξου ἁγίας Ἐκκλησίας, καὶ δίκαιον ἔπαινον τῆς περιποθήτου ἡμῖν αὐτῆς Σοφολογιότητος, μετὰ τῶν ἀποκειμένων αὐτῇ ἀντιμισθιῶν παρὰ Θεοῦ· Οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος σὺν τῇ παρ' ἡμῶν εὐχῇ καὶ εὐλογίᾳ εἴη μετ' αὐτῆς. ᾳωμη. Ἰουλίου. κγ.

† Ὁ Κωνσταντινουπόλεως, ἐν Χριστῷ διάπυρος εὐχέτης.

† Ὁ Καισαρείας Παΐσιος, ἐν Χριστῷ εὐχέτης.

† Ὁ Ἡρακλείας Πανάρετος.

† Ὁ Νικομηδείας Διονύσιος.

† Ὁ Τουρνόβου Νεόφυτος.

† Ὁ Σμύρνης Ἀθανάσιος.

† Ὁ Ἐφέσου Ἄνθιμος, ἐν Χριστῷ εὐχέτης.

† Ὁ Κυζίκου Ἰωακείμ.

† Ὁ Δέρκων Νεόφυτος.

† Ὁ Ἀδριανουπόλεως Γεράσιμος.

† Ὁ Σβορνικίου Ἀγαθάγγελος.

---

† *Ἄνθιμος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.* (α).

† Σοφολογιώτατε Διδάσκαλε, καὶ Μέγα Οἰκονόμε, καὶ γενικὲ Ἱεροκήρυξ, καὶ Ἔξαρχε τοῦ καθ᾽ ἡμᾶς ἁγιωτάτου Οἰκουμενικοῦ θρόνου, κύριε Κωνσταντῖνε ὁ ἐξ Οἰκονόμων, τέκνον ἐν Κυρίῳ λίαν ἀγαπητὸν τῆς ἡμῶν μετριότητος, τὴν περιπόθητον ἡμῖν αὐτῆς Σοφολογιότητα ἐκ ψυχῆς εὐχόμενοι, εὐλογοῦμεν πατρικῶς. Καὶ πρότερον, ὅτε τὰς ἡσυχίους ἐποιούμεθα διατριβὰς ἐν τῇ νήσῳ Πριγγίπῳ, ἰδόντες ἀρξαμένην τὴν Τετράβιβλον αὐτῆς συγγραφὴν περὶ τῶν Ο, ἑρμηνευτῶν τῆς Παλαιᾶς Διαθήκης, ἐγκάρδιον ᾐσθάνθημεν τὴν εὐχαρίστησιν, τεκμαιρόμενοι ταύτην ἀνάλογον τῆς ἱεροσόφου αὐτῆς κορυφῆς ἀποκύημα· καὶ ἤδη μετὰ τὴν θείῳ ἐλέει τὸ δεύτερον ἐπανάκλησιν ἡμῶν ἐπὶ τὴν πνευματικὴν περιωπήν, πραγματικώτερον διὰ τῆς ἐπεξεργασίας βεβαιωθέντες ἐπαληθεύουσαν τὴν προσδοκίαν ἡμῶν, καὶ κατιδόντες, οἷον ἀπεθησαύρισε τὸν πνευματικὸν θερισμὸν ἐν τῷ πολυτίμῳ τούτῳ συγγράμματι, πολλῆς ἐνεφορήθημεν τῆς πνευματικῆς ἀγαλλιάσεως, δόξαν ἀναπέμψαντες τῷ πάσης σοφίας καὶ συνέσεως χορηγῷ Κυρίῳ ἡμῶν, τῷ ἐνδυναμώσαντι αὐτὴν εἰς πέρας ἀγαγεῖν τὸ ψυχωφελὲς τοῦτο πόνημα, λαβόντες ἐπὶ τούτοις καὶ ἐνδόσιμον μείζονος θυμηδίας, τὴν καθιέρωσιν αὐτοῦ πρὸς τὴν κοινὴν μητέρα τῶν εὐσεβῶν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν. Καί τοι δὲ εἰδότες προεπιχορηγηθεῖσαν λίαν

(α) Ἄνθιμος ὁ Δ, ὁ νῦν εὐκλεῶς τὸ δεύτερον Πατριαρχεύων, μετὰ τὴν παραίτησιν τοῦ προκατόχου αὐτοῦ καὶ ὁμωνύμου Πατρ. Ἀνθίμου τοῦ ϛ (ἐφ᾽ οὗ ἡ προηγησαμένη ἐξεδόθη Πρᾶξις). Σημ. τοῦ ἐκδ.

ἀσμένως καὶ μετὰ δικαίων εὐφημιῶν τὴν Ἐκκλησιαστικὴν καὶ Συνοδικὴν ἐπιδοκιμασίαν καὶ ἐπικύρωσιν ἐπὶ τῷ εὐαγεστάτῳ τούτῳ ἱερῷ συγγράμματι, ἀλλ' οὖν καὶ ἡμεῖς διὰ τῆς παρούσης πατριαρχικῆς ἐπιστολῆς γράφοντες τῇ περιποθήτῳ ἡμῖν αὐτῆς Σοφολογιότητι, οὐχ ὅπως διαδηλοῦμεν καὶ διατρανοῦμεν αὐτῇ καὶ τὴν ἡμετέραν σύμφωνον ἔγκρισιν καὶ ἐπικύρωσιν, ἐπιδοκιμάζοντες τὴν περὶ ἧς ὁ λόγος Τετράβιβλον συγγραφὴν περὶ τῶν Ο, ἑρμηνευτῶν τῆς Παλαιᾶς θείας Γραφῆς, ὡς ἐπὶ τῶν στερεῶν βάσεων τῆς ὀρθῆς καὶ ὑγιοῦς διδασκαλίας θεμελιουμένην, καὶ μαρτυρίαις καὶ πιστώσεσι τῶν θείων Πατέρων ἡμῶν ἐρηρεισμένην, καὶ πολλὴν τὴν ὠφέλειαν τῷ χριστωνύμῳ πληρώματι παρέξουσαν, ἀλλὰ καὶ διὰ τῆς φράσεως τὴν καλλιέπειαν, καὶ τοῦ λεκτικοῦ τὸ ἀνθηρὸν καὶ προσφυὲς ἀγασάμενοι, καὶ ἐπαινέσαντες, εὐχαῖς καὶ εὐλογίαις κατεστέψαμεν τὴν αὐτῆς Σοφολογιότητα· ᾗ καὶ ἐπευχόμεθα ἐγκαρδίως ὑγείαν διηνεκῆ, καὶ ζωὴν μακρόβιον, ἵνα καὶ δι' ἄλλων τοιούτων ψυχωφελῶν πονημάτων συντελέσῃ, καθ' ὃν τρέφει ζῆλον, εἰς κοινὴν ὠφέλειαν τῶν εὐσεβῶν, καὶ δόξαν καὶ εὔκλειαν τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας· Οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος σὺν τῇ παρ' ἡμῶν εὐχῇ τε καὶ εὐλογίᾳ εἴη μετ' αὐτῆς.

ͅαωμθ. Ἀπριλίου. ιβ.

✝ Ὁ Κωνσταντινουπόλεως, ἐν Χριστῷ διάπυρος εὐχέτης.

✝ Ἔχει μὲν ἡ τοῦ Χριστοῦ Ὀρθόδοξος Ἐκκλησία, καὶ διακρατεῖ εἰς αἰῶνας τὴν ὑπὸ τῶν Ο τῆς Παλαιᾶς θείας Γραφῆς ἑρμηνείαν, ἣν παρὰ τῶν Ἀποστόλων παρέλαβε συνάμα μετὰ τῆς Καινῆς τοῦ Θεοῦ Διαθήκης· καὶ δι' ἀμφοτέρων τούτων, οἷον ψυχοτρόφων μαζῶν, οἵας αὐτὰς τὸ Πνεῦμα τὸ Ἅγιον διὰ τοῦ Ἄσματος προδιέγραψε, τρέφει τὰ πλήθη τῶν πνευματικῶν αὐτῆς τέκνων, τὸ λογικὸν ἄδολον γάλα ποτίζουσα, καὶ εἰς αὔξην προάγουσα, καὶ κρατύνουσα, φθάνοντα « εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ », καὶ τὸν ἔσω ἄνθρωπον τελειούμενα. Ἀλλ' ἐπειδὴ κατὰ τῆς θείας ἀληθείας οὐ διέλιπον αἱ ποικίλαι μεθοδεῖαι τῆς πλά-

νης, ἀνέστησαν ἤδη πρὸ πολλοῦ καὶ κατὰ τῆς ἁγίας ἑρμηνείας τῶν Ο, ἄνδρες ἑτερόδοξοι, πολλοὶ καὶ σοφοὶ κατὰ κόσμον, βαρὺν κατ' αὐτῆς κηρύξαντες πόλεμον, καὶ ὅλον, ᾗ φασὶν, Ἀχέροντα κινήσαντες, ἵνα τὸ θεῖον κῦρος αὐτῆς ἐξαλείψωσι. Βιβλιοθήκην ὅλην συνιστῶσιν, ὅσα πολλαχοῦ κατὰ καιροὺς καὶ γλώσσας διαφόρους ἐξέδωκαν συγγράμματα, πειρώμενοι πολλαχῶς διεψευσμένην, καὶ μυρίων σφαλμάτων γέμουσαν ἀποδεῖξαι τὴν πανίερον Βίβλον, ἣν οἱ ἑρμηνεῖς ἐκεῖνοι ἐκ θείας ἐπιπνοίας ἡρμήνευσαν, ἣν Θεὸς αὐτὸς ὡς πρόδρομον τοῦ Εὐαγγελίου προέπεμψεν, ἣν ἡ ἀρχαία Συναγωγὴ ἐσεβάσθη, ἣν οἱ θεῖοι Ἀπόστολοι συνεξύφαναν ἐν ταῖς θεοπνεύστοις αὐτῶν Συγγραφαῖς, ἣν διὰ τοσούτων αἰώνων ἀπ' ἀρχῆς τῆς Πίστεως ἔθνη μυρία, καὶ φωναὶ, καὶ γλῶσσαι κατὰ πᾶσαν τὴν Οἰκουμένην διδάσκαλον ἔσχον τῶν προφητικῶν ἀληθειῶν, δι' αὐτῆς πρὸς τὴν Εὐαγγελικὴν ἀλήθειαν ὁδηγούμενα, καὶ σωζόμενα. Ταῦτα δὲ πάντα καὶ τὰ τοιαῦτα μηδόλως οἱ σοφοὶ οὗτοι σεβασθέντες, τὴν μὲν ἁγίαν Ἑρμηνείαν πολλαχῶς συκοφαντήσαντες, οὐδενὸς ἀξίαν ἐλογίσαντο, μόνον δὲ τὸ καθ' ἡμᾶς ἑβραϊκὸν πρωτότυπον ἀδιάφθορον καὶ ἀκέραιον καὶ ἐν πᾶσιν ἀληθὲς, οἷον ἀπὸ τῶν προφητικῶν προῆλθε χειρῶν, πρεσβεύοντες καὶ συνιστῶντες, ἐκ τούτου καινὴν Ἑρμηνείαν ἐποιήσαντο κατὰ διαφόρους γλώσσας, καὶ τοιαύτην κρατεῖν καὶ ἐπὶ τῆς Ὀρθοδόξου τοῦ Χριστοῦ Ἐκκλησίας δέον ᾠήθησαν, ἀφεμένης τὴν Ἀποστολικὴν καὶ πατροπαράδοτον Ἑρμηνείαν τῶν Ο, ἣν καὶ ἐν αὐτοῖς τοῖς θείοις Εὐγγελίοις ἐπιγνώσκει τε, καὶ ἀναγινώσκει, καὶ ἀναγνώσεται, « μέχρις οὗ καταγγέλλεται τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ ». Ἀλλὰ τὸ μὲν μάταιον καὶ κοῦφον τῆς αὐτῶν ἐπινοίας αὐτόθεν δῆλον. Ἐπειδὴ δὲ οἱ τοῦ ψεύδους ὑπηρέται πρὸς στήριξιν τῆς ἰδίας αὐτῶν δόξης πολλῇ παντοίων ἐπιχειρημάτων ἐχρήσαντο ῥύμῃ καὶ φορᾷ, λόγοις ὀργῶσι καὶ παραβόλοις μέγα κατὰ τῶν Ο πνέοντες τὸ πολέμιον, καὶ τὰ ὦτα τῶν παρ' ἡμῖν ἁπλουστέρων διαθρυλλοῦντες, ἔδει πάντως πρὸς καταρτισμὸν μάλιστα τῶν τοιούτων τὴν τῆς ἀληθείας ἀκουσθῆναι φωνὴν, μήποτε παραῤῥυῶσι· καὶ δὴ ἤκουσται, καὶ δια-

κεκήρυκται, τῆς θείας Προνοίας ἐπινευσάσης. Κατὰ γὰρ τοῦ ὄγκου τῶν τοσούτων σοφισμάτων, τῶν κατὰ τοῦ θείου κύρους τῶν Ο ἀνέδην στρατευομένων, καὶ τοῦ τόνου τῶν ἐπιχειρημάτων τῆς ματαιολογίας, οὐδεὶς διὰ τοσούτου μακροῦ χρόνου, ἐξ' ὅτου τὸ τοιόνδε κεκύλισται ζήτημα, οὐδεὶς οὕτω γενναίως ἀντεξανέστη. Ἀπέκειτο δὲ τὸ ἆθλον τῷ καθ' ἡμᾶς ἀκμάζοντι Μεγάλῳ Οἰκονόμῳ, καὶ γενικῷ Ἱεροκήρυκι καὶ Ἐξάρχῳ τοῦ Ἀποστολικοῦ καὶ Οἰκουμενικοῦ Θρόνου, κυρίῳ Κωνσταντίνῳ τῷ ἐξ Οἰκονόμων, ἀνδρὶ περί τε τὴν ἱεραν θεολογίαν, καὶ φιλοσοφίαν, καὶ παντοίαν πολυμάθειαν ἐν πολλοῖς διατρέποντι. Ὃς ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα εἰδώς, καὶ διὰ πολλῶν ἄλλων συγγραμμάτων τῇ τε μητρὶ Ἐκκλησίᾳ καὶ τῷ Ὀρθοδόξῳ γένει πιστῶς ὑπηρετήσας, καὶ νῦν ἤδη, καί τοι ἐν ἡλικίᾳ γηραιᾷ, ἀλλὰ νεανικωτάτῃ νοὸς δυνάμει, καὶ τόνῳ προθυμίας ἀπαραμίλλῳ, τὴν πανοπλίαν τῶν θείων λόγων καὶ αὐτὴν τὴν ἀλήθειαν περιζωσάμενος, πρωταγωνιστὴς οἷον καὶ πρώταθλος ὑπὲρ τοῦ κύρους τῶν Ο, εἰς τὸ στάδιον καταβέβηκε. Καὶ δὴ ἀτρύτῳ φιλοπονίᾳ χρησάμενος, συνετάξατο τὴν Τετρακτὺν τῶν βιβλίων τοῦ καλλίστου Συγγράμματος, φέρουσαν ἐπιγραφὴν, *Περὶ τῶν Ο Ἑρμηνευτῶν τῆς παλαιᾶς θείας Γραφῆς*, ἣν καὶ προσεφώνησε καθιερώσας τῇ Μιᾷ, Ἁγίᾳ, Καθολικῇ, καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ τῶν Ὀρθοδόξων. Ταύτην τὴν Συγγραφὴν καὶ ἡμεῖς διεξελθόντες, σύμφωνον εὕρομεν κατὰ πάντα καὶ συνᾴδουσαν ἀκριβῶς τῇ ἀκηράτῳ διδασκαλίᾳ τῆς Εὐσεβείας. Ἥτε γὰρ ἀλήθεια τῶν θείων λογίων ἐν αὐτῇ διαλάμπει, καὶ τῶν θεοφόρων Πατέρων ἡμῶν αἱ μαρτυρίαι πλεῖσται καὶ τρανόφθογγοι ἐπιφέρονται. Πολλὴ δὲ καὶ ἡ τοῦ λόγου χάρις, καὶ ἡ περὶ τὴν φιλολογίαν ἐπιστήμη τοῦ ἀνδρὸς ἐπανθεῖ. Ἐκτίθενται δὲ καὶ ἀναπτύσσονται μεθ' ὅσης ἀκριβείας ὅσα τὰ σίφη τῶν ἐναντίων, εἴτε Δυτικῶν, εἴτε Μεταῤῥυθμητῶν, κατὰ τοῦ κύρους τῶν Ο, ἐπεχείρησαν, καὶ ὅσα πάλιν ἑκάτεροι πρὸς ἀλλήλους διαφωνοῦντες, ἄλλως ἀντεῖπον. Καὶ πάντα δὴ ταῦτα σαφῶς ἀνασκευάζονται, ποικίλῃ πολυμαθείας ἐφόδῳ, κράτει τε τῶν ἱερῶν λόγων, καὶ συναρμογῇ καὶ ἀλληλουχίᾳ τῶν ἐπιμαρτυρήσεων, αἷς

καὶ αὐτοὶ τῶν ἀντιφρονούντων οἱ σοφώτεροι καὶ εὐγνωμονέστεροι πολλάκις φαίνονται συνομολογοῦντες. Ἐξελέγχονται δὲ καὶ οἱ καθ' ἡμᾶς Ἑβραῖοι κώδηκες πολλὴν τὴν μεταβολὴν πεπονθότες, καὶ ὕποπτοι, καὶ ὑπ' αὐτῶν τῶν συνετωτέρων Ῥαββίνων ὁμολογούμενοι, συνεπικυρούντων καὶ τῶν σοφωτάτων ἐν τοῖς νεωτέροις κριτικοῖς. Ἔνθεν τοι καὶ αἱ ἐκ τοῦ νῦν Ἑβραϊκοῦ ὕφους μεταφράσεις σόλοικοι προκύπτουσι καὶ ἡμαρτημέναι. Καὶ συλλήβδην τὸν περὶ τῆς καλλίστης τῶν βιβλίων Τετρακτύος λόγον περαίνοντες, φαμὲν, ὅτι ταύτης ὁ Συγγραφεὺς τοσοῦτον εὐστόχως τὰ περὶ τοῦ κύρους τῶν Ο ἐξηκριβολογήσατο, καὶ ἐπεξεργαστικώτερον πραγματευσάμενος ἀνέκρινέ τε καὶ ἐκράτυνεν, ὥστε (εἴτι καὶ ἄλλοι ποτὲ συνέγραψαν) πάντων διήνεγκε, καὶ τούτου κάλλιον ἔργον οὐδεὶς ἂν ἐπιδείξειε. Διὸ καὶ λαμπρὸν τὸ τῆς πρὸς αὐτοῦ πονηθείσης Τετρακτύος ἔστησε τρόπαιον, καὶ στήλην μνήμης εὐκλεοῦς ἐναπέλιπε τῇ τε Ἐκκλησίᾳ, καὶ τοῖς ὀψιγόνοις, ἐν παντὶ τῷ βίῳ ἀνεξάλειπτον.

Ταῦτα μαρτυροῦμεν πᾶσι τοῖς τὴν εὐαγῆ ταύτην Συγγραφὴν διεξερχομένοις. Καὶ τοῦτόν σοι τῷ Συγγραφεῖ δίκαιον προσάγομεν ἔρανον μισθοῦ ἀρετῆς, ὑπὲρ τῆς παντὸς λόγου ἀξίας Τετρακτύος τοῦ μεγατίμου σου πονήματος, ὃν καὶ δέξαιο, Ἄνερ σοφὲ, παρὰ τοῦ Σοῦ διαπύρου εὐχέτου,

τῷ ͵αωμη. μηνὶ Ὀκτωβρίῳ.

† Τοῦ Πατριάρχου Κωνσταντίου τοῦ Α.

---

† Ἱεροσοφολογιώτατε Μέγα Οἰκονόμε, καὶ γενικὲ Ἱεροκήρυξ, καὶ Ἔξαρχε τοῦ ἁγιωτάτου Πατριαρχικοῦ Ἀποστολικοῦ καὶ Οἰκουμενικοῦ θρόνου, ἐν ἁγίῳ Πνεύματι υἱὲ ἡμῖν λίαν ἀγαπητὲ καὶ περισπούδαστε, κύριε Κωνσταντῖνε ὁ ἐξ Οἰκονόμων, χάρις εἴη τῇ περιποθήτῳ ἡμῖν αὐτῆς Σοφολογιότητι, καὶ εἰρήνη παρὰ Θεοῦ. Ἀσμένως ἐδεξάμεθα τὸ παρὰ τῆς ἱερᾶς αὐτῆς Σοφολογιότητος φιλοπόνως συνταχθὲν σύνταγμα τῆς περὶ τῶν Ο, ἑρμηνευτῶν τῆς Παλαιᾶς ἁγίας Γραφῆς Τετραβίβλου πραγματείας, καὶ τῇ Μιᾷ, Ἁγίᾳ, Καθολικῇ, καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ καταλλήλως προσ-

φωνηθέν. Ἀναλαβόντες δὲ τὴν τούτου ἀνάγνωσιν, καὶ μεθ' ὅσης ἡμῖν οἷόν τ' ἐπιστασίας διεξελθόντες, ἔγνωμεν ἀναλόγως, οἷον ἐνεστήσατο τῷ συγγράμματι θεοφιλῆ σκοπὸν, πρὸς μόνην ἀφορῶντα τὴν ἀναντίῤῥητον ἀπόδειξιν τοῦ γνησίου, καὶ ἀνοθεύτου, καὶ ἀληθεστάτου, καὶ αὐτὸ δὴ τοῦτο, θεοπνεύστου τῆς τῶν Ο ἑρμηνείας, ὡς ἐξ ἀδιαφθόρου πρωτοτύπου τῆς Ἑβραΐδος γλώσσης κατὰ θείαν ἐπίπνοιαν μεθερμηνευθείσης. Δόξα τοίνυν καὶ εὐχαριστία αἰώνιος τῇ πανσόφῳ καὶ παναγάθῳ προνοίᾳ τοῦ Θεοῦ, ὅτι οὐκ ἐπέλιπον, « Οὐδ' ἐπιλείψουσι τῷ Θεῷ στρατιῶται ». Καὶ γὰρ ἀναστήσασα τὴν ἱερὰν αὐτῆς κεφαλὴν, τῇ τε ἔσω καὶ τῇ θύραθεν σοφίᾳ ἐκ παίδων ἐντεθραμμένην, καὶ μάλιστα τῇ μελέτῃ τῶν θείων Γραφῶν εὐλαβῶς ἐνησκημένην, τοιοῦτον ἐνέβαλεν εἰς τὴν καρδίαν αὐτῆς ζῆλον θεῖον, ὥστε, ἀναθεμένην ὅλην ἑαυτὴν τῇ τοῦ Θεοῦ παντοδυνάμῳ χάριτι, τῇ πάντοτε τὰ ἀσθενῆ θεραπευούσῃ, καὶ τὰ ἐλλείποντα ἀναπληρούσῃ, καὶ ἀναλαβοῦσαν «τὰ βέλη τοῦ δυνατοῦ, τοῦ Θεοῦ τῶν δυνάμεων, τὰ ἠκονημένα », καὶ ἀντὶ μαχαίρας, « τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐςι ῥῆμα Θεοῦ », ἐκθέσθαι τὴν Τετράβιβλον ταύτην συγγραφήν· δι' ἧς ἀρυσαμένη πρῶτον μὲν ἀπὸ τῶν πηγῶν τοῦ σωτηρίου, αὐτῶν, φαμὲν, τῶν ἁγίων Γραφῶν, δεύτερον δὲ, οὐ μόνον ἀπὸ σοφῶν καὶ ἀληθῶν ἱστορικῶν, ἀλλὰ καὶ ἐκ πάσης τῆς χρυσῆς σειρᾶς τῶν ἀρχαιοτάτων, σοφωτάτων, καὶ πνευματεμφόρων ἁγίων Πατέρων τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, λόγοις ἀπέδειξεν ἰσχυροῖς καὶ ἀναντιῤῥήτοις, ὅτι ἡ τῶν Ο, ἑρμηνεία ἀληθεστάτη ἐστὶν, ἀπὸ πρωτοτύπου τῆς Ἑβραΐδος γλώσσης γνησίου, καὶ ἀκιβδήλου, καὶ πάντῃ ἀνοθεύτου μεθερμηνευθεῖσα· καὶ ὅτι ἄχραντος, καὶ ἀληθῶς θεόπνευστος ὑπάρχει, ἀδελφὴ οὖσα γνησιωτάτη αὐτῆς ἐκείνης τῆς θεοσδότου Ἑβραΐδος. Ἔδει γὰρ ἔδει, καὶ ἀναγκαίως ἔδει, τὴν πάνσοφον καὶ πανάγαθον τοῦ Θεοῦ πρόνοιαν, τὴν πρὸ τοσούτων αἰώνων διὰ πάντων τῶν ἁγίων αὐτοῦ Προφητῶν προκηρύττουσαν τὴν ἀποβολὴν τοῦ Ἰουδαϊκοῦ λαοῦ, καὶ τὴν ἐπιστροφὴν καὶ ἀντικατάστασιν τῶν ἐθνῶν, πρὸς τὸ τοσοῦτον μέγιςον ἔργον τῆς τῶν ἀνθρώπων σω-

τηρίας, προετοιμάσαι καὶ προπαρασκευάσαι τὰ ἔθνη, ὥσπερ «χώρας λευκὰς πρὸς θερισμὸν ἤδη,» ὡς αὐτὸς ὁ Κύριος ἔφη, διὰ τῆς εἰς τὴν ἑλλάδα φωνὴν πρὸ τριῶν περίπου αἰώνων μεθερμηνεύσεως τῶν θεοφθέγκτων χρησμῶν. Ἓν τοῦτο, φίλτατε, ἐκ τῶν πλείστων αὐτῆς ἐπιχειρημάτων ἰσχυρότατον. Καὶ ἤρκει μὲν αὐτὸ καὶ μόνον πρὸς ἀπόδειξιν τῆς ἀληθείας περίτρανον· ἀλλ' ἡ συγγραφὴ καὶ τοσούτων ἄλλων πλήθει ἰσχυροτάτων λόγων, δι' ὧν οἱ ἐναντίοι προφανῶς ἑαυτοῖς ἀντιφάσκοντες ἀναφαίνονται, καὶ πολλάκις τοῖς ἰδίοις πτεροῖς ἁλισκόμενοι. Κατήργηται τοίνυν τῇ τοῦ Θεοῦ παντοδυνάμῳ χάριτι ὁ τῆς Χαλάνης πύργος· ἔπεσεν, ὥσπερ ποτὲ τὰ τείχη τῆς Ἱεριχοῦς ἐκεῖνα ταῖς σάλπιγξι τῶν ἱερέων τοῦ Θεοῦ, καὶ τὸ ὑπ' αὐτῶν ἀνοικοδομηθὲν κραταιὸν, ὡς ἔδοξαν, τεῖχος, τῇ τοῦ Ἱερέως τοῦ Θεοῦ σάλπιγγι, τῆς ἱεροσόφου αὐτῆς κορυφῆς, τῇ παρ' αὐτοῦ τοῦ Θεοῦ ταῖς χερσὶν αὐτῆς καὶ τῷ στόματι δοθείσῃ· ἔπεσε δὲ, « ἵνα καθαιρεθῇ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τοῦ Θεοῦ». Καὶ μάτην ἄρα κατὰ τοῦ φρονήματος τῆς Ἐκκλησίας ἀντέστησαν οἱ πολέμιοι, τοξεύοντες εἰς οὐρανόν. Ἀποδέδεικται γὰρ καὶ ἤδη ταῖς διὰ τῆς θείας χάριτος καὶ δυνάμεως στεῤῥαῖς αὐτῆς ἀποδείξεσιν, ὅτι τε ἡ τῶν Ο, ἑρμηνεία τῆς παλαιᾶς θείας Γραφῆς ἀληθεστάτη ἐστὶ, κατά τε τὴν ἱερὰν ὑπὸ τοσούτων ἱερῶν ἀνδρῶν πρὸ τοσούτων αἰώνων διάλληλον παράδοσιν, καὶ πρώτιστα καὶ μέγιστα ἀπ' αὐτῆς τῆς ἁγίας Γραφῆς, καὶ μάλιστα τῆς Νέας· καὶ ὅτι ἡ μέχρι τῆς σήμερον ἐν χερσὶ καὶ στόματι καὶ καρδίᾳ τῶν Ὀρθοδόξων φερομένη ἑρμηνεία τῶν Ο, ῥῆμα Θεοῦ ἐστι καὶ Γραφὴ, ὅλη ἄχραντος, ὅλη ἀκήρατος, ὅλη ἀνόθευτος, καὶ αὐτὸ τοῦτο, *Θεόπνευστος*, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος τοῦ Θεοῦ. Δόξαν οὖν ἀνεπέμψαμεν τῷ Κυρίῳ, τῷ ἐξάγοντι πάντοτε, κατὰ τὴν πανάγαθον αὐτοῦ πρόνοιαν, ἐν τοῖς καταλλήλοις καιροῖς τοιούτους ζηλωτὰς τῆς εὐσεβείας, ὑπεραγωνιστὰς τῆς ἀληθείας, καὶ ὑπερασπιστὰς τῆς Ὀρθοδοξίας, βεβαιοῦντας μὲν τοὺς ἱσταμένους, στηρίζοντας δὲ τοὺς σαλευομένους. Καὶ Σοὶ μὲν, φίλτατε, παρὰ Θεοῦ τὸ δῶρον· «Πᾶν γὰρ δώρημα τέλειον,

ἄνωθεν, παρὰ τοῦ Πατρὸς τῶν φώτων»· ὁ δὲ ἔπαινος διὰ πασῶν τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ. Διὸ καὶ ἐπευδοκοῦντες, ἀποδεχόμεθά τε καὶ ἐγκρίνομεν τὸ τῆς Τετραβίβλου ταύτης πραγματείας περὶ τῶν Ο Ἑρμηνευτῶν τῆς παλαιᾶς ἁγίας Γραφῆς ἱερὸν αὐτῆς Σύγγραμμα, ἅτε δὴ ἄχραντα, καὶ ἀκήρατα τὰ τῆς εὐσεβείας διδάγματα περιέχον, καὶ τὰ περὶ τοῦ θείου κύρους, καὶ τῆς γνησιότητος τῆς ἱερᾶς ἑρμηνείας, ὁμογνωμόνως τοῖς ὑπὸ τῶν θείων Πατέρων γνωματευομένοις, λόγοις ἀναντιῤῥήτοις ἀποδεικνύον, καὶ συμφώνως τῇ καθόλου ἀρχαιοπαραδότῳ δόξῃ τῆς Ὀρθοδόξου Ἐκκλησίας, τῆς παρὰ τῶν ἁγίων Ἀποστόλων ταύτην ἀλληλοδιαδόχως παραλαβούσης, ἰσχυραῖς ἀποδείξεσι κρατύνον, καὶ τὴν Ὀρθοδοξίαν στεῤῥῶς κατοχυροῦν. Ναὶ μὴν οὐχ ἧττον ἀγαστόν τε καὶ ἀξιέπαινον, καὶ πολλοῦ λόγου ἄξιον παρ' ἡμῖν ἐπιμαρτυρεῖται, καὶ διὰ τὰ πλεονάζοντα ἄλλα ποικίλα πλεονεκτήματα, ἐξ ὧν παντοδαπὴ καὶ μεγάλη πᾶσι τοῖς φιλομαθέσιν ἡ ὠφέλεια προσγίγνεται, δι' ἣν ἐν αὐτῷ ἀπαντήσουσι πολυμάθειαν· ἐπιχαρίτως δ' εὐεπὴς καὶ ἡ φράσις, καὶ εἰς τὸ ἀττικώτερον κεκαλλιεπημένη, τῆς σαφηνείας τὴν ἀρετὴν ἐπὶ πάσαις ταῖς χάρισιν οἷον στέφανον λαμπρὸν φέρουσα· ἡ δὲ λέξις καθαρὰ, καὶ κυρία, καὶ τῷ ὕψει τῶν θείων νοημάτων ἐπιπρέπουσα. Ὅθεν λίαν ἀγάμενοι τὴν ἀξιάγαστον αὐτῆς Σοφολογιότητα, μακαρισμοῦ ἀξίαν ἀνακηρύττομεν, ὅτι οὐ μόνον ἀπὸ νεότητος ἀκαμάτως καμοῦσα, ἀόκνως ἠγωνίσατο ὑπέρ τε τῆς εὐσεβείας, καὶ ὑπὲρ παντοίας πνευματικῆς τε καὶ ἠθικῆς τοῦ Ὀρθοδόξου πληρώματος ὠφελείας, διά τε τῶν Εὐαγγελικῶν αὐτῆς διδασκαλιῶν, καὶ διὰ πολλῶν καὶ περιφανῶν φιλοπονηθέντων αὐτῇ Ἐκκλησιαστικῶν καὶ φιλολογικῶν συγγραμμάτων, ἀλλ' ὅτι καὶ ἐν προβεβηκυίᾳ ἔτι ἡλικίᾳ ὅλως τοῦ γηραιοῦ ἀφειδήσασα σκήνους, καὶ τῷ θείῳ ζήλῳ ἐνισχυθεῖσα, οὐ παρῃτήσατο ὑπὲρ τῆς Ἐκκλησίας τοῦ Θεοῦ καὶ ἤδη πρὸς τοὺς τῆς ἀληθείας ἀντιπαρατάξασθαι πολεμίους, διὰ τοῦ ἀτρύτοις πόνοις τε καὶ ἱδρῶσι συνταχθέντος σοφοῦ, πολυμαθοῦς, καὶ μεγατίμου τούτου συγγράμματος τῆς Τετραβίβλου πραγματείας· ἕως οὗ τῇ θείᾳ δυνάμει, ἥτις ἐν ἀσθε-

νείᾳ τελειοῦται, γενναίως ἀντιπαλαίσασα, καὶ παντελῶς τὸν δι' ἀντιθέου ἐπάρσεως οἰκοδομηθέντα Βαβυλώνιον πύργον καταῤῥάξασα, τὸ τῆς νίκης ἦρατο τρόπαιον· ἐξ οὗ καὶ πολλῷ πλέον ὑπερτέραν τῇ τε ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ περιῆψε τὴν δόξαν, καὶ τῷ ἡμετέρῳ Ὀρθοδόξῳ γένει μεγάλην καὶ διαφέρουσαν παρέσχε τὴν ὠφέλειαν· Ἀνθ' ὧν καὶ ἡμεῖς τὰς ἐκ κέντρου καρδίας ἡμετέρας εὐχὰς καὶ εὐλογίας ἐπιδαψιλευόμενοι τῇ ἱερᾷ αὐτῆς κορυφῇ, θερμῶς ἄνωθεν ἐξαιτούμεθα, ὅπως ὁ διαφυλάξας αὐτὴν προνοητὴς Θεὸς ἐπ' ἀγαθῷ τῆς Ἐκκλησίας ὑγιᾶ καὶ ἀπήμαντον, διατηροίη καὶ ἐς τοὐπιὸν, μακροημερεύουσαν, σῷαν, ἐῤῥωμένην μέχρι γήρως βαθυτάτου καὶ λιπαροῦ, καὶ ὀρθοτομοῦσαν τὸν λόγον τῆς ἀληθείας, τῇ τε συγγραφῇ καὶ ἐκδόσει καὶ ἄλλων ἔτι κοινωφελῶν αὐτῆς συγγραμμάτων ἐπὶ καταρτισμῷ τοῦ χριστωνύμου πληρώματος, πρὸς δόξαν μὲν τῆς ἁγίας αὐτοῦ Ἐκκλησίας, μνήμην δὲ ἀΐδιον τῆς περισπουδάστου ἡμῖν αὐτῆς Ἱεροσοφολογιότητος, συναποληψομένης πάντως, κατὰ τὰς θείας ἐπαγγελίας, καὶ τὸν ἀποκείμενον αὐτῇ τῆς δικαιοσύνης στέφανον, ὃν ἀποδώσει αὐτῇ ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος Κριτὴς, ὡς ἀγωνιζομένῃ γενναίως τὸν καλὸν ἀγῶνα, τελούσῃ προθύμως τὸν δρόμον, τηρούσῃ μετ' ἀκαμάτου ζήλου τὴν πίστιν, καὶ ἐργαζομένῃ ἀόκνως τε καὶ ἐπιμελῶς εἰς πολυπλασιασμὸν τοῦ ἐγκεχειρισμένου ταλάντου, κατὰ τὴν ἐν τοῖς θείοις Εὐαγγελίοις τοῦ Σωτῆρος παραβολήν. Οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετ' αὐτῆς.

ᾳωμθ. Ἰαννουαρ. ιϛ.

† Ὁ πρώην Κωνσταντινουπόλεως Γρηγόριος,
ἐν Χριστῷ διάπυρος εὐχέτης.

---

† Αἰδεσιμώτατε, καὶ σοφολογιώτατε Μέγα Οἰκονόμε, καὶ γενικὲ Ἱεροκήρυξ, καὶ Ἔξαρχε τοῦ ἁγιωτάτου Πατριαρχικοῦ, Ἀποστολικοῦ, καὶ Οἰκουμενικοῦ Θρόνου, ἐν Χριστῷ ἡμῖν λίαν ἀγαπητὲ καὶ περιπόθητε, κύριε Κωνσταντῖνε ὁ ἐξ Οἰκονόμων, χάρις εἴη τῇ φίλῃ ἡμῖν αὐτῆς Αἰδεσιμότητι καὶ εἰρήνη παρὰ Θεοῦ· Ἀπ' ἀρχῆς

τῆς ἐκ παίδων ἀνατροφῆς πρὸς τὴν κατὰ Χριστὸν ἐκπαίδευσιν ἑαυτὴν ἐκδοῦσα ἡ περιπόθητος ἡμῖν αὐτῆς Αἰδεσιμότης, τά τε θεῖα εὐσεβῶς ἐκμελετήσασα, καὶ τῇ τούτων ἐπιτεταμένῃ ἐγγυμνασθεῖσα μελέτῃ, οὐκ ἀτελεσφόρητον τὴν τῆς ψυχῆς αὐτῆς γεωργίαν καταλιπεῖν ἠνέσχετο, οὐδ' ἄγονα τὰ ἐν αὐτῇ καταβληθέντα πνευματικὰ σπέρματα διαμεῖναι, ἀλλ' ὅλον τὸν νοῦν ἀνατείνασα πρὸς τὸν διπλοῦν σκοπὸν τῆς δόξης τοῦ Θεοῦ, καὶ τῆς ἀγάπης τοῦ πλησίον, κατὰ τὴν Εὐαγγελικὴν διδασκαλίαν, οὐκ ἐνέλιπεν ἀπὸ νεότητος τὰ τῆς θεοφιλοῦς ταύτης προθέσεως ἐν ἔργῳ ἐνδεικνυμένη, ὑπέρ τε τῆς ἁγίας αὐτοῦ Ἐκκλησίας συντελοῦσα, καὶ τῆς τοῦ πλησίον ὠφελείας ἐργαζομένη, δι' ὧν ἀλληλοδιαδόχως ἀνεφάνη συγγράφουσά τε, καὶ ἐκδιδάσκουσα, καὶ εἰς φῶς προάγουσα διαφόρων ἐπωφελῶν συγγραμμάτων, πολλὴν παρεχομένων τὴν πνευματικὴν καὶ ἠθικὴν ὠφέλειαν παντὶ τῷ Ὀρθοδόξῳ Χριστεπωνύμῳ πληρώματι. Ἀλλὰ τὸ τελευταίως ἤδη φιλοπονηθὲν παρ' αὐτῆς ἱερὸν τετράβιβλον Σύγγραμα, τὸ *Περὶ τῆς τῶν Ο,' Ἑρμηνείας τῆς παλαιᾶς ἁγίας Γραφῆς*, ὥσπερ τις ῥωμαλαῖος πνευματικὸς γόνος τοῦ ζέοντος ἐν τῇ ἱερᾷ αὐτῆς ψυχῇ θείου ζήλου ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς ἀληθείας εἰς φῶς προκύψας, ἐπὶ καταρτισμῷ τῶν εὐσεβῶν, καὶ στηριγμῷ τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ οἷόν τις κορωνὶς καὶ στέφανος λαμπρὸς τῶν προλαβόντων ἁπάντων ἀγωνισμάτων αὐτῆς ἀναφανείς, μεγάλην τε καὶ ἀνέκφραστον τὴν πνευματικὴν θυμηδίαν μετὰ τοῦ πρὸς τὸ συναμφότερον ἐπωφελοῦς καὶ χρησίμου ἐμποιεῖ τοῖς ἐντυγχάνουσιν. Οὗ δὴ τὸ πρῶτον τεῦχος, ὑπὸ τῆς ἱεροσόφου αὐτῆς Αἰδεσιμότητος καθυποβληθὲν ἡμῖν, εὐμενῶς ἀποδεξάμενοι, ὅτε τοὺς οἴακας τοῦ παγκοίνου τῆς Ἐκκλησίας σκάφους ἦμεν διέποντες, καὶ τὸ ἔργον περισκοπήσαντες, ὡς πολλῆς ὠφελείας ἐσόμενον πρόξενον, ἀξίως ἐπευλογήσαμεν. καὶ τῷ ἀγαθῷ ἐργάτῃ ἐπεκαλέσθημεν ἄνωθεν τὴν οὐρανίαν ἀντίληψιν εἰς τὸν τέλειον αὐτοῦ ἀπαρτισμόν. Ἤδη δὲ τῶν γενικῶν ἀπαλλαγέντες φροντίδων, καὶ ἐν ἠρέμῳ πνεύματι ταῖς θείαις ἑαυτοὺς ἐκδόντες μελέταις, καὶ ἑπομένως ἀπηρτισμένον τὸ ἱερὸν τοῦτο Τετράβιβλον πόνημα ἀνὰ χεῖ-

ρας λαβόντες, καὶ, ὅσον ἡμῖν ἐνῆν, περιεσκεμμένως ἀναγνόντες, καὶ ἐμβριθέστερον ἐπεξελθόντες, εὐχαρίστως κατείδομεν ἐν αὐτῷ τῆς κατ' ἔμπνευσιν θείαν γενομένης ὑπὸ τῶν Ο. μεταφράσεως τῆς παλαιᾶς ἁγίας Γραφῆς τὸ γνήσιον καὶ ἀλάνθαστον τρανῶς ἀνακηρυττόμενον, καὶ ἀναντιῤῥήτοις ἀποδείξεσιν εὐσεβοφρόνως ἀποδεικνύμενον· Ἐφ' ᾧ καὶ πρῶτον μὲν τῷ συντελεστῇ τῶν καλῶν παναγάθῳ Θεῷ ἀποδεδώκαμεν τὰς χάριτας, τῷ δόντι τῇ ἱερᾷ αὐτῆς κεφαλῇ πνεῦμα σοφίας, συνέσεως, καὶ δυνάμεως εἰς τὸ καταδεῖξαι ἀκαταγώνιστον τὴν πολυειδῶς καὶ πολυμηχάνως ὑπὸ τῶν ἐπιβούλων πολεμουμένην ἀλήθειαν τῆς Ὀρθοδόξου Ἐκκλησίας περὶ τῆς τῶν Ο, ἀρχαιοπατροπαραδότου καὶ ἀληθεστάτης Ἑρμηνείας τῆς παλαιᾶς ἁγίας Γραφῆς. Ἑπομένως δὲ τὸ ἱερὸν τοῦτο Τετράβιβλον Σύγγραμμα, τὸ περὶ τοῦ θείου κύρους, καὶ τῆς γνησιότητος, καὶ τοῦ ἀλανθάστου τῆς τῶν Ο, ἱερᾶς μεταφράσεως πραγματευόμενον, ὡς ἀπὸ τοῦ ἀρχετύπου ἐκείνου τοῦ ἀδιαφθόρου, καὶ ἀνοθεύτου ἑβραϊκοῦ Κώδηκος γεγενημένης, καὶ ταῖς διαφόροις μαρτυρίαις τῶν Ἀποςόλων καὶ τῶν θείων Πατέρων πιστουμένης, καὶ ὑπ' αὐτῶν τούτων ἀλληλοδιαδόχως τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ παραδεδομένης, καὶ αὐτὸ τοῦτο θεοπνεύστου πιστευομένης, ὁλοκλήρως ἐγκρίνοντες, εὐσεβοφρόνως ἀποδεχόμεθα, ὡς πάντα ἁγνὰ τὰ ἐν αὐτῷ περιέχον, καὶ πάντα ἅγια, ἅτε δὴ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου κατηρδευμένα, καὶ σύμφωνα τῇ ὀρθοδοξούσῃ διδασκαλίᾳ. Ὅθεν καὶ συντελεσθὲν ἤδη σὺν Θεῷ τὸ ἔργον ἐπισφραγίζοντες διὰ τῶν ἡμετέρων εὐλογιῶν, χρέος ἡγησάμεθα ἱερὸν, ἵνα καὶ τὴν ἱερὰν αὐτῆς κορυφὴν ταῖς ἐγκαρδίοις ἡμῶν εὐχαῖς καταστέψωμεν, ἐξαιτούμενοι θεόθεν τῇ ἀξιαγάστῳ ἡμῖν αὐτῆς Αἰδεσιμότητι ὑγιείαν διηνεκῆ, καὶ ἔτη Μαθουσάλια, ὅπως καὶ ἄλλα τοιαῦτα ἄξια τῆς, ἧς ἐχαρίσατο αὐτῇ σοφίας ὁ Κύριος, φιλοπονήσῃ ἐπὶ καταρτισμῷ τῶν πιστῶν, καὶ κλεϊσμῷ τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας. Οὗ ἡ χάρις, καὶ τὸ ἄπειρον ἔλεος εἴη μετ' αὐτῆς. ᾳωμθ, ἐν μηνὶ Μαρτίῳ. ιθ.

† Ὁ πρώην Κωνσταντινουπόλεως Γερμανὸς,
ἐν Χριστῷ διάπυρος εὐχέτης.

ΒΙΒΛΙΟΝ Δ΄.

ΠΕΡΙ ΤΟΥ ΚΥΡΟΥΣ ΤΗΣ ΥΠΟ ΤΩΝ Ο ΕΡΜΗΝΕΙΑΣ ΤΩΝ ΘΕΙΩΝ ΓΡΑΦΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α.

Προθεωρία.

§. α. «ΟΣΤΙΣ θέλει πύργον οἰκοδομῆσαι» (κατὰ τὸ θεῖον λόγιον), «πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν· ἵνα μήποτε, θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύσαντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται ἐμπαίζειν αὐτῷ, λέγοντες· ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι» (Λουκ. ιδ, 28—30). Ἐπειδὴ δὲ καὶ πᾶσα ἡ περὶ τῶν τῆς θείας ἀληθείας θεωρημάτων ὀρθοτόμος διδασκαλία καὶ συγγραφὴ οἰκοδομή τις ἐστὶν ἐν λόγοις καὶ γράμμασιν, «*οἰκοδομὴν γὰρ ἀνθρώποις λαλεῖν*» προσετάγημεν, καὶ «*διώκειν τὰ τῆς οἰκοδομῆς*» (Α. Κορ. ιδ, 3, 26: Ῥωμ. ιδ, 19), οὐκ ἀπεικότως ὁ θαυμάσιος Ὠριγένης παρέβαλε τὴν ῥῆσιν τὴν εὐαγγελικὴν πρὸς τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν, καὶ τὴν τῆς εὐσεβείας διδασκαλίαν, τὴν ἀκραιφνῆ καὶ φερέσβιον. Αὕτη δὲ τότε καὶ μόνον οἰκοδομεῖται, ὅταν τῷ προθεμένῳ τὸν περὶ ταύτην κάλλιστον πόνον συνεφάπτηται καὶ συνοικοδομῇ τὸ νεῦμα τοῦ πάντων ἀγαθῶν χορηγοῦ (α).

§. β. Καὶ ἡμεῖς οὖν, ὅτε τὸ πρῶτον ἐμέλλομεν, τοῦ καιροῦ καλοῦντος, ἐγχειρεῖν τῇ μετὰ χεῖρας συγγραφῇ, πύργον μὲν ἐρυ-

(α) Ὠριγέν. τῶν εἰς Ἰωάνν. ἐξηγητικ. τόμ. ς. σελ. 92. ἐκδ. Huetij. Coloniæ, 1685.

μνόν τε καὶ μέγαν οἰκοδομεῖν οὐ διενοούμεθα, (πόθεν γάρ;), οὐδ' ὄλβιον οἶκον, εἰς μέγεθος καὶ κάλλος ἐξησκημένον, οἰκίδιον δὲ, καὶ πυργάριον πενιχρὸν καὶ σμικρὸν ἀπὸ σμικρῶν ἀφορμῶν, ὅσον γοῦν τὸ ἐφ' ἡμῖν συνεισενεγκεῖν «*εἰς τὸ τῆς διακονίας ἔργον, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ*». Ἀλλά γε καὶ πρὸς τοῦτο ψηφισάμενοι πρῶτον πάντα τὰ παρ' ἡμῖν, οὐχ εὑρίσκομεν ἀρκοῦντα διὰ τέλους καὶ ἀποχρῶντα πρὸς ἀπαρτισμὸν τοῦ δομήματος, ὀλίγα δέ τινα καὶ πάνυ λυπρὰ καὶ γλίσχρα κατελαμβάνομεν ὄντα. Πλὴν ἀλλὰ καὶ οὕτω θεῷ πεπιστευκότες, «*τῷ τὰ ἐλλείποντα ἀναπληροῦντι, καὶ πλουτίζοντι ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει*», καὶ ταῖς εὐχαῖς τῆς μητρὸς Ἐκκλησίας θαῤῥήσαντες, τόν τε θεμέλιον κατεβάλομεν, ἐπὶ τῆς ἀῤῥαγοῦς τῆς εὐσεβείας πέτρας ἐγκρηπιδώσαντες, καὶ τὸ πλεῖστον δὲ καὶ μέγιστον τῆς λιτῆς οἰκοδομῆς ἐξηρτύσαμεν, ὅση δύναμις. Καὶ νῦν ἤδη (τῷ Θεῷ χάρις! οὗ ἐν τῇ χειρὶ ἡ πνοὴ ἡμῶν), ἥκομεν εὐέλπιδες τὸν ὄροφον ἐπιστεγάσαι τῷ οἰκιδίῳ, προσαποδόντες καὶ τὸ τέταρτον βιβλίον πρὸς τοῖς προτεταγμένοις, ὅπως φύγωμεν τὸν ἐμπαιγμὸν, *ἐκτελέσαντες τὸ ἔργον*. Ἐφεξῆς δὲ καὶ τὸ προϋπεσχημένον παράρτημα προσεπισυνάψομεν, οἷον στρεπτὴν στεφάνην τῷ δώματι τοῦ λόγου περιβαλόντες. «Ἐὰν γάρ (φησιν) οἰκοδομήσῃς οἰκίαν καινὴν, ποιήσεις στεφάνην τῷ δώματί σου» (Δευτερ. κβ' 8).

§. γ. Ἐν μὲν οὖν τοῖς ἐκδεδομένοις τρισὶ βιβλίοις τὸ τρισσὸν τῶν περὶ τὴν ἑρμηνείαν τῶν Ο καιριωτάτων θεωρημάτων ἐξητάσαμεν. Πρῶτον μὲν, τὸ τῆς ἱστορίας τοῦ Ἀριστέου. Δεύτερον δὲ, τὸ σύστημα τῶν τῇ ἑρμηνείᾳ πολεμούντων ὑψαυχένων λογισμῶν. Τρίτον δὲ, τὰ περὶ τὸ καθ' ἡμᾶς ἰουδαϊκὸν, ἢ Μασορίτειον κείμενον, δι' οὗπερ οἱ ἑβραϊσταὶ παντοίως πειρῶνται τὴν ἑρμηνείαν διεσφαλμένην καὶ σαθρὰν ἐξελέγχειν, καὶ λοιδορεῖν, καὶ δὴ καὶ πρὸς ἐκεῖνο μετασκευάζειν, ἐξ οἵων εἰς οἷα μεταπεσεῖν ἡμᾶς νουθετοῦντες! Ἤδη δὲ καὶ τὸ τέταρτον πραγματευόμεθα, τὸ περὶ τοῦ κύρους καὶ τῆς ἀπ' ἀρχῆς ἄχρι συντελείας αἰῶνος διαμενούσης αὐθεντίας τῆς ἑρμηνείας τῶν Ο. Ἐπειδὴ γὰρ ἐν τοῖς προηγηθεῖσι βιβλίοις ἔκ τε

τῆς ἱστορίας καὶ δι᾽ ἄλλων πολλῶν ἀποδείξεων τὸ βέβαιον καὶ γνήσιον καὶ ἄχραντον τῆς ἑρμηνείας ἀπεδείχθη, γεγόνασι δὲ καὶ ἄλλαι μετὰ Χριστὸν ἑλληνικαὶ μεταφράσεις, (περὶ ὧν προείπομεν Βιβλ. Γ. κεφ. β. §. κδ-κε), οἱ δὲ περὶ τὸν Ὅδιον καὶ ἐκ τούτων, καὶ ἐξ ἄλλων μάλιστα μαρτυριῶν ἐσπούδασαν βεβηλῶσαι τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο, μὴ μόνον κεκοινωμένην καὶ ἀθείαστον καὶ ὅλως ἀνθρωπικὴν γενομένην, ἀλλὰ καὶ πάσης ἀκριβοῦς καὶ πιστῆς ἑρμηνείας τὰ δευτερεῖα πολλάκις φέρουσαν καὶ ἡττωμένην ἐπιχειρήσαντες ἱστορικώτερον ἀποδεῖξαι (α), ἀναγκαῖον ἔδοξεν ἡμῖν καὶ πρὸς ταῦτα τὸ ἔσχατον τοῦτο τῆς καθ᾽ ἡμᾶς τετραβίβλου βιβλίον ἀντιτάξαι. Θεωροῦμεν δ᾽ ἐν τούτῳ πρῶτον μὲν, εἴτις ἐγένετο καὶ ἄλλη πρὸ τῶν Ο ἑλληνικὴ μετάφρασις τῶν ἑβραΐδων Γραφῶν (λέγεται γὰρ καὶ τοῦτο)· εἶτα δ᾽ ἐξετάζομεν προηγουμένως, εἰ κατὰ θείαν ἔμπνευσιν οἱ Ο μεθηρμήνευσαν (τοῦτο γὰρ τοῦ κύρους τῆς ἑρμηνείας αὐτὸ τὸ κεφάλαιον). Μετὰ δὲ ταῦτα διαλαμβάνομεν ἰδίως περὶ τῶν ἐκτὸς τοῦ Ἐσδραίου κανόνος ἐν τῇ Ἐκκλησίᾳ κεκανονισμένων ἱερῶν τευχῶν (ἃ καὶ Δευτεροκανονικὰ παρὰ τοῖς Δυτικοῖς ἐπονομάζονται). Ἀκολούθως δὲ καὶ τούτων καὶ πάντων τῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης τὸ διαιωνίζον κῦρος χρονολογικώτερον παριστῶμεν, ἀπό τε ἰουδαϊκῶν μαρτυριῶν τὰς ἀποδείξεις λαμβάνοντες, εἶτα δὲ καὶ ἐκ τῆς Καινῆς τοῦ Θεοῦ Διαθήκης, καὶ ἐκ τῶν θεοφόρων ἐξηγητῶν τῶν θείων λογίων, τῶν μακαρίων Πατέρων τῆς Ἐκκλησίας. Τούτοις γὰρ ἡμεῖς (καὶ πᾶς τις δὲ τῶν εὐσεβοφρόνων) ἀείποτε παρακολουθοῦμεν, οἷον κώνωπές τινες συνάμα ταῖς ἀριστοπόνοις καὶ μέλι μηδομέναις ἐκείναις

(α) Ταῦτα πραγματεύεται δι᾽ ὅλου σχεδὸν τοῦ Γ. Βιβλίου τῆς κατὰ τῶν Ο, προμνημονευθείσης μεγάλης αὐτοῦ συγγραφῆς (**De bibliorum textibus etc.**) ὁ κλεινὸς Ὅδιος, ὅπερ ἐπιγράφει, **Historia Scholastica Hebraici Textus versionum que Græcæ et Latinæ Vulgatæ, qua ostenditur, qualis fuerit singulorum auctoritas per omnia retro secula pag. 218—569.** Συμπλέκει δὲ τὴν σχολαστικὴν αὐτοῦ ἱστορίαν ἐκ μαρτυριῶν Ἰουδαίων τε καὶ Χριστιανῶν, μέχρι τοῦ κατ᾽ αὐτὸν αἰῶνος χρονολογῶν. Πρὸς πάντα τούτου τὰ κεφαλαιώδη θεωρήματα ἀπαντῶμεν ἐν τοῖς ἑξῆς (κεφ. ε).

μελίσσαις τὸν λειμῶνα τῶν Γραφῶν περιβομβοῦντες. Εἰ δὲ καί τινες τῶν θύραθεν τῆς καθ' ἡμᾶς Ἐκκλησίας καὶ νεωτέρων σοφῶν, εὐγνώμονες ἄνδρες καὶ φίλοι τῆς ἀληθείας, ταῖς τῶν ἁγίων ἡμῶν Πατέρων μαρτυρίαις παρηκολούθησαν, οὐδὲ τούτων ἀποσιωπήσομεν τὰ ὀνόματα, πρὸς μαρτύριον τοῖς ἀντιλέγουσι κριτικοῖς. Προστιθέμεθα δὲ καὶ τὰς ἐκ τῆς ἑρμηνείας τῶν Ο γενομένας εἰς ἄλλας γλώσσας παλαιὰς μεταφράσεις, (αἵ περ καὶ αὐταὶ μαρτυροῦσι τὸ κῦρος τῶν κατὰ τοὺς Ο Γραφῶν), καὶ τὰς κατὰ καιροὺς καὶ τόπους φιλοπονηθείσας ἐκδόσεις τῶν Ο, καὶ εἴτι ἄλλο περὶ ταῦτα φιλολογικώτερον θεώρημα. Καὶ ταῦτα μὲν ἡ τῆς βίβλου ἐπαγγέλλεται πραγματεία. Ἀρχόμεθα δὲ πρῶτον ἀπὸ τοῦ πρώτου ζητήματος.

ΚΕΦΑΛΑΙΟΝ Β.

Εἰ καὶ πρὸ τῶν Ο συνετάχθη ἄλλη τις ἑλληνικὴ ἑρμηνεία τῶν Ἑβραΐδων Γραφῶν.

§. α. Ἔγραψεν ὁ ἐξ Ἑβραίων περιπατητικὸς φιλόσοφος Ἀριστόβουλος, ὅτι «Κατηκολούθηκεν ὁ Πλάτων τῇ καθ' ἡμᾶς (τοὺς Ἑβραίους) νομοθεσίᾳ. Διηρμήνευτο γὰρ πρὸ Δημητρίου τοῦ Φαληρέως, πρὸ τῆς Ἀλεξάνδρου καὶ (ἴσ. γρ. κατὰ) Περσῶν ἐπικρατήσεως, τάτε κατὰ τὴν ἐξαγωγὴν τὴν ἐξ Αἰγύπτου τῶν Ἑβραίων, καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια, καὶ κράτησις τῆς χώρας, καὶ [ἡ] τῆς ὅλης νομοθεσίας ἐπεξήγησις» (βλέπε τὸ χωρίον ὁλόκληρον ἐν τοῖς ἔμπροσθεν, Βιβλ. Β. κεφ. ζ. §. ιθ. σελ. 456) Ταῦτα δὲ λέγων ὁ Ἀριστόβουλος, πρόδηλον καὶ φανώτατον, ὅτι οὐ πάσης τῆς *Νομοθεσίας* (δηλαδὴ τῆς Μωσαϊκῆς Πεντατεύχου) ὁλόκληρον ἑλληνικὴν ἑρμηνείαν ἐφρόνει πρὸ τοῦ Φαληρέως καὶ τῆς Ἀλεξάνδρου ἀναβάσεως γενομένην (ἔλεγε γὰρ ἂν ἁπλῶς καὶ δίχα περιστροφῶν, «*Διηρμήνευτο πᾶσα ἡ Νομοθεσία*»)· νῦν δὲ τεμαχίζων, καὶ περιγραφικῶς ἐξηγῶν καὶ διορίζων τὰ μεθηρμηνευμένα, φανερός ἐστιν, ὅτι μόνον τμήματά τινα καὶ μέρη τῆς

Πεντατεύχου ἐξελληνισθέντα νοεῖ, οἷον τὰ περὶ τὴν ἔξοδον, ἐν οἷς ἐμπεριείχοντο πιθανώτατα καί τινα τῆς Γενέσεως ἀποσπάσματα, καὶ τὴν διὰ τῆς ἐν πολέμοις λαμπρῶς *ἐπιφαινείσης* θείας ἀρωγῆς κράτησιν τῆς χώρας τῶν ἐχθρῶν (α), καὶ εἴτι ἄλλο ἱστορικὸν, καί τινα τῶν νομίμων, περὶ ὧν ἁπάντων ἡ θεία Πεντάτευχος ὁλοσχερῶς πραγματεύεται. Καὶ ἦν ἄρα τὸ τευχάριόν, κατὰ τὸν Ἀριστόβουλον, συλλογιμαία τις χρηστομάθεια, ἢ ἀπάνθισμα καὶ ἐκλόγιον ἐκ τῶν πέντε τῆς Μωσαϊκῆς νομοθεσίας τευχῶν ἑλληνιστὶ ὑπό τινων ἀνωνύμων συλλογέων συνοπτικῶς συμπιληθέν. Ὥστε ἐξ αὐτῶν τῶν Ἀριστοβούλου λόγων ἐξελέγχονται πλανηθέντες, ὅσοι τοῦτον ἐξέλαβον ἱστοροῦντα *πᾶσαν τὴν Πεντάτευχον* ἐξελληνισθεῖσαν πρὸ τῆς ἑρμηνείας τῶν Ο (β). Περιττῶς δὲ ἴσως καὶ Οὐαλκενῆρος ὑπενόησεν, ὅτι ἐκ τῆς Ἀριστοβουλείου περικοπῆς ἐξέπεσαν αἱ δύω λέξεις, αἱ, *Γένεσις κόσμου*, καθότι καὶ ἡ Γένεσις ἐμπεριέχεται εἰς τὸ Νομοθεσία· ἀλλὰ περὶ τούτου προεί-

---

(α) Πρὸς τὸ τοῦ Ἀριστοβούλου, « ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια καὶ κράτησις τῆς χώρας » ἀντιστοιχεῖ τὸ « ποιῆσαι μεγαλωσύνην καὶ ἐπιφάνειαν, τοῦ ἐκβαλεῖν σε (ὦ θεὲ) ἐκ προσώπου τοῦ λαοῦ σου . . ἔθνη καὶ σκηνώματα » (Β. Βασιλ. ζ, 23)· παράβαλε καὶ τὸ περὶ τῶν Μακκαβαϊκῶν κατορθωμάτων εἰρημένον (ἐν Β. Μακκαβ. β. 21). « Τὰς ἐξ οὐρανοῦ γενομένας ἐπιφανείας τοῖς φιλοτίμως ἀνδραγαθήσασι » (βλ. καὶ Β. Μακ. ιδ, 15: ιε, 27).

(β) « Si credimus Commentarijs, quæ olim ferebantur sub Aristobuli nomine, exstitit olim quædam Pentateuchi versio Græca facta ante LXX viralem etc. Ταῦτα Ὅδιος (l. c. p. 570)· Ἀλλὰ περὶ τούτου καὶ ἐν τοῖς ἑξῆς. Ὡσαύτως καὶ Βοδέριος· «Aristobuli sententiam omnino sequendam censeo, qui, si recte capio ejus verba, solum Pentateuchum ante Alexandri imperium Græce redditum fuisse commemorat» (J. Wower. De Græc. et Latin. Bibl. interpr. Syntagm. c. ix. p. 69). Τοιαῦτα καὶ ἄλλοι καὶ Γαλισῖνος· « Nullum de hoc dubitandi locum esse quin ante Alexandri tempora, et Persarum Imperium, Pentateuchus saltem in Græcum sermonem conversus fuerit ». Galisinus pag. 13. πρβλ. καὶ Walton. Proleg. c. ix. §. 6. pag. 344. Ὁ δὲ σοφὸς Φαβρίκιος καὶ λίαν ἀορίστως καὶ παρατεταμένως τὴν Ἀριστοβούλου ῥῆσιν ἐξέλαβεν, ὡς διαλαμβάνουσαν « περὶ ἑλληνικῆς ἑρμηνείας τῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης (de versione Græca librorum antiqui Fœderis). Fabric. Bibl. Græc. vol. 3. p. 659. Harl.

πομεν (Βιβλ. Β. κεφ. ζ. σελ. 458 καὶ σελ. 10). Καὶ ταῦτα μὲν Ἀριστόβουλος μαρτυρεῖ.

§. β. Ὁ δὲ κλεινὸς Ὅδιος *ἄκρατον πλάσμα* διεκήρυξε ταύτην τὴν πρὸ τῶν Ο ἑρμηνείαν, ὑπ᾽ αὐτοῦ τάχα πλασθὲν τοῦ Ἀριστοβούλου, ὅπως ἂν καταστῇ πιθανὸν, ὅτι ἄρα ὅ,τε Πλάτων καὶ οἱ λοιποὶ τῆς Ἑλλάδος ἀρχαῖοι φιλόσοφοι ἠρύσαντό τινα τῶν αὐτοῖς ἀρεσκόντων ἐκ τῆς Μωσέως νομοθεσίας. Καὶ τοῦτο πρᾶγμα βέβαιον καὶ πάμπαν ἀναντίῤῥητον Ὅδιος φρονεῖ (σελ. 570). Συνυποκρέκει δὲ καὶ Βανδάλης (α), βαμβαλίζων καὶ ὧδε συνήθως, καὶ κατακρίνων νοθείας οὐ μόνον τὸν Ἀριστόβουλον, ὡς πρόσωπον ὑποβολιμαῖον, (ὅ καὶ Ὅδιος ὁ πολὺς, καὶ ὁ κλεινὸς Ἐϊχόρνιος ἐσφάλη), ἀλλὰ καὶ αὐτὴν τὴν ἱερὰν βίβλον τῆς Β τῶν Μακαβαίων, ἐν ᾗ μνημονεύεται ὁ Ἀριστόβουλος (βλ. Βιβλ. Α. κεφ. ιβ. σελ. 432). Ὁ δὲ περικλεὴς Οὐαλκενῆρος ἀποδεχόμενος τὸν Ἀριστόβουλον ὡς πρόσωπον ἱστορικὸν, εἰς αὐτὸν ἀποῤῥίπτει τὸ πλάσμα τῆς ἑρμηνείας (βλ. ὄπισθ. Βιβλ. Β. σελ 458). Καὶ πολὺ δὲ πρὸ τούτων ὅ,τε Βάλτων (β), καὶ Σιμώνιος (γ), καὶ Ἐγγελβάχιος (δ), καὶ Βεσσελίγγιος (ε), καὶ Πείπφερος (ζ), καὶ Νικολάϊς (η), καὶ Οὔγος (θ)

(α) Van Dale, Dissert. super Aristea de LXX. c. 25 καὶ 28.

(β) Walt. Prolog. ix. §. 6. p. 344. — (γ) Hist. Critic. V. Test. L. II. c. 2. pag. 8. — (δ) Engelbach, Dissert. de version. Græca LXX virali antiquiore. Witteberg. 1706. — (ε) Wesseling, Lectio publica etc. ad calc. Valcken. de Aristob. p. 132. — (ζ) Pfeifferi not. in Fabric. Bib. Gr. T. 3. 659. — (η) Niccolai, Dissertat. e Lezioni etc. vol. 1. p. 40, 143. — (θ) Ἰδοὺ οἱ λόγοι τοῦ Οὔγου. «Qui, quæso, Alexandria ante Alexandrum; et Græca versio in Aegypto ante Græcorum dominationem extitisse dicatur? Quidni addit, ante Persarum Imperium: ante Cyrum; vel saltem ante Darium Histaspis filium? Quem in usum, dum nullæ adhuc Judaicæ societates inter Græcos extarent?» Qua fide Aristobulus; quo majorum testimonio hæc dicta confirmaret? (Hug, De Pentateuchi version. Alexandrin. Commentat. pag. 16). Ἀλλ᾽ ὁ Ἀριστόβουλος (ἀπαντῶμεν) οὐκ εἶπεν ἐν Ἀλεξανδρείᾳ γενέσθαι ταύτην τὴν προτέραν ἑρμηνείαν. Τί βούλεται λοιπὸν ὁ σοφὸς Οὔγος λέγων Ἀλεξάνδρειαν πρὸ τοῦ Ἀλεξάνδρου; Ὅτι δὲ ἠδύνατο καὶ πρὸ τῆς Ἑλλήνων ἐν Αἰγύπτῳ ἐπικρατήσεως ὑπάρχειν ἑρμηνεία τις χωρίων τινῶν τῆς Πεντατεύχου,

καθ' ἡμᾶς, ὥπερ ἔοικε συνᾴδειν ἠρέμα καὶ Ἔρψης (α), καὶ εἴτις ἕτερος. Ὁ δὲ κλεινὸς Τύξην ἰδιότροπος πανταχοῦ βουλόμενος εἶναι, τοιοῦτος ἐφάνη καὶ ὧδε, καὶ μεθ' ὑπερβολῆς· τὴν γὰρ ἀνωτέρω περικοπὴν τοῦ Ἀριστοβούλου ἐξήγησεν, ὅτι τάχα σημαίνει τὴν, ἥν εἶπέ τις ῥαββῖνος ταλμουδὸς, ἐπὶ τοῦ Φιλαδέλφου γενομένην ὑπὸ πέντε γερόντων ἑρμηνείαν τῆς Πεντατεύχου (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ε. §. η). Ἐπειδὴ δέ (φησιν) οὐκ ἠγάπησε τούτοις ὁ Φιλάδελφος, ἐπέταξε καὶ δεύτερον ὅλον τὸν κώδηκα τῶν ἑβραϊκῶν Γραφῶν ὑπὸ Ο, ἀνδρῶν ἐξελληνισθῆναι» (β). Ταῦτα τὰ Τυξήνεια βλέπων, ἀναγνῶστα, πάντως ἀπορήσεις, πότερον ἆρα αὐτὸς ὁ Τύξην οὐκ εἶδεν, ἢ τοὺς αὐτοῦ ἀναγνώστας ὑπελάμβανε μηδέποτ' ἂν ὀψομένους, ἢ μὴ νοήσοντας τὰ τοῦ Ἀριστοβούλου ἐκεῖνα, ὅτι Διηρμήνευτο πρὸ τοῦ Φαληρέως (καὶ ἑπομένως καὶ πρὸ τοῦ Φιλαδέλφου), καὶ (τὸ μεῖζον) πρὸ τῆς Ἀλεξάνδρου κατὰ Περσῶν ἐπικρατήσεως; Τὸν δὲ σοφὸν Ἀρχιραββῖνον Φράγκελον παραλείπομεν. Εἴδομεν αὐτὸν ἐν τοῖς προηγουμένοις (Βιβλ. Β. σελ. 460) πόσον ἐματαίασε, κόκκους ἄμμου συσσωρεύων, καὶ συγκολλῶν χωρὶς ἀσβέστου, καὶ κτίζων ἐπ' αὐτῶν φαντασίας παίγνια. Οἱ γοῦν λοιποὶ τῶν κριτικῶν λόγους τῆς αὐτῶν δοξασίας ἐπιφέρουσι κυριωτέρους τοὺς ἐφεξῆς.

οὐκ ἂν ἀμφέβαλλεν ὁ κλεινὸς Οὖγος, εἴπερ ἐμέμνητο, ὅτι καὶ Ἕλληνες ἐπεχωρίαζον κατὰ τὴν Αἴγυπτον ἔτι ἐπὶ Ψαμμητίχου, καὶ ἐπὶ Ἀμάσιος βασιλεύοντος (Ἡρόδ.), καὶ Ἰουδαῖοι παρῴκουν, οἱ μὲν ἐπὶ Ψαμμητίχου σταλέντες, οἱ δὲ καὶ ἐκ τῆς Βαβυλῶνος ἐπεισελθόντες σὺν τῷ Πέρσῃ (τῷ Καμβύσῃ), ὡς ἱστόρησεν Ἑκαταῖος (Ἰώσηπ. κατ' Ἀπίων. Α. §. 22. πρβλ. καὶ ὄπισθ. Βιβλ. Α. κεφ. ιε. §. ζ. σελ. 489). Ἐκ δὲ τῆς ἐπιμιξίας πιθανῶς τινες τῶν πανταχοῦ φιλιστορούντων Ἑλλήνων ἔλαβον παρ' Ἰουδαίων καί τινας ἐγγράφους γνώσεις τῆς θρησκευτικῆς αὐτῶν βίβλου, πρὸς χρῆσιν τῆς ἰδίας φιλομαθείας. Ἀπορεῖ ὁ Οὖγος καὶ διὰ τί οὐκ ἔγραψεν ὁ Ἀριστέας πρὸ τῆς Περσῶν, πρὸ τῆς Κύρου, ἢ πρὸ τῆς Δαρείου τοῦ Ὑστάσπου ἐπικρατήσεως· ἀλλ' οὐκ ἂν ἠπόρει, εἴπερ ἀνεγίνωσκεν ὀρθότερον τοὺς Ἀριστέου λόγους «πρὸ τῆς Ἀλεξάνδρου κατὰ Περσῶν ἐπικρατήσεως»· Εἰς ποίας δὲ προγόνων μαρτυρίας ἐφήδραζε τὸν περὶ τῆς ἑρμηνείας λόγον ὁ Ἀριστόβουλος, ὀψόμεθα παρακατιόντες.

(α) Herbst, Einleit. 1. Bd. p. 153. — (β) Tychsen, Tentamen de variis codic. p. 338.

α) Ὅτι, εἴπερ ὑπῆρχέ τις *ἑρμηνεία* πρὸ τῶν Ο, οὐκ ἂν ὁ Φιλάδελφος ἐδαπάνα τοσαῦτα πρὸς μετάφρασιν τῶν ἑβραϊκῶν Γραφῶν. Οὐδ' ὁ Φαληρεὺς Δημήτριος ἠγνόησε ταύτην τὴν τῶν Ο γεραιτέραν μεταγλώττισιν. Ἐχρῶντο δ' ἂν αὐτῇ καὶ Ἰουδαῖοι οἱ ἑλληνίζοντες κατ' Αἴγυπτον, ὅπου πάντως ἀποκειμένην ἀνέγνω καὶ Πλάτων (ᾗ φησὶν 'Αριστόβουλος). — [Ἀλλ' (ἀπαντῶσιν οἱ ἀντιλέγοντες), οὔτε ἑρμηνεία κυρίως ἦν τοῦτο τὸ ἐκλόγιον, ἢ συμπίλημα τῆς Πεντατεύχου (ὁ δὲ Φιλάδελφος μετὰ τοῦ Φαληρέως ἐφιλοτιμοῦντο περὶ τὴν κτῆσιν αὐτῆς ἐκείνης καὶ *ὅλης* τῆς ἑρμηνείας τῶν ἑβραϊκῶν Γραφῶν, καθάπερ αὐτὸς Ἀριστόβουλος προστίθησιν ἐφεξῆς, λέγων. «Ἡ δὲ *ὅλη* ἑρμηνεία τῶν διὰ τοῦ νόμου πάντων γέγονεν ἐπὶ Φιλαδέλφου» κτλ.)· οὔτε οἱ Ἰουδαῖοι ἠδύναντο χρῆσθαι πρὸς μελέτην τῶν θείων λόγων καὶ προσευχὴν τοιούτῳ δὴ ἀσυναρτήτῳ καὶ τεμαχιστῷ, καὶ πρὸς τούτοις ἀδεσπότῳ, καὶ μηδὲν ἔχοντι κῦρος, κέντρωνί τινι καὶ συμπιλήματι τῆς Μωσαϊκῆς νομοθεσίας. Ὅθεν οὐδ' Ἀριστόβουλος προσέθηκεν, ὅτι καὶ παρ' Ἰουδαίοις ἦν εἰς χρῆσιν τὸ βιβλιάριον. Ὅτι δέ τινα τῶν ἐν αὐτῷ ἡρμηνευμένων ὑπῆρχον καὶ *ἐπισφαλῆ*, μαρτυρήσει μετ' ὀλίγον ὁ Ἀριστέας].

β) Λέγουσιν, ὅτι οὔτε 'Αριστέας, οὔθ' ὁ παρ' αὐτῷ Δημήτριος ὁ Φαληρεὺς (ἐν οἷς ἔγραψε πρὸς τὸν Φιλάδελφον), ἠπίσταντο προτέραν ἄλλην πρὸ τῆς τῶν Ο, γενομένην ἑρμηνείαν. Πρώτους δὲ πάντων ἑρμηνεῖς ἱστοροῦσι τοὺς Ο. Καὶ Φίλων ὡσαύτως (περὶ βίου Μωσέως β.), καὶ Ἰώσηπος, συνιστορῶν καὶ οὗτος μετ' Ἀριστέου, ὅτι «οὐδεὶς ἐπεβάλετο τῶν ἱστορικῶν, ἢ ποιητῶν ἐπιμνησθῆναι (τῆς Μωσέως νομοθεσίας)»· καὶ ὅτι «τῶν ἐπιβαλομένων τινὲς ἀπέστησαν τῆς ἐπιβολῆς, πληγέντες ὑπὸ θεοῦ, ὡς Θεόπομπος καὶ Θεοδέκτης» (Ἰώσηπ. Ἀρχ. ιβ. α. καὶ κατὰ Ἀπίων. β). Ἀλλὰ καὶ ὁ ἱερὸς Ἐπιφάνιος, καὶ Χρυσόστομος, καὶ Ἱερώνυμος μετ' ἄλλων Πατέρων πρώτην οἴδασιν ἑρμηνείαν τὴν τῶν Ο. Ὁ δὲ μακάριος Αὐγουστῖνος ἠρνήσατο καὶ ῥητῶς μηδεμίαν μετάφρασιν τῶν ἑβραΐδων Γραφῶν πρὸ τῶν Ο, γενέσθαι, προστιθεὶς καὶ ὅτι οὐδ' ὁ

Πλάτων ἠδυνήθη τὴν ἁγίαν Γραφὴν ἐν Αἰγύπτῳ ἀναγνῶναι, ὡς μήπω κατ' αὐτὸν ἐξελληνισμένην (α)—[Ἀλλ' (ἀπαντῶσιν οἱ ἀντιλέγοντες) καὶ Ἀριστέας καὶ Φίλων καὶ Ἰώσηπος καὶ οἱ ἱεροὶ Πατέρες ἑρμηνείαν λέγοντες, ἐνόουν τελείαν καὶ ἀκριβῆ μετάφρασιν ὅλου τοῦ ἑβραίου κώδηκος, οἵα γέγονε πρώτη τῶν ἄλλων ἁπασῶν ἡ τῶν Ο, καὶ ταύτην πάντως οὐκ εἶδεν ὁ Πλάτων (ἅτε προγενέστερος τούτων τῶν ἑρμηνευτῶν γεγονὼς), ὡς εἶπεν ὀρθῶς ὁ ἱερὸς Αὐγουστῖνος. Ἀλλ' ὅμως ὁ αὐτὸς Πατὴρ ἔγραψε περὶ τοῦ Ὄντος τοῦ παρὰ τῷ Πλάτωνι, ὅτι τοῦτο παρέλαβεν ὁ Πλάτων ἐκ τοῦ Μωσέως (βλ. ἐφεξῆς §. ζ). Περὶ δὲ τοῦ Θεοδέκτου καὶ Θεοπόμπου ὀψόμεθα παρακατιόντες (β).

(α) S. August. De Civit. Dei. VIII. c. 11.

(α) Ὁ σοφὸς Οὖγος ὑπέλαβεν, ὅτι καὶ Ἀριστέας, ὡς ἐκ προσώπου (λέγει) Δημητρίου τοῦ Φαληρέως λαλῶν (ψευδεπίγραφον δὲ καὶ Οὖγος τὸν Ἀριστέαν διαπρεσβεύει), ἔγραψεν, ὅτι καὶ πρὸ τῶν Ο προϋπῆρχεν ἑρμηνεία τῶν Γραφῶν. «Λέγει γάρ (φησι) παρατραυλίζων οὗτος ὁ Δημήτριος (ἐν τῇ πρὸς Φιλάδελφον ἐπιστολῇ) σκοτεινά τινα, ταῦτα. « Συμβέβηκε δ' αὐτὰς καὶ ἀμελέστερον, ἢ ἔχει, σεσημάνθαι » (παρ' Ἰωσήπ. Ἀρχ. ΙΒ. β. §. 3). Τοῦτο δὲ τὸ « σεσημάνθαι » (προστίθησιν Οὖγος) ὁ μὲν Φαβρίκιος ἐξέλαβεν ἐπὶ τοῦ γ ε γ ρ ά φ θ α ι, ὡς ἠμελημένως γεγραμμένων παρ' Αἰγυπτίοις τῶν βιβλίων τῆς ἑβραΐδος Γραφῆς. Ἀλλ' ἐμοί (φησι) μᾶλλον ἀρέσκει ἡ ἑτέρα ἐκδοχὴ (ἣν καὶ Βερθόλδης προτετίμηκε. Einleit. 2. Th. §· 157), ὅτι περὶ τῆς ἑλληνικῆς ἑρμηνείας τῶν Γραφῶν ταῦτα λέγει ὁ Ἀριστέας, ὡς μήπω μετὰ τῆς δεούσης ἐπιμελείας ἡρμηνευμένων ». Τοιαῦτα Οὖγος (l. c. p. 16) «Ἀλλ' ὅτι μὲν Ἀριστέας ἠπίστατο τὴν προγενεστέραν ταύτην ἑρμηνείαν, αὐτὸς ἡμῖν ἐρεῖ παρακατιών. Ὁ δὲ παρ' αὐτῷ Δημήτριος μήτε σκότια καὶ ζοφώδη, μήτε παρατραυλίζων ἢ μογιλαλῶν, σαφῆ δὲ πάντα καὶ εὐκρινῆ καὶ τορώτατα διατρανῶν, καὶ ἀρτιστομῶν, λέγει. « Τὰ βιβλία τῆς τῶν Ἰουδαίων νομοθεσίας, χαρακτῆρσιν ἑβραϊκοῖς γεγραμμένα καὶ φωνῇ τῇ ἐθνικῇ, ἐστὶν ἡμῖν ἀσαφῆ· συμβέβηκε δ' αὐτὰ καὶ ἀμελέστερον, ἢ [ὡς] ἔχει σεσημάνθαι » (Ἰωσηπ.) καὶ αὐτὸς Ἀριστέας· « ἀμελέστερον δὲ καὶ οὐχ ὡς ὑπάρχει σ ε σ ή μ α ν τ α ι, καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται» (βλ. καὶ ὄπισθ. Βιβλ. Β. κεφ. δ. σελ. 191 καὶ Βιβλ. Γ. κεφ. β. σελ. 52). Τοῦτο δὲ τὸ σ ε σ ή μ α ν τ α ι ὅτι οὐδὲν ἄλλο δύναται δηλοῦν, εἰμὴ τὸ κ ε χ ά ρ α κ τ α ι, γ έ γ ρ α π τ α ι, πρόδηλον· διότι α), τὸ σ η μ α ί ν ε ι ν οὐδέποτ' οὐδεὶς ἂν εἴποι γνησίως ἑλληνίζων, ὅτι σημαίνει τὰ μ ε τ α φ ρ ά ζ ε ι ν, μ ε θ ε ρ μ η ν ε ύ ε ι ν. Ἔστι γὰρ παρὰ τὸ σ ῆ μ α = χαρακτὴρ, γράμμα, κατὰ τὸ « σ ή μ α τ α γ ρ ά ψ α ς ἐ ν π ί ν α κ ι π τ υ κ τ ῷ» (Ἰλιάδ. ζ. 169). Ὅθεν καὶ ὁ Τίμων ἔγραψε (παρὰ τῷ Σέξτῳ) φ ο ι ν ί κ ι α σ ή-

γ) Λέγουσιν, ὅτι Ἀριστοτέλης (ὡς ἱστορεῖ Κλέαρχος παρ' Ἰωσήπῳ Α. κ. Ἀπίων. §. κϐ) ἐμνημόνευσεν ἑλληνιστοῦ τινος Ἰουδαίου, μεθ' οὗ συνδιαλεγόμενος, ἔμαθε τὰ δόγματα τῶν Ἰουδαίων (Ὅδιος σελ. 572). Εἰ δ' ὑπῆρχον (λέγουσι) πρότερον ἐπὶ Πλάτωνος προηρμηνευμένα, πρὸς τί λοιπὸν ὁ Ἀριστοτέλης ἐμάνθανεν αὐτὰ παρὰ τοῦ Ἰουδαίου; [Ἀλλ' (ἀπαντῶμεν) οὐδὲν περὶ ἑρμηνείας τῶν

ματα Κάδμου (τὰ γράμματα). Οὕτω καὶ Ἀρχύτας· « δι' ὧν φθόγγων τὰ ὀνόματά τε καὶ [τὰ] ῥήματα τυπούμενα σημαίνεται » (γράφεται). β') Διότι πᾶσα ἡ φράσις οὐδὲν ἕτερον, ἢ τοῦτο λέγει τὸ σύνολον, ὅτι τὰ βιβλία τῶν Ἰουδαίων γέγραπται γράμμασιν Ἰουδαϊκοῖς, καὶ φωνῇ (γλώσσῃ) τῇ κατ' αὐτοὺς ἐθνικῇ (Ἑβραϊκῇ), συμβέβηκε δὲ (τὰ ἐν Αἰγύπτῳ) γεγράφθαι ἀμελέστερον, ἢ ὡς ἔχουσιν ἀκριβῶς καὶ γνησίως ἐν τοῖς αὐθεντικοῖς καὶ πεφροντισμένοις ἀπογράφοις· διὰ τοῦτο δὲ καὶ ἐζήτουν ἐκ τῶν ἐν τοῖς Ἱεροσολύμοις ἀντιγράφων ἀκραιφνῆ γενέσθαι τὴν ἑρμηνείαν (Ἰώσηπ. Ἀρχ. ΙΒ. β. 1—4. Ἀριστέας σελ. V). Καὶ δικαίως ἄρα οὐ μόνον ὁ Φαβρίκιος, ἀλλὰ πολὺ πρὸ τούτου καὶ ὁ Κλέρικος (Art. Critic. III. §. 1, 2), καὶ ἄλλοι ἡρμήνευσαν τὸ σεσημάνθαι διὰ τοῦ γεγράφθαι, κεχαράχθαι (exarari). Ἀλλ' ὁ παλαιὸς τοῦ Ἰωσήπου μεταφραστὴς Ῥουφῖνος (αὐτόθι) ἡρμήνευσε τὸ σεσημάνθαι διὰ τοῦ μεταφράζεσθαι (transferri)· καὶ ἄλλος, διὰ τοῦ σεσημειῶσθαι (notatos esse). Ἐντεῦθεν ἐπήγασαν αἱ ποικίλαι πλάναι καὶ αἱ πολλαὶ κατ' Ἀριστέου καταχραυγαί. Ὁ Μεϊϐόμιος τὸ « ἀμελέστερον σεσημάνθαι » ἐξέλαβεν ἀντὶ τοῦ γεγράφθαι χωρὶς τῶν παρ' Ἑβραίοις εἰθισμένων φωνητικῶν σημείων ἢ στιγμῶν. Ἄλλοι, ἀντὶ διὰ στιγμῶν σεσημειῶσθαι (ὅσοι δηλαδὴ τὰ Μασσοραῖα στίγματα ἀναβιβάζουσιν εἰς τοὺς ἀρχαίους αἰῶνας· βλ. Βιβλ. Γ. κεφ. θ. σελ. 274), τουτέστι, διὰ στιγμῶν μὲν, ἀλλ' ὅμως ἠμελημένως σεσημειῶσθαι· ἄλλοι δὲ, τέλος, ἠσπάσαντο περισσῶς τὸ Ῥουφίνειον ἡρμηνεῦσθαι, μεταπεφράσθαι ἑλληνιστὶ (ἐν ᾧ τἀνάπαλιν ὁ Ἀριστέας βοᾷ, ὅτι τὰ βιβλία ἑρμηνείας προσδεῖται)· Ἐκ τούτων εἰσὶν ὅ,τε Οὗγος, καὶ Βερθόλδης (ὡς προείπομεν), καὶ ἄλλοι παλαιότεροι, ὡς Ὑέτιος (Dem. Ev. Pr. IV. c. 12), καὶ Τύξην (Tychsen, Befreyetes Tentamen p. 21), ἐν δὲ τούτοις καὶ Δεμάγιστρος (p. 537. καὶ 353. βλ. καὶ Fabric. Bibl. Græc. T. 3. p. 659, καὶ Havercam. Not. εἰς Ἰωσήπου Τόμ. Α. σελ. 588). Τούτοις προσετέθη καὶ Οὐαλκενῆρος (de Aristob. Jud. p. 63 καὶ 87), ὅστις τὴν ἀνωτέρω μνημονευθεῖσαν Ἀρχύτου ῥῆσιν τελειοτέραν, ἢ ὡς ἐξέδωκεν ὁ Galei (Opuscul. Mythologic. p. 733. Amstel. 1688) ἐξενεγκὼν, καὶ τὸ τοῦ Ἀριστοβούλου « σεσημάγκαμεν » ὡς τραχύτερον Ἀττικαῖς ἀκοαῖς σημειώσας, ἔπειτα τὰ Ὁμηρικὰ καὶ τὰ Φοινίκεια σήματα ἐπὶ γραμμάτων λεγόμενα ὁ πολὺς Οὐαλκενῆρος παρέβλεψε· διὸ καὶ αὐτὸς τὸ σεσημάνθαι καὶ σεσήμανται ἐπὶ τῆς παρὰ τῷ Ἀριστοβούλῳ παλαιᾶς τοῦ νόμου ἑρμηνείας (de veteri legis versione), εἴτ' ἐπιλαθόμενος, εἴτε καὶ ἑκὼν ἐξέλαβεν, ὡς οὐκ ὤφειλε.

ἑβραϊκῶν Γραφῶν ὁ Κλέαρχος ῥητῶς ἱστορεῖ. Ἴδε κατὰ λέξιν ὅ,τι λέγει· « Οὗτος ὁ ἄνθρωπος (ὁ Ἰουδαῖος) ἐπιξενούμενός τε πολλοῖς, κἀκ τῶν ἄνω τόπων εἰς τοὺς ἐπιθαλαττίους ὑποκαταβαίνων, ἑλληνικὸς ἦν, οὐ τῇ διαλέκτῳ μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ· καὶ τότε διατριβόντων ἡμῶν περὶ τὴν Ἀσίαν, παραβαλὼν εἰς τοὺς αὐτοὺς τόπους, ἐν οἷς ἦμεν, ἐντυγχάνει ἡμῖν τε καί τισιν ἑτέροις τῶν σχολαστικῶν, πειρώμενος αὐτῶν τῆς σοφίας· ὡς δὲ πολλοῖς τῶν ἐν παιδείᾳ συνῳκείωτο, παρεδίδου τι *μᾶλλον ὧν εἶχε* ». Διὸ καὶ Κλήμης ὁ ἱερώτατος εἶπεν ἁπλῶς, ὅτι « Κλέαρχος ὁ περιπατητικὸς εἰδέναι φησί τινα ἰουδαῖον, ὅς Ἀριστοτέλει συνεγένετο » (Στρωμ. α, 223). Καὶ πιθανώτατον μὲν, ὅτι ὁ Ἰουδαῖος παρεδίδου τοῖς περὶ τὸν Ἀριστοτέλην ἀνακοινούμενος ἐν τῇ διαλέξει καί τινας ἐννοίας τῆς Μωσαϊκῆς φιλοσοφίας. Ἀλλὰ μήπως τοῦτ' ἐστὶ ταυτὸν, καὶ ὅτι διηρμήνευεν αὐτοῖς κατὰ λέξιν τὰς θείας βίβλους; Ἔπειτα, ἐπειδή τις Ἰουδαῖος κατὰ *τὴν κάτω Ἀσίαν* διελέγετο πρὸς Ἀριστοτέλην περί τινων θεωρημάτων τῆς θείας Γραφῆς, διὰ τοῦτο οὐκ ἂν ἦσαν ἐν Αἰγύπτῳ ταύτης ἀποσπάσματα ὁπωσδήποτε μεθηρμηνευμένα, οἷς ὁ Πλάτων περιέτυχε; Καὶ τοιαῦτα μὲν καὶ οὕτως ἀντιλεγόμενα τὰ φρονήματα τῶν ψευδοποιούντων τὴν πρὸ τῶν Ο λεγομένην γραφικὴν μετάφρασιν, καὶ νοθιζόντων ἰταμῶς τὴν Ἀριστοβούλου μαρτυρίαν.

§. γ. Ἄλλοι δὲ τῶν νεωτέρων ἄνδρες ἐπίσημοι στέργουσι καὶ τιμῶσι τοὺς Ἀριστοβούλου λόγους ὡς ἀληθεῖς, ἀποδεχόμενοι ποιάν τινα μετάφρασιν ἑλληνικὴν ὀλίγων τινῶν χωρίων τῆς Πεντατεύχου. Τούτων εἰσὶν ὁ κλεινὸς Οὐάσσιος (α), καὶ Βοβέριος, καὶ Βελ-

---

(α) J. Vossij de LXX. c. 6. Ὅπου ὁ σοφὸς Οὐόσσιος ὑποτίθησι τὴν μετάφρασιν γενομένην ἔκ τινος κώδηκος Σαμαρειτικοῖς, ἢ Μωσαϊκοῖς (τοῖς Προεσδραίοις) γράμμασιν ἀμελῶς γεγραμμένου. Καὶ τοῦτο μὲν φαίνεται οὐκ ἀπίθανον ἐξ ὧν ἔγραψεν Ἀριστέας περὶ τῶν ἐν Αἰγύπτῳ ἀ μ ε λ έ σ τ ε ρ ο ν γεγραμμένων ἀντιγράφων, κἂν τε Σαμαρειτικοῖς, κἂν τε καὶ τοῖς ἑβραίοις γράμμασιν ἦσαν κεχαραγμένα (βλ. ὄπισθ. Βιβλ. Γ. κεφ. ια. σελ. 354)· καὶ μάτην Ὅδιος καὶ ὧδε σφαδάζει (σελ. 572). Εἰδὲ καὶ πάσης τῆς Πεντατεύχου τὴν ἑρμηνείαν ταύτην γενέσθαι, καὶ παρὰ τοῖς Ἰουδαίοις εἰς χρῆσιν οὖσαν πρὸ τῶν Ο ὑπέλαβεν ὁ Οὐόσσιος (ὡς

λαρμῖνος, καὶ Σεράριος, καὶ Ποσεβῖνος, ἔτι δὲ καὶ Δανιῆλος ὁ Ὑέτιος, ὁ καὶ μάλιστα πάντων ὀρθῶς ἐξεκριβώσας τῶν Ἀριστοβούλου λόγων τὸν νοῦν (α), μεθ' οὗ καὶ Φραγκίσκος ὁ Λέης, ἢ Λῆς (Lee), ὁ συνεχίσας τὰ τοῦ Γράβου προλεγόμενα εἰς τὴν ἔκδοσιν τοῦ Ἀλεξανδρινοῦ κώδηκος (Τόμ. Β. §. 12), καὶ Κυρτέριος (β), καὶ Λεμοῦνος (γ), καὶ Βάλτυς (δ), καὶ Στανλήϊος (ε), καὶ Σαβατιῆρος (ζ), καὶ Σίμων ὁ Δεμάγιστρος (η), καὶ Μύκκης (θ), καὶ εἴτινες ἄλλοι τῶν νεωτέρων (ι). Καὶ οὗτοι φαίνονται δικαιότερα λέγοντες, οἷς καὶ ἡμεῖς συμφωνοῦμεν, οὐ σμικρὰς οὐδὲ σαθρὰς (ὡς δοκοῦμεν) τῆς γνώμης ταύτης ἀποδείξεις ἔχοντες, τὰς ἑξῆς.

Α) Δημήτριος ὁ Φαληρεὺς παρὰ τῷ Ἀριστέᾳ λέγει πρὸς τὸν Φιλάδελφον βασιλέα κατὰ λέξιν, ὅτι ἤκουσε περὶ τοῦ ἱστορικοῦ Θεοπόμπου, ὅτι ἄρα «μέλλων τινὰ ΤΩΝ ΠΡΟΗΡΜΗΝΕΥΜΕΝΩΝ ΕΠΙΣΦΑΛΕΣΤΕΡΟΝ ἐκ τοῦ νόμου προσιστορεῖν, ταραχὴν λάβοι τῆς διανοίας» (κ). Ἰδοὺ εἰς ποίας τῶν προγενεστέρων μαρτυρίας (ἃς ὁ Οὖγος ἀπῄτει μικρῷ πρότερον) ἐπεστήριζε τὴν ἑαυτοῦ γνώμην ὁ Ἀριστόβουλος, εἰπών, ὅτι «*Διηρμήνευτο καὶ πρὸ Δημητρίου τοῦ Φαληρέως* τινὰ τῆς Μωσαϊκῆς Πεντατεύχου». Ὁ δὲ Ὅδιος ἐν

ἔοικε), ταῦτα πάντως οὐ κατὰ τὴν Ἀριστοβούλου γνώμην ἐνόησεν ὁ μέγας ἐκεῖνος κριτικός.

(α) Huet. Dem. IV. c. 12. — (β) Curterij, Præfat. in Procopij. Comm. in Esai. — (γ) Le Moyne, Varia Sacr. T. 2. p. 1120. — (δ) Baltus, Defense des SS. Peres accusèz de Platonisme L. III. ch. 23. Paris, 1711. — (ε) Stanlei. Hist. Philos. p. 666. — (ζ) Sabatier, præf. in Bibl. P. 1. — (η) Sim. de Magistris, Apolog. sentent. Patrum de LXX virali version. p. 537. — (θ) Mücke, Exercit. de origin. vers. LXX. p. 9.

(ι) Ὁ δὲ σοφὸς Ἰάννης ἵσταται ἐν μεταιχμίῳ τῶν δύω γνωμῶν, ὡς ἀδιάφορος καὶ ψυχρὸς θεωρός. «Εἴποτέ (φησιν) ὑπῆρξε καὶ ἄλλη τις ἑρμηνεία ἀρχαιοτέρα τῶν Ο (ὡς Ἀριστόβουλος καὶ μετ' αὐτὸν πολλοὶ διατείνονται συγγραφεῖς, καὶ παλαιότεροι καὶ νεώτεροι), οὐδόλως ἡμῖν διαφέρει· οὐδὲν γὰρ ἔχομεν λείψανον αὐτῆς» (Jahn, Einleit. 1. Bd. p. 155). Τὸν δὲ Reiman. (Hist. Theolog. Judaic. c. 7), καὶ τὸν Reinhard (De vers. Alexandr. p. 19) παρορῶμεν, ἀμφιταλαντευομένους καὶ ἐνδοιάζοντας. Ὀλίγον πιθανὰ καὶ Καπέλλιος ἔκρινε (Crit. Sacr. L. IV. c. 1. pag. 212. βλ. ἔμπρ. σελ. 22).

(κ) Ἐκδ. Hody p. XXXV. βλ. καὶ ὄπισθ· Βιβλ. Β. σελ. 459.

μὲν τῷ κειμένῳ τῆς αὐτοῦ συγγραφῆς (σελ. 570) ἔγραψε ταῦτα· «*Ἕστηκε βέβαιον* (constat), ὅτι οὐ μόνον *πᾶσι τοῖς ἱεροῖς πατράσιν*, *ἀλλὰ καὶ Ἰωσήπῳ καὶ τῷ Φίλωνι καὶ αὐτῷ τῷ ψευδαριστέᾳ* ἄγνωστός ὑπῆρχε τοιαύτη τις ἑρμηνεία». Μετέπειτα δὲ φρονήσας ὀρθότερον, ὡς ἐποιεῖτο τῶν σφαλμάτων τὰς διορθώσεις, ἔν τινι τούτων ἐσχατιᾷ, τὰ μὲν ἀνωτέρω περὶ τοῦ Ἰωσήπου καὶ τῶν Πατέρων καὶ τοῦ Φίλωνος καὶ τοῦ ψευδαριστέου γεγραμμένα ἐν τῷ κειμένῳ ἐξαλείφειν κελεύει (dele). ἀντὶ δὲ τούτων ἐσημείωσε τὰ ἀνωτέρω τοῦ Δημητρίου «*τινὰ τῶν προηρμηνευμένων ἐπισφαλέστερον* κτλ.» Ἀλλ' ἐσφάλη πάλιν ἐν τούτοις, παρὰ πόδας ἀντεπαγαγὼν, ὅτι «καὶ ταῦτα γέγραφεν Ἀριστέας, ὅπως ἂν ὁ περὶ τοῦ Θεοπόμπου καὶ Θεοδέκτου μῦθος, ὃν διηγεῖται, πιθανώτερος δόξῃ»! Διὰ τί δὲ καὶ τὰ πρότερον ἔκρινεν ἐξαλειπτέα, οὐδένα λόγον προσέθηκεν· ἡμεῖς δὲ κρίνομεν ἐξεταστέον τὸ πρᾶγμα πρὸς ἔλεγχον τῆς ἀληθείας. Περὶ μὲν οὖν τῶν Πατέρων ὀψόμεθα παρακατιόντες· ὁ δὲ Φίλων οὐδὲν περὶ τοῦ πράγματος λέγει. Ὅγε μὴν Ἰώσηπος συνοψίζων τὸν Ἀριστέαν, προστίθησι καὶ τὰ περὶ Θεοπόμπου καὶ Θεοδέκτου (Ἀρχ. ΙΒ, β. §. 13)· φανερὸν δὲ, ὅτι ὁ Ἰουδαῖος ἀρχαιολόγος Ἕλληνας ἐφρόνει τούτους τοὺς ἐπιχειρήσαντας βεβηλῶσαί τινα τῶν θείων Γραφῶν *ἐκ τῶν ἑλληνιστὶ προηρμηνευμένων* (πλὴν εἰ μήπου ὁ σοφὸς Ἀρχιδιάκονος ἑβραϊστάς τινας καὶ τῆς γλώσσης τοῦ Μωσέως ἐπιστήμονας ἐξέλαβε τὸν Θεόπομπον καὶ τὸν Θεοδέκτην!). Ὀδίῳ δὲ καὶ ὁ κλεινὸς Βεσσελίγγιος πιστεύσας (ὃν ἐν ἄλλοις δικαίως εὐθύνει), καὶ μόνον (ὡς ἐδόκει) τὸ κείμενον τῆς αὐτοῦ συγγραφῆς ἀναγνοὺς, τῇ δὲ διορθώσει μηδόλως προσχὼν, ἀπεφήνατο καὶ οὗτος· ὅτι «τῆς πρὸ τῶν Ο παλαιᾶς ἑρμηνείας τῶν Μωσέως βίβλων *οὐδεὶς ἐμνημόνευσε*, πλὴν τοῦ Ἀριστοβούλου. Εἰ δὲ καί τινες ἐπεμνήσθησαν, ἀλλὰ πάντες ἐκ τῆς *θολερᾶς ταύτης ἠρύσαντο πηγῆς*» (α). Ἀλλὰ τοὺς μὲν περὶ τὸν Ὄδιον καταλείπομεν κεχολωμένους κατ' Ἀριστέου τε καὶ Ἀριστοβούλου, καὶ

(α) Wesseling l. c. p. 132.

μονονοὺ παρῳδοῦντας κατ' αὐτῶν ἐκείνην τὴν ἀράν· «ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ *γνησίων συγγραφέων* μὴ γραφήτωσαν»! Ἐκ δὲ τῶν παρ' Ἰωσήπῳ καὶ Ἀριστέᾳ λόγων τοῦ Φαληρέως ἀνακύπτουσι καὶ ἄλλοι μάρτυρες Ἕλληνες.

Β.) Αὐτὸς ὁ ἱστορικὸς Θεόπομπος καὶ ὁ τραγῳδοποιὸς Θεοδέκτης (ἀμφότεροι μικρῷ τοῦ Πλάτωνος νεώτεροι), οἵτινες, ἐπειδὴ ἔμελλόν τινα τῶν *ἐπισφαλῶς προηρμηνευμένων* τῆς Γραφῆς, ὁ μὲν *προσιστορεῖν* (ὁ Θεόπομπος), ὁ δὲ Θεοδέκτης *παραφέρειν πρός τι δρᾶμα*, ἐκεῖνος μὲν *ἐταράχθη τὴν διάνοιαν*, ὁ δὲ Θεοδέκτης τὰς ὄψεις *ἀπεγλαυκώθη*. Ἀμελοῦμεν, ὡς ἀδιάφορον ὄν, εἴτε τάχα *διὰ τοῦτο*, εἴτε καὶ δι' ἄλλην συμπεσοῦσαν τυχαίαν αἰτίαν, εἴτε καὶ ὅλως κατὰ ψευδοφημίαν ἔπαθον οἱ δύω οὗτοι τὰς θεηλάτους συμφορὰς, ἃς ἔλεγεν ὁ Φαληρεὺς ὅτι ἤκουσεν ἐκ φήμης περιθρυλλουμένας (βλ. ὄπισθ. Βιβλ. Α. κεφ. κ. σελ. 586). Ἡ προκαταρκτικὴ τοῦ θρυλλήματος αἰτία μένει ἔμπεδος καὶ ἀσφαλὴς, ὅτι δηλαδὴ ὑπῆρχον καὶ ἐπὶ Θεοπόμπου καὶ ἐπὶ Θεοδέκτου τινὰ τῶν τῆς ἑβραϊκῆς νομοθεσίας πρὸ τοῦ Φαληρέως ὁπωσδήποτε *προηρμηνευμένα*.

Γ.) Ὁ μόλις ἑκατὸν ἐνιαυτοῖς μετὰ τὸν Φαληρέα ἐν Ἀλεξανδρείᾳ ἀκμάσας Ἀριστόβουλος ἀκριβῶς ἠπίστατο, καὶ μαρτυρεῖ βεβαίως τὸ πρᾶγμα, «*φανερὸν*» ὀνομάζων. Οὐδ' ἂν ἐτόλμησεν ἢ αὐτὸς πλάσαι, ἢ καὶ παρ' ἄλλων πεπλασμένην τοιαύτην ἑρμηνείαν ἀνενεγκεῖν πρὸς τὸν Φιλομήτορα Πτολεμαῖον (ᾧ προσεφώνει τὰς ἐξηγήσεις), καὶ τοὺς περὶ αὐτὸν πεπαιδευμένους Ἕλληνας, καὶ μάλιστα πρὸς τοὺς ὁμογενεῖς ἑλληνιστὰς Ἰουδαίους, ἀνύπαρκτον πρὸ τοῦ Φαληρέως μετάφρασιν τινῶν χωρίων τῆς Πεντατεύχου διαθρυλλῶν, ἵνα πάντως καταγέλαστος ψευδοκόπος ἐξελεγχθῇ (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 388). Ἔπειτα τί τὸν Ἀριστόβουλον ἠνάγκασε τοιαύτης ὀνειρώδους ἑρμηνείας οὕτως ἀνενδοιάστως καὶ πεποιθότως ἐπιμνησθῆναι; «ὅπως (λέγουσιν οἱ περὶ τὸν Ὅδιον) ἀποδείξῃ καὶ τὸν Πλάτωνα καὶ τοὺς ἄλλους Ἕλληνας πολλὰ τῶν κατ' αὐτοὺς δογμάτων ἐκ τῶν Μωσαϊκῶν γραφῶν δεδανεισμένους».—Ἰδοὺ δή!

καὶ μήπως ὁ Ἀριστόβουλος οὐκ ἠδύνατο ταῦτα λέγειν καὶ γράφειν (καὶ ἐξ αὐτῶν ἀποδεικνύναι τῶν Πλάτωνος συγγραφῶν), καὶ χωρὶς τῆς τοιαύτης ψευδερμηνείας; Πολλὰ γὰρ τῆς ἑβραίων φιλοσοφίας ἠδύνατο μαθεῖν ὁ Πλάτων ἐν Αἰγύπτῳ διατρίβων, ἐξ ἀκοῆς ἀνέκαθεν παραδεδομένα («δι' ἃ καὶ οἱ Αἰγυπτίων καθηγεμόνες ἱερεῖς, ἐγκεκυφότες εἰς πολλὰ, καὶ μετεσχηκότες πραγμάτων, *ἀνθρώπους Θεοῦ* προσωνόμαζον τοὺς ἑβραίους» ὡς ἔλεγεν ὁ ἀρχιερεὺς Ἐλεάζαρος πρὸς τὸν Ἀριστέαν, σελ. 17). Τοιοῦτό τι καὶ περὶ τοῦ Πυθαγόρου φαίνεται φρονῶν ὅδ' αὐτὸς ὁ Ἀριστόβουλος· οὐ γὰρ καὶ τοῦτον εἰσάγει τοῖς πρὸ τοῦ Φαληρέως ἡρμηνευμένοις χωρίοις τῆς Γραφῆς περιτυχόντα (α). Καὶ τὴν *περιπατητικὴν δὲ φιλοσοφίαν*

(α) Ἰδοὺ οἱ λόγοι τοῦ Ἀριστοβούλου. «Φανερὸν, ὅτι κατηκολούθηκεν ὁ Πλάτων τῇ καθ' ἡμᾶς Νομοθεσίᾳ, καὶ φανερός ἐστι περιειργασμένος ἕκαστα τῶν ἐν αὐτῇ λεγομένων. Διηρμήνευτο γὰρ πρὸ Δημητρίου τοῦ Φαληρέως δι' ἑτέρων . . . Ὥστε εὔδηλον εἶναι τὸν προειρημένον φιλόσοφον εἰληφέναι πολλά· γέγονε γὰρ πολυμαθής. Καθὼς καὶ Πυθαγόρας πολλὰ τῶν παρ' ἡμῖν μετενέγκας εἰς τὴν ἑαυτοῦ δογματοποιΐαν κατεχώρισε» (παρ' Εὐσεβ.). Ἐν τούτοις ὁ Ἀριστόβουλος μόνον τὸν Πλάτωνα κατὰ λέξιν λέγει περιειργασμένον ἕκαστα τῶν ἐν τῇ Νομοθεσίᾳ λεγομένων. Τὸν δὲ Πυθαγόραν διαστέλλων, ἔγραψε μόνον ἁπλῶς, ὅτι πολλὰ τῶν παρὰ τοῖς ἑβραίοις εἰς τὴν ἑαυτοῦ δογματοποιΐαν κατεχώρισε. Μαρτυρεῖ δὲ καὶ Κλήμης Ἀριστοβούλῳ, λέγων περὶ τοῦ Πυθαγόρου, ὅτι σφόδρα τῷ Νομοθέτῃ (Μωσεῖ) ὡμίλησε» (Στρωμ. ε, 408)· πολλὰ δηλονότι ἔκ τε τῆς Μωσαϊκῆς, ὡς καὶ τῆς ἄλλης τῆς βαρβάρου φιλοσοφίας ἠρύσατο, διατρίψας παρ' Αἰγυπτίοις (ὧν καὶ τὴν φωνὴν ἐξέμαθε» Λαέρτ. Η, α, 3)· «διὰ δὲ τοὺς Αἰγυπτίων προφήτας καὶ περιετέμετο, ἵνα δὴ καὶ εἰς τὰ ἄδυτα κατελθὼν, τὴν μυστικὴν παρ' Αἰγυπτίων ἐκμάθῃ φιλοσοφίαν. Χαλδαίων τε καὶ Μάγων τοῖς ἀρίστοις συνεγένετο» (Κλήμ. Στρωμ. α, 221). «Ἀλέξανδρος δὲ (ὁ Πολυΐστωρ δήπου) καὶ Ναζαράτῳ τῷ Ἀσσυρίῳ μαθητεῦσαι ἱστορεῖ τὸν Πυθαγόραν. Ἰεζεκιὴλ τοῦτον ἡγοῦνταί τινες, οὐκ ἔστι δέ» (ὡς Πυθαγόρου δηλαδὴ νεώτερος ὁ Προφήτης. Κλήμ. Στρωμ. α, 223). Ὁ δὲ Σελδῆνος μετὰ τοῦ Βιτίσου (Witsii, Aegypt. L. III. c. 13. §. 6) καὶ σύγχρονον τῷ Πυθαγόρᾳ τὸν Ἰεζεκιὴλ ἐπεχείρησεν ἀποδεῖξαι, ὡς ἀκμάσαντας ἀμφοτέρους μεταξὺ τῆς 50 καὶ 52 'Ολυμπιάδος (Selden. de Dijs Syr. II. c. 1. — Huet. Dem. Ev. Pr. IV. c. 2. p. 48). 'Ωριγένης δὲ, ἐκ Διοδώρου τοῦ Ἐρετριέως καὶ Ἀριστοξένου τοῦ Μουσικοῦ, Ζαράταν λέγει τὸν Χαλδαῖον τὸν Ναζαράταν τοῦτον, παρ' ᾧ Πυθαγόρας ἐμαθήτευσε ('Ωριγ. Φιλοσοφούμ. κεφ. β. ἐν Τόμ. α. σελ. 881), καί τινες ὑπέλαβον τοῦτον εἶναι τὸν παρὰ τοῖς Πέρσαις Ζερδοῦστ (τὸν Ζωροάστρην), ἄλλοι δὲ ἀντιλέγουσι (βλ. Tiedemann, Griechen-

ἀπέδειξεν «ἔκ τε τοῦ κατὰ Μωϋσέα νόμου, καὶ τῶν ἄλλων ἠρτῆσθαι προφητῶν» (παρὰ Κλήμεντ. Στρωμ. ε, σελ. 434). Καὶ ὅμως οὐκ ἐδέησεν αὐτῷ καὶ πεπλασμένης ἑρμηνείας, ὅπως ἐξ αὐτῆς μεμυημένον εἰσαγάγῃ καὶ Ζήνωνα, τὸν ἡγεμόνα τῆς Στοᾶς, ὅσα ἐδογμάτιζε καὶ οὗτος συνῳδὰ τοῖς Μωσαϊκοῖς.

Δ.) Ὁ Ἰώσηπος οὐ μόνον ἐν οἷς ἀντέγραψεν ἐκ τοῦ Ἀριστέου (ὡς προείπομεν), ἀλλὰ καὶ ἀλλαχοῦ τὴν περὶ ἧς ὁ λόγος ἑρμηνείαν διεπρέσβευε, λέγων· «Μάλιστα δὲ Πλάτων μεμίμηται τὸν ἡμέτερον νομοθέτην, κἂν τῷ μηδὲν οὕτω παίδευμα προστάττειν τοῖς

lands erste Philosophen p. 236). Ἀλλ' εἰ καὶ μὴ συνεχρόνισεν ἀκριβῶς ὁ Ἰεζεκιὴλ τῷ Πυθαγόρᾳ, προϋπῆρξεν ὅμως πολλοῖς πρότερον ἐνιαυτοῖς ὁ Ἱερεμίας, καὶ ἄλλοι μυρίοι τῶν ἑβραίων, ὅσοι καὶ εἰς Αἴγυπτον καὶ εἰς Βαβυλῶνα συναπήχθησαν καὶ πρότερον μετὰ τῶν δέκα φυλῶν τῶν Ἰσραηλιτῶν, καὶ ὕστερον (ἐπὶ τῆς διπλῆς τοῦ λαοῦ αἰχμαλωσίας, καὶ τὴν Αἴγυπτον καὶ τὴν Χαλδαίαν γῆν τῶν Μωσαϊκῶν ἀνέπλησαν δογμάτων, ἐξ ὧν τινὰ καὶ Πυθαγόρας κατεχώρισεν εἰς τὴν ἑαυτοῦ δογματοποιΐαν. Ἱστόρησε δὲ καὶ Ἕρμιππος ἐν τῷ Α. περὶ Πυθαγόρου βιβλίων, «ὅτι Πυθαγόρας ἔπραττε καὶ ἔλεγε τὰς τῶν Ἰουδαίων καὶ Θρᾳκῶν δόξας μιμούμενος, καὶ μεταφέρων εἰς ἑαυτόν» (παρ' Ἰωσήπ. κατ. Ἀπίων. Α. §. 22)· «πολλὰ γὰρ (προστίθησιν ὁ Ἰώσηπος) τῶν παρ' Ἰουδαίοις νομίμων εἰς τὴν ἑαυτοῦ μετήνεγκε φιλοσοφίαν, ἅπερ εἴς τινας πόλεις διαπεφοιτήκει, καὶ ζήλου ἠξιοῦτο» (αὐτόθ.)· καὶ πάλιν Ὠριγένης (κ. Κέλσ. α. §. 15). «Λέγεται δὲ καὶ Ἕρμιππον ἐν τῇ α, περὶ νομοθετῶν ἱστορηκέναι Πυθαγόραν τὴν ἑαυτοῦ φιλοσοφίαν ἀπὸ Ἰουδαίων εἰς Ἕλληνας ἀγαγεῖν. Τοῦτο τοίνυν καὶ Ἀριστόβουλος συντόμως ἐξέφρασε· λέγει δὲ καὶ Ἰσσέριος (Annal. p. 151), ὅτι πολλὰ τῶν Ἰουδαϊκῶν δογμάτων ἀνέμιξε μετὰ τῆς ἑαυτοῦ φιλοσοφίας ὁ Πυθαγόρας, συνδιατρίψας ἐν Βαβυλῶνι μετὰ τῶν Ἰουδαίων. Τοῦτο συνομολογεῖ καὶ ὁ Γρότιος (De verit. Relig. Christ. I. not.) καὶ Στανλήϊος (Histor. Philosoph. p. 666), καὶ Κυδούδορθος (System. Intel. c. 4), καὶ ἄλλοι, καὶ Νικολάϊς (vol. 1. p. 146)· ὁ δὲ Ἅρλης καί τοι συνομολογῶν ὁμοιότητα τῶν τινων τοῦ Πυθαγόρου δογμάτων πρὸς τὰ Μωσαϊκά, ἔπειτα «κ ρ α τ ί σ τ ῳ δ ι κ α ί ῳ (Jure optimo), καθὰ λέγει ῥητῶς (ἀκούσης ὅμως Θέμιδος), ἀπαρνεῖται μηδεμίαν συνήθειαν τῷ Πυθαγόρᾳ πρὸς τοὺς Ἰουδαίους γενέσθαι (Fabr. Bibl. Gr. T. 1. p. 757. Harl.). Καὶ μάτην ἄρα καὶ Βεσσελίγγιος ὑπέλαβε τὸν Ἀριστέαν, ὅτι δῆθεν συνεισάγει μετὰ τοῦ Πλάτωνος καὶ τὸν Πυθαγόραν ὡς ἀναγνόντα τὴν περὶ ἧς ὁ λόγος Ἑλληνικὴν τῶν Μωσαϊκῶν βίβλων ἑρμηνείαν. Ψυχρὸς δὲ κατεστάλαξε καὶ ἄκαρπος ἱδρὼς ἐκ τοῦ μετώπου κἀκείνου τοῦ θρασυμάχου Βανδάλου, λίαν οἰζυρῶς ταλαιπωρηθέντος, ὅπως καὶ ἐκ τούτων τῶν Ἀριστοβούλου λόγων ἐξελέγξῃ ψευδομένους πάντας ἐπίσης αὐτόν τε τὸν Ἀριστόβουλον, καὶ τὸν Ἰώσηπον, καὶ τὸν Ἕρμιππον αὐτόν (Van Dale l. c. p. 206—213).

πολίταις, ὡς τὸ πάντας ἀκριβῶς τοὺς νόμους ἐκμανθάνειν» (κ. Ἀπίων. Β. §. 36) (α).

Ε) Νουμήνιος, ὁ πυθαγορικὸς φιλόσοφος, «τὴν Πλάτωνος διάνοιαν ἤλεγξεν, ὡς ἐκ τῶν Μωσαϊκῶν βιβλίων τὰ περὶ θεοῦ καὶ κόσμου ἀποσυλήσασαν . . . Τί γάρ ἐστι Πλάτων, ἢ Μωσῆς ἀττικίζων;» (β).

Ϛ) Ὁ μάρτυς καὶ φιλόσοφος Ἰουστῖνος λέγει περὶ τοῦ Πλάτωνος, «ὅτι τὴν περὶ ἑνὸς Θεοῦ Μωϋσέως διδασκαλίαν (τὴν, «*ἐγώ εἰμι ὁ ὢν*») ἐν Αἰγύπτῳ γενόμενος ἔγνω, καὶ ἤκουσε» (Παραινετ. πρὸς τοὺς Ἕλληνας §. 20). Προςίθησι δὲ, ὅτι καὶ «ἐνέτυχε τοῖς Μωσέως (ὁ Πλάτων), καὶ *ἀνέγνω* τὰ γεγραμμένα ῥητά» (γ). Ἐκ δὲ τούτων δῆλός ἐςιν ὁ μάρτυς νομίζων, ὅτι καὶ ἐξ ἀκοῆς τινα τῶν Ἰουδαϊκῶν δογμάτων ὁ Πλάτων παρέλαβε, καὶ τὰ προηρμηνευμένα τῶν Μωσαϊκῶν χωρίων *ἀνέγνω* ἐν Αἰγύπτῳ.

Ζ) Κλήμης ὁ ἱερώτατος τὴν περὶ τῆς παλαιτέρας τῶν Μωσαϊκῶν χωρίων ἑρμηνείας (ἐξ ἧς ἠρύσατο καὶ Πλάτων) περικοπὴν τοῦ

(α) Ὁ Ἰώσηπος (Ἀρχ. ΙΑ. η. §. 5) ἱστόρησεν, ὅτι πρὸς τὸν Ἀλέξανδρον ἀναβάντα εἰς Ἱεροσόλυμα ἐδείχθη τοῦ προφήτου Δανιὴλ ἡ βίβλος, ἐν ᾗ τινα τῶν Ἑλλήνων ἐδήλου μέλλοντα καταλύσειν τὴν Περσῶν ἀρχήν. Ἀλλὰ τοῦτο οὐ συνεισάγει, ὅτι καὶ ἡ βίβλος τοῦ Δανιὴλ ὑπῆρχεν ἐξελληνισμένη (μήπω τῶν Ο φανέντων) ἐπὶ τοῦ Ἀλεξάνδρου (ὡς ὑπέλαβεν ὁ Φερδινάνδος Procem. Thes. Script.)· ἠδύνατο γὰρ ὁ Ἀρχιερεὺς καὶ ἀπὸ στόματος ἑρμηνεῦσαι πρὸς Ἀλέξανδρον τὴν προφητείαν τῆς Ἑβραϊκῆς βίβλου, καὶ τοῦτο πάντως ὁ Ἰώσηπος ἐννοεῖ, λέγων «δειχθῆναι (οὐκ ἀναγνωσθῆναι) αὐτῷ τὴν βίβλον». Μάρτυς δὲ τούτου καὶ ὁ Εὐσέβιος. «Οἱ δὲ γραμματεῖς (φησὶ) τὴν βίβλον τοῦ Δανιὴλ προσκομίσαντες, τὴν προφητείαν αὐτῷ (τῷ Ἀλεξάνδρῳ) διηρμήνευσαν» (Χρονικ. Α. σελ. 65. Scalig. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 114). Ἐπὶ δὲ Πτολεμαίου τοῦ Φιλοπάτορος, βουλομένου πρὸς βίαν εἰς τὰ ἅγια τῶν ἁγίων εἰσελθεῖν, παρανεγνώσθη ὁ νόμος (Γ. Μακ. α, 12) ὁ τοῦτο κωλύων (Λευϊτ. ις)· ἤδη γὰρ ὑπῆρχε πρὸ πολλοῦ ἐκδεδομένη ἡ ἑρμηνεία τῶν Ο.

(β) Ἡσύχ. Ἰλλούστρ. περὶ τῶν ἐν παιδείᾳ διαλαμψάντ. σοφῶν. σελ. 36. Antverp. 1572.

(γ) Ἰουστῖν. Παραινετ. π. Ἕλλην. §. 29. πρβλ. 26, 27.—Ἀπολογ. α. §. 60. καὶ §. 44 (ἔκδ. Venet. 1747), καὶ τὰς ἔν τισι τούτων τῶν χωρίων σημειώσεις τοῦ ἐκδότου.

Ἀριστοβούλου κατὰ λέξιν ἐκτιθεὶς, οὐ μόνον οὐδὲν ἀντέταξεν ἀντειπών, ἀλλὰ καὶ πρὸς ἰσχυροτέραν ἀπόδειξιν ἐπιφέρει τὴν Νουμηνίου τοῦ Πυθαγορικοῦ περιλάλητον γνώμην ἐκείνην· «*Τί γάρ ἐστι Πλάτων, ἢ Μωσῆς ἀττικίζων;*» (Στρωμ. α. σελ. 251. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 155), ἃ καὶ Εὐσέβιος ἐπανέλαβεν (Εὐαγ. Προπαρ. ια, 10. σελ. 309). Ἀλλ᾽ ὁ σοφὸς Ὅδιος, «Οὐκ αἰδοῦμαι» (non vereor) λέγει (ἀληθῆ λέγων· οὐ γὰρ οἶδε τὸ πάθος αἰδῶ!) «οὐκ αἰδοῦμαι διαβεβαιῶσαι περὶ τοῦ Νουμηνίου, ὅτι πεπλάνηται πάντως, εἴπερ ἐνόμιζε τὸν Πλάτωνα τὰ καθ᾽ ἑαυτὸν δανεισάμενον ἐκ τῶν Μωσαϊκῶν βίβλων. Τοιαῦτα (φησὶν) οἱωνδηποτοῦν ἀνθρώπων ἀποφθέγματα ὀλίγον ἰσχύουσι παρ᾽ ἐμοί· δείξεις καὶ παραδείγματα θέλω» (σελ. 571). Κρῖνον ἤδη ἀναγνῶστα, πότερος πεπλάνηται, ὁ παρὰ πάσῃ τῇ ἀρχαιότητι διασημότατος ἐπὶ φιλοσοφίᾳ καὶ ἐλλογιμώτατος *Νουμήνιος* (α), διαβεβαιῶν, ὅ,τι πολὺ πρότερον ἐμαρτύρησε μὲν σαφῶς Ἀριςέας μετὰ Θεοπόμπου καὶ Θεοδέκτου, καὶ τοῦ Ἀριςοβούλου, καὶ Ἰωσήπου, ἐπανέλαβον δὲ καὶ Ἰουστῖνος ὁ μάρτυς, καὶ Κλήμης ὁ σοφώτατος, καὶ Ὠριγένης, καὶ Εὐσέβιος (ὡς ἐροῦμεν εὐθὺς), ἢ ὁ σοβαρὸς κριτικός; ὅστις, ἐν ᾧ θέλει δείξεις χειραπτὰς ψηλαφᾶν, καὶ φιλοτιμεῖται πανταχοῦ τὸ ἀνεξαπάτητον ἀσκεῖν, ἔπειτα μικρὸν ἀνωτέρω διετείνετο, καὶ τὴν κεφαλὴν μονονοὺ περιδιδοὺς, ὡς ἂν περὶ πράγματος ἀραρότως *ἑστηκότος* (constat), ὅτι οὔτε ὁ *Ἰώσηπος, οὔτε τῶν ἱερῶν Πατέρων οὐδεὶς* ἐγνώριζε τὴν ἐπὶ τοῦ Πλάτωνος ἑρμηνείαν τῶν Μωσαϊκῶν! Καὶ ταῦτα μὲν διώρθου· εἴθε δ᾽ ἐξήλειφεν ὡσαύτως καὶ τὰ περὶ τὸν Νουμήνιον πλανήματα!

Η) Ἀλλὰ καὶ Ὠριγένης τῷ διδασκάλῳ Κλήμεντι συμφωνῶν, ἀποφαίνεται τὰ ἑξῆς. «Ἐγὼ δὲ οὐκ ἀπογινώσκω τὰς ἀπὸ τοῦ Φαίδρου λέξεις ὑπό τινων ἑβραίων μεμαθηκότα τὸν Πλάτωνα, ὡς δέ τινες ἀνέγραψαν, *ἔτι καὶ τοῖς προφητικοῖς ἐντυχόντα λόγοις*, ἐκτεθεῖσθαι» (κατὰ Κέλσ. ς. §. 19). Λόγους δὲ προφητικοὺς τοὺς Μωσέως πάντως Ὠριγένης ἐννοεῖ, τοὺς ἑλληνιστὶ προηρμηνευμένους,

(α) Βλ. Ὠριγ. κ. Κέλσ. α. §. 15.— Εὐσέβ. Εὐαγ. Προπ. θ, 7: ια, 10, 17, 21 κτλ.

ὡς εἶπεν Ἀριστέας καὶ Ἀριστόβουλος καὶ οἱ λοιποί. Ὅτι δὲ καὶ ἐξ ἀκοῆς ἄλλα πάλιν ὁ Πλάτων ἔμαθεν ἐν τῇ εἰς Αἴγυπτον ἀποδημίᾳ, συντυχὼν καὶ τοῖς τὰ *Ἰουδαίων φιλοσοφοῦσιν*, ἄλλοι τε καὶ αὐτὸς Ὠριγένης ἔγραψε (κ. Κέλσ. Δ. §.39). Καὶ πιθανώτατα συνέβησαν ἀμφότερα. Λέγομεν περὶ τούτου καὶ ἐν τοῖς ἑξῆς (§. ε.).

Θ) Ἄκουε καὶ τὸν Εὐσέβιον. «Μὴ ἀμφιβάλῃς . . τοὺς τὰ πλεῖστα τῶν ἐθνῶν *περιειργασμένους* Ἕλληνας καὶ τὰ [τῶν] Ἑβραίων μὴ ἀγνοῆσαι, *ἀρχῆθεν ἐπὶ τὴν ἑλλάδα φωνὴν μεταβεβλημένα*» (Εὐαγ. Προπαρ. Ι. η. σελ. 283). Καὶ πάλιν ἔτι σαφέστερον (αὐτ. ια, 9 σελ. 308). «Μωσέως ἐν ταῖς ἱεροφαντίαις χρησμὸν ἐκ προσώπου τοῦ Θεοῦ φήσαντος, «Ἐγώ εἰμι ὁ Ὤν»— θέα, τίνα τρόπον οὐ μόνον τὴν διάνοιαν, ἀλλὰ *καὶ τὰς λέξεις αὐτὰς καὶ τὰ ῥήματα τῆς Ἑβραίων Γραφῆς* παραξέσας ὁ Πλάτων, ἐξοικειοῦται τὸ δόγμα, πλατύτερον ὧδέ πῃ διασαφῶν· «Τί τὸ *ὂν ἀεί*, γένεσιν δὲ οὐκ ἔχον»; κτλ (α). Ταῦτα δὲ πᾶς τις ἀκούων, πῶς ἂν ἀμφιβάλοι, ὅτι καὶ τὰ παρὰ τῷ Ἀριστέᾳ *τινὰ τῶν ἐπισφαλῶς προηρμηνευμένων* ἐμαρτύρει ὁ Εὐσέβιος, κατὰ λέξιν καὶ ταῦτ' ἀντιγράψας (αὐτ. Η, ε, 209), ὡς καὶ τὴν ἀνωτέρω τοῦ Ἀριςοβούλου περικοπὴν, ἣν καὶ αὐτὸς, ὡς ὁ Κλήμης, εἰς πλάτος μετέγραψεν; (αὐτ. ΙΓ. 13. σελ. 388). Ἐκ τοῦ Ἀριστοβούλου πάντως ἔλαβε καὶ τὴν λέξιν τὴν *περιεργασμένους* (βλ. ὄπισθ. σελ. 15) (β). Ἀλλὰ καὶ ὁ ἱερὸς Ἀμβρόσιος ἔγραψε τὸν Πλάτωνα εἰς

(α) Οὐδὲ ταῦτα τὰ περὶ τοῦ Ὄντος, οὕτω λαμπρῶς καὶ ἀναντιῤῥήτως κατὰ λέξιν καὶ διάνοιαν παρὰ τῷ Πλάτωνι Μωσαΐζοντα, ἐκίνησαν τὸν Ὄδιον! Τί δὲ λέγει περὶ τῶν τοιούτων; «Ἐνὶ λόγῳ (φησὶν) ἀπαντῶ. Οὐδὲ ῥημάτιον γοῦν ἐξ αὐτῆς τῆς Γραφῆς μετέλαβον οἱ παλαιοὶ ἐκεῖνοι φιλόσοφοι». (σελ. 570). Οὕτως, ἀναγνῶστα, βραχυλόγος ὁ Φοῖβος· «ἕν τι ματεύει σοφόν»! ἕνα λόγον καὶ καλόν!

(β) Περὶ τῶν ἱερῶν Πατέρων, ὅσοι τὸν Πλάτωνα δεικνύουσιν, εἴτ' ἐκ τῶν Γραφῶν, εἴτε καὶ παρ' Ἰουδαίων ἁπλῶς ἀποδρεψάμενον τὰ σεμνότερα τῶν κατ' αὐτὸν δογμάτων διέλαβεν ὁ Μενάγιος (**Menagius in Laert. III. seg. 6. p. 159—160**), καὶ **Coqueus (Comment. in S. August. De Civit. Dei L. VIII. c. 11. p. 769. Francof. 1661)**. Συμφωνοῦσι καὶ **Marsham (Canon Chron. p.151)**, καὶ **Witsius (Agypt. p. 275)**, καὶ **Baltus (Defense etc. L. IV. ch.17)**, καὶ **Dacier** (προλεγομ. ἐν τῇ ὑπ' αὐτοῦ Γαλλικῇ μεταφρ. τοῦ Πλάτωνος σελ. 95, 190), καὶ ἄλλοι, καὶ Νικο-

Αἴγυπτον παιδείας χάριν ἀφικόμενον, καὶ ὅτι «τοὺς Μωσέως ἔγνω χρησμοὺς, καὶ τοὺς λόγους (προστίθησι) τῶν προφητῶν» (α). Τὰ δὲ Κυρίλλου τε τοῦ Ἀλεξανδρείας καὶ Θεοδωρήτου λέγομεν ἐν τοῖς ἑξῆς (§. ε.).

Ι) Τελευταῖον (ἵνα καὶ ἄλλους παραλίπωμεν), καὶ ἐξ αὐτῶν τῶν Ἰουδαίων ὁ Ῥαββὶς Ἀζαρίας ἀποδέχεται, καὶ περὶ πλείστου ποιεῖται τὴν Ἀριστοβούλου περὶ τῆς παλαιᾶς ἑρμηνείας μαρτυρίαν (β).

Ἱκανοῦσι ταῦτα τὰ μαρτύρια τῶν ἀρχαίων σοφῶν, οἷς εἴδομεν ἀνωτέρω (σελ. 12) καὶ πολλοὺς καὶ ἐπισήμους τῶν νεωτέρων συνομολογοῦντας.

§. δ. Καὶ τοίνυν συμπεραίνομεν ἐκ τῶν προεκτεθέντων τὰ ἑξῆς.

Α) Ὅτι πρὸ τῆς Ἀλεξάνδρου κατὰ Περσῶν ἀναβάσεως ὑπῆρχε μία τις ἑλληνικὴ ἑρμηνεία μερῶν τινων τῆς Πεντατεύχου, μεταξὺ τῶν Πυθαγόρου καὶ τοῦ Πλάτωνος χρόνων ὑπό τινων ἀγνώστων ἐν Αἰγύπτῳ συμπεπιλημένη.

Β) Ὅτι ἡ τοιαύτη ἑρμηνεία ὑπῆρχεν ἔν τισι χωρίοις *ἐπισφαλέστερον* καὶ οὐκ ἐπ' ἀκριβὲς ἡρμηνευμένη (ὡς πονηθεῖσα πάντως ὑπό τινων ἑλληνιστῶν, ἢ ἑβραϊστῶν, ὁπωσδήποτ' ἀμαθεστέρων, καὶ περὶ τὴν μετάφρασιν ἐνίοτε σφαλλομένων), καὶ τὸ πλεῖστον, ἴσως, χάριν τῆς περιεργείας τῶν εἰς Αἴγυπτον καταιρόντων σοφωτέρων Ἑλλήνων συνωψισμένη. Ὅθεν οὐδ' εἰς δημοσίαν ἠδύνατο φέρεσθαι χρῆσιν παρ' Ἰουδαίοις, ἅτε δὴ καὶ *ἐπισφαλὴς* καὶ *ἀτελής* (γ). Καὶ ἐπλα-

---

λάϊς (vol. i. p. 150). Οἱ δὲ περὶ τὸν Ἄρλην, ὡς φίλον αὐτοῖς, ὀδιάζουσι καὶ Βανδαλίζουσι. βλ. Fabric. Bibl. Græc. vol. 3. p. 150. Harl. Ὁ δὲ νεώτατος τοῦ Πλάτωνος Γάλλος μεταφραστὴς Κουσῖνος ἀπαρνεῖται μὲν ὅτι ὁ Πλάτων εἶδεν ἐν Αἰγύπτῳ τὰ Μωσέως καὶ τῶν Προφητῶν, ἀλλ' ὅμως οὐκ ἀπαρνεῖται πάλιν, ὅτι μεταξὺ τῶν μεγάλων διαφορῶν ἐνυπάρχει καὶ πραγματικὴ ἀναφορὰ τῶν Πλατωνικῶν δογμάτων πρὸς τὰ Μωσαϊκά. βλ. Oevres de Platon trad. par Victor Cousin T. 6. p. 434. Paris, 1831. — (α) S. Ambros. Serm. 18. in Psal. 118.

(β) R. Azaria, apud Buxtorf. de punctor. antiquitat. p. 131. πρβλ. καὶ Vockerodt, Exercit. de notitia divinar. Scriptur. apud Gentiles. p. 249. Jenæ, 1689.

(γ) Συνεῖδε τοῦτο καὶ Μύκκης ὁ καλός· λέγει γάρ. «Neque tamen existimandum videtur versiones, si quæ fuerunt ante Ptolemæum Philadelfum,

νήθησαν ἄρα οἱ περὶ τὸν Δεμάγιστρον, ἄγαν παραδόξως ὑπολαβόντες, ὅτι ἐκ ταύτης δὴ τῆς μεταφράσεως καὶ αὐτοὶ οἱ Ο *πολὺ φῶς ἀνιμήσαντο* πρὸς διασάφησιν τῆς κατ' αὐτοὺς ἑρμηνείας τῆς Πεντατεύχου (α).

Γ) Ὅτι ἡ ἑρμηνεία αὕτη ὑπῆρχε μία, περιέχουσα τὰ παρὰ τῷ Ἀριστοβούλῳ κατωνομασμένα ἀποσπάσματα τῆς Πεντατεύχου. Καὶ ἐπλανήθησαν ἄρα ὅσοι λαβόντες ἐκ τούτου τὴν ἀφορμὴν, ἔπλασαν πολλὰς πρὸ τῶν Ο, καὶ ποικίλας ἑλληνικὰς τῆς Γραφῆς ἑρμηνείας, οἷα μάλιστα διεδογμάτισαν οἱ περὶ τὸν Βάλτερον (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 10), καὶ τὸν Γράβιον (βλ. Βιβλ. Γ. σελ. 235), καὶ τὸν Στρόθιον (β)· οἵ γε μὴ ἀρκεσθέντες εἰς ἣν μίαν καὶ μόνην Ἀριστόβουλος σαφῶς διαγράφει, πολλῷ πλείονας παρεφύτευσαν, ὡς λοχμώσας παραφυάδας, *πολλὰ ποιοῦντες τὸ ἕν!* Καὶ φέρουσι πρὸς δεῖξιν τοῦ φαντάσματος (τίς ἂν προσεδόκησεν;) ὅσας Ὠριγένης ἔταξεν ἐν τοῖς Ἑξαπλοῖς, πολλῷ τῆς τῶν Ο νεωτέρας, καὶ μ. Χ. γενομένας (οἷον τὴν Ε, καὶ τὴν Ϛ. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 85), προστιθέντες (τὸ παραδοξότατον) κἀκείνην τὴν ἐν τῇ Μαρκιανῇ

---

fuisse integras quæ exhiberent totum cod. Hebraicum; aut publicas, in Synagogis publice lectas; sed privatas, atque paucis tantummodo cognitas» (Mücke l. c. p. 11).

(α) Sim. Demagistr. Apolog. in Δανιὴλ κατὰ τοὺς Ο, pag. 353. Καὶ ὅμως αὐτὸς ὁ Δεμάγιστρος ἐπιλαθόμενος, εἶπεν ἔπειτα τἀναντία. Ἐκλαβὼν γὰρ καὶ αὐτὸς ψευδῶς τὸ ἀμελέστερον σεσημάνθαι, ἀντὶ τοῦ ἡρμήνευται (βλ. ὄπισθ. σελ. 9), ἐπεχείρησεν ἀποδεῖξαι κἀντεῦθεν τὴν ὕπαρξιν τῆς παρὰ τῷ Ἀριστοβούλῳ παλαιᾶς ταύτης ἑρμηνείας, φέρων πρὸς δεῖξιν τὰ ἰσοδύναμα κἀκεῖνα τοῦ Ἀριστέου «τινὰ τῶν προηρμηνευμένων ἐπισφαλέστερον· καὶ ὁμολογεῖ λοιπὸν αὐτὴν καὶ ἀμελέστερον καὶ ἐπισφαλέστερον ἡρμηνευμένην! Ὅθεν οὐδ' οἵαν τε οὖσαν οὔτε πολὺ οὔτε γοῦν σπινθῆρα φωτὸς τοῖς Ο παρασχεῖν. πρβλ. Reinhard, de version. Alexandr. p. XIX. καὶ Scharfenberg not. in Fabric. Biblioth. Græc. T. 3. p. 659. Harl.

(β) «Jch sage die grosse Anzahl von Uebersetzungen; denn ich bin fest davon überzeugt, dass mehr griechische Uebersetzungen vorhanden gewesen, als die vier oder sieben, die Origenes gekannt» etc. Stroths Beytræge zur Kritik, über die LXX Dolmestcher etc. in Eichhorn's Repertorium etc. 2. Bd. p. 67.

Βιβλιοθήκῃ Ἐνετίῃσι τηρουμένην! (βλ. ὄπισθ. Βιβλ. Γ. §. μη)· ὡς ἂν εἰ παρείπετο τὸ πρᾶγμα σειραῖς ἀφύκτοις ἀνάγκης προσδεδεμένον· ἐπειδὴ οἱ μετὰ Χριστὸν Ἰουδαῖοι, φθονοῦντες χριστιανοῖς, καὶ τοῖς Ο πολεμοῦντες, ἐτύρευον καινάς τινας μεταφράσεις ἐκ τοῦ παρ' αὐτοῖς ἤδη συντετριμμένου κώδηκος, ἕπεται λοιπὸν ἐξ ἀνάγκης, ὅτι καὶ πολλῷ πρὸ τῶν Ο, καὶ πλέον ἢ 400 ἔτεσι π.Χ, παρομοίως ἐσπούδαζον ἄλλοι ἀλλαχόθεν συσσωρεύειν ἑλληνικὰς ἑρμηνείας τῆν Πεντατεύχου! Ἀρέσκει δὲ καὶ τῷ Πειπφέρῳ, καὶ δὴ καὶ τῷ μεγαδόξῳ Εἰχορνίῳ τὸ πλῆθος τῶν ἀρχεγόνων καὶ παλαιφάτων τούτων ἑρμηνειῶν· ἀπὸ τούτων γὰρ εἰς ἓν ἀθροισθεισῶν, καὶ πανδήμως (κατ' αὐτοὺς) κυρωθεισῶν, γεννῶσιν οἱ ἄνδρες τὴν (ὥς φασι) *λεγομένην* τῶν Ο! (α). Οὕτως οἱ φιλοκαινοτόμοι πολλάκις ἐπὶ τῆς σεβασμίας ὑποβάθρας τῆς ἀληθείας καθιδρύουσι ματαίους λογισμούς, ὡς πιθήκων ἀγάλματα, καπηλεύοντες τὰ ὄντα, καὶ *μίσγοντες τὸν οἶνον ὕδατι*, καὶ τούτῳ βορβορώδει.

Δ) Ὅτι ταύτῃ τῇ μιᾷ καὶ ἀτελεῖ καὶ ἔν τισιν *ἐπισφαλέστερον* ἡρμηνευμένῃ συνόψει τῆς Πεντατεύχου καὶ Πλάτων ἐν Αἰγύπτῳ περιέτυχε, καὶ ἐκ ταύτης οὐκ ὀλίγας θεοπρεπεστέρας ἐννοίας ἀρυσάμενος, ἐκόσμησε τὴν κατ' αὐτὸν φιλοσοφίαν (β). Οὕτω καὶ Πυθαγόρας (ὃν ἐζήλου μάλιστα Πλάτων) πρότερον πεποίηκε, τοῖς

(α) **Pfeiffer in Fabric. Bibl. Græc. l. c.** καὶ **Eichhorn, Einleit. in das Alt. Test. §. 62.** Ἀλλ' ὁ κλεινὸς Καπέλλιος (**Critic. Sacr. IV. 1**) τὸ πλῆθος τῶν ἑρμηνειῶν τούτων ὀρθῶς ἀποδιοπομπούμενος, ἔλαθε καὶ τὴν μίαν τὴν Ἀριστοβούλειον συναποβαλών. Ὁ δὲ πάλιν Ὀττιγγῆρος (**Thesaur. p. 282—285**) ἀποδεχόμενος ταύτην τὴν ἑρμηνείαν, προσέθηκε γελοίως καὶ ἄλλην ὡς γεραιτέραν τῶν Ο, τὴν δῆθεν ἐκ τοῦ Σαμαρειτικοῦ ἐξελληνισθεῖσαν (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 595) καὶ αὐτὰ δὲ τὰ Χαλδαϊα Ταργούμια φέρων καὶ ταῦτα σεμνῶς προκαθίζει πρὸ τῆς ἑρμηνείας τῶν Ο. Οὕτως Ὀττιγγῆρος πανταχοῦ παράδοξος!

(β) Συμφωνεῖ καὶ Λεμοῦνος, λέγων· **«Et certe cum Plato viderit scripta Mosis apud Aegyptios, apud quos versio librorum Mosis extabat ante versionem LXX. interpretum sub Ptolemæo Lagi et Philadelpho adornatam, ut patet ex Aristobulo, Ptolemæi Philometoris præceptore, apud Eusebium, et cum Plato Phœnicum etiam Theologis innotuerit, quibus scripta Mosis non poterant esse ignota, non mirum, etc.». Le Moyne, Varia Sacr. T. 2. p. 1120.**

κατ᾽ Αἴγυπτον καὶ παρὰ Χαλδαίοις καὶ ἀλλαχοῦ τῆς Ἀσίας φιλοσοφοῦσιν Ἰουδαίοις ἐντυχών. Ὅτι δὲ τῶν Ἑλλήνων οἱ πάλαι σοφοὶ πολλὰ τῆς Μωσαϊκῆς φιλοσοφίας εἰσεποίησαν ἐν τοῖς παρ᾽ αὐτοῖς φιλοσοφουμένοις, καὶ τὰ μέν τινα διετήρησαν ἀκίβδηλα καὶ γνήσια, τὰ δὲ καὶ παρέκοψαν, ἡμίση καὶ ἀτελῆ περιτρύζοντες, ἢ καὶ πρὸς ἄλλας ὀθνείας μετημφίεσαν δόξας, ἐπιπλέξαντες τοῖς πράγμασι τοὺς μύθους, καὶ «*μεταλλάξαντες τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει*» (Ῥωμ. β, 25), κηρύττουσι περὶ τούτου λαμπρῶς αἱ ἀποδείξεις, ἃς οἱ Ἀποστολικοὶ καὶ ἄλλοι τῆς ἐκκλησίας Πατέρες ἐξέθηκαν, οἷον Ἰουστῖνος ὁ μάρτυς καὶ φιλόσοφος (πολλαχοῦ), καὶ ὁ θεῖος Εἰρηναῖος (κ. Αἱρέσ. γ, 45), καὶ Θεόφιλος ὁ Ἀντιοχείας (π. Αὐτόλυκ. β), καὶ Κλήμης ὁ Στρωματεὺς (πολλαχοῦ), καὶ Ὠριγένης, καὶ Τατιανὸς ὁ Σύρος (ἐν τῷ πρὸς τοὺς Ἕλληνας), καὶ Τερτυλλιανὸς, καὶ Εὐσέβιος (Εὐαγγ. προπ.), καὶ ὁ μακάριος Ἐφραὶμ ὁ Σύρος (παρὰ Δεμαγίστρῳ σελ. 615), καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (κατὰ Ἰουλιαν. α), καὶ ὁ ἱερὸς Αὐγουστῖνος (α), καὶ Φιλόπονος (β), καὶ ἄλλοι τῶν Πατέρων· συμμαρτυρεῖ δὲ τούτοις καὶ Ἰώσηπος (κατὰ Ἀπίωνος), καὶ αὐτῶν τινες τῶν Ἑλλήνων συγγραφέων, οἷον Ἕρμιππος ὁ Σμυρναῖος, καὶ Νουμήνιος ὁ Πυθαγόρειος, καὶ Χαλκίδιος ὁ Πλατωνικὸς (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 161). Ἀλλ᾽ ἐν ταύτῃ τῇ θεωρίᾳ πολλοί τινες τῶν νεωτέρων ἀποσχίζονται τῆς ὁδοῦ τῆς εὐθείας εἰς διττὰς ἀτραπούς· διαλάβωμεν δὲ περὶ τούτων ἑκατέρων κατὰ μέρος.

§. ε. Οἱ μὲν οὖν τούτων (οἱ μετριώτεροι) ἀπαναίνονται μὲν (ὡς προείπομεν), ὅτι τῶν παλαιῶν τῆς Ἑλλάδος σοφῶν οἱ ἀκρέμονες ἠρύσαντό τινα τῶν κατ᾽ αὐτοὺς δογμάτων ἔκ τινος γραπτῆς ἑρμηνείας τῶν Γραφῶν προγενεστέρας τῶν Ο, ἀποδέχονται δὲ ὅμως, ὅτι

(α) **S. Augustin. 7. Confess. c. 20, 21. καὶ De civit. Dei. VII. 11.**

(β) «Αὐτὸ γὰρ δὴ τοῦτο δεῖξαι πρὸς δύναμιν τῇ παρούσῃ πραγματείᾳ σκοπὸς, ὡς οὐδὲν ἐν τῇ τοῦ προφήτου κοσμογονίᾳ τῇ διατάξει τοῦ παντὸς ἀσύμφωνον· τοὐναντίον δὲ, πολλὰ τῶν ὕστερον αἰτιολογηθέντων ὑπὸ τῶν φυσικῶν, ἐκ τῶν Μωϋσεῖ γραφέντων εἴληφε τὴν ἀρχήν». **Φιλόπον. περὶ Κοσμοποιΐας Βιβλ. Β. κεφ.β. σελ. 6.**

καὶ ἐκ μόνης τῆς ἀρχαίας παραδόσεως, ἢ καὶ ἐξ αὐτῆς τῆς πρὸς τοὺς Ἰουδαίους γειτονίας, καὶ μακρᾶς ἐπιπλοκῆς καὶ συνδιατριβῆς, παρέλαβον πολλὰ τῶν παρ' αὐτοῖς πρεσβευομένων συμφώνως ταῖς ἀληθείαις τῆς θείας Γραφῆς. Οὕτω (λέγουσι) καὶ Ἑκαταῖος ὁ Ἀβδηρίτης, ὁ συνακμάσας Ἀλεξάνδρῳ, συνέγραψε περὶ Ἰουδαίων, ἐξ αὐτῶν τούτων τὰ κατ' αὐτοὺς ἐκμαθών. Καὶ πάλιν Ἐζεκίας, Ἰουδαῖος ἀρχιερεὺς, συστρατεύων τῷ πρώτῳ Πτολεμαίῳ τῷ Λαγίδῃ, ἔφερε μεθ' ἑαυτοῦ *τὴν των Ἰουδαίων πολιτείαν* γεγραμμένην, καὶ ἀνεγίνωσκε πρός τινας τῶν μετ' αὐτοῦ (Ἰώσηπ. κ. Ἀπίων. Α. 22). Τοιαῦτα οὗτοι(α). Καὶ ὅτι μὲν ἔκ τε τῶν Πατριαρχικῶν παραδόσεων, καὶ τῆς μετὰ τῶν Ἑβραίων συνομιλίας παρέλαβον ἃ παρέλαβον οἱ πρῶτοι τῆς ἑλληνικῆς ἀρχαιότητος σοφοὶ, συνομολογοῦμεν (βλ. ἐφεξῆς §. θ, καὶ ι). Μεγάλη τῶν ἀρχαίων ἐκείνων ὑπῆρχεν ἡ φιλομάθεια· οἵ γε πολλὴν γῆν περινοστοῦντες, καὶ τοῖς Αἰγυπτίοις καὶ τοῖς ἄλλοις ἀρχεγόνοις ἔθνεσι τῆς Ἀσίας ἐπιξενούμενοι, ἀεί τι μανθάνειν ἤθελον. Οὕτω δὲ χρηστομαθεῖν εἰωθότες, οὐδὲ τῶν ἀκιβδήλων δογμάτων τῆς τοῦ θεσπεσίου Μωσέως σοφίας ἀνήκοοι γεγόνασιν (β). Ὅθεν οὐδὲν θαυμαστὸν, ἀλλὰ καὶ τῷ λόγῳ συμφωνότατον, καὶ εἴ τινες αὐτῶν ἐσπούδασαν σύνοψίν τινα, καὶ οἷον *δοκίμιον* ἑλληνικῆς ἑρμηνείας τῶν Μωσαϊκῶν βιβλίων διεξελθεῖν, ὅπως ἂν εἰδῶσι σαφέστερον, τίποτε καὶ τούτῳ τῷ ἀρχαίῳ τῆς Ἀσίας ἔθνει, τοῖς Ἰουδαίοις, ἀρέσκει. Οὕτω καὶ τριῶν ἀρχαίων Φοινίκων ἱστοριογράφων, Θεοδότου καὶ Ὑψικράτους καὶ Μώχου, παλαιά τις ἑλληνικὴ μνημονεύεται μετάφρασις ὑπό τινος Ἀσίτου, ἢ (κατ' ἄλλους) Λαίτου φιλοπονηθεῖσα (γ). Καὶ ἐξ αὐτῆς δὲ τῆς ἑρμηνείας τῶν Ο οὐκ ὀλίγα παρέλαβον οἱ τούτοις συγχρονίσαντες, καὶ ἐφεξῆς ἐπελθόντες Ἕλληνες συγγραφεῖς, ὡς προδέδεικται (Βιβλ. Β. κεφ. γ.).

(α) Βλ. Baron. T. 2. A. Chr. 231. Sect. 10, 11. καὶ D'Espeires Tract 2. Disput. 2. Dub. 3. — Walton. Proleg. IX. §. 8.

(β) Βλ. Κύριλ. Ἀλεξ. κατὰ Ἰουλιαν. Βιβλ. α. σελ. 14. — (γ) Βηρωσσὸς (ὁ ἐπὶ Ἀλεξάνδρου γενόμενος) παρὰ Τατιανῷ (πρὸς τοὺς Ἕλληνας), καὶ Εὐσέβ. Εὐαγγελ. Προπ. Ι. ια. σελ. 289. βλ. καὶ Fabric. Bibl. Græc. T. 1. p. 226. Harl.

Καὶ κείσθω λοιπὸν καλὸν μελέτημα τῆς χρηστομαθείας ἐκείνων τῶν ἀρχαίων τῆς Ἑλλάδος σοφῶν καὶ οἱαδήποτε ἔκθεσις συνοπτικὴ τῆς Μωσαϊκῆς θεοσοφίας, ἧς τινας ἐννοίας εἶχον καὶ αὐτοὶ κατὰ παράδοσιν ἀρχαίαν (ὡς καὶ τ' ἄλλα τὰ τῆς Ἀσίας ἀρχαιόγονα ἔθνη)· ἄλλα δὲ καὶ ἐξ ἀκοῆς ἐμάνθανον, ἐπιμιγνύμενοι μετ' ἐκείνων. Διὰ τοῦτο καὶ Ἰουστῖνος ὁ Μάρτυς ἀδιαφόρως ἔλεγε τοὺς παλαιοὺς τῆς Ἑλλάδος σοφοὺς καὶ *ἀναγνῶναι* καὶ ἀκοῦσαι γραφικάς τινας ἀληθείας. Ὡσαύτως καὶ Ὠριγένης, καὶ ὁ Εὐσέβιος. Ὁ δὲ φωστὴρ τῆς Ἀλεξανδρείας Κύριλλος συνῆψεν ὁλοσχερῶς τοὺς τῆς μαθήσεως τρόπους, λέγων. «Πλάτων τε καὶ Πυθαγόρας δοξάζουσι μέν πως ἐπιεικέστερον περί τε Θεοῦ καὶ τοῦ κόσμου· συνειλήχασι δὲ τὴν εἰς τοῦτο παίδευσιν, *εἴτιν'* (ἴσ. γρ. εἴτ') ἐπιστήμην, Αἰγυπτίοις ἐμβεβληκότες, παρ' οἷς δὴ πολὺς ὁ περὶ τοῦ πανσόφου Μωσέως λόγος ἦν, καὶ τῶν παρ' αὐτῷ δογμάτων τὸ θαῦμα ἐτετίμητο» (κατὰ Ἰουλιαν. βιβλ. 6. σελ. 47. πρβλ. καὶ σελ. 29, 35). Ἄκουε καὶ τὸν ἱερὸν Θεοδώρητον· «Τί δήποτε μὴ, τούτους πάντας καταλιπόντες, πρὸς Μωϋσέα τὸν τῆς θεολογίας ὠκεανὸν μεταβαίνωμεν, ἐξ οὗπερ, ποιητικῶς εἰπεῖν, *πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα*; καὶ γὰρ Ἀναξαγόρας, καὶ Πυθαγόρας, καὶ Πλάτων ὕστερον, ἐκεῖθεν *εἵλκυσαν σμικρὰ ἄττα τῆς ἀληθείας ἐναύσματα*» (α).

§. ς. Ἄλλοι δὲ πολλοὶ τῶν νεωτέρων οὔτ' ἐξ ἀναγνώσεως, οὔτ' ἐκ παραδόσεως καὶ τῆς μεθ' Ἑβραίων ἀναστροφῆς οὐδαμῇ οὐδαμῶς ἀνέχονται τοὺς Ἕλληνας τῶν Μωσαϊκῶν τινα δογμάτων παραλαβεῖν· πολλὰ δὲ (λέγουσι) καὶ καλὰ ἐκ τῆς ἐμφύτου τοῦ λογικοῦ διακρίσεως, καὶ τῆς ἐξαισίας ἐν αὐτοῖς εὐφυΐας ἐφεῦρον. Εἰ δέ τι φαίνεται παρ' αὐτοῖς ἀκριβῶς ταῖς θείαις Γραφαῖς συμφωνοῦν, πάντα ταῦτα εἰς τοὺς Χαλδαίους οἱ ἄνδρες ἀναφέρουσι καὶ τοὺς Πέρσας καὶ τοὺς Ἰνδοὺς καὶ τοὺς Αἰγυπτίους, παρ' ὧν τινες καὶ τοὺς νόμους αὐτοὺς καὶ πολλὰ τῶν ἱερῶν ἐθίμων καὶ δογμάτων παραλαβόντα καὶ αὐτὸν εἰσάγουσι τὸν θεόπνευστον

(α) Θεοδώρ. Θεραπευτ. λόγ. 6. σελ. 495. πρβλ. Κλήμ. Στρωμ. Ε, σελ. 707 καὶ τὰ τοῦ Ἀριστοβούλου παρ' Εὐσεβ. Προπαρ. ιγ. 664.

Μωσῆν, βλασφημοῦντες ἀναιδῶς καὶ ματαιοσχόλως, (οἷα καὶ περὶ τὴν *Δήλωσιν* καὶ *Ἀλήθειαν* εἴδομεν αὐτοὺς γλωσσαλγοῦντας, Βιβλ. Β. σελ. 213). Ἀλλὰ πρὸς μὲν τὴν φλεγμαίνουσαν τῶν ὑστέρων τούτων ἀκολασίαν λόγος οὐδείς. Πόσον ἀρχαιότερος ὁ Μωϋσῆς οὐ μόνον τῶν παλαιῶν τῆς Ἑλλάδος σοφῶν, αλλὰ καὶ τῶν παρ' Αἰγυπτίοις καὶ Χαλδαίοις καὶ Ἰνδοῖς διαβεβοημένων, ἀπέδειξαν χρονολογικῶς οἱ ἱεροὶ Πατέρες, καὶ τῶν νεωτέρων σοφῶν οἱ ὀρθοφρονοῦντες. Οἱ δὲ περὶ τὸν Ὅδιον (ᾧ συνᾴδει παραδόξως καὶ ὁ θαυμάσιος Οὐαλκενῆρος, περὶ Ἀριστοβ. §. 21), *ἐν δοιῇ θεμὸν ἔχουσι*. Καὶ πρῶτον μὲν ὁ κλεινὸς ἀρχιδιάκονος *ἐλευθέρως* (ὥς φησι) *παῤῥησιαζόμενος*, ἔγραψεν, ὅτι ἄρα ὁσάκις μετὰ σπουδῆς καὶ χωρὶς προλήψεων ἀνελίττει τὰ συγγράμματα τῶν ἀρχαίων φιλοσόφων, ἢ *οὐδὲν*, ἢ πάνυ τι *σμικρὸν* εὑρίσκει παρὰ τῶν Ἰουδαίων οἱῳδήποτε τρόπῳ παρειλῆφθαι δοκοῦν». Καὶ συμφωνεῖ ὁ κριτικὸς μάλιστα καὶ *πάντοτε*, καθὼς λέγει (semper) μετὰ τοῦ Ῥωμαίου Λακταντίου, ὅστις θαυμάζει περὶ τοῦ Πυθαγόρου καὶ τοῦ Πλάτωνος, «πῶς, ἔρωτι φλεγόμενοι τῆς ἀληθείας, μέχρι μὲν καὶ Αἰγυπτίων καὶ Μάγων καὶ Περσῶν διῆλθον, καταμανθάνοντες τὰ τούτων ἔθιμα καὶ ἱερὰ, μόνοις δὲ τοῖς Ἰουδαίοις, παρ' οἷς εὑρίσκετο τότε ἡ ἀλήθεια, οὐκ ἐπλησίασαν» (α). Εἰ δέ τι (προστίθησιν Ὅδιος) οἱ σοφοὶ τῶν Ἑλλήνων μετέφερον εἰς τὴν ἑαυτῶν φιλοσοφίαν ἐκ τῶν Ἰουδαίων παραλαβόντες, τὰ τοιαῦτα κατέμαθον, αὐτοῖς τοῖς Ἰουδαίοις εἴτε κατὰ τὴν Ἰουδαίαν, εἴτε καὶ ἀλλαχοῦ τῆς γῆς προσομιλοῦντες. Τοῦτο δέ (φησι) καὶ Αὐγουστῖνος ἐφρόνει, λέγων περὶ τοῦ Πλάτωνος, «ὅτι τὰς ἑβραϊκὰς οὐκ ἀνέγνω γραφὰς, ἅτε μήπω τότε κατ' αὐτὸν ἑλληνιστὶ μεθηρμηνευμένας, πλὴν εἰ μή που, καθὰ τὰς τῶν Αἰγυπτίων, οὕτω καὶ τὰς τῶν Ἑβραίων ἐμάνθανεν ὁ Πλάτων, ἑρμηνεῖ χρώμενος, οὐχ ἵνα διὰ γραφίδος αὐτὰς μεταφράζῃ (τοῦτο γὰρ ὁ Φιλάδελφος Πτολεμαῖος διὰ πολλῶν ἀπέλαβεν εὐεργεσιῶν), ἀλλ' ἵνα διὰ τῆς συνδιαλέξεως τὰ περιεχόμενα, ἐφ' ὅσον ἠδύνατο χωρῆσαι, διδαχθῇ» (β)· ταῦτα Ὅδιος.

(α) Lactant. Inst. lib. IV. 2. — (β) S. August. de Civit. Dei, VIII. 11.

§. ζ. Ἀλλ' ὁ μὲν εὔγλωττος τῆς χριστιανικῆς ἀληθείας ὑπέρμαχος (διὸ καὶ *Κικέρων χριστιανὸς* παρά τισιν ἀκούσας) Λακτάντιος (τῷ 303 μ. Χ) οὐκ ἂν ἐθαύμαζε, πῶς οὐκ ἐπλησίασεν ὁ Πλάτων τοῖς Ἰουδαίοις, εἴπερ ἀνεγίνωσκε τὸν Ἀριστόβουλον, ἢ κἂν τὸν Κλήμεντα, καὶ τὸν Ἰουστῖνον αὐτὸν (ἦλθε δὲ καὶ μέχρι Νικομηδείας ἐκ τῆς Ἰταλίας καὶ Ἀφρικῆς ὁ *Λακτάντιος* οὗτος, ἢ *Γαλακτίων*, ὡς ἂν εἴποις ἑλληνικώτερον, διδάξων τὴν *Λατινίδα* ῥητορικὴν ἐν *Ἑλληνίδι* πόλει, διὸ καὶ μαθητὰς οὐχ εὕρηκεν). Ἔπειτα, οὐ τοῦτο καὶ μόνον ἐσφάλη, τὸ μικρὸν, ὅ καὶ Μενάγιος (α), καὶ Νικολάϊς μετ' ἄλλων δυτικῶν ὁμολογοῦσιν (β), ἀλλὰ καὶ εἰς ἄλλα πολλῷ βαρύτερα δι' ἁπλότητα παρεξώκειλεν ὁ σεβάσμιος οὗτος ἀνήρ (γ). Καὶ τελευταῖον (καθὰ καὶ Δεμάγιστρος παρετήρησε, σελ. 615), εἷς καὶ μόνος τῶν ἀρχαίων Πατέρων οὐκ ἔστιν ἀντάξιος ἁπάντων τῶν ἄλλων, τοσούτων ὄντων καὶ τηλικούτων. Ὁ δὲ μακάριος Αὐγουστῖνος εἰ καὶ τὴν κατ' Ἀριστόβουλον παλαιοτέραν ἑρμηνείαν οὐκ ἐμνημόνευσεν (ἴσως παριδὼν, ὡς πρόπαλαι ἀφαντωθεῖσαν), ἀλλ' ἠρκέσθη, ὡς ἔοικεν, ἴδιον ἑρμηνέα τῶν Μωσαϊκῶν (ὡς καὶ τῶν Αἰγυπτίων γραφῶν) τῷ Πλάτωνι φιλομαθοῦντι παρακαθίσας. Πρόσθες καὶ ὅτι αὐτὸς ὁ ἱερὸς Πατὴρ περὶ τοῦ παρὰ Πλάτωνι *Ὄντος* διαλαμβάνων, ἔγραψεν, ὅτι τοῦτο παρέλαβεν ὁ φιλόσοφος ἐξ ἐκείνης τῆς βίβλου, ὅπου γέγραπται «ἐγώ εἰμι ὁ Ὤν» (δ)· Αὐτὸς δὲ ὁ κλεινὸς Ὅδιος ἀγχίστροφός τις φαίνεται καὶ ὧδε, λίαν ἀστατῶν, καὶ πρὸς ἑαυτὸν ἀντιφάσεων· νῦν μὲν γὰρ Λακταντίῳ συμφωνεῖ, διατεινόμενος μηδὲν, ἢ γοῦν *σμικρὸν* (ὅπερ ὁ Λακτάντιος οὐκ εἶπε) παρὰ τῶν Ἰουδαίων τοὺς Ἕλληνας ἀπομάξασθαι· νῦν δὲ πάλιν ἐνδιδοὺς, παραδέχεται καὶ τὴν γνώμην τοῦ Αὐγουστίνου. Καὶ ταῦτα μὲν οὔπω δεινά·

(α) Menag. Observat. in Laert. L. III. p. 159. — (β) Niccolai, Dissertationi etc. T. 1. p. 145. — (γ) S. Hieronym. epist. ad Paulin. πρβλ. καὶ Cave, Script. Eccles. histor. p. 81.--Du-Pin, Nouv.Biblioth.T. 1, p. 205.

(δ) « Vehementer hoc Plato tenuit.. et nescio utrum hoc uspiam reperiatur in libris eorum, qui ante Platonem fuerunt, nisi ubi dictum est « E g o s u m q u i s u m ». S. Aug. De civit. Dei VIII, 11.

ἄλλο δέ τι χεῖρον ἐπῆλθεν αὐτῷ κατὰ νοῦν, τὸ ἑξῆς. «Ἐπειδή (φησιν) οἱ Ἕλληνες πάντα τὰ τῶν Ἰουδαίων, καὶ τὰ χριστιανῶν δόγματα εἰώθεισαν περιφρονεῖν, διὰ τοῦτο οἱ Πατέρες καὶ ἀπολογηταὶ μετὰ μεγάλης σπουδῆς ἠγωνίσθησαν ἀποδεῖξαι τοὺς Ἕλληνας πολλὰ παραλαβόντας εἴτ' ἐξ αὐτῶν τῶν θείων Γραφῶν, εἴτε γοῦν παρὰ τῶν Ἰουδαίων» (σελ. 572). Ὥστε, κατὰ τὴν *ἐλευθέραν* καὶ πεπαῤῥησιασμένην Ὀδίου ψῆφον, οἱ ἱεροὶ Πατέρες οὐ κατὰ τὸν ἀληθῆ λόγον, ἀλλὰ μᾶλλον ἐξ ἀνάγκης καὶ πρὸς ἄμυναν μόνον πλαστολογοῦντες, ἐπειράθησαν ἀποδεῖξαι τοὺς Ἕλληνας ἐκ τῆς ἰουδαϊκῆς φιλοσοφίας οὐκ ὀλίγα δανεισαμένους. Τοιαῦτα καὶ περὶ τοῦ ἰουδαίου Ἀριστοβούλου κατεγνωμάτευσεν ὁ σοφὸς Ἀρχιδιάκονος. Ἀλλ' ἡδέως ἄν τις ἔροιτο τὸν ἄνδρα· Διὰ τίποτε καὶ ἄλλοι μήτε παῖδες Ἑβραίων, μήτε Πατέρες ὄντες τῆς Ἐκκλησίας, ἀλλὰ καὶ τὸ γένος Ἕλληνες, καὶ τὴν θρησκείαν ἐθνικοί, ὡς ὁ Ἕρμιππος καὶ Νουμήνιος καὶ Χαλκίδιος, διὰ τί ἆρα καὶ οὗτοι, καὶ τί ποτε βουλόμενοι διεκήρυττον τὸν μὲν Πυθαγόραν μιμούμενον τὰς τῶν Ἰουδαίων δόξας, τὸν δὲ Πλάτωνα Μωσῆν ἀττικίζοντα, καί τινα περὶ κοσμογονίας δοξάζοντα παρόμοια τοῖς Ἑβραίοις; Ἕως οὖν τούτους ψευδομένους ὁ κριτικὸς ἐξελέγξῃ, παραστήσας ἀποδείξεις τρανὰς (οἵας καὶ αὐτὸς ἀπαιτεῖ· βλ. ὄπισθ. σελ. 18), καθήσθω καὶ ὧδε μέχρι κόρου συκοφαντῶν τοὺς Πατέρας.

§. η. Θαυμαστὸς δέ τις ἐν τούτοις καὶ ὁ σοφώτατος Οὐαλκενῆρος· ὅστις τὰς περὶ τοῦ Πλάτωνος καὶ τῶν ἄλλων Ἑλλήνων (ὅτι δηλαδὴ παρὰ τῶν Ἑβραίων τινὰ παρέλαβον) δόξας τῶν Πατέρων (περὶ ὧν καὶ *σολοικότερον* ἐκφράζεται λέγων, «*οὓς καλοῦσι Πατέρας*»), ταύτας δὴ τὰς δόξας *ἀτόπους* ἀποκαλεῖ, καὶ αὐτόχρημα *λήρους*, *ἐφ' οἷς* (φησιν) *ἀηδίζει μοι*» (harum me nugarum taedet). Ἀλλ' εἶχεν ὁ κριτικὸς πρόχειρον τῆς ἀηδίας ἀντίδοτον, εἰ μὴ τὴν Ἑρμίππειον ἤθελε μαρτυρίαν, ἀλλ' ἑτέραν γοῦν, καὶ μάλα πρόσφορον καὶ δραστήριον, τὴν τοῦ Μεγασθένους, Ἕλληνος συγγραφέως ἐνδοξοτάτου, Σελεύκῳ τῷ Νικάτορι συμβεβιωκότος, ὅστις ῥητῶς ἀνεκήρυξεν, ὅτι «Ἅπαντα τὰ περὶ φύσεως εἰρημένα παρὰ τοῖς ἀρ-

χαίοις λέγεται καὶ παρὰ τοῖς ἔξω τῆς Ἑλλάδος φιλοσοφοῦσι, *τὰ μὲν παρὰ τοῖς Ἰνδοῖς ὑπὸ τῶν Βραχμάνων, τὰ δὲ ἐν Συρίᾳ ὑπὸ τῶν καλουμένων Ἰουδαίων»* (α). Οὕτως ὁ Μεγασθένης τοὺς Ἰνδοὺς τοῖς Ἰουδαίοις συνάπτων, ὡς ἑκατέρους φιλοσοφοῦντας ὅμοια τοῖς Ἕλλησι, δῆλός ἐστι τούτους παρ' ἐκείνων δανεισαμένους ὑπολαμβάνων (εἴγε, κατὰ Πλάτωνα, «*ἀρχαιότεροι τῶν Ἑλλήνων οἱ βάρβαροι»*). Ὁ δὲ κλεινὸς Οὐαλκενῆρος τὴν Μεγασθένους ταύτην ῥῆσιν σφόδρα παραδόξως ἐξέλαβεν, ὡς ἂν οὖσαν Ἀριστοβούλου (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 442), λαμπρὸν τοῦτον ὄνειρον ἐνυπνιασθείς, ἐκ τῶν *ἐλεφαντίνων* Ὁμήρου *πυλῶν* ἐξελθόντα (Ὀδυσ. τ, 564). διὸ καὶ τὸν Ἰουδαῖον φιλόσοφον ἐπετώθασε, λέγων. «Ἀλλ' εἴπερ Ἕλληνες *ὅλον* τὸ παρ' αὐτοῖς περὶ τῆς τοῦ παντὸς φύσεως σύστημα παρέλαβον ἐκ τῶν Ἰουδαϊκῶν βιβλίων, ἑλληνιστὶ μεθηρμηνευμένων, ἀσμένως ἂν ἤθελον παρὰ τοῦ Ἰουδαίου φιλοσόφου (τοῦ Ἀριστοβούλου) μαθεῖν, πόθεν ἠρύσαντο τὸ κατ' αὐτοὺς καὶ οἱ παρ' Ἰνδοῖς φιλοσοφοῦντες; ἆρά γε κἀκεῖνοι ἔκ τινος εἰς τὴν ἐγχώριον αὐτῶν διάλεκτον ἑρμηνείας τῶν Ἰουδαϊκῶν Γραφῶν»; (σελ. 67). Ἀλλ' ὁ μὲν *Μεγαρθένης*, ὦ σοφώτατε ἀνδρῶν, ὃν σὺ φήθης Ἀριστόβουλον εἶναι, οὐδὲν λέγει περὶ ἑρμηνείας. Λέγει δὲ μόνον, ὅτι *πάντων* τῶν παρὰ τοῖς ἀρχαίοις Ἕλλησι περὶ τῆς τοῦ παντὸς φύσεως φιλοσοφουμένων ΤΑ ΜΕΝ παρ' Ἰνδοῖς, ΤΑ ΔΕ (οὐχὶ *πάντα*, ἢ *ὅλα*, ὡς σὺ προσέθηκας) παρ' Ἰουδαίοις φιλοσοφοῦνται. Ἡ δὲ σὴ Μοῦσα πλανῆτις φερομένη, ἔλαθεν ἐμπεσοῦσα εἰς αὐτάς, πρὸς ἃς ἐπαηδίαζε, τὰς τῶν Πατέρων μαρτυρίας. Ὡς γὰρ ἐκεῖνοι τῆς Ἑλλήνων φιλοσοφίας ἀρχαιοτέραν ἀπεδείκνυον τὴν τῶν Βαρβάρων, καὶ πρώτιστα τὴν τῶν Ἑβραίων, οὕτω καὶ σὺ τὰ παρ' Ἰνδοῖς ὡμολόγησας συμφωνοῦντα τοῖς παρ' Ἑβραίοις, ἐν οἷς γελοιάζων ἔπλαττες καὶ ἰνδιστὶ τὰς ἑβραΐδας βίβλους ἡρμηνευμένας. Οὕτω πολλάκις «*ἡ γλῶσσα* (καὶ φρὴν δὲ καὶ γραφίς) *ἁμαρτάνουσα, τἀληθῆ λέγει»*. Καὶ μαρτυρεῖ πάλιν Μεγασθένης αὐτὸς ἀλλαχοῦ λέγων, «τοὺς Ἰνδοὺς περὶ πολλῶν τοῖς

(α) Μεγασθέν. ἐν γ. τῶν Ἰνδικῶν παρὰ Κλήμεντ. Στρωματ. Α. σελ. 224 Lug. καὶ παρ' Εὐσεβίῳ Εὐαγ. Προπαρ. Θ. 6. σελ. 241.

Ἕλλησιν ὁμοδοξεῖν. Ὅτι γὰρ γεννητὸς ὁ κόσμος καὶ φθαρτὸς λέγειν κἀκείνους.—Ὅ,τε διοικῶν αὐτὸν καὶ ποιῶν Θεὸς δι' ὅλου διαπεφοίτηκε.—Τῆς δὲ κοσμοποιΐας ἀρχὴ τὸ ὕδωρ» (παρὰ Στράβων. ΙΕ, 713). Ὅτι δὲ καὶ ταῦτα *καθαρῶς* καὶ χωρὶς τῆς ἐπεισάκτου σκωρίας θεωρούμενα, τῆς Ἰουδαίων φιλοσοφίας οὐκ ἀλλότρια, οὐδ' ἂν αὐτὸς ἀρνηθείης, Οὐαλκενῆρε. Ἀλλ' εἴπερ Μεγασθένους ὁλοτελῶς ἐπελάθου, ἀνθρώπινα παθὼν, παρῆν σοι ὦ βέλτιστε καὶ ἄλλος ἔνδοξος τῆς ναυτίας ἰατρὸς, Κλέαρχος, Ἀριστοτέλους μαθητὴς, ὅστις ἔγραψε Μεγασθένει σύμφωνα, λέγων· «Καλοῦνται δὲ, ὡς φασιν, οἱ φιλόσοφοι παρὰ μὲν Ἰνδοῖς Καλανοὶ, παρὰ δὲ Σύροις, Ἰουδαῖοι» (παρ' Ἰωσήπῳ, κ. Ἀπίων. Α. §. κϐ). Καὶ Νουμήνιος δὲ παρῆν (πῶς γὰρ οὔ;), ὅςις «ταῖς μαρτυρίαις (ἴσ. γρ. *τὰς μαρτυρίας*) τοῦ Πλάτωνος ξυνδήσας τοῖς λόγοις τοῦ Πυθαγόρου, ἐπεκαλεῖτο καὶ τὰ ἔθνη τὰ εὐδοκιμοῦντα, προσφερόμενος αὐτῶν τὰς τελετὰς καὶ τὰ δόγματα, τάς τε ἱδρύσεις, συντελουμένας Πλάτωνι ὁμολογουμένως, ὁπόσας *Βραχμᾶνες καὶ Ἰουδαῖοι* καὶ Μάγοι καὶ Αἰγύπτιοι διέθεντο» (α). Παρῆν δὲ, τέλος, καὶ αὐτὸς ὁ Ἀπόλλων, ὁ Πορφυρίου θεὸς, ὁ *Παιήων καὶ Ἀλεξίκακος*, ἐκ τῶν στεμμάτων χρησμοδοτῶν·

«Πολλὰς καὶ Φοίνικες ὁδοὺς μακάρων ἐδάησαν,
Ἀσσύριοί [τε], Λυδοί τε, καὶ Ἑβραίων γένος ἀνδρῶν».—Καὶ πάλιν.
«Μοῦνοι Χαλδαῖοι σοφίην λάχον, ἠδ' *ἄρ' Ἑβραῖοι*,
Αὐτογένεθλον ἄνακτα σεβαζόμενοι Θεὸν ἁγνῶς» (ϐ).

Καὶ ταῦτα μὲν οὗτοι. Φίλωνα δὲ τὸν Πλατωνικὸν, ἅτε Ἰουδαῖον ἄνθρωπον (καὶ τοῦτον μετὰ Φοῖβον), οὐ προσάγομεν τῷ ναυτιῶντι Οὐαλκενήρῳ, ταὐτὰ τῷ Μεγασθένει μαρτυροῦντα (γ).

(α) Νουμήν. ἐν Α, περὶ τοῦ ἀγαθοῦ παρὰ Κλήμεντι καὶ Εὐσεϐ. Προπαρ. Θ. 6.

(ϐ) Πορφύριος παρ' Εὐσεϐ. αὐτόθι. σελ. 242.

(γ) «Μάρτυς δὲ ἡ Ἑλλὰς, καὶ ἡ ϐάρϐαρος· ἐν τῇ μὲν γὰρ οἱ ἐτύμως προσονομασθέντες ἑπτὰ σοφοὶ ἤνθησαν, καὶ ἄλλων πρότερον, καὶ αὖθις ὡς εἰκὸς ἀκμασάντων.— Κατὰ δὲ τὴν ϐάρϐαρον— ἐν Πέρσαις μὲν τὸ Μάγων στῖφος, οἵ τὰ φύσεως ἔργα διερευνώμενοι πρὸς ἐπίγνωσιν ἀληθείας, καθ' ἡσυχίαν τὰς θείας ἀρετὰς ταῖς τρανωτέραις ἐμφάσεσιν ἱεροφαντοῦνταί τε καὶ ἱεροφαντοῦσιν. Ἐν Ἰνδοῖς δὲ τὸ

§. θ. Ἀλλά, λέγουσιν οἱ περὶ τὸν Ὅδιον, ὡς καὶ ἄλλοι τῶν νεωτέρων, ὅτι « παρὰ τῶν Ἰνδῶν καὶ Σύρων καὶ Χαλδαίων καὶ Φοινίκων καὶ Περσῶν καὶ Αἰγυπτίων, οὐχὶ παρὰ τῶν Ἰουδαίων ἔμαθον οἱ ἀρχαῖοι Ἕλληνες εἴ τι συμφωνεῖ ταῖς Μωσαϊκαῖς γραφαῖς». — Τοιοῦτο δέ τι καὶ Ἕλληνες ἔλεγον (α). Οἱ δ' Αἰγύπτιοι πόθεν ἔμαθον τὰς τοιαύτας ἀληθείας; οὐ παρὰ τῶν Ἑβραίων; Πάντα τὰ παρὰ τοῖς ἀρχαίοις τούτοις ἔθνεσι σεμνότερα τῶν δογμάτων οὐδέν ἐστιν ἕτερον, εἰμὴ τῆς Ἀβρααμικῆς καὶ Μωσαϊκῆς θεοσοφίας λείψανα (β). Καὶ πολλὰ μὲν τῶν ἀνθρωπίνων ἐξεῦρον οἵ τε ἄλλοι καὶ οἱ Αἰγύπτιοι. Ὅθεν καὶ αὐτὸς ὁ Μωσῆς «*ἐπαιδεύθη πάσῃ (τῇ κατ' ἄνθρωπον) σοφίᾳ Αἰγυπτίων*» (γ). Καί τινας ὑψηλοτέρας καὶ σεμνοφανεῖς ἠθικὰς ἀληθείας, εἴτε κατὰ σύμπτωσιν καὶ συντυχίαν, εἴτε κατὰ φυσικὴν ἔννοιαν καὶ λογικὴν διάκρισιν, καὶ οἴκοθεν ἐπενόησαν ταῦτα τῶν Ἀσιανῶν ἐθνῶν τὰ ἀρχαιότατα (ἐν οἷς μάλιστα καὶ Ἕλληνες), ὡς θέλουσιν οἱ νεώτεροι, καὶ τοῦτο παρὰ τῶν ἡμετέρων Πατέρων ἀπομαξάμενοι. Ἀλλὰ καὶ πρὸς τούτους ὁ ἱερὸς ἀπήντησε Κλήμης λέγων· « Εἴτ' οὖν κατὰ περίπτωσίν, φασιν, ἀποφθέγξασθαί τινα τῆς ἀληθοῦς φιλοσοφίας τοὺς Ἕλληνας, θείας οἰκονομίας ἡ περίπτωσις· οὐ γὰρ ταυτόματον ἐκθειάσει τις. . εἴτε κατὰ συντυχίαν, οὐκ ἀπρονόητος ἡ συντυχία» κτλ. (Στρωμ. Α. σελ. 231). Εἶπε δὲ καὶ Ὠριγένης, ὅτι τῶν ὀρθῶς παρὰ τοῖς πα-

---

Γυμνοσοφιστῶν, οἳ πρὸς τῇ φυσικῇ καὶ τὴν ἠθικὴν φιλοσοφίαν διαπονοῦντες, ὅλον ἐπίδειξιν ἀρετῆς πεποίηνται τὸν βίον. Ἔστι δὲ καὶ ἡ Παλαιστίνη καὶ ἡ Συρία καλοκἀγαθίας οὐκ ἄγονος, ἣν πολυανθρωποτάτου γένους τῶν Ἰουδαίων οὐκ ὀλίγη μοῖρα νέμεται» (Φιλ. π. τ. τὸν σπουδαῖον εἶναι ἐλεύθερον. Τόμ. Β. σελ. 457. Μ.).

(α) « Λέληθεν (ὁ Πλάτων) τὴν τῶν Χαλδαίων καὶ Αἰγυπτίων φιλοσοφίαν εἰσφέρων τῇ Ἑλλάδι, καὶ τὰ Πυθαγόρου καὶ Ἡρακλείτου καὶ Ἐμπεδοκλέους ἐπιδεικνύς» (παρ' Αἰνείᾳ τῷ Γαζαίῳ, σελ. 8. ἐν τῷ Αἰνείας καὶ Ζαχαρίας, ἐκδ. Boissonade. Paris, 1836).

(β) Inde illa cum sacris Litteris congruentia. Apud has enim gentes Mosaicæ et Abrahamicæ sapientiæ erant reliquiæ, σημειοῖ σοφῶς ὁ σοφὸς Βάρθης εἰς τὸ ἀνωτέρω τοῦ Γαζαίου χωρίον (not. p. 178). — (γ) Πράξ. ζ. 22: Βλ. Ἰουστῖν. πρὸς τοὺς ὀρθοδόξ. Ἐρωτ. κε. — Κλήμ. Στρωμ. Α. σελ. 252. — Ὠριγ. κ. Κέλσ. γ. 46: ς. 14. πρβλ. Φίλων. βίῳ Μωσ. β. σελ. 81. — Ἰώσηπ. Ἀρχ. Β. ς.

λαιοῖς σοφοῖς εἰρημένων «καὶ ἡμεῖς ἀκούσαντες συγκατατιθέμεθα, ὡς καλῶς λεγομένοις· ὁ Θεὸς γὰρ αὐτοῖς ταῦτα, καὶ ὅσα καλῶς λέλεκται, ἐφανέρωσε» (κ. Κέλσ. Ϛ, §. 3). Ἀλλ᾿ ὅμως εἰδικώτερον καὶ καθέκαστα τῶν πραγμάτων θεωρουμένων, πᾶν ὅ,τι σεμνότατον καὶ μάλιστα θεοπρεπὲς, εἴτε δογματικὸν, εἴτε ἱστορικὸν, σύνῳδὰ ταῖς θείαις γραφαῖς ἐπρέσβευον οἵ τε τῶν Αἰγυπτίων σοφοὶ καὶ Ἰνδοὶ καὶ Φοίνικες καὶ Σύροι καὶ Πέρσαι καὶ Χαλδαῖοι, πάντα τὰ τοιαῦτα παρ᾿ αὐτοῖς ἐναπέμειναν ἔκ τε τῶν Πατριαρχικῶν παραδόσεων, καὶ τῆς θεοπνεύστου Μωσαϊκῆς ἀληθείας σωτήρια ζώπυρα, ὧν μετέσχον καὶ Ἕλληνες. «Πόθεν» (λέγει χαριέντως, καὶ ἴσως οὐδ᾿ αὐτῷ Οὐαλκενήρῳ ἀηδῶς, ὁ σοφώτατος Κλήμης). Πόθεν, ὦ Πλάτων [τὴν] ἀλήθειαν αἰνίττῃ; Πόθεν ἡ τῶν λόγων ἄφθονος χορηγία τὴν θεοσέβειαν μαντεύεται; — σοφώτερά, φησιν (ὁ Πλάτων) τῶν βαρβάρων τὰ γένη. — Οἶδά σου τοὺς διδασκάλους, κἂν ἀποκρύπτειν ἐθέλῃς· γεωμετρίαν παρ᾿ Αἰγυπτίων μανθάνεις· ἀστρονομίαν, παρὰ Βαβυλωνίων· ἐπῳδὰς τὰς ὑγιεῖς, παρὰ Θρᾳκῶν λαμβάνεις· πολλά σε καὶ Ἀσσύριοι πεπαιδεύκασι· *νόμους δὲ τοὺς, ὅσοι ἀληθεῖς, καὶ δόξαν τὴν τοῦ* (ἴσ. γρ. περὶ) *Θεοῦ παρ᾿ αὐτῶν ὠφέλησαι τῶν Ἑβραίων*» (Προτρεπτ. σελ. 34). Μαρτυροῦσι τοῦ πράγματος τὴν ἀλήθειαν καὶ αὐτῶν τῶν ἐθνῶν οἱ παλαιότατοι φερόμενοι συγγραφεῖς. Τὰς ἀρχαίας τῶν Φοινίκων ἱστορίας συνήθροισε μὲν ὁ περὶ τὰ Τρωϊκὰ (καθὼς λέγουσι), καὶ ἑπομένως δύω καὶ τρεῖς αἰῶνας κατόπιν Μωσέως γενόμενος Σαγχωνιάθων ὁ Βηρύτιος, ἐξελλήνισε δὲ ταύτας Φίλων ὁ Βύβλιος. Καὶ πάλιν Βηρωσσὸς ἐξήγησε τὰ Χαλδαίων καὶ τὰ τῶν Ἀσσυρίων. Κάστωρ δὲ καὶ Θαλλὸς τὰ τῶν Σύρων. Καὶ ἄλλοι δὲ τῶν ἀρχαίων διέλαβον τὰ παρ᾿ Ἰνδοῖς, καὶ Χαλδαίοις καὶ Αἰγυπτίοις πρεσβευόμενα· παρ᾿ ἅπασι δὲ τούτοις τοῖς συγγραφεῦσι φέρονται πολλὰ σύμφωνα καὶ ταὐτὰ σχεδὸν τοῖς Μωσαϊκοῖς, τὰ μὲν ἐναργῶς, τὰ δὲ καὶ διαφαίνοντα διὰ τοῦ περιβεβλημένου τῆς μυθολογίας ὑμένος (α). Εἰ δὲ καὶ οἱ ἐθνικοὶ

(α) Οἷον τὰ περὶ κοσμογονίας, περὶ τῆς ἐκ τοῦ χοὸς τοῦ ἀνθρώπου δημιουργίας [ὃ καὶ αὐτὸ τὸ ὄνομα τοῦ ἀνθρώπου ἐν διαφόροις διαλέκτοις μαρτυρεῖ· οἷον Ἀδὰμ,

συγγραφεῖς ἐκ τῶν Μωσαϊκῶν ἠρύσαντο γραμμάτων πολλὰς ἀφορμὰς τῶν κατ' αὐτοὺς μεμυθευμένων θεολογικῶν, φυσιολογι-

---

παρὰ τοῖς Ἀσιανοῖς Adam (ἄνθρωπος, ὅθεν καὶ κύριον ὄνομα τοῦ πρωτοπλάστου) τὸ αὐτὸ καὶ γήϊος, ἢ γηγενὴς (Εὐσέβ. Προπ. ΙΑ, ς. σελ. 303), ὁ πηλὸς ὁ Προμηθέως (Ἡσίοδ.), καὶ Λατ. homo, οἷον χῶμος, (ὡς τὸ χῶμα), ἐκ τοῦ χόω, (χοῦς, χοϊκὸς (χὼν) χθὼν, χθόνιος) ταὐτὸ καὶ χάω, ὅθεν τὰ χαμὸς, (humus) χαμόθεν, (χαμὴ) χαμαί κτλ.], τὰ περὶ τῆς ἱερᾶς ἑβδόμης (τῶν ἑπτὰ τῆς δημιουργίας ἡμερῶν), ὁ Παράδεισος (τὰ Ἠλύσια), ἡ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας καὶ τοῦ ὄφεως ἱστορία, ἡ περίπου χιλιετὴς τῶν πρώτων ἀνθρώπων ζωὴ (Βηρωσσὸς ἐν τοῖς Χαλδαϊκοῖς, Μανέθων ἐν τοῖς Αἰγυπτιακοῖς, ὁ Θρᾷξ Ἱερώνυμος ἐν Φοινικικοῖς, καὶ ἄλλοι τῶν Ἑλλήνων ἱστορικῶν Ἑστιαῖος, Ἑκαταῖος, Ἑλλάνικος, Ἀκουσίλαος, Ἔφορος, Νικόλαος ὁ Δαμασκηνὸς, παρ' Ἰωσήπῳ Ἀρχαιολ. Α. γ. §. 9- καὶ πρὸ τούτων πάντων Ἡσίοδος. βλ. ὄπισθ. Βιβλ. Γ. κεφ. ιε. §. κ.). Καὶ τοὺς Ἀρκάδας δὲ 300 ἔτη ζῆν ἐσημείωσεν ὁ Σέρβιος (εἰς Αἰνειάδ. η). Πρόσθες τούτοις καὶ (ὃν παρέλιπεν ὁ Ἰώσηπος) τὸν Μεγασθένην, ὅστις (ἐν τοῖς Ἰνδικοῖς) ἔγραψε «περὶ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ Σιμωνίδι καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις», ὡς τούτους ἐνόμισεν ὁ Στράβων (ΙΕ, 711). Ἀπαντῶσι παρὰ τοῖς ἐθνικοῖς καὶ ὁ κατακλυσμὸς, καὶ ἡ τοῦ Νῶε κιβωτὸς, καὶ ἡ περιστερὰ, καὶ ὁ κόραξ (βλ. Βιβλ. Β. σελ. 153 καὶ Βιβλ. Γ. σελ. 483, 573), τὰ ὀνόματα τῶν εἰς τὸ πρόσωπον τῆς γῆς διασπαρέντων ἀπογόνων τοῦ Νῶε, ἐν οἷς καὶ τὰ Ἑλληνικὰ, Ἰαπετὸς (ὁ Ἰάφεθ), καὶ Ἴων, ἢ Ἰάων (Ἰωυὰν), καὶ Ἕλλην (Ἐλισὰ), ἡ τῶν Σοδόμων καταστροφὴ, ἡ ἀπολίθωσις τῆς Νιόβης (ἐκ τῆς στήλης ἁλός. Γεν.)· Ἡ παρὰ τῷ Ἀβραὰμ ξενία τῶν τριῶν Ἀγγέλων (Γεν. ιη), ἣν ὑπέφηνε καὶ Ὅμηρος ἐν ἐκείνοις· «Καί τε Θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν, ἐπιστρωφῶσι πόληας, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες. ('Οδυσ. ρ. 486). Ἡ ἱστορία τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Ἰωσὴφ, συμφώνως τῇ Μωσαϊκῇ (ἐσῴζετο παρὰ τῷ Βυβλίῳ Φίλωνι ἐκ τοῦ Σαγχωνιάθωνος, καὶ παρὰ τῷ Βηρωσσῷ καὶ Ἑκαταίῳ βλ. Scaliger Auctuar. ad Emendat. Tempor. καὶ ἐν Προλεγ. τῶν Εὐσεβ. Χρονικ.). Ἡ ἐξ Αἰγύπτου τῶν Ἰσραηλιτῶν ἔξοδος, ὑπ' αὐτοῦ τοῦ Αἰγυπτίου Μανέθωνος καὶ ἄλλων μνημονευμένη· καὶ, ἵνα παραλίπωμεν ἄλλα, αὐτὴ τοῦ Θεοῦ ἡ ἑνότης (ὃν Ὅμηρος Πατέρα ἀνδρῶν τε θεῶν τε καλεῖ· παράβαλε καὶ τὸν παρὰ Φοίνιξιν Ἦλ. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 36, 748), καὶ ἡ τῆς ψυχῆς ἀθανασία, ἣν Ὅμηρος ᾖσε, καὶ Πυθαγόρας μετὰ Πλάτωνος, καὶ Χαλδαῖοι, καὶ Ἰνδοὶ [Παυσαν. Δ. λβ. §. 4], καὶ Αἰγύπτιοι (Κλήμ. Στρωμ. ς. §. 27. βλ. καὶ Αἰνείαν τὸν Γαζαῖον καὶ Ζαχαρίαν, σελ. 8, 103. Boisson.), καὶ ἡ μετὰ θάνατον ἀνταπόδοσις. Ἡ τῷ Ἀβραὰμ τὸ πρῶτον δοθεῖσα περιτομὴ (Γεν. ιζ, 10), ἥτις διὰ τοῦ Ἰσμαὴλ καὶ τῶν ἐκ Χεττούρας Ἀβρααμιδῶν διῆλθεν ὕστερον καὶ εἰς τοὺς Ἄραβας, καὶ Αἰθίοπας, καὶ τοὺς Αἰγυπτίους. Ὁ Μάρσαμος (Marsham, Chronic. Can. p. 72), καὶ ἄλλοι μάλιστα τῶν νεωτέρων πολεμίων τῆς θείας Γραφῆς διατείνονται, ὅτι «Φοίνικες καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ (οἱ Ἰουδαῖοι)

κῶν, ἱστορικῶν διδασκαλιῶν, ἄρα καὶ οἱ Ἕλληνες διὰ τούτων ἐμμέσως αὐτῷ προσωμίλησαν τῷ πηγαίῳ καὶ θεόπτῃ προφήτῃ. Ὡς

παρ' Αἰγυπτίων ἔμαθον τὴν περιτομὴν», κατὰ τὴν Ἡροδότου (Β. 104) καὶ τὴν Διοδώρου (Α. 28) μαρτυρίαν. Ἀλλ' αὐτὸς ὁ Αἰγύπτιος Μανέθων τὸν Ἡρόδοτον ἐλέγχει πολλὰ τῶν Αἰγυπτιακῶν ὑπ' ἀγνοίας ἐψευσμένον (παρ' Ἰωσήπ. κ. Ἀπίων. Α. ιδ. πρβλ. καὶ Ἀρχ. Η. ι. §. 3). Περὶ δὲ τῆς περιτομῆς ἐλέγχει τὴν Ἡροδότου ἄγνοιαν Μωσῆς αὐτὸς, ἔτι βρέφος, ὅπερ ἐξαχθὲν τοῦ ποταμοῦ ἐγνώρισεν ἡ θυγάτηρ Φαραὼ, ὅτι ἦν « ἀπὸ τῶν παιδίων τῶν ἑβραίων » (Ἐξόδ. β, 6), ἰδοῦσα πάντως τὰ ἴχνη τῆς περιτομῆς· οἱ γὰρ Αἰγύπτιοι κατ' ἐκεῖνον οὐ περιετέμνοντο τὸν καιρὸν (Θεοδώρητ. Ἀπόρ. εἰς Ἔξοδ. ἐρωτ. γ). Καὶ ὅτε περιέτεμεν ὁ Ἰησοῦς τοὺς ἀπεριτμήτους Ἰσραηλίτας « ἀφεῖλεν ἀπ' αὐτῶν ὁ Θεὸς τὸν ὀνειδισμὸν Αἰγύπτου » (Ἰησ. ε, 9. δηλονότι τὸ ἀπερίτμητον). Ἐπὶ δὲ τοῦ Σαοὺλ καὶ αὐτοὶ οἱ ἀλλόφυλοι Φιλισταῖοι (ἢ Παλαιστινοὶ) ἦσαν ἀπερίτμητοι (Α. Βασιλ. ιζ. 36). Καὶ οἱ προφῆται, Ἱερεμίας (θ, 26), καὶ Ἰεζεκιὴλ (λα, 18. πρβλ. κη, 10) συναριθμοῦσι καὶ τοὺς Αἰγυπτίους μετὰ τῶν ἀπεριτμήτων. Διότι παρ' Αἰγυπτίοις μόνοι οἱ ἱερεῖς ὤφειλον ἐξ ἀνάγκης περιτέμνεσθαι. (Ὠριγ. εἰς Ἱερεμ. Ὁμιλ. ε. βλ. καὶ Schulz. Schol. εἰς Ἱερεμ. αὐτ.). Ὁ Ἀρτάπανος ἱστορεῖ τοὺς Αἰθίοπας παρὰ τοῦ Μωσέως μαθεῖν, τὴν περιτομὴν· «οὐ μόνον δὲ τούτους, ἀλλὰ καὶ τοὺς ἱερεῖς ἅπαντας » (παρ' Εὐσεβ. Εὐαγ. Προπ. Θ, κζ. σελ. 252). Ὁ Ὠριγένης ἀπαντῶν πρὸς τὸν ἐξ Αἰγυπτίων λαβεῖν τοὺς Ἰουδαίους τὴν περιτομὴν φλυαροῦντα Κέλσον (Α. §. 22), ἀλλ' οὗτός φησιν « ἐπίστευσεν Αἰγυπτίοις μᾶλλον, ἢ Μωσεῖ, λέγοντι πρῶτον ἐν ἀνθρώποις περιτετμῆσθαι τὸν Ἀβραάμ ». Καὶ τὴν τῶν Κόλχων καὶ Αἰγυπτίων περιτομὴν διάφορον λέγει τῆς τῶν Ἰουδαίων εἶναι, καὶ αὐτὴν τὴν τῶν Ἰσμαηλιτῶν (Ε, 41, 48), « οἳ, φησι, τρισκαιδεκαετεῖς» (καὶ νῦν 12ετεῖς) « περιτέμνονται », μεταβαλόντες τὴν ὀκταήμερον νομοθεσίαν (Φιλοκαλ. κεφ. ιβ). Ὥστε λίαν ἔπεσι θαυμάζειν τοὺς περὶ τὸν Ῥοδομύλλερον, πόθεν ἔμαθον, ὅτι «ἀναμφιβόλως τὸ ἔθιμον τῆς περιτομῆς ἦν γνωςὸν τῷ Ἀβραὰμ! διότι (λέγουσι) καὶ πρὸ τοῦ Ἀβραὰμ οἱ Αἰγύπτιοι καὶ Αἰθίοπες περιετέμνοντο, καθαριότητος χάριν »· καὶ τῆς ἀρχαιοτομίας ταύτης φέρουσι μάρτυρα τὸν Ἡρόδοτον! Ὁμολογοῦσι δὲ ὅμως, ὅτι παρ' Αἰγυπτίοις, ὡς καὶ παρ' Ἰουδαίοις, ἡ περιτομὴ ὑπῆρχε θρησκευτικὸν σημεῖον ἁγνείας καὶ σωφροσύνης (Rosenmül. εἰς Γενέσ. ιζ, 10)· πολὺ δικαιότερα περὶ τούτου συνέγραψαν Huet. ad Origen. Commen. Observation. p. 12—13: Suckford, Hist. du Monde Sacrée etc. T. 1. p. 34 καὶ ἄλλοι, καὶ Fabricy, Des titres primitifs etc. T. 1. p. CXXXVIII κτλ. Πρόσθες καὶ νόμους ἱκανοὺς, οὓς οἱ Ἕλληνες, καὶ μάλιστα οἱ Ἀθηναῖοι, ἐκ τῶν Μωσαϊκῶν ἠρύσαντο Γραφῶν· οἷον τὸν περὶ τῶν ἐπικλήρων· « Πᾶσα θυγάτηρ ἀγχιστεύουσα κληρονομίαν . . ἑνὶ τῶν ἐκ τοῦ δήμου τοῦ πατρὸς αὐτῶν ἔσονται γυναῖκες» (Ἀριθμ. λς, 8. 9), ταυτὸ καὶ τὸ «Μὴ ἐξεῖναι ταῖς ἐπικλήροις ἔξω τῆς ἀγχιστείας γαμεῖν » (Σόλων. πρβ. Διόδωρ. ιβ.). Τὸν περὶ τῶν ἀνδραποδιστῶν, οἷς θάνατος ἡ ζημία (Ἐξόδ· κα, 17: πρβ. Ξενοφ. Ἀπομν. Α. β, 62). Τὸν « ὀφθαλμὸν ἀντὶ ὀφθαλ-

εὐθυτενεῖς ἀκτῖνες ἐξ ἑνὸς ὁρμώμεναι κέντρου, προσφύονται πολλαχοῦ τῆς κυκλάδος περιφερείας, ἢ ὡς νάματα ῥυάκων ἐκ μιᾶς ἀποῤῥέοντα πηγῆς, πολυσχιδῶς ἐπινέμονται τὰς ἀρούρας, οὕτω τῆς Μωσαϊκῆς σοφίας πολλὰ διδάγματα διεδόθησαν εἰς τοὺς ἀρχαιοτάτους τῆς Ἀσίας καὶ τῆς Ἑλλάδος λαοὺς, κατὰ καιροὺς μετοχετευόμενα (α). Ἀλλὰ μήπως ἀναιρεῖται παρὰ τοῦτο καὶ ὅτι περιέτυχόν τινες τῶν φιλομαθούντων ἀρχαίων ἐθνικῶν καὶ αὐτῇ τῇ βίβλῳ τοῦ Μωσέως, ἢ κἂν ἀποσπάσμασιν αὐτῆς; Ὁ Ὅμηρος (Μουσαῖον δὲ καὶ Λῖνον καὶ Ὀρφέα τὸν Θρᾷκα, καὶ εἴ τις ἄλλος Ὁμήρου λέγεται ἀρχαιότερος, παραλείπομεν), ὁ τῷ Σολομῶντι συγχρονίσας Ὅμηρος (β) διέτριψεν ἐν Αἰγύπτῳ, καὶ τοῖς ἐκεῖ συνωμίλησεν ἱερεῦσι (Διόδωρ. α). Ὅθεν καὶ Αἰγύπτιος παρά τισιν ἐνομίσθη (Κλήμ. Στρ. α, καὶ Εὐστάθ. Ἰλ. φύλ. 476), παρ' ἄλλοις δὲ καὶ Σύρος (Ἀθήν. δ, 157)· καὶ διεβλήθη δὲ γελοίως ὡς λογοκλόπος, σφετερισάμενος καὶ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, κατὰ τὴν Μέμφιν εὑρὼν ἀποκειμένας (γ). Τί γοῦν θαυμαστὸν, εἴπερ καί τινα

μοῦ » (Ἐξόδ. κα, 24), καὶ παρὰ τοῖς Λοκροῖς, « Ἐάν τις ὀφθαλμὸν ἐκκόψῃ, ἀντεκκόψαι παρασχεῖν τὸν ἑαυτοῦ». Δημοσθ. λόγ. κγ. κ. Τιμοκράτ. §. νθ. κτλ. Μάτην ὁ Καλμέτης διατείνεται μηδένα τῶν τῆς ἐθνικῆς ἀρχαιότητος Νομοθετῶν καὶ φιλοσόφων μηδὲν ἐκ τῶν Μωσαϊκῶν παραλαβεῖν (Calmet, Dissertat. Sur les Proverb.). Πᾶν τοὐναντίον ὁ Κολβέργιος ἐφρόνησε (Colberg. Legislator. Græc. et Romanor. Mosaizant.). Καί τις τῶν ἀρχαίων, Λικίνιος Ῥουφῖνος (τῷ 540; μ. Χ.) συνέγραψε τῶν Μωσαϊκῶν νόμων πρὸς τοὺς Ῥωμαϊκοὺς παραβολὴν, ἣν ὑπεμνημάτισεν ὁ Πιθοίας (βλ. Mosaicar. et Romanar. legum collatio ex Biblioth. P. Pithœi ἐν Crit. Sacror. T. VIII. p. 150—211. London). Ἀττικῶν δὲ Νόμων Συλλογὴν ἐξέδωκεν ὁ Πετῖτος (Sam. Petit. Leges Atticæ, Paris. 1635), καὶ ἄλλοι (βλ. Fabric. Bibliograph. Antiq. p. 737).

(α) « Ὡς ἀπὸ πηγῆς (φησὶν ὁ Σύρος Τατιανὸς) οἱ Ἕλληνες ἠρύσαντο οὐ κατ' ἐπίγνωσιν (τουτ. ε ὐ γ ν ω μ ο σ ύ ν η ν) τὰ Μωσέως δόγματα. Πολλοὶ (ἴσ. γρ. πολλῇ) γὰρ οἱ κατ' αὐτοὺς σοφισταὶ κεχρημένοι περιεργείᾳ, (τὰ) ὅσα παρὰ τῶν κατὰ Μωσέα καὶ τῶν ὁμοίως αὐτῷ φιλοσοφούντων ἔγνωσαν, παραχαράττειν ἐπειράθησαν » (Τατιαν. π. Ελλην. §. 40. πρβλ. Κλήμεντ. Στρωμ. α. σελ. 312. Εὐσέβ. Προπαρ. I. 11). — (β) Βλ. Petavij, Ration. Temp. P. I. L. i. c. 13. p. 59. Colon. 1720. — (γ) Βλ. Εὐστάθ. εἰς Ἰλιάδ. Α. προοιμ. πρβλ. Damm. Lexic. Homer. vol. 2. p. 876.

τῆς Μωσαϊκῆς σοφίας τεμάχια εὗρε παρ' Αἰγυπτίοις, εἴτε ἐκ τῆς γείτονος Φοινίκης καὶ τῆς Συρίας, εἴτε καὶ ἐξ αὐτῆς τῆς Παλαιστίνης περιελθόντα, δι' ὧν τὴν ἑαυτοῦ ποίησιν οὕτω θαυμαστῶς κατεκόσμησε; (α). Πολλὴ δὲ τῷ πράγματι πιθανότης ἐπανθεῖ. Μετὰ γὰρ τὸν θάνατον Ἰησοῦ τοῦ Ναυῆ οἱ Ἰσραηλῖται καὶ συνῴκουν, καὶ ἀνεμίγνυντο, καὶ πολλάκις ἐδούλευον ἀλλοφύλοις, ἄλλοις τε καὶ Σιδωνίοις καὶ Σύροις, οἵτινες ἀναβαίνοντες ἔφθειρον καὶ ἐσκύλευον τὴν γῆν αὐτῶν (Κριτ. γ, 13). Μεταξὺ δὲ τῶν σκύλων, ἢ ἄλλως ὁπωσδήποτε, ἠδύνατο ληφθῆναι καὶ κἂν ἓν ἀντίγραφον τοῦ Νόμου, περιεργείας χάριν. Τὴν δὲ τοῦ Δαβὶδ καὶ τοῦ Σολομῶντος πρὸς τὸν Χιρὰμ, Φοινίκης βασιλέα, φιλίαν ὕμνησαν αἱ Γραφαί· (ὅτε καὶ οἱ Τύριοι πρὸς τοὺς γείτονας Ἑβραίους ἐπεμίγνυντο). Ὁ δὲ Σολομὼν ἠγάγετο γυναῖκα τὴν θυγατέρα τοῦ Φαραὼ, βασιλέως Αἰγύπτου, καὶ ἅρματα καὶ ἵππους μετέφερον ἐξ Αἰγύπτου κατ' ἔτος εἰς τὴν Ἱερουσαλὴμ οἱ ἔμποροι τοῦ Σολομῶντος (Γ. Βασιλ. δ, 34: ι, 22). Ἀλλὰ καὶ Ἱεροβοὰμ, θεράπων Σολομῶντος, διέτριψεν ἐν Αἰγύπτῳ, καταφυγὼν (Γ. Βασιλ. ια). Καὶ προσήλυτοι δὲ συνῴκουν τοῖς Ἑβραίοις ἀπὸ χρόνων ἀρχαίων. Οὐδὲν οὖν ξένον, εἴτινες τῶν εἰς Αἴγυπτον ἐλθόντων Ἑβραίων εἶχον μεθ' ἑαυτῶν καὶ ἀντίγραφα τῆς βίβλου τῆς Μωσαϊκῆς. Ὅθεν καὶ Αἰγύπτιοι πολλὰ διδάγματα παρέλαβον, καὶ μάλιςα οἱ ἱερεῖς, καὶ διετήρουν ἐν τοῖς ἀδύτοις, εἰς ἃ καὶ Πυθαγόρας κατέβη περιτμηθείς (Κλήμ.). Ἑτέρωθεν δὲ πάλιν ὁ μὲν Φίλων ἀνεχρόνισεν, εἰσαγαγὼν εἰς τὴν Αἴγυπτον ἐπ' αὐτοῦ τοῦ Μωσέως Ἕλληνας σοφοὺς, διδάσκοντας τὸν προφήτην τὴν ἑλληνικὴν φιλολογίαν (Βίῳ Μωσ. Α. σελ. 81, τόμ. α). ἀλλὰ μετὰ 500, ἢ καὶ πλείονας ἐνιαυτοὺς κατόπιν τοῦ Μωσέως (ἐπὶ τοῦ Δαβὶδ καὶ τοῦ Σολομῶντος), ἦσαν καὶ ἐν Αἰγύπτῳ πιθανώτατα Ἕλληνες σοφοὶ, μεταβαίνοντες ἐκ τῆς Ἀσίας καὶ τῆς Φοινίκης, ὡς ἀνῆλθε τότε καὶ Ὅμηρος (βλ. Βιβλ. Α. κεφ. κ. §. ια)· οὐδ' ἦσαν οἱ Ἕλληνες οὕτω σφόδρα *παῖδες νεάζοντες περὶ πάντα τὰ μαθήματα*,

(α) « Πᾶσα μὲν ἡ ποίησις τῷ 'Ομήρῳ ἀρετῆς ἐστὶν ἔπαινος· καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει, ὅ,τι μὴ πάρεργον » (Μ. Βασίλ. πρὸς τοὺς νέους).

οἵους αὐτοὺς ἐνόμιζεν ἔτεσι περίπου τετρακοσίοις μετὰ τὸν Ὅμηρον ὁ Αἰγύπτιος ἱερεὺς, διαλεγόμενος πρὸς τὸν Σόλωνα (Πλάτ.)· δείκνυσι δὲ τὸ πρᾶγμα λαμπρῶς αὐτὴ καὶ μόνη ἡ τῆς Ὁμήρου γλώσσης ἀπαράμιλλος τελειότης, οὐκ ὀλίγων χρόνων καὶ συγγραφέων ἔργον ὑπάρχουσα. Καὶ αὐτὰ τὰ τοῦ Ὁμήρου ποιήματα μετὰ ταῦτα ἐκόσμησαν τὴν Ἰνδικὴν γλῶσσαν, ἐξ ὧν ἴσως ἐδανείσαντο πολλὰ οἱ ποιηταὶ καὶ διασκευασταὶ τῶν παρὰ πολλοῖς τῶν νεωτέρων ἄγαν ἐξαρχαϊζομένων Σανσκριτικῶν συγγραφῶν· ἱστοροῦνται γὰρ καὶ Ἰνδοὶ «εἰς τὴν σφετέραν διάλεκτον καὶ φωνὴν τὰ Ὁμήρου μεταβαλόντες» (Δίων Χρυσόσ. λόγ. νγ. 3: Αἰλιαν. Π. ἱς. ιϐ, 48) (α). Καθόλου δὲ ἀπὸ τῆς εἰς Ἑλλάδα μετοικεσίας τοῦ τῷ Μωσεῖ συγχρόνου Κάδμου τοῦ Φοίνικος, καὶ Δαναοῦ τοῦ Αἰγυπτίου καὶ ἐφεξῆς, πολλὴ καὶ τῶν ἐκ τῆς Ἑλλάδος μετὰ Φοινίκων καὶ Αἰγυπτίων ἦν ἡ ἐπιμιξία (βλ. Βιϐλ. Β. γ. §. ιε). Διῆλθε δὲ καὶ τὴν Φοινίκην ὁ τὰ Σι-

(α) Καὶ τῆς Ἀριστοτέλους Διαλεκτικῆς Ἰνδικὴ (Σανσκριτικὴ) μετάφρασις λέγεται (ϐλ. Asiat. Journ. 1827. June, p. 814). Ὁ δὲ Kanne (Mytholog. pag. 42. πρϐ. καὶ Meyers Mytholog. Lexic. Th. I. p. 228, 253, 261) παρετήρησε συμφωνίαν τῶν Ὀρφικῶν ἰδεῶν πρὸς τὰς ἰνδικάς· καὶ τὰς τέσσαρας μεγάλας ἐποχὰς τῶν Ἰνδῶν (Kali-juga κτλ. ϐλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 721) παραϐάλλουσι πρὸς τὰς παρ' Ὀρφεῖ τέσσαρας ϐασιλείας (τοῦ Οὐρανοῦ, τοῦ Κρόνου, τοῦ Διὸς, τοῦ Διονύσου. Βλ. Creuzer, Symbolik etc. 3 Bd. p. 316. Leipzig. 1821)· οἱ δὲ καὶ τοῦ Ἄσματος τῶν Ἀσμάτων χαρακτῆρας ἐνεῖδον ἐν τῇ Γιταγοϐίνδᾳ, ποιήματι τῶν Ἰνδῶν (Βλ. I. H. Kistemaker, Canticum Canticorum illustratum ex Hierographia Orientalium. Monasterij, 1818). Ἑτέρωθεν δὲ πάλιν ὁ Σχλεϊρμάχερος (Schleiermacher) ἔγραψεν, ὅτι ὁ θεῖος καλούμενος ἀλφάϐητος (Dewanagari) τῆς Σανσκριτικῆς γλώσσης ἀρχὴν ἔχει ἐκ τῶν Σημητικῶν (ἀπὸ τοῦ Σὴμ) λεγομένων διαλέκτων (ϐλ. Adelung, Versuch einer Literat. der Sanskrit - Sprache, pag. 45. Petersbourg, 1830). Ὁ δὲ Βολνέϋς τὸν Σανσκριτικὸν ἀλφάϐητον παρήγαγεν ἐκ τῶν Φοινίκων (ϐλ. Revue Encyclop. 1819. Aout, p. 334)· ἄλλοι δὲ θέλουσι τοῦτον Χαλδαϊκὸν (ϐλ. Murray, History of the Europæan Languages. vol. 2. p. 392. Edimburg, 1823). Τὴν δὲ πρὸς τὴν ἑλληνικὴν συγγένειαν τῆς Σανσκριτικῆς ἀπέδειξαν ὁ Bopp, ὁ Murray, ὁ A. Schlegel, ὅστις παρέϐαλεν ἱκανὰς Σανσκριτικὰς λέξεις καὶ πρὸς Ἑϐραϊκὰς καὶ Φοινικικάς· ϐλ. «Indien in s. Harptbeziehungen von A. W. v. Schlegel», in dem Berliner Taschenbuch für 1829, p. 8. καὶ De usu linquae Brachmanum Sacræ in causis linquæ Græcæ et latinæ indagandis, Bonn, 1819.

δωνίων ἔργα κάλλιστα διαγράφων ἀρχηγέτης τῆς γεωγραφίας Ὅμηρος (α). Μετὰ δὲ ταῦτα Θαλῆς μὲν ὁ Μιλήσιος Φοῖνιξ ἦν, ἀπὸ Κάδμου τὸ γένος ἕλκων (Λαέρτ.). Καὶ τὸν Φερεκύδην δέ τινες οὐ μᾶλλον Σύριον (ἐκ τῆς νήσου Σύρου), ἢ Σύρον (ἐκ Συρίας) ἐνόμισαν (β)· ὁ δὲ πάλιν Σόλων ἐξ Ἀθηνῶν, καὶ Λυκοῦργος ἐκ τῆς Κρήτης ἀπέπλευσαν εἰς Αἴγυπτον. Τὸν δὲ Πυθαγόραν εἴδομεν καὶ τὴν Αἰγυπτίων γλῶσσαν μαθόντα, καὶ παρ' Ἰουδαίοις ἐλθόντα· «παρ' Ἑβραίων καὶ τὴν περὶ ὀνείρων γνῶσιν ἠκριβώσατο» (γ). Διατρίψας δὲ ἐν Αἰγύπτῳ εἴκοσι καὶ δύω ὅλους ἐνιαυτοὺς ὁ Πυθαγόρας, ὕστερον καὶ εἰς τὴν Περσίαν ἐπὶ τοὺς Μάγους ἀπῆλθε (Ἰαμβλιχ. περὶ Πυθαγορείου βίου, κεφ. Δ) (δ). Ὁ δὲ Δημόκριτος οὐ μόνον πρὸς Χαλδαίους, καὶ Πέρσας, καὶ τοὺς γυμνοσοφιστὰς τῆς Ἰνδίας, καὶ εἰς Αἰθιοπίαν καὶ τὴν Ἐρυθρὰν θάλασσαν παρεγένετο, ἀλλὰ καὶ ἐν Αἰγύπτῳ συνδιέτριψε τοῖς σοφοῖς (Λαέρτ. Θ. ζ)· ἐν οἷς ἦν καὶ Μαρία τις Ἑβραία σοφή (Συγκέλ. Χρονογρ. σελ. 471). Ὑπῆρχον δὲ ἐπὶ Δημοκρίτου κατ' Αἴγυπτον Ἰουδαῖοι, πολὺ πρότερον ἐπὶ Ψαμμητίχου συνελθόντες, καὶ ἄλλοι πάλιν ὕστερον ἐπὶ τοῦ Πέρσου (ὁπότε

(α) Ὅθεν καὶ εἰς τὴν Παλαιστίνην διαβῆναι, καὶ τὰ Δαβίδου καὶ Σολομῶντος ἀναγνῶναι τὸν Ὅμηρον ἐθέλει ὁ Πασσέριος (Comm. de Homeri religione, in Nuova Racolta d'Opusculi scientifici etc. vol. XXVI. Venet. 1774). Μέρη τῶν θείων Γραφῶν ἀναγνόντα τὸν ποιητὴν εἰσάγουσι καὶ Mericus ὁ Casaubon (De nupera Homeri editione. Londin. 1695. p. 46), καὶ Riccius (in Dissert· Homericis Dissert. 30. p. 110), καὶ Ἰάκωβος ὁ Cappellus (Collect. Elegant. Homericarum etc. in Vindiciis pro Isaaco Casaubono, Libr. 4. c. 11—21) κτλ. Οἱ δὲ περὶ τὸν Φαβρίκιον ἄγαν φειδωλῶς ἐκ μόνης τῆς μετὰ τῶν Ἀσιανῶν ἐθνῶν, καὶ μάλιστα τῶν Αἰγυπτίων, συναναστροφῆς παριστάνουσι τὸν Ὅμηρον (ὕστερον δὲ καὶ τὸν Πυθαγόραν) ἀρυσαμένους ἀσαφεῖς τινας ἐννοίας περὶ τοῦ ἀληθινοῦ Θεοῦ (Biblioth. Græc. vol. 1. p. 534, 559 καὶ 757 Harl.).

(β) Βλ. Tiedemann, Griechenlands erste Philosophen p. 154.

(γ) Πορφύρ. Πυθαγ. βίῳ σελ. 185. Cantab. 1655.

(δ) Καὶ τοῖς Ἰνδοῖς γνωστὸν παριστάνουσι τὸν Πυθαγόραν οἱ πολλὰ ταῖς ἀληθείαις ψεύδη συναναφύροντες Ἄραβες. Ὁ Σαχρεστανὶ (Schahrestani) ἱστόρησεν, ὅτι δύω τῶν Πυθαγόρου τοῦ Σαμίου μαθητῶν, ὁ μὲν ἀπῆλθε διδάξων τοὺς Πέρσας, ὁ δὲ τοὺς Ἰνδούς (βλ. A. Schmoelders, Essai sur les Ecoles Philosophiques chez les Arabes etc. p. 94. Paris 1842).

καὶ Ἕλληνες εἰς Αἴγυπτον συνῳκίσθησαν) (α)· καὶ μετὰ Θρᾳκῶν δὲ συνοικοῦντας Ἰουδαίους ἀνέγνωμεν. «Ὀδομάντων ἔθνος Θρᾳκικόν· φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι» (β).

§. ι. Ἀλλὰ τὰ περὶ παντοδαπῆς τῶν ἀρχαίων ἐθνῶν ἐπιμιξίας καὶ ἀλληλοδιδασκαλίας, οὔτε τῆς παρούσης προθέσεως, καὶ λόγου δεῖται μακροῦ. Ἡμεῖς δ' ἐκ τῶν ὀλίγων τούτων συμπεραίνομεν, ὅτι τὰ μὲν πρῶτα σπέρματα τῆς ἱερᾶς ἱστορίας παρέλαβον ἐκ τῶν πατριαρχικῶν παραδόσεων τὰ ἀρχαιότατα τῆς Ἀσίας ἔθνη, ἐν οἷς καὶ αὐτοὶ οἱ Ἕλληνες. Καθότι οἱ ἀπόγονοι τοῦ Σὴμ, ἐξ ὧν καὶ οἱ Ἑβραῖοι, ἦσαν ἀδελφοὶ τῶν υἱῶν τοῦ Χὰμ καὶ Μισραΐμ, ἐξ ὧν καὶ οἱ Αἰγύπτιοι, καὶ προσέτι τῶν υἱῶν τοῦ Ἰαπετοῦ, ἢ τοῦ *Ἰάφεθ*, ἐξ ὧν καὶ οἱ Ἕλληνες, τὰ τέκνα τοῦ *Ἰωὰν* (τοῦ *Ἰάονος*, ἢ *Ἴωνος)* καὶ τοῦ *Ἐλισὰ* (τοῦ Ἕλληνος). Ἀμιγὴς διεσώθη καὶ ἄχραντος παρὰ τοῖς Ἑβραίοις ἡ τῆς ἀληθοῦς θεογνωσίας διδασκαλία, ἀπὸ τῶν πρώτων Πατριαρχῶν μέχρι καὶ τοῦ Μωσέως ἄγραφος

(α) Κᾶρες καὶ Ἴωνες· «Καὶ παῖδας αὐτοῖσι παρέβαλεν (ὁ Ψαμμήτιχος) Αἰγυπτίους, τὴν Ἑλλάδα γλῶσσαν ἐκδιδάσκεσθαι· ἀπὸ δὲ τούτων ἐκμαθόντων τὴν γλῶσσαν οἱ νῦν ἑρμηνέες ἐν Αἰγύπτῳ γεγόνασιν» Ἡρόδ. β, 154.

(β) Σχολ. Ἀριστοφ. εἰς Ἀχαρν. στίχ. 156. τινὲς δὲ τούτους Ἰδουμαίους κυρίως ὑπέλαβον, ἢ Ἰσραηλίτας διαφυγόντας ἐπὶ τῆς ὑπὸ Σαλμανασάρου καταστροφῆς τῶν Ἰσραηλιτῶν. Παράβαλε καὶ τὴν Ἑρμίππου μαρτυρίαν ἐκείνην «ὅτι τὰς τῶν Ἰουδαίων καὶ Θρᾳκῶν δόξας Πυθαγόρας ἐμιμεῖτο» (βλ. ὄπισθ. σελ. 16), ὅπου Κλέρικος πρῶτος (Biblioth. Chois. T. X. p. 167), καὶ μετ' αὐτὸν Φαβρίκιος (Bibl. Gr. T. 1. p. 764), καὶ Τιδεμὰν (l. c. p. 237) ἔκριναν, ὅτι δῆθεν Ἰώσηπος μὴ νοήσας τοὺς Ἑρμίππου λόγους, ἔγραψε ψευδῶς Ἰουδαίων, ἀντὶ Ἰδαίων (κατοίκων δηλονότι τῆς ἐν Θρᾴκῃ Ἴδης). Ἀλλὰ Δακτύλους μὲν Ἰδαίους οἴδαμεν, καὶ κόλπον Ἰδαῖον, καὶ Ἰδαίαν θεὰν, τὴν Ῥέαν (Στράβ.). Ἰδαίους δὲ ἁπλῶς ὡς ἐθνικὸν, οὐκ ἀνέγνωμεν. Κἂν δὲ καὶ τοῦτο τεθῇ, ἀλλ' αὐτὴ ἡ σύνταξις τοῦ λόγου ἐξελέγχει τὸ σφάλμα τῶν κριτικῶν. Κατὰ γὰρ τὴν ἀνάγνωσιν αὐτῶν, ὁ Ἕρμιππος διέκρινε τοὺς Ἰδαίους ὡς διαφόρους τῶν Θρᾳκῶν· καὶ φαίνεται ὁ Ἕλλην ἱστορικὸς παντάπασιν ἀγεωγράφητος· ὅπερ, εἰ προσέσχον, οὐκ ἂν ἔστεξαν πάντως οὐδ' αὐτοὶ οἱ σοφοὶ, οἱ κρεῖττον Ἰωσήπου ἀναγινώσκοντες, καὶ σοφώτερον Ὠριγένους διορθοῦντες ὃν οὐκ εἶδον Ἕρμιππον! Ἀλλ' ὑπὲρ τῆς ὀρθῆς Ἰωσήπου ἀναγνώσεως ἀπολογεῖται καὶ Μεγασθένης, καὶ οἱ παρ' αὐτῷ ἐν Συρίᾳ φιλοσοφοῦντες Ἰουδαῖοι, καὶ Πορφύριος (βλ. ὄπισθ· σελ. 29, καὶ 38).

διὰ στόματος παραδιδομένη. Ἐκ δὲ τῆς μακρᾶς παροικίας τῶν εἰς μίαν τῆς Αἰγύπτου γωνίαν παροικησάντων καὶ πληθυνθέντων Ἰσραηλιτῶν, ὅτι καὶ οἱ τότε εἰδωλολατροῦντες Αἰγύπτιοι (ὅσον ἂν σφοδρῶς ὑποτεθῶσι μισοῦντες τὸν παρ' αὐτοῖς ἑτερόθρησκον καὶ ἑτερόγλωσσον λαὸν), ἀπεμάττοντο καί τινας ἀληθείας, συμφύροντες αὐτὰς μετὰ τῶν παρ' αὐτοῖς *πολιῶν* (ὡς ἐκαυχῶντο) *μαθημάτων*, οὐδεὶς ἂν ἀρνηθείη δίκαια φρονῶν. (Οὕτω καὶ αὐτοὶ τἀνάπαλιν οἱ Ἰσραηλῖται συνέλαβον ἐκ τῆς τῶν Αἰγυπτίων θρησκείας τύπους τινὰς εἰδωλοποιΐας, εἰς ἣν καὶ ἐξετραχηλίσθησαν ἐν τῇ ἐρήμῳ μοσχολατρήσαντες). Καὶ ἄλλας πάλιν πλείονας ἀληθείας ἐξέμαθον οἱ Αἰγύπτιοι, ὡς ἀνέλαμψε τὸ τῆς Μωσαϊκῆς θεοσοφίας κάλλιστον φέγγος. Ὡσαύτως καὶ Ἰνδοὶ καὶ Φοίνικες καὶ Χαλδαῖοι καὶ τ' ἄλλα τὰ τῆς Ἀσίας ἀρχέγονα ἔθνη. Καὶ πάλιν οἱ μετ' αὐτῶν ἐπιμιγνύμενοι Ἕλληνες πολλὰ καὶ τῶν Μωσαϊκῶν παρελάμβανον, συγκολλῶντες αὐτὰ καὶ συνάπτοντες μετὰ τῆς παρ' αὐτοῖς σειρηνώδους καὶ κωτίλλης μυθολογίας, «*ὡς ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ* (μᾶλλον δὲ, χαλκῷ καὶ μολύβδῳ) *ἀνήρ*» (α). Ἐν δὲ ταύτῃ τῇ ποικίλῃ τῶν γνώσεων ἀναμίξει, ὅτι τινὲς καὶ ἀντιγράφῳ τῆς Μωσαϊκῆς περιέτυχον Πεντατεύχου (καὶ πάλαι μὲν ἴσως, μάλιστα δὲ μετὰ τὴν εἰς Ἀσσυρίαν καὶ Χαλδαίαν καὶ τὴν Αἴγυπτον αἰχμαλωσίαν τῶν Ἰουδαίων), καὶ ὅτι, εἴτε δι' ἑρμηνέων, εἴτε δί-

---

(α) Ὁ δὲ περίφημος ἱστορικὸς καὶ φιλόσοφος Σχλέγελος ἀπὸ μὲν Αἰγυπτίων καὶ Φοινίκων καὶ τῶν ἄλλων τῶν ἀρχαίων τῆς Ἀσίας ἐθνῶν φρονεῖ τοὺς Ἕλληνας ἀπανθίσαντας ἐννοίας θρησκευτικὰς, καὶ ἀπ' αὐτῶν δὲ, τέλος, τῶν Ἰνδῶν, οἷον ἀπό τινος ὀπισθοδόμου, θείων γνώσεων κειμήλια παραλαβόντας, καὶ ταύτας δὴ τὰς Ἀσιανὰς καθόλου περὶ τῶν θείων δοξασίας εἰς τὸ κάλλιστον καὶ τελειότατον εἶδος δαιμονίως μεταποιήσαντας· Ἀπὸ δὲ τῶν Ἰουδαίων οὐδὲν ἐθέλει δανεισαμένους οὔτ' αὐτοὺς τοὺς Ἕλληνας, οὔτε τῶν ἄλλων τῶν ἀρχεγόνων ἐθνῶν τῆς Ἀσίας οὐδέν. Μόνον μεταξὺ Περσῶν καὶ Ἰουδαίων εὑρίσκει πολλὴν συνάφειαν καὶ συγγένειαν θρησκευτικῶν ἐννοιῶν. Ἀλλ' αὐτὸς οὗτος ὁ κλεινὸς ἀνὴρ παρακατιὼν, τίθησι τὴν Μωσαϊκὴν παράδοσιν ὡς μεσαίτατον κέντρον, ἐξ οὗ δύναταί τις κατιδεῖν τὴν περὶ τὰς θρησκευτικὰς καὶ τὰς ἄλλας νοερὰς γνώσεις διάπλασιν τῆς διανοίας τῶν Ἀσιανῶν ἐθνῶν. βλ. **Fr. Schlegels, Geschichte der alten und neuen Litteratur. I. Bd. p. 23** καὶ **147—150. Wien, 1815.**

γλωσσοί τινες (οἷος καὶ Πυθαγόρας, καὶ Ἀνάχαρσις ὁ Σκύθης ὑπῆρξε· Λαέρτ. Α. ζ. §. 2: Η. α. §. 3) τὴν Βίβλον ἀνέγνων, καὶ ὅτι, τέλος, ἐφιλοπονήθη καί τις ἐξ αὐτῆς οἱαδήποτε συλλογὴ καὶ ςαχυολογία ἑλληνικὴ μεταξὺ τῶν Πυθαγόρου καὶ τοῦ Πλάτωνος χρόνων, φαίνεται πρᾶγμα συμφωνοῦν τῇ ςάθμῃ τῆς ἀληθείας. Ἐκείνοις δὲ μόνον ἔξεστιν ἰταμῶς ἀντιλέγειν, ὅσοι τὰς μὲν περὶ τούτου παραδόσεις τῶν παλαιῶν ἀποπτύουσιν (ὡς ἂν εἴπερ ἦσαν αὐτοὶ Λυγκέως ὀξυδερκέστεροι, διαβλέποντες καὶ ἐξακριβοῦντες καὶ αὐτὰς τὰς ἐν τῷ βάθει τῶν σκοτεινῶν τῆς ἱστορίας αἰώνων ἐγκεκρυμμένας ἰδίας ἑκάστου τῶν τότε σοφῶν μελέτας καὶ περιστάσεις), παρατρέχουσι δὲ καὶ τὴν συμφωνίαν τῶν ἐν πᾶσι τοῖς ἀρχαίοις ἔθνεσιν ἀρχικωτέρων ἀληθειῶν, ὅσαι διαφαίνονται περί τινας ἐννοίας θρησκευτικὰς μάλιστα, καὶ ἱστορικὰς, καὶ νομικάς· καὶ δὴ καὶ παρεισάγουσι τοὺς ἀρχαίους Ἕλληνας ἀπὸ βίβλου μὲν οὐδόλως οὐδὲν τῶν Μωσαϊκῶν ἐπιγνόντας, ἀλλ᾽ ὡς ἄλλους σπερμολόγους, εἰς ὅλων τῶν τῆς ἀρχαιότητος ἐθνῶν τὰς χώρας ἄλλοτε ἄλλους περιϊόντας, καὶ συλλέγοντας ὀλίγα τινὰ σπέρματα τῆς Ἑβραϊκῆς φιλοσοφίας! (α). Καὶ ἐξέβησαν μὲν τοὺς ὅρους τῆς μετριότητος, ὅσοι πάντα τὰ τῶν ἐθνικῶν, καὶ μάλιστα τὰ τῶν Ἑλλήνων, οὕτως ἀκρατῶς καὶ βεβιασμένως, καὶ οὐδὲ μετὰ τῆς προσηκούσης ὁσιότητος καὶ εὐλαβείας, ἐκ τῶν θείων ἐξάγουσι γραφῶν, ὥστε παρέστησαν καὶ τὸν Ὅμηρον ἑβραΐζοντα τά τε ἄλλα, καὶ τὴν φράσιν ὅλην σχεδόν· τοιαῦτα κατεμόχθησαν οἱ περὶ τὸν Κροίσιον καὶ τὸν Βόγαν (β). Ἀλλ᾽ οὐχ

(α) Ὁ κλεινὸς Ὑέτιος πολλὰ τῆς ἐθνικῆς μυθολογίας ἐκ τῶν Μωσαϊκῶν τευχῶν παραμορφωθέντα σαφῶς καὶ ἀβιάστως, εἰ καὶ μὴ πανταχοῦ (ὡς ὤφειλεν), ἀποδείξας, προστίθησι καὶ τὰ ἑξῆς. Neque id contendo sane, ex uno Mosis volumine fuisse petitum quidquid nobis Mythici obtruserunt. Nonnulla ipsis subministrarunt Aegyptij, fabulosa gens, quorum figmentis nova sua addentes Græci eo provexerunt, ut in tam diversa commenta, velut membratim discerpta, veritas vix recolligi et uni formæ reddi possit. Hoc tantum mihi credi velim, et ad rem, quam probo, satis est. Si non omnia, at plurima certe a Mose Græcos sumsisse » etc. Dem. Evangel. Pr. IV. c. 10. T. 1. p. 144.

(β) Βλ. Ger. Crœsij, Ὅμηρος Ἑβραῖος. Dordrac. 1704, καὶ Zachar.

ἧττον ἐπλανήθησαν καὶ ὅσοι τὴν ἑλληνικὴν σοφίαν ἀμύητον παντάπασι καὶ ἄγευςον τῆς Μωσαϊκῆς θεοσοφίας ἐσπούδασαν ἀποδεῖξαι, ὡς οἱ περὶ τὸν Βρύκκερον (α), καὶ Κλέρικον (β), καὶ τὸν Τιδεμᾶνα (γ). Βανδάλην δὲ τὸν, ὡς οἱ φαῦλοι τῶν συνηγόρων, ἑαυτὸν τῷ ψεύδει καταμισθώσαντα, καὶ πολλὰ καὶ δεινὰ κατά τε τῶν θείων Πατέρων καὶ τῶν ἄλλων τῶν ἀρχαίων, καὶ τῶν τούτοις συμφωνούντων νεωτέρων, ἀσχημονούσαις καὶ φρεσὶ καὶ γνάθοις ἀναφυσήσαντα, χαίρειν ἐῶμεν, ὡς λιγυρὸν φυσίγναθον ἀντᾴδοντα πρὸς ἀηδόνας (δ).

Bogan, Homerus ἑ β ρ α ΐ ζ ω ν. Oxoniæ, 1658. Ἀλλὰ καὶ ὁ σοφὸς Εὔνσιος ἀμετρότερος ἔδοξεν ἐν οὐκ ὀλίγοις, ὅστις καὶ τὴν Ἀττικὴν αὐτὴν παρήγαγεν ἐκ τοῦ ἑβρ. hatti, οἱ ἀ ρ χ α ῖ ο ι (Aristarch. p. 11). Πολὺ δὲ παρὰ τούτους σωφρονέστεροι ὅ,τε Δράσδος (Drasdo, Comparatio Mosis et Homeri commentat· sive Historia Hebræorum ab Homero conscripta. Wittemb. 1783), καὶ ὁ τούτου δειλότερος Ἰ. Μύκκης (Mucke, Quid adjumenti Sacrar. liter. interpreti præstet Homeri cum sacris scriptoribus comparatio, Lipsiæ, 1789).

(α) Bruckeri, Histor. Critic. Philosoph. T. 1. p. 1006. — (β) Le Clerc. Biblioth. Choisie. Tom. X. p. 163-167.

(γ) Tiedemann, Griechenlands erste Philosophen. p. 238. Leipzig. 1780.

(δ) Βλ. Van-Dale, Diss. super Hist. Aristea c. XXvïI. XXVII. p. 196—208. ὅπου ὁ περινούστατος οὗτος συγγραφεὺς μεταξὺ τῶν ἄλλων τῶν ἐπαριστέρων ἐπιχειρημάτων, δι' ὧν οἴεται ἐξελέγχειν τὴν παρὰ τῷ Ἀριστοβούλῳ ἀρχαίαν (πρὸ τῶν Ο) ἑρμηνείαν τῆς Πεντατεύχου, ὡς ἐπίπλαστον, προστίθησι (σελ. 203) καὶ ὅτι «ἐπὶ Ὁμήρου καὶ τῶν ἄλλων τῶν ἀρχαίων σοφῶν οὐδὲ παρ' Ἰουδαίοις αὐτοῖς ὑπῆρχεν ἡ Πεντάτευχος συγγεγραμμένη· συνεγράφη δὲ τὸ πρῶτον ὑπὸ τοῦ Ἔσδρα, συλλέξαντος τὰς ὑποθέσεις ἔκ τινων βιβλίων (προφητικῶν ὅμως), καὶ τῶν ὑπὸ τοῦ Μωσέως καὶ τοῦ Ἰησοῦ διὰ στόματος παραδεδομένων νόμων, καθὼς (φησιν) αὐτὸς ἀπέδειξεν ἀλλαχοῦ». Ταῦτα ὁ περίσοφος ἀνήρ! μηδόλως ἐνθυμηθεὶς, ὅτι καὶ ἄλλοι πολλοί τινες ἔτι κατὰ τοὺς αὐτοῦ χρόνους ἀνέγνων τοὺς περὶ τὸν Σιμώνιον (Hist. Crit. V. Test. c. 2), ἐξ ὧν αὐτὸς μεταγράψας ταῦτα δὴ (τί ζηλώσας ἐν αὐτοῖς;) τὰ παρὰ πολλῶν ἀποσκυβαλισθέντα (βλ. Dupin, Nouv. Bibl. Diss. Prelim. p. 33), ἔπειτ' ἐπέγραψεν αὐτὰ εἰς ἑαυτὸν, ὡς ἴδιον εὕρημα, ὁ Βανδάλης! Ὁ Βανδάλης, ὅστις καὶ τὴν Ἀριστέου νοθείαν ἐξελέγχων (!), ἓν τῶν τεκμηρίων τῆς ἐν αὐτῷ ψευδολογίας ἐπέφερε καὶ τοῦτο (σελ. 111), ὅτι ὁ Ἀριστέας εἶπε τὸν Ἰορδάνην πληρούμενον, καθὼς ὁ Νεῖλος, ἐν τ α ῖ ς π ρ ὸ ς θ ε ρ ι σ μ ὸ ν ἡ μ έ ρ α ι ς». Ὅτι δὲ καὶ ἐν τῇ θείᾳ γέγραπται Γραφῇ, «Ὁ δὲ Ἰορδάνης ἐπληροῦτο καθ' ὅλην τὴν κρηπῖδα αὐτοῦ, ὡς ἐν ἡμέραις θερισμοῦ πυρῶν» (Ἰησ. γ, 15), καὶ πάλιν,

§. ια. Ταῦτα συνελέξαμεν λιτὴν ἐκ τῶν λιτῶν ἡμῶν παρατηρήσεων σταχυολογίαν· ὁ δὲ θέλων πολύχουν θερισμὸν εὑρήσει παρά τε τοῖς ἀρχαίοις, καὶ μάλιςα παρὰ τοῖς περικλεεστάτοις τῶν νεωτέρων,

---

«Ὡς ὁ Ἰορδάνης (ἀναπληροῦται) ἐν ἡμέραις θερισμοῦ» (Σ. Σειρὰχ κδ, 26), ταῦτα πάντως οὐκ ἐγίνωσκεν ὁ Βανδάλης! Ὁ Βανδάλης, ὅστις ἐπιτωθάζων καὶ τὸν Ὑέτιον καὶ τὸν Βοχάρτον, εἰπόντας ἀμφοτέρους τὸν παρὰ τῷ Σαγχωνιάθωνι Ἱερόμβαλον εἶναι τὸν αὐτὸν καὶ τὸν Γεδεών, ἀνακράζει· «θέλομεν μαθεῖν παρ' αὐτοῦ τοῦ Ὑετίου καὶ τοῦ Βοχάρτου, πόθεν ὁ Ἱερόμβαλος οὗτος ἐγένετο Γεδεών» (**Van Dale, Dis. super Sanchoniath. p. 479.**)· ἀλλ' ὅτι καὶ ὁ Γεδεὼν ἐν τῇ θείᾳ Γραφῇ οὐχ ἅπαξ ἐπονομάζεται Ἱεροβάαλ (Κριτ. ς. 32: ζ, 1: η, 35), τοῦτο ἄρα ἠγνόει ὁ σοφὸς ἀνὴρ, ὥς φησιν ὁ Δεμάγιστρος (σελ. 613). Ὡς δ' ἡμῖν δοκεῖ δικαιότερον κρίνειν, ἐγίνωσκε μὲν ἴσως τοῦτο ὁ Βανδάλης (ἀνέγνω γὰρ παρ' αὐτῷ τῷ Ὑετίῳ τὰ χωρία τῆς Γραφῆς σεσημειωμένα), ἕτερον δὲ πάντως ἐξελάμβανε τὸν τοῦ Σαγχωνιάθωνος Ἱερόμβαλον παρὰ τὸν τῆς Γραφῆς Ἱεροβάαλ (τὸν Γεδεών), διότι ἀνεγίνωσκε κατὰ τὴν Μασορίτιδα γραφὴν Ἱ ε ρ ο υ β β α ὰ λ (**Ierubbaal**), ὅπερ «οἱ νομιζόμενοί (φησιν) Ο διέστρεψαν εἰς τὸ Ἱ ε ρ ο β ά α λ» (αὐτόθ.). Ἀλλὰ τὴν μὲν κατὰ τοὺς Ο γραφὴν μαρτυρεῖ καὶ αὐτὸς ὁ Σαγχωνιάθων, καὶ μᾶλλον ὁ τοῦτον ἐξελληνίσας Φίλων ὁ Βύβλιος, ἐξενεγκὼν τὸ Ἱ ε ρ ο β ά α λ κατὰ τὸν τύπον ἑλληνικώτερον (μετὰ τοῦ εὐφωνικοῦ μ) Ἱ ε ρ ό μ β α λ ο ν. (Ὁ δὲ Ἰάξων καὶ τοῦτο ἀναγινώσει Ἱερόβαλον. βλ. **Fabric. Bibl. Græc. T. 1. p. 223**). **Ierobaal** ἔγραψε καὶ Ἱερώνυμος (ἐν τῇ κατ' αὐτὸν Βουλγάτᾳ, καὶ ἄλλοι τῶν ἀρχαίων, καὶ αὐτῶν δέ τις τῶν καθ' ἡμᾶς Ἰουδαίων κριτικῶν **Ieroubâal** (δι' ἑνὸς β) (**Cahen, Iug. VI, 32, not.**). καὶ ἔστι πολλάκις ἀδιάφορος ἔν γε τοῖς τοιούτοις ἡ τῶν συνθέτων κυρίων ὀνομάτων συγκεκομμένη γραφὴ (σύγκειται δὲ τὸ Ἱεροβάαλ (**Ieroubbaal**) ἐκ τῶν λέξεων Ι α ρ ε β β ο **h** α β α α λ, τουτ. δ ι κ ά σ ε ι ἐ ν α ὐ τ ῷ ὁ Βάαλ» (Κριτ. ς, 32. βλ. Βοχάρτ. **Geogr. Sacr. L. II. c. 17**). Καὶ ἄλλως δὲ, τὸ λέγειν τὸ Ἱεροβάαλ (καὶ Ἱερόβαλον) διάφορον τοῦ Μασοριτικοῦ **Ierubbaal**, ἔστι τὸ αὐτὸ, ὡς εἰ καὶ ἔλεγεν ὁ Βανδάλης καὶ τὸ Γ ε δ ε ὼ ν (οἱ Ο, Ἰώσηπ. Ἱερώνυμ. κτλ.) διάφορον τοῦ νῦν ἑβρ. Γ υ ι δ ὼ ν (**Guidon: Cahen l. c.**), ὡς ἐτόνισαν οἱ Μασορῖται. Τελευταῖον, ὁ Βοχάρτος καὶ ὁ Ὑέτιος παράγοντες τὸν Σουΐδαν καὶ τὸν Σύγκελλον, ὡς μάρτυρας τοῦ ὀνόματος, ψέγουσιν ἀμφοτέρους ὡς ψευδῶς ἐτυμολογοῦντας. «Ἱεροβάαλ· οὕτως ἐκαλεῖτο ὁ Γεδεών, διὰ τὸ ἱερὸν τοῦ Βάαλ» (Σουΐδ.). Ἀλλὰ ταῦτα λέγων ὁ λεξικογράφος οὐχ ἐτυμολογεῖ τὸ Ἱ ε ρ ο β ά α λ παρὰ τὸ ἱ ε ρ ὸ ν τ ο ῦ Β ά α λ (ὡς ἔδοξε τοῖς περὶ τὸν Βοχάρτον), ἐξέφρασε δὲ συντόμως τὴν αἰτίαν δι' ἣν ἐδόθη τῷ Γεδεὼν τὸ ἐπώνυμον, ἀναφέρων τὸν λόγον εἰς ἐκεῖνα τὰ τῆς Γραφῆς· «Κα ἐκάλεσεν αὐτὸν Ἱεροβάαλ, λέγων. Δικαζέσθω ἐν αὐτῷ ὁ Βάαλ, ὅτι κ α θ ῃ ρ έ θ η τὸ θ υ σ ι α σ τ ή ρ ι ο ν α ὐ τ ο ῦ» (Κριτ. ς, 32). Ἐν δὲ τούτοις σημειωτέον ἐμπαρόδως τὰ παρὰ τῷ Σουΐδᾳ (ἐκδ. **Küster**) ἐν τῷ κατόπιν τ ο ῦ Ἱ ε ρ ο β ά α λ ἄρθρῳ· «Ἱ ε ρ ο β ο ὰ μ ἀ δ ε λ φ ὸ ς Γ ε δ ε ὼ ν»· ὅπου πρῶτον μὲν γρα-

Γροτίῳ (α), καὶ Ὑετίῳ (Εὐαγγ. Ἀποδείξ.), καὶ Βοχάρτῳ (ἐν Χαναάν), καὶ Σελδήνῳ (β), καὶ Γάλῃ (γ), καὶ Κυδουδόρθῳ (δ), καὶ Συκκοφόρδῳ (ε), καὶ ἄλλοις (ζ), οἵτινες ἐνεῖδον τηλαυγῆ τῆς Μωσαϊκῆς

πτέον Ἱ ε ρ ο β ά α λ ὁ α ὐ τ ὸ ς Γ ε δ ε ὼ ν· ἔπειτα δὲ διακριτέον τὰ (μετὰ τὸ ὑ π ο σ τ ή σ ε σ θ α ι) παρεπόμενα «Ἱ ε ρ ο β ο ὰ μ ὑ π ο ν ο ή σ α ς» κτλ. ἃ συγκέχυται ἐκ τοῦ ἐφεξῆς Ἱ ε ρ ο β ο ά μ. Πολὺ χείρονα σύγχυσιν ἔπαθεν ἐκ τῶν ἀντιγραφέων τὸ χωρίον τοῦ Συγκέλλου (ὅθεν ἴσως μετεγράφη καὶ ἐν τῷ Σουΐδᾳ τὸ «ἀ δ ε λ φ ὸ ς Γεδεών»). Οὐ γὰρ ἂν ἔγραψεν αὐτὸς ὁ γραφικώτατος Σύγκελλος τὰ ἐφεξῆς (ὡς ἔχουσι τὰ νῦν) «Τοῦτον τὸν Ἀβιμέλεχ καὶ τοὺς Ο, ἀ δ ε λ φ ο ὺ ς α ὐ τ ο ῦ ἡ βίβλος τῶν Κριτῶν πρῶτον μὲν τοῦ Γεδεὼν υἱοὺς λέγει τρανῶς, ἔπειτα δὲ τ ο ῦ ἀ δ ε λ φ ο ῦ α ὐ τ ο ῦ τοῦ Ἱεροβαὰλ, ὃς σ υ ν ῴ κ η σ ε τῷ Γεδεὼν περὶ τὰ τέλη αὐτοῦ, ὡς αὐτόθι γέγραπται· καὶ δοκεῖ πως ἄπορον εἶναι. Ἀφρικανὸς δὲ τοῦ Ἱεροβαὰλ αὐτοὺς λέγει πάντας» (Συγκ. Χρον. σελ. 301, Bon.). Ἐν τούτοις ἐπλανήθη ὁ ἀντιγραφεὺς, ἤ τις διασκευαστὴς (εἰ μὴ καὶ ὅλον τὸ χωρίον ὡς σχόλιον κούφου τινὸς εἰς τὴν ᾤαν γραφὲν, παρεισέδυ καὶ εἰς τὸ κείμενον)· καὶ πρῶτον μὲν τὸ τοῦ ἀ δ ε λ φ ο ῦ α ὐ τ ο ῦ ἢ ἐπλάσθη ἀκρίτως ἐκ τοῦ «Ἱεροβάαλ υ ἱ ὸ ς Ἰ ω ὰ ς (ὃς ἦν ὁ Γεδεὼν) κ α τ ῴ κ η σ ε ν ἐν οἴκῳ αὐτοῦ» (Κριτ. η, 29 Ἀλεξ.), ἢ ἐπανελήφθη ἐκ τοῦ προηγουμένου «ἀ δ ε λ φ ο ὺ ς α ὐ τ ο ῦ». Ἔπειτα δὲ καὶ τ' ἄλλα συνδιεστράφησαν. Καὶ θεραπευτέον (εἰ δοκεῖ) τὸ χωρίον γράφοντας οὑτωσί (μετὰ τὸ, τ ρ α ν ῶ ς) «ἔπειτα δὲ τοῦ Ἱεροβαὰλ, ὃ σ υ ν ώ ν υ μ ο ν τῷ Γεδεὼν, ὡς αὐτόθι γέγραπται π ε ρ ὶ τ ὰ τ έ λ η α ὐ τ ο ῦ» (δηλ. τοῦ Γεδεὼν· βλ. Κριτ. η, 29—32) «κἂν δοκῇ πως ἄπορον εἶναι. Κ α ὶ Ἀ φ ρ ι κ α ν ὸ ς δὲ» κτλ. Καὶ τοιαῦτα μὲν τὰ τοῦ Σουΐδα καὶ Συγκέλλου, οἷς προσέκρουσαν Βοχάρτος καὶ Ὑέτιος. Ὁ δὲ καλὸς Βανδάλης ἀντιλέγων ἀκρίτως πρὸς ἀμφοτέρους τοὺς ἄνδρας τούτους (ταυτίζοντας ὀρθῶς τὸν Ἱεροβάαλ πρὸς τὸν Ἱερόμβαλον), ἄσμενος κατησπάσθη μόνους τοὺς κατὰ Σουΐδα καὶ Συγκέλλου παραλόγους αὐτῶν ὀνειδισμοὺς, μιμούμενος τοὺς ἀρίστους, ἐν μόνοις τοῖς μὴ καλοῖς. Οὕτω καὶ τὸν Θερσίτην ἐποίησεν Ὅμηρος (Ἰλιάδ. β) μιμούμενον τὸν Ἀχιλλέα· ἐμιμεῖτο δὲ πῶς; οὐ μαχόμενος καὶ αὐτὸς, ὡς ἐκεῖνος, γενναίως τοῖς πολεμίοις, ἀλλ' ὀνειδείζων τῷ Ἀγαμέμνονι· ὡς γὰρ ὀλίγῳ πρότερον ἐνεβριμήσατο ὁ Πηλείδης, οὕτως ἔπειτα καὶ αὐτὸς κατὰ τοῦ βασιλέως «ὀ ξ έ α κ ε κ λ η γ ὼ ς λ έ γ' ὀ ν ε ί δ ε α» (βλ. καὶ Πλάτ. Πολιτ. I. σελ. 354)

(α) Grot. de Veritat. Relig. Christianæ 1627. Τούτου καὶ ἑλληνικὴν μετάφρασιν ἀνώνυμον ἀναφέρει ὁ Κλύπφελος (Klüpfel, Instit. Theolog. Dogmaticæ. P. I. p. 55. Vien. 1802). — (β) Selden. de diis Syris. Londin. 1617.

(γ) Galei, Philosophia generalis. Lond. 1676.— (δ) Cudworth, System. Intellectuale hujus universi. ex Angl. vertit Moshemius. Jenæ, 1733.

(ε) Sam. Shuckford, Histoire de monde sacrée et profane, trad. de l' Anglois. Leyde, 1738. — (ζ) Scheffer. De natura et constit. philosophiae Italicæ etc. Wittenberg. 1701. - Schier, Adnot. in Phocy l. p. 68. βλ. καὶ ὄπισθ. σελ. 16, 19.

σοφίας σελαγίσματα, διαφαίνοντα μεταξὺ τοῦ συννεφώδους ζόφου τῶν ἀρχαίων ἐθνῶν, καὶ μάλιστα τῆς Ἑλλήνων μυθολογίας. Ἐντεῦθεν δὲ καὶ ἣν ὁ Πλάτων κατεῖδεν, ἡ πρὸ τῶν Ο ἐκ τῶν Μωσαϊκῶν τευχῶν ὁπωσδήποτε συμπιληθεῖσα ἑλληνὶς μετάφρασις τρανῶς ἀποδείκνυται. Ἐμηκύναμεν δὲ τὸν περὶ ταύτης λόγον ἀμφοτέρων ἕνεκα. Οἱ μὲν γὰρ τῶν νεωτέρων ταύτην λαμβάνοντες ἀφορμὴν, εἰδωλοποιοῦσι πολλάς τινας ἀντὶ μιᾶς τοιαύτας παλαιὰς μεταγλωττίσεις, ὅπως ἂν ἐκ τῆς τοιούτων μερικῶν μεταφρασμάτων συῤῥαφῆς συγκαττύσωσιν ὡς κέντρωνα τὴν (ὡς λέγουσι) *λεγομένην* ἑρμηνείαν τῶν Ο, καὶ οὕτως ἐξ αὐτῶν τῶν γενεθλίων νοθοποιήσωσι τὸ κῦρος αὐτῆς (βλ. ὄπισθ. §. δ). Οἱ δὲ πάλιν ἀπαρνούμενοι καὶ αὐτὴν τὴν μίαν πρὸ τῶν Ο σύνοψιν τῆς ἑρμηνείας, βούλονται παραστῆσαι τούς τε πατέρας ἡμῶν, κἀκείνους δὲ τοὺς περὶ τὸν Ἀριστόβουλον, ἀκρίτους τινὰς ψευδολόγους, καὶ (ὡς ὁ χρυσοῦς Βανδάλης εὐμορφολογεῖ) «μηδενὶ τῶν ὑγιεῖς τὰς φρένας ἐχόντων μηδόλως πιστευτέους»! Ἀπογυμνοῦσι δὲ, τέλος, καὶ τοὺς σοφοὺς τῆς ἀρχαιότητος ἀπὸ πάσης γνώσεως τῶν Μωσαϊκῶν Γραφῶν, ὅπως ταύτας ἀποδείξωσιν ἀνηκούστους τοῖς ἀρχαίοις ἐθνικοῖς, καὶ μάλιστα τοῖς Ἕλλησιν, ἢ καὶ περιφρονουμένας ἄντικρυς, ὡς Ἰουδαίων, ἔθνους ἀποτροπαίου καὶ μισητοῦ, βάρβαρον βιβλάριον, καὶ μακρῷ μετὰ τοὺς Ὁμήρου χρόνους συγγεγραμμένον (ὡς ἄλλοι τε τῶν νεωτέρων, καὶ αὐτὸς πάλιν ἐλήρησεν ὁ Βανδάλης). Οὕτω δ' ὑποκλέπτουσι καὶ μίαν τῶν λαμπροτάτων ἀποδείξεων τῆς γνησίας ἀρχαιότητος τῶν θείων Γραφῶν, τὴν παρ' Ὁμήρῳ δηλονότι καὶ Ἡσιόδῳ καὶ τοῖς σοφοῖς τῶν ἀρχαίων ἐθνῶν διὰ τῆς ζοφερᾶς τῶν μύθων ὁμίχλης διαλάμπουσαν ἀλήθειαν πολλῶν προφητικῶν ἐννοιῶν, ἐκ τῆς θεοπνεύστου Γραφῆς ἀρηρυσμένων. Καὶ ταῦτα μὲν οὗτοι.

§. ιβ. Αὐτὴ δὲ ἡ ὑπό τινων ἰδιωτῶν ἀγνώστων καὶ ἀθειάστων πρὸ τῆς Ἀλεξάνδρου ἀναβάσεως, ἐν Αἰγύπτῳ ἴσως, γενομένη μετάφρασις τῶν τινων τεμαχίων τῆς Πεντατεύχου, ἡ λιτὴ καὶ πενιχρὰ καὶ ἔν τισιν ἐπισφαλὴς, ἠφανίσθη, τέλος, παντελῶς ἀποσβεσθεῖσα, ὡς ἄν τις ἀμαυρόφωτος ἐν γωνίᾳ που κειμένου λυχνα-

ρίου θρυαλλὶς, εὐθὺς ὡς ἐπέλαμψεν ἡ παμφαὴς ἑρμηνεία τῶν Ο. Καὶ νῦν ἤδη (ὡς καὶ ἐπ' αὐτοῦ τοῦ Ἀριστοβούλου) μνημονεύεται τὸ σχεδίασμα μόνον μέχρις ὀνόματος, καθὼς καὶ τὰ δοκίμια τῶν ἀγνώστων ἐκείνων «*τῶν πολλῶν, ὅσοι ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν*» τῆς εὐαγγελικῆς ἱστορίας, πρὶν ἢ ἀνατείλῃ τῶν θεοπνεύστων εὐαγγελίων ὁ ἄδυτος ἥλιος (Λουκ. α, 1. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 449). Καὶ ἐφάνη ἄρα ἡ ἀτελὴς ἐκείνη μετάφρασις, οἷον χειμέριον ἀμυγδαλῆς ἄνθος, προηγηθὲν τῶν ἀκηράτων ἀνθέων τοῦ παμβοτάνου ἔαρος τῶν Ο. Ἢ καί τις πρὸς ὄρθρον ἀλεκτοροφωνία, χρυσοφαοῦς προάγγελος ἠοῦς, τῆς μετ' ὀλίγον ἐπὶ πᾶσαν γῆν ἐπιχυθείσης ἑλληνικῆς τῶν Γραφῶν ἑρμηνείας, καί πως ἀνάλογος (εἰ θέμις εἰπεῖν) πρὸς ἐκείνην τὴν παρ' Αἰγυπτίοις ᾀδομένην ἄναρθρον τοῦ Μέμνονος φωνὴν, «*ὅστις ἐπαντέλλουσαν ἑὴν ἠσπάζετο ἠῶ*». Ἢ, τέλος, (ἵνα καὶ ἱερωτέρῳ χρήσωμαι παραδείγματι), νεφέλιον ὑπῆρξεν ἡ μετάφρασις ἐκείνη βραχὺ καὶ σμικρὸν, οἷον εἶδε καὶ τὸ παιδάριον τοῦ Θεσβίτου, «*Νεφέλη μικρὰ, ὡς ἴχνος ἀνδρός*» (Γ. Βασιλ. ιή, 44)· πρόδρομος δὲ ὅμως θεοπέμπτου καὶ *πρωΐμου ὑετοῦ* (Δευτερ. ια, 14), αὐτῆς δηλονότι τῆς ἑρμηνείας τῶν Ο, δι' ἧς ἁδρότερον ἐτράφη, καὶ περίφαντον ἀνέβη τὸ λήϊον τῶν θείων προφητῶν, εἰς οὗ τὸν θερισμὸν εἰσῆλθον οἱ Ἀπόστολοι. «Ἄλλοι γάρ (φησι) κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε» (α).

ΚΕΦΑΛΑΙΟΝ Γ.

Εἰ κατὰ θείαν ἔμπνευσιν οἱ Ο μεθηρμήνευσαν τὰς Γραφάς.

§. α. Πάντες οἱ θεῖοι Πατέρες τῆς Ἐκκλησίας, καὶ αὐτὴ ἡ πρὸ Χριστοῦ Συναγωγὴ τῶν Ἰουδαίων, πολλοὶ δὲ τούτων καὶ μετὰ

(α) Ἰωάν. δ.38. «Εἰς τὸν Μωσέως καὶ προφητῶν κόπον οἱ Ἀπόστολοι εἰσεληλύθασιν, Ἰησοῦ μυσταγωγοῦντος, θερίζοντες καὶ συνάγοντες εἰς τὰς ἀποθήκας τῆς ψυχῆς ἑαυτῶν τὸν ἐν ἐκείνοις νοῦν. Καὶ ἀεὶ δὲ ὁ λόγος τοῖς μαθηματευομένοις γνησίως ποιεῖ τοὺς τῶν προτέρων καμάτους σαφεστέρους, χωρὶς τοῦ ὁμοίου τοῖς σπείρασι κόπου». Ὠριγ. εἰς Ἰωάνν. σελ. 242. πρβ. καὶ Θεοδώρ. ἑρμ. εἰς τὸ Ἆσμα, κεφ. β. λόγ. β.

τὴν σωτήριον ἐποχὴν, θεόπνευστον ἐπρέσβευσαν τὴν ἑρμηνείαν τῶν Ο. Τῶν δὲ νεωτέρων κριτικῶν πλεῖστοι καὶ διάσημοι μῦθον ἡγοῦνται καὶ τοῦτο τὸ πρᾶγμα, κρονίων ὄζοντα λήρων, οἵους (φασὶν) ἔτεκε πολλάκις ἡ εὐπιστία τῆς νηπιόφρονος ἀρχαιότητος. Καὶ λόγους ἐπιφέρουσιν ἰσχυροὺς (ὡς οἴονται) καὶ σαφεῖς· α) Ὅτι οἱ ἑρμηνεῖς ἐκεῖνοι οὐκ ἦσαν προφῆται, αὐτὸ δὲ τοῦτο καὶ μόνον, ἑρμηνεῖς ἁπλῶς, καὶ ξηροὶ μεταφρασταί· τῶν δὲ παρ' Ἑβραίοις προφητῶν ὁ ἔσχατος ὑπῆρξεν ὁ Μαλαχίας, μεθ' ὃν οὐδεὶς ἕτερος προφήτης μέχρις Ἰωάννου τοῦ Προδρόμου ἀνέστη ἐν τῷ Ἰσραήλ. β) Ὅτι οὐδ' Ἰώσηπος, οὐδ' Ἀριστέας αὐτὸς ἱστορεῖ τοὺς ἑρμηνεῖς κατὰ θείαν ἔμπνευσιν κατωρθωκότας τὴν ἑρμηνείαν. γ) Ὅτι καὶ Σειραχίδης ἑρμηνεύων τοῦ πάππου Ἰησοῦ τοῦ Σειρὰχ τὴν σοφίαν, λέγει κατὰ λέξιν· «Παρακέκλησθε οὖν μετ' εὐνοίας καὶ προσοχῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι, καὶ *συγγνώμην ἔχειν ἐφ' οἷς ἂν δοκῶμεν τῶν κατὰ τὴν ἑρμηνείαν πεφιλοπονημένων τισὶ τῶν λέξεων ἀδυναμεῖν*. Οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς ἑβραϊστὶ λεγόμενα, καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ αὐτὸς ὁ νόμος καὶ αἱ προφητεῖαι καὶ τὰ λοιπὰ τῶν βιβλίων οὐ σμικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα». Καὶ προστίθησιν, ὅτι «*προσηνέγκατο* πολλὴν σπουδὴν καὶ φιλοπονίαν μεθερμηνεῦσαι τὴν βίβλον.— Καὶ πολλὴν ἀγρυπνίαν καὶ ἐπιστήμην πρὸς τὸ ἐπὶ πέρας ἄγοντα (ἴσ. γρ. *ἀγαγὼν*) τὸ βιβλίον ἐκδόσθαι» κτλ. (Σειρ. Προλογ.). Τοιαῦτα καὶ ὁ συνοψιστὴς τῆς Β, τῶν Μακκαβαίων (β, 23 κτλ.). Οὕτω (λέγουσι) σαφῶς ὁ Σειραχίδης, καὶ τὴν (ὑπὸ τῶν Ο) τῆς Γραφῆς ἑρμηνείαν, καὶ τὴν αὐτὸς ἑαυτοῦ μόχθῳ καὶ πόνῳ συντεταγμένην, καὶ ὅλως ἀνθρωπικὴν καὶ ἀθείαστον παρίςησι· καὶ συγγνώμην ἐξαιτεῖται παρὰ τῶν ἀναγνωστῶν ἐπὶ τοῖς ὑπ' αὐτοῦ ἡρμηνευμένοις ἀσθενέστερον, ἢ ὡς ἔχουσιν ἐν τῷ πρωτοτύπῳ καὶ θεοπνεύστῳ κειμένῳ· δ) Τέλος, καὶ ἐσωτερικῶς ἡ ἑρμηνεία τῶν Ο θεωρουμένη, σφαλέντας πολλάκις αὐτοὺς ἐξελέγχει. Πῶς δ' ἂν ἢ ἐμόχθησαν καὶ ἵδρωσαν, ἢ καὶ, τέλος, ἐσφάλησαν, εἴ περ ἤγοντο τῷ πνεύματι τῆς ἀληθείας; ταῦτα ἐκεῖνοι.

Ἀπαντῶμεν.

§. β. Α) Ὅτι μὲν οἱ Ο, καί τοι μὴ κυρίως προφῆται καὶ θεσπιῳδοὶ τῶν μελλόντων ἀποσταλέντες, ἀλλ᾽ ὅμως οὐ χωρὶς ἐπιπνοίας θείας ἡρμήνευσαν τὰς Γραφὰς, ὀψόμεθα παρακατιόντες. Ὅτι δὲ ἀπὸ τοῦ Μαλαχίου καὶ ἐφεξῆς μέχρις Ἰωάννου τοῦ Βαπτιστοῦ οὐδεὶς οὐδόλως προφήτης ἀνεφάνη ἐν Ἰσραὴλ, τοῦτο καὶ μάλα πεφυλαγμένως, καὶ μετὰ τοῦ προσήκοντος προσδιορισμοῦ παραδεκτέον. ἄλλως γὰρ φαίνεται τὸ δόγμα αὐτόχρημα ῥαββινικὸν, οἷα πολλὰ τῶν δοξαρίων τῆς μετὰ Χριςὸν Συναγωγῆς ἡδέως ἐνεκολπώθησαν οἱ νεώτεροι κριτικοί. Ῥαββῖνοι γὰρ τὸν Μαλαχίαν ἀνακηρύττουσι *σφραγῖδα πάντων τῶν προφητῶν*, καὶ συμφωνοῦσιν ἄλλοι τε πολλοὶ, καὶ οἱ περὶ τὸν Ὀττιγγῆρον (Θησαυρ. σελ. 489)· ἀλλ᾽ ἔνεστι τῷ πράγματι *πλάνος οὐ σμικρός*. Ἔσχατος τῶν *ἐγγράφους τὰς προφητείας* ἐκδόντων θεοπνεύστων προφητῶν ὑπῆρξε πάντως ὁ Μαλαχίας, ὁ ἐν τοῖς δώδεκα *ἄγγελος* (τοῦτο γὰρ τὸ *Μαλαχίας* σημαίνει). Τοῦτο δὲ καὶ οἱ Πατέρες ἀνακηρύττουσι (α), καὶ αὐτὸς ἁπλῶς ὁ Ἑσδραῖος κανὼν ἐκ πρώτης ὄψεως ἐπικυροῖ, ἔσχατον τῶν προφητῶν τεταγμένον ἔχων τὸν Μαλαχίαν. Ἀλλ᾽ ὅμως οὐδεὶς τῶν ἱερῶν Πατέρων ἐφρόνησε καὶ ὅτι μετὰ Μαλαχίαν «*ἄχρις Ἰωάννου*» οὐδεὶς οὐδόλως *ἐν τοῖς Ἑβραίοις* ἐγένετο θεόπνευστος ἀνὴρ, λόγῳ γοῦν προφητεύων καὶ διδάσκων τὸν Ἰσραήλ. Αὐτὸς ἐκεῖνος ὁ Ἰουδαῖος Ἰώσηπος, ἐν ᾧ διορίζει τῆς ἐν τοῖς κανονικοῖς βιβλίοις ἐμπεριεχομένης ἀρχαιολογίας τὸν χρόνον (ἄχρις Ἀρταξέρξου), «τὰ δὲ λοιπὰ» (λέγει, τὰ ἔκτοτε μέχρι τῶν κατ᾽ αὐτὸν ἡμερῶν) «γέγραπται μὲν, ἀλλ᾽ οὐχ ὁμοίας πίστεως ἠξίωται, διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν *ἀκριβῆ* διαδοχήν» (κ. Ἀπίων. Α. §. 8). Ὥστε ὁ Ἰώσηπος μαρτυρεῖ προφήτας μὲν γενομένους ἐν τούτῳ τῷ με-

---

(α) «Μωσῆς μὲν ὁ μέγας, ὁ νομοθέτης, πρῶτος ἡμῖν ἀνάγραπτα τὰ θεῖα καταλέλοιπε λόγια· ὁ δὲ θεσπέσιος Μαλαχίας μετὰ πάντας τοὺς προφητείαν συγγεγραφότας τὰ θεῖα θεσπίσματα συγγραφῇ παραδέδωκε» (Θεοδώρ. ὑποθ. εἰς τὸν Μαλαχίαν). Καὶ σφραγίζει δὲ τὸ ἔσχατον τῆς αὐτοῦ προφητείας κεφάλαιον (δ, 4), παραγγέλλων τὰ πρὸς τήρησιν τοῦ νόμου Μωϋσῆ.

ταξὺ (ἀπὸ τῶν Ἀρταξέρξου μέχρι τῶν κατ' αὐτὸν χρόνων), ἀλλ' ὅμως οὐκ ἔχοντας καὶ τὴν διαδοχὴν ἀδιάκοπον, ἢ ἀκριβῶς ἐξητασμένην καὶ ἀδίστακτον (οἵα ἡ τῶν ἀπὸ Μωϋσέως μέχρι τῶν ἐπὶ Ἀρταξέρξου) (α). Μαρτυρεῖ δ' αὐτὸς ἑαυτῷ ταῦτα φρονῶν ὁ ἀρχαιολόγος, ἐν οἷς καὶ τὸν ἀρχιερέα Ἰωάννην τὸν Ὑρκανὸν (ἔτεσι περίπου 400 νεώτερον Μαλαχίου γενόμενον) ἱστόρησεν «ὡς ἠξιωμένον ὑπὸ Θεοῦ *προφητείας*, καὶ προγνώσεως τῶν μελλόντων» (Ἀρχ. ΙΓ, ι. §. 7). Ὡσαύτως καὶ Ἰούδαν τὸν Ἐσσαῖον τὸν ἐπ' Ἀριστοβούλου (Ἰουδ. Πολ. Α, γ, §. 5)· καὶ πολὺ δὲ πρότερον τὸν ἐπ' Ἀλεξάνδρου τοῦ μεγάλου *Ἰαδδοῦν* (Ἀρχ. ΙΑ, η, §. 4). Ἀλλὰ καὶ οἱ περὶ τὸν Μακκαβαῖον Ἰούδαν καθαρίσαντες τὸ θυσιαστήριον ὑπ' Ἀντιόχου μιανθέν, «ἀπέθεντο τοὺς λίθους ἐν τόπῳ ἐπιτηδείῳ, *μέχρι τοῦ παραγενηθῆναι προφήτην, τοῦ ἀποκριθῆναι περὶ αὐτῶν*» (Α. Μακκ. δ, 46). Προσεδόκων λοιπὸν καὶ οὗτοι ἕνα τινὰ τῶν περὶ τὰ θεῖα συμβούλων προφητῶν, οἵτινες, καί τοι σπανίως, καὶ οἷον ἐπιφυλλίδες, ἀλλ' ὅμως ἐπεφαίνοντο κατὰ καιρούς (β). Εἰ δ' ἀπὸ τῶν Μαλαχίου χρόνων μέχρι τῶν Μακκαβαίων, δι' ὅλων 320 ἐτῶν, οὐδεὶς οὐδαμοῦ τῆς Ἰουδαίας ἐφάνη προφήτης, ἔπραττον ἂν πρᾶγμα γελοῖον, καὶ ἠλίθιον, ἀναβάλλοντες τὴν περὶ τῶν προκειμένων λίθων ἐρώτησιν εἴς τινα τῶν προφητῶν, ὧν ἡ παντελὴς ἔλλειψις ὑπῆρχεν ἤδη διὰ πολλῶν αἰώνων πασιφανής, καὶ ἡ παρουσία ἀπηλπισμένη (γ). Παρίτω δὲ καὶ Φίλων, Ἰουδαῖος καὶ αὐτός,

---

(α) Πρβλ. καὶ Hengstenberg, Beitræge zur Einleit. ins Alt. Testam. 1. Bd. p. 245.—Herbst, Einleit. 1. Bd. p. 47.

(β) Οὕτω καὶ ἐπὶ τοῦ Ἔσδρα (β, 63) καὶ Νεεμίου (ζ. 65) ἐξεβλήθησαν τῆς ἱερατείας οἱ ὕποπτοι νοθείας ἱερεῖς, «ἕως ἀναστῇ ἱερεὺς φωτίσων» τουτ. «ἀρχιερεὺς ἐνδεδυμένος τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν» (Α. Ἔσδρ. ε, 40), ἢ τὸ Οὐρὶμ καὶ Θουμὶμ (ὅστις διακρινεῖ περὶ αὐτῶν). Καὶ ἐπανῆλθε τὸ θεῖον τοῦτο χρηστήριον εἰς τὴν Συναγωγὴν μέχρι καιροῦ, ὡς αὐτὸς Ἰώσηπος μαρτυρεῖ (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 218).

(γ) Καὶ ἐν Α, Μακκαβ. (θ. 27), πεσόντος ἐν τῇ μάχῃ Ἰούδα τοῦ Μακκαβαίου, γέγραπται, ὅτι «ἐγένετο θλίψις μεγάλη ἐν τῷ Ἰσραήλ·— ἀφ' ἧς ἡμέρας οὐκ ὤφθη προφήτης ἐν αὐτοῖς». Ἀλλὰ καὶ ὧδε σημαίνει ἡ φράσις τὴν ἐπ'

ὅστις, εἴπερ ἐδόξαζε τὴν παρὰ τοῖς νεωτέροις Ῥαββίνοις τερετιζομένην ἔλλειψιν τοῦ προφητικοῦ πνεύματος ἐπὶ τοῦ δευτέρου ναοῦ (τοῦ μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον κτισθέντος), οὐκ ἂν ἐκήρυττε πανδήμως τοὺς Ο, τῶν Γραφῶν ἑρμηνεῖς, «*ἱεροφάντας καὶ προφήτας, συνδραμόντας τῷ Μωσέως πνεύματι*· Συνωμολόγει δὲ τοῦτο καὶ πᾶσα ἡ παλαιὰ Συναγωγή. Πρόσθες καὶ τὴν βίβλον τοῦ Τωβίτ, καὶ τὴν τῆς Ἰουδείθ, καὶ τὴν Σοφίαν τοῦ Σολομῶντος καὶ τὴν τοῦ Σειράχ, καὶ τὰ Μακκαβαϊκὰ (ταῦτα δὲ πάντα λογίζονται ἔξω τοῦ Ἑσδραίου κανόνος), οὔτε χωρὶς θείας ἐπιπνοίας ἐξ ἀρχῆς συγγραφέντα, καὶ *πολλοῖς μετὰ τὸν Μαλαχίαν χρόνοις* κατὰ θείαν εὐδοκίαν ἐξελληνισθέντα, ἅπερ οἵ τε ἑλληνίζοντες Ἰουδαῖοι πρὸ Χριστοῦ Σωτῆρος ὡς σεβασμίας ἀνεγίνωσκον βίβλους, καὶ οἱ θεῖοι ἀπόστολοι παρέδωκαν τῇ Ἐκκλησίᾳ (βλ. ἐφεξῆς κεφ. δ. §. γ). Ἐν δὲ τοῖς ἔγγιστα τῆς Χριστοῦ θεοφανείας χρόνοις ἔχομεν ἐκ τῆς καινῆς Διαθήκης θεόπνευστον προφήτην, Ἰωάννου προγενέστερον, τὸν θεσπέσιον Ζαχαρίαν τὸν αὐτοῦ τοῦ Ἰωάννου πατέρα, *προφῆτιν* δὲ καὶ τὴν ἔτι τοῦτον ἑξάμηνον κυοφοροῦσαν μητέρα, τὴν Ἐλισάβετ, ἥτις πρὸς τὸν ἀσπασμὸν τῆς ἀειπαρθένου θεόπαιδος *πνεύματος ἁγίου πλησθεῖσα*, αὐτήν τε τὴν *μόνην καὶ κυρίως εὐλογημένην ἐν γυναιξὶ*, καὶ τὸν ἄσπορον καὶ θεανδρικὸν *τῆς κοιλίας αὐτῆς καρπὸν* μεγαλοφώνως εὐλόγησε. Τότε δὲ καὶ αὐτὴ ἡ θεομήτωρ ἐν τῇ παγκάλῃ καὶ χαριτοβρύτῳ καὶ θεοπρεπε-

Ἀντιόχου καὶ τῶν ψευδαρχιερέων (ἐν οἷς καὶ Ἄλκιμος ἦν, πρὸς αὐτὸν Ἰούδαν μετὰ Βακχίδου πολεμῶν. Α. Μακ. ζ. 21: θ, 1) ἔλλειψιν τῶν προφητῶν, οὐχὶ τὴν παντελῆ καὶ ἀπὸ χρόνων παλαιῶν ἐξαφάντωσιν αὐτῶν (βλ. καὶ τὸν σοφὸν Βερνάρδ. not. εἰς Ἰωσήπ. Ἀρχ. Γ, η, 9). Τελευταῖον, ἐν τῇ Α. τῶν Μακκαβ. (ιδ. 41) γέγραπται, ὅτι «ηὐδόκησαν οἱ Ἰουδαῖοι καὶ οἱ ἱερεῖς τοῦ εἶναι Σίμωνα τὸν Μακκαβαῖον ἡγούμενον» (ἐθνάρχην), «καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα, ἕως τοῦ ἀναστῆναι προφήτην πιστόν». Ἀλλ' ἡ φράσις αὕτη σημαίνει τὴν εἰς τὸν ἅπαντα χρόνον (εἰς τὸν αἰῶνα) διάρκειαν τῆς Σίμωνος καὶ τῶν αὐτοῦ ἀπογόνων διαδοχικῆς ἀρχιερατείας, ἕως ἂν ἔλθῃ προφήτης πιστὸς καὶ μέγας, ἐκεῖνος ὁ παρὰ τοῦ Μωσέως προφητευθεὶς (Δευτερ. ιη, 15), ὁ Μεσσίας, ᾧ ἀπέκειτο, καὶ ᾧ καθῆκεν ἥ τε βασιλεία τοῦ Δαβὶδ (Λουκ. α,), καὶ ἡ αἰώνιος ἀρχιερωσύνη (βλ. Huet. Dem. Ev. Prop. VII. §. 31. T. 1. p. 361).

θεάτη αὐτῆς ᾠδῇ τὰ δι' αὐτῆς μεγαλεῖα τοῦ Θεοῦ προφητικῶς ἐθεσπιῴδησε. Καὶ ὕστερον δὲ πάλιν ἡ Ἐλισάβετ τοῦ παιδὸς αὐτῇ τεχθέντος τὸ θεόκλητον ὄνομα (μόνῳ τῷ πατρὶ Ζαχαρίᾳ ἔτι πρὸ τῆς αὐτοῦ συλλήψεως δηλωθὲν ὑπὸ τοῦ ἀγγέλου, καὶ παρευθὺς εἰς ἀφωνίαν καὶ κώφωσιν παντελῆ καταδικασθέντι), κατὰ θείαν ἔμπνευσιν ἐπιγνοῦσα, διώριζε· «*κληθήσεται Ἰωάννης*» (Λουκ. α, 5—13, 61). Πολὺ πρὸ τοῦ Ἰωάννου καὶ Συμεών, ὁ τρισμακάριστος ἐκεῖνος πρεσβύτης, «*εἶχε πνεῦμα ἅγιον*, καὶ ἦν αὐτῷ *κεχρηματισμένον μὴ ἰδεῖν θάνατον, πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου* ». Καὶ Ἄννα δὲ τότε ἔζη *προφῆτις γηραιά, καὶ προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς* (Λουκ. β, 25—29, 36)· καί, τέλος, ἀμφότεροι καὶ αὐτοῦ κατέμπροσθεν τοῦ Σωτῆρος, ἄρτι γεννηθέντος, ἠξιώθησαν ἐκφωνῆσαι τὰς προφητείας (α). Ὥστε καὶ οὗτοι μετὰ τοῦ Ζαχαρίου καὶ τῆς Ἐλισάβετ οὐκ ὀλίγοις ἔτεσι πρὸ τῆς ἀναδείξεως τοῦ Ἰωάννου φαίνονται τεταγμένοι ἐν τῇ σειρᾷ *τῶν ἀπ' αἰῶνος προφητῶν*. Τελευταῖον, τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου Δανιὴλ προεῖπεν, ὅτι οὐκ ἐπὶ Μαλαχίου, ἀλλὰ ἐν τῷ τέλει τῆς οἰκονομίας τοῦ Σωτῆρος Χριστοῦ «*σφραγισθήσεται ὅρασις καὶ προφήτης*» (Δαν. θ. 24). Καὶ αὐτὸς δὲ ὁ Κύριος ἡμῶν ἀπολύτως ἀπεφήνατο, ὅτι «*πάντες οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν*» (Ματθ. ια: Λουκ. ις. πρβλ. Ἰουστίν. π. Τρύφ. §. 52). Ὅρος γὰρ τῆς προφητείας ὑπῆρχεν αὐτὸς ὁ καὶ τὸν Ἰωάννην πρόδρομον πρὸ προσώπου αὐτοῦ ἀποστείλας Κύριος Ἰησοῦς, ὅς ἐστι τὸ *πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν*. Τὸ δὲ λέγειν (ὡς ὁ Ῥίβετος διατείνεται μετὰ τῶν Ῥαββίνων), ὅτι ἀπὸ Μαλαχίου καὶ καθεξῆς «οὐχ ὑπῆρχε πνεῦμα ἐμπνέον τοῖς σοφοῖς τοῦ Ἰσραὴλ», ταῦτα μήτε Φίλωνι καὶ Ἰωσήπῳ καὶ τοῖς ἀρχαίοις ἑβραίοις συνᾴδουσι, καὶ αὐτοῖς τοῖς θείοις Ἀποστόλοις ἀντιφωνοῦσι, καὶ οἷον περιορίζουσι

(α) «Μετὰ δὲ τὴν γένεσιν τοῦ Χριστοῦ Ἄννα καὶ Συμεὼν (προφητεύουσι). Ζαχαρίας γὰρ ὁ Ἰωάννου πατὴρ καὶ πρὸ τοῦ παιδὸς προφητεύσιν ἐν τοῖς εὐαγγελίοις λέγεται». Κλήμ. Στρωμ. Α. σελ. 246. πρβλ. Ἀποστόλ. Διαταγ. Η. ϛ. Ἐπιφάν. περὶ προφητ. καὶ προφητίδ. παρὰ Coteler. Patr. Apost. T. 1. p. 295.

τὸ πνεῦμα, «ὅπερ ὅπου θέλει πνεῖ» (Ἰωαν. γ, 8). Φαίνεται δὲ τῶν μετὰ Χριστὸν Ῥαββίνων τὸ ἐπινόημα οὐ χωρὶς μισοχρίστου μοχθηρίας ἐξευρημένον, ἐναντίον τῆς περί τε τοῦ θείου Προδρόμου καὶ Ζαχαρίου, καὶ τῶν ἄλλων τῶν ἔγγιστα καὶ ἐπ' αὐτοῦ τοῦ Σωτῆρος προφητειῶν, εὐαγγελικῆς ἱστορίας. Ἵνα δὲ μὴ παντάπασιν ἔρημον Θεοῦ καταλίπωσι τὴν κατ' αὐτοὺς ἀρχαίαν Συναγωγὴν, ἄλλον ἔπλασαν μῦθον, ἣν λέγουσιν οἱ Ταλμουδικοὶ *θυγατέρα φωνῆς* (Βαθ-κολ), ὡς ἄν τινα διάδοχον τῆς ἐπὶ Μαλαχίου παυσαμένης προφητείας. Ἐστι δὲ κατ' αὐτοὺς, θεία τις αὕτη φωνὴ, καὶ ἠχώ τις, ἢ ὀμφὴ, ἢ (κατὰ τοὺς πλείστους) βροντὴ ἐξ οὐρανοῦ κατιοῦσα εἰς τοὺς θεοφιλεῖς ἄνδρας, καὶ τὰ πρακτέα καὶ τὰ ῥητέα ἀποκαλύπτουσα· οἵαν λέγουσι καὶ τὴν εἰς τὸν Ταργουμιστὴν Ἰωνάθαν κατελθοῦσαν (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 357), καὶ εἰς ἄλλους ὀλέθρους υἱοὺς τῶν σταυρωτῶν. Οὕτως οἱ Ῥαββεῖς ἐκ τοῦ αὐτοῦ στόματος φυσῶσι *καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν*, νῦν μὲν ἀναιροῦντες τὴν θείαν ἔμπνευσιν, νῦν δὲ πάλιν ἀντεισάγοντες θείαν ἐμφώνησιν! (βλ. καὶ ἑξῆς κεφ. δ. §. ια). Ταύτην δὲ τὴν Ῥαββινικὴν φλυαρίαν καὶ οἱ πλεῖστοι τῶν νεωτέρων ἑβραϊστῶν κριτικῶν ἐδογμάτισαν, καὶ ἐπρέσβευσαν (α). Ὁ δὲ γεννάδας Ὕλσιος κατασιγάζων καὶ αὐτὸς μέχρι

(α) Βλ. Βουξτόρφ. **Talmud. p. 320. - P. Fagii in Paraphr. Chald. Exod. 28: - Hotting. Thes. p. 515. sq.** καὶ ἄλλους, καὶ Καρψόβιον (**Crit. Sacr. p. 38**). Πρὸς δ' ἀπόδειξιν τῆς Ἰουδαϊκῆς ταύτης φληναφείας οἱ χριστιανοὶ οὗτοι κριτικοὶ φέρουσι καὶ μαρτυρίαν ἐκ τῶν θείων εὐαγγελίων· ποίαν; αὐτὴν τὴν ἐκ τοῦ οὐρανοῦ τρὶς ἐπὶ τοῦ Σωτῆρος ἐπενεχθεῖσαν φωνὴν (ἐν Ἰορδάνῃ, καὶ ἐπὶ τοῦ Θαβὼρ, καὶ ἐν Ἱερουσαλήμ. Ματθ. γ, 17. ιζ, 5: Λουκ. θ, 35: Ἰωάν. ιβ, 28), δι' ἧς ὁ Πατὴρ τὸν Μονογενῆ ἐμαρτύρει καὶ ἐδόξαζεν. Οὕτως οὐκ ἔφριξαν οἱ σοφοὶ οὗτοι μιγνύντες γῆν οὐρανῷ, καὶ τὰ θειότατα παραβάλλοντες πρὸς τοὺς Χαλδαϊκοὺς καὶ Ταλμουδικοὺς μύθους τῆς ἀπίστου Συναγωγῆς, πολὺ μετὰ Χριστὸν καὶ κατὰ Χριστοῦ κεχαλκευμένους! (βλ. τὸν κλεινὸν **Bernard. not.** εἰς Ἰώσ. Ἀρχ. Γ, η, σελ. 168. **Hav.**). Ὁ δὲ πολὺς Λιχθόφωτος ἀπαρνούμενος ὡς ῥαββίνων πλάσμα τὴν θυγατέρα ταύτην τῆς φωνῆς (**Ligthfoot Hor. Talmud. ad Math. VIII, 17**), ἄλλα πάλιν ἐλήρησε προϊών. Ἀλλ' οἱ μὲν πειρώμενοι τὰ πανάχραντα χραίνειν, «περιβάλλονται τὴν αἰσχύνην αὐτῶν ὡς διπλοΐδα» (κατὰ τὸν ψαλμῳδόν)· οἱ δὲ φρονεῖν εἰδότες βλέπουσιν εἰς ποῖα ἐξοκέλλει τῶν τοιούτων ῥαββινολόγων (οὐ γὰρ δήπου θεολόγων) ἡ ὑπέροπλος κριτική!

Μαλαχίου τὴν προφητείαν, φαίνεται καὶ λίαν γελοῖος, ἐν οἷς πρὸς τὸν δι' αἰῶνος εὐκλεέστατον Οὐόσσιον ἀντιλέγων περὶ τῆς θεοπνευστίας τῶν Ο, «Ἀλλ' οὐδέποτέ, φησιν, ἐν Ἰουδαίᾳ τοσοῦτο σμῆνος προφητῶν ἀνεφάνη, ὥστε οβ, ἄνδρας ἀθρόους κατὰ τὸν αὐτὸν χρόνον προφητεύειν»· καὶ δὴ καὶ παραβάλλει τωθάζων τοὺς Ο πρὸς *ἴλην γεράνων*! Ἀλλ' ἡμεῖς μὲν τουτουσὶ τοὺς Ὑλσίου γεράνους παραλείπομεν εἰς τὸ πεδίον τῆς αὐτοῦ φαντασίας, δύσηχα κλαγγάζοντας, καὶ (κατὰ τὸν ποιητὴν) *κακὴν ἔριδα προφέροντας τοῖς πυγμαίοις* τοῦ κριτικοῦ λογισμοῖς. Ὁ δὲ γεραρὸς Οὐόσσιος (α) ἐρωτᾷ τὸν Ὕλσιον· «Μήπως οὐκ ἀνέγνω ἐν ταῖς γραφαῖς, ὅτι εἷς καὶ μόνος, ὁ Ἀβδιοῦ, ἔτρεφεν ἀπὸ τῶν προφητῶν Κυρίου ὅλους *ἄνδρας ἑκατὸν*, οὓς ἔκρυψεν ἐν τῷ σπηλαίῳ κατὰ τὸν διωγμὸν τῆς Ἰεζάβελ;» (Γ. Βασιλ. ιη, 13) (β).

Β) Ὅτι καὶ Ἀριστέας καὶ Ἰώσηπος ἀνεκήρυξαν τὴν ἑρμηνείαν τῶν Ο «*καλῶς καὶ ὁσίως*» (ἁγίως δηλονότι καὶ θεοπνεύστως) ἑρμηνευθεῖσαν, εἴδομεν ἐν τοῖς προλαβοῦσι (Βιβλ. Α. σελ. 591, κα Βιβλ. Β. σελ. 383).

Γ) Οὐδ' ἡ τοῦ Σειραχίδου ῥῆσις συμμαχεῖ τοῖς ἐναντίοις οὐδ ὁπωσοῦν. Ὁ Σειραχίδης (ὡς προείπομεν Βιβλ. Β. κεφ. ϛ. §. κβ)

(α) **I. Vossij, Respons. ad object. A. Hulsij p. 81.**

(β) Πρόσθες καὶ τὸν ἐπὶ Σαοὺλ χορὸν τῶν προφητῶν (Α. Βασιλ. α, 10), καὶ τοὺς ἐπ' Ἐλισσαίου «υἱοὺς τῶν προφητῶν» (Δ. Βασιλ. β, 3). «Υἱοὺς δὲ προφητῶν ἡ θεία Γραφὴ αὐτοὺς τοὺς προφήτας προσαγορεύει, κατά τε τὸ Ἑβραίων καὶ Σύρων ἰδίωμα» (Θεοδώρ. Ἀπορ. εἰς Δ. Βασιλ. ἐρωτ. ϛ) κατὰ τὸ «υἱοὶ ἀνθρώπων», κτλ. (καὶ τὸ ἑλλ. «υἷες Ἀχαιῶν», «παῖδες ἰατρῶν» κτλ.). Ὁ δὲ Σουϊκῆρος ψευδίζων τὸν ἱερὸν Θεοδώρητον, «υἱοὶ (λέγει) τῶν προφητῶν εἰσὶν οἱ μαθηταὶ τῶν προφητῶν, ὡς ἐξηγεῖ καὶ τὸ Ταργούμιον» (**Suicer. Thesaur. Eccl. T. 2. p. 872**). Ἐλάνθανε δὲ ἄρα καὶ τὸν Σουϊκῆρον καὶ τοὺς φίλους αὐτῷ Ταργουμιστὰς, ὅτι καὶ οἱ μαθηταὶ τῶν προφητῶν προεφήτευον (βλ. Β. Βασιλ. β, 3. ὅθεν καὶ προφήτην ὠνόμασεν ἡ Γραφὴ, ὃν πρότερον εἶπεν ἕνα τῶν υἱῶν τῶν προφητῶν· πρβλ. θ. 1: ι, 4—12). Καὶ αὐτὸς Ἐλισσαιὲ μαθητὴς ἦν καὶ ὀπαδὸς Ἠλιοὺ, ἀλλὰ καὶ κεχρισμένος ὑπ' αὐτοῦ εἰς προφήτην (Γ. Βασιλ. ιθ, 16), διὸ καὶ τὴν ἀνάληψιν τοῦ διδασκάλου, καὶ πρὶν ἢ λάβῃ τὸ τούτου πνεῦμα διssῶς (ἤτοι διπλοῦν) ἐπ' αὐτὸν ἐπελθὸν, προεῖδε καὶ προεφήτευσε (Δ. Βασιλ. β.).

ἐκφράζει τὴν δύναμιν τῆς ἐξ ἧς ἡρμήνευσεν ἑβραϊκῆς, ὡς ταύτης οὔσης *περί τινας λέξεις* καὶ φράσεις δυνατωτέρας παρὰ τὴν ἑλληνικὴν (καθὰ πάλιν ἐν ἄλλοις αὕτη παρ' ἐκείνην ὑπάρχει φραστικωτέρα). Διὸ καὶ διὰ ταύτην τὴν ἄφευκτον καὶ φυσικὴν τῶν λέξεων ἀνισότητα λίαν μετριοφρόνως ζητεῖ συγγνώμην, εἴ τινα τῶν, ὧν μετέφρασεν, οὐκ ἰσοδυναμοῦσι πάμπαν ἀκριβῶς καὶ ὁλοσχερῶς πρὸς τὰς ἀντιστοιχούσας λέξεις τῆς ἑβραϊκῆς· καὶ πρὸς δεῖξιν ἐναργῆ τοῦ πράγματος φέρει μέγιστον, καὶ οἷον ἄκρον ἄωτον, καὶ ἱερώτατον παράδειγμα αὐτὴν τὴν ἑρμηνείαν τῶν Ο. Ἀλλὰ μήπως ἐκ ταύτης τῆς φιλολογικῆς θεωρίας τοῦ Σειραχίδου ἀναιρεῖται τὸ θεόπνευστον τῶν Ο; ἢ μήπως πάλιν ἀκυροῦται ἐκ τῶν κόπων, οὓς ὑπέστη μὲν καὶ αὐτὸς ἀγρυπνήσας περὶ τὴν ἑρμηνείαν τῆς τοῦ πάππου σοφίας, ὑπέστη δὲ μεθ' ἱδρῶτος ἀγρυπνήσας κἀκεῖνος ὁ τῆς β. τῶν Μακκαβαίων συνοψιστής; Πολλοῦ γε καὶ δεῖ, μᾶλλον δὲ τοῦ παντός. *Δίδωσι* μὲν γὰρ ὁ Κύριος τοῖς προφήταις «*γλῶσσαν σοφίας*, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον» (Ἡσαΐ. ν. 4). Καὶ τοῖς Ἀποσόλοις δὲ «*καὶ μὴ προμελετῶσιν*», ὑπέσχετο καὶ δέδωκεν ὁ Κύριος «*στόμα καὶ σοφίαν*». «οὐ γὰρ ὑμεῖς (φησιν) ἐςὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν» (Ματθ. ι. 20), ἐμπνέον δηλονότι καὶ τὰς λέξεις καὶ τὰς ἐννοίας (Πράξ. β, 4). Ἀλλ' ὅμως ὡσαύτως πάλιν βλέπομεν ἐν ταῖς θείαις Γραφαῖς, καὶ ὅτι ἡ θεία ἔμπνευσις οὐ καταργεῖ καὶ τὴν ἐν δέοντι ἀπαιτουμένην χρῆσιν τῶν φυσικῶν δυνάμεων τοῦ θεόφρονος συγγραφέως· «Ἔδοξε *τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν*» *ἔγραφον* οἱ θεῖοι Ἀπόστολοι, συνελθόντες ἐν Συνόδῳ, καὶ συσκεψάμενοι περὶ τοῦ πρακτέου (α). Τὸ *στόμα* τοῦ προφητάνακτος *ἐλάλει σοφίαν*, ἀλλὰ καὶ ἡ *μελέτη τῆς καρδίας* αὐτοῦ σύνεσιν (Ψαλμ. μη, 3). Ὁ Δανιὴλ συγγράφων τὰς θεοχρήστους αὐτοῦ προφητείας, ἐμελέτα καὶ τὰς θείας Γραφὰς

(α) Πράξ. ιε, 28 — « Ταῦτα δὲ λέγουσιν οἱ Ἀπόστολοι οὐ συντάσσοντες ἑαυτοὺς τῇ τοῦ πνεύματος ἐξουσίᾳ, ἀλλ' ὑποτάσσοντες, ὡς ὑπ' αὐτοῦ χειραγωγούμεναι τότε, καθάπερ μίαν γνῶσιν λεγόντων αὐτῶν τε καὶ τοῦ πνεύματος » κτλ. Μ. Βασίλ. κατ. Εὐνομ. λόγ. ε. σελ. 124.

(Δαν. θ, 2), συγκρίνων τὰ θεσπιζόμενα. Ὁ Ἱερεμίας πάντως ἐκοπίαζε καὶ ἐπονεῖτο σωματικῶς, ὅτε, τοῦ Θεοῦ κελεύσαντος, « ἐποιεῖτο καὶ διὰ πραγμάτων τὴν προφητείαν », συμπλέκων πρὸς τοῖς προφητικοῖς αὐτοῦ λόγοις καὶ τὰ τούτων ὑλικώτερα σύμβολα (τὴν ζώνην, καὶ τὸν ὀστράκινον βίκον, καὶ τὸν κλοιόν), οἷον παραδειγματικὰ καὶ παραβολικά τινα μέρη τῆς προφητείας πρὸς τρανωτέραν παράστασιν αὐτῆς (βλ. Ἱερεμ. ιγ, ιη, ιθ, λδ: καὶ Θεοδώρ. αὐτ. καὶ εἰς Ὠσηὲ α, ὅπου ἑρμηνεύει καὶ τὰς τοῦ Ἡσαΐου καὶ Ἰεζεκιὴλ παρομοίας συμβολικὰς προφητείας). « Οὐ γὰρ ἔλεγον οἱ προφῆται μόνον, ἀλλὰ καὶ ἔγραφον ἅπερ ἔλεγον· οὐκ ἔγραφον δὲ μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων ἐτύπουν » (Χρυσός. εἰς τὴν π. Ῥωμ.). Τελευταῖον, τὸ πνεῦμα τῆς θείας σοφίας μακαρίζει πάντα « *τὸν ἀγρυπνοῦντα* ἐπὶ θύραις αὐτῆς καθ' ἡμέραν » (Παροιμ. η; 34)· ἀλλὰ μήπως τὸν θεοφορούμενον ὑπηρέτην αὐτῆς ἀργὸν ἐθέλει καὶ νυσταλέον; Ὅθεν ὁ Μ. Βασίλειος (εἰς Ἡσ. α) « ψυχή (φησι) ἐκ τῆς πρὸς τὸν Θεὸν σφοδροτάτης ἐνατενίσεως καὶ τοῦ ἀῤῥήτου φίλτρου θεοφορουμένη, ἀξία τοῦ κατὰ προφητείαν χαρίσματος γίνεται ». Καὶ τὰς φράσεις δὲ καὶ τὰς λέξεις ἐπὶ τῶν αὐτῶν ἐννοιῶν βλέπομεν ἐνίοτε μεταβάλλοντας τοὺς θεοπνεύστους συγγραφεῖς. Καὶ ἄλλοτε « *προφήτας προφητῶν λόγοις συγχρωμένους σχεδὸν αὐταῖς λέξεσιν* » (ὡς Ὠριγένης ἔλεγε πρὸς Ἀφρικανόν), « *οὐχ ὅτι ὁ λόγος αὐτῶν ἐπτώχευεν, ἀληθὴς ὢν* », ἀλλὰ διότι τὸ λαλοῦν ἐν αὐτοῖς πνεῦμα ἀφίει πολλάκις τὴν ἐλλαμφθεῖσαν αὐτῶν διάνοιαν ἐλευθέραν περὶ τὴν ἔκφρασιν τῶν ἐννοιῶν (καὶ ταύτην ἀπλανῆ καὶ θεόκραντον γινομένην). Ὥσπερ γὰρ ἡ *θεία χάρις* οὐκ ἀποκλείει τὴν ἀνθρωπίνην ἐνέργειαν καὶ προθυμίαν τῶν ἐργατῶν τῆς ἀρετῆς, οὕτως οὐδ' ἡ *θεία ἔμπνευσις* κατήργει τὴν ἐν δέοντι χρῆσιν τῶν φυσικῶν δυνάμεων, καὶ τὴν σπουδήν, καὶ τὸν κόπον, καὶ τὸ φυσικὸν τῆς γλώσσης ἰδίωμα, καὶ αὐτὸν πολλάκις τὸν ἑκάστῳ τῶν πνευματεμφόρων συγγραφέων ἰδιάζοντα χαρακτῆρα τοῦ λόγου· ἐβοήθει δὲ τούτοις μᾶλλον, καὶ συνήργει πρὸς ἣν αὐτοὺς ἐξήγειρε διακονίαν τοῦ κηρύγματος τῆς ἀληθείας. Ἀλλὰ περὶ τούτων λέγομεν παρα-

κατιόντες (§. ς). Ἤδη δὲ μόνον, ὡς ἐν παρόδῳ, σημειοῦμεν τὸ ἀνακόλουθον καὶ τὴν διαμάχην τῶν λογισμῶν, ὅσοι πάντη ἀθειάστους καὶ μηδὲν τῶν κοινῶν μεταφραστῶν διαφέροντας ἀποφαίνονται τοὺς Ο. Οὔτε τὴν σοφίαν τοῦ Σειρὰχ, οὔτε τὴν Β, τῶν Μακκαβαίων ἀποδέχονται οἱ ἄνδρες ὡς ἱερὰς Γραφάς· ἐξώρισαν δὲ τὰς βίβλους ταύτας ἐκ τοῦ σώματος τῆς Π. Διαθήκης, ἀποκρύφους καὶ νόθους ἀνακηρύξαντες· καὶ ὅμως ἐκ τούτων πάλιν ἐξάγουσι μαρτυρίας, ὡς θείας ῥήσεις, πρὸς ἀναίρεσιν τῆς ἐπιπνοίας τῶν Ο! Δεῖγμα τῆς τῶν Γραφῶν θεοπνευστίας ἀχώριστον ἀείποτε πρεσβεύουσι τὴν ἄπονον καὶ ῥᾴστην ἔκφρασιν καὶ συγγραφὴν τῶν προφητευομένων, αὐτομάτως καὶ θαυμαστῶς τῶν λέξεων ἐπιῤῥεουσῶν, ὡς ὑπαγορευομένων ὑπὸ τοῦ πνεύματος. (Ὅθεν καὶ τὴν βίβλον τοῦ Σειρὰχ καὶ τὴν τῶν Μακκαβαίων ἀκράτως ἀνθρωπικὰ συγγράμματα κρίνουσιν, ἅτε πόνῳ καὶ ἱδρῶτι συγγεγραμμένα). Καὶ ὅμως τὴν ὑπὸ τῶν Ο ἑρμηνείαν ὅλων τῶν τευχῶν τῆς Γραφῆς, λίαν εὐχερῶς καὶ θαυμαστῷ τῷ τάχει ἐν ἡμέραις μόναις 72 τελεσιουργηθεῖσαν διὰ τῆς θείας δυνάμεως, πλάσμα λέγουσι ψευδὲς, δι' αὐτὸ δὴ τοῦτο μάλιστα τὸ θαυμαστὸν τῆς ταχυεργίας (βλ. Βιβλ. Β. σελ. 407). Οὕτως ἀστάθμητος ἀποβαίνει πλάνη καινοτόμων φρενῶν κορυβαντιῶσα, καὶ στρέφουσα τὰ ὄντα ἄνω καὶ κάτω.

Δ) Τέλος, περὶ τῶν λεγομένων σφαλμάτων τῶν Ο, ἱκανὰ καὶ ὑπερίκανα προείπομεν ἐν τοῖς προηγηθεῖσι βιβλίοις, οὐδ' ἐνοχλήσομεν ἐπὶ πλέον τοῖς ἀναγνώσταις. Καὶ ταῦτα μὲν ἐπιχειροῦσιν οἱ ἀντιλέγοντες κατὰ τῆς θεοπνευστίας τῶν Ο. Ἴδωμεν δὲ ἤδη καὶ τὰς ἀποδείξεις τῆς ὑπάρξεως αὐτῆς.

§. γ. Πρῶτος καὶ μόνος ἐν τοῖς ἱεροῖς Πατράσιν ὁ μακάριος Ἱερώνυμος εἶπε περὶ τῶν Ο, ὅτι «πνευματέμφοροι προφῆται οὐκ ἦσαν, *ἀλλ' ἁπλοῖ ἑρμηνεῖς*» καὶ πάλιν αὐτὸς οὗτος ἀλλαχοῦ θεοπνεύστους ὡμολόγησε τοὺς Ο. Ὅθεν ἄνδρες ἐπίσημοι τῶν νεωτέρων Δυτικῶν, ἄλλοι τε καὶ Βελλαρμῖνος ὁ Καρδινάλις, καὶ Δεσπιῆρος, καὶ Σεράριος, καὶ Σέξτος ὁ Σενῆνσις (α), ἀθῳοῦσι τὸν

(α) Bellarmin. de Verbo Dei II. 6. - D'Espieres, de LXX. in Disput. 2.

Ἱερώνυμον, ἀποφαίνοντες, ὅτι εἶπε μὲν ὁ Πατὴρ περὶ τῶν Ο μήτε ἐν τῷ ἑρμηνεύειν προφητεῦσαι κυρίως, μήτε πνεῦμα λαβεῖν αὐτοὺς προφητικὸν, δι᾿ οὗ τὰ μέλλοντα προέβλεπον· οὐδέποτε δὲ ὅμως ἀπεῖπεν, ἀλλὰ καὶ ῥητῶς αὐτοὺς ἀνεκήρυξε πλήρεις θείου πνεύματος φιλοπονήσαντας τὴν ἑρμηνείαν τῶν Γραφῶν. Ἀλλ᾿ οἱ περὶ τὸν Ὅδιον ἀντιλέγουσιν ἀσθμαίνοντες, καὶ πληροῦντες ὅλας σελίδας, ὅπως ἀποδείξωσι τὸν Ἱερώνυμον φρονοῦντα καὶ λέγοντα τοὺς Ο *ἁπλοῦς ἑρμηνεῖς*, καὶ τούτους ἐνίοτε πλανηθέντας (βλ. Ὅδιον σελ. 363 κτξ.). Τούτων οὖν τῶν φατριῶν ἀμφοτέρων αἱ ἀντιῤῥήσεις, καθ᾿ ὅσον μὲν ἀνάγονται ἀτομικῶς εἰς τὸ πρόσωπον τοῦ μακαρίου Πατρὸς, ἔχουσί τινα λόγον καὶ θεωρίαν, ὡς ἑκατέρων πρὸς τὸ σφίσι δοκοῦν ἀντιμεθελκόντων τὰς περὶ τῶν Ο φράσεις τοῦ φερωνύμου διδασκάλου τῆς εὐσεβείας. Ὅσον δὲ πρὸς τὴν Ἐκκλησίαν, *ἥτις ἐστὶ στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας*, ποίαν ἔχει δύναμιν, ἢ βάρος ὁποστονοῦν, μία τις ἑνὸς πατρὸς οἱουδήποτε διαφέρουσα δοξασία, καὶ τούτου δὲ πολλάκις πρὸς ἑαυτὸν διαφωνοῦντος; Ὁμολογητέον γὰρ, ὅτι τῆς τοιαύτης τῶν σοφῶν ἀντιλογίας αἰτία τὸ πλεῖστον ὑπῆρξεν ἡ διχογνωμοσύνη αὐτοῦ τοῦ μακαρίου πατρὸς, νῦν μὲν κατ᾿ ἀξίαν τιμῶντος, ἔστι δ᾿ ὅτε καὶ παρ᾿ ἀξίαν ὑπερερῶντος τοὺς Ο. Γράφομεν ἐν τοῖς ἑφεξῆς (κεφ. ε) κατὰ λέξιν τὰς διαφόρους αὐτοῦ γνώμας, καὶ τὰς μάλιστα παραδόξους ἰδίως διαλαμβάνοντες. Ἤδη δὲ θεωροῦμεν πρῶτον, ποία τις ἐστὶ, καὶ δεύτερον, ποίας ἔχει τὰς ἀποδείξεις ἡ θεοπνευστία τῶν Ο.

§. δ. Ἔστιν ἡ θεία Γραφὴ ῥῆμα Θεοῦ, κατ᾿ ἔμπνευσιν αὐτοῦ γεγραμμένον· «*πᾶσα Γραφὴ θεόπνευστος*», ὁ θεῖος ἀπεθέσπισε Παῦλος (Β. Τιμ. γ, 16)· καὶ Πέτρος ὡσαύτως τοὺς θείους προφήτας εἶπε *πνευματεμφόρους*. «Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλὰ *ὑπὸ πνεύματος ἁγίου φερόμενοι* ἐλάλησαν οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι» (Β. Πέτρ. α, 21). Καὶ αὐτὸς ὁ Κύριος

Dub. 11. — Middendorp, proleg. in Aristeam. — Serar. Prolog. Bibl. Quæst. 16. Six, Seneus. Biblioth. I. 8. κτλ.

ἡμῶν ἤλεγξε «τοὺς βραδεῖς τῇ καρδίᾳ *τοῦ πιστεύειν ἐπὶ πᾶσιν* οἷς ἐλάλησαν οἱ προφῆται» «Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευε (τοῖς μαθηταῖς) *ἐν πάσαις ταῖς Γραφαῖς* τὰ περὶ ἑαυτοῦ» (Λουκ. κδ, 25—44), ὡς θεοπνεύστως προφητευθέντα· καθὰ καὶ περὶ τοῦ Δαβὶδ εἶπε ῥητῶς, ὅτι *ἐν πνεύματι καλεῖ κύριον τὸν Χριστὸν*, λέγων· *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου*» (Ματθ. κβ, 43). Ὅθεν καὶ ἡμεῖς ἐν τῷ θείῳ Συμβόλῳ ὁμολογοῦμεν καὶ *πιστεύομεν*, «εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ *λαλῆσαν διὰ τῶν προφητῶν*». Ὥστε καὶ ὁ Θεὸς ἡμῶν καὶ Κύριος Ἰησοῦς, καὶ οἱ θεῖοι Ἀπόστολοι, καὶ πᾶσα ἡ Ἐκκλησία μετὰ τῶν θεοφόρων Πατέρων *δόγμα πίστεως* παρέδωκαν ἡμῖν τὸ θεόπνευστον τῶν θείων Γραφῶν (α).

§. ε. Ζητεῖται δὲ παρὰ τοῖς εὐσεβοφρόνως θεολογοῦσι, πότερον ἆρα καὶ τὰς λέξεις μετὰ τῶν ἐννοιῶν, καὶ τὴν σύνθεσιν, καὶ τὸν χαρακτῆρα τοῦ λόγου τῶν πρωτοτύπων Γραφῶν τὸ θεῖον ὑπηγόρευσε πνεῦμα; ἢ τὰ πράγματα μόνον καὶ τὰς ἐννοίας τοῖς θεοφορήτοις ἐνέπνευσε συγγραφεῦσι, τὴν δὲ τούτων ἔκφρασιν αὐτοῖς ἐπέτρεψε τοῖς γράφουσι, συμπαρὸν ἀχωρίστως, καὶ φωτίζον αὐτούς, καὶ ἐπιστατοῦν εἰς τὸ τὰς προσηκούσας φράσεις ἐκλέγειν, καὶ συντιθέναι, καὶ συγγράφειν ἀσφαλῶς καὶ ἀναμαρτήτως *πᾶσαν τὴν ἀλήθειαν*, καθ' ὅν ἕκαστος εἶχεν ἰδιάζοντα τῆς λέξεως

(α) Τὸ θεόπνευστον τῶν θείων Γραφῶν τρανῶς ἀνακηρύττεται πολλαχοῦ τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, καὶ παρὰ πᾶσι τοῖς ἱεροῖς Πατράσι· οἷον Ἰγνάτιος ἐπιστ. πρὸς Μαγνησ: Κλήμης ὁ Ῥώμης ἐπιστ. Α. Ἰουστῖνος π. Τρύφων· καὶ Ἀπολογ. β: Εἰρηναῖος κ. Αἱρέσ. Β, 46, 47: Θεόφιλος Ἀντιοχείας π. Αὐτόλ. β: Κλήμης Στρωμ.: Ὠριγένης ἐν προοιμ. π. Ἀρχῶν: Ἀθηναγόρας ἀπολογ: Γρηγόριος ὁ Θαυματουργὸς ἐν τῷ Συμβόλῳ: Μ. Ἀθανάσιος. Τόμ. β. σελ. 61, 195, 196. Com: Εὐσέβιος Εὐαγ. Ἀποδ. Ε. α: Μ. Βασιλ· εἰς Ἡσαΐ. α: Γρηγόριος Ναζ. ὁμιλ. α: Χρυσόστομος εἰς Γένεσ. ὁμ. κβ: Γρηγ. Νύσσης (πολλαχοῦ), Κύριλλος Ἱεροσολύμων, Κύριλλος Ἀλεξανδρείας, Μακάριος (ὁμιλ. θ), Θεοδώρητος, καὶ ἄλλοι συχνοί. Ὡσαύτως καὶ ἐκ τῶν Δυτικῶν Ἀμβρόσιος, Αὐγουστῖνος (de Civ. Dei XVIII. c. 38) Ἱερώνυμος (Proem. ad Epistolam Phil.), Γρηγόριος ὁ Μάγνος (Prol. in Job) κτλ. Βλ. καὶ Carol. du Plessis d'Argentré, Element. Theologiæ. cap. 4. Paris, 1702. — Du-Pin, Prolegomenes sur la Bible. p. 48.

χαρακτῆρα, μηδὲν τῆς διανοίας καὶ προαιρέσεως αὐτῶν ἀναγκαζομένης; «Ἀνέφικτον μὲν (τὸ) τῇ ἀνθρωπίνῃ φύσει (ὁ μέγας φησὶ Βασίλειος) [τὸ] παραστῆσαι τὸν λόγον τῆς διαφόρου ἐνεργείας, [τῆς] παρὰ τοῦ θείου πνεύματος τοῖς ἀξίοις ἐγγινομένης. — Πῶς προεφήτευον αἱ καθαραὶ καὶ διαυγεῖς ψυχαί, οἱονεὶ κάτοπτρα γινόμεναι τῆς θείας ἐνεργείας, καὶ τὴν ἔμφασιν τρανὴν καὶ ἀσύγχυτον ἐπεδείκνυντο»; (εἰς Ἡσαΐ. α). Φαίνονται δὲ ὅμως (ὅσον ἐστὶν εἰκάσαι) ἀμφότερα τὰ φρονήματα ἀληθεύοντα, κατὰ τὸν προσήκοντα τρόπον καὶ πρὸς τὰς ὑποθέσεις ἀναλόγως συνθεωρούμενα (α). Τρία γάρ τινα θεωροῦνται περὶ τοὺς θεοπνεύστους συγγραφεῖς, *κίνησις* ἐσωτερικὴ διὰ τῆς τοῦ θείου πνεύματος ἐμφοιτήσεως, καὶ *ἀποκάλυψις*, (ἥτις ἰδίως ἐστὶν ἀγνοουμένης ἀληθείας φανέρωσις), καὶ τρίτον *ἐπιστασία*, ἢ *ἔλλαμψις* τοῦ θείου πνεύματος, ἀπλανῆ παντάπασι καὶ οἱασοῦν ἀπάτης ἐλεύθερον διατηροῦν τὸν ἔνθεον ἱεροφάντην τῆς ἀληθείας. Ὅσα μὲν οὖν *κατὰ ἀποκάλυψιν* ἐφανέρου τοῖς ἱεροῖς συγγραφεῦσι τὸ *κινοῦν* αὐτοὺς πνεῦμα, τὰς ἀγνοουμένας μυστηριώδεις ἀληθείας ἀποκαλύπτον, καὶ *τὰ ἄδηλα καὶ κρύφια τῆς θείας σοφίας* δηλοποιοῦν, τούτων καὶ τὰς λέξεις ἐνηχοῦν ὑπηγόρευε, καὶ τὰς φράσεις. Ὅσα δὲ πάλιν ὑπὸ τοῦ θείου πνεύματος *κινηθέντες* συνέγραψαν ἱστορικώτερα, καὶ ἄλλως αὐτοῖς γνω-

---

(α) Ἀμφότεραι αἱ δόξαι παρὰ τοῖς ἱεροῖς Πατράσι καθωμολόγηνται. Ἡ πρώτη παρ' Ἀθηναγόρᾳ (Ἀπολογ.), Χρυσοστόμῳ (εἰς Γένεσ. Ὁμιλ. ιη), καὶ ἄλλοις. Ἡ δὲ δευτέρα παρὰ τῷ Ἀλεξανδρείας Διονυσίῳ, καὶ τῷ πρεσβυτέρῳ Παπίᾳ (βλ. Εὐσεβ. Ἐκκλ. ἱστορ Γ. λθ, 7: καὶ Ζ, κδ, 9). Τοιαῦτα καὶ ὁ ἀοίδιμος Εὐγένιος ἐν τῷ εἰσέτι ἀνεκδότῳ Θεολογικῷ αὐτοῦ συγγράμματι (Προλεγομ. κεφ. ς), οὗ τινος ἐπιτομὴν μετὰ προσθηκῶν ἰδίων ἐξέδωκεν ὁ μακαρίτης Ἀθανάσιος ὁ Πάριος (Λειψ. 1806) «Ἐπιτομὴ τῶν θείων τῆς πίστεως Δογμάτων», κτλ. προλεγομ. σελ. 16, 18. Τῶν δ' ἑτεροδόξων οἱ μὲν Δυτικοὶ σχεδὸν συνομολογοῦσι (βλ. Marchini de divinit. S.Scr. p. 67. Lieberman, Inst. Theolog. T. 2. p. 310-326), οἱ δὲ Λοβανοὶ λεγόμενοι θεολόγοι (Lovanienses) καὶ ἄλλοι Διαμαρτυρούμενοι διατείνονται καὶ τὸ νόημα καὶ πᾶσαν ἐν γένει λέξιν καὶ συλλαβὴν μέχρι καὶ τῶν κεραιῶν τῶν Γραφῶν ἀμέσως ὑπὸ τοῦ θείου πνεύματος ὑπηγορεῦσθαι τοῖς προφήταις καὶ ἀποστόλοις. Βλ. Carpzov. Crit. Sacr. p. 59.—Klüpfel, Inst. Theol. P. 1. p. 71.—Jahn, Einleit. 1, Bd. p. 106.

στὰ, οἷς εἴτ' αὐτοὶ παρῆσαν οἱ θεόπνευστοι συγγραφεῖς (ὡς ὁ θεῖος Μωσῆς, τὰ κατὰ τὴν Ἔξοδον τῶν Ἰσραηλιτῶν καὶ τὰς ἄλλας αὐτοῦ πράξεις ἱστορῶν· καὶ ὁ ἐπιστήθιος μαθητὴς, τὰ κατὰ τὴν σταύρωσιν τοῦ Σωτῆρος), εἴτε καὶ παρ' ἄλλων αὐτοπτῶν καὶ θεοφόρων ἀνδρῶν μετὰ πληροφορίας ἐμυήθησαν (Λουκ. α, 1) (α), ἔν γε τοῖς τοιούτοις ἐχρήσαντο μὲν τῇ συνήθει διαλέκτῳ, τοῦ ἐνοικοῦντος αὐτοῖς πνεύματος ἐπινεύσαντος, ἀλλ' ὅμως κἀν τούτοις συμπαρῆν τὸ πνεῦμα φωτίζον αὐτοὺς, καὶ καθοδηγοῦν, καὶ ἐπιστατοῦν εἰς τὴν μέχρι κεραίας ἀκριβῆ καὶ ἀναμάρτητον ἔκφρασιν τῆς ἀληθείας. Αὐτὸ τὸ πνεῦμα τὸ κινῆσαν αὐτοὺς πρὸς τὸ γράφειν κατέλαμπεν αὐτῶν τὸ ἡγεμονικὸν, ἐνίσχυε τὴν μνήμην, ἐπληροφόρει τὴν διάνοιαν ἀδιστάκτως, ἐπεστάτει εἰς τὴν παναρμόνιον συνάφειαν τῶν ἐννοιῶν καὶ τὴν σύγκρισιν τῶν θεσπιζομένων, ἐπεκύρου τὴν διὰ τούτων μᾶλλον, ἢ ἐκείνων τῶν φωνῶν, καὶ τὴν ἐπιτομωτέραν, ἢ ἐκτενεστέραν ἔκφρασιν τῆς ἀληθείας, καὶ τέλος, ἐσφράγιζε καὶ τὸ λεκτικὸν καὶ τὸ πραγματικὸν τῆς ἣν ἀπ' ἀρχῆς ἄχρι τέλους διεύθυνε καὶ συνηρμολόγει συγγραφῆς. Καὶ γὰρ καὶ αὐτὰ τὰ ἱστορικώτερα ἀδιασπάστως καὶ συμφυέστατα συνεξύφανται οὐ μόνον πρὸς τὴν ἠθικὴν τοῦ θείου νόμου διδασκαλίαν, ἀλλὰ καὶ πρὸς τὰ ὑπερφυέστατα δόγματα τῆς θεολογίας, καὶ πρὸς πάντα τὰ μυστήρια τῆς πίστεως, *διὰ γραφῶν προφητικῶν φανερωθέντα* (Ῥωμ. ις, 26)· οὐδ' ἔστιν οὐδὲν, οὐδὲ τὸ σμικρότατον μέρος τῶν θείων Γραφῶν, ἔργον ἀνθρωπικὸν ἀμφιβολίαις οἱαισδήποτε ὑποκείμενον, καὶ ἀντιβαῖνον *πρὸς τὸ πνεῦμα τῆς ἀληθείας*· ὅπερ ἐν ταῖς καθαραῖς τῶν ἱερῶν συγγραφέων ψυχαῖς ἐναυγάζον, ὡς λαμπροτάτην φωτὸς ἡμέραν ἐν αὐταῖς κατειργάζετο, διαυγεστέρας καὶ θεωρητικωτέρας αὐτὰς ἀποφαῖνον, ὥστε νήφειν, καὶ ἐγρηγορέναι, *συνορᾷν τε πάντων μά-*

(α) «Προφήτης» (φησὶν ὁ Προκόπιος) ὁ προφάσκων, ἢ τὸ μέλλον, ἢ τὰ παρόντα λανθάνοντα». Καὶ ὁ ἱερὸς Θεοδώρητος (προθεωρ. εἰς τοὺς ψαλμ.) «Ἴδιον προφητείας οὐ μόνον τὰ ἐσόμενα προαγορεύειν, ἀλλὰ καὶ τὰ παρόντα, καὶ τὰ ἤδη γεγενημένα λέγειν. καὶ γὰρ ὁ θεσπέσιος Μωσῆς τὰ πάλαι καὶ τὰ πρόπαλαι ... σαφῶς ἡμᾶς ἐξεπαίδευσε». κτλ.

λιστα, καὶ συγκρίνειν τὰ θεσπιζόμενα . . . καὶ μὴ μόνον τὰ παρόντα, ἀλλὰ καὶ τὰ μέλλοντα, κτλ.» (Εὐσεβ. Εὐαγ. Ἀποδ. Ε, α). Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, αὐτὸς ὁ Κύριος ἡμῶν μετὰ τῶν Ἀποστόλων θεῖον τὸ κῦρος ὅλων ἐν γένει τῶν Γραφῶν *χωρίς τινος διαστολῆς καὶ διακρίσεως* ἐθεσπίσατο. Καὶ ὁ μέγας Παῦλος καθολικῶς ἐδογμάτισεν, ὅτι «*Ὅσα προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη*» (Ῥωμ. ιε, 4). Καὶ «*πᾶσαν*» ἐν γένει τὴν Γραφὴν ἀνεκήρυξε «*θεόπνευστον καὶ ὠφέλιμον πρὸς διδασκαλίαν*», καὶ τὰ λοιπὰ τοῦ θείου ῥητοῦ (Β. Τιμ. γ, 16). Ὥστε κατ' ἀμφοτέρας τὰς προειρημένας ἐπόψεις καὶ θεωρίας, αἱ θεῖαι Γραφαὶ θεόπνευστοι ἀναδείκνυνται, πᾶσαι καθόλου καὶ καθ' ἕκαστον μέρος, καὶ πανάχραντα ῥήματα Θεοῦ. Καὶ ἔστι καὶ ὧδε τὸ τοῦ Οὐρανοφάντορος δεόντως εἰπεῖν, ὅτι κατὰ μὲν τὴν πρώτην θεωρίαν *ἐλάλει τὸ πνεῦμα διὰ τῶν προφητῶν καὶ ἀποστόλων*· κατὰ δὲ τὴν δευτέραν, *ἐλάλουν οἱ προφῆται καὶ ἀπόστολοι ἐν πνεύματι* (α). Ὅθεν καὶ παρὰ τοῖς ἱεροῖς πατράσιν ὀνομάζονται «*κάλαμοι, ὄργανα, στόματα Θεοῦ*», οὐδὲν οἴκοθεν διαλεχθέντες ἡμῖν, ἀλλ' ὑπὸ τῆς θείας ἐκείνης καὶ ὑπερουρανίου χάριτος ἐμπνευσθέντες (β).

(α) «Ὡς γὰρ ἐν Χριστῷ λαλεῖ Παῦλος (κατενώπιον γάρ, φησι, Θεοῦ ἐν Χριστῷ λαλοῦμεν. Β. Κορινθ. β), καὶ Χριστὸς ἐν Παύλῳ (ὡς αὐτὸς λέγει, εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. Β. Κορινθ. ιγ)· οὕτω καὶ ἐν πνεύματι λαλεῖ τὰ μυστήρια, καὶ τὸ πνεῦμα πάλιν λαλεῖ ἐν αὐτῷ». Μ. Βασιλ. π. τ. ἁγ. Πνεύμ. κϛ. σελ. 208.

(β) Χρυσόστ. εἰς Ψαλμ. δ.— Καὶ ὁ ἱερὸς Ἀθηναγόρας λέγει τοὺς προφήτας ὄργανα τοῦ θείου πνεύματος. Καὶ πάλιν «Οἱ προφῆταί (φησι) κατ' ἔκστασιν τῶν ἐν αὐτοῖς λογισμῶν, κινήσαντος αὐτοὺς τοῦ θείου πνεύματος, ἃ ἐνηργοῦντο ἐξεφώνησαν, συγχρησαμένου τοῦ πνεύματος, ὡς εἰ καὶ αὐλητὴς αὐλὸν ἐμπνεύσαι» (Ἀπολογ. κεφ. ϛ. σελ. 42. καὶ η, σελ. 49 ἐκδ. Longos. 1774). Ἔκστασιν δὲ λογισμῶν τὴν ἀπὸ γηΐνων φρονημάτων εἰς πνευματικὰς θεωρίας ἔνθεον μετάστασιν (ὡς Πράξ. ια, 5), ἢ τὴν ἔκπληξιν ἐκδεκτέον, οὐ δήπου παραφροσύνην τινὰ καὶ παραφοράν. Ἀκουστέος πάλιν ὁ μέγας οὐρανοφάντωρ. «Φασί δέ τινες ἐξεστηκότας αὐτοὺς (τοὺς προφήτας) προφητεύειν, ἐπικαλυπτομένου τοῦ ἀνθρωπείου νοῦ παρὰ τοῦ πνεύματος· τοῦτο δὲ παρὰ τὴν ἐπαγγελίαν ἐστι τῆς θείας ἐπιδημίας,

§. ϛ. Τούτων οὕτως ἐχόντων, ἴδωμεν, εἰ καὶ οἱ Ο κατὰ θείαν ἐπίπνοιαν ἡρμήνευσαν τὰς προφητικὰς Γραφάς. Προφῆται μὲν οὖν κυρίως οὐκ ἦσαν οἱ ἑρμηνεῖς ἐκεῖνοι, δι' ἀποκαλύψεως δηλονότι τὰ μέλλοντα προθεσπίζοντες· ὅτι δὲ θείας ἐπιπνοίας μετέσχον, καὶ ὅτι (ὡς εἶπεν ὁ ἱερὸς Αὐγουστῖνος) «τὸ πνεῦμα τὸ τοῖς προφήταις ἐνὸν, ὁπότε (τὰ θεῖα λόγια) ἀπεφθέγγοντο, τοῦτ' αὐτὸ καὶ τοῖς Ο, ἀνδράσιν ἐνῆν, ὅτε ταῦτα μεθηρμήνευον» (Π. πόλ. Θεοῦ. ΙΗ, 42), τοῦτο δείκνυται ἐκ τῶν ἐφεξῆς.

Α) Ἐκ τοῦ πρώτου καὶ ἀρχικοῦ καὶ κυρίως αἰτίου τῆς μεταφράσεως· «Θεὸς αὐτὸς, ὁ . . τῶν ἀγαθῶν αἴτιος, προλαβὼν τὸ μέλλον ὡς ἂν Θεὸς, τῇ προγνώσει, τὰς περὶ τοῦ πάντων ἀνθρώπων οὐκ εἰς μακρὰν ἀναφανησομένου Σωτῆρος . . . προῤῥήσεις ἀποκαλυφθῆναι τοῖς πᾶσιν, εἰς φῶς τε ἐλθεῖν *ἐπ' ἀκριβὲς μεταβληθείσας*» (τουτ. μεταφρασθείσας), «δημοσίαις τε βιβλιοθήκαις ανατεθῆναι διοικεῖται, βασιλεῖ Πτολεμαίῳ τοῦτο πρᾶξαι κατὰ νοῦν ἐμβαλὼν, εἰς προπαρασκευὴν, ὡς ἔοικε τῆς τῶν ἐθνῶν ἁπάντων ὅσον οὔπω μελλούσης ἐξ αὐτῶν ἔσεσθαι μεταλήψεως. Ὧν γὰρ οὐκ ἂν ἄλλως ἐτύχομεν παρὰ Ἰουδαίων (ἀποκρυψάντων ἂν τὰ παρ' αὐτοῖς λόγια διὰ τὸν πρὸς ἡμᾶς φθόνον), *τούτων ἐκ τῆς θεόθεν*

ἔκφρονα ποιεῖν τὸν θεόληπτον, καὶ ὅτε πλήρης γέγονε τῶν θείων διδαγμάτων, τότε καὶ τῆς οἰκείας ἐξίστασθαι διανοίας, καὶ ἄλλους μὲν ὠφελοῦντα δι' ἑαυτοῦ, αὐτὸν δὲ τῆς ἐκ τῶν ἰδίων λόγων ἀπολείπεσθαι ὠφελείας· ὅλως δὲ, τίνα λόγον ἀκόλουθον ἔχει ἐκ τοῦ τῆς σοφίας πνεύματος μεμηνότι παραπλήσιον γίνεσθαι, καὶ ἐκ τοῦ τῆς γνώσεως πνεύματος τὸ παρακολουθητικὸν ἀποβάλλειν; . . . Πονηρὰν μὲν οὖν δύναμιν συγχυτικὴν εἶναι διανοίας, ἐπιβουλεύουσαν τῇ ἀνθρωπίνῃ φύσει, οὐκ ἀπίθανον» (ὡς ἐπὶ τῶν ἐθνικῶν μαντειῶν)· «θείου δὲ πνεύματος παρουσίαν ταὐτὸ τοῦτο λέγειν ἐνεργεῖν, ἀσεβές. Ἔπειτα, εἰ σοφοὶ οἱ ἅγιοι, πῶς οὐκ ἐπηκολούθουν τοῖς προφητευομένοις; σοφὸς γάρ φησι, νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος (Παροιμ. Ι. 13).— Εἰ δὲ, ὅτι καὶ Δαβὶδ «εἶπεν ἐν τῇ ἐκστάσει αὐτοῦ» (ψαλ. ριε), διὰ τοῦτο τὴν παραφορὰν καταψεύδονται τῶν ἁγίων, γινωσκέτωσαν τὴν ἔκπληξιν ἔκστασιν εἰρῆσθαι» κτλ. (εἰς Ἡσαϊ. α). Τοιαῦτα καὶ Εὐσέβιος (Εὐαγ. Ἀποδ. Ε, α). Βλέπε καὶ Φίλωνα ἐν τῷ περὶ τοῦ θεοπέμπτους εἶναι τοὺς ὀνείρ· Βιβλ. Β. (σελ. 689. τ. α. Μ). Καὶ μάτην ἄρα ὁ δυσσεβὴς παρελήρησε Μοντανὸς, «ὅτι οἱ προφῆται ἁπαξαπλῶς οὐ συνίεσαν ἃ ἐλάλουν, ἀλλὰ κατεχόμενοι ὑπὸ τοῦ πνεύματος ἔλεγόν τινα· οὐκ ᾔδεσαν δὲ ἃ ἔλεγον» (Θεοφύλ. εἰς Α. Κορινθ. ιδ, 14).

οἰκονομηθείσης ἑρμηνείας ἠξιώθημεν, πρὸς τῶν παρ' αὐτοῖς ἐπί τε συνέσει καὶ τῇ πατρίῳ παιδείᾳ δεδοκιμασμένων ἀνδρῶν (τῶν Ο) *μεταβληθέντων*» (Εὐσέβ. Εὐαγ. Προπαρ. Η, προοιμ. σελ. 205). Κατὰ ταῦτα τοίνυν (ἃ καὶ τῶν πραγμάτων ἡ ἔκβασις μαρτυρεῖ, καὶ ἄλλοι τῶν θείων Πατέρων θεολογοῦσιν, ὡς ὀψόμεθα ἐφεξῆς), ἀποδείκνυται σαφῶς ἡ ἑλληνικὴ τῶν προφητικῶν Γραφῶν ἑρμηνεία ἔργον τῆς θείας *οἰκονομίας*, θεῖον πάντως καὶ αὐτό, καὶ *δώρημα τέλειον, ἄνωθεν ἐκ τοῦ πατρὸς τῶν φώτων κατελθόν*, πρῶτον μὲν, ὅπως φανερωθῶσιν εἰς τὰ ἔθνη αἱ προφητεῖαι, παρασκευάζουσαι τὰς καρδίας αὐτῶν εἰς ὑποδοχὴν τοῦ προφητευθέντος, καὶ μέλλοντος οὐκ εἰς μακρὰν φανήσεσθαι Σωτῆρος τοῦ κόσμου, «*τῆς προσδοκίας τῶν ἐθνῶν*». Ἔπειτα δὲ, καὶ ὅπως διασωθῶσιν ἐν τῇ Ἐκκλησίᾳ τὰ θεόχρηστα λόγια τῶν προφητῶν, ὧν ἂν ἐφθόνησαν οἱ ἰουδαῖοι χριστιανοῖς μεταδοῦναι μετὰ τὴν θεοφάνειαν τοῦ Σωτῆρος (α). Εἰ δὲ θεία καὶ θεόσδοτος ἡ ἑρμηνεία, καὶ οἱ ταύτην ἄρα πιστευθέντες ἑρμηνεῖς, ὑπὸ τοῦ προφητικοῦ πνεύματος ἀγόμενοι, *τοῦ πνεύ-*

(α) Ἀλλὰ καὶ οἱ περὶ τὸν Ὀττιγγῆρον μετὰ τῆς Χαμιήρου Πανστρατιᾶς, καίτοι πολέμιοι τῶν Ο, συγχωροῦσι τοῖς τούτων προστάταις φρονεῖν, «Ὅτι αὕτη ἡ ἑλληνὶς ἑρμηνεία ὠφελιμωτάτη γέγονε τῷ γένει τῶν ἀνθρώπων, ἔτι πρὸ Χριστοῦ κατὰ μικρὸν ἀρξαμένῳ τῇ οὐρανίᾳ συνεθίζεσθαι διδασκαλίᾳ, καὶ ἐν μέσῃ τῇ σκοτίᾳ τῆς εἰδωλολατρείας τὸ φῶς τῆς ἀληθείας ὁρᾷν· καὶ ὅτι πολλοὶ προσήλυτοι γεγόνασιν ἐκ ταύτης τῆς τοσούτων μυστηρίων διακοινώσεως. Ἀλλὰ καὶ εἰς τὴν Χριστοῦ Ἐκκλησίαν μέγας ἐξ αὐτῆς συνεκομίσθη καρπὸς, ὡς ἐδίδαξεν ἡ πεῖρα· διὰ πολλῶν γὰρ αἰώνων αὕτη μόνον ὑπῆρξε γνωστή. Ὅτι δέ (φασι) καὶ οἱ ἑρμηνεῖς ἦσαν προφῆται, καὶ ἡ τούτων ἑρμηνεία ἰσοστάσιός ἐστι καὶ ὁμότιμος τῷ ἑβραϊκῷ πρωτοτύπῳ, τότε (λέγουσι) τοῖς ὑπερασπισταῖς αὐτῆς συνεχωρεῖτο πιστεύειν, ὅτε κατήρχετο καὶ μέχρις ἡμῶν ἄχραντος καὶ γνησία ἡ ἑρμηνεία» (**Hotting. Thesaur. pag. 344**). Ἀλλ' ὅτι μὲν ἡ τῶν Ο Γραφὴ γνησία κατῆλθε καὶ ἄχραντος εἰς αἰῶνας, βεβαιοῖ τοὺς ἀσφαλῶς αὐτὴν διακρατοῦντας ἡ τοῦ Χριστοῦ Ἐκκλησία. Αὐτοὶ δὲ οἱ τοῖς ἄλλοις πιστεύειν, ἃ πιστεύουσιν, ἄσμενοι συγχωροῦντες (καὶ ὑπ' αὐτῆς τῆς πείρας, ὡς ὁμολογοῦσι, βεβαιούμενα), τί δήποτ' οὐ συγχωροῦσι ταῦτα καὶ ἑαυτοῖς; πότερον, ὡς ἄλλο τι φρονοῦντες ῥαββινικώτερον; ἢ σχηματίζουσι τὸν λόγον σοφιστικῶς, ἄλλους παράγοντες φρονοῦντας ὅσα καὶ αὐτοὶ συνοίδασι μὲν ἑαυτοῖς, αἰδοῦνται δ' ἀπ' εὐθείας ὁμολογεῖν, διότι «ἠγάπησαν μᾶλλον τὸ σκότος ἢ τὸ φῶς»;

ματος τῆς γνώσεως καὶ σοφίας, ἐξελλήνισαν ἐπ' ἀκριβὲς τὰς ἑβραϊκὰς Γραφὰς, οὐ τὰ μέλλοντα κατ' ἀποκάλυψιν προφητεύοντες, ἀλλὰ μεθερμηνεύοντες πιστῶς τὰ προφητευθέντα «*εἰς ἀποκάλυψιν ἐθνῶν*» (α). Ἔστι γὰρ καὶ ἡ τῶν *γλωσσῶν ἑρμηνεία*, καθὼς καὶ ἡ προφητεία, ἓν τῶν *κατὰ διαιρέσεις ἐνεργημάτων* καὶ χαρισμάτων τοῦ πνεύματος, κατὰ τὸν Ἀπόστολον (Α. Κορινθ. ιβ, 10) (β). Ἐντεῦθεν οἱ ἑρμηνεῖς ἐπωνομάσθησαν παρά τισι καὶ προφῆται, ὡς ὑπὸ τοῦ παναγίου πνεύματος, τοῦ διὰ τῶν προφητῶν λαλήσαντος, ἐλλαμφθέντες εἰς ἐπίγνωσιν καὶ ἐξήγησιν τῶν ἐκείνοις προεγνωσμένων. Ὅθεν καὶ ὁ ἱερὸς ἀπεφήνατο Κλήμης, «ἐπιπνοίᾳ Θεοῦ, τοῦ τὴν προφητείαν δεδωκότος, καὶ τὴν ἑρμηνείαν (τῶν Ο) οἱονεὶ ἑλληνικὴν προφητείαν ἐνηργεῖσθαι» (Στρωμ. Α. σελ. 250). Καὶ τοίνυν, κατὰ ταῦτα, Πτολεμαῖος μὲν ὁ τῆς Αἰγύπτου βασιλεὺς, ᾧ *Θεὸς ἐνέβαλε κατὰ νοῦν τὴν ἑρμηνείαν* τῶν τοῖς ἐθνικοῖς ἀγνώστων προφητειῶν, ἀντιστοιχεῖ πρὸς τὸν Φαραὼ καὶ τὸν Ναβουχοδονόσορα, εἰς οὓς, ὡς κρατοῦντας ποιμένας λαῶν, ἐφανέρωσεν ὁ Θεὸς σκιωδῶς καὶ δι' ἐνυπνίων τὰ μέλλοντα γίνεσθαι, ἵνα ἡ πρόγνωσις πιστευθῇ. Οἱ δὲ Ο ἑρμηνεῖς ἀναλογοῦσι (καθὸ ἑρμηνεῖς) πρὸς τὸν Ἰωσὴφ ἐν Αἰγύπτῳ, καὶ Δανιὴλ τὸν ἐν Βαβυλῶνι, οἵτινες ἐν πνεύματι ἁγίῳ

(α) «Ἡ γὰρ προφητεία πρόγνωσίς ἐστιν, ἡ δὲ γνῶσις προφητείας νόησις, οἷον γνῶσις τῶν ἐκείνοις προεγνωσμένων ὑπὸ τοῦ προφαίνοντος τὰ πάντα Κυρίου». Κλήμ. Στρωμ. Β. σελ. 281.

(β) Καὶ ἀντὶ τοῦ ἑ ρ μ η ν ε ὺ ς (ἐπὶ τῶν θείων) εὑρίσκεται τὸ π ρ ο φ ή τ η ς παρὰ τῇ θείᾳ Γραφῇ· ὡς τὸ «Καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου π ρ ο φ ή τ η ς» (Ἐξόδ. ζ. 1.), διερμηνεύων τοῦ λόγου τὸν νοῦν (πρὸς τὸν Φαραὼ)· «τὸν γὰρ Ἀαρὼν στόμα καὶ ἑρμηνέα καὶ προφήτην εἴωθε καλεῖν (ἡ Γραφὴ)». Φίλων τ. α. σελ. 199. Καὶ ἐν Ἀποστόλων Διαταγαῖς (Η. κβ) ἀναγινώσκομεν ἐπὶ τῆς εἰς τὸν προχειριζόμενον ἀναγνώστην εὐχῆς· «Ὁ Θεὸς ὁ αἰώνιος . . ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τὸν ἐγχειριζόμενον τὰς ἁγίας σου γραφὰς ἀναγινώσκειν τῷ λαῷ σου, καὶ δὸς αὐτῷ πνεῦμα ἅγιον, πνεῦμα π ρ ο φ η τ ι κ ὸ ν» (εἰς τὸ ὀρθῶς κατανοεῖν καὶ ἑρμηνεύειν, ὅτε δεῖ, τὰ ἀναγνώσματα). Περὶ τῆς πλατυκωτέρας τοῦ Προφήτης σημασίας ἔγραψαν οἱ νεώτεροι πολλὰ, ἐν οἷς καί τινα νόθοις λογισμοῖς ἀνάμικτα· βλ. Moshem. De Prophetis Eccles. Apostolic. in Dissert. ad Hist. Eccles. T. 2. p. 124—208.

καὶ διὰ προφητικοῦ χαρίσματος ἡρμήνευσαν τὰ κατ' ὄναρ αἰνιγματωδῶς ἀποκαλυφθέντα τοῖς βασιλεῦσι (α).

Β) Τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο δείκνυται καὶ ἰδίως ἐκ τῆς ἀκριβοῦς καὶ γνησίας ἐκφράσεως τῶν τοῖς προφήταις ἀποκαλυφθέντων μεγάλων τῆς πίστεως μυστηρίων. Εἶπεν ὁ Φίλων, ὅτι «τοῖς Ο ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰλικρινέσι τῷ Μωσέως καθαρωτάτῳ πνεύματι» (Τόμ. β. σελ. 140)· καὶ τοῦτο λαμπρῶς τὰ πράγματα βεβαιοῦσιν. Ἰδού τινα παραδείγματα. Τὸ παρ' ἑβραίοις *τετραγράμματον*, καὶ λίαν ἐκφαντορικὸν καὶ κυριώτατον τῶν ἐπὶ Θεοῦ λεγομένων ὀνομάτων (καθὸ *οὐσίας* σημαντικὸν, ἐν ᾧ τὰ ἄλλα τὰ ἐπὶ Θεοῦ λεγόμενα ὑπάρχουσιν οἷον προσηγορικὰ, καὶ τῶν θείων ἰδιοτήτων δηλωτικά), δι' οὗ καὶ αὐτὸς ὠνόμασεν ἑαυτὸν ὁ Θεὸς, τοῦτο, λέγω, τὸ ὄνομα οἱ Ο πανταχοῦ σχεδὸν διὰ τοῦ *Κύριος* μεθηρμήνευσαν· «Καὶ τὸ ὄνομά μου ΚΥΡΙΟΣ» κτλ. (ἑβρ. ΙΕΥΩ, ἢ κατὰ τὸν Μασοριτικὸν τονισμὸν, ΙΕΧΟΒΑ (Ἐξόδ. ϛ, 3) (β). Ἐκ δὲ τούτου τοῦ ὀνόματος τὸ Πνεῦμα τὸ ἅγιον, τὸ διὰ

(α) Γενέσ. μα, 17—38. Δανιὴλ 6, 31—46. «Πολλὴ δὲ ἡ συγγένεια πρὸς τὰ ἐκ τῶν (εἰρημένων) ὀνείρων αἰνίγματα τοῖς κατ' ἐπίκρυψιν ἐν τῇ Γραφῇ δηλουμένοις» (Μ. Βασίλ. εἰς Ἡσαΐ. α. τόμ. α. σελ. 807).

(β) Τὸ Ἰεχοβὰ ἐμφαίνει τὸ ἀεὶ εἶναι τοῦ ὄντως Ὄντος, καὶ φαίνεται συγγενὲς τοῦ ἅπαξ ἐν τῇ Γραφῇ φερομένου ὑπαρκτικοῦ ῥήματος Ἐχεϊὲ (Eheie) δι' οὗ πάλιν ὁ Αἰώνιος ὠνόμασεν ἑαυτὸν ἐν Ἐξόδ. γ, 14, ὅπου τὸ μὲν ἑβρ. ἔχει Ἐχεϊὲ ασερ Ἐχεϊὲ (τουτ. «εἰμὶ ὃς εἰμὶ» Sum qui sum), οἱ δὲ Ο, καὶ τοῦτο θαυμαστῶς καὶ θεοφράστως ἡρμήνευσαν «Ἐγώ εἰμι ὁ Ὤν» (τοῦτο καὶ Πλάτων ἔμαθε παρ' ἑβραίων κάλλιστον μάθημα, πρῶτος Ἑλλήνων εἰπὼν τὸν Θεὸν «Ὄντα ἀεὶ», καὶ «ὅ ἐστι τὸ Ὄν», ἐν Φαίδρῳ καὶ Τιμαίῳ). Ὅθεν τινὲς εἶπον, ὅτι κατὰ τοῦτο μόνον τὸ Ἰεχοβὰ διαφέρει τοῦ Ἐχεϊὲ, ὅτι τοῦτο μὲν δηλοῖ τὸ πρῶτον, ἐκεῖνο δὲ τὸ τρίτον πρόσωπον τοῦ ὑπαρκτικοῦ ῥήματος (Rosenmüll. Schol. ad h. l.)· ἀλλὰ τοῦτο μὲν ἐῶμεν. Ἐκεῖνο δὲ σαφέστατον, ὅτι τὸ Ἐχεϊὲ σημαίνει καὶ τοὺς τρεῖς πρωτοπροσώπους χρόνους τοῦ ὑπαρκτικοῦ, ἦν, ἔσομαι, εἰμί (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 849. πρβλ· Ἰουστιν. Παραιν. π. Ἕλλην. §. 25). Ὅτι δὲ ἀμφότεροι τῆς θεωνυμίας οἱ σχηματισμοὶ συμπίπτουσι κατὰ σημασίαν, μαρτυροῦσιν ὅ, τε ἱερὸς Ἐπιφάνιος, λέγων· «Τὸ Ἰαβὲ (ἑρμηνεύεται) ὃς ἦν, καὶ ἔστι, καὶ ἀεὶ ὤν» (Αἱρέσ. 40), καὶ ὁ ἱερὸς Θεοδώρητος, «τοῦτο (τὸ ἐγώ εἰμι ὁ ὤν) παρ' ἑβραίοις ἄφραστον ὀνομάζεται· ἀπείρηται γὰρ αὐτοῖς τοῦτο διὰ τῆς γλώτ-

τῶν Ἀποστόλων λαλῆσαν, ὀνομάζει εἰδικῶς καὶ ἐξαιρέτως τὸν ἐκ Θεοῦ θεὸν Λόγον, τὸν θεάνθρωπον *Ἰησοῦν τὸν Χριστὸν* (Ἰακ. α, 1: Α. Τιμοθ. α, 1) «Ὅς ἐστι *Χριστὸς Κύριος*» (Λουκ. β, 11. καὶ α, 43—76. Ματθ. γ, 3), «*εἷς Κύριος Ἰησοῦς Χριστὸς*» (Α. Κορ. η, 6. Ἐφεσ. δ, 5), «*ὁ Κύριός μου καὶ ὁ Θεός μου*» (Ἰωάν. κ, 28).

της προφέρειν· γράφεται δὲ διὰ τῶν τεσσάρων στοιχείων· διὸ καὶ τετράγραμμον (ἴσ. γρ. τετραγράμματον) λέγουσι.— Καλοῦσι δὲ αὐτὸ Σαμαρεῖται μὲν Ἰ α β έ, Ἰουδαῖοι δὲ Ἰ α ώ» (Ἄπορ. εἰς Ἔξοδ. ἐρωτ. ιε. προβλ. καὶ ἐρωτ. ε). Τοιαῦτα καὶ Φώτιος ὁ σοφώτατος (Ἐπιστολ. ρξγ). Ὅθεν καί τινες τῶν νεωτέρων Α ἰ ώ ν ι ο ν (**aeternum**) μετέφρασαν ἐκ τοῦ Ἑβραϊκοῦ τὸ τ ε τ ρ α γ ρ ά μ μ α τ ο ν (κατὰ λέξιν ὁπωσδήποτε πλησιάζουσαν πρὸς τὴν σημασίαν τοῦ ἀ ε ὶ Ὄ ν τ ο ς)· οἱ δ' ἀρχαῖοι καὶ ἡ Βουλγάτα **Dominum** ἡρμήνευσαν, ἤτοι Κύριον, ὡς οἱ Ο (ὅτι δὲ καὶ Ὀ ν τ ω τ ὴ ν μετέφρασε τὸ ὄνομα Ἰουδαῖος μ. Χ. ἑλληνιστής, (ὡς ἂν εἴποις, Ὀντοποιὸν, ἢ, κατὰ τὸν θεῖον Διονύσιον, Ο ὐ σ ι ο π ο ι ὸ ν) ὡς πάντων τῶν ὄντων καὶ πάσης οὐσίας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι δημιουργὸν, προείπομεν· Βιβλ. Γ. σελ. 151). Περὶ δὲ τῆς κυρίας ἐκφωνήσεως τοῦ τετραγραμμάτου πολλὴ παρὰ τοῖς νεωτέροις ἡ ἔρις· ἐξελέγχονται δὲ ὅμως καὶ ὧδε οἱ Μασορῖται στίξαντες ψευδῶς, καὶ (τόγ' ἐπ' αὐτοῖς) βεβηλώσαντες τὴν ἐκφώνησιν καὶ αὐτοῦ τοῦ ὑψίστου ὀνόματος τοῦ Θεοῦ. Παρὰ γὰρ τοῖς ἀρχαίοις γέγραπται τὸ ὄνομα οὐχὶ Ἰ ε χ ο β ά, ἀλλ' ὡς εἴπομεν (Βιβλ. Β. σελ. 848) Ἰ α ὼ καὶ Ἰ α ο ὺ, ἢ Ἰ α υ ὲ, καὶ Ἰ α β έ. Τὸ δὲ Μασορίτειον Ἰεχοβὰ οἱ πλεῖστοι τῶν Εὐρωπαίων Χριστιανῶν (καὶ πρῶτος ὁ Ῥεϋμοῦνδος) ἔτι κατὰ τὸν ις αἰῶνα εἰσήγαγον, καὶ νῦν διακρατοῦσιν εἰς τὰς αὐτῶν μεταφράσεις· συντέμνουσι δὲ τοῦτο πολλάκις εἰς τὸ **Jova**, λίαν ἀπόζον τῆς τῶν ἐθνικῶν Λατίνων φωνῆς καὶ σημασίας τοῦ **Jovis** (ὡς ἔλεγεν ὁ Γενεβράρδος, βαρὺς καὶ σφοδρὸς κατὰ τῆς τότε παρεισαχθείσης καινοτομίας ἐπιπεσών). Ἄλλοι δὲ πολλοὶ καὶ ἐξ αὐτῶν τῶν νεωτέρων (βλ. **Gesenij Lexic. Hebr. p.** 408) θεωροῦσιν ὡς γνησιώτερον τὸ τῶν ἀρχαίων Ἰαὼ, ἢ Ἰευώ. Ὁ δὲ σοφὸς Γεσένιος (**l. c. p.** 409) καὶ ἐξαιγυπτίασεν ἡμῖν τὸ θειότατον τετραγράμματον, παρ' Αἰγυπτίων τάχα μεταβὰν καὶ εἰς τοὺς Ἑβραίους ἀνοσίως ὑπονοήσας· καὶ πρὸς τούτου δεῖξιν παραφέρει τὴν κατὰ Σάϊν ὁμοίαν ἐπιγραφὴν (βλ. Βιβλ. Β. σελ. 848), καὶ ὅτι ἔν τισι λίθοις τῶν Αἰγυπτίων Γνωστικῶν γέγραπται τὸ ὄνομα Ἰ α ὼ, ὡς ἔστιν ἰδεῖν (λέγει) καὶ παρὰ τῷ θείῳ Εἰρηναίῳ (Αἱρέσ. α, 34). Ἀλλ' αὐτὸς ὁ Εἰρηναῖος (Αἱρέσ. α, 21), καὶ σαφέστερον Ὠριγένης (κ· Κέλσ. §. 32) ἐξελέγχει τοὺς μ. Χ. Αἰγυπτίους τούτους γόητας, ὅτι «ἀ π ὸ τ ῶ ν ἑ β ρ α ϊ κ ῶ ν Γ ρ α φ ῶ ν ἔλαβον τὸ Ἰ α ὼ », ὡς καὶ ἄλλα τῶν θείων ὀνομάτων κλέψαντες διέφθειραν (βλ. Ἐπιφάν. Αἱρ. κε: Θεοδώρ. Αἱρ. Μυθ. α. προβλ. καὶ **Croij Observation.** εἰς Ὠριγ. κ. Κέλσ. ς, 32). Εἰ δὲ καὶ λέξεις Αἰγυπτιακαὶ (καθὼς ὑπέλαβον) ἦσαν τῷ ὄντι τὰ ληρήματα τῶν μάγων ἐκείνων αἱρετικῶν, μήποτε διὰ τοῦτο καὶ ὁ θεόπνευστος προφήτης παρ' αὐτῶν ἐδανείσατο τὸ τοῦ ὄντως Ὄντος

ὅθεν καὶ «*Μήτηρ τοῦ Κυρίου*» ἡ Θεοτόκος (Λουκ. α, 43)· καὶ (ἵνα πολλὰ καὶ ἄλλα τῶν ἀποστολικῶν χωρίων παραλίπωμεν), αὐτὸς ὁ *Χριστὸς Κύριος* (Ματθ. κβ, 44. Μάρκ. ιβ, 36. Λουκ. κ. 42. Πράξ. 6, 34, 36) ἐπεσφράγισε τὴν εἰς αὐτὸν θεολογίαν τοῦ προφητάνακτος (Ψαλμ. ρθ, 1), τὴν, «*εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου*» (ἑδρ. ὁ

αὐτόλεκτον ὄνομα; τί δ' οὐχὶ μᾶλλον αὐτὰ δὴ τὰ τῶν Αἰγυπτίων ὑπῆρξαν μεταγενέστεροι πιθηκισμοὶ τῶν θείων φωνῶν, ὡς καὶ ἡ κατὰ τὴν Σάϊν ἐπιγραφή; Καὶ αὐτὸ δὲ τὸ ἀνονόμαστον καὶ ἀνεκφώνητον ἐμιμήθησαν οἱ Αἰγύπτιοι· τοῦ γὰρ τετάρτου παρ' αὐτοῖς ἀριθμουμένου Βάκχου τὸ ὄνομα ἀθέμιτον ἦν αὐτοῖς ἐκφωνεῖν (Cicer. de Natur. Deor. 3, 56. τοιοῦτό τι ἔθος λέγεται καὶ παρ' Ἰνδοῖς· 6λ. Rosenmül. εἰς Ἔξοδ. γ, 15). Ὁ Γεσένιος, τέλος, (αὐτόθ.) προσέθηκεν, ὅτι τὸ ἀνεκφώνητον τοῦ τετραγραμμάτου ἐκράτησε παρ' Ἰουδαίοις ἔτι κατὰ τοὺς χρόνους τῶν Ο, οἵτινες ἡρμήνευσαν αὐτὸ διὰ τοῦ Κύριος· γράφουσι μὲν γὰρ οἱ Ἰουδαῖοι ἐν τῷ κειμένῳ τὸ Ὄνομα, ἐκφωνοῦσι δ' ἀντ' αὐτοῦ τὸ Ἀδωναΐ. Οὕτω καὶ Ῥοδομύλλερος. Τούτοις μαρτυρεῖ καὶ ὁ ἡμέτερος Εὐάγριος λέγων, ὅτι «τὸ ἀνεκφώνητον παρ' Ἑβραίοις καταχρηστικῶς Ἀδωναῒ καλεῖται, παρ' ἡμῖν δὲ Κύριος» (ὅλ. Coteler. Eccles. Græc. Monument. T. 3. p. 116). Ἀλλ' ὅτι μὲν τὸ τετραγράμματον ἄλεκτον καὶ ἄφατον ἀνέκαθεν ὑπῆρχε παρὰ τοῖς Ἑβραίοις (ἐδήλουν δὲ διὰ τῆς ἀφασίας τό, τε σέβας τοῦ ὀνόματος, καὶ αὐτὸ τὸ τῆς θείας οὐσίας ἀνέκφραστον καὶ ἀκατάληπτον), προείπομεν ἐν τοῖς προλαβοῦσι (Βιβλ. Β. σελ. 850). Εἰ δὲ καὶ οἱ κατὰ τοὺς Ο, καὶ οἱ παλαιότεροι Ἑβραῖοι μηδὲν τῶν θείων ὀνομάτων ἕτερον, εἰ μὴ τὸ Ἀδωναῒ συνήθως ἐξέφερον ἀντὶ τοῦ ἀνεκφωνήτου (καθὼς οἱ μεταγενέστεροι Ἰουδαῖοι), τοῦτο μὲν ἄδηλον καὶ ἀόριστον. Κἂν δὲ τεθῇ τὸ Ἀδωναΐ, ὑπῆρχε λοιπὸν καὶ τοῦτο προφητικὴ παράδοσις, καὶ θεία τις ὀμφή, ἄνωθεν καὶ εἰς τοὺς Ο καταβᾶσα, καθ' ἣν ἀντέταξαν οὗτοι τὸ ἰσοδύναμον Κύριος. Ἀλλ' ὅμως παρὰ τούτοις παρατηρητέον καὶ τὰ ἑξῆς. α) Ὅπου ἡ θεία Γραφὴ πρὸς τῷ τετραγραμμάτῳ προστίθησι καὶ τὸ Ἀδωναῒ («Ἀδωναῒ Ἰευώ»), οἱ μὲν Ἰουδαῖοι ἀντὶ τοῦ τετραγραμμάτου ἐκφωνοῦσι τὸ Ἐλωΐμ (ὁ θεός), ἵνα μὴ συμπέσῃ δὶς τὸ Ἀδωναΐ, οἱ δὲ Ο ποιοῦσι μὲν ἐνίοτε καὶ τοῦτο, γράφοντες Κύριος ὁ Θεός (Ἡσαϊ. κε, 8: Ἰεζεκ· δ, 14. πρβλ. καὶ Φίλων. Τ. α. σελ. 581. Μ.), ἢ καὶ αὐτὸ τὸ Ἀδωναῒ (ὡς, Ἀδωναῒ Κύριος· Ἰεζεκ. ε, 5, 7, 8, 11 κτλ.), ὡς δ' ἐπὶ τὸ πλεῖστον διὰ τοῦ Κύριος ἐκφέρουσιν ἀμφότερα τὰ ὀνόματα, παράλληλα· «Κύριος Κύριος» (Δευτ. γ, 24: θ, 26, καὶ ἀλλαχοῦ πλεισταχοῦ). 6) Οὐ μόνον τὸ τετραγράμματον καὶ τὸ Ἀδωναῒ μεθηρμήνευσαν διὰ τοῦ Κύριος, ἀλλὰ καὶ ἄλλα τῶν θείων ὀνομάτων τὰ κράτιστα, οἷον τὸ Ἰὰ (jah ἐκ τοῦ τετραγραμμάτου συγκοπὲν), ὡς ἐν τῷ ξζ ψαλμῷ «Κύριος ὄνομα αὐτῷ», καὶ ἀλλαχοῦ (καὶ τὸ Ἀλληλούϊα δὲ σύνθετον ἐκ τοῦ ἀλλελοῦ, ἰά, τουτ. αἰνεῖτε τὸν Κύριον κτλ.), καὶ τὸ Ηλ, El (ἰσχυρὸς θεός), καὶ τὸ Ἐλωά, καὶ Ἐλωΐ (ὁ θεός), καὶ τὸ Σαδδαΐ, ἱκανὸς (καὶ παντοδύναμος, Παντοκράτωρ),

Jehova τῷ Adonai)(α). Ἐπειδὴ δὲ οἱ Ο τὸ *Ἀδωναῒ* καὶ *Δεσπότην* ἡρμήνευσαν (ὡς, «*Δέσποτα Κύριε*», Γενέσ. κεφ. ιε, 2, 8, κτλ. ὅπου τὸ ἑβρ. Adonai Jehova), Δεσπότην δὲ καὶ αὐτὸ τὸ Jehova (Παροιμ. κθ, 25), καὶ τοῦτο διὰ τῶν Ἀποστόλων ὡσαύτως ἐφθέγξατο τὸ Πνεῦμα τὸ ἅγιον εἴς τε τὸν Θεὸν καὶ Πατέρα ἀναφερόμενον, ὡς ἐν τῷ «Νῦν ἀπολύεις τὸν δοῦλόν σου *Δέσποτα*» (Λουκ. β, 29. πρβλ. Πράξ. δ, 24), καὶ εἰς τὸν Υἱὸν, «τὸν μόνον *δεσπότην θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν*» (Ἰούδ. 4: καὶ Β. Πέτρ. β, 1). Ὅθεν καὶ ἡ Ἐκκλησία κατ' ἀμφοτέρας τὰς ἐπωνυμίας θεηγορεῖ· «*Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν*» (ὥρ. θ), καὶ πάλιν, «*Κύριε βασιλεῦ*, ἐπουράνιε *Θεὲ*, *Πάτερ* παντοκράτωρ», καὶ «*Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ υἱὸς τοῦ Πατρός*» (Δοξολ.)· καὶ ἐναλλὰξ «*Δέσποτα Θεὲ Πάτερ παντοκράτωρ, Κύριε υἱὲ μονογενές*» (ὥρ. γ). *Κύριον* δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὅ,τε Παῦλος, τὸ τοῦ Χριστοῦ στόμα, ἐθεολόγησεν («*ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστι*». Β. Κορ. γ, 17), καὶ ἡμεῖς ὁμολογοῦμεν ἐν τῷ Συμβόλῳ, καὶ πιστεύομεν «εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ *Κύριον*»· Εἷς γὰρ *Θεὸς*, ὁ ἐν τρισὶ προσώποις δοξαζόμενος, ὁ καὶ τῷ πατρὶ τῶν πιστῶν, τῷ Ἀβραὰμ, τυπικῶς ὀφθεὶς (Γεν. ιη, 1, 3, 13) «Κύριος, ὁ ΩΝ καὶ ὁ ΗΝ καὶ ὁ ΕΡΧΟΜΕΝΟΣ, ὁ *Παντοκράτωρ*» (Ἀποκάλ. α, 4, 8, πρὸς ἃ ἀντιστοιχοῦσι τὰ ἑβρ. Jehova, Eheie, Saddai). Ἄλλην τῶν Ο περὶ τοῦ Υἱοῦ μυστικὴν θεολογίαν (ἧς, ὅσον ἐκ τοῦ πρόπαλαι κολοβωθέντος ἑβραϊκοῦ, ἀπεστέρητο ἂν τὸ χριστεπώνυμον πλήρωμα) ἐθεσπιῴδησεν ὁ Ἀπόστολος Παῦλος, τὴν «Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες *ἄγγελοι Θεοῦ*» (Δευτερ. λϐ, 43 καὶ Ἑβρ. α, 6. βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 540). Τὸ δὲ «*Σῶμα κατηρτίσω μοι*»

καὶ ταῦτα, φημὶ, διὰ τῶν ἰσοδυνάμων ὀνομάτων κατὰ τόπους ἕκαστον ἐξηγήσαντες, ἔπειτα πολλάκις ἡρμήνευσαν καὶ διὰ τοῦ **Κύριος**, ὑπογράφοντες οὕτω μυστικῶς διὰ πάντων τῶν ἐπὶ Θεοῦ κυριολεκτουμένων ὀνομάτων τὴν θεότητα τοῦ ἐν σαρκὶ φανερωθέντος, καὶ κατ' ἐξοχὴν ἐπονομασθέντος **Κυρίου**, ὡς λέγομεν ἀνωτέρω.

(α) Παράϐαλε τὸ «Διὰ τοῦτο ἔχρισέ σε ὁ **Θεὸς** (= ὦ Θεὲ) ὁ **Θεός σου**» (καὶ ἑβρ. Elohim Elohicha) Ψαλμ. μδ, 7.

(Ψαλμ. λθ, 8), καὶ οἱ Ο μετὰ τοῦ προφητάνακτος ἔψαλλον, γνησίως ἀναγνόντες καὶ διευκρινήσαντες τὸ θεῖον λόγιον, δι' οὗ καὶ Παῦλος ὁ μέγας τὴν ζωοποιὸν θυσίαν τοῦ *Σώματος τοῦ Ἰησοῦ Χριστοῦ* ἀνεκήρυξεν (Ἑβρ. Ι. 5—10). Οἱ δὲ μετὰ τοῦ νῦν Ἑβραϊκοῦ καὶ πάντων τῶν αὐτῷ προσκεκυφότων ἀντὶ τῆς θείας ῥήσεως ἀναγινώσκοντες *ὠτία μοι ἐτρύπησας*, ἀτρύπητον, ὡς ἔοικε, φέρουσι τὸ οὖς, *οὐδ' ἔχουσιν ὦτα τοῦ ἀκούειν* (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 620—623). Καὶ τὸ «*Ἰδοὺ ἡ Παρθένος*» (Ἡσαϊ. ζ, 14) τῷ τοῦ προφήτου πνεύματι συνδραμόντες οἱ Ο γέροντες, διὰ φωνῆς ἡρμήνευσαν κυρίας, καὶ τοῦ μεγάλου μυστηρίου φραστικῆς, καὶ ἀνεπιλήπτου, τεῖχος ταύτην στήσαντες ἄῤῥηκτον κατὰ τῶν μελλόντων ἐπιβουλεύειν τῇ Ἑβραϊκῇ λέξει *ἀαλμά* (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 81, 965)· τὴν αὐτὴν φωνὴν ἐπανέλαβε τὸ πνεῦμα διὰ τοῦ Εὐαγγελιστοῦ (Ματθ. α, 23). Καὶ τὸν μονογενῆ δὲ τῆς Παρθένου υἱὸν, τὸν *μεθ' ἡμῶν Θεὸν, τὸν Ἐμμανουὴλ* (ὃν οὐκ οἴδασιν, ὅσον ἐκ τοῦ νῦν Ἑβραϊκοῦ, οἱ τῷ γράμματι τούτου προσηλωμένοι) θεοπνεύστως οἱ Ο μεθηρμήνευσαν (Ἡσαΐ. ζ, 14: η, 8), οἷον πρόπομποί τινες γεγονότες καὶ προάγγελοι τοῦ Εὐαγγελιστοῦ (Ματθ. α, 23)· διὸ καὶ ΘΕΟΤΟΚΟΣ πάλιν ἡ *μήτηρ τοῦ Κυρίου*, ὡς *τὸν μεθ' ἡμῶν Θεὸν τεκοῦσα*, πιστεύεται, καὶ στόματι καὶ καρδίᾳ ὁμολογεῖται ὑπὸ τῆς Ἐκκλησίας, καθὼς αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἐναργῶς ἐδίδαξε, διά τε τοῦ προφήτου καὶ διὰ τοῦ Εὐαγγελιστοῦ διαγράψαν ἀμφοτέρας τὰς φωνὰς, ἐξ ὧν ἡ τοῦ πράγματος ἐκφαντορικὴ καὶ ὑπερένδοξος ἐπωνυμία σύγκειται, τὰς, «*τέξεται Θεὸν*» (ὅθεν ἀναλόγως καὶ *Θεογεννήτρια*, καὶ *Θεομήτωρ*, καὶ ΜΗΤΗΡ ΘΕΟΥ γεραίρεται, «ὑπὸ *πασῶν τῶν γενεῶν μακαριζομένη*» (Λουκ. α, 49) ἡ ΜΗΤΗΡ ΚΥΡΙΟΥ, «*τοῦ ἐν σαρκὶ φανερωθέντος Θεοῦ* (Α. Τιμ. γ, 16), «*ὅς ἐστι Χριστὸς, ὁ ἐπὶ πάντων Θεός*» (Ῥωμ. θ, 5). Ἀλλὰ καὶ τὸ «*Μεγάλης βουλῆς ἄγγελος*», καὶ τὰς λοιπὰς θεοχρήστους προσηγορίας τοῦ *παιδίου* καὶ *υἱοῦ*, τοῦ αὐτοῦ καὶ *Θεοῦ*, καὶ *πατρὸς τοῦ μέλλοντος αἰῶνος*, θεοπρεπῶς ἐξύμνησαν (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 231—237). Καὶ αὐτὸ δὲ «*τὸ Ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα*», ἐν ᾧ

«πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται -»· «οὐδὲ γὰρ *ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν... ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς»* (Πράξ. δ, 12: Φιλιπ. β, 9, 11), τὸ ὄνομα ΙΗΣΟΥΣ, *«τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ»* (Λουκ. β, 21), πρῶτοι οἱ μακάριοι Ο, θείᾳ νεύσει προϋπήχησαν τοῖς Ἀποστόλοις, κατὰ τὸν προωρισμένον τοῦτον σχηματισμὸν ὀνομάσαντες τὸν τοῦ *ἀληθινοῦ καὶ κυρίως Ἰησοῦ* τύπον, τὸν Ναυΐδην Ἰησοῦν (Ἀριθμ. ιγ, 17: ἀντὶ τοῦ Ἑβραϊκοῦ **Jehoschua**, καὶ συντομώτερον **Josua**) (α). Ὡσαύτως καὶ τὸ ὑπερύμνητον ΧΡΙΣΤΟΣ (Ψαλ. β, 2,

---

(α) Μνημονεύει καὶ Εὐσέβιος τῆς ἑβραϊκῆς τοῦ ὀνόματος γραφῆς, λέγων· «Σωτήριον Θεοῦ εἰς τὴν ἑλλάδα φωνὴν τὸ τοῦ Ἰησοῦ μεταληφθὲν ὄνομα σημαίνει. Ἰσουὰ μὲν γὰρ παρ' Ἑβραίοις σωτηρία· Υἱὸς δὲ Ναυῆ παρὰ τοῖς αὐτοῖς Ἰωσουὲ ὀνομάζεται. Ἰωσουὲ δέ ἐστιν, Ἰαὼ σωτηρία, τουτέστι Θεοῦ σωτήριον· εἰκότως (ἴσ. γρ. εἰκότως οὖν), εἴπου Θεοῦ σωτήριον ἐν τοῖς ἑλληνικοῖς ἀντιγράφοις ὠνόμασται, οὐδ' (ἴσ. οὐχ) ἄλλο τι, ἢ τὸν Ἰησοῦν κατὰ τὴν Ἑβραίων φωνὴν πέπεισο δηλοῦσθαι» (Εὐαγ. Ἀποδ. Βιβλ. Δ. κεφ. ἐσχ. σελ. 127). Οὕτω καὶ Φίλων· «Ἰησοῦς σωτηρία κυρίου» (τόμ. α, σελ. 597). Ἀλλ' ὁ αὐτὸς Εὐσέβιος ἀλλαχοῦ (Ἐκκλ. ἱστορ. Α. γ) ὡς ἁπλοῦν, οὐ σύνθετον ἔοικε νομίζων τὸν σχηματισμὸν τοῦ Ἰησοῦς ὀνόματος· «ὅπερ οὐ πρότερον ἐν ἀνθρώποις ἐκφωνηθέν, πρῶτος ὁ Μωϋσῆς πνεύματι θείῳ προϊδών, πρώτῳ καὶ μόνῳ περιέθηκε κατὰ σύμβολον καὶ τύπον (Ἑβρ. δ, 8: Πράξ. ζ, 44: Ἰουστῖν. Τρύφ. §. 123) «τῷ Ναυΐδῃ Ἰησοῦ, Αὐσῇ πρότερον καλουμένῳ» (Ἀριθμ. ιγ, 17). Καὶ οἱ νεώτεροι ἑβραϊσταὶ τὸ καθ' Ἑβραίους Ἰωσουὲ οὐ σύνθετον, ἀλλ' ἁπλοῦν εὑρίσκουσιν (ἐκ τοῦ **hosia**, ἔσωσεν, ἢ σώσει. βλ. **Schleusn. Lex. Nov. Test. v.** Ἰησοῦς). Οὕτω καὶ ὁ θεῖος Ἰουστῖνος (Ἀπολογ. α, §. 33), καὶ ὁ Δαμασκηνός, «τὸ Ἰησοῦς ὄνομα σωτὴρ ἑρμηνεύεται (Ὀρθοδ. Πίστ. α, 12), καὶ ὁ Σειρὰχ (μς, 1) «ἐγένετο μέγας κατὰ τὸ ὄνομα αὐτοῦ ἐπὶ σωτηρίᾳ» (= σωτήρ). Καὶ (τὸ κράτιστον) αὐτὸς ὁ θεῖος Εὐαγγελιστὴς ὡς μόνου τοῦ Σωτὴρ ἰσοδύναμον ἑρμηνεύει τὸ Ἰησοῦς· «αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ» (Ματθ. α, 21. πρβλ. Λουκ. β, 11). Τὸν κατὰ τοὺς Ο, τύπον ἐτήρησε καὶ ἡ Βουλγάτα (ὡς καὶ αἱ λοιπαὶ χριστιανικαὶ μεταφράσεις), **Jesus** γράφουσα τὸ σωτήριον ὄνομα (τὸ δὲ τοῦ Ναυΐδου γράφουσι **Josua**). Ἄγαμαι καὶ τὸν Πασόριον, ὅστις παρετήρησεν, ὅτι τὸ Ἑβρ. **Jechoschua** οἱ Ο, μεθηρμήνευσαν Ἰησοῦς· καὶ ταύτην (λέγει) τὴν φωνὴν οἱ Ἀπόστολοι ἐκράτησαν ἐν τῇ Καινῇ Διαθήκῃ (**Pasor, Etyma nomin. proprior. in N. Test. p. 32. Herborn. 1632**)· τοιαῦτα καὶ Γρότιος ὁ σοφὸς ἐσημείωσε (**Grot. adnot.** εἰς Ματθ. α, 21. πρβλ. καὶ **Drus. ibid.**).

ἀντὶ τοῦ Ἑβρ. Massiah), ὅπερ ὁ χριστομάχος Ἀκύλας, ὕστερον ἡρμήνευσεν «*ἠλειμμένον*». Θαυμαστὸν δὲ κἀκεῖνο· Ἐν γὰρ τοῖς διὰ Βαλαὰμ ὑπὸ τοῦ Κυρίου προῤῥηθεῖσιν ἐκείνοις ῥήμασιν, «*Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ· ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ*» (Ἀριθμ. κδ, 17), τὸ μὲν Ἑβρ. ἀντὶ τοῦ *ἄνθρωπος* ἔχει *σκῆπτρον*, καὶ μεταφορικῶς, σκηπτοῦχος ἄρχων, ἡγούμενος, ὡς ἐπεξηγοῦσιν· οἱ δὲ Ο ἔγραψαν «*ἄνθρωπος*», καὶ πολλὰ περὶ τούτου κατετυρβάσθησαν οἱ πλεῖστοι τῶν νεωτέρων (α), ἓν μόνον ἀγνοήσαντες, τὸ ἀληθές. Ὅτι δὲ οἱ θεοφόρητοι Ο, διεῖδον διὰ τοῦ Ἑβραϊκοῦ ὀνόματος προφητευόμενον ἐκεῖνον *τὸν ἄνθρωπον*, περὶ οὗ εἶπεν ὁ θεῖος Ἀπόστολος, ὅτι «Εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων *ἄνθρωπος, Χριστὸς Ἰησοῦς*», «*ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ*» (Α. Τιμ. β, 5: Α. Κορ. ιε, 47), «*ὁ τῆς δόξης Κύριος*», ὁ θεάνθρωπος *βασιλεὺς τοῦ Ἰσραὴλ καὶ πάντων τῶν ἐθνῶν*, εἰς ὃν ἀνήκει καὶ τὸ *ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ* (αὐτός γάρ ἐστιν «ὁ ἀστὴρ ὁ *λαμπρὸς καὶ ὁ ὀρθρινός*». Ἀποκάλ. κϐ, 16), οὗ καὶ τὴν κατὰ σάρκα γέννησιν ἀνήγγειλε παράδοξος ἀστήρ, ὁ τοῖς Μάγοις, τοῖς

(α) Τοῦτο τὸ ἄ ν θ ρ ω π ο ς οἱ μὲν τῶν κριτικῶν διορθοῦσιν εἰς τὸ ἄ ν θ ο ς, τάχα κατὰ τὸ «ἄνθος ἐκ τῆς ῥίζης Ἰεσσαὶ ἀ ν α ϐ ή σ ε τ α ι» (Ἡσαϊ. ια, 1). Οὕτως ὁ Βὼς (Proleg. in V. Test. cap. 3.), ὡς ἂν σφάλμα δῆθεν γραφικὸν, προελθὸν ἐκ τῆς στενογραφίας ἄνος, ἀντὶ ἄνθρωπος· ἀλλ' οὔτε τοῦτο στενογραφεῖται ἄνθος, ἀείποτε δὲ χωρὶς τοῦ θ (ἄνος), καὶ τὸ ἄ ν θ ο ς οὐδέποτε λέγεται ἀ ν ί σ τ α σ θ α ι· ἀ ν α ϐ α ί ν ε ι δὲ κυρίως, καὶ ἀνέρχεται καὶ ἄνθος, καὶ σ τ ά χ υ ς, καὶ ϐ λ α σ τ ὸ ς κτλ. Ἔστι δ' ὅπου καὶ φ υ τ ὸ ν ἀ ν ί σ τ α σ θ α ι ἀνέγνωμεν (Ἰεζ. λδ, 29: Δαν. ια, 20), ἀναστήσεται δὲ ἄνθος, οὐδαμοῦ. Οἱ δὲ πάλιν κατὰ χώραν ἐῶντες τὸ ἄ ν θ ρ ω π ο ς, ἐκλαμϐάνουσιν ἐμφαντικῶς ἀντὶ τοῦ μ έ γ α ς τ ι ς καὶ ἔξοχος, προσϐιάζοντες τοῦτο πρὸς ἄλλο παρ' Ἑϐραίοις χωρίον, Ἡσ. κϐ, 25. ὅπου ἄλλως μὲν ἀνέγνων οἱ Ο, ἄλλην δ' ἔχει λέξιν καὶ σημασίαν τὸ νῦν Ἑϐρ. (jated, ὅπερ ἧλον, καὶ πάσσαλον δηλοῖ, καὶ μεταφορικῶς, ὡς ἐπεξηγοῦσι, φαντασίαν, ἐξοχὴν, διὸ καὶ ἔ ξ ο χ ο ν, ϐλ. Rosenmüll. εἰς Ἡσ. κϐ. πρϐλ. καὶ Schleusn. Thes. V.T. v. ἄνθρωπος). Ὁ δὲ Γρότιος δεχόμενος τὸ ἄνθρωπος (Ἀριθ. κδ), ἐκλαμϐάνει τὸν προφητευόμενον εἶναι τὸν Δαϐὶδ! (οὕτω καὶ Ἰουλιανός! ϐλ. Κύριλ. Ἀλεξ. κ. Ἰουλ. Η. σελ. 260). Ἀλλ' ὁ κλεινὸς Ὑέτιος ἄριστα συνεῖδε καὶ ὡμολόγησε τὴν ἀνωτέρω τοῦ ἄ ν θ ρ ω π ο ς θεόχρηστον παρὰ τοῖς Ο σημασίαν (Huet. Dem. Ev. T. 2, p. 4).

τοῦ Βαλαὰμ ἀπογόνοις ἐπιφανείς (Ματθ. β, 2). Ἐκείνην δὲ πάλιν τὴν πρώτην τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ, τὸ πρώτιστον Εὐαγγέλιον τῆς παγγενοῦς τῶν ἀνθρώπων ἀπὸ τοῦ ἀνθρωποκτόνου ὄφεως σωτηρίας, οὗ τὴν κεφαλὴν ἔμελλε συντρίψειν «ΑΥΤΟΣ, *τὸ σπέρμα τῆς γυναικὸς*» [Γενέσ. γ, 15. «Ὅς ἐστι Χριστὸς, *ὁ υἱὸς τοῦ Θεοῦ*» *καὶ υἱὸς ἀνθρώπου*, «*γενόμενος ἐκ γυναικός*» (Γαλάτ. δ, 4), τῆς ἀειπαρθένου μητρός· «*ὁ καρπὸς τῆς κοιλίας τῆς εὐλογημένης Μαριὰμ*». Λουκ. α]· ταύτην λέγομεν τὴν θείαν ἐπαγγελίαν πῶς οὐ θείῳ πνεύματι ἐλλαμπόμενοι οἱ Ο τρανώτατα διεσάφησαν; (α). Καὶ ταῦτα μὲν ὀλίγα ἐκ πολλῶν περὶ τῶν μεγάλων τῆς πίστεως μυστηρίων. Τούτοις ἴσως προσθετέον καὶ τὰς φράσεις ἐκείνας, ἐν αἷς διαλάμπει πολλῷ μᾶλλον, ἢ ἐν τῷ Ἑβραϊκῷ, ὡς ἐναργέστερον καὶ οὐκ ἀθεεὶ πάντως ἐξηγηθεῖσα, ἡ πρὸς τὰ θειότατα ἀντίτυπα τῆς Καινῆς Διαθήκης ἀναφορὰ τῶν τύπων τῆς Παλαιᾶς. Τύπος ἦν Χριστοῦ ὁ Ἰσαὰκ, καὶ ἡ τούτου θυσία προετύπου τὸν τυθέντα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· πῶς χαρακτηρίζεται τοῦτο παρὰ τοῖς Ο; Λέγει πρὸς τὸν Ἀβραὰμ ὁ Θεός· «*Οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ*» (Γενέσ. κϐ, 12. ὅπου τὸ Ἑϐρ. «οὐκ *ἐκώλυσας* (ἢ ἐπέσχες) τὸν υἱόν σου *τὸν μόνον*). Λέγει καὶ τὸ πανάγιον πνεῦμα διὰ τοῦ Ἀποστόλου «*Ὁ Θεὸς τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο*» (Ῥωμ. η, 32)· καὶ *ἀγαπητὸν* δὲ πάλιν ὠνόμασεν αὐτὸς ὁ Πατὴρ τὸν μονογενῆ. «Οὗτός ἐστιν ὁ *υἱός μου ὁ ἀγαπητός*» (Ματθ. γ, 17: Λουκ. θ, 35, κ, 13). Πόσον δ᾽ εὐαγῶς καὶ ὁσίως διέκριναν καὶ τὸ *εὐλογητὸς* ἀπὸ τοῦ *εὐλογημένος* (παρ᾽ Ἑβραίοις δ᾽ ἀμφότερα κοινῷ ὀνόματι μετοχικῶς, *Βαρούχ*), τάξαντες τὸ μὲν *εὐλογημένος* παντα-

---

(α) «Ἔχθραν θήσω ἀνὰ μέσον σοῦ (τοῦ ὄφεως), καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου, καὶ ἀνὰ μέσον τ ο ῦ σ π έ ρ μ α τ ο ς αὐτῆς. ΑΥΤΟΣ σου τηρήσει κεφαλὴν» κτλ. ὅπου πρῶτοι οἱ Ο ἔστησαν τὴν κυρίαν σημασίαν τῆς τριγενοῦς (ὡς καὶ τὰ τρία γένη σημαινούσης, Gesen. Lex. Hebr. p. 269) Ἑβραϊκῆς ἀντωνυμίας, hu, μεταφράσαντες διὰ τοῦ ἀρσενικοῦ α ὐ τ ὸ ς, ἀναφερομένου δηλονότι κατὰ τὸ σημαινόμενον πρὸς τὸ σ π έ ρ μ α, καὶ προτυποῦντος τὸ ἀπ᾽ αἰῶνος μυστήριον τῆς θείας οἰκονομίας (ϐλ. ὄπισθ. Βιϐλ. Β. σελ. 723)· ἡ δὲ Βουλγάτα ἡμαρτημένως ἔχει ipsa, αὐτὴ (ἡ γυνή).

χοῦ σχεδὸν ἐπὶ ἀνθρώπων, τὸ δὲ *εὐλογητὸς* ἰδίως καὶ ἐξαιρέτως ἐπὶ *Θεοῦ* (οἷον· «εὐλογημένος Ἄβραμ τῷ Θεῷ τῷ ὑψίστῳ, καὶ *εὐλογητὸς* ὁ Θεὸς ὁ ὕψιστος» κτλ. Γεν. ιδ, 20, καὶ ἀλλαχοῦ πολλαχοῦ)· καὶ τοῦτο δὲ προϋπέγραψαν τοῖς Ἀποστόλοις (Λουκ. α, 68: Β. Κορ. α, 3: Ἐφεσ. α, 3. κτλ.). Ὅθεν καί, «ὁ Χριστὸς ὁ υἱὸς τοῦ *εὐλογητοῦ*» (Μάρκ. ιδ, 61), τουτ. «τοῦ *Θεοῦ*» (Ματθ. κζ, 43). Καὶ ἐπὶ τοῦ Σωτῆρος ὁ Παῦλος ἔταξε τὸ *εὐλογητός*· «Ὁ Χριστὸς.. ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας» (Ῥωμ. θ, 5) (α). Ἀλλὰ περὶ τῆς φράσεως ἰδίως λέγομεν καὶ ἐν τοῖς ἑξῆς (κεφ. ε). Τὴν δὲ τοῦ θεοφύτου παραδείσου τοποθεσίαν, ὅσον γοῦν ἐκ τοῦ νῦν Ἑβραϊκοῦ καὶ τῶν Ἰουδαίων, καὶ Χαλδαίων, καὶ πολλῶν νεωτέρων ἑρμηνευτῶν, παντάπασιν ἂν ἠγνοοῦμεν, εἰ μὴ ἦσαν οἱ Ο. Ἀντὶ γὰρ τοῦ «ἐφύτευσε Κύριος ὁ Θεὸς παράδεισον ἐν *Ἐδὲμ κατὰ ἀνατολὰς*» (Γενέσ. β. 8), πάντες οἱ ἰουδαΐζοντες ἑρμηνεύουσιν ἐκ τοῦ Ἑβραϊκοῦ, «ἐφύτευσεν ὁ Θεὸς παράδεισον *ἡδονῆς ἀπ' ἀρχῆς*». (Οὕτω καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος, ἔν τε τῇ Βουλγάτᾳ καὶ ἐν τοῖς Ἑβρ. Ζητήμασιν ἔγραψε, τοῖς κατ' αὐτὸν Ῥαββίνοις πεισθείς. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 468). Ἀλλὰ τὸ μὲν *Ἐδὲμ* ὡς ὄνομα τόπου κεῖται παρευθὺς (β, 10) καὶ κατ' αὐτὸ τὸ Ἑβραϊκόν (β). Τὸ δὲ *κατὰ ἀνατολὰς* καὶ οἱ Ἀπόστολοι ἐπεκύρωσαν, παραδόντες ἀγράφως τοῖς πιστοῖς «*πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχήν*, ὡς τὸν παράδεισον, ὅθεν ἐκπεπτώκαμεν, ἐπιζητοῦντας» (γ). Καὶ αὐτὸ δὲ τὸ ὄνομα, τὸ *παράδεισος*, ὃ πρῶτοι οἱ Ο

(α) Σπανιώτατα δὲ ἐπὶ Θεοῦ τὸ εὐλογημένος, ὡς Γ. Βασιλ. ι, 9.

(β) Ὅθεν καὶ Φίλων· «τόπος γὰρ οἰκεῖος τῷ παραδείσῳ Ἐδὲμ· τοῦτο δὲ ἐστὶ τρυφή» (Νόμ. ἀλληγ. Βιβλ. Α. σελ· 52. τόμ. α).

(γ) Μ. Βασιλ. π. τ. ἁγ. πνεύμ. κεφ. κζ. καὶ ὁμιλ. λ. προβλ. Ἀποστ. Διαταγ. Β. νζ.- Ἰους. π· Ὀρθοδόξ. ἐρωτ. ριη.- Κλήμ. Στρωμ. ζ. σελ. 520.-Ὠριγ. π. εὐχῆς: Ἀθανάσ. π. Ἀντιοχ. ἐρ. λζ.- Χρυσόσ. εἰς Δαν. ς. 10.- Δαμασκ. Ὀρθοδ. πίστ. Δ. ιβ: Γερμ. Θεωρ. μυστ. κτλ. Καὶ οἱ πολλὰ τῆς Ἀποστολικῆς διδασκαλίας ἀπωνάμενοι Θεραπευταὶ πρὸς ἕω στάντες προσηύχοντο (Φίλ. π. βίου θεωρητ.). Οἱ δὲ Ἰουδαῖοι, βλέποντες πρὸς δυσμάς. Περὶ ἄλλων ἐθνῶν βλ. Cotel. in P. Apostol. T. 1. p. 264. Jablonsky, Panth. Aegyptiac. prol. p. 110.

καθιέρωσαν (Γεν. β, 8, ὅπου τὸ Ἑβρ. gan, τουτ. *κῆπος*) ἐκύρωσε διὰ τῶν Ἀποστόλων καὶ αὐτὸς ὁ Κύριος ἡμῶν, ἐκφράσας διὰ τῆς λέξεως τὴν πάγκαλον καὶ πανευφρόσυνον καὶ πλήρη θείας δόξης χώραν τῶν μακαρίων (Λουκ. κγ, 43: Β. Κορ. ιβ, 4: Ἀποκ. β, 7). Τὴν δὲ πάλιν πληροφορίαν τοῦ *πληρώματος τοῦ χρόνου* τῆς ἐνσάρκου οἰκονομίας τοῦ Σωτῆρος ἡμῶν Θεοῦ πόθεν ἔχει ἡ Ἐκκλησία, εἰ μὴ ἐκ τῶν τῷ θείῳ πνεύματι τῆς, ἐξ ἧς ἡρμήνευσαν γνησίως, τοῦ Μωϋσέως Γραφῆς ἀσφαλῶς παρηκολουθηκότων Ο; Οὗτοι διετήρησαν τὴν ἀκριβῆ χρονολογίαν, ἣν ἡ ἀπιστία τῶν ἰουδαίων συνέτριψεν ἐν τῷ ἑβραϊκῷ. Ἀλλὰ τὸ πλείω λέγειν περὶ τούτων περιττόν.

Γ) Τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο βεβαιοῦσιν οἱ Ἀπόστολοι ἐν οἷς χωρίοις ἐκφέρουσιν ἀκριβῶς ἐκ τῶν Ο, ἅτινα οὐδόλως κεῖνται ἐν τῷ νῦν ἑβραϊκῷ, οἷον τὸ *Καϊνᾶν* ὄνομα, καὶ ὁ 75 ἀριθμὸς τῶν ἀπογόνων τοῦ Ἰακὼβ, καὶ τὸ «ἔσονται *οἱ δύω*» καὶ τὸ «*μόνῳ*» (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 430—436, 836), καὶ ἄλλα πολλὰ, περὶ ὧν ἐφεξῆς. Ἂν γὰρ ἐν τούτοις ἡ θεοπνευστία τῶν Ο ἀφαιρεθῇ, συναφαιρεῖται πάντως καὶ ἐκ τῶν Ἀποστολικῶν ῥητῶν, ἢ γοῦν (ἵνα πρὸς τοὺς προφήτας συμφωνήσωσιν οἱ Ἀπόστολοι), καὶ ταῦτα πάντως ἐκ τῆς Καινῆς Διαθήκης ἀφαιρετέον· τί δ' ἂν παρὰ ταῦτα γένοιτο ἀσεβέστερον; Λεγέτωσαν ὅ,τι ἂν καὶ θέλωσιν οἱ περιπέττοντες τὴν ἐν τούτοις τοῦ Ἑβραϊκοῦ κειμένου κολόβωσιν. Μάτην σκιαμαχοῦσι, καὶ σοφίζονται, τῇ μὲν διδόντες τὸ θεόπνευστον τῶν ῥητῶν ἐν τῇ Καινῇ Διαθήκῃ, τῇ δὲ τοῦτο πάλιν ἀφαιροῦντες ἐκ τῆς Παλαιᾶς. Τοῦτ' αὐτὸ λέγομεν καὶ περὶ τῶν χωρίων ἐκείνων, ὅσα λείπουσι μὲν ἐκ τῶν κανονικῶν βιβλίων τοῦ νῦν ἑβραϊκοῦ (οἷον τῶν τεμαχίων τοῦ Δανιὴλ, τῆς Ἐσθὴρ, τῆς προφητείας τοῦ Βαρούχ, καὶ τῶν ἄλλων τῶν προηριθμημένων Βιβλ. Γ. σελ. 637—702), κεῖνται δὲ παρὰ μόνοις τοῖς Ο, κέχρηται δὲ τούτοις ὡς θεοπνεύστοις ἡ Ἐκκλησία, παρὰ τῶν Ἀποστόλων παραλαβοῦσα. Ἐχρήσαντο δὲ τούτοις καὶ αὐτῶν τινες τῶν προφητῶν (ὡς ὁ Δανιὴλ τῇ προφητείᾳ τοῦ Βαρούχ· βλ. Βιβλ. Γ. σελ. 673 κτλ.).

Δ) Τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο βεβαιοῦται καὶ ἐκ τῆς φράσεως ὅλης τῆς Καινῆς Διαθήκης. Οὐ μόνον τὰ προφητικὰ ῥητὰ ὅσα ἐκ τῶν Ο, σαφῶς καὶ ἀναντιῤῥήτως ἐξήνεγκαν οἱ Ἀπόςολοι, ἀλλὰ καὶ λέξεις πολυπληθεῖς, καὶ φράσεις ὁλοκλήρους μετέφερον εἰς τὰς θεοπνεύστους αὐτῶν συγγραφάς. Καὶ ἁπλῶς ἡ Καινὴ Διαθήκη ἀπὸ τοῦ *Βίβλος Γενέσεως*, τῆς ἀρχῆς τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, μέχρι τοῦ τελευταίου τῆς ἱερᾶς Ἀποκαλύψεως *Ἀμήν*, φαίνεταί τις οἷον πορφύρα θεοΰφαντος, ἐξυφασμένη εἰς τὸν ἀῤῥαγῆ καὶ ἀκατάλυτον στήμονα τῆς φράσεως τῶν κατὰ τοὺς Ο προφητικῶν Γραφῶν. Φέρομεν τούτου παραδείγματα ἐν τοῖς ἑπομένοις. Ὁμολογοῦσι δὲ τὸ πρᾶγμα καὶ αὐτῶν τῶν ἀλλογλώσσων κριτικῶν οἱ σοφώτεροι (α). Ἐπειδὴ δὲ πᾶσαι αἱ λέξεις τῆς ἀρχετύπου Καινῆς Διαθήκης ὁμολογοῦνται παναλήθη καὶ πανάχραντα τοῦ θείου Πνεύματος λόγια, τοιαῦτα λοιπὸν ἐξ ἀνάγκης λογίζονται καὶ πιστεύονται καὶ ὅσα ἐξ αὐτῶν κεῖνται ἀποκληρωτικῶς ἐν τῇ τῶν Ο, ἑρμηνείᾳ, ἐξ ἧς αὐτὰ προδήλως οἱ Ἀπόστολοι μετέφερον εἰς τὰς θεοπνεύστους αὐτῶν συγγραφάς. Ὀλίγα τινὰ κόμματα γνωμολογιῶν ἐκ τῶν ἐθνικῶν συγγραφέων (τοῦ Ἐπιμενίδου, τοῦ Ἀράτου, τοῦ Φιλήμονος) παρενέβαλεν ὁ θεῖος Παῦλος εἰς τὰς ἁγίας ἐπιστολὰς αὐτοῦ καὶ διδασκαλίας (Πράξ. ιζ, 28: Α. Κορ. ιε. 33: Τίτ. α, 12)· καὶ αὗται λοιπὸν τῶν ἐθνικῶν αἱ γνωμολογίαι καθιερώθησαν καὶ ἡγιάσθησαν (εἴποις ἄν, ὡς τὰ πυρεῖα τοῦ Δαθὰν καὶ Ἀβειρὼν, ἐν τῇ θείᾳ σκηνῇ περὶ τὸ θυσιαστήριον καθαγιασθέντα. Ἀριθ. ις, 37, 39), ὡς ἀποτελοῦσαι μέρος τῶν Ἀποστολικῶν συγγραφῶν (ἄλλως γὰρ οὐχ ἵσταται τὸ *καθόλου τε καὶ κατὰ μέρος* θεόπνευστον αὐτῶν, δογματικῶς παρὰ τοῖς εὐσεβέσιν ὁμολογούμενον). Καὶ αὐταὶ δὲ τῶν ἀσεβῶν αἱ φράσεις καὶ λέξεις, ὅσας ἐξελέγχοντες ἔγραψαν οἱ πνευματέμφοροι συγγραφεῖς (οἷον τὸ « *Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ* » κτλ. καὶ, « *φάγωμεν καὶ πίω-*

(α) Joh. Olearij, De stylo Nov. Testam. p. 70.—Vorstij, Philol. Sacr. p. 2. præf.— πρβλ. καὶ Moshemij, Diss. ad Hist. Ecclesiast. T. 2. p. 186.— Ernesti, Instit. interpr. N. Test. part. 2. p. 7.

μεν, » κτλ.), καὶ αὐτοὶ δὲ οἱ λόγοι τοῦ Σατανᾶ (Ἰώϐ. β: Γεν. γ: Ματθ. δ, 3-9), πάντα δὴ ταῦτα τῷ λόγῳ τῆς ἱστορικῆς ἀληθείας θεωρούμενα, καὶ οὐκ ἀπὸ τοῦ προσώπου καὶ τῆς προαιρέσεως τῶν εἰπόντων, ἀλλ' ἐξ αὐτῶν τῶν πρὸς ἔλεγχον τῆς πλάνης καὶ σωτήριον διδασκαλίαν θεοφορήτως αὐτὰ γραψάντων ἐξεταζόμενα, κύρια τυγχάνουσι καὶ ἀψευδῆ καὶ γνήσια μέρη τῶν θεοπνεύστων γραφῶν) (α). Ταῦτα δὲ καὶ αὐτοὶ τῶν ἑτεροδοξούντων, ὅσοι μάχονται πρὸς τὸν σωτήριον χαλινὸν τῆς ἑρμηνείας τῶν Ο, πρεσϐεύουσι καὶ ὁμολογοῦσιν (ϐ). Ἄγε δή, κατ' ἄφευκτον ἀκολουθίαν, ὁμολογείτωσαν οἱ ἄνδρες (καὶ πολλῷ γε προθυμότερον, ὅσῳ καὶ μᾶλλον ἐναργέστερον καὶ συγγενέστερον ἀποδείκνυνται) κύρια καὶ ἀληθινὰ καὶ ἀναμάρτητα καὶ θεόπνευστα *ῥήματα ζωῆς* τὰ τῶν θεοφόρων Ο, λόγια, ὅσα τὸ Πνεῦμα τὸ ἅγιον ἐν ταῖς Ἀποστολικαῖς ἐτύπωσε συγγραφαῖς, ἐξ ὧν καὶ ἡ συμφωνία τῶν δύω τοῦ Θεοῦ Διαθηκῶν τηλαυγέστερον διαλάμπει. Εἰ δ' ἀμφιγνοοῦσιν ἔτι, καὶ στραγγεύονται, Παύλῳ γοῦν τῷ μεγάλῳ κήρυκι τῆς ἀληθείας πειθέσθωσαν, ὅστις ἀγορεύων πρὸς Ἀγρίππαν τὸν βασιλέα *ἑλληνιστὶ κατὰ τὴν διάλεκτον τῶν Ο*, καί τινας ἐκ τῆς τούτων ἑρμηνείας συνάπτων φράσεις προφητικάς, ἐμαρτύρει τρανῶς περὶ ἑαυτοῦ (καὶ τῶν ἄλλων πάντως τῶν Ἀποστόλων), ὅτι « Οὐδὲν ἔλεγεν ἐκτὸς ὧν *οἱ προφῆται ἐλάλησαν* μελλόντων γίνεσθαι, *καὶ Μωσῆς* » (Πράξ. κϛ. 22.).

Ε) **Ἐν τῇ Ἑϐραΐδι Γραφῇ πρὸς τῇ Μωσαϊκῇ** καὶ κυρίᾳ διαλέκτῳ τῶν ἑϐραίων ἀπαντῶνται καὶ φράσεις, καὶ ὅλα χωρία καὶ κεφάλαια χαλδαϊστὶ συγγεγραμμένα (ὡς ἐν τῷ θείῳ Δανιὴλ κατὰ μέρος, καὶ ἐν τῷ Ἔσδρᾳ, κτλ.)· θεόπνευστος δὲ καὶ τούτων ἡ χαλ-

(α) « Χρηματιζόμενοι γὰρ οἱ προφῆται, οὐ μόνον τινὰ ἀκούειν λέγουσι παρὰ τοῦ Θεοῦ, ἀλλὰ καὶ αὐτοὶ διαγγέλλοντες δείκνυνται κατὰ ἀνθυποφορὰν τὰ παρὰ τοῦ λαοῦ θρυλλούμενα, ὡς ἐπιζητήματά τινα ὑπὸ τῶν ἀνθρώπων ἀναφέροντες » κτλ. Κλήμ. Στρωμ. γ. σελ. 322.

(ϐ) Βλ. ἀντὶ πάντων τὸν Καρψόϐιον (Critic. Sacr. pag. 67).

δαΐζουσα φράσις παρὰ πάντων ὁμολογεῖται. Παρομοίως ἄρα καὶ ὁ λεκτικὸς τῶν Ο, χαρακτὴρ ἐν ἐκείναις μάλιστα ταῖς φράσεσι θεόπνευστος ἀποδείκνυται, δἰ ὧν οἱ Ἀπόστολοι τὰ θεῖα νοήματα τοῦ Εὐαγγελικοῦ κηρύγματος ἐξέφρασαν. Τοῦτο δὲ ἄρα τὸ παρεπόμενον οὐ συνεῖδον, οὐδ' ὡμολόγησαν οἱ τὰς ἐν τῇ ἑβραΐδι γραφῇ χαλδαίας περικοπὰς θεοπνεύστους καὶ ἰσοτίμους ταῖς ἑβραϊκαῖς ὀρθῶς ὁμολογοῦντες. Οὕτω μετ' ἄλλων καὶ Καρψόβιος πρεσβεύει· καὶ τοὺς λόγους ἀποδιδοὺς, δἰ οὓς τὸ Πνεῦμα τὸ ἅγιον παρεδέξατο ἐν τῇ ἑβραΐδι βίβλῳ καὶ τῶν χαλδαϊκῶν χωρίων τὴν ἀνάμιξιν, ἔσχατον προστίθησι καὶ *κατ' ἐξοχὴν*, « ἵνα τιμηθῇ (φησι) καὶ καθαγιασθῇ καὶ ἡ γλῶσσα, δἰ ἧς ὁ υἱὸς τοῦ Θεοῦ διελέγετο πρὸς τοὺς λαοὺς, καὶ ἐθαυματούργει » (α). Ἀλλ' εἰ μὲν τὴν αὐτὴν, ᾗ καὶ Δανιὴλ ἐχρήσατο, χαλδαΐδα διάλεκτον ἐλάλησεν ὁ Κύριος ἐπὶ τῆς γῆς, ἄδηλον, καὶ ἀβέβαιον, καὶ πολλὰς ἔχον τὰς ἀντιλογίας. Ὅτι δὲ τὰ ἐν τῇ ἑβραϊκῇ Γραφῇ χαλδαϊκὰ τεμάχια θεόπνευστα τυγχάνουσι, καὶ ἰσότιμα τοῖς ἐν οἷς συνεξυφάνθησαν προφητικοῖς, βέβαιόν ἐστι καὶ πανομολόγητον, ὡς προείπομεν. Τοῦτο πάντως ὤφειλον οἱ περὶ τὸν Καρψόβιον ἀναλόγως συνιδεῖν καὶ περὶ τῆς ἐν τῇ Καινῇ Διαθήκῃ συνεξυφασμένης διαλέκτου τῶν Ο, τὰς αὐτὰς καὶ φράσεις καὶ λέξεις μετὰ τῶν Ἀποστόλων καὶ μετ' αὐτοῦ πολλάκις τοῦ δἰ αὐτῶν λαλοῦντος Χριστοῦ *ἑλληνιστὶ* συμφθεγγομένων. Οἱ δὲ τἀνάπαλιν, οὔτ' αὐτοὶ ἐνόησαν τὸ ἀληθὲς, οὔτε γοῦν τοῖς εὖ εἰποῦσιν οἰκείοις ἐπείσθησαν. Ἀλλὰ καὶ δεινῶς ὠργίσθησαν, Οὐοσσίου μάλιστα τοῦ περικλεοῦς παμπληθεὶ κατεξαναστάντες, ὅτι διεκήρυξε τὸ θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο. Καὶ « Δεῦτε » (μυκτηρίζοντες ἀνέκραξαν), « δεῦτε πάντες, ὅσοι ἄνδρες σοφοὶ καὶ τὴν κρίσιν ὑγιεῖς, ἀποδέξασθε τὴν γνώμην, προσπεσόντες εἰς τοὺς πόδας τοῦ Δικτάτορος » (β). Ἀλλ' οὔτε ὁ Οὐόσσιος αὐτογνωμόνως *ἐδικτατόρευσε*, καὶ οἱ μετὰ ὑψηλοῦ κηρύγματος συγκαλούμενοι κριτικώτατοι σοφοὶ ἦσαν ἂν ὄντως τοι-

(α) Carpzov l. c. p. 281.— (β) Id. ibid. p. 531.

οὗτοι, εἴπερ, ὡς ἐκεῖνος, ἔκρινον ὀρθῶς, ἀκολουθοῦντες τοῖς τε θείοις Πατράσι, καὶ αὐτῇ τῇ τηλαυγεῖ τῶν πραγμάτων ἀποδείξει.

ϛ) Τὸ θεῖον κῦρος τῆς τῶν προφητικῶν Γραφῶν ἑρμηνείας ἀποδείκνυσι καὶ ἡ πανθαύμαστος αὐτῆς ἐνέργεια καὶ δύναμις, δι' ἧς ἡ θεία χάρις καὶ πρὸ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἐνήργει μὲν εἰς τὰς ψυχὰς τῶν πανταχοῦ τῆς εἰδωλομανούσης οἰκουμένης ἑλληνιστῶν Ἰουδαίων, συγκρατοῦσα τούτους εἰς τὴν πάτριον εὐσέβειαν, καὶ μετέπειτα δὲ πάλιν εὐπειθεστέρους αὐτοὺς παρέχουσα πρὸς τὸ κήρυγμα τοῦ Εὐαγγελίου ἐπιφανέντος (α)· Ἐνήργει δὲ τῆς ἑρμηνείας ἡ χάρις καὶ εἰς αὐτοὺς τοὺς ἐκ τῆς προφητικῆς διδασκαλίας τὸν μόνον Θεὸν ἐπιγινώσκοντας ἐθνικοὺς, προπαιδεύουσα τὰς ψυχὰς αὐτῶν πρὸς ὑποδοχὴν τοῦ μέλλοντος ἔρχεσθαι Βασιλέως καὶ Σωτῆρος, «*ὅς ἐστι τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν*». Πρὸς ταύτην δὲ μάλιστα τὴν προπαίδειαν τῶν ἐθνῶν ἀπέβλεπεν ἡ θεία βουλὴ, ἥτις καὶ τὸ ἔργον τῆς ἑρμηνείας δι' ἐθνικοῦ βασιλέως ἐνήργησε παραδόξως· διὸ καὶ ὁ θεῖος Χρυσόστομος ἀπεθαύμαζε λέγων. « Θαυμαστὸν καὶ παράδοξον, ὅτι οὐ τῶν τὰ ἰουδαϊκὰ φρονούντων τις τὴν σπουδὴν ταύτην ἐποιήσατο, ἀλλ' ἀνὴρ τοῖς εἰδώλοις προστετηκὼς, καὶ ἀπ' ἐναντίας τῇ θρησκείᾳ διακείμενος. Τοιαῦτα γὰρ εἰς ἅπαντα τὰ ὑπὸ τοῦ Δεσπότου τοῦ ἡμετέρου οἰκονομούμενα· *ἀεὶ διὰ τῶν ἐναντίων αὔξει τὰ τῆς ἀληθείας προστάγματα* » (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 623). Οὕτω δὲ θαυμαστῆς τῆς ἀρχῆς γενομένης, οὐχ ἧττον θαυμαστὰ καὶ τὰ ἔργα τῆς ἑρμηνείας ἀπέβησαν· ἀλλ' οἷα δύναται *Λόγος Θεοῦ ζῶντος* γνήσιος καὶ ἀληθινός. Ἔτι κατὰ τοὺς χρόνους τῶν ἐν Αἰγύπτῳ καὶ Ἀσίᾳ βασιλευόντων διαδόχων τοῦ Ἀλεξάνδρου, ἐφ' ὧν μάλιστα καὶ ἡ ἑλληνὶς ἐπεκράτησε γλῶσσα, ὑπῆρχον πάμπολλοι τῶν ἐθνικῶν κατά τε τὴν Συρίαν καὶ Παλαιστίνην καὶ τὴν Αἴγυπτον καὶ κατ' αὐτὴν τὴν Ἑλλάδα προσήλυτοι, κατὰ τὸν Μωσέως νόμον πολιτευ-

---

(α) Οὕτως οἱ ἐν Βεροίᾳ Ἰουδαῖοι πρὸς τὸ κήρυγμα τοῦ Παύλου πεισθέντες ἐπίστευσαν, «ὡς ἀνέκριναν τὰς Γραφάς» (Πράξ. ιζ, 11).

όμενοι, καὶ μάλιστα οἱ *εὐλαβεῖς* λεγόμενοι, καὶ θεοσεβεῖς, ἢ *σεβόμενοι Ἕλληνες, καὶ φοβούμενοι τὸν Θεόν.* Εἴπομεν περὶ τούτων ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Β. σελ. 74, 332). Ὁμολογοῦσι δὲ τὸ πρᾶγμα καὶ τῶν νεωτέρων κριτικῶν ἄνδρες σοφοί (α). Πάντας οὖν τοὺς προσηλύτους τούτους καὶ σεβομένους Ἕλληνας καὶ ἑλληνιστὰς ὁ κατὰ τοὺς Ο θεῖος λόγος καθωδήγησεν εἰς τὰς ὁδοὺς τῶν προφητῶν, ἵνα δι᾽ αὐτῶν δυνηθῶσι προσελθεῖν καὶ προσκυνῆσαι τῷ υἱῷ τοῦ Θεοῦ φανερωθέντι. Καὶ προσῆλθον ἐν καιρῷ, καὶ προσεκύνησαν ἄλλοι τε πολλοί, καὶ ὅσοι ἐπίστευσαν ἐν Ἀντιοχείᾳ τῆς Πισσιδείας, τοῦ Παύλου κηρύξαντος (Πράξ. ιγ, 16, 43, 49), καὶ ὅσοι ἐν Θεσσαλονίκῃ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, «*τῶν σεβομένων ἑλλήνων πλῆθος πολὺ*, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι» (Πράξ. ιζ, 4). Ὡσαύτως καὶ κατὰ τὴν Βέροιαν, οὐ μόνον Ἰουδαίων, ἀλλὰ καὶ *ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι*» (αὐτ. 12). Ἄλλους πολλῷ πλείονας προσηλύτους βλέπομεν εὐθύς. Οὕτως ὁ τοῦ Θεοῦ λόγος ἐκ τῆς ἑρμηνείας τῶν Ο προχεόμενος, « *ὡς δρόσος, ὡς ὑετὸς, ὡς ὄμβρος, ὡς νιφετὸς*» (Δευτερ. λβ. 2) ἐζωογόνει πρὸς καρποφορίαν τῆς πίστεως τὰς ψυχὰς τῶν ἐθνικῶν, ἀποσπῶν ἀπὸ τῆς πλάνης τῶν εἰδώλων εἰς ἐπίγνωσιν τοῦ ἀληθινοῦ Θεοῦ, καὶ προπαιδεύων εἰς ὑποδοχὴν τοῦ Εὐαγγελίου· καὶ οὕτως ἐτελεῖτο ἡ τὴν ἑρμηνείαν θεσπίσασα βουλὴ τοῦ Θεοῦ. Καὶ ὑπῆρχον μὲν καὶ ἔκπαλαι παρὰ τοῖς Ἑβραίοις ἐξ ἐθνῶν προσήλυτοι εἰς τὸν Μωσαϊκὸν νόμον (β), Χαλδαῖοί

(α) «Religio Judaica sub imperio Græcorum per Syriam et Aegyptum alias que regiones propagata maxime floruit, multique Judæi in exteris terris versantes, ac proselyti, qui in gentilibus ad placita religionis Mosaicae transierunt, imo et Ethnici ipsi munera miserunt in templum hierosolymitanum» etc. Schulz Schol. in Ἀγγαίου β. 6. βλ. καὶ τὰ τοῦ Hottinger. ὄπισθ. Βιβλ. Β. σελ. 74.

(β) Βλ. Γ. Βασιλ. η, 41: Β. Παραλ. ς, 42: Ἡσαΐ. ιδ, 1. κτλ. Ἴδε καὶ Ζαχαρ. ζ. §. 2. καὶ τοὺς ἐπὶ Δαρείου ἀλλοφύλους τινὰς ἐπισήμους, « οἵ ἔπεμψαν (εἰς Ἱερουσαλὴμ) ἐξιλάσασθαι τὸν Κύριον» (ὅρα καὶ Θεοδώρ. καὶ Ἱερών. αὐτ.), πρβ. καὶ η, 23. ὅπου ὁ προφήτης διαγράφει ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν πορευσα-

τινες ἴσως, ἢ Φιλισταῖοι, ἢ καὶ ἐκ τῆς *Γαλιλαίας τῶν ἐθνῶν* (α), ἐκ τῶν ἑβραϊκῶν στοιχειούμενοι Γραφῶν· ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον ἀδιόριστοι, καὶ (κατὰ καιροὺς) ὀλιγοστοὶ καὶ σπάνιοι, ὕστερον δὲ καὶ διεφθείροντο ὑπὸ τῆς κακοδιδασκαλίας καὶ τῆς ἠθικῆς μιαρίας τῶν φαρισαίων, οἵτινες «περιῆγον *τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον*», καὶ γενόμενον ἐποίουν αὐτὸν *υἱὸν γεέννης διπλότερον αὐτῶν* (Ματθ. κγ, 15). Ὅθεν καὶ οἱ τοιοῦτοι προσήλυτοι « οὐ μόνον οὐκ ἐπίστευον, ἀλλὰ καὶ διπλότερον αὐτῶν (τῶν Ἰουδαίων) ἐβλασφήμουν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ » (ϐ). Ἀλλ' οἱ ἑλληνίζοντες *εὐλαβεῖς* πολὺ μᾶλλον προθυμότερον ἀπεδέχοντο τὸ κήρυγμα τῆς εὐαγγελικῆς πίστεως, βεβαιούμενον ἐκ τῶν προφητειῶν (Πράξ. ια, 20: ιγ, 16-23: ις, 14). Οὕτως ἐκεῖνοι οἱ Κρῆτες, καὶ Κυρηναῖοι, καὶ Φρύγες, καὶ Παμφύλιοι, καὶ ἄλλοι ἐκ τοῦ Πόντου καὶ τῆς (μικρᾶς) Ἀσίας (πάντες οὗτοι ἑλληνίζοντες), ἄνδρες *εὐλαβεῖς προσήλυτοι*, ὅτε μετὰ τῶν ἄλλων ἑτερογλώσσων ἐθνῶν ἤκουον εἷς ἕκαστος ἐν τῇ ἰδίᾳ διαλέκτῳ (καὶ αὐτοὶ ἑλληνιστὶ) τοὺς τὸ χάρισμα τῶν γλωσσῶν λαβόντας Ἀποστόλους, λαλοῦντας τὰ μεγαλεῖα τοῦ Θεοῦ, καὶ τὸν Πέτρον ἰδίως κηρύττοντα τὸν Χριστὸν κατὰ τὰς τῶν Ο γραφὰς, *κατενύγησαν τῇ καρδίᾳ, καὶ ἐπίστευσαν, καὶ ἐβαπτίσθησαν* (βλ. Πράξ. β, 5-41). Καὶ ταῦτα μὲν καὶ τοιαῦτα ἐν Ἱεροσολύμοις. Κατὰ δὲ τὴν μεγάλην Ἀντιόχειαν (ἵνα τἄλλα παραλίπωμεν), οἱ Κύπριοι ἐκεῖνοι καὶ Κυρηναῖοι μαθηταὶ, οἵτινες εἰσελθόντες εἰς τὴν πόλιν εὐηγγελίζοντο πρὸς τοὺς Ἕλληνας τὸν Κύριον Ἰησοῦν,

---

μένους μετὰ τοῦ Ἰουδαίου πρὸς τὸν ἀληθῆ τῶν Ἰουδαίων Θεὸν, καὶ ἅμα προφητεύει τοὺς ἐξ ἐθνῶν τῆς εἰς Χριστὸν κλήσεως ἀξιωθήσεσθαι μέλλοντας διὰ τῶν Ἀποστόλων (Θεοδώρ.).

(α) Γαλιλαία τῶν ἐθνῶν ἐκαλεῖτο, ὡς γειτονεύουσα Τυρίοις καὶ Σιδονίοις, (Ἱερών.), «καὶ τοσούτοις ἔθνεσιν ἀλλοφύλοις κυκλουμένη « (Ἰώσηπ. Ἰουδ. Πολ. γ, 3). Καὶ κατῳκεῖτο δὲ (ἐπὶ Στράβωνος) « ὑπὸ φυλῶν μικτῶν, ἔκ τε Αἰγυπτίων ἐθνῶν, καὶ Ἀραβίων, καὶ Φοινίκων » (Στράβ. ις, 760).

(ϐ) Ἰουστῖν. π. Τρύφων. §. 122. πρβλ. Wetsten. ἐκδ. Nov. Test. vol. 1. p. 484 sq.

ἐκ τῆς τῶν Ο ἑρμηνείας ἀπήγγελλον τὰς προφητείας, καὶ κατ᾽ αὐτὰς συνέστη ἐξ ἐθνῶν ἡ Ἐκκλησία τῆς Ἀντιοχείας, ἐν ᾗ τὸ πρῶτον ὠνομάσθησαν οἱ *μαθηταὶ Χριστιανοὶ* (Πράξ. ια, 20-30), τὴν ἱερὰν καὶ σεμνοτάτην ταύτην προσηγορίαν, ἧς ὁ Χριστὸς τὸν κόσμον ἐνέπλησε (α). Καὶ ἦν ἄρα ἐξ ἀρχῆς ἐν τῇ ἑρμηνείᾳ τῶν Ο, «*ζῶν ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον*» (Ἑβρ. δ, 12), «*καὶ ὥσπερ πῦρ, καὶ ὡς πέλεκυς κόπτων πέτραν*» (Ἱερεμ. κγ, 29) κατανύσσων, φωτίζων, θερμαίνων, στομῶν, ὁδηγῶν πρὸς ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς. «Ἀλλὰ (λέγουσι) καὶ κατὰ πᾶσαν ἄλλην οἱανδήποτε γλῶσσαν ἐὰν ὦσιν αἱ γραφαὶ πιστῶς καὶ κυρίως καὶ ἀκριβῶς ἡρμηνευμέναι, τὴν μὲν λέξιν καὶ τὴν φράσιν ἔχουσιν ἀνθρωπικὴν καὶ οὐ θεόπνευστον (ὡς τὰ ἱερὰ πρωτότυπα), ὅσον ὅμως ἐκ τοῦ πραγματικοῦ καὶ τῶν νοημάτων, ζῶν ἐστι καὶ ἐν αὐταῖς ὁ λόγος τοῦ Θεοῦ, τὴν αὐτὴν δύναμιν ἔχων, καὶ θαυμαστῶς ἐπενεργῶν». Συνομολογῶ· (καί τοι ποία τῶν μ. Χ. εἰς ἄλλας γλώσσας μεταφράσεων οὐκ ἔσχε χειραγωγὸν τὴν ἀρχέγονον καὶ πρεσβίστην αὐτῶν προμήτορα, τὴν τῶν Ο; ἢ ποῖαί τινες ἂν ἦσαν χωρὶς αὐτῆς καὶ αὐταὶ αἱ ἐκ τῆς πρωτοτύπου ἑβραΐδος ἀμέσως μεταφρασθεῖσαι;). Ἀλλ᾽ ἡ τῶν Ο ἑρμηνεία διαφέρει πάμπολυ, καὶ ὑπέρκειται τῶν ἄλλων ἑρμηνειῶν· α). Καθότι ταύτην ὥρισεν ἐπισήμως ἡ *θεία βουλὴ*, πρόδρομον τοῦ Εὐαγγελίου, προτελοῦσαν τὰ ἔθνη εἰς ὑποδοχὴν τῆς εἰς Χριστὸν πίστεως. Καὶ λοιπὸν, ὡς βούλημα Θεοῦ, ὑπάρχει καὶ θεοκύρωτος κατά τε τὸ λεκτικὸν καὶ τὸ πραγματικὸν, καὶ πιστὴ, καὶ ἀπλανὴς ὁδηγὸς πρὸς πᾶσαν τὴν ἀλήθειαν· »*Ἀδύνατον γὰρ ψεύσασθαι Θεόν*» (Ἑβρ. ς, 18). β) Αὕτη μόνη ἡ ἑρμηνεία διὰ τεσσάρων ὅλων αἰώνων ἐστήριζεν εἰς τὴν

(α) Βλ. Εὐσεβ. Ἐκκλ· ἱστορ. Α, γ. Ἐπειδὴ δὲ οἱ Ο προϋπήχησαν τοῖς Ἀποστόλοις τὸν τύπον τοῦ προσκυνητοῦ ὀνόματος τοῦ Χριστοῦ (ὄπισθ. σελ. 70), καὶ αὐτοὶ λοιπὸν οἱ τοῖς Ο πολεμοῦντες χριστιανοὶ τούτοις ὀφείλουσι τὸν σχηματισμὸν τῆς ἐπωνυμίας, ἐφ᾽ ᾗ καυχῶνται, καὶ ἣν φέρουσι γέρας τῆς εἰς Χριστὸν πίστεως « παντὸς βασιλικοῦ διαδήματος πολλῷ τιμιώτερον ».

θείαν ἐπίγνωσιν μυρίας μυριάδας ἑβραίων ἑλληνιστῶν, (ὡς ὁ Φίλων βεβαιοῖ), κατά τε νήσους καὶ ἠπείρους ἐν Ἀσίᾳ, καὶ Εὐρώπῃ, καὶ Ἀφρικῇ κεχυμένας μεταξὺ λαῶν εἰδωλολατρούντων, καὶ διετήρει καὶ αὐτὴ, καθὼς καὶ αἱ πρωτότυποι Γραφαὶ, τὴν Ἰσραηλῖτιν ἐκκλησίαν μέχρι Χριστοῦ Σωτῆρος πιστὴν εἰς ἃ παρεδόθησαν αὐτοῖς, «*καὶ ἐπιστεύθησαν, λόγια τοῦ Θεοῦ*» (Ῥωμ. γ. 2). γ) Μόνη τῶν ἄλλων ἑρμηνειῶν ἡ τῶν Ο, συνεξυφάνθη καὶ συνηρμολογήθη μετὰ τῶν θείων Εὐαγγελίων οὐ μόνον κατὰ νόημα, ἀλλὰ καὶ κατὰ τὴν φράσιν τῶν προφητικῶν Γραφῶν. Κατὰ ταύτην τὴν ἑρμηνείαν καὶ ὁ θεῖος Πέτρος εἶπεν, ὅτι «ἔχομεν *βεβαιότερον* τὸν *προφητικὸν λόγον*» (Β. Πέτρ. α, 19). δ) Ταύτην τὴν ἑρμηνείαν οἱ Ἀπόστολοι παρέδωκαν μετὰ τῶν Εὐαγγελίων τῇ Ἐκκλησίᾳ, καθὸ καὶ ταύτην οὖσαν, ὡς ἐκεῖνα, κύριον καὶ *ἀψευδῆ λόγον Θεοῦ*, *τοῦ λαλήσαντος διὰ τῶν Προφητῶν καὶ Ἀποστόλων*.

Ζ) Τὸ κῦρος τῆς ἑρμηνείας ὑπεμφαίνει καὶ αὐτῆς τῆς φράσεως ἡ ἄδολος ἁπλότης καὶ ἀμίμητος ἀφέλεια, δι᾽ ἧς τὸ θεοπρεπέστατον ὕψος καὶ κάλλος τῶν θείων ἐννοιῶν διαλάμπει· καὶ γίνεται τὸ τῆς λέξεως ἀπραγμάτευτον καὶ ἀπέριττον οἷον αὐτοσχέδιον ὄχημα «*τῆς ἐν τῷ πραγματολογεῖν* (ὡς εἶπεν ὁ Φίλων) *ἀμυθήτου φορᾶς*», ἢ καὶ παρόμοιον πρὸς τοὺς ἀργοὺς καὶ ἀλαξεύτους ἐκείνους λίθους, ἐξ ὧν ὁ Σολομῶντος ᾠκοδομήθη ναὸς (Γ. Βασιλ. ς. 7). διὰ κοινῶν γὰρ οὐχ ἧττον, ἢ συγγενῶν καὶ προσφυῶν ὀνομάτων ἡ τῶν πραγμάτων ἀναπτύσσεται φύσις, καὶ ἅμα μυστικῶς καὶ τελεστικῶς ὑποδηλοῦται τῶν ὑπερφυῶν μυστηρίων τὸ μεγαλεῖον. Τοῦτο δὲ τὸ γνώρισμα χαρακτηρίζει καὶ τὸ θεῖον ἀξίωμα τῶν Ἀποστολικῶν συγγραφῶν· (ὅπου γὰρ λαλεῖ Θεὸς, ποῦ μένει τῶν ταλαιπώρων θνητῶν ἡ πάμπτωχος εὐγλωττία;). Ὅθεν καὶ ὁ Ἀπόστολος τῶν ἐθνῶν, «ὁ *ἰδιώτης τῷ λόγῳ, ἀλλ᾽ οὐ τῇ γνώσει*», κηρύττων τὸ Εὐαγγέλιον τοῦ Θεοῦ πρὸς τοὺς ἐπὶ λόγων καὶ σοφίας ἀνθρωπίνης δυνάμει πεφυσιωμένους Κορινθίους, συνῆπτε τὴν ἁγνὴν καὶ ἀτεχνολόγητον ἁπλότητα τοῦ θεοδιδάκτου λόγου τῆς πίστεως μετὰ τῆς ἁπλότητος τῶν προφητικῶν Γραφῶν,

«λαλοῦμέν», φησιν, «*οὐκ ἐν πειθοῖς* (τουτ. πιθανοῖς), *οὐδ᾽ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις*, ἀλλ᾽ ἐν διδακτοῖς Πνεύματος ἁγίου, *πνευματικοῖς πνευματικὰ συγκρίνοντες*» (Α. Κορ. β, 1, 4, 13)· *λόγοις, λέγει, πνευματικοῖς* (ἀντιδιεσταλμένως πρὸς τὸ *λόγοις ἀνθρωπίνης σοφίας*), ταῖς ἐν τῇ παλαιᾷ δηλαδὴ Διαθήκῃ (τῇ κατὰ τοὺς Ο πάντως) μαρτυρίαις τοῦ *ἁγίου Πνεύματος* σαφηνίζοντες συγκριτικῶς, καὶ βεβαιοῦντες τὸ *πνευματικὸν* καὶ θεῖον κήρυγμα τοῦ Εὐαγγελίου, «καὶ διὰ τῶν τύπων ἐκείνης δεικνύοντες τῶν μυστηρίων τὴν ἀλήθειαν» (βλ. Θεοδώρ. ἑρμην. αὐτόθ. πρβλ. Χρυσόστ.). Καὶ αὐτὴ δὲ ἡ τοῦ θείου λόγου ἁπλότης, διὰ τί; «Ἵνα (φησὶν ὁ Ἀπόστολος) ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ᾽ ἐν δυνάμει Θεοῦ» (αὐτοθ. στχ. 5).

Η) Πάσας τὰς προῤῥήσεις τῶν θείων προφητῶν ἀληθῆ καὶ γνήσιον Θεοῦ λόγον ἀπέδειξε πραγματικῶς ἡ τῶν προφητευθέντων ἔκβασις. Τοῦτο δὲ κατά τινας τόπους ἐπὶ τῆς ἑρμηνείας τῶν Ο, κατ᾽ ἐξοχὴν διαλάμπει· Αὐτίκα· α) Ἐν Ἡσαΐ. θ, 12, κατὰ μὲν τὸ ἑβρ. γράφεται *Φιλισταῖοι* (ἀλλόφυλοι)· τοῦτο δὲ οἱ Ο, ἰδίως ἡρμήνευσαν «*Ἕλληνες*». Καὶ Ἕλληνες κυρίως, οἱ Πτολεμαῖοι καὶ Σελευκίδαι, «*ἀφ᾽ ἡλίου δυσμῶν*» (ἐκ τῶν δυτικωτέρων τῆς Ἰουδαίας) εἰσβαλόντες, καθυπέταξαν τὸν Ἰσραὴλ (καθὰ προείπομεν Βιβλ. Β. σελ. 559). Διέγραψε δὲ τρανῶς καὶ ὁ Προφήτης Δανιὴλ τὴν ἐπὶ τῆς Ἀσίας τῶν Ἑλλήνων ἐξουσίαν (κεφ. η). β) Εἶδεν ἐν ὁράματι ὁ Ἰακὼβ τὴν μυστηριώδη κλίμακα ἐκείνην, δι᾽ ἧς «*ἀνέβαινον καὶ κατέβαινον οἱ ἄγγελοι τοῦ Θεοῦ*· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς» (Γενέσ. κη, 12). Τοῦτο τὸ μυστήριον ἀγνοοῦσι καὶ Ἰουδαῖοι καὶ Ἰουδαΐζαί, (ἄλλως ἄλλοι τὸ ῥητὸν ἐξηγοῦντες). ἀλλ᾽ ἡ προφητικὴ τῶν Ο, φράσις ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου λαμπρῶς καὶ κατὰ λέξιν ἐκυρώθη («Ὄψεσθε τοὺς ἀγγέλους τοῦ Θεοῦ *ἀναβαίνοντας καὶ καταβαίνοντας* ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου». Ἰωάν. α, 52), καὶ πραγματικῶς ἐπληρώθη (Πράξ. α, 10: Ἰωάν. κ, 12: Λουκ. κβ, 43: Ματθ. δ, 11). γ) Περὶ τοῦ *Ἰησοῦς* ὀνόματος, ὅτι, καθὼς προέγραψαν οἱ Ο, οὕτως *ἐκλήθη καὶ ὑπὸ τοῦ ἀγγέλου*, προείπομεν (σελ. 70). δ) Καὶ τὸ «*ἐκ στόματος* νηπίων καὶ

θηλαζόντων κατηρτίσω *αἶνον*» (ὅπου τὸ νῦν ἑβρ. ἔχει, ἰσχὺν) αὐτὸς πάλιν ὁ Κύριος ἡμῶν ἀπέδειξεν ἐπ᾽ αὐτοῦ πληρωθὲν, ὡς οἱ Ο μεθηρμήνευσαν (Ματθ. κα, 16). ε) Ἐν Ἡσαΐ. λε, 2 (ὅπου προφητικῶς διαγράφεται ἡ τοῦ θείου βαπτίσματος χάρις. βλ. Εὐσεβ. Εὐαγ. Ἀποδ. Θ, 6) οἱ Ο, ἔχουσιν (ἀγαλλιάσεται) «*τὰ ἔρημα τοῦ Ἰορδάνου*». Ἐκ δὲ τοῦ νῦν ἑβραϊκοῦ λείπουσιν αἱ λέξεις (βλ. Βιβλ. Γ. σελ. 957). Ἀλλ᾽ «*ὁ ἐν Ἰορδάνῃ βαπτισθεὶς Ἰησοῦς* (ὅπου ἦν «Ἰωάννης βαπτίζων ἐν *τῇ ἐρήμῳ*». Μάρκ. α, 2-10) ἐπλήρωσε τὴν προφητείαν, ὡς ἔστι γεγραμμένη κατὰ τοὺς Ο. ς) Ἐν Ἡσαΐ. ν, 6, τὸ μὲν ἑβρ. ἔχει· «Ἔδωκα τὰς σιαγόνας μου τοῖς τίλλουσιν» (ἢ μαδῶσιν· οὕτω καὶ ἡ Βουλγάτα, vellentibus): Οἱ δὲ Ο, «Ἔδωκα τὰς σιαγόνας μου εἰς *ῥαπίσματα*». Οὕτω πληρωθεῖσαν ἐπὶ τοῦ Σωτῆρος τὴν προφητείαν ἱστόρησαν καὶ οἱ θεῖοι Εὐαγγελισταί· «Ἐδίδουν αὐτῷ *ῥαπίσματα*» (Ἰωάν. ιθ, 3. πρβλ. ιη, 22: Μάρκ. ιδ, 65). ζ) Ἐν Ἰεζεκιὴλ, θ, 4, ἀναγινώσκομεν. «Δὸς σημεῖον *ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν*». Τὸ δ᾽ ἑβραϊκὸν ἀντὶ τοῦ σημεῖον ἔχει «*Ταῦ*». «*Καὶ σημειώσεις Ταῦ ἐπὶ* τὰ μέτωπα» (οὕτω καὶ Ἀκύλας καὶ Θεοδοτίων, καὶ αὐτὸς ὁ Ἱερώνυμος). Εἰς ταύτην δὲ τὴν ῥῆσιν ἐσημείωσεν Ὠριγένης ταῦτα. «Ἐςι δὲ τὸ Θαῦ» (κατὰ τοὺς ἀρχαιοτέρους, ἀντὶ *Ταῦ*) «τῶν παρ᾽ ἑβραίοις στοιχείων τὸ τελευταῖον.. Καί τις τῶν εἰς τὸν Σωτῆρα πεπιστευκότων (Ἰουδαίων) ἔλεγε, τὰ ἀρχαῖα στοιχεῖα ἐμφερὲς ἔχειν τὸ Θαῦ τῷ τοῦ σταυροῦ χαρακτῆρι, καὶ προφητεύεσθαι περὶ τοῦ γενομένου ἐν χριστιανοῖς ἐπὶ τοῦ μετώπου σημείου, ὅπερ ποιοῦσιν οἱ πεπιστευκότες πάντες οὑτινοσοῦν προκαταρχόμενοι πράγματος, καὶ μάλιστα εὐχῶν, ἢ ἁγίων ἀναγνωσμάτων» (σημ. Ὠριγέν. παρὰ Montf. Ἑξαπλ. τόμ. Β. σελ. 282). Τοιαῦτα καὶ Ἱερώνυμος (αὐτοθ.). Ὅτι δὲ κατὰ τὰ ἀρχαῖα γράμματα (τὰ Σαμαρειτικὰ) τὸ Θαῦ εἶχε μορφὴν σταυροῦ (+), ὑπάρχει πρᾶγμα βέβαιον. Καί τοι γὰρ ἐν οἷς χρῶνται νῦν οἱ Σαμαρεῖται γράμμασιν οὐκ ἔχει τὸ Ταῦ εἶδος σταυροῦ, ἀλλ᾽ εἶχε πάντως τὸ πάλαι, ὡς καὶ τὸ τῶν Φοινίκων, ἐξ οὗ καὶ τὸ ἑλληνικὸν καὶ λατινικὸν Τ. «Δός» (φησιν ὁ καὶ Ἱερωνύμου καὶ Ὠριγένους ἀρχαιότερος Τερτυλλιανὸς) «δὸς σημεῖον *Θαῦ*

ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν. Αὐτό γάρ ἐστι τὸ τῶν Ἑλλήνων γράμμα Τ, σημεῖον σταυροῦ» (κατὰ Μαρκίων. γ, 22). Καὶ Βαρνάβας δὲ, πολλῷ πρότερον τοῦ Τερτυλλιανοῦ, ἔγραψεν, ὅτι «*σταυρὸς ἐν τῷ* Τ.» (ἐπις.§.θ). Τὴν μορφὴν τοῦ γράμματος Τ καὶ αὐτὸς ὁ Λουκιανὸς ἐξηγῶν, λέγει· «Ὁ δὴ σταυρὸς εἶναι ὑπὸ τούτου μὲν ἐδημιουργήθη, ὑπὸ δὲ ἀνθρώπων ὀνομάζεται» (Δίκη φωνηέντ. §. 12). Καὶ ἐν ἀρχαίοις σίκλοις ἑβραίων φαίνονται τὰ ἑβραϊκὰ γράμματα παρόμοια τοῖς ἀρχαιομόρφοις ἑλληνικοῖς. Τοῦτο τοίνυν τὸ Θαῦ, ἢ Τ, ὃ παρὰ μόνῳ γέγραπται τῷ προφήτῃ Ἰεζεκιὴλ οὐχ ἁπλῶς, ὡς ἀσήμαντον γράμμα τοῦ ἀλφαβήτου, οὐδὲ πάλιν ὡς σημεῖον ἁπλοῦν καὶ ἀδιόριστον, ἀλλὰ καθὸ *σταυροειδὲς* (κατά τε τὴν μορφὴν τοῦ στοιχείου, καὶ τὴν μυστικωτέραν αὐτοῦ ἔννοιαν), πρῶτοι οἱ Ο, ἡρμήνευσαν *σημεῖον*. Καὶ ταύτην αὐτῶν τὴν ἑρμηνείαν αὐτὸς ὁ Κύριος ἡμῶν πληρέστατα ἐκύρωσεν, ἴδιον ἑαυτοῦ *σημεῖον* ὀνομάσας τὸν ζωοποιὸν σταυρόν. «Καὶ τότε φανήσεται *τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου* ἐν τῷ οὐρανῷ» (Ματθ. κδ, 30). (α). Ὅτι δὲ σημεῖον τοῦ υἱοῦ

(α) Ὁ κλεινὸς Γεσένιος (**Lexic. Hebr. p. 1048**) καταχωρίζων τὸ ἑβρ. **Tav**, οὐχ ὡς ὄνομα γράμματος, ἀλλὰ καὶ ὡς λέξιν ἑβραϊκὴν, ἑρμηνεύει, 1) σημεῖον (ἁπλῶς καὶ τὸ τυχὸν, ἀντί, φησι, τοῦ **taveh**, ὡς ἀπὸ θέματος **tavah**= ἐσημείωσεν· ὅθεν, λέγει, καὶ τὸ ὄνομα τοῦ γράμματος **Tav**)· ἀλλ' οὐδεμίαν ἄλλην φέρει (οὐδ' ἔχει) μαρτυρίαν τῆς σημασίας ταύτης, εἰμὴ τὴν, περὶ ἧς ὁ λόγος, ῥῆσιν τοῦ Ἰεζεκιήλ. 2) Σημαίνει, λέγει, τὸ **Tav** καὶ σημεῖον σταυροειδὲς, ὁποῖον γράφουσι συνήθως ἐν δημοσίοις γράμμασιν οἱ μὴ εἰδότες γράφειν, ἀντὶ τοῦ ὀνόματος αὐτῶν, καὶ ἑπομένως ὑπογραφήν· καὶ τούτου φέρει μαρτυρίαν ἐκ τοῦ Ἰὼβ, λα, 35, ὅπου κατὰ μὲν τὸ ἑβρ. ἀναγινώσκονται **tavi**, οἱ δὲ Ο, πάντῃ διαφόρως ἀνέγνων· ἄλλως δὲ καὶ ὁ Χαλδαῖος, καὶ ὁ Ἱερώνυμος, ἑρμηνεύσαντες ἐπιθυμίαν μου, ἄλλως δὲ πάλιν ἐξηγοῦσιν ἄλλοι τῶν νεωτέρων (ἀπολογίαν μου, ἢ πινάκιον ἐνυπόγραφον, οἷα εἴθισται ἐν δικαστηρίοις· κτλ. βλ. **Schulz** καὶ **Rosenmüll. Schol. h. l.**). Ἔπειτα καὶ ὅλως ἄπιστος ἡ σημασία δοκεῖ· Ὁ γὰρ τὴν βίβλον ὅλην συγγράψας Ἰὼβ, ἠπίστατο πάντως καὶ τὸ ἴδιον ὑπογράφειν ὄνομα, οὐδ' ἂν ἔλεγεν, ἰδοὺ τὸ σημεῖόν μου (ἀντὶ ἡ ὑπογραφή μου!). Καὶ ἄλλως δὲ, πόθεν δῆλον, ὅτι καὶ ἐπὶ τοῦ Ἰὼβ ὑπῆρχεν ἐν χρήσει τοῦτο τὸ πολλοῖς αἰῶσι μετ' αὐτὸν συνεθισθὲν σταυρόμορφον σχῆμα τῆς τῶν ἀγραμμάτων ὑπογραφῆς; Ἀλλὰ καὶ εἴπερ ἡ ἀνάγνωσις τῆς Ἰωβείου λέξεως ὑπῆρχε γνησία, ὀρθὴ δὲ καὶ ἡ ἐξήγησις αὐτῆς, οὐδ' οὕτω πάλιν ἐβεβαιοῦτο ἡ πρώτη τοῦ **Tav** σημασία, ὡς

τοῦ ἀνθρώπου αὐτός ἐστιν ὁ τίμιος σταυρὸς, ὁμολογοῦσι πάντες οἱ ἱεροὶ πατέρες ἀπὸ τοῦ ἀποστόλου Βαρνάβα (ἐπιστολ. §. ιβ), καὶ ἐφεξῆς· οἷον Ἰουστῖνος (Ἀπολογ. α. §. 60, καὶ π. Τρύφ. §. 72), ὅπου καὶ ὡς ἐκ τοῦ Ἔσδρα μνημονεύει τὰ ἑξῆς «*μέλλομεν* (οἱ Ἰουδαῖοι) *αὐτὸν* (τὸν Ἰησοῦν) *ταπεινοῦν ἐν σημείῳ*» (πρβλ. καὶ §. 94), Κλήμης ὁ ἱερώτατος (Στρωμ. ζ. σελ. 317), ὅστις ἀντὶ τοῦ Εὐαγγελικοῦ, «Ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ» (Λουκ. ιδ, 27) γράφει, «Καὶ ἐὰν μὴ τὸ σημεῖον βαστάσητε» (οὕτω καὶ Στρωμ. ε, 278, καὶ ἐν Ἐκλογ. ἐκ τοῦ Θεοδοτ. §. μϐ. σελ. 979), καὶ ὁ θεῖος Χρυσόστομος· «Τότε φανήσεται τὸ σημεῖον, τουτ. ὁ σταυρὸς, τοῦ ἡλίου φαιδρότερος ὤν», (εἰς Ματθ. ὁμιλ. ος, καὶ ὁμιλ. πγ, κτλ.), καὶ ὁ ἱερὸς Θεοφύλακτος· «Σημεῖον δὲ λέγει τὸν σταυρὸν, ὥσπερ τρόπαιον καὶ παράσημον βασιλικόν» (εἰς Ματθ. αὐτόθ.). Οὕτω καὶ Εὐσέβιος (βίῳ Κωνς.), καὶ Κύριλλος ὁ Ἱεροσολύμων

τάχα δηλοῦντος σ η μ ε ῖ ο ν ἁπλῶς· καὶ μένει βεβαία μόνη ἡ τοῦ σ τ α υ ρ ο ε ι δ ο ῦ ς σ η μ ε ί ο υ, ὁποῖον καὶ οἱ Ο ἐνόουν, ἑρμηνεύσαντες σ η μ ε ῖ ο ν τὴν τὸ σταυροειδὲς Τ δηλοῦσαν λέξιν (tav) τοῦ Ἰεζεκιήλ. Τὸ δὲ σταυρὸν χαράττειν τοὺς ἀγραμμάτους ἀντὶ τῆς ὑπογραφῆς ἦλθεν εἰς χρῆσιν μ. Χ. διὰ τὸ μέγα πρὸς τὸν τύπον τοῦ ζωοποιοῦ σταυροῦ σέβας τῶν χριστιανῶν. Διὰ γὰρ τοῦ ἱεροῦ τούτου χαρακτῆρος, ὃν ἔγραφεν ἰδιοχείρως αὐτὸς ὁ ἀγράμματος, ἐπιστοποιεῖτο καὶ ἡ δι' ἄλλης χειρὸς κατόπιν τοῦ σταυροῦ προστιθεμένη ὑπογραφὴ τοῦ ὀνόματος ἔν τε ταῖς ἰδίαις καὶ ἐν δημοσίαις μάλιστα συγγραφαῖς (Διαθηκῶν, Συναλλαγμάτων, Δικαστικῶν ἀγωγῶν κτλ.). Τοῦτο δὲ καὶ διατάγμασιν αὐτοκρατορικοῖς διετάχθη (ϐλ. Ἰουστινιαν. Νεαρ. ογ, καὶ ϛ: κτλ.)· καὶ Βασίλειος ὁ Μακεδὼν μετὰ τοῦ Λέοντος καὶ τοῦ Κωνσταντίνου διέταξεν· «Εἰ δ' ἀγράμματοί εἰσι, ποιείτωσαν τοὺς τιμίους σταυροὺς, καὶ τὰ λοιπὰ γραφέτωσαν διὰ χ ε ι ρ ο χ ρ ή σ τ ω ν» (τὸ Λατιν. amanuensium, τουτ. γραφέων, οἷς ἀ ν τ ὶ χ ε ι ρ ὸ ς χρῶνται. Jur. Cræco-Roman. T. 2. p. 138). Σημειωτέον δὲ, ὅτι οὐ μόνον οἱ ἀγράμματοι, ἀλλὰ καὶ οἱ μάλα πολυγράμματοι καὶ ἐπισημότατοι τύπον ἔγραφον ςαυροῦ πρὸ τῆς ἑαυτῶν ὑπογραφῆς. Οὕτως οἱ αὐτοκράτορες, Βασίλειος, Λέων, Κωνσταντῖνος, «ἐπῆξαν ἰδιοχείρως ἐν τοῖς πέντε βιϐλίοις τοῦ τιμίου σταυροῦ τὸν τύπον, γεγραφότες τὰς οἰκείας ὀνομασίας» (ὅθεν παρέλαϐον τὸ ἔθος καὶ ἄλλοι βασιλεῖς τῆς Εὐρώπης. ϐλ. Ducang. Glos. Græc. T. 2. p. 1434. καὶ Glossar. ad Scriptores med. et inf. Latinitatis T. 2. p. 1190). Καὶ Πατριάρχαι δὲ καὶ Ἀρχιερεῖς καὶ Πρεσϐύτεροι ἐν ταῖς ἱεραῖς Συνόδοις, καὶ ἐν ἄλλοις δημοσίοις καὶ ἰδίοις γράμμασιν (ὡς εἰώθασι καὶ τὴν

(Κατηχ. ιε), Γρηγόριος ὁ Θεολόγος, Ἐπιφάνιος, ὁ Νύσσης Γρηγόριος, Κοσμᾶς καὶ Δαμασκηνὸς, Εὐθύμιος ὁ Ζιγαβηνὸς, ὁ ἱερὸς Αὐγουστῖνος, Ἀμβρόσιος, Εὐχέριος, καὶ πᾶς μονονοὺ τῶν ἁγίων πατέρων ὁ θίασος. Κατὰ ταύτην τὴν ἐν τῷ Εὐαγγελίῳ σημασίαν τοῦ σημείου, καὶ ὁ Μέγας Βασίλειος ἑρμηνεύων τὸ ἐν Ἡσαΐ. ια, 12 (ὅπου μάλιστα διαγράφονται τρανῶς οἱ χαρακτῆρες τοῦ προφητευομένου Σωτῆρος)» Καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη», «Τοῦτο δέ (φησίν) ἐστι τὸ σημεῖον, ὃ ἦρεν εἰς τὰ ἔθνη, τὸ ἐν τοῖς εὐαγγελίοις λεγόμενον «*ὄψονται τὸ σημεῖον*», ὅπερ φήσεις εἶναι τὸν σταυρὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» (τόμ. α. σελ. 1061). Ὡσαύτως καὶ ὁ Θεοδώρητος (εἰς Ἡσ. αὐτ. καὶ εἰς Ἡσ. κγ, 23). Ὅθεν καὶ ἐν τῷ «Ἔστησεν ὁ Μωϋσῆς τὸν *χαλκοῦν ὄφιν ἐπὶ σημείου*» (Ἀριθμ. κα, 9, ὅπου τὸ ἑβρ. ἔχει, *Νες*, ὕψωμα, οἷον κάμαξ, ἰκρίον, κοντὸς σημαίας, καὶ σημαία, καὶ ἱστίον ἀνυψούμενον ἐπὶ τοῦ κέρας

σήμερον οἱ ἀρχιερεῖς) ἐχάραττον τὸν τύπον τοῦ σταυροῦ πρὸ τῶν ὀνομάτων αὐτῶν (βλ. τὸ Συνοδικὸν γράμμα τῆς ἐν Ἱεροσολύμοις ἐπὶ Δοσιθέου Συνόδου, παρὰ Aymont, Monumens authentiques etc. p. 437). Καὶ τῶν ἰδιωτῶν δὲ πολλοὶ γράφουσι τὸν θεῖον τύπον ἀρχόμενοι τῆς ἐπιστολῆς. Καὶ αὐτὸ δὲ τὸ ἀλφάβητον, ὅπερ ἐν σχολείοις ἀναγινώσκουσι τὰ Ἑλληνικὰ παιδάρια, φέρει σεσημειωμένον ἐν ἀρχῇ τὸν τοῦ σταυροῦ τύπον, ὃν ἐκφωνοῦσι. Σταυρὲ βοήθει μοι. Τελευταῖον· ὁ σοφὸς Γεσένιος, καὶ ἄλλοι πρὸ αὐτοῦ, σημειοῦσιν, ὅτι καὶ οἱ Ἄραβες, ἢ ἐγκαίουσιν ἐπὶ τῶν μηρῶν, ἢ ἐξαρτῶσιν ἀπὸ τοῦ τραχήλου τῶν οἰκείων ἵππων καὶ καμήλων σταυροειδῆ τινα μορφώματα, ὡς φυλακτήριον καὶ περίαπτον, ὃ καλοῦσι καὶ αὐτοὶ Theva. Καὶ ἔκπαλαι δὲ λέγουσι παρὰ τοῖς Ἀσιανοῖς, καὶ μάλιστα παρὰ τοῖς Αἰγυπτίοις, ὑπῆρχε σύνηθες τοιοῦτο σχῆμα σταυροειδὲς, ὡς σύμβολον ζωῆς (βλ. Jablonsky Opuscul. T. 1. p. 254. Rosenmüll. Schol. εἰς Ἰὼβ, καὶ Ἰεζεκ. αὐτόθ.). Ἀλλ' ὅσον ἂν τις ἀπαρχαΐσῃ τὰ τοιαῦτα σταυροειδῆ μορφώματα, οὐδόλως δυνήσεται τούτων τὴν χρῆσιν ἀποδεῖξαι παλαιοτέραν τῶν Μωσαϊκῶν χρόνων, ἢ καὶ τῶν Ἀποστολικῶν. Ἐμιμήθησαν δὲ καὶ οἱ ἐθνικοὶ τὸν χαρακτῆρα τοῦτον, ἰδόντες πάντως παρὰ τοῖς πρώτοις χριστιανοῖς, οἷς παρέδωκαν οἱ Ἀπόστολοι τὸν τύπον τοῦ σταυροῦ σέβεσθαι καὶ σχηματίζειν, ὡς ἅγιον σύμβολον τῆς ἡμῶν σωτηρίας, καὶ ὅπλον κατὰ τοῦ διαβόλου, καὶ κακῶν παντοίων ἀποτρόπαιον (ὁποῖον νομίζουσι καὶ αὐτοὶ οἱ τούτῳ χρώμενοι ἐθνικοί). Οὕτω καὶ Ἰνδοὶ μετὰ τὸ κήρυγμα τοῦ Ἀποστόλου Θωμᾶ ἐγνώριζον τὸν τύπον τοῦ σταυροῦ, ὡς προείπομεν (Βιβλ. Β. σελ. 301).

ἔχοντος ἴσου. Ἡσ. λγ, 23)· ἐν τούτῳ τῷ ῥητῷ ὁ μάρτυς Ἰουστῖνος ἐξήγησε τὸ *σημεῖον* «*τύπον σταυροῦ*» (α)· ἦσαν δὲ παρὰ τοῖς ἀρχαίοις καὶ σημαῖαι ἐπὶ ξύλων σταυροειδῶν, οἷα καὶ τὰ *βίξιλλα* (vexilla) τῶν Ῥωμαίων, ἔχοντα τὴν σημαίαν οὐκ ἀπὸ μόνου τοῦ ὀρθίου δόρατος, ἀλλὰ καὶ ἀπ' ἄλλου ἐγκαρσίου ξύλου κρεμαμένην (β). Τοιοῦτο φαίνεται καὶ τὸ σταυροειδὲς *σημεῖον*, ἐφ' οὗ ὕψωσε τὸν ὄφιν ὁ Μωϋσῆς· λέγει δὲ καὶ ὁ Ἀπόστολος Βαρνάβας (§. ιβ) «τὸν ὄφιν τὸν *ἐπὶ τοῦ ξύλου ἐπικείμενον*» (γ). Κἀκεῖνο δὲ τὸ θεόλεκτον λόγιον τοῦ Σωτῆρος ἡμῶν, «Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου» (Ἰωάν. γ, 14) παρέχει νοεῖν τὸ σημεῖον, ἐφ' οὗ τὸν ὄφιν ὕψωσε Μωσῆς, ἀνάλογον κατὰ τὸ σχῆμα πρὸς τὸν ἐφ' οὗ ὑψώθη ὁ Σωτὴρ ζωοποιὸν σταυρόν, « *ὅς ἐστι τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου*» (δ). Τελευταῖον ἐν τῇ Ἀπο-

---

(α) Βλ. ὄπισθ. Βιβλ Β. σελ. 365.

(β) «Καὶ τὰ παρ' ὑμῖν δὲ σύμβολα» (λέγει πρὸς Ἀντωνῖνον τὸν Αὐτοκράτορα ὁ μάρτυς Ἰουστῖνος. Ἀπολ. α. §· 55) «τὴν τοῦ σχήματος τούτου (τοῦ σταυροῦ) δύναμιν δηλοῖ. . . . λλῶμεν» (λείπει· ὅπερ ἀναπληροῦσι «τ ῶ ν κ α λ ο υ μ έ ν ω ν β ι ξ ι λ λ ῶ ν». ἀλλ' ἴσ. ἀναγνωστέον, τ ὰ β ί ξ ι λ λ α κ α λ ο ύ μ ε ν α)· «Καὶ τῶν ἀποθνησκόντων αὐτοκρατόρων τὰς εἰκόνας ἐπὶ τούτῳ [τῷ] σχήματι ἀνατίθετε», κτλ. (βλ. ἔκδ. S. Mauri σελ. 79). Τοῦτο τὸ σχῆμα τῶν σημαιῶν βεβαιοῦσι καὶ Tertull. Apol. cap. 16: Minuc· Felix. p. 196: (καὶ τὰ παρ' ἡμῖν ἐν ταῖς ἱεραῖς λιτανείαις εἰθισμένα φ λ ά μ π ο υ ρ α). Εἶχον δὲ καὶ οἱ Ῥωμαῖοι, καὶ ἄλλα τῶν ἀρχαίων ἐθνῶν (Πάρθοι, Σκύθαι, Ἰνδοὶ) σημαίας, ἢ σημεῖα (Signa) καὶ ἐν εἴδει ὄφεων, καὶ δρακόντων, ἐπὶ ξύλου ὀρθοῦ κατὰ πλάτος ἐπικειμένων, ἢ ἀνηρτημένων ἐπιφανῶς (βλ. Σουΐδ. λ. Σημεῖα, καὶ Encyclopédie methodique etc. Antiquités. Tom. 2. p. 430, 514. Padue, 1791. καὶ τὰς ἐν αὐτῇ διαφόρους εἰκόνας). Μίμημα καὶ τοῦτο τοῦ Μωσαϊκοῦ σημείου καὶ τοῦ χαλκοῦ ὄφεως. Τοῦτο δείκνυσι λαμπρῶς καὶ ὁ κατὰ τὴν Ῥώμην (ἐν τῇ πλατείᾳ τῆς Ἀθηνᾶς) ἱστάμενος Αἰγύπτιος Ὀβελίσκος, πλήρης ἱερογλυφικῶν· ἐν οἷς πρὸς τῇ κορυφῇ γέγλυπται καὶ ὄ φ ι ς ἐ π ὶ σ τ α υ ρ ο ῦ, ὡς σύμβολον ζωῆς, ἐκ τῆς Μωσαϊκῆς ἱστορίας παραληφθεὶς (βλ. καὶ Demagistr. p. 573).

(γ) Καὶ ὁ Προυδέντιος (Enchirid.) «Σταυρῷ Μωσῆς τὸν ὄφιν ἀνήρτησε» (βλ. καὶ τὴν εἰκόνα, ἐν Calmet, Diction. T. 3. p. 543). Καὶ αὐτοὶ δὲ οἱ Ῥαββῖνοι, ἵνα τὸν σταυρὸν φύγωσι, φ ο ύ ρ κ α ν (δίκρανον, ἢ δίδυμον ξύλον) ἐξηγοῦσι τὸ σ η μ ε ῖ ο ν, ἐφ' οὗ τὸν ὄφιν ἔθηκε Μωσῆς. (βλ. Grot. εἰς Ἰωάν. γ).

(δ) Ὅσοι τῶν ἑτεροδόξων οὐ σέβονται τὸν τύπον τοῦ ζωοποιοῦ σταυροῦ, σφόδρα

καλύψει (ζ, 2, κτλ.) βλέπομεν εἰκόνα παρομοίαν τῇ τοῦ Ἰεζεκιήλ. Ἐκεῖ ἐδόθη *σημεῖον* (Τ) ἐπὶ τῶν μετώπων τοῖς σωζομένοις· καὶ ἐν τῇ Ἀποκαλύψει «ἄγγελος ἔχων *σφραγῖδα Θεοῦ, ἐσφράγιζε τοὺς δούλους τοῦ Θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.*» Καὶ ποία μὲν αὕτη *ἡ σφραγὶς τοῦ Θεοῦ*, οὐκ ἐσήμανεν ἰδίως ὁ θεῖος Εὐαγγελιστής· *σταυροῦ* δὲ τύπον καὶ ταύτην οἱ περὶ τὸν μακάριον Ἀνδρέαν καὶ Ἀρέθαν ἐξέλαβον (Ἑρμην. εἰς Ἀποκάλ. αὐτ.). Ἔχει δὲ πολλὴν ἀναλογίαν πρὸς τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώ-

---

δυσανασχετοῦσι πρὸς τὴν ἐπὶ τοῦ σταυροῦ ἐκδοχὴν «τοῦ σημείου τοῦ υἱοῦ τοῦ ἀνθρώπου». «Εἰκασίαν ἁπλῆν λέγει τοῦτο ὁ Σουΐκηρος· καὶ προστίθησιν, ὅτι «κατὰ τους μεγάλους αὐτοῦ θεολόγους, οἴεται καὶ αὐτὸς, ὅτι σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου τὸ αὐτό ἐςι καὶ τὸ ἁπλούστερον, «ὁ υἱὸς τοῦ ἀνθρώπου»· παρομοίως σχεδὸν, καθὰ καὶ τὸ «σημεῖον περιτομῆς» (ὃ ἔλαβεν ὁ Ἀβραάμ· Ῥωμ. δ, 11) τὸ αὐτό ἐστι καὶ περιτομὴ, ἥτις ἦν σημεῖον τῆς Διαθήκης»· (βλέπεις ἀναγνῶστα, πῶς καὶ αὐτὸς ἠναγκάσθη παραβῆναι τὴν ὑποτεθεῖσαν αὐτῷ ταυτότητα τῆς φράσεως, διακρίνας τὴν περιτομὴν ἀπὸ τοῦ σημείου. Ὅθεν καὶ ὁ Σκλευσίνερος σιωπηλῶς ἐξήλεγξε τὸν Σουΐκηρον, παραφράσας ὀρθῶς τὸ, «σημεῖον ἔλαβε περιτομὴν» εἰς τὸ, «ἔλαβε τὴν περιτομὴν εἰς σημεῖον» **Lex. Nov. Test. v.** Σημεῖον). «Ἀλλ' ὅμως (προστίθησιν ὁ Σουΐκηρος) οὐκ ἀπαρνούμεθα, ὅτι ἡ πρώτη ἐξήγησις (ἡ κατὰ τοὺς θείους Πατέρας) ἔχει πολλοὺς καὶ μεγάλους τοὺς συγγραφεῖς» (**Suicer. Thes. Eccles. T. 2. pag. 1008**). Ἄλλος δέ τις ἑλληνικώτερος, ὁ Ὀμβέργικος, ἐπελθὼν, ἐξέφερε καὶ ἀπὸ τῶν ἐνδόξων Ἑλλήνων παραδείγματα· «Σημεῖον λέγει τοῦ υἱοῦ τοῦ ἀνθρώπου» αὐτός ἐστιν ὁ Χριστὸς, κατὰ φράσιν (παρ' Ἕλλησι) κοινοτάτην, οἷον καὶ τὸ βία Ἡράκλεως» (ἤθελε γράφειν Ἡρακλέους, τὸ Ὁμηρικὸν, βίη Ἡρακληείη), «τουτ. αὐτός (φησιν) ὁ Ἡρακλῆς, ἢ ὁ ἰσχυρὸς Ἡρακλῆς, καὶ τὸ μέγα χρῆμα παρθένου, καὶ τὰ ὅμοια. Ἔςαι τοίνυν καὶ σημεῖον τοῦ υἱοῦ, κτλ. αὐτὸς ὁ Χριςὸς, σημειώδης καὶ ἐπίσημος, ἵνα παρὰ πᾶσι γνωρίζηται διὰ τὴν δόξαν καὶ τὴν μεγαλοπρέπειαν» κτλ. **Joh. Hombergck, Parerga Sacra, pag. 72. Traject. 1711**). Καὶ λοιπὸν τὸ βίη Ἡρακλέους ἔστι τὸ αὐτὸ καὶ Ἡρακλῆς (ἁπλῶς), καὶ πάλιν ὁ ἰσχυρὸς Ἡρακλῆς (οὕτως ἂν εἶπε καὶ «τὸ σθένος Ὠρίωνος» τὸ αὐτὸ καὶ Ὠρίων, καὶ ὁ σθεναρὸς Ὠρίων· καὶ τὸ «ἱερὰ ἲς Τηλεμάχοιο» τὸ αὐτὸ καὶ ὁ Τηλέμαχος, καὶ πάλιν, ὁ ἱερὸς καὶ ἰσχυρὸς Τηλέμαχος!). Τὸ δὲ μέγα χρῆμα παρθένου (ὅπερ οὐκ ἐξήγησεν) ἔστι τὸ αὐτὸ καὶ παρθένος, καὶ μεγάλη χρηματίζουσα παρθένος! Οὕτως ὁ κλεινὸς ἑλληνιστὴς καὶ ἀφαιρεῖ, καὶ πάλιν προστίθησι τὰς λέξεις, ὡς τοὺς κύβους ἀφυὴς κυβευτὴς, μηδόλως θεωρῶν, πόθεν ἐγεννήθησαν

που· (πρβλ. Ἀποκαλ. κϐ. 4). Ὅθεν καὶ *σφραγῖδα* πάλιν ὠνόμασαν τὸ σημεῖον τοῦ σταυροῦ οἱ θεῖοι Πατέρες, καὶ *σφραγίζεσθαι*, τὸ τῷ τύπῳ τοῦ σταυροῦ σημειοῦσθαι (Χρυσός. εἰς Πράξ. Ὁμιλ. ε). «Σύνηθες ἡμῖν τὰ πρόσωπα σφραγίζεσθαι τῇ τοῦ *Χριστοῦ σφραγῖδι*» (Εὐσέϐ. Εὐαγ. Ἀποδ. Θ. σελ. 280).

Ἄλλα παραδείγματα παραλείπομεν τοῖς εὐσεϐέσιν ἐξηγηταῖς τῶν θείων γραφῶν. Ἐκεῖνο δὲ πάντως οὐ σιωπήσομεν· ὅτι καὶ αὐτοὶ οἱ τῶν Ο πολέμιοι, καί τοι ζητοῦντες ὑπεκφυγὰς καὶ δια-

---

αἱ περιφράσεις αὗται, καὶ ὅτι τὸ β ί α, καὶ ἴ ς κτλ. πρὸς τὰ κύρια ὀνόματα συνάπτονται, τιμῆς χάριν (οἷά, φασι, καὶ οἱ τίτλοι τῆς συνηθείας, ἡ γ ε ν ν α ι ό τ η ς τοῦ Ἡρακλέους, κτλ.). Πλὴν ἀλλ' ἐν ταῖς τοιαύταις δὴ ταῖς κατ' αὐτὸν κοινοτάταις (**vulgatissimis**) φράσεσιν εὗρε ποῦ ποτε (παρὰ τοῖς ἀρχαίοις καὶ σ η μ ε ῖ ό ν τ ι ν ο ς ὡς ἐπίθετον, ἢ ἀντ' αὐτοῦ τ ο ῦ σ η μ α ι ν ο μ έ ν ο υ; ἢ μήπως καὶ τὸ (φερ' εἰπεῖν) «σημεῖα ν η ῶ ν», καὶ τὸ «σ η μ ε ῖ ο ν τ ο ῦ π ο θ ο υ μ έ ν ο υ λαϐεῖν» (Εὐριπ.) ἐξήγησε τὰς ν ῆ α ς αὐτὰς, καὶ τὸν σ η μ ε ι ώ δ η π ο θ ο ύ μ ε ν ο ν α ὐ τ ό ν; Παράδοξος τεχνολογία γραμματικῆς κριτικῆς! Τὰς ἰδιότητας τοῦ προσώπου (ὡς τὸ β ί η Ἡ ρ α κ λ έ ο υ ς, κτλ.) ταυτίζει πρὸς τὰ ἔξωθεν κτητικῶς ἀναφερόμενα εἰς τὸ πρόσωπον (οἷον τὰ σ η μ ε ῖ ο ν, ἔ ρ γ ο ν, κ τ ῆ μ ά τ ι ν ο ς). Ἀλλὰ συγγνωστέος ὁ κλεινὸς Ὀμϐέργικος, εἴ γε φιλολογικῶς καὶ ἐξηγητικῶς παραϐάλλων φράσεις ἑλληνικὰς, πρὸς τὰς τῆς Καινῆς Διαθήκης, διαστρέφει ταύτας ἐνίοτε πρὸς τὰς ἰδίας αὐτοῦ δοξασίας, ὁποῖα καὶ εἰς ἄλλα δογματικώτερα τεχνεύεται, τὸ οἰκεῖον ἔργον ποιῶν. Ἔχει δὲ ὅμως ἐν τούτοις καὶ πολλὰς καλὰς παρατηρήσεις, ἐν αἷς καὶ τοῦ παντόλμου Βέζα τὴν φενάκην λούει καὶ κτενίζει περιφραδέστατα. Τὴν δὲ Ἑ λ λ η ν ο λ ε ξ ί α ν (!) τοῦ Βεχνήρου (**Wechneri, Hellenolexia Lib. 2, c. 8**), ὅπου καὶ αὐτὸς σύμφωνα τῷ Ὀμϐεργίκῳ, καὶ πρέποντα τῇ καλῇ τοῦ συγγράμματος ἐπιγραφῇ διαλαμϐάνει π ε ρ ὶ τ ο ῦ σ η μ ε ί ο υ, παραλείπομεν. Οὗτοι καὶ Σκλευσίνερον ἠπάτησαν, ὅστις εἶπε καὶ αὐτὸς, ὅτι ἐν τῷ «τ ό τ ε φ α ν ή σ ε τ α ι τ ὸ σ η μ ε ῖ ο ν τ ο ῦ υ ἱ ο ῦ τ ο ῦ ἀ ν θ ρ ώ π ο υ», πλεοναστατικῶς τίθεται τὸ σ η μ ε ῖ ο ν· ἐςι γὰρ ταὐτὸ καὶ ὁ υ ἱ ὸ ς τ ο ῦ ἀ ν θ ρ ώ π ο υ! καὶ φέρει πρὸς ἀπόδειξιν τὸ ἐφεξῆς ἑπόμενον παρὰ τῷ Εὐαγγελιστῇ «κ α ὶ ὄ ψ ο ν τ α ι τ ὸ ν υ ἱ ὸ ν τ ο ῦ ἀ ν θ ρ ώ π ο υ» (**Schleusn. Lex. N. Test· v.** Σημεῖον). Ὡς ἂν εἴπερ οὐκ ἂν δύναιτο φανῆναι πρῶτον τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, προηγούμενον αὐτοῦ! Ἀλλ' οὕτως ὁ κριτικὸς λεξικογράφος ἠδύνατο καὶ τ ὸ σ η μ ε ῖ ο ν Ἰ ω ν ᾶ τ ο ῦ π ρ ο φ ή τ ο υ ἐξηγῆσαι α ὐ τ ὸ ν τ ὸ ν Ἰ ω ν ᾶ ν κτλ. ἐπελάθετο δὲ καὶ ὡς διώρθου μικρὸν ἀνωτέρω τὰ Σουϊκήρεια. Οὕτω «φαύλη δόκησις, ἐν λόγοις οὐκ ἀσφαλής».

δύσεις, ἀλλ᾽ ὅμως ὡμολόγησαν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐχρήσατο πολλάκις ταῖς ἰδίαις τῶν Ο λέξεσιν (οὐ ταῖς ἑβραϊκαῖς) πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας (βλ. ἐφεξῆς κεφ. ε. §. ιζ). Καὶ μάτην ἄρα πάλιν τὸν σοφώτατον Οὐόσσιον ἔψεξαν, εἰπόντα συντόμως ἅμα καὶ λίαν ὀρθῶς, ὅτι, «Εἰ μὴ καὶ ἄλλαι δείξεις ὑπῆρχον, ὅτι κατὰ θείαν ἔμπνευσιν οἱ Ο μεθηρμήνευσαν, ἤρκει πρὸς τοῦτο καὶ μόνη τῶν πραγμάτων ἡ ἔκβασις, τὰ μάλιστα συμφωνοῦσα τῇ ἑρμηνείᾳ». καὶ ταῦτα μὲν τὰ ἐσωτερικὰ γνωρίσματα τοῦ θείου κύρους τῆς ἑρμηνείας. Ἴδωμεν δὲ καὶ τὰς ἔξωθεν ἀποδείξεις.

Θ) Βεβαιοῖ τὸ κῦρος τῆς ἑρμηνείας καὶ αὐτῶν τῶν ἑρμηνευτῶν τὸ ἀξιόπιστον σέβας. Καθότι καὶ δίκαιοι, καὶ τὸ ἦθος σώφρονες ἱστοροῦνται, καὶ περὶ τὰς θείας Γραφὰς ἐγγεγυμνασμένοι (Ἀριστέας σελ. 15), καὶ (προστίθησιν ὁ θεῖος Χρυσόστομος) πάσης ὑποψίας ἀπηλλαγμένοι, ὡς πρὸ τῆς Χριστοῦ παρουσίας εἰς τὴν ἑρμηνείαν ἐλθόντες. «Διὸ καὶ *διὰ τὸν χρόνον*, καὶ *διὰ τὸ πλῆθος*» (ὄντες 70), καὶ *διὰ τὴν συμφωνίαν*» (μεθ᾽ ἧς ἡρμήνευσαν, ὁμοφώνως πρὸς ἀλλήλους τὰς βίβλους ἐξελληνίσαντες· βλ. ὄπισθ. Βιβλ. Β. σελ. 380) *πιστεύεσθαι ἄξιοι*» (Ὁμιλ. ε. εἰς Ματθ.). Καὶ φαίνονται λοιπὸν καὶ οἱ Ο παρόμοιοι τοῖς παλαιοῖς ἐκείνοις «*υἱοῖς τῶν προφητῶν*» (ὄπισθ. σελ. 53), οἵτινες τοῖς πνευματικοῖς αὐτῶν πατράσι, καὶ διδασκάλοις συζῶντες, καὶ τῶν θείων παρ᾽ αὐτοῖς ἐμφορούμενοι λογίων, ἠξιοῦντο καὶ αὐτοὶ θεόθεν προφητικῆς χάριτος. Οὕτω πως καὶ οὗτοι οἱ νεώτεροι *υἱοὶ* καὶ ἑρμηνεῖς *τῶν προφητῶν* θείας ἔτυχον ἐπιπνοίας, εἰς ἣν ἐκλήθησαν παρὰ Θεοῦ κυρίαν καὶ ἀπλανῆ μετάφρασιν τῶν πατροπαραδότων Γραφῶν· ὡσανεὶ καὶ ζώντων ἔτι καὶ προφητευόντων τῶν διδασκάλων αὐτήκοοι γινόμενοι, καὶ θεοφορούμενοι, ἐν ᾧ μετέγραφον ἑλληνιστὶ τοὺς ἱεροὺς ἐκείνων χρησμούς (α).

(α) Τοιοῦτό τι καὶ Κλάριος ὁμολογεῖ λέγων· ὅτι παρὰ τοῖς ἀρχαίοις ὑπῆρχον καὶ προφῆται (κατὰ τοὺς υἱοὺς τῶν προφητῶν), οἵτινες ὑπὸ τοῖς πρεσβυτέροις προφήταις, ὡς ὑπὸ διδασκάλοις, παιδευόμενοι, καὶ πνεύματος ἁγίου ἐνεργείᾳ φωτιζόμενοι τὰς ψυχὰς, αὐτοί τε κατενόουν ὀρθῶς, καὶ τοῖς ἄλλοις διηρμήνευον τὰς προφητικὰς Γραφάς. Clarius annot. εἰς Ματθ. ϛ, 23.

1) Πιστοποιεῖ τὸ κῦρος τῆς ἑρμηνείας καὶ ἡ πάντων τῶν, ἀφ' οὗ συνεγράφη, μακρῶν αἰώνων διηνεκὴς καὶ ἀδιάλειπτος μαρτυρία. Καὶ πρῶτον παρίτω σύμπαν τὸ τῶν Ἰουδαίων ἔθνος, μετὰ πάσης τῆς ἀπὸ τῶν χρόνων τοῦ ἀρχιερέως Ἐλεαζάρου (ἐφ' οὗ οἱ Ο μεθηρμήνευσαν) μέχρι καὶ τῆς καταστροφῆς τοῦ ναοῦ διαρκεσάσης καὶ συγκαταστραφείσης Συναγωγῆς. Δι' ὅλων τετρακοσίων τούτων ἐτῶν πολυάριθμοι μυριάδες τῶν ἁπανταχοῦ τῆς οἰκουμένης διεσπαρμένων, καὶ κατ' αὐτὴν τὴν Ἱερουσαλὴμ κατοικούντων ἑλληνιστῶν ἰουδαίων τὴν ἑρμηνείαν τῶν Ο καὶ δημοσίως καὶ ἰδίως ἀνεγίνωσκον, ὡς κυρίαν ἴσα τῷ πρωτοτύπῳ, καὶ θεόπνευστον Γραφὴν (συνομολογούντων καὶ τῶν ἐν τῇ Παλαιστίνῃ, καί που τῆς ἄνω Ἀσίας, τῷ ἑβραϊκῷ πρωτοτύπῳ χρωμένων). Τοῦτ' αὐτὸ ἐποίουν κατὰ τόπους καὶ μετὰ τὴν ἐσχάτην διασπορὰν μέχρι καὶ τοῦ Ϛ, αἰῶνος μ. Χ. (ἐπὶ Ἰουστινιανοῦ). Καὶ πάλιν οἱ κατὰ τὸν α, αἰῶνα μ. Χ. ἐπισημότατοι συγγραφεῖς αὐτῶν (Φίλων καὶ Ἰώσηπος), καὶ οἱ μετ' αὐτοὺς ἐπελθόντες ἐχθροὶ τοῦ χριστιανισμοῦ, οἷον οἱ Ταλμουδισαὶ καὶ ἄλλοι ῥαβδεῖς (ὡς ὀψόμεθα ἐν τοῖς ἑξῆς κεφ. ε. §. ιβ) διεκήρυξαν λαμπρῶς τὸ θεῖον κῦρος τῶν Ο· καὶ τούτων ἡ μαρτυρία μένει ἀνεξάλειπτος ἐν τοῖς ἀποσωθεῖσι συγγράμμασιν αὐτῶν, ἀσιγήτως λαλοῦσα, μέχρις ἂν *βροτοὶ γαίης καρπὸν ἔδωνται*. β) Μαρτυροῦσι καὶ τῶν ἐθνικῶν Ἑλλήνων οὐ μόνον οἱ καλούμενοι *θεοσεβεῖς*, ἢ *σεβόμενοι*, καὶ *εὐλαβεῖς* (οἷος ἦν καὶ ὁ πολὺς *Ἀριστέας* ἐκεῖνος), ἀλλὰ καὶ Δημήτριος ὁ Φαληρεὺς μετὰ τοῦ Φιλαδέλφου, σεβασάμενος ὡς θείας τὰς Γραφὰς, καὶ οἱ συνετῶς φιλοσοφοῦντες (ὡς ὁ Νουμήνιος, καὶ Λογγῖνος ὁ πάνυ, καὶ ὁ Χαλκίδιος), οἵτινες ἀνεγίνωσκον τὴν ἑρμηνείαν τῶν Ο, ὡς ἱερὰν παρ' Ἰουδαίοις, καὶ Θεοῦ γραφὴν πεπιστευμένην (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 154, 157, 161). γ) Προσαρίθμει καὶ αὐτοὺς τοὺς κατὰ τὸν β, καὶ γ, αἰῶνα φιλοσόφους, οἷον τὸν Ἐπικούρειον Κέλσον, καὶ τοὺς Νεοπλατωνικοὺς, τὸν Ἰάμβλιχον, τὸν Πορφύριον, τὸν ἀποστάτην Ἰουλιανὸν, μετὰ τῶν ἄλλων τῶν οἰμωξάντων καὶ εἰς αἰῶνας οἰμωξομένων υἱῶν τοῦ σκότους. Οὗτοι γὰρ, ἐν οἷς διέβαλον τοὺς χριστιανοὺς ὡς

ταὐτὰ τοῖς Ἰουδαίοις κατὰ τὰς παρὰ τούτοις ἱερὰς γραφὰς πεπιστευκότας, δι' αὐτῶν τούτων ἐμαρτύρουν τὴν παλαιὰν Γραφὴν ὡς κυρίαν καὶ θεόπνευστον παρὰ τοῖς χριστιανοῖς ἀποδεδεγμένην (καθ' ἣν δηλονότι ἐξ ἀρχῆς παραλαβόντες ἀνεγίνωσκον ἑρμηνείαν τῶν Ο). Ὅθεν καὶ Ὠριγένης πρὸς Κέλσον ἀπαντᾷ, ὅτι «τὰ μὲν βιβλία θείῳ *γεγράφθαι* πνεύματι ὁμολογοῦμεν ἀμφότεροι» (ἰουδαῖοι καὶ χριστιανοί), «περὶ δὲ τῆς ἐκδοχῆς τῶν ἐν τοῖς βιβλίοις, οὐκέτι τὰ ὅμοιά φαμεν· οἵ γε οὐδὲ βιοῦμεν ὡς ἰουδαῖοι» κτλ. (κατὰ Κελσ. ε. 60).

ΙΑ) Πᾶσα ἡ Ἀποστολικὴ, ἡ μία, ἡ ἁγία καὶ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία ὁμολογεῖ καὶ διακηρύττει εἰς αἰῶνας αἰώνων τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο. Ταύτην αὐτῇ παρέδωκαν οἱ Ἀπόστολοι, καὶ κατ' αὐτὴν ἐδίδασκον τοὺς χριστιανοὺς οἱ ἐκκλησιαστικοὶ *Προφῆται* (οἱ τὸ δῶρον τῆς προφητικῆς προγνώσεως λαμβάνοντες χριστοκήρυκες. βλ. Α. Κορ. ιβ, 28, 29: ιδ. 3, 29: Πράξ. ιγ, 1 κτλ.). Ταύτην ἀνεγίνωσκον ὡς λόγους Θεοῦ πάντες οἱ τῶν Ἀποστόλων διάδοχοι καὶ διδάσκαλοι τῆς Ἐκκλησίας, πᾶσαι αἱ τοπικαὶ καὶ οἰκουμενικαὶ θεοσύλλεκτοι Σύνοδοι, χοροὶ κατὰ πόλεις ὁσίων, χοροὶ καρποφορούντων ἐν ἐρημίαις ἀσκητῶν, χοροὶ θεοστέπτων μαρτύρων, βαψάντων τοῖς ἰδίοις αἵμασι τὴν πορφύραν τῆς Ἐκκλησίας. Ἐκ ταύτης τῆς ἑρμηνείας οἱ ἅγιοι προφέροντες τὰς θείας ῥήσεις, ἱερούργουν τὸ Εὐαγγέλιον, κατήχουν τοὺς ἀμυήτους, ἐμυσταγώγουν τοὺς λαοὺς ἐν ταῖς ἱεραῖς τῶν μυστηρίων τελεταῖς, ἐξεφώνουν τὰς ἱλαστηρίους αὐτῶν προσευχὰς, ἐξήγουν καὶ ὑπεμνημάτιζον τὰς Γραφὰς, ἐφύτευον πανταχοῦ τὰ τρόπαια τῆς εὐσεβείας. Κατὰ ταύτην τὴν ἑρμηνείαν πληροφορούμενοι περὶ ἧς *ἐλάλησαν οἱ προφῆται σωτηρίας*, τῆς *ἐν Χριστῷ φανερωθείσης*, μυρίους ὑπέστησαν ἄθλους, οἱ κατόπιν τῶν Ἀποστόλων, καὶ αὐτοὶ «*ὡς πρόβατα ἐν μέσῳ λύκων*» ἀποσταλέντες, ὁμολογηταὶ τῆς πίστεως, καὶ στεφανῖται ἀθληταί. Τίς ἂν ποτε σῶας ἔχων τὰς φρένας πιστεύσειεν, ὅτι τοσαῦται μὲν μυριάδες ἀνδρῶν συνετῶν, καὶ πολλάκις περιφανῶν ἐπ' ἀξιώμασι

καὶ σοφίᾳ, τοσαῦτα δὲ πλήθη γυναικῶν, καὶ παρθένων ἁπαλῶν, καὶ νηπίων πολλάκις ἀκάκων, κατὰ δὲ τὴν πνευματικὴν ἡλικίωσιν ἰσχυρῶν, τοσαῦτα, λέγω, νέφη μαρτύρων κατ' Εὐρώπην καὶ Ἀσίαν καὶ Ἀφρικὴν, ἐν ἠπείροις, ἐν νήσοις, διὰ χρόνων μακρῶν, ὑπήνεγκαν στεῤῥῶς καὶ προθύμως καὶ χρόνια βάρη κλοιῶν, καὶ κρυερῶν εἱρκτῶν εὐρώεντα σκότη, καὶ παντοδαπὰς ἀτιμώσεις, ἐξορίας, αἰκίας, ἀφάτους βασάνους, ἀνηκέστους μώλωπας, ἀλγηδόνας φρικτὰς, πᾶσαν στέρησιν καὶ ζημίαν δόξης, κτημάτων, ὑγείας, ὁλομελείας σωματικῆς, αὐτῆς, τέλος, τῆς φίλης ζωῆς, ἓν καὶ μόνον πνέοντες, πρὸς ἓν καὶ μόνον βλέποντες, τὸν ὑπὲρ Χριστοῦ θάνατον, ταῦτα δὴ καὶ τὰ τοιαῦτα πῶς ἂν ὑπέμειναν οἱ μάρτυρες, εἰ μὴ ἦσαν ἅπαντες πεπληροφορημένοι περὶ τῆς ἀληθείας καὶ θειότητος τῶν τε ἀποστολικῶν καὶ προφητικῶν (κατὰ τοὺς Ο) Γραφῶν, καθ' ἃς τὸ μέγα μυστήριον τῆς πίστεως καὶ ἐδιδάχθησαν καὶ ἐδίδασκον, *παρατιθέντες πιστοῖς ἀνθρώποις τὴν καλὴν* τῆς εὐσεβείας *ὁμολογίαν*;

ΙΒ) Τὸ θεῖον κῦρος τῆς ἑρμηνείας ἀποδείκνυσιν ἰδίως καὶ αὐτὴ ἡ εἰς πᾶσαν τὴν οἰκουμένην ἐξ ἀρχῆς τοῦ εὐαγγελικοῦ κηρύγματος μετ' αὐτοῦ τοῦ Εὐαγγελίου θαυμαστὴ διάδοσις καὶ ἐξάπλωσις αὐτῆς. Καὶ ἄλλαι μετὰ Χριστὸν ἑλληνικαὶ γεγόνασιν ἑρμηνεῖαι, ἀλλ' οὐδεμίαν τούτων οὐδαμοῦ τῆς οἰκουμένης ἡ τοῦ Χριστοῦ Ἐκκλησία παραδέξατο ὡς σύστοιχον τοῦ Εὐαγγελίου, πλὴν τῆς τῶν Ο. Αὕτη γέγονε περὶ τὴν ἀνάγνωσιν τῶν προφητῶν ἡ πρώτη τιθηνήτρια καὶ τροφὸς ἁπασῶν τῶν ὑπ' οὐρανὸν συσταθεισῶν Ἐκκλησιῶν. Καὶ κατὰ ταύτην ἐπληροφοροῦντο τὴν ἀσφάλειαν τῆς πίστεως οἱ ἐπὶ τῷ θεμελίῳ τῶν *Ἀποστόλων καὶ Προφητῶν* ἐποικοδομούμενοι λαοί. Οὐδ' ἔστιν οὐδὲν τῶν κατὰ τὸν τετραπέρατον κόσμον ἐξ ἀρχῆς πεπιστευκότων, καὶ μικρῶν καὶ μεγάλων καὶ νῦν ἤδη καθ' ἡμᾶς ἐπισημοτάτων ἐθνῶν, ὅπερ οὐκ ἐθήλασεν ἐκ τῆς ἑρμηνείας τῶν Ο τὸ πρῶτον ἄδολον γάλα τῶν θείων προφητειῶν. Καὶ ὅμως τὴν τοιαύτην τῆς ἑρμηνείας παγκόσμιον καὶ θεοβράβευτον δόξαν (ἣν οὐκ ἂν ἀρνήσαιτο οὐδ' αὐτὸς ὁ τοῦ ψεύ-

δους καὶ τῆς σοφιστείας πατὴρ) οἱ μέν τινες τῶν νεωτέρων σοφῶν οὐδ' ἐμνημόνευσαν ὅλως, οἱ δὲ μόλις ἡμικλείστοις χείλεσι, καὶ οἷον ὑπὸ τοῖς ὀδοῦσι τονθορύζοντες ἀνέφερον, τοσοῦτο μόνον εἰπόντες· ὅτι «πολὺν καρπὸν προσήνεγκε τῇ Ἐκκλησίᾳ ἡ ἑρμηνεία τῶν Ο»! (ἐλ. ὄπισθ. σελ. 63). Ἀλλ' ἐξέφρασαν ἄλλοι πολλοὶ παρὰ τοὺς τοιούτους πιςότεροι (ὅσῳ καὶ τοῖς πράγμασιν ἐγγύτεροι καὶ συμφωνότεροι) τὴν πάγκαρπον καὶ πάντροφον ἀξίαν τῆς ἑρμηνείας· « Οἷά τις ἡλίου βολὴ (φησὶν ὁ τῆς Ἐκκλησιαστικῆς ἱστορίας πατὴρ) τὴν σύμπασαν οἰκουμένην ὁ σωτήριος κατηύγαζε λόγος· αὐτίκα, *ταῖς θείαις ἑπομένως Γραφαῖς ἐπὶ πᾶσαν* προῄει *τὴν γῆν ὁ φθόγγος* τῶν θεσπεσίων εὐαγγελιστῶν τε αὐτοῦ καὶ ἀποστόλων, καὶ εἰς *τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν*. Καὶ δῆτα ἀνὰ πάσας πόλεις τε καὶ κώμας, πληθυούσης ἅλωνος δίκην, *μυρίανδροι καὶ παμπληθεῖς* ἀθρόως ἐκκλησίαι συνεστήκεσαν» κτλ. (Εὐσέβ. Ἐκκλ. ἱστορ. Β, γ. 1).

ΙΓ) Τὸ θεῖον κῦρος τῆς ἑρμηνείας ἀποδείκνυσιν ἡ διηνεκὴς αὐτῆς διαμονὴ καὶ συντήρησις ἀπὸ πάσης ἐπιβούλου διαφθορᾶς. Ὡς ἄγριοι θῆρες, ὡς κλέπται νυκτοχαρεῖς, καὶ ἰουδαῖοι καὶ ἐθνικοὶ καὶ ψευδόχριστοι αἱρετικοί, ἀπὸ τοῦ β, μετὰ Χ. αἰῶνος καὶ ἐφεξῆς, δι' αἰώνων μακρῶν ἐπέπεσαν κατ' αὐτῆς. Πᾶσαι αἱ πύλαι τοῦ Ἅδου ἀνεῳχθεῖσαι, μυρίους καὶ ἰσχυροὺς ἀδιαλείπτως ἐξηρεύγοντο πολεμίους, οἵτινες, ὡς ἐξ ἑνὸς συνθήματος, καὶ λόγοις καὶ συγγράμμασι, καὶ δόλῳ καὶ βίᾳ, πάντων τῶν πρὸς ἀφανισμὸν καὶ φθορὰν αὐτῆς συμβαλλόντων ἐπειρῶντο. Καὶ ὅμως μάτην ἐκοπίασαν· «*Τὸ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα*». Πόσας μυριάδας βιβλίων ἐνδοξοτάτων τῆς ἀρχαιότητος συγγραφέων, καὶ νεωτέρων καὶ παλαιτέρων τῶν Ο, ὁ μακρὸς κατεβρόχθισε χρόνος! μόλις ὀλίγων τινῶν ἐξ αὐτῶν μόνα τὰ ὀνόματα διεσώθησαν, ἔστι δ' ὧν καὶ λείψανά τινα καὶ ἀποσπάσματα βραχέα πολλάκις καὶ ἀμαυρά, ὡς ἡμισαπεῖς ναυαγίου σανίδες, διαφυγόντα τῆς ἀπωλείας τὸν βυθόν. Ὅλων τῶν ἀρχαίων μετὰ Χ. ἑλληνικῶν ἑρμηνειῶν ὀλίγαι λακίδες ἀπέμειναν, ἢ καὶ λέξεις μόνον, εἰς μαρτύριον αὐτῶν. Αὐτὸς ὁ ἱερώτατος κῶδηξ τῶν πρῶτον τοῖς *Ἑβραίοις πιστευθέντων λογίων*,

τοῦ Θεοῦ πόσην ἔπαθεν ἔπειτα μεταβολὴν, *ἀφ' οὗ ἤρθη ἡ βασιλεία τῆς θείας γνώσεως ἀπὸ τῆς ἀπίστου* καὶ μοιχαλίδος Συναγωγῆς τῶν σταυρωτῶν, εἴδομεν ἐν τοῖς προηγηθεῖσιν. Εἰς μόνην τὴν ἑρμηνείαν τῶν Ο διεσώθησαν ἄχραντοι καὶ ἀκέραιοι οἱ χρησμοὶ τῶν προφητῶν, πιστῆς ἔτι μενούσης τῆς Συναγωγῆς μετοχετευθέντες, καὶ συνημμένως μετὰ τοῦ Εὐαγγελίου τῆς αἰωνίου βασιλείας εἰς αἰῶνας παγιωθέντες. Οὕτως ἠγάπησε καὶ ἐκύρωσε καὶ ἐστήριξε τὴν ἑρμηνείαν ἡ πανάγαθος Πρόνοια, ἥτις «*ἐν γραφαῖς ἁγίαις*» (τῇ τε κατὰ τοὺς Ο, Παλαιᾷ, καὶ τῇ Καινῇ τῶν Ἀποστόλων) «δέδωκεν οἰκοδομὴν *πάσαις ταῖς Χριστοῦ Ἐκκλησίαις*» (Ὠριγέν. π. Ἀφρικαν. §. δ).

ΙΔ) Τελευταῖον (εἴτις χρεία καὶ ταύτης τῆς ἀποδείξεως). Καὶ τῶν ἑτεροδόξων αἱ Ἐκκλησίαι καὶ μέχρι σήμερον ὁμολογοῦσι τὸ θεῖον κῦρος τῶν Ο. Ἥ τε γὰρ Δυτικὴ Ἐκκλησία ἐν ἁπάσαις ταῖς συγγραφαῖς τοῦ ἁγιωτάτου θιάσου τῶν ἀρχαίων αὐτοῖς ποιμένων καὶ διδασκάλων (οἷον Κλήμεντος, Κυπριανοῦ, Ἱλαρίου, Αὐγουστίνου, καὶ ἄλλων. κἀκείνου τοῦ γηραιοῦ Τερτυλλιανοῦ), καὶ ἐν αὐτῇ δὲ *πολλάκις* τῇ κατ' αὐτὴν αὐθεντικῇ Βουλγάτᾳ, τὴν ἑρμηνείαν ἀναγινώσκει τῶν Ο, καὶ ἐκ ταύτης πορίζεται πολλάκις δογματικὰς τῆς πίστεως ἀποδείξεις. Ὡσαύτως καὶ αἱ Ἐκκλησίαι τῶν τῇ ἑβραΐδι Γραφῇ προσκειμένων Διαμαρτυρητῶν κατὰ τὴν ἑρμηνείαν τῶν Ο τὸ θεῖον ἀναγινώσκουσι Εὐαγγέλιον ἔν τε ταῖς ἐμπεριεχομέναις ῥήσεσι τῶν προφητῶν, κἀν ταῖς φράσεσι πολλάκις ταῖς αὐταῖς. Ὁμολογοῦσι δὲ καὶ ὅτι χωρὶς τῶν Ο, οὐκ ἂν ἐξηγηθεῖεν πάμπολλα τῆς Καινῆς Διαθήκης χωρία καὶ ἰδιωτισμοί. Ἀλλὰ τὸ περὶ τούτων πλείω τῶν προειρημένων λέγειν, ὀχληρόν. Ἄλλο δέ τι κρίνομεν προσθετέον.

ΙΕ) Αὐτὸ τὸ περὶ τῆς καθόλου καὶ καθ' ἕκαστα μέρη θεοπνευστίας ὅλων *ἐν γένει* τῶν θείων Γραφῶν ὁμολογούμενον δόγμα τῆς εὐσεβείας συνεισάγει πάντως καὶ τὸ θεόπνευστον ὅλης τῆς ἑρμηνείας τῶν Ο. Ἐπειδὴ γὰρ ἐξ αὐτῆς οἱ θεῖοι Ἀπόστολοι ἠρύσαντο πολλὰς μὲν ῥήσεις προφητικὰς (ἐν αἷς τὸ καθ' ἡμᾶς ἑβραϊκὸν δια-

φέρει, ἢ παντάπασι σιγᾷ), πολλὰς δὲ καὶ λέξεων σημασίας ἰδιαζούσας, καὶ φράσεις ὁλοκλήρους καὶ περικοπὰς (ὡς ὡμολόγηται καὶ παρ' αὐτοῖς τοῖς νεωτέροις σοφοῖς), αἱ δ' αὐταὶ καὶ καθ' ἡμᾶς ἀναγινώσκονται (καὶ δι' αἰῶνος ἀναγνωσθήσονται) ἔν τε τῇ καινῇ Διαθήκῃ κἂν τῇ τῶν Ο ἑρμηνείᾳ, ὅταν ἀπὸ ταύτης ἀφαιρεθῇ τὸ θεόπνευστον (θεωρηθείσης ὡς ἀθειάστου, καὶ κοινῆς, καὶ τὰ πλεῖστα διεφθαρμένης, οἵαν αὐτὴν ἡ ὑπέροφρυς ἀπεφήνατο κριτική), οὐκέτι λοιπὸν οὐδ' αὐτῶν τῶν Ἀποστολικῶν συγγραφῶν τὸ θεόπνευστον μένει βέβαιον καθόλου, καὶ πάγιον, καὶ πάντῃ πάντως ἄθικτον καὶ ἀνεπιχείρητον, οὐδὲ τῶν ἐπαγομένων προφητικῶν μαρτυριῶν ἄχραντος ἐν πᾶσιν ἡ ἀσφάλεια καὶ πληροφορία. Οὐδὲ γὰρ τῶν ἐκ τῆς βιωτικῆς καὶ σαρκίνης σοφίας ἐνδόξων συγγραφῶν, ὅταν τις τεθῇ διεσκευασμένη, καὶ φέρουσα παρενεσπαρμένας δι' ὅλου τοῦ ὕφους ῥήσεις καὶ γνώμας, ἢ μαρτυρίας ὀθνείας καὶ ψευδεῖς, οὐδὲ ταύτης τῆς συγγραφῆς ἡ αὐθεντία δύναται στῆναι ἔμπεδος καὶ ἀπαράτρωτος. Πολλῷ δὲ μᾶλλον ἐπὶ τῶν θείων Γραφῶν ἀκηλίδωτος καὶ ἀδίστακτος καὶ ἀνυπεύθυνος ἀπαιτεῖται ἡ κυριότης· ὅσῳ γὰρ ἀμέτρητος αὐτῶν ἡ μεγαλειότης (τί γάρ εἰσιν ἕτερον, εἰ μὴ *ῥήματα ζωῆς αἰωνίου*, καὶ θησαυρὸς «βάθους *πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ;*»), τοσούτῳ παράτοπον καὶ κινδυνῶδες ἀποβαίνει πᾶν τὸ καὶ σμικρῷ καθαπτόμενον τῆς ἀψευδεστάτης αὐτῶν ἀληθείας, ὡς ἂν τρίμμα κόνεως ἁπτόμενον κόρης ὀφθαλμοῦ. Πολλαὶ γὰρ ἐκ τούτου τοῖς ἐχθροῖς τῆς ἀμωμήτου Πίστεως ἀνοίγονται θύραι, φέρουσαι πρὸς ποικίλας ἀμφιβολίας, καὶ ἀντιῤῥήσεις, καὶ δόξας ἀντιστρατευομένας ἀπ' εὐθείας πρὸς τὴν ἀποκαλυφθεῖσαν *γνῶσιν τῆς αἰωνίου σωτηρίας* ἡμῶν. Καὶ τότε συμβήσεται πάντως ὅ,τι πρὸς τὸν μακάριον Ἱερώνυμον ἔγραφεν οὐχ ἧττον σοφῶς, ἢ ἀληθῶς, ὁ θεῖος Αὐγουστῖνος, λέγων· «Ὅταν περὶ τὴν τοσαύτην ὑπεροχὴν τῆς (τῶν Γραφῶν) αὐθεντίας ἕν τι ψεῦδος ἅπαξ συγχωρηθῇ, οὐδὲν ἔπειτα τῶν βιβλίων ἐκείνων λελείψεται μόριον, ὅπερ οὐ φανήσεται ὁπωσδήποτε ἢ περὶ τὰ ἤθη δυσχερὲς, ἢ περὶ τὴν πίστιν ἀπιστητόν» (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 37).

§. ζ. Ταύτην τυρεύοντες τὴν ἐπιβουλὴν κατὰ τῶν θείων Γραφῶν, ἀνεφάνησαν περὶ τὰ μέσα τοῦ παρελθόντος αἰῶνος οἱ περὶ τὸν Τοίλνερον καὶ Σεμίλερον (α), οἵτινες ἀνέκριναν ἰταμῶς τὸ περὶ τῆς θεοπνευστίας τῶν Γραφῶν πρεσβευόμενον δόγμα. Τούτων δ' ἐφεξῆς προσαπεδύσαντο καὶ ἄλλοι πρὸς τὸν ἄθλιον τοῦτον ἀγῶνα, φιλοτιμότερον κονισθέντες· ἕως, τέλος, ἀπηρνήσαντο παντάπασι τῶν θείων Γραφῶν τὸ θεόπνευστον. Καὶ νῦν ἤδη καθ' ἡμᾶς οἱ πλεῖστοι δὴ καὶ περιλάλητοι τῶν κριτικῶν χρῶνται ταῖς θείαις Γραφαῖς, ὡς συγγράμμασιν ἀνθρωπίνοις· οἱ δέ τινες, αἰσχυντηλότεροι δῆθεν, κατὰ τοῦτο καὶ μόνον θεῖον αὐταῖς ἀπονέμουσι κῦρος, καθ' ὅσον περιέχουσι θεοπρεπεῖς τινας (ὡς λέγουσιν) ἀληθείας, μηδὲν ἄλλως φροντίζοντες, εἰ καὶ συνεγράφησαν ἐπιπνοίᾳ καὶ ἐπιλάμψει τοῦ παναγίου Πνεύματος. Μετροῦσι γὰρ οἱ ἄνδρες τὴν θειότητα τῶν τοῦ Πνεύματος λογίων τῇ σχοίνῳ τῆς ἑαυτῶν κριτικῆς· καὶ καθ' ἣν ἐξ αὐτῆς λαμβάνουσιν ἀποκάλυψιν, ἀποφθέγγονται, θεσπιῳδοῦντες καὶ ψηφίζοντες ἀποφαντικῶς, ὁπόσον καὶ ὁποῖον τὸ θεῖον ἐν ταύταις δὴ ταῖς ἄλλως ἀνθρωπίναις (ὡς λέγουσι) συγγραφαῖς. Εἰσὶ δὲ καὶ οὗτοι μηδὲν τῶν ἄλλων διαφέροντες, τῶν ἀπαρακαλύπτῳ τῇ κεφαλῇ πᾶσαν τὴν θειότητα τῶν Γραφῶν ἀθετούντων (εἰμή τι καὶ δολιώτεροι, χαριζόμενοι μικρὸν, ὅπως λάθωσι κλέπτοντες τὸ ὅλον). Πάντες υἱοὶ γνήσιοι καὶ κληρονόμοι Σίμωνος, καὶ Κέρδωνος, καὶ Μαρκίωνος, καὶ εἴ τινος ἄλλου τῶν τὴν θειότητα τῶν Γραφῶν ὁπωσδήποτ' ἀρνησαμένων δυσωνύμων ἐκείνων αἱρετικῶν (β). «*Ἄνθρωποι ψυχικοὶ*, καὶ σαρκόφρονες, *μὴ δεχόμενοι τὰ τοῦ πνεύματος τοῦ Θεοῦ*» (Α. Κορ. β, 14). Καὶ τούτων μὲν τὰς λιπαρὰς καὶ γαύρους δοξασίας ὁρῶμεν μετὰ σοβαροῦ βαδίσματος χωρούσας κατ' εὐθεῖαν εἰς τὸ στυγερὸν ἐκεῖνο πολυάνδριον, ὅπου κεῖνται τὰ σκελετὰ τῶν ὑπὸ τῆς *μωρίας τοῦ κηρύγ-*

(α) Toellner, Untersuchung der göttlichen Eingebung der heil. Schrift. Mitau, 1772.— Semlers' Untersuchung des Kanon. 1771—1772.

(β) Βλ. Ἐπιφαν. Αἱρέσ. κα, μα, μβ: Χρυσόστ. Ὁμιλ. λα, εἰς Ῥωμ.; August. de Hæres. c. 1— Θεοδώρ. Αἱρετ. μυθ. Α, δ; Φώτ. Ἀναγ. ρσδ, κτλ.

ματος κεραυνωθέντων ἀρχόντων καὶ διδασκάλων τῆς σαρκικῆς σοφίας τοῦ αἰῶνος τούτου (Α. Κορ. β, 6: Β. Κορ. α, 12). Οἱ δὲ προσκυνοῦντες τὸν εἰπόντα, «*Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου;*» (Ἡσαΐ. ξς, 2), *καὶ* πιστεύοντες *εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν*, κατασπάζονται σεβόμενοι μετὰ τῆς ὀρθοδόξου Ἐκκλησίας, ὡς θεόπνευστον, καὶ ἣν αὐτῇ παρέδωκαν οἱ Ἀπόστολοι ἑρμηνείαν τῶν Ο, συνημμένην καὶ σύμφυτον τῷ Εὐαγγελίῳ. Καὶ εἴπερ οἱ ἑρμηνεῖς οὐκ ἦσαν προφῆται (καθὰ βούλεται πάντως ἡ ἀκριβολογία), ἦσαν ὅμως ὑπὸ τοῦ προφητικοῦ πνεύματος ὁδηγούμενοι, καὶ φωτιζόμενοι περὶ τὴν ἑρμηνείαν, ὡς ὑπὸ τῆς θείας βουλῆς προωρισμένοι· «*ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει*» (Ψαλμ. λϐ, 11). *καὶ ἀμεταμέλητα τὰ χαρίσματα αὐτοῦ*» (Ῥωμ. ια, 29). « Ἀλλὰ (λέγουσι) τῶν κατὰ τὴν Ἑβραΐδα φωνὴν θεοχρήστων λογίων εἰς ἑτέραν γλῶσσαν μετάφρασις πῶς ἂν γένοιτο καὶ κατὰ λέξιν θεόπνευστος; Ὡς γέγονεν (ἀπαντῶμεν), καὶ πεπίστευται ἀδιστάκτως θεόπνευστος καὶ θεόχρηστος ἡ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, ἑβραϊστὶ τὸ πρῶτον (κατὰ τὴν γνώμην τῶν ἀρχαίων) συγγραφέντος, εἰς τὴν ἑλληνικὴν φωνὴν ἑρμηνεία· ὡσαύτως καὶ ἡ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς, ἑβραϊστὶ πάντως συγγραφείσης ὑπὸ τοῦ θείου Παύλου, καὶ ὑπὸ τοῦ Κλήμεντος, ἢ ἄλλου τινὸς ἀνδρὸς ἀποστολικοῦ ἐξελληνισθείσης (α). Ἔπειτα καὶ ἄλλως, οἱ τοιοῦτοι βαθεῖς συζητηταὶ καὶ γνῶσται τῶν Γραφῶν εἰς μάτην σφαδάζουσι, σχετλιάζοντες κατὰ τοῦ θεοπνεύστου τῆς ἑρμηνείας τῶν Ο! μὴ γὰρ εὑρίσκουσιν αὐτὴν ἀναξίαν τῆς τοῦ θείου Πνεύματος δωρεᾶς; Καὶ πῶς τις ἂν εἴποι τοῦτο, δίκαια φρονῶν; Τὸν ἀρχιτέκτονα τῆς Νομικῆς σκηνῆς Βεσελεὴλ «*ἐνέπλησεν ὁ Θεὸς πνεῦμα θεῖον σοφίας*

(α) Εὐσεϐ. Ἐκ. ἱς· Γ. 24, 36, 38: Ε. 10, 5, 25. Ἀθανάσ. Συνόψ.: Hieronym. Comm. in Matth. praef.; de viris illustrib. c. 3.: Philastrius, Haer. c. 79. ϐλ. καὶ Schmid, Hist. antiq. p. 431, 660.— Horne, An Introduction etc. vol. 4. p. 262, 407.

καὶ συνέσεως καὶ ἐπιστήμης πάντων». Ὡσαύτως καὶ τοὺς σοφοὺς τῇ διανοίᾳ τεχνίτας τῆς ἱερᾶς στολῆς τοῦ Ἀαρὼν *ἐνέπλησε πνεύματος σοφίας καὶ αἰσθήσεως* (Ἐξοδ. λα, 3: λε, 31: κη, 3. πρβλ. καὶ Βιβλ. Β. σελ. 936)· τί μὴ μᾶλλον ἐχαρίτωσε καὶ οὓς ἐξελέξατο πρώτους ἀρχιτέκτονας τῆς ἀσυγκρίτως τιμιωτέρας ἑρμηνείας τῶν προφητικῶν χρησμῶν, ἐξ ἧς ἔμελλε συμπήγνυσθαι ἡ τῆς σκηνῆς ἀντίτυπος καὶ ἀκατάλυτος Ἐκκλησία τοῦ Χριστοῦ, καὶ μεθ' ἧς συνεξυφάνθη ἡ θεοΰφαντος καὶ παναγία πορφύρα τῶν Ἀποστολικῶν συγγραφῶν; (« Στολὴ δέ τις ὑπάρχει τοῦ νοήματος καὶ ἡ λέξις, ὡς ἡ ἐσθὴς περὶ τὸ σῶμα,» ὁ ἱερός φησι Κλήμης). Πάλιν «*Διὰ τοῦ Θεοῦ διεσάφει τὰ ἐνύπνια ὁ Ἰωσήφ· εἶχε γὰρ πνεῦμα Θεοῦ ἐν αὐτῷ*» (Γενέσ. μ, 8: μα, 38). Πολλῷ μᾶλλον ἔμελλεν ἐν ταῖς ψυχαῖς τῶν Ο θείου πνεύμαπος ἔλλαμψις ἐναυγάζειν, οὐ πρὸς τελεσφόρων ὀνείρων ἐξήγησιν, ἀλλὰ πρὸς διασάφησιν θεοπνεύστων λογίων, προφητευόντων τὴν σωτηρίαν τοῦ σύμπαντος κόσμου. «*Ἀφεῖλε* Κύριος *ἀπὸ τοῦ πνεύματος* τοῦ ἐν τῷ Μωϋσῇ (ὡς εἴ τις ἀνάψοι φῶς ἀπὸ λαμπάδος καιομένης, καὶ μηδόλως ἐκ τούτου περὶ τὴν φαῦσιν ἐλαττουμένης), «καὶ ἐπέθηκεν ἐπὶ τοὺς Ο, πρεσβυτέρους (τοὺς μέλλοντας αὐτῷ συνεργεῖν εἰς τὴν οἰκονομίαν τοῦ λαοῦ), «καὶ προεφήτευσαν». Καὶ ἐπὶ τοὺς δύω δὲ (τοὺς ἀπομείναντας ἐν τῇ παρεμβολῇ) πρεσβυτέρους, τὸν Ἐλδὰδ καὶ τὸν Μωδάδ, «*ἐπανεπαύσατο τὸ πνεῦμα, καὶ ἐπροφήτευον*» (Ἀριθμ. ια, 17—26). Ὡσαύτως καὶ ἀπὸ τοῦ πνεύματος τῶν θείων προφητῶν, τοῦ ζῶντος ἐν πάσαις ταῖς εἰσέτι τότε ἀκεραίοις αὐτῶν συγγραφαῖς, *ἀφεῖλε Κύριος*, καὶ ἐπέθηκεν ἐπὶ τοὺς Ο, ἑρμηνευτὰς, καὶ συμπροεφήτευσαν καὶ οὗτοι, τὰς αὐτὰς φωνὰς ἑλληνιστὶ ἐπαναλαβόντες, δι' ὧν ἔμελλον συνεργήσειν τοῖς Ἀποστόλοις εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου. «*Πνεύματος συνέσεως ἐπλήσθη Ἰησοῦς ὁ τοῦ Ναυῆ*» (Δευτ. λδ, 9). Καὶ ἐπὶ τοὺς Κριτὰς (τὸν Γοθονιὴλ, τὸν Γεδεὼν, τὸν Ἰεφθάε) «*ἐγένετο πνεῦμα Κυρίου*», ἐνισχύον αὐτοὺς πρὸς ὁδηγίαν καὶ σωτηρίαν τοῦ Ἰσραηλιτικοῦ λαοῦ. Καὶ μετὰ Σαμψὼν *πνεῦμα Κυρίου* συνεπορεύετο (Κριτ. γ, 10, ϛ, 27, 34: ιγ, 25). Ὅτι δὲ

καὶ «ἐπὶ Σαοὺλ *ἐφήλατο* (πρὸς ὥραν) *πνεῦμα Θεοῦ, καὶ προεφήτευσε*» (Α. Βασιλ. ι, 10), τοῦτο δὴ καὶ ἔκτοτε πεπαροιμίασται παρὰ τοῖς εἰποῦσι «Καὶ Σαοὺλ ἐν προφήταις» (αὐτόθ. πρβ. καὶ ιθ, 24). Καὶ αὐτοὶ δὲ οἱ τοῦ Σαοὺλ ἄγγελοι (δορυφόροι), οὓς ἀπέστειλε συλλαβεῖν τὸν Δαυῒδ, τρὶς ἀπεστάλησαν, καὶ τρὶς προεφήτευσαν (α). Τί γοῦν θαυμαστὸν, εἰ καὶ τοὺς Ο πνεῦμα Θεοῦ καθωδήγει, συμπορευόμενον αὐτοῖς, καὶ χειραγωγοῦν, καὶ φωτίζον πρὸς ἀσφαλῆ καὶ ἀῤῥέμβαστον τελεσιουργίαν τῆς εἰς ἣν ὡρίσθησαν θείας βουλῆς; Τελευταῖον (ἵνα καὶ πλησιεστέροις χρησώμεθα παραδείγμασι), καθὼς ὁ προφήτης Βαροὺχ, ὑπαγορεύοντος αὐτῷ τοῦ Ἱερεμίου *ἀπὸ στόματος* τοὺς λόγους τῆς ἀπειλητικῆς αὐτοῦ προφητείας (Ἱερεμ. μγ, 4—32), ἔγραφε τούτους *προφητικῶς*, ὁδηγούμενος οὐ μόνον (ὥς τινες εἶπον) ὑπὸ τῆς φωνῆς καὶ τῆς ὄψεως αὐτοῦ τοῦ Ἱερεμίου πρὸς τὴν ἀπλανῆ τῶν θεοπνεύστων ῥημάτων γραφὴν (β), ἀλλὰ καὶ αὐτὸς ὑπὸ τοῦ πνεύματος ἐλλαμπόμενος, πρός τε τὴν ἀκριβῆ τῶν γραφομένων κατανόησιν, καὶ πρὸς θαῤῥαλαίαν αὐτῶν ἀνάγνωσιν ἐνώπιον τοῦ λαοῦ καὶ τῶν ἀρχόντων (μγ, 10—15)· παρομοίως καὶ οἱ Ο, τοὺς τῶν προφητῶν μεταγράφοντες λόγους, ὡδηγοῦντο ὑπὸ τοῦ πνεύματος πρὸς τὴν ἀκριβῆ

(α) « Καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους » (εἰς Ῥαμᾶ) «λαβεῖν τὸν Δαυῒδ,-καὶ ἐλθόντες εἶδον τὴν Ἐκκλησίαν τῶν προφητῶν τῶν προφητευόντων, καὶ Σαμουὴλ εἱστήκει καθεστηκὼς ἐπ' αὐτῶν· καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέλους Σαοὺλ πνεῦμα Θεοῦ, καὶ προφητεύουσι.— Καὶ ἀπέστειλεν ἀγγέλους ἑτέρους, καὶ προεφήτευσαν καὶ αὐτοί. Καὶ προσέθετο.- ἀποστεῖλαι ἀγγέλους τρίτους, καὶ προεφήτευσαν καὶ αὐτοί ». κτλ. (Α. Βασιλ. ιθ, 20—24). Οὕτω καὶ Ἰώσηπος (Ἀρχ. ς, ια. §. 5). Ἐν τούτοις σημειοῦμεν ἐν παρόδῳ, ὅτι τῶν νεωτέρων κριτικῶν οὐκ ὀλίγοι (βλ. Schulz Schol. in V.Test. vol. 2. p. 334). ταύτην τὴν Ἐκκλησίαν τῶν προφητῶν ἐξέλαβον ἀντὶ τοῦ ἀκαδημίαν. (ὅθεν καὶ Σχολὰς προφητικὰς εἰσάγουσιν ἀπὸ τοῦ Σαμουὴλ καὶ ἐφεξῆς, οἷον Ἀκαδημιάρχου τούτου γενομένου περὶ τὸ προφητεύειν! ὡς ἂν εἰ καὶ ἡ προφητεία ἔχρηζεν ἰδίας διδασκαλίας!). Ἀλλ' ὁ Ἰώσηπος «Προφητῶν Ἐκκλησίαν» ἔγραψε καὶ αὐτὸς (δηλονότι σύναξιν, συνάθροισιν), οὐδ' ἠπίστατο τὴν Ἀκαδημίαν ταύτην τῆς Ῥαμᾶ! καὶ ὁ Σύρος ὁμοίως (βλ. καὶ Ὀκτάτευχ. τ. β. σελ. 414).

(β) Βλ. Carpzov. Critic. Sacr. p. 50.

κατάληψιν καὶ προφητικὴν μεταγλώττισιν αὐτῶν. Καὶ ἔσχον ἄρα καὶ αὐτοὶ τὸ πνεῦμα τῆς διακρίσεως τῶν ὀρθῶν καὶ γνησίων ἐννοιῶν, ἀποφεύγοντες πάντα νόθον καὶ τῶν ἱερῶν συγγραφῶν ἀλλότριον λογισμὸν, ὡς καὶ οἱ παλαιοὶ διδάσκαλοι τῆς Συναγωγῆς, οἵτινες θείῳ πνεύματι ἀγόμενοι, διέκρινον τὰς γνησίας βίβλους τῶν θείων προφητῶν ἀπὸ τῶν μὴ τοιούτων (α). Καὶ πάλιν, ὡς ὁ θεοφορούμενος Ἔσδρας συναγαγὼν, καὶ διακρίνας, καὶ διορθώσας τὰς προφητικὰς Γραφὰς, μετεγραμμάτισεν αὐτὰς ἀπὸ τῶν Μωσαϊκῶν εἰς τὰ χαλδαῖα καὶ συνήθη γράμματα, γνησίως ἐν πᾶσι καὶ ἀσφαλῶς τά τε στοιχεῖα, καὶ τὰς λέξεις, καὶ ὅλον τὸ εἶδος τῆς γραφῆς μεταβαλὼν (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 26)· ὡσαύτως καὶ οἱ Ο μετεγλώττισαν τὰς Γραφὰς τῶν προφητῶν ἀπτώτως καὶ γνησίως καὶ ἀκριβῶς, ὑπὸ τοῦ θείου πνεύματος ἐλλαμπόμενοι. Τούτῳ τῷ παραδείγματι καὶ ὁ θεῖος Εἰρηναῖος ἐχρήσατο πρὸς ἀπόδειξιν τοῦ θεοπνεύστου τῆς ἑρμηνείας, ὡς ὀψόμεθα ἐν τοῖς ἑπομένοις (κεφ. ε).

Ἀλλ' οἱ σοφοὶ Κριτικοὶ τὴν μὲν στίξιν τῶν μισοχρίστων Μασοριτῶν θεόπνευστον πιστεύουσι, καὶ τεθήπασι· τὴν δ' ἑρμηνείαν τῶν Ο, ἀθείαστον παντάπασιν ἐθέλουσι, καὶ βέβηλον, καὶ ἀκράτως ἀνθρωπικὴν, προβαλλόμενοι σύμμαχον τὴν Ἱερωνύμου γνώμην. Ἀλλ' ὁ μακάριος Ἱερώνυμος (ἐν οἷς, ἔςιν ὅτε, ἀνθρώπινα πάσχων, μετέβαλλε τὰς ὑγιεῖς αὐτοῦ περὶ τῶν Ο κρίσεις εἰς ἐπισφαλεστέρας) εἶπε μὲν τοὺς Ο ἁπλοῦς ἑρμηνεῖς (διὸ καὶ ἐπισφαλεῖς), οὐ *προφήτας* (προφητικῶς δηλονότι καὶ θεοπνεύστως κατωρθωκότας τὴν ἑρμηνείαν), ἀλλ' ὅμως αὐτὸς οὗτος πάλιν ὁ πατὴρ, ἀξίως ἑαυτοῦ συμφρονήσας, πλήρεις πνεύματος ἁγίου διακήρυξε τοὺς αὐτοὺς (ὡς προείπομεν σελ. 56). Ἐν δὲ τῇ κατ' αὐτὸν λατινικῇ ἑρμηνείᾳ, θεωρῶν τὰς διαφωνίας τὰς μεταξὺ τῶν Ο (πρὸς οὓς πολλάκις ἀπέκλινεν, ἀντιγράφων

(α) « Παρ' Ἑβραίοις τὸ παλαιὸν οὐ τοῦ πλήθους ἦν τὸ κρίνειν τοὺς ἐκ θείου πνεύματος προφερομένους (ἴσ. λείπει λόγους), καὶ τὰς ἐνθέους ᾠδάς· ἀλλ' ἦσαν βραχεῖς καὶ σπάνιοι, μέτοχοι καὶ αὐτοὶ θείου πνεύματος διακριτικοῦ τῶν λεγομένων, οἷς καὶ μόνοις ἐξῆν ἐγκρίνειν, καὶ δὴ [καὶ] ἀφιεροῦν τὰς τῶν προφητῶν βίβλους, τὰς δὲ τῶν μὴ τοιούτων ἀποδοκιμάζειν ». Εὐσέβ. Εὐαγ. Προπ. ΙΒ, κβ, σελ. 350.

αὐτολεξεί), καὶ τοῦ κατ᾽αὐτὸν ἑβραϊκοῦ (ᾧ κατηκολούθησεν, ὡς μὴ ὤφειλε, καὶ ἐν οἷς οὐκ ἔδει), ἐπεκαλεῖτο τὸ πανάγιον Πνεῦμα πρὸς ἐξομάλυνσιν τῶν δυσχερειῶν. «Ἀείποτε γὰρ (ἔλεγε) πρὸς ἑρμηνείαν τῶν ἁγίων Γραφῶν, τῆς τοῦ Πνεύματος χρήζομεν ἐπελεύσεως» (α). Πῶς οὖν ὁ πατὴρ, οὗπερ αὐτὸς ἔχρῃζεν, οὐ καὶ τοῖς Ο μετεδίδου; Ἀλλ᾽, ὡς ἔοικεν, ἐζηλοτύπησέ πως καὶ αὐτὸς ὑπὲρ τῆς θεοπνευστίας τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ, καθὰ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ τιμητικῶς ἐζήλωσεν ὑπὲρ τοῦ καθηγεμόνος αὐτοῦ Μωσέως, ἐξαίρετον καὶ ἰδιάζον εἰς μόνον αὐτὸν βουλόμενος μένειν τὸ γέρας τῆς προφητείας. Ὡς γὰρ ἤκουσε τὸν Ἐλδὰδ καὶ Μωδὰδ προφητεύοντας ἐν τῇ παρεμβολῇ, εἶπε πρὸς τὸν Μωϋσῆν· «*Κύριε Μωϋσῆ, κώλυσον αὐτούς*». Ἀλλ᾽ ὁ μέγας καὶ θειότατος Προφήτης ἐπετίμησε πρᾴως τὸν ἄκαιρον τοῦ ἐκλεκτοῦ θεράποντος ζῆλον, εἰπὼν πρὸς αὐτὸν ἐκεῖνα τὰ πάγκαλα καὶ ἀφθονώτατα λόγια· «*Μὴ ζηλοῖς σύ μοι; Καὶ τίς δῴη πάντα τὸν λαὸν Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ πνεῦμα αὐτοῦ ἐπ᾽ αὐτούς;*». (Ἀριθ. ια, 28—29). Καὶ ἐπληρώθη μὲν αὕτη τοῦ ἀφθόνου προφήτου ἡ εὐχὴ κατὰ τὸν καιρὸν αὐτῆς· ἡ δὲ πραΰθυμος τῶν ῥημάτων καταστολὴ φαίνεταί πως ἐπιπρέπουσα καὶ τῇ ζέσει τοῦ μακαρίου Ἱερωνύμου, ὅςις καὶ αὐτὸς ἐπειράθη κωλῦσαι τῆς θείας ἐπιπνοίας τοὺς αὐτοῦ τε τοῦ Μωσέως καὶ τῶν λοιπῶν προφητειῶν προφητικοὺς ἑρμηνεῖς, ἐφ᾽ οὓς *δέδωκεν ὁ Κύριος τὸ πνεῦμα αὐτοῦ*. Καί τοι, καθ᾽ ὃν χρόνον ὁ πατὴρ ὑπὲρ *τῆς ἑβραϊκῆς ἀληθείας* ἐζήλου, οὔτε τὸν Μωσῆν οὐκέτι τέλειον εἶχεν ἐν αὐτῇ καὶ ἀκραιφνῆ, οὔτε τοὺς λοιποὺς προφήτας. Διὸ καὶ πολλάκις ἐπιλανθανόμενος τοῦ ζηλώματος, ἀνέτρεχεν ἀκούσων τοῦ Μωσέως καὶ τῶν προφητῶν παρὰ τοῖς Ο. Τοῦτ᾽ αὐτὸ ποιοῦσι καὶ οἱ νεώτεροι κριτικοί. Αὐτὸς Ὅδιος, ὁ τοσούτους ὑπὲρ τοῦ ἑβραϊκοῦ πόνους ἀνατλὰς, καὶ τοὺς Ο καταψέξας, οὐκ ἀφίσταται πάλιν ἀπ᾽ αὐτῶν, ἀλλὰ καὶ σέβεται καὶ περιφρονεῖ, *καὶ φιλεῖ μὲν, ἐχθαίρει δὲ, βούλεται δ᾽ ἔχειν* (β). Καὶ

(α) S. Hieron. Comm. in Mich. c. 1. 11. — (β) Βλ. τὸν De Bibl. Text. πρόλογον αὐτοῦ (Lectori).

πάντες δὲ τῶν ἑβραϊστῶν οἱ δικαιότεροι καὶ σοφώτεροι τοῖς Ο συγχρωτίζονται. Κατ' αὐτοὺς ἐν πολλοῖς διορθοῦσι τὰς ἐκ τοῦ νῦν ἑβραϊκοῦ μεθηρμηνευμένας αὐτῶν Γραφάς. Αὐτοὺς ὁμολογοῦσιν ἀναγκαιοτάτους πρὸς ἀκριβῆ κατανόησιν τοῦ κειμένου. Αὐτῶν τὰς ῥήσεις ἐν τῇ Καινῇ Διαθήκῃ (ὡς θεοπνεύστους πάντως) ἀναγινώσκουσι, καὶ ταύταις χρῶνται καὶ προσευχόμενοι καὶ τελετουργοῦντες. Ταύτας κρίνουσιν ἀξιοπίστους καὶ πρὸς ἐπιβεβαίωσιν τοῦ κύρους τῶν παρὰ τοῖς Ἀποστόλοις προφητικῶν μαρτυριῶν (α). Ὅτι δὲ κοινή τις καὶ ἀκύρωτος καὶ ὅλως ἀθείαστος γραφικὴ μαρτυρία οὐκ ἂν γένοιτο οὐδαμῇ οὐδαμῶς ἀποδεκτὴ πρὸς ἐπισφράγισιν τοῦ κύρους τῶν ἀποστολικῶν ῥητῶν, ἂν μὴ καὶ αὐτὴ πάντως θεόπνευστος ὁμολογηθῇ, φανερόν. Ἀλλὰ κἂν ταῖς ἰδίαις αὐτῶν μελέταις, καὶ ὅταν σχολιάζωσι τὰς γραφὰς, καὶ ἐν οἷς ἐκδίδουσι πολλάκις, καὶ πολλάκις ἐν τοῖς κατ' αὐτοὺς σχολίοις ἀντιγράφουσι θείοις πατράσι, τὴν ἁγίαν καὶ μελιχρὰν ἀγαπῶσι καὶ τεθήπασι γῆρυν, τὴν *οὐδὲν ἀλγύνουσαν ὄπα* τῶν Ο. Καὶ ἀκούεται καὶ εἰς τὴν γῆν αὐτῶν ἐκ διαλειμμάτων τῆς ἑλληνικῆς προφητείας ὁ φθόγγος, «*ὡς ἐαρινῆς τρυγόνος φωνὴ*» (Ἆσμ. β), ὡς ἀπήχημα «*φωνῆς ἀγαλλιάσεως* μακρόθεν *ἑορταζόντων*» (Ψαλμ. μα.). Ἕως ἄν ποτε, τῆς ἄνωθεν σοφίας ἐπινευσάσης, ἐξηχήσῃ πάλιν παρ' αὐτοῖς, καθὰ καὶ τὸ πάλαι, λαμπρὰ καὶ ἰσχυρὰ καὶ ἐξάκουστος, ὡς οὐρανοπετὴς καὶ θεόφθεγκτος, ὁποία διὰ παντὸς πληροῖ καὶ καταγλαΐζει τὴν ὀρθόδοξον Ἐκκλησίαν. «*Φωνὴ Κυρίου ἐν ἰσχύϊ· φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ· φωνὴ Κυρίου συντρίβοντος κέδρους, συσσείοντος ἔρημον, καταρτιζομένη ἐλάφους·-καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν*».

(α) « Ad authoritatem testimoriorum Apostolicorum confirmandam » (Pearson παρὰ Hody l. c.).

ΚΕΦΑΛΑΙΟΝ Δ.

Περὶ τοῦ κύρους τῶν ἐκτὸς τοῦ ἑβραϊκοῦ κανόνος κεκανονισμένων ἐν τῇ Ἐκκλησίᾳ βιβλίων τῆς Παλαιᾶς Διαθήκης.

§. α. Δύω πρὸς τοῖς εἴκοσι (κατὰ τὸν ἀριθμὸν τῶν κβ γραμμάτων τοῦ ἑβραϊκοῦ ἀλφαβήτου) ἀνέκαθεν ἠριθμοῦντο παρ' Ἑβραίοις τὰ ἐν τῷ Ἐσδραίῳ κανόνι τεταγμένα ἱερὰ βιβλία τῆς Γραφῆς. Εἰσὶ δὲ τὰ ἑξῆς, ὡς Ὠριγένης κατὰ τοὺς Ἑβραίους ἀριθμεῖ. 1) Γένεσις. 2) Ἔξοδος. 3) Λευϊτικόν. 4) Ἀριθμοί. 5) Δευτερονόμιον (αὕτη ἡ Πεντάτευχος). 6) Ἰησοῦς υἱὸς Ναυῆ. 7) Κριταὶ (καὶ) Ῥοὺθ, ἐν ἑνὶ (βιβλίῳ). 8) Βασιλειῶν πρώτη, δευτέρα, ἐν ἑνί. 9) Βασιλειῶν τρίτη, τετάρτη, ἐν ἑνί. 10) Παραλειπομένων πρώτη, δευτέρα, ἐν ἑνί. 11) Ἔσδρας α, καὶ β, ἐν ἑνί. 12) βίβλος Ψαλμῶν. 13) Σολομῶντος Παροιμίαι. 14) Ἐκκλησιαστής. 15) Ἆσμα ᾀσμάτων. 16) Οἱ δώδεκα προφῆται ἐν ἑνὶ (α). 17) Ἡσαΐας. 18) Ἱερεμίας σὺν τοῖς Θρήνοις, καὶ τῇ ἐπιστολῇ, ἐν ἑνί. 19) Δανιήλ. 20) Ἰεζεκιήλ. 21) Ἰώβ. 22) Ἐσθήρ (β).

(α) Ἐκ τοῦ καταλόγου τοῦ Ὠριγένους λείπει τὸ οἱ δώδεκα προφῆται, ἐκπεσὸν, προσετέθη δὲ παρ' ἄλλων ἐκ τῶν καταλόγων τοῦ Ἀποστολικοῦ κανόνος, τοῦ Μ. Ἀθανασίου, Ἱλαρίου, κτλ.

(β) Ὠριγέν. τόμ. β. σελ. 529. καὶ παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. ς, 25. ἐκδ. Zimmerman. (πρβλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 676). Τῶν κατὰ τὸν Ἐσδραῖον κανόνα θείων βιβλίων ἀπαρίθμησις γίνεται καὶ ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς. Ἐν μὲν γὰρ Βιβ. Α. κεφ. ς, (ὅπου παραγγέλλονται οἱ πιστοὶ τῶν ἐθνικῶν ἀπέχεσθαι βιβλίων) ἀριθμοῦνται συνοπτικῶς καὶ ἐν παρόδῳ· διαιρουμένων γὰρ ὅλων ἐν γένει τῶν ἱερῶν τευχῶν εἰς ἱστορικὰ, σοφιστικὰ (τουτ. σοφίζοντα, νουθετικὰ, ἢ παραινετικὰ), ᾀσματικὰ, νόμιμα, καὶ περὶ ἀρχαιογονίας, ὀνομάζονται μόνον (χάριν παραδείγματος) αἱ Βασίλειοι (βίβλοι), οἱ Προφῆται, καὶ ὁ Ἰὼβ, οἱ Ψαλμοὶ, ὁ Παροιμιαστὴς, καὶ ἡ Γένεσις μετὰ τοῦ Νόμου. Ἐν δὲ Βιβλ. Β, κεφ. νζ (ὅπου διατάσσονται τὰ ἐπ' Ἐκκλησίας ἐν ταῖς ἱεραῖς τελεταῖς ἀναγινωσκόμενα), πάντα σχεδὸν (πλὴν τῆς Ἐσθὴρ) καὶ σαφέστερον ἀριθμοῦνται. Τὰ Μωσέως καὶ Ἰησοῦ τοῦ Ναυῆ, τὰ τῶν Κριτῶν καὶ τῶν Βασιλειῶν, τὰ τῶν Παραλειπομένων καὶ τὰ τῆς Ἐπανόδου (Ἔσδρας), τὰ τοῦ Ἰὼβ, καὶ τοῦ Σολομῶντος, καὶ τὰ τῶν ἑκκαίδεκα Προφητῶν, καὶ οἱ τοῦ Δαβὶδ ὕμνοι (βλ. Coteler. PP. Apost. T. 1. p. 204, 262). Παρὰ δὲ τῷ Ἰωσήπῳ τὰ μὲν ὀνόματα σιωπῶνται, διορίζεται

§. β. Μελίτων δὲ ὁ Σάρδεων ἐπίσκοπος, Ὠριγένους ἀρχαιότερος (τῷ 170 μ. Χ.), ἁπλῶς καὶ χωρίς τινος συζυγίας καταλέγει τοῦ Ἑσδραίου κανόνος τὰ τεύχη, γράφων οὑτωσί. «Μωϋσέως πέντε (βιβλία), Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον. Ἰησοῦς Ναυῆ. Κριταί. Ῥούθ. Βασιλειῶν τέσσαρα. Παραλειπομένων δύω. Ψαλμῶν Δαβὶδ (βιβλίον). Σολομῶνος παροιμίαι, ἣ καὶ *Σοφία*. Ἐκκλησιαστής. Ἆσμα ᾀσμάτων. Ἰώβ. Προφητῶν, Ἠσαΐου. Ἱερεμίου. Τῶν Δώδεκα, ἐν μονοβίβλῳ. Δανιήλ. Ἰεζεκιήλ. Ἔσδρας». (παρ' Εὐσεβ. Ἐκκλ. Ἱσ. Δ. κϛ.). Ἐνταῦθα λείπει ἡ *Ἐσθήρ*. Καὶ οἱ μέν τινες τῶν Κριτικῶν ἐνόμισαν, ὅτι ἐξέπεσε τὸ ὄνομα γεγραμμένον μετὰ τὸ Ἔσδρας, εὐκόλως ὡς ὁμοιογράμματον ἐκρυέν (α). Ἄλλοι δὲ πάλιν, ὅτι ὁ Μελίτων ἔγραψε τὸν κατάλογον ἀπὸ κώδηκος τινῶν

δὲ τὸ εἶδος καὶ ὁ ἀριθμός. Δύω γὰρ πρὸς τοῖς εἴκοσι τὰ ἱερὰ βιβλία καὶ Ἰώσηπος ἀριθμεῖ, διαιρῶν εἰς τρεῖς τάξεις, π έ ν τ ε μὲν τὰ Μωσέως, δ ε κ α τ ρ ί α δὲ τὰ προφητικὰ (ἐν οἷς καὶ τὰ ἱστορικὰ), καὶ π έ ν τ ε τὰ περιέχοντα ὕμνους καὶ ὑποθήκας (Κατὰ Ἀπίων. Α. α. §. 8). Εἰκοσιδύω καὶ Γρηγόριος ὁ Ναζιαζηνὸς, καὶ Ἱερώνυμος (**Prolog. Galeat.**), καὶ ἄλλοι τῶν Πατέρων (περὶ ὧν ἐφεξῆς), καὶ Ἐπιφάνιος (τόμ. β. σελ. 160 καὶ τόμ. α. σελ. 18, 19). Ὁ δ' αὐτὸς καὶ ἁπλῶς ἓν καθ' ἓν ἀριθμῶν τὰ βιβλία, συγκεφαλαιοῖ εἰς ε ἰ κ ο σ ι ε π τ ὰ (κατὰ διάλυσιν τῶν συνδυαζομένων, διαιρουμένης τῆς Ῥοὺθ ἀπὸ τῶν Κριτῶν, καὶ κατὰ σειρὰν ἀριθμουμένων τῶν Δ Βασιλειῶν, καὶ τῶν Β τῶν Παραλειπομένων, καὶ τῶν Β τοῦ Ἔσδρα, ὅθεν προκύπτουσι καὶ ἕτερα πέντε τεύχη, πρὸ τοῖς 22 προστεθειμένιων). Οὕτω καταλέγουσι καὶ ἄλλοι, καὶ πρὸ πάντων ὁ ΠΕ Ἀποστολικὸς κανὼν (βλ. ἐφεξῆς §. δ). Οἱ δὲ πάλιν νεώτεροι ῥαββῖνοι (ἔτι καὶ ἐπὶ Ἱερωνύμου), καὶ 24 ἀριθμοῦσι, διαιροῦντες μόνον τὴν Ῥοὺθ ἀπὸ τῶν Κριτῶν, καὶ τοὺς Θρήνους ἀπὸ τοῦ Ἱερεμίου· καὶ ταύτην τὴν διαίρεσιν ὡς ἀρχικὴν ὑπέλαβε παραδόξως (ὡς εἴωθεν) ὁ Καρψόβιος· ἐξήλεγξε δ' αὐτὸν δικαίως ὁ Σχιμίδιος (**Schmid, Hist. antiq. et vind. Canon. p.222 sqq.**). Ἀλλὰ περὶ τοῦ θράσους τῆς εἰς τὴν διαίρεσιν καὶ διάταξιν τῶν κανονικῶν τευχῶν καινοτομίας τῶν νεωτέρων ῥαββίνων (Ταλμουδιστῶν, Μασοριτῶν, Καββαλιστῶν) διελάβομεν ἐν τοῖς ἔμπροσθεν (Βιβλ. Β. κεφ. ζ. σελ. 428 κτλ.)· διέγραψε δὲ ταύτην καὶ Σχιμίδιος (σελ. 220—226), ἓν μόνον παραλιπών· ὅτι καὶ ἐκ τούτου μαρτυρεῖται ἡ περὶ τὸν κώδηκα τῶν Γραφῶν πάντολμος νεωτεροποιΐα τῶν Ἰουδαίων.

(α) Βλ. **Schmid l. c. p. 152** καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 592. Ἀλλ' ὁ Βρύνσιος ἀντιλέγει δικαίως, κρίνων, ὅτι Μελίτων αὐτὸς παρέλιπε τὴν Ἐσθὴρ, ὡς μὴ κανονικὴν νομιζομένην παρά τισι τῶν κατ' αὐτὸν Ἰουδαίων. **Bruns, not. in Kennicot Diss. gener. p. 178.**

ἑβραίων, οἵπερ οὐκ ἀδιστάκτως τὴν Ἐσθὴρ ἐθεώρουν ὡς βίβλον κανονικήν· (ὡς ῥηθήσεται μετ' ὀλίγον)· οἱ δὲ διατείνονται, ὅτι οὐδ' Ἰώσηπος ἐτίθει τὴν Ἐσθὴρ ἐν τῷ καταλόγῳ (α)· οἱ δὲ περὶ τὸν Εἰχόρνιον, ὅτι καὶ τὸ ὄνομα τῆς Ἐσθὴρ συμπεριείχετο εἰς ἓν μετὰ τοῦ Ἔσδρα (β), πρὸς οὓς οἱ περὶ τὸν Μύνσχερον ἀντιλέγουσιν (γ). Εἰ γάρ, φασιν, ὑπὸ τὸν Ἔσδραν συμπεριλαμβάνετο καὶ ἡ Ἐσθήρ, ὡς καὶ ὁ Νεεμίας, ἐδήλωσεν ἂν τοῦτο ὁ Μελίτων, προσθεὶς τό, ἐν *μονοβίβλῳ*, ὡς ἔγραψε καὶ εἰς τὸ Δωδεκαπρόφητον· (ἐπελάθοντο δὲ ἄρα οἱ σοφοὶ οὗτοι, ὅτι καὶ τὸν Ἱερεμίαν ἁπλῶς ἐξέφερεν ὁ Μελίτων, ὡς καὶ ἄλλοι, συμπεριλαμβάνων καὶ τοὺς Θρήνους, καὶ τὸν Βαροὺχ, καὶ τὴν ἐπιστολήν)· οἱ δὲ περὶ τὸν Ἔρψην καὶ πάνυ ἀδεξίως ἔλυσαν τὸ πρόβλημα τῆς ἐκ τοῦ Μελίτωνος καταλόγου ἐλλείψεως τῆς Ἐσθήρ (δ). Οἱ δὲ, τέλος, περὶ τὸν Ἰάννην (Εἰσαγ. §. 28) καὶ Ἀκκερμᾶνα (Εἰσαγωγ.) κρίνουσιν, ὅτι ἐκ τῆς ἀτελοῦς παρὰ τῷ Μελίτωνι καταγραφῆς ὁρμηθέντες καὶ Γρηγόριος ὁ Ναζιανζηνὸς, καὶ ὁ Μ. Ἀθανάσιος, οὐ συνηρίθμησαν καὶ τὴν Ἐσθὴρ μετὰ τῶν κανονικῶν. Ἀλλ' ἑτέρα

(α) Βλ. Du-Pin, Nouvel. Biblioth. T. 1. p. 48. Ἀλλ' ἕτεροι πάλιν ἀντιλέγουσιν, ἐξάγοντες καὶ τὴν Ἐσθὴρ ἐκ τῶν ἀορίστων λόγων τοῦ Ἰωσήπου (βλ. Haverc. σημ. εἰς Ἰωσήπ. κ. Ἀπίων. α. §. 8. - Schmid. l. c. p. 144, 147).

(β) Eichhorn, Repertorium etc. Bd. 5. p. 274.

(γ) Müncher, Handbuch der christlich. Dogmengeschichte. Marburg. 1797. T. 1. p. 201, 202, καὶ Ackermann, Introductio etc. p. 37.

(δ) «Θέλων, (λέγουσιν οὗτοι), ἀπέβαλεν ὁ Μελίτων τὸ τεῦχος ».- διὰ τί ;- « Διότι (φασὶν) ἔχων ὁ Ἐπίσκοπος μεθ' ἑαυτοῦ τὸν κώδηκα τῶν Ο, καὶ πυνθανόμενος παρὰ τῶν (ἐν Παλαιστίνῃ) Ἰουδαίων καὶ Χριστιανῶν περὶ τῆς ἀξίας ἑκάστου τῶν κανονικῶν βιβλίων, ἐσημείου τὰς κρίσεις. Ὡς δ' ἠρώτησε καὶ περὶ τῆς Ἐσθὴρ, ἐκεῖνοι μὲν ἀπήντησαν, ὅτι τὸ βιβλίον τῆς Ἐσθὴρ (δηλονότι τὸ ἐν τῷ κώδηκι τῶν Ο, τὸ ἔχον τὰς προσθήκας) οὐκ ἐγκρίνεται παρὰ τοῖς Ἰουδαίοις ὡς κανονικόν. Ὁ δὲ Μελίτων (ὑπολαβὼν ὅτι περὶ τοῦ τεύχους ἀορίστως λέγουσι καὶ ὁλοσχερῶς), παρέλιπε τὴν Ἐσθὴρ ἐν τῷ κατ' αὐτὸν καταλόγῳ » (Herbst, Einleit. Bd. 1. p. 13). Πρὸς ταῦτα παράβαλε, ἀναγνῶστα, τὰς προεκτεθείσας ἀποδείξεις τῆς γνησιότητος τῶν λεγομένων τούτων προσθηκῶν τῆς Ἐσθὴρ (ὄπισθ. Βιβλ. Γ. σελ. 590. κτξ.), καὶ πάντως ἀπορήσεις, πῶς καὶ ὁ σοφὸς Ἔρψης ἐπίστευσε τοιούτοις ὀνείροις τῆς κριτικῆς. Οἱ μὲν γὰρ Ἰουδαῖοι καὶ οἱ Χριστιανοὶ (οἷς ὁ Μελίτων συνεβουλεύετο) παριστάνονται ὡς ἄλλοι τινες Λοξίαι, σκοτεινὰ χρησμοδοτοῦντες, καὶ μὴ διακρίνοντες, ποτέραν

τις φαίνεται ἡ αἰτία, δι' ἣν ὅ,τε Μελίτων, καὶ ὁ θεῖος Γρηγόριος παρέλιπον τὴν Ἐσθήρ (α)· ὡσαύτως καὶ ὁ Μ. Ἀθανάσιος (καί τοι τάξας αὐτὴν μετὰ τῶν ἀναγινωσκομένων. βλ. ἐφεξῆς §. ϛ). Ὑπῆν γάρ τις, ὡς ἔοικε, παλαιὰ διαφωνία παρὰ τοῖς Ἰουδαίοις, εἰ τακτέον καὶ τὴν Ἐσθὴρ μετὰ τῶν κβ, κανονικῶν (ἴσως, διότι τὸ ἑβραϊκὸν οὐ περιέχει τὸ ὄνομα τοῦ Θεοῦ, κατὰ τοὺς ῥαββίνους (β). καὶ χωρὶς δὲ τῆς

λέγουσιν Ἐσθὴρ, τὴν ἑβραϊκὴν, ἢ τὴν τῶν Ο. Αὐτὸς δὲ ὁ Μελίτων, ὁ περὶ πάντων ἀκριβῶς ἐξετάσας (ὡς γράφει παρὰ τῷ Εὐσεβίῳ) φαίνεται καὶ λίαν ἀβέλτερος. Ἅμα γὰρ ἀκούσας, ὅτι οἱ Ἰουδαῖοι οὐκ ἐγκρίνουσι τὴν Ἐσθὴρ, οὐδόλως ἐξήτασε καὶ διὰ τί; καὶ ποῖον τεῦχος οἱ λέγοντες ἐννοοῦσιν; ἀλλ' εὐθὺς ἐκβαλὼν ἀπὸ τῆς πήρας ἔῤῥιψε τὸ βιβλίον (ἔφερε γὰρ τὸν κώδηκα τῶν Ο μεθ' ἑαυτοῦ, κατὰ τὸν Ἕρψην, ὡς ἂν εἴπερ οὐχ εὑρίσκετο παρὰ τοῖς ἐν Παλαιστίνῃ ἑλληνισταῖς Ἰουδαίοις, οὐδὲ παρ' αὐτοῖς γοῦν τοῖς χριστιανοῖς ἀντίγραφον τῶν Ο!). Ἂν δὲ πάλιν δῶμεν, ὅτι ὁ Μελίτων ἀπέβαλε τὴν Ἐσθὴρ, ἀκούσας παρὰ τῶν κριτῶν τὸν τετερετισμένον λόγον τῶν προσθηκῶν (ἃς, ἴσως, οὐδ' αὐτοὶ οἱ κατ' αὐτὸν Ἰουδαῖοι τοιαύτας ἐνόμιζον, ὡς μὴ πολὺ τῶν Ἰωσήπου χρόνων ἀφεστηκότες, ὅστις τὰς ὕστερον νομισθείσας ταύτας προσθήκας ἐμνημόνευσεν ὡς γνήσια μέρη τῆς Ἐσθὴρ)· ἀλλὰ τότε ὁ Μελίτων κακὸς ἡμῖν ἀποβήσεται κριτικὸς, ἀποκόψας ὅλον τὸ τεῦχος δι' ὀλίγας προσθήκας (ἃς εὐκόλως ἠδύνατο ἐξελεῖν!), ὡς κακός τις ἰατρὸς, ἀποκόπτων ὅλην τὴν χεῖρα δι' ὀλίγας ἰασίμους παρωνυχίδας.

(α) Ἰδοὺ τοῦ θείου Γρηγορίου ὁ διὰ στίχων κατάλογος τῶν κανονικῶν βίβλων. « Ἱστορικαὶ μὲν ἔασι βίβλοι δυοκαίδεκα πᾶσαι. — Τῆς ἀρχαιοτέρας ἑβραϊκῆς σοφίης. - Πρωτίστη Γένεσις, εἶτ' Ἔξοδος, Λευϊτικόν τε, - Ἔπειτ' Ἀριθμοὶ, εἶτα Δεύτερος νόμος. - Ἔπειτ' Ἰησοῦς, καὶ Κριταὶ, Ῥοὺθ ὀγδόη.- Ἡ δ' ἐνάτη δεκάτη τε βίβλοι, Πράξεις Βασιλήων. - Καὶ Παραλειπομένων. ἔσχατον Ἔσδραν ἔχεις.- Αἱ δὲ στιχηραὶ πέντε, ὧν πρῶτος γ' Ἰώβ,- Ἔπειτα Δαυῒδ, εἶτα τρεῖς Σολομώντειαι.- Ἐκκλησιαστὴς, Ἆσμα, καὶ Παροιμίαι.- Καὶ πένθ' ὁμοίως πνεύματος προφητικοῦ.- Μίαν μὲν εἰσὶν εἰς γραφὴν οἱ Δώδεκα. - Ὠσηὲ, κ' Ἀμὼς, καὶ Μιχαίας ὁ τρίτος. - Ἔπειτ' Ἰωὴλ,- εἶτ' Ἰωνᾶς, Ἀβδίας. - Ναούμ τε, Ἀββακούμ τε, καὶ Σοφονίας.- Ἀγγαῖος, εἶτα Ζαχαρίας [καὶ] Μαλαχίας.- Μία μὲν ἥδε· δευτέρα δ' Ἡσαΐας.- Ἔπειθ' ὁ κληθεὶς Ἱερεμίας ἐκ βρέφους.- Εἶθ' Ἰεζεκιὴλ, καὶ Δανιήλου χάρις.-Ἀρχαίας μὲν ἔθηκα ΔΥΟ ΚΑΙ ΕΙΚΟΣΙ βίβλους,- Τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους » (Γρηγ. Ναζ. τόμ. β. σελ. 98). Ἐν τούτοις σημειωτέον περὶ τοῦ ἀριθμοῦ τῶν ιβ, βίβλων τῶν ἱστορικῶν, ὅτι τὸ ἐννάτη, δεκάτη τε σημαίνει τὰς δύο ζυγὰς τῶν Δ, Βασιλειῶν (ἀνὰ δύω εἰς ἓν βιβλίον, ὡς ἔταξε καὶ Ὠριγένης)· ἐπὶ δὲ τῶν Παραλειπομένων (ἐν ἑνὶ βιβλίῳ) ἐσιώπησεν ὡς ὑπονοούμενον τὸ ἑνδεκάτη· καὶ ἔσχατον (δωδέκατον) εἶπε τὸν Ἔσδραν (καὶ τοῦτον α, καὶ β, ἐν ἑνί).

(β) Βλ. Hotting. Thes. p. 494. Ἀλλὰ παρὰ τοῖς Ο, γέγραπται τὸ Ὄνομα Ἐσθ. ιϛ, ι. κἀν ταῖς λεγομέναις προσθήκαις πολλαχοῦ, α, δ, 17, κτλ.

Ἐσθὴρ, μένουσιν αἱ βίβλοι, κβ, διαιρεθείσης τῆς Ῥοὺθ ἀπὸ τῶν Κριτῶν)· διὸ καὶ οἱ μεταγενέστεροι Ῥαββῖνοι μεταθέντες τὴν Ἐσθὴρ ἀπὸ τῆς τάξεως τῶν παρ' αὐτοῖς προφητικῶν, κατεχώρισαν ἐν οἷς λέγουσιν *ἁγιογράφοις*, ἅτινα τάττουσιν εἰς τὴν ἐσχάτην μοῖραν τῆς κατ' αὐτοὺς τριχοτομίας τῶν κανονικῶν Γραφῶν (α). Κατὰ δὲ τοὺς Ὠριγένους χρόνους εἴδομεν τὸ τεῦχος ἀδιακρίτως κανονιζόμενον· ὅθεν πάλιν ὁ ἱερὸς Ἀμφιλόχιος ἐν τοῖς πρὸς Σέλευκον ἰαμβείοις ἀριθμήσας τὰ κανονικά, προστίθησι καὶ ὅτι « Τούτοις *προσεγκρίνουσι τὴν Ἐσθήρ τινες* » (ἐν Γρηγορίου Ναζιανζην. τόμ. β. σελ. 194). Ὡσαύτως καὶ Ἀθανάσιος ἐν τῇ Συνόψει προσεδήλωσεν εἰπών, ὅτι « τινὲς τῶν παλαιῶν εἰρήκασι κανονίζεσθαι παρ' Ἑβραίοις καὶ τὴν Ἐσθήρ » (τόμ. β. σελ. 63). Ταῦτα περὶ τῶν ἐν τῷ Ἐσδραίῳ κανόνι θεοπνεύστων βιβλίων εἰρήσθω συνοπτικώτερον, καὶ ὅσον εἰς προδιοίκησιν τῶν ῥηθησομένων.

§. γ. Μετὰ τούτων τοίνυν τῶν κατὰ τὸν Ἐσδραῖον κατάλογον κανονικῶν παρὰ τοῖς Ἑβραίοις βιβλίων καὶ ἄλλα τινὰ συνημμένα παρέδωκαν οἱ Ἀπόστολοι τῇ Ἐκκλησίᾳ, καθ' ἃ καὶ ὁ Ἐκκλησιαστικὸς κανὼν διαφέρει τοῦ καθ' Ἑβραίους. Εἰσὶ δὲ ταῦτα πέντε τὸν ἀριθμὸν 1) Τωβίτ. 2) Ἰουδείθ (β). 3) Σοφία Σολομῶντος. 4) Σοφία Σειράχ. 5) τὰ Μακκαβαϊκά. Περὶ τούτων διδάσκουσιν οἱ ἐν ταῖς Συνόδοις καὶ παρὰ τοῖς ἱεροῖς Πατράσι τεθεσπισμένοι κατάλογοι *τοῦ Ἐκκλησιαστικοῦ κανόνος* τῶν θείων Γραφῶν, ὧν τοὺς ἐπισημοτάτους καταγράφομεν.

(α) Τοῦτο καὶ Schmid ὡμολόγησε (l. c. p. 260.), πρώϊμον λέγων ἀναφυεῖσαν τὴν περὶ τούτου ἀμφιβολίαν. «Liber, quem propheticis veteres adnumerarunt (ut Josephus etc.). sed mature in dubium vocatus, aut certe Hagiographis adnumeratus est». Καὶ ὅμως ὅδ' αὐτὸς ὁ Σχιμίδιος (p. 194) ἔψεξε τὸν θεῖον Γρηγόριον, ὅτι ἐπλανήθη, παραλιπὼν τὴν Ἐσθὴρ, ἅτε μὴ εἰδὼς τὰ ἑβραϊκά, προστεθεὶς δὲ πρὸς τὴν δόξαν τῶν κατ' αὐτὸν χριστιανῶν! Ὁμολογεῖ δὲ προσέτι, ὅτι καὶ ὁ παρ' αὐτῷ τιμιώτατος καὶ ἀξιόπιστος Λούθηρος ἤθελε πάντων μάλιστα τῶν ἄλλων βιβλίων τὴν Ἐσθὴρ ἐκ τοῦ κανόνος ἐκβλητέαν! (p 198).

(β) Ἰουδείθ, διὰ τοῦ ει· κώδ. Ἀλεξ. καὶ Ἰουδίθ, διὰ τοῦ ι. Βατικ· ἐν δὲ τῇ Ἄλδου ἐκδόσει καὶ διὰ τοῦ η, ὅπερ ἄηθες.

§. Α) Ὁ ΠΕ, Ἀποστολικὸς κανὼν καταλέγει τὰ θεόπνευστα *βιβλία τῆς παλαιᾶς Διαθήκης* ὡδί. «Ἔστω δὲ ὑμῖν πᾶσι κληρικοῖς καὶ λαϊκοῖς βιβλία σεβάσμια καὶ ἅγια, τῆς μὲν παλαιᾶς Διαθήκης, Μωϋσέως πέντε, Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, καὶ Δευτερονόμιον· Ἰησοῦ τοῦ Ναυῆ, ἕν· τῶν Κριτῶν, ἕν· τῆς Ῥοὺθ, ἕν· Βασιλειῶν, τέσσαρα· Παραλειπομένων, τῆς βίβλου τῶν ἡμερῶν, δύο· Ἔσδρα, δύο· Ἐσθὴρ, ἕν· Ἰουδεὶθ, ἕν· Μακκαβαίων, τρία· Ἰὼβ, ἕν· Ψαλμοὶ ρν· (ἄλλ. ψαλτήριον, ἕν). Σολομῶντος βιβλία τρία, Παροιμίαι, Ἐκκλησιαστὴς, Ἆσμα Ἀσμάτων· Προφῆται δεκαέξ»· [ἐν ἄλλοις, «*Προφητῶν δεκαδύο* (ἄλλ. *δώδεκα*), «ἕν. Ἡσαΐου, ἓν. Ἱερεμίου, ἕν. Ἰεζεκιὴλ, ἕν. Δανιὴλ, ἕν»]. «Ἔξωθεν δὲ ὑμῖν προσιστορείσθω, μανθάνειν ὑμῶν τοὺς νέους τὴν σοφίαν τοῦ πολυμαθοῦς Σειράχ» (α).

(α) Ἐκδ. Coteler. ἐν. Patr. Apost. vol. 1, p. 448. πρβλ. καὶ ἐκδ. Πηδαλίου Καν. Ἀποστ. πε, καὶ τῆς Ἐνετίῃσιν ἐκδ. τῆς τῶν κανόνων Συλλογῆς τόμ. α· σελ. 6, καὶ τὴν Ἰωάννου Ἀντιοχ. Κανόνων Συλλογὴν ἐν τῇ Bibliothec. Juris Canonic. T. 2. P. 601. ἐκδ. Justel. Σημειωτέον δὲ, ὅτι ἐν τῷ Πηδαλίῳ, καὶ τῇ Ἐνετίῃσι Συλλογῇ, λείπει τὸ Ἰ ο υ δ ε ί θ. Καὶ ἐξ ἄλλων δὲ κωδήκων ἔλειπεν, ὡς ἐσημείωσεν ὁ Κοτελέριος (αὐτόθ.), προστιθεὶς καὶ ὅτι, καὶ ἐξ ὧν εἶδεν ὀκτὼ χειρογράφων, ἐν τῇ βασιλικῇ (τῶν Παρισίων) Βιβλιοθήκῃ, ἓν μόνον περιεῖχε τὴν Ἰ ο υ δ ε ὶ θ· οὐ μέν τοι φαῦλον τὸ χειρόγραφον ἦν, ἀλλὰ κόμματος χρηστοῦ καὶ ἐν διφθέραις. Τὸ δ' αὐτὸ χειρόγραφον (προστίθησιν ὁ Κοτελέριος) περιεῖχε καὶ Σ ο λ ο μ ῶ ν τ ο ς β ι β λ ί α Δ (συναριθμουμένης δηλονότι καὶ τῆς Σοφίας μετὰ τῶν ἀνωτέρω τῶν τριῶν τοῦ Σολομῶντος)· ἀλλὰ περὶ μὲν τῆς Σοφίας λέγομεν παρακατίοντες· Ἡ δὲ τῆς Ἰουδεὶθ ἐκ τῶν πλείστων δὴ κωδήκων καὶ ἐκδόσεων ἔλλειψις ἐξασθενίζει μὲν, ἀλλ' οὐκ ἀναιρεῖ παντάπασι τῶν τὴν Ἰουδεὶθ ἐχόντων ὀλίγων ἀντιγράφων τὸ κῦρος καὶ τὴν ἰσχύν. Κατὰ δὲ τὴν Ἰουστέλλου ἔκδοσιν, ἐν μὲν τῷ Ἑλληνικῷ κειμένῳ λείπει καὶ τὸ Ἰουδεὶθ, καὶ τὰ Μακκαβαίων βιβλία γ. ἐν δὲ τῇ Λατινίδι παλαιᾷ μεταφράσει κεῖνται μόνον τὰ Μ α κ κ α β. τ ρ ί α. Καὶ αὐτὸς ὁ Ζωναρᾶς τὰ μὲν γ, τῶν Μακκαβαίων ἀνέγνω, ἀλλ' οὐχὶ καὶ τὸ τῆς Ἰουδεὶθ, ὡς φαίνεται ἐξ ὧν σχολιάζει, λέγων· «τ ι ν ὲ ς δ ὲ τ ῶ ν ἄ λ λ ω ν ἀ π α ρ ι θ μ ή σ ε ω ν» (τῶν ἱερῶν βιβλίων) «παραχωροῦσιν ἀναγινώσκεσθαι πρὸς τοῖς ἐνταῦθα ἀπηριθμημένοις καὶ τὴν Σοφίαν Σολομῶντος, καὶ Ἰ ο υ δ ε ὶ θ, καὶ Τωβίαν» (Ζωναρ. ἐξηγήσ. τῶν ἱερῶν κανόν. σελ. 43. Lutetiæ, 1618· βλ. καὶ ἐφεξῆς §. ζ. σημ). Καὶ φαίνεται λοιπὸν οὐκ ἀπιθάνως, ἡ τοῦ ὀνόματος τῆς Ἰουδεὶθ ἐκ πολλῶν κωδήκων ἔκπτωσις παλαιὰ (ὡς ἐξ ἄλλων ἐξέπεσαν καὶ τὰ παρὰ τῷ Ζωναρᾷ διασωθέντα τῶν Μ α κ κ α β α ί ω ν). Ἔχει τὸ Μακκαβαίων γ, καί τι τῶν Ἀποστολικῶν κανόνων ἀντίγραφον, ἅλις παλαιὸν ἐν μεμβράναις, τοῦ ιγ, αἰῶνος (τῷ 1237), ὅπερ εἴδομεν νεωστὶ ἐν Ἀθήναις·

Ἐν τούτῳ τῷ κανόνι βλέπομεν κατόπιν τῆς Ἐσθὴρ καὶ τὴν Ἰουδεὶθ, καὶ τὰ τρία βιβλία τῶν Μακκαβαίων, παράλληλα τεταγμένα. Οὕτω καὶ ἐν τοῖς ἀρχαιοτάτοις κώδηξι τῶν Ο, οἷον τῷ Ἀλεξανδρινῷ (ἐξ ἄλλων πάντως ἀρχαίων ἀπογράφων περὶ τὰ τέλη τοῦ Δ, αἰῶνος ἀντιγραφέντι), κατόπιν τῆς Ἐσθὴρ τέτακται Τωβίτ, καὶ Ἰουδεὶθ· εἶτα δὲ ὁ Ἔσδρας (ὁ Α καὶ ὁ Β), καὶ ἐφεξῆς τὰ τῶν

λειπει δὲ καὶ ἐκ τούτου τὸ Ἰουδείθ. Ὡσαύτως κεῖνται τὰ Μακκαβαϊκὰ καὶ ἐν τῇ Συριακῇ κἀν τῇ Σλαβονικῇ μεταφράσει τοῦ Πηδαλίου (βλ. τὴν ἑλληνοσλαβονικὴν ἔκδοσιν ἐν Πετρουπόλει, 1839). Ὥστε ὁ κλεινὸς Βευερέγιος Codex Canon. Eccles. prim. vindic. L. II. c. 9) οὐ πάνυ ἀσφαλῶς ἔκρινεν ὑστέρας χειρὸς προσθήκας εἰς τὸν κανόνα οὐ μόνον τὸ βιβλίον τῆς Ἰουδεὶθ, ἀλλὰ καὶ τὰ τῶν Μακκαβαίων, πεισθεὶς εἰς μόνον τὸ ἑλληνικὸν κείμενον τῆς Συνόψεως τοῦ Ἰωάννου Ἀντιοχ. ἐν ᾧ ἡ ἀντιστοιχοῦσα παλαιὰ Λατινικὴ τοῦ κανόνος μετάφρασις ἔχει τὰ Μακκαβαίων (ὡς προείπομεν). Φαίνεται δὲ καὶ ἄλλως ἡ ὑπὸ τοῦ Ἰουστέλλου ταύτης τῆς Συνόψεως ἔκδοσις οὐκ ἐξ ἀκριβῶν κατὰ πάντα χειρογράφων ἐκδεδομένη. Αὐτίκα, ἐν τῷ τέλει τοῦ Κανόνος ἀντὶ τοῦ « μανθάνειν ὑμῶν τοὺς νέους τὴν σοφίαν τοῦ πολυμαθοῦς Σειρὰχ». ὁ δὲ βαρβαρώτερον ἔγραψε καὶ ἀνεστραμμένως « μανθάνειν ὑμῶν τοὺς νέους τοῦ πολυμαθοῦς Σειρὰχ τῆς σοφίας». (βλ. καὶ ὄπιθ. Βιβλ. Γ. σελ. 680). Ἀλλὰ καὶ αὐτὸς ὁ κατὰ τῶν Ἀποστολικῶν κανόνων καὶ Διαταγῶν μεγάλα καὶ κενὰ φρυάξας Δρέϋς οὐ παντάπασιν ἀποβάλλει τοῦ Ἀποστολικοῦ κανόνος τὴν Ἰουδεὶθ καὶ τὰ τῶν Μακκαβαίων. (« Νόθος, λέγει, ὁ κανὼν, ὡς περιέχων καὶ τὸ βιβ. τῆς Ἰουδεὶθ, καί τοι τοῦτο ἀμφίβολον, καὶ τὰ Γ. τῶν Μακκαβ. » [σελ. 371]. Ἀλλ' οὕτως ἂν ἐνόθιζε, καὶ τὴν πρὸς Ἑβρ. καὶ τ' ἄλλα τὰ Ἀποστολικὰ, τὰ περιέχοντα ῥήσεις τῶν Ἀναγινωσκομένων. βλ. ἐφεξ. §. κς, κτξ.). Συναριθμεῖ τὴν Ἰουδεὶθ καὶ ὁ ἀνώνυμος (Joseph. ὁ Khell. βλ. Herbst, Einl. 2. Th. 3. Abth. p. 23). ἐν ᾧ πλουσίως ἐξέδωκε πίνακι πάντων τῶν παρά τε τοῖς Ἀνατολικοῖς καὶ Δυτικοῖς σῳζομένων ἀπὸ τοῦ Α. μέχρι τοῦ ΙΖ, αἰῶνος καταλόγων τῆς Παλαιᾶς Διαθήκης» (Autoritas utriusque libri Maccab. Canonico-historica adserta etc. Viennæ Austr. p. 15—33, καὶ 45). (Ἐπαινετέος δὲ, καὶ ὅτι τὸ παρὰ τοῖς Δυτικοῖς μετὰ τῶν Δευτεροκανονικῶν ἀριθμούμενον τεῦχος τοῦ Βαροὺχ συνεῖδε καὶ ἐσημείωσεν, ὅτι παρὰ τοῖς πατράσιν ἀριθμεῖται ὑπὸ τὸ ὄνομα τοῦ Ἱερεμίου, ὡς τούτου μέρος δηλονότι κανονικὸν, ἢ πρωτοκανονικόν· ὃ καὶ Λιβερμᾶν ὁμολογεῖ. Inst. Theol. T. 2. p. 336, 349). Τὸν πίνακα τοῦτον καὶ ὁ κλεινὸς Ἰάννης προσέθηκεν εἰς τὴν Εἰσαγωγὴν αὐτοῦ (Iahn, Finleit. 2. Bd. p. 968), μηδὲν περὶ τῆς Ἰουδεὶθ ἀντειπών. Ὥστε καὶ αὐτὸς ἔοικεν ἀποδεχόμενος τὴν ἐν τῷ Ἀποστολικῷ κανόνι ἀπαρίθμησιν αὐτῆς.

Μακκαβαίων (ἐκδόσ. Γράβου, τόμ. β) (α). Κατὰ τὴν αὐτὴν τάξιν ἀριθμοῦνται τὰ ὀνόματα τῶν βιβλίων καὶ ἐν τῷ Κανόνι τῆς ἐν Καρθαγένῃ Συνόδου *(Τωβίας, Ἰουδεὶθ, Ἐσθήρ)*· μνημονεύει τῆς *Ἰουδεὶθ* καὶ αὐτὸς ὁ Ῥώμης Κλήμης ὁ τοὺς Ἀποςολικοὺς κανόνας ἐκδοὺς (κἂν μὴ θέλωσιν οἱ κριτικοί). Ὥςε καὶ ἐκ τούτων οὐκ ἀμυδρῶς μαρτυρεῖται τὸ τῆς Ἰουδεὶθ ὄνομα γνησιως ἔχον ἐν τῷ Ἀποςολικῷ κανόνι, κατὰ τὴν ἔκδοσιν τοῦ Κοτελερίου· καὶ οὐκ ἂν ἐξελεγχθείη παρένθετον, διότι λείπει ἐκ τῶν πλείστων ἐκδόσεων τοῦ Ἀποστολικοῦ κανόνος, ὑπὸ παλαιῶν ἀντιγραφέων ἐκπεσόν· (οὕτω καὶ ἐκ τοῦ Ὠριγένους καταλόγου ἐξεῤῥύη τὸ Δωδεκαπρόφητον· καὶ ἐν τοῖς ἑλληνικοῖς ἀπογράφοις τοῦ κανόνος τῆς ἐν Καρθαγένῃ Συνόδου ἐκπέπτωκε τὸ τῶν Μακκαβαίων, ὅπερ ἐν τοῖς λατίνοις κώδηξι διετηρήθη· βλ. ἐφεξ. §. ιϐ). Ἴσως δ' ἄν τις εἰκάσειεν, ὅτι μετὰ τῆς Ἰουδεὶθ συμπεριείχετο καὶ τὸ μικρὸν τεῦχος τοῦ Τωβὶτ ἐν ἑνὶ βιβλίῳ συνεζευγμένον (καθὰ καὶ ὁ Βαροὺχ ὑπὸ τ' ὄνομα τοῦ Ἱερεμίου, καὶ Νεεμίας μετὰ τοῦ Ἔσδρα), ὡς ἔστι συμβαλεῖν ἐκ τοῦ Ῥουφίνου, ὅστις ἐν τῇ τοῦ Ἀποστολικοῦ Συμβόλου ἐκθέσει, *ἓν βιβλιάριον* ὀνομάζει τὸ τοῦ Τωβὶτ καὶ τῆς Ἰουδεὶθ, καὶ τοῦτο σὺν τοῖς Μακκαβαϊκοῖς ὡς τοῦ Ἐκκλησιαστικοῦ κανόνος ἀριθμεῖ (α). Ἀλλὰ καὶ αἱ τοῖς Ἀποστολικοῖς κανόσι συνημμέναι Διαταγαὶ τῶν Ἀποστόλων μνημονεύουσιν ἰδίως ῥῆσιν τοῦ Τωβίτ· καὶ παρ' αὐτοῖς δὲ τοῖς θείοις Εὐαγγελισταῖς διαφαίνονται Τωβίτεια ῥητὰ, ὡς ὀψόμεθα παρακατιόντες.

Τελευταῖον· ὁ Ἀποστολικὸς κανὼν προστίθησι καὶ *τὴν Σοφίαν τοῦ Σειρὰχ* ὡς *ἔξωθεν* προσιστορητέαν. Τὸ μὲν οὖν ἔξωθεν δηλοῖ τὸ *ἐκτὸς τούτων* τῶν προειρημένων τευχῶν· ἔγραψε δὲ τὴν φράσιν

(α) Ἐν τῷ Ἀλεξανδρινῷ κώδηκι κεῖνται οὐχὶ Γ, ἀλλὰ Δ, βιβλία τῶν Μακκαβαίων ἀλλὰ τὸ Δ, προσετέθη ἐξ Ἰωσήπου, οὐδ' ἔστι κανονικόν. Τρία δὲ μόνα περιέχει ὁ Βατικανὸς κώδηξ (ἐκδ. Bos), καὶ ἡ τοῦ Ἄλδου ἔκδοσις κτλ. Ἐν δὲ τῷ καταλόγῳ τῆς ἐν Καρθαγένῃ Συνόδου (κατὰ τὸ λατινικὸν κείμενον) δύω μόνον τῶν Μακκαβαίων ἀριθμοῦνται. Ἀλλὰ περὶ τούτου καὶ ἐν τοῖς ἑξῆς.

(α) « Ejusdem ordinis (Ecclesiastici) est libellus Tobiæ et Judith, et Maccabæorum libri ». Ruffin. in Exposit. in Symbol. Apostol.

καὶ Ὠριγένης περὶ τῶν Μακκαβαϊκῶν. Ἀριθμήσας γὰρ (ὡς εἴδομεν ἀνωτέρω) τὰ καθ' ἑβραίους κανονικά, εὐθὺς ἐπισυνάπτει· «Ἐκτὸς δὲ τούτων τὰ Μακκαβαϊκά» (βλ. ἐφεξῆς §. ε). Ὡσαύτως καὶ ὁ Μ. Ἀθανάσιος (βλ. §. ς). Λέγει τοίνυν ὁ Ἀποστολικὸς κανὼν ταῦτα· «Παρεκτὸς τῶν προειρημένων ἁγίων βιβλίων, *προσιστορείσθω* (τουτέςι *προσέτι* ἱστορείσθω, γνωστὸν ἔστω, γινωσκέσθω) παρ' ὑμῖν καὶ τοῦτο· ἵνα μανθάνωσι (διδάσκωνται) ὑμῶν οἱ νέοι καὶ τὴν Σοφίαν τοῦ Σειράχ». Ἐκ δὲ τούτων δῆλον, ὅτι καὶ τοῦτο τὸ τεῦχος ὁ Κανὼν ὡς συγγενὲς τοῖς προηγηθεῖσιν ἁγίοις βιβλίοις προσηρίθμησε (βλ. ἐφεξῆς §. ς, καὶ ιϐ). Ὁρίσας γὰρ ἐξ ἀρχῆς ποῖα καὶ πόσα τῶν βιβλίων *σεβάσμια καὶ ἅγια πᾶσι τοῖς πιστοῖς* νομιστέον, ἔπειτα προσέθηκεν, ὅτι καὶ τοῦτο πρὸς τοῖς ἄλλοις *ἐπιστητέον καὶ προσιστορητέον*, τὸ μανθάνειν δηλ. τοὺς νέους τὴν Σ. τοῦ Σειρὰχ, ὡς ἱερὸν δηλονότι καὶ τοῦτο μάθημα καὶ μελέτημα, *τοῖς νέοις* ἐξαιρέτως προσιδιάζον (διὸ καὶ ἰδίως ἀπὸ τῶν ἄλλων αὐτὸ διέστειλε), καθὸ νουθετητικὸν, καὶ ἠθοποιὸν, καὶ προπαιδευτικὸν εἰς τῶν ἄλλων τῶν ἁγίων βιβλίων τὴν κατάληψιν· (τοιαύτην ὑπογράφει τὴν Σειράχειον Σοφίαν καὶ ὁ πρόλογος αὐτῆς). Ὅθεν πάλιν αὐτή τε ἡ βίβλος τοῦ Σειρὰχ καὶ τ' ἄλλα τὰ *Ἀναγινωσκόμενα* ὑπῆρχον ἔκπαλαι ἐν τῇ Ἐκκλησίᾳ τεταγμένα πρὸς χρῆσιν τῶν πιστῶν (ὡς εὐθὺς ἡμῖν Ὠριγένης ἐρεῖ), καὶ *τετυπωμένα* μάλιστα πρὸς τοὺς κατηχουμένους ἀναγινώσκεσθαι (βλ. §. ς), ὡς ἁπλούστερα δηλαδὴ καὶ προεισοδιώδη, καὶ οἷον προτελεστικὰ τῆς ὑπερφυοῦς διδασκαλίας τῶν προφητικῶν καὶ ἀποστολικῶν τευχῶν. Τοῦτο δὲ καὶ ὁ θεῖος Διονύσιος ὁ Ἀρειοπαγίτης βεβαιοῖ, λέγων· «Καὶ ἐν ταῖς *προεισαγωγαῖς* τῶν λογίων» (ὅλων τῶν τῆς Π. καὶ Νέας Διαθήκης Γραφῶν) «εὑρήσεις τινὰ λέγοντα περὶ τῆς θείας σοφίας. *ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς*» (περὶ θείων ὀνομάτων, κεφ. γ. σελ. 386)· ὅτι δὲ ταῦτα τῆς τοῦ Σολομῶντός εἰσι Σοφίας (κεφ. η. 2), φανερὸν (α). Ὑπῆρχε δ' ἀνέκαθεν μετὰ τῆς τοῦ Σει-

(α) Καὶ αὐτῶν δὲ τῶν κανονικῶν τευχῶν εὑρίσκεται παρὰ τῷ θείῳ Διονυσίῳ

ρὰχ σοφίας συνημμένη καὶ ἡ τοῦ Σολομῶντος, ὡς μαρτυρεῖ μὲν ἡ ἐν τοῖς ἀρχαίοις κώδηξι, κἀν τῷ Ἀλεξανδρινῷ (τόμ. Δ. Γράβ.) παράλληλος διάταξις αὐτῶν, μαρτυρεῖ δὲ καὶ ἡ ἐν Καρθαγένῃ Σύνοδος (βλ. §. ιϐ), καὶ ὁ ἱερὸς Κασσιόδωρος, καὶ ὁ Ῥώμης Ἰννοκέντιος, καὶ ἄλλοι, τάττοντες τἀνάπαλιν ὑπὸ τὸ ὄνομα τοῦ Σολομῶντος καὶ τὴν Σοφίαν τοῦ Σειρὰχ (τοῦτο δὲ καὶ ὁ ἱερὸς ἐσημείωσεν Αὐγουστῖνος). Μαρτυρεῖ δὲ, τέλος, καὶ αὐτὸς ὁ Ἱερώνυμος, ὅτι εὗρεν ἑϐραϊκὸν ἀντίγραφον τοῦ Σειρὰχ συνεζευγμένον μετὰ τοῦ *Ἐκκλησιαστοῦ, καὶ τοῦ Ἄσματος* τοῦ Σολομῶντος (α). Τελευταῖον καὶ παρὰ τοῖς ἱεροῖς Ἀποστόλοις ἐν τῇ καινῇ Διαθήκῃ, κἀν ταῖς Ἀποστολικαῖς Διαταγαῖς, καὶ παρ' αὐτῷ τῷ Ῥώμης Κλήμεντι συναντῶσι ῥήσεις τῆς Σολομωντείου Σοφίας ἐπίσης, ὡς καὶ τῆς τοῦ Σειράχ. Οὐδ' ἔστιν οὐδαμοῦ τῶν ἱερῶν τευχῶν τοσαύτη τινῶν πρὸς ἄλληλα σχέσις καὶ ὁμοιότης, ὅση ἡ τῶν δύω Σοφιῶν. *Σοφίαν* (ὡς προείδομεν) ὁ παλαιὸς Μελίτων (καὶ πρὸ τούτου Κλήμης ὁ Ῥώμης, ἐπις. α) ἐπονομάζει τὰς *Παροιμίας* τοῦ Σολομῶντος, ἃς ὁ Σειρὰχ ἐμιμήθη πολλαχοῦ. «Καὶ *πανάρετον* δὲ Σοφίαν καλοῦσι τὰς Παροιμίας Ἡγήσιππος, καὶ Εἰρηναῖος, καὶ πᾶς ὁ τῶν ἀρχαίων χορός» (ϐ). *Πανάρετος* ὠνομάσθη παρομοίως καὶ ἡ Σοφία τοῦ

περιγραφικὴ καί πως συνεσκιασμένη ἀπαρίθμησις, ἢ ὑπόμνησις, ἡ ἑξῆς. «Πᾶσα γὰρ ἱερὰ καὶ ἁγιόγραφος δέλτος, ἢ τὴν ἐκ Θεοῦ τῶν ὄντων γεννητὴν ὕπαρξίν τε καὶ διακόσμησιν» (Γένεσις), «ἢ τὴν νομικὴν ἱεραρχίαν καὶ πολιτείαν» (Ἔξοδος, Λευϊτικὸν, Δευτερονόμ.), «ἢ τοῦ θείου λαοῦ κληροδοσιῶν διανεμήσεις καὶ κατασχέσεις» (Ἀριθμ. καὶ Ἰησοῦς), «ἢ κριτῶν ἱερῶν, ἢ ϐασιλέων σοφῶν, ἢ ἱερέων ἐνθέων σύνεσιν» (Κριταὶ, Δ, Βασιλεῖαι, Παραλειπόμενα), «ἢ παλαιῶν ἀνδρῶν ἐν ποικιλίᾳ τῶν ἀνιώντων ἀκατάσειστον ἐν καρτερίᾳ φιλοσοφίαν» (Ἰὼϐ. ἴσως συνυπονοεῖται καὶ ὁ Τωϐὶτ, καὶ τὰ Μακκαϐαϊκὰ), «ἢ τῶν πρακτικῶν σοφίας ὑποθῆκαι» (Παροιμίαι, Ἐκκλησιαστὴς), «ἢ θείων ἐρώτων ᾄσματα καὶ ἐνθέους εἰκόνας» (Ἆσμ. ᾀσμ. Ψαλτήρ.), «ἢ τῶν ἐσομένων τὰς προφητικὰς ἀναῤῥήσεις» (τὰ ις, προφητικὰ) «ὑφηγήσατο». (Διονυσ. Ἀρειοπ. Ἐκκλ. Ἱεραρχ. γ. σελ. 138. Paris. 1562. πρϐλ. καὶ Παχυμέρ. παράφρ· αὐτόθ.).

(α) Hieron. præf. in Proverb. Ὁ δὲ Σκαλίγηρος διατείνεται, ὅτι οὐ τὸ πρωτότυπον, ἀλλ' ἐκ τοῦ ἑλληνικοῦ παλαιὰν ἑϐρ. μετάφρασιν εἶδεν ὁ Ἱερώνυμος.

(ϐ) Εὐσέϐ. Ἐκκλ. ἱστορ. Δ. κϐ.

Σολομῶντος (α), καὶ αὐτὴ ἡ Σοφία τοῦ Σειράχ (β). Οὐδ᾽ ἔστιν οὐδὲν τῶν ἐκτὸς τοῦ ἑβραϊκοῦ κανόνος ἐν τῇ Ἐκκλησίᾳ παραδεδεγμένων ἱερῶν τευχῶν, οὗ τινος δείγματα συναντῶσιν ἐν τῇ καινῇ Διαθήκῃ πλείονα τῶν τῆς Σοφίας τοῦ Σολομῶντος, καὶ τῆς τοῦ Σειράχ· διὸ καὶ ξένον οὐδὲν, εἴγε παρ᾽ ἀλλήλων ἐναλλὰξ ἑκάτερα τὰ τεύχη παρωνυμοῦντο. Ἀλλὰ καὶ περὶ τούτων πλατύτερον ἐν τοῖς κατωτέρω.

§. ε. Β) Ὁ Ὠριγένης ἀριθμήσας «*τὰς ἐνδιαθήκους* (κανονικὰς) *βίβλους, ὡς Ἑβραῖοι παραδιδόασι, δύω καὶ εἴκοσιν, ὅσος ὁ ἀριθμὸς τῶν παρ᾽ αὐτοῖς στοιχείων ἐστί*» (καθὼς αὐτὰς ἐξεθήκαμεν ἀνωτέρω §. α), ἔπειτ᾽ ἀμέσως ἐπισυνάπτει καὶ τὰ ἑξῆς· «Ἔξω δὲ τούτων ἐστὶ τὰ Μακκαβαϊκὰ, ἅπερ ἐπιγέγραπται (παρ᾽ ἑβραίοις) *Σαρβὴθ Σαρβενὲ ἔλ*» (γ). Λέγει τοίνυν Ὠριγένης, ὅτι ἐκτὸς τοῦ ἑβραϊκοῦ κανόνος ὑπῆρχον καὶ τὰ Μακκαβαϊκὰ, τίμια μάλιςα καὶ γνωστὰ καὶ παρ᾽ Ἰουδαίοις αὐτοῖς (βλ. ἐφεξῆς §. κα)· διὸ καὶ ταῦτα προσετίθουν κατόπιν τῶν ἐνδιαθήκων Γραφῶν. Ἦσαν δ᾽ ἐπ᾽ αὐτοῦ τεταγμένα καὶ ἐν τῷ κανόνι τῆς Ἐκκλησίας. Τῆς δὲ Σοφίας τοῦ Σειρὰχ (ἣν ὁ Ἀποστολικὸς κανὼν καταλέγει) οὐκ ἐμνημόνευσεν ἐν τῷ καταλόγῳ ὁ Ὠριγένης. Ἀλλ᾽ οὐδὲ τῆς Ἰουδεὶθ, οὐδὲ τοῦ Τωβὶτ ἐπεμνήσθη· καὶ λέγει τὸν λόγον Ὠριγένης αὐτός· «Τῇ τοῦ Τωβὶτ βίβλῳ (φησὶν) ἀντιλέγουσιν οἱ ἐκ περιτομῆς» (περὶ εὐχῆς §. 14. οὐ πείθονται δηλαδὴ ταῖς ἐκ τούτου μαρτυρίαις, ὡς μὴ τεταγμένου ἐν τῷ Ἑσδραίῳ κανόνι). καὶ πάλιν· «Ὅτι Ἑβραῖοι τῷ Τωβίᾳ οὐ χρῶνται, οὐδὲ τῇ Ἰουδείθ» (πρὸς Ἀφρικαν.

(α) Εὐσέβ. Εὐαγγ. Προπ. ΙΑ, ε. - Ἐπιφάνιος (σελ. 122). Βλέπε καὶ τὸν ἀρχαῖον κατάλογον τῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης ἐν τῷ Ἀλεξανδρινῷ κώδηκι, ἐκδ. Γράβου, τόμ. 1. προλεγόμ. κεφ. α. §. 2. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 579.

(β) Ἀθανάσ. ἐν Συνόψ.

(γ) Παρ᾽ Εὐσεβ. Ἐκκλ. ἱστορ. Ϛ, κε. Ταύτην τὴν ἑβραϊκὴν ἐπιγραφὴν, ἄλλως ἄλλοι διαιροῦντες τὰς συλλαβὰς, ποικίλως ἑρμηνεύουσι, καὶ τὸ πιθανώτερον, «Ἡγεμόνων υἱῶν Θεοῦ» (τῶν Ἰσραηλιτῶν. βλ. Fabric. Bibl. Græc. T. 3. p. 745). Λέγει δὲ καὶ ὁ ἱερὸς Ἰσίδωρος ὁ Πηλουσιώτης· «Μακκαβαῖος ἑρμηνεύεται παρὰ Πέρσαις κοίρανος, τουτέστι δεσπότης» (Ἐπιστολ. Γ. δ. σελ. 257. Paris. 1638).

§. 13). Ὅτι δὲ ὅμως οὐδ᾽ ἀπόκρυφα πάλιν ἐνόμιζον τὰ δύω ταῦτα βιβλία οἱ Ἰουδαῖοι, (βλ. ἐφεξῆς §. ια, καὶ κα), καὶ ὅτι «τῷ *Τωβίᾳ* (ὡς καὶ τῇ Ἰουδεὶθ) *αἱ Ἐκκλησίαι ἐχρῶντο*», λέγει μὲν αὐτὸς οὗτος Ὠριγένης (π. Ἀφρικ. αὐτόθ.), ἐχρῆτο δὲ καὶ αὐτὸς καὶ τούτοις καὶ τοῖς ἄλλοις τοῖς ἐκτὸς τῶν κανονικῶν, ὡς *ἅγια καὶ σεβάσμια* καὶ ταῦτα τὰ τεύχη τιμῶν, καὶ μαρτυρίας ἐκ τούτων λαμβάνων, ὡς φανήσεται κατωτέρω. Ὥστε ὁ Ὠριγένης μαρτυρεῖ τρανώτατα, ὅτι τὰ βιβλία ταῦτα καί τοι μὴ τεταγμένα ἐν τῷ κανόνι τῶν Ἰουδαίων, ὑπῆρχον ὅμως ἀνέκαθεν ἐν τῷ κανόνι τῆς Ἐκκλησίας (α).

§. ς Β) Ὁ Μέγας Ἀθανάσιος (τῷ 330) γράφει ταῦτα. «Ἐπειδήπερ τινὲς ἐπεχείρησαν ἀνατάξασθαι ἑαυτοῖς τὰ λεγόμενα ΑΠΟΚΡΥΦΑ, καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ Γραφῇ, περὶ ἧς ἐπληροφορήθημεν, καθὼς παρέδοσαν τοῖς πατράσιν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται γενόμενοι τοῦ Λόγου· ἔδοξε κἀμοὶ προτραπέντι παρὰ γνησίων ἀδελφῶν, καὶ μαθόντι ἄνωθεν, ἑξῆς ἐκθέσθαι τὰ *Κανονιζόμενα* καὶ παραδοθέντα, πιστευθέντα τε θεῖα εἶναι βιβλία. ἵνα ἕκαστος, εἰ μὲν ἠπατήθη, καταγνῷ τῶν πλανησάντων, ὁ δὲ καθαρὸς διαμείνας χαίρῃ πάλιν ὑπομιμνησκόμενος. Ἔτι (γρ. *ἔστι*) τοίνυν τῆς μὲν παλαιᾶς Διαθήκης βιβλία τῷ ἀριθμῷ τὰ πάντα εἰκοσιδύω· τοσαῦτα γάρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ᾽ Ἑβραίοις εἶναι παραδέδοται· τῇ δὲ τάξει καὶ τῷ ὀνόματί ἐστιν. ἕκαστον οὕτω. Πρῶτον Γένεσις, εἶτα Ἔξοδος, εἶτα Λευϊτικὸν,

---

(α) Ὁ Βερθόλδυς (Einleit. Bd. 1. p. 92), ὡς ἂν εἴπερ οὐκ ἀνέγνω ταῦτα τοῦ Ὠριγένους, ἔκρινεν, ὅτι δῆθεν ὁ Ὠριγένης ἀπηρίθμησεν ἐν τῷ καταλόγῳ τὸν Βαροὺχ καὶ τὰ Μακκαβαϊκά, μαθὼν παρ᾽ Ἰουδαίων ἑλληνιστῶν, ὅτι ταῦτα ἦσαν τεταγμένα ἐν τῷ παρ᾽ αὐτοῖς Ἑλληνικῷ τῶν Ο, κώδηκι. Ἀλλ᾽ ὁ Ὠριγένης ἔγραψε τὰς ὀνομασίας τῶν βιβλίων οὐ μόνον ἑλληνιστὶ, ἀλλὰ καὶ ἑβραϊστὶ, κατὰ τὸν Ἐσδραῖον δηλονότι κανόνα (καθὰ προείπομεν Βιβλ. Γ. σελ. 676). Καὶ οἱ ἑλληνισταὶ Ἰουδαῖοι, οὐκ ἂν ἔπραττον ἐναντία τοῖς ἑβραΐζουσιν ὁμοθρήσκοις, καταγράφοντες ἐν τῷ κώδηκι τῶν θείων Γραφῶν βίβλους ἀποκρύφους, χωρὶς τῆς συγκαταθέσεως τοῦ Ἱεροσολυμικοῦ Συνεδρίου. Ὥςε πιθανώτερον ἂν ἔκρινεν ὁ Βερθόλδυς, εἴπερ ἐπήρχετο αὐτῷ κατὰ νοῦν, ὅτι καὶ αὐτοὶ οἱ βαθεῖς Ἑβραῖοι, καί τοι μὴ τολμήσαντες πλατῦναι τὸν Ἐσδραῖον κανόνα, εἶχον ὅμως κἀκεῖνοι ταῦτα τὰ βιβλία ὡς ἅγια καὶ προφητικά.

καὶ μετὰ τοῦτο Ἀριθμοί, καὶ λοιπὸν τὸ Δευτερονόμιον· ἑξῆς δὲ τούτοις ἐστὶν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ Κριταί, καὶ μετὰ τοῦτο ἡ Ῥούθ· καὶ πάλιν ἑξῆς, Βασιλειῶν Δ, βιβλία· καὶ τούτων τὸ μὲν Α καὶ Β εἰς ἓν βιβλίον ἀριθμεῖται, τὸ δὲ Γ καὶ Δ ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα, Παραλειπόμενα, Α καὶ Β, ὁμοίως εἰς ἕν· εἶτα Ἔσδρας Α καὶ Β, ὁμοίως εἰς ἕν. Μετὰ δὲ ταῦτα, Βίβλος Ψαλμῶν· καὶ ἑξῆς Παροιμίαι, εἶτα Ἐκκλησιαστὴς καὶ ᾎσμα ᾈσμάτων. καὶ Ἰώβ. καὶ λοιπὸν Προφῆται, οἱ μὲν ΙΒ εἰς ἓν βιβλίον ἀριθμούμενοι. Εἶτα Ἡσαΐας, Ἱερεμίας, *καὶ σὺν αὐτῷ Βαροὺχ, Θρῆνοι, καὶ ἐπιστολή*· καὶ μετ' αὐτὸν Ἰεζεκιὴλ, καὶ Δανιήλ». (Εἶτα δὲ καὶ τὰ τῆς Καινῆς Διαθήκης προσαριθμήσας, καὶ ἐπειπὼν περὶ πάντων, ὅτι «ταῦτα πηγαὶ τοῦ σωτηρίου. Μηδεὶς τούτοις ἐπιβαλλέτω· μηδὲ τούτων ἀφαιρείσθω τι», συμπεραίνει τὸν κατάλογον, ἐπιφέρων καὶ τὰ ἑξῆς) «Ἀλλ' ἕνεκά γε *πλείονος ἀκριβείας* προστίθημι καὶ τοῦτο, γράφων *ἀναγκαίως*. Ὡς ὅτι ἐστὶ καὶ ἕτερα βιβλία τούτων *ἔξωθεν* οὐ *κανονιζόμενα* μὲν» (δηλαδὴ οὐ τεταγμένα ἐν τῷ Ἐσδραίῳ κανόνι), «*τετυπωμένα* δὲ παρὰ τῶν Πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι *προσερχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον*. Σοφία Σολομῶντος, καὶ Σοφία Σειρὰχ, καὶ Ἐσθὴρ, καὶ Ἰουδεὶθ, καὶ Τωβίας. —Καὶ ὅμως, ἀγαπητοί, κᾀκείνων *κανονιζομένων*, καὶ τούτων *ἀναγινωσκομένων*, οὐδαμοῦ τῶν *Ἀποκρύφων* μνήμη, *ἀλλ' αἱρετικῶν ἐστιν ἐπίνοια*. — ἵν' ὡς παλαιὰ προφέροντες, πρόφασιν ἔχωσιν ἀπατᾷν ἐκ τούτου τοὺς ἀκεραίους» (Μ. Ἀθανάσ. ἐπιϛ. Ἑορτας. λθ) (α).

(α) Εἰς ταύτην τοῦ Μ. Ἀθανασίου τὴν ἐπιστολὴν ὑπάρχει καὶ Σχόλιον τοῦ Ζωναρᾶ, ὅπερ ἐξεδόθη τὸ πρῶτον τῷ 1826 (ὑπὸ **Salvad. Cyrill. in Codices Græci Mss. Regiae Biblioth. Borbonicae· T. 1. p. 221. Neapol. 1826**). Ἐκ τοῦ Ζωναραίου τούτου Σχολίου μεταγράφομεν τὰ ἀνήκοντα εἰς τὴν ἀπαρίθμησιν τῶν βιβλίων τῆς παλαιᾶς Γραφῆς. «Ἐνταῦθα ὁ Μ. Ἀθανάσιος ἀπαρίθμησιν ποιεῖται τῶν βιβλίων τῆς τε παλαιᾶς Γραφῆς καὶ τῆς νέας, τῶν ὀφειλόντων ἀναγινώσκεσθαι παρὰ τῶν πιστῶν· ἵνα μή τινες πλανώμενοι ἀναγινώσκωσι καὶ τὰς ἀποκρύφους βίβλους, αἵ οὐκ ὀρθῶς ἔχουσι, κᾀντεῦθεν βλάπτωνται, ἀκέραιοι ὄντες, ἤτοι ἄπλαστοι καὶ εὐεξαπάτητοι. Ταῦτα δὲ καὶ ὁ ΠΕ κανὼν τῶν ἁγίων Ἀποστόλων πρὸ τούτου ἀπα-

Ἐν τούτοις παρατηρητέον· α) Ὅτι εἰς δύω τάξεις διαιρεῖ τὰ ἱερὰ βιβλία ὁ Πατήρ· πρῶτον, τὰ *Κανονιζόμενα* (ἢ κανονικὰ, τὰ καὶ, *ἐνδιάθηκοι, καὶ ἐνδιάθετοι βίβλοι*), καὶ δεύτερον τὰ *Ἀναγινωσκόμενα*, τὰ καὶ «*τετυπωμένα παρὰ τῶν Πατέρων*, καὶ τεταγμένα εἰς ἀνάγνωσιν τοῖς κατηχουμένοις τὸν λόγον τῆς εὐσεβείας,» καὶ, κατὰ τὸν Ἀποστολικὸν κανόνα, *τοῖς νέοις μαθητέα*, τὰ δ' αὐτὰ καὶ, κατὰ τὸν Ἀρειοπαγίτην Διονύσιον, *προεισαγωγαὶ* τῶν λογίων (βλ. ὄπισθ. σελ. 113). β) Ὅτι *Ἀπόκρυφα* ὀνομάζει μόνα τὰ κίβδηλα, καὶ ψευδεπίγραφα, καὶ ὑπ' ἀνθρώπων αἱρετικῶν πεπλασμένα. Κἀκεῖνο δὲ σημειωτέον· ὅτι ὁ Μ. Ἀθανάσιος ἐνταῦθα τέσσαρα τῶν Ἀναγινωσκομένων βιβλίων ἀριθμεῖ (Σοφίαν Σολομ., Σοφ. Σειρὰχ, Ἰουδεὶθ, Τωβίτ)· ἀλλ' ἐν τῇ Συνόψει τῆς Γραφῆς προστίθενται καὶ τὰ Μακκαβαϊκά.

§. ζ. Δ) Ἡ ἐν Λαοδικείᾳ τοπικὴ Σύνοδος (τῷ 365) διατάσσουσα (κανόνι ἐσχάτῳ (α)), « Ὅτι οὐ δεῖ *ἰδιωτικοὺς Ψαλμοὺς*

ριθμεῖ. Οὐκ ἐν πᾶσι δὲ ὁ Πατὴρ οὗτος συμφωνεῖ τῷ ἀποστολικῷ τελευταίῳ κανόνι ἐν τῇ ἀπαριθμήσει. Οἱ μὲν γὰρ Ἀπόστολοι καὶ τὴν Ἐσθὴρ ἀπηριθμήσαντο, καὶ τὴν Σοφίαν Σειρὰχ, καὶ τὰ Μακκαβαϊκά· οὗτος δὲ παρέλιπε ταῦτα πάντα.- Μετὰ δὲ τὴν ἀπαρίθμησιν φησὶν, ὅτι ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μὲν, ἀναγινωσκόμενα δὲ, ἅτινα λέγει εἶναι τὴν Σοφίαν Σολομῶντος, τὴν Σοφίαν Σειρὰχ » κτλ. Ἐκ τούτου φαίνεται πάλιν ὁ Ζωναρᾶς, ὅτι οὐκ ἀνέγνω ἐν τῷ Ἀποσολικῷ κανόνι τὴν Ἰουδεὶθ, προεκπεσοῦσαν ὡς προείπομεν (§. δ). Προείπομεν δὲ καὶ περὶ τῆς Ἐσθὴρ (σελ. 106). Περὶ δὲ τῆς πρὸς τὸν Ἀποστολικὸν κανόνα διαφωνίας τοῦ κατὰ τὸν Μ. Ἀθανάσιον, ἣν ὁ Ζωναρᾶς ἐσημείωσεν, ἠπίστατο πάντως καὶ αὐτὸς ὁ ἀοίδιμος, εἰ καὶ μὴ προσέθηκεν, ὅτι ὁ ἀποστολικὸς κανὼν συναριθμῶν μετὰ τῶν παρ' ἑβρ. κανονικῶν καὶ τὰ ἀναγινωσκόμενα (τὴν Ἰουδεὶθ [ἴσ. καὶ τὸν Τωβὶτ] καὶ τὰ Μακκαβ. κτλ.), τίθησι τὰς βάσεις τοῦ Ἐκκλησιαστικοῦ κανόνος, ὃν ἐξέδωκεν ὕστερον πλήρη ἡ ἐν Καρθαγένῃ Σύνοδος (βλ. ἐφεξῆς §. ιγ). Ὁ δὲ Μ. Ἀθανάσιος ἀριθμῶν κατὰ τὸν Ἑσδραῖον κανόνα τὰ κανονικὰ, προσέθηκεν ἔπειτα καὶ τὰ ἀναγινωσκόμενα, καί τοι καὶ αὐτὸς ἅγια καὶ ταῦτα καὶ σεβάσμια βιβλία πρεσβεύων, ὡς καὶ ὁ μακάριος Ἱλάριος, ὁ σύγχρονός αὐτοῦ (βλ. ἐφεξ. §. ι). Καὶ αὐτὸς δὲ ὁ πολύτλας, ἐν τοῖς ἱεροῖς αὐτοῦ λόγοις, ἐχρήσατο μαρτυρίαις ἐκ τῶν ἀναγνωσκομένων τούτων, ὡς ἐξ ἱερῶν γραφῶν. Οὕτω καὶ ὁ θεῖος Διονύσιος διακρίνας ἀπὸ τῶν λογίων τὰς προεισαγωγὰς (αὐτὰ τὰ ἀναγινωσκόμενα), παρέλαβε καὶ ῥῆσιν ἐξ αὐτῶν (ὄπισθ. σελ. 113).

(α) Οὗτος ὁ κανὼν ἐν τῇ ὑπὸ τοῦ Μικροῦ Διονυσίου (Dionysii Exiqui) τῶν

λέγεσθαι ἐν τῇ Ἐκκλησίᾳ, οὐδ' *ἀκανόνιστα* βιβλία, ἀλλὰ μόνα τὰ κανονικὰ τῆς παλαιᾶς καὶ καινῆς Διαθήκης», καὶ ἐφεξῆς ἀπαριθμοῦσα πρῶτον τὰ *κανονικὰ* τῆς παλαιᾶς, καταλέγει μόνα τὰ τοῦ Ἑσδραίου κανόνος, ἐν οἷς τίθησι καὶ τὴν *'Εσθὴρ* (ὡς Ὠριγένης)· ἔτι δὲ ῥητῶς ἀπαριθμεῖ (ὡς ἐν ἑνὶ Βιβλίῳ) τὸν Ἱερεμίαν, *καὶ Βαρούχ, καὶ Θρήνους, καὶ 'Επιστολὴν* (ὡς ὁ Μ. Ἀθανάσιος, καὶ ὁ Ἐπιφάνιος· βλ. καὶ ὄπισθ. βιβλ. Γ. σελ. 681). Ἐκτὸς δὲ τῶν κανονικῶν οὐδὲν ἕτερον προστίθησιν ἐκ τῶν *Ἀναγινωσκομένων*, οὐδ' αὐτὰ τὰ παρὰ τῷ Ὠριγένει Μακκαβαϊκά. Ὁ δὲ λόγος προφανής· κατέγραφε γὰρ μόνα τὰ δημοσίως ἐν τῇ Ἐκκλησίᾳ κατὰ τὰς ἱερὰς τελετὰς ἀναγινωσκόμενα (βλ. ὄπισθ. §. α, σημ. σελ. 105. πρβ. καὶ ἐφεξ. §. κ). Ἐπειδὴ γάρ τινες πλὴν τῶν ρν, ψαλμῶν τοῦ Δαβὶδ εἰσῆγον εἰς τὰς ἐν τῇ διοικήσει Λαοδικείας (τῆς Φρυγῶν μητροπόλεως) ἐκκλησίας, ὡς ἂν κανονικὰ μέρη τῆς θείας Γραφῆς, καί τινας ἄλλους Ψαλμούς, οὔτ' ἐν τῷ Ἑσδραίῳ κανόνι διωρισμένους, οὔτ' ἐν τῇ Ἐκκλησίᾳ τετυπωμένους, ὑπὸ δέ τινων ἰδιωτῶν συντεταγμένους (α), ἀπηρίθμησε μόνα τὰ παραδεδο-

---

Ἐκκλησ. κανόνων Συλλογῇ (σελ. 133) οὐχ εὑρίσκεται (ὡς λείπουσι καὶ ἄλλα ἐκ τούτου τοῦ κώδηκος)· λείπει δὲ καὶ ἐκ δύω χειρογράφων παλαιῶν· ἀλλ' ἐν τοῖς πλείστοις χειρογράφοις κεῖται· κεκύρωται δὲ εἰς τὸν ἅπαντα χρόνον καὶ ὑπὸ τῆς ς, Οἰκουμενικῆς (καν. 6), ὥστε μάτην τινὲς ὑποκινοῦσιν ἀμφιβολίας (βλ. **Schmid l. c. p. 175. not.**).

(α) Τοιούτους ψαλμοὺς περιέχουσα Μαρκίωνός τινος βίβλος μνημονεύεται, καὶ ἀποκηρύττεται ἔν τινι παλαιοῦ (τοῦ β, αἰῶν.) καὶ ἀνωνύμου κανόνος ἀποσπάσματι, ὅπερ ἐξέδωκεν ὁ **Muratori** (**Antiquit. Italic. med. aevi T. 3. p. 854**). Καὶ τοῦ Σολομῶντος δέ τινες ψευδεπίγραφοι φέρονται (καί τοι ἄλλως ἀθῷοι)· καὶ ἐπὶ τούτων ἐξέλαβον τὸ τῆς Συνόδου ψαλμοὺς ἰδιωτικοὺς ὁ Βαλσαμὼν καὶ ὁ Ζωναρᾶς. Μανθάνομεν δὲ καὶ ἐκ τοῦ ἱεροῦ Ἐπιφανίου, ὅτι Ἱέραξ τις αἱρετικὸς,: «Εἰς» (ἴσ. γρ. καὶ) «ἄλλα δὲ πόσα ἀπὸ τῆς Γραφῆς συνέταξε, ψαλμούς τε πολλοὺς νεωτερικοὺς ἐπλάσατο» (Αἱρέσ. ξζ. τόμ. α. σελ. 712). Οἱ δέ τινες οὐ πάμπαν ἀκριβῶς τούτους τοῦ Κανόνος τοὺς ἰδιωτικοὺς ψαλμοὺς ἐξέλαβον ἐπὶ τῶν αἱρετικῶν ᾠδῶν, οἷα ἦσαν τὰ ᾄσματα τοῦ Ἀρείου (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 168) καὶ ἄλλων αἱρετικῶν, ἃ πρὸς ἔριν τῶν ἀνέκαθεν ἐν τῇ Ἐκκλησίᾳ τεταγμένων ἱερῶν ᾠδῶν καὶ τροπαρίων ἀντέταττον οἱ Αἱρετικοὶ (βλ. Εὐ-

μένα κατὰ τὰς Ἐκκλησιαστικὰς τελετουργίας ἀναγινώσκεσθαι, τὰ δὲ Ἀναγινωσκόμενα παρεσιώπησεν· οὐχ ὡς ἀθετοῦσα ταῦτα, πολλοῦγε καὶ δεῖ, μᾶλλον δὲ τοῦ παντός· (ὤφειλε γὰρ, εἴπερ, καὶ ἐξ ὀνόματος ἀποκλεῖσαι ταῦτα τῆς Ἐκκλησίας, ὡς ἀπέκλεισε ῥητῶς καὶ τοὺς ἰδιωτικοὺς Ψαλμοὺς), ἀλλὰ παρέλιπεν αὐτὰ εἰς ἣν ἀνέκαθεν ἐπεῖχον δευτέραν τάξιν (μετὰ τὰ πρῶτα *κανονικὰ*), τὸ μὲν, ἀποκλείουσα πᾶσαν ἀφορμὴν τοῖς τότε βουλομένοις περὶ τὰς ἐν ταῖς θείαις τελεταῖς ἀναγινωσκομένας ἱερὰς βίβλους νεωτερίζειν (ὡς λέγομεν παρακατιόντες), τὸ δὲ, καὶ ὡς γνωστὰ τοῖς εὐσεβέσιν ὄντα τὰ Ἀναγινωσκόμενα. Ὅτι γὰρ ὑπῆρχον ἔκπαλαι τετυπωμένα, ὡς προεισοδιώδεις ἀπαρχαὶ τῶν Γραφῶν, καὶ παραδεδεγμένα ἐν τῇ Ἐκκλησίᾳ, ἐδίδαξεν ἡμᾶς Ὠριγένης πρὸς τοῖς ἄλλοις, καὶ ὁ Μ. Ἀθανάσιος ἀνωτέρω· ἢ μήπως ἡ ἐν Λαοδικείᾳ Σύνοδος οὐκ ἐχρῆτο τῷ τῶν Ο κώδηκι, ἐν ᾧ ἦσαν ἐξ ἀρχῆς μετὰ τῶν *κανονικῶν* συντεταγμένα καὶ τ' *Ἀναγινωσκόμενα*; ἢ μήπως ἀντέλεγεν ἀπ' εὐθείας τοῖς τε ἄλλοις ἀρχαίοις πατράσι, καὶ αὐτῷ τῷ κατ' αὐτὴν ἔτι ζῶντι καὶ ἀκμάζοντι μεγάλῳ φωστῆρι τῆς Ἐκκλησίας Ἀθανασίῳ; Τελευταῖον· ἡ ἐν Λαοδικείᾳ Σύνοδος οὐδὲ τὴν Ἀποκάλυψιν ἐμνημόνευσεν ἐν τῇ ἀπαριθμήσει τῶν κανονικῶν τῆς καινῆς Διαθήκης βιβλίων (ἐν ᾧ ταύτην ὅ,τε Μ. Ἀθανάσιος, καὶ ἄλλοι τῶν ἐπιφανεστάτων Πατέρων ἰδίως μετὰ τῶν κανονικῶν συγκαταριθμοῦσιν)· ἀλλὰ καὶ τοῦτο οὐκ ἀλόγως. Ὅτι μὲν γὰρ καὶ τοῦτο τὸ θειότατον βιβλίον ἀνέκαθεν οἵ τε πλησιέστατοι τοῖς χρόνοις τοῦ Θεολόγου γενόμενοι, καὶ ἄλλοι θεῖοι Πατέρες, ἀπὸ τοῦ β, αἰῶνος καὶ ἐφεξῆς, ἅπαντες σχεδὸν οἱ ἀκρέμονες τῶν διδασκάλων τῆς Ἐκκλησίας, ὡς γνησίαν τοῦ εὐαγγελιστοῦ συγγραφὴν ἀπεδέχοντο καὶ ἐσέβοντο, καί τοι μὴ καὶ δημοσίως ἐν ταῖς τελεταῖς ἀναγινωσκομένην, (ὡς οὐδὲ παρ' ἡμῖν τὴν σήμερον· βλ. ἐφεξ. §. κ),

---

σεβ. Ἐκκλ. ἱστορ. ε, 28. ζ, 30. καὶ Σωζόμ. η, 8). Ταῦτα τοίνυν λέγουσιν, ὅτι κωλύει ὁ κανὼν, ὡς ἰδιωτικὰ καὶ ἀκύρωτα ὑπὸ τῆς Ἐκκλησίας. βλ. Le Moyen, Varia Sacr. T. 2. p. 1091. - Justel. not. εἰς τὸν αὐτὸν κανόνα.

δεικνύουσι σαφῶς αἱ ἐν τοῖς συγγράμμασιν αὐτῶν ἐκ τῆς Ἀποκαλύψεως μαρτυρίαι (α). Ἀλλ' ὅμως ἦσαν καὶ οἱ νόθον αὐτὴν ὑπονοήσαντες διὰ τὸ λίαν μυστηριῶδες, καὶ ὅτι δι' αὐτῆς τινες ἐπειρῶντο κρατύνειν τὴν δόξαν τῶν *χιλιαστῶν* (β). Ἡ τοίνυν ἐν Λαοδικείᾳ Σύνοδος, καθὼς ἀπεσιώπησε τὴν Ἀποκάλυψιν δι' ἀκριβολογίαν, πορευθεῖσα λίαν πεφυλαγμένως διὰ τῶν ὁμολογουμένων καὶ δεδημοσιευμένων ἐν ταῖς ἱεραῖς τῆς Ἐκκλησίας τελεταῖς, οὕτω παρεσιώπησε καὶ τὰ τῆς Παλαιᾶς εἰσαγωγικῶς *Ἀναγινωσκόμενα*, ἀποκλείουσα πᾶσαν πρόφασιν τοῖς τότε βουλομένοις εἰς τὴν Ἐκκλησίαν ἐκείνην εἰσάγειν καὶ ἄλλα τινὰ βιβλία καινοφανῆ καὶ ἀπόκρυφα, ἵνα καὶ αὐτὰ μετὰ τῶν τοῦ Ἐσδραίου κανόνος προφητικῶν ἐν ταῖς ἱεραῖς ἀναγινώσκωνται τελετουργίαις (βλ. καὶ ἑξῆς §. ιθ). Οὐδ' ἂν εἴποι τις, ὅτι δῆθεν ἐκπεπτώκασι τὰ Ἀναγινωσκόμενα ἐκ τοῦ Συνοδικοῦ τούτου κανόνος ἐν ταῖς ἀντιγραφαῖς. Ἀλλ' οὐδὲ πάλιν ἐκ τῆς τούτων ἀποσιωπήσεως νοθίζεται ὁ κανών· τοῦτο γὰρ μόνοι τινὲς τῶν νεωτέρων ἀλόγως ὑπώπτευσαν, α), διότι λείπει ὁ κανὼν ἐν ἀρχαίῳ τινι κώδηκι (εὐκόλως ἐκπεσών, ὡς ἐν τῷ τέλει τῶν τῆς Συνόδου κανόνων κείμενος, καὶ ἐν ἄλλοις οὐχ ἧττον ἀρχαίοις καὶ πλείστοις σῳζόμενος ἀπογράφοις), καὶ β), διότι λείπει ἐξ αὐτοῦ (δι' οὓς προείπομεν λόγους) ἡ Ἀποκάλυψις (γ).

(α) Μνημονεύουσιν ἐκ τῆς θείας Ἀποκαλύψεως ῥήσεις Διονύσιος ὁ Ἀρειοπαγίτης, Ἰγνάτιος ὁ θεοφόρος, Πολύκαρπος, ὁ Κορίνθου Διονύσιος, Παπίας, Ἑρμᾶς, Ἰουστῖνος ὁ μάρτυς, Εἰρηναῖος, Ἀθηναγόρας, Θεόφιλος ὁ Ἀντιοχείας, Κλήμης ὁ Ἀλεξανδρεύς, Ἱππόλυτος, Τερτυλλιανός, Ὠριγένης, Κυπριανός, Ἐφραίμ, ὁ Μ. Βασίλειος, Χρυσόστομος, Γρηγόριος ὁ Θεολ. (τόμ. α. σελ. 516, 528, 573), Κύριλλος ὁ Ἀλεξανδρείας, Ἱερώνυμος, Αὐγουστῖνος, καὶ ἄλλοι τῶν πατέρων συχνοί. (βλ. καὶ Woodhouse, Dissertation on the Apocalypse, p. 55—84). Ἐν δὲ τῷ ΠΕ Ἀποστολικῷ κανόνι οὐ μνημονεύεται ἡ Ἀποκάλυψις, ὡς μηδὲ παρὰ τῷ τοὺς Κανόνας ἐκδόντι Κλήμεντι τῷ Ῥώμης, ἅτε μήπω τότε δεδημοσιευμένη· «Ἑωράθη δὲ σχεδὸν πρὸς τῷ τέλει τῆς Δομετιανοῦ ἀρχῆς» (Εἰρην. Ε, 30. σελ. 330). Βλ. Ἀρέθαν (ἐν προοιμ.), καὶ Ἀνδρέαν Καισαρείας ἐν ἑρμηνείᾳ τῆς Ἀποκαλύψεως· καὶ τὸ ἐν Πηδαλ. σχόλ. εἰς τὸν ΠΕ, Ἀποστ. κανόνα. πρβλ. καὶ Le Moyen, Var. Sacr. T. 2. p. 1014· Schmid. l. c. p. 294.

(β) Βλ. Horne, An Introduction etc. vol. 4. p. 481.

(γ) Schmid. l. c. p. 385.

§. η. Ε). Ὁ θεῖος Ἐπιφάνιος (τῷ 380) ἀριθμῶν τὰς κατὰ τὸν Ἐσδραῖον κανόνα θεοπνεύστους βίβλους τῆς Γραφῆς, κβ παρ' ἑβραίοις ἀριθμουμένας (τόμ. β. σελ. 162), ἐπὶ τέλους προστίθησιν· «Αἱ γὰρ στιχήρεις δύω βίβλοι, ἥτε τοῦ Σολομῶντος [Σοφία], ἡ Πανάρετος λεγομένη, καὶ ἡ ὑπὸ τοῦ Ἰησοῦ τοῦ υἱοῦ Σειράχ, - καὶ αὗται χρήσιμοι μέν εἰσι καὶ ὠφέλιμοι, ἀλλ' εἰς ἀριθμὸν ῥητὸν οὐκ ἀναφέρονται· διὸ οὐδὲ ἐν τῷ *Ἀρῶν* ἀνετέθησαν» (τουτ. ἐν τῷ τῆς Διαθήκης κιβωτίῳ. Βλ. βιβλ. Γ. σελ. 13, 19). καὶ πάλιν· «Εἰσὶ δὲ καὶ ἄλλαι δύω βίβλοι παρ' αὐτοῖς (τοῖς Ἰουδαίοις) ἐν ἀμφιλέκτῳ, ἡ Σοφία τοῦ Σειρὰχ καὶ ἡ τοῦ Σολομῶντος, χωρὶς ἄλλων τινῶν βιβλίων ἐναποκρύφων» (τόμ. α. σελ. 19). Ἀλλ' ὅτι καὶ ταύτας καὶ τ' ἄλλα τῶν *Ἀναγινωσκομένων ἐν ταῖς θείαις Γραφαῖς* ἀριθμεῖ (καί τοι μὴ καθ' ἑβραίους κανονικὰ), αὐτὸς ἡμῖν ἐρεῖ. Μνημονεύων γὰρ τῶν τῆς Παλαιᾶς κανονικῶν, ἀπαριθμῶν δὲ καὶ τὰ τῆς Καινῆς Διαθήκης, εὐθὺς μετὰ τὴν Ἰωάννου Ἀποκάλυψιν ἐπισυνάπτει καὶ ταῦτα· «*Ἔν τε ταῖς Σοφίαις, Σολομῶντός τέ φημι καὶ υἱοῦ Σειρὰχ, καὶ πάσαις ἁπλῶς γραφαῖς θείαις*» (Αἱρέσ. ος. σελ. 941).

§. θ. ς) Κύριλλος ὁ Ἱεροσολύμων (τῷ 350) ἀπαριθμῶν μόνα τὰ κανονικὰ βιβλία τῆς Παλαιᾶς κατὰ τὸν Ἐπιφάνιον καὶ Ὠριγένην, οὐδὲν τῶν Ἀναγινωσκομένων ἐξ ὀνόματος μνημονεύει. Προσθεὶς δὲ καὶ τὰ τῆς Καινῆς, ἔπειτα ἐπιφέρει· «Τὰ δὲ λοιπὰ πάντα *ἔξω κείσθω, ἐν δευτέρῳ*» (Κατηχ. Δ, σελ. 38). Οὕτως ὠνόμασε τὰ ἔξω τῶν *κανονικῶν*, δεύτερα κατὰ τὴν *τάξιν* ἀριθμούμενα, αὐτὰ δηλονότι τὰ *Ἀναγινωσκόμενα*. Καὶ ἐξ αὐτῶν δὲ τῶν τῆς Καινῆς Διαθήκης *κανονικῶν* παρέλιπε τὴν Ἀποκάλυψιν.

§. ι. Ζ) Ἱλάριος ὁ Πικτόνων ἐπίσκοπος (Pictaviensis, ἐν Ἀκυϊτανίᾳ τῆς Γαλλίας), ἑλληνικῆς καὶ λατινικῆς παιδείας εἰς ἄκρον ἐγκρατὴς (τῷ 355), ἀπαριθμῶν κατὰ τὸν Ὠριγένην, τὰ ΚΒ, κανονικὰ τεύχη τῆς Παλαιᾶς, προστίθησι καὶ ὅτι «Ἔδοξέ τισι, *προστεθέντων καὶ τοῦ Τωβὶτ καὶ τῆς Ἰουδεὶθ*, ΚΔ βιβλία, κατὰ τὸν ἀριθμὸν τῶν παρ' Ἕλλησιν κδ γραμμάτων, συ-

ναριθμεῖν» (α). Οἱ τοίνυν καὶ ταῦτα τὰ δύω τεύχη πρὸς τοῖς κανονικοῖς προστιθέντες, φανερὸν, ὅτι προσετίθουν, ὡς θεῖον ἔχοντα κῦρος (πῶς γὰρ ἀνἄλλως ἠδύνατο μετὰ τῶν θεοπνεύστων καὶ τὰ μὴ τοιαῦτα συναριθμεῖν;)· καὶ ἐκ τούτου πάλιν βεβαιοῦται ὅ,τι προείπομεν περὶ τῶν ἐκτὸς μὲν τῶν κανονικῶν παρά τε τῷ Μ. Ἀθανασίῳ κἀν τῷ Ἀποστολικῷ κανόνι τεθειμένων, ἀλλ᾽ οὐχ᾽ ἧττον ἁγίων καὶ θείων νενομισμένων (§. δ, καὶ § ς). Ἀλλὰ καὶ αὐτὸς ὁ Ἱλάριος (ἐν ταῖς ἐξηγήσεσι τῶν Ψαλμῶν) οὐ μόνον τοῦ Τωβὶτ ἐκφέρει ῥήσεις, καὶ τῆς Ἰουδεὶθ (ἣν καὶ *Νόμον* ἁπλῶς, ὡς καὶ τὰς κανονικὰς Γραφὰς, ἀποκαλεῖ), ἀλλὰ καὶ τῆς Σοφίας τοῦ Σολομῶντος (ἣν καὶ *βίβλον προφητικὴν* ὀνομάζει), καὶ τῆς Σοφίας Σειράχ· καὶ καθόλου τὰ *Ἀναγινωσκόμενα*, ὡς θεῖα καὶ προφητικὰ θεωρεῖ, καθὼς ὁ Βενεδικτινὸς αὐτοῦ ἐκδότης ἀπέδειξε.

§. ια. Η) Ὁ μακάριος Ἱερώνυμος (τῷ 380) ἐν τῷ καταλόγῳ τῶν κανονικῶν τευχῶν τῆς Παλαιᾶς εἰς τρεῖς τάξεις αὐτὰ (κατὰ τοὺς αὐτῷ συγχρόνους Ἑβραίους) διαιρεῖ· δηλονότι εἰς *Νόμον*, καὶ *Προφήτας*, καὶ *Ἁγιόγραφα* (ἐν τούτοις τάττει καὶ τὸν Δανιὴλ, ἀποδιϊστῶν ἀπὸ τῶν ἄλλων προφητῶν, ὡς φίλον τοῖς Ῥαββίνοις! οὐδὲ τὸν μετὰ τοῦ Ἱερεμίου εἰς ἓν βιβλίον συνημμένον Βαροὺχ ἀριθμεῖ, οὐδὲ τὴν αὐτοῦ γοῦν τοῦ Ἱερεμίου ἐπιστολὴν, καταλιπὼν κἀν τούτοις μηδ᾽ ἀκούσας τὸν Ὠριγένην, ᾧπερ ὤφειλεν ἄλλα τε πολλὰ, καὶ μάλιστα τὴν περὶ τὰς θείας βίβλους κριτικὴν διάγνωσιν τοῦ Ἑβραίου κώδηκος). Μετὰ δὲ τὴν ἀπαρίθμησιν τῶν κανονικῶν ἐπιφέρει ταῦτα· «Πᾶν ὅ,τι τούτων ἐστὶν ἐκτὸς, ἐν τοῖς *Ἀπο-*

(α) **S. Hilar. prol· in Psalm. n. 15** ἐκδ. τῶν Βενεδικτινῶν. Ἄλλοι πάλιν διαιροῦντες τὴν Ῥοὺθ ἀπὸ τῶν Κριτῶν, καὶ τοὺς Θρήνους ἀπὸ τῶν προφητειῶν τοῦ Ἱερεμίου, ἠρίθμουν κδ αὐτὰ τὰ καθ᾽ ἑβραίους κανονικὰ, οὐ κατὰ τὸν ἀριθμὸν τῶν κδ, γραμμάτων, ἀλλὰ μεταφορικώτερον κατὰ τοὺς κδ, πρεσβυτέρους τῆς Ἀποκαλύψεως (κεφ. δ, 4), ὡς λέγει ὁ Ἱερώνυμος (**in prol. Galeat.**). Καὶ οἱ Ταλμουδικοὶ δὲ ὕστερον ἐμιμήθησαν τὸν ἀριθμὸν, ἐξάγοντες ὡς ἂν ἐκ τοῦ τετραγραμμάτου τρία στοιχεῖα (ἀριθμητικῶς σημαίνοντα τὸν 24 ἀριθμὸν), πρὸς δήλωσιν τῶν κδ βιβλίων τῆς Γραφῆς. βλ. **Ackermann, Introduct. p. 34.**

κρύφοις θετέον. Καὶ τοίνυν ἡ Σοφία, ἥτις κοινῶς ἐπιγέγραπται εἰς τὸν Σολομῶντα, καὶ ἡ βίβλος Ἰησοῦ υἱοῦ Σειράχ, καὶ ἡ Ἰουδεὶθ, καὶ ὁ Τωβίας οὐ κεῖνται ἐν τῷ κανόνι. Τῶν δὲ Μακκαβαίων τὸ μὲν Α, βιβλίον εὗρον καὶ ἑβραϊκόν· τὸ δὲ Β, ἑλληνικόν ἐστι» (τουτ. ἑλληνιστὶ συνεγράφη), «ὡς καὶ ἐξ αὐτῆς τῆς φράσεως ἀποδειχθῆναι δύναται» (ἀπὸ τοῦ β, κεφ. στίχ. 18, καὶ ἐφεξῆς· ἀλλὰ τίς ἡ χρεία τῶν ἐκ τῆς φράσεως ἀποδείξεων, ὅτε τοῦτο ῥητῶς αὐτὸς ὁ συγγραφεὺς τῆς Β, Μακκαβ. διακηρύττει; ἐν κεφ.β. 23). Ταῦτα ὁ μακάριος Ἱερώνυμος ἐν τῷ *κορυστῇ*, ἢ *κορυθωτῷ* αὐτοῦ *Προλόγῳ* (α). Ἀλλ' ὅδ' αὐτὸς οὗτος ὁ πατὴρ εἶπε πάλιν, καὶ ὅτι «*τὸν Τωβὶτ καὶ τὴν Ἰουδεὶθ οἱ Ἑβραῖοι ἀριθμοῦσιν ἐν τοῖς Ἁγιογράφοις*» (β).

(α) Prolog. Galeatus. πρβλ. καὶ Biblioth. divina, καὶ 2 Epist· ad Paulin. (IV. p. 571—574).

(β) Prol. in Tobiam. καὶ prol. in Iudith (ὅπου ἀντὶ τοῦ Ἁγιόγραφα, Hagiographa, κώδηκές τινες ἔχουσιν Apocrypha, καὶ οὕτω διορθοῦσιν, ἢ μᾶλλον διαστρεβλοῦσι τὴν λέξιν οἱ τοῦ Μασοραίου κώδηκος ὑπερασπισταὶ, πρὸς οὓς ἀντιλέγουσιν ἄλλοι, δικαιότερα κρίνοντες, καὶ Ἁγιόγραφα γράφοντες τὴν ἀνάγνωσιν ὡς γνησίαν· βλ. Marchini, De Divin. et can. S. Bibl. p. 157: Niccolai, Disseration. e Lezioni di S. Scrit. T. XI. p. 7.- Liebermann, Institut. Theol. T. 2. p. 344. - Ackermann, Introduct. p. 36). Καὶ ὁ δεινὸς Σκαλίγηρος (σημ. εἰς Εὐσεβ. Χρον. Β) Ἁγιόγραφα ἀναγνοὺς, ἀποθαυμάζει τὸν Ἱερώνυμον, πῶς ἔγραψεν, ὅτι παρ' Ἑβραίοις ὁ Τωβὶτ καὶ ἡ Ἰουδεὶθ ἐν τοῖς Ἁγιογράφοις ἀριθμοῦνται, ἐν ᾧ ὑπάρχει βέβαιον, ὅτι οὐδέποτε ταῦτα τὰ τεύχη κατετάχθησαν ἐν τῷ Κανόνι »- Ἀλλ' ὁ Σκαλίγηρος ἐψεύσθη (φησὶν ὁ Ὑέτιος Dem. Evang. Prop. iv. p. 200), νομίσας, ὅτι οἱ Ἰουδαῖοι μόνον τὰ ἐν τῷ Ἐσδραίῳ Κανόνι καλοῦσιν ἁγιόγραφα (τὰ κατ' αὐτοὺς Ketubim)· οἱ δ' ἔχουσι καὶ ἄλλα, μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον γραφέντα, ἢ γνωσθέντα, καθ' ὃν χρόνον ἔλειψεν ἐν τῇ Συναγωγῇ (καθά φασιν οἱ Ῥαββῖνοι) τὸ πνεῦμα τῆς προφητείας, ἠκούετο δὲ μόνον ἡ θυγάτηρ τῆς φωνῆς (ἡ Βαθ-Κολ. βλ. ὄπισθ. κεφ. γ. §. β). Καὶ τὰ μὲν ἐν τῷ Κανόνι προφητικὰ Ἁγιόγραφα θέλουσιν οἱ Ῥαββεῖς ὑπηγορευμένα ἐκ πνεύματος ἁγίου (Ruah hacadesch)· τὰ δ' ἐκτὸς τοῦ Κανόνος, ἐκ τῆς Θεοῦ φωνῆς (τῆς Βαθ-Κολ). Καί τοι δὲ ταῦτα κατώτερα τῶν ἐν τῷ Κανόνι ἁγιογράφων πρεσβεύουσιν, ἀλλ' ὅμως Ἁγιόγραφα λέγουσι καὶ ταῦτα, καὶ κατὰ θείαν ἔμπνευσιν γεγραμμένα. Τοιαῦτα ὁ Ὑέτιος, Ἀλλὰ καὶ ὁ Ἰώσηπος ὁ τὴν ῥαββινικὴν θυγατέρα τῆς φωνῆς μηδόλως εἰδὼς, οὔτε βέβηλα, οὔτ' ἀπόκρυφα, οὔτε παντελῶς ἀθείαστα φαίνεται νομίζων τὰ ἀπὸ τοῦ Ἀρταξέρξου καὶ ἐφεξῆς γεγραμμένα (ἐν οἷς ἐτίθη πάντως καὶ τὰ κατὰ τοὺς ῥαββίνους καὶ τὸν Ἱερώνυμον ἁγιόγραφα, τὰ ἐκτὸς τοῦ Κανόνος), μεταξὺ

Τὸ δὲ μεῖζον, ὅτι καὶ ὑπὸ τῆς Α, Συνόδου λέγει τὴν Ἰουδεὶθ συναριθμηθεῖσαν μετὰ τῶν ἁγίων Γραφῶν (λέγομεν περὶ τούτου ἐν τοῖς ἑξῆς). Καὶ αὐτὸς δὲ τὴν Ἰουδεὶθ ὡς ἰσότιμον τῇ τε Ῥοὺθ καὶ τῇ Ἐσθὴρ ἀνεκήρυξε· «Ῥοὺθ (φησιν), Ἐσθὴρ, *Ἰουδεὶθ*, εἰς τοσοῦτον ἤλασαν δόξης, ὥςε καὶ ταῖς *δέλτοις ταῖς ἁγίαις* τὰ ὀνόματα αὐτῶν παραδεδώκασιν». (Ἐπις. κ)· τοὺς δὲ τὸν Τωβὶτ μὴ δεχομένους (ὃν αὐτὸς μετέφρασεν ἐκ τοῦ ἑβραϊκοῦ) Φαρισαίους ἄντικρυς ἀποκαλεῖ. Ἐν δὲ, τέλος, τῷ εἰς τὸν Σολομῶντα προλόγῳ ὁμολογεῖ, ὅτι καὶ τὰς δύω Σοφίας, καὶ τὸν Τωβὶτ, καὶ τὴν Ἰουδεὶθ, καὶ τὰ Μακκαβαϊκὰ *ἀναγινώσκει* μὲν ἡ Ἐκκλησία, ἀλλ' οὐ συναριθμεῖ μετὰ τῶν (καθ' Ἑβρ.) κανονικῶν Γραφῶν· κέχρηται δὲ τούτοις πρὸς οἰκοδομὴν τοῦ λαοῦ, οὐχὶ πρὸς ἀπόδειξιν τῶν κυρίων δογμάτων τῆς εὐσεβείας. Ὥστε διὰ τούτων ὁ Ἱερώνυμος, ἃ πρότερον εἶπεν Ἀπόκρυφα (ἴσως ἠπιώτερον ἐκλαμβάνων τὴν λέξιν· βλ. ἐφεξ. §. ιθ), ταῦτα πάλιν ὡμολόγησε καὶ *ἀναγινωσκόμενα* ὑπὸ τῆς Ἐκκλησίας.

§. ιϐ. Θ) Ἀλλ' ἐν ᾧ τοιουτοτρόπως ἀμφεταλαντεύετο περὶ τῶν κατ' αὐτὸν Ἀποκρύφων ὁ πανεύφημος Ἱερώνυμος, διχογνωμῶν, καὶ πρὸς ἑαυτὸν ἀντιφάσκων (ὡς εἴωθεν ἐνίοτε), ἔστησεν αὐτοῦ τὸν σάλον ὁ Κανὼν τῆς κατὰ τοὺς αὐτοὺς χρόνους (τῷ 397), ἐν θείῳ πνεύματι συνελθούσης Γ, ἐν Καρθαγένῃ Συνόδου (α). Αὕτη ἡ

τῶν ἐν τῷ Κανόνι προφητικῶν, καὶ τῶν ἀκράτως ἀνθρωπικῶν συγγραφῶν, καὶ θρησκευτικῆς πίστεως ἠξιωμένα, καί τοι μὴ ὁμοίως τῇ τῶν Κανονικῶν (ϐλ. ὄπισθ. σελ. 49).

(α) Καὶ πρὶν ἢ συνέλθῃ ἐν Καρθαγένῃ ἡ τὸν ἀνωτέρω ἐκτιθέμενον κανόνα ἐκδοῦσα Σύνοδος, ἔτι κατὰ τὸ 393. συνέστη ἡ ἐν Ἱππῶνι, ἥτις ἀνεκήρυξε τὰ Ἀναγινωσκόμενα ἅγια ϐιϐλία, ἀνήκοντα εἰς τὸν κανόνα τὸν Ἐκκλησιαστικὸν, κατὰ τὴν ἀρχαίαν παράδοσιν τῶν Πατέρων. Διήγειρε δὲ τὴν περὶ τούτου φροντίδα τῆς Συνόδου ἐκείνης (ἐν ᾗ παρῆν καὶ ὁ ἱερὸς Αὐγουστῖνος. **Du-Pin, Nouv. Biblioth· T.3. p. 159**) ἡ περὶ τῶν Ἀναγινωσκομένων ὡς ἀποκρύφων γνώμη τοῦ μακαρίου Ἱερωνύμου, οὗ τινος τὰ συγγράμματα διεδίδοντο ἤδη, καὶ ἀνεγινώσκοντο παρὰ τοῖς Λατίνοις, ὡς ὀρθῶς ἐσημείωσεν ὁ Ἰάννης (**Jahn, Einleit. Bd.1. p.138**). Ὁ δὲ τούτου συνοψιστὴς Ἀκκερμᾶν (**Introductio etc. pag.39**) μάτην ἀπέδωκε τὴν ὕστερον ὑπὸ τῆς ἐν Καρθαγένῃ Συνόδου ἔκδοσιν τοῦ Κανόνος ε ἰ ς τ ὰ ς δ ι α φ ω ν ί α ς τ ῶ ν Ἀ ν α τ ο λ ι κ ῶ ν Π α τ έ ρ ω ν. Ποίας λέγει διαφωνίας; Τίς ποτε τῶν Ἀνατολικῶν Πατέρων ἀπεκήρυξεν, ὡς ὁ Ἱερώνυμος, τὰ ἀναγινωσκόμενα ὡς ἀπόκρυφα; Εἰ δὲ καὶ ταῦτα

τοπικὴ Σύνοδος στηλιτεύουσα μάλιστα τὴν ἐν τῇ Δύσει τότε φρυάττουσαν κατὰ τῆς παλαιᾶς ἐξόχως Γραφῆς μανίαν τῶν αἱρετικῶν (καὶ ἰδίως τῶν Μανιχαίων), ἐκδέδωκεν ἐν ἰδίῳ κανόνι καθολικὸν τῶν θείων βιβλίων κατάλογον, τὸν ἑξῆς. «(Ἤρεσεν) Ὁμοίως, ἵνα, ἐκτὸς τῶν *κανονικῶν Γραφῶν*, μηδὲν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινώσκηται ἐπ᾽ ὀνόματι ΘΕΙΩΝ ΓΡΑΦΩΝ. Εἰσὶ δὲ αἱ κανονικαὶ Γραφαὶ τουτέστι, Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον, Ἰησοῦς ὁ τοῦ Ναυῆ, Ῥοὺθ, Κριταὶ, τῶν Βασιλειῶν βίβλοι τέσσαρες, τῶν Παραλειπομένων βίβλοι δύω, Ἰὼβ, Ψαλτήριον, Σολομῶντος βίβλοι *πέντε* (α), τῶν Προφητῶν βίβλοι δώδεκα, Ἡσαΐας, Ἱερε-

μὴ συνηρίθμουν τινὲς ἐξ αὐτῶν ἐν τοῖς καταλόγοις τῶν κανονικῶν Γραφῶν, ἀλλ᾽ οὗτοι κατέγραφον τὸν Ἑβραῖον κανόνα, καθ᾽ ὃν ἡ Ἀποστολικὴ Ἐκκλησία μόνοις τοῖς κανονικοῖς ἀνέκαθεν ἐχρῆτο βιβλίοις ἐν ταῖς ἱεραῖς αὐτῆς ἁγιστείαις καὶ τελεταῖς· τῶν δ᾽ Ἀναγινωσκομένων τὸ κῦρος καὶ τὴν χρῆσιν εἶχε διατεταγμένην ὅ,τε Κανὼν ὁ Ἀποστολικὸς, καὶ ἡ παράδοσις. Οὕτω καὶ ἄλλοι τῶν Ἀνατολικῶν, πολλῷ καὶ τῆς ϛ, Οἰκουμενικῆς Συνόδου μεταγενέστεροι, μόνα τὰ τοῦ Ἑβραίου κανόνος ἠρίθμησαν ἐκ τοῖς καταλόγοις (βλ. ἐφεξῆς §. ιδ). Ἔπειτα, καὶ αὐτὸς ὁ Καρθαγεναῖος Κανὼν ἐφεδράζεται ῥητῶς ἐπὶ τῆς παραδόσεως τῶν Πατέρων τῆς Ἐκκλησίας, πρώτιστα δηλονότι τῆς Ἀνατολικῆς, παρ᾽ ἧς ἔλαβεν ἡ Δυτικὴ ὅλον τὸν κώδηκα τῶν ἱερῶν Γραφῶν συνάμα μετὰ τῶν Ἀναγινωσκομένων, οἷς ἐχρήσατο καὶ ὁ πρὸ τῆς ἐν Ἵππῶνι Συνόδου ὅλον αἰῶνα πρότερον ἀκμάσας Ἀφρικανὸς Τερτυλλιανός· καὶ ἐν Γαλλίᾳ, ὁ Σμυρναῖος τοῦ Ἀποστολικοῦ Πολυκάρπου μαθητὴς Εἰρηναῖος.- Καὶ πρὶν ὁ πάπας Ἰννοκέντιος συναινέσῃ μετὰ τῆς ἐν Καρθαγένῃ Συνόδου, ὁ ἀποστολικὸς τῆς Ῥώμης ἐπίσκοπος Κλήμης ἐχρῆτο ῥήσεσιν ἐκ τῶν Ἀναγινωσκομένων, τοῖς πρώτοις χρησαμένοις Ἀποστόλοις παρακολουθῶν, καὶ τῷ Κανόνι τούτων, ὃν αὐτὸς ἐξέδωκε μετὰ τῶν Διαταγῶν, καὶ τῇ χρήσει δὲ τῶν Ἀνατολικῶν Ἐκκλησιῶν συμφωνῶν, περὶ ἧς ἐμαρτύρει καὶ Ὠριγένης (ὡς εἴδομεν ἀνωτέρω) Καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ μακάριος Ἱερώνυμος μετὰ τὴν ἔκδοσιν τοῦ Κανόνος τῆς ἐν Καρθαγένῃ Συνόδου μετέβαλε γνώμην, ἀποδεξάμενος τὸ κῦρος τῶν Ἀναγινωσκομένων, ὡς μαρτυροῦσιν οἱ ἀνωτέρω μνημονευθέντες αὐτοῦ λόγοι περί τε τῆς Ἰουδεὶθ καὶ τῶν ἄλλων τευχῶν. Τὸν δὲ κορυθωτὸν αὐτοῦ πρόλογον, ἐν ᾧ ἀνεκήρυττε τὰ Ἀναγινωσκόμενα ὡς ἀπόκρυφα, εἶχεν ἤδη ἐκδοὺς πρὸ τῆς ἐν Καρθαγένῃ Συνόδου (βλ. **Herbst, Einleit. Bd. 1. p. 37**).

(α) Δηλονότι Παροιμίαι, Ἐκκλησιαστὴς, Ἆσμα Ἀσμάτων, Σοφία Σολομῶντος, καὶ Σοφ. Σειρὰχ (βλ. ὄπισθεν σελ. 114). Ἐν δὲ τῷ Πηδαλίῳ (Καρθ. καν. λβ) γράφονται τέσσαρες· ἀλλ᾽ οὕτω μένει ἐκτὸς ἡ βίβλος τοῦ Σειρὰχ, ἣν καὶ ταύτην ὁ κα-

μίας, Ἰεζεκιὴλ, Δανιὴλ, Τωβίας, Ἰουδεὶθ, Ἐσθὴρ, Ἔσδρα βίβλοι δύο » (καὶ ἐφεξῆς ἀκολουθοῦσι καὶ αἱ τῆς νέας Διαθήκης μετὰ τῆς Ἀποκαλύψεως· ἔπειτα ἐπιφέρονται ταῦτα). « Τοῦτο δὲ τῷ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν Βονιφατίῳ, καὶ τοῖς ἄλλοις τῶν αὐτῶν μερῶν ἐπισκόποις, πρὸς βεβαίωσιν τοῦ προκειμένου κανόνος γνωρισθῇ· ἐπειδὴ παρὰ τῶν Πατέρων ταῦτα ἐν τῇ Ἐκκλησίᾳ ἀναγνωστέα παρελάβομεν » (α).

§. ιγ. I) Τοῦτον τὸν κανόνα τῆς ἐν Καρθαγένῃ τοπικῆς Συνόδου, καὶ ἡ ϛ, Οἰκουμενικὴ Σύνοδος (τῷ 691) ἐβεβαίωσεν, ἐπισφραγίσασα καὶ κυρώσασα καθόλου πάντας τοὺς κανόνας τῆς ἐν Καρθαγένῃ (καν. β, καὶ λβ). Ὅθεν καὶ οὗτος μετὰ τῶν ἄλλων κανόνων προσέλαβε καὶ κῦρος οἰκουμενικὸν καὶ καθολικόν. Τούτῳ συμφώνως καὶ ὁ πάπας Ἰννοκέντιος ἐξέδωκε τὴν ἔκθεσιν τοῦ κανόνος

νὼν βούλεται ἀριθμητέαν μετὰ τῶν θείων Γραφῶν, ὡς φαίνεται ἐκ τοῦ Τωβὶτ, καὶ τῆς Ἰουδεὶθ. Πέντε δὲ ἀνέγνω καὶ ὁ Ζωναρᾶς. Μόνον τὰ τῶν Μακκαβαίων λείπουσιν ἐκ τῶν ἑλληνικῶν κωδήκων τοῦ κανόνος (ὃ καὶ Ἰουστέλλος ἐσημείωσε τόμ. α. σελ. 425)· κεῖνται δὲ ὅμως καὶ ταῦτα (μετὰ τὸν Ἔσδραν) ἐν τοῖς λατινικοῖς ἀπογράφοις. Ὅτι δὲ καὶ οὗτος ὁ κανὼν μετὰ τῶν ἄλλων Λατινιστὶ συνεγράφη, καὶ ἐκ τῆς Λατινικῆς ἐξελληνίσθη, δείκνυσιν ἡ φράσις αὐτή. Ἀλλὰ καὶ Ἰννοκέντιος ὁ Πάπας (τῷ 405) ἐν τῇ πρὸς Ἐξουπέριον ἐπιστολῇ κατὰ τὸν ἀνωτέρω κατάλογον τῆς ἐν Καρθαγένῃ Συνόδου καὶ αὐτὸς ἀπαριθμῶν τὰ κανονικὰ τῆς παλαιᾶς, προστίθησι καὶ Μακκαβαίων βιβλία δύω (Innoc. Epist. ad Exuperium episc. Tholosanum), ὁμοίως καὶ ὕστερον (τῷ 515) ὁ γραφικώτατος Κασσιόδωρος (Instit. Divin. c. XIV, p. 516). Ὥστε τὸ Μακκαβαίων βιβλία δύω φαίνεται προφανῶς, ὅτι ἐκπέπτωκεν ἐν τοῖς ἑλληνικοῖς ἀντιγράφοις τοῦ Καρθαγεναίου κανόνος. Ἐν δὲ τῷ κανόνι τῶν Ἀποστόλων τὰ Μακκαβαϊκὰ βιβλία γράφονται τρία. Περὶ τούτου ἐφεξῆς §. λ.

(α) Καν. κδ (λατιν. 47) παρ' Ἰουστέλλῳ (Biblioth. Juris etc. T. 1. p. 343), καὶ παρὰ τῷ Ζωναρᾷ, Ἐξηγήσ. εἰς τὸν τῆς ἐν Καρθαγ. καν. κζ. Παρὰ τῷ Ζωναρᾷ λείπει ἡ Ῥοὺθ (ἐκπεσοῦσα πάντως). Ἐν δὲ τῷ ἀνωτέρω κειμένῳ τοῦ Κανόνος ἀριθμεῖται πρὸ τῶν Κριτῶν οὐ κατὰ τὴν τάξιν, δέον ὕστερον. Σημειωτέον δὲ καὶ ὅτι τὰ πρὸς τῷ τέλει τοῦ κανόνος ἐπιφερόμενα. « Τοῦτο δὲ τῷ ἀδελφῷ » κτλ. προσετέθησαν ὕστερον εἰς τὴν Ϛ, ἐν Καρθαγένῃ Σύνοδον (τῷ 419), ἐν ᾗ καὶ ὁ ἱερὸς Αὐγουστῖνος παρῆν, ὅτε Πάπας ἦν ὁ Βονιφάτιος, κατὰ δὲ τὴν σύνταξιν τοῦ κανόνος ἐπάπευεν ὁ Σιρίκιος, ὡς ὀρθῶς ἐσημείωσεν ὁ σοφὸς Λιβερμᾶν (Instit. Theologic. T. 2. p. 335).

τῶν θείων Γραφῶν, ὡσαύτως καὶ ὁ ἱερὸς Αὐγουστῖνος (α), καὶ ὁ Κασσιόδωρος (ὡς προσεσημείωται ἀνωτέρω)· ἄλλους τῶν Λατίνων μεταγενεστέρους παραλείπομεν (β). Ἐκεῖνα δὲ μάλιστα κρίνομεν προσθετέα. α) Ὅτι ὁ Κανὼν οὗτος μεταξὺ τῶν κβ, κανονικῶν συνεξέθηκε καὶ τὰ πέντε τὰ *ἀναγινωσκόμενα*, ὡς θεῖα καὶ ταῦτα πεπιστευμένα. β) Ἐκ τοῦ Κανόνος φαίνεται σαφῶς, ὅτι τὸ περὶ τῆς θεοπνευστίας τῶν Ἀναγινωσκομένων δόγμα ὑπῆρχεν ἀρχαία τῶν θείων Πατέρων παράδοσις, εἰς ἣν ἐπιστηριζομένη ἡ Σύνοδος, διέταξε καὶ ταῦτα μετὰ τῶν κανονικῶν ἀναγινώσκεσθαι ἐν τῇ Ἐκκλησίᾳ· «καθὼς (φησι) *παρελάβομεν παρὰ τῶν Πατέρων*». Τοῦτο μαρτυρεῖται καὶ ἐκ τοῦ πε, κανόνος τῶν Ἀποστόλων, ὅπου καὶ τὰ Μακκαβαϊκά, καὶ ἡ Ἰουδεὶθ συγκαταλέγονται μετὰ τῶν κανονικῶν,

---

(α) S. Augustin. de Doctrin. Christian. XXII. c. 8.

(β) Φέρεται παρὰ τοῖς Δυτικοῖς καὶ τοῦ Πάπα Γελασίου (τῷ 494) Δέκρετον (decretum), ἢ διάκριμα (κεκριμένον δόγμα, Διάταγμα), ἐν ᾧ γίνεται τῶν θείων Γραφῶν ἀπαρίθμησις σύμφωνος τῇ παρὰ τῷ Ἰννοκεντίῳ κτλ. ἀλλὰ τὸ Δέκρετον τοῦτο βεβαίως ὑπάρχει νόθον καὶ ψευδεπίγραφον, περιέχον καὶ οὐκ ὀλίγα ἄτοπα, καὶ ψευδῆ δὲ καὶ ἀσύστατα· οἷον, κατακρίνει ὡς ἀπόκρυφα τὰ συγγράμματα τοῦ Ἀφρικανοῦ, τοῦ Ἀρνοβίου, τοῦ Λακταντίου, καὶ αὐτοῦ τοῦ Κλήμεντος τοῦ Ἀλεξανδρέως! ἐξουθενεῖ δὲ καὶ τὴν Ἐκκλησιαστικὴν ἱστορίαν τοῦ Εὐσεβίου, καὶ ἄλλα παρατραγῳδεῖ, καὶ τοὺς κανόνας τῶν Ἀποστόλων ἀποκρύφους ὀνομάζει, ἐν ᾧ τούτους μετ' ὀλίγον ὁ φίλος αὐτοῦ τοῦ Γελασίου Διονύσιος ὁ μικρὸς λατινιστὶ μετέφρασε, καὶ ὕστερον αὐτοὺς ὡς γνώμονα καὶ κανόνα τῆς ἐκκλησιαστικῆς διατάξεως ἐθεώρει ἡ Ῥωμαϊκὴ Ἐκκλησία, ὡς φαίνεται παρὰ τῷ Κασσιοδώρῳ, καὶ Ἰωάννῃ τῷ β, ἐν τῇ πρὸς Καισάριον ἐπιστολῇ. Καὶ αὐτὸς δὲ ὁ Γελάσιος ὡς ἀποστολικοὺς ἀπεδέχετο τοὺς κανόνας, καὶ τούτοις ἐχρῆτο ἐν ταῖς Διατακτικαῖς αὐτοῦ ἐπιστολαῖς (βλ. Pearson Vindic. Ignat. P. I. c. 4). Καὶ μάτην ἄρα ὁ σοφὸς Λιβερμᾶν τὸ τοῦ Γελασίου Δέκρετον ἐπέσεισε κατὰ τῶν Ἀποστολικῶν κανόνων (Liebermann, Instit. Theol. T. 2. p. 338). Λέγει δὲ (p. 336) καὶ ὅτι ὁ Καβέος εἰς τὸν Πάπαν Δάμασον αὐτὸ ἀναφέρει. Ἀλλ' ὁ Καβέος ἀποφαίνεται, καὶ ψηφίζει, τέλος, (ὡς γράφει) «ἐνδικώτατα» (optimo jure), ὅτι τὸ Δέκρετον ὑπάρχει τῆς αὐτῆς ζύμης, ἐξ ἧς καὶ τὰ ψευδοδεκρετάλια, ἐν τῷ τοῦ Μερκάτωρος ἐργαστηρίῳ ἴσως καὶ αὐτὸ μεμαγμένον κατὰ τὸν θ, αἰῶνα (Cave, Scriptor. Eccles. Hist. p. 262). Νοθίζει δὲ τὸ Δέκρετον καὶ ὁ μεταξὺ πολλῶν καὶ βδελυρῶν-κακοφροσυνῶν καὶ οὐκ ὀλίγας ἀληθείας ὁμολογῶν Δεπόττερος (De-Potter, L'Esprit de l'Eglise, T. 1. p. 133).

συνυπαριθμεῖται δὲ καὶ ἡ Σοφία τοῦ Σειράχ· καὶ πρὸς τοῦτο μάλιστα τὸ παράδειγμα, καὶ τὴν ἀρχαιοτάτην χρῆσιν τῶν Ἀνατολικῶν Ἐκκλησιῶν, ἡ ἐν Καρθαγένῃ Σύνοδος συνήρμοσε καὶ τὰ λοιπὰ τῶν Ἀναγινωσκομένων. γ) Ὅτι ἡ φράσις, ἡ ἐπ' ΟΝΟΜΑΤΙ *τῶν θείων Γραφῶν*, δείκνυσι σαφῶς, ὅτι ἐν τῇ Ἐκκλησίᾳ οὐ μόνον αἱ θεῖαι Γραφαὶ ἀνεγινώσκοντο ἐξ ἀρχῆς, ἀλλὰ προσετέθησαν καὶ ἄλλα τινὰ ψυχωφελῆ· οἷον *τὰ πάθη τῶν μαρτύρων* (οἱ βίοι), κατὰ τὰς ἐτησίους αὐτῶν ἑορτὰς (ὡς ἡ αὐτὴ ἐν Καρθαγένῃ διατάσσει Καν. νδ, καὶ ὡς εἴωθε καὶ νῦν ἡ Ὀρθόδοξος Ἐκκλησία), καὶ ἡ τοῦ Ῥώμης Κλήμεντος πρὸς Κορινθίους ἐπιστολή, καὶ χρόνοις πολλοῖς ὕστερον ἐν τῇ Κορινθίων Ἐκκλησίᾳ ἀναγινωσκομένη (α), καὶ εἴ τι ἕτερον μνημονεύεται παρὰ τοῖς Πατράσι.

§. ιδ. ΙΑ) Μετὰ τοὺς προεκτεθέντας καταλόγους, καὶ ἄλλοι τούτων μεταγενέστεροι σῴζονται κατάλογοι τῶν κανονικῶν Γραφῶν, ἐν οἷς καὶ ὁ τοῦ *θείου Δαμασκηνοῦ* (τῷ 730), καὶ ὁ τοῦ Πατριάρχου Νικηφόρου (τῷ 805)· ἐν δὲ τούτοις διαστέλλονται ἰδίως τὰ καθ' Ἑβραίους κϐ, κανονικὰ ἀπὸ τῶν ἄλλων τῶν *Ἀναγινωσκομένων* (ϐ). Ἀλλ' ὅτι καὶ ταῦτα οἱ ἱεροὶ οὗτοι Πατέρες

(α) Διονύσιος ὁ Κορίνθου (τῷ 160 μ. Χ.) παρ' Εὐσεϐ. Ἐκκλησ. ἱστορ. Δ. κγ. πρϐλ. καὶ Γ. ιϛ. καὶ λη:-Ἐπιφάν. Αἱρέσ. λ. σελ. 139: -S. Hieron. ad Jovian. I. 17.

(ϐ) Βλ. τοῦ θείου Δαμασκηνοῦ τὸ περὶ Ὀρθοδ. Πίστεως. Δ. ιζ. (ἀντέγραψε δὲ τὸν Κανόνα ὁ Πατὴρ κατὰ λέξιν ἐκ τοῦ ἱεροῦ Ἐπιφανίου, περὶ μέτρ. καὶ σταθμ.)· καὶ τὴν Νικηφόρου τοῦ πατριάρχου Στιχομετρίαν (ἐν τῇ κατ' αὐτὸν Χρονογραφίᾳ, συνεκδεδομένῃ μετὰ τῆς τοῦ Συγκέλλου, τόμ. α. σελ. 786. Bon. Καί τοι ἀδέσποτον ταύτην τὴν Στιχομετρίαν ὅστε Σαλμάσιος καὶ ἄλλοι τινὲς ἔκριναν. Βλ. Pearson, Vindic. Epist. S. Ignat. c. 4). Διαιροῦνται δὲ κἀν ταύτῃ τῇ τοῦ Νικηφόρου Στιχομετρίᾳ τὰ βιβλία τῆς Παλαιᾶς εἰς κϐ κανονικά, καὶ εἰς ἀντιλεγόμενα (ἐν οἷς ἀριθμοῦνται οὐ μόνον τὰ πέντε τὰ Ἀναγινωσκόμενα, ἀλλὰ καὶ ἡ Ἐσθήρ, καὶ ἡ Σωσάννα), καὶ εἰς τὰ κυρίως ἀπόκρυφα. Ὑπάρχουσι δὲ καί τινα περὶ τὴν ῥηθεῖσαν ἔκδοσιν τῆς Στιχομετρίας ταύτης ἡμαρτημένα· οἷον ἐν τῇ ἀπαριθμήσει τῶν Ἀποκρύφων τῆς Παλαιᾶς ἐπιγέγραπται «Καὶ ὅσα τῆς Νέας (τουτ. Διαθήκης) ἀντιλέγονται» ἀντὶ τοῦ «Καὶ ὅσα τῆς Παλαιᾶς εἰσὶν ἀπόκρυφα». (ὡς καὶ ἐφεξῆς ἐπὶ τῶν τῆς Νέας κεῖται ὀρθῶς ἡ ἐπιγραφὴ «Καὶ ὅσα τὰ τῆς Νέας εἰσὶν Ἀπόκρυφα»). Ἡ δὲ βίϐλος τοῦ

ἐτίμων ὡς θείας Γραφὰς, τοσοῦτόν ἐστι βέβαιον, ὅσον καὶ ὅτι ὑπῆρχεν ἀδύνατον ἀντιλέγειν αὐτοὺς πρός τε τὸν Ἀποστολικὸν κανόνα (ὃν ὁ θεῖος Δαμασκηνὸς συνηρίθμει μετὰ τῶν λοιπῶν Ἀποστολικῶν κανόνων, καὶ πάντας αὐτοὺς ἔταξε καὶ ἐν αὐτῷ τῷ καταλόγῳ τῶν θεοπνεύστων βιβλίων τῆς Καινῆς Διαθήκης), καὶ πρὸς τὴν ἐν Καρθαγένῃ, καὶ τὴν ς, Οἰκουμενικὴν Σύνοδον (α). Ἔγωγε δὲ οἶμαι, ὅτι διὰ τοῦτο μάλιστα τὸν ἀρχαιότερον ἐτήρησαν τρόπον, διότι παρομοίως καὶ οἱ πάλαι Πατέρες, καί τοι ἐκτὸς τῶν καθ' ἑβραίους κβ, κανονικῶν τάσσοντες τὰ Ἀναγινωσκόμενα,

---

Τωβὶτ ἐπιγράφεται «Τωβὶτ καὶ Τωβίας», τοὐτέστι κἀκείνως καὶ οὕτως, ὡς εἰώθασι μάλιστα οἱ Δυτικοὶ τὴν βίβλον ἐπιγράφειν· κεῖται δὲ ὅμως καὶ παρ' Ὠριγένει τὸ Τωβίας δὶς (ἐν τῇ πρὸς Ἀφρικαν.), ἀντὶ τοῦ ἀλλαχοῦ παρ' αὐτῷ (περὶ Εὐχῆς), καὶ παρὰ πᾶσι σχεδὸν τοῖς ἡμετέροις Πατρᾶσι Τωβίτ· (βλ. καὶ ὄπισθ. σελ. 117). Τωβὶτ ἐπιγράφεται τὸ τεῦχος καὶ ἐν τοῖς ἀρχαίοις κώδηξι τῶν Ο, οἷον τῷ Ἀλεξανδρινῷ, καὶ Βατικανῷ, καὶ Κομπλουτ. κτλ.

(α) Κατὰ ταῦτα, καὶ πολλαὶ νεώτεραι Κατηχήσεις τῶν καθ' ἡμᾶς ὀρθοδόξων διδασκάλων μόνα τὰ κβ, κανονικὰ τῆς παλαιᾶς Διαθήκης ἀπαριθμοῦσιν (ὡς καὶ ἡ ἐν Λαοδικείᾳ Σύνοδος), παραλείπουσαι τὴν ἀπαρίθμησιν τῶν ἐκτὸς τοῦ Κανόνος Ἀναγινωσκομένων, ὡς ἀνήκουσαν εἰς μείζονας θεολογικὰς πραγματείας, καὶ εἰς ἄλλας μελέτας χριστιανικάς. Οὕτως ὁ φιλόχριστος Ἀλέξανδρος ὁ Στούρζας, ἐν ᾧ συνέγραψε, καὶ δαπάναις ἰδίαις ἐκδοὺς ἐδωρήσατο τοῖς φίλοις ὁμογενέσι, κοινωφελεστάτῳ Ἐγχειριδίῳ τοῦ Ὀρθοδόξου χριστιανοῦ (ἐξεδόθη ἐν Πετρουπόλει τῷ 1828), κατέγραψε πλήρη τὸν κατάλογον τῶν θείων βιβλίων τῆς Παλαιᾶς Διαθήκης, κατὰ τὸν κανόνα τῆς ἐν Καρθαγένῃ καὶ τῆς ς, Οἰκουμενικῆς Συνόδου (Ἐγχειρ. σελ. 4). Πολλὰ καὶ ἄλλα πονήματα καὶ Ῥωσσιστὶ, καὶ Ἑλληνιστὶ συντάξας, προσήνεγκε τῇ Ἐκκλησίᾳ ὁ μὴ μόνον ἀπὸ τοῦ κλέους τοῦ γένους, καὶ τῶν πολιτικῶν ἀξιωμάτων, καὶ τῆς παντοίας πολυμαθείας, ἀλλὰ καὶ πολλῷ πλέον ἀπὸ τοῦ θείου ζήλου τῆς εὐσεβείας, καὶ τῆς χριστιανικῆς ἀγάπης διασημότατος οὗτος ἀνήρ. Ἐκ τούτων εἰσὶ καὶ τὸ Μελέται θρησκευτικαὶ, ἠθικαὶ, καὶ ἱστορικαὶ, ἐπιγεγραμμένον σοφὸν αὐτοῦ σύνταγμα (γαλλιστὶ τὸ πρῶτον συγγραφὲν, ἐξελληνίσθη ὑπὸ Κωνσταντίνου Γ. Σούτζου, καὶ ἐξεδόθη ἐν Ἰασίῳ τῷ 1844), καὶ ἡ Πρώτη Ἑβδομὰς τῆς ἁγίας τεσσαρακοστῆς (Ὁμιλίαι τοῦ σοφωτάτου ἀρχιεπισκόπου πρῴην Χαρκοβίας, νῦν δὲ Χερσῶνος καὶ Ταυρίδος Ἰννοκεντίου), ἣν ἐκ τοῦ Ῥωσσικοῦ ἐξελληνίσας, ἀρτίως ἐξέδωκε, καὶ διένειμε τοῖς Ἕλλησιν (Ἀθήν. 1847). Αἱ δὲ περὶ τῶν καθηκόντων τοῦ ἱερατικοῦ ἀξιώματος, ἃς συνέγραψεν, ἀξιολογώταται Ἐπιστολαὶ ἐξεδόθησαν ἐν τόμοις δυσὶ Ῥωσσιςὶ (Ὀδησσῷ, 1840), καὶ τὸ Ἑλληνικὸν κείμενον περιμένει τοῦ τύπου τὸ φῶς.

ἢ καὶ παντελῶς ἀποσιωπῶντες, οὐδὲν ἧττον ὅμως καὶ ταῦτα ἐπρέσβευον θείας Γραφὰς, ὃ καὶ ῥητῶς ὅ,τε μακάριος Ἐπιφάνιος (βλ. ὄπισθ. σελ. 122), καὶ ὁ τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν ἐδήλωσεν, ὡς προείπομεν.

§. ιε. ΙΒ) Πρὸ δύω σχεδὸν ἑκατονταετηρίδων δύω συνεκροτήθησαν Σύνοδοι τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας πρὸς ἀναίρεσιν καὶ ἀνατροπὴν τῆς ψευδῶς ἐπ' ὀνόματι τοῦ μακαρίτου Κυρίλλου τοῦ Λουκάρεως, Πατριάρχου Κωνσταντινουπόλεως, ἐν ἔτει 1630 ἐκδοθείσης «*Ἀνατολικῆς ὁμολογίας τῆς χριστιανικῆς πίστεως*» (ἐγχειριδίου γέμοντος δογμάτων Καλβινικῶν). Συνῆλθον δὲ, ἡ μὲν πρώτη ἐν Κωνσταντινουπόλει, ἐπὶ τῆς *Παρθενίου τοῦ Γέροντος* πατριαρχείας, καὶ πάλιν ἐν Ἰασίῳ τῷ 1642 (ἐν ᾗ καὶ Πέτρος ὁ Μογίλας, ὁ ἀοίδιμος μητροπολίτης Κιαιβίας καὶ πάσης Ῥωσσίας, μετ' ἄλλων ἐπισκόπων τῆς κάτω Ῥωσσίας παρῆν) (α)· ἡ δὲ δευτέρα ἐν Ἱεροσολύμοις, τῷ 1672, ἐπὶ Δοσιθέου τοῦ

(α) Τότε ἐκυρώθη ὑπὸ πάσης τῆς καθολικῆς Ὀρθοδόξου Ἐκκλησίας βεβαιωθεῖσα καὶ, ἣν αὐτὸς συνέταξεν ὁ ἀοίδιμος Πέτρος ὁ Μογίλας, ἡ Ὀρθόδοξος Ὁμολογία τῆς καθολικῆς Ἀποστολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας (αὕτη πρῶτον ἐξεδόθη ὑπὸ τοῦ μεγάλου Διερμηνέως Παναγιωτάκη ἑλληνιστὶ τῷ 1662. ἐν ᾗ καὶ πρόλογος Παρθενίου καὶ Νεκταρίου τῶν Πατριαρχῶν· καὶ μετ' ἄλλας πολλὰς μετατυπώσεις ἐξεδόθη πάλιν ἐν Πετρουπόλει, τῷ 1838. ὡσαύτως καὶ νεωτέρα ἐκ τοῦ ἑλληνικοῦ Ῥωσσικὴ ἑρμηνεία, ὑπὸ τῆς ἐν Πετρουπόλει ἐκκλησιαστικῆς Ἀκαδημίας φιλοπονηθεῖσα, ἐν Μόσχᾳ τῷ 1841). Ἐν ταύτῃ τοίνυν τῇ Ὀρθοδόξῳ Ὁμολογίᾳ ὁ ἀείμνηστος Μογίλας (καὶ μετ' αὐτοῦ πᾶσα ἡ τὴν βίβλον ἐπικυρώσασα Ὀρθόδοξος Ἐκκλησία) κέχρηται καὶ ἐκ τῶν Ἀναγινωσκομένων βιβλίων, ὡς ἐκ τῆς θείας Γραφῆς, μαρτυρίαις πρὸς ἀποδείξεις δογματικάς· οἷον ἐν Μέρ. Α (ἐρωτ. 67) ἐκ τῆς Σοφίας Σολομ. (γ, ι), καὶ (Μέρ. Γ. ἐρωτ. 9) ἐκ τοῦ Τωβὶτ, (ιβ, 9) κτλ. Καὶ ὁ ἅγιος Δημήτριος ὁ Ῥοστοβίας μητροπολίτης (βλ. ὄπισθ. Βιβλ. Γ· σελ. 785), ὁ πολλὰ καὶ πλήρη θείας σοφίας συγγράμματα καταλιπὼν (ἐκοιμήθη ἐν Κυρίῳ τῷ 1707), πλεισταχοῦ τῶν ἱερῶν αὐτοῦ συγγραφῶν ἀναφέρει μαρτυρίας ἐκ τῶν Ἀναγινωσκομένων (τῆς Σοφίας Σολομῶντος, τῆς Σοφίας τοῦ Σειρὰχ, τοῦ Τωβὶτ, τῆς Ἰουδεὶθ) ὡς ἀπὸ κανονικῶν καὶ θείων Γραφῶν, καὶ μάλιστα πρὸς ἀποδείξεις δογματικάς· οἷον ἐν τῷ πνευματικῷ Ἀλφαβήτῳ (τόμ. α. σελ. 385, 405, 419, 421), καὶ ἐν τοῖς Ἐκκλησιαστικοῖς αὐτοῦ λόγοις (τόμ. β. σελ. 202, 264, 280, 321, 322, 341, 361, 376, 481, 494, 502, 507, 537, 541, 641, 643, 661, 665, 668, 687, 693)

ἀοιδίμου Πατριάρχου τῆς ἁγίας πόλεως. Αὗται τοίνυν ἀμφότεραι αἱ Σύνοδοι τὰ *Ἀναγινωσκόμενα* (Τωβὶτ, Ἰουδεὶθ, Σοφ. Σολομῶντος, Σοφίαν Σειρὰχ, καὶ τὰ Μακκαβαϊκὰ) θείας Γραφὰς ἀνεκήρυξαν, καταδικάσασαι καὶ ἀποκηρύξασαι, συνάμα μετὰ τῶν ἄλλων τῶν αἱρετικῶν τῆς *ψευδωνύμου ἀνατολικῆς ὁμολογίας* κεφαλαίων καὶ ἐρωτήσεων, καὶ τὴν ἐν αὐταῖς δευτέραν ἀριθμουμένην. Ἐν ταύτῃ γὰρ ὁ ψευδοκύριλλος διατάσσει «Τοσαῦτα τὸν

καὶ τόμ. γ (σελ. 21, 121, 137, 138, 177, 380, 386, 445, 505, 515, 558), καὶ τόμ. ε (σελ. 37, 46, 50, 74, 113) κτλ. (ἐκδ. Μόσχας, 1839—1840). Καὶ ὁ τοῦ ἁγίου τούτου σύγχρονος, καὶ φίλος, καὶ συναγωνιστὴς ὑπὲρ τῆς εὐσεβείας, καὶ ὁμολογητὴς Στέφανος Ἰαβόρισκος, ὁ ἀοίδιμος μητροπολίτης Ῥεζανίου (ἐτελεύτα τῷ 1722) ἐν ᾗ συνέγραψε Π έ τ ρ ᾳ τ ῆ ς Π ί σ τ ε ω ς (συγγραφῇ σοφωτάτῃ, καὶ λαμπρᾷ τῆς ὀρθοδοξίας στήλῃ) κέχρηται πρὸς ταῖς κανονικαῖς καὶ πολλαῖς τῶν Ἀναγινωσκομένων μαρτυρίαις, ὡς ῥήσεσι τῆς θεοπνεύστου Γραφῆς· οἷον (τόμ. α) τῆς Ἰουδεὶθ (σελ. 218), τῆς Σοφ. Σολομῶντος (σελ. 231), τοῦ Σειρὰχ (σελ. 358· ὅπου λέγει τὴν ῥῆσιν τοῦ ἁγίου Πνεύματος) κτλ. καὶ τόμ. β, τοῦ Τωβὶτ (σελ. 129, 207, 212, 262), τῆς Ἰουδεὶθ (210), τῆς Β, τῶν Μακκαβαίων (σελ. 219, ὅπου καὶ τὸν κανόνα τῆς ἐν Καρθαγένῃ, καὶ τὸν ΠΕ, τῶν Ἀποστόλων ἀναφέρει, τοὺς ἐπικυροῦντας τὰ Μακκαβαϊκὰ), καὶ πάλιν τοῦ Σειρὰχ (364, 374, 478, καὶ ὧδε ὡς φωνὴν τοῦ ἁγίου Πνεύματος). καὶ τόμῳ γ, ἐκ τῆς Σοφίας Σολομῶντος (σελ. 37, 38) κτλ. (ἐκδ. Πετρουπόλ. 1840). Καὶ ἄλλοι δὲ τῶν ἐπὶ σοφίᾳ καὶ ἀρετῇ διασήμων θεολόγων καὶ ἱεραρχῶν τῆς Ῥωσσίας ταῖς ἐκ τῶν Ἀναγινωσκομένων, ὡς θείων Γραφῶν, ἐχρήσαντο μαρτυρίαις, ἐν ταῖς ἱεραῖς αὐτῶν ὁμιλίαις καὶ συγγραφαῖς. Οἷον ὅ,τε Πλάτων ἐκεῖνος, ὁ σοφώτατος τῆς Μόσχας Μητροπολίτης, καὶ Γαβριὴλ ὁ Νοβογοροδίας καὶ Πετρουπόλεως (οὗ τινος τὴν ἱερὰν Τ ε λ ε τ ο υ ρ γ ί α ν ὁ ἡμέτερος Εὐγένιος ὁ ἀείμνηστος ἐξελληνίσας, δῶρον κάλλιστον τοῖς ὁμογενέσιν ἐδωροφόρησε), καὶ ὁ ἀοίδιμος Κιαιβίας μητροπολίτης Εὐγένιος, ἐν τῇ Σ υ λ λ ο γ ῇ τ ῶ ν λ ό γ ω ν αὐτοῦ, κέχρηται ῥητοῖς ἐκ τῆς Σοφ. Σολομῶντος, καὶ Σειρὰχ, καὶ Τωβὶτ, καὶ τῶν Μακκαβαίων, ἐν οἷς καὶ ἐκ τοῦ Α. Ἔσδρα. (βλ. τόμ. δ. σελ. 6, 13, 116, 69, 104, 159, 176. 245, κτλ. Κιαιβίᾳ, 1834). Καὶ (ἵνα παραλίπωμεν ἄλλους) ἐκ τῶν καθ' ἡμᾶς ἀριζήλως διαπρεπόντων (ὅσων τὰς ἐκκλησιαστικὰς ὁμιλίας ἔχομεν μετὰ χεῖρας) ὅ,τε περικλεέστατος μητροπολίτης τῆς Μόσχας καὶ φωστὴρ τῆς Ἐκκλησίας Φιλάρετος, ἐν τοῖς σοφωτάτοις αὐτοῦ λόγοις, δι' ὧν ἀφθόνως προχέει τὰ νάματα τῆς Ὀρθοδοξίας (ἐξεδόθησαν καὶ πρώην πολλοὶ, καὶ νῦν ἤδη σ υ ν ε χ ῶ ς ἐκδίδονται οἱ νεώτεροι, ἐν Μόσχᾳ καὶ ἀλλαχοῦ). Καὶ ὁ τούτου συνάμιλλος ἱεράρχης Χερσῶνος καὶ Ταυρίδος Ἰννοκέντιος, περὶ οὗ προείπομεν (ἴδε τὰς εἰς τὴν Διακαινήσιμον ἑβδομάδα μελιῤῥύτους αὐτοῦ διδαχὰς, σελ. 102, 157, 174. Κιαιβίᾳ, 1835).

ἀριθμὸν τὰ κανονικὰ βιβλία, ὅσα ἡ *ἐν Λαοδικείᾳ Σύνοδος* ἀπεφήνατο, καὶ ἡ τοῦ Χριστοῦ καθολικὴ καὶ Ὀρθόδοξος Ἐκκλησία ὑπὸ τοῦ παναγίου Πνεύματος φωτισθεῖσα, *μέχρι τοῦ παρόντος* ὑπαγορεύει. Ἅπερ δὲ *Ἀπόκρυφα* λέγεται, διὰ τοῦτο τὸ ἐπώνυμον οὕτως ἔχουσιν, ὅτι *τὸ κῦρος τοῦ ἁγίου Πνεύματος οὐκ ἔχουσιν*, ὡς τὰ κυρίως καὶ ἀναμφιβόλως κανονικὰ βιβλία» κτλ. Οὕτως ἄρα ὁ τὸν πατριαρχικὸν τοῦ Λουκάρεως μανδύαν ἐνδὺς ψευδολούκαρις οὗτος Καλβῖνος τὸν μὲν τῆς ἐν Λαοδικείᾳ Συνόδου κανόνα μνημονεύει δολίως, τὸν δὲ τῆς ἐν Καρθαγένῃ, καὶ τῆς ϛ, *Οἰκουμενικῆς* ἀθετεῖ καὶ παραγράφει διὰ τῆς σιωπῆς, ὡς ἂν καὶ εἰ μηδόλως ὑπῆρξε· διακρίνει δὲ καλβινικῶς καὶ τὰ *Ἀπόκρυφα* (α).

§, ις. ΙΓ) Τελευταῖον. Πᾶσαι αἱ ἀπὸ τῆς Ἀποστολικῆς καὶ καθολικῆς Ἐκκλησίας τῶν Ὀρθοδόξων πρὸ πολλῶν ἤδη αἰώνων ἀποσχισθεῖσαι Ἀσιανῶν τινων ἐθνῶν Ἐκκλησίαι, οἷον αἱ κατὰ τὴν ε, καὶ ς, ἑκατονταετηρίδα συστᾶσαι τῶν Νεστοριανῶν, καὶ Ἰακωβιτῶν, ἢ Εὐτυχιανῶν, καὶ ἡ τῶν Ἀρμενίων, ὡς θείας Γραφὰς κρατοῦσι καὶ τὰ *Ἀναγινωσκόμενα* τῆς Παλαιᾶς Διαθήκης. Καὶ αὐτὴ

(α) Βλέπε τὸν ἀοίδιμον ἀθλητὴν τῆς εὐσεβείας καὶ θεολογικώτατον Μελέτιον τὸν Συρίγον, ἐν «Ἀντιῤῥήσει κατὰ τῶν Καλβινικῶν Κεφαλαίων καὶ ἐρωτήσεων Κυρίλλου τοῦ Λουκάρεως, σελ. 155 καὶ 140 (ἐκδ. ἐν Ἰασίῳ, τῷ 1690, ὅπου ἀναγινώσκεται καὶ ὁ τοῦ Συρίγου βίος ὑπὸ τοῦ Πατριάρχου Δοσιθέου συγγεγραμμένος)· καὶ τὸ συνεκδεδομένον «Κατὰ τῆς Καλβινικῆς φρενοβλαβείας Ἐγχειρίδιον» τοῦ αὐτοῦ ἀοιδίμου Πατριάρχου Ἱεροσολύμων Δοσιθέου (ἐν ᾧ καὶ τὰ τῶν εἰρημένων Συνόδων πρακτικά). Ἴδε περὶ τούτων καὶ τὰ τῶν Δυτικῶν ἐν τῷ **Eus. Renaudot, Perpetuitè de la foi del' Eglise Catholique, T. V. Liv. VIII. c. 7. p. 513**, καὶ προσέτι τὰ τῶν ἐναντίων Ἀναμορφωτῶν ἐν τῷ τοῦ παραπλήκτου Ἀϋμόνου συντάγματι (**Aymon, Monumens authent. de la Religion des Grecs p. 261**). Ὅστις ἀναγνῷ ἀμφότερα τὰ βιβλία ταῦτα τῶν ἑτεροδόξων, παραβάλῃ δὲ καὶ τὰ τῆς καθ' ἡμᾶς Ἐκκλησίας κατ' ἐκείνους τοὺς χρόνους ἱστορικὰ, ἀπορήσει πάντως, ὁποίας μὲν ἐχάλκευσε ῥᾳδιουργίας, εἰς πόσα δὲ δεινὰ περιέβαλε τὴν Ὀρθόδοξον Ἐκκλησίαν ἡ ματαία καὶ καπνώδης ἐλπὶς τῶν δύω ἀντιζήλων φατριῶν (τῶν Παπικῶν καὶ τῶν Αναμορφωτῶν), φιλοτιμουμένων ἑκατέρων τὴν ἀμώμητον νύμφην τοῦ Χριστοῦ πρὸς ἑαυτὰς ἀντιπερισπᾷν. Ἀλλ' ἐπληρώθη καὶ ὧδε εἰς αὐτὴν τὸ προφητικόν· «Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ».

δὲ ἡ Ῥωμαϊκὴ Ἐκκλησία ὡσαύτως ἀποδέχεται ταῦτα, καὶ σέβεται, καὶ ἀναγινώσκει, τὴν ἀρχαίαν κἀν τούτῳ διάταξιν τῆς μιᾶς Ἐκκλησίας τηρήσασα, καὶ κατὰ τὴν ἐν Τριδέντῳ Σύνοδον αὐτῆς ἐπισήμως διατρανώσασα τὴν ὁμολογίαν· καὶ ταῦτα μὲν περὶ τῶν ἐπισημοτέρων καταλόγων τῶν θείων Γραφῶν (α).

§. ιζ. ΙΔ) Σημειωτέον δὲ, ὅτι τὰ ἔξω τοῦ Κανόνος ἀναγινωσκόμενα οἱ μὲν μεταγενέστεροι Δυτικοὶ καλοῦσι συνήθως *Δευτεροκανονικὰ*, πρὸς διαστολὴν τῶν παρ' Ἑβραίοις κανονικῶν, ἢ (κατ' αὐτοὺς πάλιν) *πρωτοκανονικῶν*, ὡς ἂν εἰς *δεύτερον* ἀναγόμενα *κανόνα*, δηλαδὴ τὸν Ἐκκλησιαστικόν. Οἱ δέ τινες τῶν παρ' αὐτοῖς σοφῶν (ὡς ὁ Σεράριος καὶ ἄλλοι) ὑπέλαβον, ὅτι καὶ παρ' Ἰουδαίοις ὑπῆρχεν ἔτι πρὸ Χριστοῦ συντεταγμένος δεύτερος μετὰ τὸν α, τὸν Ἐσδραῖον, κανὼν, ὃν ἐθέσπισε δῆθεν ἡ μεγάλη Συναγωγὴ, ἀφ' οὗ μετὰ τὸν Ἔσδραν ἤδη, καὶ τὴν τοῦ κανόνος ἐπισφράγισιν, ἐφανερώθησαν τὰ βιβλία τοῦ Τωβὶτ καὶ τῆς Ἰουδεὶθ καὶ τῆς τοῦ Σολομῶντος Σοφίας, καὶ κατὰ τοῦτον τὸν Κανόνα παρεδόθησαν καὶ τοῖς Ο πρὸς ἑρμηνείαν πάντα τὰ πρωτότυπα τῆς ἑβραΐδος Γραφῆς· ὕστερον δὲ, τέλος, προσετέθησαν εἰς τὸν ἑβραϊκὸν κανόνα, καὶ ἡ Σ. τοῦ Σειρὰχ, καὶ τὰ Μακκαβαϊκά. Ἀλλ' εἰς μάτην ἐπενοήθη δευτέρου τινὸς, ἢ καὶ τρίτου κανόνος διάταξις. Εἶχε μὲν γὰρ καὶ ταῦτα τὰ βιβλία ὡς ἅγια καὶ προφητικὰ ἡ πρὸ Χρι-

(α) Εὑρίσκεται καὶ γενικὸς ἀρχαῖος κατάλογος ὅλων τῶν κανονικῶν βιβλίων τῆς θείας Γραφῆς, ἐν ᾧ Ξ, τὸν ἀριθμὸν σημειοῦνται τὰ θεῖα τεύχη· ΛΔ μὲν τῆς Παλαιᾶς (ἀντὶ τῶν κβ, κανονικῶν, διαιρουμένων δηλονότι τῶν ἐν ἑνὶ βιβλίῳ περιεχομένων ιβ, προφητῶν εἰς ιβ τεύχη), καὶ ΚϚ τῆς Νέας (χωρὶς ὅμως τῆς Ἀποκαλύψεως, διότι ἔλειπεν αὕτη ἐκ τοῦ ΠΕ, τῶν Ἀποστόλων). Βλ. Σχόλιον ἀρχαῖον παρὰ Κοτελερίῳ (P. Apostol. T. 1. p. 196)· μετὰ δὲ τὴν τούτων ἀπαρίθμησιν ἐπιφέρει· «Καὶ ὅσα ἔξω τῶν ἑξήκοντα, Σοφία Σολομῶντος, Σοφία Σειρὰχ, Μακκαβ. δ., Ἐσθὴρ, Ἰουδεὶθ, Τωβίτ» (τὰ πάντα ἐννέα). Ἐκ τῆς τοιαύτης ἀπαριθμήσεως ὠνομάσθη καὶ ἡ πᾶσα τῶν Κανονικῶν βίβλων περιοχὴ Ἑξηκοντάβιβλος, ἣν ὅ,τε Ἀριστῖνος ἐν τῇ Συνόψει τῶν Κανόνων, καὶ Συμεὼν ὁ Μάγιστρος ἐν τῇ ἐπιτομῇ μνημονεύουσι «Σεβάσμιος ἡ Ἑξηκοντάβιβλος μόνον» (Justel. Biblioth. Juris etc. T. 2. p. 677, 714).

στοῦ Συναγωγὴ, ὡς ὀψόμεθα παρακατιόντες, καὶ τούτοις ἀνέκαθεν ἐχρῶντο οἱ Ἰουδαῖοι μέχρι καὶ τῆς ἐσχάτης αὐτῶν συμφορᾶς· διὸ καὶ ταῦτα κατόπιν τῶν κανονικῶν ἐξελληνίσθησαν, εἰς χρῆσιν τῶν πανταχοῦ τῆς οἰκουμένης ἑλληνιστῶν· ἀλλ', ὡς ἔοικεν, ἐθεωροῦντο ὡς ἁγιόγραφα παραρτήματα τοῦ Κανόνος, οὐχὶ δὲ καὶ κυρίως κανονικά. Οὐδ' ἐτόλμησεν ἡ Συναγωγὴ (φοβουμένη ἴσως τὴν πανουργίαν τῶν ψευδοπροφητῶν) νεώτερον ἄλλον κανόνα μετὰ τὸν Ἔσδραν ἐκδοῦναι. Τοῦτο μαρτυρεῖ τρανῶς οὐ μόνον ὁ Ἰώσηπος (περὶ οὗ ἐφεξῆς), ἀλλὰ καὶ αὐτοὶ οἱ θεῖοι Πατέρες καὶ ἀρχαιότατοι διδάσκαλοι τῆς Ἐκκλησίας, οἵ τινες ἔξω τῶν ἀνέκαθεν παρ' Ἑβραίοις κβ κανονικῶν ἠρίθμουν τὰ Ἀναγινωσκόμενα, καὶ μόνον ἐν τῷ Ἐκκλησιαστικῷ Κανόνι κυρίως τεταγμένα. Οὐδ' ὁ πάπας Ἰννοκέντιος, οὐδ' ὁ Κασσιόδωρος, οὐδ' ὁ ἱερὸς Αὐγουστῖνος, οὐδ' ἄλλος τις τῶν ἀρχαίων Πατέρων τῆς Δυτικῆς Ἐκκλησίας ἐγνώρισαν οὔτε τοῦ Ἐσδραίου νεώτερον ἄλλον παρ' Ἑβραίοις κανόνα, οὔτε ταύτας δὴ τὰς τῶν *πρωτοκανονικῶν* καὶ *δευτεροκανονικῶν* σχολαστικωτέρας ὀνομασίας. Ἀλλ' οὐδ' ἡ καθ' ἡμᾶς Ὀρθόδοξος Ἐκκλησία ταύτας ἐπιγινώσκει. Ἀλλ' ὅταν μὲν ἀπαριθμῶνται πάντα τὰ τεύχη τῆς θεοπνεύστου παλαιᾶς Γραφῆς συνημμένως ὑφ' ἓν, καὶ ἀδιαιρέτως (ὡς ἐν τῇ Καρθαγεναίᾳ Συνόδῳ), ὁ κανὼν ὀνομάζεται *Κανὼν ἐκκλησιαστικός* (α), ὅταν δὲ διαιρῶνται τὰ τοῦ Ἐσδραίου Κανόνος ἀπὸ τῶν ὑπολοίπων, ἐκεῖνα μὲν ὀνομάζονται *κανονικὰ*, ἢ καὶ βίβλοι καὶ γραφαὶ *ἐνδιάθηκοι* (κατὰ τὴν ἑβραίαν Διαθήκην), καὶ *ἐνδιάθετοι* (ἐν τῷ κανόνι *διατεθειμέναι*), καὶ (ὡς καθ' ἑκάστην ἀναγινωσκόμεναι ἐν ταῖς ἱεραῖς τῆς Ἐκκλησίας τελεταῖς) *ἐκκλησιαζόμεναι*. Τὰ δὲ τούτων *ἔξωθεν καὶ ἐν δευτέρῳ* κατὰ τὴν τάξιν (ὄπισθ. σελ. 117 καὶ 122) *Ἀναγινωσκόμενα* καλοῦνται (ἅτε δὴ καὶ ταῦτα ὡς ἅγια καὶ κύρια δεκτὰ ἐν τῇ Ἐκκλησίᾳ, καίτοι μὴ κατὰ τὰς ἱερὰς τελε-

(α) Βλ. Εὐσεβ. Ἐκκλ. ἱστορ. ς, κε. Καὶ οἱ Λατῖνοι λέγουσι libros Ecclesiasticos τὰ Ἀναγινωσκόμενα (Ῥουφῖν. Ἱερώνυμ.), καὶ ταῦτα δὲ μεθηρμήνευσαν διὰ τοῦ quae leguntur.

τουργίας, ἀλλ' ὅμως καὶ ταῦτα πᾶσι τοῖς πιστοῖς, ἐξαιρέτως δὲ τοῖς κατηχουμένοις *ἀναγνωστέα*) (α). Κἀκεῖνο δὲ σημειωτέον, ὅτι παρ' ἡμῖν μὲν *Ἀναγινωσκόμενα* καλοῦνται μόνα τὰ προηριθμημένα *πέντε* (§. γ). Οἱ δὲ Δυτικοὶ συγκαταλέγουσι μετὰ τῶν παρ' αὐτοῖς *Δευτεροκανονικῶν* καὶ τὸν Βαροὺχ, καὶ τὰ διαπεπτωκότα μὲν ἐκ τοῦ ἑβραϊκοῦ, σωζόμενα δ' ἀκραιφνῆ παρὰ τοῖς Ο, μέρη τῆς Ἐσθὴρ, καὶ τὰς περικοπὰς τῆς τοῦ Δανιὴλ προφητείας, (βλ. ὄπισθ. Βιβλ. Γ. κεφ. ιδ). Τὴν δὲ τοῦ Μανασσῆ προσευχὴν καὶ τὸν Α, Ἔσδραν ἐν τοῖς Ἀποκρύφοις φέροντες κατέταξαν! (β)· ἀλλὰ περὶ πάντων τούτων ἅλις ἐν τῷ τρίτῳ βιβλίῳ πεπραγμάτευται.

(α) Οἱ Δυτικοὶ ἔχουσι καὶ ἐπὶ τῆς νέας Διαθήκης Δευτεροκανονικά, ταῦτα. Τὸ τοῦ Εὐαγγελιστοῦ Μάρκου ἔσχατον κεφάλαιον· τὴν ἐν τῷ Λουκᾷ περὶ τοῦ ἱδρῶτος τοῦ Χριστοῦ καὶ τῆς ἐπιφανείας τοῦ ἀγγέλου περικοπήν· τὴν πρὸς Ἑβραίους, καὶ τὴν Ἰακώβου, καὶ τὴν τοῦ Ἰούδα ἐπιστολὴν, καὶ τὴν β, τοῦ Πέτρου, τὴν β, καὶ γ, τοῦ Ἰωάννου, καὶ τὴν Ἀποκάλυψιν (διότι τούτων τινὰ παρά τισι τῶν ἀρχαίων ἦσαν ἀντιλεγόμενα). Ἐκ δὲ τῶν ἄλλων ἑτεροδόξων οἱ μὲν περὶ τὸν Λούθηρον πάντα ταῦτα ἐξαιροῦσιν ἐκ τοῦ κανόνος ὡς νόθα· οἱ δὲ Καλβινισταὶ κρατοῦσι τἀνάπαλιν ὡς κανονικὰ καὶ θεόπνευστα. Ἡ δὲ Ὀρθόδοξος Ἐκκλησία οὐδεμίαν οὐδ' ἐν τούτοις τῆς καινῆς Διαθήκης οὔτ' ἀποβολὴν οἶδεν, οὔτε Δευτεροκανονικότητα, ἢ ἄλλην διαστολὴν, ἀλλ' ἀνέκαθεν ἀπὸ τοῦ ΠΕ, κανόνος τῶν Ἀποστόλων (ἐν ᾧ λείπει μόνη ἡ Ἀποκάλυψις, ὡς μήπω τότε δεδημοσιευμένη) καὶ εἰς αἰῶνα τὸν ἅπαντα γνήσια πάντα τὰ τῆς καινῆς Διαθήκης καὶ κανονικὰ καὶ θεόπνευστα ὁμολογεῖ καὶ διακρατεῖ, μηδὲν φροντίσασα τῶν παρά τισιν ἀρχαίοις γενομένων περὶ τῶν θείων τούτων βιβλίων δισταγμῶν, ἢ ἀντιλογιῶν (βλ. ἐφεξῆς σελ. 139)· μαρτυρεῖ δὲ καὶ ὁ τελευταῖος τῆς ἐν Λαοδικείᾳ κανὼν, καὶ ὁ τῆς ἐν Καρθαγένῃ, κτλ.

(β) Πρῶτος Σίξτος ὁ Σεννῆνσις, μεθ' ὃν καὶ Βελλαρμῖνος, παρερμηνεύοντες γνώμην τινὰ τοῦ Αὐγουστίνου (De Doctr. Christ. L. 2. c. 8), σοφώτεροι δὲ καὶ τοῦ Μ. Ἀθανασίου γινόμενοι (βλ. ὄπισθ. σελ. 117), ἔταξαν τὰς ἱερὰς βίβλους τῆς τε παλαιᾶς καὶ τῆς καινῆς Διαθήκης εἰς τάξεις τρεῖς· τὰς μὲν ἀνέκαθεν παρὰ πάσαις ταῖς Ἐκκλησίαις ἀποδεδεγμένας (εἰς ἃς ἀνήκουσιν αἱ παρ' αὐτοῖς πρωτοκανονικαί), τὰς δὲ δευτερευούσας κατά τε τὴν τάξιν καὶ τὸ κῦρος(!), ὡς μὴ παρὰ πάσαις, ἀλλὰ παρὰ ταῖς πλείσταις Ἐκκλησίαις ἐξ ἀρχῆς ἀποδεδεγμένας (καὶ εἰς ταύτας ἀνάγουσι τὰς παρ' αὐτοῖς δευτεροκανονικάς)· τὰς δὲ, τέλος, μηδέποτε ἐν Ἐκκλησίᾳ ἀναγνωσθείσας. Καὶ αὗται, φασίν, εἰσιν αἱ Ἀπόκρυφοι, (ἐν αἷς καὶ ἡ προσευχὴ τοῦ Μανασσῆ, καὶ ὁ Α. Ἔσδρας!). Ταῦτα οἱ Σεννήνσεις, καὶ Βελλαρμῖνοι, καὶ Λαμῦς, μετὰ τοὺς ἐκδοθέντας κανόνας τῶν ἁγίων Συνόδων, καὶ τὸν παρ' αὐτῷ τῷ Αὐ-

§. ιη. Καθόλου δὲ οἱ Διαμαρτυρούμενοι (καὶ ἄλλοι δὲ παντοῖοι τῶν νεωτέρων κριτικῶν) οὔτε θεῖα, οὔτε γνήσια, οὔτε μὴν ἐν πᾶσιν ὑγιαίνοντα κεκρίκασι πάντα τὰ παρὰ τοῖς Δυτικοῖς *Δευτεροκανονικὰ* τῆς Παλαιᾶς (ἐν οἷς καὶ τὰ καθ' ἡμᾶς Ἀναγινωσκόμενα), ἀλλ' ἐξωβέλισαν ἐκ τοῦ ἐκκλησιαστικοῦ κανόνος (Λουθήρου πρώτου, καὶ Καλβίνου κατάρξαντος), καὶ τοῦ ἱεροῦ κώδηκος ἐξέκοψαν (α), ὡς συγγράμματα ἀκράτως ἀνθρωπικά, καὶ συγγρα-

---

γουστίνῳ κατάλογον τῶν ἱερῶν βιβλίων, συμφωνοῦντα τῷ κανόνι τῆς ἐν Καρθαγένῃ Συνόδου (De Doct. Chr. L. 2. c. 8), καὶ μετ' αὐτὸν, τέλος, τὸν κατάλογον τῆς παρ' αὐτοῖς σεβαστοτάτης Τριδεντινῆς Συνόδου ! βλ. Lamy, Appar. Bibl. p. 164. sq). Ἡ δὲ τῆς Γαλλικανῆς Ἐκκλησίας Ὁμολογία καὶ περαιτέρω χωρεῖ· μόνα τὰ Ἑσδραῖα κανονικὰ τῆς Παλαιᾶς Γραφῆς ἀποδέχεται. βλ. Confessio Gal. p. 111.

(α) « Nullae Ecclesiae eos (libros) e corpore bibliorum ejecerunt ante Lutherun et Calvinum ». J. Leusden, Diss. 2. de vers. Belgic. Ὁ Λούθηρος ἀπέκοψε μὲν ὡς ἀπόκρυφα τὰ Ἀναγινωσκόμενα, μετέφρασε δὲ ὅμως καὶ ταῦτα καὶ κατεχώρισεν ἐν τῷ τέλει τῆς, ἣν ἐκ τοῦ Ἑβραϊκοῦ γερμανιστὶ ἐξέδωκε, Γραφῆς, χρήσιμα καὶ ὠφέλιμα πρὸς ἀνάγνωσιν ἐπιγράψας· ἀλλ' ἐπ' Ἐκκλησίας μηδὲν τούτων ἀναγινώσκεσθαι διέταξεν. Οὐδ' οἱ Καθαρισταὶ (Puritains) χρῶνται τούτοις, οὔτε ἐν τοῖς ἐκκλησιαςικοῖς ἀναγνώσμασιν, οὔτε ἐν ταῖς διδαχαῖς (Mosheim Hist. Ecclés. T. 4.p.400). Ἡ δὲ τῶν Καλβινιςῶν ἐν Δορiδρακαίνῃ Σύνοδος διέταξεν, ἵν' ἐξ ὑπαρχῆς ἐκ τοῦ ἑλληνικοῦ κειμένου μεταφρασθῶσι τὰ Ἀναγινωσκόμενα « ἵνα (φησὶ) μὴ δοθῇ τοῖς παπικοῖς ἀφορμὴ τοῦ συκοφαντεῖν καὶ πρὸς τοὺς λαοὺς διαβάλλειν τοὺς Ἀναμορφωτὰς, ὡς ἀποκόψαντας ἐκ τῆς θείας Γραφῆς βιβλία διὰ τοσούτων αἰώνων ἐν τῷ ἱερῷ τεταγμένα κώδηκι, καὶ τοῦτον καταστήσαντας ἀτελέστερον» (βλ. Leusden, Philologus Hebr. p. 99. Amstel.1695). ὡς ἂν εἴ περ οὐκ ἀπέβαινε καὶ οὕτως ὁ ἱερὸς κώδηξ κολοβὸς, ἀχρήστων κειμένων ἐν αὐτῷ τῶν τευχῶν, ὡς μέλος ἄπρακτον καὶ παρειμένον. Πλὴν ἀλλὰ καὶ ὕστερον πρὸς τοὺς παντελῶς ἀποκόπτοντας ἐκ τοῦ κώδηκος τὰ βιβλία ἀντέστη προφανῶς, οὐδὲ συνῄνεσεν ἡ ἐν Βερολίνῳ, καὶ ἄλλαι ἁγιογραφικαὶ ἑταιρεῖαι τῶν Μεταῤῥυθμητῶν (βλ. Conversations-Lexicon λέξ. Bibelgeselschaften 1. Bd. p. 865)· Ἡ δὲ Ἀγγλικανὴ Ἐκκλησία κέχρηται δημοσίως τοῖς Ἀναγινωσκομένοις ἐν ταῖς ἱεραῖς τελεταῖς, πολλὰς ἐξ αὐτῶν ἀναγινώσκουσα περικοπάς· οἷον ἐκ τῆς Σοφίας Σολομ., τοῦ Τωβὶτ, τῆς Ἰουδεὶθ, ἐν αἷς καὶ ἐκ τῆς Σωσάννης κτλ. (βλ. «Βίβλον τῆς δημοσίου εὐχῆς καὶ τελέσεως μυστηρίων καὶ τῶν ἄλλων θεσμῶν καὶ τελετῶν κατὰ τὸ ἔθος τῆς Ἀγγλικανῆς Ἐκκλησίας». Κανταβριγ. αχξε. καὶ τὸ Εὐχολόγιον τῆς ἡνωμένης Ἐκκλησίας Ἀγγλίας τε καὶ Ἰρλανδίας ἐκ τοῦ Ἀγγλικοῦ ἐξελληνισθὲν, ἐν Λονδίνῳ, αωλθ.).

φέων ἀγνώστων σκότια γεννήματα, καὶ τοῦτ' αὐτὸ κυρίως *Ἀπόκρυφα* (καί τοι Γενεβράρδου, καὶ ἄλλων ἰσχυρῶς ἀντιλεγόντων) (α). Διὸ καὶ χωρὶς τούτων ἐκδιδοῦσι τὰς κατ' αὐτοὺς ἐκ τοῦ νῦν ἑβραϊκοῦ μεταφράσεις, τυπογραφοῦντες ἀπαραλλάκτους καὶ κατὰ τοῦτο πρὸς τὴν μορφὴν τοῦ Μασοραίου κώδηκος. Ἀλλὰ καὶ αὐτὴν τὴν ἡμετέραν ἑρμηνείαν τῶν Ο κατά τινας ἐκδόσεις μετεσχημάτισαν· ἀποῤῥήξαντες γὰρ τὰς λεγομένας περικοπὰς (οἷον τὰς τοῦ Δανιὴλ) ἀπὸ τῶν εἰς ἃ προσήκουσι τευχῶν, καὶ τ' ἄλλα δὲ τὰ τεύχη ἐκ τῆς ἀρχαίας τάξεως τοῦ κώδηκος μεταστήσαντες, κατεχώρισαν ἐν τῷ τέλει τῆς Βίβλου εἰς ἴδιον τμῆμα, *Ἀπόκρυφα* ἐπιγράψαντες, οἷα καὶ Βῶς, ἐν τῇ Φρανεκυήρᾳ τύποις ἐξέδωκεν, ἄλλοις, ὡς αὐτὸς, γεννάδαις παρακολουθῶν, καθὰ προείπομεν (Βιβλ. Γ. σελ. 675). Ἐν δέ τισι τῶν νεωτέρων ἐκδόσεων τῶν Ο (ὧν ἔχομεν ἀντίτυπον Λονδίν. 1827) καὶ παντάπασιν ἐξώρισαν τὰ κατ' αὐτοὺς *ἀπόκρυφα*. Οὐδ' ἂν εὕροις ἐν αὐταῖς οὐδὲ γρὺ, οὔτε τῶν πέντε τῶν καθ' ἡμᾶς *Ἀναγινωσκομένων* τευχῶν, οὔτ' αὐτοῦ Βαροὺχ, καὶ τῆς Ἱερεμίου ἐπιστολῆς, οὔτε τῶν τοῦ Προφήτου Δανιὴλ καὶ τῆς Ἐσθὴρ περικοπῶν! Ἀλλ' εἰ μὲν καὶ ἄλλων οἱωνδήποτε συγγραμμάτων ἀνθρωπικῶν (μήτι γε θείων ἀρχῆθεν νενομισμένων), ἐξ ἀρχαίων κωδήκων ἐκδιδομένων, κρίνεται δικαία καὶ ὀρθὴ ἡ τοιαύτη κολόβωσις, ἢ καὶ διαμέλισις, καὶ μετάθεσις, περὶ τούτου κρινέτωσαν αὐτοὶ πάλιν οἱ σοφοί· ἡμεῖς δὲ θεωροῦμεν πρῶτον τὴν ἐπὶ τῶν βιβλίων σημασίαν τῆς λέξεως τῆς *Ἀπόκρυφος*.

§. ιθ. *Ἀπόκρυφα* βιβλία ὠνομάζοντο τὰ αὐτὰ καὶ *ἀνακεχωρηκότα*, ὅσα ἦσαν ἄγνωστα τοῖς πολλοῖς, ἐν ἀποκρύφῳ τόπῳ, ἢ κιβωτίῳ ἀπόθετα καὶ πεφυλαγμένα, καὶ μόνοις τοῖς ἱερεῦσι πεπιστευμένα, οἷα φαίνονται παρὰ τοῖς ἀρχαίοις οἱ Σιβύλλειοι χρησμοὶ, καὶ τὰ τῶν Αἰγυπτίων καὶ Τυρίων χρονικὰ, καὶ ἄλλα θρησκευτικά (β). Παρὰ δὲ τοῖς ἑβραίοις Ἀπόκρυφα (genuzim) ἐλέγοντο τὰ μάλιστα μυστηριώδη, ὡς ἀποῤῥήτους καὶ μυστικωτέρας ἐννοίας περιέχοντα

(α) Marchini, De Divin. et can. S. Bibl. p. 128.

(β) Βλ. Σουίδ. Ἐπαφρόδιτος.- I. Vossij de Sibyl. Oracul. c. VII.

βιβλία, ἢ καὶ μέρη τινὰ τῶν Προφητικῶν (οἷον, τὰ πρῶτα κεφάλαια τῆς Γενέσεως, καὶ τοῦ Ἰεζεκιήλ, καὶ ὁ Ἐκκλησιαστὴς, καὶ τὸ Ἆσμα Ἀσμάτων), ὧν καὶ τὴν ἀνάγνωσιν ἀπηγόρευον τοῖς νεωτέροις καὶ ἀστηρίκτοις (α). Εὑρίσκεται παρά τισι τὸ Ἀπόκρυφα, καὶ ἀντὶ τοῦ *Ἀντιλεγόμενα*, ἢ *μὴ κανονιζόμενα*, ἀντιδιεσταλμένως πρὸς τὰ *κανονικὰ καὶ ὁμολογούμενα* θεῖα βιβλία (β). Ἀλλὰ παρὰ τοῖς πλείστοις καὶ ἀρχαιοτάτοις Πατράσι τῆς Ἐκκλησίας Ἀπόκρυφα λέγονται τὰ κυρίως νόθα καὶ κίβδηλα, ἢ ψευδεπίγραφα, καὶ παρά τινων πλαστογράφων Ἰουδαίων, ἢ αἱρετικῶν, ὡς θεόπνευστα δολίως πεπλασμένα. Εἴδομεν ἀνωτέρω (σελ. 116) τὸν Μ. Ἀθανάσιον πόσον ἀκριβῶς καὶ σαφῶς διῄρει τὰ βιβλία τῆς Παλαιᾶς εἰς κα-

(α) Ὠριγ. εἰς τὸ Ἆσμ. - Γρηγ. Ναζ. λόγ. α. κτλ. Κατὰ ταύτην τὴν σημασίαν καὶ ὁ ἱερὸς Ἐπιφάνιος εἶπεν Ἀπόκρυφον τὴν Ἰωάννου Ἀποκάλυψιν, (τουτ. μυστηριώδη, καὶ πολλὰ κρύφια καὶ δυσνόητα περιέχουσαν) «διὰ τὰ ἐν αὐτοῖς βαθέως εἰρημένα» (Ἐπιφ. Αἱρ. να. σελ. 423)· Ταύτην τὴν σημασίαν μὴ ἐξακριβώσαντες ἄλλοι τε καὶ Μιχαῆλις (Eileit. in die goettl. Schrift. des N. B. p. 1797) ἐξέλαβον τὴν Ἀποκάλυψιν ὡς ἓν τῶν ἀποκρύφων (νόθων· περὶ ὧν ἐφεξῆς)·

(β) Οὕτως ὁ Ἱερώνυμος (Καταλ.) Ἀπόκρυφον εἶπε τὴν Βαρνάβα ἐπιστολὴν, ἀντὶ μὴ κανονικήν· καὶ κατὰ ταῦτα διαιροῦνται τὰ βιβλία διχῶς εἰς Κανονικὰ καὶ εἰς Ἀπόκρυφα τουτ. ἀκανόνιστα. Τοιοῦτο καὶ τὸ παρ' Εὐσεβίῳ, εἰς ὁμολογούμενα καὶ ἀναντίῤῥητα, καὶ εἰς τὰ μὴ τοιαῦτα» (Ἐκκλ· ἱστορ. Γ. γ). Ἀλλ' ἡ διαίρεσις ὑπάρχει στενὴ καὶ σκοτεινὴ, διὰ τὴν ἐγκειμένην ὁμωνυμίαν, καί τοι ἄλλως σπανιωτάτη (βλ. Pearson. Vindic· Epist. S. Ignat. c. IV. in Cotel. P. Apostol. T· 2.). Οὕτω καὶ τὸ νόθα φέρεται ἐνίοτε ἀντὶ τοῦ ἀντιλεγόμενα, ἢ μὴ κανονιζόμενα (παρ' Ἀμφιλοχ. εἰς Σέλευκ. ἐν Γρηγ. Ναζιανζ· τόμ. β. σελ. 195). Καὶ αὐτὸς ὁ Εὐσέβιος εἶπε νόθα τὰ αὐτὰ καὶ ἀντιλεγόμενα (Ἐκκλ. ἱστορ. Γ. κε). Πληρεστέρα δὲ ἡ παρ' αὐτῷ εἰς τρία διαίρεσις τῶν βιβλίων, 1) εἰς ἐνδιαθήκους Γραφάς· 2) εἰς οὐκ ἐνδιαθήκους μὲν, ἀλλὰ καὶ ἀντιλεγομένας, ὅμως δὲ παρὰ πλείστων Ἐκκλησιῶν ἀναγινωσκομένας (αἵτινες καὶ αὗται διχῶς ὑποδιαιροῦνται· αἱ μὲν γὰρ, τέλος, κοινῇ συμφωνίᾳ πασῶν τῶν Ἐκκλησιῶν κατετάχθησαν εἰς τὸν Κανόνα τὸν Ἐκκλησιαστικὸν, οἷον τὰ Ἀναγινωσκόμενα· αἱ δὲ παρελήφθησαν μὲν ὡς καλαὶ καὶ χρήσιμοι, ἀλλ' οὐ κατετάχθησαν καὶ εἰς τὸν Κανόνα, οἷον ἐπὶ τῆς καινῆς Διαθήκης, ἡ τοῦ Βαρνάβα, καὶ ἡ τοῦ Κλήμεντος ἐπιστολὴ, καὶ ὁ Ποιμὴν)· καὶ 3) τέλος εἰς νόθους, τὰς κυρίως ἀποκρύφους βίβλους, περὶ ὧν λέγομεν εὐθύς.

νονικὰ, καὶ *ἀναγινωσκόμενα* (α), καὶ πῶς ἀπεκήρυττε τὰ *Ἀπόκρυφα*· ἃ καὶ μακρὰν ἀπελήλατο τοῦ περιβόλου τῆς Ἐκκλησίας, ὡς ἄτοπά τινα καὶ μυθώδη, ἢ καὶ δυσσεβῆ καὶ ψυχώλεθρα φρονήματα περιέχοντα, καὶ γνώμας ἀπᾳδούσας τῆς ἀληθοῦς ὀρθοδοξίας (οἷα καὶ ἐπ' αὐτῶν τῶν Ἀποστόλων ἐπειράθησάν τινες εἰσάγειν εἰς τὴν Ἐκκλησίαν ὡς ἅγια, ἐπὶ λύμῃ τοῦ λαοῦ, καθὼς ὁ Ξ, ἀποστολικὸς Κανὼν διαγορεύει). Διὰ ταῦτα καὶ αἱ τῶν Ἀποστόλων Διαταγαὶ ἐντέλλονται τοῖς πιστοῖς «*ἀπὸ τῶν Ἀποκρύφων ἀπέχεσθαι*» (β)· καὶ ὁ Ἱεροσολύμων Κύριλλος (συμφώνως τῷ Μ. Ἀθανασίῳ) παραγγέλλει τῶν κατηχουμένων ἑκάστῳ, λέγων· «Πρὸς τὰ Ἀπόκρυφα μηδὲν ἔχε κοινόν. Ταύτας μόνας (τὰς βίβλους) μελέτα σπουδαίως, ἃς καὶ ἐν Ἐκκλησίᾳ μετὰ παῤῥησίας ἀναγινώσκομεν» (δηλονότι κατὰ τὰς ἱεροτελεστίας καὶ προσευχάς. βλ. ἐφεξῆς σελ. 145· ἀνεγινώσκοντο δὲ καὶ τοῖς κατηχουμένοις τὰ *Ἀναγινωσκόμενα*). «Πολύ σου φρονιμώτεροι ἦσαν οἱ Ἀπόστολοι καὶ οἱ ἀρχαῖοι ἐπίσκοποι, οἱ τῆς Ἐκκλησίας προστάται, οἱ ταύτας παραδόντες» (Κατηχ. Δ. σελ. 37. βλ. ἔμπρ. §. κη). Εἰ δὲ τοιαύτη τῶν Ἀποκρύφων ἡ φύσις, πρόδηλον λοιπὸν, ὅτι πρός τε τὴν ἀρχαίαν τῆς Ἐκκλησίας παράδοσιν, καὶ πρὸς τὸν ὑγιαίνοντα λόγον τῆς ἀληθείας ἐκαινοτόμησαν, ὅσοι ἰταμῶς καὶ αὐτογνωμόνως διεκήρυξαν καὶ ἐπέγραψαν *Ἀπόκρυφα*, καὶ τὰ *Ἀναγινωσκόμενα*, τὰ μετὰ τῶν θείων Γραφῶν ὑπὸ τῆς καθόλου Ἐκκλησίας λαμπρῶς συναριθμηθέντα. Ἀλλ' ἴδωμεν καὶ οὓς ἐπιφέρουσιν ἐν γένει λόγους τῆς καταδίκης, ἐν τρισὶν ἄρθροις συντόμως ἐκτεθειμένους (γ).

(α) Ἐπὶ τούτων τινὲς ἐχρήσαντο τῷ ἀντιλεγόμενα (ὡς ἀντέλεγόν τινες καὶ περὶ τῆς Ἀποκαλύψεως, καὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς. βλ. Εὐσέβ. - Ἀθανάσ. ἐν Συνόψ.- Νικηφ. Χρονογρ. κτλ.).

(β) Βλ. Ἀποστόλ. Διατ. ς,16, ὅπου καί τινα μνημονεύονται· οἷον Μωσέως, Ἐνὼχ, Ἀδὰμ, Ἡσαΐου, Ἡλιοῦ. Καὶ ἐν τῇ Καινῇ Διαθήκῃ πολλὰ τῶν Ἀποκρύφων συνεῤῥάφησαν· οἷον Εὐαγγέλιά τινα καὶ Πράξεις τινῶν Ἀποστόλων κτλ. Βλ. Ἀθανασ. Σύνοψ.: Νικηφ. Στιχομετρ. καὶ ἐν Σχολίῳ παλαιῷ παρὰ Cotel. Patr. Apostol. T. 1. p. 196). «Ἰουδαϊκῶν ἀποκρύφων» (ὡς ἀρχαίων τινῶν παρ' αὐτοῖς νομιζομένων) μνημονεύει καὶ Ὠριγένης (εἰς Ἰωάν. τόμ. ιθ. σελ. 276. Huet.). Τὸν δὲ τοῦ Φαβρικίου Κώδηκα τῶν Ἀποκρύφων προεμνημονεύσαμεν οὐχ ἅπαξ ἐν τοῖς ἔμπροσθεν.

(γ) Joh. Rainold, Censura Apocryphorum V. T. adversum Pontificios,

§. κ. Α) Ταῦτα (λέγουσι) τὰ Ἀπόκρυφα οὐδεμίαν φέρουσιν αὐθεντίαν καὶ κυριότητα, οὔτ' ἐξωτερικὴν, οὔτε ἐσωτερικὴν, δι' ἣν ἂν καταχωρισθεῖεν εἰς τὸν ἱερὸν Κανόνα. καὶ ἰδοὺ ἡ δεῖξις·

1) «Οὐδὲν τούτων ὑπάρχει συγγεγραμμένον καὶ σωζόμενον ἑβραϊστί».- Ἀλλ' ὑπῆρχον (ἀπαντῶμεν) τὰ μὲν *χαλδαϊστὶ* (ὡς ὁ Τωβὶτ καὶ ἡ Ἰουδεὶθ) συγγεγραμμένα, καθὰ καὶ πολλὰ τοῦ Δανιὴλ καὶ τοῦ Ἔσδρα (ἀμφοτέρων βιβλίων Κανονικῶν)· τὰ δὲ καὶ ἑβραϊστὶ (ὡς ἡ Σοφία τοῦ Σειρὰχ, καὶ ἡ τοῦ Σολομῶντος, καὶ ἡ Α. τῶν Μακκαβαίων, ἥτις καὶ μετὰ τῆς ἐπιγραφῆς αὐτῆς ἐσῴζετο κατὰ τοὺς Ὠριγένους χρόνους). Εἰ δὲ καὶ *μόνην τὴν Ἑβραϊκὴν* ἐν τῇ Παλαιᾷ Διαθήκῃ ἱερὰν καὶ ἁγίαν νομίζουσι γλῶσσαν (Ῥαββίνων νόμοις), ὥρα λοιπὸν αὐτοῖς τάττειν ἐν τοῖς Ἀποκρύφοις καὶ τὰ εἰρημένα χαλδαΐζοντα κεφάλαια τοῦ Δανιὴλ κτλ. Ὑπὲρ δὲ τῆς ἑλληνιστὶ συγγραφείσης Β, τῶν Μακκαβαίων ἀπολογεῖται πᾶσα ἡ τὴν ἑλληνίδα γλῶσσαν καθαγιάσασα *Καινὴ Διαθήκη* (ἂν μὴ δέχωνται καὶ τὴν προφητικὴν ἑρμηνείαν τῶν Ο). Εἰ δὲ τὰ πρωτότυπα τῶν βιβλίων τούτων οὐχ εὑρίσκονται παρ' ἑβραίοις, ἀπολεσθέντα, ἀλλ' ἐσῴθησαν ἐν ταῖς πισταῖς αὐτῶν ἑρμηνείαις, ἃς παρέδωκαν οἱ Ἀπόστολοι τῇ Ἐκκλησίᾳ· 2) «Ταῦτα (λέγουσι) τὰ βιβλία συνεγράφησαν μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον τῶν Ἰουδαίων, ὁπότε παρ' αὐτοῖς οὐκέτι διέλαμπε πνεῦμα προφητικὸν, ὡς ὁμολογοῦσι καὶ αὐτοὶ οἱ Ἰουδαῖοι. Γέγραπται δὲ καὶ ἐν τῷ Μαλαχίᾳ (δ, 5), ὅτι μετ' αὐτὸν οὐκ ἔςαι προφήτης ἄλλος μέχρι τοῦ Ἰωάννου».- Ἐν τῷ Μαλαχίᾳ γέγραπται, ὅτι *ἀποστελεῖ Κύριος τὸν*

---

imprimis Rob. Bellarminum etc. 2 vol. Oppenhemij. 1611.-Walther. Officin. Biblic. Repert. post. §. 1216 καὶ §. 1250.-Hottinger. Thesaur. Phil. L. II. p. 520.-J. Cosin, A Scholastical History of the Canon of the holy Scripture etc. London, 1672.-Henkij, Jntroductio ad libros Apocryphos V. Testamenti. Halae, 1718. -Pfeifferi, Critica Sacra p. 380.-Wolf. Bibl. Hebraic. T. 2. pag. 197.- Bingham. Origin. Eccl. L. XIV. c. 3. §.15, sq.- Eichhorn, Einleitung in die apokryphischen Schriften des alten Testaments. Leipzig, 1797.-Berthold, Einleit. III.p.1043. IV.p. 1738. VI.p. 2480-2580.- De-Wette, Einleit. p. 438.-Horne, An Jntroduction etc. Vol. 1. pag. 457.

ἄγγελον αὐτοῦ (τὸν Ἰωάννην) πρὸ προσώπου τοῦ Μονογενοῦς. Ὅτι δὲ μετὰ τὸν Μαλαχίαν ἄχρις Ἰωάννου οὐδεὶς ἄλλος ἔσται προφήτης, οὐμενοῦν, οὐ γέγραπται οὐδαμοῦ οὐδαμῶς. Τὰ δὲ περὶ παύσεως τοῦ προφητικοῦ Πνεύματος βλάσφημα ληρήματα τῶν Ῥαββίνων, καὶ τὴν *παρ' αὐτοῖς θυγατέρα τῆς φωνῆς*, εἴδομεν ἐν τοῖς προηγηθεῖσι (κεφ. γ. §. β). 3) «Τὰ Ἀπόκρυφα (λέγουσιν) οὔθ' ὁ Σειραχίδης, οὔτε Φίλων, καὶ Ἰώσηππος ἐμνημόνευσαν».- Ἀλλὰ καὶ Φίλων (ἀπαντῶμεν) καὶ Ἰώσηππος, εἰ καὶ ἀνωνύμως, ἀλλ' ὅμως κατέδειξαν ταῦτα, μονονοὺ δακτυλοδεικτοῦντες· γράφομεν ἐν τοῖς ἑξῆς τὰς ῥήσεις αὐτῶν. Ἔπειτα ὁ Φίλων οὐδὲν εἶπε περὶ Κανόνος· καὶ πρὸς τούτοις οὐδαμοῦ ῥητῶς ἐμνημόνευσεν οὔτε τὸν Νεεμίαν καὶ τὰ Παραλειπόμενα, οὔτε τὴν Ῥοὺθ καὶ τὴν Ἐσθὴρ, οὔτε τὸν Δανιὴλ καὶ τοὺς Ἱερεμίου Θρήνους, οὔτε τὸν Ἐκκλησιαστὴν καὶ τὸ Ἆσμα τοῦ Σολομῶντος· σιγῇ δὲ παρέλιπε καὶ Ἰώσηππος τὸν Ἰὼβ καὶ τὸν Νεεμίαν· ἀλλὰ μήπως παρὰ τοῦτο τὰ βιβλία ταῦτα οὐχ ὑπῆρχον ἐν τῷ Κανόνι; ἢ οὐκ ἐπρεσβεύοντο θεόπνευστα; Καὶ ἡ τοῦ Σειρὰχ δὲ μαρτυρία δείκνυσιν οὐδὲν ἕτερον, εἰ μὴ μόνον, ὅτι ἐπ' αὐτοῦ ἦσαν ἐξελληνισμένα «*ὁ Νόμος, καὶ οἱ προφῆται, καὶ τὰ λοιπὰ τῶν βιβλίων*». Ἐν δὲ τούτοις τοῖς *λοιποῖς* συμπεριλαμβάνει πάντως καὶ τ' ἄλλα τὰ τοῦ Κανόνος (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 582). Ἀλλὰ πόθεν δῆλον, ὅτι οὐ συνυπενόει καὶ ἐκ τῶν Ἀναγινωσκομένων τὰ τρία μόνον ἐπ' αὐτοῦ μεθηρμηνευμένα; (Τωβὶτ, Ἰουδεὶθ, Σοφ. Σολομῶντος). οὐδὲν γὰρ διορίζει περὶ Κανόνος. Ὁ Σειραχείδης λέγει (ἐν Προοιμ.), καὶ ὅτι ὁ πάππος αὐτοῦ ἀνεγίνωσκε τὸν *Νόμον*, καὶ τοὺς *προφήτας*, καὶ τ' ἄλλα τῶν *πατρίων βιβλίων*» δηλονότι τὰ κανονικὰ, ἀλλὰ μὴ οὐκ ἦσαν αὐτῷ *πάτρια* καὶ τὸ τοῦ Τωβὶτ καὶ τὸ τῆς Ἰουδεὶθ, καὶ αὐτὴ ἡ Σοφία τοῦ Σολομῶντος, ἐξ ἧς μετέφερε πολλὰ εἰς τὴν ἑαυτοῦ συγγραφήν; — 4) «Τὰ Ἀπόκρυφα (λέγουσιν) οὐκ ἐνεκρίθησαν ὑπὸ τῆς ἑβραϊκῆς Συναγωγῆς, οὐδ' εἰς τὸν ἱερὸν Κανόνα κατεχωρίσθησαν. Ὅθεν οὐδ' ἐκυρώθησαν ὑπὸ τοῦ Σωτῆρος ἡμῶν. Ἀλλ' οὐδὲ ῥῆσιν ἐξ αὐτῶν ἐμνημόνευσεν οὔτ' αὐτὸς ὁ Κύριος, οὔτε οἱ Ἀπόστολοι».- Ἀλλ' ὅτι καὶ μὴ κατα-

γραφέντα ἐν τῷ Κανόνι, οὐκ ἀθείαστα παρ' Ἰουδαίοις ἐπιστεύοντο, προείπομεν. Ὁ δὲ Κύριος ἡμῶν οὐδέποτε τοῦ *ἱεροῦ Κανόνος* ἐμνήσθη. Ἀλλ' ὅμως οἱ θεῖοι Ἀπόστολοι πολλὰς ἐκ τῶν λεγομένων τούτων *Ἀποκρύφων* ἐξέφερον ῥήσεις (καί τοι μὴ καὶ ἐξ ὀνόματος μνημονεύσαντες τὰς βίβλους), ὡς ὀψόμεθα μετ' ὀλίγον.

Β) « Τὰ Ἀπόκρυφα (λέγουσιν) οὐδὲ μετὰ Χριστὸν ἐγένοντο δεκτὰ παρὰ τοῖς χριστιανοῖς εἰς τὸν Κανόνα τῶν Γραφῶν δι' ὅλων τῶν πρώτων τεσσάρων ἑκατονταετηρίδων. Μελίτων, Ὠριγένης, Μ. Ἀθανάσιος, Ἱλάριος, Κύριλλος ὁ Ἱεροσολύμων, Ἐπιφάνιος, Γρηγόριος ὁ Ναζιανζηνός, Ἀμφιλόχιος, Ἱερώνυμος, Ῥουφῖνος, αὐτὴ ἡ ἐν Λαοδικείᾳ Σύνοδος, οὐ συγκαταλέγουσι καὶ τὰ Ἀπόκρυφα ἐν τοῖς παρ' αὐτοῖς καταλόγοις τῶν θείων Γραφῶν. Ὥστε (συμπεραίνει ὁ Βούρνετος) «ἔχομεν σαφῆ τὴν περὶ τούτων τότε κρατοῦσαν γνώμην *ὅλης τῆς Ἐκκλησίας τοῦ Θεοῦ*». Πρόσθες (λέγουσιν), ὅτι οὐδ' ἐν ταῖς Ἐκκλησίαις ἐπὶ τῶν τεσσάρων τούτων αἰώνων ἀνεγινώσκοντο. Εἰ δὲ καὶ ἀνεγινώσκοντο, ἀλλὰ μόνον πρὸς ὑποθήκην ἠθικὴν καὶ διδασκαλίαν, ὥς φησιν ὁ Ἱερώνυμος (προλόγ. εἰς τὰς βίβλους τοῦ Σολομῶντος)· ἀλλ' οὐδὲν ἐκ τούτου δύνανται προσκτήσασθαι κῦρος. Ἔπειτα καὶ σύγχρονοι συγγραφεῖς (ὡς ὁ Ἀθανάσιος ἐν Συνόψει τῶν Γραφῶν, καὶ ὁ *λεγόμενος* Ἀποστολικὸς κανών), λέγουσιν, ὅτι ταῦτα οὐκ ἦσαν κεκυρωμένα ὡς θεόπνευστα καὶ κανονικά· μόνον δέ τινα τούτων, ὡς ἡ Ἰουδείθ, καὶ ἡ Σοφία, καὶ ὁ Σειράχ, ἦσαν χρήσιμα τοῖς κατηχουμένοις. Ὁ δὲ Αὐγουστῖνος προσεδήλωσε, καὶ ὅτι τὰ μὲν *Ἀπόκρυφα* διάκονος ἀνεγίνωσκε, τὰ δὲ *κανονικὰ* ἐπίσκοπος, ἢ πρεσβύτερος». — Ἀλλ' (ἀπαντῶμεν), ὅτι μὲν τὰ κανονικὰ οὐ μόνον ἐπίσκοπος καὶ πρεσβύτερος, ἀλλὰ καὶ διάκονος ἀνεγίνωσκεν (ὡς καὶ νῦν ἀναγινώσκει), καὶ πολλάκις *ἀναγνώστης* ἁπλοῦς (πλὴν τῶν θείων εὐαγγελίων), τοῦτο μὲν ἐῶμεν, ὡς πασίδηλον (βλ. Ἀποστολ. Διαταγ. Β. νζ: Χρυσόσ. τ. ς. σελ. 491: Σουΐδ. λ. Ἰησοῦς). Τῶν δὲ μνημονευθέντων Πατέρων τοὺς καταλόγους εἴδομεν ἐν τοῖς ἔμπροσθεν (§. β. ε–ια)· καὶ προστιθέμεθα δέ, μᾶλλον ἰσχυροποιοῦντες τὴν τῶν ἐναντίων ἔνστασιν, ὅτι οὐ μόνον οὐ κατέ-

γραψαν οἱ Πατέρες οὗτοι ἐν τῷ κανόνι ταῦτα δὴ τὰ (κατὰ τὴν νεωτερωνυμίαν) *Ἀπόκρυφα*, ἀλλά τινες αὐτῶν (ὡς ὁ Μελίτων, καὶ ὁ θεῖος Γρηγόριος, καὶ Ἀμφιλόχιος, καὶ αὐτὴ ἡ ἐν Λαοδικείᾳ Σύνοδος), οὐδ᾽ ἐμνημόνευσαν, οὐδ᾽ ὠνόμασαν, ὅλως οὐδὲν τῶν βιβλίων τούτων ἐν τοῖς αὐτῶν καταλόγοις, οὐδὲ γοῦν ὡς ἐκτὸς τοῦ κανόνος κειμένων· (ὡς ἂν καὶ εἰ μηδόλως ὑπῆρχον τὰ τεύχη). Ἀλλ᾽ εἴπομεν παροδικῶς ἐν τοῖς προλαβοῦσιν, ὅτι ὁ μὲν Μελίτων ἔγραψεν αὐτὸν καὶ μόνον τὸν καθ᾽ Ἑβραίους κατάλογον τῶν ἀνέκαθεν ὁμολογουμένων τευχῶν (ὅθεν καὶ τὴν *Ἐσθὴρ* ἐσιώπησεν, ὡς ἀντιλεγομένην παρά τισι τῶν κατ᾽ αὐτὸν Ἰουδαίων· πολλῷ δὲ μᾶλλον ἔμελλε σιωπᾶν τὸν Τωβὶτ καὶ τὰ λοιπὰ τῶν ἐν τῇ Ἐκκλησίᾳ Ἀναγινωσκομένων, οἷς ἀντέλεγον τότε οἱ ἐκ περιτομῆς, ὡς Ὠριγένης ἐδίδαξεν ἡμᾶς ἀνωτέρω). Ὡσαύτως περὶ τούτων ἐσιώπησε καὶ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, διὰ τῶν παρὰ πᾶσιν ὁμολογουμένων βαδίσας καὶ αὐτός· ὅθεν οὐδὲ τὴν τότε παρά τισιν ἀντιλεγομένην *Ἀποκάλυψιν* ἠρίθμησεν ἐν τῷ καταλόγῳ τῶν βιβλίων τῆς Καινῆς Διαθήκης (καί τοι τῆς θείας ταύτης βίβλου μαρτυρίαις χρησάμενος ἐν τοῖς θεοῤῥήμοσιν αὐτοῦ λόγοις, ἄλλοις τε, κἀν τῷ πρὸς τοὺς ρν, ἐπισκόπους τῆς Β, οἰκουμενικῆς Συνόδου ῥηθέντι *Συντακτηρίῳ*. Ὥστε μετ᾽ αὐτοῦ συναπεδέχοντο τὴν Ἀποκάλυψιν ὡς θεόπνευστον καὶ πάντες οἱ λογάδες ἐκεῖνοι τῆς Συνόδου Πατέρες). Τοῦτο καὶ ἐπὶ τῆς ἀπαριθμήσεως τῶν κανονικῶν τῆς Παλαιᾶς ἐποίησε καὶ ὁ τῷ Γρηγορίῳ σύγχρονος Ἀμφιλόχιος, καὶ Κύριλλος ὁ Ἱεροσολύμων, καὶ αὐτὴ ἡ ἐν Λαοδικείᾳ Σύνοδος, ἥτις ἀπηρίθμησε μόνα τὰ ἐν ταῖς θείαις ἱεροτελεςίαις ἀναγινωσκόμενα κανονικὰ τῆς Παλαιᾶς (βλ. ὄπισθ. σελ. 119), καί τοι καὶ τὰ τούτων *ἔξωθεν Ἀναγινωσκόμενα* καὶ αὐτὴ (ὡς οἱ σύγχρονοῦντες αὐτῇ Πατέρες) ἀποδεχομένη ἐν δευτέρᾳ τάξει, ὡς θείας Γραφάς. (Οὕτω πάντως ὡς θεόπνευστον ἀπεδέχετο καὶ ἣν οὐδ᾽ αὐτὴν μετὰ τῶν κανονικῶν ἀπηρίθμησεν Ἀποκάλυψιν). Δεῖγμα δὲ τοῦ πράγματος προκείσθω λαμπρὸν, αὐτὸ τὸ μέχρι καὶ νῦν διατηρούμενον ἔθος τῆς Ἐκκλησίας. Ἐν γὰρ ταῖς καθ᾽ ἡμᾶς ἱερο-

τελεστίαις ἀείποτε ἐκ τῶν κανονικῶν θείων Γραφῶν ἀναγινώσκομεν περικοπάς. Ἐκ δὲ τῶν *Ἀναγινωσκομένων* βίβλων τῆς Παλαιᾶς μόνην τὴν Σοφίαν Σολομῶντος, ἄλλην δ' οὐδεμίαν δημοσίως ἀναγινώσκει ἡ Ἐκκλησία. Καὶ ὅμως καὶ ταύτας ὡς θείας Γραφὰς, κατὰ τοὺς ἱεροὺς κανόνας, κρατοῦμεν, καὶ μαρτυρίαις δὲ ἐκ τούτων ἐν ταῖς ἱεραῖς διδασκαλίαις χρώμεθα, καθὼς καὶ οἱ θεῖοι Πατέρες ἐπ' Ἐκκλησίας, ὅτε τοὺς λόγους πρὸς τοὺς πιστοὺς ἐποιοῦντο. Πρὸς δὲ τοὺς αἱρετικοὺς καὶ τοὺς Ἰουδαίους ἀντιλέγοντες, ἐκ μόνων τῶν παρ' αὐτοῖς ἀποδεκτῶν κανονικῶν Γραφῶν ἐξῆγον τὰς μαρτυρίας· καὶ κατὰ τοῦτο ἀληθεύει ἡ τοῦ Ἱερωνύμου γνώμη, ὅτι πρὸς ἀπόδειξιν δογμάτων οὐκ ἐχρῶντο τοῖς Ἀναγινωσκομένοις. Παρίτω δὲ μάρτυς Ὠριγένης ἐκεῖνος· «Ἐπεὶ δὲ (λέγει) τῇ τοῦ Τωβὶτ βίβλῳ ἀντιλέγουσιν οἱ ἐκ περιτομῆς, ὡς μὴ ἐνδιαθήκῳ, παραθήσομαι ἐκ τῆς πρώτης τῶν Βασιλειῶν τὸ τῆς Ἄννης», κτλ. (περὶ Εὐχῆς §. 14). Οὐ μόνον δὲ ἐκ τῶν Ἀναγινωσκομένων, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ὁμολογουμένων κανονικῶν τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς τὰ μέν τινα σπανίως καὶ κατὰ καιροὺς ὡρισμένους ἀναγινώσκομεν (α)· ἔστι δ' ὧν καὶ οὐδόλως γίνεται δημόσιος

(α) Οὕτως ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων ἀπὸ τῆς Ἀναστάσεως ἕως τῆς Πεντηκοστῆς ἀναγινώσκομεν περικοπάς· καὶ λέγει τὴν αἰτίαν ὁ θεῖος Χρυσόστομος. «Τῆς γὰρ Ἀναστάσεως ἀπόδειξίς ἐστι τὰ σημεῖα τὰ Ἀποστολικὰ, τῶν δὲ σημείων τῶν Ἀποστολικῶν διδασκαλεῖόν ἐστι τοῦτο τὸ βιβλίον· (ὅθεν) τοῦτο μετὰ τὴν ζωηφόρον Ἀνάστασιν εὐθέως οἱ Π α τ έ ρ ε ς ἐ ν ο μ ο θ έ τ η σ α ν ἀναγινώσκεσθαι» (τομ. ε. σελ. 949)· καὶ, «Τῶν Π α τ έ ρ ω ν ὁ ν ό μ ο ς κελεύει μετὰ τὴν Πεντηκοστὴν ἀποτίθεσθαι τὸ βιβλίον, καὶ τῷ τέλει τῆς ἑορτῆς ταύτης συγκαταλύεται καὶ ἡ τοῦ βιβλίου ἀνάγνωσις (τ. ε. σελ. 637). Τοῦ δὲ πάλιν Ἰὼβ ἀναγνώσματα κατὰ μόνην τὴν μ ε γ ά λ η ν ἑ β δ ο μ ά δ α καὶ νῦν ἀναγινώσκομεν, ὡς καὶ ἐπὶ τοῦ Ὠριγένους ἀνεγίνωσκεν ἡ Ἐκκλησία. (Ὠριγ. εἰς Ἰὼβ Α. σελ. 366). Ἐκ δὲ τῆς Ἰωνᾶ προφητείας μόνον τῷ μεγάλῳ Σαββάτῳ. Οὕτω καὶ ἐπὶ τοῦ ἱεροῦ Ἀμβροσίου (βλ. S. Ambr. epist. 83. ad Marcell.)· Καθόλου δὲ ΙΕ Ἀναγνώσματα προφητικὰ ἀναγινώσκομεν κατὰ τὸ μέγα Σάββατον. Καὶ τοῦτο τὸ ἀρχαῖον ἔθος τῆς Ἐκκλησίας μαρτυρεῖται ἐκ τοῦ παλαιοῦ Γ α λ λ ι κ α ν ο ῦ Ἀ ν α γ ν ω σ τ ι κ ο ῦ (βλ. Lectionarium Gallicanum ed. Mabillon. πρβλ. καὶ Bingham. Ant. Eccl. L. XIV. 3). Οὕτως ἡ Ὀρθόδοξος Ἐκκλησία Π α τ έ ρ ω ν ν ό μ ο ι ς ὡρισμένας τὰς δημοσίας τῶν Γραφῶν ἀναγνώσεις ἀνέκαθεν διατηρεῖ, καὶ εἰς αἰῶνας διατηρήσει.

ἀνάγνωσις ἐν ταῖς Ἐκκλησίαις· οὔτε γὰρ τοῦ θείου Ἄσματος τῶν Ἀσμάτων περικοπὰς πανδήμως ἀναγινώσκομεν, οὔτε τῆς θείας Ἀποκαλύψεως (διὰ τὸ μυστηριῶδες), οὔτε μὴν τῆς τοῦ Ἀποστόλου Ἰούδα ἐπιστολῆς, οὔτ' ἄλλων τινῶν ὀλίγων ἐκ τῶν κανονικῶν τευχῶν (οἷον τῶν Παραλειπομένων, τῆς Ἐσθὴρ, τοῦ Ἔσδρα· κτλ.)· ἀλλ' οὐ παρὰ τοῦτο παραβλάπτεται ἡ πανομολόγητος πίστις καὶ κυριότης τῆς τούτων θεοπνευστίας. Εἰ δὲ ταῦτ' ἠπίσταντο οἱ περὶ τὸν ἔνδοξον Βούρνετον, οὐκ ἂν ἔλεγον, ὅτι κατεῖχον βεβαίως, ἐν χερσὶ μονονοὺ διακρατοῦντες, τὴν δῆθεν ἀθετοῦσαν ὡς ἀπόκρυφα τὰ Ἀναγινωσκόμενα γνώμην *ἁπάντων τῶν κατὰ τοὺς Δ, πρώτους αἰῶνας Πατέρων τῆς Ἐκκλησίας!* Ἐκράτουν δ' ἂν ἀληθῶς τὴν γνώμην ἐκείνων, εἴπερ (Οἰκουμενικῶν Συνόδων ἁγίοις εἴκοντες θεσμοῖς) ἀπεδέχοντο ὡς γνήσιον τὸν ΠΕ, κανόνα τὸν Ἀποστολικὸν, οὗτινος ἡ φωνὴ ἀντήχησεν εἰς τὸν λϐ, τῆς ἐν Καρθαγένῃ, καὶ τὸν β, τῆς ϛ, Οἰκουμενικῆς. Κἀκεῖνο δὲ παράδοξον ποιοῦσιν οἱ ἄνδρες· μεταξὺ τῶν ἄλλων Πατέρων ὀνομάζουσι καὶ τὸν Ῥουφῖνον, ὡς καὶ τοῦτον ἀποβάλλοντα τοῦ ἱεροῦ Κανόνος τὰ παρ' αὐτοῖς ἀπόκρυφα. Ἀλλ' ὅτι μὲν ὁ Ῥουφῖνος, εἰ καὶ μὴ συναριθμεῖ μετὰ τῶν κανονικῶν, ἀλλ' ὅμως ὀνομάζει ῥητῶς *Ἐκκλησιαστικὰ* βιβλία τὰ Ἀναγινωσκόμενα, διακρίνων διαπρυσίως ἀπὸ τῶν *Ἀποκρύφων*, δῆλον τοῖς μετιοῦσι τὰ τοῦ Ῥουφίνου (α). Αὐτοὶ δὲ οἱ σοφοὶ πάντως ἐπελάθοντο κἀκείνων, ἅπερ ἔγραφε πρὸς τὸν Ἱερώνυμον ὁ Ῥουφῖνος, ἐξελέγχων αὐτὸν ὡς ἀποῤῥήξαντα ἐκ τῆς προφητείας τοῦ Δανιὴλ τὰς γνωστὰς περικοπὰς (τὴν Σωσάνναν, κτλ.). Καὶ ταύτας γὰρ τὰς περικοπὰς μετὰ τῶν ἄλλων, ὧν προείπομεν, τῶν

(α) « Sciendum tamen est quod et alij libri sunt, qui non Canonici sed Ecclesiastici, a majoribus appellati sunt: ut est Sapientia Salomonis, et alia Sapientia quæ dicitur filii Sirach.. Ejusdem ordinis est libellus Tobiæ et Judith, et Maccabæorum libri. - Ceteras vero Scripturas, Apocryphas nominarunt, quas in Ecclesia legi noluerut ». Ruf. Exposit. Symbol. inter Opp. S. Cyprian. p. 575.

Κανονικῶν (ὄπισθ. Βιβλ. Γ. σελ. 639), καὶ μετὰ τῶν Ἀναγινωσκομένων ἐπίσης ἀποβάλλουσιν, ὡς ἀπόκρυφα. Τί γοῦν λέγει περὶ τούτων ὁ Ῥουφῖνος πρὸς τὸν Ἱερώνυμον; «Τίς οὖν (φησὶν) ἐν τοσούτῳ πλήθει σοφῶν ἀνδρῶν ἐτόλμησε θείαν βίβλον, ὑπὸ τῶν Ἀποστόλων παραδεδομένην τῇ Ἐκκλησίᾳ, καὶ τοῦ παναγίου Πνεύματος οὖσαν παρακαταθήκην, διασκευάζειν καὶ συμπιλοῦν (compilare), τουτέςι μεταβάλλειν, καὶ διορθοῦν;» (Ῥουφῖν. Στηλιτ. β). Ὁ δὲ πάλιν Ἱερώνυμος ἀπολογούμενος, «Εἰ δ' ἔγω γέ (φησιν) ἀνέφερον, ὅ,τι λέγειν εἰώθασιν οἱ Ἑβραῖοι κατὰ τῶν μύθων τῆς Σωσάννης καὶ τῆς τῶν γ, παίδων ᾠδῆς, καὶ τοῦ Βὴλ καὶ δράκοντος, ἃ λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ κώδηκος, ὁ (τούτων ἕνεκεν) ἐμοῦ καταιτιώμενος, ἀποδείκνυσιν ἑαυτὸν ἀνόητον συκοφάντην.» (α). Ὅσοι δὲ τὸν Ῥου-

---

(α) S. Hieron. adv. Ruffin. L. II. §. 33. Σημειωτέον δὲ, ὅτι ἀντὶ τοῦ ἀνωτέρω μ ύ θ ο υ ς (τῆς Σωσάννης κτλ.) ὁ Ἱερώνυμος γράφει τὸ Λατινικὸν fabulas, καὶ τοῦτο πολλοὶ τῶν Δυτικῶν, ὑπεραπολογούμενοι τοῦ πατρὸς, ἐξηγοῦσι λ ό γ ο υ ς (οἷον καὶ τὸ μ ῦ θ ο ς πλειστάκις παρ' Ὁμήρῳ καὶ τοῖς ἄλλοις ποιηταῖς). Τὸ γὰρ fabula (φασὶ) παρὰ τὸ fando (καὶ τοῦτο ἐκ τοῦ fao, τὸ ἑλληνικὸν φάω, ὅθεν καὶ τὸ φάτις, φήμη, fama, κτλ.)· καὶ φέρουσι παραδείγματα ἐκ τοῦ Λιβίου καὶ Οὐϊδίου καὶ τοῦ Κικέρωνος (βλ. Ackermann, Introductio p. 39). Καὶ ἡμεῖς αὐτοῖς πιστεύομεν· ἓν δὲ μόνον ἀποροῦμεν· πῶς ὁ Ἱερώνυμος αὐτὸς οὐ διεσάφησε, πρὸς ἑαυτοῦ ἀθῴωσιν, τὴν τοιαύτην τοῦ fabula σημασίαν, ἀλλ' ἀπεσείσατο τὴν λέξιν, ἀποῤῥίπτων εἰς τοὺς κατ' αὐτὸν Ἑβραίους; Ἀλλὰ ταῦτα μὲν ἐχέτωσαν ὡς ἔχουσιν. Ἐπειδὴ δὲ ὁ λόγος περὶ τοῦ μ ῦ θ ο ς ὡς συνωνύμου τοῦ λ ό γ ο ς, οὐκ ἄκαιρον ἐνταῦθα διαλαβεῖν καὶ περὶ τῆς (Μ υ θ ο λ ά τ ρ η ς, ἢ) Μ υ θ ό λ α τ ρ ι ς λέξεως, ἥτις ἐν μὲν τοῖς ἀρχαίοις λεξικοῖς λείπει, παρὰ δὲ τοῖς νεωτέροις λεξικογράφοις πάντῃ ἡμαρτημένως ἡρμήνευται· ἀλλ' οὐδ' ἐκ τίνος συγγραφέως εἴληπται ἡ λέξις σεσημείωται, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς ἐπισήμοις καθ' ἡμᾶς Ἑλληνογερμανικοῖς λεξικοῖς, οἷον τοῦ Σνεϊδέρου, καὶ τοῦ Ῥειμέρου (ἐκ τοῦ Πασσοβίου λείπει)· ἔτι δὲ καὶ ἐν τοῖς πρὸς ταῦτα ὑπὸ νεωτέρων Ἑλλήνων συνταχθεῖσιν ἑλληνικοῖς (οἷον τὸ τοῦ Γαζῆ, καὶ τὸ τοῦ Κούμα, κτλ.). Ἐν τούτοις τοίνυν ἅπασιν (οἷς ἡμῖν ἐξεγένετο περιτυχεῖν) τὸ μ υ θ ό λ α τ ρ ι ς ἐξηγεῖται «λάτρις μύθου, καὶ τοῦτο ἀντὶ λόγου, καὶ τοῦτο ἀντὶ Χριστοῦ, ὅστις εἶναι λόγος (Ν. Διαθ.), ἄρα χριστιανός». Καὶ ἄλλως, συντομώτερον· «ὁ λατρεύων τὸν ἐ ν α ν θ ρ ω π ή σ α ν τ α λ ό γ ο ν (μῦθον)». Μόνη ἡ ἐν Λονδίνῳ (1823) νεωτέρα ἔκδοσις τοῦ Ἐῤῥίκου λεξικοῦ, ἥτις ὑπάρχει καὶ διὰ τῆς λέξεως ταύτης (ὡς καὶ δι' ἄλλων μυρίων) πεπλουτισμένη, δηλοῖ μὲν, ὅτι κεῖται τὸ ὄνομα παρὰ Γρηγορίῳ τῷ Θεολόγῳ, καὶ γράφει τοῦτο Μ υ θ ό λ α τ ρ ι ς (προπαροξυτόνως), ἀλλ' ὡσαύτως καὶ αὐτὴ

φῖνον καὶ τὸν Ἱερώνυμον παράγουσιν ὡς ἀναντιῤῥήτους μάρτυρας τῆς παρὰ τοῖς ἀρχαίοις ἀποβολῆς ὅλων τῶν, ὧν λέγουσιν, Ἀποκρύφων, ἢ λάθοντ', ἢ οὐκ ἐνόησαν καθ' ἑαυτῶν ἐπάγοντες τὴν μαρτυρίαν. Οἱ δ' αὐτοὶ προβάλλοντες ὡς μάρτυρας καὶ πάντας τοὺς τῶν Δ, αἰώνων Πατέρας τῆς Ἐκκλησίας, ἄχρι καὶ αὐτοῦ τοῦ Ἱερωνύμου, ἔπειτα σιωπῶσι τὸν κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου, ζῶντος ἔτι καὶ συγγράφοντος τοῦ Ἱερωνύμου, ἐκδοθέντα (τῷ 397), ὅστις καὶ αὐτὸν τὸν Φερώνυμον ἄνδρα συνέστειλεν (ὄπισθ. σελ. 125), ἀνακηρύξας *θείας γραφὰς τὰ Ἀναγινωσκόμενα*, «καθὼς (φησι) παρελάβομεν *παρὰ τῶν Πατέρων*». Οὐδ' ὤφειλε θροῆσαι τοὺς ἄνδρας ἡ παρά τισι τῶν θείων Πατέρων εἴτε παντελὴς ἀποσιώπησις, εἴτε καί τις διαφορὰ περὶ τὴν ἀπαρίθμησιν τῶν Ἀναγινωσκο-

---

ἑρμηνεύει· «Verbi, id est Christi Cultor. Greg. Naz.». (σελ. 6250). Ἀλλ' ἡ μὲν λέξις ἀληθῶς ἐστιν ἐκ τῶν ἐπῶν τοῦ θείου Γρηγορίου τοῦ Θεολόγου (τοῦ καὶ πρῶτον ἴσως αὐτὴν δημιουργήσαντος), τεθησαυρημένη ἐν τῷ πρὸς Νεμέσιον (εἰδωλολάτρην ἄρχοντα, καὶ τῷ Πατρὶ γνωριμώτατον) ποιηματίῳ (τόμ. Β. σελ. 143)· σημαίνει δὲ τὸν λάτριν τῶν μύθων, ἤτοι τῶν μυθολογουμένων θεῶν (ἐπὶ δὲ τοῦ Θεοῦ Λόγου οὐδεὶς οὐδέποτε τῶν χριστιανῶν συγγραφέων, Ὁμηρίζων δῆθεν, ἐχρήσατο ὡς συνωνύμῳ τῷ μῦθος! ἢ πῶς ἂν ἐτόλμησεν ἐκφράσαι τὸ θειότατον ὄνομα διὰ λέξεως οὕτως ἐναντιοσήμως διφορουμένης, καὶ μεταξὺ τοῦ ὄντως Ὄντος καὶ τοῦ μὴ ὄντος ἑτοιμοῤῥόπως ἀμφιταλαντευομένης; Ἰδοὺ δὲ καὶ οἱ στίχοι αὐτοὶ τοῦ θεοῤῥήμονος Πατρός·

> Εἰ δὲ θεοὺς στήσειας ἀτασθαλίης μεδέοντας,
> Πρὶν μύθου δνοφεροῖο λύσῃς ζόφον ἔμφρονι μύθῳ,
> Μυθόλατριν, διέπερσας, ἐπισπόμενον φαέεσσι»·

ὁ δὲ νοῦς, πρὶν ἢ διαλύσῃς τὸν ζόφον τοῦ σκοτεινοῦ μύθου δι' ἄλλου μύθου (λόγου) συνετοῦ, τουτέστι διὰ τῆς ἀλληγορίας (ὡς εἰώθεισαν ἀλληγορεῖν οἱ Νεοπλατωνικοὶ μάλιστα, μεταφέροντες πρὸς τὸ εὐσχημότερον τὰ τῶν μυθολογουμένων θεῶν αἴσχη), ἀπώλεσας τὸν λατρεύοντα τοῖς μυθικοῖς σου θεοῖς, ὡς παρακολουθοῦντα διὰ τῶν ὀμμάτων (φαέεσι) τοῖς, οἷς ἔστησας, εἰδώλοις τῶν ἀτασθάλων θεῶν. Ὅθεν ἐπιφέρει· «Εἰ μῦθοι τάδ' ἔασιν ἱδρύματα, ῥίψον ἔραζε». Ταῦτα λέγει ὁ Πατήρ. ὁ δὲ λατῖνος μεταφραστὴς οὐκ ἐξηκρίβωσε τὴν γνώμην τῶν λεγομένων. Ὡς δ' ὁ θεῖος Γρηγόριος εἶπε τὸ μυθόλατρις, οὕτω καὶ ὁ σύγχρονος αὐτῷ καὶ φίλος Ἀμφιλόχιος εἶπε Μυθοθρησκείαν τὴν μυθώδη θρησκείαν «τῆς Ἑλληνικῆς μυθοθρησκείας» (λόγ. δ. εἰς τὴν ἁγίαν Θεοτόκον. σελ. 53 Paris, 1644). Λείπει ἡ λέξις αὕτη ἐκ τῶν λεξικῶν.

μένων· α) μὲν γὰρ οἱ Πατέρες ἐκεῖνοι ἐϐάδιζον διὰ τῶν ἐπ' Ἐκκλησίας δεδημοσιευμένων κανονικῶν, καὶ παρά τε τοῖς Ἰουδαίοις παρά τε τοῖς αἱρετικοῖς ὁμολογουμένων, πρὸς οὓς ἠγωνίζοντο ὑπὲρ τοῦ δόγματος τῆς χριστιανικῆς ἀληθείας. β) Διὰ τὴν τότε τῶν ψευδεπιγράφων Ἀποκρύφων φορὰν (α), ἦσαν καί τινες τῶν Πατέρων, ἢ καὶ τῶν κατὰ τόπους Ἐκκλησιῶν, ἀμφιβάλλοντες περί τινα τουτωνὶ τῶν βιβλίων, ἢ καὶ ὑποπτεύοντες αὐτὰ κατὰ τόπους νενοθευμένα, καὶ λαβὰς παρέχοντα τοῖς αἱρετικοῖς εἰς δικαίωσιν τῶν κατ' αὐτοὺς κακοδοξιῶν· διὸ καὶ ἀκριβολογούμενοι προέκρινον μᾶλλον περί τινα τῶν ἀληθινῶν ἀμφιβάλλειν, ἢ πάροδον τῷ ψεύδει τῆς δυσσεβείας παρέχειν, ἐπὶ βλάβῃ τῆς Ἐκκλησίας. Διὰ ταῦτα καὶ παρεσιώπων αὐτὰ ἐν τοῖς καταλόγοις, οἷον ἴδομεν καὶ τοὺς τὴν Ἀποκάλυψιν παραλιπόντας (β), καὶ τοὺς περὶ τὸν Μελίτωνα σεσιωπηκότας τὴν Ἐσθήρ (γ). Ἀλλά γε σὺν πᾶσι τούτοις

(α) « Ἀμύθητον πλῆθος ἀποκρύφων καὶ νόθων γραφῶν, ἃς αὐτοὶ ἔπλασαν (οἱ αἱρετικοὶ) παρεισφέρουσιν εἰς κατάπληξιν τῶν ἀνοήτων, καὶ τὰ τῆς ἀληθείας μὴ ἐπισταμένων γράμματα » Εἰρην. κατὰ Αἱρέσ. Α, ιζ. σελ. 86.

(β) Οὕτω καὶ ἄλλα τινὰ τῶν τῆς Καινῆς Διαθήκης κανονικῶν ἀμφίβολα παρά τισιν ἐδόκουν μέχρι καιροῦ· οἷον ἡ πρὸς Ἑβραίους ἐπιστολή, καὶ τ' ἄλλα τὰ παρὰ τοῖς Δυτικοῖς ἀριθμούμενα μετὰ τῶν παρ' αὐτοῖς Δευτεροκανονικῶν (βλ. ὄπισθ. σελ. 136).

(γ) Ὁ δὲ σοφὸς Λιβερμὰν (Inst. Theol. T. 2. p. 337) ἀδίκως ἐχολώθη κατὰ τοῦ γηραιοῦ Μελίτωνος, διότι παρέλιπε τὴν Ἐσθήρ. « Αὐτός (φησιν) ὁ Μελίτων ὁμολογεῖ, ὅτι ὁ κατ' αὐτὸν κατάλογος τῶν βιβλίων τῆς Γραφῆς διαφέρει τῆς παραδόσεως τῶν ἐν τῇ Ἀσίᾳ Ἐκκλησιῶν ». Ἀλλ' ὁ Μελίτων οὐδὲν οὐδόλως εἶπε τοιοῦτο· πρόκειται δὲ πᾶσιν ἐμφανὴς ἡ τούτου περὶ τοῦ Κανόνος ἐπιστολὴ παρ' Εὐσεβίῳ (Ἐκκλ. ἱστορ. Δ. κς, §. 6). « Καὶ λοιπὸν » (συμπεραίνει ἐκ προτάσεως ψευδοῦς ὁ Λιβερμὰν) « ὁ Μελίτων ἀδείᾳ κριτικῆς ἀμέτρου καὶ ὑπερβολικῆς ὑπερεπήδησε τοὺς ὅρους τῆς ἐκκλησιαστικῆς παραδόσεως· καὶ δὴ καὶ διὰ τῆς ὑπολήψεως αὐτοῦ κατέπραξεν, ἵνα κινηθῶσιν ἐν ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις ἀμφιβολίαι περὶ τῶν ἐν τῷ καθ' Ἑβραίους καταλόγῳ μὴ περιεχομένων τευχῶν. Ἀλλ' ἐν τούτῳ (φησὶ) μείζονα πάντως, ἢ ὅσον ἔδει, λόγον ἐποιήσαντο περὶ αὐτοῦ» (αἱ Ἀνατολικαὶ δηλαδὴ Ἐκκλησίαι). «Καί τοι γάρ (φησιν) ἤνθει ἐπαινούμενος ἐπὶ παιδείᾳ, καὶ πολλὰ συνέγραψεν, ἀλλὰ καὶ εἰς πλάνας ἐμπέπτωκεν οὐκ ἐλαφράς. Ἤδη δὲ κἂν τῷ Κανόνι τῶν Γραφῶν, ὃν αὐτὸς ἐξύφανε, νέαν ἐφωράσαμεν πλάνην, τὴν παράλειψιν τοῦ τεύχους τῆς Ἐσθὴρ, καί τοι περιεχομέ-

ἡ περί τε τῶν κανονικῶν καὶ τῶν Ἀναγινωσκομένων ἱερῶν βιβλίων Ἀποστολικὴ παράδοσις ἐκράτει σταθερῶς ἐν ταῖς πλείσταις δὴ καὶ μεγίσταις τῶν Ἐκκλησιῶν, κατά τε τὴν Ἀνατολὴν καὶ τὴν Δύσιν· ἕως οὗ, τέλος, καὶ διὰ τοῦ Κανόνος τῆς ἐν Καρθαγένῃ Συνόδου σαφέστερον ἐκυρώθη, καὶ ὑπὸ τῆς ϛ, Οἰκουμενικῆς δὶ αἰῶνος ἐπεσφραγίσθη. Τελευταῖον· ὅτι ταῦτα τὰ λεγόμενα παρὰ τοῖς ἑτεροδόξοις *Ἀπόκρυφα* πασιφανῶς ἀνεγινώσκοντο

νου ἐν τῷ παλαιῷ (καθ' ἑβραίους) Κανόνι ». - Ἀλλὰ καὶ ταύτας τὰς ἐπεσβολίας δωρεὰν καὶ μάτην ὁ σοφὸς ἐτόξευσε κατὰ τοῦ Μελίτωνος. Πολλὴν πάντως εἶχεν ὑπόληψιν παρὰ τοῖς συγχρόνοις ὁ πολυγραφώτατος οὗτος ἀνήρ· ἀλλ' ὅμως ὁ Λιβερμᾶν ἐπλανήθη μεγάλως, εἴπερ ἐπίστευσε τῷ ὄντι, ὅτι αἱ Ἀνατολικαὶ Ἐκκλησίαι κατηκολούθουν τῷ Μελίτωνι, ὡς ἀρχιδιδασκάλῳ, περὶ τὴν κρίσιν τῶν κανονικῶν Γραφῶν. Πῶς; αἱ Ἀποστολικαὶ Ἐκκλησίαι τῶν Ἱεροσολύμων καὶ τῆς Ἀντιοχείας καὶ τῆς Ἀλεξανδρείας περιέμενον ἵνα μάθωσι παρὰ τοῦ Μελίτωνος, ποῖα τὰ γνήσια βιβλία τοῦ Ἑβραϊκοῦ κώδηκος, ὃν αὐταὶ παρέλαβον παρὰ τῶν Ἀποστόλων; Καὶ ἐπειδὴ ὁ Μελίτων ἀπεσιώπησε τὰ ἐκτὸς τοῦ καθ' Ἑβραίους, ὃν κατέγραψε, Κανόνος (ὤφειλε δὲ πάντως αὐτὰ παραλιπεῖν, εἴπερ ἔγραφε γνησίως αὐτὸν τὸν καθ' Ἑβραίους Κανόνα), διὰ τοῦτο λοιπὸν ἐξήγειρεν ἐν ταῖς Ἐκκλησίαις ὑπονοίας περὶ τῶν ἐκτὸς τοῦ Κανόνος Ἀναγινωσκομένων ἱερῶν τευχῶν; Ἀλλὰ ποῖαι ἄλλαι Ἐκκλησίαι, εἰμὴ πρῶται αἱ τῆς φωσφόρου Ἀνατολῆς ἐχρῶντο τοῖς Ἀ ν α γ ι ν ω σ κ ο μ έ ν ο ι ς, ὡς ἐκήρυξεν ὁ πολὺ τοῦ Μελίτωνος ἐνδοξότερος καὶ πολυγραφώτερος, καὶ σχεδὸν σύγχρονος Ὠριγένης; Τὰς δὲ πολλὰς καὶ βαρείας πλάνας, ἃς ὁ Μελίτων ἐσφάλη, παρ' οὐδενὶ τῶν πατέρων εὕρομεν ἱστορουμένας· οὐδ' ἴσμεν ἄλλο τῶν αὐτοῦ συγγραμμάτων ἐπ' ἀτοπίᾳ ψεγόμενον, εἰ μὴ μόνον τὸν π ε ρ ὶ τ ο ῦ ἐ ν σ ω μ ά τ ο υ Θ ε ο ῦ λόγον, ὃν ἐμνημόνευσε μὲν ὁ Εὐσέβιος (Ἐκκλ. ἱστορ. αὐτόθ.), καὶ ὁ Ῥουφῖνος (De Deo corpore induto ἐκλατινίσας τὴν ἐπιγραφὴν), ἐξήλεγξε δὲ ὁ ἀδαμάντινος Ὠριγένης (Σχόλ. εἰς Γένεσ. ἐν Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. τόμ. α. σελ. 47 ἐκδ. Θεοτ. καὶ παρὰ Θεοδωρήτ. ἐν Ἀπόρ. εἰς Γένεσ. ἐρωτ. κ. Τούτου δὲ τοῦ Μελίτωνος λόγου σώζεται καὶ νῦν χειρόγραφον, ὡς φησὶν ὁ Ἰττίγιος (Ittig. Dissert. de Haeres. II. Saec. p. 195). Καὶ ἔστι μὲν αὕτη βαρεῖα τῷ ὄντι πλάνη τοῦ Μελίτωνος, ἄλλως δὲ, τοῦτον ὁ μικρῷ νεώτερος αὐτοῦ Πολυκράτης ὁ Ἐφέσου ἐπῄνεσεν « ὡς ἐν ἁγίῳ Πνεύματι πάντα πολιτευσάμενον » (Εὐσέβ. Ἐκκλησ. ἱστορ. Ε, κδ. πρβλ. καὶ Τερτυλλιαν. παρ' Ἱερωνύμῳ ἐν τῷ Καταλόγῳ τῶν Ἐκκλησ. συγγραφ. κεφ. λδ). Ἣν δὲ λέγει Λιβερμᾶν νέαν φωραθεῖσαν πλάνην, τὴν παράλειψιν τῆς Ἐσθήρ, παλαιά τις αὕτη φαίνεται καὶ τριπέμπελος καθημένη παρ' Εὐσεβίῳ, οὐχ ὡς πλάνη, ἀλλ' ὡς ἁπλῆ παράλειψις, περὶ ἧς καὶ ἄλλοι πολλῷ τοῦ Λιβερμᾶνος ἀρχαιότεροι πολλὰ προεῖπον, καὶ ἡμεῖς τὸν λόγον τῆς παραλείψεως ἐξεθήκαμεν ἀνωτέρω.

πρὸς τοὺς νέους μάλιστα καὶ τοὺς κατηχουμένους, *ὡς καλὰ καὶ χρήσιμα*, εἶπε μὲν ὁ Μ. Ἀθανάσιος, εἶπε δὲ καὶ ὁ ἱερὸς Ἐπιφάνιος, οὐδὲ προσέθηκαν ῥητῶς οἱ Πατέρες οὗτοι, ὅτι καὶ ὡς θεόπνευστα ὑπῆρχον κεκυρωμένα· ἀλλὰ μήπως εἶπον οἱ αὐτοὶ θεοκήρυκες, ὅτι καὶ ὡς *ἄκυρα καὶ ἀπόκρυφα* ἀνεγινώσκοντο τὰ τεύχη; Πᾶν τοὐναντίον· αὐτὸς ὁ Μ. Ἀθανάσιος διαῤῥήδην ἀνεκήρυξε καὶ ἐκπεφασμένως, ὅτι τὰ *Ἀναγινωσκόμενα* οὐκ ἦσαν ἀπόκρυφα, ἀλλὰ μάλιστα καὶ *τετυπωμένα* πρὸς ἀνάγνωσιν. Ὁ δὲ πάλιν Ἐπιφάνιος τὰς δύο *Σοφίας* συνηρίθμησε μετὰ τῶν *θείων Γραφῶν* (ὄπισθ. σελ. 122). Μετὰ τῶν ἁγίων καὶ σεβασμίων βιβλίων συγκατέλεξεν αὐτὰ καὶ ὁ κανὼν ὁ Ἀποστολικός· καὶ αὐτὸς δὲ, τέλος, ὁ Ἀρεοπαγίτης Διονύσιος, ὁ μέγας μύστης τῶν τοῦ Θεοῦ μυστηρίων, ἐκήρυξε τὰ βιβλία ὡς *προεισαγωγὰς* τῶν θείων λογίων. *Ἄκυρα* δὲ βιβλία καὶ *ἀπόκρυφα*, καὶ (ὡς παραστήσουσιν αὐτὰ μετ᾽ ὀλίγον) *βλάσφημα καὶ μυθώδη*, ἐάν τις νομίζῃ, ὅτι παρεδίδοντο ὑπὸ τῆς Ἐκκλησίας ὡς εἰσαγωγικὰ τῶν θείων προφητειῶν, καὶ προτελεστικὰ τῶν *κατηχουμένων* τὴν πίστιν τὴν ἀμώμητον, ἔτι δὲ καὶ ὡς διδακτικὰ, προσάγοντα τοὺς νέους πρὸς τὴν εὐαγγελικὴν ἠθικὴν, ὁ τοιοῦτος παρίστησι τὴν ἀκήρατον τῆς ἀληθείας διδασκαλίαν ἀρχομένην ἀπὸ ψεύδους.

Γ) Τελευταῖον (λέγουσι)· «τὰ Ἀπόκρυφα ταῦτα βιβλία περιέχουσι πράγματα λίαν ἄτοπα, καὶ ἐναντία πρός τε τὴν δογματικὴν, καὶ ἠθικὴν, καὶ ἱστορικὴν διδασκαλίαν τῆς θρησκείας τοῦ Ἰουδαϊκοῦ λαοῦ· καὶ ἡ τῶν βιβλίων τούτων εἰς τὸν Κανόνα παραδοχὴ πολλὴν ἔμελλε βλάβην τῇ θεοσεβείᾳ τῶν Ἰουδαίων ἐναπομόρξαι». — Ἀλλὰ ποῖα μὲν ταῦτα τὰ τῶν Ἀναγινωσκομένων ἄτοπα καὶ κακόδοξα, αὐτοί τε μετ᾽ ὀλίγον ἐροῦσι, καὶ ἡμεῖς ἐξετάσομεν. Ἤδη δ᾽ ἐκ προοιμίων εὐθὺς ἀπαντῶντες, ἀρνούμεθα, καὶ μάλ᾽ αὖθις ἀπαρνούμεθα, ὅτι οὐδὲν ἐν οὐδενὶ τῶν βιβλίων τούτων ἀπαντᾶται νοσῶδες καὶ βλαβερὸν οὐδαμῆ οὐδαμῶς. Τὰ βιβλία τῶν Μακκαβαϊκῶν συνεχίζουσι τὴν ἱερὰν ἱστορίαν τοῦ Ἑβραϊκοῦ λαοῦ, καὶ μάλιστα μίαν τῶν λαμπρῶν αὐτῆς περιόδων. Πρόσθες, καὶ ὅτι τὸ

πρῶτον τῶν Μακκαβαϊκῶν ἐγεννήθη ἐν αὐτῇ τῇ Παλαιστίνῃ. Ἡ δὲ Σοφία τοῦ Σειρὰχ ὑπάρχει καὶ αὐτὴ σύγγραμμα θεοσεβοῦς Ἱεροσολυμίτου σοφοῦ, καὶ κατὰ πάντα σύμφωνον πρὸς τὰς Παροιμίας τοῦ Σολομῶντος. Καὶ τούτου πάλιν ἡ Σοφία συνᾴδει οὐ μόνον ταῖς Παροιμίαις, ἀλλὰ καὶ τοῖς Ψαλμοῖς, καὶ ταῖς προῤῥήσεσι τῶν προφητῶν, καὶ ταῖς τοῦ Ἰὼβ διδασκαλίαις. Ὁ δὲ Τωβὶτ καὶ ἡ Ἰουδεὶθ περιέχουσι λαμπρὰς ἀρετὰς, καὶ σύμφωνα τῇ τῆς Π. Γραφῆς διδασκαλίᾳ παραδείγματα, καὶ πράξεις ἐπισήμων προσώπων τοῦ Ἰουδαϊκοῦ ἔθνους, συμβαλλούσας καὶ πρὸς τὴν καθολικὴν αὐτοῦ ἱστορίαν. Καὶ ταῦτα μὲν ἐκ προκαταβολῆς. Ἀκούσωμεν δὲ ἤδη καὶ τὰ εἴδη τῶν ἐν τοῖς βιβλίοις ἀτοπιῶν. «Ταῦτα (λέγουσι) περιέχουσι πράγματα, 1) μυθώδη· 2) ἐναντία τῶν κανονικῶν Γραφῶν· 3) ἐναντία τῆς δογματικῆς διδασκαλίας· 4) ἐναντία τῆς ἠθικῆς». — Δεινὰ ταῦτα, καὶ πέρα δεινῶν! Ἀλλ' ἀκούσωμεν καὶ τὰς ἀποδείξεις.

α) Μυθώδη· οἷον, τὰ ἑξῆς· 1) Τοῦ κατὰ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων ἐν φρέατι κρυβέντος ὑπὸ τῶν ἱερέων ἱεροῦ πυρὸς ἡ εἰς ὕδωρ παχὺ μεταβολὴ, καὶ πάλιν ἡ ἐκ τοῦ ἀνιμηθέντος μέρους τούτου τοῦ ὕδατος (δἰ οὗ τὰ ξύλα τῆς θυσίας ἐῤῥαντίσθησαν) ἀνάλαμψις τοῦ ἱεροῦ πυρὸς ἐπὶ τοῦ Νεεμίου, καὶ τῆς ἀνεγέρσεως τοῦ β, ναοῦ (Β. Μακκαβ. α, 19-24)».—Παράδοξὸν (ἀπαντῶμεν) τὸ πρᾶγμα, καὶ θείας δυνάμεως ἔργον, ἀλλ' ὅμως ἱστορικὸν, καὶ βέβαιον, γεγραμμένον ἐν γράμμασι αὐθεντικοῖς καὶ δημοσίοις, οἷς ἀπέστειλεν ἡ Γερουσία τῶν Ἱεροσολύμων πρὸς τὴν ἐν Αἰγύπτῳ κοινότητα τῶν Ἰουδαίων. Προεῖπε δὲ περὶ τούτου καὶ ὁ Ἱερεμίας, ὡς ἐγέγραπτο ἐν ταῖς τοῦ προφήτου *ἀπογραφαῖς* (Β. Μακ. β. 1), αἵτινες ἴσως ἐσῴζοντο κἂν τῷ παρὰ τοῖς Ναζωραίοις τηρουμένῳ Ἑβραϊκῷ ἀποκρύφῳ βιβλίῳ τοῦ Ἱερεμίου, ὅπερ ἀνέγνω Ἱερώνυμος (Ὑπομνήμ. εἰς Ματθ. κζ. 9). Εἰ δὲ θαυμαστὸν τὸ πρᾶγμα, μή τι παρὰ τοῦτο καὶ ψευδές; ἢ μήπως ἐξηγεῖται φυσικῶς ἡ κατὰ τὸν πρῶτον ναὸν οὐρανόθεν κατάβασις τοῦ πυρὸς ἐπὶ τῶν ὁλοκαυτωμάτων τοῦ Σολομῶντος ; (Β. Παραλ. ζ, 1). Ἐπὶ δὲ τοῦ Ἠλιοὺ,

πῦρ οὐράνιον καταπεσὸν, κατέφαγεν οὐ μόνον τὰ ὁλοκαυτώματα καὶ τὰς σχίδακας, ἀλλὰ καὶ τὸ ὕδωρ, ὅπερ χύδην καὶ πολὺ περιέῤῥεε τὸ θυσιαστήριον (Γ. Βασιλ. ιη, 38). Ἔπειτ', ἐπειδὴ τὸ κρυβὲν ἐκεῖνο ἱερὸν πῦρ ἐλάνθανεν ἐν τῷ *παχυλῷ ὕδατι* (Β. Μακκαβ. β), μήπως οὐκ ἠδύνατο καὶ πάλιν ἐκ τούτου θείῳ νεύματι ἐπὶ τῆς θυσίας ἀναλάμψαι; καὶ (ὡς ἐπ' ἄλλοις εἶπεν ἡ Σοφία) «ἰσχύσαι πῦρ ἐν ὕδατι;» (Σ. Σολ. ιθ. 20)· Σημειωτέον δὲ καὶ ὅτι τὸ παχυλὸν ἐκεῖνο ὕδωρ (ἐξ οὗ ἀνιμήσαντο) ἔμεινε καὶ ὕστερον ἐν τῷ κοιλώματι, καὶ ἐτιμήθη ὑπὸ τοῦ Περσῶν βασιλέως. Ὑπὸ δὲ τοῦ Νεεμίου *Νέφθαρ* ἐπεκλίθη, ὅ ἐστι καθαρισμός. (Τοῦτο δὲ τὸ νέφθαρ ἔστιν ἴσως τὸ αὐτὸ καὶ *νάφθα* ἡ εὔφλεκτος, ὡς ὁ Βέλτης βεβαιοῖ· ἴδε καὶ τὸν Γρότιον εἰς Μακ. αὐτόθι). Πρόσθες, ὅτι καὶ ὕστερον ἐπὶ τῶν Μακκαβαίων, ὅτε τὸν ὑπὸ τοῦ Ἀντιόχου βεβηλωθέντα ναὸν ἐκαθάρισαν, οὐ χωρὶς θαύματος ἀνῆψαν πάλιν τὸ πῦρ, «*πυρώσαντες τοὺς λίθους*» (Β. Μακ. ι. 3). ἦγον δὲ καὶ δημοτελῆ ἑορτὴν οἱ Ἰουδαῖοι πρὸς ἀνάμνησιν τῆς ἀναλάμψεως τοῦ ἱεροῦ πυρὸς μετὰ τῆς σκηνοπηγίας (αὐτόθ. §. 8). Ὅτι δὲ καὶ κατὰ τὸν β, ναὸν ὑπῆρχε τὸ ἱερὸν πῦρ παρ' Ἰουδαίοις μαρτυρεῖ καὶ Γοριονίδης, συμμαρτυροῦσι δὲ καὶ ῥαββῖνοι ἐν τῷ Ἱεροσολυμικῷ Ταλμουδίῳ, ψευδίζοντες τοὺς ἀφανίζοντας τὸ ἱερὸν πῦρ ἐκ τοῦ β, ναοῦ (α).—2) Λέγουσιν, «ἐν τῷ Τωβὶτ (β, 10) θερμὴ κόπρος στρουθίων ἐπιφέρει τύφλωσιν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ· χολὴ δ' ἰχθύος ἐπιχρισθεῖσα θεραπεύει τὸ πάθος». — Ἀλλ' (ἀπαντῶμεν) τὸ μὲν πρῶτον φυσικόν ἐστιν ἀποτέλεσμα· τὴν δὲ θεραπείαν τοῦ λευκώματος τῶν ὀφθαλμῶν θεία δύναμις ἐνήργησε διὰ τοῦ χρίσματος τῆς τοῦ ἰχθύος χολῆς, καί

(α) Πέντε τινὰ προτερήματα τοῦ Σολομωντείου ναοῦ λέγουσιν οἱ πλεῖστοι τῶν Ῥαββίνων ὅτι ἔλειψαν ἐκ τοῦ Β, ναοῦ. 1) ἡ κιβωτὸς τῆς Διαθήκης (βλ. καὶ Β. Μακκαβ. β, 5)· 2) τὸ ἔλαιον τοῦ χρίσματος· 3) τὸ Οὐρὶμ καὶ Θουμμὶμ (περὶ ὧν ὁ Ἰώσηπος ἐξελέγχει ψευδομένους καὶ τοὺς ῥαββεῖς καὶ τοὺς πιστεύοντας αὐτοῖς κριτικοὺς, ἱστορῶν ὅτι ὑπῆρχε καὶ ἐν τῷ Β. ναῷ τὸ Οὐρὶμ κτλ. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 218)· 4) τὸ πνεῦμα τῆς προφητείας (περὶ οὗ προείρηται ἐν τοῖς ἔμπροσθεν σελ. 51 καὶ 142)· καὶ 5) τὸ ἀνωτέρω ἱερὸν πῦρ (βλ. καὶ Bernard. εἰς Ἰώσ. Ἀρχ. Γ, η, 9).

τοι φύσει καὶ αὐτῆς ὁπωσδήποτε συντελούσης πρὸς ἴασιν λευκωμάτων (οἵαν λέγουσι παῖδες ἰατρῶν τὴν χολὴν τοῦ καλλιωνύμου, καὶ τῆς (θαλασσίας) ὑαίνης, καὶ τοῦ θαλασσίου σκορπίου (α)). Οὕτω καὶ δι' ἄλλων ὁμοίων εὐτελῶν μέσων ἐνεργοῦσαν τὴν θείαν παντοδυναμίαν ἀναγινώσκομεν ἐν τῇ θείᾳ Γραφῇ. Δι' ὀλίγου ἅλατος ἰάτρευσεν ὁ Ἐλισσαῖος τὴν φυσικὴν καὶ θανατηφόρον ἰδιότητα τῶν πολλῶν ὑδάτων τῆς Ἱεριχοῦς (Δ. Βασιλ. β, 21). Δι' ὀλίγου ἀλεύρου, τὸ φαρμακῶδες ἕψημα τῶν λαχάνων (αὐτ. δ, 41). Διὰ τῶν ἁπλῶν ὑδάτων τοῦ Ἰορδάνου, τὴν χρονίαν λέπραν τοῦ Νεεμὰν (αὐτόθ.). Καὶ (ἵνα παραλίπωμεν ἄλλα) αὐτὸς ὁ Κύριος ἡμῶν ἰάσατο τὸν ἐκ γενετῆς τυφλὸν, *πηλὸν ἐπιχρίσας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ* (Ἰωάν.)· μήπως ὁ πηλὸς ὠμματούργει; Πᾶν τοὐναντίον, ἐπέτεινε τὴν πήρωσιν, ὁ θεῖός φησι Χρυσόστομος. «Βουλόμενος γὰρ (ὁ Χριστὸς) αὐτὸν (τὸν τυφλὸν) θεραπεῦσαι, διὰ πράγματος ἐπιτείνοντος τὴν πήρωσιν ἀνεῖλε· πηλὸν γὰρ ἐπέθηκε!» (εἰς Α. Κορινθ. Ὁμιλ. δ. σελ. 37. ἐκδ. Ὀξονίου, 1847).

β) «Ἐναντία τῶν κανονικῶν Γραφῶν· οἷον 1) «Ὁ Βαροὺχ (α, 2) λέγει, ὅτι ἀνῆλθεν εἰς Βαβυλῶνα, ἐν ᾧ ὁ Ἱερεμίας (ν, 6,) μαρτυρεῖ, ὅτι ἀνεχώρησεν εἰς Αἴγυπτον».- Ἀλλ' (ἀπαντῶμεν), ἐκ τῆς Αἰγύπτου μετέβη ὁ Βαροὺχ εἰς τὴν Βαβυλῶνα (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 665). 2) «Τὸ Α, καὶ Β, βιβλίον τῶν Μακκαβαίων ἀντιφάσκουσι πρὸς ἄλληλα». (βλ. Α. Μακκαβ. ς, 4—16, καὶ Β, Μακκαβ. α, 13—16. θ, 20, ἐν οἷς ἱστοροῦνται τὰ κατὰ τὸν Ἀντίοχον).- Οὐδεμία (λέγομεν) ἀντίφασις πραγματική· περὶ δὲ τῶν ἐναντιοφανειῶν προείπομεν (Βιβλ. Α. κεφ. ιβ. §. ια. καὶ Βιβλ. Β. κεφ. γ, §. ιε). 3) «Ἐν τῷ Τωβὶτ (ε, 12) εἰσάγεται ὁ ἄγγελος Ῥαφαὴλ ψευδόμενος, διότι ὀνομάζει ἑαυτὸν ἰσραηλίτην *Ἀζαρίαν* υἱὸν *Ἀνα-*

(α) Βλ. Γαλην. περὶ κράσ. καὶ δυν. τῶν ἁπλ. φαρμ. Βιβλ· Γ. ιγ. σελ. 284. Ὁ καλλιώνυμος ἰχθὺς λέγεται καὶ Οὐρανοσκόπος. Ὅθεν ὁ ἱερώτατος Δημήτριος ὁ Ῥοστοβίας τοιοῦτον ὑποτιθεὶς τὸν ἰχθὺν, ὃν ὁ Τωβίας ἐπίασε κατὰ τὸν Τίγριν ποταμὸν (ἐξ οὗ καὶ ἡ χολή· βλ. Τωβὶτ, ς, 1—5), θαυμαστῶς τροπολογεῖ πρὸς τὸ ἠθικὸν τὴν ἱερὰν ἱστορίαν (τόμ. γ. σελ. 381).

νίου τοῦ μεγάλου».– Ἀλλὰ τούτου τὴν μορφὴν ὁ ἄγγελος ἐνδυθεὶς, προσέλαβε καὶ τὸ ὄνομα καὶ τὸ γένος, καὶ οὐκ ἐψεύσθη (ὡς ὁ ἱερὸς ἀπήντησεν Ἀθανάσιος)· ἐκ γὰρ τῆς μορφῆς ἐπονομάζεται πολλάκις καὶ τὸ ὑποκείμενον. Οὕτως ἡ Γραφὴ (Γεν. ιη) τοὺς τῷ Ἀβραὰμ ἐν ἀνθρώπου σχήματι φανέντας ἀγγέλους, *ἄνδρας* ἀποκαλεῖ, καὶ ἀληθεύει (πρβ. καὶ Λουκ. κδ, 4. Μαρκ. ις, 5). Ἢ μήπως ἠρώτησε τὸν ἄγγελον ὁ γέρων Τωβὶτ, εἰ *ἄγγελός ἐστιν*, ὁ δ' ἠρνήσατο ψευδῶς; Ἔπειτα καὶ αὐτὸ τὸ σημαινόμενον τοῦ ὀνόματος ἔπρεπεν αὐτῷ ἐπ' ἀκριβές· δηλοῖ δὲ τὸ μὲν *Ἀζαρίας*, βοήθειαν Θεοῦ, τὸ δὲ *Ἀνανίας*, χάριν Θεοῦ· καὶ τοιοῦτος ἀληθῶς ὁ ἄγγελος ἀπεστάλη πρὸς τὸν θεοφιλέστατον Τωβὶτ, καὶ τὸν υἱὸν αὐτοῦ Τωβίαν· καὶ αὐτὸ δὲ τὸ κύριον Ῥαφαὴλ, *ἴασιν Θεοῦ* σημαίνει (α).

γ) «Ἐναντία τῆς δογματικῆς διδασκαλίας».— Ποῖα;-«Ἡ ὑπὲρ τῶν τεθνεώτων (λέγουσι) προσευχὴ τῶν Μακκαβαίων» (Β, Μακκ. ιβ, 43-45). Ἀλλ' (ἀπαντῶμεν) πᾶν τοὐναντίον· ἡ τούτου τοῦ ὁσίου καὶ ἱεροῦ καθήκοντος ἀθέτησις ἐναντία τῆς ὀρθοδόξου διδασκαλίας ἐστί. Τὸ γὰρ ὑπὲρ τῶν κεκοιμημένων εὔχεσθαι καὶ ἱερουργεῖν ἥ τε προφητικὴ παράδοσις καὶ διδασκαλία διέταξε, «κατὰ τὰ νόμιμα» (φησὶ τὸ Πνεῦμα διὰ τοῦ Ζαχαρίου, α, 6), «ὅσα ἐνετείλατο ὁ Θεὸς τοῖς προφήταις» (πόθεν γὰρ ἄλλοθεν ἔσχον οἱ *εὐσεβεῖς* Μακκαβαῖοι τὸ ἔθος;), καὶ ἡ βεβαία τῆς μελλούσης ἀναστάσεως ἐλπὶς ἀπαιτεῖ, καὶ αὐτοὶ οἱ Ἀπόστολοι καθιέρωσαν εἰς τὴν Ἐκκλησίαν. Καὶ ἄλλο δὲ φρόνημα τῆς εὐσεβείας ἡ τῶν Μακκαβαίων βίβλος μαρτυρεῖ, *τὴν πρὸς Θεὸν πρεσβείαν τῶν ἁγίων* (Β, Μακκ. ιε, 14. βλ. καὶ ἐφεξῆς §. λε.), ἣν καὶ ἄλλοθεν τῆς θείας Γραφῆς διδασκόμεθα· καὶ τὸ μὲν περὶ τούτων ἀποδείξεις ἐπάγειν οὐ τῆς παρούσης προθέσεως. Ἀμφοτέρας δὲ ταύτας τὰς ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ ὁσίως καὶ ἁγνῶς τετηρημένας Ἀποστολικὰς παραδόσεις ἀπέβαλον οἱ περὶ τὸν Λούθηρον, φεύγοντες τὰς ἐπὶ προφάσει

(α) Βλ. καὶ τὸν συνετὸν Δρούσιον, ὅστις, καί τοι τῶν Διαμαρτυρητῶν, ὑπερασπίζεται γενναίως τὴν ἀλήθειαν τοῦ Τωβὶτ, Not. major. ad Genes. 18, 1. et Annot. ad Tob. c. 5. 6.

τούτων εἰσρυείσας εἰς τὴν Δυτικὴν Ἐκκλησίαν παπικὰς καταχρήσεις (διὰ ταῦτα μάλιστα καὶ τὰς βίβλους τῶν Μακκαβαίων ἀπέστερξαν). 2) Ἄλλο ἐναντίον τῆς ὀρθῆς διδασκαλίας εὑρίσκουσι τὸ ἐν Σοφίᾳ Σολομῶντος (η, 19, 20) «Παῖς δὲ ἤμην εὐφυὴς, ψυχῆς τε ἔλαχον ἀγαθῆς· *μᾶλλον δὲ, ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον*».— Ἀλλ' ἐν τούτοις οὐδεμία προϋπαρξις ψυχῶν ἐμφαίνεται (καθὼς ὑπενόησαν). Τὸ λόγιον λέγει, ὅτι ἀγαθὸς τὴν ψυχὴν δημιουργηθεὶς παρὰ Θεοῦ, εἰσῆλθον (κατ' αὐτὴν τὴν ψυχὴν) εἰς σῶμα ἀμίαντον, δηλονότι *ἀμώμητον*, δίχως μώμου καὶ μομφῆς (ἐλαττώματος σωματικοῦ), ἀπήρωτον, ἀκήρατον (ὁλομελὲς, ἄρτιον, τέλειον), ἢ καὶ μιασμῶν *ἠθικῶν* ἀπείρατον (βλ. καὶ τοὺς Σχολιαστὰς, καὶ ἐκ τῶν νεωτέρων Δυτικῶν τὸν Ἀλάπιδον, ὑπομνήμ. εἰς Σοφ. Σολ. σελ. 137).

δ) «Περιέχουσί (φασιν) ἐναντία τῆς θεοσεβοῦς ἠθικῆς· οἷον 1) «*αὐτοχειρίαν*» (Β. Μακκαβ. ιδ, 41).—Ἀλλ' ὁ ἱερὸς συγγραφεὺς ἱστορῶν τὴν τοῦ Ἰουδαίου Ῥαζὶν αὐτοκτονίαν, διηγεῖται τὸ πρᾶγμα καὶ τὸ φρόνημα τοῦ αὐτόχειρος πιστῶς καὶ ἀληθῶς, οἷον ὑπῆρξεν. Οὕτω καὶ Σαοὺλ, καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ἀπέκτειναν ἑαυτοὺς (Α. Βασιλ. λα, 4, 5)· ἀλλὰ μήπως καὶ ὁ συγγραφεὺς τοῦ κανονικοῦ τούτου βιβλίου διδάσκει τὴν αὐτοχειρίαν; Ἢ πάλιν ὁ Σολομὼν, τὴν θνητοψυχίαν, ἐν οἷς ἐκφράζει τὰ φρονήματα καὶ τοὺς λόγους τῶν θνητοψύχων; (Ἐκκλησ. γ, 19· βλ. καὶ ὄπισθ. κεφ. γ. σελ. 75).- 2) περιέχουσι *δολοφονίαν* (ὡς ἐν Ἰουδεὶθ, θ, 2—9).- Ἄπαγε! Ἡ Ἰουδεὶθ ἐν τῇ προσευχῇ μεμνημένη τοῦ προπάτορος αὐτῆς Συμεὼν καὶ τῆς ἐκδικήσεως, ἣν ἐκεῖνος (μετὰ τῶν ἄλλων υἱῶν τοῦ Ἰακὼβ) ἐπέφερε κατὰ τοῦ φθορέως τῆς ἀδελφῆς αὐτοῦ Δείνας (Γενέσ. λδ, 26), οὐ τὸν τρόπον τῆς ἐκδικήσεως ἐπαινεῖ, ἀλλ' αὐτὴν τὴν θείαν δίκην ἐπικαλεῖται πρὸς τιμωρίαν τῆς ἀνομίας· καὶ κτείνει τὸν Ὁλοφέρνην, ὡς τὸν Σισάραν ἡ Ἰαὴλ (Κριτ.).— 3) Περιέχουσι *μαγικὰς ἐπῳδάς!* — Ἰού! τὰς ποίας;- Ἰδού, φασιν, ὁ καπνὸς τῶν καέντων μερῶν τῆς καρδίας καὶ τοῦ ἥπατος τοῦ ἰχθύος ἐδίωξε τὸ δαιμόνιον (τὸν Ἀσμοδαῖον), τὸ πνίξαν ἀλληλοδιαδόχως τοὺς

ἑπτὰ προτέρους νυμφίους τῆς κόρης, ἣν ὁ Τωβίας ὕστερον ἐνυμφεύθη, ὡς αὐτὸ τῆς κόρης ἐρῶν» (Τωβὶτ ς, 14, 16, 17· πρβλ. γ, 8). «Ἐκ ποίας (ἐρωτᾷ ὁ Εἰχόρνιος) φιλοσοφίας δύναταί τις πορίσασθαι τῶν τοιούτων τὰς ἀποδείξεις»; (α). Ἐκ μὲν φιλοσοφίας (ἀπαντῶμεν) ἴσως οὐδεμιᾶς (καὶ μάλιστα τῆς ἐπὶ μόνῳ τῷ κατὰ φύσιν ὀρθῷ λόγῳ περὶ πάσας τὰς κρίσεις αὐτῆς σαλευούσης), ἀλλ᾽ ὅμως καὶ ἀπορούσης, ἢ καὶ ἀπιστούσης σοβαρῶς τῆς φιλοσοφίας, οὐδὲν ἧττον πάλιν ὑπάρχουσι καὶ γίνονται πράγματα πολλὰ κατ᾽ αὐτὴν τὴν φύσιν τῶν ὄντων, ἐπέκεινα τῶν στενῶν τῆς ἀγερώχου φιλοσοφίας ὁρίων! Ὁ δαίμων ὁ πονηρὸς «*ἀνθρωποκτόνος ἦν ἀπ᾽ ἀρχῆς*» (Ἰωάν. η, 44.-καὶ τὸ Ἀσμοδαῖος δὲ *ὀλοθρευτὴν*, ἢ ἀπολλύοντα δηλοῖ), καὶ δι *ἀνύδρων τόπων διέρχεται* μόνος, καὶ ἄλλα πάλιν ἑπτὰ πνεύματα μεθ᾽ ἑαυτοῦ συμπαραλαμβάνει, καὶ *λεγεῶνα* ὅλον συγκροτεῖ, καὶ χοίροις ἐνδιαιτᾶσθαι ποθεῖ, καὶ τούτοις μετ᾽ ὀλίγον πνιγησομένοις (Ματθ. ιϐ, 44)· καὶ ἀνθρώπους δὲ χοιρώδεις, ἢ ἄλλως πονηρούς, ἔπνιξε, τῆς θείας δίκης ἐπιτρεπούσης· τὴν δὲ «*Συγκύπτουσαν χαμαὶ*» *δεσμεύει* πολυχρονίως (Λουκ. ιγ, 16), καὶ ἄλλον *παιδιόθεν σπαράσσει* (Μάρκ. θ, 17). Τὸν δὲ μακάριον Ἰὼϐ παντοδαπῶς ἐϐασάνισε, συγχωρούσης τῆς θείας οἰκονομίας, εἰς ἀνακήρυξιν τῆς ἀρετῆς τοῦ δικαίου· (τί μὴ παρομοίως ἐϐασανίζετο καὶ ἡ τῆς ἀθῴας κόρης ὑπομονή, ἕως ἂν ὡς γέρας τὸν ὡρισμένον Τωϐίαν ἀπολάϐῃ, *πονηρῶν καὶ ἀναξίων νυμφίων ἀπαλλαγεῖσα*;). Τελευταῖον (λέγουσι), πῶς τὸ δαιμόνιον ἠγάπα τὴν κόρην;- Ἀλλ᾽ οὐδὲ τοῦτο συνεῖδον, ὅτι οὐκ αὐτὸς ἐδίδαξεν ὁ ἱερὸς ἱστορικὸς ὡς γνώμην ἰδίαν· ἔγραψε δ᾽ ἁπλῶς ὡς φήμην ἀδέσποτον, ἣν ἤκουσεν ὁ Τωβίας, καὶ αὐτὸς οὗτος λέγει τὸ ἄκουσμα. «Τότε εἶπε τὸ παιδάριον· *ἀκήκοα* ἐγώ . . . *ὅτι δαιμόνιον φιλεῖ αὐτήν*» (ς, 13). Ἐδίωξε δὲ τὸν Ἀσμοδαῖον οὐχ ἡ δύναμις τοῦ συμϐολικῶς, καὶ ἐπεισοδίως μεσολαϐήσαντος καπνοῦ, ἀλλ᾽ ἡ δύναμις τῆς προσευχῆς καὶ ἁγνείας τῶν θεοσεϐῶν νεονύμφων (ϐ).

(α) Eichhorn, Einleitung in die apokr. p. 401.

(ϐ) Βλ. καὶ Welte in Herbst, Einleitung etc. 2. Bd. 3. Abth. p. 93.

Ἀλλὰ τὸ περὶ τούτων μακρότερα λέγειν ἔργον τῶν Σχολιαστῶν τῆς θείας Γραφῆς· τοσοῦτο δὲ μόνον ἔτι ῥητέον· ὅτι οὐδὲν τῶν ὑπὸ τῆς καινοτομίας κατὰ πάντων τούτων τῶν τευχῶν ἐκτοξευθέντων ἐγκλημάτων κατέλιπον ἄλυτον οἱ τῆς ἀληθείας καὶ τούτων τῶν μερῶν τῆς θείας Γραφῆς ὑπερασπισταὶ, καὶ παλαιότεροι Πατέρες τῆς Ἐκκλησίας, καὶ νεώτεροι σοφοί (α).

§. κα. Ἡμεῖς δὲ διαλαβόντες περὶ τῶν ἀντιῤῥήσεων, ἐπάγομεν ἤδη καὶ γενικὰς ἀποδείξεις τοῦ κύρους καὶ τῆς αὐθεντίας τούτων τῶν ἱερῶν τευχῶν.

Α) Ἐν πᾶσι τοῖς ἀπὸ τοῦ δ, αἰῶνος καὶ ἐφεξῆς σῳζομένοις ἀρχαιοτάτοις ἀντιγράφοις τοῦ ἱεροῦ κώδηκος τῶν Ο (ἐξ ἄλλων πάντως ἀρχαίων ἀντιγραφεῖσιν) ἅπαντα τὰ, περὶ ὧν ὁ λόγος, πέντε τεύχη τῶν *Ἀναγινωσκομένων* εὑρίσκονται γεγραμμένα. Καὶ ταῦτα οὐ χωρὶς καὶ κατὰ μέρος, ἀλλ' ἀναμὶξ καὶ παραλλάγδην μετὰ τῶν ἄλλων τῶν κανονικῶν βιβλίων τῆς θείας Γραφῆς ὡς ὁμότιμα τεταγμένα (β). Ἐπειδὴ τοίνυν ἐν τοῖς ἑλληνικοῖς ἀπογράφοις, οἷς ἐξ ἀρχῆς ἐχρῆτο ἡ Ἀποστολικὴ Ἐκκλησία, συναντῶσι ταῦτα τὰ τεύχη συνημμένα μετὰ τῶν κανονικῶν, ἕπεται λοιπὸν ἀριδήλως, ὅτι τὸν αὐτὸν ἐπεῖχον τόπον καὶ ἐν τοῖς κώδηξιν οἷς

(α) Βλ. τὸν ἱερὸν Αὐγουστῖνον (De Doctrin. Christ. L. II. c. 8. καὶ De Prædist. Sanctor.) Ἀ. Μαυροκορδάτ. Ἰουδαϊκὰ, καὶ τὴν ὑπὸ τοῦ Θεοτόκη ἐξελληνισθεῖσαν Ἀνασκευὴν τῆς τελευταίον διερμην. Διαθήκ. σελ. 36-59, 106-119. Houbigant. Not. Crit. etc. ad lector. p. 193—224.-Huetij Demon. Evangel. Pr. IV. p. 197—202. 227—234, 286.-Montfauc. La verité de l'Histoire de Judith. Paris, 1690.- Calmet, Diction. T. 2. p. 5, 454, 578. T. 3. p. 424, 694.- Marchini de Divinit. etc. p. 150—176.- Nicolai Dissertat. e Lezioni di Sacr. Scritura. Tom. XI. καὶ XII.- Barre, Vindiciæ Deuterocan. libr. vet. Testam.- Liebermann, Inst. Theolog. T. 2· p. 341—351.- Welte, Specielle Einleitung in die Deuterokanonischen Bücher des alten Testaments, in Herbst, Einleit. in die heil. Schr. des A. Test. 2. Th. 3. Abth. Freiburg, 1844.

(β) Οἷον, ἐν τῷ Ἀλεξανδρινῷ τὰ ἱστορικὰ Τωβὶτ καὶ Ἰουδεὶθ κατόπιν τῆς Ἐσθὴρ, καὶ ἐφεξῆς Ἔσδρας καὶ τὰ Μακκαβαϊκά· ἀκολούθως τὰ προφητικά· μετέπειτα δὲ Ψαλτήρ. Ἰὼβ, Σολομ. καὶ κατόπιν τοῦ Ἄσματος ἡ Σοφία τοῦ Σολομῶντος καὶ ἡ τοῦ Σειράχ. Καὶ ἐν τῷ τοῦ Ἄλδου· Ἔσδρας, Ἐσθὴρ, Τωβὶτ, Ἰουδεὶθ, Ἰὼβ, Ψαλτήρ. Σολομ. κτλ. (ὡς τὸ Ἀλεξ.), καὶ τὰ Μακκαβ. μετὰ τοὺς προφήτας.

ἀνεγίνωσκεν ἡ π. Χ. Συναγωγὴ τῶν ἑλληνιστῶν. Ἕστηκε δὲ βέβαιον, ὅτι οἱ πρῶτοι κώδηκες τῆς θείας Γραφῆς, οὓς αὐτοί τε οἱ θεῖοι Ἀπόστολοι ἀνεγίνωσκον, καὶ τῇ Ἐκκλησίᾳ παρέδωκαν ὡς γνησίους, ὑπῆρχον οἱ αὐτοὶ, καὶ οἷς ἐν ταῖς Συναγωγαῖς ἐχρῶντο οἱ ἑλληνισταί.

Β) Ἐν ταῖς ἀρχαιοτάταις μεταφράσεσι τῆς κατὰ τοὺς Ο, Γραφῆς οἷον, ἐν τῇ τελευτῶντος τοῦ α, αιῶνος ἐκλατινισθείσῃ Ἰτάλᾳ, κἀν τῇ Συριακῇ, καὶ τῇ Αἰθιοπικῇ, κἀν ἄλλαις ἐφεξῆς ἐμπεριέχονται καὶ ταῦτα τὰ τεύχη (α).

Γ) Ὁ Ἱερώνυμος (ἐν προλ. εἰς *Τωβὶτ καὶ Ἰουδεὶθ*) λέγει ῥητῶς, ὅτι τὰ δύω ταῦτα βιβλία συνηρίθμουν οἱ Ἑβραῖοι μετὰ τῶν *Ἁγιογράφων* (β). Καὶ τοῦτο διαλευκαίνει τὴν Ὠριγένους ῥῆσιν ἐκείνην, ἐν ᾗ προειπὼν, «ὅτι οἱ Ἑβραῖοι τῷ Τωβίᾳ οὐ χρῶνται, οὐδὲ τῇ Ἰουδεὶθ», ἐπιφέρει· «οὐδὲ γὰρ ἔχουσιν αὐτὰ καὶ ἐν ἀποκρύφοις ἑβραϊστὶ» (πρὸς Ἀφρικ. §. 13) τουτέστιν οὐ χρῶνται μὲν ὡς κανονικοῖς, ἀλλ' οὐ παρὰ τοῦτο τάττουσιν αὐτὰ καὶ ἐν τοῖς ἀποκρύφοις, οἷς ἔχουσι γεγραμμένοις ἑβραϊστί· καὶ μένει λοιπὸν, ὅτι ταῦτα ἔκρινον ἰσότιμα τοῖς Ἁγιογράφοις, ἅπερ ἐπέχουσι παρ' αὐτοῖς τὸν ἔσχατον τόπον ἐν τοῖς κανονικοῖς. Τοῦτο δηλώσουσιν ἐν τοῖς ἑξῆς καί τινων ἑβραϊκῶν κωδήκων ἀποσπάσματα.

Δ) Ὁ Φίλων διαιρῶν τὰς θείας Γραφὰς εἰς *Νόμους, καὶ Λόγια θεσπισθέντα διὰ προφητῶν, καὶ ὕμνους*», προστίθησι, «*καὶ τὰ* ἄλλα, οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονται καὶ τελειοῦνται» (Βίου Θεωρητ. σελ. 475. τ. β· Μ). Ταῦτα δὲ *τὰ ἄλλα* πάντως οὐκ ἦσαν βέβηλά τινα βιβλία καὶ ἀπόκρυφα, ἀλλ' ἱερὰ, καὶ πίστεως θρησκευσίμου ἠξιωμένα, αὐτὰ δηλονότι τὰ Ἀναγινωσκόμενα, οἷς ἐχρῶντο καὶ οἱ Θεραπευταὶ ἐν ταῖς κατ' αὐτοὺς συνάξεσι, περὶ ὧν ὁ Φίλων ἱστορεῖ (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 455).

(α) Βλ. Hody, De bibl. Text. p. 650.

(β) «Librum Tobiae Hebræi de catalogo divinarum Scripturarum secantes, his, quæ Hagiographa memorant, manciparunt». Hier. praef· in Tobit πρβλ. καὶ praef. in Judith.

Ε) Ὁ Ἰώσηπος ἀριθμήσας τὰ κβ, βιβλία τοῦ Ἑσδραίου κανόνος, ὡς *θεῖα παρ' Ἑβραίοις πεπιστευμένα*, ἐπήγαγεν· «Ἀπὸ δὲ Ἀρταξέρξου μέχρι καὶ τοῦ καθ' ἡμᾶς χρόνου γέγραπται μὲν ἕκαστα, *πίστεως δ' οὐχ ὁμοίας ἠξίωται τοῖς πρὸ αὐτῶν*· διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν ἀκριβῆ διαδοχήν» (α). Ὥςε, κατὰ τὴν Ἰωσήπου μαρτυρίαν, οὔτε ἀπόκρυφα, οὔτε πάντῃ ἄκυρα καὶ ἀθείαστα ἐθεώρουν οἱ Ἰουδαῖοι τὰ καθ' ἡμᾶς *Ἀναγινωσκόμενα* τεύχη, ἀλλ' *ἠξιωμένα πίστεως* θρησκευτικῆς, καί τοι οὐχ ὁμοίας καὶ ἴσης τῇ τῶν ὁμολογουμένως θείων τοῦ Κανόνος βιβλίων. (Διέκρινον δὲ οἱ Ἰουδαῖοι καὶ ἐν αὐτοῖς τοῖς κανονικοῖς βιβλίοις βαθμούς τινας θειότητος καὶ ἀξίας· οἷον τὴν Μωσέως Πεντάτευχον θειοτάτην ἁπάντων τῶν ἄλλων ἐξόχως ἐπρέσβευον, ὅθεν καὶ οἱ νεώτεροι ῥαββῖνοι ἐπενόησαν τὴν τριχοτομίαν τοῦ ἱεροῦ κώδηκος βλ. Βιβλ. Β. σελ. 427). Ἐκ τῆς Α. τῶν Μακκαβαίων ἠρύσατο καὶ πᾶσαν τὴν περὶ τῶν Μακκαβαίων ἱστορίαν ὁ Ἰώσηπος (β).

Ϛ) Καὶ οἱ Ταλμουδικοὶ καὶ ἄλλοι ῥαββεῖς μνημονεύουσι τῶν βιβλίων (γ). Καὶ οὐ πρὸ πολλοῦ Σέκκελος ὁ Φραίγγελος, Ἰουδαῖος πεπαιδευμένος, ἐξεβραΐσεν ἐκ τοῦ Ἑλληνικοῦ τὰ Ἀναγινωσκόμενα ἐπιγράψας *Ἁγιόγραφα τὰ ὕστερα* (δ).

(α) Κατὰ Ἀπίων. Α. §. η.

(β) **Prius volumem Maccabaeorum hebraice scriptum fuit ab auctore, eximium opus, ex quo omnem Maccabaeorum historiam hausit Josephus (Scalig. de Emend. Tempor.L.v.p.432).** Κεῖται δὲ ἡ ἱστορία παρ' Ἰωσήπῳ (Ἀρχ. ιβ, ς.: ιγ, α. καὶ Ἰουδαϊκ. πολ. Α. α. συντόμως· λέγει δὲ καὶ αὐτὸς Ἰώσηπος, ὅτι ἐν τῇ πρώτῃ πραγματείᾳ (τῇ περὶ Ἰουδαϊκ. πολέμ.) κεφαλαιωδῶς αὐτῶν (τῶν κατὰ τὸν Ἀντίοχον) ἐπεμνήσθη» (Ἀρχ. ιβ. ε. §. 2). Ἐντεῦθεν ὁρμηθεὶς κατὰ λάθος ὁ Νικηφόρος (Ἐκλογ.), ὑπέλαβεν αἰνιττόμενον τὸν Ἰώσηπον, «ὅτι καὶ τὰ Μακκαβαϊκὰ αὐτὸς συνέγραψεν· ἀλλαχοῦ δὲ (λέγει) οὐδαμοῦ ἀναγράφει τὰ κατὰ τὸν Ἀντίοχον, εἰ μὴ ἐν τοῖς ἑβραϊκοῖς» (τῇ Ἀρχαιολογ.). Ἀλλὰ τῆς περὶ τοῦ Ἰουδαίων πολέμου πραγματείας τοῦ Ἰωσήπου ἐπελάθετο πάντως ὁ ἱερὸς Νικηφόρος· βλ. καὶ ἐφεξῆς §. λγ.—(γ) Βλ. **Hottinger. Thesaur. p. 520.**

(δ) **Hagiographa Posteriora denominata Apocrypha, hactenus Israelitis ignota, nunc autem e textu Græco in linquam Hebraicam convertit, atque in lucem emisit Seckel Isaac Frainkel. Lips. 1830.**

Ζ) Μαρτυρεῖ καὶ Ἰουνίλιος (ἐπὶ τοῦ ϛ. αἰῶνος), ὅτι ταῦτα τὰ βιβλία οἱ Ἰουδαῖοι ἀπεδέχοντο ὡς ἱερὰ, καί τοι μετά τινος διαστολῆς, διακρίνοντες ἀπὸ τῶν κανονικῶν (α).

Η) Ἀπὸ τῶν Ἰούδα τοῦ Μακκαβαίου χρόνων μέχρι καὶ τῶν ἡμερῶν αὐτοῦ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν ἐτέλουν οἱ Ἰουδαῖοι τὴν ἑορτὴν τῶν ἐγκαινίων τοῦ ἀπὸ τῆς Ἀντιόχου βεβηλώσεως ἁγνισθέντος καὶ ἀνιερωθέντος ναοῦ, ὑπ' αὐτοῦ τοῦ Μακκαβαίου νόμῳ ταχθεῖσαν (Α. Μακκ. δ, 52—59. Β. Μακκ. ι, 6—8. πρβλ. Ἰωσηπ. Ἀρχ. ΙΒ. ζ, 6, 7). Ὅθεν καὶ τὴν ἱστοροῦσαν τοῦτον τὸν νόμον μετὰ τῶν ἄλλων ἐπισήμων περιστατικῶν δίζυγον Μακκαβαϊκὴν συγγραφὴν πάντως οὐκ ἀπόκρυφον καὶ ἄκυρον, ἀλλὰ γνήσιον καὶ ἱερὸν ἀπεδέχοντο τεῦχος, καὶ πλησίον τῶν κανονικῶν ἐτίθουν γραφῶν (βλ. ὄπισθ. σελ. 115). Ἐπειδὴ δὲ καὶ ὁ Κύριος ἡμῶν τὸν νόμον ἐκπληρῶν, ἀνέβαινεν εἰς ταύτην τὴν ἑορτὴν (Ἰωάν. Ι. 22), ἐπεκύρου λοιπὸν καὶ αὐτὸς διὰ τοῦ ἰδίου παραδείγματος καὶ τὴν τῆς ἑορτῆς νομοθέτριαν βίβλον τῶν Μακκαβαίων.

Θ) Ἐν τῇ Καινῇ Διαθήκῃ εὑρίσκονται ῥήσεις τῶν ἱερῶν τούτων βιβλίων, καί τοι μὴ μνημονευομένων καὶ ἐξ ὀνόματος. Περὶ τούτων ἐροῦμεν ἐν τοῖς ἐφεξῆς, διαλαμβάνοντες κατὰ μέρος περὶ ἑνὸς ἑκάστου τῶν βιβλίων.

Ι) Ὅτι καὶ τὰ βιβλία ταῦτα τῶν Ἀναγινωσκομένων συνάμα μετὰ τῶν κανονικῶν ὡς ἅγια καὶ κύρια παρεδόθησαν τῇ Ἐκκλησίᾳ παρὰ τῶν Ἀποστόλων, μαρτυρεῖ τρανῶς ἡ παρὰ τοῖς Ἀποστολικοῖς Πατράσι καὶ ταῖς τούτων διαδόχοις, πολλῷ καὶ τῆς Α, Συνόδου πρότερον γενομένοις, διηνεκὴς χρῆσις αὐτῶν. Πάντες οἱ ἀπὸ τοῦ Α, τελευτῶντος μέχρι καὶ τοῦ Γ αἰῶνος ἔν τε τῇ Ἀνατολῇ, καὶ Δύσει, καὶ Ἀφρικῇ, διαλάμψαντες φωστῆρες τῆς Ἐκκλησίας, οἷον, Κλήμης ὁ Ῥώμης (ἔν τε τῇ Α, ἐπιστολῇ, καὶ ἐν ταῖς Ἀποσολικαῖς Διαταγαῖς), Διονύσιος ὁ Ἀρεοπαγίτης, Πολύκαρπος, Εἰρηναῖος, Κλήμης ὁ Ἀλεξανδρεὺς, Ἱππόλυτος, Κυπριανὸς, Ὠριγένης, Τερτυλλιανὸς,

---

(α) Junilius de partib. divinæ Legis I, c 3.

ἐκφέρουσι ῥήσεις ἐκ τῶν πέντε τούτων τευχῶν ἐν ταῖς συγγραφαῖς αὐτῶν, ὡς μαρτυρίας τῆς θείας Γραφῆς· καὶ φαίνονται σαφῶς ἀποδεχόμενοι καὶ ταῦτα τὰ τεύχη θεῖον ἔχοντα κῦρος, ὡς καὶ τὰ κυρίως Κανονικά, μεθ᾽ ὧν ἀναμιγνύουσι πολλάκις, παραλλήλως τιθέντες καὶ τὰς ἐκ τῶν *Ἀναγινωσκομένων* μαρτυρίας (α). Ὡσαύτως καὶ τῶν ἐπὶ τῆς Α, Συνόδου καὶ τῶν ἐφεξῆς Πατέρων οἱ ἀκρέμονες· τούτων ἁπάντων μνημονεύσομεν παρακατιόντες, τοσοῦτο μόνον ἐνταῦθα προσθέντες. Πῶς ἂν ἐχρῶντο μαρτυρίαις ἐξ ἀκανονίστων τευχῶν τοσοῦτοι θεῖοι Πατέρες, εἰ μὴ ταῦτα παρὰ τῶν Ἀποστόλων ὡς ἅγια καὶ θεοκύρωτα παρελάμβανον; Ἤ τίς ποτ᾽ ἂν πιστεύσειε σῷας ἔχων τὰς φρένας, ὅτι οἱ πρῶτοι Διδάσκαλοι τῆς Ἐκκλησίας εἰσῆγον, ὡς ἔτυχεν, εἰς τὰς κατηχητικὰς καὶ δογματικὰς αὐτῶν διδασκαλίας, ὡς ἱερὰ καὶ γνήσια, βιβλία πάντῃ ἄσημα καθ᾽ ἑαυτά, καὶ *βέβηλα*, καὶ *ἀπόκρυφα*, παραλαβόντες αὐτὰ παρὰ τῶν σταυρωτῶν Ἰουδαίων (ἢ πόθεν ἄλλοθεν;), τῶν διαπύρων τῆς Ἐκκλησίας ἐχθρῶν; Ἀλλ᾽ οἱ μακάριοι Πατέρες ἐκεῖνοι καὶ ἐπ᾽ αὐταῖς τισι τῶν Ἀποστολικῶν καὶ κανονικῶν συγγραφῶν ἐπεῖχον τὴν κρίσιν, ζητοῦντες ἀδίστακτον τὴν πληροφορίαν, μή ποτε δῶσι πάροδον βιβλίοις ἀποκρύφοις εἰς τὴν ἁγίαν Ἐκκλησίαν τοῦ Θεοῦ.

ΙΑ) Τὰ βιβλία, τελευταῖον, ἐπεκυρώθησαν ὑπὸ τῶν ἁγίων καὶ Οἰκουμενικῶν Συνόδων (τῆς Δ, α. τῆς Ϛ, β. τῆς Ζ, β), τῆς μιᾶς ἁγίας καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, «*ἥτις ἐστὶ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας*», *καὶ τῆς γνησιότητος* καὶ τοῦ ἀριθμοῦ τῶν θείων βιβλίων κριτήριον ὑπέρτατον καὶ θεσπέσιον· (ἐξ οὗ καὶ αὐτοὶ οἱ ἀντιφερόμενοι πρὸς τὸ κῦρος τῶν Ἀναγινωσκομένων ἔχουσι τὰς ἄλλας, ἃς κρατοῦσι, θείας Γραφάς). Αὗται γὰρ αἱ Οἰκουμενικαὶ Σύνοδοι δι᾽ ὧν ἐθέσπισαν ἐκκλησιαστικῶν κανόνων, καὶ τὸν ΠΕ, κανόνα τὸν Ἀποστολικὸν ἐπεσφράγισαν, καὶ τὴν ἐν Καρθαγένῃ τοπικὴν (β).

(α) Et eos (libros) sine discrimine (Patres) ita allegant, ut appareat eos his libris eandem auctoritatem cum protocanonicis tribuisse ». Ackermann, Introduct. pag. 36.

(β) Ἤδη δὲ καὶ ἡ Α, Σύνοδος ἐμνημόνευσεν (ἴσως ἐν τοῖς Πρακτικοῖς αὐτῆς)

§. κβ. Καὶ κατὰ ταῦτα ἄρα ἡ Ὀρθόδοξος Ἐκκλησία τῶν πιςῶν ἕνα γνωρίζει Κανόνα πάντων τῶν θεοπνεύστων βιβλίων τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, *τὸν Κανόνα τὸν Ἐκκλησιαστικὸν*, καθ' ὃν ὅλος ὁ κώδηξ τῆς Παλαιᾶς θείας Γραφῆς (περὶ γὰρ τῆς Καινῆς οὐχ ἡμῖν ἐνταῦθα ὁ λόγος) περιέχει τά τε κατὰ τὸν Ἑσδραῖον κατάλογον Κανονικὰ, καὶ τὰ *Ἀναγινωσκόμενα* πάντα, ὡς μέρη καὶ ταῦτα τῆς ἁγίας Γραφῆς. Οὐδὲ διακρίνομεν ἐν τούτοις βαθμόν τινα θεοπνευςίας ἥττονος καὶ ἀβληχρᾶς, ἢ ἀμαυροτέρας, κατὰ τὴν πλάνην τὴν Ἰουδαϊκήν. Ἓν καὶ τὸ αὐτὸ πανάγιον Πνεῦμα καὶ τοὺς θείους προφήτας ἐφώτισε, καὶ τοὺς θεοφιλεῖς τῶν Ἀναγινωσκομένων συγγραφεῖς. «Διαιρέσεις χαρισμάτων εἰσί» (φησιν ὁ Ἀπόστολος), «τὸ δὲ αὐτὸ Πνεῦμα. Καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος. Καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτός ἐστι Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι» (Α. Κορ. ιϐ, 4). Διαφέρουσι δὲ τῶν προφητικῶν βιβλίων τὰ Ἀναγινωσκόμενα κατὰ τὰς ὑποθέσεις τῶν συγγραφῶν. Τὰ μεγάλα καὶ θειότατα τῆς εὐσεβείας μυστήρια περιέχουσιν αἱ βίβλοι τῶν Προφητῶν, αἱ δὲ καὶ ἱστορίας ἰδίως, καὶ ὑποθήκας ἠθικὰς, καὶ πᾶσαν διδασκαλίαν καθοδηγοῦσαν πρὸς τὴν θείαν ἐπίγνωσιν, καὶ τὴν κατὰ Θεὸν πολιτείαν. Ἀλλὰ καὶ τὰ τεύχη τῶν *Ἀναγινωσκομένων* οὔτε προφητειῶν τινων ἀμοιροῦσι, καὶ ἱστορίας περιέχουσιν ἐπισήμους, καὶ γνώμας, καὶ διδάγματα τῆς ἀληθοῦς θεογνωσίας ἄχραντα καὶ ἀκήρατα. Καὶ ἀναλογοῦσιν ἄρα καὶ ταῦτα πρός τε τὰ κατὰ μέρος *ἱστορικὰ* τοῦ Ἑσδραϊκοῦ κανόνος (οἷον τὰ τῆς Ἐσθὴρ, τοῦ Ἔσδρα, τοῦ Νεεμίου), καὶ πρὸς τὰ γνωμολογικὰ (οἷον τὰς τοῦ Σολομῶντος Παροιμίας, καὶ τὸν Ἐκκλησιαστήν). Καὶ καθόλου ἀνάγονται εἰς τὴν συνεχῆ σειρὰν καὶ τὰς ἐξ αὐτῆς ἀποδείξεις τῆς ἱερᾶς ἱστορίας τοῦ Ἑϐραϊκοῦ λαοῦ, ἥτις ἀποτελεῖ μέγα μέρος τῶν θεοπνεύστων Γραφῶν, διαγράφουσα τὰς ἐξαιρέτως εἰς

τὴν Βίβλον τῆς Ἰουδεὶθ κατὰ τὴν Ἱερωνύμου μαρτυρίαν· ἀλλὰ ταύτην ἐξετάσομεν ἐν τοῖς ἐφεξῆς, §. κζ.

τοῦτον *τὸν λαὸν τοῦ Θεοῦ* θαυμαστὰς τῆς θείας Προνοίας εὐεργεσίας· καὶ οὐκ ὀλίγα προφητεύματα περιέχει, καὶ τύπους, πρὸς τὴν ἐξ Ἀποκαλύψεως Πίστιν καὶ τὴν Χριστοῦ Ἐκκλησίαν πνευματικῶς ἀναφερομένους· ἀποβλέπει δὲ καὶ πρὸς αὐτὴν τὴν κατὰ σάρκα γενεαλογίαν τοῦ *πληρώματος τοῦ νόμου καὶ τῶν προφητῶν*, τοῦ Θεανθρώπου Ἰησοῦ, «*υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ*».

§. κγ. Ἀλλὰ τὰ μὲν *Κανονικὰ* τοῦ Ἑβραίου κώδηκος ἡρμήνευσαν οἱ θεοφώτιστοι Ο, τὰ δὲ *πέντε τὰ Ἀναγινωσκόμενα* τίνες ἐξελλήνισαν; Πρὸς τὴν τούτου διάγνωσιν πρῶτον μὲν ἐξαιρετέον τὴν Σοφίαν τοῦ Σειρὰχ, ἣν ἐξελλήνισε βεβαίως ὁ μετὰ τοὺς Ο, ἔτεσι περίπου 90 γενόμενος ὁμώνυμος τοῦ συγγραφέως ἔγγονος, Ἰησοῦς ὁ Σειράχ. Καὶ τὰ τῶν Μακκαβαίων δὲ πολλοῖς ἔτεσι συνέβησαν κατόπιν τῶν Ο· ὥστε ἄλλος τις ἡρμήνευσεν ἐκ τοῦ ἑβραϊκοῦ τήν τε Α, τῶν Μακκαβαίων καὶ τῆς Β, τὸ πρῶτον κεφάλαιον μέχρις ἡμίσεως τοῦ δευτέρου· τὰ δ' ἐντεῦθεν ἄχρι τέλους τοῦ βιβλίου συνώψισεν ὁ συγγραφεὺς, ἐπιτεμὼν, ὡς λέγει ῥητῶς (Β, 6, 23), ἐκ τῆς Ἰάσωνος τοῦ Κυρηναίου (ἑλληνιστοῦ Ἰουδαίου) ἐν πέντε βιβλίοις προεκδεδομένης συγγραφῆς (ἴσως δὲ καὶ τὴν Γ, τῶν Μακκαβαίων ὁ αὐτὸς Ἰάσων συνέγραψεν). Ὥστε ἡ Σοφία τοῦ Σειρὰχ καὶ τὰ Μακκαβαϊκὰ οὐδόλως ἀνήκουσιν εἰς τοὺς Ο. Μένουσι λοιπὸν ὁ Τωβὶτ καὶ ἡ Ἰουδεὶθ καὶ ἡ Πανάρετος Σοφία τοῦ Σολομῶντος. Τούτων τοίνυν τὴν ἑρμηνείαν οἱ μέν τινες ἀπέδωκαν εἰς αὐτοὺς τοὺς Ο, ὡς καὶ ταῦτα συγχρόνως μετὰ τοῦ Νόμου ἐξελληνίσαντας, παρὰ τοῦ ἀρχιερέως ἰδίως παραλαβόντας· καὶ λέγουσιν οὐκ ἀπίθανα παντάπασιν· ὅ,τε γὰρ ὄγκος τῶν βιβλίων σμικρὸς, καὶ ταῦτα τιμῆς καὶ πίστεως θρησκευτικῆς (εἰ καὶ μὴ τῆς αὐτῆς καὶ ἴσης τῇ τῶν κανονικῶν), ἠξιοῦντο παρ' Ἰουδαίοις, παραπλήσια τοῖς ἐν τῷ Κανόνι κατ' αὐτοὺς λεγομένοις *ἁγιογράφοις* νενομισμένα. Ἀλλ' ἐπειδὴ καὶ οὔτε ἐκ τῆς Ἀριστέου, οὔτε ἐκ τῆς Ἰωσήπου ἱστορίας, οὔτε γοῦν ἐξ αὐτοῦ τοῦ ἱεροῦ Ἐπιφανίου οὐδὲν ἕτερον πλὴν τῶν κανονικῶν Γραφῶν φαίνονται τότε μεθερμηνεύσαντες οἱ Ο, ὀρθοτέρα φαίνεται (καὶ ἔν γε τούτοις μόνον ἀληθεύουσα) ἡ γνώμη τοῦ

Οὐοσσίου, ὅτι ἐξ αὐτῶν πάλιν τῶν Ο, τινὲς ἀφικόμενοι καὶ δεύτερον εἰς τὴν Ἀλεξάνδρειαν, ἡρμήνευσαν καὶ ταῦτα τὰ τρία τεύχη, ἐγνωσμένα τότε τυγχάνοντα παρὰ τοῖς Ἑβραίοις καὶ τῷ Συνεδρίῳ τῶν Ἱεροσολύμων, ἅτε μὴ πολὺ μετὰ τοὺς Νεεμίου χρόνους (σφραγισθέντος ἤδη τοῦ Κανόνος) ἀναφανέντα, καὶ μετὰ τῆς προσηκούσης ἐπικρίσεως δοκιμασθέντα, καὶ τιμηθέντα· ἦσαν δὲ τὸ πρῶτον συγγεγραμμένα *ἑβραϊστί*, ἢ χαλδαϊστὶ (ὡς ὁ Τωβὶτ καὶ ἡ Ἰουδείθ) (α). Συνάγει δὲ ὁ Οὐόσσιος τὴν εἰς Ἀλεξάνδρειαν δευ-

(α) Ζητεῖται παρὰ τοῖς κριτικοῖς κατὰ ποίαν ἄρα διάλεκτον συνεγράφησαν τὰ τεύχη τῆς Τωβίου καὶ τῆς Ἰουδεὶθ, ἑβραϊκὴν, ἢ χαλδαϊκὴν, ἢ (τὸ ἀπιθανώτατον) ἑλληνικήν; Κείμενον τούτων (λέγουσιν), ἑβραϊκὸν οὔτ' ἐπὶ Ἱερωνύμου, οὔτε πρότερον ἐπὶ Ὠριγένους εὑρέθη. Τὸ δὲ χαλδαϊκὸν, ὅπερ εἶδε καὶ ἡρμήνευσεν ὁ Ἱερώνυμος, ἄδηλόν (φασιν) εἰ μὴ μετάφρασις ἦν τοῦ ἑλληνικοῦ· καὶ τέλος, οὐκ ὀλίγοι τῶν καθ' ἡμᾶς ἀπεφήναντο πρωτότυπον γλῶσσαν τῶν βιβλίων τὴν ἑλληνικὴν, διορίζοντες καὶ τὴν ἐποχὴν, καθ' ἣν ἑλληνιστὶ συνεγράφησαν (περὶ τὸ 200 ἢ 150 π. Χ.!)· οἱ δέ τινες καὶ ταῦτα καὶ τὴν Σοφίαν τοῦ Σολομῶντος μετὰ Χριστὸν ὑπέλαβον συγγραφέντα. Ἀλλὰ τοῦτον μὲν τὸν ὑψηλὸν ὄνειρον τῆς κριτικῆς διαλύει ἡ παρ' αὐτοῖς τοῖς θείοις Ἀποστόλοις χρῆσις τῶν τριῶν τούτων βιβλίων, ὡς ὀψόμεθα ἐφεξῆς. Εἰ δ' ἑλληνιστὶ τῷ ὄντι συνεγράφοντο πρὸ Χριστοῦ τὰ βιβλία, οὐδεμιᾶς λοιπὸν ἀντιῤῥήσεως ἔδει πρὸς τοὺς ἀρνουμένους τὴν ὑπὸ τῶν Ο μετάφρασιν αὐτῶν. Καὶ γὰρ καὶ ἑλληνιστὶ (καθὰ λέγουσι) συνταχθέντα, καὶ οὕτως ἂν ἐγένοντο παρὰ τοῖς Ἰουδαίοις ἀποδεκτὰ (καθὰ καὶ ἡ ἐκ τῶν τοῦ Κυρηναίου Ἰάσωνος συνοψισθεῖσα Β, τῶν Μακκαβαίων), καὶ ὑπὸ τῶν ἑβραϊζόντων δὲ πάλιν ἡρμηνεύοντ' ἂν ἐκ τῆς ἑλληνικῆς εἰς τὴν ἑβραϊκὴν, ἢ τὴν χαλδαϊκὴν διάλεκτον. Πολλοὶ δὲ παρ' Ἰουδαίοις ὑπῆρχον ἑλληνισταὶ καὶ κατὰ τοὺς χρόνους τῶν Ο. Ἀλλ' ἐν τούτοις ἀσμένως ἄν τις ἠρώτησε τοὺς ἑλληνογονοῦντας τὰ συγγράμματα, καὶ ταῦτα μετὰ Χ. Πόθεν ἄρα μαθόντες τὰς ἑβραϊκὰς ταύτας ἱστορίας οἱ πρῶτοι συντάξαντες συνέγραψαν ἑλληνιστὶ, καὶ μάλιστα μετὰ τοσούτους αἰῶνας, ἀφ' οὗ συνέβησαν; πρὸς τί δὲ καὶ μάτην ἐπόνουν, ἤδη τῆς Συναγωγῆς κατεστραμμένης; ἢ μήπως συνεγράφησαν καὶ αὗται ὡς μελέται σχολαστικαί; Ἔπειτα αὐτὴ ἡ φύσις τῆς διαλέκτου τούτων τῶν τευχῶν, καὶ οἱ περὶ τὸν ἑβραϊκώτατον Μύνστερον (præf. in Tobit.), ἀντιλέγουσιν ἰσχυρῶς πρὸς τὰς ἐπινοίας τῶν νεωτέρων κριτικῶν, ἀποφαινόμενοι ὀρθῶς, ὅτι ὁ Τωβὶτ καὶ ἡ Ἰουδεὶθ ἢ χαλδαϊστὶ, ἢ ἑβραϊστὶ συνεγράφησαν. Ἀλλὰ περὶ τῆς πρωτοτύπου διαλέκτου καθόλου τῶν Δευτεροκανονικῶν ἔγραψεν ὁ Μόβερος (**Movers, über die Ursprache der Deuterokanon. Bücher, in der Bonner Zeitschrift für Philosophie etc. XIII. Heft. 1835**). Τοῦ δὲ Τωβὶτ σῴζεται καὶ ἀρχαία τις ἔκδοσις ἑβραϊκὴ, ἣν ὁ Μύνστερος ἐξέδωκε τῷ 1542, καὶ ταύτην οὔτ' ἐκ τοῦ ἑλληνικοῦ οὔτ' ἐκ τοῦ (καθ' Ἱερωνύμον) λατινικοῦ μετάφρα-

τέραν κατάβασιν τῶν μεταφραστῶν ἐκ τῶν τοῦ Φιλαδέλφου λόγων, οὓς εἶπε πρὸς τοὺς Ο, μετὰ τὴν ἑρμηνείαν ἐπανιόντας εἰς Ἱερουσαλήμ. Παρεκάλεσε γὰρ τοὺς ἑρμηνεῖς, «ἵνα παραγίνωνται πυκνότερον πρὸς αὐτόν. ἐπειδὰν ἀποκαταστῶσιν εἰς τὴν Ἰουδαίαν». καὶ πρὸς τὸν Ἀρχιερέα ἔγραψε, «παρακαλῶν, ἵνα, ἐάν τινες τῶν ἀνδρῶν προαιρῶνται πρὸς αὐτὸν ἀνακομισθῆναι, μὴ κωλύσῃ» (Ἀριστέας πρὸς τῷ τέλει). Ἀλλὰ κἂν δοθῇ (πρὸς χάριν τῶν ἀντιλεγόντων), ὅτι εἰς τὴν Ἀλεξάνδρειαν οὐδένες ἐπανῆλθον ἐκ τῶν οὕτω φιληθέντων καὶ τιμηθέντων ὑπὸ τοῦ Φιλαδέλφου Ο, πρεσβυτέρων, μήπως οὐκ ἠδύναντό τινες ἐξ αὐτῶν κἀν αὐτοῖς τοῖς Ἱεροσολύμοις ἑρμηνεῦσαι καὶ τὰ τρία ταῦτα τεύχη, τοῦ Ἀρχιερέως μετὰ τῆς Συναγωγῆς ἐπινεύοντος, χάριν τῶν ὁμογενῶν ἑλληνιστῶν, καὶ τῆς Φιλαδέλφου βιβλιοθήκης; Οὕτω καὶ ἡ τοῦ Μαρδοχαίου ἐπιστολὴ μετὰ τὴν ἐπισφράγισιν τῶν Κανονικῶν εὑρεθεῖσα, καὶ ἐγκριθεῖσα ὑπὸ τοῦ Συνεδρίου, προσετέθη ὕςερον εἰς τὸ τέλος τῆς Ἐσθὴρ ἐπὶ τοῦ Φιλομήτορος Πτολεμαίου, καθὼς προείρηται (Βιβλ. Β. σελ. 570). Ἐξελληνισθέντα δὲ, πάντως ἐδοκιμάσθησαν ὑπὸ τῆς ἐν Ἱεροσολύμοις Συναγωγῆς, ὡς καὶ τῶν κανονικῶν ἡ προλαβοῦσα ἑρμηνεία, καὶ παρετέθησαν ἐν τῷ κώδηκι εἰς ἰδίαν χρῆσιν τῶν ἁπανταχοῦ τῆς Οἰκουμένης ἑλληνιστῶν. Ἐπειδὴ δὲ πάντες οἱ Ἰουδαῖοι, καὶ Ἑβραϊσταὶ καὶ Ἑλληνισταὶ, ἕνα καὶ τὸν αὐτὸν εἶχον κώδηκα τῶν θείων γραφῶν, ἕπεται λοιπὸν, ὅτι τότε κοινῇ ψήφῳ τοῦ Συνεδρίου προσετέθησαν καὶ τὰ πρωτότυπα τῶν τριῶν τούτων βιβλίων ἐν τῷ ἑβραίῳ κώδηκι, οὐ καθὸ κανονικὰ δι' ἰδίου κανόνος τοῖς Ἑσδραίοις συγκαταριθμηθέντα, ἀλλὰ καθὸ καὶ ταῦτα *ἁγιόγραφα* πεπιστευμένα, καὶ πρὸς τοῖς ἀρχαίοις κανονικοῖς συμπαρατεθέντα (εὑρέθησαν δὲ τοιαύτης προσθήκης παραδείγματα καὶ ἐν

σιν ἀποδέχεται, ἄδηλον δὲ λέγει, τίνος ἀνδρὸς καὶ χρόνου τὸ πόνημα. Ὑπάρχει δὲ καὶ ἄλλη ἑβραϊκὴ τοῦ Τωβὶτ ἔκδοσις ὑπὸ Φαγίου ἐκδοθεῖσα τῷ 1542, ἥτις ἐτυπώθη καὶ ἐν Κωνσταντινουπόλει τῷ 1617· καὶ ταύτην λέγουσιν οὐκ ἀκριβῆ μετάφρασιν ἐκ τοῦ ἑλληνικοῦ. Βλ. Sixt. Senens. Biblioth. Sanct. p. 21. — Ilgen, die Geschichte Tobis. p. CXL. — Ackermann. Introduct. p. 342.

Μασοριτείοις κώδηξι. βλ. ἐφεξῆς §. κε). Καὶ μάρτυς ὁ Ἱερώνυμος, βεβαιῶν, (ὡς εἴδομεν), ὅτι καὶ κατ᾽ αὐτὸν (ἀφ᾽ οὗ μετὰ τὴν αἰχμαλωσίαν ὑπέστη μυρίας μορφὰς ὁ κώδηξ ὁ ἑβραῖος), ἐτίμων πάλιν οἱ Ἰουδαῖοι τὸν Τωβὶτ καὶ τὴν Ἰουδεὶθ, ὡς ἁγιόγραφα (καί τοι μὴ χρώμενοι τούτοις ἔτι ἐπὶ τοῦ Ὠριγένους ἐν ταῖς δογματικαῖς ἀποδείξεσιν). Εἰ γὰρ καὶ οὐκ ἴσα τοῖς Κανονικοῖς, ἀλλ᾽ ὅμως οὐδὲ βέβηλα πάλιν ἐλογίζοντο τὰ ἀπὸ τοῦ Ἀρταξέρξου καὶ ἐφεξῆς γεγραμμένα, τηρούμενα καὶ ταῦτα παρ᾽ Ἰουδαίοις (κατὰ τὴν Ἰωσήπου μαρτυρίαν). Παρομοίως ἔπειτ᾽ ἐξελληνίσθη καὶ ἡ Α, τῶν Μακκαβαίων μετὰ τὴν ἔκδοσιν αὐτῆς. Ἐνεκρίθη δὲ καὶ ἡ ἐκ τῶν Ε, βιβλίων τοῦ Ἰάσωνος ἑλληνικὴ σύνοψις τῆς Β, τῶν Μακκαβαίων (α), καὶ ἡ τῆς Γ, ἱστορία, διηγουμένη τὰ πρὸ τῶν Μακκαβαϊκῶν παρόμοια παθήματα τῶν ἐν Αἰγύπτῳ Ἰουδαίων. Καὶ φαίνονται λοιπὸν ὅ,τε κώδηξ ὁ ἑβραϊκὸς καὶ ὁ τῆς ἑρμηνείας τῶν Ο, ὅτι περιεῖχον ἀμφότεροι ἐκτὸς τῶν Κανονικῶν καὶ ταῦτα τὰ πέντε τεύχη, συζευχθέντα πιθανῶς τὰ μὲν ἄλλα πρὸ τῶν Μακκαβαϊκῶν, ταῦτα δὲ, τὸ ἔσχατον, μετὰ τὸ τέλος τῶν ἀγώνων (περὶ τὸ 130 μ. Χ.)· ἐξεκόπησαν δὲ καὶ ταῦτα ἐκ τῆς ἑβραϊκῆς Βίβλου (καθὼς καὶ ἐξ αὐτῶν τινα τῶν Κανονικῶν) μετὰ τὴν καταστροφὴν τῶν Ἱεροσολύμων, καὶ τὴν πολλαπλῆν τοῦ κώδηκος διαφθοράν. Ὅσοι δὲ τῶν νεωτέρων ὑπέλαβον ταῦτα δὴ τὰ παρ᾽ αὐτοῖς Ἀπόκρυφα πάντα μετὰ Χριστὸν πρῶτον ὑπὸ Θεοδοτίωνος ἐξελληνισθέντα, μακρὰν τῆς ἀληθείας ἀπεπλανήθησαν, οὐδ᾽ ἐκεῖνο γοῦν ἐνθυμηθέντες, ὅτι Κλήμης ὁ Ῥώμης καὶ ἄλλοι τῶν Πατέρων προγενέστεροι τοῦ Θεοδοτίωνος ἐμνημόνευσαν τούτων τῶν τευχῶν (β).

(α) Ὁ Ἰάσων οὗτος ὁ Κυρηναῖος φαίνεται ὁ αὐτὸς καὶ Ἰάσων ὁ Ἐλεαζάρου, ὃν Ἰούδας ὁ Μακκαβαῖος ἀπέστειλεν εἰς Ῥώμην πρέσβυν μετὰ τοῦ Εὐπολέμου (Μακκ. Α. η, ιζ. Ἰώσηπ. Ἀρχ. ΙΒ. ι. §. 6)· ὅθεν καὶ ὁ Γ. Οὐόσσιος ἔταξε τὸν Κυρηναῖον Ἰάσωνα ἐπὶ τοῦ Φιλομήτορος Πτολεμαίου (Voss. de Hist. Græc. IV. 14. πρβλ. S. De Magistris, Apolog. p. 471)· καὶ ὁ Συνοψιστὴς τῆς Β, Μακκαβ. φαίνεται μετὰ τὸν Φιλομήτορα γεγονώς.

(β) Βλ. Walt. Proleg. IX. §. 13.- Leusden, Philolog. Hebraeo- mixtus p. 22. Leydæ, 1699.

Ἐπλανήθησαν δὲ καὶ ὅσοι διπλοῦν ἐφαντάσθησαν τὸν παρ᾽ Ἰουδαίοις κανόνα, ἕνα μὲν βραχύτερον παρὰ τοῖς Παλαιστινοῖς, τὸν αὐτὸν καὶ τὸν ἀρχαῖον Ἑσδραϊκὸν, ἕτερον δὲ τὸν παρὰ τοῖς Ἀλεξανδρινοῖς καὶ τοῖς ἄλλοις ἑλληνισταῖς μᾶλλον ἐκτεταμένον, τὸν περιέχοντα καὶ τὰ Ἀναγινωσκόμενα (α). Εἷς καὶ ὁ αὐτὸς ὑπῆρχε κώδηξ τῶν Γραφῶν παρ᾽ ἑκατέροις τοῖς Ἰουδαίοις, ὡς προείρηται, καὶ φανήσεται καὶ ἐν τοῖς ἑξῆς. Καὶ ποία μὲν ὑπῆρχεν ἡ τῶν Ἀναγινωσκομένων ἐν τῷ Ἑβραίῳ κώδηκι διάταξις πρὸ τῆς Ἰουδαίων καταστροφῆς, ἀγνοοῦμεν. Παρὰ δὲ τοῖς Ἀλεξανδρινοῖς καὶ πᾶσι τοῖς ἁπανταχοῦ τῆς Οἰκουμένης ἑλληνισταῖς ἡ μορφὴ τοῦ κώδηκος ὑπῆρχε πάντως τοιαύτη, οἷον τοῦτον οἱ Ἀπόστολοι παρέδωκαν τῇ Ἐκκλησίᾳ.

§. κδ. Ἀλλ᾽ οἱ περὶ τὸν Σχιμίδιον ἀντιλέγουσι, διϊσχυριζόμενοι κραταιῶς, ὅτι οὔτε οἱ ἑβραΐζοντες Ἰουδαῖοι πώποτ᾽ ἐπέγνων ὡς κανονικὰ καὶ γνήσια τὰ *Ἀπόκρυφα* (δηλονότι τὰ πέντε καθ᾽ ἡμᾶς *Ἀναγινωσκόμενα*, καὶ πάντα δὲ τὰ παρὰ τοῖς Δυτικοῖς *Δευτεροκανονικά*. βλ. ὄπισθ. σελ. 136), οὔτε μὴν οἱ πρὸ Χριστοῦ Σωτῆρος Ἀλεξανδρινοὶ καὶ οἱ λοιποὶ ἑλληνισταί. Τὰς αὐτὰς (λέγουσι) θείας βίβλους, καὶ δόγματα ταὐτὰ *τοῖς ὀρθοδόξοις Ἰουδαίοις εἶχον καὶ οἱ ἑλληνισταί* (β). Διὸ καὶ οὐδὲ Φίλων (λέγουσιν), οὔτ᾽

(α) Eichhorn, Eileit. in das Alt. Test. §. 23. — Bauer, Einleit. p. 56.— Berthold, Einleit. I. p. 94.

(β) Ὀρθοδόξους λέγει, τοὺς Παλαιστινοὺς τοὺς ἑβραΐζοντας, διαστέλλων αὐτοὺς ἀπὸ τῶν Ἑλληνιστῶν, «οἵτινές φησιν, ἔξω τῆς ἁγίας γῆς διάγοντες, καὶ πολλῶν τῶν παρ᾽ αὐτοῖς ἱερῶν ἐθίμων παραμελοῦντες, ἢ μᾶλλον ἀμελεῖν ἀναγκαζόμενοι, ἐνομίζοντο παρὰ τοῖς ὀρθοδόξοις φαυλότεροι (viliores)». Ἀλλ᾽ εἴπερ ἐκείνους ὀρθοδόξους ἐπωνόμασεν ὁ καινὸς ἡμῖν ὀνοματοθέτης, τούτους λοιπὸν ὤφειλεν ἀντιστοίχως εἰπεῖν ἀνορθοδόξους, ἢ ἑτεροδόξους, ἢ ὅπως αὐτῷ ἤρεσκεν! Ἀλλὰ πῶς ἂν ἦσαν τοιοῦτοι, εἴπερ ἐπρέσβευον ταὐτὰ δόγματα; Ποῖα δὲ καὶ ἦσαν ταῦτα δὴ τὰ πλεῖστα τῶν ἱερῶν ἐθίμων, ὧν ἠμέλουν οἱ ἑλληνισταί; Ἴσως τὸ μὴ θύειν· ἀλλ᾽ ἐκτὸς τοῦ ἑνὸς καὶ μόνου ναοῦ θύειν αὐτοῖς ὁ Νόμος ἀπηγόρευσε· καὶ ὅμως οὐ παρὰ τοῦτο κατεδίκασε τοὺς μακρὰν οἰκοῦντας καὶ ὡς λειπομένους τῆς ἀκριβείας τῶν ἑβραϊκῶν δογμάτων. Ἔπειτα, μήπως οὐκ ἦσαν καὶ κατ᾽ αὐτὴν τὴν πόλιν τὴν ἁγίαν τοσούτων ὀρθοδόξων (κατὰ τὸν ὀνοματοθέτην) ἑλληνιστῶν Συναγωγαί; ἀλλ᾽ ὁ κλεινὸς Σχιμίδιος κινδυνεύει καὶ τοὺς κατὰ

Ἰώσηπος τοῖς Ἀποκρύφοις τούτοις ἐχρήσαντο».– Ἀλλ᾽ ὅσον ἀπὸ τούτου τοῦ ἐπιχειρήματος, πολλὰ λοιπὸν καὶ ἐξ αὐτῶν τῶν κανονικῶν οἱ περὶ τὸν Σχιμίδιον ἀναγκασθήσονται πάντως ἐξοβελίσαι τοῦ Ἑσδραίου κανόνος, ὀξὺν καὶ βαθὺν ἐπενεγκόντες τὸν ὀβελὸν, καθὰ προείπομεν περὶ τούτου (σελ. 142)· ἀλλὰ χωρῶμεν περαιτέρω. Οὔτε τῶν ἑβραϊστῶν, ὡς λέγει, οὔτε τῶν ἑλληνιστῶν οὐδένες π. Χ. Σωτῆρος ὡς *κανονικὰ* παρεδέξαντο τὰ βιβλία· τί λοιπὸν περὶ τῆς τούτων γενέσεως καὶ ἀξίας Σχιμιδίῳ δοκεῖ; ἀκούσωμεν. «Τῶν τινές (φησιν) ἀρχαίων Ἰουδαίων, Ἑβραῖοί τε (τουτ. τὴν γλῶσσαν ἑβραΐζοντες), καὶ Ἑλληνισαὶ, διδάσκοντες τοὺς υἱοὺς αὐτῶν, καὶ τό, τε ἦθος καὶ τὴν διάνοιαν αὐτῶν διαπλάττοντες καὶ συνεξασκοῦντες, συνέγραψαν ταύτας τὰς βίβλους, ἃς ἡμεῖς ὀνομάζομεν Ἀποκρύφους, *κατὰ νέαν τοῦ ὀνόματος σημασίαν* (α).

τὴν αἰχμαλωσίαν γενομένους Προφήτας, καὶ πάντας τοὺς ἐκτὸς τῆς Παλαιστίνης καὶ πρὶν ἢ φανῶσιν ἑλληνισαὶ, κατοικοῦντας πολλαχοῦ τῆς Ἀσίας ἑβραϊκοὺς λαοὺς μὴ ὀρθοδόξους ἡμῖν παραστῆσαι, διότι κἀκεῖνοι κατοικοῦντες ξένην γῆν, ἱερῶν τινων ἐθίμων ἐξ ἀνάγκης ἠμέλουν. Πότε δὲ πάλιν τοὺς ἑλληνιστὰς οἱ ἑβραΐζοντες περιεφρόνουν ὡς ἑαυτῶν ἐλάσσονας, καὶ ἧττον ἑβραιοθρήσκους; Ποῦ τοῦτο εἶπον ἢ Φίλων, ἢ Ἰώσηπος, ἤτις ἄλλος τῶν ἀρχαίων ἱστορικῶν; (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 362).

(α) Νόθους δηλαδὴ, ἢ τί ἄλλο βούλεται παρ᾽ αὐτῷ, ἣν φησιν, ἡ νεωνυμίας; (ἔξεστι δὲ δήπου πᾶσι τοῖς νεωτερισταῖς καὶ περὶ τὰς σημασίας τῶν φωνῶν καινοτομεῖν). Ἀλλ᾽ ὁ αὐτὸς Σχιμίδιος ἀλλαχοῦ (σελ. 721) διαιρεῖ τὴν σημασίαν τοῦ νόθος· καὶ τὴν εἰς Κανονικὰ, καὶ Ἐκκλησιαστικὰ (ἢ Ἀναγινωσκόμενα), καὶ Νόθα διαίρεσιν τῶν βιβλίων ἀποδέχεται. Ταύτην τὴν διαίρεσιν καὶ Σουΐκηρος ἐπαινεῖ (Thes. Eccl. v. Ἀπόκρυφος). Ἀλλ᾽ ἐφεξῆς συγχέει καὶ οὗτος τὰ Ἀπόκρυφα καὶ Νόθα πρὸς τὰ Ἀναγινωσκόμενα, ἢ Ἐκκλησιασικά. Καὶ τούτων τὴν Ἀνάγνωσιν νομίζει τὸν Ἱεροσολύμων Κύριλλον ἀπαγορεύοντα τοῖς κατηχουμένοις, ἐν οἷς εἶπεν ὁ Πατὴρ «πρὸς τὰ Ἀπόκρυφα μηδὲν ἔχε κοινόν» κτλ. (βλ. ὄπισθ. σελ. 140). Τοιαύτην σύγχυσιν ἔπαθε καὶ ὁ συνετὸς Βιγχάμης (Origin. Eccl. L. XIV. 3. §. 15). Ἀλλ᾽ ὅτι καὶ ὁ θεῖος Κύριλλος Ἀπόκρυφα λέγει τὰ νόθα καὶ κίβδηλα, καὶ αὐτόθεν πρόδηλον· ἢ γελοῖον ἂν ἦν, εἴπερ ἀπηγόρευε πρὸς τοὺς κατηχουμένους τὰ πρὸς τούτων μάλιστα προπαίδειαν τετυπωμένα Ἀναγινωσκόμενα (ὄπισθ. σελ. 113), οἷς καὶ αὐτὸς ἐν αὐταῖς αὐτοῦ ταῖς Κατηχήσεσιν ἐχρῆτο (βλ. ἐφεξῆς §. κη). Τὰ νόθα καὶ κίβδηλα καὶ ὁ Μ. Βασίλειος ἐννοεῖ, ἐν οἷς παραγγέλλει τοῖς μοναχοῖς, «τὰ ἐνδιάθετα βιβλία ἀναγινώσκειν, ἀποκρύφοις ὅλως μὴ ἐντυγχάνειν» (Λόγ. περὶ

Συχνὴ δέ (φησιν) ὑπῆρχεν ἡ τούτων ἀνάγνωσις μάλιστα παρὰ τοῖς ἑλληνισταῖς· ἀλλ' οὔτε παρ' αὐτοῖς, οὔτε παρὰ τοῖς ἄλλοις Ἰουδαίοις, οὔτε θεῖα, οὔτε προφητικὰ ἐπρεσβεύοντο τὰ βιβλία. Ἀλλ'

Ἀσκήσ. Τ. 6. σελ. 247). Τὰ νόθα καὶ ἡ Λ. Σύνοδος ὠνόμασε βίβλους «ἀποκρύφους καὶ κιβδήλους». Ὁ δὲ Φιλάστριος καὶ μετὰ τῶν αἱρετικῶν συναριθμεῖ τοὺς χρωμένους τοῖς τοιούτοις Ἀποκρύφοις (περὶ αἱρέσ. κεφ. 40. ἐν Biblioth. Patr. major. p. 711. Lugd. 1677). Οἱ δὲ τὰ τοῦ Φιλαστρίου ἀπόκρυφα ἐπὶ τῶν Ἀναγινωσκομένων ἐκλαβόντες, ἀπέδειξαν ἡμῖν παρ' ὀλίγον αἱρετικοὺς πάντας τοὺς τούτοις χρησαμένους ἁγίους Πατέρας, καὶ τὴν ἐν Καρθαγένῃ, καὶ τὴν ς Οἰκουμενικὴν Σύνοδον! Τελευταῖον· ὁ Σουΐκηρος (λ. Γραφὴ) δεῖξαι βουλόμενος, ὡς οὐδέποτε ἀπεδέξατο ἡ Ἐκκλησία τὸ κῦρος τῶν Ἀναγινωσκομένων (οὕτω καὶ Bingham l. c), καὶ φέρων εἰς μαρτυρίαν τὸν κατάλογον τῆς ἐν Λαοδικείᾳ Συνόδου, καὶ τοὺς τούτῳ συμφωνοῦντας Πατέρας ὀνομάζων (βλ. ὄπισθ. σελ. 119) «Ταύτην, λέγει, τὴν γνώμην καὶ νῦν ἡ τῶν Γραικῶν Ἐκκλησία διακρατεῖ, ὡς μαρτυρεῖ Κύριλλος ὁ Πατριάρχης Κωνστ. ἐν τῇ Ὁμολογίᾳ» (ὁ Ψευδολούκαρις. βλ. ὄπισθ. σελ. 131), «καὶ Μητροφάνης ὁ Κριτόπουλος ἐν τῇ Ὁμολογίᾳ τῆς Ἀνατολικῆς Ἐκκλησίας» (καλὸς καὶ τίμιος καὶ οὗτος ὁ Ὁμολογητής!). Ἐκ δέ (φησι) τῆς τοσούτων μαρτυριῶν πολυμιγίας (farragine) παντὶ δῆλον, ὅτι ἡ περὶ τῶν κανονικῶν τῆς Παλαιᾶς βιβλίων γνώμη τῶν Ἀναμορφωτριῶν Ἐκκλησιῶν ἡ αὐτή ἐστι καὶ ἡ τῆς ἀρχαίας Ἐκκλησίας. Τοῦ δέ (φησι) ΠΕ, Κανόνος τῶν Ἀποστόλων, καὶ τοῦ ΛΔ. τῆς ἐν Καρθαγένῃ Συνόδου μικρὰ φροντίζομεν» (parum moramur!). Τοιαῦτα ὁ Σουΐκηρος. Τί δ' ἐχρῆν αὐτῷ φροντίζειν περὶ τῶν οὕτω μικρῶν, εἴ γε περὶ τοῦ Ἐκκλησιαστικοῦ Κανόνος εἶχε μάρτυρας οὕτως ἀναντιῤῥήτους καὶ λαμπρούς, τὸν μέγαν Ψευδολούκαριν καὶ τὴν καλβινίζουσαν Ὁμολογίαν τοῦ Κριτοπούλου, καὶ ταύτην ἀμφίβολον· (ἔοικε γὰρ καὶ ὑπὸ τῷ λίθῳ τούτῳ σκορπίος εὕδειν). Μητροφάνης ὁ Κριτόπουλος (Μακεδών, Βεροιεύς, μαθητὴς τοῦ ἀοιδίμου Μαξίμου τοῦ Μαργουνίου, καὶ πρωτοσύγκελλος τοῦ Πατριάρχου Κυρίλλου τοῦ Λουκάρεως) διέτριψεν ἐν Ὀξωνίῳ, Τυβίγγῃ, Βιττεμβέργῃ, Ἀργεντίνῃ, Ἀλτόρφῃ (ὅπου καὶ τῆς Ἀκαδημίας ἐγένετο πολίτης ἠδελφισμένος)· ἐπέμφθη δὲ, (λέγουσί τινες Ἀναμορφωταὶ, καὶ ἰδίως ὁ λῆρος Δειτελμαῖρος) ὑπ' αὐτοῦ τοῦ Λουκάρεως εἰς τὰς εἰρημένας χώρας, ἵνα σπουδάσῃ τὴν Καλβινικὴν Θεολογίαν (!). Διατρίβων ἐν Ἑλμιστάδῃ τῷ 1620, συνέγραψε (λέγουσι) τὴν Ὁμολογίαν, κατ' αἴτησιν τῶν ἐκεῖ Ἀκαδημιακῶν, ἵνα τύποις ἐκδοθῇ (καὶ ἐξεδόθη μόλις τῷ 1661. Helmst.). Ἀλλ' ἆρά γε συνέγραψε ταύτην; ἢ γοῦν τοιαύτην, αὐτὸς ὁ Κριτόπουλος; ἀμφίβολον, καὶ τοῦ ἀπιθάνου ἐγγὺς, διὰ τοὺς ἐφεξῆς μάλιστα λόγους· α) Ὁ Μητροφάνης τῷ 1628 διέτριβεν Ἐνετίῃσι (βλ. τοῦ ἐλλογίμου Ἰωάννου τοῦ Βελούδου τὸ Sulla Colonia Greca Orientale stabilita in Venezia. p. 15. Venez. 1847). Κἀκεῖθεν ἐπανελθὼν εἰς Κωνσταντινούπολιν, προχειρίζεται (ἴσως τῷ 1630), καὶ διέμεινεν ἕως τέλους, Πατριάρχης Ἀλεξανδρείας· καὶ μετὰ τὸ δρᾶμα τῆς τοῦ Λου-

οὐδ' οἱ Ο, οὐδ' Ἀκύλας καὶ οἱ λοιποὶ μεθηρμήνευσαν τὰς ἀποκρύφους βίβλους, οὐδ' Ὠριγένης ἔταξεν αὐτὰς ἐν τοῖς Ἑξαπλοῖς. Ὀψέ δέ ποτε μετὰ Χριστὸν *ὑπό τινων χριστιανῶν ἀντιγραφέων* πολλὰ βιβλία προφητῶν ὀνόμασιν ἐπιγεγραμμένα προσετέθησαν, ἢ καὶ ἀνεμίγησαν τοῖς κανονικοῖς ἐν τῇ *Κοινῇ* λεγομένῃ ἐκδόσει τῶν Ο (α), καὶ διὰ χρήσεως εὐλαβοῦς καθιερώθησαν· ταῦτα δὲ καὶ ἡ λατινὶς ἑρμηνεία (ἡ Ἰτάλα), καὶ ὁ Σύρος, καὶ εἴ τις ἄλλη μετάφρασις ἐκράτησαν. Ἐχρῶντο δὲ τούτοις πρὸς τοὺς κατηχουμένους· ἡ γὰρ παλαιὰ τῆς Ἐκκλησίας διάταξις οὐκ ἤθελε τὰ ἀληθῶς θεῖα τεύχη (τὰ κανονικὰ) κοινοποιεῖν τοῖς κατηχουμένοις.

κάρεως τραγῳδίας, παρῆν ἐν τῇ πρώτῃ κατὰ τῆς ἐμφανισθείσης τοῦ ψευδολουκάρεως; Καλβινικῆς Ὁμολογίας συγκροτηθείσῃ Συνόδῳ τῷ 1638, καὶ συνυπέγραψε τῷ ἀναθέματι, «Μητροφάνης ἐλέῳ Θεοῦ Πάπας καὶ Πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας» (βλ. τὸν Le-Quien, Oriens Christ. T. 2. p. 507, ὅστις ἀριθμεῖ τὸν Μητροφάνην 90, τῶν Πατριαρχῶν Ἀλεξανδρείας, καὶ μάτην ὑπονοεῖ, μήπως ὁ συγγραφεὺς τῆς Ὁμολογίας Μητροφάνης ἕτερος ἦν τοῦ Πατριάρχου). - 6) Νεκτάριος ὁ ἀείμνηστος καὶ σοφώτατος Ἱεροσολύμων πατριάρχης, ἐν ᾗ ἔγραψεν ἐξ Αἰγύπτου (τοῦ Καΐρου) πρὸς Γερμανὸν ἐπιστολῇ (ἔτι ἱερομόναχος ὤν, τῷ 1660), ἐξιστορῶν τὴν τότε ἐν Αἰγύπτῳ πλουσίαν βιβλιοθήκην, καὶ τὴν εἰς αὐτὴν φιλοτιμίαν τῶν ἐκεῖ πατριαρχῶν, ἐπαινεῖ μάλιστα τὸν Μητροφάνην (ὡς ἤδη τεθνηκότα μνημονεύων), λέγων. «Πολλὰ (βιβλία) παρ' Ἄγγλων, καὶ Γερμανῶν, ἔτι τε καὶ [ἐκ] Βενετίας ἐνταῦθα κεκόμικε Μητροφάνης ἐκεῖνος, ὁ πάνυ· ὃς πολλάκις διαλεγόμενός μοι ἔλεγεν, ὡς οὐδὲν ἐλλείπει βιβλίον τῇ ἐκείνου (ἴσ. γρ. ἐν ἐκείνῃ τῇ) βιβλιοθήκῃ, ἑλληνικῶν τε καὶ λατινικῶν, μέχρι τοῦ τότε καιροῦ, κτλ. (βλ. τὴν ἐπιστολὴν ἐν τῷ Ποικίλα Ἑλληνικὰ ἐπιγεγραμμένῳ βιβλίῳ, δαπάνῃ τῶν ἀοιδίμων Ζωσιμάδων ὑπὸ Matthaei ἐκδοθέντι. p. 264. Μόσχᾳ, 1811).- γ) Τελευταῖον, τὴν περιφερομένην Ὁμολογίαν ἐξέδωκαν οἱ Καλβῖνοι ἔτεσιν ὅλοις 40, ἀφ' οὗ συνεγράφη, περιμείναντες τὴν τελευτὴν τοῦ Κριτοπούλου. Εἰ δὲ γνησία τοῦ Κριτοπούλου, καὶ μὴ ψευδεπίγραφος καὶ αὕτη (ὡς ἡ τοῦ Λουκάρεως), ἤ, εἰ μὴ ἀδιανόθευτος, τίς ἐγγυᾶται; (Βλ. περὶ τοῦ Κριτοπούλου Hilarium in Philip. Cypr. Chronic. p. 459: Smith de Graec. Eccl. etc. ad Lector.: Fabric. Bibl. Gr. T. XI. p. 597). Ὁ δ' ἀοίδιμος Μελέτιος κατὰ λήθην οὐκ ἐμνημόνευσε καὶ τὸν Μητροφάνην ἐν τοῖς Ἀλεξανδρείας Πατριάρχαις (Ἐκκ. Ἱσ. τ. γ. σελ. 451).

(α) Ἐννοεῖ τὰς περικοπὰς τοῦ Δανιὴλ (ἐν αἷς ἡ Σωσάννα κτλ.), τῆς Ἐσθὴρ τὰς λεγομένας προσθήκας, τὴν Σ. τοῦ Σολομῶντος (εἰς ὃν ἐπιγέγραπται ἡ βίβλος), τὰ τοῦ Ἱερεμίου (μεθ' οὗ Βαροὺχ καὶ ἡ ἐπιστολὴ) κτλ. Τούτοις ἠκολούθησαν συνελαβέντα καὶ τ' ἄλλα, ὁ Τωβίτ, ἡ Ἰουδείθ, ἡ Σοφία Σειρὰχ, καὶ τὰ Μακκαβαϊκά!

Ἐντεῦθεν καί τινων Ἐκκλησιῶν διατάξεις, καί τινων Συνόδων κανόνες διετύπωσαν τὰ Ἀπόκρυφα πρὸς χρῆσιν ἐκκλησιαστικήν· οἱ δέ τινες τῶν Πατέρων κἀν ταῖς πρὸς τὸν λαὸν ἱεραῖς αὐτῶν Ὁμιλίαις καὶ συγγραφαῖς ἐχρήσαντο τουτοισὶ τοῖς βιβλίοις, κόσμου χάριν συγγραφικοῦ, καὶ γυμνάζοντες τὸν λόγον. Ἀλλ' ἐν τούτοις, οἱ μὲν συνετώτεροι τῶν Πατέρων (οἷον Μελίτων, Ὠριγένης, Εὐσέβιος, Μ. Ἀθανάσιος, Ἐπιφάνιος, Ἱερώνυμος) οὐδὲν ἀπόκρυφον ὡς κανονικὸν παρεδέχοντο· οἱ δ' ἀγροικότεροι πρόεδροι τῶν Ἐκκλησιῶν, καὶ ὡς ὄντως θεῖα ἐνόμισαν τὰ Ἀπόκρυφα, καὶ τούτοις ἐπὶ μᾶλλον ἐν ταῖς διδασκαλίαις ἐχρῶντο. Ἕως οὗ, τέλος, ἡ κατὰ τὸν μεσαιῶνα (ἀπὸ τοῦ 400 μ. Χ. καὶ ἐφεξῆς) καταλαβοῦσα τὴν Γραικικὴν καὶ Λατινικὴν Ἐκκλησίαν *φρικτὴ βαρβαρότης*, αὐτὰ μὲν τὰ τῷ ὄντι θεόπνευστα βιβλία τέλεον οὐκ ἀφείλετο· τὴν δὲ τούτων χρῆσιν καὶ ἐξήγησιν ἐπὶ τοσοῦτον ἐκώλυσεν, ὥστε, ἡ μὲν θεία Γραφή, καί τοι θεία δημοσίως νενομισμένη, κατήντησε κατὰ μικρὸν εἰς λήθην καὶ περιφρόνησιν, ἀντ' αὐτῆς δ' εἰσήχθησαν *παραδόσεις* καὶ *κανόνες* καὶ νόμοι ἐκκλησιαστικοί, *αἰσχροῦ κέρδους* χάριν, καὶ ὑπὸ φιλοπρωτίας ἐξευρεθέντες. Ἐντεῦθεν ἀνεφύησαν κἀκεῖνα τὰ *τερατώδη δόγματα*, τὰ μέχρι καὶ καθ' ἡμᾶς τὴν *Ῥωμάναν* καὶ τὴν *Γραικικὴν* Ἐκκλησίαν *καταῤῥυπαίνοντα* (α). Τότε

(α) Οὕτως ὁ σοφὸς Σχιμίδιος συνάμα καὶ μιᾷ βολῇ τήν τε Ῥωμάναν καὶ τὴν Γραικικὴν Ἐκκλησίαν ἐφ' οἷς αὐτὸς οὐκ ἀρέσκεται δόγμασι προσβάλλων καὶ λοιδορῶν, φαίνεται ταύτας συνάπτων εἰς ἓν (ὡς ἂν εἴπερ ἀδελφὰ τὰ πάντα καὶ νῦν ἐφρόνουν ἔν τε δόγμασι καὶ διδάγμασι), καὶ πρὶν αὐταὶ καθ' ἑαυτὰς ἀπὸ τῆς ἤδη πρὸ πολλοῦ κρατούσης, καὶ μήποτ' ὀφειλομένης διαστάσεως ἑνωθῶσι. Καὶ τοῦτο μὲν δώσει Θεός. Αὐτὸς δὲ ὁ μετὰ πολλῶν τῶν Ῥωῤῥυπωμένος πότερον ἆρα, φαντασιοπλήκτως παραχρονίζων (ὡς ἂν εἴπερ ἐπὶ τῆς Φλωρεντινῆς ψευδοσυνόδου παρῆν), ἢ διὰ συκοφαντίας ὑπερβολὴν ἐπλαστοκόπησε τοιοῦτο τῶν Ἐκκλησιῶν Ἑνωτικὸν (Concordat) ἐπὶ ψόγῳ ἀμφοτέρων; Ἐφεξῆς δὲ προϊών, ἰδίως διατωθάζει τὴν Ῥωμάναν ἀρτολατρείαν (ἐπὶ τῆς θείας εὐχαριστίας), καὶ εἰκονολατρείαν (σελ. 531. ἄλλοι δὲ Σχιμίδιοι, χριστιανοὶ χριστιανοῖς λοιδοροῦντες, εἶπον διαῤῥήδην καὶ εἰδωλολατρείαν! τάχα διὰ τὰς ἐν τῇ Ῥωμάνᾳ Ἐκκλησίᾳ συνειθισμένας γλυπτὰς τῶν ἁγίων μορφάς). Τοὺς δὲ Γραικοὺς ἐνταῦθα παρῆλθε σιωπῶν. Καὶ ἀπίτω λοιπὸν ὁ

ὁ μὲν ἐν τῇ Ἐκκλησίᾳ τετηρημένος (!) ἱερὸς κώδηξ (ὁ ἑβραϊκὸς) ἐσιώπα, ὡς *γράμμα νεκρόν*. Τούτου δὲ τὸν τόπον ἐπεῖχον ἡ Ἑλληνικὴ (τῶν Ο), καὶ ἡ Λατινὶς ἑρμηνεία, θείου κύρους ἀξίᾳ τετιμημέναι (α). Καὶ τούτων τῶν ἑρμηνειῶν οἱ κώδηκες περιεῖχον τὰ Ἀπόκρυφα, τὰ μηδέποτ' ἐξ ἀρχῆς *παρὰ τοῖς ἐμφρονεστέροις* καὶ *εἰδημονεστέροις* χριστιανοῖς ὡς θεῖα νομισθέντα, δηλαδὴ τὰ *Δευτεροκανονικὰ* λεγόμενα, ἢ καὶ *Ἐκκλησιαστικά*, ἅπερ πολυάριθμοι κληρικοὶ Γραικοί, καὶ μάλιστα Λατῖνοι, τῆς ἀρχαίας τοῦ κώδηκος μορφῆς ἀδαεῖς, συνηρίθμησαν μετὰ τῶν ὄντως θείων καὶ κανονικῶν τευχῶν. Ἕως οὗ, τέλος, ὁ ἱερὸς κώδηξ ἀπηλλάγη καθόλου ἀπὸ τῶν αὐθαδῶς αὐτῷ συμμεμιγμένων ἀνθρωπικῶν συγγραφιδίων. Ὀφείλεται δὲ ἡ χάρις εἰς ἐκείνους τοὺς ἀθανάτου μνήμης ἀξίους ἄνδρας, οἷς ἀνήκει καὶ τὸ βραβεῖον τῆς *Ἐκκλησιαστικῆς Ἀναμορφώσεως*. Οὗτοι γὰρ ἐξέκοψαν παντάπασι τὰ Ἀπόκρυφα, ἐκθέμενοι ἐπιμελῶς καὶ πεφυλαγμένως τὰ τῶν θεοπνεύστων βιβλίων γνωρίσματα».– Ταῦτα, ὡς ἐν συνόψει, ἡ *ἀναφάλαντος* (Καλβινικὴ) τοῦ Σχιμιδίου Μοῦσα ἀπηγκωνισμένῃ γλώσσῃ κατεῤῥαψῴδησε (β).

§. κε. Ἡμεῖς δὲ πρὸς τοσούτους καὶ οὕτως ἠλιβάτους παραλογισμούς, ὀλίγα, ὅσον οἷόν τε, καὶ σύντομα.

α) Ὑπὸ *χριστιανῶν*, φησιν, ἀντιγραφέων προσετέθησαν τὰ κατ' αὐτὸν *Ἀπόκρυφα*, παρεγγραφέντα εἰς τὸν ἱερὸν τῶν Ο, κώδηκα. Ἀλλὰ πότε, καὶ ποῦ, καὶ ὑπὸ ποίων τουτωνὶ τῶν ἀντιγραφέων; Μῶν οὕτως ἄχρηστος καὶ ἀμελέτητος ὑπῆρχεν ὁ κώδηξ τῶν

ἀ ρ τ ο κ ό π ο ς κ α ὶ ε ἰ κ ο ν ο κ λ ά σ η ς οὗτος μαχησόμενος περὶ τούτων πρὸς τοὺς ἀφ' ὧν διέστη πνευματικοὺς αὐτοῦ πατέρας, τοὺς Ῥωμάνους. Μένουσι δ' αὐτὸν Βελλαρμῖνοι καὶ Βοσσουέτοι, μεθ' ὧν συμπλακήσεται. Ἡμεῖς δ' ἄπωθεν ἀποσκοποῦντες, εὐξόμεθα πᾶσι φωτὸς ἀνοιχθῆναι πύλας.

(α) Λάθος τοῦ Σχιμιδίου· μόνη καὶ μόνον ἡ τῶν Ο, οὐδέποτε δὲ ἡ Λατινὶς ἑρμηνεία οὐδ' ἐν αὐτῇ τῇ ἀρχαίᾳ Δυτικῇ Ἐκκλησίᾳ ὡς θεοκύρωτος καὶ θεόπνευστος ἐλογίσθη.

(β) Βλ. Schmid, Histor. antiq. et vindicat. canon. etc. p. 4—12. 127—138, 181 κτλ.

Γραφῶν; ἢ παρεῤῥιμένος ἔρημος ἁπάσης ἐπιστασίας, καὶ πρόχειρος τοῖς βουλομένοις αὐξάνειν αὐτὸν καὶ διασκευάζειν, ὅλα τεύχη βέβηλα προστιθέντες, ἢ καὶ πρὸς τοῖς γνησίοις ὀθνείας προσάπτοντες συῤῥαφὰς (ὡς τὴν Σωσάναν, φασὶν, εἰς τὸν Δανιὴλ, κτλ.), καὶ νοθεύοντες παντοίως τὴν ἄχραντον τῶν θεοπνεύστων λογίων ἀκεραιότητα; Καὶ ποῦ σοι, Σχιμίδιε, τὰ γοῦν «*ἀρχεῖα τῶν Ἐκκλησιῶν*», ἐν οἷς λέγεις ὅτι ἐφυλάττετο σῶος καὶ ἀνέπαφος ὁ κώδηξ τῆς Καινῆς Διαθήκης; (σελ. 22). Μόνον λοιπὸν τὴν Καινὴν ἐτήρουν ἀκριβῶς οἱ παλαιοὶ χριστιανοί; τῆς δ' ὑπὸ τοσούτων πολεμίων, Μαρκιώνων καὶ Μανέντων καὶ ἄλλων, ἐπιβουλευομένης Παλαιᾶς ἠμέλουν παντάπασι, παρορῶντες ὁπωσδήποτε παρὰ τῶν ἀντιγραφέων βεβηλουμένην; Οὔτε γελοιότερον, οὔτ' ἠλιθιώτερον ἀργῶν ἀνθρώπων φάντασμα προσέβαλε πώποτε λογικὰς ἀκοάς.

β) Ὁμολογεῖ, ὅτι τὰ κατ' αὐτὸν Ἀπόκρυφα περιεῖχεν ἡ ἀρχαία Λατινὶς, ἢ Ἰτάλα, ἥτις μετεφράσθη περὶ τὰ τέλη τοῦ α, ἢ τὰς ἀρχὰς τοῦ β, αἰῶνος ἐκ τοῦ πολὺ δὴ πρότερον ἤδη τεταγμένα τὰ Ἀπόκρυφα ταῦτα περιέχοντος κώδηκος τῶν Ο. (σιωπῶμεν τὴν Συριακὴν καὶ τὴν Αἰθιοπικὴν μετάφρασιν). Πῶς λοιπὸν, ἔτι ζώντων καὶ βλεπόντων τῶν Ἀποστόλων, καὶ τῶν Ἀποστολικῶν Πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας, ἐτόλμησαν τοιαῦτα περὶ τὴν θείαν βίβλον οἱ κατ' αὐτὸν *διασκευασταὶ χριστιανοί;*

γ) Σφαλλόμενος καὶ παραπαίων, ὡς μεθύων, ὁ τοῦ Σχιμιδίου κάλαμος, ἥρπασε πρὸς ὑποστήριξιν, ὡς ἔρεισμα, τὴν *Κοινὴν* τῶν Ο ἔκδοσιν! Ἀλλ' αὕτη ὠνομάσθη οὕτω κατὰ τὸν γ, αἰῶνα, πρὸς διαστολὴν τῆς ἐν τοῖς Ὠριγένους Ἑξαπλοῖς, ὡς *κοινῶς* ἐν πάσαις ταῖς Ἐκκλησίαις ἀναγινωσκομένη· ἡ δὲ κατ' αὐτὸν διασκευὴ γέγονε πάντως πολὺ πρότερον τῶν Ἑξαπλῶν. Τοῦτο φαίνεται μεγασκελὴς ἀναχρονισμὸς, ἄγαν ἀπρεπὴς ὀφρύϊ κριτικῇ!

δ) Οὐδεὶς, λέγει, τῶν ἐν τοῖς Ἑξαπλοῖς ἑλληνικῶν ἑρμηνευτῶν οὐθ' οἱ Ο, οὔτε οἱ λοιποὶ περιεῖχον τὰ Ἀπόκρυφα, τίθησι δ' ἐν τούτοις καὶ τὰς τοῦ Ἱερεμίου καὶ τοῦ Δανιὴλ περικοπὰς (καθ' ἃς ἐκεκολόβωτο καὶ πρὸ τοῦ Ὠριγένους τὸ Ἑβραϊκόν). Καὶ ὅμως

τὰς περικοπὰς ταύτας εἶχον ἡρμηνευμένας οὐ μόνον οἱ Ο, ἀλλὰ καὶ ὁ Θεοδοτίων, ὡς Ὠριγένης αὐτός, ὁ συντάκτης τῶν Ἑξαπλῶν διακηρύτει (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 644, 676). Ἔτι δὲ καὶ Ἰώσηπος ὁ Ἰουδαῖος ἀνέγνω καὶ μετέγραψε τὰς λεγομένας Ἐσθηρείους παρυφάς, καὶ τὸν Α, Ἔσδραν.

ε) «Οὔτε (λέγει) τῶν Ἑβραίων, οὔτε τῶν ἑλληνιστῶν οὐδεὶς ἐπίστευε τοῖς Ἀποκρύφοις ὡς θείοις καὶ προφητικοῖς».– Ἀλλ' ὁ Ἰώσηπος (ὡς ἴδομεν), ὁ τῶν κατ' αὐτὸν *ὀρθοδόξων* Ἑβραίων κορυφαῖος μαρτυρεῖ, ὅτι οὐδ' Ἀπόκρυφα ἐλογίζοντο παρὰ τοῖς ἑβραίοις, πίστεως δὲ μᾶλλον, καί τοι μὴ ὁμοίως τοῖς κανονικοῖς, ἠξιωμένα. Καὶ ὁ Ἱερώνυμος λέγει, ὅτι τὸν Τωβὶτ καὶ τὴν Ἰουδεὶθ οἱ Ἰουδαῖοι συνέταττον ἐν τοῖς *ἁγιογράφοις*. Ὁ δὲ Ὠριγένης ἔτι πρότερον οὐ μετὰ τῶν Ἀποκρύφων τεταγμένα παρ' Ἰουδαίοις ταῦτα τὰ τεύχη διωμολόγησε· καὶ τὸν κατ' αὐτὸν κώδηκα τῶν Ἰουδαίων κατὰ λέξιν μεταγράφων, προστίθησι καὶ τὰ *Σερβὴθ Σερβανὲ ἐλ* (τὰ Μακκαβαϊκά), ὡς καὶ ταῦτα κείμενα ἐν τῷ κώδηκι, ἔξω μὲν τῶν Κανονικῶν, ἀλλ' ὅμως τούτων ἐγγύς. Καὶ ἄλλοι δὲ κώδηκες ἀρχαῖοι ἑβραϊκοὶ ἐξευρέθησαν περιέχοντες, πλὴν τῶν κανονικῶν, καί τινα τῶν λεγομένων Ἀποκρύφων. Τοιοῦτον ἀντίγραφον ὁ κλεινὸς Οὐόλφιος διαγράφει περιέχον πρὸς τῷ τέλει (κατόπιν τοῦ Ἰὼβ) καὶ τὰ *Μεγιλλὰθ Ἀντίοχος* (ἐκ τῶν Μακκαβαϊκῶν. βλ. ἐφεξῆς §. λδ). Ἄλλος δὲ κώδηξ, ὁμοίως ἀρχαιότατος, περιεῖχε μετὰ τὸν Ἰὼβ καὶ ἀπόσπασμα ἱστορικὸν ἐκ τῶν Σολομῶντος χρόνων (ὅτε πρὸς αὐτὸν ἐφάνη ὁ *Ἀσμοδαῖος*, ὃν ἔλαβε πάντως ὁ πλάστης Ῥαββῖνος ἐκ τῆς ἱστορίας τοῦ Τωβίτ) (α). Ὁμολογεῖ ταῦτα καὶ ὁ Σχιμίδιος προχωρῶν (σελ. 129 καὶ 218), καὶ προστίθησι φιλοτιμότερον, ὅτι κἂν (φησι) καὶ ἄλλοι καὶ τούτων ἀρχαιότεροι κώδηκες εὑρεθῶσιν, ἴσως ἂν φανεῖεν πολλῷ πλείονα περιέχοντες ἐμμεμιγμένα τοῖς κανονικοῖς Ἀποκρύφων παραδείγματα (τοῦ Σειρὰχ, τοῦ Τωβὶτ, τῆς Ἰουδεὶθ, καὶ τῶν λοιπῶν)· ἀλλ' ἐκ πάντων (λέγει)

(α) Wolf. Biblioth. Hebr. T. 2, 204, 311.

τούτων οὐδὲν ἕτερον ἀποδείκνυται, εἰμὴ τοῦτο μόνον, ὅτι καὶ ταῦτα τὰ τεύχη *ὑπὸ πολλῶν ἀνεγινώσκοντο*, καί τοι *μηδέποτε* κοινῇ ψήφῳ ὑπὸ τοῦ ἰουδαϊκοῦ ἔθνους θεόπνευστα νομισθέντα». Ταῦτα ὁ Σχιμίδιος λίαν ἀποφαντικῶς καὶ στενῶς. Ἡμεῖς δὲ (καὶ πᾶς τις ἄλλος, οἶμαι, φίλος τῆς ἀληθείας) ἄλλο τι, νομίζομεν, ἐκ τούτων ἀποδείκνυται λογικώτερον· ὅτι οὐδέποτε οὐδόλως παρὰ τοῖς Ἰουδαίοις ἐνομίσθησαν ἀπόκρυφα ταῦτα τὰ τεύχη (ἢ πῶς ἂν ἐτόλμων ἐκεῖνοι δὴ *οἱ πολλοὶ τούτων ἀναγνῶσται* μὴ μόνον κατ' ἰδίαν ἀναγινώσκειν, ἀλλὰ καὶ καταχωρίζειν εἰς τὸν κώδηκα τῶν θεοπνεύστων Γραφῶν βίβλους ὅλως ἀποκρύφους καὶ κιβδήλους καὶ ἀκραιφνῶς ἀνθρωπικάς;)· προσετίθουν δὲ καὶ ταῦτα κατόπιν τῶν κανονικῶν, «ὡς *πίστεως ἠξιωμένα*». Πλὴν ἀλλ' ἐν τούτοις πάνυ χαρίεις φαίνεται ὁ σοφὸς Σχιμίδιος. Εἰς μὲν γὰρ τὸν κώδηκα τῶν Ο, εἰσῆγε πρὸ μικροῦ ἀντιγραφεῖς τινας ἀγνώστους καὶ εἰκαίους, καὶ τούτους μετὰ Χ., νηποινεὶ τὰ κατ' αὐτὸν Ἀπόκρυφα εἰς τὴν θείαν βίβλον ἐγκαταγράφοντας, περὶ δὲ τὸν ἑβραϊον κώδηκα μεγαλοδωρότερος ἀπέβη, καὶ σφόδρα συγκαταβατικός. Οὐχ ἁπλῶς εἰς ἀντιγραφεῖς, ἀλλ' εἰς αὐτοὺς ἀπένειμε τοὺς κατ' αὐτὸν *ὀρθοδόξους* Ἑβραίους ὅλως ἀνέγκλητον καὶ ἀπροκριμάτιστον τῶν Ἀποκρύφων τὴν ἐγγραφήν· καὶ τούτων ἀναγνώστας βλέπει *πολλοὺς* (ἐν οἷς πάντως ἦσαν καὶ ῥαββῖνοι· πῶς δ' οὐχί;). Εἰ δὲ μόνον βῆμα ἓν προὐχώρει περαιτέρω, ἔβλεπεν ἂν καὶ ὅτι οὐ χωρὶς ἀδείας τῆς Συναγωγῆς ἐγράφοντο τὰ τεύχη ἐντὸς τοῦ ἱεροῦ κώδηκος, οὐδ' ἀνεγινώσκοντο παρὰ πολλῶν, εἴπερ ἦσαν ἀπόκρυφα, μετὰ τῶν ἀρχῆθεν ὁμολογουμένως κανονικῶν· καὶ τοῦτ' ἐστὶν ὅπερ ἐλέγομεν ἀνωτέρω. Ἐπλανήθησαν ἐν μέρει οἱ περὶ τὸν Σιμώνιον καὶ τὸν Μοσχέμιον, εἴπερ ἐνόμιζον, ὅτι μόνον ὑπὸ τῶν ἔξω τῆς Παλαιστίνης διαγόντων ἑλληνιστῶν Ἰουδαίων προσετέθησαν ἔτι π. Χ. τὰ βιβλία ταῦτα εἰς τὸν κώδηκα τῶν Ο (ὡς ἂν εἴπερ εἶχον ἄλλον κώδηκα τῶν Γραφῶν οἱ ἑλληνισταί, διάφορον τῶν ἑβραϊστῶν!). Ὅθεν τάχα καὶ οἱ ἀρχαῖοι χριστιανοί, τῆς Ἑβραίων γλώσσης οὐχ ἅλις εἰδήμονες ὄντες» (ὡς ἂν εἴπερ οὐκ ἦσαν καὶ Ἑβραῖοι ἐξ Ἑβραίων

πάμπολλοι τῶν πρώτων χριστιανῶν) «ἐνόμισαν καὶ ταῦτα κανονικὰ, ὡς συμπεριεχόμενα μετὰ τῶν κανονικῶν ἐνῷ ἐχρῶντο κώδηκι τῶν Ο». (α). Πλὴν ἀλλ' ὅμως συνεῖδον κἂν οὗτοι καὶ ὡμολόγησαν, ὅτι τὰ Ἀπόκρυφα ταῦτα ὑπῆρχον καὶ πρὸ Χριστοῦ παρὰ τοῖς Ἑλληνισταῖς ἐν τῷ κώδηκι τῶν Ο τεταγμένα. Ἀλλὰ καὶ αὐτὸς ὁ ματαιόσχολος πολέμιος τῆς τῶν Γραφῶν θεοπνευστίας Σεμίλερος, καίτοι ἐπὶ δολερῷ σκοπῷ, ἀλλ' ὅμως ὑπέμνησε περὶ ταύτης γοῦν τῆς ἀληθείας τὸν ἐν ἄλλοις ἰσχυρῶς αὐτὸν καταῤῥάσσοντα Σχιμίδιον. Ὁ δ' οὐδὲν ἀπήντησε γενναῖον (ποῦ γὰρ ἂν εὗρεν;), ἀλλὰ τί φησίν; «Ἐλεῶ τὸν Σεμίλερον τοιούτοις οὐκ ἐπιχειρήμασιν, ἀλλ' ὀνόμασι (τοῦ Σιμωνίου καὶ Μοσχεμίου) σπουδάσαντα τὴν ἑαυτοῦ γνώμην ἐμπεδῶσαι. Εἴθε (προστίθησιν) οἱ παλαιοὶ συγγραφεῖς προσετίθουν ταῦτα πρὸς τοῖς κανονικοῖς»! (σελ. 131). Ἀλλὰ καὶ χωρὶς τῆς οὕτως ἐλεήμονος εὐχῆς, ὑπῆρχον τὰ βιβλία ἐν τῷ κώδηκι καὶ τῶν Ο, καὶ τῷ ἑβραϊκῷ πρὸ Χριςοῦ τεταγμένα.

ς) Ὡμολόγησε διαπρυσίως, ὅτι ἡ Ἀλεξανδρινὴ (τῶν Ο) μετάφρασις γέγονεν ἐξ *ὁλοκλήρου* καὶ ἀκεραίου κώδηκος τῆς ἑβραϊκῆς Γραφῆς, ὃν ὁ Ἐλεάζαρος ἀπέστειλε πρὸς τὸν Πτολεμαῖον· καὶ ὅτι ταύτην τὴν ἑρμηνείαν οἱ οἰκιακοὶ (domestici, τουτέςιν οἱ Ἰουδαῖοι) συγγραφεῖς θεῖον τῷ ὄντι ἔργον ἐφρόνουν, συνεργείᾳ τοῦ ἁγίου Πνεύματος διαπερανθὲν (σελ. 127, 231). «Ἐν ταύτῃ γοῦν (φησὶ) τῇ μεταφράσει ἔλειπον τὰ ἀπόκρυφα». Ἀλλὰ περὶ τούτου μὲν προείπομεν (σελ. 164)· ὁ δὲ σοφὸς ἀνὴρ προσέθηκε πρὸς τούτοις, καὶ ὅτι «τῆς Καινῆς Διαθήκης οἱ θεόπνευστοι συγγραφεῖς ταύτην τὴν ἑρμηνείαν ἐκράτησαν, *πανταχοῦ* σχεδὸν ἐκφέροντες ἐξ αὐτῆς τὰς ῥήσεις τῶν προφητῶν»· «αὕτη γάρ (φησι) *παρὰ τοῖς Ἰουδαίοις* καὶ μάλιστα τοῖς ἔξω Παλαιστινοῖς» (τί, δ' οὐχὶ καὶ τοῖς ἐντὸς

(α) « Dudum compertum est, Iudæos extra Palaestinam viventes hos libros addidisse versioni LXX interpretum: Antiquos Christianos hebraei sermonis non satis fuisse peritos. Hi autem ut viderent Apocryphos adjectos Canoni Græco, quo utebantur, putabant esse illos canonicos libros ». Moschem. Dogmatica, de Sript. Sancta §. 3.

μάλιστα;) «μετὰ τῆς αὐτῆς εὐλαβείας ἀνεγινώσκετο καὶ ἐσεβάζετο, μεθ᾽ ὅσης καὶ αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκόν » (σελ. 6). Καὶ ὅμως (τίς ἂν ἐπίστευσεν;) αὐτὸς οὗτος ὁ Σχιμίδιος ἀπωτέρω προβὰς (σελ. 246), κατεδίκασεν ἐκπεφασμένως τὴν ἑρμηνείαν «ὡς οὐκ ἐκ τοῦ γνησίου ἑβραϊκοῦ, ἀλλ᾽ ἐκ τοῦ διεφθαρμένου Σαμαρειτικοῦ γεγενημένην, ἢ *καὶ ὑπ᾽ αὐτῶν ἐκείνων τῶν ἑρμηνευτῶν* (τῶν Ο) τὸ πρῶτον διαφθαρεῖσαν ». Ἀλλ᾽ ἡμεῖς παρατρέχοντες καὶ τὰς ἀντιφάσεις, καὶ πάντας τοὺς ἄλλους τοῦ κακοπλάστου τούτου ψεύδους ἐλέγχους, ἐκεῖνο μόνον ἐρωτῶμεν τὸν σοφὸν Σχιμίδιον. Λόγον Θεοῦ γνήσιον καὶ ἄχραντον ὁμολογεῖ (καὶ λίαν ὀρθῶς) πάσας τὰς κανονικὰς Γραφὰς, τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης. Ἀλλ᾽ εἴπερ ἐκ τοιαύτης κατ᾽ αὐτὸν παρακεχαραγμένης ἑρμηνείας (τῶν Ο) παρήγαγον οἱ Ἀπόστολοι τοσαῦτα χωρία καὶ μαρτυρίας προφητικὰς, πῶς ἂν μένοι λοιπὸν ἡ Καινὴ Διαθήκη ἄχραντος καὶ ἀληθὴς λόγος Θεοῦ, οὕτω συνεχῶς μετὰ ῥητῶν, ἐξ ἑρμηνείας πλημμελοῦς πλημμελῶν πάντως καὶ αὐτῶν, συμπεφυρμένη; Ἢ οὐκ ἀπεφήνατο συνετῶς καὶ δικαίως οὗτος αὐτὸς ὁ σοφὸς ἀνὴρ, ἀντιλέγων πρὸς Σεμίλερον, ὅτι, «εἴπερ ὁ κώδηξ τῶν Γραφῶν ἀληθῶς ἐστι τοῦ Θεοῦ, *ὅλος* λοιπὸν θεῖος νομιστέος καὶ πιστευτέος ἐστί; » (σελ. 89). Καὶ πάλιν, εἴπερ οἱ Ἰουδαῖοι ἠπίσταντο τὴν ἑρμηνείαν οὐκ ἀπὸ τοῦ παρ᾽ αὐτοῖς γνησίου κώδηκος, ἀλλ᾽ ἐκ τοῦ διεφθορότος κειμένου τῶν ἐχθίστων Σαμαρειτῶν μεθερμηνευθεῖσαν, πῶς λοιπὸν αὐτὴν ἐτίμων καὶ ἐσέβοντο ὡς ἰσοστάσιον καὶ ἰσοδύναμον τῷ πρωτοτύπῳ ἑβραϊκῷ; ἢ μήπως τοὺς ἀρχαίους ἐκείνους Ἰσραηλίτας ἐλάνθανεν ὅ,τι κατενόησαν μετὰ πολλοὺς αἰῶνας ὕστερον οἱ περὶ τὸν Σχιμίδιον καὶ τὸν Ἀσσεκάμπην; (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 596)· ἢ μήπως ὁ κώδηξ ὁ Σαμαρείτης περιεῖχεν ἄλλο τι πλέον τῆς Πεντατεύχου; Ἡ δὲ τῶν λοιπῶν προφητικῶν Γραφῶν ἑλληνὶς ἑρμηνεία ἐκ ποίας Σαμαρείας ἀνεβλάστησεν; Ἀλλ᾽ ἀφίσταμαι.

ζ) Παράγει τοὺς (ὡς λέγει) *συνετωτέρους* Πατέρας ὡς μηδέποτ᾽ ἀποδεξαμένους τὰς ἀποκρύφους βίβλους ὡς θείας· ἐν δὲ

τούτοις καταλέγει καὶ τὸν Ὠριγένην, καὶ τὸν Μ. Ἀθανάσιον, καὶ ἄλλους, καὶ αὐτὸν τὸν κατ' αὐτὴν σχεδὸν ἀρχομένην *τὴν φρικτὴν σκοτίαν τῆς*, ἧς λέγει, *βαρβαρότητος* γενόμενον Ἐπιφάνιον. Ἀλλ' οὗτοι πάντες τὰς τοῦ Ἱερεμίου καὶ τὰς τοῦ Δανιὴλ περικοπὰς (ἃς αὐτὸς συντάττει μεθ' ὧν λέγει Ἀποκρύφων), ἀνεκήρυξαν γνήσια καὶ θεόπνευστα μέρη τῶν κανονικῶν Γραφῶν.– Ψέγει πικρῶς καὶ οὐχ ἅπαξ «τὴν *αἰσχρὰν περὶ τὴν ἑβραΐδα γλῶσσαν* ἀμάθειαν τῶν κατ' αὐτὸν *ἀγροικοτέρων Πατέρων* τῆς Ἐκκλησίας» (καὶ τί γ' ἂν εὗρεν ἀγροικότερον παρὰ γνησίους *ἁλιέων* διαδόχους καὶ μαθητάς;), ὡς πολλάκις χρησαμένων μαρτυρίαις ἐκ τῶν Ἀποκρύφων, ὡς ἂν ἀπὸ βίβλων κανονικῶν. Ἀλλ' αὐτὸς ὡμολόγησεν, ὅτι καὶ πολὺ πρότερον, ἔτι καὶ κατὰ τὸν Β αἰῶνα καὶ ἐφεξῆς, τῶν τινες *χριστιανῶν συγγραφέων* (ἐν οἷς καὶ Κλήμης ὁ Ῥώμης, καὶ ὁ Ἀλεξανδρεὺς, ὃν καὶ ψέγει μάλιστα διὰ τοῦτο [σελ. 197], καὶ Εἰρηναῖος, καὶ Ὠριγένης, καὶ Βασίλειος ὁ μέγας, καὶ ἄλλοι, καὶ τέλος, ὁ Χρυσόστομος, καὶ Αὐγουστῖνος), ἐχρήσαντο πάντως μαρτυρίαις τοιαύταις· ἦσαν λοιπὸν *ἀγροῖκοι* κἀκεῖνοι, καὶ παχύδερμοι, καὶ τῆς κανονικῆς καὶ γνησίας τοῦ ἱεροῦ κώδηκος διατάξεως ἀμαθεῖς;– Λύει ὡς ἐκ τρίποδος τὴν ἀπορίαν, πόθεν ἄρα προῆλθεν ἡ μεταξὺ τῶν Πατέρων διαφορὰ περὶ τὴν ἀπαρίθμησιν τῶν βιβλίων τῆς Παλαιᾶς Γραφῆς, τῶν μὲν μόνας τὰς κανονικὰς, τῶν δὲ καὶ τὰς κατ' αὐτὸν Ἀποκρύφους συναριθμούντων· καὶ φοιβάζει λόγον, *οὔτι παλινάγρετον, οὐδ' ἀπατηλὸν!*, τὸν ἑξῆς· «Ἐπειδὴ (φησι) τὰ Ἀπόκρυφα πρῶτον ἐτάχθησαν ὡς εἰσαγωγικὰ τῶν κατηχουμένων, οἱ δὲ τῶν διδασκάλων τῆς Ἐκκλησίας ἐπισημότατοι ἐχρῶντο κἀκ τούτων μαρτυρίαις, ὡραΐζοντες τὸν λόγον»– (τί λέγεις ὦ 'γαθέ; οὕτως ἀμαθεῖς τῆς ἀναγνώσεως τῶν θείων Πατέρων ἐνόμισας πάντας τοῦ σοφοῦ σου συντάγματος τοὺς ἀναγνώστας, ὥστε μηδόλως τούτους εἰδέναι, πότε, καὶ ποῦ, καὶ τίνος χάριν ἐχρῶντο ταῖς τοιαύταις μαρτυρίαις ἐκεῖνοι;),– «ἐκ δὲ τούτου (λέγει) καὶ πολλαί τινες Ἐκκλησίαι νόμοις δημοσίοις καθιέρωσαν εἰς χρῆσιν ἱερὰν καὶ τὰ Ἀπόκρυφα συνάμα μετὰ τῶν κανονικῶν· ἐντεῦθεν καὶ οἱ

μᾶλλον ἀφυλακτότεροι καὶ ἀγροικότεροι πρόεδροι τῶν Ἐκκλησιῶν (ὡς ἡ ἐν Καρθαγένῃ Σύνοδος, καὶ ὁ Κασσιόδωρος κτλ.) παρασυρέντες ὑπὸ τοῦ παραδείγματος τῶν προγόνων, εἰς τοσαύτην κατήντησαν *πλάνην*, ὥστε καὶ τὰς ἀποκρύφους βίβλους ἐτίμησαν ἐπίσης τοῖς θεοπνεύστοις» (σελ. 183). Ἀλλ' ὅτι μὲν ἡ λύσις αὕτη παρομοιάζει *κακεμφάτοις Λοξίου χρησμοῖς*, πρόδηλον. Ἢ τί ἔπταισαν οἱ *ἀγροῖκοι* Πατέρες ἐκεῖνοι, πλανηθέντες ἐκ τοῦ παραδείγματος *τῶν πολλῶν Ἐκκλησιῶν*; Πῶς δὲ πάλιν ὅλαι καὶ πολλαὶ Ἐκκλησίαι παρεσύροντο ὑπὸ τῆς συνηθείας τῶν ἐν ταῖς Ὁμιλίαις, μόνον *πρὸς ὡραϊσμὸν καὶ κόσμον* ῥητορείας, χρωμένων τοῖς Ἀποκρύφοις *ἐνδόξων διδασκάλων* τῆς εὐσεβείας; Διὰ τί δὲ καὶ οἱ πρώτως τάξαντες τὰς Ἀποκρύφους πρὸς ἀνάγνωσιν τῶν κατηχουμένων καὶ τῶν νεωτέρων τὴν ἡλικίαν, εἰσήγαγον ἀναγνώσματα κίβδηλα καὶ σκότια, καὶ ταῦτα προτελεστικὰ τῶν φωτιζομένων; ἢ ποίαν χρείαν τούτων εἶχον τὸ σύνολον; μὴ γὰρ οὐκ ἠδύναντο καὶ ἐξ αὐτῶν τῶν Κανονικῶν ἀπανθίσαι προχείρως ὅσα φέρειν ἴσχυον οἱ γάλακτος ἔτι χρῄζοντες; ἢ μή πως οὐκ ἐχρῶντο καὶ ἐν ταῖς κατηχήσεσιν ἀναλόγοις ῥήσεσι τῶν θεοπνεύστων Γραφῶν; (Ἴδε τοῦ Κυρίλλου καὶ Χρυσοσόμου τὰς Κατηχήσεις). Εἰ δὲ καὶ τοὺς ἑβραϊστὰς καὶ τοὺς ἑλληνιστὰς Ἰουδαίους οἱ Πατέρες ἐμιμήθησαν [ὡς εἶπεν ἀλλαχοῦ], τοὺς δῆθεν διαπλάττοντας τὸ ἦθος τῶν υἱῶν αὐτῶν διὰ τούτων δὴ τῶν Ἀποκρύφων, μήπως κἀκεῖνοι τοῖς βιβλίοις τούτοις ἐχρῶντο ὡς Αἰσωπείοις βεβήλοις μύθοις, ψυχαγωγοῦντες τὰ ἴδια τέκνα, καθάπερ αἱ θηλάστριαι, ὅταν καταβαυκαλίζωσι τὰ παιδία; Πάντα ταῦτα καὶ ἄλλα τοιαῦτα σφιγγοχρήστου δυσλυτότερα γρίφου παρέλιπεν ἡμῖν ὁ λύτης τῆς ἀπορίας. Ἀλλ' ἡμεῖς ἀποροῦμεν, πῶς οὕτω ταχέως ἐξεῤῥύησαν ἐκ τῆς μνήμης τοῦ πολυμαθοῦς ἀνδρὸς ὅσα λογικώτερον, τοῖς ἀρχαίοις πειθόμενος, αὐτὸς οὗτος ἔκρινε, περὶ τῆς καὶ εἰς αὐτῶν τῶν τῆς Καινῆς Διαθήκης κανονικῶν βιβλίων τὴν ἀπαρίθμησιν ἐμφαινομένης μεταξὺ τῶν Πατέρων διαφορᾶς. Τί δὲ λέγει περὶ τούτων; ἄκουε, πόσον ὀρθῶς· «Ὑπάρχει πάντως μεταξὺ τῶν ἐκκλησια-

στικῶν συγγραφέων πολλὴ (περὶ τῶν κανονικῶν βιβλίων) διαφορά· ἀλλὰ πρὸ πάντων, οἶμαι, θεωρητέον ποία τις αὕτη, καὶ πόθεν; Οὐκ αὐθάδης, οὐδὲ παράτολμος ἦν· οὐκ αὐτογνώμων, καὶ οὐκ ἀτέραμνος, ἢ αὐθέκαστος, οἵαν αὐτὴν ἐθέλουσιν οἱ τοῦ καθ' ἡμᾶς αἰῶνος κριτικοί. Λιπαρᾶς οὖν ἄγαν καὶ οὐ δρομαίας καὶ τροχαζούσης ἀναγνώσεως καὶ διακρίσεως τῶν ἐκκλησιαστικῶν συγγραφέων ἔχομεν χρείαν, ὅπως ἂν συλλάβωμεν ἔννοιαν ἀληθινὴν, ποία τις ἦν ἡ γνώμη τῶν ἀρχαίων ἐκείνων Πατέρων περὶ τῆς τῶν ἱερῶν βιβλίων ἀποδοχῆς. Πάντῃ δὲ νῆστις καὶ δύστηνός ἐστιν ἡ κρίσις ἐκείνη, ἥτις συναρπάζουσα πάντα (ὡς ἂν εἴπερ ἦσαν ὅλα ταὐτογενῆ καὶ ὁμοφυῆ), συγκάμπτει καὶ διαστρέφει πρὸς τὰ ἴδια φαντάσματα, καὶ τὰς τοῦ νοὸς αὐτῆς εἰκασίας, παραμελοῦσα τῆς ἐλλόγου τοῦ συγγραφέως βουλῆς, καὶ τῆς κατὰ καιροὺς ἐν τοῖς ἐκκλησιαστικοῖς κανόσιν ἐμφαινομένης διαφορᾶς. Οὐ γὰρ οὕτως εὔκολοι καὶ ταχυπειθεῖς ἦσαν αἱ ἀρχαῖαι Ἐκκλησίαι πρὸς ὑποδοχὴν παντός τινος, ὡς ἔτυχεν, ἐμφανιζομένου βιβλίου ἐπ' ὀνόματι προφήτου τινὸς, ἢ ἀποστόλου (καὶ μάλιστα πλημμυρούντων κατὰ τοὺς πρώτους αἰῶνας τῆς Ἐκκλησίας τοσούτων ψευδεπιγράφων βιβλιαρίων, καὶ πολλῶν ἀνθρώπων αἱρετικῶν ἐπιβαλλομένων καὶ αὐτὰ τὰ ὁμολογουμένως γνήσια διαφθείρειν). Ὅθεν ἐπεῖχον πολλάκις πρὸς δημοσίαν ἐπικύρωσιν καί τινων ἄλλων ἰδίᾳ παρ' αὐτοῖς γνησίων πρεσβευομένων βιβλίων (ὧν ταῖς μαρτυρίαις ἐχρῶντο πρὸς ἐνίσχυσιν τῆς ἑαυτῶν κακοδοξίας οἱ αἱρετικοί). Τινὰ δὲ τῶν βιβλίων τούτων οὐκ ὠνομάσθησαν, ὡς μήπω κατὰ τὴν ἔκδοσιν τοῦ κανόνος ἐκείνου δεδημοσιευμένα» (ὡς ἡ Ἀποκάλυψις τοῦ Ἰωάννου ἐν τῷ κανόνι τῷ Ἀποστολικῷ), «καὶ ἄλλα, δι' ἄλλους λόγους εὐλόγους· ἕως οὗ, τέλος, ἀραρότως καὶ παγίως ἐξέδωκεν ἡ καθόλου Ἐκκλησία τὸν εἰς αἰῶνας ἀναλλοίωτον κανόνα τῶν θεοπνεύστων Γραφῶν» (σελ. 59, 60, 16, 25, 282 κτλ.). Οὕτως ὁ σοφὸς Σχιμίδιος ὤφειλεν ἐπιλύσασθαι καὶ τὰς περὶ τὴν ἀπαρίθμησιν τῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης ἐμφαινομένας παρά τισι τῶν Πατέρων διαφοράς. Ἀλλ' αὐτὸς διελὼν τοὺς διδα-

σκάλους τῆς Ἐκκλησίας εἰς συνετωτέρους, καὶ ἀγροικοτέρους, καθήψατο τῆς ἐκκλησιαστικῆς τῶν κανονικῶν βιβλίων διατάξεως οὐχ' ἧττον, ἢ ὁ, πρὸς ὃν μάχεται γενναίως ὑπὲρ τοῦ Κανόνος τῶν θεοπνεύστων Γραφῶν, *ἀθεόπνευστος* Σεμίλερος· ἀντιπεριπίπτει δὲ πολλάκις καὶ πρὸς ἑαυτόν. Αὐτίκα τὸν περὶ τῶν θείων βιβλίων κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου καὶ τῆς ς, Οἰκουμενικῆς ἀθετῶν μονονοὺ καὶ παραγράφων, ὡς ἔργον δηλαδὴ τῶν *ἀγροίκων καὶ πεπλανημένων ἐκείνων Ἐκκλησιῶν*, ἔπειτα τοῦτον αὐτὸν ἐπιφέρει πρὸς ἀπόδειξιν τοῦ Κανόνος τῶν θεοπνεύστων βιβλίων τῆς Καινῆς Διαθήκης (σελ. 416, 498, 500 κτλ.). Ὡσαύτως ἐπάγει καὶ πολλὰς μαρτυρίας ἰδίας τῶν κατ' αὐτὸν ἀμαθεστέρων Πατέρων τῆς Ἐκκλησίας (καὶ τοιαῦτα πάσχουσιν οἱ τῶν Πατέρων ἰταμοὶ καταφρονηταί!). Ὥστε, ἂν ἐξέλῃς ἐκ τῆς πολυμαθοῦς αὐτοῦ συγγραφῆς τὰς πατρικὰς καὶ συνοδικὰς ἀποδείξεις, καταλελείψεται τὸ βιβλίον ὡς *ὀπωροφυλάκιον ἐν σικυηλάτῳ*, συνεστηκὸς τὸ πλεῖστον ἐκ Ῥαββινικῶν καὶ Ταλμουδικῶν καὶ Καββαλιστικῶν καὶ Καῤῥαϊκῶν μαρτυριῶν, καὶ ἐκ τῆς Μασοραίας αὐθεντίας τοῦ ἑβραίου κώδηκος.

η) Ὅσον δὲ περὶ τοῦ *φρικτοῦ καὶ ψηλαφητοῦ τῆς βαρβαρότητος σκότους*, εἰς ὃ κατεβύθισε τὴν ἀείποτε « τὸν *ἥλιον περιβεβλημένην* » ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν, καθ' οὓς λέγει χρόνους τοῦ μεσαιῶνος, οὐκ ἐπαινοῦμεν τὸν Σχιμίδιον· ὅστις εὐστομεῖν παραγγέλλων τοῖς ἄλλοις (σελ. 29), ἔπειτ' αὐτὸς « *Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον* », ἀσχημόνως ἀχαριστῶν καὶ βακχεύων κατὰ τῆς ἱερᾶς ἀληθείας. Σχῆμα παίζειν ἔοικε *κλιμακωτὸν* (ἢ μᾶλλον σχοινοβατικὸν), μεταβαίνων ἀπὸ ψεύδους εἰς ψεῦδος, ἀναιδοῦς ἀναιδέστερον. Τὸν τόπον λέγει τοῦ ἑβραϊκοῦ κειμένου, ὅπερ ἐτηρεῖτο ὡς γράμμα νεκρὸν ἐν τῇ Ἐκκλησίᾳ (ὡς ἂν εἴπερ ἐπάτησε πώποτε τὸν ῥυδὸν τῆς Ἐκκλησίας τὸ μετὰ Χριστὸν Ἰουδαϊκὸν κείμενον), ἐπέσχεν ἡ θεία πεπιστευμένη ἑρμηνεία τῶν Ο (καθὸ δηλονότι καὶ αὕτη θυγάτηρ τῆς ἐπὶ τοῦ μεσαιῶνος παχυνθείσης βαρβαρότητος, ἐκτοπίσασα τὸν *μασοραῖον* κώδη-

κα, ὃν παρέδωκαν οἱ Ἀπόστολοι! ἢ πῶς ἄλλως λέγει;)· τὸν τόπον δὲ πάλιν τῆς ἑρμηνείας ταύτης, ἐπιλησθείσης ἤδη καὶ αὐτῆς, καὶ περιφρονηθείσης» (παπαὶ λήρων! ἢ μήπως οὐκ εἶδεν οὗτος τοσαῦτα εἰς τὰς Γραφὰς σχόλια, καὶ ἄλλας σῳζομένας Ὁμιλίας τῶν ἀπὸ τοῦ Ε, αἰῶνος καὶ ἐφεξῆς Πατέρων τῆς Ἐκκλησίας;), «τὸν τόπον (λέγει) τῆς κατὰ τοὺς Ο, Γραφῆς ἐπέσχον *παραδόσεις καὶ κανόνες*»...(καὶ τἄλλα τὰ ὑπερφίαλα τυφεδανῆς παρανοίας ῥητά! βλ. ὄπισθ. σελ. 172). Καὶ ὅμως αὐτὸς ὁ περίσοφος φαυλιστὴς ὡμολόγησεν, ὅτι διὰ τῶν Ἐκκλησιαστικῶν ὅρων καὶ *κανόνων* καθιερώθη *ὁλόκληρος ὁ κώδηξ* τῶν θείων Γραφῶν ἔτι ἀπὸ τοῦ τρίτου, καὶ πολλῷ μᾶλλον *ἀπὸ τοῦ τετάρτου καὶ πέμπτου αἰῶνος* (σελ. 26). Καὶ (σελ. 309) συμφωνεῖ μετὰ τοῦ ἱεροῦ Κλήμεντος, ὅτι «Οἱ τὴν ἀληθῆ τῆς μακαρίας σῴζοντες διδασκαλίας *παράδοσιν*, εὐθὺς ἀπὸ Πέτρου τε καὶ Ἰακώβου Ἰωάννου τε καὶ Παύλου τῶν ἁγίων Ἀποστόλων, παῖς παρὰ πατρὸς ἐκδεχόμενος,... ἧκον, σὺν Θεῷ καὶ εἰς ἡμᾶς, τὰ προγονικὰ ἐκεῖνα καὶ Ἀποσολικὰ καταθησόμενοι σπέρματα» (Στρωμ. σελ. 274). Τί λοιπὸν εἰς κέντρα λακτίζει, καταφρονῶν τῶν *παραδόσεων*, δι᾽ ὧν καὶ αὐτὸς ὁμολογεῖ ὅτι παρέλαβε τὰς ἁγίας Γραφάς; (α). Καὶ τελευταῖον, ὅδ᾽ αὐτὸς ὁ τοῦ ἱεροῦ Κανόνος τῶν Γραφῶν ἔκδικος καὶ ἱστορικὸς ἀνεκήρυξεν, ὅτι κατὰ τῶν ἀρχαίων πολεμίων τῶν θείων Γραφῶν ἀντέστη γενναίως ἥ τε τῶν *συνετωτέρων*» (λέγε ὦ 'γαθὲ καὶ *θεοφόρων*, καὶ οὐ ψευσθήσῃ) «διδασκάλων σοφία, καὶ *τὸ κῦρος*

(α) Ὁ Σχιμίδιος καυχᾶται (καλῶς ποιῶν), ὅτι ἡ Ῥωμάνα καὶ ἡ Προτεστάντις Ἐκκλησία ἔχουσιν ὅλα τὰ κανονικὰ βιβλία τῆς Καινῆς Διαθήκης (σελ. 29)· ἀλλ᾽ ὤφειλε προσθεῖναι, ὅτι καὶ αἱ λοιπαὶ τῶν ἄλλων τῶν ἑτεροδόξων χριστιανῶν Ἐκκλησίαι (Ἀρμενίων, Συριανῶν, Ἰακωβιτῶν κτλ.) ἔχουσι καὶ αὐταὶ τὰς Ἀποστολικὰς συγγραφὰς οὔτ᾽ ἐλάττονας, οὔτε πλείονας, ὧν παρέδωκε πάσαις ταῖς ὑπ᾽ οὐρανὸν Ἐκκλησίαις ἡ πρωτόγονος καὶ Ἀποστολικὴ μήτηρ αὐτῶν. Πόσον δ᾽ ἂν εὐλογώτερον ὁ ἀνὴρ ἐκαυχᾶτο καὶ τελειότερον, εἴπερ εἶχε καὶ ὅλα τὰ τεύχη τῆς Παλαιᾶς, ὅσα κατέχει μὴ μόνον ἡ Ῥωμάνα, ἀλλὰ καὶ ἡ Ὀρθόδοξος Ἐκκλησία καὶ πᾶσαι αἱ λοιπαί. Ὁ δὲ κλεινὸς Μοίληρ, ἐν τῇ κατ᾽ αὐτὸν πολυμαθεστάτῃ Συμβολικῇ (**Möhler, Symbolik etc. p. 379. Mainz, 1838**), ἀπαιτητικώτερος τοῦ δέοντος ἐφάνη, διατεινόμενος, ὅτι μόνη ἡ Ῥωμάνα Ἐκκλησία, ὡς ὥρισται ὑπὸ τοῦ Σωτῆρος, διεφύλαξε δι᾽ ὅλων τῶν αἰώνων τὰς ἁγίας Γραφάς.

τῶν ἐκκλησιαστικῶν κανόνων, ἢ Συνόδων καὶ τέλεον καθεῖλε καὶ κατέστρεψε τὰς βεβήλους δοξασίας *τῶν ἱεροσύλων ἐκείνων* (σελ. 10). Ταῦτα δὲ φρονῶν καὶ δογματίζων, ὤφειλε λοιπὸν πρὸ πάντων σεβάσασθαι τὴν ἀρχέγονον μητέρα πασῶν τῶν Ἐκκλησιῶν, «*ἐξ ἧς ἐξῆλθε νόμος καὶ λόγος Κυρίου*» (Ἡσ.). Αὕτη γὰρ πρώτη παρὰ τῶν Ἀποστόλων τὰς δύω τοῦ Θεοῦ Διαθήκας παραλαβοῦσα, καὶ ταύτας ἀχράντους καὶ γνησίας καὶ ἀκεραίους διατηρήσασα, τῇ τε Δυτικῇ παρέδωκεν Ἐκκλησίᾳ, καὶ παντὶ τῷ χριστεπωνύμῳ πληρώματι· καὶ δὴ καὶ διὰ πολλῶν αἰώνων πρὸς πολεμίους παντοδαποὺς λαπρῶς ὑπὲρ αὐτῶν καὶ τῆς ὑπ' αὐτῶν ἀποκαλυφθείσης ἀμωμήτου Πίστεως ἠγωνίσατο, διά τε τῶν θεοσυλλέκτων αὐτῆς Συνόδων καὶ τῶν ἐν αὐταῖς θεοπνεύστως καὶ συμφώνως ταῖς Ἀποστολικαῖς γραφαῖς καὶ παραδόσεσι θεσπισθέντων ὅρων καὶ κανόνων, διά τε τῆς ἀκηράτου διδασκαλίας τοσούτων φωστήρων τῆς εὐσεβείας, καὶ δι' αὐτῶν δὲ τῶν μαρτυρικῶν αὐτῆς αἱμάτων τό, τε κῦρος τῶν θεοπαραδότων λογίων καὶ τὸν ὅλον τῆς Ὀρθοδοξίας διάκοσμον ἐπισφραγίσασα καὶ κρατύνασα. Καὶ αὕτη μὲν ἡ ἱστορική, καὶ, *οἷος ἥλιος ἐν οὐρανῷ*, φωταυγεστάτη καὶ παμμάρτυρος ἀλήθεια οὐκ ἂν ἀφανισθείη *διὰ κριτικῶν κοσκυλματίων καὶ λήρων τοιούτων* (α). Ὁ δὲ σοφὸς ἱστορικὸς οὐδ' αὐτὸν γοῦν τὸν πατέρα τῆς εἰς τὴν προγονικὴν αὐτοῦ γλῶσσαν ἑρμηνείας τῶν θείων Γραφῶν ἐτίμησε, τὸν Οὐλφίλαν· ὅστις καὶ αὐτὸς, ὡς ἐκ προγόνων Καππαδόκης, παρὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας παραλαβὼν ἁπάσας τὰς θείας Γραφὰς (κατὰ τὸν κώδηκα δηλονότι τῆς Ἐκκλησίας, ὅστις περιεῖχε καὶ τὰ λεγόμενα *Ἀπόκρυφα*), μεθηρμήνευσε γοτθιστὶ, καὶ παρέδωκε τοῖς ἰδίοις ὁμογενέσι (β). Ταῦτα

(α) «**Criticis quisquiliis et talibus nugis historica veritas tolli nequit**» ἔλεγεν αὐτὸς ὁ Σχμίδιος πρὸς Σεμίλερον σελ. 191.

(β) «Ὁ τοίνυν Οὐλφίλας ὑπὸ Εὐσεβίου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων χειροτονεῖται (πρόσθ. ἐπίσκοπος) τῶν ἐν τῇ Γετικῇ χριστιανιζόντων· καὶ τά τε ἄλλα αὐτῶν ἐπεμελεῖτο, καὶ γραμμάτων αὐτοῖς οἰκείων εὑρέτης καταστὰς, μετέφρασεν εἰς τὴν αὐτῶν φωνὴν τὰς Γραφὰς ἁπάσας, πλήν γε δὴ τῶν Βασι-

ἔπραττεν ἡ Ἐκκλησία κατὰ τοὺς χρόνους τῆς βαρβαρότητος τῶν ἀγροίκων αὐτῆς διδασκάλων, οὓς μετὰ τοσαύτης ὑπεροψίας ὁ κριτικὸς ἐξαθερίζει, μηδὲν παρ' αὐτῶν ἀπονάμενος εἰς ἐπίγνωσιν τῆς ἀξίας τῶν κατ' αὐτὸν Ἀποκρύφων (α). Ἀλλὰ τί δεῖ

λειῶν, ἅτε τούτων μὲν πολέμου ἱςορίαν ἐχουσῶν, τοῦ δὲ ἔθνους ὄντος φιλοπολέμου, καὶ δεομένου μᾶλλον χαλινοῦ τῆς ἐπὶ τὰς μάχας ὁρμῆς» κτλ. (Φιλοστόργ. Ἐκκλ. ἱστορ. 6. 5. ἐν Script. Eccles. T. 2. σελ. 471). Καὶ ὁ Σωκράτης· «Τότε δὲ καὶ Οὐλφίλας ὁ τῶν Γότθων ἐπίσκοπος γράμματα ἐφεῦρε γοτθικὰ, καὶ τὰς θείας Γραφὰς εἰς τὴν τῶν Γότθων μεταβαλὼν, τοὺς βαρβάρους μανθάνειν τὰ θεῖα λόγια παρεσκεύασε» (Ἐκκλησ. ἱστορ. Δ. 33. πρβλ. Σωζόμ. Ϛ, 37, καὶ Θεοδώρητ. Ἐκκλ. ἱςορ. Δ. 37. καὶ παρ' αὐτῷ Σχιμιδ. σελ. 382).

(α) Πόσον Σχιμιδίου διέφερεν ὁ πολυμαθὴς καὶ πολυγράφος Δουπῖνος, ὅςις, καίτοι κριτικῆς δριμύτητος ἄγαν καὶ αὐτὸς ἀντιποιούμενος (διὸ καὶ βασανιστέος ἐν οὐκ ὀλίγοις καὶ παρ' αὐτοῖς αὐτοῦ τοῖς οἰκείοις κριθείς. βλ. Introduct. ad S. Scripturam etc. p. 252. Versalijs, 1820), ὅμως τὸ κῦρος τῶν Ἀναγινωσκομένων (ἢ Δευτεροκανονικῶν) ἀνεκήρυξε, καθομολογῶν, α) «Ὅτι ταῦτα τὰ βιβλία παρὰ τῶν Ἰουδαίων κατῆλθον καὶ εἰς ἡμᾶς» (διὰ τῶν Ἀποστόλων δηλαδή)· β) Ὅτι πάντες οἱ χριστιανοὶ γνήσια ταῦτα διεπρέσβευον καὶ ἀληθινὰ, μηδεμίαν ἐμπεριέχοντα πλάνην· γ) Ὅτι καὶ ἐσέβοντο ταῦτα ὡς ὠφέλιμα καὶ χρήσιμα πρὸς οἰκοδομὴν καὶ διδασκαλίαν, καὶ μάλιστα τῶν κατηχουμένων· δ) Ὅτι πολλοὶ καὶ ἀρχαιότατοι τῶν ἱερῶν Πατέρων μνημονεύουσι ταῦτα καὶ ὡς ἁγίας γραφάς. ε) Ὅτι ἡ Ἀφρικανὴ Ἐκκλησία σεβαστὰ καὶ ἅγια ταῦτα ἐφρόνει, καθὰ φαίνεται ἐκ τῶν συγγραμμάτων τοῦ ἁγίου Κυπριανοῦ» (πρόσθες καὶ ἡ Γαλλικανὴ, ὡς φαίνεται ἔκ τε τοῦ θείου Εἰρηναίου, καὶ πάλιν ὕστερον ἐκ τοῦ Γαλλικανοῦ Ἀναγνωστικοῦ, ὅπερ ἐξέδωκεν ὁ Mabillon). ς) «Ὅτι καὶ εἰς τὸν Κατάλογον τοῦ Ἐκκλησιαστικοῦ Κανόνος κατέγραψεν αὐτὰ ἡ ἐν Καρθαγένῃ Σύνοδος. ζ) Ὡσαύτως καὶ ἡ Ἐκκλησία τῆς Ῥώμης» (καθὸ δηλαδὴ καὶ αὗται, καὶ πᾶσαι, ὡς ἅγια παραλαβοῦσαι τὰ τεύχη παρὰ τῆς Ἀνατολικῆς μητρὸς τῶν Ἐκκλησιῶν) κτλ. βλ. Du-Pin, Diss. Prélimin. sur la Bible L. 1. ch. 1. §. 6. p. 18). Ἀλλὰ καὶ ὁ Λουθήρῳ συγχρονίσας Ἔρασμος ἐκεῖνος, ὁ πρῶτον μὲν προσμειδιάσας, εἶτα δὲ φρίξας πρὸς τὰς κατ' αὐτὸν ἐκκαιομένας ὁρμὰς εἰς ἀναμόρφωσιν τῆς Δυτικῆς Ἐκκλησίας, καὶ μάτην πειραθεὶς συγκαττύσαι τὴν τότε διαῤῥηγνυμένην ἕνωσιν τῶν μελῶν αὐτῆς, ἐν ᾧ περὶ τούτου συνέγραψε βιβλίῳ (De Sarcienda Ecclesiae concordia), ὁ σοφὸς Ἔρασμος, καταγράφων τὸν κατάλογον τῶν βιβλίων τῆς Γραφῆς, ὡμολόγησεν ὡς ἀποδεδεγμένα τῇ Ἐκκλησίᾳ καὶ τὰ Ἀναγινωσκόμενα (καὶ κατ' αὐτοὺς Δευτεροκανονικά). «Εἰ δὲ (προστίθησιν) ἀπεδέξατο ταῦτα ἡ Ἐκκλησία ὡς ἐπίσης κύρια, καθὰ καὶ τὰ λοιπὰ (τὰ Κανονικὰ), οἶδε τὸ πνεῦμα τῆς Ἐκκλησίας» (δηλονότι ἡ παρὰ πᾶσι τοῖς Δυτικοῖς πατράσι καὶ καταλόγοις ἀπαρίθμησις καὶ χρῆσις τῶν τευχῶν, ὡς ἁγίων γραφῶν)· βλ. Des. Erasmi, Explicat. in Symbol. Apostolor. etc. p. 167. Lugdun. 1641.

πλείω πρὸς Σχιμίδιον ἀπαντᾷν; Αὐτὸς οὗτος ἐν οἷς ἐπεχείρησε καθάψασθαι τῶν ἀχράντων, δεινῷ πάθει κρατηθείς, ἅλις ᾔσχυνε καὶ κατεῤῥύπωσε τὴν σοφὴν αὐτοῦ συγγραφήν, πολὺ τὸ ἔνστομον ὑγρὸν τῶν αὐτὸς αὐτοῦ σελίδων καταῤῥάνας ὑφ' ἧς ἐπόνει γλωσσαλγίας. Οὐδ' εἰλικρινῆ καὶ ἄμικτα κατέλιπεν, ὅσα φιλοπόνως ἔγραψε καλὰ καὶ ἀληθινὰ (ἐφ' οἷς καὶ πρῴην αὐτὸν ἐμνημονεύσαμεν ἐν τοῖς προλαβοῦσι, καὶ νῦν ἐπαινοῦμεν), ἀντιλέγων ἰσχυρῶς πρὸς τοὺς πρώτους ἀναφανέντας πολεμίους τῆς θεοπνευστίας καὶ τοῦ κύρους τῶν θείων Γραφῶν· λέγω δὲ τοὺς περὶ τὸν Οἴδερον καὶ Σεμίλερον, καὶ τοὺς ἄλλους τοὺς ματαιοσχόλους μὲν καὶ δειλαίους τυμβωρύχους τῆς σηπεδονώδους αἱρέσεως τῶν Μανιχαίων καὶ Γνωστικῶν, υἱοὺς δὲ ὅμως καὶ τούτους γενομένους τηλυγέτους καὶ γνησίους τῶν αὐτῶν τῷ Σχιμιδίῳ προγόνων ἐκείνων, οἵτινες (ὡς εἶπεν) ἐκαθάρισαν *τὸν κώδηκα τῶν θείων Γραφῶν ἀπὸ τῶν ἀνθρωπικῶν συγγραφιδίων*, καὶ οἷς *ὀφείλεται* (καθὼς λέγει) *τὸ βραβεῖον τῆς Ἐκκλησιαστικῆς Ἀναμορφώσεως*. Ἀλλ' εἴπερ ἔβλεπεν ὁ Σχιμίδιος καὶ τοὺς ἐφεξῆς γενομένους ὀπαδοὺς καὶ διαδόχους τῶν αὐτῷ συγχρόνων, καὶ πρώτων ἐκμανέντων τῆς *ὀρθολογιστίας* ὀργιαστῶν, ἴσως ἂν ἔλαττον ἐπεκόμπαζεν ἐφ' ᾗ περισαλπίζει καθάρσει τοῦ ἱεροῦ κώδηκος· καὶ μᾶλλον ἂν ἐσκυθρώπαζε, καὶ ἠγωνία, καθορῶν ἤδη προβαῖνον καὶ τραχηλιῶν ὅπερ καὶ αὐτὸς ἐφοβεῖτο κακόν (σελ. 14). Τῆς γὰρ περὶ τὰς παραδεδομένας θείας Γραφὰς ἀθεμίτου καινοτομίας ἅπαξ συγχωρηθείσης, ὅριον λοιπὸν οὐδὲν, οὐδὲ *τέρμα πεφασμένον κεῖται* τοῖς ἑκάστοτε κατεξανισταμένοις τῶν ἀχράντων καὶ θεοπαραδότων λογίων ἰταμοῖς *καθαρισταῖς*, ἢ καὶ αὐτονόμοις *ἐξηγηταῖς!* Καὶ ταῦτα μὲν ταύτῃ. Ἡμεῖς δὲ μετὰ μακρὰν παρεκβολήν, ὀψέποτε *τῶν ἀπὸ γῆς φωνούντων* ἀπαλλαγέντες, ἐπάνιμεν εἰς ἔκθεσιν πιστῶν μαρτυριῶν, ὅσαι βεβαιοῦσι τὸ θεῖον κῦρος τῶν, περὶ ὧν ὁ λόγος, πέντε παρ' ἡμῖν *Ἀναγινωσκομένων* ἢ *Ἐκκλησιαστικῶν* τευχῶν τῆς Παλαιᾶς θείας Γραφῆς.

ΤΩΒΙΤ.

§. κς. Τοῦ ἁγίου τούτου τεύχους συγγραφεὺς φαίνεται αὐτὸς ὁ θεοφιλέστατος Τωβίτ· προσέθηκε δὲ καὶ Τωβίας ἐν ὀλίγοις τὰ μετὰ τὸν θάνατον τοῦ πατρὸς (ὡς καὶ τὴν τελευτὴν τοῦ Τωβίου προσαπέδωκεν ἐν ὀλίγαις λέξεσιν ὁ τούτου πάλιν υἱός) (α). Ἐπλήρωσαν δ' ἀμφότεροι τὴν διαταγὴν τοῦ θείᾳ νεύσει παραστάντος αὐτοῖς καὶ συνοδεύσαντος Ἀγγέλου «*Γράψατέ* (φησι) *πάντα τὰ συντελεσθέντα ἐν βιβλίῳ*» (Τωβ. ιβ, 20: πρβλ. ιγ, 13: ιδ, 3). Προεφήτευσε δὲ ὁ Τωβὶτ καὶ τὸν *ἐγγίζοντα ὄλεθρον* τῆς Νινευΐ, ὃν ἐπεῖδεν ὁ Τωβίας, ἀναχωρήσας εἰς Ἐκβάτανα (Τωβ. ιδ, 8, 15). Ὅτι μὲν οὖν ἡ βίβλος ἐδημοσιεύθη παρ' Ἑβραίοις μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον, καὶ τὴν ἐπισφράγισιν τοῦ Ἐσδραίου κανόνος, προείπομεν, καὶ ὅτι παρ' αὐτοῖς μετὰ τῶν Ἁγιογράφῳν

(α) Περὶ τοῦ συγγραφέως τῆς βίβλου διαφέρονται πρὸς ἀλλήλους οἱ νεώτεροι κριτικοὶ, πολλὰς κινοῦντες (ὡς εἰώθασι καὶ ἐν ἄλλοις) ἀμφιβολίας. Ὅστις ἔχει πρὸς ματαίαν δαπάνην περιττεύοντα καιρὸν, ἰδέτω τοὺς σκαριφισμοὺς τοῦ Βερθόλδου καὶ τοῦ Εἰχορνίου (ἐν ταῖς Εἰσαγωγαῖς αὐτῶν). Ἀπαντᾷ δὲ πρὸς τούτους ὁ Βέλτης (ὅστις ὅμως καὶ αὐτὸς, δι' ἄμετρον κριτικὴν περιέργειαν, ἐνέδωκεν, ὅτι ἀόριστός ἐστι καὶ ἄγνωστος ὁ τῆς βίβλου συγγραφεύς). Ἐκεῖνο δὲ σημειωτέον, ὅτι ἡ παλαιὰ λατινὶς τοῦ Τωβὶτ ἑρμηνεία (ἡ Ἰτάλα) διαφέρει ἔν τισι τοῦ ἑλληνικοῦ κειμένου, διὰ τὰς καὶ ἐν ἄλλοις τεύχεσι καὶ χωρίοις ταύτης τῆς λατινίδος των Γραφῶν ἑρμηνείας ἐξ ἀμελείας τῶν ἀντιγραφέων καὶ τόλμης τῶν διορθωτῶν συμβάσας διαφοράς. Διαφέρει δὲ πολὺ καὶ ἡ τοῦ Ἱερωνύμου λατινὶς ἐκ τοῦ χαλδαϊκοῦ μετάφρασις, συντομωτέρα οὖσα τοῦ ἑλληνικοῦ κειμένου. Καὶ τούτου προφανὴς ἡ αἰτία· τὸ γὰρ χαλδαϊκὸν ἐκεῖνο, ἐξ οὗ μετέφρασεν ὁ Ἱερώνυμος, ἀνάπηρον ἦν ἔν τισι καὶ κολοβόν. Πρόσθες, ὅτι καὶ τὴν ἑρμηνείαν τοῦ τεύχους ὁ Πατὴρ (ὡς αὐτὸς ὁμολογεῖ) διήνυσεν ἐν ἡ μ έ ρ ᾳ μ ι ᾷ ! καὶ ὅτι (καθὰ πάλιν αὐτὸς λεγει) καὶ τὸν Τωβὶτ καὶ τὴν Ἰουδεὶθ κατ' ἔννοιαν μᾶλλον (ὅσον ἐνόει), ἢ κατὰ λέξιν ἐξελατίνισε (**Praefat. in Judith**). Ὁ δὲ Τιρῖνος (**Tirin. Commentar. in Vet. et Nov. Test. vol. I. p. 177. Lugd.** 1727) θεραπεύων τὴν πρὸς τὸ ἑλληνικὸν διαφορὰν τοῦ λατινικοῦ κειμένου τοῦ Τωβὶτ, ἔπλασεν ἀπιθάνως, ὅτι δὶς ἐξέδωκε τὴν ἱστορίαν ὁ Τωβὶτ, τὴν μὲν ἐπιτομωτέραν (ὡς ἔστιν ἐν τῇ Βουλγάτᾳ), τὴν δὲ μᾶλλον ἐκτεταμένην (ὡς ἐστὶν ἐν τῷ ἑλληνικῷ). Οὐδ' ὁ Σεράριος ἐχειροκροτήθη, μαντεύσας, ὅτι πρῶτον μὲν χαλδαϊστὶ συνέγραψαν ὁ Τωβὶτ καὶ ὁ Τωβίας, εἶτα δὲ κατὰ μέρος ἑκάτερος χωρὶς, ἑβραϊστὶ καὶ ἐκτενέστερον! ἐπὶ δὲ τούτοις δικαίως καὶ Βέλτης ἐμειδίασε (βλ. **Welte l. c. p. 75**). πρβλ. **Huet. Dem. Evang. vol. I. p. 297.**

συνηριθμεῖτο (κατὰ τὴν μαρτυρίαν τοῦ Ἱερωνύμου). Ὅθεν καὶ ὡς δέλτος ἱερὰ πολλοῖς πρὸ Χριστοῦ ἐνιαυτοῖς (καὶ ὑπ' αὐτῶν ἴσως τῶν Ο. βλ. ὄπισθ. σελ. 165) μετεφράσθη. Μαρτυροῦσι περὶ τούτου

α) ἡ Σοφία τοῦ Σειρὰχ, ἐφ' οὗ τὸ βιβλίον ὑπῆρχεν ἐξελληνισμένον, ὡς φαίνεται ἐκ τῆς ἑξῆς ῥήσεως. Ἔγραψεν ὁ Τωβὶτ, «*Θέμα ἀγαθὸν θησαυρίζεις σεαυτῷ* (τὴν ἐλεημοσύνην) εἰς ἡμέραν ἀνάγκης. διότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται, καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος» (Τωβὶτ δ, 9, 10). Ἀντέγραψε συντομώτερον καὶ ὁ Σειρὰχ· «*Σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου, καὶ αὕτη* ἐξελεῖταί σε ἐκ πάσης κακώσεως» (Σ. Σειρ. κθ, 12).

β) Καὶ Φίλων ἀναφέρει ῥητὸν ἐκ τοῦ Τωβὶτ, ὃ λέγομεν εὐθύς.

γ) Ἐν τῇ Καινῇ Διαθήκῃ φαίνονταί τινες ἔννοιαι συναντῶσαι καὶ παρὰ τῷ Τωβὶτ· οἷον, λέγει ὁ Τωβὶτ, «*Καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς*» (δ, 15), τοῦτο δὲ περιέχεται κἂν τῇ καθολικῇ καὶ πληρεστάτῃ ἐντολῇ τοῦ Κυρίου. «*Ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται*» (Ματθ. ζ, 12; Λουκ. ς, 31). Ἐν δὲ ταῖς τῶν Ἀποστόλων Διαταγαῖς γέγραπται καὶ διακεκριμένως, καὶ μᾶλλον περιφραστικώτερον, αὐτὴ ἡ ῥῆσις τοῦ Τωβίτ· «*Ὃ σὺ μισεῖς ὑφ' ἑτέρου σοι γενέσθαι, σὺ ἄλλῳ οὐ ποιήσεις*» (Διαταγ. Α. α, καὶ Γ, ιε. καὶ Ζ, 2) (α). Ὅθεν καὶ Φίλων περι-

(α) Ταύτην τὴν ἐν ταῖς Διαταγαῖς διάφορον ἔκφρασιν τοῦ Τωβιτείου ῥητοῦ φέρει πρὸς ἀπόδειξιν ὁ κλεινὸς Βέλτης (l. c. p. 80), ὅτι τὸ καθ' ἡμᾶς ἑλληνικὸν κείμενον τοῦ Τωβὶτ ἔπαθε κατὰ τόπους μεταβολάς. Διὸ καὶ τὴν κατ' αὐτὸν Βουλγάταν ἑρμηνείαν προτιμᾷ τῆς ἑλληνικῆς, ὡς δῆθεν, εἰ καὶ μὴ κατὰ τόπους ἀκριβῆ, ἀλλ' ὅμως πλησιεστάτην πρὸς τὸ πρωτότυπον κείμενον τὸ χαλδαϊκόν. Ἐπισυνάπτει δὲ καὶ τὴν ἐν τῇ Βουλγάτᾳ ἀνωτέρω ῥῆσιν τοῦ Τωβὶτ συμφωνοῦσαν οὐ πρὸς τὸ κείμενον τὸ ἑλληνικὸν, ἀλλὰ μᾶλλον πρὸς τὴν ἐν ταῖς Διαταγαῖς (ὡς ἀκριβεστέραν). Ἔχει δὲ τὸ ῥητὸν ἐν τῇ Βουλγάτᾳ οὑτωσί» «**Quod ab altero oderis fieri tibi, vide ne tu aliquando alteri facies** (**Tob. iv. 16**). Ἀλλὰ πρὶν ἢ τοῦτο ψηφίσῃ ὁ κλεινὸς ἀνὴρ ὡς μᾶλλον τοῦ ἑλληνικοῦ συμφωνότερον πρὸς τὸ χαλδαϊκὸν κείμενον, ὤφειλε πάντως ἀποδεῖξαι πρότερον ἀναλλοίωτον μὲν καὶ ἄφθορον τὸ ἐπὶ Ἱερωνύμου χαλδαϊκὸν, ὀρθὴν δὲ καὶ αὐτὴν τὴν ἐκ τούτου μονοήμερον μετάφρασιν τοῦ Πατρός· καὶ πρὸς τούτοις, ὅτι τὸ ῥητὸν οὐχ αὐτὸς ὁ Πατὴρ παρέφρασε μᾶλλον κατ' ἔννοιαν,

ληπτικῶς διαλαμβάνων περὶ τῆς κατὰ *Μωσέα θεοσεβοῦς πολιτείας*, ἔγραψεν· «*Ἅ τις παθεῖν ἐχθαίρει, μὴ ποιεῖν αὐτόν*» (παρ' Εὐσεβίῳ Εὐαγγελ. Προπαρ. Η. 7, σελ. 211). Πάλιν ὁ προφητικὸς Τωβὶτ προορῶν ἐν πνεύματι τὴν μυστικὴν Σιὼν, τὴν θριαμβεύουσαν Ἐκκλησίαν, ἣν οἱ θεῖοι προφῆται διέγραψαν ὑπὸ τὸ σύμβολον τῆς Ἱερουσαλὴμ, ἔγραψεν (ὡς ἐν μέρει καὶ Ἡσαΐας, νδ, 11) «Ὅτι οἰκοδομηθήσεται, Ἱερουσαλὴμ, σαπφείρῳ καὶ σμαράγδῳ καὶ λίθῳ ἐντίμῳ τὰ τείχη σου, καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ· καὶ αἱ πλατεῖαι Ἱερουσαλὴμ ἐν βηρύλλῳ καὶ ἄνθρακι, καὶ λίθῳ ἐν Σουφὴρ ψηφολογηθήσονται, καὶ ἐροῦσι πᾶσαι αἱ ῥύμαι αὐτῆς ἀλληλούϊα» (ιγ, 16—18). Τοιαύτην καὶ ὁ θεῖος Ἰωάννης ἐν τῇ Ἀποκαλύψει τρανώτερον (καὶ πλησιέστερον πρὸς τὰ τοῦ Τωβὶτ) ἐζωγράφησε *τὴν ἁγίαν Ἱερουσαλὴμ, τὴν πόλιν τοῦ Θεοῦ*. «Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς ἴασπις, καὶ ἡ πόλις χρυσίον καθαρὸν, .. καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος, ἴασπις· ὁ δεύτερος, σάπφειρος· ὁ τρίτος, χαλκηδών· ὁ τέταρτος, σμάραγδος . . . ὁ ὄγδοος, βήρυλλος· . . καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν, ὡς ὕαλος διαφανής» (Ἀποκαλ. κα, 18—21). Καὶ οἱ Ἑπτὰ Ἄγγελοι τῆς Ἀποκαλύψεως (Η, 2—4) ἀναλογοῦσι πρὸς τοὺς Ἑπτὰ ἀγγέλους, «οἳ προσαναφέρουσι τὰς προσευχὰς τῶν ἁγίων» (Τωβ. ιβ, 15) (α).

ἢ κατὰ λέξιν ἑρμηνεύσας, ὡς ἐγράφη κατὰ περίφρασιν καὶ ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς. Τρὶς ἐν ταύταις ἡ ῥῆσις μνημονεύεται, κατὰ τρεῖς τρόπους περὶ τὴν λέξιν (οὐ περὶ τὸ νόημα) διαφέροντας· (Οὕτω καὶ ἐκ τῶν προφητικῶν βίβλων μαρτυρίας οἱ Ἀπόστολοι μνημονεύουσιν ἐνίοτε περί τινας λέξεις διαφερόντως, ὡς ὀψόμεθα ἐφεξῆς). Ἐν τῷ Α. α, τῶν Διαταγῶν γέγραπται ἡ ῥῆσις ὡς ἀνωτέρω, ἐν δὲ τῷ Γ, ιε, οὑτωσὶ «Ὅ μισεῖς σοι γενέσθαι, οὐδὲ ἄλλῳ σὺ ποιήσεις». Ἐν δὲ τῷ Ζ, 2: «Πᾶν ὃ μὴ θέλεις γενέσθαι σοι, καὶ σὺ τοῦτο ἄλλῳ οὐ ποιήσεις». Ἔρχεται καὶ ἡ ἀνωτέρω τοῦ Ἱερωνύμου μετάφρασις μᾶλλον παρατεταμένη· «Ὅ ἂν παρ' ἄλλου μισήσαις γενέσθαί σοι, ὅρα μή ποτε σὺ τοῦτο ἄλλῳ ποιήσῃς». Πρὸς τίνα τῶν ἐν ταῖς Διαταγαῖς ἀνωτέρω τριῶν τρόπων συνᾴδει κατὰ γράμμα καὶ συλλαβὴν ἀκριβῶς ἡ Ἱερωνύμειος ἔκφρασις τοῦ ῥητοῦ; καὶ κατὰ τίνα τῶν 4 τρόπων τούτων ὑπῆρχεν ἡ ῥῆσις ἐν τῷ χαλδαϊκῷ;

(α) Βλ. τὸν Ὑέτιον (Dem. Evan. T. 1. p. 198). Οἱ δὲ περὶ τὸν Εἰχόρνιον, καὶ

δ) Ὁ Τωβὶτ ἐμπεριέχεται ἐν πᾶσι τοῖς ἀρχαιοτάτοις σωζομένοις ἀντιγράφοις τοῦ κώδηκος τῶν Ο, συνάμα μετὰ τῶν κανονικῶν βιβλίων συντεταγμένος.

ε) Ὡσαύτως κἀν τῇ τελευτῶντος τοῦ α, αἰῶνος ἐκ τῶν Ο, μεθερμηνευθείσῃ λατινικῇ μεταφράσει, κἀν τῇ Συριακῇ κτλ. (βλ. ὄπισθ. σελ. 159).

ϛ) Ὡς θείας Γραφῆς ῥήσεις ἀναφέρουσι μαρτυρίας τοῦ Τωβὶτ οἱ τοῦ β, καὶ γ, καὶ δ, αἰῶνος Πατέρες τῆς Ἐκκλησίας· οἷον α) Ὁ Ἀποστολικὸς Πολύκαρπος (Ἐπις. §. 9). β) Ὁ θεῖος Εἰρηναῖος (κ. Αἱρέσ. α, 30). γ) Κλήμης ὁ Στρωματεὺς (β, 28: ϛ, 12). δ) Ὠριγένης (π. Ἀφρικαν.: κατὰ Κέλσ. ε, 19: περὶ Εὐχῆς §. 14). ε) Κυπριανὸς ὁ Ἱερομάρτυς, ὡς ῥήματα τῆς *θείας Γραφῆς* καὶ αὐτὸς ἐπάγων τὰς χρήσεις πολλαχοῦ (α). ϛ) Ὁ μέγας Ἀθανάσιος (Ἀπολογ. β). ζ) Κύριλλος ὁ Ἀλεξανδρείας (β). η) Ὁ ἱερὸς Ἀμβρόσιος (εἰς τὴν Ἑξαήμ. κεφ. δ, καὶ εἰς τὸν Τωβὶτ, κεφ. α, *προφητικὸν* τὸ βιβλίον ἀποκαλῶν)· θ) Ὁ ἱερὸς Αὐγουστῖνος (Χριςιαν. Διδασκ. Γ. κεφ. 18). θ) Ὁ ἱερὸς Ἱλάριος (ὑπομνήμ. εἰς ψαλμ. 129. καὶ προλόγ. εἰς ψαλμ.). ια) Ἐπισφραγίζουσι τὸ θεῖον κῦρος τοῦ Τωβὶτ ἡ ἐν Καρθαγένῃ, καὶ ἡ ϛ Οἰκουμενικὴ Σύνοδος, καὶ πᾶσα ἡ Ὀρθόδοξος Ἐκκλησία (ὄπισθ. σελ. 127).

Καὶ ἐν ἀρχαιοτάτῳ μνημείῳ, τμήματι ὑάλου, φαίνεται εἰκονισμένος ὁ Τωβὶτ μετὰ τοῦ ἀγγέλου, φέρων τὸν ἰχθὺν (γ). (Νομί-

---

πάντες οἱ τοῖς Ἀποκρύφοις πολεμοῦντες ἀμφιβάλλουσιν, εἴπερ ἐν τῇ Καινῇ Διαθήκῃ ῥήσεις τινὲς ἔχουσιν ἀναφορὰν πρὸς τὸν Τωβὶτ καὶ πρὸς ἄλλα τῶν Ἀναγινωσκομένων (περὶ ὧν ἐφεξῆς), ἀλλ' εἰ βούλονται καμμύειν πρὸς τὸ φῶς, ἀμφιβαλέτωσαν. Καὶ οἱ τὰς περὶ τῶν ἑπτὰ ἀγγέλων θεοφράστους διδασκαλίας εἰς Χαλδαϊκήν τινα, ἢ Ἀλεξανδρινὴν (οἵαν αὐτοὶ πλάττουσιν) ἀνάγοντες φιλοσοφίαν, καὶ μηδ' ἐξ αὐτῆς μηδεμίαν περὶ τῶν τοιούτων δεῖξιν ἔχοντες εἰπεῖν, φιλόψοφοι ἐγγαστρίμυθοι, χαιρέτωσαν. Βλ. Dähne, Gesch. Darstel. der jüdisch-Alexand. Philosoph. 2. Abth. p. 125.

(α) S. Cyprian. Testim. I. 26. III. 1, 6, 62. - De Orat. domin. §. 32. - De mortalit §. 10. - De oper. et Eleemos. §. 5. 20. edit. Goldhorn.

(β) Ὁμιλ. Ἑορταστικ. λόγ. ιθ. σελ. 222. λόγ. κβ. σελ. 276.

(γ) Buonarruoti. Osservat. sopra i vettri, antichi tav. a. fig. 1.

ζεται δὲ ἡ ὕαλος αὕτη τεμάχιον ποτηρίου χρησίμου εἰς τὴν τοῦ γάμου τελετὴν, διὰ τὴν εὐλάβειαν τῶν ἀρχαίων χριστιανῶν, οἵτινες ἐκ τῆς ἱερᾶς ἱστορίας ἐθεώρουν τὸν Τωβίαν ὡς σύμβολον εὐλογίας τοῦ γάμου). Καὶ ἄλλων δὲ τῆς ἀρχαιότητος μνημείων εἰκονιζόντων τὸν Τωβὶτ μνημονεύει ὁ Ἀῤῥίγγιος (α).

Ἀλλὰ καὶ ἡ Δυτικὴ Ἐκκλησία, καὶ μετὰ τὸ σχίσμα, ἐν τοῖς ἱεροῖς βιβλίοις τὸν Τωβὶτ συναριθμεῖ· κἀν τῇ κατ' αὐτὴν Τριδεντινῇ Συνόδῳ κανονικὸν καὶ θεῖον ἀνεκήρυξε τὸ τεῦχος· ὡς τοιοῦτο τιμῶσιν αὐτὸ καὶ πᾶσαι τῶν κατὰ τὴν Ἀσίαν ἑτεροδόξων ἐθνῶν χριστιανικαὶ Ἐκκλησίαι.

ΙΟΥΔΕΙΘ.

§. κζ. Ὅτι τὸ βιβλίον τῆς Ἰουδεὶθ ἐξελληνίσθη ἐκ τοῦ χαλδαϊκοῦ, ἢ τοῦ ἑβραϊκοῦ, ὑπάρχει πρᾶγμα βέβαιον (β). Ὡσαύτως καὶ ὅτι οἱ Ἰουδαῖοι συνηρίθμουν ἀνέκαθεν τὸ βιβλίον μετὰ τῶν παρ' αὐτοῖς Ἁγιογράφων, ὡς καὶ τὸ τοῦ Τωβὶτ, καθὼς ἐμαρτύρησεν ὁ Ἱερώνυμος (ὄπισθ. σελ. 124). Συγγραφέα δὲ τῆς βίβλου, οἱ μὲν θέλουσι τὸν ἐπὶ τοῦ Μανασσῆ ἀρχιερέα Ἐλιακείμ· οἱ δὲ, Ἰησοῦν τὸν Ἰωσεδέκ· τῆς δὲ διεῤῥωγυίας ἀναιδείας τῶν ὀλίγῳ π. Χ., ἢ καὶ μ. Χ. τιθέντων τὴν συγγραφὴν οὐδεὶς λόγος. Ἐπικυροῦσι δὲ τὸ θεῖον κῦρος τοῦ βιβλίου,

α) Οἱ Ἀπόστολοι· οἷον ὁ θεῖος Μάρκος, λέγων· «Παρασκευὴ, ὅ ἐςὶ *προσάββατον* (ιε, 42)· ἡ δὲ λέξις οὐδαμοῦ κεῖται τῶν ἄλλων βιβλίων τῆς Παλαιᾶς Γραφῆς, εἰ μὴ μόνον ἐν Ἰουδείθ· «Χωρὶς

(α) Arring. Rom. Subt. Tom. 1. L. 3. c. 22.

(β) Βλ. Berthold, Einleit. VI. 2564. - Gray, A Key to the Old Testam. p. 544. - Movers in der Bonner Zeitschrit etc. p. 43. - Welte l. c. p. 97. Σημειωτέον δὲ καὶ ὧδε, ὅτι ἡ τοῦ Ἱερωνύμου ἐκ τοῦ χαλδαϊκοῦ λατινὶς ἑρμηνεία τῆς Ἰουδεὶθ διαφέρει ἐν πολλοῖς τοῦ καθ' ἡμᾶς ἑλληνικοῦ, ἔχουσα πολλάκις ἄλλα ἀντ' ἄλλων, καὶ προσθήκας οὐκ ὀλίγας, ἐν αἷς καὶ (Ἰουδεὶθ η, 24) ὁλόκληρον ῥῆσιν ἐκ τῆς Α, Κορ' 2, 9. ἣν ἀγνοεῖ τὸ καθ' ἡμᾶς κείμενον τῆς Ἰουδείθ· συμφωνεῖ δὲ μετὰ τούτου ἡ παλαιὰ λατινὶς Ἰτάλα, πλὴν τινων μικρῶν καὶ ἀσημάντων διαφορῶν.

προσαββάτων ἐνήστευε» (η, 6. – Ἐντεῦθεν τὸ *προσάββατον* μετεγράφη καὶ εἰς τὴν ἐπιγραφὴν τοῦ ϙβ, ψαλμοῦ· κώδ. Βατικαν. ὅπου ὁ Ἀλεξανδρ. ἔχει *σάββατον*). Καὶ τὴν πρὸς τὴν Ἰουδεὶθ ὑπὸ τοῦ Ὀζίου τυπικῶς ῥηθεῖσαν εὐλογίαν ἐκείνην, «*Εὐλογημένη σὺ θυγάτηρ παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς*» (Ἰουδ. ιγ, 18) οὕτως ὑπερύψωσε τὸ Πνεῦμα τὸ ἅγιον, ὥστε βλέπομεν τὴν αὐτὴν καὶ ἐπὶ τῆς θεοπνεύστου καὶ πανενδόξου προσηγορίας, δι' ἧς ὅ,τε Γαβριὴλ, καὶ ἡ προφῆτις Ἐλισάβετ. ἐν τῷ πληρώματι τοῦ χρόνου ἠσπάσαντο τὴν *μόνην* καὶ μίαν *κυρίως* «*εὐλογημένην ἐν γυναιξὶ*», τὴν ἀειπάρθενον τοῦ Κυρίου Μητέρα (Λουκ. α, 28, 42).

β) Ὁ ΠΕ κανὼν τῶν Ἀποστόλων συγκαταλέγει μετὰ τῶν κανονικῶν βιβλίων καὶ τὴν Ἰουδείθ (βλ. ὄπισθ. σελ. 110).

γ) Καὶ ἐν ταῖς Διαταγαῖς τῶν Ἀποστόλων συναριθμεῖται μετὰ τῆς *Ὀλδᾶς* καὶ τῆς *Δεβόῤῥας* καὶ ἡ Ἰουδεὶθ, ὡς προφῆτις (Η, 6).

δ) Καὶ Κλήμης ὁ Ῥώμης, ὁ τῶν τε Κανόνων καὶ τῶν Διαταγῶν τῶν Ἀποστόλων ἐκδότης, μνημονεύει μετὰ τῆς Ἐσθὴρ «*τὴν διὰ τῆς χάριτος τοῦ Θεοῦ ἐνδυναμωθεῖσαν μακαρίαν Ἰουδεὶθ*»; καὶ τὴν πρᾶξιν αὐτῆς διαγράφων, χρῆται λέξεσι ληφθείσαις ἐκ τοῦ τεύχους τῆς Ἰουδεὶθ (Ἐπιστολ. Α. πρὸς Κορινθ. §. νε).

ε) Περιέχουσι τὸ τεῦχος πάντες οἱ κώδηκες τῶν Ο.

ϛ) Καὶ αἱ ἀρχαιόταται ἑρμηνεῖαι (ἡ Ἰτάλα, ἡ Σύρα, ἡ Αἰθιοπικὴ, κτλ.).

ζ) Μνημονύει τῆς Ἰουδεὶθ καὶ Κλήμης ὁ Στρωματεὺς (δ, 38). η) Ὁ Ὠριγένης (Ὁμιλ. ιθ, εἰς Ἱερεμ. καὶ π. Ἀφρικαν. καὶ π. Εὐχῆς §. 13). θ) Ὁ Τερτυλλιανὸς (π. Μονογαμίας κ. 17). ι) Ὁ Μ. Βασίλειος (περὶ τοῦ ἁγίου Πνεύματος κεφ. η, σελ. 161). ια) Ἰούλιος ὁ Ἀφρικανὸς, καὶ Εὐσέβιος (ἐν τοῖς χρονικοῖς). ιβ) Ἱλάριος (εἰς ψαλμ. 125). ιγ) Σουλπίκιος ὁ Σεβῆρος (ἱερ. ἱστορ. β, 14). ιδ) Ὁ ἱερὸς Αὐγουστῖνος (Χριστιαν. Διδασκαλ. Β. 8). ιε) Ὁ Ἱερώνυμος (ἐν χρονικ. α· καὶ ἀλλαχοῦ συγκαταλέγει καὶ τὴν Ἰουδεὶθ μετὰ τῆς Ῥοὺθ καὶ τῆς Ἐσθήρ. βλ. ὄπισθ. σελ. 125). ιϛ) Ὁ ἱερὸς Ἰσίδωρος ὁ Πηλουσιώτης (Ἐπιστολ. Α, 87. καὶ Ε, 363). ιζ) Καὶ ἡ Α, Οἰκου-

κενικὴ Σύνοδος συνηρίθμησε τὴν Ἰουδεὶθ μετὰ τῶν ἁγίων Γραφῶν; (ὡς ὁ Ἱερώνυμος μαρτυρεῖ) (α). ιη) Καὶ ἡ ἐν Καρθαγένῃ, καὶ ἡ ϛ, Οἰκουμενικὴ, καὶ πᾶσα ἡ καθολικὴ καὶ Ὀρθόδοξος Ἐκκλησία. βλ. καὶ ἐφεξῆς §. λε.

Ἀλλὰ καὶ ἡ Δυτικὴ, καὶ μετὰ τὸ σχίσμα, θείαν πρεσβεύει καὶ κανονικὴν τὴν βίβλον τῆς Ἰουδεὶθ, καὶ ἡ ἐν Τριδέντῳ Σύνοδος τοιαύτην ἀνεκήρυξε. Τοῦτ᾽ αὐτὸ φρονοῦσι καὶ ἡ τῶν Ἀρμενίων, καὶ ἄλλων Ἀσιανῶν ἐθνῶν ἑτερόδοξοι Ἐκκλησίαι, τὴν ἀρχαίαν τῶν κανονικῶν βιβλίων διάταξιν τῆς μητρὸς Ἐκκλησίας διαφυλάττουσαι.

ΣΟΦΙΑ ΣΟΛΟΜΩΝΤΟΣ.

§. κη. Γνήσιον τέκνον τῆς τοῦ Σολομῶντος θεοσοφίας καὶ ἡ *πανάρετός* ἐστι *Σοφία*, ἥτις τοσαύτας περιέχει προφητείας, εἰς τὸν θεάνθρωπον Κύριον καὶ Σωτῆρα Χριστὸν καὶ τὸν πιστὸν αὐτοῦ λαὸν ἀφορώσας, ὅσας οὐδὲν τῶν ἄλλων τῶν *Ἀναγινωσκομένων* τευχῶν· διὸ καὶ πολλὴ παρά τε τοῖς Ἀποστόλοις, παρά τε τοῖς ἱεροῖς Πατράσιν ἡ χρῆσις ταύτης τῆς θεοφάντορος συγγραφῆς. Ἔστι δὲ καὶ τὴν φράσιν ἑλληνίζουσα μᾶλλον τῶν ἄλλων ἁγίων βίβλων. Λείπει δὲ τὸ τεῦχος παρ᾽ Ἰουδαίοις· ὅθεν (ὡς εἶπε πρῶτος ὁ μακάριος Ἱερώνυμος) σοφοῖς τισι, θεωροῦσι τὸν ἑλλη-

(α) «**Hunc librum Synodus Nicaena in numero sanctarum Scripturarum legitur computasse**». **Hieron. praef. in L. Judith.** Πρὸς ταύτην τὴν Ἱερωνύμου μαρτυρίαν ἠπόρησαν εὐλόγως ἄλλοι τε, καὶ Δουπῖνος, διότι οὔτε ἐν τοῖς Κανόσι τῆς Α, Συνόδου μνημονεύεται ἡ Ἰουδεὶθ, οὔτε μὴν ὁ Μ. Ἀθανάσιος, ὅστις ἐν τῇ Α, Συνόδῳ παρῆν, ἀνέφερέ τι τοιοῦτο· ἀλλ᾽ οὐδ᾽ Ἐπιφάνιος, οὐδὲ Κύριλλος, οὐδ᾽ ἄλλος οὐδεὶς τῶν Πατέρων ἔγραψεν, ὅτι ἐξεδόθη ἐν τῇ Α, Συνόδῳ Κανὼν τῶν θείων Γραφῶν. Ὅθεν συμπεραίνει ὁ Δουπῖνος, ὅτι κατὰ φήμην παρ᾽ ἄλλου τινὸς ἀκούσας ἔγραψε τοῦτο ὁ Ἱερώνυμος (**Du-Pin, Nouv. Bibl. Dissert. Prel. p. 49, 50**). Ἀλλ᾽ ἠδίκησε τὸν Ἱερώνυμον ὁ Δουπῖνος, οὕτως ἀμαθῆ τῶν κατὰ τὴν Α, Σύνοδον μέχρι τέλους διατελέσαντα παραστήσας. Ὀρθότερα δὲ ἔκρινεν ὁ Μαρτιαναῖος, λέγων. « Διὰ τοῦτο ὁ Ἱερώνυμος εἶπεν, ὅτι τὸ βιβλίον τῆς Ἰουδεὶθ ἡ Α, ἐν Νικαίᾳ Σύνοδος συνηρίθμησε ταῖς ἁγίαις Γραφαῖς, διότι ἐκ τούτου τοῦ τεύχους ἐχρήσατο μαρτυρίαις ἐν τοῖς Πρακτικοῖς (ὧν ἡμῖν ὁ χρόνος ἐφθόνησε). βλ. **Martianaei not. in S. Hieron. prol. in Lib. Judith.** πρβλ. καὶ **Marchini, De Divinitat. etc. p. 158. - Niccolaj, Dissert. e Lezion. di S. Scrit. Tom. 12. p. 9.**

νικώτερον χαρακτῆρα τοῦ ὕφους, ὀσμή τις προσέβαλεν (redolet) ἑλληνιστοῦ συγγραφέως, ὃν καὶ Φίλωνα λέγουσι τὸν Ἰουδαῖον, τὸν Ἀλεξανδρέα φιλόσοφον, οὗ τὰ συγγράμματα περιῆλθον καὶ εἰς ἡμᾶς (α)· οἱ δέ τινες Φίλωνα τὸν πρεσβύτερον ἐξέλαβον τὸν Φίλωνα τοῦτον (β). Ἀλλ' ἐκεῖνοι μὲν οἱ ὀσφραντῆρες οὐκ εἶχον, ὡς ἔοικε, τοὺς μυκτῆρας ἅλις ἀπομεμυγμένους· πάντῃ γὰρ διαφέρει τοῦ κατὰ Φίλωνα λόγου ὁ τῆς Σοφίας λεκτικὸς χαρακτήρ· ἀντίκειται δὲ καὶ ὁ χρόνος· ὁ γὰρ Φίλων μακρῷ γέγονε νεώτερος τῶν χρησαμένων ταῖς ἐκ τῆς Σοφίας μαρτυρίαις. Εἰ δὲ καὶ παρ' Ἰουδαίοις οὐχ εὕρηται τὸ βιβλίον, οὐδ' ἐν τῷ Κανόνι τοῦ Ἔσδρα μετὰ τῶν ἄλλων τοῦ Σολομῶντος βιβλίων συνεστοιχείωτο, ἀλλ' ἐλάνθανε πάντως καὶ τοῦτο, κατ' ἐκείνους τοὺς δεινοὺς τῆς αἰχμαλωσίας χρόνους παραπεπτωκὸς (ὁποῖα καὶ πολλὰ τῶν ἀρχαίων προφητικῶν βιβλίων, ἐν αὐτοῖς τοῖς σῳζομένοις Κανονικοῖς μνημονευόμενα, τέλεον ἠφανίσθησαν ἐκπεσόντα) (γ). Ὅτι δὲ ὁ Σολομὼν ἔγραψεν ἄλλα τε πολλὰ, « καὶ *τρισχιλίας παραβολὰς*, καὶ *πεντακισχιλίας ᾠδὰς* », οἴδαμεν ἐξ αὐτῆς τῆς θείας Γραφῆς (Γ. Βασιλ. δ, 32, 33). Ἐκ τούτων ἦν πιθανώτατα καὶ ἡ Σοφία, μία καὶ αὐτὴ τῶν Στιχηρῶν τοῦ Σολομῶντος βίβλων, ἣν μετὰ τὸν Ἐσδραῖον Κανόνα ἐξευρεθεῖσαν οἵ τε Ἰουδαῖοι πάντως ἐτίμων, καὶ ταύτην μετὰ τοῦ Τωβὶτ καὶ τῆς Ἰουδεὶθ κατόπιν τῶν Κανονικῶν ἐξελλήνισάν τινες ἐκ τῶν Ο (βλ. ὄπισθ. σελ. 165). Φαίνεται δὲ τῶν ἄλλων εὐφραδέστερος ὁ τῆς Σοφίας ἑρμηνεὺς, ὅστις, οὕτω βουληθέντος τοῦ φωτίζοντος αὐτὸν θείου Πνεύματος τῆς σοφίας, ἐξελλήνισε τὸ τεῦχος περὶ τὴν φράσιν ἐλευθερώτερον, καί τοι καὶ ἑβραϊσμοῖς χρησάμενος οὐκ ὀλίγοις (ἐξ ὧν τὸ πρωτότυπον μαρτυρεῖται), καὶ αὐτὸν δὲ πολλαχοῦ τὸν ἐν τοῖς Κανονικοῖς χαρακτῆρα τοῦ λόγου τῶν

(α) Hieron. præf. in libr. Salomon.

(β) Calmet, Dissert. T. 1. p. 455.- De-Magistr. Apolog. p. 463.-Fabric. Bibl. Graec. T. 3. p. 728 Harl. Βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 132.

(γ) « Καὶ γὰρ πολλὰ διεφθάρη βιβλία, καὶ ὀλίγα διεσώθη, καὶ ἐπὶ τῆς προτέρας αἰχμαλωσίας· καὶ τοῦτο δῆλον ἐν ταῖς Παραλειπομέναις » Χρυσόστομ· ἑρμην. Α. Κορινθ. λόγ. ζ. σελ. 73 ἐκδ. Ὀξον.

ὁ διατηρήσας, ὡς ὀψόμεθα δι᾽ ὀλίγων (α). Καὶ μάτην ἄρα μοχθοῦσιν, ὅσοι τῶν νεωτέρων ἐπεχείρησαν ἀλλοτριῶσαι τὴν πανάρετον Σοφίαν ἀπὸ τοῦ θεοσόφου πατρὸς αὐτῆς, ἣν καὶ αὐτῶν τινες τῶν μεταγενεστέρων ῥαββίνων (ἐπειδὴ καὶ τοῦτον τὸν θησαυρὸν ἀπέβαλον κατὰ τὴν αἰχμαλωσίαν) ἐκ τοῦ ἑλληνικοῦ κειμένου μεθηρμήνευσαν, ἢ καὶ γράμμασιν ἑβραϊκοῖς ἐκ τῆς Συριακῆς ἑρμηνείας μετέγραψαν, καὶ *βίβλον τῆς μεγάλης Σοφίας τοῦ Σολομῶντος* ὠνόμασαν (β). Ἀλλὰ τὸ μὲν περὶ τῆς γνησιότητος τοῦ

(α) Καὶ ἄλλοι δέ τινες τῶν ἀρχαίων ἀμφέβαλον, εἰ αὐτός ἐστιν ὁ Σολομὼν, ὁ τῆς βίβλου πατήρ. Ἐν τῷ προῤῥηθέντι (σελ. 119) παλαιῷ τοῦ Κανόνος ἀποσπάσματι σεσημείωται, ὅτι « οἱ φίλοι τοῦ Σολομῶντος συνετάξαντο τὴν βίβλον, εἰς ἐκείνου τιμήν ». Καὶ αὐτὸς ὁ Εὐσέβιος εἶπέ που μετ᾽ ἀμφιβολίας, « Ὁ τὴν πανάρετον Σοφίαν εἰς τὸ αὐτοῦ (τοῦ Σολομῶντος) πρόσωπον ἀναθείς» (Εὐαγ. Προπαρ. ΙΑ, ς. σελ. 306), καὶ Αὐγουστῖνος ἔοικεν ἀμφιβάλλειν (π. Πολ. Θεοῦ, ιζ, 20). Ἀλλ᾽ οὗτοι μὲν ἐδίσταζον, ὡς ἔοικε, μὴ βλέποντες τὸ ὄνομα τοῦ Σολομῶντος αὐτοῦ γεγραμμένον ἐν ἀρχῇ καὶ ταύτης τῆς συγγραφῆς, ὡς γέγραπται καὶ ἐν ταῖς ἄλλαις τρισὶν αὐτοῦ ταῖς Κανονικαῖς (Παροιμ., Ἐκκλ., Ἆσμ.). Καί τοι γε ἐν κεφ. ζ, 5, καὶ η, θ, φαίνεται τρανῶς ὁ θεόσοφος βασιλεὺς ὁ αὐτὸς, καὶ ὁ ἐν Γ. Βασιλ. γ, 6, ἱστορούμενος. Ὅτι δὲ ἐξ ἀρχῆς ἡ βίβλος εἰς τὸν Σολομῶντα ἀπεδίδοτο, φαίνεται μὲν ἐκ τῆς ἐν πᾶσι τοῖς ἀρχαιοτάτοις κώδηξιν ἐπιγραφῆς τοῦ βιβλίου, Σοφία Σολομῶντος, φαίνεται δὲ καὶ ἐξ αὐτῆς τῆς ἁπάντων (σχεδὸν) τῶν ἀρχαίων Πατέρων ὁμολογίας, οἵτινες πάντες ὁμαλῶς εἰς τὸν Σολομῶντα ἀπένεμον τὸ τεῦχος· καὶ αὐτὸς ὁ Εὐσέβιος ἀλλαχοῦ τῆς Προπαρασκευῆς ὡς τοῦ Σολομῶντος ῥήσεις ἀναφέρει καὶ ἄλλας μαρτυρίας ἐκ τῆς Σοφίας (βλέπε ἐφεξ. σελ. 201.). Ὁ δ᾽ ἀρχαῖος τοῦ Ἀποσπάσματος συγγραφεὺς ἴσως ὑπελάμβανε τὴν Σοφίαν ὡς Σύνοψιν, ἢ Συλλογὴν ἐκ τῶν ἄλλων τοῦ Σολομῶντος βιβλίων, ὑπὸ τῶν αὐτοῦ φίλων ἐκπονηθεῖσαν (ὅ καί τινες τῶν νεωτέρων ὑπέλαβον, ἐν οἷς καὶ Ὑέτιος). Περὶ δὲ τοῦ Αὐγουστίνου λέγομεν παρακατιόντες. Ὁ δὲ Μ. Βασίλειος τρία τὰ Σολομῶντος βιβλία ἀριθμῶν (κατὰ τὸν Ἐσδραῖον κανόνα δηλονότι), ἔπειτα καὶ ἐκ τῆς Σοφίας μαρτυρίας ἐκφέρει (βλ. ἐφεξῆς). Ὡσαύτως καὶ Γρηγόριος ὁ θεολόγος, καί τοι καὶ αὐτὸς τρεῖς τὰς Σολομῶντος βίβλους ἀριθμήσας ἐν τῷ καταλόγῳ, καὶ Κύριλλος ὁ Ἱεροσολύμων, καὶ ἄλλοι τῶν Πατέρων. Καὶ ταῦτα μὲν οὕτως· ὅτι δὲ τὴν ἑρμηνείαν τῆς Σοφίας ἀνέγνων καὶ ἐθνικοὶ, βλ. Βιβλ. Β. σελ. 143.

(β) Βλ. περὶ τούτων **Huet. Demonst. Evang. Prop. IV. p. 227.- C. A Lapide Comm. in libr. Sapient. proœm. - Calmet l. c. - Houbig. proleg. p. ccxvi.** πρβλ. **Ackermann, Introduct. p. 353.** Ὁ Ὑέτιος, καὶ πρὸ τούτου Οὐβιγάντης, ὑπέλαβον, ὅτι μέχρι τοῦ θ, κεφαλαίου τελευτῶντός ἐστι τὸ γνήσιον μέρος τοῦ Σολομῶντος, τὰ δ᾽ ἑξῆς προσέθηκεν ὁ μεταφραστής. Ὁ δὲ Γρότιος θαμβωθεὶς ὑπὸ

συγγραφέως ἰδίως μακρότερα λέγειν οὐ τῆς προθέσεως· καὶ ὅσοι τῶν Δυτικῶν ἔτι καὶ μετὰ τὰς Οἰκουμενικὰς ἁγίας Συνόδους ἀμφιβάλλουσιν, ἐκεῖνο γοῦν οὐκ ἂν ἀρνηθεῖεν, ὅτι συγγραφεὺς τῆς Σοφίας ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ φωτίσαν τὸν ἄνθρωπον τοῦ

τῶν λαμπρῶν εἰς τὸν Σωτῆρα προφητειῶν τῆς Σοφίας, ὑπετόπασεν, ὅτι ἡρμηνεύθη ὑπό τινος τῶν παλαιῶν χριστιανῶν!! Ὁ δ' Εἰχόρνιος εἰς δύω συγγραφεῖς καὶ αὐτὸς τὸ θεῖον τεῦχος διαιρῶν, Ἐσσηνὸν, ἢ Θεραπευτὴν Ἰουδαῖον θέλει τὸν συγγραφέα τοῦ δευτέρου μέρους. Συναινεῖ καὶ Βερθόλδης, διευκρινῶν τοὺς παρ' αὐτῷ λόγους τῆς διαιρέσεως, οὓς ἀναιρεῖ πληρέστατα ὁ Βέλτης. Ὁ δὲ Bretschneider (Dogmatik der Apokryphen), καὶ ὁ Engelbreth (Libr. Sapient. Solomon. interpretandi Specimin. I. et II. etc. Hafniae, 1816) εἰς τρεῖς καὶ τέσσαρας συγγραφεῖς διαιροῦσι τὴν βίβλον. α) Τὰ ἀπὸ τοῦ Α, ἕως ς, κεφ. ἔγραψε (λέγουσι) Παλαιστινὸς Ἰουδαῖος ἑβραϊστὶ ἐπὶ Ἀντιόχου. β) Τὰ δ' ἀπὸ τοῦ Ζ, μέχρι τοῦ Ι, Ἀλεξανδρινὸς Ἰουδαῖος, ἐπὶ τοῦ Σωτῆρος Χριστοῦ. γ) Τὰ δ' ἀπὸ τοῦ ΙΒ, μέχρι τοῦ ΙΘ, ἀνώνυμος συγγραφεὺς, μεστὸς παχυλῶν Ἰουδαϊκῶν ἐννοιῶν, καὶ οὗτος ἐπὶ Χ, γεγονώς. γ) Τὸ δὲ ΙΑ, συνέγραψεν ὁ συλλέκτης τῶν τριῶν τούτων μερῶν, ὡς σύνδεσμον τοῦ β, καὶ γ, μέρους! Ὁ δὲ, τέλος, Nachtigal (ὅ ἐςι Γερμ. νυκτῳδὸς, ἢ ἀηδὼν) θέλει τοὺς τῆς Σοφίας συγγραφεῖς - πόσους νομίζεις; - ὅλους ὅλους 79!! καὶ πρὸς τοῦτον μὲν ἀπήντησεν ὁ Ῥόδης (Rohde, de Veter. Poetarum sapient. gnomica p. 240). Σὺ δὲ πάντως ἀγανακτεῖς, ἀναγνῶστα, βλέπων οὕτω παίζοντας ἐν οὐ παικτοῖς, καὶ στυγητῶς ἐρεσχελοῦντας τοὺς ἐπὶ κριτικῇ σοφίᾳ βρενθυομένους, καὶ παρὰ πολλοῖς οὐκ ἐπ' ἀγαθῷ περιθρυλλουμένους (διὸ καὶ ἡμεῖς ἠναγκάσθημεν αὐτῶν διαμνημονεῦσαι). Ὁ δὲ περίσοφος Δαῖνος (Dähne l. c. p. 154 - 179) ἐφαντάσθη, ὅτι εὕρηκεν ἐν τῷ θεοπνεύστῳ τεύχει τῆς Σοφίας σαφέστατα ἴχνη τῆς (ὡς καλεῖ τετραγῳδημένως) Ἀλεξανδρινιουδαϊκῆς Θρησκοφιλοσοφίας (!)· καὶ δὴ καὶ μοχθεῖ λεξιθηρῶν, καὶ σοφιστεύεται, καὶ παρασπᾷ βεβήλως τὰς ῥήσεις, ὅπως ἐξαγάγῃ δείγματα τῆς Φιλωνείου ἰδεολογίας, οὐδ' ἐκεῖνο γοῦν ὁ ἄνθρωπος συνιδών· ὅτι ἰουδαϊκὴ (καθὼς λέγει) θρησκοφιλοσοφία οὔτε νεκρῶν ἀνάστασιν, οὔτε δευτέραν (ὡς οὐδὲ πρώτην) τοῦ Κυρίου παρουσίαν ἠπίστατο (ὡς γέγραπται Σοφ. Σολ. γ, 7, 18), οὔτε ὅτι «φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον» (Σοφ. β, 24)· καὶ τὰ λοιπὰ τῶν ἐν τῇ θεσῤῥήμονι ταύτῃ βίβλῳ διδαγμάτων τῆς ἀληθείας παρασιωπῶμεν. Ἀλλ', ὡς ἔοικεν, οὐδ' ὁ Δαῖνος «ἔγνω μυστήρια Θεοῦ». (Σοφ. β, 22). Ἀπήντησε δὲ καὶ πρὸς ταῦτα πάντα τὰ φαντάσματα τῶν προεκτεθέντων κριτικῶν (εἴ γε καὶ ὅλως ἀπαντήσεως ἔδει πρὸς τοιαῦτα παραδοξάσματα) ὁ σοφὸς Βέλτης (l. c. p. 161-175)· Ἀλλὰ καὶ αὐτὸς ἀσφαλέστερος ἂν ἔμενεν, εἴ γε τοῦ Σολομῶντος ἐπρέσβευε βεβαίως τὴν βίβλον, καὶ ὑπὸ τῶν Ο (εἰ καὶ μὴ πάντων, ἀλλ' ὑπό τινων γοῦν ἐξ αὐτῶν) μεθηρμηνευμένην, συμφωνῶν μετ' Ἀλαπίδου καὶ ἄλλων, καὶ τοῦ κλεινοῦ Γολδάγηνος (Goldhagen, Introd. T. 2. p. 319).

Θεοῦ, καὶ ἐπιστατῆσαν εἰς τὴν συγγραφήν· τὸ δὲ κῦρος τοῦ βιβλίου βεβαιοῦσι μαρτυρίαι θεόφθεγκτοι, οἷαι αἱ ἐφεξῆς.

α) Αὐτοῦ τοῦ Σολομῶντος αἱ ἐν τῇ βίβλῳ τῶν Παροιμιῶν περὶ τῆς Σοφίας μάλιστα ἔννοιαι καὶ φράσεις συμφωνοῦσι πρὸς τὰς ἐν τῇ Σοφίᾳ, ὡς ἔξεστιν εὐκόλως ἰδεῖν ἄλλα τε πολλά, κἀκεῖνα· «Σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσι» (Παροιμ. α, 7), καί, «Σοφίαν καὶ παιδείαν ὁ ἐξουθενῶν ταλαίπωρος» (Σοφ. γ, 11).

β) Καὶ ἄλλαι δὲ πολλαὶ τῶν Κανονικῶν βιβλίων ἔννοιαι εὑρίσκονται αἱ αὐταὶ καὶ ἐν τῇ Σοφίᾳ· καὶ ταύτας βλέπομεν ἐξελληνισμένας ἀπαραλλάκτως κατὰ τὴν φράσιν, ὡς ἡρμήνευσαν ὀλίγῳ πρότερον οἱ Ο τὰς ἀντιστοιχούσας ἐν τοῖς βιβλίοις τοῖς κατ' Ἔσδραν κανονικοῖς· οἷον· ἔγραψεν ὁ ἱεροψάλτης Δαβίδ, «Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς· ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος»· ἐμελῴδησε καὶ ὁ πατρῴζων υἱός, «Ἀγγέλων τροφὴν ἐψώμισας τὸν λαόν σου, καὶ ἕτοιμον ἄρτον αὐτοῖς ἀπ' οὐρανοῦ ἔπεμψας» (Ψαλμ. οζ 24: καὶ Σοφ. ις, 20). Θαυμαστὰ δὲ κἀκεῖνα· «Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν» (Ψαλμ. κα, 8)· καὶ ἡ Σοφία (β, 18)· «Εἰ γάρ ἐστιν ὁ δίκαιος *υἱὸς Θεοῦ*, ἀντιλήψεται αὐτοῦ, καὶ ῥύσεται αὐτόν» (πρβλ. καὶ Ματ. κζ, 43). Καὶ τὸ «*Ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου*» ταυτὸ παρ' ἀμφοτέροις (Ψαλμ. ριε, 16: καὶ Σοφ. θ, 5)· καὶ *τὰ εἴδωλα τῶν ἐθνῶν* ὡσαύτως ἀμφότεροι ζωγραφοῦσι (Ψαλμ. ριγ, 4: ρλδ, 15, καὶ Σοφ. Σολ. ιε, 15). Τὸ δὲ τῆς Ἄννης, «Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδην καὶ ἀνάγει» (Α. Βασιλ. β, 6), εἶπε καὶ ὁ Σολομών· «Σὺ γὰρ καὶ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχεις, καὶ κατάγεις εἰς πύλας ᾅδου καὶ ἀνάγεις» (Σοφ. ις, 13. πρβλ. καὶ Τωβὶτ ιγ, 1, 2). Πάλιν, ἔγραψεν ὁ Σολομών· «Καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα, μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ Κυρίου πονηρά, (μακάριος)· δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτή, καὶ κλῆρος ἐν ναῷ Κυρίου θυμηρέστερος» (Σοφ. γ, 14). Οὕτω καὶ Ἡσαΐας· «Τοῖς εὐνούχοις, ὅσοι ἂν φυλάξωνται τὰ σάββατά μου, .. καὶ ἀντέχωνται τῆς διαθήκης μου, δώσω αὐτοῖς ἐν

τῷ οἴκῳ μου . . . τόπον ὀνομαστόν» κτλ. (Ἠσαΐ. νς, 2, 4). Παράϐαλε καὶ τὰ περὶ τῆς στείρας (Σοφ. γ, 13, καὶ Ἠσαΐ. νδ, 1). Καὶ τὸ «Τίς ἔγνω νοῦν Κυρίου; καὶ τίς σύμϐουλος αὐτοῦ ἐγένετο;» (Ἠσαΐ. μ, 13), τὸ αὐτὸ καί, «Τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν Θεοῦ; ἢ τὶς ἐνθυμηθήσεται τί θέλει ὁ Κύριος; (Σοφ. θ, 13). Τοιοῦτο καὶ τὸ «Ἐνεδρεύσωμεν (ὁ Ἠσαΐ. *δήσομεν*) τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι (Σοφ. β, 12: καὶ Ἠσαΐ. γ, 10) (α)· ἄλλα παραλείπομεν. Ὅτι δὲ καὶ ὁ Σειρὰχ ἀντέγραψεν ἐκ τῆς Σοφίας τοῦ Σολομῶντος, λέγομεν ἐν τοῖς ἑξῆς (ϐ).

γ) Καὶ διὰ τῶν Ἀποστόλων ἐκύρωσε τὸ Πνεῦμα τὴν Σοφίαν τοῦ Σολομῶντος, ὡς δείκνυται ἐκ τῶν ἑξῆς. «Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος» κτλ. (Ματθ. ιγ, 43)· καὶ ἡ Σοφία, «Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν (οἱ δίκαιοι) ἀναλάμψουσι» κτλ. (γ, 7. καὶ 18. ὅπου τὸ δόγμα τῆς δευτέρας τοῦ Κυρίου παρουσίας, καὶ τῆς μελλούσης τῶν δικαίων μακαριότητος προφητικῶς προϋπογράφεται). Παράϐαλε καὶ τὰ ἀνωτέρω (Σοφ. ϐ, 18, καὶ Ματθ. κζ. 43). Θαυμαστὸν δὲ κἀκεῖνο μάλιστα· «*Ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ Θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ*» (Σοφ. ζ, 26). ὡσαύτως καὶ ὁ θεῖος Παῦλος τὴν ἐνυπόστατον Σοφίαν τοῦ Πατρὸς τρανώτερον ἑρμη-

---

(α) Τὸ ἑϐρ. (Ἠσ. γ, 10) ἀντὶ τοῦ δ ή σ ο μ ε ν κτλ. ἔχει «εἴπατε τῷ δικαίῳ ὅτι καλόν»! ὅπερ παντοίως καὶ μάτην πειρῶνται συγκαττύειν (ϐλ. **Rosenmül. Sch.** εἰς Ἠσ. αὐτόθ. καὶ **Le Moyen Var.Sacr.T.2.p.595.** πρϐλ. **A Lapid. Comm. in libr. Sap. cap. 2, 12**). τὸ γνήσιον τῆς ἀναγνώσεως τῶν Ο, μαρτυρεῖ οὐ μόνον ἡ Σοφία, ἀλλὰ καὶ ὁ Σύρος, καὶ ἡ Ἀραϐικὴ παλαιὰ μετάφρασις, ὁ Ἰουστῖνος (Διαλ. Τρύφων §. 17. καὶ §. 133), καὶ ἄλλοι πλεῖστοι τῶν ἀρχαίων Πατέρων. Ὁ μάρτυς Ἰουστῖνος ἀναφέρει καὶ ἄλλην ἀνάγνωσιν· «Ἄρωμεν τὸν δίκαιον, κτλ. (αὐτ.), καθ' ἣν ἔγραψε καὶ Τερτυλλιανὸς, «**Auferamus Justum** κτλ. (**Cont. Marc. 3. c. 22**). Ἀλλ' ἴσως τὸ Ἄ ρ ω μ ε ν ἐξεφράσθη κατὰ τὸ «ἆ ρ ο ν ἆ ρ ο ν,» σταύρωσον, κτλ. (Ἰω. ιθ, 15), ὡς εἰς τὸν Σωτῆρα ἀφορώσης τῆς προφητείας.

(ϐ) Βλ. **Huet.** *l.* **c.** καὶ **Demagistr. l. c.** Ὁ δὲ κλεινὸς **Mangey (praef. in Philon. T. 1. p. XII)** οὐ μόνον τὸν Φίλωνα, ἀλλὰ καὶ τὸν πρὸ τούτου 200 ἔτεσιν ἀκμάσαντα Ἀριστόϐουλον παρίστησιν ἔν τισι συμφωνοῦντας τῇ Σ. Σοφίᾳ, τουτέστι κρίνει τὴν Σοφίαν Ἀριστοϐούλου ἀρχαιοτέραν.

νεύων, θεολογεῖ· (ὃ καὶ Γρηγόριος ὁ θεολόγος ἐσημείωσε, τόμ. α, σελ. 732) «Ὃς ὢν *ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*» (Ἑβρ. α, 3), καὶ, «*Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου*, πρωτότοκος πάσης κτίσεως» (Κολοσ. α, 15). Πόσον δὲ προφητικῶς διαγράφει καὶ τὸν ὑπὸ τοῦ Μωσέως ἐν τῇ ἐρήμῳ ὑψωθέντα ὄφιν, *σύμβολον σωτηρίας* αὐτὸν ὀνομάζων! (ιϛ, 7) (α)· καὶ τὴν αἰτίαν προστίθησιν· «Ὁ γὰρ ἐπιστραφεὶς οὐ διὰ τὸ θεωρούμενον ἐσῴζετο, ἀλλὰ *διὰ σὲ τὸν πάντων Σωτῆρα* (πρβλ. Ἰωάν. γ, 14). Καὶ πρὸς τὴν *πανοπλίαν* δὲ τῆς Σοφίας (ε, 18—20) ἔχει πολλὴν σχέσιν ἡ *πανοπλία* τοῦ *Θεοῦ*, ἣν ἐζωγράφησεν ὁ Ἀπόστολος (Ἐφεσ. ϛ, 11—17)· ὡσαύτως καὶ τὰ τῆς Σοφίας, ιγ, 2, πρὸς τὰ τοῦ Ἀποστόλου (Ῥωμ. α, 20)· καὶ ὁ πηλὸς τοῦ κεραμέως τῆς Σοφίας (ιε, 7) πρὸς τὸν τοῦ Ἀποστόλου (Ῥώμ. θ, 20,

---

(α) Περὶ τούτου τοῦ Συμβόλου τῆς σωτηρίας εἴπομεν καὶ ἐν τοῖς προηγηθεῖσι (σελ. 87, 88), διαλαμβάνοντες περὶ τοῦ ἀρχαίου Μωσαϊκοῦ Τ, ὅτι ὑπῆρχε Σταυροειδὲς (βλ. καὶ **Ewald Kritische Grammat. d. Hebr. Sprache pag. 18. Leipz. 1827**), καὶ ὅτι παρὰ τοῖς ἀρχαίοις Αἰγυπτίοις τοῦτο τὸ σημεῖον, ὡς σύμβολον ζωῆς ἐθεωρεῖτο. Ἐνταῦθα προστιθέμεθα καὶ τὸ περὶ τῶν σταυροειδῶν χαρακτήρων, τῶν παρ᾽ Αἰγυπτίοις εὑρεθέντων ἐπὶ Θεοδοσίου τοῦ Αὐτοκράτορος, κάλλιςον διήγημα τοῦ ἱστορικοῦ Σωκράτους. «Ἐν τῷ ναῷ (φησι) τοῦ Σαράπιδος, λυομένου καὶ γυμνουμένου, ηὕρητο γράμματα ἐγκεχαραγμένα τοῖς λίθοις τῷ καλουμένῳ ἱερογλυφικῷ· ἦσαν δὲ οἱ χαρακτῆρες ςαυρῶν ἔχοντες τύπους. Τούτους ὁρῶντες χριςιανοί τε καὶ Ἕλληνες τῇ ἰδίᾳ ἑκάτεροι θρησκείᾳ προσηρμόζοντο... Τούτων δὲ ἀμφισβητουμένων, τινὲς τῶν Ἑλλήνων τῷ χριστιανισμῷ προσελθόντες, τὰ ἱερογλυφικά τε γράμματα ἐπιςάμενοι, διερμηνεύοντες τὸν ςαυροειδῆ χαρακτῆρα ἔλεγον σημαίνειν ζωὴν ἐπερχομένην» κτλ. (Σωκ. Ἐκ. ἱς. ε, 17. καὶ **Vales. not. ibid.**). Ἴδε καὶ ἐκ τῶν νεωτέρων τὸν σοφὸν Ἰδελλῆρον ἐν τῷ, περὶ τῆς ἱερογλυφικῆς τῶν ἀρχαίων Αἰγυπτίων γραμματείας, πολυμαθεῖ αὐτοῦ συγγράμματι. « **Rudimenta Hieroglyphicae veterum Aegyptiorum Litteraturæ p. 137. Berolin. 1842.** πρβλ. καὶ **Niebhur Reisebeschreibung I. Th. Taf. 41.** καὶ **Kann. De difficultate interpretandi §. 707. vol. 2. p. 150.** Ἀξιόλογα περὶ τούτου τοῦ πράγματος διέλαβε καὶ ἡ περὶ τοῦ «Ὅπως γραπτέον τὸ ὄνομα Ἰησοῦς, καὶ εἰκονιστέον τὸν σταυρὸν, σύντομος ἅμα καὶ σοφὴ Ῥωσσικὴ διατριβὴ, ἐς ταῖς εἰς τοὺς Πατέρας προσθήκαις (Ῥωσσικῷ συγγράμματι κοινωφελεστάτῳ) ἐκδεδομένη, **Μέρ. Α. σελ. 271—275. Μόσχ. 1843.**

21). Καὶ τὸ *ἔκβασις* παρὰ τῷ Ἀποστόλῳ (« *ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς* » Ἑβρ. ιγ), φαίνεται ἐκ τοῦ τῆς Σοφίας, « Πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ » (β, 17), τουτ. τὰ ἔσχατα, τὸ τέλος τοῦ βίου (ὅπως ἐκβήσεται). Οὐδαμοῦ γὰρ ἀλλαχοῦ τῆς Γραφῆς, εἰ μὴ ἐν τῇ Σοφίᾳ κεῖται ἡ λέξις ἔκβασις ἐπὶ ταύτης τῆς σημασίας (α).

δ) Ῥήσεις τῆς Σοφίας μνημονεύουσι καὶ αἱ τῶν Ἀποστόλων Διαταγαί (ϛ, 30).

ε) Ὁ τῶν Ἀποστολικῶν Διαταγῶν ἐκδότης Κλήμης ὁ Ῥώμης (Α, Ἐπιστ. §. γ). ϛ) Ὁ θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης (περὶ θείων Ὀνομάτ. γ. βλ. ὄπισθ. σελ. 113). ζ) Ἡ τοῦ Βαρνάβα ἐπιστολή (β). η) Ὁ μακάριος Ἰουστῖνος (Ἀποκρίσ. πρὸς Ὀρθοδ. λβ, καὶ οζ, ἐκ τῶν Σοφ. α, 13. γ, 16). θ) Ὁ Τερτυλλιανός (γ). ι) Κλήμης ὁ Στρωματεὺς (Στρωμ. ε, §. 16 καὶ ϛ, §. 15). ια) Ὁ περὶ τὰ τέλη τοῦ β, αἰῶνος, ἢ τὰς ἀρχὰς τοῦ γ, συγγραφεὺς τοῦ Καταλόγου τῶν βιβλίων τῆς Καινῆς Διαθήκης (δ). ιβ) Ὠριγένης (κ. Κέλσ. γ, 72: δ, 5: ε, 29. καὶ περὶ Ἀρχ. Α, β: καὶ περὶ Εὐχῆς §. 31, καὶ ἀλλαχοῦ πολλαχοῦ). ιγ) Κυπριανὸς ὁ ἱερομάρτυς (ε). ιδ) Ὁ ἅγιος Μεθό-

---

(α) Schleusn. Lex. N. T. v. Ἔκβασις· βλ. καὶ ἐν τοῖς ἑξῆς §. λε.

(β) Οὕτως ἐν §. 6. μνημονεύων μᾶλλον κατὰ νόημα τοὺς περὶ τοῦ χαλκοῦ ὄφεως λόγους τοῦ Μωσέως (Ἀριθμ. κα, 8, 9), φαίνεται συμπλέκων λέξεις καὶ ἐκ τῆς Σοφίας (ις, 7)· ἀντὶ γὰρ τοῦ « Ἰδὼν εἰς αὐτὸν ζήσεται », « καὶ ἔζη », ὁ Βαρνάβας γράφει σωθήσεται, καὶ ἐσώζετο (κατὰ τὴν τῆς Σοφίας φράσιν, ἣν βλέπε ἀνωτέρω)· πρβλ. καὶ Le Moyen, Var. Sacr. T. 1. p. 33.- Cotel. PP. Ap. vol. 1. p. 61. καὶ Ianssens, Herméneut. Sacr. p. 179.

(γ) De Praescription. Haer. c. 7.

(δ) Τὸ ἀπόσπασμα ὑπάρχει λατινικὸν, ἐξ ἀρχαίας μεταφράσεως ἑλληνικοῦ πρωτοτύπου· ἐξέδωκε δὲ πρῶτος ὁ Muratori (ἐν Antiquit. Italicar. Med. Aevi Tom. 3. p. 854), ὅπερ αὐτὸς μὲν ἀπονέμει εἰς Γάϊον τὸν πρεσβύτερον (Εὐσεβ. Ἐκκλ. ἱς. ϛ), ἄλλος δὲ εἰς τὸν Παπίαν (De Mag. p. 467). Ὁ δὲ κλεινὸς Οὖγος ἀκριβέστερον περὶ τούτου διαλαβὼν, ἀπένειμε καὶ αὐτὸς εἰς τὸν Γάϊον (Hug, Einleit. in die Schrift des N. Testam. Th. I. p. 124. Stuttgard, 1826).

(ε) S. Cyprian. de Mortalit. §. 23. - Testimon. L. II. c. 14, III. 16, 53. De habit. virg. §. 10.- De exhort. Martyr. §. 1, 12. - De zelo et livore §. 4.

διος (α). ιε) Ὁ ἱερὸς Ἱππόλυτος (κατ. Ἰουδαίων) (β). ις) Ὁ Εὐσέβιος (Σοφίαν τοῦ Σολομῶντος αὐτὴν ὀνομάζων, καὶ πρὸς ἀπόδειξιν δογμάτων τὰ ῥητὰ παρατιθείς. Εὐαγ. Προπαρ. α, 9: ζ, 12: ια, 7, 9, 14: ιβ, 52). ιζ) Ὁ Μ. Ἀθανάσιος (λόγ. κατὰ Ἑλλήν. §. 11. καὶ ἐπιστολ. α, καὶ γ, πρὸς Σεραπίωνα). ιη) Ὁ Μ. Βασίλειος (Ὁμιλ. εἰς τὴν ἀρχὴν τῶν Παροιμ. τόμ. α, σελ. 458· καὶ κατὰ Εὐνομ. ε, κεφ. ἐσχάτῳ, τόμ. β. σελ. 139, καὶ περὶ τοῦ ἁγ. Πνεύματ. κεφ. κβ. σελ. 200 κτλ.) (γ). ιθ) Ὁ θεολόγος Γρηγόριος (ἐν λόγοις τρισὶ ιη, λδ, νθ). κ) Ὁ θεῖος Χρυσόστομος (εἰς ψαλμ. ρθ, καὶ ἀλλαχοῦ).

(α) Παρὰ Φωτ. ἀναγ. 23. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 1026.

(β) Καὶ ἐν Ὑπομνημ. εἰς Γ. Βασ. δ, 32. (« καὶ ἐλάλησε Σολομὼν τρισχιλίας παραβολάς » κτλ.) « Καὶ ποῦ πᾶσα ἡ πλουσία αὕτη γνῶσις; . . . ποῦ αἱ βίβλοι; ἀναφέρονται γὰρ μόναι, αἱ Παροιμίαι, καὶ ἡ Σοφία, καὶ ὁ Ἐκκλησιαστής, καὶ τὸ Ἆσμα τῶν Ἀσμάτων ». βλ. Ὀκτατ. τ. β. σελ· 674. ἐκδ. Θεοτ.

(γ) Ἐν Σοφ. Σολομ. ις, 22 γέγραπται, ὅτι τὸ μάννα « τῇ τοῦ προσφερομένου (τρώγοντος) ἐπιθυμίᾳ ὑπηρετοῦν, πρὸς ὅ, τι ἐβούλετο μετεκιρνᾶτο » (παντὸς βρώματος γεῦσιν παρέχον). Ὁ δὲ Μ. Βασίλειος λέγει, ὅτι « τὸ Μάννα ὁ Φίλων ἑρμηνεύων, ἔφη, ὥσπερ ἐκ παραδόσεώς τινος ἰουδαϊκῆς δεδιδαγμένος, τοιαύτην αὐτοῦ εἶναι τὴν ποιότητα, ὥστε κατὰ τὴν φαντασίαν τοῦ ἐσθίοντος μετακίρνασθαι » κτλ. (ἐπις. 406, πρὸς Ἀμφιλόχ. Τ. β. σελ. 1193). Ἐντεῦθεν οἱ περὶ τὸν Δουπῖνον ὑπέλαβον, ὅτι « ὁ Μ. Βασίλειος, ἢ τοῦ Φίλωνος συγγραφὴν ἐνόμιζε τὴν Σοφίαν, ἢ γοῦν μηδόλως αὐτὴν εἶναι βίβλον τῆς θείας Γραφῆς » (Du-Pin, Nouvel. Biblioth. T. 1. p. 56). Ἀλλ' ὅτι μὲν ὁ Μ. Βασίλειος τεῦχος τῆς θείας Γραφῆς ἐπρέσβευε τὴν Σοφίαν, δεικνύουσι λαμπρῶς αἱ ῥήσεις, ἃς ἐξ αὐτῆς παρῆγε καὶ πρὸς δογμάτων ἀπόδειξιν (ὡς εἴπομεν ἀνωτέρω). Λέγων δὲ παράδοσιν ἰουδαϊκήν, ἣν ἀνέγνω παρὰ τῷ Φίλωνι γνώμην, πάντως ἐνόει οὐ τὸν Φίλωνα μόνον, ἀλλὰ καὶ αὐτὸν (ἀφ' οὗ καὶ Φίλων ἀντέγραψε) τὸν Σολομῶντα ἐκ πατρίας παραδόσεως ἔχειν τὸ πρᾶγμα (οὐ γὰρ γέγραπται τοῦτο ῥητῶς ἐν τοῖς Μωσαϊκοῖς, ἢ καὶ τοῖς ἄλλοις τοῖς πρὸ τοῦ Σολομῶντος βιβλίοις τῆς θείας Γραφῆς). Φαίνεται δέ πως τὴν παράδοσιν ὑπαινίττεσθαι καὶ τὸ « ἄρτος ἀγγέλων » (ὡς ἐπωνόμασε τὸ μάννα ὁ Ψαλμῳδὸς ψαλμ. οζ), διὰ τὸ τῆς βρώσεως ἐξαίρετον, καὶ παντοίων βρωμάτων τοὺς χυμοὺς ὑπερτεροῦν. Ὅθεν εἶπε καὶ Ἰώσηπος· « θεῖον ἦν τὸ βρῶμα καὶ παράδοξον· ἀμύνα δὲ τοῖς ταύτην (τὴν τροφὴν) νεμομένοις τὴν ἐκ τῶν ἄλλων ἀπορίαν » (Ἀρχ. Γ. α, §. 6). πρβλ. Ἀθανάσ. ἐν Συνόψ. σελ. 106.- S. Hieronym. in Psalm. 149.- S. August. L. I. Retract. c. 9 καὶ 10.- S. Grecor. Moral. 6, 9. Ἴδε καὶ Ἀλεξάνδρ. Μαυροκορδ. Ἰουδαϊκ. σελ. ξδ.

κα) Ἐφραὶμ ὁ Σύρος (τόμ. α. 241. τόμ. β. σελ. 181, καὶ τόμ. γ. 26). κβ) Μακάριος (Ὁμιλ. κθ). κγ) Ἐπιφάνιος (Αἱρέσ. κς, 15: ξδ, 36, 48). κδ) Ὁ ἱερὸς Ἀμβρόσιος (π. τοῦ ἁγ. Πνεύματ. Γ, 23 καὶ ἀλλαχοῦ). κε) Ἱλάριος (εἰς ψαλμ.). κς) Κύριλλος ὁ Ἱεροσολύμων, ὡς τοῦ Σολομῶντος ἐξ ὀνόματος ἀναφέρων τὸ ῥητὸν (Σοφ. γ, 6) «ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων» κτλ. (Κατηχ. θ, 2) (α). κζ) Θεόφιλος ὁ Ἀλεξανδρείας (Ἐπιστολ. α. περὶ τοῦ Πάσχα). κη) Κύριλλος ὁ Ἀλεξανδρείας πολλαχοῦ (περὶ τῆς ἁγ. Τριάδ. διαλ. ζ. καὶ ἐν Ὁμιλ. ἑορταστικαῖς, λόγ. ς, ια, ιδ, ις, κε, κς, καὶ εἰς Ἡσαΐ. βιβλ. ε, τόμ. γ. ὅπου καὶ *Παροιμιαστὴν* τὴν Σοφίαν καλεῖ, ὡς καὶ ταύτην ἔκγονον τοῦ Παροιμιαστοῦ Σολομῶντος). κθ) Βασίλειος ὁ Σελευκείας (λόγ. λθ). λ) Ἰσίδωρος ὁ Πηλουσιώτης (Ἐπιστολ. Α, 76. Δ, 223, 143, 146). λα) Ἱερώνυμος πολλαχοῦ, ὅστις καὶ «τῷ *Σολομῶντι ἐπιγεγραμμένην τὴν Σοφίαν*» ὁμολογεῖ (εἰς Ἡσ. νς, 3) (β), καὶ ἄλλοι τῶν Πατέρων, καὶ λβ) ὁ ἱερὸς Αὐγουστῖνος, λέγων, «Ἡ βίβλος τῆς Σοφίας ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ὑπὸ τῶν ἐχόντων τὸν βαθμὸν τῶν *Ἀναγνωστῶν* τῆς Ἐκκλησίας διὰ χρόνων μακρῶν ἀναγινώσκεται, ἐπ' ἀκροάσει τῶν χριστιανῶν ἁπάντων, ἀπὸ ἐπισκόπων ἄχρι καὶ τῶν ἐσχάτων λαϊκῶν πιστῶν, καὶ τῶν μετανοούντων, καὶ τῶν κατηχουμένων, καὶ πάντες ἀκροῶνται μετ' εὐλαβείας, τῆς πρὸς τὸ θεῖον κῦρος ὀφειλομένης. Καὶ οἱ τοῖς χρόνοις ἔγγιστα τῶν Ἀποστόλων γεγονότες ἄριστοι ἐξηγηταὶ τὴν βίβλον τῆς Σοφίας παραλαμβάνοντες, θείᾳ μαρτυρίᾳ χρῆσθαι ἐπίστευον» (γ). Καὶ πάλιν· «Τὰ δύω ταῦτα βιβλία, τὸ τῆς

(α) Καὶ ὁ Κύριλλος λοιπὸν ὁ Ἱεροσολύμων, ὁ μόνων τῶν Κανονικῶν βιβλίων κατάλογον γράψας, (ὃν ἡμῖν συχνάκις ἐπισείουσιν οἱ πολέμιοι τῶν Ἀναγινωσκομένων) ἐχρῆτο τῇ Σ. τοῦ Σολομῶντος ἐν ταῖς κατηχήσεσιν αὐτοῦ πρὸς δογματικὴν ἀπόδειξιν τοῦ α, ἄρθρου τοῦ Συμβόλου («εἰς τὸ Ποιητὴν οὐρανοῦ καὶ γῆς»). Καὶ δείκνυται λοιπὸν καὶ ἐκ τούτου ὅ,τι ἐλέγομεν ἐν τοῖς ἔμπροσθεν, ὅτι οὐκ ἀπόκρυφα, ἀλλ' ἱερὰ καὶ ἅγια βιβλία καὶ οὗτος ὁ Πατὴρ ἐπρέσβευε τὰ Ἀναγινωσκόμενα ἐν δευτέρᾳ τάξει τιθεὶς μετὰ τὰ πρῶτα Κανονικά (βλ. ὄπισθ. σελ. 140).

(β) S. Hieronym. Epist. LVIII. ad Panlin. - Contr. Ruffin. L. I. 17.

(γ) S. August. de Praedist. Sanct. c. 14. καὶ de Symbol. L. II.

Σοφίας καὶ τοῦ Σειρὰχ, ἐπειδὴ καὶ ὡς κύρια προσελήφθησαν, μετὰ τῶν προφητικῶν ἀριθμητέα» (α). λγ) Τελευταῖον τὴν θείαν βίβλον τῆς Σοφίας ἐβεβαίωσαν αἱ ἱεραὶ Σύνοδοι· α) ἡ ἐν Σαρδικῇ (παρὰ Θεοδωρήτ. Ἐκκλ. ἱστορ. λόγ. β. κεφ. ς.). β) ἡ ἐν Καρθαγένῃ. γ) ἡ ς, Οἰκουμενικὴ, καὶ πᾶσα ἡ Ὀρθόδοξος Ἐκκλησία.

Ἀλλὰ καὶ ἡ Δυτικὴ Ἐκκλησία καὶ ἀφ' οὗ ἀπεσχίσθη, ὡς θείαν καὶ κανονικὴν βίβλον τὴν Σοφίαν τοῦ Σολομῶντος τιμᾷ, καὶ ἐν τῷ ἐκκλησιαστικῷ κανόνι διακρατεῖ. Ὡσαύτως καὶ αἱ λοιπαὶ τῶν κατὰ τὴν Ἀσίαν χριστιανῶν ἑτερόδοξοι Ἐκκλησίαι, οἷον ἡ τῶν Ἀρμενίων, καὶ Συριανῶν, καὶ Κοπτῶν, καὶ τῶν λοιπῶν.

ΣΟΦΙΑ ΣΕΙΡΑΧ.

§. κθ. Τὴν ἱερὰν ταύτην βίβλον συνέγραψε μὲν ἐν Ἱεροσολύμοις Ἰησοῦς ὁ Σειρὰχ ἐπὶ Σίμωνος ἀρχιερέως, ἡρμήνευσε δὲ ὁ ἔγγονος αὐτοῦ Ἰησοῦς ὁ Σειρὰχ ἐν Ἀλεξανδρείᾳ, εἴτ' ἐπὶ τοῦ Α, Εὐεργέτου (τῷ 246–221), εἴτε, κατ' ἄλλους, ἐπὶ τοῦ Β (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 275, 579). Οἱ δὲ καὶ ἔτι ἀρχαιότερον ἐπὶ Σίμωνος τοῦ Δικαίου, καὶ ἀρχομένης τῆς Φιλαδέλφου βασιλείας, ἔταξαν τὸν συγγραφέα Σειρὰχ (τῷ 280 π.Χ.) (β), τὴν δὲ μετάφρασιν χρονοθετοῦσι κατὰ τὸ 230, ἢ 220 π. Χ. Ὅτι δὲ ὁ συγγραφεὺς πρὸς ταῖς οἰκείαις αὐτοῦ γνώμαις προσέθηκε μιμηθεὶς καὶ πάμπολλα τῆς τε Σοφίας καὶ τῶν ἄλλων βιβλίων τοῦ Σολομῶντος, ὡμολόγηται (γ).

(α) De Doctrin. Christian. L. II. c. 8.

(β) Οὕτω πρῶτος ὁ Ἱερώνυμος (Comm. in Daniel.) βλ. καὶ C. A Lapide Com. in Eccles. p. 18;- Jahn. Einl. Th. 2. p. 930.-Welte l. c. p.229, 233. Τοῦτον τὸν Ἰησοῦν οὐκ ἀπιθάνως τινὲς ὑπέλαβον ἕνα τῶν Ο ἑρμηνευτῶν (μετὰ τὴν ἑρμηνείαν, ἴσως, συγγράψαντα τὴν Σοφίαν). Εὑρίσκονται δὲ δύω Ἰησοῦς ὀνομαζόμενοι ἐν τῷ παρὰ τῷ Ἀριστέᾳ καταλόγῳ τῶν ΟΒ. (Βλ. C. A Lapid. Comment. in Eccles. p. 18. καὶ Goldhagen, Introduct. T. 2. p. 337).

(γ) Πολλὰς ῥήσεις τοῦ Σειρὰχ, ὡς ληφθείσας ἐκ τῶν τοῦ Σολομῶντος Παροιμιῶν παρέβαλεν ὁ Δρούσιος (Observat.)· ἄλλας ὁ Ὑέτιος (Dem. Evang. Pr· IV. p. 230). Πολλαὶ δὲ γνῶμαι καὶ κατὰ λέξιν ἀντιγράφονται· οἷον ἡ ἑξῆς. Ἀρχὴ σοφίας φοβεῖσθαι τὸν Θεόν» (Σειρ. α, 14, 16), καὶ «Ἀρχὴ σοφίας φόβος κυρίου» (Παροιμ. α, 7)· τὸ δ' αὐτὸ αὐτολεξεὶ καὶ ψαλμ. ρι, 10 (πρβλ. Ἰὼβ, κη, 28). Τοιαῦ-

Ὅθεν καὶ *ὀπαδὸς τοῦ Σολομῶντος* ἐπεκλήθη (Ἀθανάσιος ἐν Συνόψ.). Φαίνεται δὲ καὶ πνεύματος προφητικοῦ μέτοχος, ἐξ ἧς προεῖπε προσευχόμενος ἐκπληρώσεως τῶν θείων ἐπαγγελιῶν, ὡς ἐκβησομένων ἐπὶ τοῦ νέου Ἰσραὴλ διὰ τοῦ προσδοκωμένου Μεσσίου· ὃν καὶ *Κύριον* ὀνομάζει (να, 10), «Ἐπεκαλεσάμην Κύριον πατέρα τοῦ Κυρίου μου», κατὰ τὸ Δαβιτικὸν «*εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου*» (τοῦτο καὶ Δρούσιος ὡμολόγησε)· καὶ ἐν κεφ. κδ, περὶ Χριστοῦ προφητεύει, *ὅς ἐστι Σοφία καὶ υἱὸς* (τοῦ Πατρός. βλ. Ἀθανάσ. ἐν Συνόψ. τόμ. β. σελ. 108). Βεβαιοῦσι δὲ καὶ τούτου τοῦ τεύχους τὸ θεῖον κῦρος

α) Πάντες οἱ ἀρχαιότατοι κώδηκες τῆς ἑρμηνείας τῶν Ο, ἐν οἷς μετὰ τῶν κανονικῶν βιβλίων συετέτακται καὶ ἡ Σοφία τοῦ Σειράχ (α).

τα καὶ ἄλλα ἐκ τῆς Σοφίας τοῦ Σολομῶντος· οἷον «Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας π ρ ο σ ε δ έ ξ α τ ο » κτλ. (Σοφ. Σολομ. γ, 6), καὶ ὁ Σειρὰχ «Ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς, καὶ ἄνθρωποι δ ε κ τ ο ὶ ἐν καμίνῳ ταπεινώσεως» (β, 5). Οὕτω καὶ «(πλῆθος ἀσεβῶν) ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος, οὐδ' ἀσφαλῆ βάσιν ἑδράσει» (Σ. Σολομ. δ, 3), καὶ «Οὐ διαδώσουσι τὰ τέκνα αὐτῆς (τῆς πόρνης) εἰς ῥίζαν, καὶ οἱ κλάδοι αὐτῆς οὐκ οἴσουσι καρπὸν (Σ. Σειρ. κγ, 25, πρβλ. μ, 15). Καὶ ἄλλα, ἐξ ὧν καταφαίνεται, ὅτι καὶ ὁ Σειρὰχ ὁ πάππος εἶχε πρὸ ὀφθαλμῶν ἑβραϊστὶ τὴν Σοφίαν, ὡς καὶ τὰ λοιπὰ βιβλία τοῦ Σολομῶντος, καὶ ὁ Σειραχίδης τὴν ἑλλην. ἑρμηνείαν τοῦ κώδηκος τῶν Ο (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 592).

(α) Τὸ ἑβρ. κείμενον τοῦ Σειρὰχ εἶδεν ὁ Ἱερώνυμος εἰς ἓν τεῦχος συνάμα μετὰ τοῦ Ἐκκλησιαστοῦ καὶ τοῦ Ἄσματος (Præf. in libr. Salomon.). Σῴζεται δὲ παρ' Ἰουδαίοις καὶ ἄλλο πονημάτιον ὃ ἐπιγράφουσι Βεν-Σιρὰ, τῆς Σοφίας τοῦ Σειρὰχ ἐν πολλοῖς παραλλάττον (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 581). Συναριθμοῦσι δὲ τοῦτο οἱ Ἰουδαῖοι μετὰ τῶν παρ' αὐτοῖς ἁγιογράφων, τῶν κ α τ ὰ τ ὴ ν θ υ γ α τ έ ρ α τ ῆ ς φ ω ν ῆ ς (Huet. l. c. βλ. καὶ ὄπισθ. σελ. 124). Ὅθεν καὶ καθ' ἡμᾶς ὁ σοφὸς Ἰουδαῖος Σέκκελος Ἁ γ ι ό γ ρ α φ α ἐπέγραψεν, ἅπερ ἐξεβράϊσεν Ἀναγινωσκόμενα κτλ. (ὄπισθ. σελ. 160). Ἡ δὲ Βουλγάτα λατινὶς τοῦ Σειρὰχ ἑρμηνεία γέγονεν ἐκ τοῦ ἑλληνικοῦ (καί τοι ἐν οὐκ ὀλίγοις χωρίοις διεσκευασμένη, τὰ δὲ καὶ ἐλλειπής). Καὶ ἡ Συριακὴ δὲ μετάφρασις ἀρχαία, καὶ ἐκ τοῦ ἑλληνικοῦ· κἀν τῷ Σύρῳ τῶν Μεδιολάνων κώδηκι τῶν Ἑξαπλῶν γέγραπται Συριστὶ ὁ Σειράχ. Ἐκ δὲ τῆς Σύρας προῆλθε καὶ ἡ παλαιὰ Ἀραβικὴ μετάφρασις. Ὅτι δὲ παρὰ τοῖς Λατίνοις ὁ Σειρὰχ ἐπιγράφεται Ἐ κ κ λ η σ ι α σ τ ι κ ὸ ς (ὡς τῷ Ἐκκλησιαστῇ τοῦ

β) Οἱ θεῖοι Ἀπόστολοι, γράψαντες οὐχ ἅπαξ τὰ θεόπνευστα ῥήματα κατὰ τὴν ἔκφρασιν τῆς Σοφίας τοῦ Σειράχ· οἷον τὸ, «Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει» (Ἰωάν. ιδ, 23) ἀντιστοιχεῖ πρὸς τὸ τοῦ Σειράχ· «Οἱ ἀγαπῶντες αὐτὸν (τὸν κύριον), συντηρήσουσι καὶ ὁδοὺς αὐτοῦ» (β, 15). Πάλιν τὸ τοῦ φιλοκτήμονος πλουσίου, «Ψυχή μου ἔχεις πολλὰ ἀγαθὰ, κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου» κτλ. (Λουκ. ιϐ, 19), ἀναλογεῖ πρὸς τὸ τοῦ Σειρὰχ (ια, 18, 19) «Ἔστι πλουτῶν ἀπὸ προσοχῆς καὶ σφιγγίας αὐτοῦ· καὶ αὕτη ἡ μερὶς τοῦ μισθοῦ αὐτοῦ, ἐν τῷ εἰπεῖν αὐτὸν, εὗρον ἀνάπαυσιν, καὶ νῦν φάγομαι ἀπὸ τῶν ἀγαθῶν· καὶ οὐκ οἶδε τὶς καιρὸς παρελεύσεται, καὶ καταλείψει αὐτὰ ἑτέρῳ. καὶ ἀποθανεῖται» (ὡς τὸ, «*ἃ δὲ ἡτοίμασας τίνι ἔσται;*»). Καὶ τὸ «Μὴ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; (Ῥωμ. θ, 20, 21) ἀναλογεῖ πρὸς τὸ «ὡς πηλὸς κεραμέως ἐν χειρὶ αὐτοῦ, τοῦ πλάσαι» κτλ. (Σειρ. λ. 13). Καὶ τὸ «ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεὸς (Β. Κορινθ. θ, 7) ἀνάλογον πρὸς τὸ «ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόσωπόν σου» κτλ. (Σειρ. λϐ, 9) (α). Καὶ ἄλλα δὲ μαρτύρια τῆς Καινῆς Διαθήκης ἀποδεικνύουσι τὴν βίϐλον τοῦ Σειρὰχ ἐν χρήσει οὖσαν παρὰ τοῖς θείοις Ἀποστόλοις, ὡς βίϐλον ἁγίαν (ϐ). γ) Τὴν Σειράχειον Σοφίαν καὶ ἐκτὸς

Σολομῶντος πολλάκις συμφωνῶν, ἢ καὶ ὡς ἐν τῷ ἐκκλησιαστικῷ κανόνι περιεχόμενος), καὶ ὅτι ὑπὸ τοῦ Ῥουφίνου καὶ ἄλλων ἀναφέρεται ὡς σύγγραμμα τοῦ Σολομῶντος, προείπομεν (Βιϐλ. Β. σελ. 579. πρϐλ. καὶ ὄπισθ. σελ. 114). Ὅθεν καὶ ὁ ἱερὸς Αὐγουστῖνος «πολλοὶ (λέγει) τῶν πατέρων μνημονεύουσι τὸ βιϐλίον ἐπ' ὀνόματι τοῦ Σολομῶντος, οὐχ ὡσανεὶ τοῦ Σολομῶντος, ἀλλ' ὡς ὅμοιον τοῖς τοῦ Σολομ. βιϐλίοις» (De doctr. Christ. II. 8).

(α) Ἐκ τοῦ Σειρὰχ (ια, 32) «Ἀπὸ σπινθῆρος πυρὸς πληθύνεται ἀνθρακία» φαίνεται ὁ Φίλων μεταγράψας τὸ «Σπινθὴρ καὶ ὁ βραχύτατος ἐντυφόμενος μεγάλην ἐξάπτει πυράν». (πρϐλ. Γρηγορ. Ναζ. λόγ. εἰς Ἥρων. λέγει δὲ καὶ ἐν τοῖς τετραστίχ. «Σπινθὴρ ἀνάπτει καὶ βραχὺς πολλὴν φλόγα». ϐλ. καὶ ἐν ἔπεσι τοῖς πρὸς Νεμέσιον, στίχ. 325).

(ϐ) Βλ. τὴν ἐν Παρισίοις (τῷ 1842) ἔκδοσιν τῆς Βουλγάτας (τόμ. α. σελ. 504-

οὖσαν τοῦ Ἑσδραίου κανόνος ἐπικυροῖ ὁ ΠΕ, κανὼν τῶν Ἀποστόλων. δ) Ὡς ἐκ θείας Γραφῆς ἀναφέρουσι ῥήσεις ἐξ αὐτῆς καὶ αἱ τῶν Ἀποστόλων Διαταγαί (Δ, ια: Ϛ, ιδ, ιε). ε) Κλήμης ὁ Ἀλεξανδρεὺς (Παιδαγ. α, 8, 9: β, 1, 2, 5: γ, 4, 11: Στρωμ. ϐ, 5). ϛ) Ὁ Ὠριγένης (π. Ἀρχῶν Β, η, 8: καὶ κατὰ Κέλσ. δ. §. 12: η §. 50, καὶ ἀλλαχοῦ πολλαχοῦ). ζ) Κυπριανός (α). η) Ὁ ἱερὸς Μεθόδιος (Συμποσ. λόγ. α, σελ. 11). θ) Ὁ Μ. Ἀθανάσιος (κ. Ἀρειαν. λόγ. α, σελ. 113. λόγ. γ. σελ. 248. Περὶ τῶν διαϐαλ. τὴν ἐν τῷ διωγμῷ φυγὴν, σελ. 563. Περὶ Παρθενίας, σελ. 828. ἐκδ. Com. καὶ ἀλλαχοῦ). ι) Ἐφραὶμ ὁ Σύρος (τόμ. α. σελ. 85: β. 237, 118, 120, 121). ια) Ὁ Μ. Βασίλειος (τόμ. ϐ. σελ. 565). ιϐ) Γρηγόριος ὁ θεολόγος (τόμ. α. σελ. 54). ιγ) Καισάριος ὁ ἀδελφὸς αὐτοῦ (Διαλόγ. α). ιδ) Γρηγόριος ὁ Νύσσης (λόγ. εἰς τὸ Πάσχα (ϐ), καὶ λόγ. εἰς τὴν Χριστοῦ γέννησιν (γ). ιε) Ὁ θεῖος Χρυσόστομος (εἰς Β, Τιμόθ. Ὁμιλ. ε: καὶ Ὁμιλ. ϐ, εἰς τὸν Λάζαρ. κτλ.). ις) Ἐπιφάνιος (Ἀγκυρωτῷ §. 12: καὶ Αἱρέσ. οϛ). ιζ) Κύριλλος ὁ Ἱεροσολύμων

552) ὅπου σεσημείωται παρὰ τὴν ᾤαν τὰ πρὸς τὴν ϐίϐλον τῆς καινῆς Διαθήκης ἀντιστοιχοῦντα χωρία τοῦ Σειρὰχ, ὡς καὶ τῆς Σοφίας τοῦ Σολομῶντος. πρϐλ. Huet. l. c. - Ackermann, Introduct. p. 352.

(α) S. Cyprian· Testimon. L. II. c. 1. III. 6, 20, 35, 53, 95.- De unitat. Eccles. §. 17.- De mortalit. §. 10.- De Exhortat. martyr. §. 9.- De bono patientiae §. 17.- Consil. Carthaginens. §. 27.- Epist. 3, 14. 71. edit. Goldhorn.

(ϐ) « Τοῦτό ἐστι τὸ τῆς σοφίας ἀπόφθεγμα· ὅτι ἐν ἡμέρᾳ εὐφροσύνης ἀμνηστία κακῶν » (ἐκ τοῦ Σειρ. ια, ὅπου γέγραπται ἐν ἡμέρ. ἀγαθῶν κτλ.).

(γ) « Ἐν ἡμέρᾳ ἑορτῆς, καθώς φησιν ὁ σοφὸς Σολομὼν, ἀμνηστία πρέπει κακῶν ». Ὅπου σημείωσαι, α) ὅτι καὶ ὁ θεῖος οὗτος πατὴρ ἀπένεμεν εἰς τὸν Σολομῶντα τὴν Σοφίαν τοῦ Σειρὰχ, οὐχ οὕτω διὰ λήθην, ἴσως, ὅσον ὡς ἐν πολλοῖς Σολομωντίζουσαν (ϐλ. ὄπισθ. σελ. 114). β) ὅτι ἀντὶ τοῦ ἐν τῷ κειμένῳ ἀγαθῶν μετέϐαλεν ἄλλην πρὸς τὴν ὑπόθεσιν ἀνάλογον καὶ ἰσοδύναμον λέξιν, νῦν μὲν τὸ εὐφροσύνης, νῦν δὲ τὸ ἑορτῆς. Ὥστε τὰς παρὰ τῷ θείῳ Χρυσοστόμῳ καὶ Ὠριγένει καὶ τῷ Κλήμεντι ἀπαντώσας ἐνίοτε διαφορὰς περί τινας ῥήσεις τοῦ Σειρὰχ οὐκ ἀσφαλὲς ὡς διαφόρους ἀναγνώσεις ἐκλαμϐάνειν. Ἐσημείωσε δὲ τοιαύτας ὅ,τε Οἰσχέλιος (Hoeschel. ἐκδόσ. Σειρὰχ), καὶ ἄλλοι, καὶ ὁ Welte l. c. p. 212.

(Κατηχ. Μυσαγ. ε). ιη) Κύριλλος ὁ Ἀλεξανδρείας (α). ιθ) Ἰσίδωρος ὁ Πηλουσιώτης (β). κ) Ὁ ἱερὸς Ἀμβρόσιος (εἰς τὴν πρὸς Ῥωμ. κεφ. ις. εἰς ψαλμ. λς, καὶ ἀλλαχοῦ). κα) Ὁ Ἱλάριος (εἰς ψαλμ.), καὶ ἄλλοι τῶν Δυτικῶν ἀρχαίων Πατέρων (Ὀπτάτος, Ἰδάκιος, Χρωμάτιος, Γαυδέντιος), καὶ κβ) Ἱερώνυμος (ἐπιστολῇ λδ· ὅπου καὶ *θείαν Γραφὴν* ὀνομάζει τὴν Σοφίαν τοῦ Σειρὰχ, ἀναφέρων ῥῆσιν ἐξ αὐτῆς (τὴν ἐν κεφ. γ, 22), καὶ ἐν ἐπιστολῇ ριη, καὶ ἐν τοῖς εἰς τοὺς προφήτας ὑπομνήμασι πολλαχοῦ). καὶ κγ) Ὁ ἱερὸς Αὐγουστῖνος (ἐπις. ρ, ρογ, καὶ ἀλλαχοῦ)· καὶ (ἵνα παραλίπωμεν ἄλλους) κδ) Αὐτὸς ὁ κανὼν τῆς ἐν Καρθαγένῃ καὶ τῆς ς, Οἰκουμενικῆς συναριθμεῖ καὶ τὸν Σειρὰχ μετὰ τῶν Κανονικῶν τῆς Ἐκκλησίας βιβλίων, καὶ πᾶσα ἡ καθολικὴ Ἐκκλησία τῶν Ὀρθοδόξων.

Ἀλλὰ καὶ νῦν ἡ Δυτικὴ συγκαταλέγει τὸν Σειρὰχ ἐν τῷ Κανόνι τῆς Ἐκκλησίας. Ὡσαύτως καὶ ἡ τῶν Ἀρμενίων (γ), καὶ αἱ λοιπαὶ τῶν ἄλλων τῶν ἐν τῇ Ἀσίᾳ ἑτεροδόξων χριστιανῶν.

ΜΑΚΚΑΒΑΙΩΝ ΒΙΒΛΙΑ ΤΡΙΑ.

§. λ. Τρία τῶν Μακκαβαίων βιβλία διατάσσει ὁ ΠΕ κανὼν τῶν Ἀποστόλων. Δύω δὲ μόνον γράφονται ἐν τῷ κανόνι τῆς ἐν Καρθαγένῃ Συνόδου (εἰ μή τις ὑπῆρξεν ἀντιγραφέως πλάνη περὶ

(α) Γλαφυρ. Βιβλ. Α. σελ. 33, 127. Β, σελ. 224.

(β) Ἐπιστολ. Βιβ. Β, 106, 459, 493. - Γ. 274. 334. - Δ. 58, 101, 157, 214, 228, Ε. 181.

(γ) Ἐν τῇ κατὰ Βενετίαν τῷ 1805 ἐκδοθείσει Ἀρμενικῇ μεταφράσει τῆς Π. Γραφῆς ἔταξε τὸν Σειρὰχ ὁ ἐκδότης ἐν τῇ πέζᾳ τῆς βίβλου (μετά τινων Ἀποκρύφων, ἐν οἷς ἔχει καὶ τὸν Α, Ἔσδραν, καὶ τὴν προσευχὴν τοῦ Μανασσῆ, κατὰ τὴν δόξαν τῶν Δυτικῶν· βλ. ὄπισθ. σελ. 136). Λέγει δὲ ὁ Ἐκδότης (ἐν τῷ προλόγῳ) ὅτι διὰ τοῦτο ἔθηκε τὸν Σειρὰχ ἐν τοῖς ἀποκρύφοις, διότι ἐν πολλοῖς ὑπάρχει ἡ μετάφρασις κολοβὴ καὶ παρηλλαγμένη (περὶ τούτου βλ. καὶ Welte l. c. p. 238). καὶ τοῦτο (λέγει) συνέβη, διότι κατὰ τὸν χρόνον τῆς πρώτης Ἀρμενικῆς ἑρμηνείας οὐχ εὑρέθη τὸ τεῦχος τοῦ Σειρὰχ ἐν τῷ κώδηκι τῷ ἑλληνικῷ (ἐξ οὗ γέγονεν ἡ μετάφρασις). Ὕστερον δὲ μετεφράσθη ὑπό τινων ἐκκλησιαστικῶν προέδρων, καὶ ὅτι ὡς ἁγίᾳ τῇ βίβλῳ ἐχρῆτο καὶ ἡ Ἀρμενικὴ Ἐκκλησία.

τὸν ἀριθμόν). Ὅθεν καὶ ὁ τοῦ πάπα Ἰννοκεντίου κανών, καὶ ἄλλοι τῶν ἀρχαίων τῆς Δυτικῆς Ἐκκλησίας Πατέρων δύω μόνον ἀριθμοῦσι τὰ Μακκαβαϊκὰ (τοσαῦτα δὲ καὶ νῦν οἱ Δυτικοί). Ἀλλ᾽ ὁ ἱερὸς Θεοδώρητος μνημονεύει καὶ τῆς τρίτης τῶν Μακκαβαίων. Ὡσαύτως καὶ Εὐσέβιος, καὶ Σύγκελλος, καὶ Νικηφόρος ὁ Πατριάρχης· ἔτι δὲ καὶ Φιλοστόργιος καὶ Ἱερώνυμος (χρονικ. Εὐσεβ. σελ. 142 ἐκδ. Σκαλ.). Ἐν δὲ τῇ τοῦ Ἀθανασίου Συνόψει, καὶ ἐν ἀρχαίοις τισὶ καταλόγοις καὶ τὸ Δ τῶν Μακκαβαίων ὀνομάζεται, ὅπερ εἰς Ἰώσηπον ὁ Εὐσέβιος ἀναφέρει, κἂν τῷ Κανόνι τῆς Ἐκκλησίας οὐ παραδέδεκται (α)· καὶ ταῦτα μὲν περὶ τούτου. Λέγομεν δὲ περὶ τοῦ κύρους τῶν τριῶν κατὰ μέρος.

(α) «Πεπόνηται δὲ (Ἰωσήπῳ) καὶ ἄλλο οὐκ ἀγενὲς σπούδασμα· περὶ αὐτοκράτορος λογισμοῦ, ὅτινες Μακκαβαϊκὸν ἐπέγραψαν, τῷ τοὺς ἀγῶνας τῶν ἐν τοῖς οὕτω καλουμένοις Μακκαβαϊκοῖς συγγράμμασιν ὑπὲρ τῆς εἰς τὸ θεῖον εὐσεβείας ἀνδρισαμένων Ἑβραίων περιέχειν» (Εὐσέβ. Ἐκκλ. ἱςορ. γ, 10. πρβλ. Φιλοστοργ. α, 1 παρὰ Φωτίῳ. Hieronym. Catalog. v. Josephus, καὶ Cont. Pelag. L. II. p.314. τόμ. 4. ἐκδ. Mart. καὶ Σχολ. Coteler. PP. A. vol. I. p. 448 καὶ 196). Ὁ λόγος οὗτος τοῦ Ἰωσήπου σώζεται καὶ πρὸς τῷ τέλει τῶν αὐτοῦ συγγραμμάτων ἐκδεδομένος (βλ. ἐκδ. Hav. Tom. 2. p. 497—520). Ἐπιγέγραπται δὲ, «Λόγος εἰς τοὺς Μακκαβαίους, ἢ περὶ αὐτοκράτορος λογισμοῦ». Τούτου παροδικῶς ἐμνημόνευσε καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τῷ εἰς τοὺς Μακκαβαίους λόγῳ· μάτην δέ τινες (ὡς οἱ περὶ τὸν Cave, Script. Eccl. Hist. p. 16) τὸ καλὸν τοῦτο σπούδασμα νόθον ὑπέλαβον (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 479. πρβλ. καὶ Welte l. c. p. 32. Huet. Dem. Ev. Pr. IV. p. 288. Calmet, Diction. T. 2. p. 196). Τοῦτο τὸ Δ λεγόμενον τῶν Μακκαβαίων εὑρίσκεται καὶ ἔν τισιν ἀρχαίοις κώδηξι τῆς ἑρμηνείας τῶν Ο (οἷον τῷ Ἀλεξανδρ. ἐκδ. Grabe) μετὰ τῶν τριῶν συνεκδεδομένον (ὡς ἦν ἴσως καὶ ἐπὶ Ἀθανασίου, ὅστις ἐν τῇ Συνόψει μέμνηται τούτου)· ἀλλὰ τούτου χρῆσις ὡς κανονικοῦ οὐ γίνεται συνήθως παρὰ τοῖς ἱεροῖς πατράσιν. Ἔστι δὲ καὶ περὶ τὴν ἱστορίαν κατά τι σφαλλόμενον (βλ. Σύγκελ. Χρονογρ. Τ. α. σελ. 529) διὰ τὴν ἀκρισίαν πάντως παλαιοῦ τινος ἀντιγραφέως (Combefis. εἰς Ἰώσηπ. αὐτ. σελ. 501). Οὐ γὰρ ἂν αὐτὸς ὁ Ἰώσηπος οὕτως ἦν ἀμαθὴς τῶν Μακκαβαϊκῶν, ὥστε συγχύσαι τὸν Ἡλιόδωρον πρὸς τὸν Ἀπολλώνιον, καί τινα ἄλλα διαγράψαι μὴ κατὰ τὴν ἱστορικὴν ἀκρίβειαν (βλ. Β. Μακκαβ. γ). Ὅθεν καὶ ὁ Σύγκελλος ἔγραψεν, ὅτι «ἡ τῶν Μακκαβαίων ἱστορικὴ γραφὴ (ἡ Δ. δηλαδὴ), ἣν Ἰώσηπος ἔγραψε, τῶν μὲν θεοπνεύστων οὐκ ἔστι, χρησίμη δὲ πάνυ πέφυκε» (Χρονογρ. σελ. 519 Bon.).

Μακκαβαίων Α'.

§. λα. Τὸ πρῶτον τῶν Μακκαβαϊκῶν συνεγράφη ἑβραϊστὶ (α), ὑπερμεσαζούσης ἤδη τῆς β, πρὸ Χριστοῦ ἑκατονταετηρίδος (περὶ τὸ 130 π. Χ.)· ὡς ἔξεστι συμβαλεῖν ἐκ τοῦ τέλους τοῦ βιβλίου (κεφ. ιε, 23, 24), ὅπου μνημονεύεται Ἰωάννης ὁ Ὑρκανὸς, ὡς διάδοχος τῆς ἀρχιερατείας τοῦ πατρὸς αὐτοῦ Σίμωνος (ἐσχάτου τῶν ἐκ τοῦ Ματταθίου πέντε γενομένων ἀδελφῶν Μακκαβαίων). Ὅθεν καὶ συγγραφέα τοῦ τεύχους αὐτόν τινες ὑπέλαβον τὸν Ὑρκανόν. Ἄλλοι δ' ἀορίστως ἕνα τῶν υἱῶν αὐτοῦ τοῦ Ματταθίου· οἱ δὲ, τὴν μεγάλην Συναγωγήν (β). Ἀλλ' ὁ συγγραφεὺς τοῦ βιβλίου μένει ἀδιόριστος· φαίνεται δὲ πάντως Ἰσραηλίτης ἀνὴρ, καὶ οὗτος τῶν ἐπιφανῶν, σύγχρονος τῷ Ὑρκανῷ, καὶ τῷ τούτῳ πατρὶ Σίμωνι, καὶ πρὸς αὐτοῖς τοῖς Μακκαβαϊκοῖς πράγμασι γεγονὼς, καὶ συμμετασχὼν, ἢ καὶ ἐκ τῶν δημοσίων ἀρχείων τὴν ἐξιστόρησιν τῶν συμβεβηκότων ἀναλεξάμενος (βλ. Α. Μακκαβ. θ, 22. ιδ, 21) (γ). Ὅτι δὲ καὶ ὑπὸ τῆς μεγάλης Συναγωγῆς ὡς ἀληθὴς καὶ γνησία ἐκυρώθη ἡ συγγραφὴ, μηνύει τὸ πρὸς αὐτὴν τῶν Ἰουδαίων σέβας.

§. λβ. Διὰ τὸν αὐτὸν δὲ λόγον οὐδ' ἡ μετάφρασις τοῦ τεύχους

(α) Βλ. Scholz, die Bücher der Makkabäer etc. Frankf. a. M. 1833. Welte l. c. p. 10, 15. Μόνοι οἱ περὶ τὸν Ἐγξτεμβέργην ἐφαντάσθησαν, ὅτι συνεγράφη τὸ πρῶτον ἑλληνιστὶ (Hengstenberg, Beitræge zur Einleit. ins Alte Testam. Bd. 1. p. 292). Τοῦ δὲ φαντάσματος δύω κυριωτάτους φέρουσι λόγους. α) ὅτι ὁ συγγραφεὺς φαίνεται κεχρημένος τῇ ἑρμηνείᾳ τῶν Ο! καὶ β), ὅτι καὶ Ἰώσηπος ἐχρήσατο τῇ Α, τῶν Μακκαβαίων, ὅστις ἀείποτε περὶ τὰς αὐτοῦ συγγραφὰς μεταχειρίζεται τὰς ἑλληνικὰς ἑρμηνείας τῶν ἱερῶν τευχῶν! Ἀλλ' εἴπερ οἱ ἄνδρες ἐφρόνουν, ὅτι καὶ ἐπὶ τοῦ συγγραφέως τῆς Α, τῶν Μακκαβαίων καὶ ἐπὶ τοῦ Ἰωσήπου συνεφώνει τοῖς Ο, τὸ ἑβραϊκὸν, μήπω περιπεπτωκὼς εἰς τὰς ληστρικὰς χεῖρας τῶν Ἀκκιβαδῶν καὶ Μασοριτῶν, οὐκ ἂν περιέπιπτον εἰς οὕτω παχεῖς παραλογισμούς.

(β) Huet. l. c. ἀντιλέγει δὲ ὁ Καλμέτης (Comment. lit. in V. Testam. Tom. 5. p. 619), καὶ Welte l. c. - Marchini de Divinitate S. S. p. 284. - Ackermann, Introd. p. 358. - Gray l. c. p. 606.

(γ) Βλ. Du-Pin, Diss. prélim. sur la Bible. I. 121. - Bertheau, De secundo libro Maccabæor. p. 27. Gotting. 1839.

ἑβράϊζεν, ἐξελληνισθέντος παρευθὺς ὑπό τινος Ἱεροσολυμίτου, ὡς ἂν μάλιστα τοῦ πράγματος διαφέροντος παντὶ τῷ ἑβραϊκῷ ἔθνει, καὶ κατ' ἐξοχὴν τοῖς ἔξω τῆς Παλαιστίνης καὶ μακρὰν τῶν συμβεβηκότων οἰκοῦσιν ἑλληνισταῖς, τοῖς τε ἄλλοις ἅπασι, καὶ τοῖς ἐν Αἰγύπτῳ, πρὸς οὓς καὶ πρότερον οἱ ἐν Ἱεροσολύμοις ἐκοινοποιοῦντο τὰ πεπραγμένα, ὡς δηλοῦσιν αἱ πρὸ τῆς β, τῶν Μακκαβαίων προτεταγμέναι δύω τῶν Ἱεροσολυμιτῶν πρὸς τοὺς ἐν Αἰγύπτῳ ἀδελφοὺς ἐπιστολαί. Ὅθεν μετὰ τούτων τῶν ἐπιστολῶν καὶ ὅλη ἡ πρώτη τῶν Μακκαβαίων «*κατὰ τὸ τῆς θείας Γραφῆς ἀρχαϊκὸν ἰδίωμα τὸν χαρακτῆρα φέρει*», ὡς ἔκρινεν ὀρθῶς ὁ ἀρχαῖος Σχολιαστής (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 202).

§. λγ. Τούτου τοίνυν τοῦ βιβλίου τὸ θεῖον κῦρος βεβαιοῦσι

α) Πᾶσα τῶν ἑλληνιστῶν ἡ πρὸ Χριστοῦ Συναγωγή, χρωμένη τῷ τῶν Ο, κώδηκι, καθ' ἣν μορφὴν παρέδωκαν αὐτὸν οἱ Ἀπόστολοι τῇ Ἐκκλησίᾳ. Ἐν πᾶσι δὲ τοῖς ἀρχαίοις ἀντιγράφοις τῆς ἑρμηνείας τῶν Ο, συναριθμοῦνται καὶ τὰ Μακκαβαϊκὰ μετὰ τῶν ἄλλων τῶν ἱστορικῶν τευχῶν τῆς θείας Γραφῆς, κατόπιν τῆς Ἐσθὴρ τεταγμένα, καὶ πρὸ τοῦ Ἰὼβ, καὶ τῶν Ψαλμῶν, καὶ τῶν λοιπῶν προφητικῶν (ὡς προείπομεν). Τὸν δ' αὐτὸν ἐπέχουσι τόπον κἀν τῇ Βουλγάτᾳ, καὶ ἐν ἄλλαις ἑρμηνείαις, κἀν τῇ Σλαβονικῇ.

β) Ἡ ἀρχαία λατινὶς ἑρμηνεία (ᾗ καὶ Τερτυλλιανὸς, καὶ Κυπριανὸς, καὶ ἄλλοι τῶν ἀρχαίων δυτικῶν Πατέρων ἐχρῶντο)· καὶ ἡ ἐπίσης ἀρχαία Συριακὴ, ἥτις καὶ αὐτὴ, ὡς ἡ λατινὶς, ἐκ τῆς ἑλληνίδος μετεφράσθη (οἱ δὲ περὶ τοῦ Μηχαῆλιν ψευδῶς ὑπέλαβον ἐκ τοῦ ἑβραϊκοῦ προελθοῦσαν τὴν Συριακὴν, ὡς ἀπέδειξαν ἄλλοι, οἷς καὶ Βέλτης συναινεῖ).

γ) Ἡ διάταξις τῆς τῶν ἐγκαινίων δημοσίου ἑορτῆς, ἣν ἐτήρει καὶ ὁ Σωτὴρ ἡμῶν, ὡς καὶ πάσας τὰς ὑπὸ τοῦ θείου νόμου τεταγμένας ἑορτὰς (βλ. ὄπισθ. σελ. 161).

δ) Ὁ Ἰώσηπος, ὅστις ἐκ τῆς Α, τῶν Μακκαβαίων βίβλου, ὡς ἱερᾶς καὶ γνησίας δήπου, καὶ πίστεως (*εἰ καὶ μὴ ὁμοίας τοῖς κα-*

νονικοῖς) *ἀξιουμένης*, ἐξιστόρησε τὰ κατὰ τοὺς Μακκαβαίους (βλ. ὄπισθ. σελ. 160).

ε) Ἡ παρ' Ἰουδαίοις ἔξωθεν μὲν, ἔγγιστα δὲ ὅμως τῶν κανονικῶν βιβλίων συναρίθμησις καὶ τῶν Μακκαβαϊκῶν, ὡς ἐσώζετο ἐπὶ τοῦ Ὠριγένους ἡ μορφὴ τοῦ ἑβραϊκοῦ Κανόνος (βλ. ὄπισθ. σελ. 115).

ϛ) Ὁ ΠΕ, κανὼν τῶν Ἀποστόλων.

ζ) Ὠριγένης αὐτὸς, καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς, καὶ Τερτυλλιανὸς, ὁ ἱερὸς Ἱππόλυτος, Ἐφραὶμ ὁ Σύρος, Κυπριανὸς ὁ ἱερομάρτυς, Ἱερώνυμος, Αὐγουστῖνος, Θεόδωρος ὁ Μοψουεστίας (α), καὶ ἄλλοι τῶν Πατέρων, οὓς προστιθέμεθα ἐφεξῆς (§. λε) (β).

Μακκαβαίων Β'.

§. λδ. Ἄρχεται ἐκ τῶν δύω ἐπιστολῶν, περὶ ὧν προείπομεν ἀνωτέρω (ἡ μὲν τῷ 149—153 π. Χ. ἡ δὲ, μικρὸν ὕστερον [καίτοι ταύτην τινὲς οὐ πάντῃ πιθανῶς στοιχειοῦσι τῷ 123 π. Χ.] παρὰ τῶν Παλαιστινῶν πρὸς τοὺς ἐν Αἰγύπτῳ Ἰουδαίους ἀποσταλεῖσαι. βλ. καὶ ὄπισθ. Βιβλ. Α. σελ. 426 καὶ Βιβλ. Β. σελ. 201)· περὶ δὲ τὰ μέσα τοῦ β, κεφαλαίου συνείρεται ἡ Ἐπιτομὴ τῆς ἱστορίας ἐκ τῆς πενταβίβλου συγγραφῆς Ἰάσωνος τοῦ Κυρηναίου, Ἰουδαίου ἑλληνιστοῦ, καὶ ἑλληνιστὶ πάντως συγγεγραφότος. Περιέ-

---

(α) Ὠριγέν. ἐξηγ. εἰς τὴν πρὸς Ῥωμ. βιβλ. η. κεφ. ε. - Ἐφραὶμ, σελ. 123· ἐκδ. Ὀξον. - Tertul. adv. Jud. c. 4. - S. August. de Civit. Dei L. XVIII. c. 36. - S. Cyprian. Testimon. L. III. c. 4, 53. Epistol. LIX. §. 4. - S. Hier. Prolog. Galeat. - Θεόδωρ. ὁ Μοψουεσ. ἑρμ. εἰς Ζαχαρίαν, καὶ Μαλαχίαν. κτλ.

(β) Ἔχουσι καὶ νῦν οἱ ἐν τῇ Σίνᾳ Ἰουδαῖοι τὴν Α καὶ Β, τῶν Μακκαβαίων (ὡς λέγομεν παρακατιόντες). Καὶ ἄλλο δέ τι φέρεται παρ' Ἰουδαίοις, τὸ Μεγιλὰθ Ἀντίοχος, ἱστορία τῶν Μακκαβαίων, ἢ διηγημάτιον ῥαββινικὸν, ἐκ τῆς Α, τῶν Μακκαβαίων συνωψισμένον, καὶ μύθοις συμπεπλεγμένον, ὃ μετέφρασαν καὶ ἑβραϊστὶ (Kennicot, Diss. II. p. 520, καὶ Diss. gen. p. 347, 460, 467, 518. καὶ Fabric. Bibl. Graec. T. 3. p. 747). Καὶ τῆς Β, τῶν Μακκαβ. ἑβραϊκὴν μετάφρασιν εἶπεν Ὅδιος, ἐξ ἧς ἐγένετο ἡ Ἀραβικὴ (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 291). Οἱ δὲ περὶ τὸν Ἰάννην (Einleit. 2. Bd. p. 964) θέλουσι τὴν Ἀραβικὴν οὐχ ἁπλῶς μετάφρασιν, ἀλλ' ἴδιόν τι διήγημα, συμπεπιλημένον ἐκ τῶν καθ' ἡμᾶς Μακκαβαϊκῶν, καὶ τοῦ εἰς τοὺς Μακκαβαίους λόγου τοῦ Ἰωσήπου.

χει δὲ ἡ βίβλος τὰ πρὸ τῶν Μακκαβαϊκῶν τοῖς Ἰουδαίοις συμβάντα ἐπὶ Σελεύκου τοῦ βασιλέως, ἐφ οἷς, οἷον προοιμίοις, ἐπηκολούθησαν ὕςερον τὰ τῶν Μακκαβαίων, καὶ τελευτᾷ μέχρι τῆς ὑπὸ τοῦ Ἰούδα νικηθέντος Νικάνορος τελευτῆς, ἤτοι μέχρι τοῦ Ζ, §. 49. κεφαλαίου τῆς Α, τῶν Μακκαβαίων, ὅπου ἱστοροῦνται τὰ κατὰ τὸν Νικάνορα. (ἐκεῖ γὰρ ἔληγεν, ὡς ἔοικεν, ἡ Πεντάβιβλος τοῦ Ἰάσωνος, ἔτι ζῶντος τοῦ Ἰούδα συγγραφεῖσα, ἐξ ἧς ἡ Β, τῶν Μακκαβαίων συνώψισται) (α). Καὶ φαίνεται λοιπὸν, ὅτι συνετάχθη ἡ βίβλος αὕτη τῶν Μακκαβαίων μικρῷ χρόνῳ μετὰ τὴν ἔκδοσιν τῆς Α (περὶ τὰ 120 π. Χ.). Συντάκτης δὲ ταύτης, ἢ Συνοψιστὴς φαίνεταί τις Ἰουδαῖος Παλαιστινὸς (ἄλλοι λέγουσιν αὐτὸν Ἀλεξανδρινὸν), καὶ οὗτος οὐκ ἄσημος (β).

§. λε. Τὸ δὲ θεῖον κῦρος καὶ τούτου τοῦ τεύχους βεβαιοῦται ἐκ τῶν ἐφεξῆς.

α) Πάντες οἱ κώδηκες τῶν Ο, (οἷς ἐχρῶντο καὶ π. Χ. οἱ ἑλληνισταὶ Ἰουδαῖοι) περιέχουσι καὶ τὴν Β, μετὰ τῶν ἄλλων τῶν Μακκαβ., συνημμένην τοῖς βιβλίοις τοῖς κανονικοῖς. Οὕτω κεῖται καὶ ἐν τῇ Βουλγάτᾳ, καὶ ἐν ἄλλαις μεταφράσεσι, καὶ ἐν τῇ Σλαβονικῇ.

β) Ἡ ἀρχαία ἐκ τοῦ ἑλληνικοῦ κειμένου λατινὶς ἑρμηνεία, ἧπερ οἱ Δυτικοὶ Πατέρες ἐχρῶντο. γ) Καὶ ἡ ὁμοία Συριακή.

(α) Τοῦτο μὴ συνιδὼν ὁ κλεινὸς Οὐαλκενῆρος (Valken. de Aristob. p. 33.), ψέγει τὸν ἐπιτομέα, διότι μηδ' αὐτοῦ γοῦν τοῦ Ἰούδα τὸν θάνατον ἱστόρησεν (ὅστις ἱστορεῖται ἐν Α. Μακκ. Θ, 18). Διαβάλλει δὲ τὴν Β, τῶν Μακκαβ. καὶ ὡς περιέχουσαν καὶ ψεύδη τοῖς ἀληθέσιν ἀνάμικτα, « ὧν, φησιν, οὐδ' ἴχνος ἐν τῇ Α, τῶν Μακκαβ. εὑρήσεις». - Οὕτω καὶ ἄλλοι πολυΐστορες, δριμεῖς τινες ἐπιεικῶς, καὶ τὸν τρόπον ὀμφακίαι, καὶ βαρὺν φυσῶντες τὸν κριτικισμὸν, ἐψευδοποίησάν τινα τῶν Βασιλειῶν, διότι οὐ περιέχονται ἐν τοῖς Παραλειπομένοις, καὶ τἀνάπαλιν!

(β) Ὁ Ἀλλάτιος Ἰούδαν τὸν Μακκαβαῖον νομίζει συγγραφέα τῆς βίβλου· ἀλλ' ἠπατήθη· τὸ βιβλίον συνεγράφη μακρῷ μετὰ τὸν θάνατον τοῦ Ἰούδα. Βλ. Welte l. c. p. 36. Gray l. c. p. 617. καὶ τὸ Auctoritas utriusque libri Maccabaeor. Viennae, 1749. Ὁ δὲ Ἄσσης τίθησι τὸν συγγραφέα τῷ 150 π. Χ. (βλ. Hasse, Das andere Buch der Makkabäer etc. p. 281. Jena, 1786).

δ) Ὁ Ἰώσηπος, ὅστις ἐξ αὐτῆς συνέγραψε τὸν λόγον τὸν εἰς τοὺς *Μακκαβαίους*, ἢ *περὶ τοῦ αὐτοκράτορος λογισμοῦ* (α).

ε) Ἐν τῷ κώδηκι τῶν κανονικῶν Γραφῶν, ᾧπερ χρῶνται τὰ νῦν οἱ ἐν τῇ Σίνᾳ Ἰουδαῖοι, εὑρίσκονται ἑβραϊστὶ γεγραμμένα καὶ τὰ δύω βιβλία τῶν Μακκαβαίων. Ὁ Μιχαῆλις ὑποτίθησιν, ὅτι ἀμφότερα τὰ τεύχη ταῦτα οὐδέν εἰσιν ἕτερον, εἰμὴ μόνον, ἴσως, ἐκεῖνο τὸ μύθοις ἀναμεμιγμένον ῥαββινικὸν βιβλίον, ὅπερ ἀναγινώσκουσι συνήθως οἱ Ἰουδαῖοι ἐν τῇ παρ' αὐτοῖς ἀναμνήσει τῶν ἐγκαινίων. Συμφάσκει δὲ τῷ Μιχαήλει καὶ Ἰάννης (β). Ἀλλ' ὁ σοφώτατος Βέλτης ἀντιλέγει δικαίως, ἀναλογιζόμενος (ὃ τὸν Μιχαῆλιν διέφυγε) τὰς περιστάσεις, καθ' ἃς οἱ Ἰουδαῖοι ἀπὸ χρόνων παλαιῶν κατῴκησαν τὴν Σίναν (Κίναν), καὶ διετήρησαν ἀκεραιότερα τὰ ἱερὰ βιβλία (γ). Περὶ δὲ τοῦ χρόνου τῆς ἐν Σίνᾳ κατοικήσεως τῶν Ἰουδαίων καὶ ἡμεῖς ἐν τοῖς προλαβοῦσι διελάβομεν (Βιβλ. Γ. σελ. 769) (δ).

ϛ) Αὐτὸς ὁ θεῖος Ἀπόστολος Παῦλος μνημονεύων τοὺς ἀειμνή-

(α) Ἄλλοι οὗτοι οἱ Μακκαβαῖοι, οἱ Ζ, παῖδες (υἱοὶ τῆς Σολομονῆς)· ὠνομάσθησαν δὲ καὶ αὐτοὶ Μακκαβαῖοι «ὡς ἐν τοῖς Μακκαβαϊκοῖς χρόνοις τὰ ἀνήκεστα ὑπομεμενηκότες, καὶ μὴ ἐξομοσάμενοι τοὺς πατρῴους νόμους». Ἰσίδ. Πηλουσ. Ἐπιϛ. Γ. δ.

(β) **Jahn, Einleit. 2. Bd. p. 764.**

(γ) **Welte l. c. p. 64.**

(δ) Ὁ Βροτιῆρος (**Brotier Not. in Tacit. vol. 4. p. 576**) ἔγραψεν, ὅτι κατῴκησαν τὴν Σίναν οἱ Ἰουδαῖοι περὶ τὴν α, ἑκατονταετηρίδα μ. Χ. Καὶ ὁ Ἰουδαῖος Μωσῆς ὁ Περεΰρας διώρισεν, ὅτι κατὰ τὴν ἐπὶ Τίτου αἰχμαλωσίαν φεύγοντες Ἰουδαῖοι ἦλθον τὸ πρῶτον εἰς Μαλαβάραν (Σινῶν χώραν), ψυχαὶ ὀγδοήκοντα (βλ. **Wolf. Bibl. Hebr. T. 4. p. 97**). Ἐκ τῆς Μαλαβάρας ὁ περικλεὴς Ἄγγλος Βυχανᾶν μετέφερε τῷ 1806, διάφορα ἑβραϊκὰ χειρόγραφα, ἐν οἷς τὸ ἐπισημότατόν ἐστιν ἡ Πεντάτευχος (ἡ καὶ Μαλαβαρικὴ ἐκ τοῦ τόπου ἐπικληθεῖσα), ἥτις οὔτε τόνους, οὔτε στίγματα φωνήεντα ἔχει. Ταύτην ὁ Μάρσιχος (**Marsh**) ὑπερεπαινεῖ, καὶ μετὰ τὴν Μάσοραν μὲν, ἀλλὰ χωρὶς τῶν ἐξ αὐτῆς ἐπιβλαβῶν ἐπιῤῥοιῶν γεγραμμένην χρονολογεῖ. Ὁ δὲ Λῆς (**Lee**) τ' ἀνάπαλιν περιφρονεῖ τὸ χειρόγραφον, ὡς ἐν Εὐρώπῃ τάχα, καὶ παρ' ἀμαθοῦς καὶ τῶν κάτω χρόνων ἀντιγραφέως γραφέν. Δεῖγμα τῆς τούτου γραφῆς ἐξέθηκεν ὁ κλεινὸς Ὅρνος (**Horne, An Introd. vol. 2. part. 1. pag. 88**).

στους τῆς πίστεως ἀθλητάς, ἀναφέρεται ἀνωνύμως καὶ εἰς τοὺς ἑπτὰ *παῖδας*, τοὺς ὑπ' Ἀντιόχου τυμπανισθέντας, «*ἄλλοι δὲ* (φησιν) *ἐτυμπανίσθησαν*» (Ἑβρ. ια, 35· πρβλ. Β, Μακκαβ. ς, 19, 30. ὅθεν ἐλήφθη καὶ τὸ *ἐτυμπανίσθησαν* ἐκ τοῦ «*εἰς τὸ τύμπανον προσῆγε*») (α)· καὶ ἐν τῷ «*κατηγωνίσαντο βασιλείας*» ἐμπεριέχονται καὶ οἱ Μακκαβαῖοι.

ζ) Ἐπικυροῖ τὴν βίβλον καὶ ἡ περὶ *τῆς πρεσβείας τῶν ἁγίων* ἀποστολικὴ παράδοσις καὶ διδασκαλία, ὡς ὑπὲρ ἡμῶν πρὸς θεὸν πρεσβευόντων καὶ μετὰ τὴν μακαρίαν κοίμησιν αὐτῶν· τοῦτο δὲ καὶ εἰς Ἰούδαν τὸν Μακκαβαῖον ἔτι καὶ πρὸ τῆς θείας οἰκονομίας ἀπεκαλύφθη, διὰ τῆς Ἱερεμίου τοῦ προφήτου ἐπιφανείας (Β. Μακκ. ιε, 13). Ταύτην δὲ τὴν ῥῆσιν καὶ Ὠριγένης ὡς *ἐκ τῆς θείας Γραφῆς* ἀναφέρει, καὶ δι ἄλλων τῆς Καινῆς Διαθήκης ῥητῶν ἀποδείκνυσι τὸ δόγμα λαμπρῶς ἐν τῷ *περὶ Εὐχῆς* §. 11. Ὡσαύτως καὶ Εὐσέβιος (Εὐαγγ. Προπαρσ. ΙΒ. γ.), καὶ πᾶς ὁ τῶν θεοφόρων ἡμῶν Πατέρων ἁγιώτατος θίασος (βλ. καὶ ὄπισθ. σελ. 155).

η) Μαρτυρεῖ τὸ κῦρος τῆς μακκαβαϊκῆς βίβλου καὶ ἄλλη ἀποςολικὴ παράδοσις καὶ διαταγὴ (Ἀπος. Διαταγ. Ϛ, 30: Η, 41, 42), καθ' ἣν ἀνέκαθεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία μνημονεύει τῶν ἐν πίστει κεκοιμημένων, προσευχὰς ἱλαστηρίους ὑπερ' αὐτῶν προσάγουσα πρὸς θεόν, καὶ τὴν ἀναίμακτον θυσίαν ἱερουργοῦσα· τούτου δὲ τοῦ ἀποστολικοῦ καὶ ὁσίου ἐθίμου τὸν τύπον βλέπομεν καὶ κατὰ τὴν οἰκονομίαν τοῦ παλαιοῦ νόμου, πάντως ἐκ διαταγῆς καὶ διδασκαλίας τῶν θείων προφητῶν, κεκρατηκότα, καθὰ διδάσκει σαφῶς ἡ Β. τῶν Μακκαβαίων (ιβ. 40-45.) (β). εἴρηται

(α) Βλ. Οἰκουμέν. εἰς τὴν π. Ἑβρ. ια. ὅθεν καὶ Grot. αὐτόθ. - Τὸ δὲ τυμπανίζω, καὶ (συνηθέςερον) ἀποτυμπανίζω εὑρίσκεται καὶ παρ' Ἕλλησιν. Ἴδε τὸ Στεφ. τοῦ Ἐρρίκου λεξικόν. Ὁ Φώτιος ἔχει «Τυμπανίζεται, ξύλῳ πλήσσεται, ἐκδέρεται, καὶ κρεμᾶται».

(β) Ὅθεν καὶ ὁ ἱερὸς Αὐγουστῖνος. « **In Maccabaeorum libris legitur oblatum pro mortuis sacrificium** ». **etc.** καὶ ἐκ τούτου ὡς ἐκ τῆς παλαιᾶς Θείας Γραφῆς ἀποδείκνυσιν εὐαγὲς καὶ ὅσιον τὸ προσεύχεσθαι ὑπὲρ τῶν

καὶ ἐν τοῖς προηγηθεῖσι (σελ. 155). (α) Καὶ ἐν τῷ Τωβὶτ δὲ φαίνεται τοιοῦτο παράγγελμα· «Ἔκχεόν (φησι) τοὺς ἄρτους σου ἐπὶ τὸν τάφον τῶν δικαίων (Τωϐ. δ, 17) (ϐ)· καὶ παρὰ τῷ Σειράχ· «Καὶ

μεταςάντων ἐκ τοῦ ϐίου, κατὰ τὴν διάταξιν τῆς ἀποςολικῆς Ἐκκλησίας (S. Aug. De Cura ger. pro mortuis c. 1).

(α) Καὶ αὐτὸς ὁ μετὰ πάντων τῶν αὐτῷ συμφρόνων Ἀναμορφωτῶν ἀνθιστάμενος πρὸς τὸ μνημόσυνον τῶν κεκοιμημένων Χ. Σάλιγος (Ch. Salig, De Diptychis Veter. cap. IX. p. 142, Halæ, 1731) ὁμολογεῖ, ὅτι παρὰ τῶν Ἀποστόλων ἡ Ἐκκλησία παραλαϐοῦσα ἐξ ἀρχῆς ἐμνημόνευε τὰ ὀνόματα τῶν Μαρτύρων· καὶ φέρει πρὸς ἀπόδειξιν τὸ τοῦ θείου Παύλου· «Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν .. ὧν ἀναθεωροῦντες τὴν ἔκϐασιν τῆς ἀναστροφῆς» (τὸ μαρτυρικὸν τέλος τῆς πολιτείας αὐτῶν, τὴν ἐκ τοῦ ϐίου ἔξοδον· ϐλ. ὄπισθ. σελ. 200) «μιμεῖσθε τὴν πίστιν» (Ἑϐρ. ιγ, 7). Καὶ αὐτῷ δὲ τῷ μνημονεύειν ἡ Ἐκκλησία ἐπὶ τῆς μνήμης τῶν κεκοιμημένων ἐν ταῖς θείαις κέχρηται Λειτουργίαις (καὶ μνημόσυνον δὲ λέγει ὡσαύτως), μνημονεύουσα οὐ μόνον πάντων τῶν ἁγίων, ἀλλὰ καὶ «παντὸς πνεύματος ἐν πίςει τετελειωμένου» (Λειτουργ. Χρυσοστ. καὶ Μ. Βασιλ.) «Οὐκ εἰκῇ» (φησὶν ὁ Χρυσόστομος), «οὐκ εἰκῇ ταῦτα ἐνομοθετήθη ὑπὸ τῶν Ἀποστόλων, τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων μνήμην γίνεσθαι τῶν ἀπελθόντων» κτλ. (εἰς Φιλιπ. Ὁμιλ. γ.). Ἔχει δὲ νέφος μαρτύρων ἡ Ἐκκλησία καὶ περὶ ταύτης τῆς ἀποστολικῆς παραδόσεως. Τούτων εἰσὶ Διονύσιος ὁ Ἀρεοπαγίτης (Ἐκκλ. Ἱεραρ. ζ. σελ. 408), Ὠριγένης (εἰς Ἰὼϐ γ. τ. α. σελ. 437), Τερτυλλιανὸς (de Coron. mil. c. 3), ὁ ἱερὸς Κυπριανὸς (epist. 39), ὁ θεῖος Ἀμϐρόσιος (De obit. Theodos.), Εὐσέϐιος (ϐίῳ Κωνστ. δ, 71), ὁ Μ. Ἀθανάσιος (ὑπομν. εἰς τὸν Λουκᾶν, ἐν Nova Collect. Patr. Tom. 2 σελ. 48. Montf. καὶ Ζητήμ. π. Ἀντίοχ. ἐρ. 34), ὁ Μ. Βασίλειος (εὐχῇ εἰς τὴν Πεντηκ. κτλ.), Γρηγόριος ὁ Θεολόγος (λόγ. κ), Χρυσόστομος (ἔνθ. ἀνωτ. καὶ Ὁμιλ. μα, εἰς α, Κορ.), Ἐπιφάνιος (Αἱρ. οε. 3, 7), Κύριλλος ὁ Ἱεροσολύμ. (Κατηχ. μυσταγ. ε, 6), Αὐγουστῖνος (de Cura p. mort.). Ἰσίδωρ. ὁ Πηλουσιώτης (Ἐπις. ϐιϐλ. Α, 114), Βασίλειος ὁ Σελευκείας (εἰς τὰς πράξ. τῆς ἁγ. Θέκλης), Παλλάδιος (Λαυσαϊκ. κεφ. κς), ὁ θεῖος Δαμασκηνὸς (λόγ. π. τ. ἐν πίστει κεκοιμ.), Εὐστράτιος (π. Φωτίῳ Ἀναγ. σκα), Νίκων (παρὰ Βαλσαμ. σελ. 1093. πρϐλ. καὶ Βαλσαμ. ἑρμην. εἰς τὸν να, τῆς ἐν Λαοδ. Συνόδ. ἴδε καὶ τὴν ὑπὸ Βινίου ἔκδοσιν τῶν Συνοδικῶν Concil. T. 1. p. 730. ed. Binij). Καὶ αὐτὴ δὲ ἡ Δυτικὴ ἐκκλησία, καὶ πᾶσαι αἱ ἀπὸ τῆς Ὀρθοδόξου μητρὸς διαστᾶσαι τῶν ἑτεροδόξων λαῶν, οἷον Ἀρμενίων, Ἰακωϐιτῶν, Κοπτῶν, Μαρωνιτῶν διατηροῦσι τὸ ἱερώτατον τοῦτο ἔθιμον. ϐλ. Abr. Ecchelens. not. ad Catalog. libr. Chald. p. 167. πρϐλ. καὶ Goar ἐν τῇ ἐκδόσει τοῦ καθ' ἡμᾶς Εὐχολογίου, σημ. καὶ Neander, Geschichte der Christ. Rel. und Kirche. Bd. 1. p. 595. Bd. 2. p. 708.

(ϐ) Τοιαῦτα ἐπικήδεια δεῖπνα, ἢ αἱ ἐπιτάφιοι δοχαὶ» ἐγίνοντο.

ἐπὶ νεκρῷ (φησὶ) μὴ ἀποκωλύσῃς χάριν» (ζ, 34). (α).

Μνημονεύουσι τῆς Β, τῶν Μακκαϐ. καὶ θ) ὁ ΠΕ κανὼν τῶν Ἀποστόλων. ι) Ὁ Τερτυλλιανὸς (κατὰ Ἰουδ. κεφ. 4). ια) Κλήμης ὁ Ἀλεξανδρεὺς, ὅςις ἀναφέρων τὴν Β, τῶν Μακκαβαίων, «*Μακκαβαϊκῶν ἐπιτομὴν*» αὐτὴν ὀνομάζει (Στρωμ. ε. σελ. 595. πρβλ. ὄπισθ. Βιϐλ. Α. σελ. 395). ιβ) Καὶ Ὠριγένης πολλαχοῦ μαρτυρίας ἐξ αὐτῆς, καὶ περικοπὰς ὅλας, καὶ ῥήσεις ἐκφέρει, καὶ *θείας Γραφὰς* διαῤῥήδην αὐτὰς ἀποκαλεῖ (οἷον περὶ Ἀρχῶν, Β, α. §. 5: περὶ Εὐχῆς §. 11: Προτρεπτ. εἰς μαρτύριον §. 22—25: Ἐξηγητ. εἰς Ἔξοδ. Ι, 27: εἰς τὸ κατὰ Ἰωάν. Εὐαγγ. Τόμ. α: 1, σελ. 17, 253: κτλ.). ιγ) Κυπριανὸς ὁ ἱερομάρτυς (ϐ). ιδ) Ὁ ἱερὸς Ἱππόλυτος (π. Ἀντιχρ. τ. α, σελ. 24). ιε) Προυδέντιος (ἐν τῷ περὶ Στεφάνων ὕμνῳ). ις) Εὐσέβιος (Εὐαγγ. Προπαρ. ΙΒ, γ). ιζ). Καὶ Γρηγόριος ὁ θεολόγος εἰς τοὺς Μακκαβαίους ἑπτὰ παῖδας λόγον ὅλον ἐχρυσοπλάκησε, καὶ ῥήσεις ἐκφέρει ἐκ τῆς Β, τῶν Μακκαβαϊκ. (καὶ ἐν λόγῳ Κ. μνημονεύει τῶν *Μακκαβαίων*

ἐπὶ τῶν νεκροταφείων καὶ παρ' ἄλλοις ἔθνεσιν (ϐλ. Grot. not. in Tob.) καὶ παρ' Ἑϐραίοις (κατὰ τὸν Τωϐίτ)· ὡς καὶ ἐν τοῖς οἴκοις τὰ περίδειπνα (ϐλ. Ἱερεμ. ις, 7. καὶ Ἰεζεκ. κδ. 17. πρϐ. Ἱερών. καὶ Grot. εἰς Ἱερεμ. αὐτ. τοιοῦτό τι καὶ τὸ Δευτερ. κς, 14. Β. Βασ. γ, 35: πρϐλ. Ἰωσ. Ἰουδ. πολ. Β, α. §. 1). Οὕτω καὶ παρὰ τοῖς Ὀρθοδόξοις λαοῖς ἔν τε τῇ κηδείᾳ καὶ ἐν τοῖς μνημοσύνοις, μετὰ τὰς ἐξιλαστικὰς τῆς Ἐκκλησίας εὐχὰς, διανέμονται καὶ ἄρτοι εἰς τοὺς συνερχομένους, καὶ μάλιστα τοὺς πένητας. Ὡσαύτως καὶ ἐπὶ τῆς κατ' ἔτος γινομένης μνήμης πάντων τῶν ἐν πίστει κεκοιμημένων, ἣν ἡ Ἐκκλησία τῷ τε πρὸ τῆς Ἀποκρέω κυριακῆς καὶ τῷ πρὸ τῆς Πεντηκοστῆς σαϐϐάτῳ ἐπιτελεῖ. Ἔστι δ' ὅπου τῶν ὀρθοδόξων χωρῶν (οἷον ἐν τῇ Ῥωσσίᾳ καὶ ἀλλαχοῦ) καὶ ἐν τοῖς κοιμητηρίοις οἱ εὐσεϐεῖς συνερχόμενοι, μετὰ τὰς ἱλαςηρίους ὑπὲρ τῶν κεκοιμημένων εὐχὰς, ἐκχέουσιν εἰς τοὺς πενομένους καὶ ἄρτους καὶ ἐλέη «ἐπὶ τοῖς τάφοις τῶν δικαίων».

(α) Τοῦτο παντοίως ἐξηγοῦσιν οἱ νεώτεροι κριτικοί· οἷον, θάψον τὸν νεκρόν· ἀπόδος τὴν χάριν τοῖς αὐτοῦ συγγενέσι· μέμνησο ὑπ' αὐτοῦ εὐεργετηθεὶς κτλ. (Castel. καὶ Grot. not. εἰς Σειρ.)· ἀλλὰ ταῦτα οὐδὲν πρὸς ἔπος. Ἐπ' αὐτῷ (φησι) τῷ νεκρῷ, μὴ ἀποκωλύειν χάριν· τουτέστιν ἀμέσως αὐτῷ τῷ κειμένῳ τὴν χάριν ἀποδιδόναι, καὶ μὴ μόνον πρὸς ἀνθρώπους, ἀλλὰ καὶ πρὸς Θεὸν μάλιστα (παρ' ᾧ ζῇ) μνημονεύειν αὐτοῦ, δι' εὐχῶν καὶ θυσιῶν, αἷς εὐαρεστεῖται ὁ Θεός.

(ϐ) S. Cyprian. Testimon. L. III. c. 4. 17.

παίδων). ιη) Καὶ Χρυσόστομος ὡσαύτως τρεῖς εἰς αὐτοὺς καθιέρωσεν ὁμιλίας. ιθ) Καὶ ὁ ἱερὸς Ἀμβρόσιος (π. καθηκόντων, κεφ. 40 καὶ 41, καὶ ἀλλαχοῦ· ὑπεμνημάτισε δὲ καὶ τὰς βίβλους τῶν Μακκαβ. ὡς καὶ τὰς ἄλλας θείας Γραφάς). κ) Μνημονεύουσι τῶν Μακκαβαϊκῶν καὶ Μακάριος ὁ ἁγιώτατος (α). κα) Ἐφραὶμ ὁ Σύρος (τόμ. β. σελ. 401. ἐκδ. Γραικολ.). κβ) Κύριλλος ὁ Ἀλεξανδρείας (εἰς Ἰωὴλ, σελ. 201). κγ) Θεοδώρητος (εἰς Δανιὴλ, η, 9). κδ) Ἰσίδωρος ὁ Πηλουσιώτης (Ἐπιστολ. Γ. δ). κε) Ἱλάριος (εἰς ψαλμ. ρλδ). κϛ) Ἱερώνυμος (ὅστις ὡς θείαν Γραφὴν ῥητῶς ἀναφέρει τὴν βίβλον τῶν Μακκαβαίων) (β). κζ) Σουλπίκιος ὁ Σεβῆρος (ἱστορ. β. σελ. 340). κη) Κασσιόδωρος (καὶ ἄλλοι τῶν ἀρχαίων λατίνων, οἷον Λουκίφερος, Ἰδάκιος, Κόϊντος Ἰούλιος, ὁ Ἱλαρίων). κθ) Ὁ ἱερὸς Αὐγουστῖνος, πολλαχοῦ (γ). λ) Προστεθείσθω καὶ Ἰννοκέντιος ὁ Πάπας Ῥώμης (ἐν τῇ πρὸς Ἐξουπέριον ἐπιστολῇ). λα) Καὶ ὁ θεῖος Δαμασκηνὸς (ἐν τῷ περὶ τῶν ἐν πίστει κεκοιμημένων §. γ) *θείαν γραφὴν* ὀνομάζει τὴν Β. τῶν Μακκαβαίων. λβ) Ὅτι δὲ μετὰ τοῦ ΠΕ, τοῦ Ἀποστολικοῦ, καὶ ὁ τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν (ὅθεν, καὶ ὁ β, τῆς ϛ, Οἰκουμενικῆς) συναριθμεῖ καὶ τὰ Μακκαβαϊκὰ μετὰ τῶν κανονικῶν τῆς Ἐκκλησίας βιβλίων, προείρηται. λγ) Τοῦτο καὶ πᾶσα

(α) «Ὥσπερ γὰρ τὸ ἐν Ἱεροσολύμοις πῦρ, τὸ διακονοῦν ἐν τῷ θυσιαστηρίῳ, κατὰ τὸν καιρὸν τοῦ αἰχμαλωτισμοῦ χωσθὲν ἦν ἐν λάκκῳ· καὶ αὐτὸ ἐκεῖνο, ἐν τῷ γενέσθαι εἰρήνην, καὶ ἐπανελθεῖν τοὺς αἰχμαλωτισθέντας, ὥσπερ ἀνεκαινίσθη, καὶ συνήθως διηκόνει» κτλ. (ἐκ τῆς Β, Μακκ. α. βλ. καὶ ὄπισθ. σελ. 152). Μακάρ. Ὁμιλ. ια. σελ. 57. Paris 1622.

(β) «Hoc enim S c r i p t u r a commemorat, quod Alexander rex Macedonum egressus sit de terra Chethin. ἐκ τοῦ Α, Μακκαβ. α. Comm. in Iesai. L. V. c. 23.

(γ) De cura gerenda pro mort. c. 1. §. 3: Epist. cciv. §. 6: Contra Gaudent. L. I. 37: De civit. Dei XVIII. 36. ὅπου λέγει ταῦτα. «Τὰς βίβλους τῶν Μακκαβαίων οὐχ Ἰουδαῖοι, ἀλλ' ἡ Ἐκκλησία ἔχει κ α ν ο ν ι κ ά ς» κτλ. Ὅθεν καὶ ὁ Ἱσπάλων Ἰσίδωρος· «Τὰς βίβλους τῶν Μακκαβ. ἐναντίον τοῦ παρ' Ἰουδαίοις ἔθους ἡ τοῦ Χριστοῦ Ἐκκλησία συνάμα τοῖς θείοις βιβλίοις τιμᾷ» κτλ. (Origin. L. VI).

ἡ Ὀρθόδοξος Ἐκκλησία πρεσβεύει ἀνέκαθεν. Τοῦτο καὶ ἐμπράκτως ἀπὸ τοῦ γ, αἰῶνος καὶ ἐφεξῆς κατ' ἔτος διακηρύττει, διὰ τῆς ἑορτῆς τῶν ἁγίων ἑπτὰ παίδων τῶν Μακκαβαίων καὶ τῆς μητρὸς αὐτῶν Σολομονῆς καὶ τοῦ διδασκάλου Ἐλεαζάρου, ἣν κατὰ τὴν πρώτην Αὐγούστου ἐπιτελεῖ, τιμῶσα «*τοὺς καὶ πρὸ τῶν Χριςοῦ παθῶν μαρτυρήσαντας*» (Γρηγόρ. Ναζ. αὐτόθ.)· ὧν καὶ τὰς εἰκόνας ὅπως δεῖ ζωγραφεῖν, διδάσκει ἡ περὶ τῆς ἱερᾶς εἰκονογραφίας ἀρχαία χειρόγραφος ἑρμηνεία (α). Τὴν δὲ ἑορτὴν καὶ ἡ Δυτικὴ Ἐκ-

(α) Τοιοῦτο χειρόγραφον ἀρχαῖον σῴζεται, συγγραφὲν εἰς τὴν χυδαίαν διάλεκτον ὑπὸ Διονυσίου τοῦ Ἱερομονάχου καὶ ζωγράφου, τοῦ ἐκ Φουρνᾶ τῶν Ἀγράφων (ἐν Ἄθωνι, ἔτει ͵αυνη, 1458), Ἑρμηνεία τῶν ζωγράφων, ὡς πρὸς τὴν ἐκκλησιαστικὴν ζωγραφίαν, ἐπιγεγραμμένον. Ἐν τούτῳ διδάσκει ὁ ἱερογράφος οὗτος, ὅπως δεῖ ζωγραφεῖν τὰς τῶν ἁγίων μορφὰς, κατὰ τὴν πάτριον παράδοσιν, καὶ τὰς ὑποτυπώσεις τῶν ἀρχαιοτάτων ζωγράφων, ἐν οἷς μάλιστα διέπρεψε καὶ ὁ διασημότατος ἐπὶ τῇ Ἐκκλησιαστικῇ ζωγραφίᾳ Μανουὴλ ὁ Πανσέληνος, οὗ τινος εἰκονογραφίαι ἐν τοῖς τοίχοις τοῦ ναοῦ διατηροῦνται ἔντε τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος, καὶ ἐν τῷ κατὰ Μακεδονίαν μοναστηρίῳ τῆς Κοσσιφοινίσσης, καὶ εἴπου ἄλλοθι· μνημονεύεται δὲ καὶ βιβλίον αὐτοῦ περὶ ζωγραφίας, ἐν ᾧ διελάμβανεν, ὅπως εἰκονιστέον τοὺς χαρακτῆρας τῶν ἁγίων (τὸ δὲ τοῦ Διονυσίου χειρόγραφον διαλαμβάνει καὶ περὶ Ἡλιοτυπίας, ὡς ὀνομάζει ζωγραφικώτατα τὸ εἶδος τῆς εἰκονογραφίας, τὸ καθ' ἡμᾶς παρὰ τοῖς Γάλλοις ἀνακαινισθὲν, ὑπὸ τὸ ὄνομα Δαγυεῤῥοτυπία, Daguerreotype, ὡς ἐκ τοῦ εὑρέτου Δαγυέῤῥου). Ἐκ τοιούτων ἀρχαίων ἱερογραφικῶν ὑποτυπώσεων ἠρανίσθη πάντως καὶ ὁ ἀνωτέρω Διονύσιος τὸ περὶ οὗ ὁ λόγος χειρόγραφον. Τοῦτο δὲ καὶ Γαλλιστὶ μεταφρασθὲν ἐξέδωκεν ὁ Γάλλος Διδρὼν (Didron, Manuel d'Iconographie Chrétienne Grecque et Latine. Paris, 1845), μετὰ προλόγου εἰσαγωγικοῦ, ἐν ᾧ θεωρεῖ τὸ βιβλίον πληρέστατον σύστημα τῆς Ἐκκλησιαστικῆς εἰκονογραφίας· καὶ τὴν καθ' ἡμᾶς ἱερὰν ζωγραφίαν (ἢ 'Αγιογραφίαν) θαυμάζει, θεωρήσας τὰς πολλαχοῦ τῆς Ἑλλάδος σωζομένας ἀρχαίας εἰκόνας, ἐν αἷς πανταχοῦ αἱ αὐταὶ τῶν ἁγίων μορφαὶ κατὰ διαφόρους τόπους καὶ χρόνους ἀπαραλλάκτως ζωγραφοῦνται· (τὸ σεμνὸν καὶ ἱεροπρεπὲς τῆς καθ' ἡμᾶς Ἐκκλησιαστικῆς ζωγραφίας καὶ ὁ κλεινὸς Μουστοξύδης διέκρινεν ἐν τῷ φερωνύμῳ Ἑλληνομνήμονι· σελ. 40, 278. Ἐν δὲ τῇ βασιλευούσῃ πόλει τοῦ Μονάχου πρό τινων ἐνιαυτῶν καὶ ναὸς ὁλόκληρος ἐζωγραφήθη θαυμαστῶς κατὰ τὴν Βυζαντινὴν ζωγραφίαν). Καὶ αὐτοῦ δὲ τοῦ πρωτοτύπου χειρογράφου τοῦ Διονυσίου ἐλπίζεται ἡ ἔκδοσις. Ἐν τούτῳ τοίνυν μεταξὺ τῶν ἄλλων εἰκόνων τῆς Παλαιᾶς Γραφῆς διδάσκονται οἱ ἁγιογρά-

κλησία, ὡς τὸ πάλαι, καὶ νῦν ἑορτάζει (α).

Τελευταῖον καὶ ἡ ἐν Τριδέντῳ Σύνοδος τῶν Δυτικῶν ἀμφότερα τὰ βιβλία τῶν Μακκαβαίων ταῖς κανονικαῖς συνηρίθμησε Γραφαῖς.

Μακκαβαίων Γ'.

§. λς. Τὸ τρίτον τοῦτο βιβλίον περιέχει ὑπόθεσιν ἀρχαιοτέραν τῶν Μακκαβαϊκῶν συμβεβηκότων, καὶ μηδεμίαν ἰδίως πρὸς τὰς τῶν Μακκαβαίων ἀνδραγαθίας συνάφειαν ἔχουσαν. Ἱστορεῖ τὸν ἐπὶ τοῦ Φιλοπάτορος ἐπιθανάτιον κίνδυνον τῶν κατ' Ἀλεξάνδρειαν Ἰουδαίων, καὶ τὴν θαυμαστὴν αὐτῶν διάσωσιν ἀπὸ τοῦ παγγενοῦς ὀλέθρου. Διὸ καὶ κατὰ τοῦτο μόνον ἐπεγράφη καὶ αὕτη ἡ βίβλος τῶν Μακκαβαίων, διότι καὶ οἱ ὑπὸ τοῦ μανιώδους Φιλοπάτορος θλιβέντες Ἰουδαῖοι ἔπασχον, οἷα καὶ οἱ κατὰ τοὺς Μακκαβαίους, ὑπὲρ τοῦ πατροπαραδότου νόμου τοῦ Θεοῦ. Ἀλλὰ καὶ πάσχοντες ἐτήρουν τὰ πάτρια σταθερῶς, ὡς οἱ Μακκαβαῖοι· καὶ καθὼς ἐπὶ τούτων ὁ Ἀντίοχος ἐβεβήλωσε τὸν θεῖον ναὸν, οὕτως ἐπεχείρησε καὶ ὁ Φιλοπάτωρ, κἂν θεόθεν ἀπείρχθη, τιμωρηθείς (β). Φαίνεται

φοι καὶ ὅπως ζωγραφητέον τοὺς ἁγίους Ἑπτὰ παῖδας τοὺς Μακκαβαίους, καὶ τὸν Τωβὶτ, καὶ τὴν Ἰουδείθ.

(α) Βλ. Beda, Martyrolog. ad Kalend. August. καὶ Bernard. Epist. 313.

(β) Τούτοις μὴ προσχὼν ὁ κλεινὸς Οὐαλκενῆρος, ἔγραψέ τινα τῆς αὑτοῦ σοφίας ἀπᾴδοντα. Εἶπεν ὁ ἱερὸς Κλήμης, ὅτι « φέρεται (τοῦ Μαρδοχαίου) βιβλίον (ἡ Ἐσθὴρ), ὡς καὶ τὸ Γ. τῶν Μακκαβαίων » (ὅμοιον δηλονότι κίνδυνον ὀλέθρου τῶν Ἰουδαίων ἱστοροῦν, οἷον διηγεῖται καὶ τὸ Γ. τῶν Μακκαβαίων). Ὁ δ' Οὐαλκενῆρος νοθίζων τὴν φράσιν, ὡς δῆθεν παρέγγραπτον εἰς τὸν Κλήμεντα, ἀπορεῖ, τί ποτ' ἐπῆλθεν εἰς τὸν νοῦν τοῦ γράψαντος, ὥστε παραβαλεῖν τὴν Ἐσθὴρ πρὸς τὸ Γ. τῶν Μακκαβ. « Καὶ ὑπάρχει μέν (φησιν) ἐπὶ τῶν πράξεων ὁμοιότης. Ἐκεῖ (ἐπὶ τῆς Ἐσθὴρ) βασιλεὺς Ἀρταξέρξης, καὶ οἱ ὑπ' αὐτῷ Ἰουδαῖοι, καὶ ὧδε (ἐπὶ τῆς Γ. τῶν Μακ.) βασιλεὺς Φιλομήτωρ, καὶ οἱ κατ' Αἴγυπτον Ἰουδαῖοι κινδυνεύσαντες· καὶ αἱ τοῦ Φιλομήτορός (φησιν) ἐπιστολαὶ (Γ. Μακ. κεφ. γ. καὶ ζ) συμπίπτουσι ταῖς ὡς ἐκ τοῦ Ἀρταξέρξου δῆθεν ἐν τῇ Ἐσθὴρ (κεφ. γ. καὶ η, κατὰ τοὺς Ο). Ἀλλ' ὅμως τοιαύτην ὑπόνοιαν » (οἵαν ὑπενόησεν ὁ κατ' αὐτὸν Ψευδοκλήμης) « οὐκ ἂν ἔσχεν ὁ κατ' ἐκείνους τοὺς χρόνους » (ἐπὶ τοῦ Φιλοπάτορος;) « γενόμενος Σειράχ. Γνωστὴ δὲ καὶ ἡ περὶ τῆς Ἐσθὴρ γνώμη τοῦ περικλεοῦς Σεμιλέρου » (Valk. de Aristob. Jud. p. 33). Ἀλλ' ὁ μὲν Κλήμης αὐτός τε ἔγραψε, καὶ ὀρθότατα συνεῖδε, καὶ αὐτῆς

δὲ τὸ βιβλίον ἑλληνιστὶ συγγεγραμμένον ὑπὸ τῶν ἐν Ἀλεξανδρείᾳ ἑλληνιστῶν, ἐπ᾽ αὐτοῦ τοῦ Φιλοπάτορος (τῷ 210 π. Χ.), καὶ οὐ μακρὰν κατόπιν τῆς Σειραχίδου Σοφίας, ὡς ἔκριναν ὀρθῶς ἄλλοι τε καὶ Γρότιος, καὶ Πέτρος ὁ Ἄλλιξ (α). Ὅτι δὲ καὶ ὑπὸ πάσης τῆς Συναγωγῆς ὡς γνήσιον ἐκυρώθη, δείκνυσιν ἡ καταχώρησις αὐτῆς ἐν πᾶσι τοῖς ἀρχαίοις ἀντιγράφοις τῶν Ο, ἃ παρέλαβε παρὰ τῶν Ἀποστόλων ἡ Ἐκκλησία, ὁποῖα καὶ παρὰ τοῖς π. Χ. ἑλληνισταῖς Ἰουδαίοις ἀνεγινώσκοντο.

Οὐαλκενῆρος ὡμολόγησε τὴν ἐφ᾽ ἑκατέραν τῶν περιστάσεων ὁμοιότητα τοῦ ἐσχάτου κινδύνου τῶν Ἰουδαίων. Εἰ δ᾽ ἐκ τῆς τοιαύτης ὁμοιότητος ὑπέλαβεν (ὡς ἔοικεν) ὁ κριτικὸς, καὶ ὅτι καταφαίνεται ψευδὴς ἡ ἱστορία τῆς Γ. τῶν Μακκαβαίων, ἄγαν ἠπατήθη. Πολλαὶ καὶ ἄλλαι διαφοραὶ διακρίνουσιν ἑκατέραν τὴν ἱστορίαν. Εἰ δ᾽ εἶχεν ὁ Οὐαλκενῆρος καὶ ἐπὶ τῆς Γ. τῶν Μακκαβαίων, καὶ μίαν Ἐσθὴρ, καὶ ἕνα Μαρδοχαῖον, καὶ ἕνα Ἀμὰν (τὰ κυριώτατα πρόσωπα τῆς Ἐσθηρείου ἱστορίας), καὶ τὸ ἦθος τοῦ Ἀρταξέρξου παρόμοιον τῷ τοῦ Φιλοπάτορος, τάχιστ᾽ ἂν καὶ διαῤῥήδην μετέφερε τὴν σκηνὴν τοῦ δράματος τοῦ Φιλοπάτορος ἀπὸ τῆς Αἰγύπτου εἰς τὰ Σοῦσα, καὶ ἐξήλειφεν ἐκ τῆς ἱερᾶς Βίβλου τὴν Γ. τῶν Μακκαβ. ὡς αὐτόχρημα μυθιστορίαν, ἢ, ἴσως, καὶ αὐτὴν τὴν Ἐσθὴρ, ὡς καὶ ταύτην τάχα μῦθον οὖσαν, κατὰ τὸν παρ᾽ αὐτῷ περικλεέστατον Σεμίλερον (περὶ οὗ λέγομεν εὐθὺς). Ἔπειτα, εἴπερ ἐξῆν διά τινας ὁμοιότητας δύω τινῶν πράξεων ἀμφιβάλλειν περὶ τῆς νεωτέρας, ὡς ἂν ἐκ τῆς προγενεστέρας ἀναπλασθείσης, πολλὰς ἂν ἐξωβέλισε διηγήσεις οὐ μόνον ἐκ τῆς κοσμικῆς, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς ἱερᾶς ἱστορίας ἡ Οὐαλκενήρειος γλυφίς. Αὐτίκα· κατῆλθεν εἰς τὴν Αἴγυπτον Ἀβραὰμ, κατῆλθε καὶ Ἰσαάκ· ἐκινδύνευσε τὸ κάλλος τῆς Σάῤῥας παρὰ τῷ βασιλεῖ τῆς Αἰγύπτου, καὶ πάλιν ἐν Γεράροις· ὡσαύτως καὶ τὸ τῆς Ῥεβέκκας ἐν τοῖς Γεράροις (Γεν. ιϐ. κ. κϛ), κτλ. Τί δὲ βούλεται παρὰ τῷ κριτικῷ καὶ ὁ πρὸ τοῦ Φιλοπάτορος συγγράψας τὴν Σοφίαν Σειρὰχ, ἀποροῦμεν· ἢ ἵνα δείξῃ, ὅτι ὁ κατ᾽ αὐτὸν Ψευδοκλήμης οὐκ ἦν Σειράχ; Παρὰ δὲ, τέλος, τὸν ἱκανῶς καὶ ἐκ τῶν ἔμπροσθεν (σελ. 98) γνωστὸν καὶ περιβόητον Σεμίλερον (ὅστις καὶ τὴν Ἐσθὴρ καὶ τὴν Ῥοὺθ ὡς μύθους ἔκρινεν Ἰουδαϊκοὺς, καὶ πρὸς ὃν ἀπήντησε καὶ περὶ τούτων ὁ προμνημονευθεὶς Σχιμίδιος, Schmid l. c. p. 192) πολὺ πάντως ἀξιοπιστότερος ὑπάρχει (νομίζομεν) ὁ Ἰώσηπος, ὅστις διέλαβεν (ὡς ἐροῦμεν εὐθὺς) καὶ περὶ τῆς Γ. τῶν Μακκαβαίων, χρησάμενος τῇ βίβλῳ ὡς γνησίᾳ καὶ ἱστορικῇ δημοσίως νενομισμένῃ, καὶ πάσης πίστεως παρ᾽ Ἰουδαίοις ἀνέκαθεν ἠξιωμένῃ.

(α) P. Allix, Judicium Ecclesiæ veter. Judaicæ. cap. 5. καὶ Grot. Annot. in Maccab. III. 1.

§. λζ. Καὶ μαρτυροῦσι λοιπὸν τὸ κῦρος καὶ ταύτης τῆς συγγραφῆς.

α) Αὐτὸς ὁ κώδηξ τῆς ἑρμηνείας τῶν Ο. β) Ὁ κώδηξ τῆς Συριακῆς ἑρμηνείας τῆς λεγομένης Ἁπλῆς (Πεσχίτας. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 891) (α). γ) Ὁ Ἰώσηπος, ὅστις ἐν τῷ κατὰ Ἀπίωνος (Β, §. ε) ἐκφράζει συντόμως τὴν ἱστορίαν τῆς Γ, τῶν Μακκαβαίων (β). δ) Ὁ ΠΕ κανὼν τῶν Ἀποστόλων (ὄπισθ. σελ. 110), τρία τὰ βιβλία τῶν Μακκαβαίων ἀριθμῶν (περὶ δὲ τοῦ κανόνος τῆς ἐν Καρθαγένῃ Συνόδου, προείπομεν σελ. 127). ε) Κλήμης ὁ Στρωματεὺς, ὅστις (ὡς προείρηται) συμπαραβάλλει τὸ βιβλίον τῆς Ἐσθὴρ πρὸς τὸ Γ, τῶν Μακκαβαίων διὰ τὰς ἐν ἀμφοτέροις

(α) Βλ. Kennicot, Dissert. general. p. 221. καὶ De-Rossi proleg. ad Var-Lect. V. Test. p. 159, καὶ Maij, Scriptor. veter. nov. Collectio etc. T. 5. pag. 1. Παρὰ δὲ τοῖς Δυτικοῖς οὐδεμία τοῦ Γ, τῶν Μακκαβ. λατινὶς ἑρμηνεία σῴζεται (ὅθεν καὶ ἐν τῷ κανόνι δύω μόνας ἀριθμοῦσι βίβλους τῶν Μακκαβαίων). Μόνος τῶν Δυτικῶν ὁ Ἱερώνυμος (Prolog. in Hebr. Rogum) μνημονεύει τὴν βίβλον ὑπ' ὀνόματι Φιλοπάτορα (ἐκ τοῦ Γ, Μακκ. α, 1), ὡς ἔκριναν οἱ περὶ τὸν Μεϊβόμιον. Ἄλλοι δὲ τοῦτο τὸ Ἱερωνύμου Philopatorem κρίνουσι διορθωτέον εἰς τὸ Pastorem (δηλαδὴ τὸν Ποιμένα, ἓν ἐκ τῶν μὴ κανονικῶν βιβλίων τῆς Καινῆς Διαθήκης). Καὶ ὁ πρῶτος τὸ Γ, τῶν Μακκαβαίων ἐκλατινίσας Φραγκῖσκος ὁ Ἰούνιος ἀποδέχεται τὸ Pastorem, πάστορα (=ποιμένα), ὡς αὐτὴν τὴν Γ, τῶν Μακκαβ. παρ' Ἱερωνύμῳ σημαῖνον, καθότι τὸ Πάςωρ παράγεται, φησὶν, ἀπὸ τῆς Πας άδος (!) ἢ Παστίδος (!), τουτέστιν ἀπὸ τῆς αὐλῆς τοῦ ναοῦ, ὅπου ἵςατο ὁ Σίμων ὁ ἀρχιερεὺς, ἀπείργων τὸν Φιλοπάτορα, βουλόμενον εἰσελθεῖν εἰς τὰ ἅγια τῶν ἁγίων (Γ. Μακκ. α). Τοιαύτην ἐτυμολογίαν, καὶ οὕτω πόῤῥωθεν ἐκμαστευθεῖσαν τοῦ Πάστορος ἑρμηνείαν, τὶς ἂν ἤλπιζε παρὰ τοῦ σοφοῦ Ἰουνίου; ὅστις, εἰ προσεῖχεν ἀτενέστερον, ἔβλεπεν ἂν, ὅτι, τεθείσης τῆς Παστάδος ἀντὶ τῆς αὐλῆς, ἔψονται λοιπὸν καὶ τὰ πρόβατα τοῦ Πάςορος, ἢ Ποιμένος αὐλιζόμενα, ἐν Παστάδι! Διὸ καὶ δικαίως ἠγανάκτησεν ἐπὶ τούτοις ὁ Λεμοῦνος (Epistol. ad Cuperum de Melanophoris p. 258. πρβλ. καὶ Fabric. Bibl. Græc. T. 3. p. 748. Harl.).

(β) Τὸ χωρίον κεῖται λατινιστὶ μόνον ἐκ τῆς μεταφράσεως τοῦ Ῥουφίνου (ὅστις ἢ αὐτὸς, ἢ ὁ ἀντιγραφεὺς πλανηθεὶς, ἔγραψε Φύσκονα ἀντὶ Φιλοπάτορα)· καὶ ἄλλο δὲ οὐ μικρὸν μέρος τοῦ ἑλληνικοῦ κειμένου τῆς Β, κατὰ Ἀπίωνος συγγραφῆς τοῦ Ἰωσήπου ὑπὸ χρόνου διεκπεσὸν, ἔσωσε καὶ εἰς ἡμᾶς ἡ λατινὶς ἑρμηνεία τοῦ Ῥουφίνου (βλ. Ἰώσηπ. τόμ. 6. σελ. 472—477 ἐκδ. Hav.).

ἱστορικὰς ὁμοιότητας ϛ) Ὁ Εὐσέβιος (Χρονικ. Β. σελ. 353 ἐκδ. Maij· πρβλ. καὶ σελ. 348. καὶ σημ.). ζ) Ὁ Ἀρειανὸς Φιλοστόργιος (Ἐκκλ. ἱστορ. Α. 1), καί τοι παραλόγως οὗτος ἀποδοκιμάζων τὸ βιβλίον «ὡς τερατῶδες, καὶ οὐδὲν ὅμοιον τῷ πρώτῳ διεξερχόμενον» (ὡς ἂν εἴπερ μόνη ἡ ἐπιγραφὴ τοῦ βιβλίου, διάφορα τῶν ἄλλων Μακκαβαϊκῶν πραγματευομένου, ἐξήρκει καὶ τερατῶδες αὐτὸ παραστῆσαι! πλὴν ἀλλ' ὅμως καὶ αὐτὸς ἀνέγνω τὸ τεῦχος συνάμα μετὰ τῶν ἄλλων δύω Μακκαβ. τεταγμένον). η) Θεοδώρητος (εἰς Δαν. ια, 7) λέγων· «καὶ τοῦτο δὲ ἡμᾶς ἡ τρίτη τῶν Μακκαβαίων ἐδίδαξε βίβλος». θ) Ἀποδέχεται τοῦτο καὶ ὁ ἱερὸς Ἀθανάσιος (ἐν τῇ Συνόψει, τέσσαρα τὰ βιβλία τῶν Μακκαβαίων ἀριθμῶν, μετὰ τοῦ Δ δηλαδὴ τοῦ Ἰωσηπείου, περὶ οὗ προείπομεν). ι). Καὶ Σύγκελλος (Χρονογρ. σελ. 556). ια) Καὶ Νικηφόρος ὁ Παπαρατριάρχης (Χρονογρ. σελ. 786), καὶ τοὺς ἐφεξῆς ὡς γνωστοὺς σιωπῶμεν (α).

§. λη. Τοσαῦτα εἴχομεν λέγειν καὶ περὶ τοῦ θείου κύρους τῶν

(α) Ὁ δὲ Σίξτος ὁ Σενῆνσις (εἰ χρὴ καὶ τούτου τοῦ πράγματος διαμνημονεῦσαι) ἔγραψεν, ὅτι ἄρα εἶδεν ἐν τῇ Σάγκτου τοῦ Παγνίνου βιβλιοθήκῃ ἄλλην Δ, βίβλον τῶν Μακκαβαίων ἑλληνιστὶ γεγραμμένην, μακρῷ δὲ τῆς Ἰωσηπείου διαφέρουσαν, καὶ πλήρη ἑβραϊσμῶν (βλ. Sixt. Senens. Bibl. Sanct. I. p. 39). Ἀλγεῖ δὲ λίαν ὁ Φαβρίκιος, διότι αὕτη, ἣν ὁ Σίξτος εἶδεν (ὡς λέγει) ἡ Δ, τῶν Μακκαβ. πρὶν ἢ ἴδῃ τὸ φῶς, συγκατεφλέχθη μετὰ τῆς Βιβλιοθήκης ἐκείνης (Fabric. Bibl. Græc. T. 3. p. 748). Ἀλλ' οὔτε ὁ Σενῆνσις ὑπῆρχε φερέγγυος περὶ τὴν ἀκριβῆ διάκρισιν τῶν ἑβραϊσμῶν, καὶ μικρὰν ἔπαθεν ἡ φιλολογία ζημίαν, ἀφανισθείσης τοιαύτης Δ, τῶν Μακκαβαίων, ἣν οὐδεὶς τῶν ἀρχαίων ἐγνώριζε· καὶ ἴσως ὑπῆρχεν ἡ αὐτὴ (καθὼς οἱ περὶ τὸν Καλμέτην (Diction.) ὑπέλαβον), καὶ ἥπερ ἐξεδόθη ὡς Ἀραβικὴ ἑρμηνεία τῆς Β, τῶν Μακκαβαίων ἐν τῇ Παρισινῇ Πολυγλώττῳ· βιβλίον πάντῃ διεφθαρμένον, καὶ οὐδὲν ἕτερον, εἰμὴ συμπίλημα ἐκ τῶν γνησίων Μακκαβαϊκῶν καὶ τοῦ Ἰωσήπου (ὡς ἀνωτέρω προείπομεν, σελ. 211). Ἐν δὲ τῷ προῤῥηθέντι Σύρῳ κώδηκι τῆς Πεσχίτας (ὄπισθ. σελ. 221) κεῖται Συριστὶ καὶ πέμπτον βιβλίον τῶν Μακκαβαίων, σύγγραμμα τῷ ὄντι τερατῶδες, ἐκ τῆς τοῦ Ἰωσήπου Ἀρχαιολογίας, καὶ τῆς ἱστορίας τοῦ Ἰουδαϊκοῦ πολέμου συγκαττυθέν· ὅθεν ἐπιγράφεται καὶ ἄλλως, «Λόγος πέμπτος Ἰωσήπου, ἢ περὶ τῆς καταστροφῆς τῶν Ἱεροσολύμων»· βλ. Montfauc. Diar. Italic. καὶ De-Rossi Proleg. l. c.

παρὰ μὲν τοῖς ἑτεροδόξοις ὡς δῆθεν Ἀποκρύφων ἀποβαλλομένων, παρ᾽ ἡμῖν δὲ γνησίων καὶ κανονικῶν πρεσβευομένων, καὶ σεβασμίως *Ἀναγινωσκομένων*, ὡς ὑπό τε τῶν ἁγίων Συνόδων, καὶ πάσης τῆς Ὀρθοδόξου τοῦ Χριστοῦ Ἐκκλησίας θεοπνεύστων ἀνακεκηρυγμένων, καὶ συνάμα τοῖς τοῦ Ἑβραίου κανόνος θείοις βιβλίοις ἐν τῷ Ἐκκλησιαστικῷ κανόνι εἰς αἰῶνα τὸν ἅπαντα τεταγμένων. Λέγομεν δὲ τὰ πέντε περὶ ὧν διελάβομεν τεύχη, τὸ τοῦ Τωβὶτ, τὸ τῆς Ἰουδεὶθ, τὸ τῆς Σολομῶντος Σοφίας, καὶ τῆς Σοφίας τοῦ Σειρὰχ, καὶ τὸ τῶν τριῶν βιβλίων τῶν Μακκαβαίων, μεθ᾽ ὧν συναπαρτίζεται ὅλος ὁ ἱερὸς κώδηξ τῆς ἑρμηνείας τῶν Ο (α).

(α) Ὡς ἅγια καὶ κύρια τὰ τεύχη ταῦτα καὶ ὁ περικλεὴς καὶ ἀείμνηστος Ἀλέξανδρος ὁ Μαυροκορδάτος διέγραψε, τὰς ὑποθέσεις αὐτῶν ἀφηγησάμενος ἐν τοῖς Ἰουδαϊκοῖς (σελ. ρπα, ρηθ, σπε, τιδ, τιε, τμ, ἐκδ. Βουκορ. 1716). Ὡσαύτως καὶ ὁ πολὺς τὴν θείαν καὶ ἀνθρωπίνην σοφίαν Γεώργιος ὁ Κορέσσιος ἐν τῷ εἰσέτι ἀνεκδότῳ αὐτοῦ Θεολογικῷ Συντάγματι (τούτου τὴν ἐν τῆς θείᾳ Γραφῇ καρποφόρον μελέτην δείκνυσι καὶ ἄλλο χειρόγραφον, Ἐξηγήσεις εἰς τὴν Πεντάτευχον, καὶ εἰς τὸν Ἡσαΐαν καὶ Ἱερεμίαν περιέχον, καὶ τηρούμενον ἐν τῇ βιβλιοθήκῃ τοῦ κατὰ τὴν Κωνσταντινούπολιν Πατριαρχικοῦ μετοχίου τοῦ Παναγίου Τάφου). Περὶ δὲ τοῦ χειρογράφου Θεολογικοῦ τοῦ ἀοιδίμου Εὐγενίου προείπομεν, καὶ τῆς ὑπὸ τοῦ μακαρίτου Ἀθανασίου τοῦ Παρίου φιλοπονηθείσης αὐτοῦ Ἐπιτομῆς (σελ. 59), ἐν οἷς ἅπασι τὸ τῶν Ἀναγινωσκομένων θεῖον κῦρος καθωμολόγηται κατὰ τὸν Ἐκκλησιαστικὸν Κανόνα (βλ. Ἀθαν. Ἐπιτομ. σελ. 25 καὶ 16, ὅπου καὶ περιττὸν προστέθειται σχόλιον· ἄπορον δὲ, καὶ ὅπως δύω μόναι βίβλοι τῶν Μακκαβαίων ἀριθμοῦνται, τρεῖς αὐτὰς τοῦ Ἀποστολικοῦ Κανόνος ὁρισαμένου). Κέχρηται μαρτυρίαις τῶν Ἀναγινωσκομένων ὡς ἐκ τῆς θείας Γραφῆς καὶ ἡ (χειρόγραφος καὶ αὕτη) Σύνοψις τῆς ἱερᾶς θεολογίας Νικολάου Κουρσούλα τοῦ Ζακυνθίου (οὗτος συνέγραψε καὶ ἄλλα ἀνέκδοτα, ὧν ἐμνημόνευσεν ὁ Ἑλληνομνήμων, σελ. 267. Ἥ γέ μην Σύνοψις περί τινα ζητήματα πνέει τι λεπτὸν ὀσμῆς Δυτικῆς, ἐξ ἀπροσεξίας τοῦ σοφοῦ συγγραφέως). Ἀλλὰ καὶ ἡ χειρόγραφος ἐν τῇ Βιβλιοθήκῃ τῆς ἐν Βιέννῃ Γραικικῆς Σχολῆς σωζομένη Θεία καὶ ἱερὰ Διδασκαλία ἤτοι Θεολογία εἰς τὴν ἁπλῆν διάλεκτον Βικεντίου Δαμωδοῦ τοῦ Κεφαλλῆνος, ἀκριβῶς περὶ τῶν θείων πραγματευομένη, καὶ ῥήσεις ἐκ τῶν Ἀναγινωσκομένων ἀναφέρει. Τούτοις προσθετέον, οὐδ᾽ ἐπιλῃστέον πάντως, καὶ τὴν (ὡς ἐπιγέγραπται) Ὁπλοφόρον παραίνεσιν (ὁπλοφόρον δὲ ἴσως ἡρμήνευσεν ὁ συγγραφεὺς τὸ Ἱερωνύμειον Galeatus. βλ. ὄπισθ. σελ. 124). Πρόλογός ἐστιν οὗτος βιβλίου κοινολεκτικῶς συγγεγραμμένου, τοῦ ἑξῆς·

Ὅτι δὲ ταῦτα καὶ ἡ Δυτικὴ Ἐκκλησία καὶ νῦν, ὡς ἀνέκαθεν, ἀποδέχεται καὶ συνομολογεῖ, προείπομεν πολλάκις ἐν τοῖς προηγηθεῖσιν (α). Ἤδη δὲ θεωροῦμεν καὶ ἱστορικώτερον τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο, ἐπάγοντες καὶ χρονολογικῶς διὰ μαρτύρων τὰς ἀποδείξεις.

«Ἑρμηνεῖαι εὐσεβεῖς τοῦ ψυχωφελεστάτου βιβλίου περὶ Μιμήσεως Χριστοῦ, νεωστὶ τυπωθεῖσαι, καὶ ἐκ τῆς πανουργίας τῶν ἑτεροδόξων διασωθεῖσαι». Ἐνετίῃσι 1770.- Ἐν δὲ ταύτῃ τῇ παραινέσει τὰ δόγματα τῆς Ὀρθοδοξίας διατρανῶν ὁ λόγιος καὶ ἀνώνυμος συγγραφεὺς (σελ. 1—51), καὶ τὸ κῦρος τῶν Ἀναγινωσκομένων κρατύνει (§. γ. σελ. 31—41 κτλ.).

(α) Ἐνταῦθα τοῦ λόγου καταστάντος, οὐκ ἂν παρέλθοιμεν σιγῇ τὴν ἄδικον γνώμην ἐπισήμων τινῶν συγγραφέων νεωτέρων ἐκ τῶν Ἀναμορφωτῶν, οἵτινες ἔγραψαν, ὅτι ἡ Ἀνατολικὴ Ἐκκλησία τῇ Δυτικῇ παρακολουθοῦσα (οὐκ ἀνέκαθεν οὕτως αὐτὴ φρονοῦσα) κατέταξεν ἐν τῷ Ἐκκλησιαστικῷ Κανόνι καὶ τὰ Ἀναγινωσκόμενα. Τοῦτο δὲ καί τινες τῶν νεωτέρων Δυτικῶν ἀπεφήναντο, βρενθυόμενοι καὶ καυχητιῶντες, καθ' ὃν δηλαδὴ στεφανοῦσι τύφον τοῦ Ποντίφηκος τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ὡς ὄντος δῆθεν κέφαλῆς πασῶν τῶν Ἐκκλησιῶν· ἧς «κυανέῃσιν ὑπ' ὀφρύσι» καταπνευσάσης, συνέστη ἀπ' ἀρχῆς καὶ διακρατεῖται πᾶς ὁ ἱερὸς τῶν Ἐκκλησιαστικῶν θεσμῶν διάκοσμος ἐν τῇ καθόλου Ἐκκλησίᾳ τοῦ Χριστοῦ! Ἀλλὰ πρὸς τούτους μὲν ἀπαντῶσιν ὅλαι σχεδὸν αἱ προηγηθεῖσαι σελίδες. Ὀρθότερα δ' ἂν ἔπραττον οἱ ἄνδρες εἰ τῶν μηδὲν αὐτοῖς προσηκόντων ἀφέμενοι, τὰ οἰκεῖα διώρθουν, καὶ πρῶτον αὐτὸν τὸν σοφώτατον Σιμώνιον, ὅστις ὀλίγον τιμῶν τῆς Τριδεντινῆς Συνόδου τὸ ψήφισμα, φαίνεταί πως οὐκ εὐνοῶν τοῖς Δευτεροκανονικοῖς, προστιθεὶς, καὶ ὅτι ἡ Γραικικὴ Ἐκκλησία (περὶ ἧς, φησι, λεγέτωσαν ὅ,τι θέλουσιν) οὐκ ἀπεδέχετο ταῦτα ὡς θεῖα καὶ κανονικὰ (Rich. Simon. Biblioth. crit. T. 1. p. 225. Ἐφ' ᾧ καὶ ὁ Προτεστάντης Ἔλσνερος ἐπαγάλλεται, συνεπαγόμενος μάρτυρα καὶ τὴν προειρημένην (σελ. 170) ὁμολογίαν τοῦ Κριτοπούλου!! Elssner neueste Beschreibung derer Griechischen Christen in der Türkey p. 152). Ἐκ δὲ τῶν Ἀναμορφωτῶν τοὺς ἄλλους ἀφέντες, ἕνα μάλιστα μνημονεύομεν, τὸν σοφὸν Ζίρνερον (Tzirner in Schröck's Christ. Kirchenges. seit der Reformat. T. 7. p. 75), ὅστις διαβάλλει τοὺς Ἀνατολικοὺς, καὶ ἰδίως τοὺς Πατέρας τῆς ἐν Ἱεροσολύμοις ἐπὶ τοῦ Πατριάρχου Δοσιθέου κατὰ τῶν Καλβινικῶν τοῦ Ψευδολουκάρεως κεφαλαίων καὶ ἐρωτήσεων συγκροτηθείσης Συνόδου (βλ. ὄπισθ. σελ. 131), ὅτι τάχα καὶ τὰ Ἀναγινωσκόμενα (καὶ κατ' αὐτὸν Ἀπόκρυφα) συνηρίθμησαν μετὰ τῶν Κανονικῶν θείων Γραφῶν, κατὰ τὰ ἀρέσκοντα τῇ Ῥωμάνᾳ Ἐκκλησίᾳ, χάριν φέροντες τοῖς Δυτικοῖς! (ὡς πειθόμενοι δηλονότι ταῖς καινοτέραις αὐτῶν δοξασίαις!! ἢ καὶ ὡς πολλὰ δὴ καὶ καλὰ παθόντες παρ' αὐτῶν, οὐχ ὁρᾷς;

ΚΕΦΑΛΑΙΟΝ Ε.

Χρονολογικὴ ἔκθεσις περὶ τοῦ θεοπνεύστου τῆς ἑρμηνείας τῶν Ο.

§. α. Τὸ κῦρος, ἢ τὴν αὐθεντίαν, τῆς ἑρμηνείας τῶν Ο χρονολογικῶς ἐξιστορῶν ὁ περιώνυμος Ὅδιος, καταγράφει τὰς περὶ αὐτῆς ὑπολήψεις καὶ μαρτυρίας τῶν ἀρχαίων καὶ νεωτέρων, ὅσας ἠδυνήθη φιλοπόνως συναγαγεῖν ἀπὸ τῶν χρόνων καθ' οὓς ἀνεφάνη ἡ ἑρμηνεία, μέχρι καὶ τῶν κατ' αὐτὸν ἡμερῶν. Τριχῶς δὲ τοῦτο τὸ χρονικὸν διάστημα διαιρεῖ. α) Ἐξετάζει, ποῖον ὑπῆρχε τὸ κῦρος τῆς ἑρμηνείας παρὰ τοῖς παλαιοῖς Ἰουδαίοις, τοῖς τε ἑβραΐζουσι

κατ' ἐκείνους τοὺς χρόνους, ὧν οὐκ ὀλίγα δείγματα πάλιν αὐτὸς ὁ ἀοίδιμος Πατριάρχης Δοσίθεος ἱστόρησεν ἐν τῇ Δωδεκαβίβλῳ !). Καὶ ταῦτα μὲν εἶπεν ὁ Ζίρνερος πολὺ μετριώτερον καὶ αἰδημονέστερον παρὰ τὸν (ἐξ οὗ μετέγραψεν, ὡς ἔοικε, τὴν γνώμην) ἔμπληκτον Αὑμόνον, ὅστις κορυβαντιῶν, ἐπλήρωσε σελίδας ὅλας πρὸς ἀπόδειξιν, ὅτι ἐπὶ τῶν δύω τῶν προειρημένων Συνόδων, τῆς ἐν Κωνσταντινουπόλει καὶ Ἰασίῳ, καὶ τῆς ἐν Ἱεροσολύμοις ἐπὶ τοῦ Δοσιθέου (βλ. ὄπισθ. σελ. 133), Ἐ π ά π ι σ ε ν ὁ λ ο τ ε λ ῶ ς ἡ Ἐ κ κ λ η σ ί α τ ο ῦ Χ ρ ι σ τ ο ῦ ! (ὡς τ' ἀνάπαλιν οἱ Ἰησουΐται, καὶ μάλιστα ὁ παπόφρων Ἀ λ λ ά τ ι ο ς, προβάλλοντες τὰ τοῦ Ψευδολουκάρεως, διεῤῥήγνυντο κραυγάζοντες· «Ἐ λ ο υ θ η ρ ο κ α λ β ί ν ι σ α ν ο ἱ Ἀ ν α τ ο λ ι κ ο ί» ! Ἀπόλοιντο ἐκ τῆς χρονολογίας οἱ στυγητοὶ ἐκεῖνοι καιροὶ τῆς ἑκατέρων τῶν φατριῶν κατὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας μανιώδους προσβολῆς, ἐφ' ᾗ πάντως ἐρυθριᾷ ἡ Ἐκκλησιαστικὴ ἱστορία !). Ἀλλ' Αὑμόνῳ μὲν ἐξῆν τερατεύεσθαι τότε τοιαῦτα, Ζιρνέρῳ δὲ, τῷ βουλομένῳ θηρευτῇ τῆς ἀληθείας εἶναι, πάντως οὐκ ἐξῆν. Οὐδὲ Βινέρῳ τῷ κλεινῷ, ὅστις καὶ αὐτὸς ὁ κριτικώτατος ἀνὴρ ἀπέκλινεν ἠρέμα πρὸς ταύτην τὴν ἀκριτολογίαν (**Winer, Comparative Darstellung des Lehrbegriffs der verschied. Kirchenparteien p. 12**). Πολλῷ γε παρὰ τούτους δικαιότερος τῆς ἀληθείας τιμητὴς ἀνεφάνη ἄλλος καθ' ἡμᾶς, ὃν καὶ λίαν ἀγάμεθα, καὶ μετ' εὐκλείας μνημονεύομεν, ὁ σοφὸς Ἰούλιος ὁ Κίμμελος, ὅστις, οὐδ' αὐτὸς τὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας πρεσβεύων, ὅμως ἀπήντησε χαριέντως ἅμα καὶ ἰσχυρῶς πρὸς πάσας τὰς τοιαύτας τῶν ἑτεροδόξων ἐπεσβολίας, ὅσας ἔγραψαν, δυσφημοῦντες τὴν ἐν τοῖς πρακτικοῖς τῆς Ἱεροσολυμίτιδος Συνόδου ἐκδεδομένην γνησίαν Ὁμολογίαν τῆς Ἀνατολικῆς Ἐκκλησίας τῶν Ὀρθοδόξων. Βλέπε τὰ προλεγόμενα τῆς, ἣν οὗτος ἔναγχος ἐξέδωκε, κριτικῆς ἐκδόσεως τεσσάρων Ὁμολογιῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας, (τριῶν κυρίως, καὶ μιᾶς, τῆς Ψευδολουκαρίδος), εἰς ἓν σ ῶ μ α συνηρμοσμένων, ὅπερ ἐπέγραψε, **Libri Symbolici Ecclesiæ Orientalis. nunc primum in unum corpus collegit E. I. Khimmel. Jennæ, 1843.**

καὶ τοῖς ἑλληνισταῖς. β) Ποίαν περὶ τούτου γνώμην εἶχον οἱ θεῖοι Εὐαγγελισταὶ καὶ Ἀπόστολοι. γ) Ποίαν, τέλος, ἡ Ἐκκλησία μετὰ τοὺς Ἀποστόλους καὶ ἐφεξῆς (α).

§. β. Αὕτη τοῦ πολυμαθοῦς Ἀρχιδιακόνου ἡ πραγματικὴ καὶ χρονικὴ διαίρεσις λίαν καὶ ἡμῖν ἤρεσεν, ὡς μάλιστα μεθοδικὴ καὶ σαφηνείας ἔμπλεως. Καὶ δὴ κατὰ ταύτην καὶ ἡμεῖς εἰς τρία τμήματα διαιροῦμεν, ἣν ἐν τούτῳ τῷ κεφαλαίῳ καταγράφομεν ἱστορικὴν σειρὰν τῶν περὶ τοῦ κύρους τῶν Ο, μαρτυριῶν, ἐπαινοῦντες μὲν ὅσα παρ' Ὁδίῳ κρίνομεν ὀρθὰ, ἀπαντῶντες δὲ πρὸς τὰ παρὰ λόγον, προστιθέντες δὲ καὶ ἄλλων Ὁδίου νεωτέρων περὶ τοῦ πράγματος γνώμας, μετὰ καὶ τῆς παρ' ἡμῶν κατὰ τὸ δυνατὸν εἰς τοῦτον τὸν ἔρανον ὀφειλομένης εἰσφορᾶς.

ΤΜΗΜΑ Α.

Μαρτυρίαι τῶν παλαιῶν Ἰουδαίων.

§. γ. Ἀρχόμενος τῆς ἱστορικῆς θεωρίας ὁ Ὅδιος, ἀποφαίνεται περὶ τῆς ἑρμηνείας τῶν Ο, ὅτι ἄρα οἱ ταύτην ἀνέκαθεν εἰς χρῆσιν παραλαβόντες ἑλληνισταὶ Ἰουδαῖοι, ὡς μὲν ἐκ τῶν *Ψευδαριστέου μυθευμάτων* συνάγεται, λίαν εἰδημόνως καὶ πιστῶς καὶ ἀκριβῶς ἡρμηνευμένην ἐφρόνουν, καὶ μηδὲν τοῦ πρωτοτύπου διαφέρουσαν. Ἀλλ' ὅμως (φησὶν) ὅτι καὶ οἱ ἑλληνισταὶ εἰς τὸ πρωτότυπον τὸ ἑβραϊκὸν ἐπένεμον τὰ πρωτεῖα, πιστεύοντες, ὅτι ἡ ἑλληνικὴ ἑρμηνεία οὐκ ἐφίκετο τοῦ ὕψους καὶ τῆς ἀξίας τῶν ἀρχετύπων Γραφῶν, ὡς νικωμένη κατὰ τὴν εὐγλωττίαν, φαίνεται ἐκ τοῦ προοιμίου τοῦ Σειρὰχ, λέγοντος, ὅτι «Καὶ ὁ νόμος καὶ οἱ προφῆται καὶ τὰ λοιπὰ τῶν βιβλίων» (παραβαλλόμενα πρὸς τὸ ἑβραϊκὸν) «οὐ σμικρὰν ἔχει τὴν διαφοράν».– Ἔπειτα δὲ (προστίθησιν Ὅδιος) περὶ τὴν γέννησιν τοῦ Σωτῆρος, ἢ μικρῷ πρότερον, ἐκράτησε παρὰ τοῖς Ἀλεξανδρεῦσιν Ἰουδαίοις ἡ ὑπόληψις, ὅτι ὁ *Μωσαϊκὸς νόμος*

(α) **Hody Lib. III. p. 218—569.** Ὁ Ὅδιος ἐν τούτῳ τῷ βιβλίῳ θεωρεῖ καὶ τὰ κατὰ τὴν Βουλγάταν, καί τινα περὶ τῆς ἐκ τοῦ ἑλληνικοῦ λατινίδος ἑρμηνείας τῆς καινῆς Διαθήκης. Ἀλλ' οὐδὲν τῇ καθ' ἡμᾶς πραγματείᾳ πρὸς ταῦτα κοινόν.

ἐπιπνοίᾳ τοῦ ἁγίου Πνεύματος ἐξελληνίσθη. Κατὰ δὲ τὸν β, αἰῶνα μ. Χ. ἐπλαστούργησαν οἱ αὐτοὶ Ἀλεξανδρεῖς καὶ δεύτερον μυθάριον, τὸ τῶν ΟΒ, δωματίων, ἐν οἷς οἱ ἑρμηνεῖς, ἕκαστος χωρὶς καθήμενοι, μεθηρμήνευσαν τὴν Γραφήν· καὶ τὰ μὲν τῶν ἑλληνιστῶν τοιαῦτα. Ἀλλά (φησι) καὶ τῶν ἑβραϊστῶν αὐτῶν Ἰουδαίων (τῶν τῷ ἑβραϊκῷ πρωτοτύπῳ χρωμένων) παρὰ πολλοῖς ἐπεκράτησεν οὐ μόνον ὁ μῦθος ὁ Ἀριστεανὸς (ὅτι δῆθεν ΟΒ, ἄνδρες ὑπὸ τοῦ ἀρχιερέως πεμφθέντες εἰς Ἀλεξάνδρειαν ἡρμήνευσαν τὰς Γραφὰς), ἀλλὰ καὶ ὁ νεώτερος, ὁ περὶ τῶν ΟΒ, δωματίων. Ὅθεν καὶ οὗτοι οἱ ἑβραΐζοντες ἀπέδωκαν τοῖς Ο μεταφρασταῖς πνεῦμα προφητικόν. Καί τοι (φησὶ) παρ' ἄλλοις ἄλλαι πάλιν ἐναντίαι παντάπασιν ἐκράτησαν *παραδόσεις*, οἷον ἡ τοῦ τριημέρου σκότους, τοῦ χυθέντος ἀνὰ πᾶσαν τὴν γῆν ἕνεκα ταύτης τῆς ἑρμηνείας, καὶ ἡ δι' αὐτὴν, ὡς ἐπὶ μεγίστῳ ἄγει, διαταχθεῖσα παρ' Ἰουδαίοις νηστεία, περὶ ὧν διέλαβεν ὁ Σκαλίγηρος (εἰς Εὐσεβ. Χρονικ.), προστιθεὶς, ὅτι καὶ διαφωνίαι μεγάλαι καὶ ἔριδες τῶν ἑβραϊστῶν πρὸς τοὺς ἑλληνιστὰς ἔκαιον ἀείποτε διὰ ταύτην τὴν ἑρμηνείαν. Ἀλλ' ἔγω γέ (φησιν Ὅδιος) οὐδόλως τῷ Σκαλιγήρῳ συμφωνῶ περὶ τούτων. Οὔτε γὰρ Ἰώσηπος ὁ Ἱεροσολυμίτης, Ἰουδαῖος καὶ αὐτὸς καὶ σοφὸς ἱερεὺς, ἐγίνωσκεν ὅλως οὔτε νηστείαν διαταχθεῖσαν, οὔτε διαμάχας μεταξὺ τῶν ἑβραϊστῶν καὶ ἑλληνιστῶν ἀναφλεγομένας χάριν τῆς ἑρμηνείας (ἧς τὴν ἱστορίαν καὶ μάλα σεμνῶς καὶ θαυμαστῶς διηγεῖται καὶ αὐτὸς, παρὰ τοῦ Ἀριστέου παραλαβών)· Οὔτε τῶν ἄλλων τῶν ἑβραϊστῶν ὅσοι τοῖς ἑρμηνευταῖς προφητικὴν ἀπένειμαν ἔμπνευσιν, οὐδὲ τούτων οὐδεὶς ἐγίνωσκε τὴν λεγομένην νηστείαν. Φαίνονται δὲ ταῦτα τὰ πλάσματα πολὺ καὶ τῆς βαβυλωνικῆς Γεμάρας νεώτερα (βλ. ὄπισθ.Βιβλ. Γ. κεφ. Β. §. λδ), ἥτις τὰς ἑλληνικὰς Γραφὰς ἀναγινώσκειν, ὡς πρᾶγμα θεμιτὸν, συγχωρεῖ τοῖς Ἰουδαίοις.

§. δ. Τοιαύτην (ὡς ἔπος εἰπεῖν) ὁ σοφώτατος Ὅδιος διαγράφει τὴν περὶ τῆς ἑρμηνείας ὑπόληψιν τῶν παλαιῶν Ἰουδαίων, ὑφ' ἓν ἆσθμα κατατείνων, καὶ μετὰ σπουδῆς, ὡς ἀστάθμευτος δρομεὺς,

διατρέχων τοὺς ἀπὸ γενέσεως αὐτῆς μέχρι καὶ τῆς σωτηρίου ἐποχῆς διεληλυθότας τρεῖς ὅλους αἰῶνας, καὶ μηδεμίαν τῶν λεγομένων μαρτυρίαν ἐπάγων, πλὴν τῆς ἐκτεθείσης ῥήσεως τοῦ Σειρὰχ (περὶ ἧς λέγομεν παρακατιόντες)· συνάπτει δὲ καὶ τὰ σαπρὰ τῶν νεωτάτων ῥαββίνων μυθάρια (τὰ περὶ τῆς νηστείας καὶ τοῦ τρινυχθημέρου σκότους), ἃ καὶ *παραδόσεις*, οὐκ' οἶδ' ὅπως, ὠνόμασε κατ' ἀρχὰς (ὡς δῆθεν ἄνωθεν παρὰ τῶν πατέρων εἰς αὐτοὺς καταβάντα), ἐν ᾧ καὶ αὐτὸς τὴν νεωτάτην αὐτῶν διαπλίνθευσιν τρανῶς ἐκ τοῦ Ἰωσήπου κατεξελέγχων, ἀποδείκνυσιν ἀφραίνοντα κἀκεῖνον τὸν βαθὺν Σκαλίγηρον, καὶ εἴ τινες αὐτῷ συνήνεσαν· διὸ καὶ κατὰ τοῦτο φαίνεται λίαν ἀγαστὸς καὶ δίκαιος ἀνήρ. Περὶ δὲ τῶν τοῦ *Ἀριστέου δῆθεν μυθευμάτων*, καὶ τῆς γενεθλιακῆς φυσιογνωμίας τῶν ὧν λέγει παρὰ τοῖς Ἀλεξανδρεῦσι χαλκευθέντων δύω *μυθαρίων*, οὐδὲν ἀπαντῶμεν. Ἱκανὸν, ὅτι αὐτὸς οὗτος, οἷον παλινῳδῶν, (πῶς δ' οὐκ ἔμελλεν, Ἰωσήπου κελεύοντος;) εἰσήγαγε, τέλος, καὶ τοὺς ἑβραΐζοντας συμφώνως τοῖς ἑλληνισταῖς ἀποδεχομένους ὡς ἀλήθειαν ἀναντίῤῥητον τὰ κατ' αὐτὸν *μυθάρια*, καὶ κοινῶς ὁμολογοῦντας τοὺς Ο, κατὰ θείαν ἐπίπνοιαν ἡρμηνευκότας τὰς Γραφὰς, μηδεμιᾶς ἔριδος μηδέποτε μέχρι καὶ τῶν Ἰωσήπου χρόνων, μήτε μεγάλης, μήτε μικρᾶς ἐπισυμβάσης μεταξὺ τῶν ἑβραϊζόντων καὶ τῶν ἑλληνισῶν, ἕνεκα τῆς ἑρμηνείας (καί τοι γε καὶ αὐτὸς ὀλίγῳ πρότερον εἰσῆγε τοὺς ἑβραϊστὰς ἀγανακτοῦντας χάριν τῆς ἑλληνικῆς ἑρμηνείας). Ἀλλ' ὁ κλεινὸς Ἀρχιδιάκονος εἴωθεν ἐνίοτε *δὶς τὴν αὐτὴν κράμβην ἕψειν*, καὶ περὶ τῶν *ἀριζήλως εἰρημένων καὶ αὖθις μυθολογεύειν*. Εἴδομεν δ' ἐν τοῖς προηγηθεῖσι διὰ μακρῶν ἐκτεθειμένα, καὶ ῥιζηδὸν ἀνατετραμμένα τά τε περὶ τούτων δὴ τῶν μυθαρίων ὑπ' αὐτοῦ γνωματευθέντα, καὶ τ' ἄλλα τὰ μυθοποιοῦντα τὸν Ἀριστέαν (βλ. Βιβλ. Β. Κεφ. Δ. §. η. Ε. §. κϛ. Ϛ. §. α.).

§. ε. Ἐφεξῆς ὁ σοφὸς Ὅδιος (σελ. 222) διαλαμβάνει, ὅτι παρὰ τοῖς Ἱεροσολυμίταις Ἰουδαίοις ἡ ἑβραϊκὴ ἀνεγινώσκετο Γραφὴ, καὶ τούτου μάρτυρα παράγει τὸν ἀρχαιολόγον Ἰώσηπον·

«ὅστις (φησὶ), καί τοι δοκῶν *ἔν τισι* τῇ ἑλληνικῇ χρησάμενος ἑρμηνείᾳ, ἀλλ' ὅμως τὸ κράτιστον μέρος τῆς ἑαυτοῦ ἀρχαιολογίας συνέταξεν ἐκ τοῦ ἑβραϊκοῦ πρωτοτύπου».– Ἀλλ' εἰ μὲν ἐπὶ τοῦ Ἰωσήπου τὸ ἑβραϊκὸν μόνον ἀρχέτυπον ὑπῆρχεν εἰς χρῆσιν παρὰ τοῖς Ἱεροσολυμίταις, ὀψόμεθα παρακατιόντες. Ὅτι δὲ ὁ Ἰώσηπος οὐκ *ἔν τισι* μόνον, ἀλλ' ἐν τοῖς πλείστοις δὴ καὶ καιριωτάτοις (ἵνα μὴ εἴπωμεν *ἐν πᾶσι*, πλὴν ὀλίγων) ἐχρήσατο τῇ ἑρμηνείᾳ τῶν Ο, καὶ ὅτι πρὸς αὐτὴν ἐπὶ τοῦ Ἰωσήπου συνεφώνει καὶ αὐτὸ τὸ ἑβραϊκὸν, δέδεικται προλαβόντως (Βιβλ. Γ. σελ. 849). Ῥᾷστα δ' ἂν τὸ πρᾶγμα διέκρινε καὶ Ὅδιος, εἴπερ ἐνεθυμεῖτο τὴν κοινὴν παροιμίαν «*μὴ κρίνειν ἀπὸ τῆς καλάμης τὸν σῖτον*», μηδὲ παραβάλλειν τὸ πολλὰ παθὸν Μασορίτειον πρὸς τὸ κατὰ τοὺς Ἰωσήπου χρόνους ἑβραϊκὸν, ὅπερ εἰσέτι διετήρει πᾶσαν *σχεδὸν* τὴν ἀκεραιότητα καὶ τὴν εὐμορφίαν ἐκείνου τοῦ ἀχράντου κειμένου, ἐξ οὗ οἱ Ο μεθηρμήνευσαν. Πλὴν ἀλλ' ἐν τούτοις ἐπαινοῦμεν πάλιν τὸν Ὅδιον, ὅτι συνετῶς καὶ γενναίως ἀντεῖπε πρὸς τοὺς περὶ τὸν Σαλμάσιον καὶ Βοχάρτον καὶ Καπέλλιον, οἵτινες (ἄνδρες τοιοῦτοι καὶ τηλικοῦτοι!) παραδόξως ὑπέλαβον τὸν διασημότατον ἱερέα τοῦ ναοῦ τῶν Ἱεροσολύμων Ἰώσηπον ἀμαθῆ τῆς ἑβραϊκῆς! Ἀλλ' ὁ Ἰώσηπος (ὡς αὐτὸς οὗτος γράφει) «*τὴν ἀρχαιολογίαν ἐκ τῶν ἑβραϊκῶν μεθηρμήνευσε γραμμάτων*» (προοιμ. Ἀρχαιολ.), «*γεγονὼς ἱερεὺς ἐκ γένους, καὶ μετεσχηκὼς τῆς φιλοσοφίας τοῖς ἐν ἐκείνοις* (τοῖς ἱεροῖς) *γράμμασι* (κ. Ἀπίων. Α.). καὶ δὴ καὶ «*ὡμολογεῖτο παρὰ τῶν ὁμοεθνῶν, πλεῖστον αὐτῶν κατὰ τὴν ἐπιχώριον παιδείαν διαφέρειν*» (ἐν τῷ τέλει τῆς ἀρχαιολογίας)· καὶ τέλος, τὰ περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βιβλία «*ἑλλάδι γλώσσῃ μετέβαλεν, ἃ τοῖς ἄνω βαρβάροις*» (τοῖς ἐν τῇ ἄνω Ἀσίᾳ Ἰουδαίοις βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 67) «*τῇ πατρίῳ συντάξας ἀνέπεμψε πρότερον*» (περὶ Ἰουδαϊκ. πολέμ. προοίμ. §. ε). Εἰ τοίνυν συνέγραψε τὴν πραγματείαν τῇ πατρίῳ διαλέκτῳ, τῇ ἑβραϊκῇ (δηλονότι τῇ συγγενεστάτῃ ταύτης, καὶ τότε συνήθει τοῖς ἑβραίοις Συροχαλδαϊκῇ), πῶς λοιπὸν οὗτος ἠγνόει τὰ ἑβραϊκά; Διὰ τούτων

τῶν Ἰωσήπου μαρτυριῶν ὁ σοφὸς Ὅδιος ἐξήλεγξεν ὀρθῶς τὴν κατὰ τοῦ Ἰωσήπου μάτην ἐπενεχθεῖσαν διαβολὴν, μνημονεύσας καὶ τὸν ἔνδοξον αὐτοῦ ἀντίπαλον, τὸν Οὐόσσιον, ὅστις κἀκεῖνος ἐξήλεγξεν ἄλλους πάλιν ὁμοίως ἐπιχειρήσαντας ἀποδεῖξαι τὸν Ματαθιάδην ἀδαῆ τῆς ἑβραΐδος ἔκ τινων δῆθεν παρερμηνειῶν ὀνομάτων ἑβραϊκῶν (α). Μόνον περὶ τῆς χρονολογίας ἔοικεν Ὅδιος λίαν ἀπαρεσκόμενος Ἰωσήπῳ. Ὅθεν μᾶλλον ἀποδέχεται τὸν Ῥαββὶν Ἀβαρβανῆλον, ὡς δικαίως κατακρίναντα τὴν Ἰωσήπειον ἀρχαιολογίαν ἕνεκα τῆς χρονολογίας. Ὀρθότερόν (φησιν) ἔκρινεν ὁ Ῥαββὶς Ἀβαρβανῆλος, εἰπὼν, ὅτι ὁ Ἰώσηπος ἀπαριθμεῖ τὰ ἔτη τῶν ἡλικιῶν (τῶν ἀπὸ Ἀδὰμ ἄχρι τοῦ Νῶε) πολλάκις κατὰ τὰς πλάνας καὶ τὰς συγχύσεις τῶν Ο, τῇ τούτων ἑρμηνείᾳ παρακολουθῶν, ἥτις *ὑπῆρχε τότε κοινῶς παρὰ τοῖς λαοῖς παραδεδεγμένη* ». – Ἀλλ' ὁ μὲν Ῥαββὶς ἐντεθραμμένος ἐν τῷ σκότει τῆς πλάνης τῶν Μασοριτῶν, οὐδὲν παράδοξον, εἰ, καμμύων πρὸς τὸ φῶς, οὐκ ἐσεβάσθη τοὺς πάλαι πατέρας αὐτοῦ, τοὺς περὶ τὸν Ἰώσηπον καὶ πάντας τοὺς τότε *λαοὺς τῶν Ἰουδαίων*, οἵτινες (ὡς ὁμολογεῖ) κοινῶς παρεδέχοντο τὴν ἑρμηνείαν τῶν Ο, ὡς ὁμόφωνον πάντως πρὸς τὸ κατ' ἐκείνους τοὺς χρόνους ἑβραϊκόν. Αὐτὸς δὲ ὁ κλεινὸς Ὅδιος οὐκ ὤφειλε περὶ τούτου ῥᾷστα τῷ λήρῳ Ῥαββίνῳ τὴν δεξιὰν ἐμβαλεῖν, ἐπειπὼν μονονοὺ τὸ τοῦ Σειρὰχ « *ἐφιλίασα αὐτῷ κἀγώ* »! Καὶ ἄλλο δέ τι ἐσφάλη. Σπουδάζων γὰρ ὅπως ἀποδείξῃ τὸν Ἰώσηπον, ὅτι κατὰ τὴν ἀρχαιολογίαν τῷ ἑβραϊκῷ μάλιστα παρηκολούθει κειμένῳ, ἀλλ' οὐ τῷ τῶν Ο, ἐπήγαγε πρὸς δεῖξιν μίαν ἑβραΐδα λέξιν, ἥτις ἀποδείκνυσι μᾶλλον τὸν Ἰώσηπον ἡμαρκότα περὶ τὴν ἐξήγησιν αὐτῆς, διότι παρέλιπεν, ἢ οὐκ ἐνόησεν ἀκριβῶς τοὺς ὀρθῶς αὐτὴν ἡρμηνευκότας Ο. Τὴν τρίτην τῶν Αἰγυπτίων πληγὴν (Ἐξόδ. η, 16) τὸ ἑβραϊκὸν γράφει *Κιννὶμ*, ὅπερ οἱ

(α) Βλ. Voss. Castig. ad Horn. de aetat. mund. c. 3. καὶ Auctar. Effug. c. 20 καὶ Epist. ad Colvium καὶ Resp. ad A. Hulsium c. 10 ἐν τῷ de LXX. Interpr. p. 315, 361, 396, 56. Πρβλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 850, 866.

Ο ἡρμήνευσαν *σκνίπας*, ὁ δὲ Ἰώσηπος γράφει *φθεῖρας* (Ἀρχ. Β. ιδ, §. 3). Ἀλλὰ τὴν ὀρθὴν καὶ ἀκριβῆ ἐξήγησιν τῶν Ο, βεβαιοῦσι 1) Ὁ Ψαλμῳδὸς, «τὴν κυνόμυιαν καὶ τοὺς *σκνίπας*» ἀριθμῶν (Ψαλμ. ρδ, 31). 2) Ἡ Σοφία τοῦ Σολομῶντος (ιθ, 10). 3) Ὁ Ἰεζεκιὴλ, παλαιὸς Ἑβραῖος τραγῳδὸς, καὶ μετ' αὐτοῦ ὁ Ἕλλην Ἀρτάπανος (παρ' Εὐσεβίῳ). 4) Ὁ Αἰγύπτιος καὶ Ἀλεξανδρεὺς Φίλων (α). 5) Ὁ συμπολίτης αὐτοῦ Ὠριγένης (εἰς Ἔξοδ. ὁμιλ. γ). 6) Ἡ παλαιὰ Ἰτάλα, καὶ ἡ Βουλγάτα τοῦ Ἱερωνύμου (Sciniphas). 7) Αἱ νεώτεραι ἑρμηνεῖαι. Ἀλλὰ καὶ αὐτοὶ οἱ καθ' ἡμᾶς ἐπισημότατοι τῶν ἑβραϊστῶν *σκνίπας* μεθερμηνεύουσι τὸ *Κιννὶμ* (β). Ὁ δ' Ἰώσηπος ἡρμήνευσε *φθεῖρας*, εἴτε κατά τινα παρὰ τοῖς τότε Ῥαββίνοις νενομισμένην ἐκδοχὴν τοῦ *Κιννὶμ* (ἣν καὶ Ὄγκελλος καὶ οἱ νεώτεροι Ἰουδαῖοι νομίζουσιν), εἴτε καὶ (τὸ πιθανώτερον) διότι ἐξέλαβε τὸ *σκνὶψ* ὡς συνώνυμον τοῦ *φθείρ* (γ).

(α) « Φορὰ σκνιπῶν ἐχύθη.- Τὸ δὲ ζῶον, εἰ καὶ βραχύτατον, ὅμως ἀργαλεώτατον. Οὐ γὰρ μόνον τὴν ἐπιφάνειαν λυμαίνεται, κνησμοὺς ἐμποιοῦν ἀηδεῖς καὶ βλαβερωτάτους, ἀλλὰ καὶ εἰς τὰ ἐντὸς βιάζεται διὰ μυκτήρων καὶ ὤτων· σίνεται δὲ καὶ κόρας ὀφθαλμῶν εἰσπετόμενον, εἰ μὴ φυλάξαιτό τις » (Φίλ. Βίῳ Μωσ. Α. σελ. 97 **Mang.**). Οὕτω ζωγραφικῶς διαγράφει τὴν σκνίπα καὶ Ὠριγένης (ἔνθ. ἀνωτέρ.),

(β) Βλ. **Gesen. Lexic. Hebr. p.** 490 πρβλ. **Oedmann, Vermischte Sammllung. aus d. Naturkunde etc. 1 Abth. k. 6. - Schulz** καὶ **Rosenmül. not. in Exod. l. c. - Eichhorn, Einleit. in d. Alt. Test. 3 Bd. p. 254.** καὶ **De Aegypti anno mirabil. p. 51.** Ὅστις τὸ **Kinnim** (οὗ τὸ ἔτυμόν, φησιν, ἄγνωστον) παρέβαλεν ὡς συγγενὲς τοῦ ἑλληνικοῦ Σκνὶψ, καὶ Κνίψ. (Ἔστι δὲ τοῦτο ἐκ τοῦ κνίζω, κνίσσω, καὶ παρ' Ἡσυχ. σκνίπτω [ὡς κορύσσω καὶ κορύπτω]· « σκνίπτειν, νύσσειν, καινοτομεῖν » ἴσ. γραπτέον κερτομεῖν). Τὸ γὰρ Κιννίμ (φησι) καὶ συντομώτερον ἐκφερόμενον Κνὶμ καὶ (μ=π, ὡς φίλον τοῖς Ἀσιανοῖς) Κνὶπ,=κνὶψ, σκνὶψ (οὕτω καὶ **Munster** καὶ **Vatablus** συνῆπτον τὸ κιννὶμ πρὸς τὸ **sciniphes.** βλ. **Critic. Sacror. adnot. in Exod. l. c.**).

(γ) Τὸ Σκνὶψ καὶ Κνὶψ (τὸ αὐτὸ καὶ ἐμπὶς) σημαίνει κοινῶς (καὶ παρὰ τοῖς Ἀττικοῖς· Ἀριςοφ. Ὄρν.) ἣν καὶ νῦν συνήθως λέγομεν σκνίπα, « τὸ κωνοποειδὲς καὶ τετράπτερον ζωΰφιον » (Ἡσύχ. Σουΐδ.)· ἐδήλου δὲ κατὰ διάλεκτον καὶ σκωλήκιον ἀμπελοφθόρον (Γαλην.) καὶ ξυλοφάγον (τὸ αὐτὸ καὶ ἴψ). Ὅθεν ὁ Ὅδιος (ὡς καὶ ἄλλοι) συνέχεεν ἐπὶ τῶν Ο τὴν σημασίαν, ἑρμηνεύσας, « σκνίπεσι » (ἤθελε

§. ς. Οὕτω δείξας Ὅδιος ἐκ τοῦ Ἰωσήπου, ὅτι παρὰ τοῖς Ἱεροσολυμίταις ὑπῆρχεν ἐν χρήσει ἡ πρωτότυπος ἑβραϊκὴ Γραφὴ, μεταβαίνει πάλιν εἰς τοὺς ἑλληνιστὰς, ἀποῤῥαπίζων δικαίως καὶ ἀνδρικῶς τὴν πλάνην ἄλλων πάλιν νεωτέρων σοφῶν, ὅσοι ἐνόμισαν, ὅτι δῆθεν οἱ ἑλληνισταὶ Ἰουδαῖοι οὐκ ἀνεγίνωσκον ἐν ταῖς Συναγωγαῖς τὴν ἑλληνίδα τῶν Ο, μετάφρασιν, ἀλλὰ τὴν ἑβραϊκὴν καὶ οὗτοι γραφήν (α). Ἀνατρέπει δὲ τὴν τοσαύτην παραδοξολογίαν ὁ κλεινὸς Ἀρχιδιάκονος διὰ τριῶν μαρτύρων ἀρχαίων καὶ ἐπισημοτάτων, τῶν ἑξῆς. Α) Ὁ Τερτυλλιανὸς, ἱστορήσας, ὅπως ἐπὶ τοῦ Φιλαδέλφου μετεφράσθησαν αἱ Γραφαὶ, ἐπιφέρει· «Τὴν σήμερον ἐν τῷ Σειραπείῳ ἔκθετοί εἰσιν (exhibentur) αἱ τοῦ Πτολεμαίου Βιβλιο-

---

γραφεῖν σκνιψὶ) vermiculis ligna erodentibus (σκωληκίοις κατεσθίουσι ξύλα)· πρβλ. καὶ Schleusn. Thes. V. Test. v. Σκνίψ. Λέγονται δὲ (παρὰ τῷ Κτησίᾳ) καὶ φθεῖρες, ζωΰφια ἀμπελοφθόρα· «Ὥσπερ ἐν τοῖς Ἕλλησιν οἱ φθεῖρες (βλάπτουσι) τὰς ἀμπέλους» (βλ. καὶ Bochart. Hierozoic. P. II. L. 4. c. 18. p. 578)· καὶ νῦν ἡ συνήθεια ψεῖρας (ἐκ τοῦ φθεὶρ, φσεὶρ, ὡς ἐκ τοῦ φθίω, ψίω) καλεῖ ζωΰφια κατεσθίοντα τὰ φύλλα καὶ τοὺς φλοιούς. Εἰσὶ δὲ καὶ παρὰ τῷ Ἀγαθαρχίδῃ καὶ «πτερωτὰ γένη φθειρῶν»· καὶ, «πτερωτοὶ φθεῖρες διάφοροι τοῖς εἴδεσι» (Διόδωρ. γ.). Ἐντεῦθεν ἴσως ὁ Ἰώσηππος ἐκλαβὼν τὸ τῶν Ο σκνίπες ἐπὶ τῶν ἀμπελοφθόρων θηριδίων, ἔγραψεν ἀντ' αὐτοῦ τὸ φθεῖρας, καὶ τούτους ἴσως πτερωτούς. Καὶ αὐτὸ δὲ τὸ Κιννὶμ κατὰ τοὺς Ἰωσήπου χρόνους ἴσως ἐσήμαινε καὶ τὰ διάφορα τῶν φθειρῶν εἴδη (ὡς διατείνεται ὁ Βοχάρτος, παραβάλλων, εἴ τῳ πιστὸς, πρὸς τὸ κιννὶμ καὶ τὸ Ἑλλην. κόνις, κόνιδος· αὐτόθ.). Καθόλου δὲ, σκνίπες, μυῖαι, σκώληκες, συγχέονται κατὰ διαλέκτους ἐπὶ τῶν βλαπτικῶν θηριδίων. Οἱ Ἱσπανοὶ τοὺς σκνίπας λέγουσι Mosquites, μυιάρια, καὶ οἱ Γάλλοι muscherons (ἡ δὲ καθ' ἡμᾶς χυδαία συνήθεια μυσίτζας, ἀντὶ μυΐτζας, τουτ. μυιίσκας, ἢ μυΐδας, λέγει τὰ ἐν τῷ οἴνῳ καὶ ὄξει κωνωπώδη ζωΰφια, culices vinarios), καὶ πάλιν οἱ Γάλλοι vermin (ἐκ τοῦ vermis, ὁ σκώληξ) τὸν φθεῖρα, καὶ τὰ τοιαῦτα θηρίδα· καὶ ἡ κόρις δὲ παρὰ τοῖς Τούρκοις καλεῖται σανιδόφειρα (tachta bit). Βλ. καὶ Riemer Ἑλληνογερμανικὸν Λεξικόν· καὶ Cahen not. in Exod. ὅστις ὀρθῶς ποιῶν ἐσημείωσεν αὐτόθι (Ἐξόδ. η, 16), ὅτι λείπει ἐκ τοῦ ἑβρ. τὸ «ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν «(ἐγένοντο οἱ σκνίφες), ὅπερ ἔχουσιν οἱ Ο.

(α) Οὕτως ὑπέλαβον ὁ Buxtorf. (in Thesaur. Rabinico), ὁ Salmasius (De lingua Hellenist.), ὁ Grotius (Addend. ad Hor. in I. Corinth. 14, c. 10), ὁ Heinsius (de lingua Hellenist.), ὁ Lightfoot (ad Act. VI, 1).

θῆκαι μετ᾿ αὐτῶν τῶν *ἑβραϊκῶν γραμμάτων»* (δηλονότι τῶν τοῖς Ἑβραίοις ἀνέκαθεν δεδομένων, καὶ ἐκ τοῦ ἑβραϊκοῦ ἐξελληνισμένων Γραφῶν). «Ἀλλὰ καὶ οἱ Ἰουδαῖοι ἐμφανῶς ἀναγινώσκουσι· φόρου ἐλευθερία· κοινῶς προσίασι κατὰ πᾶν σάββατον· ὁ προσιὼν εὑρήσει τὸν Θεὸν» κτλ. (α). Β) Ὁ μάρτυς Ἰουστῖνος (τοῦ Τερτυλλιανοῦ παλαιότερος) περίτρανα μαρτυρεῖ, ὅτι (μετὰ τὴν ἐπὶ τοῦ Φιλαδέλφου ὑπὸ τῶν Ο, μετάφρασιν) «ἔμειναν αἱ βίβλοι καὶ παρ᾿ Αἰγυπτίοις *μέχρι τοῦ δεῦρο, καὶ πανταχοῦ παρὰ πᾶσι τοῖς Ἰουδαίοις*, εἰ καὶ ἀναγινώσκοντες οὐ συνίασι τὰ εἰρημένα, ἀλλ᾿ ἐχθροὺς ἡμᾶς καὶ πολεμίους ἡγοῦνται» (Ἀπολογ. α). Καὶ πάλιν ἐν τῷ πρὸς Τρύφωνα διαλόγῳ ἐξελέγχων τοὺς Ἰουδαίους, ὅτι «πολλὰς Γραφὰς περιεῖλον ἀπὸ τῶν *ἐξηγήσεων»* (τῶν ἐν ταῖς Συναγωγαῖς αὐτῶν ἀναγινωσκομένων ἀντιγράφων τῆς ἑρμηνείας τῶν Ο), ἐν αἷς καὶ μίαν τοῦ Ἱερεμίου περικοπήν, ἐπιφέρει· «Καὶ αὕτη ἡ περικοπή... ἔτι ἐστὶν ἐγγεγραμμένη ἔν *τισιν ἀντιγράφοις τῶν ἐν Συναγωγαῖς Ἰουδαίων, πρὸ γὰρ ὀλίγου χρόνου ταῦτα ἐξέκοψαν»* (β). Γ) τέλος, μάρτυς τῆς παρὰ τοῖς ἑλληνισταῖς ἀναγινωσκομένης ἑρμηνείας τῶν Ο, ἔρχεται παρ᾿ Ὁδίῳ Φίλων, ὁ τοῖς Ἀποστόλοις σύγχρονος Ἰουδαῖος φιλόσοφος, ὁ καὶ Πλάτων τῆς Συναγωγῆς ἐπικληθείς, παρ᾿ ᾧ (φησὶν) εὑρίσκονται συχνάκις χωρία τῶν Ο κατὰ λέξιν ἀντιγεγραμμένα. Ὅθεν δῆλον, πόσον παρὰ τοῖς Ἰουδαίοις, καὶ μάλιστα τοῖς Ἀλεξανδρινοῖς, ἐκεκρατήκει κατὰ τοὺς χρόνους τοῦ Σωτῆρος ἡ ἑρμηνεία τῶν Ο. Ἐνταῦθα λόγον ποιεῖται καὶ περὶ τῶν ἀμαθῆ παντάπασι τῆς Ἑβραϊκῆς ὁμοῦ καὶ τῆς Χαλδαϊκῆς καὶ τὸν Φίλωνα ἀποφηναμένων, ἐν οἷς μετ᾿ ἄλλων διαπρέπουσι Κρόϊος, Σκαλίγηρος, Βοβέριος, Καπέλλιος, Μορῖνος, Ὑσσέριος, Σαλμάσιος, Γρότιος, Ἑΐνσιος (βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 868). Ἀλλὰ καὶ πρὸς τούτους πολλῷ δικαιότερος Ὅδιος ἀπαντῶν, «Ὑποπτεύω (λέγει) μήπως ἀδικώτεροι περὶ τὸν Φίλωνα προσηνέχθησαν οἱ ἄνδρες οὗ-

---

(α) Βλ. τὸ χωρίον ὅλον τοῦ Τερτυλλιανοῦ ἐν τῷ παραρτήματι.

(β) Βλ. πάντα τὰ χωρία τοῦ Ἰουστίνου ἐν τῷ παραρτήματι.

τοι, κρίναντες ὡς ἐκ τοῦ συντάγματος αὐτοῦ τοῦ *περὶ τῶν ἑβραϊκῶν ὀνομάτων*, ὅπερ διεφθάρη πολλαχοῦ ὑπὸ διασκευαστῶν, ὡς ἔξεστι μαθεῖν παρὰ τοῦ μεταφράσαντος τὴν βίβλον ταύτην Ἱερωνύμου, διαῤῥήδην μαρτυροῦντος, ὅτι τὰ ἀντίγραφα ἦσαν ἐπ' αὐτοῦ σφόδρα πρὸς ἄλληλα διαφωνοῦντα, καὶ περὶ τὴν τάξιν συγκεχυμένα (α). (Ἠδύνατο δὲ καὶ ἄλλως ὁ Ὅδιος ἐξελέγξαι τὴν κατὰ τοῦ Φίλωνος ἀδιάκριτον κρίσιν τῶν εἰρημένων σοφῶν, οἵτινες κατασκευάζοντες τὴν περὶ τὴν πάτριον διάλεκτον ἀμάθειαν τοῦ Φίλωνος ἐκ τῆς μὴ πάντη ἐπιτυχοῦς ἐξηγήσεως ἑβραϊκῶν τινων ὀνομάτων, ἔπειτα παρέβλεπον ἄλλων πάλιν ὀνομάτων ἐπιτετευγμένην ἑρμηνείαν, ἐξ ἧς ἀναδείκνυται, πᾶν τοὐναντίον, ὁ Φίλων ἔμπειρος τῆς ἑβραϊκῆς). Καὶ τέλος, ἀποφαίνεται ὀρθῶς ὁ κριτικὸς, ὅτι τὴν ἰδίαν αὐτοῦ ψῆφον οὐ τίθησι μετὰ τῶν ἰταμώτερον ὑπολαβόντων τὸν Φίλωνα παντάπασιν ἀδαῆ γραμμάτων ἑβραϊκῶν, καὶ μηδέποτ' ἀναγνόντα *τὴν ἑβραϊκὴν γραφήν*.

§. ζ. Ἐφεξῆς ἀπαντᾷ πρὸς τὸν Σαλμάσιον· ὅστις ῥύμῃ πολλῇ καθ' Ἑϊνσίου φερόμενος, παρεδόξασεν ἀλλόκοτον δόξασμα *περὶ τῶν ἑλληνιστῶν*, διατεινάμενος ἀτόπως, ὅτι δῆθεν οἱ τῇ ἑλληνίδι τῶν Ο, μεταφράσει χρώμενοι οὐκ ἦσαν Ἰουδαῖοι τὸ γένος, ἀλλ' ἢ αὐτοὶ οἱ εἰς τὸν ἰουδαϊσμὸν προσήλυτοι, ἢ προσηλύτων ἀπόγονοι, λαλοῦντες ἑλληνιστί. Ἀλλὰ πρὸς ταῦτα λίαν χαριέντως Ὅδιος ἐπήγαγε, «μήποτε οὖν καὶ οἱ παρ' Ἰουστίνῳ καὶ τῷ Τερτυλλιανῷ ἑλληνιστὶ τὰς γραφὰς ἀναγινώσκοντες Ἰουδαῖοι, πάντες ἦσαν Ἕλληνες κἀκεῖνοι προσήλυτοι, ἢ προσηλύτων παῖδες, καὶ παίδων ἔγγονοι»; Καὶ συμπεραίνει, τέλος, Ὅδιος ὀρθῶς, ὅτι ἑλληνισταὶ ἐκαλοῦντο πάντες, εἴτε Ἰουδαῖοι εἴτε προσήλυτοι, ὅσοι ἐλάλουν ἑλληνιστί (β). Συνεξελέγχει δὲ καὶ τὸν ἀκριτόμυθον Κρόϊον, ἐκλα-

(α) S. Hieron. praef. de Nomin. Hebr.

(β) Οὕτως ἐν τοῖς Ἱεροσολύμοις ἦσαν πολλοὶ τὸ γένος Ἰουδαῖοι, ἑλληνισταὶ, πιστεύσαντες εἰς Χριστὸν, ἐξ ὧν ἐξελέγησαν ὑπὸ τῶν Ἀποστόλων οἱ Ζ, Διάκονοι. Τούτων δὲ μόνον ἕνα βλέπομεν προσήλυτον (ἐξ ἐθνικοῦ ἰουδαΐσαντα πρότερον) « Νικόλαον προσήλυτον Ἀντιοχέα » (Πράξ. ς, 6).

βόντα ψευδῶς ὡς Ἰουδαίους τὴν θρησκείαν τοὺς ἐν ταῖ Πράξεσι (ς, ι) μνημονευομένους *ἑλληνιστὰς*, οἵτινες ἦσαν προφανῶς ἐξ ἑλληνιστῶν Ἰουδαίων χριστιανοί· μετὰ ταῦτα μεταβαίνει εἰς ἄλλην θεωρίαν. Μέχρι Φίλωνος (λέγει) καὶ αὐτοῦ τοῦ Ἰωσήπου οὐδεμία φαίνεται ἔρις μεταξὺ τῶν χριστιανῶν καὶ τῶν ἰουδαίων ἀναφυεῖσα, χάριν οἱασδήποτε τοῦ ἑβραϊκοῦ πρὸς τὴν ἑλληνικὴν ἑρμηνείαν διαφωνίας. Ὁ μὲν γὰρ Φίλων διαγράφει τὴν ἑβραϊκὴν καὶ τὴν ἑλληνίδα γραφὴν «καθάπερ ἀδελφάς, μᾶλλον δὲ, ὡς μίαν καὶ τὴν αὐτὴν *ἔν τε τοῖς πράγμασι καὶ τοῖς ὀνόμασιν*». Ὁ δὲ πάλιν Ἰώσηπος (τῷ 94 μ. Χ.) ἐν τῇ Ἀρχαιολογίᾳ (πρόσθες καὶ ἐν τῷ Α, κατα Ἀπίωνός) «διαλέγεται περὶ τῆς ἑρμηνείας ἄγαν ἐμφαντικῶς καὶ μεγαλοπρεπῶς, ὡς μηδόλως διαφθαρείσης, ἢ ὁπωσοῦν κηλιδωθείσης ἀφ᾽ ὧν χρόνων μεθηρμηνεύθη μέχρι καὶ τῶν κατ᾽ αὐτόν. Ἐννοοῦσι δέ (φησιν) ὅ,τε Φίλων καὶ Ἰώσηπος *μόνην τὴν ἑρμηνείαν τῆς Πεντατεύχου*». (μέγα λάθος Ὀδίου. βλ. ὄπισθ. Βιβλ. Β. κεφ. Ζ. §. ιε-ιη. ὁμολογήσει δὲ καὶ αὐτὸς Ὄδιος εὐθὺς). Ἀλλ᾽ οὐδὲ περὶ τῶν ἄλλων (προστίθησι) βιβλίων τῆς Γραφῆς φαίνεταί τις ἀντιλογία μεταξὺ τῶν Ἰουδαίων καὶ Χριστιανῶν μέχρι καὶ τοῦ Β, αἰῶνος ἀρχομένου, ὡς μαρτυρεῖ σαφῶς Ἰουστῖνος ὁ μάρτυς (τῷ 160 μ. Χ.), εἰπὼν πρὸς τὸν Τρύφωνα, ὡς εἴδομεν ἀνωτέρω (σελ. 233) «ὅτι *πρὸ ὀλίγου χρόνου ἐξέκοψαν*» οἱ Ἰουδαῖοι τὰ τοῦ Ἱερεμίου.

§. η. Καὶ τοίνυν μετὰ τὰς ἀρχὰς τῆς Β, ἑκατονταετερίδος ἤρξαντο οἱ τὴν ἑβραΐδα Γραφὴν ἀναγινώσκοντες Ἰουδαῖοι, καὶ αὐτοὶ οἱ ἑλληνισαὶ, διχογνωμεῖν καὶ ἀμφιβάλλειν περὶ τοῦ κύρους τῆς πρότερον παρ᾽ αὐτοῖς κυρίας καὶ ἁγίας νενομισμένης ἑρμηνείας τῶν Ο. Συμπεραίνεται δ᾽ εὐκόλως ὁ λόγος· ἐπειδὴ γὰρ οἱ χριστιανοὶ εἰώθεισαν ἐκ τῆς τῶν Ο ἑρμηνείας ἐκφέρειν πρὸς τοὺς Ἰουδαίους τὰς περὶ Χριστοῦ μαρτυρίας τῆς Γραφῆς, ἠναγκάζοντο καὶ οἱ Ἰουδαῖοι ἐκκαλεῖν τὰς μαρτυρίας ἀπὸ τῆς ἑρμηνείας εἰς αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκὸν, καὶ ταύτας ἄλλως ἐξηγεῖν καὶ μεταφράζειν, ὅπως διαφύγωσι τὰ ἐπιχειρήματα τῶν χριστιανῶν. Οὕτω δ᾽ ἐξ ἀνάγκης ἀντιβάλλοντες τὴν ἑρμηνείαν πρὸς τὸ πρωτότυπον τὸ ἑβραϊκὸν, εὕρηκαν

προσέτι καὶ χωρία, τὰ μὲν κείμενα παρὰ τοῖς Ο, μὴ κείμενα δὲ μηδόλως ἐν τῷ ἑβραϊκῷ· τὰ δὲ καὶ πάντῃ μαχόμενα καὶ διαφωνοῦντα πρὸς τὸ ἑβραϊκόν. Διὰ ταύτην τὴν αἰτίαν οἱ Ἰουδαῖοι ἤρξαντο περιφρονεῖν καὶ ἐκφαυλίζειν τὴν ἑρμηνείαν τῶν Ο, καὶ ἐξέκοπτον μὲν τὰ περιττότερα τοῦ ἑβραϊκοῦ, μετέβαλλον δὲ πρὸς αὐτὸ τὰ διαφωνοῦντα, καὶ μονονοὺκ ἀπέῤῥιπτον ἐκ τῶν χειρῶν αὐτῶν τὴν ἑρμηνείαν καὶ αὐτοὶ οἱ ἑλληνισταί, ἀντικαθιστῶντες πρὸς ἰδίαν αὐτῶν χρῆσιν ἄλλας ἑλληνικὰς μεταφράσεις, οἷον τὴν τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν». Ταῦτα Ὅδιος.

§. θ. Σὺ δ' ἐν τούτοις βλέπεις, ἀναγῶστα, πῶς ὁ κλεινὸς Ἀρχιδιάκονος ἠρέμα καὶ ὁμαλῶς, « *λεπτὸν ἴχνος* γραφίδος *τιθείς* », ἐξώλισθεν εἰς σοφισμάτιον· λέγων γάρ, ὅτι οἱ Ἰουδαῖοι παρεξετάζοντες τὴν ἑρμηνείαν πρὸς τὸ ἑβραϊκόν, εὕρισκον ἃς εἶπε διαφοράς, παρίστησι λοιπὸν τὴν ἑρμηνείαν ὅλως ἀνεξέλεγκτον οὖσαν, καὶ λίαν ἀταλαιπώρως καὶ ἀνεξετάστως ὡς κυρίαν καὶ θείαν πεπιστευμένην παρ' Ἰουδαίοις, μέχρις ἀρξαμένου τοῦ Β, αἰῶνος, ὁπότε, τῶν χριστιανῶν ἀναγκαζόντων, εὕρηκαν ἐν αὐτῇ χωρία (προϋπάρχοντα δηλονότι) τὰ μὲν περιττεύοντα, τὰ δὲ διάφωνα τοῦ ἑβραϊκοῦ. Ἀλλὰ ταῦτα ὁ σοφὸς ἀνὴρ ὑποβάλλων, ἔλαθεν εἰς ἑαυτὸν αὐτὸς ἀντιπεριπεσών. Ἔφθη γὰρ ὁμολογήσας, ὅτι μέχρι Φίλωνος καὶ Ἰωσήπου οὐδέποτ' ἤρισαν πρὸς ἀλλήλους οὔθ' οἱ ἑβραΐζοντες πρὸς τοὺς ἑλληνιστὰς Ἰουδαίους, οὔτε πρὸς τούτους ἑκατέρους οἱ πρῶτοι χριστιανοί, περὶ μηδεμιᾶς φανείσης διαφωνίας τοῦ ἑβραϊκοῦ πρὸς τὴν ἑρμηνείαν. Ὅτι δὲ καὶ Φίλων καὶ Ἰώσηπος ἐχρῶντο καὶ τῇ ἑβραΐδι καὶ τῇ τῶν Ο Γραφῇ, καὶ τοῦτο προανήγγελεν ὁ κριτικὸς (χρώμενοι δέ, πάντως καὶ παρέβαλλον αὐτάς· καὶ πολὺ πιστότερον καὶ ἀκριβέστερον, ὅσῳ καὶ σοφώτεροι ἦσαν τῶν κατὰ τὸν Β, αἰῶνα δυστήνων Ἰουδαίων)· πῶς λοιπὸν οὗτοι οἱ σοφοὶ καὶ ἄλλοι τοσοῦτοι υἱοὶ τῆς Συναγωγῆς οὐ συνεῖδον ταύτας τὰς διαφοράς; Αὐτὸς Ὅδιος προϊὼν (σελ. 241) ἔψευσε δικαίως τὸν Σιμώνιον, ὡς ἀκρίτως Σαλμασίῳ συμφωνήσαντα, ἐν οἷς εἶπεν, ὅτι διὰ τοῦτο καὶ τὸν Φίλωνα διέλαθον αἱ τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο προϋ-

φεστῶσαι διάφοραί, διότι καὶ παρὰ τοῖς Ἀλεξανδρεῦσιν ἑλληνισταῖς ἀνεγινώσκετο συνήθως ἐν ταῖς Συναγωγαῖς τὸ κείμενον τὸ ἑβραϊκόν. Τὴν δ' ἑλληνικὴν ἑρμηνείαν ἐπισυνῆπτον ὡς ἐπεξήγησιν τοῦ ἑβραϊκοῦ (α), (καθὼς καὶ οἱ ἐν Βαβυλῶνι, τὴν χαλδαίαν λαλοῦντες διάλεκτον, ἀνεγίνωσκον ὕστερον πρὸς τῇ ἑβραΐδι καὶ τὰς χαλδαϊκὰς παραφράσεις). Πῶς λοιπὸν (ὑπέλαβεν Ὅδιος ἀπαντῶν), πῶς ἐλάνθανον τὸν Φίλωνα αἱ διαφοραί, εἴπερ ἐν ταῖς Συναγωγαῖς τῶν ἑλληνιστῶν ἀνεγινώσκετο παραλλήλως πρὸς τὸ ἑβραϊκὸν καὶ ἡ ἑρμηνεία τῶν Ο; Ταύτην τὴν κρίσιν ὤφειλεν ὁ σοφὸς ἐπενεγκεῖν καὶ εἰς ἑαυτὸν (εἴ γε πρὸ μικροῦ γενναίως ὑπὲρ τοῦ Φίλωνος ἀντετάξατο πρὸς τοὺς τοῦτον ἀμαθῆ τῶν ἑβραϊκῶν γραφῶν δυσμενῶς περιθρυλλίξαντας). Κἀκεῖνο δὲ σημειωτέον. Οἱ Ἰουδαῖοι περὶ τὰς ἀρχὰς τοῦ Β, αἰῶνος παρεξετάζοντες (ὡς λέγει) καὶ διορθοῦντες τὴν ἑρμηνείαν τῶν Ο κατὰ τὸ ἑβραϊκόν, διώρθουν πάντως αὐτὴν ἐν μόνοις τοῖς ἐν ταῖς Συναγωγαῖς αὐτῶν ἀπογράφοις. Τὰ δὲ μένοντα παρὰ τοῖς ἐξ Ἰουδαίων πεπιστευκόσι πολυαρίθμοις Χριστιανοῖς, καὶ καθόλου τὰ κατὰ πάσας τὰς ὑπ' οὐρανὸν ὑπ' αὐτῶν τῶν Ἀποστόλων συστάσας Ἐκκλησίας ἀναγινωσκόμενα, ταῦτα λέγω πάντα διέμενον, ὡς εἶχον ἐξ ἀρχῆς, ἀδιόρθωτα, καὶ προσέτι σύμφωνα τοῖς ἀνέκαθεν ἐν ταῖς Συναγωγαῖς ἀναγινωσκομένοις (ἀπὸ γὰρ τῶν παρ' ἑαυτοῖς ἀντιγράφων πάντως λαμβάνοντες τὰς προφητικὰς ἀποδείξεις οἱ ἐκ περιτομῆς μάλιστα πεπιστευκότες, ἐξήλεγχον τὴν ἀπιστίαν τῶν Ἰουδαίων, διὸ καὶ συνηλάθησαν οὗτοι εἰς ἀνακάλυψιν τῶν δῆθεν ἐμφωλευουσῶν ἐν τῇ ἑρμηνείᾳ πλημμελῶν πρὸς τὸ ἑβραϊκὸν διαφορῶν). Ὅτι δὲ καὶ οὗτοι τοὺς ἐν τοῖς Συναγωγίοις παρ' αὐτοῖς ἀναγινωσκομένους κώδηκας τῆς ἑρμηνείας εἶχον ἔτι καὶ πρὸ Χριστοῦ παρὰ τῶν πατέρων αὐτῶν παραλαβόντες, ἡλίου φανώτερον· (οὐ γὰρ ἂν ὕστερον ἔλαβον αὐτοὺς παρὰ τῶν χριστιανῶν, οὓς ἐμίσουν θανασίμως).

(α) Βλ. Simon. Hist. crit. Vet. Testam. L. II. c. 17. pag. 92, 93. καὶ Disquisit. Critic. c. 16. καὶ Hist. Crit. N. T. c. 27.

Τούτων οὕτω βεβαίως κειμένων, συνέβη λοιπὸν δυοῖν θάτερον· ἢ γὰρ ἐξ ἀρχῆς ἀπ' αὐτῶν τῶν Ο πρεσβυτέρων (Ἰουδαίων καὶ αὐτῶν) ἐπήγασαν αἱ τοσαῦται καὶ τοιαῦται τῆς ἑρμηνείας πρὸς τὸ κείμενον διαφοραί, ἢ γοῦν αὗται εἰσέῤῥευσαν εἰς αὐτὸ τὸ τότε πρὸς τοὺς Ο διαφωνοῦν ἑβραϊκόν. Ἀλλὰ τὸ πρῶτον φαίνεται ἀδύνατον (εἴ γε μέχρι Φίλωνος καὶ Ἰωσήπου καὶ τῆς τότε Συναγωγῆς συνέπνεον ἀμφότεραι αἱ θεῖαι Γραφαί), ἕπεται λοιπὸν ἐξ ἀνάγκης, ὅτι λήγοντος ἤδη τοῦ α, καὶ ἀρχομένου τοῦ β, αἰῶνος, *πληθυνόντων τῶν μαθητῶν*, καὶ τοῦ εὐαγγελικοῦ κηρύγματος βεβαιοῦντος τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν, οἱ σκληροτράχηλοι Ἰουδαῖοι παρεξήγουν καὶ μετεποίουν παντοίως τὸ κείμενον τὸ ἑβραϊκόν· καὶ πρὸς τοῦτο συνδιέστρεφον καὶ τὰ παρ' αὐτοῖς ἀντίγραφα τῶν Ο, σμικρύνοντες τὸ σέβας, ὅπερ ἔτρεφον ἀνέκαθεν πρὸς τὴν ἑρμηνείαν. Καὶ τοῦτο δέδεικται σαφῶς ἐν τοῖς προηγουμένοις (Βιβλ. Γ. σελ. 75), ἐν οἷς εἴδομεν τὴν μανίαν τῶν περὶ τὸν Ἀκιβᾶν καὶ τῶν ἄλλων τῶν κατ' ἀρχὰς τοῦ β, αἰῶνος ῥᾳδιουργῶν, οἵτινες καὶ νεωτέρας ἐῤῥᾳδιούργουν ἑλληνικὰς ἑρμηνείας (οἷον τὴν τοῦ Ἀκύλα), καὶ τοὺς ἑβραϊκοὺς κώδηκας ἠρέμα διέφθειρον, συμμαχούντων πρὸς τὴν τοῦ κειμένου λώβην καὶ τῶν ἀμυθήτων δεινῶν τῆς ἐσχάτης καταστροφῆς τοῦ ἔθνους αὐτῶν.

§. ι. Μετὰ ταῦτα προβαίνων ὁ κριτικὸς εἰς τὴν ἐξέτασιν τῆς τῶν Ἰουδαίων πρὸς τοὺς Ο, παντελοῦς ἀποστροφῆς, ἐπιφέρει τὴν περὶ τῆς ἑρμηνείας τοῦ Ἀκύλα (ὃν κακῶς ὠνόμασεν ἑλληνιστὴν, ἕλληνα τὸ γένος ὄντα, Ποντικὸν, ἀπὸ Σινώπης) μαρτυρίαν τοῦ Ὠριγένους ἐκείνην· ὅτι «τῷ Ἀκύλᾳ *μάλιστα* εἰώθασιν οἱ ἀγνοοῦντες τὴν Ἑβραίων διάλεκτον *χρῆσθαι*» (τουτ. οἱ ἑλληνισταί Ἰουδαῖοι), «ὡς πάντων μάλιστα ἐπιτετευγμένῳ» (πρὸς Ἀφρικαν.). Ἀλλ' αὐτὸ τὸ, «*μάλιστα χρῆσθαι*», τοῦ Ὠριγένους ἀποδείκνυσιν, ὅτι, καίτοι τὸν Ἀκύλαν προτιμῶντες (καὶ ἐξαιρέτως κατὰ τὴν Παλαιστίνην), οὐδὲ τὴν ἑρμηνείαν τῶν Ο παντελῶς ἀπέβαλλον οἱ ἐπὶ τοῦ Ὠριγένους ἑλληνισταί· καὶ τοῦτο μαρτυρεῖ ὁ τοῦ Ὠριγένους ἔτι νέου γέρων σύγχρονος Τερτυλλιανὸς (ὄπισθ. σελ. 233). Καὶ αὐτὸ δὲ τὸ Ταλ-

μοῦδον μετὰ τὸν Ὠριγένην οὐκ ἀνησχύντησε παντελῶς πρὸς τοὺς Ο. «Παρὰ τοῖς Ταλμουδικοῖς (προστίθησιν Ὅδιος) τοῦ μὲν Ἀκύλα ἡ μετάφρασις ἔστιν ὅτε μνημονεύεται, ἡ δὲ τῶν Ο οὐδέποτε ἐν οὐδετέρῳ τῷ Ταλμούδῳ, κατὰ τὴν Λιχθοφώτου μαρτυρίαν, ἀνδρός (φησι) περὶ τὰς βίβλους ταύτας, εἴ τις καὶ ἄλλος, εἰς τὰ μάλιστα τρίβωνος». - Ἀλλ᾿ οὔτε Λιχθόφωτος ἀληθεύει (πολλὰ καὶ ἄλλα ψεύδη τῶν Ο κατειπὼν), καὶ Ὅδιος αὐτὸς ἐπελάθετο τῶν ὅσα πρότερον (αὐτόθι σελ. 139), ἐσημείωσεν ἐξ ἑκατέρου τοῦ Ταλμουδίου χωρίων, ἐν οἷς μνημονεύεται ῥητῶς οὐ μόνον ἡ μετάφρασις τῶν Ο γερόντων, ἀλλὰ καὶ αὐτῶν τῶν ΟΒ δωματίων τὸ θαῦμα (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 339). Κατὰ δὲ τὸν Ϛ, αἰῶνα μ. Χ. οἱ τότε Ῥαββῖνοι τῶν Ἰουδαίων σπουδάζοντες ἐπαναγαγεῖν ἅπαν τὸ Ἰουδαϊκὸν εἰς τὴν ἀνάγνωσιν τῆς ἑβραϊκῆς Γραφῆς, ἀπέβαλον ἐκ τῶν Συναγωγῶν πᾶσαν ἑλληνίδα, καὶ αὐτὴν τὴν τοῦ Ἀκύλα μετάφρασιν, παραναγινώσκοντες πρὸς τῷ ἑβραϊκῷ καὶ τὰς *μισνικὰς* αὐτῶν παραδόσεις, ἢ *Δευτερώσεις*· καὶ τοῦτο φαίνεται ἐκ τοῦ Ταλμούδου (ἐν Μεγιλλᾷ), ὅπου λέγει ὁ Ῥαββὶς Ἀσσήρ· «Καθὼς ὁ ἥλιος οὐκ ἂν ποτ᾿ ἀνατεῖλαι κατ᾿ ἀντιστροφὴν ἐκ δυσμῶν πρὸς ἀνατολὰς, οὕτως οὐδὲ τὴν ἀνάγνωσιν τοῦ Νόμου ἀντιστρόφως ἀναγνωστέον (ἐξ ἀριστερῶν δηλαδὴ πρὸς τὰ δεξιὰ, ὡς γράφουσιν Ἕλληνες)». Ἐπειδὴ δὲ πρὸς τὴν μεταβολὴν πολὺν θόρυβον ἐκίνουν οἱ Ἰουδαῖοι, καὶ πρὸς Ἰουστινιανὸν τὸν τότε βασιλεύοντα (τῷ 551) δεήσεις προσῆγον καὶ ἀναφορὰς, ἐπέτρεψεν αὐτοῖς ὁ Αὐτοκράτωρ, ἵνα «καὶ ἑλληνιστὶ, καὶ ταῖς ἄλλαις διαλέκτοις πρὸς τοὺς τόπους» (ἐν οἷς κατοικοῦσι) «τὰς Γραφὰς ἐν ταῖς Συναγωγαῖς ἀναγινώσκωσι, κατὰ τὴν τῶν Ο, ἢ καὶ τὴν Ἀκύλα παράδοσιν» (βλ. ὄπισθ. Βιβλ. Γ. κεφ. β. §. λδ). Ὥστε καὶ μέχρις Ἰουστινιανοῦ ἀνεγίνωσκον κατὰ τόπους καὶ τὴν τῶν Ο ἑρμηνείαν, ἐν ᾗ ἀνέκαθεν ἦσαν συνειθισμένοι. Ἕως οὗ, τέλος, ὑπερίσχυσαν οἱ Ῥαββῖνοι τὴν μὲν τῶν Ο καὶ πᾶσαν ἄλλην ἑλληνικὴν μετάφρασιν ἐκ τῶν συναγωγῶν ἐξορίσαι, ἀντικαταστῆσαι δὲ πανταχοῦ τὸ ἑβραϊκόν.

§. ια. Τελευταῖον· ὁ σοφὸς Ὅδιος προσθεὶς, ὅτι καὶ ἐπὶ Ἱερωνύμου καὶ ἐπὶ τοῦ Αὐγουστίνου, ὡς καὶ πρότερον ἐπ᾽ Ὠριγένους, ἀνέκρινον οἱ Ἰουδαῖοι τὴν ἑρμηνείαν τῶν Ο, ἐπέθηκεν ὡς κορωνίδα τοῦ κεφαλαίου τοὺς Ἀζαρίου τοῦ Ῥαββίνου χυτραίους λήρους, περὶ ὧν προείπομεν (Βιβλ. Γ. κεφ. ια. §. ιγ). καὶ οὕτω καταπαύει τὴν πρώτην ἱστορικὴν περίοδον τοῦ παρὰ τοῖς Ἰουδαίους κύρους τῆς ἑρμηνείας τῶν Ο γερόντων. Ἐπειδὴ δὲ τὸ μὲν πρὸς ταύτην, (ὡς θεόπνευστον καὶ τῷ πρωτοτύπῳ ἰσοστάσιον) παρὰ τῶν ἀρχαίων Ἰουδαίων σέβας σφόδρα συντόμως καὶ γλίσχρως καὶ ἐπισεσυρμένως, καὶ οἷον ἀγγαρευτὸς ἐσημείωσε· τὴν δὲ μετὰ τὸν πρῶτον ἀπὸ Χριστοῦ Σωτῆρος αἰῶνα καὶ ἐφεξῆς κατὰ τῶν Ο μῆνιν τῶν μισοχρίστων ἐμφαντικώτερον καὶ μάλα προθύμως ἐτρανολόγησεν (ὡς ἂν εἴπερ ἐσμικρύνετο ποσῶς τὸ θεῖον κῦρος τῆς ἑρμηνείας, εἰ καὶ πανταχόθεν εὐθὺς ἀπέβαλον αὐτὴν οἱ μετὰ Χριστὸν υἱοὶ τῆς κατηραμένης Συναγωγῆς, ἀπὸ βλεπόντων *τυφλοὶ γενόμενοι!* ἢ ὡς ἂν εἴπερ οὐκ ἂν γένοιτο οὐδεμία πραγματικὴ ἀλήθεια ἐν τῷ κόσμῳ, εἰ μὴ καὶ Ταλμουδικοὶ καὶ Μασσορῖται περὶ αὐτῆς μαρτυροῖεν!)· ὀφείλομεν λοιπὸν ἡμεῖς ἀναπληρῶσαι τὰς ἐλλείψεις, ἃς παρέλιπεν ὁ κριτικὸς, γράψαντες ἀκριβέστερον τὰς ἀποδείξεις τῆς δι᾽ ὅλων σχεδὸν πέντε αἰώνων καὶ ἐπέκεινα παρ᾽ ἅπασι τοῖς Ἰουδαίοις κεκρατηκυίας πρὸς τοὺς Ο, ὡς πρὸς θεόπνευστον Γραφὴν, εὐλαβείας καὶ τιμῆς.

§. ιβ. Α) Ὁ γεραρὸς Ἀριστέας, ἱστορῶν τὰ κατὰ τὴν ἑρμηνείαν, ἀνεκήρυξεν αὐτὴν «*καλῶς καὶ ὁσίως καὶ κατὰ πᾶν ἠκριβωμένως διηρμηνευμένην*, καὶ ὑπὸ τῶν πρεσβυτέρων καὶ τοῦ πλήθους παντὸς παραδεδεγμένην, καὶ δημοσίαις ἀραῖς ὠχυρωμένην, ἵνα διὰ παντὸς ἀένναα καὶ μένοντα φυλάσσηται τὰ γεγραμμένα. Ταύτην ὡς ἁγίαν ἐσεβάσθη προσκυνήσας καὶ ὁ Φιλάδελφος, ὅςις διεπράξατο τὴν τῶν Γραφῶν ἑρμηνείαν, οὐ μόνον ὅπως αὐτὴν θησαυρίσῃ ἐν τῇ βιβλιοθήκῃ, ἀλλὰ καὶ «*βουλόμενος χαρίζεσθαι καὶ τοῖς ἐν Αἰγύπτῳ, καὶ πᾶσι τοῖς κατὰ τὴν Οἰκουμένην* Ἰουδαίοις, καὶ τοῖς τότε καὶ τοῖς μετέπειτα» (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 591). Τοῦτο τὸ *παρ᾽ ἅπασι τοῖς Ἰουδαίοις* ὁμολογουμένως ἀποδεδεγμένον θεῖον κῦρος τῆς ἑρμηνείας

τῶν Ο, ἐξέφρασαν καὶ ὕστερον ὅ,τε Φίλων ἐκ μέρους τῶν Ἀλεξανδρινῶν καὶ τῶν ἄλλων τῶν πανταχοῦ τῆς Οἰκουμένης ἑλληνιςῶν, καὶ ὁ Ἰώσηπος ἐκ μέρους τῶν Ἱεροσολυμιτῶν καὶ τῶν ἄλλων τῶν ἑβραϊστῶν.

Β) Συντελεσθεῖσαν τὴν ἑρμηνείαν ἐπεκύρωσε πάντως ὡς κυρίαν καὶ γνησίαν καὶ αὐτὸ τὸ κατὰ τὴν ἱερὰν πόλιν τῶν Ἱεροσολύμων μέγα Συνέδριον, καὶ αὐτὸς ὁ τῆς ἑρμηνείας προςάτης ἀρχιερεὺς καὶ ἑλληνιστὴς Ἐλεάζαρος (οὗ τὸ περὶ τὴν ἑρμηνείαν πρόθυμον καὶ μεγαλόψυχον ἐπῄνεσε καὶ Ἰώσηπος ἐν Ἀρχαιολ. προοίμ. §. γ). Ἄλλως γὰρ, οὐκ ἂν αὐτὴν παρεδέξαντο ὡς ἄλλο θεόπνευστον πρωτότυπον πᾶσαι αἱ τότε κατὰ τὴν Ἀσίαν καὶ τὴν Αἴγυπτον καὶ Λιβύην Συναγωγαὶ τῶν ἑλληνιστῶν Ἰουδαίων, οἵτινες καὶ ἰδίᾳ καὶ δημοσίως ἐν ταῖς Συνάξεσιν αὐτὴν ἀνεγίνωσκον ὡς λόγια Θεοῦ· καὶ μάρτυς ὁ θεῖος Ἰάκωβος, λέγων· «*Μωσῆς ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν* τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς Συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος» (Πράξ. ΙΕ. 21). Κατὰ πόλιν δὲ λέγων, ἐννοεῖ πάντως οὐ μόνον τοὺς ἐν τῇ Ἰουδαίᾳ καὶ Παλαιστίνῃ κατοικοῦντας ἑβραϊστὰς (παρ' οἷς ἔτι καὶ τότε, ὡς ἐπὶ τὸ πλεῖστον μέρος, ἀνεγινώσκετο τὸ κείμενον τὸ ἑβραϊκόν· ὑπῆρχον γὰρ ἤδη ἐπὶ τοῦ Ἀποστόλου, καὶ πολὺ δὲ πρότερον, ἀπὸ τῆς ἐπικρατήσεως τῶν Μακεδόνων καὶ ἐφεξῆς, ἔν τε Ἰουδαίᾳ καὶ Παλαιστίνῃ καὶ πλῆθος ἑλληνιστῶν), ἀλλὰ καὶ τοὺς *πανταχοῦ τῆς οἰκουμένης* (ὡς εἶπεν ἀνωτέρω ὁ Φιλάδελφος) κατοικοῦντας ἑλληνιστὰς, παρ' οἷς ἀνεγινώσκετο Μωσῆς, *ἐκ γενεῶν ἀρχαίων*, κατὰ τοὺς Ο, ἀφ' οὗ δηλονότι ἐξελληνίσθησαν αἱ θεῖαι Γραφαὶ μέχρι καὶ τῶν ἡμερῶν τοῦ Ἀποστόλου, δι' ὅλων αἰώνων τριῶν (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 363, 797).

Γ) Ἐν τοῖς ἱεροῖς βιβλίοις τοῦ Τωβὶτ καὶ τῆς Ἰουδεὶθ καὶ τῆς Σοφίας τοῦ Σολομῶντος, εὐθὺς μετὰ τὴν ἑρμηνείαν τῶν κανονικῶν τευχῶν ἐξελληνισθεῖσιν, ἀπαντῶσι καὶ λέξεις καὶ φράσεις ἐκ τῆς τῶν κανονικῶν ἑρμηνείας, ὡς ἐξ αὐτῆς τῆς κυρίας καὶ θείας Γραφῆς. Ἐν τῷ Τωβὶτ ἀναγινώσκονται φράσεις οὐ μόνον ἐκ τῆς Πεντατεύ-

χου κατὰ τοὺς Ο (οἷον ἐν κεφ. δ, 12. ἐκ τῶν Γενέσ. κβ, κδ, κθ), ἀλλὰ καὶ ἐξ ἄλλων προφητῶν (οἷον ἐν κεφ. β, 6: ἐκ τοῦ Ἀμὼς η, 10: καὶ κεφ. ιγ, 11, ἐκ τῶν Ἡσαΐου νδ, 11. κτλ. καὶ κεφ. ιδ, ἐκ τοῦ Ἰωνᾶ, «ὅτι Νινευὴ καταστραφήσεται» Ἰων. γ, 4. πρβ. καὶ Ναοὺμ, β, 8: γ, 7) (α). Ἐν δὲ τῇ Ἰουδεὶθ (η, 16) ἀντιγέγραπται καὶ στίχος ὁλόκληρος ἐκ τοῦ Ἀριθμῶν κγ, 19, ὁ ἑξῆς· «Οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς διαρτηθῆναι, οὐδ' ὡς υἱὸς ἀνθρώπου ἀπειληθῆναι» καὶ (θ, 7) ἄλλος στίχος ἐκ τῆς Ἐξόδου (ιε, 3) «Κύριος συντρίβων πολέμους, κύριος ὄνομά σοι» κτλ. (β). Ἀλλὰ καὶ περὶ τούτων καὶ περὶ τῆς Σοφίας τοῦ Σολομῶντος ἱκανὰ προείρηται (σελ. 188, 197).

Δ) Οὐδὲ Δημητρίου τοῦ Φαληρέως, τοῦ μάλιστα περὶ τὴν ἑρμηνείαν μετ' εὐκλείας ἀειμνήστου πεπονηκότος ἐπιληστέον (οὐ γὰρ εὔγνωμον), καίτοι ἐθνικοῦ τὸ θρήσκευμα· οὐδὲ τῶν ἐφεξῆς Ἑλλήνων συγγραφέων, Εὐπολέμου καὶ Εὐφόρου καὶ Ἀρταπάνου καὶ τοῦ Πολυΐστορος καὶ τῶν λοιπῶν (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. γ. καὶ κεφ. ε. σελ. 316), ὅσοι μετὰ τὴν ἑρμηνείαν συγγράψαντες περὶ Ἰουδαίων, ἐξ αὐτῆς τῆς ἑρμηνείας, ὡς ἱερᾶς καὶ γνησίας παρὰ τοῖς Ἰουδαίοις ὁμολογουμένης γραφῆς, ἠρύοντο τὰς ὑποθέσεις τῶν συγγραφῶν.

Ε) Μετὰ τὴν ἔκδοσιν τῆς ἑρμηνείας ἔτει μόλις ἑβδομηκοστῷ (τῷ 210 π. Χ.) οἱ κατ' Αἴγυπτον Ἰουδαῖοι παγγενεὶ κατακριθέντες εἰς θάνατον ὑπὸ τοῦ Φιλοπάτορος Πτολεμαίου (ὡς ἱστόρησεν ὁ συγγραφεὺς τῆς Γ, τῶν Μακκαβαίων), προσηύχοντο πρὸς Κύριον ἐκ τῆς ἑρμηνείας τῶν Ο (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 477, 590),

(α) Πρβλ. Τωβίτ. α, 6, 7. καὶ Ἐξόδ. κγ, 19: Ἀριθ. ιη. 24: Δευτερ. ιδ, 28. - Τωβὶτ ς, 12 καὶ Ἀριθμ. λς, 8. - καὶ τὸ Γενέσ. β. 18. «ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτὸν (βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 926), οὕτω καὶ ἐν τῷ Τωβὶτ (η. 6) «ποιήσωμεν βοηθὸν ὅ μ ο ι ο ν αὐτῷ» (ἐπεξήγ. τοῦ κατ' αὐτόν)· ἴδε καὶ Τωβ. ιγ. 4. καὶ Δευτ. λ. 3. - Τωβ. ιγ. 11. καὶ Ψαλμ. πε. 9. κτλ.

(β) Πρβλ. καὶ Γενέσ. ιδ, 17 καὶ Ἰουδεὶθ ιε, 7: - Γενέσ. λδ, 13 καὶ Ἰουδεὶθ, θ, 2. - Ἐξόδ. α, 10 καὶ Ἰουδεὶθ, ε, 10, 11. - Ἐξόδ. ε. 21 καὶ Ἰουδεὶθ, ζ, 24. - Ἡσαΐ. λδ, 7. καὶ Ἰουδεὶθ, ς, 4. κτλ. πρόσθες καὶ τὸ γ α ι σ ὸ ς (Ἰουδεὶθ, θ, 7) ἐκ τοῦ Ἰησοῦ (η, 18). βλ. ὄπισθ. Βιβλ. Β. σελ. 495.

ὡς ἐκ βίβλου θείας καὶ κυρίας, ἧπερ ἐχρῶντο συνήθως ἐν ταῖς ἱεραῖς τελεταῖς.

ς) Ὀλίγῳ δ' ὕστερον ἐπὶ τοῦ Φιλομήτορος (τῷ 175 π. Χ.), διαμάχης γενομένης μεταξὺ Σαμαρειτῶν καὶ Ἰουδαίων περὶ τοῦ, πότερος ὁ γνήσιος καὶ ἅγιος ναὸς κατὰ τὸν νόμον τοῦ Μωσέως, ὁ ἐν Ἱεροσολύμοις, ἢ ὁ ἐν τῷ ὄρει Γαριζεὶν, καὶ τῆς δίκης ἀγομένης ἐπὶ τοῦ βασιλέως, προσήνεγκον τὰς ἀποδείξεις οἱ Ἰουδαῖοι ἐκ τῆς ἑρμηνείας τῶν Ο, (бλ. ὄπισθ. Βιбλ. Β. σελ. 363, 592), ὡς ἐκ βίβλου θείας καὶ κυρίας ἐγνωσμένης αὐτοῖς τε τοῖς Ἰουδαίοις, καὶ τοῖς ἄλλοις ἅπασι, καὶ τῷ δικάζοντι βασιλεῖ (Ἰώσηπ. Ἀρχ. ΙΓ, γ. 4).

Ζ) Ἰησοῦς ὁ Σειραχίδης ἑρμηνεύσας τὴν τοῦ πάππου Σοφίαν (τῷ 175 π, Χ.), πολλὰ τῆς ἑρμηνείας τῶν Ο μετέγραψεν· οἷον τὸ «*σφραγῖδος ἁγίασμα*» (Ἐξόδ. λθ, 30), καὶ «*ὡς ἱμάτιον παλαιωθήσονται*» (Ψαλμ. ρα. 27), καὶ ἄλλα, καὶ μάλιστα ἐκ τῶν Παροιμιῶν (βλ. ὄπισθ. σελ. 203).

Η) Ἰούδας ὁ Μακκαβαῖος καὶ ἡ γερουσία τῶν Ἱεροσολυμιτῶν Ἰουδαίων γράφοντες πρὸς Ἀριστόβουλον καὶ τοὺς ἐν Αἰγύπτῳ ἀδελφοὺς (Β, Μακκαб. α, б), ηὔχοντο πρὸς Θεὸν «διανοῖξαι τὴν καρδίαν αὐτῶν ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προστάγμασιν αὐτοῦ», ἅπερ ἀνεγίνωσκον δηλονότι ἐν τῇ ἑρμηνείᾳ τῶν Ο, ὡς ἐν Γραφαῖς θείαις καὶ κυρίαις ἐπίσης ταῖς πρωτοτύποις (βλ. ὄπισθ. Βιбλ. Β. σελ. 363). Καὶ τὴν ἐπιστολὴν δὲ τοῦ Ἱερεμίου μνημονεύουσι κατὰ λέξιν, μηκέτι σῳζομένην ἐν τῷ νῦν ἑβραϊκῷ(βλ. ὄπισθ. Βιбλ. Γ. σελ. 685). Καὶ φράσεις δὲ πολλαὶ τῶν κανονικῶν Γραφῶν ἀπαντῶσιν οὐ μόνον ἐν τῇ ἐκ τῶν Ἰάσωνος τοῦ Κυρηναίου ἑλληνιστὶ συνοψισθείσῃ Β, τῶν Μακκαβαίων, ἀλλὰ καὶ ἐν τῇ Α, οἷον τὸ (ε, 57) «ποιήσωμεν ἑαυτοῖς ὄνομα» (Γενέσ. ια, 4), καὶ ἄλλα πολυάριθμα.

Θ) Αὐτὸς ὁ Ἀριστόβουλος, ἐν ᾗ πρὸς τὸν Φιλομήτορα προσεφώνησεν *Ἑρμηνείᾳ τῶν νόμων*, ἀναφέρει ῥήσεις ἐκ τῆς ἑρμηνείας τῶν Ο, καὶ κατ' αὐτὴν, ὡς θείαν καὶ κυρίαν καὶ μηδὲν τῆς ἑβραΐ-

δος διαφέρουσαν Γραφὴν, τοὺς νόμους ἐξήγει (καθὰ καὶ Φίλων ὕστερον).

Ι) Ἐπὶ τοῦ Φιλομήτορος καὶ Ὀνίας ὁ σχίστης ἀρχιερεὺς ᾠκοδόμησεν ἐν Αἰγύπτῳ τὸ Ὀνίειον, ἐν ᾧ πάντως ἡ τῶν Ο Γραφὴ, ὡς κυρία καὶ θεόπνευστος καὶ τῆς ἑβραΐδος ἰσοδύναμος, ἀνεγινώσκετο πρὸς τῶν ἐκεῖ θρησκευόντων ἱερέων τινῶν καὶ Λευϊτῶν καὶ ἄλλων ὀλίγων Αἰγυπτίων Ἰουδαίων (Ἰώσηπ. Ἀρχ. ΙΓ. γ. 2—3 καὶ Ἰουδαϊκ. πολ. Ζ. 1, 3. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 562).

ΙΑ) Ἰεζεκιὴλ, ὁ Ἰουδαῖος τραγῳδοποιὸς, συνέγραψεν ἑλληνιστὶ τὰς Γραφικὰς αὐτοῦ τραγῳδίας, ἀρυόμενος τὰς ὑποθέσεις καὶ φράσεις καὶ λέξεις ἐκ τῆς ἑρμηνείας τῶν Ο, ὡς ἀπὸ γνησίας καὶ θείας Γραφῆς (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 139, 458).

ΙΒ) Ἔτι πρὸ Χριστοῦ Σωτῆρος ὑπῆρχεν ἐν Ἱεροσολύμοις Συναγωγὴ τῶν λεγομένων Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, ἁπάντων Ἰουδαίων ἑλληνιστῶν (Πράξ. ϛ)· Οὗτοι δὲ κατὰ πᾶν σάββατον ἀνεγίνωσκον τὴν τῶν Ο Γραφὴν ὡς ἰσότιμον τῇ ἑβραϊκῇ (α), καὶ οὐδέποτε φαίνονται διενεχθέντες πρὸς τοὺς ἑβραϊστὰς οὐδόλως περὶ οὐδενὸς χωρίου Γραφικοῦ (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 363).

ΙΓ) Οἱ κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς (τῷ 33 μ. Χ.) τυχόντες ἐν Ἱεροσολύμοις κάτοικοι τοῦ Πόντου καὶ τῆς μικρᾶς Ἀσίας, καὶ Φρύγες, καὶ Παμφύλιοι, καὶ Κρῆτες, καὶ ὅσοι ἄλλοι Ἰουδαῖοί τε καὶ προσήλυτοι ἑλληνισταὶ, πρὸς οὓς ὁ θεῖος Πέτρος ἑλληνιςὶ εὐηγγελίζετο τὸν Χριςὸν, ἤκουον τὰς μαρτυρίας τῶν Προφητῶν ἐκ τῆς ἑρμηνείας τῶν Ο, ὡς ἐκ θεοπνεύστου Γραφῆς.

ΙΔ) Ὅλον τὸ Συνέδριον τῶν Ἰουδαίων ἤκουον τὸν θεῖον Στέφανον ἐκφέροντα τὰς ῥήσεις τῆς θείας Γραφῆς κατὰ τὴν ἑρμηνείαν

(α) Κατὰ τοὺς Ῥαββίνους, ἐν Ἱεροσολύμοις ὑπῆρχον 480 συναγωγαί. Ἐν δὲ ταύταις ἦσαν οὐκ ὀλίγαι τῶν Ἑλληνιστῶν. Καὶ ἐν Καισαρείᾳ δὲ τῆς Παλαιςίνης ὑπῆρχε Συναγωγὴ Ἑλληνιστῶν, ὡς μαρτυρεῖ τὸ ἱεροσολυμικὸν Ταλμοῦδονς καὶ ἀλλαχοῦ τῆς Παλαιστίνης, ὅπου κατῴκουν Ἑλληνισταὶ (Ἰουδαῖοι καὶ προσήλυτοι). Βλ. Drusij καὶ Grotij Annot. εἰς Πράξ. ϛ. 1.

τῶν Ο (καθὼς αὐτὰς ἐχάραξε τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ εὐαγγελιστοῦ Λουκᾶ (Πράξ. ζ), καὶ οὐδόλως ἀντεῖπον, ὡς οὐχ οὕτω κεῖται ἐν τῇ Γραφῇ· (Ὅτι δὲ διαφέρουσιν αἱ ῥήσεις αὗται ἐν τῷ καθ' ἡμᾶς ἑβραϊκῷ, ὑπάρχει πρᾶγμα βέβαιον) (α).

ΙΕ) Φίλων ὁ Ἰουδαῖος (τῷ 40 μ. Χ.) ἱστορῶν τὰ κατὰ τὴν ἑρμηνείαν τῶν Ο, «Καθάπερ (φησὶν) ἐνθουσιῶντες (οἱ ἑρμηνεῖς) προεφήτευον, οὐκ ἄλλα ἄλλοι, τὰ δ' αὐτὰ πάντες ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως ἑκάστοις ἀοράτως ἐνηχοῦντος· – καὶ συντρέχοντα τοῖς πράγμασιν ὀνόματα ἐξεῦρον, ἅπερ δὴ μόνα, ἢ μάλιστα τρανώσειν ἔμελλεν ἐμφαντικῶς τὰ δηλούμενα». – Καὶ, ἐάν τε Ἑβραῖοι ἑλληνίζοντες, ἐάν τε Ἕλληνες ἑβραΐζοντες «ἀμφοτέραις ταῖς Γραφαῖς ἐντύχωσι» (τῇ ἑβραΐδι καὶ τῇ διερμηνευθείσῃ), «καθάπερ ἀδελφὰς, μᾶλλον δ' ὡς μίαν καὶ τὴν αὐτὴν ἔν τε τοῖς πράγμασι καὶ τοῖς ὀνόμασι τεθήπασι καὶ προσκυνοῦσιν, οὐχ ἑρμηνεῖς ἐκείνους ἀλλ' ἱεροφάντας καὶ προφήτας προσαγορεύοντες, οἷς ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰλικρινέσι τῷ Μωσέως πνεύματι» (βίῳ Μωσ. σελ. 140). Οὕτω σαφῶς ἐξέφρασε τὴν παρὰ πᾶσιν Ἰουδαίοις ἀπ' ἀρχῆς κρατοῦσαν ὑπόληψιν περὶ τοῦ θεοπνεύστου τῆς ἑρμηνείας τῶν Ο, ὅπερ ὡς δόγμα πάτριον ἐπρέσβευε καὶ αὐτός. Ὅθεν καὶ τὴν πραγματικὴν ἀκρίβειαν τῆς Μωσαϊκῆς φράσεως ἐθαύμαζε, «Σαφῶς εἰδὼς, ὅτι περιττὸν ὄνομα οὐδὲν τίθησιν ὑπὸ τῆς τοῦ πραγματολογεῖν ἀμυθήτου φορᾶς» (περὶ φυγάδ. σελ. 554 τόμ. α). Ἀλλὰ καὶ τὴν ἐπὶ τῇ ἑρμηνείᾳ διαταχθεῖσαν ὑπὸ τοῦ Φιλαδέλφου ἑορτὴν, καὶ ἔκτοτε μέχρις αὐτοῦ Φίλωνος τελουμένην διέγραψε λαμπρῶς ὁ Πλάτων οὗτος τῆς Συναγωγῆς. Ὅτι δὲ καὶ ἐξ ἧς ἱστόρησε συμφωνίας ὅλων τῶν ἑρμηνευτῶν (*«ὥσπερ ὑποβολέως ἑκάστοις ἀοράτως ἐνηχοῦντος»*), συμπεραίνεται σαφῶς καὶ ἡ κατὰ μέρος ἐν ΟΒ δω-

---

(α) « **Certum est Stephanum hoc loco ut et reliqua concione, secutum esse non hodiernum Hebr. textum, sed Graecum LXX interpretum, qui eodem plane modo etiamnun hodie in codicis Græcis se habet quomodo à Stephano citatur » etc. L. Cappel. Annot.** εἰς Πράξ. ζ, 43.

ματίοις περὶ τὴν ἑρμηνείαν ἐνασχόλησις ἑκάστου τῶν ἑρμηνευτῶν (ὡς καὶ ἐξ ὧν διέλαβεν Ἀριστέας), προείπομεν ἐκτενέστερον ἐν τοῖς προρηθεῖσι (Βιβλ. Β. κεφ. ς. §. ιζ. κα.) (α).

ΙΣΤ) Ὁ Παλαιστινὸς *Ἰώσηπος* (τῷ 60 μ· Χ.) οὐ μόνον ἀντέγραψε κατ' ἐπιτομὴν τὴν Ἀριστέου περὶ τῶν Ο, ἱστορίαν, ἀλλὰ καὶ αὐτὸς ἐχρῆτο τῇ ἑρμηνείᾳ, ὡς ἀδελφῇ τῆς ἑβραϊκῆς, ὁποίαν αὐτὴν ἐσέβοντο πάντες οἱ ἑβραΐζοντες.

ΙΖ) Ἰοῦστος Τιβεριεὺς ἐκ τῆς ἐν Γαλιλαίᾳ Τιβεριάδος, ἑλληνιστής, Ἰωσήπῳ σύγχρονος καὶ ἀντιπολιτευόμενος, συνέγραψε χρονικὸν, ἢ «περὶ *Ἰουδαίων βασιλέων τῶν ἐν τοῖς στέμμασι*», χρησάμενος πάντως τῇ ἑρμηνείᾳ τῶν Ο. Τούτου τὴν ἱστορίαν ἐμνημόνευσεν ὁ Ἰώσηπος (ἐν βίῳ)· διέσωσε δὲ καὶ εἰς ἡμᾶς τὴν ἐπιγραφὴν καὶ τὴν περίληψιν ὁ ταύτην ἀναγνοὺς, ἔτι κατ' αὐτὸν σωζομένην, ἀοίδιμος Φώτιος (Ἀναγν. λγ).

ΙΗ) Τρύφων ὁ Ἰουδαῖος Ἰουστίνῳ τῷ μάρτυρι συνδιαλεγόμενος, ὁμολογεῖ τὴν ἑρμηνείαν τῶν Ο, θείαν καὶ κυρίαν Γραφήν. Ἐπειδὴ γὰρ εἶπεν ὁ μάρτυς πρὸς αὐτὸν, ὅτι περιέκοψάν τινα τῆς ἑρμηνείας οἱ Ἰουδαῖοι, «Εἰ μὲν (ἀπήντησε φρίσσων ὁ Τρύφων), εἰ μὲν περιέγραψάν τι *ἀπὸ τῶν Γραφῶν* οἱ ἄρχοντες τοῦ λαοῦ, *Θεὸς δύναται ἐπίστασθαι*· ἀπίστῳ δὲ ἔοικε τὸ τοιοῦτο» (§. 73. βλ. καὶ ὄπισθ.

(α) Τὰ οβ, δωμάτια καὶ ὁ μακάριος Ἰουστῖνος ἱστόρησε, καὶ ἄλλοι τῶν ἱερῶν Πατέρων, ὧν τὰς μαρτυρίας προστιθέμεθα ἐφεξῆς ἐν τῷ παραρτήματι. Βεβαιοῦσι δὲ καὶ οἱ Ταλμουδικοὶ καὶ ἄλλοι τῶν παλαιῶν Ῥαββίνων, ὡς ὀψόμεθα παρακατιόντες (ἄρθρ. ΚΑ). Μόνος τῶν ἀρχαίων ὁ Ἱερώνυμος ἐξώρισεν ἐκ τῆς ἱστορίας ὡς μυθώδη τὰ δωμάτια (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 347). Καὶ τοῦτον μάλιστα προβάλλονται ταξίαρχον τὸ στῖφος τῶν νεωτέρων, ὅσους τὰ δωμάτια σφόδρα σκανδαλίζουσιν. Ἀλλ' ἀντεῖπον πρὸς αὐτοὺς ἄλλοι σοφοὶ πάλιν οὐχ ἧττον ἐπιφανεῖς, καὶ μάλιστα ὁ Ῥαϋχλῖνος, καὶ ὁ Λύμπερος, ἐπαπορήσαντες διὰ τὴν πρὸς τὸν αὐτόπτην μάρτυρα Ἰουστῖνον ἄτοπον δυσπιστίαν τοῦ μακαρίου Ἱερωνύμου (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 389). Καὶ αὐτὸς ὁ δύσκολος, καὶ στρυφνὸς τὸν τρόπον, καὶ αὐθέκαστος Τύξην ὁμολογεῖ, καὶ ἀποδείκνυσι βεβαίαν τὴν ἱστορίαν τῶν δωματίων, «ἥν, φησι, σοφοί τινες ἄνδρες ὡς πλάσμα νομίζουσι, μεγαλοπρεπέστερον μᾶλλον, ἢ ἀληθέστερον περὶ τούτου ἀποφαινόμενοι» (**Tychsen, Tentamen etc. p. 325**). Ὅλην τούτου τὴν μαρτυρίαν ἐκτιθέμεθα ἐν τοῖς ἐφεξῆς.

Βιβλ. Γ. σελ. 82). Καὶ αὐτοὶ δὲ οἱ τότε πρεσβύτεροι τῆς ἀπίστου Συναγωγῆς (καίτοι περανθείσης ἤδη τῆς Ἀκύλου ἑρμηνείας) οὐκ ἀπέβαλλον εἰσέτι τότε *τὴν ἐξήγησιν ἣν ἐξηγήσαντο οἱ Ο*, ἔλεγον δὲ μόνον «μὴ εἶναι *ἔν τισιν ἀληθῆ* (§. 68), *παραγράφοντες*, φερ' εἰπεῖν, τὸ ἰδοὺ *ἡ παρθένος* εἰς τὸ ἰδοὺ *ἡ νεᾶνις*, (ὡς ἔγραψε καὶ Ἀκύλας. Ὅθεν καὶ ὁ Τρύφων εἶπεν, ὅτι «ἡ Γραφὴ οὐκ ἔχει ἰδοὺ ἡ *παρθένος*, ἀλλ' ἰδοὺ ἡ *νεᾶνις* ἐν γαστρὶ λήψεται» (§. 67)· «ἃ γὰρ ἂν (φησὶν ὁ μάρτυς) διαῤῥήδην ἐν ταῖς γραφαῖς φαίνωνται ἐλέγχοντα αὐτῶν τὴν ἀνόητον καὶ φίλαυτον γνώμην, ταῦτα *τολμῶσι* λέγειν μὴ οὕτω γεγράφθαι» (§. 68). Καὶ τὰς συζητήσεις ὁ Ἰουστῖνος ἐποιεῖτο πρὸς τὸν Τρύφωνα «*ἐκ τῶν ἔτι ὁμολογουμένων*» παρ' αὐτοῖς (§. 71). Καὶ μέχρι δὲ τέλους τοῦ β, αἰῶνος ἀνεγίνωσκον ἐν τοῖς Συναγωγίοις τὴν ἑρμηνείαν τῶν Ο, ὡς εἴδομεν ἀνωτέρω μαρτυροῦντα τὸν Τερτυλλιανόν.

ΙΘ) Μετὰ ταῦτα μᾶλλον τῷ Ἀκύλᾳ προσέκειντο, ὡς *ἀκριβεστέρῳ*, (συμφωνοῦντι δηλαδὴ πρὸς τὸ παρ' αὐτοῖς ἤδη συντετριμμένον ἑβραϊκὸν)· ἀλλ' ὅμως καὶ μέχρις Ἰουστινιανοῦ οὐκ ἴσχυσαν οἱ Ῥαββῖνοι παντελῶς ἐκ τῶν κατὰ τόπους Συναγωγῶν ἐξορίσαι τὴν ἀνάγνωσιν τῶν Ο.

Κ) Ἀλλὰ καίτοι φρίξαντες καὶ στυγοῦντες ἤδη τὴν ἑρμηνείαν, οὐ διέλιπον ὅμως ἔστιν ὅτε καὶ θαυμάζοντες αὐτήν. Ἐν τῷ Βαβυλωνίῳ Ταλμούδῳ (τίτλ. *Μεγιλλᾷ*, κεφ. α. §. 8) ἱστοροῦνται οἱ ΟΒ, πρεσβύτεροι τὰς Γραφὰς ἡρμηνευκότες, κατὰ μέρος ἕκαστος ἐν ἰδίοις δωματίοις διῃρημένοι, Πτολεμαίου προστάξαντος. «*Ὁ δὲ Θεός* (φησιν) *οὕτω θαυμαστῶς ἑκάστῳ τούτων ἐβοήθησε κατὰ νοῦν*, ὥςε πάντες ἐν τῇ ἑρμηνείᾳ τοῦ νόμου συνεφώνησαν ἐντελῶς» (τὰ αὐτὰ ἐπαναλαμβάνονται καὶ ἐν τίτλ. *Μασσεχὲθ Σοφερὶμ*, κεφ. α). Καὶ κατ' οὐδεμίαν ἄλλην βέβηλον γλῶσσαν, εἰ μὴ μόνον εἰς τὴν ἑλληνικὴν τὰ ἱερὰ γράμματα μεθερμηνεύεσθαι καὶ ἀναγινώσκεσθαι ἐνομοθέτησαν οἱ Ταλμουδισταί.

ΚΑ) Τὴν ἐκ θείας ἐπιπνοίας συμφωνίαν τῶν Ο ἑρμηνευτῶν ἀνομολογεῖ καὶ Ἰώσηππος ὁ Γοριονίδης, μεθ' οὗ καὶ Ἰάρχις ὁ Ζα-

κοῦτος, καὶ Γάνζης, καὶ ἄλλοι τῶν ἀρχαίων Ῥαββίνων, ἐπαγαλλόμενοι φιλοτίμως ἐπὶ τῇ ἑρμηνείᾳ, ὡς οὐκ ἄνευ Θεοῦ γεγενημένῃ. (Οἱ δὲ περὶ τὸν Γοδολίαν καὶ ἀγανακτοῦσι, διότι διέφθειραν ὕστερον αὐτὴν οἱ Ναζωραῖοι, τουτ. οἱ χριστιανοί· τοιούτοις ἐπηκολούθησαν ὁδηγοῖς καὶ ὅσοι τῶν νεωτέρων κριτικῶν ἐφρόνησαν παρόμοια!). Ἀλλὰ καὶ ὁ προῤῥηθεὶς Ῥαββὶς Ἀζαρίας διεκήρυξεν, ὅτι ἡ ἑρμηνεία τῶν Ο ἐκυρώθη ὑπὸ πάσης καθόλου τῆς Συναγωγῆς τῶν Ἰσραηλιτῶν (α). Καὶ τὰ μὲν Ἰουδαίων τοιαῦτα· μεταβαίνομεν δὲ ἤδη εἰς τὸ δεύτερον τμῆμα, ὅπερ ὑποδιαιροῦμεν εἰς δύω μέρη διὰ τὸ εὐληπτότερον.

ΤΜΗΜΑ Β.

Μαρτυρίαι τῶν θείων Εὐαγγελιστῶν καὶ Ἀποστόλων.

ΜΕΡΟΣ Α.

§. ιγ. «Σκαιόν γε τ' ἀνάλωμα τῆς γλώσσης τόδε,
Κλέπτειν τ' ἀληθὲς ἐν λόγων σοφίσμασι»!

Τοιαῦτά τις, οἶμαι, δικαίως ἐπιφωνήσει, βλέπων τοὺς πολεμίους τῶν Ο παντοῖα σοφιζομένους, ὅπως συσκιάσωσι πρᾶγμα τηλαυγέστερον ἡλίου μαρμαρυγῶν, ὅτι δηλαδὴ οἱ θεῖοι Ἀπόστολοι τῇ τῶν Ο ἑρμηνείᾳ ἐχρῶντο διηνεκῶς, μὴ μόνον ἁπάσας (σχεδὸν) τὰς ῥήσεις τῶν προφητῶν ἐκφέροντες ἐξ αὐτῆς, ὡς ἀπὸ κυρίας καὶ θεοπνεύστου Γραφῆς, ἀλλὰ καὶ λέξεις καὶ φράσεις ὅλας ἐπαναλαμβάνοντες τὰς αὐτὰς ἀκριβῶς, κατὰ τὸν χαρακτῆρα τῆς Ἁγιογραφικῆς διαλέκτου. Τοῦτο δὲ λίαν ἀλγεινὸν ἀποβαίνει τοῖς ἑβδομηκονταμάχοις Ῥαββινισταῖς· εἴγε καθορῶσι τὸ πύργωμα τῆς κατ' αὐτοὺς δοξασίας *κρηδέμνων ἀπ' ἄκρων* ἄχρι βάθρων καταῤῥασόμενον. Ὅθεν καὶ παντοίας ἀντιπροβάλλουσι θεραπείας ὠχρὰς καὶ ἀγωνιώ-

(α) Βλ. τὰς μαρτυρίας ἐν τῷ τέλει τῆς ἐν 'Οξωνίῳ τοῦ Ἀριστέου ἐκδόσεως pag. 142. Oxon. 1692. καὶ παρ' Ὀδίῳ de Bibl. Text. p. 139· πρβλ. Hotting. Thes. Philol. p. 336.- Leusden, Philol. Hebræo-mixt. p. 24. Ἴδε καὶ Morin. Exercit. Bib. L. I. c. 1. §. 8.

σας, πόνον τοῦτον ἄπρακτον καὶ τλήμονα, καὶ οὔτ᾽ εὐκλείας οὔτ᾽ εὐλογίας πατέρα πονοῦντες, *ψεῦσαι τὴν ἀλήθειαν!* Ἀλλ᾽ ἀκούσωμεν αὐτῶν τὰ σεμνὰ στωμύλματα.

§. ιδ. Ὁ μὲν οὖν Ὀττιγγῆρος, ταξίαρχος αὐτῶν ἔν γε τοῖς τοιούτοις φανεὶς (ἅτε περὶ τὰς κρίσεις εὔρινός τις εἶναι δοκῶν, καὶ μάλα δριμὺς), Ἀμάμας καὶ Σκαλιγήρους καὶ Σπαγχεμίους καὶ ἄλλους τοιούτους ἐπιφερόμενος μάρτυρας, ἀποφαίνεται λέγων· «Ὁμολογοῦμεν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῇ Καινῇ Διαθήκῃ χρῆται μὲν καὶ παρακολουθεῖ *ὑπόσυχνα* (saepiuscule) τῇ ἑρμηνείᾳ τῶν Ο, οὐ μέν τοι καὶ χωρὶς διακρίσεως, ἀλλ᾽ ἕνεκα τεσσάρων αἰτίων· 1) ἢ ὅταν αὕτη ἐκφράζῃ τὴν ἔννοιαν· 2) ἢ ὅταν τὸ Πνεῦμα τὸ ἅγιον μυστικόν τι νόημα βούλητ᾽ ἐξ αὐτῆς ἐξαγαγεῖν· 3) ἢ καὶ κατά τινα συγκατάβασιν, ἐπιεικέστερον ὑπεῖκον καὶ ἐνδιδοῦν εἴτε τοῖς Ἰουδαίοις ἑλληνισταῖς, εἴτε τοῖς ἐξ ἐθνῶν προσηλύτοις (παρ᾽ οἷς ἡ ἑρμηνεία αὕτη διὰ πολλῆς ἤγετο τιμῆς)· ἤ, 4) τέλος, ἐπειδὴ κατεῖδε πᾶσαν ἀπὸ τῆς κοινῇ τοῖς ἑλληνισταῖς παραδεδεγμένης ἐκδόσεως παρατροπὴν καὶ διαφωνίαν ἐπικίνδυνον καὶ ἄκαρπον ἐσομένην τῇ Ἐκκλησίᾳ». Τοιαῦτα οἱ περὶ τὸν Ὀττιγγῆρον (α), οἷς συνυποκρέκει καὶ Λευσίδηνος (β).

§. ιε. Σὺ δ᾽ ἐν τούτοις, ἀναγνῶστα, καὶ οἴκοθεν καθορᾷς τὴν κατ᾽ αὐτοὺς ὁμολογίαν τὰ μὲν ὀρθὴν οὖσαν καὶ εὐθύδρομον, τὰ δὲ διεστρεβλωμένην, καὶ νόθοις ἐπινοίαις συμπεφυρμένην. Λέγοντες μὲν γὰρ, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον τὸ λαλῆσαν διὰ τῶν Ἀποστό-

---

(α) Fatemur quidem versionem LXX. Spiritum S. in novo Foedere s æ p i u s c u l e, nec tamen indiscriminatim, s e q u i a c u s u r p a r e, nempe vel quando illa sensum exprimit; vel quando Spiritus S. mysticum quid ex textu illo vult ellicere; vel quando per συγκατάβασιν quandam se vult accommodare, aut Hellenistis inter Judæos, aut Gentilibus recens conversis, apud quos versio ista in maxima erat æstimatione; vel cum discessionem a recepta inter Hellenistas Editione periculosam et sine fructu Ecclesiæ futuram animadvertit. Hotting. Thes. p. 332.

(β) Leusden, Philolog. Hebræo-Græcus etc. p. 71—74. Lugdun. 1685.

λων ἐχρήσατο (οὐ *κατεχρήσατο*, καθά φασιν ἐπὶ λέξεως) τῇ τῶν Ο, ἑρμηνείᾳ, ὅταν αὕτη ἐκφράζῃ (πότε δ' οὐκ ἐκφράζει;) τὴν ἔννοιαν, ὁμολογοῦσι λοιπὸν καὶ τὸ σιωπηθὲν ἐπακόλουθον· ὅτι δηλαδὴ τὰ τοιαῦτα χωρία, εἰ μὲν συμφώνως καὶ πρὸς τὸ νῦν ἑβραϊκὸν ἐκφράζουσι τὴν ἔννοιαν τὴν αὐτὴν, ἰσοδυναμεῖ λοιπὸν ἐν τούτοις τὸ ἑβραϊκὸν τοῖς Ο· εἰ δ' οὖν, τοῦτο μὲν διέφθαρται πάντως, μόνα δὲ τὰ τῶν Ο, οἷς ἐχρήσαντο οἱ Ἀπόστολοι, μένουσι γνήσια καὶ ἀληθινὰ, καὶ ὑπὸ τοῦ παναγίου Πνεύματος κεκυρωμένα. Πάλιν, ἐχρήσατό (φασι) τοῖς Ο τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὅτε ἔκ τινων χωρίων (διαφερόντων δηλαδὴ τοῦ νῦν ἑβραϊκοῦ) μυστικήν τινα ἔννοιαν ἠθέλησεν ἐξαγαγεῖν (α). Οὐδὲ τοῦτο κακῶς· (πολλὰ γὰρ τῆς θείας Γραφῆς κατὰ τὴν μυστικωτέραν ἔννοιαν ἐθεολόγησαν οἱ Ἀπόστολοι)· ἀληθέστερα δ' ἂν ἔλεγον, εἰπόντες, ὅτι καὶ τὸ ἑβραϊκὸν ἐν τούτοις τοῖς τόποις ὡσαύτως εἶχε τότε, κατὰ τοὺς Ο. Ἐπειδὴ δὲ τοῦτο διέφθορε, μένει λοιπὸν ἄχραντος καὶ ὧδε μόνη ἡ ἑρμηνεία τῶν Ο, καθ' ἣν τὸ Πνεῦμα τὸ ἅγιον ἀπεκάλυψε τοῖς Ἀποστόλοις τὰς ἀποκρύφους καὶ μυστικωτέρας τῶν ἐννοιῶν, ὡς καὶ πάντων τῶν ἀπ' αἰῶνος προφητευθέντων μυστηρίων τῆς πίστεως τὸ θειότατον ὕψος. Καὶ ταῦτα μὲν οὕτω. Τοὺς δὲ δύω τοὺς λοιποὺς οὓς ἐπιφέρουσι λόγους, εἰς μίαν ἀμφοτέρους φέροντας ἔννοιαν, τὴν, ἥν φασιν, ἐκ συγκαταβάσεως τοῦ Πνεύματος ἔνδοσιν, τούτους οὐκ ὀρθῶς, οὐδ' ὁσίως ἠρεύξαντο οἱ σοφοί· λέγομεν περὶ τούτων εὐθύς· τοιαῦτα καὶ Καπέλλιος καὶ ἄλλοι προβάλλονται, πλάττοντες παντόλμως θείας συγκαταβάσεις, ἵνα συγκαλύψωσιν ἁμαρτάδας ἰουδαϊκάς.

§. ις. Ἀλλ' ἐφάνησαν καὶ ἄλλοι πολλῷ τούτων ἰταμώτεροι, οἷον οἱ περὶ τὸν Δαναῖον καὶ τὸν Ὀβῆνα, καὶ εἴτις ἄλλος τοιοῦτος, οἵτι-

---

(α) Τούτου τοῦ ἐνθυμήματος φέρουσι παραδείγματα τὸ « εἰς πᾶσαν τὴν γῆν . . ὁ φθόγγος » (Ψαλμ. ιη, 5 καὶ Ῥωμ. I, 17, τὸ δὲ ἑβρ. ἡ χορδὴ), καὶ τὸ « ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ » (Γενέσ. μζ. 31 καὶ Ἑβρ. ια, 21 τὸ δὲ νῦν ἑβρ. ἔχει τῆς κλίνης) κτλ. Ταῦτα ὁ Καρψόβιος (Critic. Sacr. p. 528). Ἀλλ' ὅτι ἐν τούτοις διέφθαρται τὸ ἑβραϊκὸν, προαποδέδεικται Βιβλ. Γ. σελ. 498, 613.

νες εἰς τοῦτο θράσους ἤλασαν, ὥστε διεκήρυξαν, ὅτι δῆθεν « αὐτοὶ μὲν οἱ Ἀπόστολοι ἑλληνιστὶ πρὸς Ἕλληνας γράφοντες, ἡρμήνευσαν ἐκ νέου πάσας τὰς προφητικὰς ῥήσεις, ὅσας ἐξέφερον ἐκ τῆς ἑβραϊκῆς Γραφῆς εἰς τὰς Ἀποςολικὰς αὐτῶν συγγραφάς· μετὰ δὲ ταῦτα πανοῦργοί τινες ἄνθρωποι, παρέδυσαν, ἐπέσαξαν, περενέγραψαν τὰς ῥήσεις ταύτας καὶ εἰς ἣν καλοῦσιν ἑρμηνείαν τῶν Ο, ἵνα διὰ τούτου καὶ τἄλλα τὰ διεψευσμένα μέρη ταύτης τῆς ἑρμηνείας ὡς κύρια καὶ γνήσια βεβαιώσωσι, πρὸς δικαίωσιν τῆς ἰδίας αὐτῶν πλάνης » (α). Οὕτω λαμπρῶς οἱ ἄνδρες οὗτοι παρεφρόνησαν· διὸ καὶ Βάλτων ὁ κλεινὸς *ἄθλιον, καὶ ἀπεγνωσμένης δίκης* ἐπινόημα, καὶ τοῦτ' αὐτὸ, *πυρέσσοντος ὄνειρον* τὴν τοιαύτην γνώμην ἀνεκήρυξε (β). Κατὰ γὰρ τοὺς περισόφους τούτους, πανουργότατοι λοιπὸν ἁπάντων ὑπῆρξαν αὐτοὶ πρῶτον οἱ Ἀποστολικοὶ Πατέρες, Κλήμης ὁ ἰσαπόστολος, καὶ Βαρνάβας, καὶ Ἰγνάτιος, καὶ Ἰουςῖνος ὁ μάρτυς, καὶ Εἰρηναῖος, οἵ γε πολλαχοῦ μνημονεύουσι ῥήσεις προφητικὰς ἐκ τῆς ἑρμηνείας τῶν Ο, τὰς αὐτὰς ἀπαραλλάκτως κειμένας κἀν ταῖς θείαις τῶς Ἀποςόλων συγγραφαῖς. Ἀλλὰ πῶς ἂν εἶχον οἱ πρῶτοι ἐκεῖνοι χριστιανοὶ παρεγγραφαῖς ὑποβολιμαίαις διασκευάσαι τὴν ἑρμηνείαν τῶν Ο, ἐξ ἧς ἐξέφερον τὰς ῥήσεις τῶν προφητῶν διαλεγόμενοι πρὸς τοὺς Ἰουδαίους; Αὐτίκα γὰρ ἔμελλον οἱ Ἰουδαῖοι τὴν πλαστογραφίαν ἐξελέγχειν ἐκ τῶν παρ' αὐτοῖς ἀντιγράφων τῶν Ο. Ἢ μήπως ἴσχυον πάντα καθόλου τὰ κατὰ πᾶσαν τὴν οἰκουμένην, καὶ παρ' αὐτοῖς μάλιστα τοῖς Ἰουδαίοις εὑρισκό-

---

(α) Βλ. L. Danei, Respons. ad Bellarmin. disput. Theolog. controv. 1. L. 2. c. 6.- Owen. Theologum. p. 401. Τοιαῦτά τινα παρελάλησε καὶ ὁ ἀνώνυμος (ἔστι δ' οὗτος ὁ Ὑσσέριος) πατὴρ τοῦ Διατριβιδίου (Dissertatiunculae). Τοῦτο μόνον διαφέρων, ὅτι ἀντὶ διασκευαστῶν τῶν Ο. νέαν ἄλλην τῆς Γραφῆς ἑρμηνείαν ἐν τοῖς μεταξὺ τῶν Ἀποστόλων καὶ τοῦ Ἀκύλα χρόνοις ἄγνωστον, ἀνήκουστον, ἀνύπαρκτον ὠνειρεύθη, ἧς ὁ ἑρμηνεὺς ἔγραφε τὰς προφητικὰς ῥήσεις ὡς ἀνεγίνωσκεν αὐτὰς παρὰ τοῖς Ἀποστόλοις, παραλείπων τὸ ἑβραϊκὸν κείμενον. Ἀλλὰ τὸν ὑπέρσκληρον τοῦτον κόμπον ἀπεῤῥάπισε βριαρᾷ παλάμῃ ὁ Καπέλλιος. βλ. Cappel. Crit. Sacr. p. 489, 506. πρβ. καὶ Hody. l. c. p. 276.

(β) Walt. Proleg. IX. §. 38.

μενα χειρόγραφα παρομοίως διανοθεῦσαι; (α). Ἀλλὰ πρὸς οὕτω παραπαίουσαν γλωσσαλγίαν αἰδὼς καὶ ὅλως ἀπαντᾷν. Ἐν δ' ἐν τούτοις σημειωτέον (εἴ τις χρεία καὶ τῆς παρ' ἐχθρῶν μαρτυρίας), ὅτι καὶ αὐτοὶ καὶ ἄκοντες συνομολογοῦσιν, οἷς ἐπεχείρησαν πολεμεῖν. Ἰδίαν (λέγουσιν) ἑρμηνείαν πάντων ὧν ἐχρήσαντο προφητικῶν ῥητῶν ἐξέδωκαν οἱ Ἀπόστολοι· πρὸς δὲ ταύτην διαφέρει πολλάκις τὸ νῦν ἑβραϊκόν· ἕπεται λοιπὸν ἐκ τούτου δυοῖν θάτερον· ἢ τὸ κείμενον ἐκεῖνο ἐξ οὗ μετέφρασαν οἱ Ἀπόστολοι τὰς ῥήσεις ὑπῆρχε διεφθαρμένον, ἢ τὸ καθ' ἡμᾶς ἑβραϊκόν. Ἀλλὰ τὸ πρῶτον οὐκ ἂν εἴποιεν οὐδ' αὐτοὶ οἱ γνωμολόγοι (πλὴν εἰ μή που τοὺς θεοπνεύστους Ἀποστόλους νομίζουσι μηδὲν εἰδότας ὧν ἔγραψαν, ἢ ἀμαθεῖς, ἢ διαφθορεῖς τῆς γλώσσης τῶν γραφῶν), μένει λοιπὸν βέβαιον, ὅτι τὸ Μασσορίτειον κείμενον ἀπέβη πολλαχοῦ παραλλάσσον τοῦ Ἀποστολικοῦ. Ἀλλ' ἐξῆν (φησιν ὁ τοῦ Διατριβιδίου πατὴρ), ἐξῆν τοῖς Ἀποστόλοις ἐξηγεῖν τοὺς τόπους τῆς Γραφῆς, ὡς ἔδοξε τῷ ἁγίῳ Πνεύματι καὶ αὐτοῖς, καὶ πρὸς τὰς ἑαυτῶν ἐννοίας μεθαρμόζειν· τοῦτο δ' οὐκ ἂν ἔπραξαν εἰλικρινεῖς ἑρμηνεῖς τοῦ ἑβραϊκοῦ» (οἵους οὐ νομίζουσι τοὺς Ο, ἢ τοὺς μετὰ τοὺς Ἀποςόλους ἑρμηνεύσαντας τὴν Γραφὴν, ὡς βούλεται τὸ Διατριβίδιον), «οἵτινες πρὸς τὸ σφίσι δοκοῦν μετέφρασαν τοὺς θείους χρησμοὺς, παρακολουθοῦντες δῆθεν τοῖς παρὰ τοῖς Ἀποστόλοις ἐμφανῶς ἐπιῤῥέουσι καθαροῖς

(α) Ὁ τοῦ ἀνωτέρω Διατριβιδίου πατὴρ, ἀγωνιῶν, ὅπως ἀποδείξῃ διεσκευασμένην τὴν ἑρμηνείαν τῶν Ο, φέρει τινὰς ῥήσεις προφητικὰς ἄλλως ἐχούσας παρὰ τῷ μάρτυρι Ἰουστίνῳ, ἢ ὡς ἔχουσι παρὰ τοῖς Ο. Ἀλλὰ τούτων τὰς μὲν ὁ μάρτυς αὐτὸς ἀπὸ μνήμης ἐξέφερε, τὸ νόημα μόνον διατηρῶν· τὰς δὲ καὶ οἱ μεταγραφεῖς ἐνήλλαττον ἐξ ἀβλεψίας συγχέοντες τὰς ῥήσεις τῶν Ο πρὸς τὰς κατ' Ἀκύλαν, ἢ Θεοδοτίωνα (βλ. τούτου παράδειγμα ὄπισθ. Βιβλ. Β. σελ. 789). Καὶ ἄλλως δὲ ὁ κλεινὸς Ὑσσέριος ἐσφάλη διττῶς. α) Ἐμνημόνευσε 10 μόνα χωρία τοῦ Ἰουστίνου διαφέροντα τῶν Ο (δι' οὓς εἴπομεν λόγους)· ἄλλας δὲ πολλὰς δεκάδας καὶ πεντηκοντάδας ῥήσεων τῆς Γραφῆς, κειμένων παρὰ τῷ Ἰουστίνῳ ἀκριβῶς κατὰ τοὺς Ο, παρεσιώπησε· β) οὐδὲν ὧν ἐμνημόνευσεν ἐκ τοῦ Ἰουστίνου προφητικῶν ῥητῶν οὐδὲν κεῖται παρὰ τοῖς Ἀποστόλοις. Ἀλλ' αὐτὸς τοῦτο μάλιστα προέθετο, ἵνα δείξῃ τοὺς Ο διεσκευασμένους ἐκ τῶν Ἀποστολικῶν ῥητῶν· τί κοινὸν λοιπὸν αὐτῷ καὶ τῷ Ἰουστίνῳ;

καὶ ζῶσι ῥυακίοις τῶν προφητικῶν ῥημάτων μᾶλλον, ἢ ταῖς ἀποκρύφως δι' ὑπονόμων ὑπογείων ἀποναούσαις πηγαῖς τῶν Προφητῶν. Ὥστε τοῦτο (λέγει) τὸ ἔργον τῶν ἑρμηνευτῶν ἐκείνων ἀποδοτέον εἰς τὴν ἀφροσύνην αὐτῶν, ἢ καὶ τυφλόν τινα ζῆλον θρησκευτικόν». – Ἀλλ', ὦ.. (τί ἄν σέ τις εἰπὼν, δικαίως προσείποι;) εἰ παρὰ τοῖς Ο ψεκταί σοι δοκοῦσιν αἱ τοῦ νῦν ἑβραϊκοῦ διαφέρουσαι ῥήσεις τῶν Προφητῶν, διὰ τί μὴ τοιαύτας αὐτὰς εὑρίσκεις ἀπαραλλάκτως γεγραμμένας κἀν ταῖς Ἀποστολικαῖς συγγραφαῖς; Εἰ δ' ἐν ταύταις ῥέουσιν ὡς ὕδωρ ζῶν καὶ ἀλλόμενον (καθὼς ὁμολογεῖς), πῶς οὐ τοιαῦται προχέονται καὶ παρὰ τοῖς Ο; Ἢ μήπως ἤρκεσάν σοι πρὸς ἀπόδειξιν τῶν παραλογισμῶν αἱ τῶν *ὑπογείων πηγῶν καὶ τῶν ἐμφανῶς προῤῥεόντων ῥυακίων* ἠδυλίζουσαι μεταφοραί; Ἀλλὰ πεπαύσθωσαν τὰ τοιαῦτα βλάσφημα πλαταγήματα! Πάντες οἱ ὀρθῶς φρονοῦντες, καὶ αὐτὰ τὰ πράγματα κηρύττουσιν, ὅτι οἱ θεόπνευστοι τῆς Καινῆς Διαθήκης συγγραφεῖς ἐχρῶντο τῇ τῶν Ο ἑρμηνείᾳ, καθ' ἣν συμφωνοῦσιν *οἱ Προφῆται τοῖς Ἀποστόλοις*, οὐδ' ἀντιλέγουσι πρὸς ἀλλήλους (οἵους ἡμῖν παρίστησιν αὐτοὺς ἡ τὰς ὑπογείους καὶ ἐπιγείους ῥοὰς τερετίζουσα ληρῳδία). Ἐπειδὴ δὲ αἱ παρὰ τοῖς Ἀποστόλοις ῥήσεις κεῖνται αἱ αὐταὶ καὶ ἐν τοῖς καθ' ἡμᾶς σῳζομένοις ἀντιγράφοις τῶν Ο, διαφέρουσι δ' ἐν πολλοῖς τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ, παρέχουσι λοιπὸν ἀναντίῤῥητον καὶ ἀκαταμάχητον ἀπόδειξιν, ἔνθεν μὲν τῆς γνησιότητος καὶ ἁγιότητος τοῦ κειμένου τῶν Ο, ἑτέρωθεν δὲ τῆς τοῦ Μασοριτείου κειμένου, ἐν οἷς διαφέρει, παραφθορᾶς. Εἰ δὲ καὶ πανούργους ὑποβολεῖς καὶ διασκευαστὰς τῶν Ο τὸ τῶν Δαναίων κακόηθες ἐφαντάσθη, οὐδὲν ἕτερον ἀπέδειξεν, εἰμὴ τὴν διάθεσιν τῆς προαιρέσεως αὐτῶν, ὡς ἑτοίμως καὶ, ἴσως, ἐμπείρως ἐχούσης περὶ τοιαύτας παρακοπὰς καὶ ῥᾳδιουργίας. «Ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν».

Ὁ δὲ περίφημος Συρεγχούσιος, ἐν ᾗ συνέγραψε *Βίβλῳ καταλλαγῆς* (φαίνεται δὲ πολλαχοῦ *κατ' ἀντίφρασιν* ἡ ἐπιγραφή),

ἄλλο τι σοφώτερον ἐπενόησε. Κηρύττει καὶ διατείνεται πεποιθότως, ὅτι, ὅπου οἱ Ἀπόστολοι φαίνονται μνημονεύοντες ῥήσεις ἐκ τῆς ἑρμηνείας τῶν Ο, ταῦτα τὰ χωρία πάντως (φησὶν) οὐκ ἠρύσαντο ἐκ τῶν Ο, οὐδ' ἀπὸ σπουδῆς, ἢ κατὰ μίμησιν ἐκείνων ἔγραψαν· οὐ μενοῦν! ἀλλὰ *τύχῃ τινὶ* (λέγει), μᾶλλον δὲ *καθ' ὑπαγόρευσιν* τοῦ παναγίου Πνεύματος συνέβη τὸ πρᾶγμα» (α). Τοιαῦτα ὁ *Καταλλάκτης* οὗτος τῶν θείων Γραφῶν, βάσκανον ἄντικρυς πρᾶγμα ποιῶν. Ἐπειδὴ γὰρ οὐκ ἴσχυσεν εἰς τὸ ἑβραϊκὸν ἀπ' εὐθείας ἀνενεγκεῖν τὰς παρὰ τοῖς Ἀποστόλοις ἐναργῶς ἐκ τῶν Ο ληφθείσας ῥήσεις τῶν Προφητῶν, οὐδ' αὐτοῖς λοιπὸν ἀπέδωκε τοῖς Ο, κατὰ χρέος· ἀλλὰ τύχῃ τινὶ μᾶλλον φέρων ἀνέθηκεν, ἢ γοῦν *θείᾳ ἐπιπνοίᾳ* (τὸ εὐφημότερον!). Καὶ ὡμολόγησε μὲν ἐν τούτοις καὶ αὐτὸς, καί τοι λεληθότως, τὸ θεόπνευστον τῶν περὶ ὧν ὁ λόγος χωρίων τῶν Ο, (εἰ γὰρ αὐτὰ τοῦ θείου Πνεύματος ἐνηχοῦντος γεγράφασιν οἱ Ἀπόστολοι, προέγραψαν δ' ἀπαραλλάκτως καὶ οἱ Ο, ἄρα τὸ αὐτὸ Πνεῦμα καὶ τούτους τὰς ῥήσεις ἐδίδαξεν, οἵας καὶ τοῖς Ἀποστόλοις ἔμελλεν αὐτὰς ἐνηχήσειν)· πλὴν ἀλλ' οὐδεὶς, οἶμαι, τῶν τρεμόντων τοὺς θείους λόγους ὑπομενεῖ τὴν ἀλόγους καὶ τυχηρὰς συγκυρίας μετὰ τῆς θείας ἐπιπνοίας συναναφύρουσαν Συρεγχούσειον γνώμην. Ὄζει γὰρ αὕτη τοῦ καπνοῦ τῆς θυσίας, ἣν ὁ Καταλλάκτης ἔθυσε τῷ Τύχωνι, κατὰ «*τοὺς πληροῦντας τῇ τύχῃ κέρασμα*» (Ἡσ. ξε, 10) (β).

(α) Βλ. Surenhusij Βίβλον Καταλλαγῆς, ad Math. II, 5, 6. p. 179.

(β) Πολὺ Συρεγχουσίου σωφρονέστερος φαίνεται Ἰανὸς ὁ Δρούσιος (Ianus Drusius) ὅστις καὶ αὐτὸς ἐν τοῖς Ἱεροῖς αὐτοῦ Παραλλήλοις (Parallela Sacra. Ἐδανείσατο δὲ καὶ τὴν ἔννοιαν καὶ τὴν ἐπιγραφὴν ἐκ τῶν Ἱερῶν Παραλλήλων τοῦ θείου Δαμασκηνοῦ) παραβάλλει, καὶ τὸ γ' ἐπ' αὐτῷ διαλλάττειν πειρᾶται τὰς ἑβραϊκὰς πρὸς τὰς τῶν Ο, παρὰ τοῖς Ἀποστόλοις ῥήσεις τῶν προφητῶν. Περὶ τούτου πεπραγμάτευται καὶ Ἀνδρέας ὁ Keslerus (Dissert. de Dictorum V. Test. in Novo allegatione, Jenæ, 1627), καὶ ὁ Hencke (Diss. de usu LXX. interpr. in N. Testamento. Halæ, 1715), καὶ ὁ Κρίγελος (Dissert. de locis V. T. in N. T. recte laudatis· Lipsiæ, 1756), καὶ ὁ Waldau (Usus versionis Alex. in N. T. aliquot exemplis demonstratus. Altorfij, 1770). Πάντες οὗτοι, καὶ ἄλλοι τοιοῦτοι, μεταξὺ τῶν σοφῶν αὐτῶν παρατηρήσεων ἔχουσιν ἀνάμικτα

§. ιζ. Ὁ δὲ κλεινὸς Καρψόβιος, οὐδ' αὐτὸς ἀρεσκόμενος τοῖς Συρεγχουσείοις, λεπτοτέραν ἐπενόησε μέθοδον. Καὶ πρῶτον μὲν ἀποδοκιμάζει παροδικῶς τὴν γνώμην τῶν ὧν λέγει *Ποντιφηκείων*, ἢ *Παπιστῶν*, καὶ μάλιστα τοῦ Μορίνου, εἶτα δὲ καὶ τὴν Οὐοσσίου καὶ τὴν τοῦ Βίστωνος, καὶ εἴ τινες ἄλλοι πρεσβεύουσι τοὺς Ἀποστόλους ἀείποτε τῇ ἑρμηνείᾳ τῶν Ο χρησαμένους, καὶ ἐξ αὐτῆς τὰς προφητικὰς μαρτυρίας ἐξαγαγόντας. Αὐτὸς δὲ (λέγει) συνομολογεῖ μετὰ τῶν φρονούντων, ὅτι καθ' ὅσους τόπους τὸ ἑβραϊκὸν διαφωνεῖ πρὸς τοὺς Ο, ὅταν ἀπὸ τῶν τοιούτων ἐξάγωσιν οἱ Ἀπόστολοι τὰς μαρτυρίας, τοτὲ μὲν ἀποκλίνουσι πρὸς τὸ ἑβραϊκὸν, τοτὲ δὲ πρὸς τοὺς Ο. Καὶ ταύτην (φησὶ) τὴν γνώμην βεβαιοῦσι καὶ οἱ Πατέρες, Αὐγουστῖνος καὶ Ἱερώνυμος, οἷς καὶ Ὅδιος παρακολουθεῖ (καθὼς αὐτὸς ἡμῖν ἐρεῖ παρακατιών). Διαλευκαίνει δὲ ὅμως καὶ πλατύνει τὴν γνώμην ταύτην ὁ Καρψόβιος, ὑποδιαιρῶν οὑτωσί. Α) λέγει, τῆς Καινῆς Διαθήκης οἱ συγγραφεῖς, ὁσάκις ἐμνημόνευσαν ῥήσεις ἐκ τῆς Παλαιᾶς Γραφῆς, ἦσαν ἐπίσης πνευματέμφοροι, ὡς καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἃ συνέγραψαν. Ὥστε καὶ ἐν τούτοις τοῖς μνημονευθεῖσι χωρίοις ἡ θεία Γραφὴ ὑπάρχει θεόπνευστος» (Ὀρθῶς! Ἐκ δὲ τούτου παρέπεται πάντως ὅ,τι παρέλιπεν ὁ κριτικός· ὅτι τὰ παρὰ μὲν τοῖς Ἀποστόλοις μνη-

---

καί τινα βεβιασμένα, καὶ ἄλλα πάντῃ ψευδῆ, ὅσα παρέπονται πάντως ἐξ ἧς πρεσβεύουσιν ἀναμαρτησίας τοῦ Μασοραίου κώδηκος, ἐφ' οὗ στηρίζουσι τὰς παρατηρήσεις. Οὕτως ὁ Κρίγελος (§. 2) ἀποφαίνεται ὡς ἀξίωμα, ὅτι « Οὐδέποτε οἱ Ἀπόςολοι τοῖς Ο παρηκολούθησαν, εἰ μὴ, ἢ ὅπου ἑκατέρων τῶν κειμένων τὸ νόημα συμφωνεῖ ἀκριβῶς, καὶ οἷον ἀπὸ σπάρτου τεκτονικῆς (ex amussim), ἢ ὅπου τῶν Ο ἡ ἀνάγνωσις ἐξηγεῖ τὸ ἑβραϊκὸν, καὶ τὴν ἔννοιαν σαφηνίζει ». - Πλατεῖα διαίρεσις, πολλὰς χωροῦσα τὰς ὑπεκφυγάς! Αὐτίκα προχωρῶν, καὶ θεωρῶν τὸ (ἔσονται) οἱ δύω, (Γεν. 6), ὅπερ λείπει μὲν ἐκ τοῦ ἑβραϊκοῦ, κυροῦσι δὲ τοῦτο καὶ ὁ Κύριος ἡμῶν, καὶ οἱ Ἀπόστολοι (βλ. Βιβλ. Γ. σελ. 470), περὶ τούτου ὁ Κρίγελος δογματίζει, ὅτι καὶ παρὰ τοῖς Ο καὶ παρὰ τοῖς Ἀποστόλοις προσετέθη παραφραστικῶς, μείζονος σαφηνείας χάριν! Τὸ πανάγιον Πνεῦμα βεβαιοῖ καὶ σφραγίζει τὴν λέξιν ὡς μίαν τῶν θεολέκτων φωνῶν, καὶ οἱ Κρίγελοι θέλουσιν αὐτὴν προσθήκην τῶν μεταφραστῶν, πειθόμενοι μᾶλλον τῇ γραφῇ τῶν Μασοριτῶν! τοῦτ' αὐτὸ τολμῶσι καὶ ἐπὶ πλείστων ἄλλων θεοπνεύστων ῥητῶν.

μονευθέντα, τοῦ δὲ νῦν ἑβραϊκοῦ διαφέροντα χωρία τῶν Ο, ἀπεδείχθησαν θεόπνευστα πάντως καὶ ἐν αὐτῇ τῇ τῶν Ο, ἑρμηνείᾳ, ἣν ἄλλως ὁ Καρψόβιος ὡς ἁπλῆν μετάφρασιν θεωρεῖ, τὰ δ' ἐν τῷ ἑβραϊκῷ διαφέροντα οὐκ ἔχουσι τὸ κῦρος τῶν θεοπνεύστων Ἀποστόλων).– Β) «Ἔδοξε δὲ (λέγει) τῷ ἁγίῳ Πνεύματι καὶ τοῖς Ἀποςόλοις, ἔστι μὲν ὅπου ταύτῃ χρήσασθαι τῇ ἑρμηνείᾳ (τῶν Ο), ἔστι δ' ὅπου (κατὰ τὴν ὕψιστον καὶ παντεξούσιον σοφίαν τοῦ παναγίου Πνεύματος) καταλιπόντες ταύτην τὴν ἑρμηνείαν οἱ Ἀπόστολοι, νέαν ἔν τισι μετάφρασιν ἐξήνεγκαν». (Ἄγαν ταῦτα φειδωλῶς! οὐκ *ἔστιν ὅπου, καὶ ἐνίοτε*, ἀλλὰ πάντοτε σχεδὸν καὶ πανταχοῦ (πλὴν τριῶν, ἢ τεσσάρων τόπων) ἐκ τῶν Ο ἐξέφερον τὰς μαρτυρίας κατὰ λέξιν καὶ κατὰ πόδα· σπανιώτατα δὲ τὸ νόημα μόνον ἐξέφρασαν· ἀλλὰ κἂν τούτοις τὰ ῥητὰ πλησιάζουσι μᾶλλον πρὸς τὴν ἑρμηνείαν, ἢ πρὸς τὸ ἑβραϊκόν, ὡς ὀψόμεθα παρακατιόντες). – Ἐχρήσαντο δὲ (λέγει) τῇ ἑρμηνείᾳ συγκαταβατικώτερον οἱ Ἀπόστολοι διὰ λόγους τοὺς ἑξῆς. α) Ἵνα διὰ τῆς τοιαύτης συγκαταβάσεως προσοικειωθῶσι τοῖς ἑλληνισταῖς Ἰουδαίοις, ἢ τοῖς ἐξ ἐθνῶν νεωστὶ πεπιστευκόσι, παρ' οἷς ἡ ἑρμηνεία μέγιστον εἶχε κῦρος· ἦν δὲ καὶ γνωριμωτέρα μᾶλλον τοῦ ἑβραϊκοῦ· β) Ὅπως προφυλάξωσι τοὺς ἀκροατὰς αὐτῶν ἀπὸ τῆς δεινῆς ὑπονοίας, εἰς ἣν ἐκινδύνευον ὑποπεσεῖν, εἴπερ ἔβλεπον τοὺς Ἀποστόλους παντάπασιν ἀποσχομένους τῆς ἑρμηνείας. Ἔμελλον γὰρ πάντως δυοῖν θάτερον ὑπονοεῖν, ἢ ὅτι τὰ (μὴ κατὰ τοὺς Ο) μνημονευόμενα ῥητὰ τῶν Προφητῶν ἐψιμυθίουν αὐτοὶ οἱ Ἀπόστολοι, καὶ διέστρεφον πρὸς τὸν ἴδιον αὐτῶν σκοπόν· ἢ ὅτι μὴ ὀρθὴν ἀλλ' ἀποβλητέαν ἔκρινον τὴν ἑρμηνείαν, ᾗ περ αὐτοί, μιᾷ καὶ μόνῃ ταύτῃ, μέχρι τότε χρώμενοι διετέλουν, καὶ ἐξ ἧς μόνης ἐδιδάχθησαν τὰ μυστήρια καὶ τὰ καίρια διδάγματα τῆς θρησκείας. γ) Διότι καὶ ἐν οἷς ἡ ἑρμηνεία διέφερε τοῦ ἑβραϊκοῦ πρωτοτύπου, ἔγνω τὸ Πνεῦμα χρήσιμον ἔννοιαν ἐκ τούτων ἐξαγαγεῖν, καὶ τὸ προελθὸν ἐκ πλάνης ἀνθρωπίνης» (δηλαδὴ τῶν ἑρμηνευτῶν) «μεταστρέψαι εἰς ὄφελος πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας» (τούτους

τοὺς τρεῖς λόγους ὁ Καρψόβιος ἐκ τοῦ Ὀττιγγήρου δανεισάμενος, ἐξέφρασε τάχα πρὸς τὸ σαφέστερον, ζωγραφικῶς διαγράψας τὰς ὑπονοίας, εἰς ἃς ἔμελλον οἱ λαοὶ κατολισθήσειν, εἰ μὴ *συνεψεύδοντο* μετ᾽ αὐτῶν οἱ κήρυκες τῆς ἀληθείας, στέρξαντες τὴν ἔκπαλαι συνήθη παρ᾽ αὐτοῖς ἡμαρτημένην ἑρμηνείαν! ἐξήπλωσε δὲ καὶ τὸ βαθὺ θεώρημα, ὅπως οἱ θεόπνευστοι Ἀπόστολοι καὶ τὰ σφάλματα τῶν μεταφραστῶν μετέγραψαν εἰς οἰκοδομὴν τῆς Ἐκκλησίας, ἐξάγοντες ἐξ αὐτῶν χρησίμους ἐννοίας! (ἢ κατὰ τὸν Ὀττιγγῆρον, μυστικάς· βλ. ἀνωτέρω σελ. 229). Ἀλλὰ πρὶν διεξετάσωμεν τὴν τοιαύτην ἔνδοσιν, ἐρωτῶμεν τὸν λεπτολόγον κριτικόν· Ἐπειδὴ καί, καθ᾽ ὅσην ἂν ἐθέλῃ συγκατάβασιν, καὶ πρὸς οἵαν ἂν καὶ θέλῃ προφύλαξιν τῶν λαῶν, ἐχρήσατο, τέλος, τῇ σφαλερᾷ τῶν Ο ἑρμηνείᾳ τὸ πανάγιον Πνεῦμα διὰ τῶν Ἀποστόλων ἐν τῇ Καινῇ Διαθήκῃ, ἆρά γε κεκύρωκεν ὡς θεόπνευστα καὶ τὰ διημαρτημένα ταῦτα χωρία, ἢ οὔ; καταφήσει πάντως ὁ σοφὸς ἀνήρ, οὐδ᾽ ἂν ἀρνηθείη τὰ καλῶς ἀνωτέρω προωμολογημένα (σελ. 255). Εἶτα πῶς οὐκ᾽ ἄλογον καὶ ἄτοπον, ἀλλὰ καὶ βλάσφημον καὶ ἀνοσιώτατον, τὸ παρεισάγειν τὸ *Πνεῦμα τῆς ἀληθείας* ψευδεῖς μαρτυρίας ἐπισφραγίζον, καὶ συμψευδόμενον ἐν αὐτοῖς αὐτοῦ τοῖς θείοις χρησμοῖς; Μὴ γέγονεν ὁ Θεὸς «*ὅμοιος ἀνθρώποις, ψεύστης*»; (Ἰωάν. η, 55). ἢ μήπως οὐκ ἠδύνατο, ἢ οὐκ ἤθελεν ὁ Παράκλητος, ὁ *πρὸς πᾶσαν τὴν ἀλήθειαν ὁδηγῶν*, χρήσασθαι ταῖς ἀληθιναῖς ἐκ τοῦ ἑβραϊκοῦ μαρτυρίαις, καὶ «*φωτίσαι δὲ τὰς διανοίας*» τῶν πιστευόντων, εἰς ἀποφυγὴν τῶν λεληρημένων ὑπονοιῶν; Καὶ ἀπέβησαν λοιπὸν οἱ χριστοκήρυκες Ἀπόστολοι «*ψευδομάρτυρες* ἐνώπιον τοῦ Θεοῦ», οἰκοδομοῦντες τὴν Ἐκκλησίαν ἐπὶ παραλογισμοῖς καὶ πλάναις ἀνθρωπίναις; Ἄπαγε τοῦ ἄγους! ἀπόμορξαι τὸ μῦσος! εὐφήμει Καρψόβιε! καὶ ἐπειδή, καλῶς ποιῶν, θεοπνεύστους πρεσβεύεις πάσας τὰς ἐν τῇ Καινῇ Διαθήκῃ ῥήσεις τῶν Προφητῶν, τοιαύτας λοιπὸν αὐτὰς ὁμολόγει κἀν τῇ τῶν Ο, ἐξ ἧς ἐλήφθησαν, ἑρμηνείᾳ· τὰς δ᾽ ἐν τῷ ἑβραϊκῷ Μασοριτείους πλάνας ἀπόμοσον, ἵνα γνήσιος ἦς κριτικός – Γ).

«Ἐχρήσαντό (φησιν) *ὡς ἐπὶ τὸ πλεῖστον* οἱ Ἀπόστολοι τῇ ἑρμη-

νεία καὶ ἐν οἷς πρὸς τὸ ἑβραϊκὸν συμφωνεῖ, οἷον ἐν τῷ Μάρκ. θ, 44. ἐκ τοῦ Ἡσαΐ. ξς. 24. κτλ. (Ἀναπόδισον, παρακαλῶ, τὴν πρότασιν, ἀκριβέστερον ἀποδοὺς, ὅπως ἀληθεύσῃ, καὶ γράψον οὑτωσί· «Συμφωνεῖ *κατὰ τόπους* καὶ τὸ *νῦν* ἑβραϊκὸν πρὸς τὴν ἑρμηνείαν, ἧ περ οἱ Ἀπόστολοι ἐχρήσαντο». Ἔξελέ μοι καὶ ἐξ ὧν ἐπήγαγες τεσσάρων τῆς συμφωνίας παραδειγμάτων τὰ δύω. 1) τὸ «Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν» (Ἰωάν. ιβ, 38. πρόσθες καὶ Ῥωμ. ι, 15. ἐκ τοῦ Ἡσ. νγ, 1, ὅπου τὸ *Κύριε* λείπει ἐκ τοῦ ἑβραϊκοῦ)· καὶ 2) τὸ «Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθορὰν» (Πράξ. ιγ, 35 ἐκ τοῦ Ψαλμ. ιε, 10, ὅπου τὸ νῦν ἑβραϊκὸν ἔχει «*τοὺς ὁσίους σου ἰδεῖν λάκκον*», ὡς ἐξηγοῦσι καὶ Ῥαββῖνοι καὶ ῥαββινισταὶ κριτικοί. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 610). – Δ) «Ἐνίοτέ (φησι) *κατεχρήσαντο* τῇ ἑρμηνείᾳ οἱ Ἀπόστολοι, καὶ ἐν οἷς ἀποπλανᾶται τῆς ἀκριβείας· οἷον, α) ἐν οἷς οἱ μεταφρασταὶ (οἱ Ο) ἄκαιρον ἐπεδείξαντο κριτικὴν (ὡς ἐν Γενέσ. μς, ὅπου ἔγραψαν 75 *ψυχὰς*, ὡς καὶ οἱ Ἀπόστολοι, Πράξ. ζ, 14, ἐν ᾧ τὸ κείμενον τὸ ἑβρ. ἔχει μόνον 70. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 430)· καὶ β) ἐν οἷς ψευδῶς ἀνέγνων οἱ αὐτοὶ μεταφρασταὶ, ὡς (Ἀββακ. α, 5, καὶ Πράξ. ιγ, 41) «*ἴδετε οἱ καταφρονηταὶ*», ἀντὶ τοῦ ἑβραϊκοῦ «*ἴδετε ἐν ἔθνεσι*» κτλ.-(Καὶ ταῦτα λεσχηνεία! Μὴ παρὰ τοῖς Ο, μηδὲ παρὰ τοῖς Ἀποστόλοις, ἀλλὰ παρὰ τοῖς δειλαίοις κριτικοῖς τῆς φίλης Μασόρας ζήτει, Καρψόβιε, τὰ πολλὰ παραναγνώσματα καὶ τὰς διαστρεβλώσεις, δι' ὧν τὸ νῦν Ἰουδαϊκὸν κείμενον κατεθολώθη, παρεκτραπὲν ἐκ τοῦ παρὰ μόνοις τοῖς Ο, καθαροῦ διασωθέντος καὶ πηγαίου κειμένου τῶν ἑβραϊκῶν Γραφῶν. Ὅτι δὲ καὶ οὐκ «*ἐνίοτε*», καθὼς γράφεις, ἀλλὰ συχνάκις τὸ νῦν ἑβραϊκὸν ἀποπλανᾶται τῶν παρὰ τοῖς Ο, καὶ τοῖς Ἀποστόλοις προφητικῶν ῥητῶν, δείξουσι τὰ παραδείγματα ἐφεξῆς).-Ε) «Καὶ παρέλιπον δέ (φησιν) οἱ Ἀπόστολοι τοὺς Ο, παρακολουθοῦντες τῷ ἑβραϊκῷ»-(τέσσαρα φέρει τούτου δείγματα, καὶ γράφομεν αὐτὰ ἐν τῷ οἰκείῳ τόπῳ).-Ϛ) «Ἄλλοτε δὲ (λέγει) ἑκάτερα τὰ κείμενα (καὶ τὸ τῶν Ο, καὶ τὸ ἑβραϊκὸν) παρέλιπον οἱ Ἀπόστολοι, μεταφράσαντες αὐτοί τινα χωρία τῆς Γραφῆς,

ἐλευθέρως, καὶ μετά τινος μικρᾶς μεταβολῆς· ὡς, Ματθ. β, 6 «Καὶ σὺ Βηθλεὲμ, *γῆ Ἰούδα*» κτλ. ἐκ τοῦ Μιχ. ε, 2, ὅπου καὶ τὸ ἑβρ. καὶ οἱ Ο «Καὶ σὺ Βηθλεὲμ (*οἶκος*) *τοῦ Εὐφραθᾶ*», καὶ ἄλλ' ἄττα τοιαῦτα».-Ἀλλ' ὅτι οἱ θεῖοι Ἀπόστολοι μὴ μόνον ἀκριβῶς κατὰ πόδα καὶ κατὰ λέξιν, ἀλλ' ἐνίοτε καὶ κατὰ διάνοιαν, καὶ μετά τινος ἐναλλαγῆς, πηγαζούσης ἐξ αὐτῆς τῆς ἐννοίας, ἐξέφερον ὀλίγας τινας ῥήσεις προφητικὰς, προείπομεν (Βιβλ. Γ. σελ. 842), καὶ ἐροῦμεν ἐφεξῆς καταγράφοντες τὰ χωρία. Καὶ ταῦτα μὲν πρὸς τοὺς περὶ τὸν Καρψόβιον (α).

§. ιη. Ἥκομεν ἤδη καὶ πρὸς τὸν Ὅδιον, ὃν, καίτοι Καρψοβίου παλαιότερον, ὕστερον ὅμως, οἷον ἄκρον ἄωτον, ἐτάξαμεν. Εἰς γὰρ τὴν τούτου συγγραφὴν παραπέμπουσι πάντες τοὺς ἑαυτῶν ἀναγνώστας, ὀψομένους τὰ κειμήλια τῶν ἀποδείξεων, πάμπολλα καὶ μεγάτιμα ὄντα, καὶ παρόμοια τοῖς ἐν τῷ ναῷ *τῆς πολυχρύσου Πυθῶνος* θησαυρίσμασιν, ὅσα «*Λάϊνος οὐδὸς Ἀπόλλωνος ἀφήτορος ἐντὸς ἐέργει*» (*Ἰλιάδ.* 1, 404).

§. ιθ. Ὀδίῳ τοίνυν ἔδοξεν (β), ὅτι, ἐν οἷς τόποις διαφωνεῖ πρὸς τοὺς Ο τὸ ἑβραϊκὸν, ἐν τούτοις οἱ Ἀπόστολοι νῦν μὲν τῷ ἑβραϊκῷ συστοιχοῦσιν, ἄλλοτε δὲ πάλιν τοῖς Ο, καὶ φέρει περὶ τούτου μάρτυρα τὸν ἱερὸν Αὐγουστῖνον, λέγοντα ταῦτα· «Καθ' ὅσα οἱ Ο νομίζονται διαφωνοῦντες πρὸς τὴν ἑβραίαν ἀλήθειαν, ὅταν ὀρθῶς κατανοηθῶσι, σύμφωνοι καὶ συνᾴδοντες εὑρεθήσονται. Ὅθεν κᾀγὼ, κατὰ τὸ μέτρον τὸ ἐμὸν, ἀκολουθῶν τοῖς Ἀποστόλοις, ἐπειδὴ οὗτοι ἐξ ἑκατέρων τῶν Γραφῶν, ἑβραίων τε φημὶ καὶ τῶν Ο, τὰς προφητικὰς ἐξέθεντο μαρτυρίας, ἑκατέρων τῇ αὐθεντίᾳ χρηστέον εἶναι ᾠήθην· *ἀμφότεραι γὰρ μία τε καὶ θεία ἐστίν*» (γ). Ἀλλ' ὅτι μὲν ὁ ἱερὸς Αὐγουστῖνος ἠγνόει τὴν ἑβραΐδα

(α) Carpzov. Crit. Sacra p. 527.- (β) Hody l. c. p. 243.

(γ) «Unde etiam ego pro meo modulo vestigia sequens Apostolorum, quia et ipsi ex utrisque, id est ex Hebræis et ex LXX, testimonia prophetica posuerunt, utraque auctoritate utendum putavi. Quoniam utraque una atque divina est». Augustin. Dei civit. Dei XVIII. 44.

γλῶσσαν, ὡμολόγηται. Παρ' ἄλλων οὖν μαθὼν τὰς ἐν τῇ Καινῇ Διαθήκῃ μᾶλλον πρὸς τὸ ἑβρ. ἢ πρὸς τοὺς Ο συμφωνεῖν δοκούσας ὀλίγας προφητικὰς ῥήσεις, ἐνέκρινε τὰς Γραφὰς ἑκατέρας, εὐδιάλλακτον τὴν ἐν αὐταῖς ἐναντιοφάνειαν θεωρῶν, καὶ *μίαν* καὶ *θείαν* ἀνακηρύττων ἑκατέρων τὴν αὐθεντίαν καὶ κυριότητα. Ὅτι δὲ καθόλου τῇ ἑρμηνείᾳ τῶν Ο χρησαμένους τοὺς Ἀποστόλους ἐγνώριζεν ὁ Πατὴρ, οὐχ ἅπαξ ἀνεκήρυξεν. Οὕτως, ἐπιστέλλων πρὸς Ἱερώνυμον, «Ὅτι γὰρ (ἔλεγεν) οὐκ ὀλίγον ἔχει βάρος ἐκείνη ἡ ἑρμηνεία τῶν Ο, ᾗ περ ἐχρήσαντο οἱ Ἀπόστολοι, οὐ μόνον αὐτὸ τὸ πρᾶγμα δηλοῖ, ἀλλὰ καὶ σοῦ μέμνημαι μεμαρτυρηκότος» (ἐπις. 88 πρὸς Ἱερώνυμον). Ὀψόμεθα δὲ προϊόντες καὶ ταύτας τοῦ Ἱερωνύμου τὰς μαρτυρίας. Ὅθεν ὁ αὐτὸς πάλιν Πατὴρ ἐγνωμάτευσεν· «Οἱ Λατῖνοι κώδηκες τῆς παλαιᾶς Διαθήκης, εἴπερ ἀνάγκη, διορθωτέοι κατὰ τὸ κῦρος τῶν ἑλληνικῶν, καὶ μάλιστα κατὰ τὴν ἑρμηνείαν ἐκείνων, οἵτινες Ο ὄντες, ἑνὶ στόματι μεθηρμηνευκότες παραδέδονται» (α).

§. κ. Καὶ ἄλλας δὲ Ὅδιος τοῦ Ἱερωνύμου χρήσεις ὑποσυνάπτει (ἐκ τοῦ Ὑσσερίου, πρότερον αὐτὰς θησαυρίσαντος) (β), δι' ὧν ὁ Δαλμάτης Πατὴρ πρὸς ἑαυτὸν ἀντιλέγων (ὡς εἴωθεν ἐν οἷς ἐπιχειρεῖ τὸ κατ' αὐτὸν ἑβραϊκὸν ὑπερυψοῦν, ὅπως ἣν πεποίηκεν ἐξ αὐτοῦ μετάφρασιν δικαιώσῃ), διατείνεται, ὅτι «καὶ ὁ Κύριος ἡμῶν, καὶ οἱ Ἀπόστολοι, καὶ οἱ Ἀποστολικοὶ ἄνδρες προδήλως ταῖς ἑβραϊκαῖς ἐχρήσαντο Γραφαῖς». Ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἀσυστάτων ὑπερβολῶν τοῦ φερωνύμου Πατρὸς διαληψόμεθα ἐν οἷς τὰς γνώμας αὐτοῦ θεωρήσομεν ἰδίως, ἐν τῷ τρίτῳ τμήματι τοῦ παρόντος κεφαλαίου. Ἤδη δὲ σημειοῦμεν ὅσας ἐκ τῆς Καινῆς ἐξέφερε ῥήσεις πρὸς ἀπόδειξιν τῆς διηνεκοῦς παρὰ τοῖς Ἀποστόλοις χρήσεως τοῦ ἑβραϊκοῦ. Καταγράφομεν δὲ ταύτας καθ' ἣν Ὅδιος αὐταῖς ἀπεκλήρωσε τάξιν, καὶ παρατιθέμεθα τὰς ἀπαντήσεις, πρὸς ἔνδειξιν τῆς ἀληθείας.

(α) S. Augustin. de Doctrin. Christ L. II. c. 15.
(β) Usser. de Græc LXX. Interpr. vers. Synt. p. 25—29.

§. κα. Ματθ. Β, 15. «Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου». Οὕτως ἔχει τὸ ῥητὸν καὶ ἐν Ὡσηὲ ια, 1, κατὰ τὸ ἑβραϊκόν. («Ὅτι παῖς Ἰσραὴλ, καὶ ἠγάπησα αὐτὸν), καὶ ἀπὸ *Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου»* (α). Ἀλλ' οἱ Ο, μετέφρασαν οὕτως· («Ὅτι νήπιος Ἰσραὴλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν), καὶ ἐξ *Αἰγύπτου μετακάλεσα τὰ τέκνα αὐτοῦ»*. «Ὥστε ὁ θεῖος Ματθαῖος ἐκ τῆς ἑβραϊκῆς ἀληθείας ἔλαβε τὴν μαρτυρίαν» (Ἱερών. εἰς Ματθ.) Ἀλλ' αὐτὸς ὁ Πατὴρ παρακατιὼν (αὐτόθ.) ἀπήντησε πρὸς ἑαυτὸν, ἐνδιδοὺς, ὅτι τὸ ῥητὸν ἴσως ἔλαβεν ὁ Εὐαγγελιστὴς οὐκ ἀπὸ τοῦ Ὡσηὲ, ἀλλ' ἐκ τῶν Ἀριθμῶν (κγ, 22) «Θεὸς ὁ ἐξαγαγὼν αὐτὸν ἐξ Αἰγύπτου» καὶ πάλιν (κδ, 8), «Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου». Οὕτως ἔκρινε καὶ Ὠριγένης, καὶ Εὐσέβιος (β), καὶ ἄλλοι τῶν ἀρχαίων, καὶ Θεόδωρος ὁ Ἡρακλείας, λέγων· «Ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν γέγραπται καὶ ἐξ Αἰγύπτου ἐκάλεσεν αὐτόν» (Σειρ. εἰς Ματθ.) (γ).

(α) Οὕτω καὶ Ἀκύλας. Ἔστι δὲ καὶ Σχόλιον παλαιὸν ἐν τῷ κώδηκι τοῦ Βαρβερίνου, λέγον· «Τούτῳ ἐχρήσατο ὁ Ματθαῖος, ὡς οὕτως ἔχοντος δηλονότι τοῦ ἑβραϊκοῦ, ὡς καὶ ὁ Ἀκύλας ἡρμήνευσε».

(β) Εὐσέβ. Εὐαγ. Ἀποδ. Θ. σελ. 263. ἐν δὲ τῷ ἐφεξῆς κεφαλαίῳ (σελ. 266)· ἀνάγων τὴν ῥῆσιν τοῦ Εὐαγγελιστοῦ καὶ εἰς τὰ τοῦ Ὡσηὲ, ἐπιφέρει. «Εἰ δέ τις αὐτὰ (τὰ τοῦ Ὡσηὲ) μηδαμῶς ἐφαρμόζειν ἐπὶ τὸν ἡμέτερον λέγει Σωτῆρα, ἀλλὰ τάγε τῆς τοῦ Ματθαίου παραθέσεως», (τὸ ἐξ Αἰγύπτου; κτλ.) «ἀπὸ τῆς παρὰ Μωσεῖ μαρτυρίας [εἰσὶν] αὐτῷ παρειλημμένα», (τὸ «Θεὸς ὡδήγησεν αὐτὸν, κτλ. Ἀριθμ.).-«Ἐπεὶ μηδ' αὐτὸς ὁ Εὐαγγελιστὴς ἀπὸ τῆς τοῦ Ὡσηὲ προφητίας εἰλῆφθαι αὐτῷ τὸ λόγιον ἔφησε» κτλ.

(γ) Οὕτω καὶ τῶν νεωτέρων Ἔρασμος (εἰς Ματθ. αὐτόθ.), καὶ Οὐόσσιος (de oracul. Sibyl. c. 17, καὶ cont. Hulsium p. 118). Ὁ δ' αὐτὸς ἀλλαχοῦ τίθησι καὶ ἐκ τοῦ Ὡσηὲ τὸ ῥητὸν, διορθῶν (ὡς ἀντιγραφέων σφάλμα) τὸ τὰ τέκνα αὐτοῦ, εἰς τὸ «τὸ τέκνον αὐτοῦ». Ἀλλ' ἐπειδὴ ἐν τοῖς ἐφεξῆς τοῦ Ὡσηὲ ἕπονταί καί τινες ἔλεγχοι προσωπικῶς ἀνήκοντες εἰς τὸν ἰσραηλιτὸν λαὸν καὶ κατὰ πληθυντικὸν ἀριθμὸν (καὶ ἐν τῷ ἑβραϊκῷ), οἷον· «καθὼς μετακάλεσα αὐτοὺς . . . τοῖς Βααλὶμ ἔθυον» κτλ. (ια, 2). Διὰ τοῦτο μᾶλλον πιθανώτερον φαίνεται, ὅτι ἐκ τῶν ἀριθμῶν ἔλαβε τὴν ῥῆσιν ὁ Εὐαγγελιστὴς, ἐκφράσας κατὰ τὴν ἔνοιαν (ὃ καὶ Εὐσέβιος ἔκρινεν ἀνωτέρω)· πρβλ. καὶ Δρούσιον, ὅστις οὐκ εὐλόγως ἀποκλίνει μᾶλλον πρὸς τοὺς ἀνάγοντας τὴν ῥῆσιν εἰς τὸν Ὡσηέ. J. Drusij not. in Parallel. Sacra p. 1270 in Critic Sacr. Tom. 8. Lond.

§. κβ. Ματθ. Β. 23. «Τὸ ῥηθὲν διὰ τῶν προφητῶν, *Ὅτι Ναζωραῖος κληθήσεται*» «Ταύτην τὴν ῥῆσιν (φησὶν ὁ Ἱερώνυμος) ἔλαβεν ὁ Εὐαγγελιστὴς ἐκ τοῦ Ἡσαΐα. ια, 1. ὅπου οἱ μὲν Ο, ἔχουσι «Καὶ *ἄνθος* ἐκ τῆς ῥίζης ἀναβήσεται». τὸ δ' ἑβραϊκὸν ἀντὶ τοῦ *ἄνθος* ἔχει Ναζωραῖος».-Ἀλλ' αὐτὸς οὗτος πάλιν ὁ Πατὴρ μεταβαλόμενος, ἔγραψε καὶ ταῦτα· «Ἐπειδὴ ὁ Εὐαγγελιστὴς οὐκ ἔγραψε διωρισμένως τὸ ῥηθὲν διὰ τοῦ *προφήτου*, ἀλλὰ πληθυντικῶς, διὰ τῶν προφητῶν, ἔδειξε λοιπὸν, ὅτι οὐ τὰς λέξεις ἔλαβεν ἐκ τῶν Γραφῶν, ἀλλὰ τὸ νόημα. Ναζωραῖος δέ ἐστιν ὁ ἅγιος· ἅγιον δὲ τὸν Κύριον πᾶσα ἡ Γραφὴ ἀποκαλεῖ» (α). Ἀλλὰ ταῦτα φαίνονται ἀπᾴδοντα πρὸς τὸ ρητόν. Κᾂν γὰρ τὸ Ναζαρὲτ τεθῇ παρὰ τὸ Νετσὰρ (ἄνθος καὶ βλαστὸς, ὡς πόλις ἀνθηρὰ καὶ θαμνώδης· ἢ κατ' ἄλλους, παρὰ τὸ Νατσὰρ, ἐφύλαξεν, οἷον πεφυλαγμένη), ἀλλὰ ταῦτα οὐδεμίαν οὐδόλως ἔχουσι σχέσιν πρὸς τὴν ἔννοιαν τοῦ θείου Εὐαγγελιστοῦ, ὅστις ἐναργῶς καὶ ἁπλῶς αὐτὸ τὸ Ναζωραῖος γράφει ὡς ἐθνικὸν, ἢ τοπικόν. Εὑρίσκεται δὲ τῆς Ναζαρὲτ καὶ ἄλλος σχηματισμὸς Συριακὸς, ὁ *Ναζαρὰ* (ὡς ἔχει τὸ Συριακὸν Εὐαγγέλιον εἰς Ματθ. κα, 11, καὶ Εὐσέβ. ἐν τῷ περὶ Τόπων, καὶ Εὐαγγ. Ἀποδ. ζ.). Ὅθεν ὁμαλώτερον παράγεται τὸ *Ναζωραῖος Ναζαρηνὸς* (Μάρκ. α, 24: ιδ, 67: ις, 6: ἐν δὲ ι, 47 γέγραπται καὶ Ναζωραῖος). Οὐ κεῖται δὲ κατὰ λέξιν τὸ προφητικὸν ῥητὸν οὔτε ἐν τῷ νῦν ἑβραϊκῷ, οὔτε παρὰ τοῖς Ο. Ὅθεν ὁ θεῖος Χρυσόστομος καὶ ὁ Θεοφύλακτος (εἰς Ματθ. αὐτόθ.) θεωροῦσι τὴν ῥῆσιν ὡς ἔκ τινον προφητικῶν βιβλίων ἀπολεσθέντων παρ' Ἰουδαίοις.

§. κγ. Ματθ. Δ. 15. «Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ

(α) S. Hieronym. de optim. gen. interp. καὶ Comment. εἰς Ματθ. αὐτ. Ἀλλὰ τὸ μὲν ἑβραϊκὸν (Ἡσαϊ. ια, 1) οὐκ ἔχει Ναζωραῖος, ἀλλὰ Nazer (ἄνθος, ὅρπηξ). Ἄλλο δὲ καὶ τὸ Nazir, Ναζιραῖος, ἡγιασμένος, καθιερωμένος (Ἀριθμ. ς, 18: Ἀριθμ. ϛ, 11, 12). Βλ. Calmet, Diction. T. 3. p. 20: - Gesenij, Lexic. Hebraic. p. 657, 685. πρβλ. Schleusn. Lex. N. T. v. Ναζωραῖος, καὶ Drus. Not. in Parallel. Sacr. καὶ τοῦ αὐτοῦ καὶ Grot. Annot. εἰς Ματθ. ϛ.

καθήμενος ἐν σκότει εἶδε φῶς μέγα, καὶ τοῖς καθήμενοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς»· ἐκ τοῦ Ἡσαΐου (θ, 1, 2)· ὅπου οἱ Ο («Τοῦτο πρῶτον πίε, ταχὺ ποίει) χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ τὴν παραλίαν κατοικοῦντες *ὁδὸν θαλάσσης* (α), καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν. Ὁ λαὸς ὁ πορευόμενος» (Βατικ. τὸ δὲ Ἀλεξ. ὁ *καθήμενος*) «ἐν σκότει ἴδετε» (Βατικ. ἡ δὲ Κομπλούτ. καὶ Ἄλδου ἔκδοσ. *εἶδε*) «φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς λάμψει ἐφ᾽ ὑμᾶς»· (Οὕτω καὶ ἡ ἀρχαία Ἰτάλα, καὶ Κυπριανὸς ὁ ἱερομάρτυς (β)). Τὸ δὲ ἑβραϊκὸν (κατὰ τὴν Ἱερωνύμου ἑρμηνείαν) « Τὸ πρῶτον ἐκουφίσθη γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, καὶ τὸ *ἔσχατον ἐβαρύνθη* ὁδὸς θαλάσσης πέραν τοῦ Ἰορδάνου (γ) τῆς Γαλλαίας τῶν ἐθνῶν. Ὁ λαὸς ὁ *πορευόμενος* ἐν σκότει εἶδε φῶς μέγα, τοῖς κατοικοῦσιν ἐν χώρᾳ σκιᾶς θανάτου φῶς ἀνέτειλεν αὐτοῖς» (Βουλγάτ.). «Καὶ (συμπεράνει ὁ Ἱερώνυμος) σημειωτέον, ὅτι ταύτην τὴν μαρτυρίαν ὁ Εὐαγγελιστὴς οὐ κατὰ τοὺς Ο, ἀλλὰ κατὰ τοὺς Ἑβραίους ἐξέθηκεν» (Ὑπομν. αὐτόθ.). Ὅτι δὲ (προστίθησιν ὅδιος) ἀληθεύει τοῦτο, πρόδηλον ἐκ τοῦ *ἴδετε*, καὶ ἐκ τοῦ *ἐφ᾽ ὑμᾶς* (κατὰ τοὺς Ο), ἀντὶ τοῦ *εἶδε*, καὶ τοῦ *αὐτοῖς* (ὡς ἔχει τὸ ἑβρ. καὶ ὁ Εὐαγγελιστής). Ἀλλὰ πᾶν τοὐναντίον, ὅδιε φαίνεται. Τὰ ὀνόματα *Ζαβουλὼν* καὶ *Ναφθαλὶμ* (τὸ νῦν ἑβρ. Ζεβουλοὺν, καὶ Ναφθαλὶ), ἡ *Γαλιλαία* τῶν ἐθνῶν (ὁ δ᾽ Ἀκύλ. ἐκ τοῦ ἑβρ. *θῖνες ἐθνῶν*, ὁ Σύμμαχ. ὅρια τῶν ἐθνῶν), τὸ *χώρα καὶ σκιὰ θανάτου* (ὡς Λουκ. α, 79), τὸ *καθήμενον* (ἀντὶ τοῦ ἑβρ. πορευόμενος), ὅλη ἡ φράσις καὶ ἡ σύνθεσις τοῦ λόγου ἀποδείκνυσι τρανῶς, ὅτι τὴν ῥῆσιν ἔλαβεν ὁ Εὐαγγελιστὴς ἐκ τῶν Ο, παραλιπὼν τὴν ἀρχὴν τοῦ κεφαλαίου, καὶ συντομώτερον ἐκφράσας (χωρὶς

(α) Κώδ. Ἀλεξανδρ. πρβλ. Εὐσέβ. Εὐαγ. Ἀποδ. Ζ, 3. σελ. 208 καὶ Θ, 8. σελ. 272 —(β) S. Cyprian. Testimon. L. I. cap. 21.

(γ) Et novissimo aggravata est via maris trans Iordanem. Οὕτως ὁ Ἱερών. ἔγραψεν, ὡς καὶ ὁ Σύμμαχος· «Καὶ ὁ ἔσχατος ἐβάρυνεν ὁδὸν τὴν κατὰ θάλασσαν πέραν τοῦ Ἰορδάνου» (βλ. Drus. Not. in Parallel. Sacr. p. 1274). ἄλλας πάντῃ διαφόρους ἑρμηνείας ἔχουσιν οἱ νεώτεροι (Schulz, Rosenmüller κτλ.).

τοῦ «*καὶ οἱ λοιποὶ τὴν παραλίαν*», (ἀνθ' οὗ καὶ τὸ νῦν ἑβραϊκὸν, «*τὸ ἔσχατον ἐβαρύνθη*»). Ἐκ τῶν Ο τὴν ῥῆσιν ληφθεῖσαν καὶ Κασωβὼν, καὶ Γρότιος ἔκριναν (σημ. εἰς Ματθ. αὐτόθ.).

§. κδ. Ματθ. ΙΒ. 18. «Ἰδοὺ ὁ παῖς μου, ὃν ἡρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ· οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ· κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκλάβῃ εἰς νῖκος τὴν κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν». Ἐκ τοῦ Ἡσαΐ. μβ, 1. ὅπου οἱ Ο, «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου. Ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτὸν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει· οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ· κάλαμον τεθλασμένον οὐ συντρίψει, καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει τὴν κρίσιν· ἀναλάμψει, καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν» (οὕτω καὶ ἡ Ἰτάλα). Τὸ δ' ἑβραϊκὸν (κατὰ τὴν Ἱερωνύμου μετάφρασιν) «Ἰδοὺ ὁ δοῦλός μου, ἀντιλήψομαι αὐτοῦ, ὁ ἐκλεκτός μου εὐηρεστήθη ἐπ' αὐτῷ ἡ ψυχή μου, ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτὸν, κρίσιν ἔθνεσιν ἐξοίσει· οὐ κραυγάσει, *οὐδὲ λήψεται πρόσωπον*, οὐδ' ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ· κάλαμον τεθλασμένον οὐ συντρίβει, καὶ λίνον καπνίζον οὐ σβέσει· ἐν ἀληθείᾳ ἐξοίσει κρίσιν· *οὐκ ἔσται περίλυπος, οὐδὲ τεθορυβημένος*, ἕως ἂν θῇ *ἐπὶ τῆς γῆς κρίσιν*· καὶ τὸν νόμον αὐτοῦ νῆσοι προσδοκήσουσιν». Ἐν δὴ τούτοις (κατὰ τὴν Ἱερωνύμου κρίσιν) «ὁ Ματθαῖος, ὡς Ἑβραῖος ἐξ Ἑβραίων, καὶ ἐν τῷ νόμῳ Κυρίου σοφώτατος, ἐξέφερεν εἰς τὰ ἔθνη ἅπερ ἀνέγνω ἐν τῷ ἑβραϊκῷ. Εἰ δέ (φησιν) οὐ κεῖται παρὰ τῷ Εὐαγγελιστῇ τὸ «*ἀναλάμψει, καὶ οὐ θραυσθήσεται*» (τοῦτο) λεληθότως ὁ Πατὴρ ἔγραψεν ὡς ἔχουσιν οἱ Ο, ὤφειλε δὲ μᾶλλον γράψαι τὸ ἀντίστοιχον ἑβραϊκὸν, καθὼς αὐτὸς ἡρμήνευσεν· «Οὐκ ἔσται περίλυπος, οὐδὲ τεθορυβημένος»), καὶ τὸ «*ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν*»,

τοῦτό μοι δοκεῖ (φησὶν), ὅτι συνέβη κατὰ πλάνην τοῦ πρώτου ἀντιγραφέως, ὅστις ἀναγνοὺς τὸ προηγούμενον κῶλον, λῆγον εἰς τὴν λέξιν *κρίσιν*, ἐνόμισεν, ὅτι τοῦτ' ἐστὶ τὸ τέλος τοῦ ἐφεξῆς ἑπομένου κώλου, λήγοντος καὶ τούτου εἰς *κρίσιν*· διὸ τὰς μεταξὺ ὀλίγας λέξεις παρέλιπεν. Ἐπὶ δὲ πάλιν τοῦ ἑβραϊκοῦ «*καὶ τὸν νόμον αὐτοῦ νῆσοι προσδοκήσουσιν*» ὁ Ματθαῖος μᾶλλον κατ' ἔννοιαν ἑρμηνεύων, ἢ κατὰ λέξιν, ἀντὶ τοῦ *νόμου καὶ νῆσοι*, ἔγραψεν *ὄνομα καὶ ἔθνη*. Οὐ μόνον δέ (φησιν) ἐν τούτῳ τῷ τόπῳ, ἀλλὰ καὶ πανταχοῦ, ὅπου ἐκ τῆς παλαιᾶς Διαθήκης μαρτυρίαν ἐξήνεγκαν οἱ Εὐαγγελισταὶ καὶ οἱ Ἀπόστολοι (καὶ τοῦτο τηρητέον ἐπιμελῶς), οὐ τῇ λέξει παρηκολούθησαν, ἀλλὰ τῇ διανοίᾳ. Καὶ ὅπου δὲ οἱ Ο πρὸς τὸ ἑβραϊκὸν διαφωνοῦσι, κἀκεῖ τὸ καθ' ἑβραίους νόημα οἱ Ἀπόστολοι μεθηρμήνευσαν ἐν τοῖς λόγοις αὐτῶν» (α). Ταῦτα τὰ τοῦ Ἱερωνύμου καὶ Ὅδιος ἀσπασίως ἀποδέχεται, προστιθεὶς καὶ ταῦτα τοῦ Εὐσεβίου· «Τήρει δὲ ἐπιμελῶς, τίνα τρόπον, ὁ Ματθαῖος εἰπὼν, *Ἰδοὺ ὁ παῖς μου ὃν ἡρέτισα, ὁ ἀγαπητός μου, ἐν ᾧ ηὐδόκησεν ἡ ψυχή μου*, οὔτε τοῦ Ἰακὼβ, οὔτε τοῦ Ἰσραὴλ ἐμνήσθη· οὐ γὰρ εἶπεν *Ἰακὼβ ὁ παῖς μου, Ἰσραὴλ ὁ ἐκλεκτός μου, καὶ ὁ ἀγαπητός μου*· ἀορίστως δὲ ἐξήνεγκεν εἰπὼν, ἰδοὺ ὁ παῖς μου καὶ ὁ ἀγαπητός μου. Ὅθεν, ὡς μηδὲ ἐν τῷ ἑβραϊκῷ τῆς προφητείας κειμένης, παρὰ μὲν τοῖς Ο ὠβέλισται τὸ τοῦ *Ἰακὼβ, καὶ τὸ τοῦ Ἰσραὴλ* ὄνομα, καὶ παρὰ τοῖς λοιποῖς δὲ ἑρμηνευταῖς παρασεσιώπηται· ἐπεὶ μηδ' ἐν τῷ Ἑβραϊκῷ φέρεται. Ἔνθεν εἰκότως οὐδὲ παρὰ τῷ Εὐαγγελιστῇ εἴρηται, ἑβραίῳ ὄντι, καὶ ἀκολούθως τῇ Ἑβραίων γραφῇ τὴν προφητείαν ἐκθεμένῳ» (Εὐαγ. Ἀποδ. Θ. ιε, σελ. 281).

(α) Ἱερώνυμ. ἐπιστ. πρὸς Ἀλγασίαν. Ταῦτα πως ὑπερβολικώτερον, καὶ μάτην προσέθηκεν ὁ μακάριος Ἱερώνυμος· ὅπου γὰρ οἱ Ἀπόστολοι ἀντέγραψαν τὰς ῥήσεις κατὰ πόδα καὶ κατὰ λέξιν ἐκ τῶν Ο (ὡς ἕκαστον αἱ αἰσθήσεις πληροφοροῦσι), διαφέρει δ' ἐν τούτοις τὸ ἑβραϊκὸν, πῶς λοιπὸν καὶ ἐν τοῖς τοιούτοις ἐξέθηκαν δι' ἰδίων αὐτῶν φράσεων τὸ νόημα τὸ ἑβραϊκόν; Καὶ δικαίως ἄρα ὁ Ὑέτιος ἠγανάκτει ἐπὶ ταῖς τοιαύταις ὑπερβολαῖς τοῦ πατρός. βλ. **Huet. Dem. Evang. Tom. 2. p. 181**).

Ὁ μὲν οὖν Εὐσέβιος μόνον τὸ τοῦ *Ἰακὼβ* καὶ τὸ τοῦ *Ἰσραὴλ* ὄνομα θέλει περιττεύοντα παρὰ τοῖς Ο (διὸ καὶ ὠβελισμένα ἐν τοῖς Ἑξαπλοῖς) ὡς μὴ κείμενα ἐν τῷ (κατ' αὐτὸν) ἑβραϊκῷ. Τούτῳ δέ (φησι) καὶ ὁ Εὐαγγελιστὴς ἠκολούθησε, «*παρασιωπήσας τὰ ὀνόματα*», ἄλλων δὲ διαφορῶν, μεταξὺ τῶν Ο καὶ τοῦ ἑβραϊκοῦ θεωρουμένων, οὐκ ἐμνημόνευσεν ὁ Εὐσέβιος, οὐδ' ἐνόησεν ὅτι καθ' *ὅλην τὴν ῥῆσιν* ὁ Εὐαγγελιστὴς ἠκολούθησε τῷ Ἑβραίῳ, παριδὼν τοὺς Ο (ὅπερ ἔδοξε τῷ Ἱερωνύμῳ)· ἀλλ' οὐδὲ τοῦ Εὐαγγελιστοῦ πρὸς τοὺς Ο διαφορὰν ἄλλην περὶ τὸ ῥητὸν ἐσημείωσεν ὁ Εὐσέβιος. Ὁ δὲ μάρτυς Ἰουστῖνος δὶς ἀνέγνω τὸ χωρίον ἀκριβῶς κατὰ τοὺς Ο πρὸς τὸν Παλαιστινὸν (ὅθεν καὶ ἑβραϊστὴν καὶ ἑλληνιστὴν) Ἰουδαῖον Τρύφωνα (Διαλ. §. 123 καὶ 135), καὶ οὗτος οὐκ ἠρνήσατο, οὐδ' εἶπεν ὅτι ταῦτα οὐ κεῖνται ἐν τῷ ἑβραϊκῷ· ὁ δὲ μάρτυς προσέθηκε, καὶ ὅτι « ὁ Προφήτης τὸν Χριστὸν *παραβολικῶς* Ἰακὼβ καλεῖ καὶ Ἰσραήλ» (αὐτόθι· τοῦτο δ' ἀλλαχοῦ καὶ Εὐσέβιος ἐσημείωσεν· «Ἰσραὴλ γὰρ ὁ Χριστὸς καὶ καθ' ἑτέρας ἀνηγόρευται προφητείας». Εὐαγ. Ἀποδ. θ, σελ. 266). Καὶ φένεται ἄρα, ὅτι ἐπὶ Ἰουστίνου κώδηκές τινες ἑβραῖοι διέσωζον ἔτι τὰ ἐξ ἄλλων ἀπογράφων ἐκπεσόντα ὀνόματα τοῦ Ἰακὼβ καὶ Ἰσραήλ, ἅπερ οἱ λοιποὶ ἑρμηνευταὶ οὐχ' εὗρον, οὐδ' ἡρμήνευσαν· διὸ καὶ Ὠριγένης ὕστερον ἐπελθών, προσέγραψεν ὀβελοὺς τοῖς ὀνόμασιν ἐν τῇ ἑρμηνείᾳ τῶν Ο, δηλῶν, ὅτι ἔλειπον ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ· τούτῳ παρηκολούθησε καὶ Εὐσέβιος. Ὅτι δὲ οἱ Ο, ἀνέγνων ἐν τῷ κατ' αὐτοὺς ἑβραϊκῷ τὸ *Ἰακὼβ* καὶ *Ἰσραήλ*, ἀποδείκνυται ἐκ τῶν σύνεγγυς τῷ χωρίῳ κεφαλαίων τοῦ Ἡσαΐου (μα, 8: μγ, 1: μδ, 1), ἐν οἷς κεῖνται τὰ αὐτὰ ὀνόματα καὶ ἐπὶ τῆς αὐτῆς ἐννοίας παρά τε τοῖς Ο, καὶ ἐν τῷ νῦν ἑβραϊκῷ· οἷον, «Νῦν δὲ ἄκουσον Ἰακὼβ ὁ παῖς μου, καὶ Ἰσραὴλ ὃν ἐξελεξάμην» καὶ πάλιν· «μὴ φοβοῦ παῖς μου Ἰακὼβ, καὶ ὁ ἠγαπημένος Ἰσραὴλ (μδ, 1, 2). Ὁ δὲ θεῖος Εὐαγγελιστὴς παραλιπὼν τὸ *Ἰακὼβ* καὶ *Ἰσραήλ*, *ὡς παραβολικῶς* ἐπὶ τοῦ Χριστοῦ εἰρημένα, (καθὼς εἶπεν Ἰουστῖνος), ἔγραψε τὰ λοιπὰ τῆς ῥήσεως ἐκ τῶν Ο, ὡς ὁ προφήτης διαγράφει, λαμπρῶς καὶ κυ-

ρίως καὶ ὡρισμένως εἰς μόνον τὸν Χριστὸν ἀνήκοντα, καὶ πληρωθέντα ἤδη ἐπ' αὐτοῦ τοῦ Εὐαγγελιστοῦ. Ἀλλ' ὁ Ἱερώνυμος (ἔνθα ἀνωτέρω) μήτε τὰ ὀνόματα βλέπων ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ, μήτε τῷ μάρτυρι πειθόμενος Ἰουστίνῳ, «πῶς (φησὶν) ἐννοήσομεν εἰς τὸν Ἰησοῦν πληρωθὲν, ὅ,τι γέγραπται περὶ Ἰακὼβ καὶ Ἰσραὴλ;». Ἀλλὰ τὴν ἀπορίαν ταύτην ἔλυσεν ἐν ἄλλοις αὐτὸς πάλιν ὁ πατὴρ, ἀκολουθῶν τῷ θείῳ τῶν Ἀποστόλων κηρύγματι, καὶ ἄλλοι δὲ πρὸ αὐτοῦ πολλοὶ φωστῆρες τῆς Ἐκκλησίας, ἐν οἷς πάλιν καὶ αὐτὸς ὁ μάρτυς καὶ φιλόσοφος Ἰουστῖνος, λέγων· «Ἔσθ' ὅτε τὸ ἅγιον Πνεῦμα καὶ *ἐναργῶς* πράττεσθαί τι, ὃ τύπος τοῦ μέλλοντος γίνεσθαι ἦν, ἐποίει» (πρὸς Τρύφων.). Τοιαῦτα δὲ χωρία τῆς θείας Γραφῆς τὰ μὲν *διὰ τύπων* πραγματικῶν, τὰ δὲ *διὰ ῥημάτων* καὶ *προῤῥήσεων* προφητικῶν ἐξ ἀρχῆς εἰς Χριστὸν «*τὸν πρὸ καταβολῆς κόσμου προεγνωσμένον*» (Α. Πέτρ. α, 20) καὶ εἰς πᾶσαν τὴν θείαν αὐτοῦ οἰκονομίαν εἰκονικῶς καὶ σκιωδῶς ἀφορῶντα, καὶ τέλος, εἰς Χριστὸν, ὡς εἰς ἀληθὲς *ἀντίτυπον* καὶ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν, ἀκριβῶς *πληρωθέντα* πολλὰ παρέχει ἡ θεόπνευστος Γραφή. Αὐτὴ ἡ ἐξ Αἰγύπτου ἔξοδος τοῦ Ἰσραηλιτικοῦ λαοῦ (ὁπότε καὶ τὸ *πάσχα* τὸν ὑπὲρ ἡμῶν τυθέντα Χριστὸν προετύπου· Α. Κορινθ. ε, 7) τὴν ἐξ Αἰγύπτου ἐπάνοδον τοῦ Χριστοῦ προεικόνιζεν, ὡς εἶπεν ὁ Εὐαγγελιστὴς πρὸ μικροῦ («ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου»). Οὕτω κἀνταῦθα διὰ τοῦ Ἰσραὴλ διέγραψεν ὁ Προφήτης τὸν υἱὸν τοῦ *Πατρὸς* τὸν ἀγαπητὸν, «*οὗ ἐν τῷ ὀνόματι ἔθνη ἐλπιοῦσι*». Τελευταῖον· ὅτι ὁ θεῖος Εὐαγγελιστὴς ἀντέγραψε τὸ ῥητὸν ἐκ τῶν Ο, καὶ αὐτὴ ἡ φράσις κηρύττει· πλὴν γὰρ δέκα μόλις λέξεων (καὶ οὐδὲ τούτων πρὸς τὸ ἑβραϊκὸν ἀκριβῶς ἀντιστοιχουσῶν), ὧν τὴν ἔννοιαν δι' ἄλλων ἀπέδωκε συνωνύμων, τ' ἄλλα πάντα, καὶ αὐτὸ ὁλόκληρον τὸ τέλος τοῦ ῥητοῦ (πρβλ. Ἡσαΐ. ια, 10) κατὰ λέξιν ἔγραψεν ἀκριβῶς ἐκ τῶν Ο, ὡς πάρεστιν εὐκόλως ἰδεῖν. Κἀκεῖνο δὲ παράδοξον εἶπεν ὁ μακάριος Ἱερώνυμος, τὴν δῆθεν ὑπὸ τοῦ πρώτου ἀντιγραφέως ἐν τῷ Εὐαγγελιστῇ παράβλεψιν, τὴν μεταξὺ τῶν δύω «κρίσιν» μεσολαβοῦσαν. Ἀλλ' εἴπερ ὁ

Εὐαγγελιστὴς παρέλιπε τὴν ἀρχὴν τοῦ στίχου («τοῦτο πρῶτον» κτλ.) καί τοι σχέσιν ἔχουσαν πρὸς τὸ ῥητὸν (ἔν τε τῷ ἑβρ. καὶ τοῖς Ο), πῶς οὐ πρόδηλον, ὅτι καὶ ταύτας τὰς λέξεις παρεσιώπησε, συντομωτέραν ἐκφέρων τὴν ῥῆσιν, καὶ τῶν καιριωτάτων μόνων περιεκτικήν.

§. κε. Ἰωάν. ΙΘ, 37. «Ὄψονται *εἰς ὃν ἐξεκέντησαν*», ἐκ τοῦ Ζαχαρίου ιϐ, 10, ὅπου οἱ Ο, «Ἐπιϐλέψονται πρός με, *ἀνθ' ὧν κατωρχήσαντο*» (Ἀλεξ. Βατικ.). «Τὸ δ' ἑϐραϊκόν (φησιν Ἱερώνυμος) ἔχει καθὼς ἔγραψεν ὁ Εὐαγγελιστὴς Ἰωάννης ὁ ἐκ τοῦ στήθους τοῦ Κυρίου τὴν σοφίαν ἀρυσάμενος· ὅστις Ἑϐραῖος ὢν ἐξ Ἑϐραίων, οὐκ ἐφρόντισε τί ποτε περιέχουσι τὰ ἑλληνικὰ (κατὰ τοὺς Ο) γράμματα, ἀλλ' ἔγραφε κατὰ λέξιν, ὅπερ ἀνέγνω ἐν τῷ ἑϐραϊκῷ» (Ὑπομνημ. εἰς Ζαχαρ.). Ταῦτα καὶ Ὅδιος ἐπικυροῖ, προστιθεὶς καὶ σχόλιον ἀρχαῖον εἰς τὸν Ζαχαρίαν, τὸ ἑξῆς. «Οὕτω μὲν οἱ Ο (*κατωρχήσαντο*), ὁ δὲ Θεοδοτίων *ἐποίησε*, Καὶ ἐπιϐλέψονται πρός με, ὃν ἐξεκέντησαν· ἐσημειωσάμεθα δὲ, ὅτι ἐπί τινων οἱ Ἀπόστολοι τῷ ἑϐραϊκῷ, καὶ οὐ τὸ ἐν τῇ Κοινῇ τεθείκασι» (α). Ἀλλὰ ταῦτα πάντα μάτην ἐσημειώθησαν. Αὐτοὶ γὰρ οἱ Ο μεθηρμήνευσαν οὐ *κατωρχήσαντο*, *ἀλλ' ἐξεκέντησαν*, ὡς ἔχει ὁ Εὐαγγελιστής. Καὶ τοῦτο βεϐαιοῦσι α) κώδηκες ἀρχαῖοι τῶν Ο (β), καὶ

(α) Βλ. τὸ Σχόλιον ὁλόκληρον ἐν τῇ ὑπὸ τοῦ Bos ἐκδόσει τῶν Ο (σελ. 1130), ὅπου διορθωτέον καὶ τὸ ἑξῆς ἀντιγραφικὸν ἁμάρτημα· «Ἐπειδὴ δὲ κεῖται . . . πρὸς τῷ τέλει ἀ ν τ ὶ σ κ α τ α β ά ν τ ο υ»· δῆλον γὰρ, ὅτι γραπτέον, α ὐ τ ο ῦ τ ο ῦ κ α τ α ϐ α τ ο ῦ. Ἔστι δὲ κ α τ α ϐ α τ ὸ ν παρὰ τοῖς Ἀλεξανδρινοῖς (Ἡρωδιαν. ἐπιμερ.), καὶ νῦν ἐν τῇ συνηθείᾳ, ἡ ἄνωθεν ἕως κάτω καταϐαίνουσα γ ρ α π τ ὴ σ ε λ ὶ ς, τὸ καὶ ἄλλως ἐν τῇ συνηθ. π ρ ό σ ω π ο ν (ὡς ὑπάρχον τὸ ἔμπροσθεν τῆς ἀναγινωσκομένης σελίδος, ἀντιδιεσταλμένως πρὸς τὸ ὄπισθεν αὐτῆς μέρος, κατὰ τὴν φράσιν ἐκείνην. «Βιβλίον ἔμπρσθεν καὶ ὄπισθεν γεγραμμένον»)· λέγεται δὲ καὶ παρὰ τοῖς ἀρχαίοις πρόσωπον πᾶν τὸ ἔμπροσθεν φαινόμενον, οἷον οἰκοδομήματος («ἔ ρ γ ο υ π ρ ό σ ω π ο ν». Πίνδ.), καὶ ἡ τοῦ βιβλίου κεφαλὶς, ἢ ἡ πρώτη σελὶς (ὅθεν ἐτέθη καταχρηστικώτερον καὶ ἐπὶ πάσης γραπτῆς σελίδος).

(β) Κώδηξ Βατικανὸς (ἕτερος τοῦ ἐκδεδομένου), ὁ Βαρϐερίνειος, ὁ τοῦ ἁγίου Γερμανοῦ, κτλ. ϐλ. Kennicot, Diss. Gener. pag. 153 καὶ De-Rossi, Var. Lection. V. Test. T. 3. p. 220.

πρὸ πάντων, ὃν ἀνέγνω καὶ ὑπεμνηματισεν ὁ ἱερὸς Θεοδώρητος, ὅστις ἔχει «Ὄψονται πρός με εἰς ὃν ἐξεκέντησαν». Τὴν αὐτὴν ἀνάγνωσιν ὁ Πατὴρ ἐπαναλαμβάνει πάλιν δὶς (εἰς Ζαχαρ. ιγ, 7, κα Μαλαχ. γ, 2). Φαίνεται δὲ ὁ τοῦ Θεοδωρήτου κώδηξ ἐκ τῶν Ὠριγένους Τετραπλῶν. β) Αὐτὸς ὁ Εὐαγγελιστὴς Ἰωάννης ἐν τῇ Ἀποκαλύψει (α, 7) μαρτυρεῖ, ὅτι ἀνέγνω τὴν ῥῆσιν κατὰ τὴν ἑρμηνείαν τῶν Ο «(Ὄψονται) *καὶ οἵτινες αὐτὸν ἐξεκέντισαν, καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς*». Τοῦτο τὸ *κόψονται* κτλ. ἔχουσι ῥητῶς καὶ οἱ Ο, «καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ φυλαὶ» (Ζαχαρ. ιβ, 8, 10—14. τὰ αὐτὰ καὶ Ματθ. κδ, 30). γ) Οὕτω φαίνεται καὶ Βαρνάβας ἀναγνούς· «Οὐχ οὗτός ἐστιν, ὃν ἡμεῖς ἐσταυρώσαμεν ἐξουθενήσαντες, καὶ *κατακεντήσαντες*, καὶ ἐμπαίξαντες;» (Ἐπιστ. §. ζ). Ἐξεκέντησαν ἀνέγνω καὶ ὁ θεῖος Ἰγνάτιος (πρὸς Τραλλιαν. §. ι), καὶ ὁ μάρτυς Ἰουστῖνος (Ἀπολ. α, §. 52, καὶ π. Τρύφων.), ὁ Τερτυλλιανὸς (κατὰ Μαρκίων.), Κυπριανὸς ὁ ἱερομάρτυς (Μαρτυρ. Β. κεφ. κ), ὁ θεῖος Εἰρηναῖος, ὁ ἱερὸς Ἱππόλυτος (περὶ Ἀντιχρ.), ὁ Μ. Ἀθανάσιος (τόμ. β. σελ. 121), Κύριλλος ὁ Ἱεροσολύμων (Κατηχ. ιε. σελ. 168), Βασίλειος ὁ Σελευκείας (λόγ. λα. σελ. 168) ὁ Λακτάντιος (Εἰσαγ. δ), καὶ ἄλλοι τῶν Πατέρων τῆς Ἐκκλησίας. δ) Δύω κώδηκες ἐπίσημοι, ὁ τῆς ἐκδ. τοῦ Ἄλδου, καὶ ὁ τῆς ἐν Βασιλείᾳ ἐκδόσεως ἔχουσιν ἀμφοτέρας τὰς ἀναγνώσεις «Καὶ ἐπιβλέψονται πρός με *εἰς ὃν ἐξεκέντησαν, ἀνθ᾽ ὧν κατωρχήσαντο*». Ἐκ τούτου γίνεται δῆλον, ὅτι πρὸς τῇ γνησίᾳ τῶν Ο ἀναγνώσει, προσετέθη καὶ δευτέρα ἀνάγνωσις (ἤ, ἀνθ᾽ ὧν κατωρχήσαντο), παρεισφρήσασα εἰς τὸ ὕφος (textum), ἢ τὸ κείμενον, ἐκ τοῦ περισελίδου, ὅπου τις ἀρχαῖος αὐτὴν παρέθηκεν, ἀναγνοὺς ἐν ἑβραΐῳ κώδηκι *Ρακάδου* (κατωρχήσαντο), κατὰ μετάθεσιν τῶν γραμμάτων, ἀντὶ *Δακάρου* (ἐξεκέντησαν) (α). Καὶ πάλιν εἰς ἄλ-

---

(α) Ρακάδου ἔχει καὶ νῦν εἷς κώδηξ ἑβραῖος (Kennicot.)· πολλοὶ δὲ κώδηκες ἔχουσι καὶ πρός με. βλ. De-Rossi, Var. Lection. V. Test. vol. 3. p. 217. πρβλ. Carpzov. Crit. Sacr. p. 892. καὶ Drusij Not. Parall. Sacr. p. 1294.

λους κώδηκας μόνη ἡ ἐκ τοῦ περισελίδου ἀνάγνωσις ἐπεσχετὸν τόπον τῆς προτέρας ἐν τῷ κειμένῳ γνησίας. Ἐκ τοιούτων ἀντίγράφων εἰσὶν ὅ,τε Ἀλεξανδριανὸς, καὶ ὁ Βατικανὸς κώδηξ, οἵτινες ἔχουσιν «ἀνθ' ὧν κατωρχήσαντο». Τοιοῦτο ἀντίγραφον ἀνέγνω καὶ Ἱερώνυμος. Ἐν ᾧ συγχρόνως σχεδὸν ὁ ἱερὸς Θεοδώρητος ἀπ' ἄλλου ἀντιγράφου ἀνεγίνωσκε τὴν γνησίαν τῶν Ο γραφὴν, ὡς προείπομεν. ε) Ἀλλαχοῦ εὑρίσκονται συμπεφυρμέναι αἱ δύω ἀναγνώσεις εἰς μίαν· «*εἰς ὃν* (ἀντὶ τοῦ ἀνθ' ὧν) *κτωρχήσαντο* (ἀντὶ ἐξεκέντησαν). Οὕτως ἀναγινώσκεται τὸ ῥητὸν παρὰ τῷ θείῳ Κυρίλλῳ τῷ Ἀλεξανδρείας (τόμ. γ. σελ. 284, ἀλλὰ τοῦτο φαίνεται πλάνη τις ἰδία τοῦ ἀντιγραφέως). ς) Οὐκ ὀλίγοι τῶν νεωτέρων σοφῶν γνησίαν τῶν Ο ἀνάγνωσιν ἔκριναν αὐτὴν τὴν παρὰ τῷ Εὐαγγελιστῇ (α). Ὁ δὲ πάλιν Ἱερώνυμος ἀφ' οὗ βαρέως ἔψεξε τοὺς Ο, ὡς οὐκ ὀρθῶς ἀναγνόντας *κατωρχήσαντο*, ἔπειτα καὶ ταύτην τὴν ἑρμηνείαν ὡς θεόπνευστον ἔκρινεν· « ἡ τῶν λέξεών (φησι) διαφορὰ τῇ τοῦ Πνεύματος ἑνότητι συμφωνεῖ» (β). ζ) Μαρτυρεῖ, τέλος, τρανῶς καὶ αὐτὴ

(α) Βλ. Huet. Dem. Evang. T. 2. p. 181.- Heins. Aristarch. Sac. II. c. 29. p. 517.-Cappel. Crit. Sacr. p. 54.-Vossij de LXX. p. 76 καὶ ad Huls. p. 113.-Simon. Hist. Crit. N. Test. c. 24.-Kennicot Diss. general. p. 153.-Stark, Carmin. David. p. 134. De-Rossi l. c. p. 220. Ὁ δὲ Καπέλλιος (Crit. Sacr. p. 54 καὶ 482) δικαιοῖ παραδόξως καὶ τὸ κατωρχήσαντο (ὡς οὕτω, φησὶν, ἔχοντος τοῦ ἑβραϊκοῦ ἐπὶ τῶν Ο), καὶ τὸ ἐξεκέντησαν (ὡς οὕτω πάλιν ἔχοντες τοῦ ἑβρ. ἐπὶ τοῦ Εὐαγγελιστοῦ), καὶ ἀμφότερα θεωρεῖ πληρωθέντα· καὶ γὰρ καὶ ἐξεκέντησαν (λόγχῃ), καὶ ἐνέπαιξαν (ὡς ἐκλαμβάνει τὸ κατωρχήσαντο). Ὁ δὲ Γρότιος καὶ αὐτὸ φησὶ Δακαρου σημαίνει τὸ ἐμπαίζειν (οὕτω καὶ Schleusn. Thes. V. Test. v. Κατορχέομαι). Ἀλλὰ τὰ τοιαῦτα (τὸ γ' ἐμοὶ δοκεῖν) σοφώτερα μᾶλλον, ἢ ἀληθέστερα.

(β) «Discrepat Evangelistæ LXX interpretum nostraque translatio, et tamen sermonum varietatem spiritus unitate concordare»; (S. Hieron. de optim. gener. interpr.). Ἐκ τούτου ἴσως ὁρμηθεὶς ὁ Μορῖνος ἐγνωμάτευσεν, ὅτι ἑκατέραν τὴν ἀνάγνωσιν εἶχε τὸ ἑβρ. ὅθεν καὶ συνῆψαν ἀμφοτέρας οἱ Ο. (Morin. Exercit. Bibl. L. I. 3. c. 5. §. 10) Σφαδάζει ἐπὶ τούτοις Ὅδιος, ἐξελέγχων τὸν λῆρον ἑτέρῳ γε λήρῳ. Βούλεται γὰρ πάντως ἠπατῆσθαι τοὺς Ο! Συνυποκρέπει δὲ (καθὰ φιλεῖ πολλάκις) καὶ ὁ περὶ πάντα τὰ λάθη τοῦ μακαρίου Ἱερωνύμου στηρὸς συνήγορος Φαβρίκυς (Fabricy, des titres primit. etc. T. 1.

ἡ λέξις ἡ *ἐξεκέντησαν*, ἥτις ἰδιάζει μάλιστα τοῖς Ο, ὡς ἐξήγησαν αὐτοὶ πρῶτοι τὸ ἑβρ. *Δάκαρ* (νύττειν, οὐτάζειν, διορύττειν, διαπηγνύναι κτλ.), καὶ ἀλλαχοῦ πολλαχοῦ (οἷον Ἀριθμ. κε, 8: Κριτ. θ, 54: Α. Βασιλ. λα, 4. κτλ.)· ὅθεν καὶ Ἀκύλας καὶ οἱ λοιποὶ παρὰ τῶν Ο τὸ ῥῆμα (ὡς πολλάκις εἰώθασι) δανεισάμενοι, *ἐξεκέντησαν* ἔγραψαν καὶ ἐν τῷ περὶ οὗ ὁ λόγος ῥητῷ. (πρβλ. καὶ Β. Μακκ. ιβ, 6).

§. κς. «Ἰδοὺ τίθημι ἐν Σιὼν *λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου*· καὶ πᾶς ὁ πιστεύων ἐπ᾿ αὐτῷ οὐ καταισχυνθήσεται» Ῥωμ. θ, 33. ἐκ τοῦ Ἡσαΐ. η, 14· ὅπου οἱ Ο, «Καὶ οὐχ ὡς λίθου προσκόμματι (συναντήσεσθε), οὐδὲ ὡς πέτρας πτώματι». Τὸ δ᾿ ἑβραϊκὸν, καταφατικῶς (ὡς καὶ οἱ Ἀπόστολοι) «εἰς λίθον προσκόμματος, καὶ εἰς πέτραν πτώματος». Ὥστε (φησὶν ὁ Ἱερώνυμος) τὰ παρὰ τῷ Ἀποστόλῳ λόγια τοῦ προφήτου συμφωνοῦσι πρὸς τὴν ἑβραϊκὴν ἀλήθειαν. Οἱ δ᾿ Ο τἀναντία λέγουσι, προστιθέντες τὴν ἄρνησιν (*οὐχ ὡς λίθου*). Ὡσαύτως καὶ Πέτρος ὁ Ἀπόστολος τοῖς Ἑβραίοις καὶ τῷ Παύλῳ συμφωνεῖ, λέγων· «Ἀπειθοῦσι δὲ,-λίθος προσκόμματος καὶ πέτρα σκανδάλου» (Α. Πέτρ. β, 7). Ταῦτα συνομολογεῖ καὶ Ὅδιος. Ἀλλὰ τόσον ἀπέχουσι τὰ ῥήματα τῶν Ἀποστόλων ἀπὸ τῆς λεγομένης ἑβραϊκῆς ἀληθείας, ὥστε, πᾶν τοὐναντίον, βεβαιοῦσι θείαν τὴν ἀλήθειαν τῆς ἐξ ἧς ἐγράφησαν ἑρμηνείας τῶν Ο. Ἡ ἀνωτέρω ῥῆσις τοῦ Παύλου σύγκειται ἐκ δύω χωρίων τοῦ Ἡσαΐου, ἅτινα ὁ μὲν θεῖος Πέτρος ἐκφέρει διακεκριμένως, ὁ δὲ θεῖος Παῦλος συνῆψεν εἰς ἕν. Ἀκούσωμεν αὐτὴν τὴν ξυνωρίδα τῶν Ἀποστόλων. Ὁ μὲν οὖν Πέτρος (Α. κεφ. β, 6—8) λέγει· «Διὸ καὶ περιέχει ἐν τῇ Γραφῇ· Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον»· καὶ ὁ πιστεύων ἐπ᾿ αὐτῷ *οὐ-*

---

p. 246), διατεινόμενος, ὅτι οὐδ᾿ ἐν τοῖς Ἑξαπλοῖς Ὠριγένους ὑπῆρχε τὸ ἐξεκέντησαν· οὐ γὰρ τοῦτ᾿ ἀνέγνω (φησὶν) ὁ Ἱερώνυμος. Ὅτι δὲ ἀνέγνω τοῦτο Θεοδώρητος καὶ ἄλλοι πρὸ τοῦ Ὠριγένους Πατέρες, περὶ τούτου οὐκ ἐμέλησε τῷ πολυμαθεστάτῳ φράτορι.

μὴ καταισχυνθῇ» (τὸ ἑϐρ. ἔχει *οὐ σπεύσει*. βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 840). ταῦτα ἐκ τοῦ Ἡσαΐ. κη, 16. Καὶ εὐθὺς ὁ Ἀπόστολος ὑποσυνάπτει· «Ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν· ἀπειθοῦσι δὲ, λίθον, « ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας (ψαλμ. ριη), *καὶ λίθος προσκόμματος*, καὶ πέτρα σκανδάλου». Ταῦτα ἐκ τοῦ Ἡσαΐ. η, 14 (τὸ δὲ σκανδάλου συνωνύμως ἀντὶ τοῦ *πτώματος*). Ὁ δὲ θεῖος Παῦλος συνῆψε συντόμως ἀμφότερα τὰ προφητικὰ χωρία· προλογίσας γὰρ τὸ « ἰδοὺ τίθημι ἐν Σιὼν» (ἐκ τοῦ Ἡσαΐ. κη), ἔπειτα, ἀντὶ τοῦ *λίθον ἐκλεκτὸν*, ἀντέταξε τὸ *λίθον προσκόματος καὶ πέτραν σκανδάλου* (ἐκ τοῦ Ἡσαΐου η, 14). Ἐξέφρασαν δὲ ταῦτα καταφατικῶς ἀμφότεροι οἱ Ἀπόστολοι, ἐν οἷς ἐξελέγχουσι τοὺς ἰουδαίους, ὡς προσκόψαντας διὰ τῆς ἀπιστίας αὐτῶν εἰς τὸν ἀκρογωνιαῖον λίθον, ἐναντίον τῆς ὑπὸ τοῦ προφήτου παρηγγελμένης αὐτοῖς προφυλακῆς· (*«οὐχ ὡς λίθον προσκόμματος συναντήσεσθε»)*. Καὶ μάρτυς οὐχ᾿ ἧττον Ἱερωνύμου πιστότερος, εἰ μὴ καὶ μᾶλλον ἐν τοῖς τοιούτοις, (ὅσῳ καὶ ἀπαθέστερος), ὁ ἱερὸς Θεοδώρητος, ὅστις καὶ αὐτὸς ἀναγινώσκων ἐν Ἡσαΐᾳ (η, 14) μετὰ τῆς ἀρνήσεως (*οὐχ ὡς λίθῳ)*, ἑρμηνεύει λέγων· «Τούτου τοῦ λίθου ὁ μακάριος ἐμνημόνευσε Παῦλος. Τὴν *αἰτίαν* γὰρ *τῆς Ἰουδαίων ἀπιστίας διδάσκων*, τὴν δὲ τὴν μαρτυρίαν παρατέθεικε· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος. Ἐπειδὴ τὸ *αὐτὸ Πνεῦμα διά τε προφητικῆς* (κατὰ τοὺς Ο), *διά τε* [τῆς] *ἀποστολικῆς* ἐφθέγξατο γλώττης» (ἑρμην. εἰς Ἡσαΐ. η, 14, καὶ εἰς Ῥωμ. θ, 31) (α).

(α) Πρὸς σαφεστέραν κατάληψιν τῆς τοῦ ἑϐρ. πρὸς τοὺς Ο διαφορᾶς ἐκτιθέμεθα ὅλον τὸ χωρίον τοῦ Ἡσαΐου (η, 13—15)· «Τὸν Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτός σου ἔσται φοϐος. Καὶ ἐὰν ἐπ᾿ αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα (ἀλλ᾿ ἁγιασμόν)· καὶ οὐχ᾿ ὡς λίθου προσκόμματι συναντήσεσθε αὐτῷ, οὐδ᾿ ὡς πέτρας πτώματι. Ὁ δὲ οἶκος (ἄλλοι, οἱ δὲ οἶκοι) Ἰακὼϐ ἐν παγίδι, καὶ ἐν κοιλάσματι (ἄλλ. κοιλώματι) ἐγκαθήμενοι ἐν Ἱερουσαλήμ· διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοὶ, καὶ πεσοῦνται, καὶ συντριϐήσονται, καὶ ἐγγιοῦσι, καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφαλείᾳ ὄντες (κώδ. Ἀλεξανδρ.). Τὸ δὲ νῦν ἑϐραϊκὸν

§. κζ. Ρωμ. Ι, 15. «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά»· ἐκ τοῦ Ἡσ. νϐ, 7, ὅπου οἱ Ο, «Ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά»· τὸ δ᾽ ἑϐραϊκὸν, «Ὡς ὡραῖοι ἐπὶ τῶν ὀρέων οἱ πόδες τοῦ ἀναγγέλλοντος, καὶ κηρύσσοντος εἰρήνην, τοῦ ἀναγγέλλοντος ἀγαθόν» (ἑρμην. Ἱερωνύμ.). Εἰς ταῦτα σημειοῖ ὁ μακάριος Ἱερώνυμος, ὅτι «καὶ ὁ Παῦλος ἐξέθηκε τὴν ῥῆσιν, τῷ τῆς ἑϐραίας ἀληθείας νοήματι παρακολουθήσας». Ἀλλὰ τί μὴ μᾶλλον ἐξέφρασεν ἐπιτομώτερον καὶ κατ᾽ ἔννοιαν τὰ τῶν Ο; (δηλοῖ δὲ μάλιστα καὶ ἡ λέξις, ἡ *εὐαγγελιζομένου*). Ἔπειτα καὶ αὐτῶν τῶν Ο φέρονται δύω ἀναγνώσεις, μία μὲν ἡ ἐκτεθεῖσα (ὡς ἐν τῷ Ἀλεξανδρ. καὶ Βατικανῷ κώδηκι· πρϐλ. καὶ Εὐσεϐίου Εὐαγγελ. Ἀποδ. ϛ. κγ. σελ. 187. ἐν δὲ τῇ Κομπλουτείᾳ ἐκδόσει, «ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες *εὐαγγελιζόμενοι*, κτλ.). Ἄλλη δὲ ἀνάγνωσις τῶν Ο φέρεται ἀπαράλλακτος τῇ Ἀποστολικῇ. Οὕτως ὁ θεῖος Κύριλλος ὁ Ἀλεξανδρείας ἑκατέρας ἀνέγνω. Ἐν μὲν γὰρ τοῖς εἰς Ἡσαΐαν ὑπομνήμασιν ἔχει «ὡς ὥρα» (λόγ. κη). Ἐν δὲ ταῖς *Ἑορταστικαῖς ὁμιλίαις* (λόγ. κη), ἔγραψεν, «*ὡς ὡραῖοι* οἱ πόδες», ὡς *ῥῆσιν προφητικήν*. Καὶ ἐν τῇ τοῦ Ἄλδου καὶ τῇ τῆς Βασιλείας ἐκδόσει συμπεπτώκασιν ἀμφότεραι αἱ ἀναγνώσεις οὑτωσί. «Ὡς ὥρα ἐπὶ τῶν ὀρέων· ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων ἀκοὴν εἰρήνης». Καὶ φαίνεται λοι-

---

« Τὸν Κύριον Σαϐαὼθ αὐτὸν ἁγιάσεις, καὶ αὐτὸς φόϐος ὑμῶν, καὶ αὐτὸς τρόμος ὑμῶν· καὶ ἔσται εἰς ἁγιαστήριον, καὶ εἰς πέτραν προσκόμματος, καὶ εἰς βράχον προσπταίσματος τοῖς δυσὶν οἴκοις Ἰσραὴλ, εἰς παγίδα καὶ εἰς δίκτυον τῷ κατοικοῦντι Ἱερουσαλήμ. Καὶ προσκόψουσιν ἐν αὐτοῖς πολλοὶ, καὶ συντριβήσονται, καὶ σαγηνευθήσονται (irretientur), καὶ ἁλώσονται » (ἑρμην. Μοντάν.). Τούτοις συμφωνεῖ καὶ ἡ Βουλγάτα, καὶ Ἱερώνυμος. Σημειωτέον ἐν τούτοις (μεταξὺ τῶν ἄλλων διαφορῶν) α) ὅτι τὸ ἀρνητικὸν (οὐχ ὡς λίθου κτλ.), ὅπερ ἀνέγνων οἱ Ο, καὶ τὸ κείμενον ἀπαιτεῖ, ἐξέπεσεν ἐκ τοῦ μ. Χ. ἑϐραϊκοῦ. 2) Ὅτι τὸ « ὡς πέτρα πτώματος (ἢ σκανδάλου), ὅπερ οἱ Ο καὶ οἱ Ἀπόστολοι ἀνέγνων συνημμένως μετὰ τοῦ προηγουμένου λίθου προσκόμματος, τοῦτο ἐν τῷ ἑϐραϊκῷ συνήφθη πρὸς τὸ ἑπόμενον « οἴκοις Ἰσραὴλ (ᾧ προστέθειται καὶ τὸ δ ύ ω). 3) Λείπουσιν ἐκ τοῦ ἑϐρ. τὸ τῶν Ο σ υ ν α ν τ ή σ ε σ θ ε, καὶ τὰ τελευταῖα τοῦ ῥητοῦ ἄ ν θ ρ ω π ο ι ἐ ν ἀ σ φ α λ ε ί ᾳ ὄ ν τ ε ς». ϐλ. Ἑξαπλ. τόμ. β. σελ. 102.

πὸν, ὅτι οἱ Ο *ὡραῖοι* τὸ πρῶτον ἔγραψαν, ὡς ἔχει καὶ τὸ ἑβραϊκόν. Τούτοις συμφωνεῖ καὶ τὸ τοῦ Ναούμ (α, 15). «Ὅτι *ταχεῖς* ἰδοὺ ἐπὶ τὰ ὄρη οἱ πόδες εὐαγγελιζομένου καὶ ἀπαγγέλλοντος εἰρήνην, (ὅπου ἄλλα λέγει τὸ νῦν ἑβραϊκόν. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 320) (α).

§. κη. Α. Κορ. Β, 9. «Ἀλλὰ καθὼς γέγραπται· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Καὶ περὶ τούτων ὁ Ἱερώνυμος πολλάκις ἐπανέλαβεν (β), ὅτι ταῦτα περιφραστικῶς ἡρμήνευσεν ὁ Ἀπόστολος ἐκ τοῦ ἑβραϊκοῦ κειμένου τοῦ Ἡσαΐου (ξδ, 4), ἔχοντος οὕτως· «Ἀπὸ τοῦ αἰῶνος οὐκ ἤκουσαν, οὐδὲ τοῖς ὠσὶν ἀντελάβοντο. Ὀφθαλμὸς οὐκ εἶδεν, ὁ Θεός, πλήν σου, ἃ ἡτοίμασας τοῖς ὑπομένουσί σε» (μετάφρ. Ἱερων.)· πολλῷ δὲ διαφόρως (φησίν) ἡρμήνευσαν οἱ Ο, οὑτωσί· «Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν, πλήν σου, καὶ τὰ ἔργα σου ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεος». Ταῦτα ὁ Δαλμάτης πατήρ· καὶ προσίθησιν, ὅτι «πολλοὶ μὴ εἰδότες τὰ λόγια τῆς ἑβραϊκῆς ὄντα γραφῆς, ὑπέλαβον, ὅτι ὁ Ἀπόστολος παρέλαβε τὴν ῥῆσιν ἀπό τινος ἀποκρύφου, εἰς Ἠλίαν τὸν προφήτην ἐπιγεγραμμένου». Ὁ δὲ Ὅδιος ἐξηγῶν, τίνας ἐννοεῖ τοὺς μὴ εἰδότας τούτους ὁ Πατὴρ, «Ὠριγένους (φησὶ) καθάπτεται, εἰς τὰ τοῦ Ἡλιοὺ ἀπόκρυφα τὴν ῥῆσιν ἀναφέροντος» (ἐν τοῖς εἰς Ματθαῖον ὑπομνήμασιν). Ἀλλ' ὅτι μὲν Ὠριγένης, ὁ συντάξας τὰ *Ἑξαπλᾶ*, ἠγνόει ὅτι ἔλαβε τὴν ῥῆσιν ὁ Ἀπόστολος ἐκ τοῦ ἑβραϊκοῦ τοῦ Ἡσαΐου, περὶ τούτου, νομίζομεν, οὐδ' αὐτὸς Ὅδιος ἐπείσθη. Θαυμάζομεν δὲ καὶ ὅπως ἀπεσιώπησεν ὁ κριτικὸς, πόσῳ διαφόρως ἑρμηνεύουσιν οἱ νεώτεροι τὸ χωρίον τοῦ ἑβραϊκοῦ, ἔχοντος οὕτω· «Καὶ ἀπὸ τοῦ αἰῶνος οὐκ ἤκουσαν,

---

(α) Καὶ τὸ ὡραῖοι ἐν τῇ ἀρχαίᾳ Βουλγάτᾳ, ἢ Ἰτάλα, ἡρμήνευται **tempestivi**, ἔνωροι, ἢ ἔγκαιροι (ὡς καὶ παρ' Ἕλλησι, τὰ θάνατος, γάμος, πλοῦς ὡραῖος, κτλ. ὅθεν, καὶ ὁ φθάνων ἐνωρίστερον, ταχύτερον). Βλ. **Vossij de LXX. p. 79** καὶ **ad Huls. p. 116.**

(β) **S. Hieronym. de optim. gener. interprt.** καὶ **in Esai. 64**, καὶ **praefat. in Paralip.**

οὐδ' ἐνωτίσαντο· ὀφθαλμὸς οὐκ εἶδε Θεὸν πλήν σου, ποιήσει τῷ ὑπομένοντι αὐτόν» (ἑρμην. Μοντάν.). Εἰ μὲν οὖν ὁ Ἀπόςολος παρέφρασε τὴν ῥῆσιν τοῦ Ἡσαΐου, τί μὴ μᾶλλον ἔλαβεν αὐτὴν ἐκ τῶν Ο; Εἰ δὲ μήτε πρὸς τὸ ἑβραϊκὸν, μήτε πρὸς τὸ ἑλληνικὸν ἡ παρὰ τῷ Ἀποστόλῳ ῥῆσις πλησιάζει (ὡς φαίνεται τρανώτατα), οὐκ ἀπιθάνως λοιπὸν ἐξ ἀποκρύφου ταύτην ληφθεῖσαν ὑπενόησεν Ὠριγένης, ὡς καὶ Ζαχαρίας ὁ Χρυσουπόλεως (σελ. 343, ὅστις καὶ ἀνέγνω ταύτην, ὡς φησὶν, ἐν τοῖς Ἀποκρύφοις), καὶ ὁ Σύγκελλος, λέγων· ὅτι «Καὶ ὁ μακάριος Παῦλος σπανίως ἐχρήσατό τισιν ἐξ ἀποκρύφων χρήσεσιν, ὡς ὅταν φησὶν ἐν τῇ πρὸς Κορινθίους Α. ἐπιστολῇ, «ἃ ὀφθαλμὸς οὐκ οἶδε» (α). Οὕτω δὲ καὶ ἀλλαχοῦ τινα ἐξ ἀποκρύφων, ἢ κατὰ παράδοσιν ἀρχαίαν, ἀληθῆ καθ' ἑαυτὰ καὶ βέβαια τυγχάνοντα οὐκ ἀπηξίωσε παραδέξασθαι τὸ θεῖον Πνεῦμα τῶν Ἀποστόλων (οἷον τὰ ἐν ἐπις. Ἰούδα §. 9, κτλ.). Ὁ δὲ θεῖος Χρυσόστομος (πολὺ παρὰ τὸν Ἱερώνυμον ἀπαθέςερον κρίνων), «Καὶ ποῦ (φησι) γέγραπται ταῦτα (τὰ τοῦ Ἀποστόλου); Λέγεται μὲν *γεγράφθαι*, καὶ ὅταν μὴ διὰ τῶν ῥημάτων, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων κείμενα ᾖ, ὡς ἐπὶ τῶν ἱστοριῶν· ἢ ὅταν τὸ αὐτὸ μὲν νόημα κείμενον ᾖ, μὴ ἐπ' αὐτῶν δὲ τῶν ῥημάτων, ὡς ἐνταῦθα. Τὸ γὰρ «*οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι*» (Ἡσαΐ. νβ, 15), τοῦτο ταὐτόν ἐστι τῷ, «*ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν*». Ἢ εἰκὸς, καὶ γεγράφθαι ἐν βίβλοις, καὶ ἠφανίσθαι τὰ βιβλία. - τὸν δὲ Παῦλον, ἅτε νομομαθῆ ὄντα, καὶ Πνεύματι φθεγγόμενον, εἰκὸς εἰδέναι πάντα μετὰ ἀκριβείας» (εἰς Α, Κορινθ. Ὁμιλ. ζ). Τοιαῦτα καὶ Θεοφύλακτος (ἑρμην. αὐτόθ.), καὶ ὁ ἱερὸς Θεοδώρητος (αὐτ.), προστιθεὶς, ὅτι «περὶ τῆς μαρτυρίας... ἀρκεῖ (αὐτὴ) ἡ μακαρία γλῶττα, φήσασα, *καθὼς γέγραπται*».

§. κθ. Α, Κορινθ. ΙΔ. 21. Ἐν τῷ νόμῳ γέγραπται, ὅτι ἐν ἑτερογλώσ-

---

(α) Σύγκελ. Χρονογρ. σελ. 48. Bon. πρβλ. καὶ Δρούσιον (Not. in Parall. Sacr. p. 1312, ὅςις οὐκ εἰς ἀσφαλῆ βάσιν, τὴν Ἱερωνύμου μαρτυρίαν, ἐφήδρασε τὴν ἑαυτοῦ κρίσιν), καὶ Γρότ. εἰς Α. Κορινθ. α. καὶ Morin. Lib. I. Exerc. 111. c, 5. §. 5.

σοις καὶ ἐν χείλεσιν ἑτέροις, λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ᾽ οὕτως εἰσακούσονταί μου, λέγει κύριος»· ἐκ τοῦ Ἡσαΐ. κη, 11. ὅπου οἱ Ο, «Διὰ φαυλισμὸν χειλέων, διὰ γλώσσης ἑτέρας, ὅτι λαλήσουσι τῷ λαῷ τούτῳ, - καὶ οὐκ ἠθέλησαν ἀκούειν». Τὸ δ᾽ ἑβρ. «Ἐν λαλιᾷ χείλους, καὶ ἐν γλώσσῃ ἑτέρᾳ λαλήσει πρὸς τὸν λαὸν τοῦτον, καὶ οὐκ ἠθέλησαν ἀκοῦσαι» (ἑρμην. Ἱερωνύμ.). «Ἐκ τοῦ ἑβραϊκοῦ τοίνυν (φησὶν ὁ Ἱερώνυμος), οὐκ ἀπὸ τῶν Ο καὶ ταύτην τὴν ῥῆσιν ἔλαβεν ὁ Ἀπόστολος (Ἱερών. εἰς Ἡσαΐ. αὐτ.). Ἀλλὰ καὶ τοῦτο φαίνεται ῥηθὲν ὑπερβολικῶς. Ὁ Ἱερώνυμος ἑρμηνεύει ἐκ τοῦ ἑβραϊκοῦ *λαλιὰν* (loquelam) *χειλέων*, τὸ κατὰ τοὺς Ο, *φαυλισμόν*. Τοῦτο δ᾽ ἐξηγεῖ *κατάγελων*, *καταμώκησιν* (Irrisionem) (α). Ἀλλὰ καὶ αὐτὴ ἡ ἑβραϊκὴ λέξις (lahag), σχετικῶς ὡς πρὸς τὰ χείλη (ἢ τὴν γλῶσσαν), σημαίνει φαύλην καὶ καταγέλαστον φωνὴν (οἷα πᾶσα ξένη διάλεκτος προσπίπτει τοῖς μὴ συνιοῦσι) (β), καὶ ἔστιν οἷόν τις τραυλισμὸς, ἢ ψελλισμὸς, καὶ ἁπλῶς βαρβαρισμὸς, γλῶσσα βαρβαρόστομος, καὶ βαρβαρόφωνος (ὅθεν τὴν αὐτὴν ἑβραΐδα λέξιν οἱ Ο ἡρμήνευσαν καὶ *βάρβαρον*· ὡς ἐν τῷ, «*ἐκ λαοῦ βαρβάρου*» Ψαλμ. ριγ, 1. τουτέστιν ἑτερογλώσσου, καὶ τοῖς ἀκούουσιν ἀσυνέτου· πρβλ. Α. Κορινθ· ιδ, 11). Καὶ ἔστιν ἄρα τὸ *φαυλισμὸς χειλέων* τῶν Ο, τὸ αὐτὸ καὶ *βαρβαρισμὸς*, ἢ *τραυλισμὸς χειλέων* (ὡς ἑρμηνεύουσι πάντες σχεδὸν οἱ νεώτεροι τὸ ἀντιστοιχοῦν ἑβραϊκόν loquelam δὲ, ἢ λαλιὰν, οὐδεὶς ἐξήγησε, κατὰ τὸν Ἱερώνυμον). Ὅτι δὲ τὸ τῶν Ο, *φαυλισμὸς χειλέων* ἐκφράζει ἀκριβῶς τὴν ἑβραϊκὴν λέξιν, αὐτοὶ πάλιν μαρτυροῦσιν οἱ Ο, οἵτινες ἀλλαχοῦ (Ἡσαΐ. λγ, 19) «λαὸν *πεφαυλισμένον*» ἡρμήνευσαν, ὅπου τὸ ἑβραϊκ. ἔχει *τραυλίζοντα τὴν γλῶσσαν*, ἢ τραυλόγλωσσον, ἤτοι βαρβαρόγλωσσον (ὅθεν καὶ ὁ Κλέρικος, Σχολ. εἰς Ἡσαΐ., διώρθου, μηδὲν δέον, τὸ *φαυλισμὸς* καὶ *πεφαυλισμένος* εἰς τὸ *τραυλισμὸς* καὶ

(α) «Φαυλισμὸς, μυκτηρισμὸς, κατάγελος (γρ. κατάγελως). Λεξικ. εἰς τοὺς προφήτ. βλ. καὶ Schleus. Thes. v. φαῦλος, φαυλίζω.

(β) Βλ. Gesen. Lex. Hebr. p. 533. ὅστις πρὸς τὸ ἑβρ. Lahag παραβάλλει τὸ ἑλληνικὸν γ ε λ ᾷ ν (κατὰ μετάθεσιν τῶν στοιχείων, ὡς τὸ Γερμ. lachen. κτλ.).

τετραυλισμένος!). Ὁ τοίνυν Ἀπόστολος ἐξέφερε τὴν ῥῆσιν τοῦ Ἡσαΐου ἐπιτετμημένως, ἐκφράσας κατὰ νόημα, καὶ τοῦτο κατὰ τοὺς Ο. Ἀντὶ γὰρ τοῦ *φαυλισμοῦ χειλέων*, καὶ *γλῶσσαν ἑτέραν* εἶπε πρωθυστέρως *ἑτερογλώσσοις* (τὸ τῶν Ο, *ἑτέρας γλώσσης*), διὰ δὲ τοῦ *χείλεσιν ἑτέροις* (τουτ. ξένοις, ἀλλοθρόοις), ἐξήγησε τὸ «φαυλισμὸν χειλέων». Καὶ τὰς ἄλλας δὲ πάσας σχεδὸν τὰς λέξεις ἐξέφερε κατὰ τοὺς Ο.

§. λ. Ἰωάν. Ζ. 38. «Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, *ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος*». Τοῦτο τὸ ῥητὸν ὁ Ἱερώνυμος εἶπεν ὅτι οὐ κεῖται παρὰ τοῖς Ο, παρὰ μόνοις δὲ τοῖς Ἑβραίοις ἐν τῇ βίβλῳ τῶν Παροιμιῶν· τὸν δὲ τόπον οὐκ ἐδήλωσε. Τὸ δ' ἀληθὲς, οὔτε παρ' Ἑβραίοις, οὔτε παρὰ τοῖς Ο κεῖται κατὰ λέξιν οὐδαμοῦ τῆς Γραφῆς. Ὅθεν ὁ θεῖος Χρυσόστομος τὸ *καθὼς εἶπεν ἡ Γραφὴ* ἀνέφερεν εἰς τὸ *ὁ πιστεύων εἰς ἐμὲ*, μετὰ τοῦτο ὑποστίζων τὸν λόγον· τὸ δὲ *ποταμοὶ* κτλ. θεωρεῖ ὡς λόγους αὐτοῦ τοῦ Εὐαγγελιστοῦ (βλ. καὶ Θεοφύλ. καὶ Ζιγαβην. εἰς Ἰωάν. αὐτόθι). Πολλοὶ δὲ τῶν νεωτέρων ἐνόμισαν, ὅτι πρὸς τὸ *ποταμοὶ* κτλ. ἀντιστοιχεῖ τὸ ἐν ταῖς Παροιμ. ιη, 4: ὅπου τὸ ἑβρ. ἔχει, «Ὕδωρ βαθὺ λόγοι στόματος ἀνδρὸς, καὶ *χείμαῤῥος πλημμυρῶν πηγὴ σοφίας*» (Βουλγάτα· ἢ κατὰ τὸν Μοντ. «Ὕδατα βαθέα λόγ... καὶ *χείμαῤῥος ἀναβρύων φλὲψ σοφίας*)· καὶ τοῦτο Ὅδιος εὑρίσκει θαυμαστῶς συμφωνοῦν πρὸς τὸ Εὐαγγελικὸν «Ποταμοὶ ἐκ τῆς κοιλίας» κτλ. οὐχὶ δὲ τὸ τῶν Ο, «Ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρὸς, *ποταμὸς δὲ ἀναπηδύει πηγὴ ζωῆς*» (Παρ. ιη, 4). Ἀλλ' ὅστις παραβάλῃ τὸ ἐν *καρδίᾳ* πρὸς τὸ Εὐαγγελικὸν ἐκ *κοιλίας* (πολλαχοῦ δὲ τῆς θείας Γραφῆς, κοιλία, ἡ *καρδία*, ὡς Ψαλ. λθ, 9), καὶ τὸ *πηγὴ ζωῆς* πρὸς τὸ *ὕδατος ζῶντος*, καὶ τὸ *ποταμὸς* πρὸς τὸ *ποταμοὶ*, θαυμάσει πάντως, πῶς Ὅδιος εὕρηκε πλησιέστερα πρὸς τὴν Εὐαγγελικὴν ῥῆσιν τὰ *χείμαῤῥος*, καὶ φλὲψ, καὶ *σοφία* τοῦ ἑβραϊκοῦ. (α).

(α) Βλ. καὶ Morin. L. I. Exerc. p. 97. Ἄλλοι τῶν νεωτέρων εἰς ἄλλα χω-

§. λα. Τοσαύτας ὁ μακάριος Ἱερώνυμος ἐσημείωσε τὰς ἐπισημοτάτας ἐκ τῶν ἀποστολικῶν Γραφῶν προφητικὰς μαρτυρίας, ὡς πάντῃ πάντως ὁμοφώνους καὶ τὰς αὐτὰς πρὸς τὰς ἐν τῷ ἑβραϊκῷ κειμένῳ γεγραμμένας, διαφόρως δὲ παρὰ τοῖς Ο, μεθηρμηνευμένας. Ἐκ δὲ τούτων ἐξαιρέτως ἠθέλησεν ἀποδεῖξαι τοὺς Ἀποστόλους, ὅτι δῆθεν ἀπὸ τῆς ἑβραϊκῆς, οὐχὶ δ' ἐκ τῆς ἑλληνικῆς κατὰ τοὺς Ο Γραφῆς ἐξέφερον τὰς ῥήσεις τῶν Προφητῶν ἐν ταῖς θεοπνεύστοις αὐτῶν συγγραφαῖς. Τὰς Ἱερωνύμου ταύτας ἀποδείξεις καὶ Ὅδιος ἀπηρίθμησεν, ἄσμενος ἐπιδοκιμάσας (ὡς καὶ ἄλλοι πρὸ αὐτοῦ, τὴν αὐτὴν ἁλμυρίδα γῆν ἀκάρπως ἀροτριῶντες). Περὶ δὲ τῶν ἄλλων τῶν παρὰ τοῖς Ἀποστόλοις προφητικῶν μαρτυριῶν, ὅσαι διαφέρουσι πρὸς τὸ ἑβραϊκὸν, ταύτας ὁ φερώνυμος Πατὴρ ὑπελάμβανεν, ὅτι πάλιν ἐκ τῆς κατ' αὐτὸν *ἑβραϊκῆς ἀληθείας* ἔλαβον οἱ Ἀπόστολοι, μετέφερον δὲ ὅμως οὐ κατὰ λέξιν, ἀλλὰ κατὰ νόημα μόνον. Καὶ ταύτην τὴν γνώμην ἐξέφερεν οὐχ ἅπαξ ἐν τοῖς εἰς τοὺς Προφήτας ὑπομνήμασιν αὐτοῦ (α). Οὕτως ἐν τῷ «*μάτην δὲ σέβονταί με*» κτλ. (Ἡσαΐ. κθ, 13. καὶ Ματθ. ιε, 9. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 837) ἔγραψε ταῦτα. «Ἐνταῦθα σημειωτέον, ὃ πολλάκις παρῃνέσαμεν, ὅτι οἱ Εὐαγγελισταὶ καὶ οἱ Ἀπόστολοι οὔτε λέξιν πρὸς λέξιν (ἐκ τοῦ ἑβραϊκοῦ) μεθηρμήνευσαν, οὔτε μὴν παρηκολούθησαν τῇ αὐθεντίᾳ τῶν Ο, *ὧν ἡ ἑρμηνεία κατ' ἐκεῖνον τὸν χρόνον ἀνεγινώσκετο*. Ἀλλ', ὡς ἑβραῖοι νομομαθεῖς, ἀβλαβῶς ἐξέφρασαν τὸ νόημα διὰ λέξεων ἰδίων». Καὶ πάλιν ἐν τῷ «Ἰδοὺ ἐγὼ ἐξαποςέλλω τὸν ἄγγελόν μου» (Μαλαχ. γ, 1 καὶ Ματθ. ια, 10. βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 837). «Ταῦτά (φησιν) ὁ Κύριος ἡμῶν ἐκφωνήσας περὶ τοῦ Βαπτιστοῦ, τοῖς αὐτοῖς ἐχρήσατο λόγοις, οἷς

ρία τῆς Γραφῆς ἀνέφερον τὴν ῥῆσιν, μηδεμίαν ἔχοντα σχέσιν. Βλ. Cappelli, Drusij, Grotij annot. εἰς Ἰωάν. η. 38.

(α) Βλ. Comment. εἰς Ἡσαΐ. κθ, εἰς Ἱερεμ. λα, εἰς Μαλαχ. γ, κτλ. Καὶ ταύτας τὰς χρήσεις τοῦ Πατρὸς ἐξέθετο κατὰ πλάτος ὁ κλεινὸς Ὅδιος, μήτ' ἀντιλέγων, μήτε πάλιν ἐπιδοκιμάζων ῥητῶς, ἀλλὰ μόνον ἴσως διὰ τῆς σιωπῆς, «ὀφρύσι νευστάζων».

καὶ οἱ Ο μεθηρμήνευσαν τὴν ῥῆσιν. Καὶ αὐτοὶ δὲ οἱ Εὐαγγελισταὶ ταύτην τὴν προφητείαν ἐξενεγκόντες, συμφωνοῦσι μὲν πρὸς ἀλλήλους κατὰ νόημα, διαφωνοῦσι δὲ περὶ τὰς φωνάς. Οἱ μὲν γὰρ Ο, ἔχουσιν, «Εὐθείας ποιεῖτε τὰς τρίβους *τοῦ Θεοῦ ἡμῶν*». Ὁ δὲ Μάρκος (α, 3), καὶ ὁ Λουκᾶς (γ, 4) ἔγραψαν, «εὐθείας ποιεῖτε τὰς τρίβους *αὐτοῦ*». Ὁ δὲ Ἰωάννης εἶπεν, «*εὐθύνατε* τὴν ὁδὸν Κυρίου» (α, 23). Ἐκ δὲ τούτων πρόδηλον, ὅτι οἱ Ἀπόστολοι καὶ Εὐαγγελισταὶ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν οὐ παρηκολούθουν τῇ τῶν Ο μεταφράσει, ἧς οὐδ᾽ ἔχρῃζον ὅλως, ἅτε τὴν ἑβραϊκὴν ἐπιστάμενοι γλῶσσαν, ἀλλ᾽ ἐξ αὐτοῦ τοῦ ἑβραϊκοῦ τὰς ἀναγνώσεις μετέφραζον, μηδόλως φροντίζοντες περὶ συλλαβῶν καὶ στιγμῶν, εἰ μὴ μόνον, ὅπως ἡ ἀλήθεια τῶν νοημάτων ἀκραιφνὴς ἀποδοθῇ». Εἰς τοσαύτας προῆλθεν ὑπερβολὰς ὁ μακάριος Ἱερώνυμος, ὑπερασπίζων τὴν ἐξ ἧς αὐτὸς μετέφραζεν *ἑβραϊκὴν ἀλήθειαν*, ἐπειδὴ ταύτην ἔβλεπε προφανῶς πολλάκις ἀντιφωνοῦσαν πρὸς τὰς παρὰ τοῖς Ἀποστόλοις προφητικὰς μαρτυρίας. Ἀλλ᾽ εἴπερ οἱ Ἀπόστολοι (οἵτινες οἱ αὐτοὶ καὶ τὰς αὐτολέκτους τοῦ Σωτῆρος φράσεις ἐξελλήνισαν· μὴ γὰρ αὐτὸς ὁ Κύριος ἡμῶν ἀπήγγειλε τοὺς ζωηῤῥύτους αὐτοῦ λόγους ἑλληνιστί;), εἴπερ (λέγομεν) οἱ Ἀπόστολοι μόνον τῶν προφητικῶν ῥητῶν τὸ νόημα πολλάκις ἐξέφερον, τῆς λέξεως ἀμελοῦντες, διὰ τί μὴ τοῦτο μετέφερον μᾶλλον ἐκ τῆς ἑρμηνείας τῶν Ο, πρὸς ἣν αἱ ῥήσεις ἐναργῶς πολλῷ πλέον ἐγγύτερον, ἢ πρὸς τὸ ἑβραϊκὸν, πλησιάζουσιν, ὡς δ᾽ ἐπὶ τὸ πλεῖστον καὶ κατὰ λέξιν ἀκριβῶς συμφωνοῦσιν; Εἰ δ᾽ Ἑβραῖοι τό, τε γένος καὶ τὴν πάτριον διάλεκτον ἦσαν, ἀλλ᾽ ἦσαν οἱ αὐτοὶ καὶ ἑλληνισταὶ, ἑλληνιστὶ συγγράφοντες, καὶ πάντως χρώμενοι καὶ αὐτοὶ τῇ τῶν Ο ἑρμηνείᾳ, ἥτις τότε παρὰ τοῖς ἑλληνισταῖς κοινῶς ἀνεγινώσκετο, καθὰ καὶ αὐτὸς ὁ Πατὴρ ὡμολόγησε. Τελευταῖον, αὐτὸς ὁ Ἱερώνυμος (ὃ καὶ ὅδιος οὔτι πάνυ χαίρων ὡμολόγησε σελ. 260), ὁ τοσάκις ἀπισχυρισάμενος, ὅτι «οἱ Ἀπόσολοι (πλὴν *ὀλίγων τινῶν* παρὰ μόνῳ τῷ Λουκᾷ κειμένων ἐκ τῶν Ο, μαρτυριῶν), ᾀείποτε τὰ λόγια τῶν Προφητῶν ἔγραφον κατὰ τὸ κείμενον τὸ ἑβραϊκόν· καὶ ὅτι οὐδέ-

ποτ' ἐξέφερον τὰς ῥήσεις ἐκ τῆς ἑρμηνείας τῶν Ο, καθ' ἃς αὕτη διαφωνεῖ πρὸς τὸ ἑβραϊκόν»· αὐτὸς οὗτος πάλιν ὁ Πατὴρ ἀλλαχοῦ λαμπρῶς ἀνεκήρυξεν, «ὅτι Λουκᾶς ὁ Εὐαγγελιστὴς ταῖς ἑλληνικαῖς (ἐκ τῶν Ο) μᾶλλον, ἢ ταῖς ἑβραίαις κέχρηται μαρτυρίαις» (α). (ὡς ἂν εἰ μόνος ὁ Λουκᾶς, οὐχὶ δὲ καὶ οἱ ἄλλοι τρεῖς Εὐαγγελισταὶ παρομοίως ἐποίησαν!). Καὶ πάλιν (περὶ τοῦ αὐτοῦ Εὐαγγελιστοῦ) προστίθησιν, ὅτι «τῇ τῶν Ο παρηκολούθησεν ἑρμηνείᾳ, καὶ ἐν οἷς πρὸς τὸ ἑβραϊκὸν διαφωνεῖ» (β). Καὶ περὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς ἀπορεῖ, «διὰ τί ἆρα Παῦλος ὁ Ἀπόστολος, Ἑβραῖος πρὸς Ἑβραίους διαλεγόμενος, οὐ κατὰ τὸ ἑβραϊκὸν κείμενον (ὅπερ ὀρθῶς ἔχον ἠπίστατο), ἀλλὰ κατὰ τοὺς Ο προσωμίλει»; (γ). Ἐκ δὲ τῶν ἄλλων τοῦ Παύλου ἐπιστολῶν (ἐν αἷς κἀκείναις ὁ Ἀπόστολος κέχρηται τοῖς Ο), πάσας τὰς λοιπὰς ὁ Πατὴρ σιωπήσας, μόνην ἐμνημόνευσε τὴν πρὸς Ῥωμαίους, ἐν ᾗ τὸν Παῦλον ὁμολογεῖ χρησάμενον τοῖς Ο, διότι, φησὶν, ἠγνόουν οἱ Ῥωμαῖοι τὴν ἑβραϊκὴν Γραφήν. (Τοῦτο πάντως ἐφρόνει καὶ περὶ τῶν ἄλλων ἐπισολῶν, ἐν αἷς ὁ Ἀπόσολος οὐκ ἐχρήσατο τῷ ἑβραϊκῷ, ἅτε πρὸς Ἕλληνας, καὶ ἑλληνιστὰς ἐπιστέλλων.). Ἀλλ' εἰ καὶ πρὸς Ἑβραίους καὶ πρὸς Ἕλληνας ἐπιστέλλων ὁ Ἀπόστολος ἐχρῆτο τοῖς Ο, καὶ οὐ τῇ καθ' Ἑβραίους Γραφῇ, ποῦ λοιπὸν ἐχρήσατο ταύτῃ δὴ, καὶ πρὸς τίνας; Ἄπορον τῷ ὄντι, πῶς εἰς τοιαύτας ἀντιφάσεις περιέπιπτεν ὁ τρισόλβιος ἐκεῖνος Πατὴρ, κεκρατημένος ὑπὸ τῆς ἀμέτρου πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκὸν προσπαθείας. Οὐδ' ἐκεῖνο γοῦν ἠθέλησε συνιδεῖν, ὅτι διὰ τοῦτο καὶ πρὸς Ἑβραίους, ἑβραϊστὶ τὸ πρῶτον γράψας τὴν ἐπισολὴν ὁ Ἀπόσολος, φαίνεται κεχρημένος ταῖς ἐκ τῶν Ο μαρτυρίαις, διότι καὶ τὸ ἑβραϊκὸν τότε τούτοις συνεφώνει, καὶ οἱ Ἑβραῖοι ἐσέβοντο τῶν Ο τὴν ἑρμηνείαν ὡς ἰσότιμον τῷ ἀρχετύπῳ (δ). Καὶ τὰ μὲν κατὰ τὸν Ἱερώνυμον τοιαῦτα.

(α) S. Hieron. Com. ad Esai. 6 et 38.

(β) Quaest. Hebr. in Genes.

(γ) Comm. ad Eai. 6.

(δ) Ὅθεν καὶ ἐξ αὐτῶν τῶν νεωτέρων οἱ περὶ τὸν ἔνδοξον Γρότιον ὡμολόγησαν,

§. λϐ. Ἐκ δὲ τῶν νεωτέρων ὁ Σιμώνιος ὁμολογεῖ μὲν, ὅτι καὶ οἱ Εὐαγγελισαὶ, καὶ οἱ λοιποὶ Ἀπόσολοι, καὶ αὐτὸς ὁ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐξελληνίσας, τῇ τῶν Ο μεταφράσει παρηκολούθησαν *κατὰ συγκατάβασιν* (ἔστι γὰρ καὶ οὗτος ἐκ τῶν *συγκαταβατικῶν!* βλ. ὄπισθ. σελ. 249). Ὅσα δὲ (λέγει) τῶν παρὰ τοῖς Ἀποστόλοις προφητικῶν ῥητῶν συμφωνοῦσιν οὐ μετὰ τῶν Ο, ἀλλὰ μετὰ τοῦ ἑβραϊκοῦ, ταῦτα τὰ χωρία διεφθαρμένα τυγχάνουσιν». (Οὕτω γενναίως εἴωθεν ὁ Σιμώνιος πολλάκις ὑπερπηδᾷν τὰ ἐσκαμμένα!)· καὶ τὰ αἴτια προστίθησι τῆς διαφθορᾶς. Οἱ ἑλληνισταί (φησιν) Ἰουδαῖοι (δηλονότι οἱ ἐξ Ἰουδαίων πεπιστευκότες) εἶχον λεξικά τινα (τῆς ἑβραϊκῆς) ἑλληνιστὶ συγγεγραμμένα, ἐξ ὧν ἐσημείουν τὰς ποικίλας τῶν ἑβραϊκῶν φωνῶν σημασίας καὶ πρὸς τῷ περισελίδῳ τῆς Καινῆς Διαθήκης. Ἐκ δὲ τοῦ περισελίδου παρεσέδυσαν καὶ εἰς τὸ κείμενον. «Οὕτω (φησὶν) ἐν μὲν τῷ Ἱερεμίᾳ (λα, 15), κατὰ τοὺς Ο γέγραπται «(Ῥαχὴλ κλαίουσα), καὶ οὐκ ἤθελε *παύσασθαι*» (κώδ. Βατικ.), παρὰ δὲ τῷ Ματθαίῳ (β, 18) γέγραπται «καὶ οὐκ ἤθελε *παρακληθῆναι*» (α). Ἀλλ' ὁ σοφὸς Ὄδιος τά τε φάσματα τῶν Σιμωνίου λεξικῶν ὀξὺ συρίξας ἀπεξήλασε, καὶ περὶ τοῦ *παύσασθαι* προσέθηκεν, ὅτι «*παρακληθῆναι* ἔχουσι καὶ ὁ κώδηξ ὁ Ἀλεξ. καὶ ἡ τοῦ Ἄλδου ἔκδοσις, καὶ ἡ Κομπλουτεία». Εἰ δ' ἔϐλεπεν ὁ Ὄδιος τὴν Ὀλμητείαν ἔκδοσιν τῶν Ο, καὶ ἄλλους ἂν κώδηκας προσετίθει! ὤφειλε δ' οὖν προσθεῖναι τὸν, ἐξ οὗ ὁ Θεοδώρητος (εἰς Ἱερεμ. λα, 15) ἐξήγησε τὴν ῥῆσιν ταύτην, ὅπου καὶ οὗτος ἀνέγνω *παρακληθῆναι*.

§. λγ. Καὶ Καπέλλιος αὐτὸς, ὁ τῶν Ο πολλάκις ἀξίῳ ὑπερμαχῶν, ἐσημείωσέ τινα τῶν παρὰ τοῖς Ἀποστόλοις προφητικῶν

ὅτι καὶ Παῦλος καὶ Λουκᾶς κατὰ πολλὰ ἀκολουθοῦσι τοῖς Ο. «Quos (τοὺς Ο) et Paulus et Lucas multun sequuntur» (Grot. annot. in Epist. ad Romanos, III. 4). Εἰ δ' ἔλεγον μὴ μόνον κατὰ πολλὰ, ἀλλὰ κατὰ πάντα, καὶ πάντες οἱ Ἀπόστολοι, ἔλεγον ἂν πᾶσαν τὴν ἀλήθειαν.

(α) Simon. Hist. Crit. N. T. c. 20.

ῥητῶν, ὡς ἐκ τοῦ ἑβραϊκοῦ δῆθεν ἡρμηνευμένα, καὶ μὴ συμφωνοῦντα τοῖς Ο, τὰ ἑξῆς.

§. λδ. Ματθ. Η, 17. «Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάςασεν»· ἐκ τοῦ Ἡσαΐ. νγ, 4· ὅπου οἱ Ο, «Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται» (*τὰς ἁμαρτίας ἡμῶν* ἡρμήνευσε καὶ ὁ Σύμμαχος. πρβ. καὶ Ἡσ. νγ, 12). Τὸ δ' ἑβρ. «Ὄντως τὰς ἀσθενείας ἡμῶν αὐτὸς φέρει, καὶ τὰς ὀδύνας (dolores) αὐτὸς ἐβάςασεν». Ἀλλ' ὁ Καπέλλιος οὐ συνεῖδεν, ὅτι τῶν Ο τὴν ἑρμηνείαν ἐπικυροῖ ὁ θεῖος Πέτρος, λέγων. «Ὃς *τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν* (ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον». Α. Πέτρ. β, 24). Τί γοῦν; ἀντιλέγουσι πρὸς ἀλλήλους οἱ Ἀπόστολοι; Ἄπαγε· πᾶν δὲ τοὐναντίον ἀληθεύουσιν ἀμφότεροι, καὶ ἀμφότερα ἐπληρώθησαν ἐπὶ τοῦ Σωτῆρος. Αὐτὸς γάρ ἐςιν ὁ καὶ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἰατρὸς, ὅλους ὄχλους θεραπεύσας ἀπὸ τῶν σωματικῶν αὐτῶν *ἀσθενειῶν* (Λουκ. ε, 15. η, 2: ιγ, 12: Ἰωάν. ε, 5), καὶ «Ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων *τὴν ἁμαρτίαν τοῦ κόσμου*» (Ἰωάν. α, 29). Ἔςι δὲ καὶ ἡ ἁμαρτία βαρεῖα νόσος καὶ ἀσθένεια ψυχῆς· ὅθεν τὸ «*ἀρχιερεῖς ἔχοντας ἀσθένειαν*» (Ἑβρ. ζ, 27, 28), ὁ Οἰκουμένιος ἐξηγῶν, «*ἀσθένειαν* (λέγει) *τὴν ἁμαρτίαν* ἐκάλεσεν». Ὅτι δὲ οὐδὲ πρὸς τὸ ἑβραϊκὸν ὁ Ματθαῖος πάντα συμφωνεῖ, πρόδηλον ἐκ τῶν ἐν τῷ ἑβρ. δύω λέξεων *φέρει*, καὶ τὰς *ὀδύνας*, ἀνθ' ὧν ὁ Εὐαγγελιστὴς ἔγραψεν *ἔλαβε*, καὶ, τὰς *νόσους*· καὶ ἐκ τοῦ *ὄντως*, ἀνθ' οὗ οἱ Ο γράφουσιν *οὗτος*, καὶ ὁ Εὐαγγελιστὴς «*αὐτός*». καὶ τὸ *ἐβάστασε* δὲ σύνηθες μάλιστα τῇ διαλέκτῳ τῶν Ο (βλ. καὶ Γρότ. σημ. εἰς Ματθ. η, 17).

§. λε. Ματθ. Θ, 13. «Ἔλεον θέλω, καὶ οὐ θυσίαν»· ἐκ τοῦ Ὠσηὲ ϛ. 6. ὅπου καὶ τὸ ἑβραϊκὸν ὡσαύτως· οἱ δὲ Ο, «Ἔλεος θέλω, ἢ θυσίαν» (ἐκδ. Βατικ.). Ἀλλ' ἐσφάλη καὶ ὧδε ὁ Καπέλλιος, ἀναγνοὺς μόνον τὸ Βατικανὸν (ὡς καὶ Σιμώνιος ἀνωτέρω ἐν τῷ *παρακληθῆναι*). Τὸ γὰρ Ἀλεξανδρινὸν, καὶ ἡ Κομπλουτεία, καὶ ὁ παρὰ τῷ ἱερῷ Θεοδωρήτῳ, καὶ ἄλλοι κώδηκες καὶ ἐκδόσεις ἔχουσιν, ὡς ὁ Εὐαγγελιστὴς, «*καὶ οὐ* θυσίαν». Οὕτω καὶ ἡ Ἰτάλα.

§. λϛ. Μάρκ. ΙΔ. 27. «Πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσεται τὰ πρόβατα»· ἐκ τοῦ Ζαχαρ. ιγ, 7. ὅπου καὶ τὸ ἑβρ. «Πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήτωσαν τὰ πρόβατα». οἱ δὲ Ο, «Πατάξατε τοὺς ποιμένας, καὶ ἐκσπάσατε τὰ πρόβατα». (Βατικ.). Ἀλλὰ καὶ ὧδε τὸ Ἀλεξανδρ. καὶ ἄλλα, καὶ τὸ παρὰ τῷ Ἀλεξανδρείας Κυρίλλῳ κείμενον ἔχουσιν, ὡς ὁ Εὐαγγελιστής. Ὡσαύτως καὶ τὸ τοῦ Θεοδωρήτου. «Πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήσονται». Οὕτω καὶ ἡ Ἰτάλα.

§. λζ. Πράξ. ΙΕ, 17. «Λέγει Κύριος ὁ ποιῶν ταῦτα». Ἐκ τοῦ Ἀμὼς, θ, 12. καὶ τὸ ἑβραῖον ὡσαύτως· κατὰ δὲ τοὺς Ο, - «ταῦτα *πάντα* (Βατικ.). Ἀλλὰ χωρὶς τοῦ *πάντα* ἔχει τὴν ῥῆσιν καὶ τὸ Ἀλεξανδρινόν. Καὶ πάλιν κώδηκές τινες καὶ ἐκδόσεις τῆς Καινῆς Διαθήκης ἔχουσι τὸ *πάντα* (βλ. ἔκδ. Γρεισβάχ.). Ἔπειτα, πῶς προσέβαλε τῷ Καπελλίῳ μόνον τὸ πάντα, οὐδ' ἤρκεσαν ὅλα τὰ προηγούμενα μέρη τοῦ προφητικοῦ τούτου ῥητοῦ, συμφωνοῦντα κατὰ λέξιν ἀκριβῶς μετὰ τῶν Ο, διαφωνοῦντα δὲ πολλαχοῦ πρὸς τὸ νῦν ἑβραϊκόν;

§. λη. Ῥωμ. Θ, 17. «*Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι*» κτλ. ἐκ τῆς Ἐξόδ. θ, 16. κατὰ δὲ τοὺς Ο «Ἕνεκεν τούτου *διετηρήθης*, ἵνα ἐνδείξωμαι» κτλ. Ἐν τούτοις (φησὶν ὁ Καπέλλιος) ὅλα τὰ λοιπὰ τῆς ῥήσεως ἔχει καὶ ὁ Ἀπόστολος ἀκριβῶς, ὡς οἱ Ο, μόνον τὸ *διετηρήθης* διώρθωσε πλησιέστερον πρὸς τὸ ἑβραϊκὸν, γράψας «ἐξήγειρά σε». Πρὸς δὲ ταῦτα Οὐόσσιος ἀπαντῶν (ἐν τῷ περὶ τῶν Ο, κεφ. 24) ἔκρινεν, ὅτι ἀντὶ τοῦ *διετηρήθης* παρὰ τοῖς Ο, ἀναγνωστέον *διεγέρθης* (γρ. διηγέρθης). Ἀλλὰ τοῦτο (λέγει Ὅδιος) τέμνειν ἐςὶν, οὐ λύειν τὸν δεσμὸν, εἴ γε πάντα τὰ ἀντίγραφα τῶν Ο *διετηρήθης* ἔχουσιν». Ὀρθῶς. Ἀλλ' ὤφειλεν ὁ κριτικὸς κἀκεῖνο προσθεῖναι. Ὅτι οὐδὲ τὸ ἀντίστοιχον ἑβραϊκὸν (amad) δηλοῖ τὸ *ἐξήγειρά σε*, ἀλλὰ κυρίως, *ἔστησά σε*, (στῆναί σε σῷον, καὶ ζῆν, ὑφίστασθαι ἐποίησα), δηλαδὴ *διετήρησά σε*, ὡς ἡρμήνευσαν ὀρθῶς κατ' ἔννοιαν οἱ Ο, (βλ. Ῥοδομύλερ. εἰς Ἔξοδ.). Ὁ δὲ θεῖος Παῦλος ἔγραψεν *ἐξήγειρά σε*, τὸ ῥῆμα λα-

ϐών ὡς συνώνυμον τοῦ *ἀνέστησα*, καὶ τοῦτο πάλιν κατὰ τοὺς Ο, καθὼς αὐτοὶ οὗτοι μεθηρμήνευσαν τὴν αὐτὴν ἑϐραΐδα φωνὴν ἀλλαχοῦ (Παροιμ. κθ, 4: Γ. Βασιλ. ιϛ, 4).

§. λθ. Α. Κορ. ΙΕ, 54· «*Κατεπόθη* ὁ θάνατος *εἰς νῖκος*». ἐκ τοῦ Ἡσαΐ. κε, 8. καὶ τὸ ἑϐραϊκὸν, «*Κατέπιεν* (ἢ κατεκρήμνισε) τὸν θάνατον *εἰς αἰῶνα* (βλ. παρακατιών)· οἱ δὲ Ο, «*κατέπιεν ὁ θάνατος ἰσχύσας*». ὥστε ὁ Ἀπόστολος οὐδετέρῳ συμφωνεῖ. Ὁ Καπέλλιος ἔκρινεν, ὅτι τὸ ἑϐραϊκὸν ἐπὶ τοῦ Ἀποστόλου εἶχεν, ὡς αὐτὸς ἀνέγνω τε καὶ ἔγραψεν, οὐχ ὡς ἔχει τὸ καθ' ἡμᾶς Μασορίτειον κείμενον. Ἀλλ' ὅτι καὶ ἐπὶ τοῦ Ἀποστόλου οὕτως εἶχε τὸ ἑϐραϊκὸν, μαρτυρεῖ αὐτὴ ἡ τῶν Ο ἀνάγνωσις. Ἀμφότερα τὰ κείμενα λέγουσι «*Κατέπιεν*». Ἐν δὲ τῷ ἑϐραϊκῷ κατ' αἰτιατικὴν ἐκφέρουσι τὴν πτῶσιν οἱ νεώτεροι, «*τὸν θάνατον*» (ὑπακούοντες τὸ, ὁ *Κύριος*). Ἀλλ' ὅμως παρὰ τῷ Ἀποστόλῳ κεῖται κατ' ὀνομαστικὴν, τραπέντος τοῦ ῥήματος εἰς παθητικὸν (*κατεπόθη ὁ θάνατος*) (α). Ὁ δὲ πάλιν Οὐόσσιος ἔκρινεν, ὅτι καὶ παρὰ τοῖς Ο τὸ πρῶτον ὑπῆρχεν ἡ ῥῆσις ἡ αὐτὴ καὶ παρὰ τῷ Ἀποστόλῳ, καθὰ μαρτυρεῖ ἡ τοῦ Θεοδοτίωνος παρὰ τῷ Προκοπίῳ σῳζομένη μετάφρασις· «*κατεπόθη* ὁ θάνατος *εἰς νῖκος*». Ὅτι δὲ ὁ Θεοδοτίων ἀντέγραφε συχνάκις τοὺς Ο, φανερόν (ϐ). Οἱ δὲ περὶ τὸν Ὅδιον (σελ. 255) ἀντεῖπον, ὅτι τάχα ὁ Θεοδοτίων, ὡς ἐκ χριστιανῶν ἰουδαΐσας, ἐνῷ μετέφραζε τὸ ῥητὸν, εἶχε κατὰ νοῦν τὴν ἀποστολικὴν φράσιν! Ἀλλὰ πάντα ταῦτα φαίνονται περιειργασμένα. Οἱ δὲ Ο ἡρμήνευσαν, ὡς ἔχουσι καὶ νῦν ἅπαντες οἱ κώδικες καὶ αἱ ἐκδόσεις, «*κατέπιεν ὁ θάνατος ἰσχύσας*». Ἐν δὲ τούτοις ὁ Προφήτης θεσπιῳδεῖ τὴν ἀπὸ τοῦ πρωτοπλάστου μέχρι τοῦ *τῆς ἀναστάσεως*

(α) Οὕτω καὶ ὁ Σύρος κατ' ὀνομας. ὁ δὲ Χαλδαῖος, «λήθῃ παραδοθήσεται ὁ θάνατος εἰς αἰῶνα». Σύμμαχος δὲ κατ' αἰτιατικ. «καταποθῆναι ποιήσει ὁ Θεὸς τὸν θάνατον εἰς τέλος» (ϐλ. Critic. Sacros καὶ Rosenmüll. Schol. ad Esai. 25, 8). Περὶ δὲ τοῦ εἰς τέλος, καὶ εἰς νῖκος ϐλ. ὄπισθ. Βιϐλ. Β. σελ. 711.

(ϐ) Βλ. Vossij, De LXX. καὶ contr. Huls. p. 119.

ἡμῶν ἀρχηγοῦ κατὰ πάντων ἀνθρώπων κατίσχυσιν τοῦ θανάτου (α). Ὁ δὲ θεῖος Παῦλος οὐκ ἀμέσως ἀπὸ τοῦ Ἡσαΐου τὴν ῥῆσιν εἴληφεν, ἀλλὰ μέρος ἐκ τούτου λαβὼν, συνῆψε μεθαρμόσας πρὸς αὐτὸ τὴν ῥῆσιν ἄλλου Προφήτου, τοῦ Ὡσηὲ, ἐκ δύω Προφητῶν πιστούμενος τὸν λόγον. *Λέγει γὰρ Ὡσηὲ* (ιγ, 14)· «Ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτοὺς, *ἐκ θανάτου λυτρώσομαι αὐτούς· ποῦ ἡ δίκη σου θάνατε; ποῦ τὸ κέντρον σου ᾅδη;*» (τὸ δὲ νῦν ἑβρ. πάντῃ διάφορον ἐν τούτοις. βλ. Βιβλ. Γ. κεφ. β. σελ. 80). Λέγει καὶ ὁ Ἀπόστολος. «Τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος. Κατεπόθη ὁ θάνατος εἰς νῖκος· Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος;» (Α. Κορ. ιε, 54). Ὥστε ἐκ τῆς τῶν ῥημάτων ἀκολουθίας φαίνεται σαφῶς ὁ Ἀπόστολος, ὅτι πρὸς τὸ τοῦ Ὡσηὲ *ἐκ θανάτου λυτρώσομαι αὐτοὺς* ἔταξεν ἀνάλογον κατὰ παθητικὸν σχηματισμὸν τὸ τοῦ Ἡσαΐου «*Κατέπιεν ὁ θάνατος*», εἰς τὸ *κατεπόθη* μεταβαλών· ἔςι δὲ καὶ οὗτος ὁ παθητικὸς τοῦ ῥήματος σχηματισμὸς ἐν αὐτῷ πάλιν τῷ Ὡσηὲ(η, 8,) «*κατεπόθη* Ἰσραὴλ» (β), ὡς ἡρμήνευσαν οἱ Ο τὴν αὐτὴν ἑβραΐδα φωνήν. Ἴσως δὲ καὶ διὰ τὴν σύναψιν ἀμφοτέρων τῶν προφητικῶν λογίων οὐκ ὠνόμασε τὸν Προφήτην, ἀλλ᾽ εἶπεν ἁπλῶς « *ὁ λόγος ὁ γεγραμμένος*» (ἐν τοῖς προφήταις δηλαδὴ, τῷ Ὡσηὲ καὶ τῷ Ἡσαΐᾳ, ὡς εἶπε καὶ ὁ Μάρκος α, 1· «γέγραπται *ἐν τοῖς προφήταις*»· τῷ Μαλαχίᾳ καὶ Ἡσαΐᾳ).

§. μ. Ῥωμ. Γ, 5. «Μὴ ἄδικος ὁ Θεὸς, ὁ ἐπιφέρων τὴν ὀργήν;

(α) «Παράδος ταῦτα πάντα τοῖς ἔθνεσι—Κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ π ά λ ι ν ἀ φ ε ῖ λ ε ν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου» κτλ. (Ἡσαΐ. κε, 7, 8). Ὅπου ὁ ἱερὸς Θεοδώρητος· «Ἀλλ᾽ ἀγαθότητι κυβερνῶν τὰ καθ᾽ ἡμᾶς ὁ Δεσπότης, κατέλυσε μὲν τὸν θάνατον, ἔπαυσε δὲ τὰ ἐπὶ τοῖς τελευτῶσι γινόμενα δάκρυα, τῆς ἀναστάσεως δεδωκὼς τὴν ἐλπίδα».

(β) Καὶ τὸ τῶν Ο, ἰ σ χ ύ σ α ς ἀντιστοιχεῖ πρὸς τὸ τοῦ Ἀποστόλου ε ἰ ς ν ῖ κ ο ς (ὡς ἡρμήνευσαν πρῶτοι πάλιν αὐτοὶ οἱ Ο. Ἐκ δὲ τούτων καὶ Ἀκύλας καὶ οἱ λοιποὶ πολλαχοῦ τῆς Γραφῆς· τὸ δ᾽ αὐτὸ εἶπον καὶ εἰς τ έ λ ο ς). Οὕτω καὶ ἐν Ἀποκαλ. ιβ, 8, τὸ ἴσ χ υ σ ε ν ἀντὶ τοῦ κατίσχυσε, κατὰ κράτος, ἢ εἰς τ έ λ ο ς ἐ ν ί κ η σ ε ν.

Και τοῦτό (φησιν) ὁ Καπέλλιος ἀναφέρεται εἰς τὸ τοῦ Ψαλμ. ζ, 12, ὅπου τοὐναντίον ἔχουσιν οἱ Ο, «Μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάςην ἡμέραν»· τὸ δ᾽ ἑβραϊκὸν συμφωνεῖ τῷ Ἀποστόλῳ. Ἀλλὰ περὶ μὲν τῆς ἐναντιότητος ταύτης τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο, προείπομεν (Βιϐ. Γ. σελ. 401, 609). Τὸ δὲ ῥητὸν τοῦ Ἀποστόλου μάτην ὑπενόησεν ὁ Καπέλλιος ὡς αἰνιττόμενον τὸ χωρίον τοῦ ψαλμῳδοῦ. Ὅστις θεωρήσῃ τῶν Ἀποστολικῶν ῥημάτων τὴν ἀκολουθίαν καὶ συνέχειαν, βλέπει καθαρῶς, ὅτι τὸ, «Μὴ ἄδικος ὁ Θεὸς» κτλ. ἀναφέρεται εἰς τὸ ἀνωτέρω (β, 5) «*θησαυρίζεις ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς*»· ὅθεν, μετὰ μακρὰν καὶ ἐγκατάσκευον τοῦ λόγου περιοδίαν, ἐπιφέρεται ἐν τῷ γ, 5, ἡ τοῦ νοήματος ἀνταπόδοσις.

§. μα. Ματθ. ΚΑ, 5. «Ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου». Ἐκ τοῦ Ζαχαρ. θ. 9. ὅπου οἱ Ο, «Ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον» (ὁ δὲ μάρτυς Ἰουστῖνος ἀντὶ τοῦ *νέον* ἀνέγνω *ὄνου*· καὶ ἡ ἀνάγνωσις μαρτυρεῖται ἐκ τοῦ Γενέσ. μθ, 11 «πῶλον ὄνου»)· τὸ δ᾽ ἑβρ. συμφωνεῖ τῷ Εὐαγγελιστῇ, φησὶν Ὑσσέριος (ἐν τῷ *περὶ τῶν Ο*). Ἀλλὰ ποῦ ποθ᾽ εὗρε τὴν συμφωνίαν; Τὸ μὲν γὰρ ἑβρ. ἔχει «Ἐπὶ ὄνον καὶ πῶλον *υἱὸν ὄνων*» (πληθ.). Ὁ δὲ θεῖος Εὐαγγελιστὴς μόνον τὰς λέξεις τῶν Ο μετέθηκε, προσθεὶς πρὸς τῷ πῶλον καὶ τὸ υἱὸν (ὡς τὸ τοῦ Ψαλμοῦ, «*υἱοὺς κριῶν*», κατὰ τοὺς Ο) (α). Καὶ τὸ *ὑποζύγιον* (ἐν τούτῳ τῷ χωρίῳ) οὐ κεῖται ἐν τῷ ἑβρ. Ἔστι δὲ παρὰ τοῖς Ο σύνηθες πανταχοῦ σχεδὸν ἐπὶ τῆς τοῦ ὄνου σημασίας (ὡς Γεν. λϛ, 24: Ἐξόδ. θ, 3: Ἰησ. Ϛ, 20, καὶ ἀλλαχοῦ πολλαχοῦ). Ὁ δὲ κλεινὸς Ὑσσέριος δράττεται καὶ τοῦ ἐφεξῆς.

§. μϐ. Ῥωμ. ΙΑ, 4. «*Κατέλιπον* ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας» κτλ. ἐκ τοῦ Γ. Βασιλ, ιθ, 18. ὅπου καὶ τὸ ἑβρ. «*καταλείψω* ἐν Ἰσραὴλ»

(α) Οὕτω καὶ τέκνα βοῶν (Α. Βασιλ. ϛ, 7. ιδ. 32)· καὶ τέκνα αἰγῶν (Β. Παραλ. λε, 7), κτλ. Σύνηθες δὲ μάλιστα τῇ Ἑβραΐδι τὸ υἱὸς καὶ υἱοὶ (ben, πληθ. bene) καὶ ἐπὶ τῶν ἐκγόνων τῶν ἀλόγων· παρὰ δὲ τοῖς Ἕλλησι μόνον τὸ τέκνον· οἷον τὸ τοῦ Θεοκρίτου, βοῶν τέκνα (Εἰδύλλ. κε, 204), καὶ τὸ παρ᾽ Ἀθηναίῳ «Νήρεια τέκνα» (τὰ Νηρέως παιδία, οἱ ἰχθύες) κτλ. Βλ. καὶ Vorstij Philolog. sacr. P. I· c. 15.

(πρωτοπροσώπως). Οἱ δὲ Ο «*καταλείψεις* ἐν Ἰσραήλ». Οὕτως ἔχουσι διάφοροι κώδηκες τῶν Ο. Ἀλλ' ἡ τῆς Κομπλουτ. ἔκδοσις ἔχει *καταλείψω*, καὶ Ἰουστῖνος δὲ, καὶ Ὠριγένης πρωτοπροσώπως ἀνέγνων, ὡς ὀψόμεθα εὐθύς. Ἀλλὰ καὶ εἴπερ οἱ Ο γεγράφασιν, ὡς ἔχουσιν οἱ πλεῖστοι κώδηκες, ἕπεται λοιπὸν, ὅτι αὐτὸς ὁ Ἀπόστολος ἐκ τῶν Ο τὸ ῥητὸν ἐξενεγκὼν, (ὡς δηλοῦσιν ἐναργῶς αἱ λέξεις αὐταὶ), ἐχρήσατο ἐν μέρει καὶ κατὰ διάνοιαν, μεθαρμόζων τὴν ῥῆσιν ἐπὶ τῶν *ἐκλεκτῶν* (τῶν εἰς Χριστὸν πιςευσάντων) *Ἰσραηλιτῶν*, ὡς ἐσημείωσεν ὁ τὸν Ὑσσέριον λαθὼν Ὠριγένης, λέγων. «Παρατηρητέον ἐκ τῆς πρὸς Ῥωμαίους τὸ *Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ*», κείμενον *ἐν τῇ Γ. τῶν Βασιλειῶν*, ὅτι ὁ *Παῦλος εἴληφεν ἀντὶ τῶν κατ' ἐκλογὴν* Ἰσραηλιτῶν, τῷ μὴ μόνον τὰ ἔθνη ὠφελεῖσθαι ὑπὸ τῆς Χριστοῦ ἐπιδημίας, ἀλλὰ καί τινας τῶν ἀπὸ τοῦ θείου γένους». Ὡσαύτως καὶ ὁ μάρτυς Ἰουςῖνος. «Ἀποκρίνεται αὐτῷ (τῷ Ἠλίᾳ) ὁ Θεός· Ἔτι εἰσί μοι» (ἐξήγησις τοῦ *κατέλιπον ἐμαυτῷ*), ἑπτακισχίλιοι ἄνδρες, οἳ οὐκ ἔκαμψαν», κτλ. (βλ. Ὀκτάτευχ. τόμ. Β. σελ. 785 ἐκδ. Θεοτ.). Καὶ ταῦτα μὲν τὰ τοῦ Ὑσσερίου. Ὁ δὲ σοφὸς Ὅδιος προστίθησι καὶ τὰ ἑξῆς.

§. μγ. Ματθ. Β, 6. «Καὶ σὺ Βηθλεὲμ γῆ *Ἰούδα οὐδαμῶς ἐλαχίστη* εἶ *ἐν τοῖς ἡγεμόσιν* Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος» κτλ. ἐκ τοῦ Μιχ. ε, 2. ὅπου τὸ ἑβραϊκόν. «Καὶ σὺ Βηθλεὲμ Ἐφραθὰ, *μικρὸς* εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα» κτλ. Οἱ δὲ Ο, «Καὶ σὺ Βηθλεὲμ *οἶκος* Ἐφραθὰ, *ὀλιγοστὸς* εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα τοῦ Ἰσραὴλ (κώδ. Βατικ.). Ἐν τούτοις Ὅδιος πρῶτον μὲν ὁμολογεῖ, ὅτι καὶ ἐν τῷ Βαρβερινείῳ κώδηκι, καὶ ἐν τῷ παρὰ Θεοδωρήτῳ κειμένῳ τῶν Ο, καὶ ἐν τῇ ἀρχαίᾳ Ἰτάλᾳ, καὶ παρὰ τῷ ἱερῷ Κυπριανῷ γέγραπται πρὸ τοῦ *ὀλιγοστὸς* ἡ ἄρνησις, *οὐκ ὀλιστὸς* εἶ. Ἀλλ' αὐτὸς νομίζει, ὅτι ἐν τούτοις πᾶσιν ὕστερον προσετέθη τὸ ἀρνητικὸν ἐκ τῆς παρὰ τῷ Ματθαίῳ φράσεως, οἱ δὲ Ο, ἔγραψαν (συμφώνως τῷ ἑβραϊκῷ) *ὀλιγοστὸς εἶ*, ὡς ἔχουσιν οἱ ἀρχαιότατοι

κώδηκες, ὁ Βατικανὸς, ὁ Ἀλεξανδρινὸς, ὁ τῆς Κομπλουτείας ἐκδόσεως, καὶ αὐτὸς ὁ Εὐσέβιος (Εὐαγ. Ἀποδ. β, 7. καὶ ζ, 4). Χωρὶς τῆς ἀρνήσεως ἀνέγνω καὶ Ἱερώνυμος παρὰ τοῖς Ο, διὸ καὶ ἐπὶ τοσοῦτον ἠγανάκτησεν ὁ μακάριος, ὥστε καὶ σφάλμα μνημονικὸν αὐτοῦ τοῦ Εὐαγγελιστοῦ παραδόξως ὑπετόπασε τὸ *οὐκ ἐλαχίστη*, ὡς μήτε τοῖς Ο, μήτε τῷ ἑβραϊκῷ κειμένῳ συμφωνοῦν! (ὑπομν. εἰς Μιχ. αὐτόθ.). Ἀλλὰ τὸ σφάλμα (φησὶν Ὅδιος) οὐκ ἔστι τοῦ Εὐαγγελιστοῦ, ἀλλ' αὐτοῦ τοῦ Ἱερωνύμου, ἀγνοοῦντος ὅτι ἡ ἀντίστοιχος ἑβραϊκὴ λέξις (τζαΐρ) σημαίνει καὶ τὸ μέγα, καὶ τὸ μικρὸν, κατὰ τὸν Ποκόκκιον (α). Ὥστε τὴν αὐτὴν φωνὴν οἱ μὲν Ο μεθηρμήνευσαν μικρὸν, ἢ *ὀλιγοστὸν*, ὁ δὲ Εὐαγγελιστὴς μέγα, ἢ οὐκ *ἐλάχιστον*. Ὁ δὲ Δρούσιος καὶ Γρότιος καὶ ἄλλοι ἀνέγνων ἐρωτηματικῶς, *ὀλιγοστός εἶ;* (τουτ. οὐκ ὀλιγοστός)· ταῦτα Ὅδιος. Ἀλλ' ὅτι μὲν ἡ λέξις ἡ αὐτὴ σημαίνει καὶ τὸ μέγα καὶ τὸ μικρὸν (χωρίς τινος διακριτικοῦ), ἐσφάλη μὲν πιστεύσας ὁ Ποκόκκιος, ἔσφηλε δὲ καὶ τὸν Ὅδιον· οὐδὲν γὰρ ἕτερον δηλοῖ εἰμὴ τὸ μικρὸς, βραχὺς, ὀλίγος (κατὰ τοὺς τὰ τοιαῦτα ἐξακριβοῦντας) (β). Οἱ δὲ Ο καὶ ἔγραψαν καὶ ἀνέγνων ἐν τῷ κατ' αὐτοὺς ἑβραϊκῷ μετὰ τῆς ἀρνήσεως· «οὐκ ὀλίγιστος». Καὶ μάρτυς λαμπρὸς καὶ περὶ τὴν κρίσιν τοῦ πράγματος μάλιστα κατάλληλος (ὃν οὐ προσέθηκεν Ὅδιος πρὸς οἷς ἐμνημόνευσεν ἀντιγράφοις καὶ συγγραφεῦσιν) Ὠριγένης αὐτὸς, ὅστις ἀνέγνω τὴν ῥῆσιν τῶν Ο μετὰ τῆς ἀρνήσεως «*οὐκ ὀλιγοστὸς εἶ*» (γ), ὡσαύτως καὶ Τερτυλλιανός· ὁ δὲ μακάριος Ἱερώνυμος ἄλλοις, ὡς ἔοικεν, ἐχρήσατο κώδηξι, διαφέρουσιν ἐν τούτῳ τῆς ἀρχαίας Ἰτάλας, καὶ ὧν Ὠριγένης ἀνεγίνωσκε καὶ οἱ ἄλλοι Πατέρες, ἐν οἷς καὶ Κύριλλος ὁ Ἱεροσολύμων (δ), καὶ ὁ μνημονευθεὶς Θεοδώρητος, καὶ ὁ τούτου

(α) Βλ. Pocockij not. ad Portam Mosis c. 2 καὶ Comment. in Michæam.

(β) Gesen. Lexic. Hebr. p. 869. Ὁ δὲ Στόῤῥιος ἐπέμεινεν εἰς τὴν γνώμην τοῦ Ποκοκκίου. (Storr. observat. ad Synt. Hebr. p. 52).

(γ) Κατὰ Κέλσ. Α. §. 51. πρβλ. καὶ Dela Rue not. h. l.

(δ) Κατηχ. ιϐ. σελ. 113. ὅπου γράφεται μὴ ὀλιγοστὸς (ἀντὶ οὐκ), ἐκ πλάνης ἴσως ἀντιγραφικῆς.

σύγχρονος Κύριλλος ὁ Ἀλεξανδρείας (α), καὶ Γρηγόριος ὁ Νύσσης (β), καὶ Βασίλειος ὁ Σελευκείας (λόγ. λθ, σελ. 214), καὶ εἴ τις ἕτερος, καὶ ἡ Ἀραβικὴ ἑρμηνεία, καὶ ἡ Συριακὴ (ἐρωτηματικῶς ἀναγινώσκουσα, «*μὴ ὀλιγοστὸς εἶ;* num parva es»· ὅθεν ἐδανείσαντο τὴν γνώμην καὶ οἱ περὶ τὸν Δρούσιον). Οὕτω καὶ ἐν τῷ τῆς Κανταβριγίας κώδηκι τῶν Ο γέγραπται διὰ τοῦ μὴ (ἐρωτηματικῶς)· «μὴ ὀλιγοστὸς εἶ»; ἀλλὰ καὶ τοῦτο πάλιν ἀναλογεῖ πρὸς τὸ δίχως ἐρωτήσεως ἀρνητικὸν (*οὐκ ὀλιγοστὸς*), ὃ κυρίως ἐστὶν ἡ τοῦ Προφήτου γραφή. Καὶ τοῦτο βεβαιοῖ πρὸ πάντων αὐτὸ τὸ ἱερὸν κείμενον. Τὸ γὰρ ἑπόμενον «*Ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος*» ἐπιφέρεται πάντως πρὸς ἀπόδειξιν, ὅτι *οὐκ ὀλιγοστὸς εἶ* (δηλονότι ὡς πρότερον ἦσθα)· διὸ καὶ ὁ θεῖος Εὐαγγελιστὴς προσέθηκε τὸν αἰτιολογικὸν γὰρ («Ἐκ σοῦ *γάρ* μοι»). Ἄλλως γὰρ ὁ νοῦς οὐκ εὐοδοθήσεται, ἐὰν τεθῇ «*Καὶ σὺ Βηθλεὲμ ὀλιγοστὸς εἶ*» (πῶς; καὶ διὰ τί;)· διότι «*ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος*» κτλ. ἀλλὰ τοῦτο προφανῶς ἐστιν ἀντιφατικόν. Καὶ φαίνεται ἄρα τὸ ἑβραϊκὸν πρόπαλαι τὴν ἀναγκαίαν ἄρνησιν ἀποκεκαρμένον· ὅθεν ἡ ἔλλειψις μετεδόθη καὶ εἰς πολλοὺς κώδηκας τῶν Ο (γ). Καὶ λοιπὸν ὁ θεῖος Ματθαῖος ἀνέγνω μὲν κατὰ τοὺς Ο (οἷς τότε συνεφώνει καὶ τὸ ἑβρ.), ἀλλ᾽ οὐχὶ κατὰ

(α) Θησαυρ. λόγ. λ. προβλ. καὶ Εὐθυμ. Ζιγάβην. Πανοπλ. ιε. σελ. ρκ.

(β) Βλ. τομ. α. σελ. 985. ἐκδ. Paris. 1615,

(γ) Ὅθεν καὶ οἱ τοῦ ἑβραϊκοῦ προστάται παντοίας θεραπείας ἐπινοοῦσιν, ἄλλα προσιθέντες, ἵνα μὴ προσθῶσι μίαν συλλαβὴν, τὴν ΟΥ! Καὶ οἱ μὲν γράφουσι «Καὶ σὺ Βηθλεὲμ, . . . ἥτις εἶ ὀλιγοστὸς, . . . ἐκ σοῦ μοι» κτλ. ἀναρτῶντες τὴν ἔννοιαν, τὸ δὲ καὶ σὺ Βηθλεὲμ ἐπιφέροντες ὡς κλητικὴν ἀπολελυμένην (ἵνα ᾖ, καὶ σὺ ὦ Βηθλεὲμ, ἥτις εἶ ὀλιγοστὸς ἐν τοῖς ἡγεμόσιν, ἄκουε κτλ.)· οἱ δὲ προσιθέασι πρὸ τοῦ ἐκ σοῦ τὸν ἐναντιωματικὸν ἀλλὰ, ἵνα ᾖ, «ὀλιγοστὸς εἶ, ἀλλ᾽ ὅμως ἐκ σοῦ μοι κτλ. βλ. Rosenmüll. Schol. - πάντα διάκενα θεραπεύματα! Καὶ τοῦτο δὲ σημειωτέον, ὅτι λείπει ἐκ τοῦ ἑβρ. τὸ οἶκος (τοῦ Ἐφραθὰ), ὡς ἀνέγνων οἱ Ο, ἀπὸ τοῦ φυλάρχου δηλονότι Ἐφραθὰ, πατρὸς τοῦ Βηθλεὲμ (=Βαιθλαὲμ Α. Παραλ. δ, 4.)· ἀπὸ τούτων γὰρ (ὡς ἔοικεν) ἀμφοτέρων τῶν ἐγγόνων Ἰούδα παρωνόμασται ἡ πόλις (πρῶτον ἀπὸ τοῦ πατρὸς, ὕστερον δ᾽ ἐκ τοῦ υἱοῦ) «Ἐφραθὰ, αὕτη ἐστὶ Βηθλεέμ» (Γεν. μη; 7).

πόδα καὶ κατὰ λέξιν· ἐξέφρασε δὲ πρὸς τὸ σαφέστερον τὴν ἔννοιαν. Καὶ ἀντὶ μὲν τοῦ *οὐκ ὀλιγοστὸς* (ἀρσενικῶς, ὡς πρὸς τὸ *οἶκος τοῦ Εὐφραθὰ*) εἶπεν, *οὐδαμῶς ἐλαχίστη* (ἡ Βηθλεὲμ) (α)· ἀντὶ δὲ τοῦ οἶκος Εὐφραθὰ ἀντέταξε τὸ γῆ Ἰούδα (καὶ τοῦτο ἐκ τῶν Ο, κατὰ τὸ, *Βηθλεὲμ πόλις Ἰούδα*. Κριτ. ιζ, 8, 9: Ῥοὺθ α, 2), ὡς μάλιστα σαφηνίζον τὴν ἐκπλήρωσιν τῆς προκειμένης προφητείας (ὅτι «ἐξ *Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν*» Ἑβρ. ζ, 14). Ἀλλὰ καὶ τὸ *ἡγεμόσιν* ἐςὶν ἐκ τῶν Ο (β). Καὶ αὐτὸ δὲ τὸ «*ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραὴλ*» κατὰ λέξιν ἐκ τῶν αὐτῶν Ο (Β. Βασιλ. ε, 2), πιστοποιούμενον καὶ ἐκ τῆς ἐφεξῆς (μετὰ τὸ «*καὶ σὺ Βηθλεὲμ*) ἑπομένης, καὶ εἰς τὸν Κύριον ἡμῶν ἀναφερομένης ῥήσεως τοῦ Μιχαίου (ε, 4)· «καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος»· (καὶ ὧδε ἐκ τοῦ ἑβρ. λείπει τὸ *ποίμνιον αὐτοῦ*).

§. μδ. Ἐφεσ. Δ. 8. «Ἀναβὰς εἰς ὕψος... *ἔδωκε δόματα*». Ἐκ τοῦ Ψαλμ. ξζ, 18. ὅπου οἱ Ο, «*Ἔλαβες* δόματα ἐν ἀνθρώποις. Ὥστε (φησὶν Ὄδιος ἐκ Ποκοκκίου) τὴν ἀντιστοιχοῦσαν πολυσήμαντον ἑβραϊκὴν λέξιν (τὴν *Λαχαχ*) ὁ Ἀπόστολος ἡρμήνευσε κατ' ἐναντίαν τῇ παρὰ τοῖς Ο, σημασίᾳ. Οὕτω καὶ ἡ ἐκ τοῦ ἑβραϊκοῦ μεταφρασθεῖσα Συριακὴ (τῶν Ψαλμῶν) ἑρμηνεία ἡ Πεσχίτα (βλ. Βιβλ. Γ. σελ. 891) ἔχει «*Ἔδωκας δόματα*». Ἀλλ' (ἀπαντῶμεν) ὅτι μὲν τὸ ἑβρ. *Λαχαχ*, συγγενὲς ὂν τοῦ ἑλληνικοῦ *λάχω* (λαγχά-

---

(α) Καὶ ἐν τῷ ἑβραϊκῷ ἀρσενικῶς φέρεται τὸ ὀ λ ι γ ο σ τ ὸ ς, ὅπερ οἱ κριτικοὶ διὰ πολλῶν θεραπειῶν προσαρμόζουσι πρὸς τὸ θηλυκὸν Βηθλεέμ. Σὺ δὲ σημείωσαι, ἀναγνῶστα, ὅτι καὶ ἡ λέξις, ἡ ἐ λ α χ ί σ τ η ἰδιάζει τοῖς Ο. Οὕτως ἡρμήνευσαν καὶ ἀλλαχοῦ τὸ Τ σ α ϊ ρ, «καὶ ἡ πατριά μου ἐ λ α χ ί σ τ η παρὰ πάσας» Α. Βασιλ, θ, 21. (εἶπε δὲ καὶ Ἡρόδοτος τὴν Λακεδαίμονα πόλιν ο ὔ τ' ἐ λ α χ ί σ τ η ν, οὔτ' ἀσθενεστάτην).

(β) Οὕτως ἐν Γενέσ. λς, 40 «ἡγεμόνες Ἡσαῦ ἐν ταῖς φυλαῖς αὐτῶν», ὅπου τὸ ἑβρ. Ἀ λ λ ο υ φ (φύλαρχος) συγγενὲς τοῦ Ἐ λ ε φ, χιλιὰς, καὶ πατριὰ κτλ. καὶ χιλίαρχος, ὡς εἰς χιλιάδας διῃρημένης ἑκάστης φυλῆς τοῦ Ἰσραὴλ (βλ. Κριτ. ϛ, 15), ὧν ἑκάστη εἶχε τὸν ἴδιον ἡγεμόνα, ἢ χιλίαρχον· ὥστε τὸ ἡγεμόσι σημαίνει τοὺς χιλιάρχους μετὰ τῶν ὑπ' αὐτοὺς χιλιάδων (Ἐξόδ. ιη, 21: Ἀριθμ. α, 16). βλ. καὶ Rosenmüll. Schol. καὶ Gesen. Lex. Hebr. p. 62, 66.

νω), σημαίνει ὧδε τὸ λαμβάνω, μαρτυροῦσιν οἱ νεώτεροι κριτικοὶ λεξικογράφοι (Γεσέν. Λεξ. ἑβραϊκ. σελ. 535). *Ἔλαβες* ἐξηγοῦσι τὸ ῥῆμα καὶ ἡ Βουλγάτα, καὶ πᾶσαι μονονοὺ τῶν ἀρχαιοτέρων καὶ νεωτέρων αἱ μεταφράσεις, ἃς ἀπεσιώπησεν Ὄδιος. Ἡ δ', ἧς ἐπεμνήσθη, Συριακὴ φαίνεται ἐν τούτῳ τῷ χωρίῳ παρηλλαγμένη, τραπέντος τοῦ *ἔλαβες* (εἴτε ἐξ ἀπροσεξίας, εἴτε ἐξεπίτηδες) εἰς τὸ *ἔδωκας*, κατὰ τὴν φράσιν τὴν Ἀποστολικήν· καὶ τοῦτο προσέφερον μαρτυρίαν, ὅσοι τῶν Σύρων ἐφρόνουν τὴν παλαιὰν Πεσχίταν ἑρμηνευθεῖσαν ὑπὸ τῶν Ἀποστόλων (βλ. Βιβλ. Γ. σελ. 892) (α). Πόθεν οὖν ὁ Ἀπόστολος ἔγραψε τὴν ῥῆσιν; ἔλυσε τὸ ζήτημα προλαβὼν Σύρος ἀρχαῖος, Ποκοκκίων καὶ Ὀδίων μυρίων μυριάκις πιστότερος, ὁ ἱερὸς Θεοδώρητος, λέγων· «Ὁ μὲν ψαλμὸς λέγει *ἔλαβε* δόματα ἐν ἀνθρώποις Αὐτὸς δὲ (ὁ Παῦλος) τὸ *ἔδωκε* τέθεικεν. Ἀμφότερα δὲ γεγένηται· λαμβάνων γὰρ τὴν πίστιν ἀντιδέδωκε τὴν χάριν» (ἑρμην. εἰς Ἐφεσ. δ. 8. πρβλ. Θεοφύλ. αὐτόθ.).

§. με. Α. Κορ. Γ, 19. «Ὁ δρασσόμενος σοφοὺς ἐν τῇ *πανουργίᾳ* αὐτῶν»· ἐκ τοῦ Ἰὼβ ε, 13. ὅπου καὶ τὸ ἑβρ. «Ὁ λαμβάνων (capiens) σοφοὺς ἐν τῇ πανουργίᾳ (caliditate)»· οἱ δὲ Ο, «Ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ *φρονήσει*».– Ἀλλ' ὅτι φρόνησιν εἶπον οἱ Ο καὶ τὴν *πανουργίαν* (καθὸ καὶ ταύτην οὖσαν ψευδώνυμον φρόνησιν) ἀρκεῖ μόνον τὸ «*Ὁ δὲ ὄφις ἦν φρονιμώτατος*» (Γενέσ. γ, 1, ὅπου ὁ Θεοδώρητος, «*φρόνιμον* τὸν ὄφιν, ὡς *πανοῦργον* ὠνόμασεν ἡ Γραφή»)· καὶ αὐτὴ δὲ ἡ ἀντίστοιχος ἑβραϊκὴ φωνὴ (Ἄρμα) καὶ τὴν πανουργίαν, καὶ τὴν *φρόνησιν* δηλοῖ (ὡς Παροιμ. α, 4: η, 5). Ὁ δὲ θεῖος Παῦλος ἐξέφερε τὴν ῥῆσιν τῶν Ο κατὰ νόημα, σαφέστερον τὴν φρόνησιν διορίσας· ὡς καὶ τὸ *καταλαμβάνων* ἔτρεψεν εἰς τὸ φραστικώτερον *δρασσόμενος*, σύνηθες καὶ τοῦτο τοῖς Ο (Ψαλμ. β, 12. Λευϊτ. β, κτλ.). Ἢ μήπως καὶ τὸ ἑλληνικώτατον τοῦτο ῥῆμα ἔλαβεν ἐκ τοῦ ἑβραϊκοῦ;

§. μς. Α. Πέτρ. Δ. 8. «Ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρ-

(α) Τοῦτο καὶ Κεννικῶτος ἐσημείωσε (Dissert. general.).

τιῶν»· ἐκ τοῦ Παροιμ. Ι, 12. οὕτω καὶ τὸ ἑβρ. «Ἐπὶ πάσης παρανομίας καλύψει ἀγάπη». Οἱ δὲ Ο, «Πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύψει φιλία». Ἀλλ᾽ ἡ Ἀποστολικὴ ῥῆσις φαίνεται μέν πως παραπλησία πρὸς τὸ νῦν ἑβραϊκὸν (ὅπου ἄλλως οἱ Ο ἀνέγνων), ἐλήφθη δὲ ὅμως οὔτε ἐκ τῶν Ο, οὔτ᾽ ἐκ τοῦ ἑβραϊκοῦ. ἀλλ᾽ ἔστιν ἰδίως Ἀποστολικὸν θέσπισμα. Καὶ μαρτυρεῖ καὶ ἄλλος Ἀπόστολος, ὁ θεῖος Ἰάκωβος, ὡσαύτως θεσπιῳδήσας· «Ὅτι (ὁ ἐπιςρέψας ἁμαρτωλὸν) σώσει ψυχὴν ἐκ θανάτου, καὶ *καλύψει πλῆθος ἁμαρτιῶν*» (ε, 20). Φαίνεται δὲ τὸ πρᾶγμα καὶ ἐκ τῆς ἁπλῆς θεωρίας τῆς Σολομωντείου ῥήσεως, ἥτις οὐδὲν ἔχει κοινὸν πρὸς τὴν χριστιανικὴν ἀγάπην, καὶ τὴν δι᾽ αὐτῆς ὑπὸ Θεοῦ συγχώρησιν τῶν ἁμαρτιῶν (ἐφ᾽ ᾗ μάλιστα τέτακται τὸ Ἀποστολικὸν ῥητόν). Τὸ δὲ Σολομώντειον, ἠθικόν ἐστι παράγγελμα, λέγον· «Μῖσος ἐγείρει νεῖκος· πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας (ἄλλοι *ἀδικοῦντας)* καλύπτει φιλία».

§. μζ. Τελευταῖον, ὁ κλεινὸς Ὅδιος προςτίθησι καὶ ὡς ἐκ τοῦ Μ· Βασιλείου διαγνώμην, τὴν ἑξῆς· ὅτι ἄρα «ὁ *θεῖος Παῦλος εἴωθε γράφειν τὰς μαρτυρίας ἐκ τοῦ ἑβραϊκοῦ κειμένου*». Ἀλλ᾽ ὁ Μ. Βασίλειος οὐδὲν εἶπε τοιοῦτο περὶ τοῦ Παύλου, ὅτι *εἴωθεν*, ἢ εἰώθει, *εἰωθὼς ἦν* (solitum fuisse) χρῆσθαι τῷ ἑβραϊκῷ· μόνον δ᾽ ἐφ᾽ ἑνὸς χωρίου τοῦτο ποιῆσαι τὸν Ἀπόστολον ὑπενόησεν ἐξ εἰκασίας ὁ Πατήρ, ὡς φανήσεται εὐθύς. Γέγραπται, ἐν Ἡσαΐᾳ (Ι, 22)· «Καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται. Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει κύριος ἐν τῇ οἰκουμένῃ ὅλῃ». Ταύτην δὲ τὴν ῥῆσιν ἐξήνεγκεν ὁ Ἀπόστολος οὕτως· «Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει κύριος ἐπὶ τῆς γῆς» (Ῥωμ. θ, 27). Ὁ δὲ μέγας Βασίλειος (εἰς Ἡσαΐ. Ι, 23) «Ὀλίγας (φησὶ) λέξεις τούτου τοῦ ῥητοῦ μεταθεὶς ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ Ἀπόστολος, συνε-

χρήσατο. Ἐὰν δέ τις ἐπιζητῇ τὴν αἰτίαν, δι' ἣν τὰ μὲν παρῆκε, τὰ δὲ ἐνήλλαξεν ὁ Ἀπόστολος, ἐκεῖνο γινωσκέτω· ὅτι Ἑβραῖος ὤν, οὐκ ἐδούλευσε ταῖς ἐκδόσεσιν, αἷς ἡμεῖς συγκεχρήμεθα, ἀλλ' ἑρμηνεύσας τὸ ῥητὸν, *ὡς παρέστη*, οὕτως ἐκδέδωκε· καὶ γὰρ φαίνονται καὶ οἱ ἄλλοι μᾶλλον συνδραμόντες τῇ ἀποστολικῇ διηγήσει» (τουτ. ἐξηγήσει, ἑρμηνείᾳ).– «Συμφώνως δὲ αὐτῷ Σύμμαχος καὶ Θεοδοτίων ἔγραψαν, *ἐν μέσῳ πάσης τῆς γῆς*» (ἀντὶ τοῦ ἐν τῇ *οἰκουμένῃ ὅλῃ* τῶν Ο). Ταῦτα τοῦ Μ. Βασιλείου (τ. α. σελ. 1057) μικροῦ δεῖν ἐπὶ λέξεως ἀντέγραψε καὶ ὁ Προκόπιος (εἰς Ἡσαΐ. αὐτ.), λέγων· «Τὰ δὲ ῥήματα ταῦτα παρέθηκεν ἐν τῇ πρὸς Ῥωμαίους ὁ Παῦλος, ὀλίγην ἔχοντα τὴν παραλλαγήν. Οὐδὲ γὰρ, ὡς ἡμεῖς, ἠκολούθει τοῖς ἑρμηνεύσασιν. Ἑβραῖος δὲ ὑπάρχων, κατὰ τὸ δόξαν αὐτῷ τὴν ῥῆσιν ἡρμήνευσε· καὶ οἱ ἄλλοι δὲ μᾶλλον τῇ ἀποστολικῇ διηγήσει συνέδραμον».– «Ἀλλ' ἐγώ, φησιν Ὅδιος, οὐκ ἂν ἀμφιβάλοιμι, ὅτι ἐν τούτῳ τῷ κειμένῳ μετέγραψεν *ὀλίγα τινὰ* (nonnulla) καὶ ἐκ τῶν Ο ὁ Ἀπόστολος.– Ἀλλ' εἰ μὲν *ὀλίγα τινὰ*, ἢ πάντα, πλὴν ὀλίγων *τινῶν* (πέντε μόλις λέξεων) μετέγραψεν ὁ Ἀπόστολος ἀκριβῶς κατὰ τοὺς Ο, τοῦτο πάρεστιν ἑκάστῳ κατιδεῖν καὶ παροδικῶς, ἐν μιᾷ βολῇ ὀφθαλμοῦ (α). Ὁ δὲ σοφὸς Ὅδιος ὤφειλε παραβαλεῖν καὶ τὸ ἑβραϊκὸν, ἵνα σαφέστερον ἡμῖν ἀπεδείκνυε, πόθεν ἔλαβεν ὁ Ἀπόστολος τὰ *πολλὰ* τῆς ῥήσεως, (εἴγε, κατ' αὐτὸν, *τινὰ* μόνον ἔλαβεν ἐκ τῶν Ο). Ἐπειδὴ δ' αὐτὸς παρέλιπε τὸ κείμενον τὸ ἑβρ., ἡμεῖς τοῦτο παραβαλοῦμεν, Ὁδίου χάριν. Λέγει τοίνυν ὁ Ἑβραῖος· «Ὅτι ἐὰν γένηται ὁ λαός Σου Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατά-

---

(α) Δύω μόνας λέξεις μετέβαλε, τὸ «γένηται» εἰς τὸ ᾖ, καὶ τὸ ὁ λαὸς (Ἰσραὴλ) καὶ τὸ υἱῶν (Ἰσραὴλ)· μίαν δὲ προσέθηκε, τὸ ἀριθμός· δύω δὲ παρέλιπε τὸ αὐτῶν μετὰ τὸ κατάλειμμα, καὶ τὸ ἐν ὅλῃ. Τὸ δὲ ἐπὶ τῆς γῆς, ἀντὶ τοῦ οἰκουμένης, ἐλήφθη ἐξ ἄλλου παραλλήλου χωρίου τοῦ Ἡσαΐου (κατὰ τοὺς Ο) τοῦ ἑξῆς. «Διότι συντετελεσμένα καὶ συντετμημένα πράγματα ἤκουσα παρὰ τοῦ κυρίου Σαβαὼθ, ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν». Ἡσαΐ. κη, 22.

λειμμα ἐπιςρέψει ἐξ αὐτοῦ. Συντέλεια συντέτμηται πλημμυροῦσα (inundans) δικαιοσύνην· συντέλειαν καὶ συντομίαν ποιήσει κύριος, κύριος τῶν δυνάμεων (Ἀδωναῒ, Ἰεχοβὰ Σαβαὼθ) ἐν μέσῳ πάσης τῆς γῆς (Ἱερώνυμος ἐν τῇ Βουλγάτᾳ· οὕτω καὶ Μοντάνης· ἄλλας πάντῃ διαφερούσας ἔν τισι τόποις ἑρμηνείας τῶν νεωτέρων παραλείπομεν). Ἐν δὲ τούτοις τὸ ἑβραϊκὸν κατὰ μὲν τὴν πρώτην περίοδον συμφωνεῖ τοῖς Ο, πλὴν δύω φωνῶν, τοῦ *Σοῦ*, λείποντος ἐκ τῶν Ο καὶ τοῦ Ἀποστόλου, καὶ τοῦ *ἐπιστρέψει* ἀντὶ τοῦ *σωθήσεται* (ὡς οἱ Ο, καὶ ὁ Ἀπόστολος). Τὰ δ᾽ ἀπὸ τοῦ *συντέλεια* μέχρι τέλους πλεῖστον ὅσον διαφέρουσιν ἐν τῷ ἑβρ. πόθεν οὖν ἔλαβε ταῦτα ὁ Ἀπόστολος, εἰ μή γε παρὰ τῶν ἀκριβῶς αὐτῷ συμφωνούντων Ο; Ὅδιος εἰπάτω. Καὶ αὐτὸ δὲ τὸ ἀριθμὸς *υἱῶν Ἰσραὴλ* (ὅπερ ἐν τούτῳ τῷ χωρίῳ οὔτε παρὰ τῷ ἑβραίῳ οὔτε παρὰ τοῖς Ο κεῖται) οὐκ ἀφ᾽ ἑαυτοῦ προσέθηκεν ὁ Ἀπόστολος, ἀλλ᾽ ἐκ τοῦ Ὡσηὲ, μετὰ τῆς αὐτῆς παρομοιώσεως γεγραμμένον. «Καὶ ἦν ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης» (Ὡσ.α,10). Ὅτι δ᾽ ἀπὸ τούτου τοῦ προφήτου τὰς λέξεις ἐξήνεγκε, δείκνυται τρανῶς καὶ ἐκ τοῦ ὅτι πρὸ τῆς ἀνωτέρω ῥήσεως τοῦ Ἡσαΐου, προτίθησιν ἀμέσως ἄλλην ῥῆσιν τοῦ Ὡσηὲ (ἐκ τοῦ κεφ. β, 23). Καὶ ταῦτα μὲν πρὸς Ὅδιον. Ὁ δὲ Μ. Βασίλειος οὔτε κατὰ συνέχειαν εἰωθότα χρῆσθαι τῷ ἑβραϊκῷ τὸν Ἀπόστολον εἶπεν (ὡς ἀνωτέρω προσεσημείωται), καὶ ἐν ᾧ ἀπένειμεν ἐξ εἰκασίας εἰς αὐτὸν τὸν Ἀπόστολον τὴν *ὀλίγων λέξεων* μετάθεσιν καὶ ἐναλλαγὴν, (ὑποπτεύσας, μήτι οὕτως ἔχει τὸ ῥητὸν καὶ ἐν τῷ ἑβραϊκῷ), πᾶν τὸ ὑπόλοιπον, τὸ καὶ πλεῖστον μέρος τῆς ῥήσεως τοῦ Ἡσαΐου ἐκ τῶν Ο λαβεῖν τὸν Παῦλον ἐφρόνει σαφῶς· καὶ αὐτὸς ἐκ τῆς ἑρμηνείας τῶν Ο ἐξήγησε καὶ τοῦτο καὶ τ᾽ ἄλλα τὰ κεφάλαια τοῦ Ἡσαΐου.

§. μη. Ταύτας καὶ τοσαύτας (*εἰκοσιδύω* τὰς πάσας μετὰ τῶν Ἱερωνύμου) φέρουσιν οἱ κριτικοὶ τὰς ἀποδείξεις, ὅτι οἱ Ἀπόστολοι ἐχρῶντο πολλάκις τῷ ἑβραϊκῷ, παραλείποντες τοὺς Ο. Ὅτι δὲ οὔτε τοῦ Ἱερωνύμου, οὔτε τῶν νεωτέρων ἡ περὶ τούτου ἀξίωσις

δικαιοῦται, δέδεικται ἐκ τῆς κατὰ μέρος αὐτῶν τῶν ῥήσεων ἐξετάσεως. Προστιθέμεθα καὶ τὰς ἑξῆς γενικωτέρας παρατηρήσεις.

Α) Ὅσα φέρουσιν ἐκ τῆς Καινῆς Διαθήκης παραδείγματα προφητικῶν ῥητῶν, ἅπαντα παράγουσιν ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, καὶ μόνον ἐκ τριῶν μάλιστα τοῦ Παύλου ἐπιστολῶν. Ἀλλ᾽ ὅτι καὶ Ματθαῖος καὶ Παῦλος ἐχρήσαντο πανταχοῦ τοῖς Ο, (καὶ ὅπου μετά τινων παραλλαγῶν τὰς ῥήσεις ἐξέφερον), πρόδηλον ἔκ τε τῶν εἰρημένων καὶ τῶν ῥηθησομένων. Εἰ δὲ καὶ ἠλήθευον ἐν τούτοις οἱ κριτικοί, οὐδὲν ἂν ἐγένετο ξένον, εἴπερ ὁ Ματθαῖος, ἑβραϊστὶ τὸ πρῶτον συγγράψας τὸ Εὐαγγέλιον, ἐξήγαγε τὰς σημειωθείσας ὀλίγας μαρτυρίας ἐκ τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ, διαφέροντος κατά τινας ἀναγνώσεις, αἵτινες ὅμως, εἰ μὴ καὶ κατὰ λέξιν, ἀλλὰ κατὰ τὴν ἔννοιαν συνεφώνουν μετὰ τῆς ἑρμηνείας τῶν Ο. (α). Τοῦτ᾽ αὐτὸ λέγομεν καὶ περὶ τῆς ἑβραϊστὶ τὸ πρῶτον γραφείσης πρὸς Ἑβραίους ἐπιστολῆς (βλ. ὄπισθ. σελ. 99), περὶ ἧς ὅμως καὶ αὐτὸς ὁ Ἱερώνυμος ἠπόρει ἀνωτέρω (σελ. 280), πῶς ὁ Παῦλος, Ἑβραῖος πρὸς Ἑβραίους ἐπιςέλλων, οὐκ ἐχρῆτο τῇ ἑβραϊκῇ,

(α) Ἑβραϊστὶ τὸ πρῶτον συγγράψαι τὸ Εὐαγγέλιον τὸν θεῖον Ματθαῖον οἱ πλεῖστοι τῶν ἀρχαίων Πατέρων παρέδωκαν, οἷον Παπίας (παρ᾽ Εὐσεβίῳ), Εἰρηναῖος, Ὠριγένης, Εὐσέβιος αὐτὸς, Γρηγόριος ὁ Θεολόγος, Ἱερώνυμος, καὶ ἄλλοι. Μεθηρμήνευσε δὲ το Εὐαγγέλιον ἑλληνιστὶ Ἰάκωβος ὁ Ἀδελφόθεος, ἢ Βαρθολομαῖος, ἢ ἄλλος τῶν Ἀποστόλων. Τῶν δὲ νεωτέρων οἱ πλεῖστοι ἑλληνιστὶ καὶ τὸν Ματθαῖον συγγράψαι διὰ πολλῶν τεκμηρίων ἀποδεῖξαι σπουδάζουσι (τὸ δὲ μνημονευόμενον παρ᾽ Ἱερωνύμῳ καὶ Ἐπιφανίῳ κατὰ Ματθαῖον ἑβραϊκὸν, ὅπερ εἶχον οἱ Ἐβιωνῖται καὶ οἱ Ναζαρηνοὶ, ὅτι οὐκ ἔστι τοῦ Ματθαίου, ἀλλ᾽ ἑρμηνεία τις ἐκ τοῦ ἑλληνικοῦ, καὶ αὕτη ἐν πολλοῖς νενοθευμένη, καὶ τοῦ ἱεροῦ κειμένου διαφέρουσα, παρὰ σοφῶν ἀνδρῶν ἀποδέδεικται· συνέγραψαν δὲ περὶ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου πλῆθος τῶν νεωτέρων πολὺ, ἐξ ὧν ὀλίγοι τινές εἰσιν οἱ μὴ προτιμήσαντες τῆς ἱερᾶς ἀληθείας τὴν ματαιότητα τῆς κατ᾽ αὐτοὺς κριτικῆς. Ἴδε τὸν πολλὰ σαπρὰ χρηστοῖς συναναφύραντα Κλένηρον (**Recenciores de authentia Evangel. Matthæi Quaestiones etc. Commentatio critica. Scriptit R. E. Klener. Gotting. 1832**). Ὅστις οὕτως ὑψηλὰ ἐφρόνησε περὶ τῆς ἑαυτοῦ συγγραφῆς, ὥστε παρέστησεν αὐτὴν ὡς πάλαι λανθανούσης ἀληθείας χαριτοδῶτιν εὑρέτιν, ἐπιγράψας τὰ ἔπη τοῦ Σοφοκλέους· «Ἅπανθ᾽ ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ᾽ ἄδηλα»!

ἀλλὰ τῇ τῶν Ο, Γραφῇ. πολλῷ δὲ μᾶλλον ἐχρήσατο ταύτῃ, γράφων τὰς ἐπιστολὰς ἑλληνιςὶ πρὸς Ἕλληνας, Ἐφεσίους, καὶ Κορινθίους, καὶ τοὺς ἄλλους, καὶ τοὺς ἑλληνίζοντας Ῥωμαίους.

Β) Ἐν αὐτῷ τῷ Εὐαγγελιςῇ Ματθαίῳ κἀν αὐταῖς ταῖς τρισὶ τοῦ Παύλου ἐπιστολαῖς, πλὴν τῶν παρασεσημειωμένων ὀλίγων διαφορῶν, πᾶσαι αἱ λοιπαὶ πολυάριθμοι ῥήσεις, καὶ αὐτῶν τῶν φιλεβραίων κριτικῶν συνομολογούντων, ἐξήχθησαν προφανῶς ἐκ τῆς ἑρμηνείας τῶν Ο, δηλώσουσι δὲ καὶ τὰ ἐφεξῆς.

Γ) Παρ᾽ ἅπασι τοῖς ἄλλοις τρισὶν Εὐαγγελισταῖς, κἀν ταῖς λοιπαῖς τοῦ θείου Παύλου, καὶ ταῖς τῶν ἄλλων Ἀποστόλων καθολικαῖς ἐπιστολαῖς, καὶ ἐν τῇ Ἀποκαλύψει, οὐδεμία εὑρίσκεται ῥῆσις ἀνήκουσα ἰδίως καὶ ἐξαιρέτως εἰς τὸ ἑβραϊκὸν, ἀλλ᾽ ἅπασαι αἱ πολυπληθεῖς μαρτυρίαι μετεγράφησαν ὑπὸ τῶν Ἀποστόλων ἐκ τῆς ἑρμηνείας τῶν Ο, κατὰ πόδα καὶ κατὰ λέξιν, παρεκτός τινων κατὰ διάνοιαν, ἢ κατ᾽ ἐναλλαγὴν καὶ ἐπιτομώτερον γεγραμμένων· πλὴν ἀλλὰ καὶ αὗται κατὰ μέρη τεκμηριοῦσιν, ὅτι ἐλήφθησαν ἐκ τῶν Ο· ὀψόμεθα δὲ καὶ ταῦτα μετὰ μικρόν (α).

Δ) Πρὸς ταύτας τὰς παρὰ τοῖς Ἀποστόλοις ἐκ τοῦ κειμένου τῶν Ο κατὰ λέξιν γεγραμμένας προφητικὰς μαρτυρίας συμφωνοῦσι πολλάκις καὶ τὰ ἀντίστοιχα χωρία τοῦ ἑβρ. κειμένου. Ἄλλοτε δὲ πάλιν διαφωνοῦσι, καὶ μάλιστα κατὰ τὸ Μασσοραῖον κείμενον, ὡς δείξουσι τὰ ἐπιφερόμενα παραδείγματα.

Ε) Τελευταῖον· καὶ περὶ τοῦ ἀριθμοῦ τῶν μνημονευθέντων χωρίων τῆς Παλαιᾶς, ὡς ἂν ἐκ τοῦ ἑβραϊκοῦ πάντως, ἀλλ᾽ οὐ κατὰ τοὺς Ο γεγραμμένων ἐν τῇ Καινῇ Διαθήκῃ, σφόδρα πρὸς ἀλλήλους οἱ νεώτεροι διαφωνοῦσι. Καὶ οἱ μὲν, ὡς οἱ περὶ τὸν Ὄδιον, ἀναβιβάζουσιν αὐτὰ, τὸ ἀκρότατον, εἰς ὃν προεξετέθησαν ἀριθμόν (μη

(α) Εἰσὶ δὲ καὶ τρία, ἢ τέσσαρα παρὰ τοῖς θείοις Ἀποστόλοις προφητικὰ ῥητὰ, μήτε παρὰ τοῖς Ο, μήτ᾽ ἐν τῷ ἑβραϊκῷ κείμενα, ἀλλ᾽ ἔκ τινων ἀρχαίων παρ᾽ Ἰουδαίοις βιβλίων, ἢ καὶ κατὰ παράδοσιν, ὡς ἀληθῆ καὶ βέβαια κεκριμένα ὑπὸ τοῦ θείου Πνεύματος. βλ. ὄπισθ. σελ. 262, καὶ ἐν τοῖς ἑξῆς.

δυνάμενοι περαιτέρω χωρῆσαι). Οἱ δὲ μετριώτεροι μόνας ἕνδεκα τὰς ἐκ τοῦ ἑβραϊκοῦ παρὰ τοῖς Ἀποστόλοις ῥήσεις ἀριθμοῦσι (α). Καὶ αὐτὸς ὁ Καρψόβιος τέσσαρα μόνα διαῤῥήδην ἐσημείωσε χωρία, ἐν οἷς δῆθεν οἱ Ἀπόστολοι παρηκολούθησαν τῷ ἑβραϊκῷ, καταλιπόντες τοὺς Ο· α) τὸ Ματθ. β, 15 (*ἐξ Αἰγύπτου ἐκάλεσα*, κτλ.). β) τὸ Ματθ. η, 17 (*Αὐτὸς τὰς ἀσθενείας* κτλ). γ) τὸ Ἰωάνν. ιθ, 37 (*Ὄψονται*, κτλ.). δ) τὸ Ῥωμ. θ, 17 («*Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε*» κτλ.) (β)· ἀλλὰ καὶ περὶ τούτων εἴπομεν ἐν τοῖς προλαβοῦσι (σελ. 261, 268, 282, 283). Οἱ δὲ περὶ τὸν Εἰχόρνιον ὁμολογοῦσι μὲν τοὺς Ἀποσόλους ἐν γένει τοῖς Ο χρησαμένους, εὕρηκαν δὲ ὅμως παρὰ τῷ θείῳ Ματθαίῳ καί τινας μαρτυρίας ἀκράτως ἐκ τοῦ ἑβραϊκοῦ κειμένου ληφθείσας (γ). Ἀλλὰ καὶ ταύτας ἀκριβέστερον ἐξετασθείσας, εὗρον ἄλλοι τε, καὶ οἱ περὶ τὸν Παῦλον, ἐκ τῶν Ο ἐλευθερώτερον ἐξενηνεγμένας, τηρουμένης τῆς περὶ τὸ νόημα γνησίας ἀκριβείας καὶ κυριότητος (δ). Καὶ τοιαῦται μὲν αἱ τῶν κριτικῶν περὶ τοῦ προκειμένου ζητήματος ἀσύστατοι γνῶμαι. Φαίνεται δὲ καὶ ἄλλως πρᾶγμα παντελῶς ἀπίθανον, εἴ τις λέγοι, ὅτι ἐν τῷ αὐτῷ συγγράμματι ὁ αὐτὸς Ἀπόστολος *ἑλληνιστὶ συγγράφων*, τὸ μὲν πλεῖστον ἐχρῆτο τοῖς Ο, ἔστι δ' ὅτε μετέφερε ῥήσεις καὶ ἐκ τοῦ ἑβραϊκοῦ, καταλιμπάνων δίχως ἀνάγκης τοὺς μηδὲν πρὸς τὸ μνημονευόμενον ῥητὸν ἀντιλέγοντας Ο, καὶ ταῦτα, μόλις καταπαύσας

(α) Βλ. Horne, An Introduction etc. vol. 2. part. 1. p. 332. Αὗται δὲ εἰσὶν ἐκ τῶν ἔμπροσθεν προηριθμημένων καὶ διεξητασμένων αἱ ἑξῆς. Ματθ. β, 15: β, 18: η, 17: κα, 5: Ῥωμ. ι, 15: ια, 4: Α. Κορινθ. 19: ιε, 54: Α. Πέτρ. δ, 8. Σὺν τούτοις τοῖς ῥητοῖς ἀριθμοῦνται καὶ ἄλλα δύω, 1) τὸ Α. Πέτρ. α, 16: «Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι», ἐκ τοῦ Λευϊτ· ια, 44, ὅπου τὸ μὲν ἑβρ. «καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιος ἐγώ». οἱ δὲ Ο, «Καὶ ἅγιοι ἔσεσθε, ὅτι ἅγιός εἰμι ἐγὼ Κύριος ὁ Θεὸς ἡμῶν. Ὅπερ ἐμφανῶς καὶ ὁ θεῖος Πέτρος ἔγραψε συντομώτερον, παραλιπὼν τὸ Κύριος ὁ Θεὸς κτλ. καὶ 2) τὸ Θεέ μου, Θεέ μου κτλ. (Ματθ. κζ, 46), περὶ οὗ προείπομεν (Βιβλ. Γ. σελ. 615).

(β) Carpzov. Critic. Sac. p. 528.

(γ) Eichhorn, Einleit. ins N. T. I. p. 464. sqq.

(δ) Βλ. Pauli, Theol. exeg. Conserv. I. p. 35. sqq. Heidelb. 1822.

ἄλλο προηγούμενον ῥητὸν, ὅπερ ἀναντιῤῥήτως ἔλαβεν ἐξ αὐτῶν. Οὕτως ἐν τῷ ἐσχάτῳ τῶν προεκτεθέντων παραδειγμάτων (Ῥωμ. θ, 26) ὁ θεῖος Παῦλος, γράψας ἐν τῷ προηγουμένῳ στίχῳ τὴν ῥῆσιν τοῦ Ὠσηὲ, προφανῶς καὶ ὁμολογουμένως ἐκ τῶν Ο ληφθεῖσαν, εὐθὺς (στίχ. 27) ὑποσυνάπτει καὶ τὴν Ἡσαΐου ῥῆσιν *(«Ἡσαΐας δὲ κράζει» κτλ.)*, ἣν θέλουσι γραφεῖσαν οὐκ ἐκ τῶν Ο, ἀλλ' ἐκ τοῦ ἑβραϊκοῦ. Ταῦτα πῶς οὐ παράδοξα; Μετὰ πολλοῦ τοῦ στόμφου διετείνετο ὁ μακάριος Ἱερώνυμος, ὅτι «Ἐν τοῖς ἑβραϊκοῖς ἀπογράφοις ἀνέγνω πολλὰ (τῶν παρὰ τοῖς Ἀποστόλοις μνημονευομένων ῥητῶν), μὴ κείμενα ἐν τοῖς καθ' ἡμᾶς (τῶν Ο) ἀντιγράφοις· «οἷον (λέγει) τὸ «*Ἐξ Αἰγύπτου ἐκάλεσα*» κτλ. καὶ τὸ «*Ὅτι Ναζωραῖος κληθήσεται*», καὶ τὸ *Ὄψονται εἰς ὅν* κτλ. καὶ τὸ «*Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι*», καὶ τὸ «*Ἃ ὀφθαλμὸς οὐκ εἶδε*» κτλ. Καὶ *ἄλλα* (προστίθησι) *πολλὰ*, ἰδίου χρῄζοντα *συντάγματος (!)*. Ἐρωτήσωμεν οὖν (λέγει) αὐτοὺς (τοὺς τῶν Ο προμάχους) ποῦ ταῦτα γέγραπται; Κἂν μηδὲν ἔχωσιν εἰπεῖν, ἐξαγάγωμεν τὰς ῥήσεις ἐκ τῶν βίβλων τῶν ἑβραϊκῶν» (α). Τοιαῦτα ὁ τρισόλβιος Πατὴρ, μάτην ἐπεμβαίνων τοῖς Ο, καὶ ποιῶν σκιὰν χωρὶς φωτός! *Πολλὰ* λέγει (ἀορίστως), καὶ ἰδίου χρῄζοντα συντάγματος, τὰ μὴ κείμενα παρὰ τοῖς Ο παρὰ μόνῳ δὲ τῷ ἑβραϊκῷ, καὶ *πέντε* ταῦτα μόνον ὀνομάζει καὶ σημειοῖ. Ὅτι δὲ καὶ ταῦτα τηνάλλως ἔγραψεν, εἴδομεν ἐν τοῖς προλαβοῦσι (σελ. 261–277), ἀπήντησε δὲ καὶ Μορῖνος ὑπὲρ τὸ δέον, ἴσως, ἀγανακτῶν (β).

§. μθ. Πλὴν ἀλλὰ καὶ εἴπερ ἦν τῷ ὄντι βέβαιον καὶ ἀληθὲς, ὅτι καὶ τὰς τέσσαρας, ἢ τὰς ἕνδεκα, ἢ καὶ πάσας (ἐὰν θέλωσι) τὰς προηριθμημένας ῥήσεις ἔλαβον οἱ Ἀπόστολοι ἐκ τοῦ ἑβραϊκοῦ, πρῶτον μὲν, οὐδὲν ἂν ἐκ τούτου παρεβλάπτετο τὸ θεῖον τῶν Ο κῦρος, οἵτινες, εἰ καὶ μὴ κατὰ λέξιν, ἀλλ' ὅμως κατὰ διάνοιαν συμφωνοῦσιν ἐν τούτοις, οὐδὲ λέγουσι τἀναντία τοῖς Ἀποστόλοις.

(α) S. Hieronym. Praef. in Pentat, τοιαῦτα καὶ Prol. in Josuam, in Paralipom. in Esdram, in Esai. c. 6, in Prooem. Quaest. in Genes. etc.

(β) Morin. Exercit. L. 3, c. 4. καὶ 5.

Ἔπειτα, πόστον τοῦτο μέρος, ὡς πρὸς τὸ πλῆθος τῶν ἄλλων μαρτυριῶν, ὅσας οἱ Ἀπόστολοι ἔγραψαν κατὰ τοὺς Ο; Βίᾳ καὶ μόλις 22 παραδείγματα, καὶ ταῦτα παρατεταμένως ἐμνημόνευσεν Ὅδιος (σελ. 244—258). Ἄλλα δέ τινα ψέξαι μὴ δυνάμενος, πειρᾶται καὶ μόνον γοῦν κατὰ τὸ νόημα διαλλάττειν πρὸς τὸ ἑβραϊκὸν, τῷ πολυμαθεῖ Ποκοκκίῳ πιςῶς παρακολουθῶν (σελ. 261-276) (α). Ἀλλ' ὥρα καὶ ἡμῖν ἤδη παραθέσθαι τὰ παρὰ τοῖς Ἀποστόλοις ἐκ τῶν Ο χωρία τῆς Γραφῆς, ἀφ' οὗ πρῶτον ἐξετάσωμεν, πῶς αὐτοὶ οἱ Χριστοκήρυκες ἐθεώρουν καθόλου τὴν ἑρμηνείαν τῶν Ο.

ΤΜΗΜΑ Β.

Μαρτυρίαι τῶν θείων Εὐαγγελιστῶν καὶ Ἀποστόλων.

ΜΕΡΟΣ Β.

§. ν. Εἶπον, καὶ πολλάκις ἐπανέλαβον οἱ παῖδες τῶν κριτικῶν, ὅτι οἱ Ἀπόστολοι συνεχρήσαντο τοῖς Ο, διότι αὕτη μία καὶ μόνη τότε ὑπῆρχεν ἑρμηνεία τῶν ἑβραϊκῶν Γραφῶν, ἥ περ ἐχρῶντο διὰ χρόνων μακρῶν πάντες οἱ ἑλληνίζοντες Ἰουδαῖοι (βλ. ὄπισθ. σελ. 256). Συνομολογοῦμεν τοῖς σοφοῖς. Οὐδ' ἔμελλε πάντως καὶ ἄλλη τις εἶναι κατ' ἐκείνους τοὺς χρόνους, εἰ μὴ μόνη ἡ ἑλληνικὴ προφητεία, ἣν προώρισεν ἡ θεία βουλὴ πρόδρομον καὶ σύστοιχον καὶ συνέμπορον τοῦ Εὐαγγελίου. Καὶ ὅτι μὲν τὴν ἑρμηνείαν ταύτην ἡ πρὸ Χριστοῦ Σωτῆρος ἰσραηλῖτις Συναγωγὴ ἐσέβετο ὡς θείαν καὶ ἰσότιμον τῷ ἑβραϊκῷ πρωτοτύπῳ, εἴδομεν ἐν τοῖς προλαβοῦσι (σελ. 91-92). Ἐξετάσωμεν δὲ ἤδη, καὶ ὁποίαν αὐτὴν ἐφρόνουν οἱ

(α) Οὕτω μνημονεύει, φέρ' εἰπεῖν, τὸ Πράξ. ζ, 47, Ῥεμφὰν, ἐκ τοῦ Ἀμὼς ε, 26 (κατὰ τοὺς Ο), ὅπου τὸ νῦν ἑβρ. ἔχει Κιοὺν. Ἀλλὰ (λέγει) καὶ τὸ Κιοὺν ταὐτόν ἐστι τῷ Ῥεμφάν· ἑκάτερον γὰρ σημαίνει τὸν αὐτὸν θεὸν, τὸν Κρόνον (σελ. 261. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 235). Σοφά γε ταῦτα, καὶ ἡμεῖς πιστεύομεν. Ἀλλ' ἓν πρὸς τούτοις ὤφειλον (νομίζομεν) ὅ,τε Ποκόκκιος καὶ Ὅδιος ἐπιλύσασθαι, ἵνα τελεία καὶ ἀναντίῤῥητος ἦν ἡ τῶν κειμένων διαλλαγή. Ἐπειδὴ τῶν Ο τὸ Ῥεμφὰν ἐκύρωσαν οἱ Ἀπόστολοι, ὡς γνησίαν ἀνάγνωσιν τοῦ ἑβρ. κειμένου τοῦ Ἀμὼς, τίς ἄρά γε, καὶ πότε, καὶ πῶς ἔγραψεν ἐν τούτῳ τὸ Κιοὺν, ὡς ἔχει τὸ νῦν ἑβραϊκόν;- Ἐπειδὴ δ' ἔγραψε φωνὴν, ἣν ἠγνόουν οἱ Ἀπόστολοι, μῶν οὐκ ἔφθειρεν ἐν τούτῳ τὸ κείμενον τὸ προφητικόν;

ταύτῃ χρησάμενοι ἐν ταῖς θεοπνεύστοις αὐτῶν δέλτοις Εὐαγγελισταὶ καὶ Ἀποστόλοι τοῦ Κυρίου.

§. να. Α) Πρῶτον τοίνυν ἕπεται πάντως, κατ᾽ ἀκολουθίαν ἀναντίῤῥητον, ὅτι καὶ αὐτοὶ οἱ θεῖοι Ἀπόςολοι, ὡς Ἑβραῖοι ἐξ Ἑβραίων, καὶ τῆς ἑλληνίδος γλώσσης ἐγκρατεῖς, ἀνεγίνωσκον τὴν ἑρμηνείαν τῶν Ο ὡς κυρίαν καὶ θεόπνευστον, οἵαν καὶ οἱ πατέρες αὐτῶν ἐπρέσβευον, καὶ οἱ σύγχρονοι ὁμογενεῖς, καὶ πᾶσα καθόλου ἡ Συναγωγὴ τῶν τε κατὰ τὴν Ἰουδαίαν ἑβραϊστῶν, καὶ τῶν ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις καὶ ἀλλαχοῦ τῆς Παλαιστίνης, κἀν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Ἀσίᾳ, καὶ Εὐρώπῃ, τῇ τῶν Ο ἑρμηνείᾳ χρωμένων ἑλληνιστῶν. Τοῦτο δὲ τὸ φρόνημα καὶ ἰδίως ἐξέφρασαν οἱ Ἀπόστολοι ἐν ταῖς ἁγιογράφοις αὐτῶν συγγραφαῖς.

Β) Ὁ θεῖος Πέτρος γράφων ἑλληνιστὶ τὴν Β, Καθολικὴν ἐπιστολὴν πρὸς τοὺς ἐν τῇ διασπορᾷ κατοικοῦντας Ἰουδαίους ἑλληνιστὰς, τοὺς εἰς Χριστὸν πεπιστευκότας, καὶ πιστοποιῶν τὸ θεόπνευστον καὶ βέβαιον τοῦ λόγου τοῦ προφητικοῦ, ἀποφθέγγεται. «Ὧ (λόγῳ) καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ·- τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία Γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται· οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία· ἀλλ᾽ ὑπὸ Πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι» (Β. α, 19—20). Τοῦτον δὲ τὸν *λόγον* τὸν γραπτὸν, ἤτοι τὴν *θείαν Γραφὴν* τῶν Προφητῶν, ἀνεγίνωσκον οἱ Ἑλληνισταὶ κατὰ τὴν μίαν καὶ μόνην ὑπάρχουσαν τότε ἑρμηνείαν τῶν Ο. Ὥστε οὔτ᾽ ἐκεῖνοι, οὔτ᾽ αὐτὸς ὁ Ἀπόστολος ἐθεώρει διαφορὰν μεταξὺ τῆς ἑρμηνείας, καὶ τῆς πρωτοτύπου τῆς ἑβραΐδος, ἀλλ᾽ ἀμφοτέρας ὡς μίαν ἀποδείκνυσι φωτοπάροχον Γραφὴν, θεόπνευστον τό,τε νόημα καὶ τὴν φράσιν, λαληθεῖσαν καὶ γραφεῖσαν ὑπὸ τῶν πνευματεμφόρων Προφητῶν. Πάλιν ὁ Πέτρος (Β. γ, 16) γράφων, ὅτι *τὰ ἐν ταῖς ἐπιστολαῖς τοῦ Παύλου* «*δυσνόητά τινα οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν*», ἐπιφέρει· «*ὡς καὶ τὰς λοιπὰς Γραφάς*». Ὥστε μετὰ τῶν κατά τε λέξιν καὶ διάνοιαν

θεοπνεύστων τοῦ Παύλου ἐπιστολῶν συναριθμεῖ καὶ τὰς *λοιπὰς* τὰς προφητικὰς *Γραφὰς*, ἃς οἱ πρὸς οὓς ἔγραφεν ἀνεγίνωσκον, ὡς προείπομεν, ἐκ τῆς ἑρμηνείας τῶν Ο.

Γ) Ὁ θεῖος Παῦλος «*Ἑβραῖος ἐξ Ἑβραίων, φυλῆς Βενιαμὶν*»· τὴν δὲ πατρίδα Ταρσεύς, ἐπιστήμων ἐπίσης καὶ τῆς ἑβραΐδος καὶ τῆς ἑλληνικῆς γλώσσης, γράφων ἑλληνιστὶ πρὸς τὸν ἐκ πατρὸς Ἕλληνα τὸ γένος καὶ τὴν φωνὴν ἑλληνίζοντα Τιμόθεον, τὸν πιςὸν αὐτοῦ μαθητήν, «*Ἀπὸ βρέφους* (λέγει) *τὰ ἱερὰ γράμματα οἶδας*», δηλονότι *τὰς θείας Γραφάς*. Ὁ δὲ Τιμόθεος ἑλληνιστὶ ταύτας ἀναγινώσκων, καὶ «*σοφιζόμενος εἰς σωτηρίαν*» ἐφρόνει λόγια Θεοῦ, δἰ ἐπιπνοίας Θεοῦ *γεγραμμένα* καθ' ἣν ἀνεγίνωσκεν ἑρμηνείαν. Ὡς ἐπίστευεν αὐτὰ καὶ ἡ ἐξ ἑβραίων Λωΐς, ἡ μάμμη αὐτοῦ, καὶ ἡ μήτηρ Εὐνίκη, ἐν αἷς *ἐνῴκησε πρῶτον ἡ πίστις* ἡ εἰς Χριστὸν (Β. Τιμ. α, 5. γ, 15. Πράξ. ις. 1, 3). Πάλιν, «*Πᾶσα· Γραφὴ θεόπνευστος*» ἔγραψεν ὁ Παῦλος πρὸς Τιμόθεον (Β, γ, 16), θεόπνευστος μὲν κατὰ διάνοιαν, καθ' οἱανδήποτ' ἂν φθέγγηται γλῶσσαν, (ἀκριβῶς καὶ πιςῶς μεθηρμηνευμένη), θεόπνευστος δὲ καὶ κατὰ λέξιν (ἐν ἐκείνῃ δηλαδὴ τῇ γλώσσῃ, καθ' ἣν πρωτοτύπως συνέγραψαν οἱ πνευματέμφοροι Προφῆται καὶ Ἀπόστολοι). Ἀλλ' ὁ θεῖος Παῦλος οὐδόλως διέκρινε τὴν ἑβραϊκὴν ἀπὸ τῆς τῶν Ο γραφῆς, ἐν ᾗ ὁ Τιμόθεος ἀπὸ βρέφους ἐτράφη καὶ ἐπαιδεύθη· ἀλλ' ἀμφοτέρας συνῆψεν εἰς μίαν, θεόπνευστον ἀνακηρύξας, καὶ κατὰ νόημα δηλονότι καὶ κατὰ γράμμα, «ὡς δἰ ἐπιπνοίας τοῦ Πνεύματος *συγγραφεῖσαν*» (καθὼς ἡ ἀδελφὴ ξυνωρὶς τῶν δύω μεγάλων φωστήρων τῆς Ἐκκλησίας ἡρμήνευσε τὸ *θεόπνευστος*) (α). Καὶ *ῥῆμα Θεοῦ* τὰς θείας Γραφὰς ὁ θεῖος ὠνόμασε Παῦλος, γράφων πρὸς Ἐφεσίους (ϛ, 17), καθ' ἣν οἱ ἐν Ἐφέσῳ πιστοί, Ἕλληνες τὸ γένος, ἀνεγίνωσκον ἑρμηνείαν τῶν Ο· οὕτως εἶπε ταύτας καὶ *λόγον Θεοῦ ζῶντα*, καὶ *βέβαιον* τὸν *δἰ ἀγγέλων λαληθέντα λόγον* (τὸν Μωσαϊκὸν νόμον), γράφων πρὸς τοὺς Ἑβραίους (β, 2: δ, 12). Ὅτι δὲ καὶ λόγους *πνευ-*

(α) Μ. Βασίλ. τόμ. β. σελ. 196, καὶ Γρηγόρ. ὁ Νύσσ. τόμ. β. σελ. 59.

ματικοὺς, ὡς θεοπνεύστους τῆς εἰς Χριστὸν πίστεως ἀποδείξεις, ἐδογμάτισεν ὁ Παῦλος τὰς προφητικὰς τῶν Ο γραφὰς, προείπομεν (σελ. 83).

Δ) Ἐν τῇ πνευματεμφόρῳ συνόδῳ τῶν Ἀποστόλων Ἰάκωβος ὁ ἀδελφόθεος ἐπικυρῶν τὰς ῥήσεις τοῦ θείου Πέτρου, λέγει· «*Τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν Προφητῶν*» (Ἀμὼς θ, 11), καὶ τούτους ἐκφέρει κατὰ τὴν ἑρμηνείαν τῶν Ο, ὡς ἐκ θεολέκτου γραφῆς (Πράξ. ιε, 15).

Ε) Στέφανος, ὁ πλήρης *πνεύματος ἁγίου*, ἐκήρυττε τὸν Χριςὸν πρὸς τοὺς ἐν Ἱεροσολύμοις Ἑλληνιστὰς, παράγων τὰς τοῦ θείου κηρύγματος ἀποδείξεις ἐκ τῆς ἑρμηνείας πάντως τῶν Ο, ὡς ἐκ θείας καὶ ἀναντιῤῥήτου Γραφῆς· κἀκεῖνοι «*οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει*» (Πράξ. ς, 5,10). Οὕτω καὶ Παῦλος «*Ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς ἐν Ἱεροσολύμοις Ἑλληνιστάς*» (Πράξ. θ, 29)· καὶ πάλιν ἐν Θεσσαλονίκῃ καὶ Βεροίᾳ ἐκ τῶν αὐτῶν Γραφῶν διελέγετο πρὸς τοὺς ἑλληνίζοντας Ἰουδαίους (Πράξ. ιζ). Καὶ αὐτοὶ δὲ οἱ Βεροιεῖς ἀκούοντες τὴν εὐαγγελικὴν τοῦ Ἀποστόλου διδασκαλίαν, «*ἀνέκρινον τὰς Γραφὰς εἰ ἔχοι οὕτως*» (αὐτόθ.), παραβάλλοντες δηλονότι τὸ κήρυγμα τοῦ Εὐαγγελίου πρὸς τὰς (κατὰ τοὺς Ο) γραφὰς τῶν Προφητῶν, ὡς θεῖον κῦρος ἐχούσας, καὶ λαμβάνοντες ἐκ τούτων ἀδίστακτον περὶ τῆς πίστεως πληροφορίαν. Ἀλλὰ καὶ Ἀπολλὼς, Ἰουδαῖος Ἀλεξανδρεὺς, *λόγιος ἀνὴρ καὶ δυνατὸς ἐν ταῖς Γραφαῖς*, πιςεύσας, ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, καὶ τοῖς ἐν Κορίνθῳ Ἰουδαίοις «*εὐτόνως διακατηλέγχετο, ἐπιδεικνὺς διὰ τῶν Γραφῶν εἶναι τοῦ Χριστὸν Ἰησοῦν*» (Πράξ. ιη, 24, 28). Καὶ πάλιν αὐτὸς ὁ μέγας Ἀπόστολος τῶν ἐθνῶν παρέδιδε τὸ κήρυγμα τῆς παγκοσμίου σωτηρίας, ὡς ἀποδεδειγμένον ἐκ τῶν Γραφῶν τῶν προφητικῶν, «Ὅτι Χριςὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς *Γραφάς*· καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, *κατὰ τὰς Γραφάς* (Α, Κορ. ιε, 3). Ἀλλὰ καὶ πρὸς Φήλικα τὸν ἡγεμόνα ἑλληνιςὶ ἀπολογούμενος, παρόντων καὶ τῶν ἑλληνιζόντων αὐτοῦ κατηγόρων

Ἰουδαίων, «Λατρεύω (ἔλεγε) τῷ πατρῴῳ Θεῷ, πιστεύων *πᾶσι* τοῖς κατὰ τὸν νόμον καὶ ἐν τοῖς προφήταις *γεγραμμένοις*» (Πράξ. κδ, 14). Οὕτω πρὸς ἀπόδειξιν τῆς πίστεως καὶ ἰσχυρὸν τῆς πλάνης ἔλεγχον καὶ Παῦλος καὶ Στέφανος καὶ Ἀπολλῶς ἐπέφερον παῤῥησίᾳ τὰς γραφικὰς ἐκ τῶν Ο μαρτυρίας, ὡς θεῖον ἐχούσας κῦρος καὶ ἀναντίῤῥητον. «Οὐδεὶς γὰρ σαπρῷ νόμῳ κέχρηται πρὸς ἀπόδειξιν, ἢ φαύλῳ, ἀλλὰ καλῶς ἔχοντι καὶ τελείῳ» (α). Καὶ χωρία δὲ ὅλα προφητικὰ κατὰ τοὺς Ο μνημονεύων πρὸς τοὺς Ἑβραίους ὁ Παῦλος (ὡς τὸ Ψαλμ. ϟδ. 7), *λόγους τοῦ ἁγίου πνεύματος* αὐτὰ διαῤῥήδην ἀποκαλεῖ· «*Καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον*» (Ἑβρ. γ. 7—11 : δ. 7). Καὶ πάλιν ἐπ' ἄλλης περικοπῆς (ἐκ τοῦ Ἱερ. λη, 33) λέγει· «*Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον*» (Ἑβρ. ι, 15).

ϛ) Ἐκ δὲ τῶν Εὐαγγελιστῶν, αὐτὸς μὲν ὁ τὰς *Πράξεις* συγγράψας θεῖος Λουκᾶς ταὐτὰ καὶ ἐν τῷ κατ' αὐτὸν *Εὐαγγελίῳ* δῆλός ἐστι φρονῶν περὶ τοῦ θείου κύρους τῆς ἑρμηνείας τῶν Ο. Αὐτίκα (ἵνα παραλίπωμεν ἄλλα πάμπολλα παραδείγματα) τὴν περικοπὴν τοῦ Ἡσαΐου, ἣν ὁ Κύριος ἡμῶν ἀνέγνω ἐν τῇ Συναγωγῇ, καταγράφει οὐ κατὰ τὸ νῦν ἑβραϊκὸν, ἀλλὰ κατὰ τοὺς Ο (Λουκ. δ, 18). Ὁ δὲ θεῖος Μάρκος «*Ἀρχὴν τοῦ Εὐαγγελίου*» ποιεῖται τὴν προφητικὴν περὶ τοῦ Προδρόμου μαρτυρίαν, «ὡς *γέγραπται ἐν τοῖς προφήταις*» κατὰ τοὺς Ο. Καὶ Ἰωάννης ὁ ἐπιστήθιος τὰς ἐπὶ τοῦ Σωτῆρος πληρωθείσας προφητείας γράφει (ιθ, 24, 29) κατὰ τοὺς Ο (ἵνα πληρωθῇ ἡ Γραφὴ ἡ λέγουσα «*Διεμερίσαντο*» κτλ. βλ. καὶ ἐν τοῖς ἑπομένοις παραλλήλοις τὰ ῥητὰ τοῦ Ἰωάννου). Παρὰ δὲ τῷ θείῳ Ματθαίῳ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν ἐκφράζει τὴν περὶ τοῦ γάμου ἐντολὴν τοῦ Θεοῦ, καὶ ἄλλας ῥήσεις Γραφικὰς ἀκριβῶς κατὰ τοὺς Ο. (βλ. Ματθ. ιθ,5: δ, 4, 7 κτλ. πρβλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 470). Καὶ τὴν ἐν Ἰορδάνῃ οὐρανόθεν ἐπενεχθεῖσαν ἐπὶ τοῦ Μονογενοῦς μαρτυρίαν τοῦ

(α) Ἀδαμαντ. Ὠριγεν. περὶ τῆς εἰς Θεὸν ὀρθοδ. πίστεως διαλόγ. α'

Πατρὸς ἔχομεν γεγραμμένην παρά τε τῷ Ματθαίῳ (γ, 17) καὶ τοῖς ἄλλοις Εὐαγγελισταῖς κατὰ λέξεις ἰδιαζούσας τοῖς Ο (βλ. ὄπισθ. σελ. 72). Οὕτω τὸ Πνεῦμα τὸ ἅγιον τὸ λαλῆσαν διὰ τῶν Ἀποςόλων ἐν τῇ Καινῇ Διαθήκῃ, ἐβεβαίωσε τὸ θεῖον κῦρος καὶ τῆς, ἣν τῇ Ἐκκλησίᾳ παραδέδωκεν, ἑρμηνείας τῆς Παλαιᾶς Διαθήκης.

Ζ) Τελευταῖον ὁ ΠΕ, τῶν Ἀποστόλων Κανὼν καταγράφων τὰς θείας βίβλους τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, ὠνόμασεν *ἐπίσης* καὶ *κοινῶς* ἀμφοτέρων τὰ βιβλία, «*βιβλία σεβάσμια καὶ ἅγια*» (βλ. ὄπισθ. σελ. 110). Καθὼς λοιπὸν τὰ τῆς Καινῆς ὑπάρχουσιν ἅγια καὶ θεόπνευστα κατά τε νοῦν καὶ κατὰ λέξιν, ὡσαύτως καὶ τὰ μετ' αὐτῶν συνημμένα τῆς ὑπὸ τῶν Ἀποςόλων ἐν τῇ Ἐκκλησίᾳ θησαυρισθείσης Παλαιᾶς κατὰ τοὺς Ο Γραφῆς. Περὶ δὲ τῶν διὰ Κλήμεντος ἐκδεδομένων Ἀποστολικῶν Διαταγῶν, καὶ τῶν *κατ' ἔλλαμψιν καὶ ἐπιστασίαν τοῦ παναγίου Πνεύματος* ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις γεγραμμένων ἱερῶν Κανόνων, ἐξ ὧν ἀνακηρύττεται τὸ κῦρος τῶν Ο, λέγομεν ἐν τῷ ἑπομένῳ τρίτῳ τμήματι. Ἤδη δὲ παρατιθέμεθα τὴν πρὸς τὸ κείμενον τῶν Ο συμφωνίαν ἁπασῶν τῶν ἐν τῇ Καινῇ Διαθήκῃ μνημονευομένων προφητικῶν μαρτυριῶν.

§. νβ. Ἑκατὸν καὶ ὀγδοήκοντα καὶ μίαν ἀριθμοῦσιν οἱ νεώτεροι πάσας τὰς ἐκ τῆς Παλαιᾶς προφητικὰς μαρτυρίας, ὅσας ἐν τῇ Καινῇ Διαθήκῃ ἐμνημόνευσαν οἱ Ἀπόστολοι (α). Ὀκτὼ καὶ τριάκοντα καὶ *διακοσίας* ὅλας ἐνταῦθα καταγράφομεν ἡμεῖς, κατὰ λέξιν παραλλήλους ἐκτιθέντες ἐν στήλαις τρισί. α) κατὰ τὸ κείμενον τὸ *ἑβραϊκόν* (β). β) κατὰ τοὺς Ο. γ) καθὰ μνημονεύονται ἐν τῇ Καινῇ

(α) Βλ. Horne An Introduction etc. vol. 2. part. 1. p. 282-323. πρβ. καὶ τὸν Π ί ν α κ α τῆς ὑπὸ Ῥοβέρτου Στεφάνου ἐκδόσ. τῆς Κ α ι ν ῆ ς Δ ι α θ ή κ η ς (ἐν τῷ προμετωπίῳ τῆς Βίβλου) Lutet. 1550. ἄλλους τῶν ἀρχαιοτέρων παραλείπομεν.

(β) Τὸ ἑβραϊκὸν ἐξελληνίσθη κατὰ τὴν Λατινικὴν μετάφρασιν τοῦ Μοντάνου. Ὅπου δὲ συμφωνεῖ μετὰ τῶν Ο, ἐχρησάμεθα ταῖς αὐταῖς τῶν Ο φωναῖς, ἵνα μὴ δόξωμεν ἐξεπίτηδες ἀποδιϊστῶντες τὸ ἑβραϊκὸν ἀπὸ τῶν παρὰ τοῖς Ἀποστόλοις

Διαθήκη. Οὕτω γὰρ φανήσεται ἐναργῶς πόθεν ἔλαβον τὰς ῥήσεις οἱ Ἀπόστολοι, εἴτ' ἐκ τοῦ ἑβραϊκοῦ πρωτοτύπου, εἴτ' ἐκ τῆς ἑρμηνείας τῶν Ο.

§. νγ. Τοσοῦτο δὲ μόνον ὑπομνηστέον τὸν ἀναγνώστην προηγουμένως, ὅτι κατὰ τρεῖς τρόπους μετελάμβανον οἱ Ἀπόστολοι τὰς ῥήσεις τὰς προφητικὰς (ὃ καὶ αὐτοὶ οἱ τοῖς Ο δυσμεναίνοντες συνομολογοῦσι). α) Κατὰ πόδα καὶ κατὰ λέξιν ἀκριβῶς. β). Κατά τινα μικρὰν περί τινας λέξεις ἐναλλαγὴν, ἢ ἐπιτομὴν, τῆς αὐτῆς ἐννοίας τηρουμένης. (Μ. Βασίλειος· βλ. ὄπισθ. σελ. 293). γ) Κατ' ἔννοιαν μόνον, ὅταν τὸ αὐτὸ μὲν νόημα ᾖ, μὴ ἐπ' αὐτῶν δὲ τῶν ῥημάτων (Χρυσόστομ. βλ. ὄπισθ. σελ. 275). Τούτοις ἐπισυναπτέον καὶ τὰ ἑξῆς. δ) Ὅταν τὸ ἑβραϊκὸν συμφωνῇ ἀκριβῶς μετὰ τῶν Ο, ἐὰν ἡ ῥῆσις παρὰ τῷ Ἀποστόλῳ διατηρῇ τὰς αὐτὰς τοῖς Ο, λέξεις, καὶ τὴν αὐτὴν σύνθεσιν καὶ σύνταξιν, φανερὸν, ὅτι μετελήφθη ἐκ τοῦ κειμένου τῶν Ο. τὸ δ' ἑβραϊκὸν διαστέλλεται καὶ κατ' ἄλλα προφανῆ γνωρίσματα, καὶ πολλάκις ἀπὸ μιᾶς τινος λέξεως ἐπισήμου. ε) Ὅταν ἡ παρὰ τῷ Ἀποστόλῳ ῥῆσις μήτε πρὸς τὸ ἑβραϊκὸν μήτε πρὸς τὸ ἑλληνικὸν ἀκριβῶς κατὰ λέξιν, εἰ μὴ μόνον κατὰ τὸ νόημα συμφωνῇ, ἐὰν ὀλίγας τινας φέρῃ λέξεις ἰδίας τῶν Ο, φανερὸν, ὅτι ἐκ τῆς τούτων ἑρμηνείας μετεπλάσθη. ϛ) Ὅταν ἡ παρὰ τῷ Ἀποστόλῳ ῥῆσις ἀπαντᾷ συμπεπλεγμένη ἐκ δύω διαφόρων Προφητῶν (ὡς ἐνίοτε παρατηρεῖται), ἐὰν πρὸς ἑκάτερα κατὰ μέρος τοῖς Ο συμφωνῇ, φανερὸν, ὅτι ἐκ τῆς τῶν Ο ἑρμηνείας ἐξηνέχθη. Τούτων οὕτω τεθέντων, μεταβαίνομεν εἰς τὰ ἱερὰ Παράλληλα.

Ἑβραϊκόν.	οἱ Ο.	Ματθαῖος.
1) Ἰδοὺ ἡ παρθένος	Ἰδοὺ ἡ παρθένος ἐν	Ἰδοὺ ἡ παρθένος ἐν

ῥητῶν. Ὥστε πολλάκις καὶ ἐν τοῖς τρισὶ κειμένοις ἀκούεις, ἀναγνῶστα, λαλοῦντας τοὺς Ο.

Ἑβραϊκὸν	οἱ Ο	Ματθαῖος.
ἔγκυος (praegnans) (α), καὶ τίκτουσα υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰμμανουέλ. Ἠσαΐ. ζ, 14.	γαστρὶ *ἕξει* (β), καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Ἠσ. ζ, 14.	γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. α, 23.
2) Καὶ σὺ Βηθλεὲμ Ἐφραθὰ, ὀλιγοςὸς (εἶ) τοῦ εἶναι (ἢ ὑφίστασθαι) ἐν χιλιάσιν Ἰούδα. Ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν Ἰσραήλ. Μιχ. ε. 2.	Καὶ σὺ Βηθλεὲμ, οἶκος τοῦ Ἐφραθὰ, οὐκ ὀλιγοςὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. Ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ. Μιχ. ε, 2. (βλ. ὄπισθ. σελ. 287).	Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίςη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. Ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅςις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. β, 6.
3) Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. Ὠσηὲ ια, 1.	Ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. Ὠσηὲ ια, 1 (βλ. ὄπισθ. σελ. 261).	Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. β. 15.
4) Φωνὴ ἐν ὑψηλῷ (γ) ἠκούσθη, θρῆνος, κλαυθμὸς πικριῶν Ῥαχὴλ κλαιούσης ἐπὶ τοὺς υἱοὺς αὐτῆς· ἠρνήσατο παρακληθῆναι ἐπὶ τοῖς υἱοῖς αὐτῆς, ὅτι οὐκ αὐτοί. (τουτ. *οὐκ εἰσὶν* αὐτοί). Ἱερεμ. λα, 15.	Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη θρήνου καὶ κλαυθμοῦ καὶ ὀδυρμοῦ, Ῥαχὴλ ἀποκλαιομένη ἐπὶ τῶν υἱῶν αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, (δ) ὅτι οὐκ εἰσί. Ἱερεμ. λη, 15.	Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. β. 18.

(α) Οὕτως ἐξηγοῦσι τὸ ἑβρ. harah. (καὶ ἄλλοι, gravida. βλ. Λεξ. Gesen.). Ἀποστυγεῖ δὲ τὸ ἐξήγημα δικαίως ὁ Rosenmüller (Σχόλ. εἰς Ἠσ.), καὶ ὁμολογεῖ μόνην ὀρθὴν τὴν μελλοντικὴν ἐξήγησιν τῶν Ο.

(β) Ἀλεξ· τὸ δὲ Βατικ. λήψεται.

(γ) Τὸ ἑβρ. Ῥαμᾶ σημαίνει ὑψηλὸν (excelsum) «Ῥαμᾶ, ὑψηλή» (Ἡσύχ.). Ἦν δὲ καὶ πόλεως ὄνομα παρὰ τὴν Βηθλεὲμ (Ἰησ. ιη, 25. Ἱερεμ. ιθ). Οἱ δὲ πλεῖστοι τῶν νεωτέρων ἐξηγοῦσι τὸ ὄνομα ἐπιθετικῶς, ὡς ἀνωτέρω, ἀμελοῦντες τοῦ Εὐαγγελιστοῦ! — (δ) Ἀλεξ. τὸ δὲ Βατ. παύσασθαι.

Ἑβραϊκὸν	Οἱ Ο	Ματθαῖος.
5) (Κατὰ λέξιν οὐ κεῖται. βλ. ὄπισθ. σελ. 262).	Βλ. τὰ σημειωθέντα ἐν τοῖς προλαβοῦσι, σελ. 262.	Ὅτι Ναζωραῖος κληθήσεται. β, 23.
6) Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ὁμαλύνατε τὴν ὁδὸν Κυρίου, εὐθεῖαν ποιεῖτε ἐν ἐρημίᾳ τρίβον στρωτὴν (semitam stratam) τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ ὑψωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσονται· καὶ ἔςαι τὸ σκολιὸν εἰς εὐθύτητα, καὶ τὰ τραχέα εἰς πεδιάδα· καὶ ἀποκαλυφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψονται πᾶσα σὰρξ ἐπίσης. Ἡσαϊ. μ, 3-5.	Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας (α)· Καὶ *ὀφθήσεται ἡ δόξα Κυρίου*· καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. Ἡσαϊ. μ, 3-5.	Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔςαι τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. γ. 3. (πρβλ. Μάρκ. α. 3. Λουκ. γ. 4-6) (β).
7) Οὐκ ἐπ' ἄρτῳ μόνῳ αὐτῷ ζήσεται ἄνθρωπος, εἰ μὴ ἐπὶ πάσῃ ἐξελεύσει ςόματος Κυρίου. Δευτερ. η, 3.	Οὐκ ἐπ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ ςόματος Θεοῦ. Δευτ. η, 3.	Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ ςόματος Θεοῦ. δ, 4 (πρβ. Λουκ. δ, 4).
8) Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται, περὶ σοῦ, πρὸς τὸ διαφυλάξαι σε ἐν πά-	Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, *τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς*	Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήπο-

(α) Ἀλεξ. τὸ δὲ Βατικ. εἰς πεδία.

(β) Τὸ «καὶ ὀφθήσεται ἡ δόξα κυρίου» παρέλιπεν ὁ Εὐαγγελιστὴς Λουκᾶς διὰ τὸ ἐπιτομώτερον. Ὁ δὲ θεῖος Ματθαῖος, ὡσαύτως καὶ ὁ Μάρκος, ἔτι ἐπιτομώτερον ἔγραψαν τὴν ῥῆσιν, μέχρι τοῦ «εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ».

Ἑβραϊκὸν	Οἱ Ο	Ματθαῖος.
σαις ταῖς ὁδοῖς σου. Ἐν παλάμαις (ἄλλ. χερσὶ) βαςάσουσί σε, μή ποτε προσκόψῃ πρὸς λίθον ὁ ποῦς σου. Ψαλμ. ϥα, 11-12.	*ὁδοῖς σου*. ἐπὶ χειρῶν ἀροῦσί σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ψαλμ. ϥ, 11-12.	τε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου». δ, 6. (καὶ Λουκ. δ, 10. ὅστις ἔχει καὶ τὸ «ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε». κτλ.).
9) Οὐ πειράσετε Κύριον τὸν Θεὸν ὑμῶν. Δευτ. ϛ, 16.	Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. Δευτ. ϛ, 16.	Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. δ, 7.
10) Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ *δουλεύσεις*. Δευτ. ϛ, 13. (α).	Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ *λατρεύσεις*. Δευτ. ϛ, 13.	Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. δ, 10.
11) (Πρῶτον ἀνεκούφισε) γῆν Ζεβουλοὺν, καὶ γῆν Ναφθαλὶ, καὶ ἔσχατον βαρυνθῆναι ἐποίησεν ὁδὸν θαλάσσης πέραν Ἰορδάνου, Γαλὶλ τῶν ἐθνῶν. Ὁ λαὸς, οἱ περιπατοῦντες ἐν σκοτίᾳ, εἶδον φῶς μέγα. Τοῖς κατοικοῦσιν ἐν γῇ σκιᾶς θανάτου φῶς ἀνέτειλεν ἐπ' αὐτοῖς. Ἡσαϊ. θ, 1, 2.	Χώρα Ζαβουλὼν, ἡ γῆ Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν. Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα. Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς λάμψει ἐφ' ὑμᾶς. Ἡσαϊ. θ, 1-2. (βλ. ὀπισθ. σελ. 263).	Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν. Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς· δ, 15, 16.
12) Ὀφθαλμὸν ἀντ' ὀφθαλμοῦ, ὀδόντα ἀντὶ	Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ	Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα

(α) Τὸ λατ. servio (ἑβρ. abad) ἐνταῦθα ἀντὶ τοῦ θεραπεύειν, σέβεσθαι (colere), τὸ λατρεύσεις τῶν Ο. ἀντὶ δὲ τοῦ φοβηθήσῃ, προσκυνήσεις εἶπεν ὁ Κύριος, πρὸς ἀπάντησιν τοῦ ἐὰν πεσὼν προσκυνήσῃς μοι. Προσκυνήσεις ἔχει καὶ τὸ Ἀλεξανδρινόν· καὶ ἄλλως δὲ τὸ φοβεῖσθαι παρ' ἑβρ. ἰσοδυναμεῖ τῷ προσκυνεῖν (τὸν Θεόν). βλ. Schleusn. Thes. v. προσκυνέω.

Ἑβραϊκὸν	Οἱ Ο	Ματθαῖος.
ὀδόντος. Ἐξόδ. κα, 24.	ὀδόντος. Ἐξόδ. κα, 24,	ἀντὶ ὀδόντος. ε. 38.
13) Ὄντως τὰς ἀσθενείας ἡμῶν αὐτὸς ἤνεγκε, καὶ τὰς ὀδύνας ἡμῶν ἐβάστασεν αὐτάς. Ἡσαΐ. νγ, 4.	Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται. Ἡσαΐ. νγ. 4. (βλ. ὄπισθ. σελ. 282).	Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασε. η, 17.
14) Ἔλεος θέλω καὶ οὐ θυσίαν. Ὡσηὲ ς, 6.	Ἔλεος θέλω καὶ οὐ θυσίαν. Ὡσηὲ, ς, 7. (βλ. ὄπισθ. σελ. 282).	Ἔλεον θέλω καὶ οὐ θυσίαν. θ, 13: ιβ, 7.
15) Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου, καὶ προετοιμάσει ὁδοὺς πρὸ προσώπου μου. Μαλαχ. γ, 1.	Ἰδοὺ ἐγὼ ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου. Μαλ. γ. 1.	Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. ια, 10. (πρβλ. Μάρκ. α, 2: Λουκ. ζ. 27).
16) Ἰδοὺ ὁ παῖς μου, κτλ. Ἡσαΐ. μβ. 1-4.	Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι, κτλ. βλ. ὄπισθ. σελ. 264.	Ἰδοὺ ὁ παῖς μου, ὃν ἡρέτισα, κτλ. ιβ, 18-21.
17) Καὶ ἦν Ἰωνᾶς ἐν τοῖς ἐγκάτοις τοῦ ἰχθύος (κήτους) τρισὶν ἡμέραις καὶ τρισὶ νυξί. Ἰων. β. 1.	Καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Ἰων. β, 1.	Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. ιβ, 40.
18) Ἀκούετε ἀκούοντες, καὶ οὐ συνήσετε· καὶ βλέπετε βλέποντες, καὶ οὐ γνώσεσθε. Πάχυνον τὴν καρδίαν τοῦ λαοῦ τούτου, καὶ τὰ ὦτα αὐτοῦ βάρυνον, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπάλειψον (κλεῖσον), μή ποτε ἴδῃ ἐν τοῖς ὀφθαλμοῖς αὐ-	Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠ-	Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς

Ἑβραϊκὸν	Οἱ Ο	Ματθαῖος.
τοῦ, καὶ τοῖς ὠσὶν αὐτοῦ ἀκούσῃ, καὶ τῇ καρδίᾳ αὐτοῦ συνῇ, καὶ ἐπιστρέψῃ, καὶ ἰαθῇ αὐτῷ. Ησαΐ. ς, 9, 10.	σὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιςρέψωσι, καὶ ἰάσομαι αὐτούς. (Ἡσ. ς, 9-10).	ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. ιγ, 14, 15 (πρβλ. Πράξ. κη, 26, 27: Μάρκ. δ, 12: Λουκ. η, 10 καὶ Ἰωάν. ιϐ. 40).
19) Ἀνοίξω ἐν παραϐολῇ τὸ ςόμα μου· ἀναϐλύσω αἰνίγματα ἀπ' ἀρχῆς. Ψαλμ. οη, 2.	Ἀνοίξω ἐν παραϐολαῖς τὸ ςόμα μου, φθέγξομαι προϐλήματα ἀπ' ἀρχῆς. Ψαλ. οζ, 2.	Ἀνοίξω ἐν παραϐολαῖς τὸ ςόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταϐολῆς κόσμου. ιγ, 35. (α).
20) Ἤγγισεν ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἐν τοῖς χείλεσιν αὐτοῦ ἐτίμησάν με, καὶ ἡ καρδία αὐτοῦ ἐμακρύνθη ἐπ' ἐμοῦ· καὶ ἐγένετο ὁ φόϐος αὐτῶν με (τουτ. ὁ πρός με) ἔνταλμα, ἀνθρώπων δίδαγμα. Ἡσ. κθ, 13.	Ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἐν τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέϐονταί με, διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας. Ἡσαΐ. κθ, 13.	Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ ςόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέϐονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. ιε, 8, 9.
21) Ὁ καταρώμε-	Ὁ κακολογῶν πα-	Ὁ κακολογῶν πατέ-

(α) Ἐρεύξομαι εἶπεν ὁ Εὐαγγελιστὴς, ἀντὶ τοῦ φθέγξομαι, καὶ τοῦτο ἐξ ἄλλων Ψαλμῶν κατὰ τοὺς Ο· οἷον, « Ἡμέρᾳ τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα » (Ψαλμ. ιη, 2) καὶ « ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν» (Ψαλμ. μδ, 1. πρβλ. καὶ Ψαλμ. ριη, 171, ρμδ, 7). Καὶ τὸ κεκρυμμένα δὲ ἶσον τῷ κρυπτὰ (ἄγνωστα) κρύφια (Ψαλ. ν, 6). Καὶ τὸ ἀπὸ καταϐολῆς κόσμου (ὡς ἐξέφρασε τὸ ἀπ' ἀρχῆς) τὸ αὐτὸ καὶ «ἀπ' ἀρχῆς κόσμου» (ὡς «ἀπ' ἀρχῆς κτίσεως». Μάρκ. ι, 6. Β. Πέτρ. γ, 4. πρβλ. Ψαλμ. ογ, 2). Ὁ δὲ Ζιγαϐηνὸς ὑπέλαϐεν, ὅτι ἀντὶ τοῦ φθέγξομαι, κτλ. εἶπεν Ἐρεύξομαι, κτλ. «ἑβραϊκαῖς λέξεσι προσχὼν, αἵτινες καὶ ταῦτα κἀκεῖνα δηλοῦσι· καὶ τὸ ἐρεύγομαι γὰρ, τὸ φθέγγομαι σημαίνει » κτλ. (ἑρμην. εἰς Ματθ. αὐτόθι).

Ἑβραϊκὸν	Οἱ Ο	Ματθαῖος.
νος τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ, θανάτῳ ἀποθανεῖται. Ἐξ. κα, 17.	τέρα αὐτοῦ, ἢ μητέρα αὐτοῦ, θανάτῳ τελευτάτω. Ἐξόδ. κα, 16. (Ἀλεξ.).	ρα, ἢ μητέρα, θανάτῳ τελευτάτω. ιε, 4.
22) Ἄρσενα καὶ θήλειαν ἐποίησεν αὐτοὺς (Γεν. ε. 2). καὶ εἶπε. Διὰ τοῦτο καταλείψει ἀνὴρ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται εἰς σάρκα μίαν. Γενέσ. β, 24.	Ἄρσεν, καὶ θῆλυ ἐποίησεν αὐτοὺς (Γεν. ε, 2)· καὶ εἶπεν. Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται *οἱ δύο* εἰς σάρκα μίαν. Γεν. β, 24. (βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 470).	Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, καὶ εἶπεν. Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται *οἱ δύο* εἰς σάρκα μίαν. ιθ, 5.
23) Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. Οὐ φονεύσεις. Οὐ μοιχεύσεις. Οὐ κλέψεις. Οὐκ ἀποκριθήσῃ κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ. Ἐξόδ. κ, 12-16.	Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. Οὐ φονεύσεις. Οὐ μοιχεύσεις. Οὐ κλέψεις (α). Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ. Ἐξόδ. κ, 12-14.	Οὐ φονεύσεις. Οὐ μοιχεύσεις. Οὐ κλέψεις. Οὐ ψευδομαρτυρήσεις. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα. ιθ, 18, 19.
24) Καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σὲ (αὐτὸν). Δευϊτ. ιθ, 18. (β).	Καὶ ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν. Λευϊτ. ιθ, 18.	Καὶ ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν. ιθ, 19. κϐ, 39.

(α) Ἀλεξανδρ. καὶ ἄλλοι, τὸ δὲ Βατ. οὐ μοιχεύσεις· οὐ κλέψεις· οὐ φονεύσεις.

(ϐ) Τὸ ἑϐρ. ἔχει ἑ τ α ῖ ρ ο ν (socium), τουτ. φίλον, συγγενῆ, συμπολίτην, ὁμογενῆ, ἢ ἀλλογενῆ, παντα ἄλλον ἄνθρωπον (φίλον ἢ ἐχθρὸν, οἰκεῖον ἢ ξένον), πᾶν τὸ ὁμόφυλον (καί τοι ἄλλως οἱ Φαρισαῖοι περιώριζον τὴν ἔννοιαν εἰς μόνον τὸν Ἰσραηλίτην· ὅθεν καὶ ὁ Νομικὸς ἠρώτα τὸν Σωτῆρα «Τίς ἐστί μου πλησίον»; Λουκ. ι, 29). Τοῦτο πρῶτοι οἱ Ο κάλλιστα μεθηρμήνευσαν ὁ π λ η σ ί ο ν. Τοῦτ᾽ αὐτὸ δὲ καὶ ὁ

Ἑβραϊκὸν	Οἱ Ο	Ματθαῖος.
25) Ἀγάλλου σφόδρα θύγατερ Σιὼν, ἀλάλαζε θύγατερ Ἱερουσαλήμ. Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ *σεσωσμένος* (salvatus!!) αὐτὸς, ταπεινὸς, καὶ ὀχούμενος ἐπὶ ὄνον, καὶ ἐπὶ πῶλον υἱὸν ὄνων. Ζαχ. θ, 9.	Χαῖρε σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλήμ. Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σῴζων· αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον (*ἄλλ. ὄνου*). Ζαχ. θ. 9.	Εἴπατε τῇ θυγατρὶ Σιών. Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον, καὶ πῶλον υἱὸν ὑποζυγίου. κα, 5. (βλ. ὄπισθ. σελ. 286). (α).
26) Ἐκ στόματος νηπίων καὶ θηλαζόντων ἐθεμελίωσας ἰσχύν. Ψαλμ. η, 2.	Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. Ψαλμ. η, 2.	Ἐκ ςόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. κα, 16.
27) Λίθος (ὃν) ἀπέῤῥιψαν οἱ οἰκοδομοῦντες, ἐγενήθη εἰς κεφαλὴν γωνίας. Παρὰ κυρίου ἐγένετο τοῦτο· αὐτό (ἐστι) θαυμαστὸν ἐν ὀφθαλμοῖς ἡμῶν. Ψαλμ. ριη, 22, 23.	Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔςι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Ψαλμ. ριζ, 22,23	Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔςι θαυμαςὴ ἐν ὀφθαλμοῖς ἡμῶν. κα, 42. (Μάρκ. ιϐ, 10. Λουκ. κ, 17. Πράξ. δ, 11.).

μεταγενέστερος ἑλληνισμὸς ἐμιμήθη· «μὴ κακολογεῖν τοῖς πλησίον». Λαέρτ. Ι, 69.- Μ. Ἀντωνῖν. η, 47. καὶ Πολύϐιος, «Πικρὸς γὰρ γεγονὼς καὶ ἀπαραίτητος ἐπιτιμητὴς τῶν π έ λ α ς, εἰκότως ἂν καὶ ὑπὸ τῶν π λ η σ ί ο ν αὐτὸς ἀπαραιτήτου τυγχάνοι κατηγορίας» (περὶ ἀρετῶν σελ. 1369). Ὁ δὲ παλαιότερος ἑλληνισμὸς τῷ ο ἱ π έ λ α ς ἐχρῆτο κυρίως ἐπὶ τῶν γειτόνων (Θουκυδίδ.).

(α) Τὸ ε ἴ π α τ ε καὶ τὰ λοιπὰ, μέχρι τοῦ Ἰ δ ο ὺ, ἔλαβεν ὁ Εὐαγγελιςὴς ἐκ τοῦ Ἡσαΐ. ξϐ, 11. «Εἴπατε τῇ θυγατρὶ Σιών. Ἰδού σοι ὁ Σωτὴρ παραγίνεται». Οὕτω καὶ ἀνωτέρω, ἐν Ζαχαρίᾳ θ, ἀνέγνων οἱ Ο, καὶ ἡρμήνευσαν «ὁ σ ῴ ζ ω ν» (τὸ δ' ἑβραϊκὸν, «ὁ σ ε σ ω σ μ έ ν ο ς» φαίνεται σαφὴς ἰουδαϊκὴ διαφθορά). αὐτὰ δὲ τὰ τῆς Ζαχαρίου ῥήσεως ἐπιτομώτερον ἐξήνεγκεν ὁ Εὐαγγελιστὴς, καὶ πολλῷ πλέον ὁ Ἰωάννης. βλ. ἑφεξῆς ἀριθμ. 51.

Ἑβραϊκὸν	Οἱ Ο	Ματθαῖος.
28) Ἄμπελος ἐγενήθη τῷ ἀγαπητῷ μοι,– καὶ περιέφραξεν αὐτὴν, καὶ ᾠκοδόμησε πύργον ἐν μέσῳ αὐτῆς, καὶ ἔτι ληνὸν ὤρυξεν ἐν αὐτῇ. Ἠσ. ε. 2.	Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ – καὶ φραγμὸν περιέθηκα,– καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ. Ἠσαϊ. ε, 2.	Ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησε πύργον. κα, 33 (Μάρκ. ιβ, 1: Λουκ. κ, 9).
29) Ἐγὼ ὁ θεὸς τοῦ πατρός σου, θεὸς Ἀβραὰμ, θεὸς Ἰσαὰκ, καὶ θεὸς Ἰακώβ. Ἐξόδ. γ. 6.	Ἐγώ εἰμι ὁ θεὸς τοῦ πατρός σου, θεὸς Ἀβραὰμ, καὶ θεὸς Ἰσαὰκ, καὶ ὁ θεὸς Ἰακώβ. Ἐξόδ. γ. 6.	Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. κβ, 32. (Μάρκ. ιβ, 26. Λουκ. κ, 37: Πράξ. ζ, 32).
30) Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς λαοῖς. (Ἠσαΐ. νς, 7). Μήτι σπήλαιον λῃστῶν ἐγένετο ὁ οἶκος οὗτος; Ἱερεμ. ζ. 10.	Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσι. (Ἠσ. νς, 7). Μὴ σπήλαιον λῃστῶν ὁ οἶκος μου; Ἱερ. ζ, 11.	Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. κα, 13, 14 (Μαρκ. ια, 17: Λουκ. ιθ, 29).
31) Δέομαι Κύριε, σῶσον νῦν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ψαλμ. ριη, 24.	Ὦ Κύριε σῶσον δή. – Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ψαλ. ριζ. 25.	Ὡσαννά. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. κα, 9: κγ, 39. (Μάρκ. ια, 9: Λουκ. ιβ. τὸ δὲ Ὡσαννά = σῶσον δή).
32) Καὶ ἐπὶ τῆς πτέρυγος τῶν βδελυγμάτων ἐκπληκτικόν. Δαν. θ. 27 (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 838)	Καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων (ἀλλ. τῆς ἐρημώσεως). Δαν. θ, 27.	Τὸ βδέλυγμα τῆς ἐρημώσεως, ἑστὸς ἐν τόπῳ ἁγίῳ. κδ, 15.
33) Ἀγαπήσεις Κύριον τὸν θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου,	Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης *τῆς καρδίας σου*, (α)	Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ

(α) Κώδ. Ἀλεξανδρ. Ἄλδου Κομπλουτ. κτλ. τὸ δὲ Βατικαν. τῆς διανοίας σου.

Ἑβραϊκὸν	Οἱ Ο	Ματθαῖος.
καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ δυνάμει σου. Δευτ. ϛ. 5.	καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου. Δευτερ. ϛ, 5.	ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. κϐ, 37 (α).
34) Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου πρὸς δεξιάν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τοῖς ποσί σου. Ψαλμ. ρι, 1.	Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ψαλ. ρθ, 1.	Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. κβ. 44. (Μάρκ. ιβ, 36. Λουκ. κ, 42).
35) Πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα. Ζαχ. ιγ, 7.	Πάταξον τὸν ποιμένα καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. Ζαχαρ. ιγ, 7.	Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. κϛ, 31.
36) Καὶ ῥίψον αὐτὸ πρὸς τὸν κεραμέα, τὸ μέγεθος τῆς τιμῆς, ἣν ἐτιμήθην ὑπὲρ αὐτούς· καὶ ἤνεγκα τοὺς τριάκοντα ἀργυροῦς, καὶ ἔῤῥιψα αὐτοὺς εἰς τὸν οἶκον Κυρίου πρὸς τὸν κεραμέα. Ζαχ. ια, 13.	(Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς). Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι αὐτὸ εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν· καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς, καὶ ἐνέβαλον αὐτοὺς εἰς οἶκον Κυρίου, εἰς τὸ χωνευτήριον. Ζαχ. ια, 13.	(Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια). Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος. κζ, 9, 10. κϛ, 15 (ϐ).

(α) Παρὰ τῷ Μάρκῳ (ιβ, 30) καὶ Λουκᾷ (ι, 27) Ἀγαπήσεις Κ. τ. Θ. σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου.

(ϐ) Ἐὰν ἐφέλης ἐκ μὲν τοῦ ἑϐρ, τὸ τιμὴν ἣν ἐτιμήθην, καὶ τὸ κεραμέως (ἀνθ' οὗ καὶ ἄλλως ἐξηγοῦσι τὸ ἑϐραϊκὸν, οἱ μὲν γάζαν, οἱ δὲ κεραμεῖον, κάμινον κεραμικὴν, χωνευτήριον, κτλ.), ἐκ δὲ τῶν Ο τὰ «καὶ ἔστησαν αὐτῷ, καὶ

Ἑβραϊκὸν	Οἱ Ο	Μάρκος.
37) Διαμεριοῦσι τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὴν ἐσθῆτά μου βαλοῦσι κλῆρον. Ψαλ. κβ, 19.	Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Ψαλμ. κα, 18.	Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. κζ, 35. καὶ Ἰωάν. ιθ, 24.
38) Θεέ μου Θεέ μου, ἵνα τί μὲ ἐγκατέλιπες; Ψαλ. κβ, 2.	Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; Ψαλ. κα, 1.	Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπές; κζ, 46· καὶ Μάρκ. ιε, 34. (βλ. ὄπισ. σελ. 297).
39) Ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. Ἡσαΐ. ξς, 24.	Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. Ἡσ. ξς, 24.	Ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. ΜΑΡΚΟΣ θ, 48.
40) Καὶ πᾶσαν προσφορὰν δώρου σου ἐν ἅλατι ἁλίσεις. Λευΐτ. β, 13.	Πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλισθήσεται. Λευΐτ; β, 13.	Πᾶσα θυσία ἁλὶ ἁλισθήσεται. θ, 49.
41) Ἄκουε Ἰσραήλ· Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς (ἐςι). Δευτ. ς, 4.	Ἄκουε Ἰσραήλ· Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐςι. Δευτ. ς, 4.	Ἄκουε Ἰσραήλ· Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐςι. ιβ, 29.
42) Καὶ σὺν τοῖς	Καὶ ἐν τοῖς ἀνό-	Καὶ μετὰ ἀνόμων

ἔλαβον, πρὸς οὐδέτερον τῶν κειμένων ἡ παρὰ τῷ Εὐαγγελιστῇ ῥῆσις συμφωνεῖ· ὅθεν Ὠριγένης ὑπέλαβεν, ὅτι ἔκ τινος ἀποκρύφου συγγραφῆς ἐλήφθη (εἰς Ματθ. τ. λε). Καὶ ὁ Ἱερώνυμος λέγει, ὅτι εἶδε τὴν ῥῆσιν ἐν τῷ παρὰ τοῖς Ναζαρηνοῖς τηρουμένῳ ἀποκρύφῳ τοῦ Ἱερεμίου (βλ. ὄπισθ. σελ. 152)· αὐτὸς δὲ νομίζει τὸ ῥητὸν εἰλῆφθαι ἐκ τοῦ Ζαχαρίου (εἰς Ματθ. κτλ.). Ἀλλὰ πολὺ πρότερον αὐτοῦ εἰς τὸν Ζαχαρίαν ἀπέδωκε τὴν ῥῆσιν ὁ Εὐσέβιος (Εὐαγ. Ἀποδ. I, 4. σελ. 299)· οὕτω καὶ Θεοδώρητος (εἰς Ζαχαρ. ἑρμην.). Διὰ τί δὲ παρὰ τῷ Εὐαγγελιςῇ γέγραπται ὡς τοῦ Ἱερεμίου; Οἱ μὲν εἶπον τοῦτο ἁμάρτημα τῶν ἀρχαίων ἀντιγραφέων (ἐκλαβόντων ὡς Ἱερεμίου, τὸ στενόγραπτον Ζαχαρίου)· οἱ δὲ, ὅτι τῷ ὄντι εἰς Ἱερεμίαν ἀνήκει τοῦτο τὸ κεφάλαιον τοῦ Ζαχαρίου, ὅστις ἀντέγραψε καὶ ἕτερά τινα τοῦ Ἱερεμίου (Grot.).

Ἑβραϊκὸν	Οἱ Ο	Λουκᾶς.
ἀνόμοις ἐλογίσθη. Ἡσαΐ. νγ, 12.	μοις ἐλογίσθη. Ἡσαΐ. νγ, 12.	ἐλογίσθη. ιε, 28 (βλ. καὶ Λουκ. κβ,37)(α).
43) Ἁγίασόν μοι πᾶν πρωτότοκον· ἡ ἄνοιξις πάσης μήτρας ἐμοὶ αὐτή. Ἐξ. ιγ, 2.	Ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενὲς, διανοῖγον πᾶσαν μήτραν. Ἐξ. ιγ,2.	Πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται. ΛΟΥΚΑΣ. β, 23.
44) Δύο τρυγόνας, ἢ δύο υἱοὺς περιστερᾶς. Λευϊτ. ιϐ, 8.	Δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν. Λευϊτ. ιϐ, 8.	Ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. β, 24.
45) Πνεῦμα Κυρίου *Κυρίου* ἐπ' ἐμὲ, διὰ ταῦτα ἔχρισε Κύριος πρός με. Εὐαγγελίσασθαι πραέσιν ἀπέσταλκέ με, ἐπιδεσμεῦσαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἐλευθερίαν, καὶ δεσμίοις ἄνοιξιν εἱρκτῆς. Κηρύξαι ἐνιαυτὸν θελήσεως τῷ Κυρίῳ. Ἡσ. ξα,1,2.	Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. Καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν· Ἡσ. ξα, 1, 2.	Πνεῦμα Κυρίου ἐπ' ἐμέ· οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίζεσθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν (*Ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει*) (β), κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν. δ, 18, 19 (γ).
46) Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. Ψαλμ. ξθ, 10.	Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. Ψαλμ. ξη, 9.	Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. ΙΩΑΝΝΗΣ β, 17.
47) Σῖτον οὐράνιον ἔδωκεν αὐτοῖς. Ψαλ. οη, 24.	Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ψαλ. οζ, 24.	Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. ς, 31.

(α) Ἄλλας ῥήσεις τῆς Παλαιᾶς ἐμφερομένας παρὰ τῷ εὐαγγελιστῇ Μάρκῳ ἐσημειώσαμεν ἀνωτέρω, τὰς αὐτὰς κειμένας καὶ παρὰ τῷ θείῳ Ματθαίῳ (βλ. ἀριθμ. 6, 15, 18, 27, 28. 30 κτλ.).

(β) Τοῦτο προσέθηκε τὸ Πνεῦμα διὰ τοῦ Εὐαγγελιστοῦ ἐξ ἄλλου χωρίου τοῦ Ἡσαΐου (νη,6), κατὰ τοὺς Ο,

(γ) Ἄλλαι παρὰ τῷ Λουκᾷ ῥήσεις τῶν προφητῶν, αἱ αὐταὶ καὶ παρὰ τῷ Ματθαίῳ, ἐσημειώθησαν ἐν τοῖς προηγηθεῖσι (ἀριθμ. 6, 7, 8, 15, 18, 27, 30, 32).

Ἑβραϊκὸν	Οἱ Ο	Ἰωάννης.
48) Καὶ πάντες οἱ υἱοί σου δεδιδαγμένοι Κυρίου. Ἡσαΐ. νδ, 13.	Καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς Θεοῦ. Ἡσαΐ. νδ, 13.	Καὶ ἔσονται πάντες διδακτοὶ τοῦ Θεοῦ. ϛ, 45.
49) Ὕδατα βαθέα λόγο. στόματος ἀνδρός· χείμαῤῥος ἀναπηδύων φλὲψ σοφίας. Παροιμ. ιη, 4 (βλ. ὄπισθ. σελ. 277).	Ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρός· ποταμὸς δὲ ἀναπηδύει καὶ πηγὴ ζωῆς. Παροιμ. ιη, 4.	Ὁ πιϛεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. ζ, 38.
50) Ἐγὼ εἶπα, θεοί ἐϛε ὑμεῖς. Ψαλ. πϐ, 6.	Ἐγὼ εἶπα, θεοί ἐϛε. Ψαλμ. πα, 6.	Ἐγὼ εἶπα, θεοί ἐϛε. Ι, 34.
51) Ἀγάλλου σφόδρα θύγατερ, κτλ. Ζαχαρ. θ. βλ. ὄπισθ. ἀριθ. 25.	Χαῖρε σφόδρα, κτλ. Ζαχ. θ, 9. βλ. ὄπισθ. σελ. 312. (Ἐνταῦθα δὲ παρὰ τῷ Εὐαγ. τὸ *μὴ φοβοῦ* = θάῤῥει, εὐθύμει).	Μὴ φοβοῦ θύγατερ Σιών· ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεται, καθήμενος ἐπὶ πῶλον ὄνου. ιβ, 15.
52) Τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου ἐπὶ τίνα ἀπεκαλύφθη; Ἡσαΐ. νγ, 1.	Κύριε, τίς ἐπίϛευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; (Ἡσαΐ. νγ, 1).	Κύριε, τίς ἐπίϛευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; ιβ, 38. (Ῥωμ. ι, 16).
53) Τὰ τοῦ Ἡσαΐου ϛ, 9 (βλ. ὄπισθ. ἀριθ. 18 σελ. 309).	Τὰ τοῦ Ἡσαΐου, ϛ, 9, βλ. ὄπισθ. σελ. 309. Ἐνταῦθα δὲ παρὰ τῷ Εὐαγγελιστῇ, γέγραπται μετά τινος ἐναλλαγῆς. Ἔϛι δὲ τὸ *τετύφλωκεν*, ὡς τὸ «*ἐτυφλώθησαν* οἱ δοῦλοι τοῦ Θεοῦ» (Ἡσαΐ. μϐ. 19). Καὶ τὸ *πεπώρωκε*, λέξις ἰδία τῶν Ο (βλ. Ἰωάν. ιζ, 7 Μάρκ. ϛ, 52).	Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν· ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι, καὶ ἰάσωμαι αὐτούς. ιβ, 40. πρϐ. Ματθ. ιγ, 14, 15.

Ἑβραϊκὸν	Οἱ Ο	Ἰω:-Πράξεις.
54) Ὁ ἐσθίων ἄρτον μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτέρναν. Ψαλμ. μα, 10.	Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. Ψαλ. μ. 9.	Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. ιγ, 18.
55) Ἐπολέμησάν μοι δωρεάν. Ψαλμ. ρθ. 3.	Ἐπολέμησάν με δωρεάν. Ψαλμ. ρη. 3. (πρβλ. καὶ τὸ «οἱ μισοῦντές με δωρεάν. Ψαλ. λδ. 19).	Ἐμίμησάν με δωρεάν. ιε, 25.
56) Καὶ ὀστοῦν οὐ συντρίψετε ἐν αὐτῷ. Ἐξόδ. ιϐ. 46.	Καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. Ἐξοδ. ιβ. 46.	Ὀστοῦν οὐ συντριϐήσεται αὐτοῦ. ιθ,36.
57) Ἐπιϐλέψονται πρός με, ὃν διετόρησαν (transfixerunt). Ζαχ. ιϐ. 10.	Ἐπιϐλέψονται πρός με εἰς ὃν ἐξεκέντησαν. ϐλ. ὄπισθ. σελ. 268.	Ὄψονται εἰς ὃν ἐξεκέντησαν. ιθ, 36.
58) Ἔστω τὸ παλάτιον αὐτῶν ἠρημωμένον, ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. Ψαλμ. ξθ, 26.	Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔσω ὁ κατοικῶν. Ψαλ. ξη, 25.	Γενηθήτω ἡ ἔπαυλος αὐτοῦ ἔρημος, καὶ μὴ ἔσω ὁ κατοικῶν ἐν αὐτῇ. ΠΡΑΞΕΩΝ. α, 20.
59) Τὴν ἐπιστασίαν (praefecturam) αὐτοῦ λαϐέτω ἕτερος. Ψαλ. ρθ. 8.	Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάϐοι ἕτερος. Ψαλ. ρη, 8.	Τὴν ἐπισκοπὴν αὐτοῦ λάϐοι ἕτερος. α, 20.
60) Καὶ ἔςαι μετὰ ταῦτα ἐκχεῶ τὸ πνεῦμά μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν. Οἱ γέροντες ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. Οἱ ἐκλεκτοὶ (ἄλλ. οἱ νέοι)	Καὶ ἔσται μετὰ ταῦτα, καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν· καὶ οἱ πρεσϐύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ	Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις (λέγει ὁ Θεὸς), ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν· καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψον-

Ἑβραϊκὸν	Οἱ Ο	Πράξεις.
ὑμῶν ὁράσεις ὄψονται. Καὶ ἔτι ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ τὸ πνεῦμά μου· καὶ δώσω τέρατα ἐν τοῖς οὐρανοῖς καὶ ἐν τῇ γῇ, αἷμα καὶ πῦρ καὶ στήλας καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκοτισμὸν, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἔλθῃ ἡ ἡμέρα Κυρίου ἡ μεγάλη καὶ φοβερά. Καὶ ἔσται πᾶς ὃς ἐπικαλέσεται ἐν ὀνόματι Κυρίου, διασωθήσεται. Ἰωὴλ γ, 1—5.	οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσται πᾶς ὅς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. Ἰωὴλ β, 28-32.	ται· καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι. Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· Ὁ ἥλιος μετασραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. β, 17—21. (Ῥωμ. ι, 13).
61) Ἐθέμην τὸν Κύριον ἐνώπιόν μου πάντοτε, ὅτι ἐκ δεξιᾶς μου· οὐ νεύσω (nutabo· ἢ σεισθήσομαι). Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ δόξα μου· ἔτι ἡ σάρξ μου κατοικήσει ἐν πεποιθήσει. Ὅτι οὐ κα-	Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι· Ὅτι οὐκ ἐγκα-	Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι. Ὅτι

Ἑβραϊκὸν

ταλείψεις τὴν ψυχήν μου ἐν τῷ τάφῳ. Οὐ δώσεις τοὺς ὁσίους σου ἰδεῖν λάκκον· γνωρίσεις μοι ὁδὸν ζωῶν· χορτασμὸς εὐφροσυνῶν μετὰ τοῦ προσώπου σου. Ψαλ. ις, 8-11.

62) Προφήτην ἐκ μέσου σου, ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐγὼ, ἀναςήσει σοι Κύριος ὁ Θεός σου· αὐτοῦ ἀκούσεσθε. - Καὶ ἔσται ὁ ἄνθρωπος ὃς μὴ ὑπακούσῃ τοῖς λόγοις μου, οὓς λαλήσει ἐν τῷ ὀνόματί μου, καὶ ἐγὼ ἐκζητήσω ἐξ αὐτοῦ. Δευτ. ιη, 15, 19.

63) Καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. Γενέσ. κϐ, 18.

64) Ἵνα τί ἐθορυϐήθησαν (tumultuatae sunt) ἔθνη, καὶ λαοὶ μελετήσουσι κενά; Παραςήσονται οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συμϐουλεύονται ἐπίσης κατὰ

Οἱ Ο

λείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου. Ψαλμ. ιε, 8-11. (βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 610).

Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι Κύριος ὁ θεός σου· αὐτοῦ ἀκούσεσθε. - Καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ ὅσα ἂν λαλήσῃ ἐπὶ τῷ ὀνόματί μου ὁ προφήτης ἐκεῖνος, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ. Δευτ. ιη, 15, 19.

Καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. Γενέσ. κβ, 18.

Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέςησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ

Πράξεις.

οὐκ ἐγκαταλείψεις, τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου. β, 25.

Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς ὑμῶν, ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. Ἔςαι δὲ πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. γ, 22, 23.

Καὶ τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς, γ, 25.

Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέςησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ

Ἑβραϊκὸν	Οἱ Ο	Πράξεις.
τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Ψαλμ. β. 12.	Χριστοῦ αὐτοῦ. Ψαλ. β, 1, 2.	Χριστοῦ αὐτοῦ. δ, 25, 26.
65) Βάδιζε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, εἰς γῆν, ἣν ἰδεῖν ποιήσω σε. Γεν. ιϐ, 1.	Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. Γενέσ. ιβ, 1.	Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. ζ, 3.
66) Ξένον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς, καὶ θλίψουσιν αὐτοὺς, τετρακόσια ἔτη. Καὶ ἔτι τὸ ἔθνος ᾧ δουλεύσουσι, κρινῶν (ἔσομαι) ἐγώ. Καὶ μετὰ ταῦτα ἐξελεύσονται μετὰ περιουσίας μεγάλης. Γενέσ. ιε, 13, 14.	Πάροικον ἔςαι τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ δουλώσουσιν αὐτοὺς, καὶ κακώσουσιν αὐτοὺς, καὶ ταπεινώσουσιν αὐτοὺς, τετρακόσια ἔτη. Τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ. Μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. Γενέσ. ιε, 13, 14 (βλ. ὄπ. Βιϐ. Γ. σελ. 511).	Ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ, καὶ κακώσουσιν, ἔτη τετρακόσια. Καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγὼ, εἶπεν ὁ Θεός. Καὶ μετὰ ταῦτα ἐξελεύσονται καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ. ζ, 6, 7.
67) Πᾶσα ψυχὴ οἴκου Ἰακὼϐ, ἥτις εἰσῆλθεν εἰς Αἴγυπτον, (ἦσαν) *ἑϐδομήκοντα*. Γενέσ. μς, 27.	Πᾶσαι ψυχαὶ οἴκου Ἰακὼϐ αἱ εἰσελθοῦσαι εἰς Αἴγυπτον, ψυχαὶ ἑϐδομήκοντα πέντε (ϐλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 430). (α).	Μετεκαλέσατο (Ἰωσὴφ) τὸν πατέρα αὐτοῦ Ἰακὼϐ καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ, ἐν ψυχαῖς ἑϐδομήκοντα πέντε. ζ, 14.
68) Καὶ ὠνήσα-	Καὶ ἐκτήσατο (Ἰα-	Ἐν τῷ μνήματι, ὃ

(α) Ὁ δὲ περιώνυμος Γλάσσιος διορθοῖ τὸ π έ ν τ ε εἰς τὸ π ά ν τ ε ς! ἵνα μὴ μόνον πρὸς τὸ τῶν Ο, καὶ τὸ τοῦ Ἀποστόλου κείμενον, χάριν τῆς Μασοραίας ἀληθείας, ἀντείπῃ, ἀλλὰ καὶ ὑπέρκομπα βαρβαρίσῃ· π ά ν τ ε ς α ἱ ψ υ χ α ί! Glass. Philol. Sacr. p. 30.

Ἑβραϊκὸν	Οἱ Ο	Πράξεις.
το (Ἰακὼβ) τὴν μερίδα τοῦ ἀγροῦ - ἐκ χειρὸς υἱῶν Ἀμὼρ πατρὸς τοῦ Συχὲμ, ἀμνῶν ἑκατόν. Γενέσ. λγ, 19 (καὶ Ἰησ. κδ, 32).	κὼβ) τὴν μερίδα τοῦ ἀγροῦ - παρὰ Ἐμμὼρ πατρὸς Συχὲμ, ἑκατὸν ἀμνῶν (Γενέσ. λγ, 19. καὶ Ἰησ. κδ. 32. περὶ τῶν ἀμνῶν βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 904).	ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ. ζ, 16. (α).
69) Τίς ἔθετό σε εἰς ἄνδρα ἄρχοντα καὶ δικαςὴν ἐφ᾽ ἡμᾶς; Μή τι πρὸς τὸ ἀποκτεῖναί με σὺ διανοῇ, ὃν τρόπον ἀπέκτεινας τὸν Αἰγύπτιον; Ἐξ. β, 14.	Τίς σε κατέςησεν ἄρχοντα καὶ δικαςὴν ἐφ᾽ ἡμῶν; Μὴ ἀνελεῖν μεσὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; Ἐξ. β, 14.	Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμᾶς; Μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; ζ, 27.
70) Καὶ ἐφάνη ἄγγελος Κυρίου πρὸς αὐτὸν ἐν φλογὶ πυρὸς ἐκ μέσου τοῦ βάτου. Ἐξ. γ, 2.	Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς ἐκ τοῦ βάτου. Ἐξ. γ, 2. (Ἀλεξ.).	Ὤφθη αὐτῷ - ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς βάτου. ζ, 30
71) Καὶ εἶπε (Κύριος πρὸς Μωσῆν). Λῦσον τὰ ὑποδήματά σου ἐκ τῶν ποδῶν	Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, Λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τό-	Εἶπε δὲ αὐτῷ ὁ Κύριος, Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου. ὁ γὰρ τόπος, ἐν ᾧ ἕ-

(α) Διττῶς διαφωνεῖ τὸ τοῦ Ἀποστόλου πρὸς τὸ κείμενον τῆς Γενέσεως. α) τὸν ἀγρὸν τὸν ἐν Σικίμοις, ἢ Συχὲμ, ὠνήσατο ὁ Ἰακὼβ, οὐχ ὁ Ἀβραὰμ (ὃς ἀλλαχοῦ ὠνήσατο τὸν ἀγρὸν παρὰ Ἐφρὼν τοῦ Χετταίου. Γενέσ. κγ.). β) Οὐχ ὁ Ἐμμὼρ ἦν υἱὸς τοῦ Συχὲμ, ἀλλ᾽ οὗτος ἐκείνου. Τὸ μὲν οὖν πρῶτον ἄλλοι λέγουσι παλαιὸν ἀντιγραφέως λάθος, γράψαντος Ἀβραὰμ ἀντὶ Ἰακώβ. Οἱ δὲ, τὸ Ἀβραὰμ ἐκλαμβάνουσιν ἀντὶ τοῦ ἐγγόνου Ἰακὼβ (ὡς καὶ, σπέρμα Ἀβραὰμ, οἱ ἀπόγονοι). Οἱ δὲ, τέλος, ὑπολαμβάνουσι τὸν ἀγρὸν ἐωνημένον τὸ πρῶτον ὑπὸ Ἀβραὰμ, τὸ δὲ δεύτερον ὑπὸ Ἰακώβ. Εἰς δὲ τὸ Ἐμμὼρ τοῦ Συχὲμ ὑπονοοῦσιν ὡς ὑποκείμενον τῆς γενικῆς οὐχὶ τὸ υἱὸς, ἀλλὰ τὸ πατὴρ (Ἐμμὼρ πατὴρ τοῦ Συχὲμ κτλ.). Οἱ δὲ, ὅτι διώνυμοι ἦσαν ἑκάτεροι. βλ. περὶ τούτων Cappel. Crit. Sacr. τοὺς Crit. Sacros εἰς Πραξ. ζ, 16. Glass. Philol. Sacr. p. 108. Horne An Introduct. T. 2. part. 1. p. 297.

Ἑβραϊκὸν	Οἱ Ο	Πράξεις.
σου· ὅτι ὁ τόπος ἐφ᾽ οὗ σὺ ἕστηκας ἐπ᾽ αὐτοῦ, γῆ ἁγία ἐστί. Ἰδὼν εἶδον τὴν θλίψιν τοῦ λαοῦ μου, ὅστις (ἐστὶν) ἐν Αἰγύπτῳ,καὶ τῆς κραυγῆς αὐτῶν ἤκουσα, καὶ κατέβην εἰς τὸ ἐλευθερῶσαι αὐτόν. Καὶ νῦν δεῦρο, καὶ ἀποστείλω σε πρὸς Φαραώ, κτλ. Ἐξόδ. γ, 5, 9, 10.	πος ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί. Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα, καὶ κατέβην ἐξελέσθαι αὐτούς. Καὶ νῦν δεῦρο,ἀποστείλω σε πρὸς Φαραὼ βασιλέα Αἰγύπτου. Ἐξ. γ,5,7,10.	στηκας, γῆ ἁγία ἐστίν. Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐτούς. Καὶ νῦν δεῦρο, ἀποστελῶ σε εἰς Αἴγυπτον. ζ, 33, 34.
72) Ποίησον ἡμῖν θεοὺς, οἳ πορεύσονται ἔμπροσθεν ἡμῶν· ὅτι τούτῳ τῷ Μωσῇ τῷ ἀνθρώπῳ, ὃς ἀναβῆναι πεποίηκεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ ἔγνωμεν τί γέγονεν αὐτῷ. Ἐξ. λϐ, 1.	Ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωσῆς οὗτος ὁ ἄνθρωπος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. Ἐξ. λϐ, 1.	Ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ· ζ, 40.
73) Μὴ θύματα καὶ δῶρα προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη οἶκος Ἰσραήλ; καὶ ἐβαστάσατε Σικκοὺθ τὸν βασιλέα ὑμῶν, καὶ Κιοὺν τῶν εἰκόνων ὑμῶν, καὶ τὸ ἄστρον τῶν θεῶν ὑμῶν, οὓς ἐποιήσατε ἑαυτοῖς. Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα τῆς Δαμα-	Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι, οἶκος Ἰσραὴλ, τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ; Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ἡμῶν Ῥαιφὰν, τοὺς τύπους αὐτῶν οὓς ἐποιήσατε ἑαυτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ.	Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ; Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος·

Ἑβραϊκὸν	Οἱ Ο	Πράξεις.
σκοῦ. Ἀμὼς ε, 25, 27.	Ἀμὼς ε, 25 (βλ. καὶ Βιβλ. Β. σελ. 235).	κεφ. ζ, 42, 43, (α).
74) Οὕτως εἶπε Κύριος· οἱ Οὐρανοὶ θρόνος μου, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῦ ἐκεῖνος ὁ οἶκος, ὃν οἰκοδομήσετέ μοι; καὶ ποῦ ὁ τόπος τῆς ἀναπαύσεώς μου; καὶ πάντα ταῦτα ἡ χείρ μου ἐποίησεν. Ἠσαΐ. ξς. 1, 2.	Οὕτω λέγει Κύριος, Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ ποῖος τόπος τῆς καταπαύσεώς μου; Πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου. Ἠσαΐ. ξς, 1, 2.	Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; λέγει Κύριος· ἢ τίς τόπος τῆς καταπαυσεώς μου; Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα; ζ. 49, 50.
75) Ὡς ἀμνὸς πρὸς σφαγὴν ἀχθήσεται, καὶ ὡς πρόβατον ἐνώπιον τῶν κειρόντων αὐτὸ ἐσίγησε, καὶ οὐκ ἀνοίγει τὸ σόμα αὐτοῦ. Ἐκ καθείρξεως καὶ ἐκ κριτηρίου ὑφηρέθη, καὶ τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι ἀπεκόπη ἐκ γῆς ζώντων. Ἠσαΐ. νγ, 7. (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 839).	Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Ἠσαΐ. νγ, 7.	Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη, τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. η, 32, 33.
76) Εὗρον Δαβὶδ τὸν δοῦλόν μου - ἄν-	Εὗρον Δαβὶδ τὸν δοῦλόν μου - ἄνδρα	Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κα-

(α) Ἀντὶ Δαμασκοῦ, Βαβυλῶνος εἶπεν ὁ θεόπνευστος ἀπόστολος, ἐξηγηματικῶς δηλοποιῶν τὴν ἐπέκεινα τῆς Δαμασκοῦ χώραν, τὴν Βαβυλῶνα, καὶ τὴν εἰς αὐτὴν μετοικεσίαν τῶν Ἰσραηλιτῶν, καθ' ἣν οὐ μόνον τῆς Δαμασκοῦ, ἀλλὰ καὶ αὐτῆς τῆς πόλεως Βαβυλῶνος ἐπέκεινα μετῳκίσθησαν καθ' ὅλην τὴν Ἀσσυρίαν καὶ Μηδείαν. Οὕτως εἶπε καὶ Ἠσαΐας « ἐπάνω Βαβυλῶνος » (ι, 9)

Ἑβραϊκὸν	Οἱ Ο	Πράξεις.
δρα κατὰ τὴν καρδίαν μου. Ψαλμ. πθ, 20. Α. Βασ. ιγ, 14: 15, 12.	κατὰ τὴν καρδίαν (μου). Ψαλμ. πη, 20: οζ, 70. Α. Βασ. ιγ, 14: 15, 12. πρβλ. Πραξ. ζ, 45.	τὰ τὴν καρδίαν μου, ὅς ποιήσει πάντα τὰ θελήματά μου· ιγ, 22.
77) Υἱός μου σὺ, ἐγὼ σήμερον ἐγέννησά σε. Ψαλμ. β. 7.	Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Ψαλ. β. 7.	Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. ιγ, 33.
78) Καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰῶνος, τὰ ἐλέη Δαβὶδ τὰ πιςά. Ἠσαϊ. νε, 3.	Καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἠσαϊ. νε, 3.	Δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά. ιγ, 34.
79) Ἴδετε ἐν ἔθνεσι, καὶ ἐπεβλέψατε, καὶ ἐκπλάγητε, ἐκθαμβήθητε· ὅτι ἔργον ἐργαζόμενος (εἰμὶ) ἐν ταῖς ἡμέραις ὑμῶν· οὐ πιςεύσετε, ὅτε διηγηθήσεται. Ἀββακ. α, 5.	Ἴδετε οἱ καταφρονηταὶ, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθητε· διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιςεύσητε, ἐάν τις ἐκδιηγῆται. Ἀββ. α, 5.	Ἴδετε οἱ καταφρονηταὶ, καὶ θαυμάσατε, καὶ ἀφανίσθητε. Ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ᾧ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. ιγ, 41.
80) Καὶ ἔδωκά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε σωτηρίαν μου ἕως ἐσχάτου τῆς γῆς. Ἠσαΐ. μθ, 6.	Τεθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. Ἠσαΐ. μθ, 6.	Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. ιγ, 47.
81) Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνορθώσω τὴν σκηνὴν Δαβὶδ τὴν καταπίπτουσαν, καὶ φράξω τὰ ῥήγματα αὐτῆς, καὶ τὰ διεῤῥωγότα αὐτῆς ἀνορθώσω, καὶ οἰκοδομήσω αὐτὴν ὡς (ἐν) ἡ-	Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτὴν, κα-	Μετὰ ταῦτα ἀναστρέψω, καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτήν. Ὅπως ἂν ἐκζητήσωσιν οἱ

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ῥωμαίους.
μέραις αἰῶνος. Ὅπως κτήσωνται τὸ κατάλοιπον Ἐδὼμ, καὶ πάντα τὰ ἔθνη, ἐφ' ἃ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτὰ, εἶπε Κύριος, ὁ ποιῶν τοῦτο. Ἀμὼς θ, 11, 12 (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 957).	θῶς αἱ ἡμέραι τοῦ αἰῶνος. Ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς· λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα. Ἀμὼς θ, 11, 12 (Ἀλεξ.).	κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς· λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα. ιε, 16, 17.
82) Καὶ τῷ ἡγουμένῳ ἐν τῷ λαῷ σου οὐ καταράσῃ. Ἐξόδ. κβ, 27).	Ἄρχοντα τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς. Ἐξοδ. κβ, 28.	Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. κγ, 5.
83) Καὶ ὁ δίκαιος ἐν πίστει αὐτοῦ ζήσεται. Ἀββακ. β, 4.	Ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται. Ἀββ. β, 4.	Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. π. ΡΩΜΑΙΟΥΣ. α, 17.
84) Καὶ διηνεκῶς ὅλην τὴν ἡμέραν τὸ ὄνομά μου βλασφημεῖται. Ἡσαΐ. νβ, 5.	Δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. Ἡσ. νβ, 5.	Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι. β, 24.
85) Ὅπως ἂν δίκαιος ᾖς, ἐν τῷ λαλεῖν σε, καὶ καθαρὸς ᾖς ἐν τῷ κρίνειν σε. Ψαλμ. να, 6.	Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ψαλμ. ν, 4.	Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. γ, 4.
86) Οὐκ (ἔστι) ποιῶν ἀγαθόν. Κύριος ἐκ τῶν οὐρανῶν ἐπέβλεψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν, ζητῶν τὸν Θεόν. Πᾶς ἐξέκλινεν ἐπίσης, σαπροὶ ἐγέ-	Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα	Οὐκ ἔστι δίκαιος οὐδὲ εἷς· οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. γ, 10, 12.

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ῥωμαίους.
νοντο· οὐκ (ἔστι) ποιῶν ἀγαθόν· οὐκ (ἔστι) κἂν εἷς. Ψαλμ. ιδ, 1—3.	ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Ψαλμ. ιγ, 1-3.	
87) Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, τῇ γλώσσῃ αὐτῶν θωπεύουσι. Ψαλ. ε. 9.	Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Ψαλμ. ε, 9.	Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· γ, 13.
88) Ἰὸς ἀσπίδος ὑπὸ τὰ χείλη αὐτῶν· Ψαλμ. ρμ. 3.	Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Ψαλ. ρλθ, 3.	Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. γ, 13.
89) Ἀρᾶς τὸ στόμα αὐτοῦ πλῆρές ἐστι καὶ δόλων. Ψαλμ. ι, 7.	Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας. Ψαλμ. θ, 7.	Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει. γ, 14.
90) Οἱ πόδες αὐτῶν εἰς τὸ κακὸν δραμοῦνται, καὶ σπεύσουσι πρὸς τὸ ἐκχέαι αἷμα ἀθῷον.—Ἐρήμωσις καὶ συντριβὴ ἐν ταῖς τρίβοις αὐτῶν· ὁδὸν εἰρήνης οὐκ ἔγνων. Ἡσαΐ. νθ, 7, 8.	Οἱ δὲ πόδες αὐτῶν ἐπὶ πονηρίαν τρέχουσι, ταχινοὶ ἐκχέαι αἷμα. — Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασι. Ἡσ. νθ, 7, 8.	Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα. Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. ιγ, 15-17.
91) Οὐκ (ἔστι) φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. Ψαλμ. λς, 1.	Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. Ψαλ. λε, 1.	Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. γ, 18.
92) Καὶ ἐπίστευσεν εἰς τὸν Κύριον, καὶ τοῦτο ἐλογίσατο αὐτῷ δικαιοσύνην. Γενέσ. ιε, 6.	Ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Γενέσ. ιε, 6.	Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. δ, 3.
93) Μακαρισμοὶ τῷ ἀφεθέντι ἀπὸ ἀνομίας, καλυφθέντος	Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ	Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ

Ἑβραϊκόν.	οἱ Ο.	Π. Ῥωμαίους.
ἁμαρτήματος. Μακαρισμοὶ τῷ ἀνθρώπῳ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἀδικίαν. Ψαλ. λϐ, 1, 2.	ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. Ψαλμ. λα, 1, 2.	ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. δ, 7, 8.
94) Πατέρα πλήθους ἐθνῶν δέδωκά σε. Γενέσ. ιζ, 5.	Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. Γενέσ. ιζ. 5.	Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. δ, 17.
95) Οὕτως ἔςαι τὸ σπέρμα σου· Γενέσ. ιε, 5.	Οὕτως ἔσται τὸ σπέρμα σου. Γενέσ. ιε, 5.	Οὕτως ἔσται τὸ σπέρμα σου. δ, 18.
96) Ὅτι διὰ σὲ κτεινόμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατον σφαγῆς. Ψαλμ. μδ, 23.	Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ψαλμ. μγ, 22.	Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν. ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. η, 36.
97) Ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· Γεν. κα, 12.	Ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. Γεν. κα, 12.	Ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. θ, 7.
98) Ἐπιστρέφων ἐπιστρέψω πρὸς σὲ κατὰ τὸν καιρὸν τῆς ζωῆς, καὶ ἰδοὺ υἱὸς (ἔςαι) Σάῤῥᾳ τῇ γυναικί σου. Γενέσ. ιη, 10.	Ἐπαναστρέφων ἥξω πρόςσε κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάῤῥα ἡ γυνή σου. Γενέσ. ιη, 10.	Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός. θ, 9.
99) Καὶ ὁ πολὺς (μείζων) δουλεύσει τῷ ἐλάσσονι. Γενέσ. κε, 23.	Καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. Γεν. κε, 23.	Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. θ, 12.
100) Καὶ ἠγάπησα τὸν Ἰακὼϐ, καὶ τὸν Ἡσαῦ ἐμίσησα. Μαλ. α, 2, 3.	Καὶ ἠγάπησα τὸν Ἰακὼϐ, τὸν δὲ Ἡσαῦ ἐμίσησα. Μαλαχ. α, 2, 3.	Τὸν Ἰακὼϐ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. θ, 13.
101) Καὶ χάριν δώσω, ᾧ χάριν δώσω,	Καὶ ἐλεήσω, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω,	Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ῥωμαίους.
καὶ ἐλεήσω, ὃν ἂν ἐλεήσω. Ἐξόδ. λγ, 19.	ὃν ἂν οἰκτείρω Ἐξ. λγ, 19.	ὃν ἂν οἰκτείρω. θ, 15.
102) Καὶ τῷ ὄντι διὰ τοῦτο στῆναί σε ἐποίησα, ἵν' ἰδεῖν ποιήσω σε τὴν δύναμίν μου, καὶ εἰς τὸ διαγγελῆναι τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. Ἐξόδ. θ, 16.	Καὶ ἕνεκεν τούτου διετηρήθης, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. Ἐξ. θ, 16, (βλ. ὄπισθ. σελ. 283).	Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. θ. 17.
103) Καὶ ἐλεήσω τὴν *Λο-ρουχαμὰ* (οὐκ ἠλεημένην), καὶ καλέσω τὸν *Λο-χαμμὶ*, (οὐ λαόν μου), λαός μου εἶ σύ. Ὡσηὲ β, 23 (α).	Καὶ ἀγαπήσω τὴν οὐκ ἠγαπημένην, καὶ ἐρῶ τῷ οὐ λαῷ μου, λαός μου εἶ σύ. Ὡσηὲ, β, 23.	Καλέσω τὸν οὐ λαόν μου, λαόν μου, καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην. θ, 25.
104) Καὶ ἔσται ἐν τῷ τόπῳ, ἐν ᾧ ἐλέχθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, λεχθήσεται αὐτοῖς, υἱοὶ Θεοῦ ζῶντος. Ὡσηὲ, α, 10.	Καὶ ἔσται ἐν τῷ τόπῳ τούτῳ, οὗ ἐῤῥέθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, κληθήσονται καὶ αὐτοὶ υἱοὶ Θεοῦ ζῶντος. Ὡσηὲ, α, 10.	Καὶ ἔσται ἐν τῷ τόπῳ τούτῳ, οὗ ἐῤῥήθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος. θ, 26.
105) Καὶ ἐὰν γένηται ὁ λαός σου Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλοιπον ἐπιστραφήσεται ἐν αὐτῷ (ἢ ἐξ αὐτοῦ). Συντέλεια τετμημένη πλημμυροῦσα δικαιοσύνην. Ὅτι συντέλειαν καὶ συντο-	Καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται. Λόγον συντελῶν, καὶ συντέμνων ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον Κύριος ποιήσει ἐν τῇ οἰκου-	Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, το κατάλειμμα σωθήσεται. Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς. θ,

(α) Οὕτως ἀνεξήγητα ἐῶσιν οἱ νεώτεροι ἑρμηνεῖς τὰ ὀνόματα, ὡς ἐπωνύμια προσηγορικὰ, ἵνα ᾖ, τὴν πρότερον καλουμένην Λο-ρουχαμα (οὐκ ἐλεημοσύνην). κτλ.

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ῥωμαίους.
μίαν Κύριος, Κύριος τῶν δυνάμεων ποιεῖ ἐν μέσῳ ὅλης τῆς γῆς. Ἡσαΐ. ι, 21, 23.	μένῃ ὅλῃ. Ἡσαΐ. ι, 22, 23. (βλ. ὄπισθ. σελ. 292).	27, 28.
106) Εἰ μὴ Κύριος Σαβαὼθ κατέλιπεν ἡμῖν ὑπόλοιπον ὀλίγον, ὡς Σόδομα ἂν ἐγενήθημεν αὐτοὶ, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν. Ἡσαΐ. α, 9.	Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν. Ἡσ. α, 9.	Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν. θ, 29.
107) Καὶ εἰς λίθον προσκρούσεως, καὶ εἰς πέτραν σκανδάλου. Ἡσαΐ. η, 14.	Καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσεσθε, οὐδὲ ὡς πέτρας πτώματι. Ἡσ. η, 14. (βλ. ὄπισθ. σελ. 271).	Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται. θ, 33.
108) Ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται ἐν αὐτοῖς. Λευϊτ. ιη, 5.	Ἃ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. Λευϊτ. ιη, 5.	Ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. ι, 5.
109) Οὐκ ἐν τοῖς οὐρανοῖς (ἐστιν) αὐτὸ, ὥστε λέγειν· Τίς ἀναβήσεται ἡμῖν εἰς τὸν οὐρανὸν, καὶ λήψεται ἡμῖν αὐτὸ, καὶ ἀκουτίσει ἡμᾶς αὐτὸ, καὶ ποιήσομεν αὐτό; Οὐδὲ πέραν τῆς θαλάσσης αὐτὸ, ὥστε λέγειν· Τίς ἡμῖν περάσει εἰς τὸ πέραν τῆς θαλάσσης, καὶ λήψεται ἡμῖν αὐτὸ, καὶ	Οὐκ ἐν τῷ οὐρανῷ ἄνω ἐστὶ, λέγων· Τίς ἀναβήσεται ἡμῖν εἰς τὸν οὐρανὸν, καὶ λήψεται ἡμῖν αὐτὴν, καὶ ἀκούσαντες αὐτὴν ποιήσομεν; Οὐδὲ πέραν τῆς θαλάσσης ἐςὶ, λέγων· Τίς διαπεράσει ἡμῖν εἰς τὸ πέραν τῆς θαλάσσης, καὶ λάβῃ ἡμῖν αὐτὴν, καὶ ἀκουστὴν ἡμῖν ποιήσῃ αὐτὴν, καὶ ποιή-	Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; (τοῦτ' ἔςι Χριστὸν καταγαγεῖν). Ἢ, τίς καταβήσεται εἰς τὴν ἄβυσσον; (τοῦτ' ἔςι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν). Ἐγγύς σου τὸ ῥῆμά ἐςιν, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου. ι, 6—8.

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ῥωμαίους.
ἀκουστὸν αὐτὸ ποιήσει ἡμῖν, καὶ ποιήσομεν αὐτό; Ὅτι πλησίον παρὰ σοὶ τὸ ῥῆμα σφόδρα, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, τοῦ ποιεῖν αὐτό. Δευτερ. λ, 12.	σομεν; Ἐγγύς σου ἐστὶ τὸ ῥῆμα σφόδρα, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, καὶ ἐν ταῖς χερσί σου ποιεῖν αὐτό. Δευτερ. λ. 12, 13	
110) Ὡς κόσμιοι (decori) ἐπὶ τῶν ὀρέων οἱ πόδες τοῦ ἀναγγέλλοντος (εὐαγγελιζομένου), τοῦ ποιοῦντος ἀκούειν εἰρήνην, τοῦ ἀναγγέλλοντος ἀγαθόν. Ἡσαΐ. νϐ, 7.	Ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά. Ἡσ. νϐ, 7.	Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. ι, 15. (βλ. ὄπισθ. σελ. 273).
111) Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ἡ γραμμὴ αὐτῶν, καὶ εἰς τὸ ἔσχατον τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ψαλμ. ιθ, 4.	Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ψαλμ. ιη, 4.	Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ι, 18.
112) Καγὼ ζηλῶσαι ποιήσω αὐτοὺς ἐπ' οὐ λαῷ, ἐπὶ ἔθνει ἀσυνέτῳ ὀργίζεσθαι ποιήσω αὐτούς. Δευτερ. λϐ, 21.	Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. Δευτ. λϐ, 21.	Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει· ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. ι, 19.
113) Ἐζητήθην τοῖς μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς μὴ ζητοῦσί με. — Ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λα-	Ἐμφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. — Ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡ-	Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν — Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ῥωμαίους.
ὃν ἀπειθοῦντα. Ἡσαΐ. ξε, 1, 2.	μέραν πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα. Ἡσαΐ. ξε, 1, 2.	πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. ι, 20, 21.
114) Τὰ θυσιαστήριά σου καθεῖλον, καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ξίφει· καὶ ἀπέμεινα ἐγὼ μόνος· καὶ ἐζήτησαν τὴν ψυχήν μου τοῦ λαβεῖν αὐτήν. Γ. Βασιλ. ιθ, 14.	Τὰ θυσιαστήριά σου καθεῖλον, καὶ τοὺς προφήτας σου ἐπέκτειναν ἐν ῥομφαίᾳ· καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. Γ. Βασιλ. ιθ, 14.	Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. ια, 3.
115) Καὶ ἀπομεῖναι ποιήσω ἐν Ἰσραὴλ ἑπτὰ χιλιάδας, πάντα γόνατα, ἃ οὐκ ἔκαμψαν ἑαυτὰ τῷ Βάαλ. Γ. Βασιλ. ιθ, 18.	Καὶ καταλείψεις ἐν Ἰσραὴλ ἑπτὰ χιλιάδας ἀνδρῶν, πάντα γόνατα, ἃ οὐκ ὤκλασαν γόνυ τῷ Βάαλ. Γ. Βασιλ. ιθ, 18 (βλ. ὄπισθ. σελ. 286).	Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. ια, 4.
116) Ὅτι ἐκέρασεν ἐφ᾽ ὑμᾶς ὁ Θεὸς πνεῦμα καρώσεως, καὶ συνέκλεισε τοὺς ὀφθαλμοὺς ὑμῶν. Ἡσ. κθ, 10. ς, 9: Ἰεζ. ιϐ, 2.	Ὅτι πεπότικεν ὑμᾶς Κύριος πνεύματι κατανύξεως, καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν. Ἡσαΐ. κθ, 10 (πρβλ. Ἡσ. ς, 9. Ἰεζεκ. ιϐ, 2).	Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν. ια, 8.
117) Ἔσται ἡ τράπεζα αὐτῶν κατὰ πρόσωπον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταποδόσεις ἐν σκανδάλῳ. Σκοτισθήσονται οἱ ὀφθαλμοὶ αὐτῶν ἀπὸ τοῦ βλέπειν, καὶ τὰς ὀσφῦς αὐτῶν διὰ	Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς	Γεννηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα, καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταπόδομα αὐτοῖς. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν δια-

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ῥωμαίους.
παντὸς νεύειν ποιήσεις. Ψαλ. ξθ, 22, 23,	σύγκαμψον. Ψαλ. ξη, 22,23.	παντὸς σύγκαμψον. ια, 9, 10.
118) Καὶ ἥξει πρὸς Σιὼν ὁ λυτρωτὴς, καὶ πρὸς τοὺς ἐπιστρέφοντας ἀπὸ παραβάσεως ἐν Ἰακώβ. Καὶ ἐγὼ ταύτην τὴν διαθήκην (διαθήσομαι) μετ' αὐτῶν. Ἡσαΐ. νθ, 20, 21. κζ, 9.	Ἥξει ἕνεκεν Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ. Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη. Ἡσαΐ. νθ, 20, 21. (πρβλ. κζ, 9).	Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ. Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. ια, 26, 27.
119) Ἐμοὶ ἐκδίκησις καὶ ἀνταπόδοσις. Δευτ. λβ, 35.	Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω. Δευτ. λβ, 35.	Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. ιβ, 19. (Ἑβρ. ι, 30).
120) Τίς ἐστάθμισεν (*ἄλλος, ἐδίδαξε*) τὸ πνεῦμα Κυρίου; καὶ (τίς) ἄνθρωπος βουλὴν αὐτοῦ εἰδέναι ἐποίησεν αὐτόν; Ἡσ. μ. 13.	Τίς ἔγνω νοῦν Κυρίου; καὶ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς *προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ*; Ἡσαΐ. μ, 13, 14. Ἀλεξ. (α)	Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ *τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ*; ια, 35, 36.
121) Ἐὰν πεινάσῃ ὁ μισῶν σε, τρέφε αὐτὸν ἄρτῳ· καὶ ἐὰν διψήσῃ, πότιζε αὐτὸν ὕδατι. Ὅτι ἄνθρα-	Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυ-	Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυ-

(α) Τὸ, ἢ τίς προέδωκεν αὐτῷ, κτλ. κεῖται ἐν τῷ Ἀλεξ. κἀν τῇ τοῦ Ἄλδου ἐκδόσει· λείπει δ' ἐκ τοῦ Βατικανοῦ· ὡσαύτως καὶ ἐκ τοῦ Ἑβραϊκοῦ. Οὐδὲ παρὰ Κυρίλλῳ καὶ Προκοπίῳ γέγραπται. (Ὁ δὲ μάρτυς Ἰουστῖνος ἐπιτομώτερον τὸ ῥητὸν ἐξήνεγκε, Διαλ. π. Τρύφ. §. 50, ὡς καὶ αὐτὸς ὁ θεῖος Παῦλος ἀλλαχοῦ. βλ. ἐφεξῆς Α. Κορ. β. 16). Ὁ Δρούσιος καὶ ἄλλοι τῶν νεωτέρων ἀναφέρουσι τὴν ῥῆσιν εἰς τὰ τοῦ Ἰὼβ, μα. 2. ὅπου τὸ Ἑβρ. ἔχει « τίς προηγήσατό μου, καὶ πληρώσω; » (quis praecessit me, et perficiam? ἄλλοι δὲ ἄλλως)· ἀλλ' οὔτε τὸ ῥητὸν ἐφαρμόζεται ἀκριβῶς, καὶ οἱ Ο (οἷς ἐχρῆτο ὁ Ἀπόστολος) ἄλλως ἀνέγνων ἐν τῷ Ἰώβ.

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ῥωμαίους.
κας (πυρὸς) ἀναλαμβάνεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Παροιμ. κε, 21,22.	ρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Παροιμ. κε, 21, 22.	ρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ιϐ, 20.
122) Κατ' ἐμαυτοῦ ὤμοσα. ἐξῆλθεν ἐκ τοῦ στόματός μου δικαιοσύνης λόγος, καὶ οὐκ ἀποστραφήσεται· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, ὀμώσει πᾶσα γλῶσσα. Ἡσαΐ. με, 23	Κατ' ἐμαυτοῦ ὀμνύω, εἰ μὴ ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη· οἱ λόγοι μου οὐκ ἀποστραφήσονται. Ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν Θεόν. Ἡσαΐ. με, 23.	Ζῶ ἐγώ, λέγει Κύριος· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ ιδ, 11.
123) Οἱ ὀνειδισμοὶ τῶν ἐξονειδιζόντων σε ἔπεσον ἐπ' ἐμέ. Ψαλμ. ξθ, 9.	Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Ψαλμ. ξη, 9.	Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. ιε 4.
124) Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ. Ψαλμ. ιη, 50.	Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ. Ψαλμ. ιζ, 49.	Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ. ιε, 9.
125) Αἰνεῖτε ἔθνη τὸν λαὸν αὐτοῦ. Δευτ. λϐ. 43.	Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. Δευτερ. λϐ, 43. (ϐλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 540).	Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. ιε, 10.
126) Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, αἰνεῖτε αὐτὸν πάντες οἱ λαοί. Ψαλμ. ριζ. 1.	Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Ψαλμ. ρις, 1.	Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσετε αὐτὸν πάντες οἱ λαοί. ιε, 11.
127) Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, ἥτις	Καὶ ἔςαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνι-	Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν·

Ἑβραϊκὸν	Οἱ Ο	Α. π. Κορινθίους.
στήσεται εἰς σημεῖον λαῶν. πρὸς αὐτὴν ἔθνη ἐκζητήσουσι. Ἡσαΐ ια, 10.	στάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. Ἡσαΐ ια, 10.	ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. ιε, 12.
128) Ὅτι ὃ οὐκ ἐλαλήθη αὐτοῖς, ὄψονται, καὶ ὃ οὐκ ἤκουσαν, συνήσουσι. Ἡσ. νϐ, 15.	Ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι. Ἡσ. νϐ, 15.	Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται. καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι. ιε, 21.
129) Καὶ ἀπολεῖται ἡ σοφία τῶν σοφῶν αὐτοῦ, καὶ ἡ σύνεσις τῶν συνετῶν αὐτοῦ ἀποκρυβήσεται. Ἡσ. κθ. 14.	Καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω. Ἡσ. κθ, 14.	Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. Α. π. ΚΟΡΙΝΘΙΟΥΣ. α, 19.
130) Ποῦ γραμματεύς; ποῦ σταθμιστής; ποῦ ὁ ἀριθμῶν; κτλ. Ἡσαΐ. λγ, 18.	Ποῦ εἰσιν οἱ γραμματικοί; ποῦ εἰσιν οἱ συμβουλεύοντες; ποῦ ἐστιν ὁ ἀριθμῶν; κτλ. Ἡσαΐ. λγ, 18.	Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητής; κτλ. α, 20.
131) Ἐν τούτῳ ἐπαινείτω ἑαυτὸν ὁ ἐπαινούμενος, συνιεῖν καὶ γινώσκειν με, ὅτι ἐγὼ Κύριος. Ἱερ. θ, 24.	Ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν τὸν Κύριον. Α. Βασ. β, 10: Ἱερ. θ, 24.	Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω. α, 31.
132) Καὶ ἀπὸ τοῦ αἰῶνος οὐκ ἤκουσαν, οὐδ' ἀντελάβοντο ὠσίν. Ὀφθαλμὸς οὐκ εἶδε Θεὸν, πλήν σου· ποιήσει τῷ ὑπομένοντι αὐτόν. Ἡσαΐ. ξδ, 4. (βλ. ὄπισθ. σελ. 274).	Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλήν σου, καὶ τὰ ἔργα σου, ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον. Ἡσαΐ. ξδ, 4.	Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. β, 9.
133) Τίς ἐστάθμισε τὸ πνεῦμα Κυρίου; καὶ τίς ἄνθρωπος	Τίς ἔγνω νοῦν Κυρίου; καὶ τίς σύμβουλος αὐτοῦ ἐγέ-	Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ὃς συμβιβάσει αὐτόν; β, 16.

Ἑβραϊκὸν	Οἱ Ο	Α. π. Κορινθίους.
βουλὴν αὐτοῦ εἰδέναι ἐποίησεν αὐτόν; μεθ' οὗ συνεβουλεύσατο; Ἡσαΐ. μ, 13.	νετο, ὃς συμβιβάσει αὐτόν; Ἡσαΐ. μ, 13. (Ἀλεξ.)	(βλ. καὶ ἀνωτ. Ῥωμ. ια, 35).
134) Συλλαμβάνων τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. Ἰὼβ ε, 13.	Ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει αὐτῶν. Ἰὼβ ε, 13.	Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. γ, 19.
135) Κύριος γινώσκων τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι αὐτοί (εἰσι) ματαιότης. Ψαλ. ϥδ, 11.	Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι. Ψαλμ. ϥγ, 11.	Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι. γ, 20.
136) Καὶ ἀφελεῖς τὸν κακὸν ἐκ μέσου σου. Δευτ. ιζ, 7.	Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν. Δευτ. ιζ, 7.	Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. ε, 13.
137) Οὐκ ἀποφράξεις (τὸ στόμα) βοὸς ἐν τῷ ἀλοᾷν αὐτόν. Δευτ. κε, 4.	Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Δευτ. κε, 4.	Οὐ φιμώσεις βοῦν ἀλοῶντα. θ, 9.
138) Καὶ ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν γελᾷν. Ἐξόδ. λβ, 6.	Καὶ ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. Ἐξοδ. λβ, 6.	Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. ι, 7.
139) Ἔθυσαν δαιμονίοις, οὐ Θεῷ. Δευτ. λβ, 17.	Ἔθυσαν δαιμονίοις, καὶ οὐ Θεῷ. Δευτ. λβ, 17.	Ἀλλ' ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ Θεῷ. ι, 20.
140) Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Ψαλ. κδ, 1.	Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Ψαλ. κγ, 1.	Τοῦ γὰρ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. ι, 26.
141) Ὅτι ἐν τραυλίζουσι χείλεσι, καὶ ἐν γλώσσῃ ἑτέρᾳ λαλήσει πρὸς τὸν λαὸν τοῦτον- καὶ οὐκ ἠθέλησαν ἀκοῦσαι. Ἡσ.	Διὰ φαυλισμὸν χειλέων, διὰ γλώσσης ἑτέρας ὅτι λαλήσουσι τῷ λαῷ τούτῳ - καὶ οὐκ ἠθέλησαν ἀκούειν. Ἡσ. κη, 11, 12. (βλ.	Ὅτι ἐν ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος. ιδ,

Ἑβραϊκὸν	Οἱ Ο	Α. π. Κορινθίους.
κη, 11, 12.	ὄπισθ. σελ. 276).	21.
142) Πάντα ἔθηκας ὑπὸ τοὺς πόδας αὐτοῦ. Ψαλ. η, 6.	Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ψαλμ. η, 6.	Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. ιε, 27.
143) Φάγωμεν καὶ πίωμεν, αὔριον ἀποθνήσκομεν. Ἡσαΐ. κβ, 13.	Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. Ἡσ. κβ, 13.	Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. ιε, 32.
144) Καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Γενέσ. β, 7.	Καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Γενέσ. β. 7.	Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν. ιε, 45·
145) Ἀποῤῥοφήσει ὁ θάνατος (ἄλλ. τὸν θάνατον) εἰς αἰῶνας. Ἡσ. κε, 6.	Κατέπιεν ὁ θάνατος ἰσχύσας. Ἡσ. κε, 8. (βλ. ὄπισθ. σελ. 284).	Κατεπόθη ὁ θάνατος εἰς νῖκος. ιε, 54.
146) Ἔσομαι λοιμός σου, θάνατε· ἔσομαι ἐκκοπή σου, ᾅδη. Ὠσ. ιγ, 14.	Ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου, ᾅδη; Ὠσηὲ ιγ, 14. (βλ. ὄπισθ. σελ. 285).	Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; ιε, 55.
147) Ἐπίστευσα, ὅτι (ἄλλ. *καί τοι*) λαλήσω. Ψαλ. ριϛ, 10.	Ἐπίστευσα, διὸ ἐλάλησα. Ψαλ. ριε, 10.	Ἐπίστευσα, διὸ ἐλάλησα. Β. ΚΟΡΙΝΘ. δ, 13.
148) Ἐν καιρῷ ἀρεστῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Ἡσαΐ. μθ, 8.	Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Ἡσ. μθ, 8.	Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. ϛ, 2.
149 Καὶ θήσω τὴν κατοίκησίν μου ἐν μέσῳ ὑμῶν-, καὶ περιπατήσω ἐν μέσῳ ὑμῶν, καὶ ἔσομαι ὑμῖν εἰς Θεὸν, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς λαόν. Λευΐτ. κϛ. 11, 12.	Καὶ θήσω τὴν σκηνήν μου ἐν ὑμῖν, καὶ ἐμπεριπατήσω ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν Θεὸς, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός. Λευΐτ. κϛ, 11, 12.	Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. ϛ, 16. [Σημ. ἀντὶ τοῦ *θήσω τὴν σκηνήν μου*, γέγραπται, *ἐνοικήσω*·

Ἑβραϊκόν.	οἱ Ο.	Β. π. Κορινθίους.
		καὶ τοῦτο κατὰ τοὺς Ο, ἐξ ὁμοίας ῥήσεως τοῦ Ἡσαΐ. λϐ, 18].
150) Ἀποχωρεῖτε, ἀποχωρεῖτε, ἐξέλθετε ἐντεῦθεν, ἀκαθάρτου μὴ ἅψησθε, ἐξέλθετε ἐκ μέσου αὐτῆς, *καθάρθητε*.-Καὶ ὁ συνάγων ὑμᾶς, ὁ Θεὸς Ἰσραήλ· Ἡσ. νϐ, 11, 12.	Ἀπόστητε, ἀπόστητε, ἐξέλθετε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅψησθε, ἐξέλθετε ἐκ μέσου αὐτῆς, *ἀφορίσθητε*·— καὶ ὁ ἐπισυνάγων ὑμᾶς, Θεὸς Ἰσραήλ. Ἡσαΐ. νϐ, 11, 12.	Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ *ἀφορίσθητε*, λέγει Κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς. ς. 17.
151) Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. Β. Βασιλ. ζ, 14. (Ἐξόδ. δ, 22. Ἱερεμ. λη, 1, 9).	Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔςαι μοι εἰς υἱόν. Β. Βασιλ. ζ, 14. (Ἐξόδ. δ, 23. Ἱερεμ. λη, 1, 9).	Καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ. ς, 18.
152) Καὶ οὐ πλεονάζον ἐποίησεν ὁ πολυπλασιάζων, καὶ ὁ ἐλαττῶν οὐκ ἠλαττόνησεν. Ἐξόδ. ις, 18.	Οὐκ ἐπλεόνασεν ὁ τὸ πολὺ, καὶ ὁ τὸ ἔλαττον οὐκ ἠλαττόνησεν. Ἐξόδ. ις, 18.	Ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε. η, 15.
153) Καὶ νόησιν καλὴν ἐν ὀφθαλμοῖς Κυρίου καὶ ἀνθρώπων. Παροιμ. γ. 4.	Προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. Παρ. γ. 4.	Προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. η, 21.
154) Ἐσκόρπισεν, ἔδωκε τοὺς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ στήσεται εἰς τὸ διηνεκές. Ψαλμ. ριϐ, 9,	Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ψαλμ. ρια, 9.	Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. θ, 9.
155) Καὶ δώσει σπέρμα τῷ σπείροντι, καὶ ἄρτον τῷ ἐσθίον-	Καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν. Ἡσ. νε. 10.	Ὁ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν. κτλ.

Ἑβραϊκὸν	Οἱ Ο	Π. Γαλάτας.
τι. Ἠσ. νε, 10.		κεφ. θ, 10.
156) Ἐπὶ ςόματος δύω μαρτύρων, ἢ ἐπὶ στόματος τριῶν μαρτύρων στήσεται ῥῆμα. Δευτ. ιθ, 15.	Ἐπὶ ςόματος δύο μαρτύρων, καὶ ἐπὶ ςόματος τριῶν μαρτύρων στήσεται πᾶν ῥῆμα. Δευτ. ιθ, 15.	Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα. ιγ, 1. (καὶ Ματθ. ιη, 16).
157) Καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Γεν. ιβ, 3: ιη, 18.	Καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Γενέσ. ιϐ, 3: ιη, 18.	Ὅτι εὐλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη. ΓΑΛΑΤ. γ, 8.
158) Κατάρατος, ὃς οὐ στήσει τοὺς λόγους τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτούς. Δευτερ. κζ, 26.	Ἐπικατάρατος *πᾶς ἄνθρωπος*, ὃς οὐκ ἐμμένει ἐν *πᾶσι* τοῖς λόγοις τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτούς. Δευτερ. κζ, 26.	Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιϐλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. γ, 10.
159) Κατάρα, (τουτ. κεκατηραμένος ὑπὸ) Θεοῦ ὁ κρεμάμενος. Δευτ. κα, 23.	Κεκατηραμένος ὑπὸ Θεοῦ πᾶς κρεμάμενος *ἐπὶ ξύλου*. Δευτερ. κα, 23.	Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. γ, 13. [Σημείωσαι καὶ τὸ *ἐπικατάρατος* ἐκ τῶν Ο, πολλαχοῦ].
160) Εὐφραίνου στεῖρα (ἣ) οὐκ ἔτεκες, βόησον χαρμόσυνον καὶ κράξον ἡ οὐκ ὠδίνουσα· ὅτι πλείονες οἱ υἱοὶ τῆς ἐρήμου, ἢ υἱοὶ τῆς ὑπάνδρου. Ἡσαΐ. νδ, 1.	Εὐφράνθητι ςεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Ἡσαΐ. νδ, 1.	Εὐφράνθητι ςεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. δ, 27.
161) Ἔκϐαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς· ὅτι οὐ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ	Ἔκϐαλε τὴν παιδίσκην ταύτην, καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ	Ἔκϐαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευ-

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἐφεσ. Θεσσαλ.
μου, μετὰ Ἰσαάκ. Γενέσ. κα, 10.	μου Ἰσαάκ. Γεν. κα, 10.	θέρας. δ, 30.
162) Κτίζων εἰρήνην τῷ μακρὰν καὶ τῷ πλησίον. Ἠσαΐ. νζ, 19.	Καὶ ἔδωκα εἰρήνην ἐπ' εἰρήνῃ τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσι. Ἠσ. νζ, 19.	Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν, τοῖς μακρὰν καὶ τοῖς ἐγγύς. ΕΦΕΣ. β, 17.
163) Ἀνέβης εἰς ὕψος, ἤγαγες αἰχμάλωτον αἰχμαλωσίαν, ἔλαβες δῶρα ἐν ἀνθρώποις. Ψαλμ. ξη, 18.	Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις. Ψαλμ. ξζ, 18. (βλ. πισθ. σελ. 290).	Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. δ, 8.
164). Λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ. Ζαχαρ. η, 16.	Λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Ζαχ. η, 16.	Λαλεῖτε ἀλήθειαν ἕκαςος μετὰ τοῦ πλησίον αὐτοῦ. δ, 25.
165) Περιτρέμετε (ἄλλοι, συνταράσσεσθε), καὶ μὴ ἁμαρτάνετε. Ψαλ. δ. 4.	Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. Ψαλ. δ, 4.	Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. δ, 26.
166) Καιρὸν ἡμεῖς ἀγοράζετε. Δαν. β, 8.	Καιρὸν ὑμεῖς ἐξαγοράζετε. Δαν. β, 8.	Ἐξαγοραζόμενοι τὸν καιρόν. ε, 16.
167) Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα μακρυνθῶσιν αἱ ἡμέραι σου ἐπὶ τῆς γῆς. Ἐξόδ. κ, 12.	Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, *ἵνα εὖ σοι γένηται*, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς. Ἐξόδ. κ. 12.	Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. ς, 2, 3.
168) Καὶ ἐν πνεύματι χειλέων αὐτοῦ ἀποκτενεῖ ἀσεβῆ. Ἠσαΐ. ια, 4.	Καὶ ἐν πνεύματι διὰ χειλέων αὐτοῦ ἀνελεῖ ἀσεβῆ. Ἠσαΐ. ια, 4.	Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ. Β. ΘΕΣΣΑΛ. β, 8.
169) Ἀπὸ προσώ-	Ἀπὸ προσώπου	Ἀπὸ προσώπου

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἑβραίους.
που τοῦ τρόμου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τοῦ ὕψους αὐτοῦ. Ἡσαΐ. ϐ, 19.	τοῦ φόϐου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ. Ἡσαΐ. β, 19.	τοῦ Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ. α, 9.
170) Ἐν ἐσχάτῳ τῶν ἡμερῶν. Ἀριθ. κδ, 14.	Ἐπ' ἐσχάτου τῶν ἡμερῶν. Ἀριθμ. κδ, 14.	Ἐπ' ἐσχάτων τῶν ἡμερῶν. π. ΕΒΡΑΙΟΥΣ. α, 1.
171) (Τὸ ἑϐρ. λείπει, καὶ ὅλον τὸ τεῦχος τῆς Σοφ. Σολ.).	Ἀπόῤῥοια (ἐςὶν ἡ Σοφία) τῆς τοῦ Παντοκράτορος ΔΟΞΗΣ.-ΑΠΑΥΓΑΣΜΑ φωτὸς ἀϊδίου, καὶ ΕΙΚΩΝ τῆς ἀγαθότητος αὐτοῦ. Σοφ. Σολ. ζ, 25, 26.	Ὅς ὢν *ἀπαύγασμα τῆς δόξης*, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ (α, 3)· ὅς ἐστιν *εἰκὼν* τοῦ Θεοῦ τοῦ ἀοράτου. (Κολοσ. α, 15).
172) Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. Β. Βασιλ. ζ, 14.	Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. Β. Βασιλ. ζ, 14.	Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. α, 5. (βλ. ἀριθμ. 151).
173) [Ἐκ τοῦ ἑϐραϊκοῦ, λείπει ἐκπεπτωκός. βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 540] (α).	Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Δευτ. λϐ, 43.	Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. α, 6.
174) Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, τοὺς λειτουργοὺς αὐτοῦ *πῦρ φλέγον*. Ψαλ. ρδ, 4.	Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ *πυρὸς φλόγα*. Ψαλ. ργ. 4. (Ἀλεξ. Κομπλ. κλ. τὸ δὲ Βατικ. *πῦρ φλέγον*).	Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ *πυρὸς φλόγα*. α, 7.

(α) Μάτην ἀντικαθιστῶσί τινες τὸ τοῦ Ψαλμ. ϟς, 7. «προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτοῦ». Καὶ γὰρ καὶ ἐκ τούτου μαρτυρεῖται τὸ ἐν Δευτερ. λϐ, 43 (κατὰ τοὺς Ο), ὅθεν ἔλαϐε τὴν ῥῆσιν ὁ Ἀπόστολος. καὶ ἄλλα δὲ τοῦ ψαλμῳδοῦ σαφῶς ἐλήφθησαν ἐκ τοῦ Δευτερονομίου, καὶ τῶν λοιπῶν βιϐλίων τῆς Πεντατεύχου.

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἑβραίους.
175) Ὁ θρόνος σου, ὁ Θεὸς, αἰώνιος καὶ διηνεκής· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀσέβειαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἐλαίῳ ἀγαλλιάσεως ὑπὲρ τοὺς ἑταίρους σου. Ψαλμ. με, 6, 7.	Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Ψαλμ. μδ, 6, 7.	Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. α, 8, 9.
176) Πάλαι τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργον τῶν χειρῶν σου οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, καὶ σὺ στήσῃ, καὶ τὸ σύμπαν αὐτῶν (πάντες αὐτοὶ) ὡς ἐσθὴς παλαιωθήσονται, ὡς ἱμάτιον *ἀλλάξεις* αὐτοὺς, καὶ ἀλλαγήσονται· καὶ σὺ ὁ αὐτὸς (εἶ), καὶ τὰ	Κατ᾽ ἀρχὰς σὺ, *Κύριε*, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες, ὡς ἱμάτιον, παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον *ἑλίξεις* αὐτοὺς, καὶ ἀλλαγήσονται (α). Σὺ	Καὶ Σὺ κατ᾽ ἀρχὰς, *Κύριε*, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον *ἑλίξεις* αὐτοὺς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς

(α) Τὸ ἑλίξεις οἱ περὶ τὸν Ὅδιον (σελ. 274) καὶ ἄλλοι διορθοῦσιν εἰς τὸ ἀλλάξεις κατὰ τὸ ἑβραϊκόν. Οὕτως ἔχει καὶ ὁ Σύμμαχος, καὶ ἐκ τούτου ἡ Βουλγάτα (**mutabis**).- Κακῶς! τὴν ἀνάγνωσιν τῶν Ο, κυροῦσιν οἱ Ἀπόστολοι (ἀνωτέρ. καὶ Ἀποκ. ς, 14: «καὶ ὁ οὐρανὸς .. ὡς βιβλίον ἑλισσόμενον». καὶ Ἡσαΐ. λδ, 4, ὅπου δείκνυται ἡ γνησία ἀνάγνωσις τοῦ ἑβρ. Οὕτως εἶχε καὶ ἐν τῷ Ψαλμῷ). προβάλλουσιν ὡς ἀπόδειξιν τοῦ ἀλλάξεις, τὸ ἐφεξῆς ἀλλαγήσονται· (βλ. **Randolph, The Prophetics and other Texts etc. p. 42**). ἀλλὰ τοῦτο σημαίνει τὴν ἐξ ἄλλου εἰς ἄλλο ἀλλαγὴν τῶν οὐρανῶν· κατὰ τὸ «ἔσται ὁ οὐρανὸς καινός». (Ἡσαΐ. ξε, 17. Ἀποκ. κα, 1. Β. Πέτρ. γ, 13)· τοιοῦτο καὶ τὸ «πάντες ἀλλαγησόμεθα (Α. Κορινθ. ιε, 51). Συνεῖδον τὴν ἄτοπον τοῦ ἑλίξεις εἰς τὸ ἀλλάξεις ἀλλαγὴν καὶ τῶν νεωτέρων ἄλλοι τε, καὶ **Schmid, Versio Alexandrina etc. Specim. 1. p. 13. Lipsiae, 1763.**

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἑβραίους.
ἔτη σου οὐ τελευτήσουσι. Ψαλμ. ρβ, 25, 27.	δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Ψαλμ. ρα, 25,27.	εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. α, 10 12.
177) Τί (ἐστιν) ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, καὶ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; καὶ ἐλάττονα αὐτὸν ἐποίησας βραχύ τι παρὰ τὸν *Θεὶν* (ἄλλ. παρ' ἀγγέλους), καὶ δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. Κυριεύειν ἐποίησας αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν σου· πάντα ἔθηκας ὑπὸ τοὺς πόδας αὐτοῦ. Ψαλμ. η, 4—6.	Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ψαλμ. η,4—6.	Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν, βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. β. 6.
178) Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν μέσῳ ἐκκλησίας αἰνέσω σε. Ψαλμ. κϐ. 22.	Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. Ψαλ. κα, 22.	Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. ϐ, 12.
179) Καὶ περιμενῶ αὐτόν· ἰδοὺ ἐγὼ καὶ τὰ *παιδία*, ἃ ἔδωκέ μοι ὁ Κύριος. Ἡσα. η, 17, 18,	Καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἡσαΐ. η, 17, 18.	Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. β, 13.
180) Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνετε τὴν καρδίαν ὑμῶν, ὡς ἐν τῇ Μεριϐᾷ, ὡς κατὰ τὴν ἡ-	Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ἡμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ	Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἑβραίους.
μέραν τῆς Μασσᾶς ἐν τῇ ἐρήμῳ. Οὗ ἐπείρασάν με, οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με καὶ εἶδον τὸ ἔργον μου. Τεσσαράκοντα ἔτη προσώχθισα ἐν τῇ γενεᾷ, καὶ εἶπα· λαὸς πλανωμένων τῇ καρδίᾳ αὐτοί· καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὅτι ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν ἀνάπαυσίν μου. Ψαλμ. ϙε, 7-11.	πειρασμοῦ ἐν τῇ ἐρήμῳ. Οὗ ἐπείρασάν με οἱ πατέρες ἡμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Ψαλ. ϙδ, 7, 11.	πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκιμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον. Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. γ, 7—10.
181) Καὶ ἀνεπαύσατο (ὁ Θεὸς) ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ παντὸς τοῦ ἔργου αὐτοῦ, ὃ ἐποίησε. Γεν. β. 2, 3.	Καὶ κατέπαυσεν (ὁ Θεός) ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Γεν. ϐ, 2, 3.	Καὶ κατέπαυσεν (ὁ Θεὸς) τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· δ, 4.
182) Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὸ ῥῆμά μου, (ὦ) Μελχισεδέκ. Ψαλμ. ρι, 4.	Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. Ψαλμ. ρθ, 4. (ϐλ. καὶ ὄπισθ. Βιϐλ. Γ. σελ. 956).	Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ, ε, 6.
183) Καὶ εἶπεν· εἰς ἐμὲ *(αὐτόν)* ὤμοσα· εἶπε Κύριος, ὅτι εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου. Γενέσ. κϐ, 16, 17.	Λέγων· κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος. ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου. Γεν. κβ, 16, 17.	Ὁ Θεὸς - ὤμοσε καθ' ἑαυτοῦ, λέγων· Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. ϛ, 13, 14.
184) Ὤμοσε Κύ-	Ὤμοσε Κύριος, καὶ	Ὤμοσε Κύριος, καὶ

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἑβραίους.
ριος καὶ οὐ μεταμελήσει (αὐτῷ). Ψαλ. ρθ, 4.	οὐ μεταμεληθήσεται. Ψαλμ. ρθ, 4.	οὐ μεταμεληθήσεται. ζ, 21.
185) Καὶ ἴδε, καὶ ποίησον κατὰ τὴν ὁμοίωσιν αὐτῶν, ἥν σε ἰδεῖν ἐποίησα ἐν τῷ ὄρει. Ἐξόδ. κε, 40.	Ὅρα, ποιήσεις κατὰ τὸν τύπον τὸν δεδειγμένον σοι ἐν τῷ ὄρει. Ἐξόδ. κε, 40.	Ὅρα γάρ, φησι, ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. η, 5.
186) Ἰδοὺ ἡμέραι ἔρχονται, εἶπε Κύριος, καὶ τεμῶ μετὰ τοῦ οἴκου Ἰσραὴλ καὶ τοῦ οἴκου Ἰούδα διαθήκην καινήν. Οὐ κατὰ τὴν διαθήκην, ἣν ἔτεμον μετὰ τῶν πατέρων αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαμβανομένου μου τῆς χειρὸς αὐτῶν, πρὸς τὸ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ ἄκυρον ἐποίησαν τὴν διαθήκην μου, καὶ ἐγὼ *ἐκυρίευσα* αὐτῶν, εἶπε Κύριος. Ἀλλ' αὕτη (ἐστὶν) ἡ διαθήκη, ἣν τεμῶ μετὰ τοῦ οἴκου Ἰσραὴλ μετὰ τὰς ἡμέρας ταύτας, εἶπε Κύριος. Δώσω τὸν νόμον μου ἔνδοθι αὐ-	Ἰδοὺ ἡμέραι ἔρχονταί, φησι Κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν. Οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, καὶ ἐγὼ *ἠμέλησα* αὐτῶν, (α) φησὶ Κύριος. Ὅτι αὕτη ἡ διαθήκη μου, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ, μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶ Κύριος· Διδοὺς δώσω νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ	Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν. Οὐ κατὰ τὴν διαθήκην, ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν· ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος· Ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος· Διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ

(α) Τὸ στρεβλὸν τοῦ καθ' Ἑβραίους ἐ κ υ ρ ί ε υ σ α (ἢ, ἐδέσποσα), ἀντὶ τοῦ γνησίου ἠ μ έ λ η σ α, δείκνυσι καὶ αὐτὸ τὸ νόημα. Ὁμολογοῦσι δὲ καὶ πολλοὶ τῶν κριτικῶν (βλ. Hody p. 262). Ἡ δὲ Βουλγάτα ἐν μὲν τῷ Ἱερεμίᾳ ἔχει **dominatus sum** (ἐκυρίευσα)· ἐν δὲ τῷ Ἀποστόλῳ, **negl exi** (ἠ μ έ λ η σ α)!

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἑβραίους.
τῶν, καὶ ἐπὶ τῆς καρδίας αὐτῶν γράψω αὐτόν· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν· Καὶ οὐ διδάξουσι τοῦ λοιποῦ ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶτε τὸν Κύριον· πάντες γὰρ αὐτοὶ εἰδήσουσί με, ἀπὸ ἐλαχίστου ἕως μεγίστου αὐτῶν, εἶπε Κύριος. Ὅτι ἵλεως ἔσομαι τῇ ἀδικίᾳ αὐτῶν, καὶ τῆς ἁμαρτίας αὐτῶν οὐκέτι μνησθήσομαι. Ἱερ. λα, 31-34.	ἐπὶ καρδίας αὐτῶν γράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν· ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ἱερεμ. λη, 31-34.	καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. Καὶ οὐ μὴ διδάξωσιν ἕκαςος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαςος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, Γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν· ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. η, 8-13.
187) Ἰδοὺ τὸ αἷμα τῆς διαθήκης, ἣν ἔστησε Κύριος πρὸς ὑμᾶς. Ἐξόδ. κδ, 8.	Ἰδοὺ τὸ αἷμα τῆς διαθήκης, ἣν διέθετο Κύριος πρὸς ὑμᾶς. Ἐξόδ. κδ. 8.	Τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς *ἐνετείλατο* πρὸς ὑμᾶς ὁ Θεός. θ, 20.
188) Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὠτία ἐτρύπησάς μοι. Ὁλοκαύτωμα καὶ θυσίαν περὶ ἁμαρτίας οὐκ ἤτησας. Τότε εἶπον· ἰδοὺ ἧλθον, ἐν εἰλήματι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου ἠβουλήθην.	Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἤτησας· Τότε εἶπον· Ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου ἠβουλήθην. Ψαλμ. λθ,	Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας· σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας· Τότε εἶπον· Ἰδοὺ ἥκω (ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου· I, 5-7.

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἑβραίους.
θην. Ψαλμ. μ, 7, 8.	6, 8. βλ. ὄπισθ. Βιϐ. Γ. σελ. 620.	
189) Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ. Δευτ. λϐ, 36.	Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ. Δευτ. λϐ, 36.	Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ. Ι, 31.
190) Ὅτι ἐρχόμενος ἥξει, οὐ βραδυνεῖ. Ἰδοὺ ἐπήρθη, οὐκ εὐθεῖα ἡ ψυχὴ αὐτοῦ ἐν αὐτῷ. Καὶ ὁ δίκαιος ἐν τῇ πίστει αὐτοῦ ζήσεται. Ἀϐϐακ. ϐ, 3. 4.	Ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ. Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ· ὁ δὲ δίκαιός μου ἐκ πίϛεως ζήσεται. (Ἀϐϐ. β, 3, 4. βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 929).	Ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· καί, ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. Ι, 37, 38. (Γαλατ. γ, 11. Ῥωμ. α, 17).
191) Καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τοῦ κεφαλαίου (ἢ τοῦ ἄκρου) *τῆς κλίνης* αὐτοῦ. Γεν. μζ, 31. (βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 498).	Καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον *τῆς ῥάβδου* αὐτοῦ. Γενέσ. μζ, 31.	Καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον *τῆς ῥάϐδου* αὐτοῦ. ια, 21.
192) Καὶ συνέκλεισε στόμα λεόντων. Δαν. ς, 22.	Ἐνέφραξε τὰ στόματα τῶν λεόντων. Δαν. ς, 22.	Ἔφραξαν ϛόματα λεόντων. ια, 34.
193) Παιδείαν Κυρίου, υἱέ μου, μὴ ἀποδοκιμάσῃς, καὶ μὴ προσοχθίσῃς ἐν τῷ ἐλέγχῳ αὐτοῦ. Ὅτι ὃν φιλεῖ Κύριος ἐλέγχει, καὶ ὡς πατὴρ ἐν υἱῷ εὐδοκήσει. Παροιμ. γ, 11, 12.	Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει (ἄλλ. ἐλέγχει), μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Παροιμ. γ, 11, 12.	Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. ιϐ, 5, 6. (Ἀποκ. γ, 19).
194) Στάθμιζε τροχιὰν τοῦ ποδός σου. Παροιμ. δ, 26.	Ὀρθὰς τροχιὰς ποίει σοῖς ποσί. Παροιμ. δ, 26.	Τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν. ιϐ, 12.

Ἑβραϊκὸν	Οἱ Ο	Π. Ἑβραίους.
195) Μή τις εἴη ἐν ὑμῖν ῥίζα καρποφοροῦσα (ἄνω) φάρμακον καὶ ἀψίνθιον. Δευ. κθ, 18.	Μή τις ἐστὶ ῥίζα πικρίας ἄνω φύουσα ἐν χολῇ καὶ πικρίᾳ. Δευτ. κθ, 18 (Ἀλεξ.).	Μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ. ιϐ, 15. (ἄλλ: ἐν χολῇ).
196) Ἔτι ἐν ὀλίγον ἐστὶ, καὶ ἐγὼ τρέμειν ποιῶ τοὺς οὐρανοὺς καὶ τὴν γῆν. Ἀγγ. ϐ, 7.	Ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἀγγ. ϐ, 7.	Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. ιϐ, 26.
197) Καὶ γὰρ Κύριος ὁ Θεός σου πῦρ βιϐρῶσκόν ἐστιν αὐτός. Δευτ. δ, 24.	Ὅτι Κύριος ὁ Θεός σου πῦρ καταναλίσκον ἐστί. Δευτ. δ, 24.	Καὶ γὰρ ὁ Θεὸς ἡμῶν, πῦρ καταναλίσκον. ιϐ, 29.
198) Οὐκ ἀφήσει σε, οὐδ᾽ ἐγκαταλείψει σε. Δευτ. λα, 8.	Οὐκ ἀνήσει σε, οὐδ᾽ οὐ μή σε ἐγκαταλίπῃ. Δευτ. λα, 8.	Οὐ μή σε ἀνῶ, οὐδ᾽ οὐ μή σε ἐγκαταλίπω. ιγ, 5.
199) Κύριος ἐμοὶ (μετ᾽ ἐμοῦ), καὶ οὐ φοϐηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Ψαλμ. ριη, 6.	Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοϐηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Ψαλ. ριζ, 6.	Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοϐηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ιγ, 6.
200) Καὶ ἀποδώσομεν μόσχους χειλέων ἡμῶν. Ὠσ. ιδ, 3.	Καὶ ἀνταποδώσομεν καρπὸν χειλέων ἡμῶν. Ὠσηὲ ιδ, 3.	Ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τουτέςι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. ιγ, 15.
201) Οὐχὶ τοὺς χλευαςὰς αὐτὸς χλευάσει, ταπεινοῖς δὲ δώσει χάριν; Παρ. γ, 34.	Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Παροιμ. γ, 34.	Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. ΙΑΚΩΒ. δ, 6. (Α. Πέτρ. ε, 4).
202) Καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιος ἐγώ. Λευϊτ. ια, 44.	Καὶ ἅγιοι ἔσεσθε, ὅτι ἅγιός εἰμι ἐγώ. Λευϊτ. ια, 44.	Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. Α. ΠΕΤΡ. α, 16.

Ἑβραϊκὸν	Οἱ Ο	Α. Πέτρου
203) Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα χάρις (ἄλλ. χρηστότης)· ἀνθρώπου, ὡς ἄνθος ἀγροῦ· ἐξηράνθη ὁ χόρτος, ἐξέπεσε τὸ ἄνθος· καὶ τὸ ῥῆμα τοῦ Θεοῦ ἡμῶν στήσεται εἰς τὸν αἰῶνα. Ἡσαΐ. μ, 6, 8.	Πᾶσα σὰρξ, χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. Τὸ δὲ ῥῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα. Ἡσ. μ, 6, 8. (βλ. Βιβλ. Γ. σελ. 442).	Διότι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε. Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα. α, 24.
204) Γεύσασθε καὶ ἴδετε, ὅτι ἀγαθὸς ὁ Κύριος. Ψαλμ. λδ, 8.	Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος. Ψαλμ. λγ, 8.	Εἴπερ ἐγεύσασθε, ὅτι χρηστὸς ὁ Κύριος. β, 3.
205) Ἰδοὺ ἐγὼ θεμελιωτὴς ἐν Σιὼν λίθου, λίθου ὀχυρώσεως, γωνίας (γωνιαίου), ἐντίμου, θεμελίου τεθεμελιωμένου. Ὁ πιστεύων οὐ *σπεύσει*. Ἡσ. κη, 16. (βλ. ὄπισθ. 271).	Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς· καὶ ὁ πιστεύων οὐ μὴ καταισχυνθῇ. Ἡσ. κη, 16.	Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ. β, 6 (πρβλ. Ῥωμ. θ, 33, καὶ ὄπισθ. ἀριθμ. 107).
206) Καὶ ὑμεῖς ἔσεσθέ μοι βασίλειον ἱεράτευμα, καὶ ἔθνος ἅγιον, (Ἐξόδ. ιθ, 9), λαός μου ἐκλεκτός. Ἡσ. μγ, 20.	Ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα, καὶ ἔθνος ἅγιον (Ἐξόδ. ιθ, 6), γένος ἐκλεκτόν. Ἡσ. μγ, 20.	Ὑμεῖς δὲ, γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. β, 9.
207) Οὐκ ἀνομίαν ἐποίησεν, οὐδὲ δόλος ἐν τῷ στόματι αὐτοῦ. Ἡσ. νγ, 9.	Ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ. Ἡσαΐ. νγ, 9.	Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. β, 22.
208) Ἐν τῇ πληγῇ αὐτοῦ ἴαμα (ἐστὶν) ἡμῖν. Ἡσ. νγ, 5.	Τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Ἡσαΐ. νγ, 5.	Οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε. β, 24.
209) Πάντες ἡμεῖς ὡς πρόβατον ἐπλα-	Πάντες ὡς πρόβατα ἐπλανήθημεν. Ἡσ.	Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα.

Ἑβραϊκὸν	Οἱ Ο	Α. Πέτρ.
νήθημεν. Ἠσ. νγ, 6.	νγ, 6.	β, 25.
210) Τίς ἐςιν ἄνθρωπος ὁ θέλων ζωὰς, ἀγαπῶν ἡμέρας τοῦ ἰδεῖν ἀγαθόν; *φύλαξον* τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ τὰ χείλη σου ἀπὸ τοῦ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς *κραυγὴν* αὐτῶν. Πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακά. Ψαλ. λδ, 12—16.	Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά. Ψαλμ. λγ, 12—16.	Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾷν, καὶ ἰδεῖν (ἄλ. *καὶ ἀγαπῶν ἰδεῖν*) ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον. Ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν. Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά. γ, 10, 12.
211) Καὶ τὸν φόβον αὐτοῦ μὴ φοβηθῆτε, μηδὲ πτοηθῆτε· τὸν Κύριον τῶν δυνάμεων αὐτὸν ἁγιάσετε. Ἠσ. η, 12-13.	Τὸν δὲ φόβον αὐτῶν οὐ μὴ φοβηθῆτε, οὐδ' οὐ μὴ ταραχθῆτε. Κύριον αὐτὸν ἁγιάσατε. Ἠσ. η, 12-13.	Τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε. Κύριον δὲ τὸν Θεὸν ἁγιάσατε. γ, 14-15.
212) Ἰδοὺ τῷ δικαίῳ ἐν τῇ γῇ ἀνταποδοθήσεται· πόσῳ μᾶλλον τῷ ἀσεβεῖ καὶ ἁμαρτάνοντι; Παροιμ. ια, 31.	Εἰ ὁ μὲν δίκαιος μόλις σῴζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; Παροιμ. ια, 31.	Εἰ ὁ δίκαιος μόλις σῴζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; δ, 18.
213) Ῥίψον ἐπὶ Κύριον τὸ βάρος σου. Ψαλμ. νε, 23.	Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου. Ψαλ. νδ, 22.	Πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπεῤῥίψατε ἐπ' αὐτόν. ε, 7.
214) Ὡς κύων ἐπανερχόμενος ἐπὶ τὸν	Ὥσπερ κύων, ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυ-	Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα.

Ἑβραϊκὸν	Οἱ Ο	Β. Πέτρ. Ἀποκ.
ἔμετον αὐτοῦ. Παροιμ. κϛ, 11.	τοῦ ἔμετον. Παρ. κϛ, 11.	Β. ΠΕΤΡ. β, 22.
215) Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, ὡς ἡμέρα ἡ ἐχθές. Ψαλ. ϙ, 4.	Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου Κύριε, ὡς ἡ ἡμέρα ἡ ἐχθές. Ψαλμ. πθ, 4.	Ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία. γ, 8.
216) Ἰδοὺ ἐγὼ κτίζω οὐρανοὺς καινοὺς, καὶ γῆν καινήν. Ἡσ. ξε, 17.	Ἔσται γὰρ ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινή. Ἡσ. ξε, 17.	Καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν. γ, 13.
217) Καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος (Δαν. ζ,13)· καὶ ὄψονται οἱ ὀφθαλμοὶ ὑμῶν (Ἡσ. λγ,17). Καὶ ἐπιβλέψονται πρός με, ὃν διέτρωσαν, καὶ κόψεται ἐπ' αὐτὸν ἡ γῆ, φυλαὶ φυλαί. Ζαχ. ιβ, 10, 12.	Ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος (Δαν. ζ,13), οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται (Ἡσ. λγ,17), καὶ ἐπιβλέψονται πρός με, *εἰς ὃν ἐξεκέντησαν*· καὶ κόψεται ἐπ' αὐτὸν ἡ γῆ κατὰ φυλὰς, φυλάς. Ζαχ. ιβ, 10, 12. (βλ. ὄπισθ. σελ. 318).	Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν· καὶ κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ΑΠΟΚΑΛ. α, 7.
218) Τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡς ἔριον καθαρόν. Δαν. ζ, 9.	Καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν, ὡσεὶ χιὼν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν. Δαν. ζ, 9.	Ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαὶ, ὡσεὶ ἔριον λευκὸν, ὡς χιών. α, 14.
219) Καὶ ἤκουσα τὴν φωνὴν.., ὡς φωνὴν ὑδάτων πολλῶν. Ἰεζ. α, 24.	Καὶ ἤκουον τὴν φωνὴν..., ὡς φωνὴν ὕδατος πολλοῦ. Ἰεζ. α, 24. (ἄλλ. *ὑδάτων πολλῶν*. Θεοδώρ.).	Καὶ ἡ φωνὴ αὐτοῦ, ὡς φωνὴ ὑδάτων πολλῶν. α, 16.
220) Καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς,	Καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ	Δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ ξύλου τῆς

Ἑβραϊκὸν	Οἱ Ο	Ἀποκάλυψις.
καὶ φάγῃ, ὅ (ἐστιν) ἐν μέσῳ τοῦ κήπου. Γεν. γ, 3, 22.	φάγῃ, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου. Γεν. γ, 3, 22.	ζωῆς, ὅ ἐςιν ἐν μέσῳ τοῦ παραδείσου τοῦ Θεοῦ. β, 7.
221) Δοκιμάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.– Ὅτι σὺ ἀποδώσεις ἀνδρὶ κατὰ τὸ ἔργον αὐτοῦ. Ψαλμ. ζ,10: ξϐ, 13.	Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.– Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ψαλ. ζ, 9, ξα, 12.	Ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν. ϐ,23.
222) *Συντρίψεις* αὐτοὺς ἐν ῥάϐδῳ σιδηρᾷ, ὡς σκεῦος κεραμέως συνθραύσεις αὐμούς. Ψαλμ. β, 9.	*Ποιμανεῖς* αὐτοὺς ἐν ῥάϐδῳ σιδηρᾷ, καὶ ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Ψαλ. ϐ, 9.	Καὶ *ποιμανεῖ* αὐτοὺς ἐν ῥάϐδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ κεραμικὰ συντρίϐεται. β, 27.
223) Ἐξαλείψω αὐτὸν ἐκ τῆς βίβλου μου (Ἐξόδ. λϐ, 32, 33), ἐκ βίϐλου ζώντων. Ψαλμ. ξθ, 28.	Ἐξαλείψω αὐτοὺς ἐκ τῆς βίϐλου μου (Ἐξόδ. λϐ, 32, 33), ἐκ βίϐλου ζώντων. Ψαλμ. ξη, 28.	Καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίϐλου τῆς ζωῆς. γ, 5.
224) Καὶ δώσω αὐτῷ τὴν κλεῖδα τοῦ οἴκου Δαϐὶδ—καὶ ἀνοίξει, καὶ οὐχ ὁ κλείων, καὶ κλείσει καὶ οὐχ ὁ ἀνοίξων. Ἠσαΐ. κβ, 22.	Καὶ δώσω αὐτῷ τὴν κλεῖδα τοῦ οἴκου Δαϐὶδ—καὶ ἀνοίξει, καὶ οὐκ ἔςαι ὁ ἀποκλείων, καὶ κλείσει, καὶ οὐκ ἔσται ὁ ἀνοίγων. Ἠσ. κβ, 22.	Ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαϐὶδ, ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείει, καὶ κλείει, καὶ οὐδεὶς ἀνοίγει. γ, 7.
225) Φωνὴ ἀγαπητοῦ μου κρούοντος. Ἀσμ. ε, 2.	Φωνὴ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν. Ἆσμα ε, 2.	Ἕστηκα ἐπὶ τὴν θύραν, καὶ κρούω, ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου. γ,20.
226) Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαϐαώθ. Ἠσαΐ. ς, 3.	Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαϐαώθ. Ἠσ. ς, 3.	Ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ. δ, 8. (πρϐλ. ια, 17: ιε, 3 κτλ.). (α).

(α) Τὸ Σαϐαὼθ ἡρμήνευσαν οἱ Ο ἀλλαχοῦ καὶ παντοκράτωρ, οἷον

Τὸ Ἑβραϊκὸν	Οἱ Ο	Ἀποκάλυψις.
227) Χιλιὰς χιλιάδων ἐλειτούργουν αὐτῷ, καὶ μυριὰς μυριάδων. Δαν. ζ, 10.	Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες. Δαν. ζ, 10.	Καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων, καὶ χιλιάδες χιλιάδων. ε, 11.
228) Καὶ οἱ οὐρανοὶ ἑλιγήσονται, ὡς βιβλίον. Ἠσ. λδ, 4.	Καὶ ἑλιγήσεται ὁ οὐρανὸς, ὡς βιβλίον. Ἠσαΐ. λδ. 4. Ψαλμ. ρα, 26.	Καὶ ὁ οὐρανὸς, ὡς βιβλίον εἱλισσόμενον. ς, 14. (Ἑβρ. α, 11).
229) Καλύψατε ἡμᾶς, καὶ πέσετε ἐφ' ἡμᾶς. Ὠσηὲ 10, 8.	Πέσετε ἐφ' ἡμᾶς, καὶ καλύψατε ἡμᾶς. Ὠσ. ι, 8.	Πέσετε ἐφ' ἡμᾶς, καὶ κρύψατε ἡμᾶς. ς, 16.
230) Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσι, καὶ οὐ πατάξει αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ ἥλιος. Ἠσαΐ. μθ, 10.	Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ ἥλιος. Ἠσαΐ. μθ, 10.	Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι, οὐδὲ μὴ πέσῃ ἐπ' αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα. ζ, 16.
231) Καὶ ἀπομάξει Κύριος Κύριος δάκρυον ἀπὸ πάντων προσώπων. Ἠσαΐ. κε, 8. Ψαλμ. ριε, 8.	Ἀφεῖλε Κύριος ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. Ἠσ. κε, 8. Ψαλμ. ριδ, 8.	Καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. ζ, 17.
232) Καὶ (ὁ ἄγγελος) ὕψωσε τὴν δεξιὰν αὐτοῦ.. πρὸς τοὺς οὐρανοὺς, καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τὸν αἰῶνα (Δαν. ιβ, 7). Τῷ ποιήσαντι τοὺς οὐρανοὺς καὶ τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Ψαλμ. ρμς, 9.	Καὶ (ὁ ἄγγελος) ὕψωσε τὴν δεξιὰν αὐτοῦ.. εἰς τὸν οὐρανὸν, καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τὸν αἰῶνα. (Δαν. ιβ,7). Τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Ψαλμ. ρμε, 6.	Καὶ ὁ ἄγγελος ἦρε τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ. ι, 5.
233) Φάγε, φάγε τὸ	Κατάφαγε τὴν κε-	Λάβε τὸ βιβλα-

« Κύριος Παντοκράτωρ » (Β. Βασιλ. ε, 10; ζ, 8, 27; Μιχ. δ, 4) ὅπου τὸ ἑβρ. Ἰεχοβὰ Σαβαώθ.

Τὸ Ἑβραϊκὸν	Οἱ Ο	Ἀποκάλυψις.
εἰλητὸν τοῦτο· – καὶ φαγεῖν αὐτὸ ἐποίησέ με· καὶ ἐγένετο ἐν τῷ στόματί μου, ὡς μέλι κατὰ τὴν γλυκύτητα. Ἰεζ. γ, 1—3.	φαλίδα ταύτην. Καὶ ἔφαγον αὐτήν, καὶ ἐγένετο ἐν τῷ στόματί μου, ὡς μέλι γλυκάζον. Ἰεζ. γ, 1-3.	ρίδιον καὶ κατάφαγε αὐτό. Καὶ κατέφαγον αὐτό, καὶ ἦν ἐν τῷ ςόματί μου, ὡς μέλι, γλυκύ. ι, 9-10.
234) Ἕως καιροῦ, καὶ καιρῶν, καὶ ἥμισυ καιροῦ. Δαν. ζ. 25.	Ἕως καιροῦ, καὶ καιρῶν, καὶ ἥμισυ καιροῦ. Δαν. ζ, 25.	Καιρόν, καὶ καιρούς, καὶ ἥμισυ καιροῦ. ιϐ, 14.
235) Ὅτι κύλιξ ἐν χειρὶ Κυρίου, καὶ οἶνος ἐρυθραίνει, πλήρης κεράσματος – πίονται πάντες οἱ ἀσεβεῖς. κτλ. Ψαλμ. οε, 9. Ἡσαΐ. να, 17.	Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου, πλῆρες κεράσματος— πίονται πάντες οἱ ἁμαρτωλοὶ κτλ. Ψαλμ. οδ, 8, Ἡσαΐ. να, 17.	Καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ Θεοῦ, τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ. ιδ, 10.
236) Μεγάλα – θαυμάσια – τὰ ἔργα Κυρίου· πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ .. (Ψαλμ. ρια, 2. ρλθ, 14: ριθ, 151. – ρμε, 17). Τίς οὐ φοβηθήσεταί σε, βασιλεῦ ἐθνῶν; (Ἰερεμ. ι, 7). Πάντα τὰ ἔθνη ... ἥξουσι, καὶ προσκυνήσουσι πρὸ προσώ-	Μεγάλα – θαυμάσια – τὰ ἔργα Κυρίου, πᾶσαι αἱ ὁδοί σου ἀλήθεια. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος.. (Ψαλμ. ρι, 2: ρλη, 14: ριη, 151; ρμδ, 17)· Τίς οὐ φοβηθήσεταί σε, βασιλεῦ ἐθνῶν; (Ἰερεμ. ι, 7) (α). Πάντα τὰ ἔθνη – ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώ-	Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν ἁγίων. Τίς οὐ μὴ φοβηθῇ σε, Κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου; Ὅτι μόνος ὅσιος· ὅτι πάντα τὰ ἔθνη ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου. ιε, 3,4.

(α) Ἐν τῷ Βατικανῷ καὶ ἄλλοις κώδηξιν οὐ κεῖται ἡ ῥῆσις τοῦ Ἱερεμίου (ὅθεν ὁ κλεινὸς Μόβερος ὑπέλαβεν ἐκπεπτωκὸς ἐκ τῆς ἑρμηνείας τῶν Ο τοῦτο τὸ ἐν τῇ Ἀποκαλύψει μνημονευόμενον προφητικὸν ῥητόν. ἔλ. F. C. Movers De utriusque recensionis Vaticiniorum Ierem. Græcae Alexand. et Hebraic. Masorethicæ, indole etc. p. 7. Hamburgi, 1837)· ἀλλὰ κεῖται

Τὸ Ἑβραϊκὸν	Οἱ Ο	Ἀποκάλυψις.
που σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου. Ψαλμ. πϛ, 9.	πιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου. Ψαλμ. πε, 9.	
137) Αἰνεῖτε δοῦλοι Κύριον· οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν· οἱ μικροὶ μετὰ τῶν μεγάλων. Ψαλ. ριε. 1: κβ, 23: ρι, δ, 13.	Αἰνεῖτε δοῦλοι Κύριον. Οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν· οἱ μικροὶ μετὰ τῶν μεγάλων. Ψαλ. ριδ, 1. κα, 13. ριγ, 13.	Αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ οἱ φοβούμενοι αὐτὸν, οἱ μικροὶ καὶ οἱ μεγάλοι. ιθ, 5.
238) Καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διηνεκῶς, νυκτὸς καὶ ἡμέρας οὐ κλεισθήσονται. – Οὐκ ἔσαι σοι ἔτι ὁ ἥλιος εἰς φῶς ἡμέρας, καὶ εἰς λάμψιν ἡ σελήνη οὐ φωτιεῖ σε, ἀλλ᾽ ἔσται σοι Κύριος εἰς φῶς αἰῶνος, καὶ ὁ Θεός σου εἰς δόξαν σου. Ἡσαϊ. ξ, 11, 19.	Καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διὰ παντὸς, ἡμέρας καὶ νυκτὸς οὐ κλεισθήσονται. Καὶ οὐκ ἔσται σοι ἔτι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σοι τὴν νύκτα, ἀλλ᾽ ἔσται σοι Κύριος φῶς αἰώνιον, καὶ ὁ Θεὸς δόξα σου. Ἡσ. ξ. 11, 19.	Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτήν. . καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας, κτλ. κα, 23—25.

Τοσαῦτα καὶ ἐκ τῆς θείας Ἀποκαλύψεως, κατὰ τὴν ἑρμηνείαν τῶν Ο ἐκφρασθέντα· ἄλλα πλείονα ἐν τοῖς ἐφεξῆς.

§. νδ. Ἤδη δὲ προστιθέμεθα καί τινας ἄλλας, ὀλίγας ἐκ πολλῶν, λέξεις καὶ φράσεις, καὶ ὅλα χωρία τῶν Ο, κείμενα παρὰ τοῖς θείοις Εὐαγγελισταῖς καὶ Ἀποστόλοις καὶ χωρὶς ῥητῆς εἰς τοὺς προφήτας παραπομπῆς. Καὶ τούτων δὲ τῶν χωρίων τὰ μὲν ὑπάρχουσι κατὰ ῥητὸν, ἤτοι κατά τε γράμμα καὶ κατὰ νόημα, ἐκ τῶν προφητικῶν τευχῶν εἰλημμένα, παρομοίως σχεδὸν, ὡς καὶ τὰ προεκτεθέντα·

τοῦτο ἐν τῷ κειμένῳ τῷ παρὰ τῷ ἱερῷ Θεοδωρήτῳ (ἑρμην. εἰς Ἱερεμ. τόμ. 6. σελ. 224 ἐκδ. Εὐγεν.), καὶ ἐν τῇ Κομπλουτ. ἐκδόσει, ὅθεν προσέθηκεν αὐτὸ καὶ ὁ Grabe ἐν τῇ ἐκδόσει τοῦ Ἀλεξανδρινοῦ. 6λ. καὶ ἔκδ. Holmes·

τὰ δὲ, κατὰ νόημα τό γε πλεῖστον· τὰ δὲ, μόνον κατὰ λέξιν. Ἴδε τούτων πάντων παραδείγματα.

Α) Πάντα τὰ κύρια ὀνόματα τῆς ἐν τῇ Παλαιᾷ Γραφῇ ἱερᾶς ἱςορίας *Τετρακόσια περίπου* τὸν ἀριθμὸν, ἀγγέλων, ἀνθρώπων, πόλεων, χωρῶν, ποταμῶν κτλ. ἔγραψαν οἱ θεόπνευστοι Ἀπόστολοι ἀκριβῶς κατὰ τοὺς Ο, καὶ οὐδὲν, σχεδὸν, κατὰ τὸ νῦν κείμενον τὸ ἑβραϊκὸν, καὶ τὴν τῶν Μασοριτῶν γραφὴν καὶ προφοράν· οἷον, Μιχαὴλ, Γαβριὴλ, Χερουβίμ, Εὔα, Ἄβελ, Ἠσαῦ, Μωσῆς, Ἰεσσαὶ, Ἱερεμίας, Ἠσαΐας, Ἠλίας, Ἐλισσαῖος, Ναβουχοδονόσορ, Βαβυλὼν, Σαμάρεια, Γαλιλαία, Ἱερουσαλὴμ, Ἰορδάνης, Εὐφράτης, κτλ. (βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 836). Οὕτω καὶ τὰ ἐθνικὰ, Ἑβραῖος, Ἰουδαῖος, Ἰσραηλίτης, Χαναναῖος, Αἰγύπτιος, Ἕλλην, κτλ. Καὶ ὅσα δὲ παρέλιπον οἱ Ο, ἀνερμήνευτα (τὰ μὲν διὰ σέβας, τὰ δὲ καὶ ὡς συνήθη εἰς τὴν τότε διάλεκτον τῶν ἑλληνιστῶν), καὶ τούτων τινὰ τῶν ὀνομάτων ὡσαύτως ἔγραψαν οἱ Ἀπόστολοι, οἷον τὸ Σαβαὼθ, τὸ Ὠσαννὰ, τὸ Ἀββᾶ, τὸ Ἀμὴν, καὶ αὐτὸ τὸ ἀποτρόπαιον Σατᾶν, ἢ Σατανᾶς.

Β) Πάσης τῆς νομικῆς λατρείας καὶ τῆς ὅλης θεσμοθεσίας τὰς κυριολεκτουμένας λέξεις, ἱερουργικὰς, ἢ θρησκευτικὰς, νομικὰς, ἢ δικαστικὰς, πολιτικὰς, πολεμικὰς, οἰκιακὰς, γεωγραφικὰς, τεχνικὰς, κτλ. καὶ ταύτας ἔγραψαν οἱ Ἀπόστολοι ἀκριβῶς κατὰ τὴν ἑρμηνείαν καὶ τὴν ἐκδοχὴν τῶν Ο. Οἷον, θυσία, θυσιαςήριον, τράπεζα, ἄρτοι προθέσεως, δῶρον, θυμίαμα, *λατρεία, περιτομὴ, ἀκροβυστία*, Νόμος, πλάκες (τοῦ Νόμου), ἐντολαὶ, δικαιώματα, *διαθήκη*, Γραφὴ, κιβωτὸς, ἱλαστήριον, Σκηνὴ, ναὸς, ἱερὸν, οἶκος (Θεοῦ), ἅγια ἁγίων, καταπέτασμα τῆς Σκηνῆς· γαζοφυλάκιον, ςοὰ, κτλ. ἀρχιερεὺς, ἱερεὺς, προφήτης, λευῖται, γραμματεῖς, πρεσβύτεροι (τοῦ λαοῦ), φυλὴ, συναγωγὴ, συνέδριον, γερουσία καὶ βουλὴ καὶ βουλευταὶ, δίκη καὶ κριτήριον, ἀντίδικος, κατήγορος, ἔνοχος, φυλακὴ κτλ. εἴδωλον (εἰδώλοις λατρεύειν), δαίμων καὶ δαιμόνιον, καὶ πνεῦμα πονηρὸν, ἢ ὁ πονηρὸς, ἀντικείμενος, διάβολος· ἑβδομὰς, σάββατον καὶ σαββατίζειν, ἄζυμα, Πάσχα, Πεντηκοςὴ, Σκηνοπηγία,- πατριὰ, δῶμα, οἰκία, καὶ οἰκογενεῖς, καὶ πάντα τὰ συγγενείας ὀνόματα, γάμος,

ϐιϐλίον ἀποστασίου· παρεμϐολὴ, στρατιὰ, τάγμα, χιλίαρχοι, κτλ. ῥομφαία (δίστομος), λόγχη, τόξον, περικεφαλαία, πανοπλία κτλ. (καὶ ἄλλων δὲ παντοίων σκευῶν ὀνόματα, καὶ ἐνδυμάτων, ἐν οἷς καὶ τὰ κράσπεδα, καὶ τὰ φυλακτήρια)· καύσων (ἄνεμος), λὶψ, ϐοῤῥᾶς, νότος, ἀνατολαὶ (καὶ ἐπὶ τοποθεσίας), καὶ ἄλλα παντοδαπὰ καὶ πολυάριθμα. Πρόσθες καί τινων ἀρετῶν καὶ κακιῶν ὀνόματα, ἰδιαιτέραν ἔχοντα παρὰ τοῖς Ο ἑϐραΐζουσαν σημασίαν, οἷον τὸ *δίκαιος* (ὁ φιλάνθρωπος κτλ.), *ἄφρων* (καὶ ὁ δυσσεϐὴς, ἢ ἀσεϐὴς), καὶ ἕτερα οὐκ ὀλίγα, περὶ ὧν οἱ τῆς Γραφῆς Σχολιασταὶ καὶ Λεξικογράφοι. Ἀρίθμει καὶ πολλὰ τῶν ἐπιθέτων τῶν ἐπὶ Θεοῦ μάλιστα λεγομένων, ὡς τὰ, Κύριος Σαϐαὼθ (καὶ Κύριος τῶν δυνάμεων), παντοκράτωρ, ὕψιστος, αἰώνιος, ἰσχυρὸς, ἀληθὴς καὶ ἀληθινὸς, ἀγαθὸς, πιστὸς, ἐλεήμων, καὶ ὅσα τοιαῦτα. Περὶ δὲ τοῦ ἐξαιρέτως *Κύριος καὶ Δεσπότης* προείπομεν (σελ. 65—68) (α).

Γ) Πάντα τὰ ἐκφαντορικὰ τῶν θείων δογμάτων καὶ μυστηρίων ὀνόματα, δἰ ὧν παρέδωκαν ἡμῖν τὸ μέγα τῆς Εὐσεϐείας μυστήριον οἱ Ἀπόστολοι, πάντα σχεδὸν καὶ ταῦτα προϋπήχησαν τοῖς Ἀποστόλοις οἱ Ο· οἷον, τὰς τῆς παναγίας Τριάδος θεωνυμίας, *Πατὴρ, Υἱὸς καὶ Λόγος, καὶ Χριστὸς, καὶ Πνεῦμα ἅγιον*. Παρθένος μήτηρ τοῦ Ἐμμανουὴλ, ἄγγελοι, ἅγιοι, μυςήριον, Βάπτισμα, Χρίσμα, Ἱερωσύνη, Λειτουργία, ἔλαιον ἅγιον, Γάμος ἅγιος νυμφίου καὶ νύμφης, Ἐξαγόρευσις (Ἐξομολόγησις), μετάνοια, ἄφεσις ἁμαρτιῶν, Εὐαγγέλιον, Γραφὴ ἁγία, *λατρεία, προσευχὴ*, Ἐκκλησία, ναὸς, ἱερὸν, Ἀπόςολος, Ἐπίσκοπος, Πρεσϐύτερος (καὶ ἱερεὺς), θυσία,

---

(α) Ὅθεν καὶ τῶν νεωτέρων κριτικῶν οὐκ ὀλίγοι ὁμολογοῦσιν, ὅτι πρὸς τὸ κατανοεῖν καὶ διαγινώσκειν ὀρθῶς τὴν φράσιν τῆς Καινῆς Διαθήκης ἀναγκαιοτάτη ἡ ἑρμηνεία τῶν Ο. «Οὐδὲ γὰρ ἂν εὕροις ἕτερον Ἕλληνα συγγραφέα τῇ τῶν Εὐαγγελιστῶν καὶ Ἀποστόλων φράσει προσεγγίζοντα μᾶλλον τῶν Ο. Πολλάκις γάρ (φασιν) οἱ συγγραφεῖς τῆς Καινῆς Διαθήκης τὴν τῶν φωνῶν καὶ φράσεων ἔμφασιν ἐκ τῆς ἑλληνικῆς ἑρμηνείας (τῶν Ο) φαίνονται δανεισάμενοι». Ταῦτα καὶ αὐτὸς ὁ Καρψόϐιος **Crit. Sac. p. 547-550.** πρϐλ. **J. Michaelis Dissert. de usu LXX. interp. in N. T. Hal. 1709.**

θυσιαστήριον (καὶ Τράπεζα), λαὸς Θεοῦ, βασίλειον ἱεράτευμα, Πίστις (εἰς Θεὸν), εὐδοκία (Θεοῦ), σωτηρία ψυχῶν, ἀνάςασις, κρίσις, βίβλος ζωῆς, παράδεισος, ᾅδης, ζωὴ μέλλοντος αἰῶνος, καὶ τὰ λοιπὰ παραλείπομεν. Οὕτως «ὁ *Νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν*»· καὶ ὅσα οἱ Προφῆται προεκήρυξαν, σκιωδῶς προδιαγράφοντες «*τὴν μέλλουσαν εἰς ἡμᾶς ἀποκαλυφθῆναι πίστιν*», καθὼς αὐτὰ μεθηρμήνευσαν οἱ Ο, διὰ τῶν αὐτῶν τούτων φωνῶν καὶ οἱ Χριστοκήρυκες Ἀπόστολοι ἐδίδαξαν, καὶ ἀνέπτυξαν, καὶ πραγματικῶς παρέδωκαν τῇ Ἐκκλησίᾳ. Ὁποῖον τοῦτον στέφανον δόξης αἰωνίου περίκειται ἡ ἑρμηνεία τῶν Ο! Προφῆται καὶ Ἀπόστολοι δι' αὐτῆς ἀχώριστοι συστοιχοῦσι· καὶ ἡ Ἐκκλησία ὁμολογεῖ τὸ μέγα τῆς εἰς Χριστὸν Πίστεως μυστήριον κατὰ τὰς θεοφράστους *Γραφὰς*, τὴν τῶν Ἀποστόλων καὶ τὴν τῶν Προφητῶν κατὰ τοὺς Ο.

Δ) Ἐν τῇ Γενέσει, καὶ ἀλλαχοῦ, καὶ ἐν τῇ Α, τῶν Παραλειπομένων ἀναγινώσκομεν τὸν ἐφεξῆς γενεαλογικὸν τύπον. «*Καὶ ἐγέννησεν Ἁβραὰμ τὸν Ἰσαάκ,— καὶ Φαρὲς ἐγέννησε τὸν Ἐσρώμ, καὶ Ἐσρὼμ ἐγέννησε τὸν Ἀράμ, καὶ Ἀρὰμ ἐγέννησε τὸν Ἀμιναδὰβ, καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσών, καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμών, καὶ Σαλμὼν ἐγέννησε τὸν Βοὸζ, καὶ Βοὸζ ἐγέννησε τὸν Ὠβήδ, καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαὶ, καὶ Ἰεσσαὶ ἐγέννησε τὸν Δαβίδ*» (Γενέσ. κε, 20. Ῥοὺθ, δ, 18: Α, Παραλ. α, 34: β, 9-16). Οὕτω κατὰ λέξιν καὶ ὁ θεῖος Ματθαῖος ἐξέφρασεν ἀπ' ἀρχῆς ἄχρι τέλους ὅλην τὴν γενεολογίαν τοῦ ἐνανθρωπήσαντος Θεοῦ καὶ Σωτῆρος ἡμῶν. «*Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ*», καὶ ἐφεξῆς ὡσαύτως (Ματθ. α, 2-16).

Ε) Ἕτερος τύπος γενεαλογίας παρ' Ἑβραίοις συντομώτερός ἐςιν ὁ κατὰ γενικήν· οἷον, «Ἔσδρας υἱὸς Σαραίου, υἱοῦ Ἀζαρίου, υἱοῦ Χελκία, υἱοῦ Σελοὺμ, υἱοῦ Σαδδούκ, .. υἱοῦ Φινεὲς, υἱοῦ Ἐλεάζαρ, υἱοῦ Ἀαρὼν, τοῦ ἱερέως τοῦ πρώτου» (Ἔσδρ. ζ, 1-5). Ἀλλ' εὑρίσκεται παρὰ τοῖς Ο ἡ φράσις καὶ κατ' ἔλλειψιν τοῦ *υἱός*, ὑπακουομένου

(ἑλληνικώτερον), ὡς, «*Σοφονίαν τὸν τοῦ Χουσὶ, υἱοῦ Γοδολίου, τοῦ Ἀμορίου, τοῦ Ἐζεκίου*» (Σοφον. α, 1). Κατὰ τὸν τύπον τοῦτον κατέγραψε καὶ ὁ θεῖος Λουκᾶς τὴν ἑτέραν γενεαλογίαν τοῦ Σωτῆρος. «Ὢν (ὡς ἐνομίζετο) υἱὸς *Ἰωσὴφ, τοῦ Ἡλὶ, τοῦ Ματθὰτ, τοῦ Λευὶ*, κτλ. (Λουκ. γ, 24-38). Ἐκ δὲ τοῦ τύπου τούτου τῆς γενεαλογικῆς σειρᾶς ἐξελέγχεται λαμπρῶς καὶ ὁ λῆρος τοῦ Ὑσσερίου (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 742).

Ϛ) Ἄλλων πλείστων ὅσων φράσεων τῆς Καινῆς Διαθήκης, καὶ ῥήσεων προφητικῶν εἰλημμένων προφανῶς ἐκ τῆς ἑρμηνείας τῶν Ο, ἔχεις, ἀναγνῶστα, παραδείγματα παράλληλα τὰ ἑξῆς.

Οἱ Ο	ΜΑΤΘΑΙΟΣ.
Βίβλος γενέσεως ἀνθρώπων. Γενέσ. ε, 1.	*Βίβλος γενέσεως* Ἰησοῦ Χριστοῦ. α, 1.
(Ἤγαγεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος) *μετοικεσίαν εἰς Βαβυλῶνα*. Δ. Βασιλ. κδ, 16 (πρβλ. Κριτ. ιη, 30).	Ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος α, 11, 12, 17.
Καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ, καθ' ὕπνον. Γενέσ. λα, 11.	Ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων. α, 20.
Ἐν ταῖς ἡμέραις Ἰωσία βασιλέως. Ἱερεμ. α, 2. (περὶ τοῦ *ἡμέρα*, βλ. καὶ ἐν τοῖς ἑξῆς).	Ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως. β, 1.
Ἀνοίξαί σοι τὸν θησαυρὸν αὐτοῦ. Δευτ. κη, 12.	Ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν. β, 11.
Καὶ *ἐζήτει ἀνελεῖν* Μωϋσῆν. Ἐξόδ. β, 15.	Μέλλει *ζητεῖν* τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. β, 13.
(Γράψον τοὺς λόγους) οὓς *ἐχρημάτισα* πρὸς σέ. Ἱερ. λζ, 2.	Χρηματισθέντες κατ' ὄναρ. β, 12 (καὶ, *χρηματισθείς*. β, 22. πρβλ. καὶ Λουκ. β, 26. Ἑβρ. η, 5).
Τεθνήκασι γὰρ πάντες οἱ ζητοῦντές σου τὴν ψυχήν. Ἐξόδ. δ, 19.	Τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. β, 20.
Ἀνὴρ *δασὺς*, καὶ ζώνην δερματίνην περιεζωσμένος τὴν ὀ-	Εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου («*ἐνδεδυμένος τρί-*

Οἱ Ο	Ματθαῖος.
σφὺν αὐτοῦ. Δ. Βασιλ. α, 8.	*χας καμήλου*» Μάρκ. α, 6), καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. γ, 4.
Καὶ ἐξαγορεύσουσι τὰς ἁμαρτίας αὐτῶν. Λευΐτ. κς, 40 («καὶ *ὁμολογεῖν* ἐφ' ἁμαρτίαις». Σειρ.).	Ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. γ, 6.
(Ἀπέσταλκέ με) παρακαλέσαι πάντας τοὺς πενθοῦντας. Ἡσαΐ. ξα, 2.	(Μακάριοι) οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. ε, 4. (α).
Οἱ δὲ πρᾳεῖς κληρονομήσουσι γῆν. Ψαλμ. λς, 11.	(Μακάριοι) οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. ε, 5.
(Ἀθῷος χερσὶ) καὶ καθαρὸς τῇ καρδίᾳ. Ψαλμ. κγ, 4.	(Μακάριοι) οἱ καθαροὶ τῇ καρδίᾳ. ε, 8.
Ὁ μισθός σου πολὺς ἔςαι σφόδρα. Γενέσ. ιε, 1.	Ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. ε, 12.
Ἐὰν δὲ προσφέρῃ δῶρον θυσίαν. Λευΐτ. β, 4.	Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον. ε, 23.
Καὶ γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ *ἐξαποστελεῖ* αὐτήν. Δευτ. κδ, 1, 3. (πρβλ. Ἡσ. ν, 1. καὶ *ἀπολύσει* τὴν γυναῖκα. Α. Ἔσδρ. θ, 36).	Ὃς ἂν *ἀπολύσῃ* τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ *ἀποστάσιον*. (ε, 31), βιβλίον *ἀποστασίου*. ιθ, 7 καὶ Μάρκ. ι, 4.
Ὅτι γενεὰ ἐξεςραμμένη ἐστίν· υἱοί, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. Δευτ. λβ, 20.	Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη. ιζ, 17.
Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. (Ἡσ. ξς, 1). ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου· Ψαλμ. μζ, 2.	(Μὴ ὀμόσαι) μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ, μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως. ε, 35.
Ἀφεθήσεται ὑμῖν ἡ ἁμαρτία.	Ἀφήσει καὶ ὑμῖν (ὁ Πατὴρ)

(α) Καὶ αὐτὸ τὸ Μακάριοι, ὅθεν ὁ Κύριος ἡμῶν ἤρξατο τῶν μακαρισμῶν, ἀναλογεῖ πρὸς τὸ Μακάριος, ὅθεν ἤρξατο τῶν θεοπνεύστων Ψαλμῶν ὁ Προφήτης Δαυΐδ.

Οἱ Ο	Ματθαῖος.
Ἡσ. κϐ. 14.	τὰ παραπτώματα- Ἀφέωνταί σοι αἱ ἁμαρτίαι. ϛ, 12, 14. θ, 2, 5, 6 κτλ.
Τὰ πετεινὰ τοῦ οὐρανοῦ (Γεν. α, 26). Τὸν χόρτον τοῦ ἀγροῦ. Ἱερεμ. ιϐ, 4.	Τὰ πετεινὰ τοῦ οὐρανοῦ- . τὸν χόρτον τοῦ ἀγροῦ. ϛ, 26, 30.
Ὁδὸς τῆς ζωῆς, καὶ ὁδὸς τοῦ θανάτου (Ἱερεμ. κα, 8). ἡ γῆ πλατεῖα (Γεν. λδ, 21)· τόπος στενός. Ἀριθ. κϐ, 26.	Ὁδὸς ἀπάγουσα εἰς τὴν ζωὴν-, ὁδὸς ἀπάγουσα εἰς τὴν ἀπώλειαν·- πύλη πλατεῖα· πύλη στενή. ζ. 13, 14.
Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Ψαλμ. ϛ, 8.	Ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ζ, 23.
Ὁ υἱὸς τοῦ ἀνθρώπου. (Ἰεζ. ϐ. 25. Δανιὴλ. ζ, 13. Ψαλμ. η, 4 οθ, 15).	Ὁ υἱὸς τοῦ ἀνθρώπου. η, 20. (ϐλ. καὶ ὄπισθ. Βιϐλ. Γ. σελ. 626).
Ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ. Ψαλμ. ρε, 9.	Ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ. η, 26.
Τί ὑμῖν καὶ Κυρίῳ τῷ Θεῷ; (Ἰησ. κϐ, 24). Τί ἐμοὶ καὶ ὑμῖν; Β. Βασ. ιθ, 22 (πρϐλ. Ἰωὴλ γ, 4).	Τί ἡμῖν καὶ σοί; η, 29. (ἔστι δὲ ἡ ἑϐραΐζουσα φράσις, συνήθης καὶ τοῖς Ἕλλησι).
Ἐκράτησε τῆς χειρὸς αὐτοῦ. Γεν. ιθ, 16.	Ἐκράτησε τῆς χειρὸς αὐτῆς. θ. 25 (Μάρκ. ι, 30 κτλ.).
Ἀναστὰς, ἀκολούθησον αὐτοῖς (Ἀριθ. κϐ, 20). Ἀκολουθήσω ὀπίσω σου. Γ. Βασιλ. ιθ, 20.	Καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ (θ, 9). Ἀκολουθεῖ ὀπίσω μου. ι, 38.
Καὶ καθαριεῖ τὸν λεπρόν (Λευϊτ. ιγ, 6, 13). Ὁ ἐγείρας νεκρὸν (Σειρ. λη).	Λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε. ι, 8.
(Βροτὸς) γεννητὸς γυναικός. Ἰὼϐ, ιδ, 1, ιε, 14: κε, 4.	(Μείζων) ἐν γεννητοῖς γυναικῶν. ια, 11.
Εἰ πεσεῖται (ἀπὸ τῆς τριχὸς τοῦ υἱοῦ σου) ἐπὶ τὴν γῆν. Β. Βασιλ. ιδ, 11.	Καὶ ἓν ἐξ αὐτῶν (τῶν στρουθίων) οὐ πεσεῖται ἐπὶ τὴν γῆν. ι, 30.
Διότι υἱὸς ἀτιμάζει πατέρα·	Διχάσαι ἄνθρωπον κατὰ τοῦ

Οἱ Ο	Ματθαῖος.
θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς. ἐχθροὶ πάντες ἀνδρὸς οἱ ἐν τῷ οἴκῳ αὐτοῦ. Μιχ. ζ, 6.	πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. ι, 35.
Ἄνθρωπος δὲ ἀποκτείνει μὲν,- οὐδ' ἀναλύει ψυχὴν παραληφθεῖσαν. Σοφ. Σολ. ις, 14.	Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. ι, 28.
Αὐτὸς ἥξει.—Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός. - Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. Ἡσ. λε, 5: ξα, 1.	Σὺ εἶ ὁ ἐρχόμενος; - Τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, καὶ κωφοὶ ἀκούουσι, καὶ πτωχοὶ εὐαγγελίζονται. ια, 3, 5.
Περίζωσαι σάκκον, κατάπασαι σποδόν. (Ἱερεμ. ς, 26). Περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. Ἰων. γ, 6.	Ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν. ια, 21.
Ἀναβήσομαι ἐπάνω τῶν νεφῶν· νῦν δὲ εἰς ᾅδου καταβήσῃ. Ἡσαΐ. ιδ, 14, 15.	Ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ. ια, 23.
Καὶ εὑρήσετε ἁγιασμὸν (ἄλλ. ἁγνισμὸν) ταῖς ψυχαῖς ὑμῶν. Ἱερεμ. ς, 16,	Καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ια, 29.
Καὶ ἔδωκεν αὐτῷ.. *τοὺς ἄρτους τῆς προθέσεως*. Α. Βασιλ. κα, 6.	Καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε. ιβ, 4.
Τὰ σάββατά μου ἐβεβήλουν (Ἰεζ. κ, 16). ἐβεβήλουν τὰ ἅγια. Ἰεζ. κβ, 26.	Τὸ σάββατον βεβηλοῦσι (ιβ, 5). Βεβηλῶσαι τὸ ἱερόν. (Πράξ. κδ, 6).
Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει (Ψαλμ. ργ, 12). Ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν τὰ ὄρνεα. Δαν. δ, 18.	Ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ. ιγ, 32.

Οἱ Ο	Ματθαῖος.
Ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν (οἱ δίκαιοι) ἀναλάμψουσι. Σοφ. Σολομ. β.	Τότε οἱ *δίκαιοι* ἐκλάμψουσιν ὡς ὁ ἥλιος. ιγ, 43.
Εἰς τὴν κάμινον τοῦ πυρὸς (Δαν. γ, 6). ὀλολύζετε μετὰ κλαυθμοῦ (Ἡσ. ιε, 3). ἁμαρτωλὸς τοὺς ὀδόντας αὐτοῦ βρύξει. Ψαλμ. ρια, 10.	Εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ιγ, 42, ν, 12.
Εἶπεν (Ἀβραὰμ) *τοῖς παισὶν αὐτοῦ*. Γενέσ. κϐ, 5: μς, 34. (τουτ. τοῖς ὑπηρέταις).	Καὶ εἶπεν (Ἡρώδης) *τοῖς παισὶν αὐτοῦ*. ιδ, 2.
Καὶ ἐκόπασε τὸ ὕδωρ. (Γεν. η, 1). τὸ πῦρ (Ἀριθμ. ια, 2). ἡ θάλασσα (Ἰωνᾶ, α, 11).	Καὶ ἐκόπασεν ὁ ἄνεμος. ιδ, 32.
Ἵλεως ὑμῖν (ἔλλειπ. ὁ *Θεός*). μὴ φοβεῖσθε (Γεν. μγ, 23. Οὕτω καὶ, *ἵλεώς μοι, ἵλεως*, εἰ διαφθερῶ-. *Ἵλεώς μοι* (εἴη) ὁ Θεὸς τοῦ ποιῆσαι τοῦτο. Α. Παραλ. ια, 19: Β. Βασιλ. κ, 20: κγ, 17. πρϐλ. καὶ Α. Βασιλ. ιϛ, 46 κτλ.). ὡς τὸ τῆς Συνηθ. ὁ Θεὸς φυλάξοι, ἢ, μὴ δῴη Κύριος, μὴ γένοιτο.	Ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσαι σοι τοῦτο. ιϛ, 22.
Γενεὰ *σαρκὸς καὶ αἵματος*. Σειρ. ιδ, 18 (τουτ. ἀνθρώπων. οὕτω καὶ τὸ *σάρξ*, ἐπὶ ἀνθρώπου. ὡς Ἡσ. μ, 6. κτλ.	*Σὰρξ καὶ αἷμα* οὐκ ἀπεκάλυψέ σοι. ιϛ, 17. (πρϐ. Γαλατ. α, 16).
(Λάϐε) τὸν υἱόν σου τὸν ἀγαπητόν. Γεν. κϐ, 2, 12 (βλ. ὄπισθ. σελ. 72).	Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ιζ. 5.
Αὐτοῦ ἀκούσεσθε. Δευτ. ιη, 15.	Αὐτοῦ ἀκούετε. (αὐτ.).
Ἐπεσκίαζεν ἐπ' αὐτὴν ἡ νεφέλη. Ἐξόδ. μ, 35.	Νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς. ιζ. 5. (Μάρ. θ, 7. Λουκ. θ. 34).
Ἡλίας ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν κτλ. Μα-	Ἡλίας ἀποκαταστήσει πάντα. ιζ, 11.

Οἱ Ο	Ματθαῖος.
λαχ. δ, 6.	
Ὅσα ἠθέλησε ποιῆσαι. Γ. Βασ. θ, 1.	Ἐποίησαν ὅσα ἠθέλησαν. ιζ, 12.
Ἑβδομηκοντάκις ἑπτά. Γενέσ. δ, 24.	Ἑβδομηκοντάκις ἑπτά. ιη, 22.
Ἐμακροθύμησεν ἐπ᾽ αὐτοῖς Σειρ. ιη, 11. Παραλ. ιθ, 11.	Μακροθύμησον ἐπ᾽ ἐμοί. ιη, 26.
Ὃ ἐποίησεν ὁ Θεὸς ἀπ᾽ ἀρχῆς. Ἐκκλ. γ, 11.	Ὁ ποιήσας (αὐτοὺς) ἀπ᾽ ἀρχῆς. ιθ, 4.
Τοῖς εὐνούχοις... δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου... τόπον ὀνομαστόν. Ἡσαΐ. νς, 4, 5: Σοφ. Σολ. γ, 14.	Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ιθ, 12.
Πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. Ἰὼβ, μϐ, 2	Παρὰ δὲ Θεῷ πάντα δυνατά. ιθ, 26.
Προσθείη (Κύριος) ἑκατονταπλασίονα. Β Βασιλ. κδ, 3·	Ἑκατονταπλασίονα λήψεται. ιθ, 29.
Ἐγόγγυζον ἐναντίον μου (Ἀριθμ. ιδ, 2, 27: ιζ, 5). Παυσάσθω ὁ γογγυσμός. (αὐτόθ).	Ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου (κ, 11). Ἐγένετο γογγυσμός. (Πράξ. ς, 1.)
Ὀφθαλμοὶ πονηροὶ φθονεροί. Σειρ. ιδ, 10.	Ὁ ὀφθαλμός σου πονηρός ἐςι. κ, 15.
Τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. Ψαλμ. α, 3.	Ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. κα. 41.
Ἐὰν δὲ ἀποθάνῃ εἷς ἐξ αὐτῶν (τῶν ἀδελφῶν), σπέρμα δὲ μὴ ᾖ αὐτῷ . . . ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς . . . συνοικήσει αὐτῇ κτλ. (Δευτερ. κε, 5). Ἐπιγάμϐρευσαι (τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου), καὶ ἀνάστησον σπέρμα τῷ ἀδελφῷ σου. Γεν. λη, 8.	Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμϐρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα, καὶ ἀναςήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. κϐ, 24.
Εἰ γέγονεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν. Ἰωὴλ α, 2.	Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν. κγ, 30.
Ἐγκαταλέλοιπα τὸν οἶκόν	Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑ-

Οἱ Ο	Ματθαῖος.
μου.– εἰς ἐρήμωσιν ἔσται ὁ οἶκος. Ἱερ. ιϐ, 7: κϐ, 5.	μῶν ἔρημος. κγ, 38.
Θεῖναι λίθον ἐπὶ λίθον. Ἀγγ. ϐ, 16.	Οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθον. κδ, 2.
Καὶ πολεμήσει ἔθνος πρὸς ἔθνος, καὶ πόλις πρὸς πόλιν. Β. Παραλ. ιε, 6.	Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν. κδ, 7.
Καὶ ἔσται καιρὸς θλίψεως, θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς, ἕως τοῦ καιροῦ τούτου. Δαν. ιϐ, 2.	Ἔσται γὰρ τότε θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου, ἕως τοῦ νῦν. κδ, 21.
Οὗ δ' ἂν ὦσι τεθνεῶτες, παραχρῆμα (γῦπες) εὑρίσκονται. Ἰὼϐ, λθ, 30.	Ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. κδ, 28.
Καὶ σκοτισθήσεται (τὸ φῶς) τοῦ ἡλίου, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. Ἡσ. ιγ, 10.	Ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. κδ, 29.
Καὶ τακήσονται πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν. Ἡσ. λδ, 4.	Καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. κδ, 29.
Κατέστησεν αὐτὸν... ἐπὶ πάντα ὅσα ἦν αὐτῷ. Γενέσ. λθ, 4, 5.	Ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. κδ, 47.
Καὶ ἥξει Κύριος ὁ Θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. Ζαχ. ιδ, 5.	Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ. κε, 31.
Ἰδοὺ ἐγὼ διακρινῶ ἀναμέσον προβάτων, κριῶν, καὶ τράγου. Ἰεζ. λδ, 17.	Ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων. κε, 32.
Τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι ἔδωκε, καὶ γυμνὸν περιέϐαλε. (Ἰεζ. ιη, 17: Ἡσαϊ. νη, 7), ἀνὴρ συνάγων εἰς τὴν οἰκίαν. Κριτ. ιθ, 18.	Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν . . . ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεϐάλετέ με. κε, 35.
Καὶ ἐξεγερθήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνει-	Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι

Οἱ Ο	Ματθαῖος.
δισμὸν, καὶ εἰς αἰσχύνην αἰώνιον. Δαν. ιϐ, 2.	εἰς ζωὴν αἰώνιον. κε, 46.
Ἀπὸ ἀμπέλου γεννήματος. Ἡσαΐ. λϐ. 12.	Ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου. κς, 29.
Καθίσατε αὐτοῦ. Γεν. κϐ, 5.	Καθίσατε αὐτοῦ. κς, 36.
Σφόδρα λελύπημαι ἐγὼ, ἕως θανάτου. Ἰων. δ, 9.	Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. κς, 38.
Ὁρκίζω σε, ὅπως λαλήσης πρός με ἀλήθειαν, ἐν ὀνόματι Κυρίου (Γ. Βασιλ. κϐ, 16). ἐξορκίζωσε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ. Γενέσ. κδ, 3.	Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς. κς, 63.
Κάθου ἐκ δεξιῶν μου (Ψαλμ. ρθ, 1)· καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος. Δαν. ζ, 13.	Ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ. κς, 64.
Διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ. Δ. Βασιλ. ιθ, 1: Α, Μακκ. ια, 4.	Διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ. κς, 65.
Θανάτῳ ἔνοχος ἔσται. Γενέσ. κς, 11.	Ἔνοχος θανάτου ἐστί. κς, 67.
Ἐνέπτυσεν εἰς τὸ πρόσωπον (Ἀριθ. ιϐ, 14). Τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Ἡσαΐ. ν, 6.	Ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ. κς, 67: κζ, 30.
Πικρῶς κλαύσομαι. Ἡσ. κϐ, 4.	Ἔκλαυσε πικρῶς. κς, 75.
Τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου. Β. Βασιλ. α, 16.	Τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς, κτλ. κζ, 25.
Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Ψαλμ. ξθ, 21.	Ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον. κζ, 33.
Ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων. Β. Παραλ. γ, 17.	Εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων. κζ, 38.
Ἐκίνησαν κεφαλήν.—ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτὸν (Ψαλμ. κα, 7, 8). Παῖδα Κυρίου	Ἐβλασφήμουν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν—Πέποιθεν ἐπὶ τὸν Θεὸν, ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν. Εἶπε γὰρ, ὅτι Θεοῦ

Οἱ Ο

ἑαυτὸν ὀνομάζει- ἀλαζονεύεται πατέρα (ἔχειν) Θεόν. Εἰ γάρ ἐςιν ὁ δίκαιος υἱὸς Θεοῦ..., ῥύσεται αὐτὸν, κτλ. Σοφ. Σολ. β, 13. 16, 18.

Ἀναςήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις. Ἡσ. κϛ, 19.

Μετὰ τρεῖς ἡμέρας διῆλθον Ἰησ. γ, 2 [τουτ. τῇ τρίτῃ ἡμέρᾳ (ἢ ἐν τρισὶν ἡμέραις). Οὕτω καὶ, *μετὰ τρία ἔτη* (Λευϊτ. ιδ, 28), τὸ αὐτὸ καὶ, *ἐν τῷ ἔτει τῷ τρίτῳ*. Δευτ. κϛ, 12].

Τὸ πρόσωπον αὐτοῦ, ὡς ὅρασις ἀστραπῆς. (Δαν. ι, 3, 6), καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. Δαν. ζ, 9.

Ματθαῖος.

εἰμὶ υἱός. κζ, 39, 43·

Πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων κτλ. κζ, 53.

Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι κζ, 63· (Πρβ. Μάρ. η, 31). τουτ. *τῇ τρίτῃ ἡμέρᾳ*. Ματθ. ιϛ, 21 (α).

Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀςραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. κη, 3.

Οἱ Ο

Πορεύου εἰς εἰρήνην. Α. Βασ. α, 17: κ, 42.

Ἐνεῖχον αὐτῷ (ἐνεκότουν). Γεν. μθ, 23.

Ἡμέρα γενέσεως ἦν Φαραὼ, καὶ ἐποίει πότον πᾶσι τοῖς παισὶν αὐτοῦ. Γεν. μ, 20.

ΜΑΡΚΟΣ.

Πορεύου (καὶ ὕπαγε) εἰς εἰρήνην. ε, 34 (Λουκ. ζ, 50).

Ἐνεῖχεν αὐτῷ. ϛ, 19.

Γενομένης ἡμέρας-, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ. ϛ, 21.

(α) Οὕτω καὶ τὸ « τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας », Ματθ. ιβ, 40, συνεκδοχικῶς ἀπὸ μέρους τὸ ὅλον (ὅθεν καὶ τριήμερον ὑμνοῦμεν τὴν ἀνάστασιν τοῦ Σωτῆρος). Συνήθης δὲ καὶ παρ' Ἕλλησιν ἡ τοιαύτη φράσις. « Καὶ γὰρ ὁ λ η γ ο ύ σ η ς ἡ μ έ ρ α ς ἐπιδημήσας, καὶ τῆς τ ρ ί τ η ς ἕ ω θ ε ν ἐξιὼν, ἐ ν τ ρ ί τ ῃ ἀποδημεῖν λέγεται, κ α ί τ ο ι μ ί α ν, τ ὴ ν μ έ σ η ν, ὅ λ η ν ἐτέλεσε». (Πορφύρ. Ζητήμ. Ὁμηρ. §. ιγ, ἐξηγῶν τὸ μ ε τ ὰ τ ρ ι τ ά τ ο ι σ ι ν ἄ ν α σ σ ε ν. Ἰλ. α. 251).

Οἱ Ο	Μάρκος.
Τί θέλεις; καὶ τί σου ἐστὶ τὸ ἀξίωμα; ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου· καὶ ἔσται σοι. Ἐσθὴρ ε, 3.	Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι, ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου. ϛ, 23.
Ὡς πρόβατα, οἷς οὐκ ἔστι ποιμήν. Β. Παραλ. ιη, 16.	Ὡς πρόβατα μὴ ἔχοντα ποιμένα. ϛ. 34.
Καὶ τὰ *σανδάλιά σου* ὑπόλυσαι. Ἡσ. κ, 2.	Ὑποδεδεμένους σανδάλια. ϛ, 9.
Πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ... ἐπὶ τὰ πονηρά. Γεν. ϛ, 5.	Ἔσωθεν... ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοί. ζ, 21.
Ἦσαν συλλέγοντες τὰ ὑποκάτω τῆς τραπέζης μου. Κριτ. α, 7.	Καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων. ζ, 28.
Ὦτα κωφῶν ἀκούσονται..., καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων. Ἡσ. λε, 5, 6.	Κωφὸς μογιλάλος— διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί, καὶ ἐλάλει ὀρθῶς. ζ, 32-35.
Πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. Γεν. α, 31: Σειρ. λθ, 16.	Καλῶς πάντα πεποίηκε. ζ, 37.
Οὐ δώσει ἄνθρωπος τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. Ψαλμ. μη, 8.	Τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; η, 37.
Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐςι.— Οὗτος Θεός ἐςι, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ. Δευτ. ϛ, 4: Ἡσαΐ. μ, 9.	Ὅτι εἷς ἐστι Θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. ιϐ, 32.
Πάσας τὰς ἡμέρας, χωρὶς προσαββάτων. Ἰουδεὶθ η, 6.	Παρασκευὴ ἦν, ὅ ἐστι προσάββατον. ιε, 42.
Οἱ Ο.	**ΛΟΥΚΑΣ.**
Δίκαιος ἀνὴρ καὶ ἄμεμπτος (Ἰώϐ, ιϐ, 4)· πορευόμενος ἄμωμος (Ψαλμ. ιγ, 2), καὶ φυλάσσων τὰς ἐντολὰς καὶ τὰ δικαιώματα Κυρίου (Δευτ. ι, 13)-. Καὶ	Ἦσαν δὲ δίκαιοι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι· καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ

Οἱ Ο'	Λουκᾶς.
ἦν Σάῤῥα στεῖρα, καὶ οὐκ ἐτεκνοποίει. Ἀβραὰμ δὲ καὶ Σάῤῥα προβεβηκότες ἡμερῶν. Γενέσ. ια, 30: ιη, 11: κδ, 1, κτλ.	ἦν ςεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. α, 6.
Καὶ ὤφθη αὐτῷ ὁ ἄγγελος Κυρίου (Κριτ. ς, 12). Καὶ ἐταράχθη ἡ ψυχὴ αὐτοῦ (Γεν. μα, 8), καὶ φόβος ἐπιπίπτει αὐτῷ. Γεν. ιε, 12.	Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου, καὶ ἐταράχθη, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. α, 11, 12.
Εἰσηκούσθη ἡ δέησίς μου. Σ. Σειρ. να, 11. Ψαλμ. λη, 12.	Εἰσηκούσθη ἡ δέησίς σου. α, 13.
Ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξεταί σοι υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ. Γεν. ιζ, 19.	Καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. α, 13.
Καὶ οἶνον καὶ μέθυσμα μὴ πιέτω (Κριτ. ιγ, 14). Ἀπὸ οἴνου καὶ σίκερα ἁγνισθήσεται. Ἀριθ. ς, 3.	Καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ. α, 15.
Καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου -, ὃς ἀποκαταςήσει καρδίαν πατρὸς πρὸς υἱόν. Μαλαχ. γ, 1: δ, 6.	Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα. α, 17.
Ἀφεῖλεν ὁ Θεός μου τὸ ὄνειδος. Γεν. λ, 23.	Ἐπεῖδεν (ὁ Κύριος) ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. α, 25.
Κύριος μετὰ σοῦ (Κριτ. ς, 12: Ἱερ. α, 8). Εὐλογημένη σὺ τῷ Θεῷ παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς. Ἰουδεὶθ ιγ, 18 (α).	Ὁ Κύριος μετὰ σοῦ. Εὐλογημένη σὺ ἐν γυναιξί. α, 29.

(α) Βλ. ὄπισθ. σελ. 72. Τοιαύτη εὐλογία ἀναγινώσκεται καὶ ἐν Κριτ. ε, 24. «Εὐλογηθείη ἐν γυναιξὶν Ἰαήλ. ἀπὸ γυναικῶν ἐν σκηναῖς εὐλογηθείη» (τὸ ἑβρ. εὐλογηθήτω ὑπὲρ γυναῖκας Ἰαήλ. γυναῖκας (τὰς) ἐν σκηναῖς εὐλογηθήτω). τοιοῦτο καὶ ἐν Ἰουδεὶθ. «Εὐλογημενη σὺ ἐν παντὶ σκηνώματι Ἰούδα» (ιδ', 7)· συντομώτερον δὲ ἐπὶ τῆς Ῥούθ. «Εὐλογημένη σὺ Κυρίῳ τῷ Θεῷ» (γ, 10, πρβλ. καὶ Α. Βασιλ· κε, 33). Ἀλλὰ τὸ ἀνωτέρω καθολικώτερον, καὶ πλησιέστερον δοκεῖ πρὸς τὸν θειότατον ἀσπασμὸν τοῦ Ἀρχαγγέλου (τοῦτον ἐπανέλαβε καὶ ἡ θεόπνευστος Ἐλισάβετ), ὃν τὸ Πνεῦμα τὸ ἅγιον εἶχε τυπικῶς προωρισμένον ἐκ γενεῶν ἀρχαίων εἰς τὴν μόνην καὶ

Οἱ Ο	Λουκᾶς.
Εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ. Γεν. ς, 8.	Εὗρες χάριν παρὰ τῷ Θεῷ. α, 30.
Μεγάλη ἡ ἀρχὴ αὐτοῦ - ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτήν. (Ἠσ. θ, 7). Καὶ ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος. Δαν. γ, 33.	Καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔςαι τέλος. α, 32, 33.
Μὴ ἀδυνατήσῃ παρὰ τῷ Θεῷ πᾶν ῥῆμα; Γεν. ιη, 14.	Οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. α, 36.
Μεγαλυνῶ τὸν Κύριον ἐν αἰνέσει, ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. Ψαλ. ξη, 30: λγ, 3: λδ, 9.	Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. α, 47.
Ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου. Α. Βασιλ. α, 11.	Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. α, 48.
Μακαριοῦσί με αἱ γυναῖκες (Γενέσ. λ, 13). Πάντα τὰ ἔθνη μακαριοῦσι (Ψαλμ. οα, 17). Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Ψαλμ. μδ, 17.	Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. α, 48.
Ἐποίησάς μοι μεγαλεῖα (Ψαλ. ο, 19). Κύριος- δυνατὸς (Ψαλμ. κγ, 8). ἅγιον τὸ ὄνομα αὐτοῦ (Ψαλμ. ρι, 9)· τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Ψαλμ. ρϐ, 17.	Ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν. α, 49, 50.
Δεξιὰ Κυρίου ἐποίησε δύναμιν (Ψαλμ. ριζ, 15, 16). Σὺ ἐταπείνωσας . . . ὑπερήφανον, καὶ	Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. α, 51.

κυρίως ἐν γυναιξὶν εἰς αἰῶνας εὐλογημένην. Οὕτω καὶ τὸ, ὁ Κύριος μετὰ σοῦ, προείρητο πρὸς τὸν Μανωέ. (Κριτ. ς, 12. πρβλ. καὶ Πράξ. ζ, 9)·

Οἱ Ο

ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου. Ψαλμ. πη, 10.

Θρόνους ἀρχόντων καθεῖλεν ὁ Κύριος, καὶ ἐκάθισε πρᾳεῖς ἀντ' αὐτῶν (Σ. Σειρ. ι, 14)· ποιῶν ταπεινοὺς εἰς ὕψος. Ἰὼβ ε, 11. πρβλ. Ψαλμ. ριβ, 7, 8.

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν·– καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. (Ψαλμ. λγ, 10: ρς, 9. πρβλ. Α. Βασιλ. β, 5: καὶ τὸ *ἐξαπέστειλε κενὸν* κεῖται ἐν Ἰὼβ κβ, 9).

Σὺ δὲ Ἰσραὴλ παῖς μου, οὗ ἀντελαβόμην. Ἡσ. μα, 8, 9.

Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ (Ψαλμ. ϙζ, 3). Καὶ ἐλάλησε (τῷ Ἀβραὰμ) ὁ Θεὸς λέγων· Ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ εἰς διαθήκην αἰώνιον, εἶναί σου Θεὸς καὶ τοῦ σπέρματός σου μετὰ σέ. Γενέσ. ιζ, 3, 7.

Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν (Ψαλμ. ρκε, 2). Ἐποίησας μετὰ τοῦ δούλου σου ἔλεος μέγα. Γ. Βασιλ. γ, 6.

Καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται (Γενέσ. ιζ, 12), τῇ ἡμέρᾳ τῇ ὀγδόῃ. Λευιτ. ιβ, 3.

Καὶ ἦ ἡ χείρ σου (Κύριε) μετ' ἐμοῦ. Α. Παραλ. δ, 10.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ (Ψαλμ. μ, 13: οα, 18: ρε, 48), ὅτι ἐπισκέψατο (Ἐξόδ. δ, 31), λύτρωσιν ἀπέστειλε τῷ

Λουκᾶς.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. α, 52.

Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. α, 53.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ. α, 54.

Μνησθῆναι ἐλέους (καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν), τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα. α, 55.

Ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς. α, 58.

Καὶ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον. α, 59.

Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ. α, 66.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. α, 68.

Οἱ Ο

λαῷ αὐτοῦ. Ψαλμ. ρι, 9.

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ (Ψαλμ. ρλα, 17), κέρας παντὶ τῷ οἴκῳ Ἰσραὴλ (Ἰεζ· κθ, 21)· καὶ ὁ Θεός μου, κέρας σωτηρίας μου. Ψαλ. ιζ. 2.

Οἱ λόγοι, οὓς ἐλάλησε Κύριος ἐν χειρὶ τῶν προφητῶν τῶν ἔμπροσθεν. Ζαχ. ζ, 7.

Ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν. Ψαλμ. ρε, 10.

Ποιῶν ἔλεος τοῖς ἀγαπῶσί με (Ἐξόδ. κ, 6). καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακὼβ, καὶ τῆς διαθήκης Ἰσαὰκ, καὶ τῆς διαθήκης Ἀβραὰμ μνησθήσομαι. Λευιτ. κς, 42. πρβλ. Ψαλμ. ρδ, 8.

Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος (πρὸς Ἀβραάμ. Γενέσ. κβ, 16,), τὸν ὅρκον μου, ὃν ὤμοσα τοῖς πατράσιν ὑμῶν. Ἱερεμ. ια, 5. Ψαλμ. ρδ, 9.

Καὶ καταπαύσει ὑμᾶς ἀπὸ πάντων τῶν ἐχθρῶν ὑμῶν (Δευτ. ιβ, 10)· καὶ λατρεύσετε τῷ Θεῷ (Ἐξόδ. γ, 12) ἐν *ὁσιότητι καὶ δικαιοσύνῃ*, (Σοφ. Σολομ. θ, 3) (α), πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν. Δευτ. ις, 3.

Ἐξαποςέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου μου (Μαλ. γ, 1).

Λουκᾶς.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. α, 69.

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ. α, 70.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς. α, 71.

Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. α, 73.

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν. α, 73.

Τοῦ δοῦναι ἡμῖν, ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ *ἐν ὁσιότητι καὶ δικαιοσύνῃ* πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. α, 74.

Προπορεύσῃ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

(α) Σημείωσαι τὴν φράσιν τοῦ Εὐαγγελιστοῦ ἐκ τῆς Σοφίας τοῦ Σολομῶντος (οὐδαμοῦ γὰρ ἄλλοθι τῶν προφητικῶν βίβλων κεῖται ἐπὶ τοιαύτης συμφράσεως τὸ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ). Βλ. καὶ Schleusn. Thes. V. Test. v. Ὁσιότης.

Οἱ Ο	Λουκᾶς.
Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. Ἡσαΐ. μ, 3.	α. 76.
Ἐπεσκέψατο (ὁ Θεὸς) τοὺς υἱοὺς Ἰσραὴλ (Ἐξόδ. δ, 31). Ἀνατολὴ ὄνομα αὐτῷ. Ζαχ. ς, 12. (α).	Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους. α, 79.
Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς (Ἡσ. θ, 2). Διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ. Ἡσ. μα, 3. (Ψαλμ. ριη, 5, 105).	Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθύναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. α, 79.
Καὶ τὸ δόγμα ἐξῆλθε. Δανιὴλ β, 13.	Ἐξῆλθε δόγμα. β, 1.
Ἐκ πόλεως Δαβίδ. Γ. Βασιλ. θ, 24.	Εἰς πόλιν Δαβίδ (τὴν Βηθλεέμ). β, 4.
Καὶ φυλάξονται τὰς φυλακάς σου. Ἀριθμ. ιη, 3.	Φυλάσσοντες φυλακὰς τῆς νυκτός. β, 8.
Ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. Γενέσ. κε, 24.	Ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. β, 6.
Ἐφοβήθησαν φόβον μέγαν. Ἰωνᾶ. α, 10.	Ἐφοβήθησαν φόβον μέγαν. β, 9.
Καὶ ὁ ἄγγελος Κυρίου ἀπῆλθεν ἐξ ὀφθαλμῶν αὐτοῦ (Κριτ. ς, 21).– Ἄνδρες ποιμένες. Γεν. μς, 32.	Ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες κτλ. β, 15.
Καὶ τὸ ῥῆμα ἐν τῇ καρδίᾳ μου συνετήρησα. Δαν. ζ, 28.	Συνετήρει τὰ ῥήματα ταῦτα, *συμβάλλουσα* ἐν τῇ καρδίᾳ αὐτῆς. β, 20,
Καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς. Ὠσηὲ ιβ, 4.	Καθὼς ἐλαλήθη πρὸς αὐτούς. ιβ, 20.
Καὶ ὅταν ἀναπληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς. Λευΐτ. ιβ, 6.	Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῆς. β, 22.
Οὐκ ὄψεται θάνατον. Ψαλ. πη, 48.	Μὴ ἰδεῖν θάνατον. β, 26.

(β) Πρὸς τοῦτο τὸ Ἀνατολὴ ἀποβλέπει καὶ τὸ «Ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν». Ἡσ. ξ. 1.

Οἱ Ο	Λουκᾶς.
Ἀπελύθη Ἀαρών. (Ἀριθμ. κ, 29. ἐλλειπτ. τοῦ βίου, ἢ τοῦ ζῆν. ὡς τὸ πλῆρες « ἐκ τοῦ παρόντος ἡμᾶς ζῆν ἀπολύεις ». Β. Μακ. ζ, 9. καὶ, « ἀπολῦσαί με ἀπὸ τῆς γῆς». βλ. Τωβὶτ. γ, 6, 13)· ταφεὶς ἐν εἰρήνῃ. Γεν. ιε, 15. (α).	Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, ἐν εἰρήνῃ. β, 29.
Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ-, πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. Ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ (Ψαλμ. ϛ, 6: ϛζ, 2, 3). Ἰδοὺ δέδωκά σε εἰς φῶς ἐθνῶν, κτλ. Ἠσαΐ. μβ, 6: μθ, 6.	Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. β, 30, 31.
Μαριὰμ ἡ *προφῆτις* (Ἐξόδ. ιε, 20. καὶ Δεββῶρα ἡ *προφῆτις*. Κριτ. δ, 4. Ὀλδὰ ἡ *προφῆτις*. Δ. Βασιλ. κβ, 14). Ἐνήστευσαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. Ἐξόδ. λη, 8.	Καὶ ἦν Ἄννα *προφῆτις*- ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν. β, 36, 37.
Καὶ τὸ παιδάριον ἐπορεύετο, καὶ ἦν *ἀγαθὸν μετὰ Κυρίου καὶ μετὰ ἀνθρώπων*. Α. Βασιλ. β, 26.	Καὶ χάριτι (προέκοπτε) *παρὰ Θεῷ καὶ ἀνθρώποις*. β, 52.
Πορεύου εἰς Σαρεπτὰ τῆς Σιδωνίας· ἰδοὺ ἐντέταλμαι ἐκεῖ γυναικὶ χήρᾳ (τοῦ διατρέφειν σε. Γ. Βασιλ. ιζ, 9). Καὶ Νεεμὰν	Ἐπέμφθη Ἠλίας εἰς Σάρεπτα τῆς Σιδῶνος πρὸς γυναῖκα χήραν (δ, 26). Ἐκαθαρίσθη Νεεμὰν ὁ Σύρος. δ, 27.

(α) Ἐν τῷ κειμένῳ γράφεται τ ρ α φ ε ὶ ς (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 731). Ἀλλ' ὁ Σειρὰχ, ὡς ἔοικεν, ἀνέγνω τ α φ ε ί ς· ὅθεν ἔγραψε «τὸ σῶμα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη» (Σ. Σειρ. μδ, 14)· πρβλ. καὶ Ἠσαΐ. νζ, 2· « ἔσται ἐν ε ἰ ρ ή ν ῃ ἡ τ α φ ὴ αὐτοῦ ».- Πρὸς δὲ τὸ Ν ῦ ν ἀ π ο λ ύ ε ι ς ... ὅ τ ι ε ἶ δ ο ν κτλ φέρει καὶ τὸ «Ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου» (ὁ Ἰακὼβ πρὸς Ἰωσήφ. Γεν. μϛ, 30· ὅθεν καὶ ἐν τῷ Τωβὶτ ια, 9).

Οἱ Ο	Λουκᾶς.
ὁ ἄρχων τῆς δυνάμεως Συρίας-ἐκαθαρίσθη. Δ. Βασιλ. ε, 1, 14.	
Ἐπλήσθη θυμοῦ. Δαν. γ, 19.	Ἐπλήσθησαν πάντες θυμοῦ. δ. 28
Καὶ οἱ ἰχθύες αὐτῆς, πλῆθος πολὺ σφόδρα. Ἰεζ. μζ, 10.	Καὶ συνέκλεισαν ἰχθύων πλῆθος πολύ. ε, 6.
Καὶ ἐποίησε δοχὴν μεγάλην (αὐτοῖς). Γεν. κα, 8: κϛ, 30.	Καὶ ἐποίησε δοχὴν μεγάλην. ε, 29.
Ἐὰν δὲ ἀποκαταστῇ ὁ χρὼς ὁ ὑγιής. Λευΐτ. ιγ, 16.	Καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιής. ϛ, 10.
Καὶ ἀφωρίσθη ἔξω τῆς παρεμβολῆς. Ἀριθμ. ιϐ, 15. [Ἔστι δὲ τὸ ἀφορίζειν καὶ ἐπὶ ποινῇ, ὡς τὸ « διασταλήσεται ἀπὸ ἐκκλησίας». Ἔσδρ. ι, 8. τουτ. ἀποχωρισθήσεται, ἐκϐληθήσεται].	Ὅταν ἀφορίσωσιν ὑμᾶς (ἀποσυναγώγους ποιήσωσι). ϛ, 22.
Ἐξήνεγκεν ὄνομα πονηρόν. Δευτ. κϐ, 19.	Ἐκϐάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν. ϛ, 22.
Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε.- Ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε. Ἠσαΐ. ξε, 13.	Οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε. Οὐαὶ ὑμῖν, οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε. ϛ, 25.
Ἐπέσκεπται Κύριος τὸν λαὸν αὐτοῦ. Ῥούθ. α, 6.	Ἐπεσκέψατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ. ζ, 17.
Ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν. Γεν. ιη, 4.	Ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας. ζ, 44.
Καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατήσθιεν αὐτά. Γεν. μ, 17.	Καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό. η, 5.
Καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ. Ζαχ. ιγ, 2.	Παρήγγειλε τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν. κτλ. η, 29.
Ἕως κλῖναι τὴν ἡμέραν (Κριτ. ιθ, 8). κέκλικεν ἡ ἡμέρα. Ἰερ. ϛ, 4.	Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν (θ, 12). καὶ κέκλικεν ἡ ἡμέρα κδ, 29.

Οἱ Ο	Λουκᾶς.
Ἐστήρικα τὸ πρόσωπόν μου ἐπὶ τὴν πόλιν ταύτην (Ἰερ. κα, 10). Καὶ τὸ πρόσωπόν σου πορευόμενον ἐν μέσῳ αὐτῶν. Β. Βασιλ. ιζ, 11.	Τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλὴμ (θ, 51). Ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ. θ, 53.
Καταβήσεται ἀπὸ τοῦ οὐρανοῦ πῦρ. Δ. Βασιλ. α, 10.	Πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ. θ, 54.
Καταφιλήσω τὸν πατέρα μου, καὶ ἀκολουθήσω σοι. Γ. Βασιλ. ιθ, 20.	Ἀκολουθήσω σοι Κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου. θ, 61.
Καὶ ὁ ἀθετῶν ὑμᾶς, οὐκ ἀθετεῖ. κτλ. Ἡσ. λγ, 1.	Ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ. ι, 16.
Ἐξάλειψόν με ἐκ τῆς βίβλου σου ἧς (με) ἔγραψας (Ἐξ. λβ, 32). Ἅγιοι πάντες οἱ γραφέντες εἰς ζωήν. Ἡσαΐ. δ, 3 (πρβ. Δανιήλ, ιβ, 2).	Τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. ι, 20. (ἐν βίβλῳ ζωῆς. Φιλιππησ. δ, 3: Ἀποκ. γ, 5. ιγ, 8, κτλ.).
Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω. Ἡσ. κθ, 14.	Ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν. ι, 21.
Ὁ ποιήσας αὐτά . . . ζήσεται ἐν αὐτοῖς. Λευΐτ. ιη, 5.	Τοῦτο ποίει, καὶ ζήσῃ. ι, 28.
Καὶ τῶν ἰσχυρῶν μεριεῖ σκύλα. Ἡσ. νγ, 12.	Ὁ ἰσχυρότερος νικήσῃ αὐτὸν (τὸν ἰσχυρὸν), καὶ τὰ σκύλα αὐτοῦ διαδίδωσι. ια, 22.
Τῷ διδόντι τροφὴν... τοῖς νεοσσοῖς τῶν κοράκων. Ψαλ. ρμς, 9: Ἰὼβ. λη, 41.	Κατανοήσατε τοὺς κόρακας, — ὁ Θεὸς τρέφει αὐτούς. ιβ, 24.
Ἐσιτομέτρει (αὐτοῖς) κατὰ σῶμα. Γεν. μζ, 12.	Τοῦ διδόναι (αὐτοῖς) τὸ *σιτομέτριον*. ιβ, 42.
Ἓξ ἡμέρας ἐργᾷ. Ἐξόδ. κ, 9.	Ἓξ ἡμέραι εἰσὶν, ἐν αἷς δεῖ ἐργάζεσθαι. ιγ, 14.
Ἐν ταῖς πλατείαις αὐτῆς καὶ ταῖς ῥύμαις αὐτῆς. Ἡσαΐ. ιε, 3:	Εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως. ιδ, 21.
Ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρὶ, οὐχ ἑώρακά σε, καὶ τοὺς	Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ

Οἱ Ο	Λουκᾶς.
ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω, καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω, ἐφύλαξε τὰ λόγιά σου. Δευτερ. λγ, 9. πρβλ. ιγ, 6.	τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, οὐ δύναταί μου εἶναι μαθητής. ιδ, 26, 27.
Καὶ ἐγένετο λιμὸς ἐπὶ τῆς γῆς· καὶ ἐνίσχυσε (Γεν. ιβ, 10)· ἰσχυρὸς γὰρ (ὁ λιμὸς) ἔσαι σφόδρα. Γεν. μα, 31.	Ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην. ιε, 14.
Ἐδούλευσά σοι δεκατέσσαρα ἔτη (Γεν. λα, 41)· οὐ παρῆλθον τὴν ἐντολήν σου (Δευτ. κς, 13). δουλεύσει τοῖς γεννήσασιν αὐτόν. Σ. Σειρ. γ, 6.	Τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον. ιε, 29.
Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ (Ψαλμ. Ϟς, 4). ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν εἰς τὴν ὑπ' οὐρανόν. Δευτ. κε, 19. Ἰὼϐ λη, 24.	Ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανὸν, εἰς τὴν ὑπ' οὐρανὸν λάμπει. ιζ, 24.
Κύριος ἔϐρεξεν ἐπὶ Σόδομα καὶ Γόμοῤῥα θεῖον καὶ πῦρ—ἐξ οὐρανοῦ. Γεν. ιθ, 24.	Ἔϐρεξε πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ. ιζ, 29.
Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ψαλμ. ρκϐ, 1.	Οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν ἐπᾶραι. ιη, 13.
Ἱλάσθητι Κύριε. Δαν. θ, 19. Ἱλάσθητι τῇ ἁμαρτίᾳ μου. Ψαλ. κδ, 11. οη, 9.	Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. ιη, 14.
Μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ ῥῆμα. Ἱερεμ. με, 14. Β. Βασιλ. ιδ, 18.	Καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν. ιη, 34.
Ἐν τῷ ὄρει ἐπὶ τῆς καταϐάσεως. Ἰησ. η, 24.	Πρὸς τῇ καταϐάσει τοῦ ὄρους ιθ, 17.
Λίθος ἐκ τοίχου βοήσεται. Ἀϐϐακ. ϐ, 11.	Οἱ λίθοι κεκράξονται. ιθ, 40.
Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν. Ἡσαΐ. ξγ, 8: Ψαλ. ριζ, 20.	Σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο. ιθ, 9.
Καὶ κυκλώσῃ ἐπ' αὐτὴν, καὶ	Καὶ περιϐαλοῦσιν οἱ ἐχθροί

Οἱ Ο	Λουκᾶς.
περιβαλεῖς περὶ αὐτὴν χάρακα. Ἰεζ. δ, 2. Ἡσ. λζ, 33.	σου χάρακά σοι, καὶ περικυκλώσουσί σε. ιθ, 43.
Δεῦτε ἀποκτείνωμεν αὐτόν. Γεν. λζ. 20.	Δεῦτε, ἀποκτείνωμεν αὐτόν. κ, 14.
Μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον (Γεν. κβ, 12)· αὐτῇ τῇ ὥρᾳ. Δαν. γ, 6.	Ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ. κ, 19,
Θέσθε ἐν ταῖς καρδίαις ὑμῶν. Ἀγγ. β, 19.	Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν. κα, 14.
Εἰ πεσεῖται ἀπὸ τῆς κεφαλῆς αὐτοῦ θρὶξ ἐπὶ τὴν γῆν. Α. Βασιλ. ιδ, 46.	Θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. κα, 19.
Ἡμέρα θλίψεως καὶ ἀνάγκης (Σοφον. α, 15)· καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς (Ψαλμ. ιζ,24)·-ἔπεσεν ἐν στόματι ῥομφαίας. Ἰησ. η, 24.	Ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ, καὶ πεσοῦνται στόματι μαχαίρας. κα, 23.
Ἥκασιν ἡμέραι τῆς ἐκδικήσεως. Ὠσηὲ θ, 7.	Ἡμέραι ἐκδικήσεως αὗταί εἰσι. κα, 22.
Καὶ παγὶς ἐφ' ὑμᾶς τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς. Ἡσαΐ. κδ, 17.	Ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. κα, 35.
Καὶ ὤρθρισεν ὁ λαός. (Κριτ. κα,4). Ὄρθιζε πρὸς Κύριον. Ἰὼβ, η, 5.	Καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐτόν. κα, 38.
Ὡσεὶ τόξου βολήν. Γεν. κα, 16.	Ὡσεὶ λίθου βολήν. κβ, 41.
Καὶ ἐροῦσι τοῖς ὄρεσι· πέσετε ἐφ' ἡμᾶς· καὶ τοῖς βουνοῖς, καλύψατε ἡμᾶς. Ὠσηὲ, ι, 8.	Λέγειν τοῖς ὄρεσι· πέσετε ἐφ' ἡμᾶς· καὶ τοῖς βουνοῖς, καλύψατε ἡμᾶς. κγ, 30
Οὐκ εἰσὶν εἰδότες τοῦ ποιῆσαι κακόν. Ἐκκλησ δ, 17.	Οὐ γὰρ οἴδασι τί ποιοῦσι. κγ, 34.
Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με· ἐλάλησαν ἐν χείλεσι. Ψαλμ. κα, 7.	Εἱστήκει ὁ λαὸς θεωρῶν. ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες. κγ, 35.
Εἰς χεῖράς σου παραθήσομαι	Εἰς χεῖράς σου παραθήσομαι

Οἱ Ο

τὸ πνεῦμά μου. Ψαλ. λ, 5.

Καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν. Δαν. ι, 9.

Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραήλ. Ψαλμ. ρκθ, 8.

Καὶ παρεβιάσατο αὐτοὺς-καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ. Γεν. ιθ, 3.

Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου. Ψαλμ. λη, 3.

Διήνοιξε (Κύριος) τοὺς ὀφθαλμοὺς αὐτοῦ (Δ. Βασιλ. ϛ, 17 20). Διανοῖξαι τὴν καρδίαν ὑμῶν ἐν τῷ νόμῳ αὐτοῦ. Β. Μακάβ. α, 4.

Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ. Ἡσαΐ. β, 3.

Οἱ Ο.

Καὶ ἠνοίχθησαν οἱ οὐρανοὶ (Ἰεζεκ. α, 1). καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον κτλ. Γεν. κη, 12.

Ὑδρίαν καινὴν (Δ. Βασιλ. β, 20. πρβλ. Γεν. κδ), χωροῦσαν δύο μετρητάς. Γ. Βασιλ. ιη, 32, 33.

Γεμίσατε τὰ πορεῖα (σίτου). Γενέσ. με, 17.

Οὐκ ἔστι γινώσκων, τίς ἡ ὁδὸς τοῦ πνεύματος. Ἐκκλησ. ια, 5.

Τοῦ ἀγροῦ, οὗ ἐκτήσατο Ἰακώβ, καὶ ἔδωκεν Ἰωσὴφ ἐν μερίδι. Ἰησ. κδ, 32.

Ἐκπορεύονται ἀντλῆσαι ὕδωρ ἐκ τῆς πηγῆς. Γεν. κδ, 43.

Λουκᾶς.

τὸ πνεῦμά μου. κγ, 46.

Κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν. κδ, 5.

Αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. κδ, 21.

Καὶ παρεβιάσαντο αὐτὸν,-καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. κδ, 28, 29.

Ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν. κδ, 32.

Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτὸν (κδ, 31). Διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς Γραφάς. κδ, 45.

Ἀρξάμενον (τὸ κήρυγμα) ἀπὸ Ἱερουσαλήμ. κδ, 48.

ΙΩΑΝΝΗΣ

Ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας, κτλ. α, 52.

Ὑδρίαι λίθιναι . . . χωροῦσαι ἀνὰ μετρητὰς δύο, ἢ τρεῖς. β, 6.

Γεμίσατε τὰς ὑδρίας (ὕδατος). β. 7.

Οὐκ οἶδας πόθεν ἔρχεται (τὸ πνεῦμα), καὶ ποῦ ὑπάγει. γ, 8.

Τοῦ χωρίου, ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. δ, 5.

Ἔρχεται ἀντλῆσαι ὕδωρ (ἐκ τῆς πηγῆς). δ, 7.

Οἱ Ο	Ἰωάννης.
Ἐτελείωσε τὸν οἶκον Κυρίου (Β. Παραλ. η. 16). τελειωθῆναι τὸ ἔργον τοῦτο. Νεεμ. ς. 16.	Καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. δ, 34.
Καὶ ἐγένετο τετράμηνον. Κριτ. ιθ, 2: κ, 47.	Ἔτι τετράμηνόν ἐστι. δ, 35.
Κατὰ τὴν πύλην τὴν προβατικήν.– τὸ τεῖχος τῆς κολυμβήθρας. Νεεμ. γ, 2, 15.	Ἔστιν ἐπὶ τῇ προβατικῇ (πύλῃ) κολυμβήθρα. ε, 2.
Ἐτάρασσεν ὕδωρ. Ἰεζ. λβ, 2.	Ἐτάρασσε τὸ ὕδωρ. ε, 4.
Ἐξένευσεν ὀπίσω αὐτῶν. Δ. Βασιλ. β, 24.	*Ἐξένευσεν*,..ὄχλου ὄντος. ε, 13.
Ἐζήτει αὐτὸν ἀποκτεῖναι. Ἐξόδ. δ, 24; Ἱερεμ. λγ, 21.	Ἐζήτουν αὐτὸν ἀποκτεῖναι. ε, 18.
Εἴκοσιν ἄρτους κριθίνους–. δότε τῷ λαῷ, καὶ ἐσθιέτωσαν – καὶ ἔφαγον. Δ, Βασιλ. δ, 42-44.	Πέντε ἄρτους κριθίνους–. οἱ δὲ μαθηταὶ (διέδοσαν) τοῖς ἀνακειμένοις. κτλ. ς,9–,11.
Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ψαλμ. οζ,24.	Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. ς,31.
Ἐψώμισά σε τὸ μάννα ἐν τῇ ἐρήμῳ. Δευτερ. η, 16.	Ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ. ς, 49.
Σκληρὸν ἐφάνη τὸ ῥῆμα (Γεν. κα, 11). Καὶ τὸ ῥῆμα ὃ ἐὰν ᾖ σκληρόν. Δευτ. α, 17.	Σκληρός ἐστιν οὗτος ὁ λόγος. ς, 60.
Ὅσοι μὴ ἀναβῶσι τοῦ ἑορτάσαι τὴν ἑορτήν. Ζαχ. ιδ, 18.	Ἀνάβητε εἰς τὴν ἑορτήν. ζ, 8.
Ἔσται ποιμὴν εἷς πάντων. Ἰεζ. λζ, 24.	Καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. ι, 16.
Λιθάζων ἐν λίθοις τὸν Δαυΐδ. Β. Βασιλ. 15 6.	Ἐβάστασαν λίθους, ἵνα λιθάσωσιν αὐτόν. ι, 31.
Κοιμηθήσῃ μετὰ τῶν πατέρων σου (Β. Βασιλ. ζ, 12). Ἀφ' οὗ σὺ κεκοίμησαι. Ἡσ. ιδ, 8.	Λάζαρος κεκοίμηται. ια, 11.
Τὸ σπέρμα αὐτοῦ (*τοῦ Δαυΐδ τὸ σπέρμα, ὅς ἐστι χριστὸς*) *εἰς τὸν αἰῶνα μενεῖ*. Ψαλμ. πη, 36. Ἰεζ. λζ, 25.	Ὁ χριστὸς *μένει εἰς τὸν αἰῶνα*. ιβ, 34.

Οἱ Ο	Ἰωάννης.
Ἡ καρδία μου τετάρακται ἐντός μου. Ψαλμ. ρη, 22.	Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία. ιδ, 1.
Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου (Ψαλ. κδ, 5)· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με, κτλ. Ψαλ. ρμϐ, 12.	Τὸ πνεῦμα τῆς ἀληθείας ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. ις, 13.
Καὶ ὄψεσθε, καὶ χαρήσεται ὑμῶν ἡ καρδία. Ἡσ. ξς, 14.	Πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία. ις, 22.
Ἐν τῷ χειμάῤῥῳ τῶν κέδρων. Β. Βασιλ. ιε, 23. (α).	Πέραν τοῦ χειμάῤῥου τῶν κέδρων. ιη, 1.
Τὰς δὲ σιαγόνας μου (ἔδωκα) εἰς ῥαπίσματα. Ἡσαΐ. ν, 6.	Ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ. ιη, 22.
Οἱ Ο.	**ΠΡΑΞΕΙΣ**
Ἕως ἐσχάτου τῆς γῆς. Ἡσαΐ. μη, 20.	Καὶ ἕως ἐσχάτου τῆς γῆς. α, 8.
Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Ψαλμ. ξη, 25: ρη, 8.	Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ. Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. α, 20.

(α) Ἀλλαχοῦ (Β. Βασιλ. ιε, 23: Δ. Βασιλ. κγ, 6, 12: Β. Παραλ. ιε, 16: λ, 14) ἑξάκις γέγραπται ἐν τῷ χειμάῤῥῳ κέδρων (δίχως ἄρθρου), ἀλλὰ καὶ ὧδε τὸ κέδρων φαίνεται γενικὴ πληθ. τοῦ κέδρος (ὡς καὶ τὸ ἔναρθρον τῶν κέδρων). Καὶ ὁ Ἰώσηπος ἐκφέρει «τὸν κεδρῶνα χείμαῤῥον» (ὡς ἐκ τοῦ περιληπτικοῦ κεδρὼν, ὡς ἐλαιῶν, ἀμπελών). Τὸ δὲ ἑϐραϊκὸν ἔχει κεδρὼν (ὀξυτονούμενον), ὅπερ οὐδαμοῦ παρὰ τοῖς Ο ἀναγινώσκεται, καὶ ἄλλως παρ᾽ ἄλλοις ἑρμηνεύεται, θεωρούμενον ὡς κύριον ὄνομα τοῦ χειμάῤῥου· ὅθεν καί τινες παρὰ τῷ Εὐαγγελιστῇ ἀναγινώσκουσι πέραν τοῦ χειμάῤῥου τοῦ κεδρών· ἀλλὰ καὶ τὰ ἀρχαιότατα χειρόγραφα ἔχουσι τῶν κέδρων, ὡς ἀναγινώσκει ἡ Ἐκκλησία (περὶ δέ τινων ἄλλων χειρογράφων βλέπε τὴν ὑπὸ Griesbach ἔκδοσιν τῆς Καινῆς Διαθήκης εἰς Ἰωάν. αὐτόθ.). Ὅτι δὲ καὶ τὸ ἑϐρ. ὄνομα κεδρὼν δύναται σημαίνειν καὶ εἶδος κέδρου, οἷοι ἦσαν παρὰ τὸν χείμαῤῥον πεφυτευμένοι (ὅθεν καὶ Ἰώσηπος εἶπε περιεκτικῶς κεδρῶνα), ἐδίδαξαν ἄλλοι τε τῶν νεωτέρων καὶ Γρότιος (Annotat. εἰς Ἰωάν· αὐτ.).

Οἱ Ο

Ὤμοσε Κύριος τῷ Δαβίδ·-ἐκ καρποῦ τῆς κοιλίας σου, θήσομαι ἐπὶ τοῦ θρόνου σου (Ψαλμ. ρλα, 4)· καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ. Β. Βασιλ. ζ, 12.

Περιέσχον με ὠδῖνες θανάτου. Ψαλ. ιζ. 4 (βλ. Βιβλ. Β. σελ. 711).

Διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης. Ψαλμ. ια, 7.

Καὶ ἐποίησεν ὁ θεὸς τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα. Ἐσθὴρ ι, 3.

Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. Ψαλμ. ρμε, 6.

Ἐνοσφίσαντο ἀπὸ τοῦ ἀναθέματος. (Ἰησ. ζ, 1: Β, Μακκ. δ, 32).

Ἐκάλεσε δὲ Μωϋσῆς πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ. Ἐξ. ιβ, 21.

Οὐ γὰρ δῶ ὑμῖν ἀπὸ τῆς γῆς αὐτῶν οὐδὲ βῆμα ποδὸς (Δευτ. β, 5). Καὶ δώσω σοι καὶ τῷ σπέρματί σου μετὰ σὲ τὴν γῆν, ἣν παροικεῖς- εἰς κατάσχεσιν. Γενέσ. ιζ, 8.

Καὶ αὕτη ἡ διαθήκη· περιτμηθήσεται πᾶν ἀρσενικόν. - περιέτεμε δὲ τὸν Ἰσαὰκ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ. Γεν. ιζ, 10. κα, 4.

Καὶ ἀπέδοντο τὸν Ἰωσὴφ-καὶ ἦν Κύριος μετ' αὐτοῦ (Γεν. λζ, 28: λθ, 3). Καὶ ἐξελεῖται ἐκ πάσης θλίψεως (Α. Βασιλ. κς, 24). Καὶ ἔδωκεν αὐτῷ χάριν ἐναντίον αὐτοῦ κτλ. Γενέσ. λθ, 21.

Πράξεις.

Ὤμοσεν αὐτῷ (τῷ Δαβίδ) - ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ. β, 30.

Ἔλυσε τὰς ὠδῖνας τοῦ θανάτου. β, 34.

Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. β, 40.

Πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν Ἀποστόλων ἐγίνετο. β, 43.

Δέσποτα, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. δ, 24.

Ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς. ε, 2.

Συνεκάλεσαν πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ. ε, 21.

Καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ (τῇ γῇ) οὐδὲ βῆμα ποδός. Καὶ ἐπηγγείλατο αὐτῷ δοῦναι εἰς κατάσχεσιν αὐτὴν, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. ζ, 5.

Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς, καὶ περιέτεμε (τὸν Ἰσαὰκ) τῇ ἡμέρᾳ τῇ ὀγδόῃ. ζ, 7, 8.

Καὶ ἀπέδοντο τὸν Ἰωσὴφ-καὶ ἦν ὁ Θεὸς μετ' αὐτοῦ, καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν-ἐναντίον Φαραώ. ζ, 9, 10.

Οἱ Ο	Πράξεις.
Καὶ κατέστησεν αὐτὸν ἐφ' ὅλης γῆς Αἰγύπτου κύριον τοῦ οἴκου αὐτοῦ. Γεν. μα, 43. Ψαλμ. ρδ, 21.	Καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ. ζ, 10.
Καὶ ἐγένετο λιμὸς ἐν πάσῃ γῇ Αἰγύπτου. Γεν. μα, 54.	Ἦλθε δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου. ζ, 11.
Ἰδοὺ ἀκήκοα, ὅτι ἐστι σῖτος ἐν Αἰγύπτῳ· κατάβητε καὶ πρίασθε. Γεν. μβ, 2.	Ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν. ζ, 12.
Ἡνίκα ἀνεγνωρίζετο Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ. Καὶ διεβοήθη ἡ φωνὴ εἰς τὸν οἶκον Φαραὼ, κτλ. Γεν. με, 1, 16.	Καὶ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ. ζ, 13.
Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον (Δευτ. ι, 22. πρβλ. Γεν. μς, 27).	Ἐν ψυχαῖς ἑβδομήκοντα πέντε. Κατέβη Ἰακὼβ εἰς Αἴγυπτον αὐτὸς καὶ οἱ πατέρες ἡμῶν. ζ, 14-15.
Οἱ δὲ υἱοὶ Ἰσραὴλ ηὐξήθησαν καὶ ἐπληθύνθησαν. Ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. Εἶπε δέ. Δεῦτε κατασοφισώμεθα αὐτούς. Ἐξόδ. α, 7, 10.	Ηὔξησεν ὁ λαὸς, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. Οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν κτλ. ζ, 18, 19,
Ἰδόντες δὲ τὸ παιδίον *ἀστεῖον*, ἐσκέπασαν αὐτὸ *μῆνας τρεῖς*. Ἐξόδ. β, 2	(Ἐγεννήθη Μωϋσῆς) καὶ ἦν *ἀστεῖος* τῷ θεῷ, ὃς ἀνετράφη *μῆνας τρεῖς*, ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. ζ, 20.
Ἀνείλετο αὐτὴν (τὴν θίβην, ἐν ᾗ τὸ παιδίον, ὁ Μωϋσῆς) ἡ θυγάτηρ Φαραὼ, καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν. Ἐξόδ. β, 5, 10.	Ἀνείλετο αὐτὸν ἡ θυγάτηρ Φαραὼ, καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν. ζ, 21.
Καὶ παρέδωκεν αὐτοὺς (Ψαλ. ρε, 41), καὶ ἐθυμιασαν - πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ (Ἱερ. ιθ, 13. Β. Παραλ. λγ, 3).	Καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ. ζ, 42.
Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν	Ἡ σκηνὴ τοῦ μαρτυρίου - ἐν

Οἱ Ο	Πράξεις.
ἐν τῇ ἐρήμῳ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν· ποιήσεις τὴν σκηνὴν κατὰ τὸν τύπον τὸν δεδειγμένον σοι ἐν τῷ ὄρει (Ἐξόδ. κε, 1, 9, 40. κϛ, 1).	τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ, ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει. ζ, 44.
Ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς Κυρίου (Β. Βασ. ιε, 25)· ἕως οὗ εὕρω . . . σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ψαλμ. ρλα, 5.	Ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ, ζ, 46.
Σολομὼν ᾠκοδόμησε τὸν οἶκον τῷ Κυρίῳ–. εἰ κατοικήσει ὁ Θεὸς ἐπὶ τῆς γῆς; (Γ. Βασιλ. ϛ,2, η, 27· καὶ τὸ *χειροποίητος* παρὰ τοῖς Ο. Λευϊτ. κϛ, 1).	Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. Ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ. ζ, 47, 48.
Σκληροτράχηλοι (Ἐξόδ. λγ,3), καὶ ἀπερίτμητοι τῇ καρδίᾳ (Λευϊ. κϛ,41: Ἰερεμ. θ, 26), καὶ τὰ ὦτα (Ἰερ. 9, 10)· ἐν τῷ ἀντιπίπτειν τὴν Συναγωγὴν τοῦ ἁγιάσαι με· Ἀριθμ. κζ, 14.	Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε. ζ, 51.
Ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Ψαλ. λδ, 16.	Ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν. ζ, 54.
Ἔκραξεν ἐν φωνῇ μεγάλῃ (Β. Βασιλ. ιθ, 4)· ὁμοθυμαδὸν κατέδραμον ἐπ' ἐμέ. Ἰὼβ ιϛ, 11.	Κράξαντες φωνῇ μεγάλῃ–ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν. ζ, 57.
Καὶ ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν. Γεν. ν, 10.	Καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ. η, 2.
Οὐκ ἔστιν αὐτῷ μερίς, οὐδὲ κλῆρος μεθ' ὑμῶν (Δευτ. ιβ. 12). Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ. Ψαλμ. οζ, 37.	Οὐκ ἔστι σοι μερίς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. η, 21.
Ἐν χολῇ καὶ πικρίᾳ (Δευτ. κθ, 18)· καὶ σύνδεσμον ἀδικίας. Ἡσαΐ νη, 6.	Εἰς χολὴν πικρίας, καὶ σύνδεσμον ἀδικίας· η, 23.
Ἦρεν αὐτὸν πνεῦμα Κυρίου. Δ. Βασιλ. β, 16. Γ. Βασιλ. ιη, 12.	Πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον. η, 39.

Οἱ Ο	Πράξεις.
Καὶ ἐξεπορεύετο, καὶ εἰσεπορεύετο ἔμπροσθεν τοῦ λαοῦ. Α. Βασιλ. ιη, 13, 16.	Καὶ ἦν μετ᾽αὐτῶν, εἰσπορευόμενος καὶ ἐκπορευόμενος· θ, 28.
Ἀπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν. Γεν. κδ, 8. λζ, 20: Δευτ. λϐ, 39.	Ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου. ιβ, 11.
Καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δυναστείας τῶν Αἰγυπτίων ἐν βραχιόνι ὑψηλῷ (Ἐξόδ. ϛ, 6). Καὶ ἐν τῇ ἐρήμῳ τροποφορήσει σε Κύριος. Δευτερ. α, 31.	Καὶ μετὰ ϐραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς, καὶ ἐτροποφόρησεν αὐτοὺς ἐν ἐρήμῳ. ιγ, 17, 18.
Κοιμηθήσομαι μετὰ τῶν πατέρων μου· καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ (Γεν. μζ,30: μθ, 33)· προσετέθησαν πρὸς τοὺς πατέρας αὐτῶν. Κρίτ. β, 10.	Ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. ιγ, 36.
Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος. Ἡσαΐ. λε, 6.	Καὶ (ὁ χωλὸς) ἥλλετο, καὶ περιεπάτει. ιδ, 11.
Προσκυνεῖν *τοῖς ματαίοις*. Ἡσαΐ. β. 20.	Ἀπὸ τῶν *ματαίων* ἐπιστρέφουσι· ιδ, 15.
Πάντες οἱ λαοὶ πορεύσονται ἕκαστος τὴν ὁδὸν αὐτοῦ. Μιχ. δ, 5.	Πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. ιδ, 16.
Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.–Στέαρ πυροῦ ἐμπιπλῶν σε. Ψαλμ. δ, 7. ρμζ, 3.	Ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ὑμῶν. ιδ,17.
Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν. Ψαλμ. ρκε, 2.	Ὅσα ἐποίησεν ὁ Θεὸς μετ᾽ αὐτῶν. ιδ, 27.
Καὶ ἐπείρασαν τὸν Θεὸν (Ψαλ. οζ, 41)· ζυγὸν ἔθηκα ἐπὶ τὸν τράχηλον κτλ. Ἱερ. λε, 14.	Τί πειράζετε τὸν Θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον κτλ. ιε, 10.
Οὐ μὴ ἀλισγηθῇ (Δαν. α, 8)· προσάγειν ἄρτους ἠλισγημένους. (Μαλ. α, 7. Σειρ. μ, 29)	Ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων. ιε, 20.
Ἀποστρέψω πρὸς τοὺς ἀδελ-	Ἐπιστρέψαντες, ἐπισκεψώμε-

Οἱ Ο

φούς μου-καὶ ὄψομαι, εἰ ἔτι ζῶσι. Ἐξόδ. δ, 18.

Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου. Δαν. γ, 26.

Ἔθετο δὲ ἐν ξύλῳ μου τὸν πόδα. Ἰώϐ, λγ, 11.

Σαλευθήσονται τὰ θεμέλια τῆς γῆς. Ψαλμ. πα, 5.

Τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου. Β. Βασιλ. α, 16.

Καὶ λαλήσεις· μὴ φοϐηθῇς, ὅτι μετὰ σοῦ ἐγώ εἰμι. Ἱερεμ. α, 7.

Μεγαλυνθείη τὸ ὄνομά σου· Β. Βασιλ. ζ, 26.

Οὐκ ὄψεσθε τὸ πρόσωπόν μου. Γεν. μγ, 3.

Ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσε κλαυθμῷ πίονι. Γεν. μς, 29.

ὅτι εὐχὴ Θεοῦ ἐπ' αὐτῷ, ἀφαγνίσασθαι ἁγνείαν. - καὶ ξυρήσεται τὴν κεφαλὴν αὐτοῦ - ᾗ ἂν ἡμέρᾳ πληρώσῃ ἡμέρας εὐχῆς αὐτοῦ. Ἀριθμ. ς, 2, 7, 9, 13.

Ἐπιγινώσκοντες λαλεῖν Ἰουδαϊστί. Νεεμ. ιγ, 24.

Κύριε, προχείρισαι ἄλλον. Ἐξόδ. δ, 13.

Ἀναθέματι ἀναθεματιεῖτε αὐτοὺς (Δευτ. κ, 17).-Οὐ γεύομαι οὐδέν. Τωϐὶτ, ζ, 13.

Καὶ ἀνεϐόησαν (πρὸς Κύριον) *ἐν ἐκτενείᾳ* μεγάλῃ (Ἰουδεὶθ δ,9), νύκτα καὶ ἡμέραν. Ἐσθὴρ δ, 16.

Πράξεις.

θα τοὺς ἀδελφοὺς ἡμῶν-πῶς ἔχουσι. ιε, 36.

Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί. ις, 17.

Καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. ις, 24.

Σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου. ις, 26.

Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. ιη, 6.

Μὴ φοϐοῦ, ἀλλὰ λάλει -διότι ἐγώ εἰμι μετὰ σοῦ. ιη, 10.

Ἐμεγαλύνετο τὸ ὄνομα Κυρίου. ιθ, 17.

Οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου. κ, 25.

Ἱκανὸς δὲ ἐγένετο κλαυθμός· καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, κατεφίλουν αὐτόν. κ, 37.

Ἄνδρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν· - ἁγνίσθητι σὺν αὐτοῖς - ἵνα ξυρήσωνται τὴν κεφαλὴν - διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ. κα, 24, 26.

Ἑλληνιστὶ γινώσκεις (λαλεῖν); κα, 37.

Ὁ Θεὸς προεχειρίσατό σε. κϐ, 14.

Ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτούς, μηδενὸς γεύσασθαι. κτλ. κγ, 14.

Ἐν *ἐκτενείᾳ* νύκτα καὶ ἡμέραν λατρεῦον. κς, 7.

Οἱ Ο

Ἔστησέ με ἐπὶ πόδας μου. Δαν. η, 18.

Π. Ῥωμαίους.

Ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου. κς, 16.

Οἱ Ο

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ

Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι μόσχου. (Ψαλμ. ρε, 20)· εἰκόνας παντὸς κτήνους, ὀρνέου πτερωτοῦ, ἑρπετοῦ. Δευτ. δ, 16, 17.

Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. α, 23.

Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Ψαλμ. πη, 51.

Ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. α, 25.

Θησαυρίζουσιν ἑαυτοῖς κακὰ (Παροιμ. α, 18). Ἐν ἡμέρᾳ ὀργῆς Κυρίου (Ἰεζ. ζ, 19), τοῦ δικαιοκρίτου. (Β. Μακ. ιϐ, 41). ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ· ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ψαλμ. ϙζ, 3: ξα, 11.

Θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάσῳ κατὰ τὰ ἔργα αὐτοῦ. β, 5.

Περιτμήθητε τῷ Θεῷ – περιτέμεσθε τὴν σκληροκαρδίαν ὑμῶν. Ἱερεμ. δ, 4. Δευτ. ι, 16.

Περιτομὴ καρδίας ἐν πνεύματι. β, 29.

Θεὸς ἀληθινός. (Ἐξόδ. λδ, 6). Πᾶς ἄνθρωπος ψεύστης. Ψαλμ. ριε, 2.

Γινέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης. γ, 4.

Πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. Ψαλμ. ρς, 42: Ἰὼϐ ε, 16.

Ἵνα πᾶν στόμα φραγῇ. γ, 19.

Οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ψαλμ. ρμϐ, 2.

(Ἐξ ἔργων νόμου) οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. γ, 20.

Μὴ ὁ Κύριος ἀδικήσει κρίνων; (Ἰὼϐ η, 3). Ὁ κρίνων πᾶσαν τὴν γῆν. Γεν. ιη, 23.

Μὴ ἄδικος ὁ Θεός; ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον; (γ, 6).

Περιτμηθήσεται εἰς σημεῖον. Γεν. ιζ, 21.

Σημεῖον ἔλαϐε περιτομῆς. δ, 11.

Οἱ Ο	Π. Ῥωμαίους.
Δότε δόξαν τῷ Θεῷ. Ψαλμ. ξζ, 34.	Δοὺς δόξαν τῷ Θεῷ. δ, 20.
Ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατησχύνθησαν. Ψαλμ. κα, 5. κδ, 11.	Ἡ ἐλπὶς οὐ καταισχύνει. ε, 5
Ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε. Ἡσαΐ. ν, 1.	Πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ζ, 14.
Ὁ ἐτάζων καρδίας· (Ψαλμ. ζ, 9. Ἱερεμ. ια, 20).	Ὁ ἐρευνῶν τὰς καρδίας. η, 27.
Οὐκ ἐφείσω τοῦ υἱοῦ σου. Γεν. κϐ, 12.	Τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο. η, 32.
Ἐγγίζει ὁ δικαιώσας με· τίς ὁ κρινόμενός μοι; Ἡσαΐ. ν, 8.	Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; η, 33.
Οὐ διέπεσεν ἀπὸ πάντων τῶν ῥημάτων, ὧν ἐλάλησε Κύριος. Ἰησ. κα, 43.	Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ. θ, 6.
Μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ, τί ποιεῖς; – μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι αὐτό· Οὐ σύ με ἔπλασας; (Ἡσ. κθ, 16, με, 9). Ἐκ τοῦ αὐτοῦ πηλοῦ (ὁ κεραμεὺς) ἀνεπλάσατο τά τε τῶν καθαρῶν ἔργων δοῦλα σκεύη, τά τε ἐναντία. Σοφ. Σολ. ιε, 7.	Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; θ, 20, 21.
Πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε (Ψαλμ. πε, 5). Πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. Ἰωὴλ β, 32.	Πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. ι, 12, 13.
Οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ. Ψαλ. ϙγ, 14.	Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; ια, 1.
Τὰ κρίματά σου ἄϐυσσος πολλή. (Ψαλμ. λε, 6). Ὁποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα. Ἰὼϐ θ, 10.	Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. ια, 33.
Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ. Προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. Παροιμ. γ. 4, 7.	Μὴ γίνεσθε φρόνιμοι παρ᾽ ἑαυτοῖς· προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων. ιϐ. 16, 17.

Οἱ Ο	Α. π. ΚΟΡΙΝΘΙΟΥΣ.
Σοφὸν ἀρχιτέκτονα (Ἡσ. γ, 3). ἀρχιτεκτονεῖν κατὰ τὰ ἔργα. Ἐξόδ. λε, 32.	Ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα. γ, 10.
Οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπον πράξας. Ἰὼβ, κζ, 6.	Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα. δ, 3.
Ἀνακαλύπτει βαθέα ἐκ σκότους (Ἰὼβ, ιβ, 22), καὶ τὰ κρύφια τῆς καρδίας· Ψάλμ. μγ, 21.	φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. δ, 5.
Περικάθαρμα δικαίου, ἄνομος. Παροιμ. κα, 18.	Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν. δ, 13.
Ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν· ἀνέλαβον δὲ τὰ φυράματα αὐτῶν, ἐγκρυφίας ἀζύμους. Ἐξόδ. ιβ, 15, 34, 39.	Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι. ε, 7.
Θύσατε τὸ πάσχα. Ἐξόδ. ιβ, 21.	Τὸ πάσχα ὑπὲρ ὑμῶν ἐτύθη Χριστός. ε, 7.
Κρίνατε ἀναμέσον ἀνδρὸς, καὶ ἀναμέσον τοῦ ἀδελφοῦ αὐτοῦ. Δευτ. α, 16.	Διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ. ϛ, 5.
Ἔγνω ὁ Θεὸς τοὺς ὄντας αὐτοῦ (Ἀριθμ. ιϛ, 5). Γινώσκει τοὺς εὐλαβουμένους αὐτόν. Ναούμ. α, 7.	Εἰ δέ τις ἀγαπᾷ τὸν Θεὸν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. η, 3.
Καὶ ἡ νεφέλη σκιάζουσα ἐπ' αὐτούς (Ἀριθμ. ι, 34). Καὶ εἰσῆλθον εἰς μέσον τῆς θαλάσσης.– Καὶ ἔφαγον τὸ μὰν, ἄρτους ἐκ τοῦ οὐρανοῦ (Ἐξόδ. ιδ, 23, ιϛ, 4, 15, 35). Καὶ ἐπάταξε (Μωϋσῆς) τὴν πέτραν, καὶ ἐξῆλθεν ὕδωρ πολὺ, καὶ ἔπιεν ἡ Συναγωγή. Ἀριθμ. κ, 11: Ἐξόδ. ιζ, 6.	Πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον,– καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. ι, 1-4.
Καὶ ὁ Θεὸς οὐκ ηὐδόκησεν ἐν αὐτοῖς (Ἱερ. ιδ, 10). Κατέστρωσεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. Ἀριθ. ιδ, 16.	Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησεν ὁ Θεός. Κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. ι, 5.

Οἱ Ο	Α. π. Κορινθίους.
Ἐπεθύμησαν ἐπιθυμίαν . . καὶ ἐκεῖ ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμητήν. Ἀριθ. ια, 4, 35 (α).	Εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν. ι, 6.
Προσεκύνησαν (ἐλάτρευσαν Δ. Βασιλ. ιζ, 12) τοῖς εἰδώλοις, καὶ ἐβεβηλώθη ὁ λαὸς ἐκπορνεύσας, καὶ ἔπεσον ἐκ τοῦ λαοῦ 24 χιλιάδες. Ἀριθ. κε, ι-9: Ἐξόδ. λϐ. 27.	Μηδὲ εἰδωλολάτραι γίνεσθε καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. ι, 7, 8. (ϐ).
Τράπεζα Κυρίου ἐξουθενημένη (Μαλαχ. α, 7). Ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν (Ἡσαΐ. ξε, 11). Παρεζήλωσάν με ἐπ' οὐ Θεῷ. Δευτ. λϐ, 21.	Οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. ἢ παραζηλοῦμεν τὸν Κύριον. ι, 21, 22.
Καὶ δείξω ὑμῖν τὴν ὁδὸν τὴν ἀγαθήν. Α. Βασ. ιϐ, 23.	Καὶ ἔτι καθ' ὑπερϐολὴν ὁδὸν ὑμῖν δείκνυμι. ιβ, 31.
Καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ (Γεν. ιζ, 3)· καὶ προσεκύνησε τῷ Κυρίῳ. Ἰώϐ. α, 20.	Πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ. ιδ, 25.
Ὥσπερ ἔκτρωμα. Ἰώϐ. γ, 16.	Ὡσπερεὶ τῷ ἐκτρώματι. ιε, 8.
Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν-ἀπὸ τῆς γῆς. Γεν. ϐ, 7.	Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός. ιε 47.
Ἀνδρίζου, καὶ κραταιωθῶμεν. Β. Βασιλ. ι, 12.	Ἀνδρίζεσθε, κραταιοῦσθε. ις, 13.
Οἱ Ο.	Β. π. ΚΟΡΙΝΘΙΟΥΣ.
Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε, καὶ αἱ παρακλήσεις σου κτλ. Ψαλ. ριη, 155: ηγ, 19.	Ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως. α, 3.

(α) Καὶ Παροιμ. α, 22. «τῆς ὕϐρεως ὄντες ἐπιθυμηταί». Τοῦτο ὁ Τρόμμιος (Concordant. T. 1. p.586) ὑπάγει εἰς τὴν λέξιν ἐπιθυμητός (κατὰ λάθος)· τὸ δὲ ἐπιθυμητὴς λείπει οὐ μόνον παρὰ Τρομμίῳ, ἀλλὰ καὶ ἐν τοῖς νεωτέροις λεξικοῖς τῆς Παλαιᾶς Γραφῆς, καὶ ἐν αὐτῷ τῷ Σκλευσινέρου Θησαυρῷ (Schleusner, Thesaurus etc.).

(ϐ) Εἰκοσιτρεῖς χιλιάδες ἔπεσον ἐκ θείας πληγῆς· καὶ χίλιοι προσέτι οἱ ὑπὸ τῶν περὶ Φινεὲς ἀποκτανθέντες. Ἀριθμ. κε, 5—9.

Οἱ Ο,	Β. π. Κορινθίους.
Πλάκας λιθίνας γεγραμμένας (Ἐξόδ. λα, 18)· καὶ (νόμους). ἐπὶ καρδίας αὐτῶν γράψω (Ἱερ. λη, 33), καὶ δώσω (αὐτοῖς) καρδίαν σαρκίνην. Ἰεζ. λς, 26.	Ἐγγεγραμμένη οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις. γ, 3.
Καὶ ἦν δεδοξασμένη ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ (τοῦ Μωσέως), καὶ ἐφοβήθησαν (οἱ υἱοὶ Ἰσραὴλ) ἐγγίσαι αὐτῷ, καὶ περιέθηκεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ κάλυμμα. Ἐξόδ. λδ, 29—35.	Ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ,-καὶ ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον αὐτοῦ. γ, 7, 13.
Καὶ σκότος ἐπέκειτο.- καὶ εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς. Γεν. α, 3.	Ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι. δ, 6.
Τότε συνήσεις φόβον Κυρίου. Παρ. β, 5.	Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου. ε, 11.
Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. Ψαλ. ριζ, 18.	Ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι. ς, 9.
Ἐν μέσῳ Ἐκκλησίας ἀνοίξει τὸ στόμα αὐτοῦ (Σειρ. ιε, 5). Ἐπλάτυνας τὴν καρδίαν μου. Ψαλ. ριη, 32.	Τὸ στόμα ὑμῶν ἀνέῳγε πρὸς ὑμᾶς- ἡ καρδία ἡμῶν πεπλάτυνται. ς, 11.
Ἔξωθεν .... μάχαιρα, καὶ ἐκ τῶν ταμιείων, φόβος. Δευτ. λβ, 25.	Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. ζ, 5.
Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ. Ψαλμ. νδ, 5·	*Μετὰ φόβου καὶ τρόμου* ἐδέξασθε αὐτόν· ζ, 15.
Ἄνδρα ἱλαρὸν καὶ δότην εὐλογεῖ ὁ Θεός. Παροιμ. κβ, 8.	Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. θ, 7.
Καὶ πληθυνεῖ σε Κύριος- ἐπὶ τοῖς γεννήμασι τῆς γῆς σου (Δευτ. κη, 11)· τοῦ ἐλθεῖν γεννήματα δικαιοσύνης ὑμῖν. Ὠσηὲ, ι, 12.	Καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. θ, 10.

Οἱ Ο	Π. Γαλάτας.
Ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν τὸν Κύριον. Α. Βασιλ. β, 10: Ἱερεμ. θ, 24.	Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω. ι, 17.
Σκόλοπες ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν (Ἀριθ. λγ,55). Σκόλοψ πικρίας. Ἰεζ. κη, 24.	Ἐδόθη μοι σκόλοψ τῇ σαρκί. ιβ, 7.

Οἱ Ο	Η π. ΓΑΛΑΤΑΣ.
Ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου. Ἠσ. μθ, 1: Ἱερεμ. α, 5.	Ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου. α, 15.
Πρόσωπα ἁμαρτωλῶν λαμβάνετε. (Ψαλμ. πα, 2). ὁ Θεὸς- οὐ θαυμάζει πρόσωπον. Δευτ. ι, 17.	Πρόσωπον Θεὸς ἀνθρώπου οὐ λαμβάνει. β, 6.
Ἡ κατοίκησις τῶν υἱῶν Ἰσραὴλ (ἐν Αἰγύπτῳ κτλ.), ἔτη *τετρακόσια τριάκοντα*. Ἐξόδ. ιβ, 40.	Ὁ μετὰ ἔτη *τετρακόσια καὶ τριάκοντα* γεγονὼς νόμος. γ,17.
Ὁ σπείρων φαῦλα, θερίσει κακά· ὁ δὲ σπείρων δικαιοσύνην, λήψεται μισθὸν πιστόν. Παρ. ια, 21, κβ, 8.	Ὁ σπείρων εἰς τὴν σάρκα, θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, θερίσει ζωὴν αἰώνιον. ς, 8.
Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου.-εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. Ψαλμ. ριη, 165; ρκδ, 5.	Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσωσιν, εἰρήνη ἐπ' αὐτοὺς- καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. ς, 16.

Οἱ Ο	Η π. ΕΦΕΣΙΟΥΣ.
Εὐλογητὸς ὁ Θεὸς- καὶ εὐλόγησέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν. Γεν. ιδ, 20. μθ. 25.	Εὐλογητὸς ὁ Θεὸς- ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ. α, 3.
Ὅτι λαὸς ἅγιος εἶ Κυρίῳ τῷ Θεῷ σου, καί σε ἐξελέξατο (Δευτ. ιδ, 2). Πρὸ καταβολῆς κόσμου. Ψαλμ. ογ, 2.	Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους. α, 4.

Οἱ Ο	Π. Ἐφεσίους.
Φώτισον τοὺς ὀφθαλμούς μου. Ψαλμ. ιβ, 3.	Πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας. α, 18.
Τούτους γὰρ πάντας ἄνεμος λήψεται. Ἡσαΐ. νζ, 13.	Περιφερόμενος παντὶ ἀνέμῳ διδασκαλίας. δ, 14.
Οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ᾽ αὐτῷ. Δευτ. κδ, 15.	Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. δ, 26.
Καὶ παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ. Ἡσαΐ. ξγ, 10.	Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον. δ, 30.
Ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου. Λευΐτ. ιθ, 17.	Μᾶλλον δὲ, καὶ ἐλέγχετε. ε, 11. (Ἔλεγξον αὐτόν. Ματθ. ιη, 15: α, Τιμ. ε.)
Καὶ πολλοὶ τῶν καθευδόντων ἐξεγερθήσονται (Δαν. ιβ, 2). Ἀναστήσονται οἱ νεκροί. – ἐπὶ δέ σε φανήσεται Κύριος. Ἡσ. κς, 19. ξ, 2. (α)	Διὸ λέγει, Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός· ε, 14.
Πονηραὶ γεγόνασιν *αἱ ἡμέραι* τῶν ἐτῶν τῆς ζωῆς μου. Γεν. μζ, 9.	Ὅτι αἱ ἡμέραι πονηραί εἰσιν. ε, 16.
Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀςέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. (Γεν. β, 23. κθ, 14). Ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς. Β. Βασιλ. ε, 1.	Μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. ε, 30.
Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ (Σ. Σολ. ε, 17)· ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ ἐν ἀληθείᾳ (Ἡσαΐ. ια. 5)· ἐνεδύσατο δικαιοσύνην ὡς θώρακα, καὶ περιέθετο περικεφαλαίαν σωτηρίου, καὶ ἔθηκε τὸ στόμα μου ὡς	Ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ· περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης. Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ

(α) Τὸ ῥητὸν παρ᾽ οὐδενὶ τῶν προφητῶν εὕρηται ὁλόκληρον (ὡς δηλοῖ τὸ διὸ λέγει). Κατὰ τὸν Ἐπιφάνιον, ἐλήφθη ἐκ τῶν ἀποκρύφων Ἱερεμίου. οὕτω καὶ Φώτιος (Ἀμφιλοχ. Ζητήμ. ροζ). ὁ δὲ Θεοδώρητος, ἔκ τινων πνευματεμφόρων ψαλμογράφων (Ἑρμην. εἰς Ἐφεσ. αὐτόθι).

Οἱ Ο	Π. Φιλιππησίους.
μάχαιραν ὀξεῖαν. Ἡσαΐ. νθ, 17, μθ, 2.	ἐστὶ ῥῆμα θεοῦ. ς, 13, 14, 17.

Οἱ Ο	Η π. ΦΙΛΙΠΠΗΣΙΟΥΣ.
Γενεὰ σκολιὰ καὶ διεστραμμένη. Λευτ. λϐ, 5.	Ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης. ϐ, 15.
Σὺ δὲ ἄνθρωπε ἰσόψυχε (Ψαλ. νδ, 13). Πάντες ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν, ἕκαστος κατὰ τὸ ἑαυτοῦ. Ἡσαΐ. νς, 11.	Οὐδένα γὰρ ἔχω ἰσόψυχον. Οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσι. β, 20.
Ἔθετο τοὺς φωστῆρας· ὥστε φαίνειν ἐπὶ τῆς γῆς (Γεν. α, 17). φωστῆρες πρυτάνεις κόσμου. Σ. Σολ. ιγ, 2.	Φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ. ϐ, 16.
Καὶ δώσω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους. Ἡσ. με, 3.	Οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. ΚΟΛΟΣ. ϐ, 3.

Οἱ Ο	Α. π. ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ.
Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων. Γεν. ιε, 16.	Εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας. ϐ, 16.
Δεῦτε ἀποκτείνωμεν αὐτὸν (Γεν. λζ, 20). Κύριε τοὺς προφήτας σου ἀπέκτειναν (Γ. Βασιλ. ιθ, 10), καὶ ἐξεδίωξαν (Α. Παραλ. η. 13)· καὶ οὐκ ἤρεσε τῷ Κυρίῳ. Ἡσ. νθ, 15.	Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων. ϐ, 15.
Οἱ ἐκλεκτοί σου οὐ κοπιάσουσιν εἰς κενόν. Ἡσαΐ. ξε, 23.	Καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. γ, 5.
Καὶ θήσω... πάντας τοὺς υἱούς σου *διδακτοὺς Θεοῦ*. Ἡσ. νδ, 13.	Αὐτοὶ γὰρ ὑμεῖς *θεοδίδακτοί* ἐστε. δ, 9.
Λέγοντες εἰρήνη, εἰρήνη· καὶ οὐκ ἔστιν εἰρήνη (Ἰεζ. ιγ, 10).	Ὅταν γὰρ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς

Οἱ Ο	Β. Θεσσαλονικεῖς.
Αἰφνίδιος αὐτοῖς φόβος ἐπῆλθε (Σοφ. Σολ. ιζ, 15). καὶ ἥξει ὄλεθρος (Ἱερεμ. λα, 8). ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ. Ἠσαΐ. λζ, 3: Ψαλμ. μζ, 6.	ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. ε, 3.
Οἱ Ο	Β. π. ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ (Ψαλμ. ζ, 10). Ἰδοὺ κρίσιν ἀνταποδίδωσι (Ἠσ. λε, 4). Αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς (Ψαλμ. νθ, 12)· ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως. Ἀββ. γ, 16.	Δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν. α, 6, 7.
Καὶ φλὸξ πυρὸς κατεσθίουσα (Ἠσ. κθ, 6). δώσω τὴν ἐκδίκησίν μου. Ἰεζ. κε, 14.	Ἐν πυρὶ φλογὸς διδόντος ἐκδίκησιν. α, 8.
Ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ (Ἠσ. ξς. 5). καὶ ἐνδοξασθήσομαι ἐν σοί. Ἰεζ. κη, 22.	Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἐν ὑμῖν. α, 12.
Καὶ μεγαλυνθήσεται ἐπὶ πάντα Θεόν. Δαν. ια, 36.	Ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεόν. β, 4.
Καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ. Ἠσαΐ. ια, 4.	Ὃν ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ. β, 8.
Κατεύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν Κύριον. Β. Παραλ. ιθ, 3.	Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ. γ, 5.
Οἱ Ο	Α. π. ΤΙΜΟΘΕΟΝ.
Καὶ πνεῦμα Θεοῦ ἐνεδυνάμωσεν (αὐτόν). Κριτ. ς, 34.	Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ. α, 12.
Ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου. Ἐξόδ. θ, 16·	Ἵνα ἐν ἐμοὶ- ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν. α, 16.
Παρέθηκαν αὐτοῖς τοὺς λόγους τούτους. Ἐξόδ. ιθ, 7.	Ταύτην τὴν παραγγελίαν *παρατίθεμαί* σοι. α, 18.

Οἱ Ο	Β. π. Τιμόθεον.
Τὰς χεῖράς μου ἐξεπέτασα πρὸς ὕψος (Σειρ. να, 19). Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, κτλ. Ψαλμ. ρλγ, 2: ρμ, 2.	(Προσεύχεσθαι) ἐπαίροντας ὁσίους χεῖρας. ϐ, 8.
(Καὶ εἶπεν ἡ γυνὴ) Ὁ ὄφις ἠπάτησέ με (Γεν. γ, 13). ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας (Σειρ. κε, 24)· παρέϐη τὸν λόγον κυρίου. Α. Βασιλ. ιε, 24.	Ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραϐάσει γέγονε. β, 14.
Ἄνθρωπε τοῦ Θεοῦ (Δ, Βασιλ. α, 9), φεῦγε ἀπὸ ἁμαρτίας (Σειρ. κα, 2)· τὸ δίκαιον διώξῃ. Δευτ. ις, 20.	Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ταῦτα φεῦγε. Δίωκε δὲ δικαιοσύνην κτλ. ς, 11.
Ὁ πάσης ἐξουσίας δυνάστης (Β. Μακ γ, 24). Ὁ κύριος βασιλεὺς (Δαν. β, 47), καὶ κύριος τῶν κυρίων. Δευτ. ι, 17.	Ὁ μακάριος καὶ μόνος δυνάστης· ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων. ς, 15.
Οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου. οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου. Ἐξόδ. λγ. 20.	Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται. ς, 16 (Α. Ἰωάν. α.)

Οἱ Ο.	Β. π. ΤΙΜΟΘΕΟΝ.
Ἀνεζωπύρησε τὸ πνεῦμα Ἰακώϐ. Γεν. με, 27.	Ἀναζωπυρεῖν τὸ χάρισμα. α, 6.
Ὑπὲρ ἧς οὐκ *ἐκακοπάθησας*. Ἰωνᾶ, δ, 10.	Σὺ οὖν *κακοπάθησον*. β, 3.
(Σοφία) ὀρθοτομεῖ ὁδούς. Παροιμ. γ, 6: ια, 5.	Ὀρθοτομεῖν τὸν λόγον τῆς ἀληθείας. β, 15.
Σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ὀστράκινα καὶ ξύλινα. (Γεν. κδ, 53. Ἐξόδ. γ, 22: Λευϊτ. ιε, 12).	Σκεύη οὐ μόνον χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα. β, 20.
Τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικῆσαι. Σοφ. Σολ. δ, 2.	Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι. δ, 7.
Ὅτι κακὰ (καὶ) πονηρά σοι ἐνε-	Πολλά μοι κακὰ ἐνεδείξατο.

Οἱ Ο

δείξαντο (Γεν. ν. 15, 17). Καὶ σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ψαλμ. ξα, 11.

Σῶσόν με ἐκ στόματος λέοντος. Ψαλμ. κα, 21.

Οἱ Ο.

Ἵνα ἐξιλάσωμαι περὶ τῆς ἁμαρτίας ὑμῶν (Ἐξόδ. λϐ. 30). Καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ. Λευϊτ. ε, 6.

Ὁ θεράπων μου Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστι. Ἀριθμ. ιβ. 7.

Καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ. Δευτ. λβ, 15.

Ἐν τῇ ἐρήμῳ ταύτῃ πεσεῖται τὰ κῶλα ὑμῶν. Ἀριθμ. ιδ, 29.

Ὁ ἀρχιερεὺς προσάξει περὶ ἁμαρτίας θυσίαν· Λευϊτ. δ, 3. θ, 7. ιϛ, 6.

Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριϐόλους ἀνατελεῖ σοι. Γεν. γ, 17, 18.

Ῥήματα καλά. Ζαχ. α, 13.

Καὶ Μελχισεδὲκ βασιλεὺς Σαλήμ.–ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου–. καὶ εὐλόγησε τὸν Ἄϐραμ (μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογομὸρ καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ), καὶ ἔδωκεν αὐτῷ Ἄϐραμ δεκάτην ἀπὸ πάντων. Γεν. ιδ, 17-20.

Βασιλεῖς ἐκ τῆς ὀσφύος σου

Β. π. Τιμόθεον.

Ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ. δ, 14.

Καὶ ἐῤῥύσθην ἐκ στόματος λέοντος. δ, 17·

Ἡ π. ΕΒΡΑΙΟΥΣ.

Εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. ϐ, 17.

Καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων. γ. 5.

Ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. γ, 12.

Ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ. γ, 17.

Ἀρχιερεὺς-ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν. ε, 1, 3.

Γῆ ἐκφέρουσα ἀκάνθας καὶ τριϐόλους, κατάρας ἐγγύς. ϛ, 8.

Καλὸν Θεοῦ ῥῆμα. ϛ, 5.

Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀϐραὰμ ὑποςρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτὸν, ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀϐραάμ. ζ, 1, 2.

Καὶ περ ἐξεληλυθότες ἐκ τῆς

Οἱ Ο

ἐξελεύσονται. Γενέσ. λε, 11. Β. Παραλ. ς. 9.

Οἱ ἱερεῖς καὶ οἱ λειτουργοὶ (Νεεμ. ι, 39). λειτουργεῖν ἐν τοῖς ἁγίοις. (Ἐξόδ. κθ, 30)· καὶ τὰς λειτουργίας τῆς σκηνῆς Κυρίου (Ἀριθμ. ις. 9). Σκηναὶ, ἃς ἔπηξε Κύριος. Ἀριθ. κδ, 6.

Ἀγνοίας μου μὴ μνησθῇς. (Ψαλμ. κδ, 7). τὰ ἀγνοήματα ἐπένθησα. (Σειρ. να, 19.

Καὶ τὴν σκηνὴν ποιήσεις— καὶ ποιήσεις λυχνίαν ἐκ χρυσίου καθαροῦ, καὶ ἐπιθήσεις ἐπὶ τὴν τράπεζαν ἄρτους ἐνωπίους (τοὺς ἄρτους τῆς προθέσεως. Ἐξόδ. λε, 32. Β. Παραλ. ιγ, 11), καὶ θήσεις τὸ καταπέτασμα, καὶ διοριεῖ ἀναμέσον τοῦ ἁγίου, καὶ ἀναμέσον τοῦ ἁγίου τῶν ἁγίων, καὶ τὸ θυμιατήριον (Β. Παραλ. κς, 19). Καὶ ποιήσεις τὴν κιβωτὸν τοῦ μαρτυρίου (τῆς διαθήκης Ἀριθ. ι, 33), καὶ καταχρυσώσεις αὐτὴν χρυσίῳ καθαρῷ ἔσωθεν καὶ ἔξωθεν. Καὶ λάβε στάμνον χρυσοῦν ἕνα, καὶ ἔμβαλε τὸ μάννα (Ἐξόδ. ις, 33). Καὶ τὴν ῥάβδον Ἀαρὼν (τὴν βλαστήσασαν) ἀπόθες ἔναντι τῶν μαρτυρίων (Ἀριθ. ιζ, 8, 10)· καὶ τὰς πλάκας τῆς Διαθήκης (Γ. Βασιλ. η, 9)· καὶ ποιήσεις δύο χερουβὶμ, καὶ ἔσονται οἱ χερουβὶμ συσκιάζοντες ἐπὶ τοῦ ἱλαστηρίου· καὶ ἐπιθήσεις τὸ ἱλαστήριον ἐπὶ

Π. Ἑβραίους.

ὀσφύος Ἀβραάμ. ζ, 5.

Τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος. η, 2.

Καὶ (ὑπὲρ) τῶν τοῦ λαοῦ ἀγνοημάτων. θ, 7.

Σκηνὴ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥτε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων· ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ, ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον. θ, 2-5. [Καὶ τὰ ἐφεξῆς τῆς περικοπῆς· «ἅπαξ τοῦ ἐνιαυτοῦ» (Ἐξ. λ, 10). «βρώμασι, καὶ πόμασι, καὶ βαπτισμοῖς» (Λευϊτ. ια, 34: Κριτ. ιγ, 4: Ἐξ. κθ, 4)· «δι' αἵματος τράγων καὶ μόσχων» (Λευϊτ. θ, 8. 18)· σποδὸς δαμάλεως» (Ἀριθ. ιθ, 2, 9, 17, 18) «μετὰ ὑσσώπου» (Λευϊτ. ιδ, 49). «Ἐπὶ συντελείᾳ τῶν αἰώνων». Δαν, ιϐ, 4].

Οἱ Ο

τὴν κιβωτὸν ἄνωθεν. Ἔξοδ. κε, 10-33: λδ, 29: Λευΐτ. κδ, 5.

Καὶ ῥανῶ ἐφ' ὑμᾶς καθαρὸν ὕδωρ, καὶ δώσω ὑμῖν καρδίαν καινήν. (Ἰεζ. λς, 25). λούσεται ὕδατι πᾶν τὸ σῶμα. Λευΐτ. ις, 4.

Οἱ ἀθετοῦντες νόμον (Ἡσαΐ. κδ, 16). ἐπὶ δυσὶ μάρτυσιν, ἢ ἐπὶ τρισὶ μάρτυσιν ἀποθανοῦνται. Δευτ. ιζ, 6.

Σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον (Ψαλμ. ογ, 16: πη, 36). τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. Ψαλ. λβ, 6.

Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ, καὶ οὐχ εὑρίσκετο· ὅτι μετέθηκεν αὐτὸν ὁ Θεός. Γεν. ε, 24: Σειρ μδ, 16.

Καὶ ἔσται τὰ θεμέλιά σου αἰώνια (Ἡσαΐ. νη, 12)· ὁ Θεὸς ἐθεμελίωσεν αὐτήν. Ψαλμ. μζ, 8.

Πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Γεν. κβ, 17.

Πάροικος καὶ παρεπίδημος ἐγώ εἰμι μεθ' ὑμῶν. Γεν. κγ, 4: μζ, 9.

Καὶ ὁ Θεὸς *ἐπείραζε* τὸν Ἀβραάμ· ἀνένεγκε τὸν υἱόν σου τὸν ἀγαπητὸν εἰς ὁλοκάρπωσιν— Ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. Γεν. κβ, 1, 2: κα, 12.

Π. Ἑβραίους.

Ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς. Καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ. ι, 23.

Ἀθετήσας τὶς νόμον Μωσέως, ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. ι, 28.

(Πίστει νοοῦμεν) *κατηρτίσθαι* τοὺς αἰῶνας ῥήματι Θεοῦ. ια, 3.

Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός. Πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ. ια, 5.

Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. ια, 10.

Καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος. ια, 12.

Καὶ ὁμολογήσαντες, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. ια, 13.

Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ *πειραζόμενος*, καὶ τὸν μονογενῆ προσέφερε— πρὸς ὃν ἐλαλήθη, ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. ια, 17.

Οἱ Ο	Π. Ἑβραίους.
Α. Μακκ. β, 52.	
Ἰδόντες δὲ (οἱ γονεῖς τὸ παιδίον) ἀστεῖον, ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς· ἐπειδὴ οὐκ ἠδύναντο αὐτὸ ἔτι κρύπτειν· καὶ ἐγεννήθη αὐτῇ (τῇ θυγατρὶ Φαραὼ) εἰς υἱὸν-μέγας (δὲ) γενόμενος Μωϋσῆς ἐξῆλθε κτλ. Ἐξόδ. β, 2-3, 10-11.	Μωσῆς γεννηθεὶς, ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον. Μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ. ια, 23, 24.
Ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης. Ἐξόδ. ιδ, 29.	Διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς. ια, 29.
Περιεκύκλωσαν τὴν πόλιν ἐπὶ ἓξ ἡμέρας, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ περιήλθοσαν, καὶ ἔπεσεν ἅπαν τὸ τεῖχος. Ἰησ. ς, 14-20.	Τὰ τείχη Ἱεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. ια, 30.
Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός. Ἀριθ. ις, 22.	Ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων. ιβ, 9·
Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. Ἠσαΐ. λε, 3.	Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. ιβ, 12.
Καὶ προσήλθετε ὑπὸ τὸ ὄρος, καὶ τὸ ὄρος ἐκαίετο πυρὶ, ἕως τοῦ οὐρανοῦ· σκότος, γνόφος, θύελλα. Καὶ ἐλάλησε φωνὴν ῥημάτων, ἣν ὑμεῖς ἠκούσατε· φωνὴ τῆς σάλπιγγος ἤχει μέγα. Δευτ. δ, 11: Ἐξ. ιθ. 16.	Οὐ γὰρ προσεληλύθατε ὄρει-κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων. ιβ, 18. 19.
Πᾶς ὁ ἀψάμενος τοῦ ὄρους-λίθοις λιθοβοληθήσεται- Ἐάν τε κτῆνος, ἐάν τε ἄνθρωπος. κτλ. Ἐξόδ. ιθ, 12, 13.	Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται. ιβ, 20.
Ἔκφοβός εἰμι (Δευτ. θ, 19), καὶ ἔντρομος. Δαν. ι, 11.	Ἔκφοβός εἰμι καὶ ἔντρομος. ιβ, 21·
Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ. Ψαλμ. ριγ, 7.	Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε. ιβ, 26.

Οἱ Ο

Πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Σ. Σολ. β, 17. (βλ. ὄπισθ. σελ. 200).

Θύσω τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι (Ψαλμ. ριε, 17)· καὶ ἀνταποδώσομεν καρπὸν χειλέων ἡμῶν. Ὡσηὲ ιδ, 3.

Οἱ Ο.

Μακάριος ἄνθρωπος, ὃν ἤλεγξεν ὁ Κύριος. Ἰὼβ ε, 17.

Ἀνέτειλεν ὁ ἥλιος (Ψαλμ. ργ, 22), καὶ πατάξει αὐτοὺς ὁ καύσων (Ἠσ. μθ, 10)· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. Ἠσαΐ. μ, 8.

Ἐπικληθήσεται ἐν αὐτοῖς (ἄλλ. ἐπ' αὐτοῖς) τὸ ὄνομά μου. Γεν. μη, 16; Ἠσ. δ, 1.

Μὴ γίνεσθε ὡς ἵππος.– ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις. Ψαλ. λα, 9.

Κατὰ τὴν ὕλην πυρὸς, οὕτως ἐκκαυθήσεται. Σειρ. κη, 10.

Ποιήσωμεν ἄνθρωπον (κατ' εἰκόνα ἡμετέραν) καὶ καθ' ὁμοίωσιν. Γεν. α, 26.

Ἐγγίζειν Θεῷ (Ἠσαΐ. νη, 2). Θεὸς ἐγγίζων ἐγώ εἰμι. Ἱερεμ. κγ, 23.

Ὑποτάγηθι τῷ Κυρίῳ (Ψαλ. λς, 7)· ταπεινώσῃς σεαυτὸν ἔναντι Κυρίου (Ἰὼβ κβ, 23). Ἐταπεινώθην, καὶ ἔσωσέ με. Ψαλ. ριδ, 6.

Π. Ἑβραίους.

Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, κτλ. ιγ, 7.

Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. ιγ, 15.

ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ.

Μακάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμόν. α, 12.

Ἀνέτειλεν ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε. α, 11.

Τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς. β, 7.

Τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτούς. γ, 3.

Ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει. γ, 5.

Τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας. γ, 9.

Ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. δ, 8.

Ὑποτάγητε οὖν τῷ Θεῷ– Ταπεινώθητε ἐνώπιον τοῦ Κυρίου, καὶ ὑψώσει ὑμᾶς. δ, 7, 10.

Οἱ Ο

Καὶ *μεταστρέψω* τὰς ἑορτὰς ὑμῶν *εἰς πένθος*. Ἀμὼς η, 10.

Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. (Ψαλμ. μθ, 20). Μὴ ἀγάπα καταλαλεῖν. Παροιμ. κ, 13.

Σκιὰ γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος (Ἰὼϐ η, 9)· ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου. Ψαλ. ρα, 3.

(Μὴ καυχῶ τὰ εἰς αὔριον)· οὐ γὰρ γινώσκεις τί τέξεται ἡ ἐπιοῦσα. Παροιμ. κζ, 1.

Ὥσπερ ἱμάτιον σητόϐρωτον. Ἰὼϐ, ιγ, 28.

Αὐθημερὸν ἀποδώσεις τὸ μισθὸν αὐτοῦ-· καὶ καταϐοήσεται κατὰ σοῦ πρὸς Κύριον (Δευτ. κδ, 15)· καὶ ἡ κραυγή μου ἐν τοῖς ὠσὶν αὐτοῦ. Β. Βασιλ. κβ, 7.

Καὶ δώσεις ὑετὸν ἐπὶ τὴν γῆν σου. (Β. Παραλ. ϛ, 27)· ἡ γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Ψαλ. ξϛ, 6.

Ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου (Ψαλμ. νε, 13). Ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Ψαλ. πδ, 2: λα, 1.

Α. Πέτρου.

Ὁ γέλως ὑμῶν *εἰς πένθος μεταστραφήτω*. δ, 9.

Μὴ καταλαλεῖτε ἀλλήλων ἀδελφοί. Ὁ καταλαλῶν ἀδελφοῦ κτλ. δ, 11.

Ἀτμὶς γάρ ἐστιν (ἡ ζωὴ ἡμῶν), ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη. δ, 14.

Οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον. δ, 14.

Τὰ ἱμάτια ὑμῶν σητόϐρωτα γέγονεν. ε, 3.

Ὁ μισθὸς τῶν ἐργατῶν. . . . κράζει, καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου Σαϐαὼθ εἰσεληλύθασι. ε, 4.

Καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐϐλάστησε τὸν καρπὸν αὐτῆς. ε, 18.

Σώσει ψυχὴν ἐκ θανάτου, καὶ *καλύψει πλῆθος ἁμαρτιῶν*. ε, 20 (βλ. ὄπισθ. σελ. 291).

Οἱ Ο

Ἐν καμίνῳ δοκιμάζεται ἄργυρος καὶ χρυσός. δοκίμιον χρυσίῳ πύρωσις. Παροιμ. ιζ, 3: κζ, 21.

Ἔσονταί μοι εἰς περιποίησιν (Μαλ. γ, 17). λαόν μου, ὃν περιε-

Α. ΠΕΤΡΟΥ.

Τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολὺ τιμιώτερον χρυσίου, διὰ πυρὸς δοκιμαζομένου. α, 7.

Λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ

Οἱ Ο	Α. Πέτρου.
ποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι. ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς. (Ἡσαΐ. μγ, 21: μϐ, 16).	σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. ϐ, 9.
Κάλεσον τὸ ὄνομα αὐτῆς Οὐκ ἠλεημένη-, καὶ Οὐ λαός μου· καὶ εἴπατε· Λαός μου, καὶ Ἠλεημένη. Ὡσηὲ α, 6, 9: β, 1.	Οἱ ποτὲ οὐ λαὸς, νῦν δὲ λαὸς Θεοῦ· οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες. β, 10. (ϐλ. ὄπισθ. ἀριθμ. 103. σελ. 329).
Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει-. Καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Ἡσαΐ. νγ, 4,11.	Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον. β, 24.
Ἐπύρωσεν (ἐκείνους) εἰς ἐτασμόν (Ἰουδεὶθ. η, 27). Ἰδοὺ ἐγὼ πυρώσω αὐτοὺς, καὶ δοκιμῶ αὐτούς (Ἱερεμ. θ, 7), ξενιζούσαις συμφοραῖς. Β. Μακκαϐ. θ, 6.	Μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει, πρὸς πειρασμὸν ὑμῖν γινομένῃ. δ, 12.
Ἀπὸ τῶν ἁγίων μου ἄρξασθε-οἳ ἦσαν ἔσω ἐν τῷ οἴκῳ. Ἰεζ. θ,6.	Καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ. δ, 17.
Ὁ ἀντίδικος (Α. Βασιλ. β, 10) διάϐολος, ἐμπεριπατῶν τὴν γῆν (Ἰὼϐ ϐ, 2), ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος (Ψαλμ. κα, 13), θελήσει αὐτὸ καταπιεῖν. Ἡσ. κη, 4.	Ὁ ἀντίδικος ὑμῶν διάϐολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ. ε, 8.
Ὁ Θεὸς χάριν καὶ δόξαν δώσει (Ψαλ. πγ, 11), καταρτίσει (Ψαλ. οθ, 16), στηρίξει (Ψαλ. ν, 12), θεμελιώσει. Ἡσ. ιδ, 32.	Ὁ δὲ Θεὸς πάσης χάριτος- αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενῶσαι, θεμελιῶσαι. ε, 10.
Τὸ γεῶδες σκῆνος. Σοφ. Σολ. θ, 15.	Ἐν τούτῳ τῷ σκηνώματι. Β. Πέτρ. α, 13 (καὶ τὸ σκῆνος. Β. Κορ. ε, 1, 4).
Λύχνος τοῖς ποσί μου ὁ νόμος σου. Ὅτι σὺ φωτιεῖς τὸ σκότος μου. Ψαλμ. ιζ, 28: ριη, 105.	Ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ. α, 19.
Οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ κτλ. Ψαλμ. ρϐ, 20.	Ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζονες. β, 11.
Ἐν σκότει διαπορεύονται (Ψαλ.	Ἐν τῷ σκότει περιπατῶμεν

Οἱ Ο	Ἀποκάλυψις.
πα, 5). Πορευθῶμεν ἐν τῷ φωτὶ Κυρίου Ἡσ. β. 5.	—. Ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν. Α. ΙΩΑΝ. α, 6, 7.
Εἶπα, ἐξαγορεύσω.. τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου (Ψαλμ. λα, 5). Καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με (Ψαλ. ν. 2). Ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας. Μιχ. ζ, 18.	Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιςός ἐςι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. α, 9.
Ἐπιτιμήσαι Κύριος ἐν σοί. Ζαχ. γ, 3.	Ἐπιτιμήσαι σοι Κύριος. ΙΟΥΔΑ Ἐπις. §. 9.
Κύριος ἐπέφανε—σὺν μυριάσι Κάδης, ἄγγελοι μετ' αὐτοῦ. Δευτ. λγ, 2.	Ἦλθε Κύριος ἐν μυριάσιν ἁγίαις. §. 14.

Οἱ Ο.	ΑΠΟΚΑΛΥΨΙΣ.
Εἷς ἀνὴρ ἐνδεδυκὼς ποδήρη, καὶ ζώνην σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ. (Ἰεζ. θ, 2). Ἡ δὲ ὀσφὺς αὐτοῦ περιεζωσμένη ἐν χρυσίῳ. Δαν. ι, 5.	Ὅμοιον υἱῷ ἀνθρώπου, ἐνδεδυμένον ποδήρη, καὶ περιεζωμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν. α, 13.
Ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων. Δαν. β, 28.	Ἃ δεῖ γενέσθαι ἐν τάχει. α, 1.
Ὁ μάρτυς (ἐν οὐρανῷ) πιςός. Ψαλμ. πη, 37.	Ὁ μάρτυς ὁ πιστός. α, 5.
[Βλ. ἐν τοῖς προλαβοῦσι. σελ. 68].	Ὁ Ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ Παντοκράτωρ. α. 8.
Καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη—καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς. Ζαχ. δ, 2. (Ἀριθμ. η, 2).	Εἶδον ἑπτὰ λυχνίας χρυσᾶς. α, 12.
Καὶ ἐνεβάλοσαν αὐτὸν εἰς οἰκίαν τῆς φυλακῆς. Ἰερεμ. μδ, 21.	Μέλλει βαλεῖν ἐξ ὑμῶν εἰς φυλακήν. β, 10.
Καὶ ἔςησε τοὺς στύλους τοῦ ναοῦ. Γ. Βασιλ. ζ, 21.	Ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ Θεοῦ μου. γ, 12.
Καὶ εἶπεν Ἐφραίμ· πλὴν πε-	Ὅτι λέγεις, ὅτι πλούσιός εἰμι,

Οἱ Ο	Ἀποκάλυψις.
πλούτηκα, εὕρηκα ἀναψυχὴν ἐμαυτῷ (Ὡσηέ. ιϐ, 8: Ζαχ. ια, 5). ὁ ταλαίπωρος (Ψαλμ. ρλς, 8. Σοφ. Σολ. ιγ, 10), καὶ πτωχὸς (Ἱερ. ε, 4), καὶ τυφλὸς (Σοφον. α, 17), καὶ γυμνὸς (Α. Βασιλ. ιθ, 24).	καὶ πεπλούτηκα, καὶ οὐδενὸς χρείαν ἔχω. Καὶ οὐκ οἶδας, ὅτι σὺ εἶ ὁ ταλαίπωρος, καὶ ἐλεεινὸς, καὶ πτωχὸς, καὶ τυφλὸς, καὶ γυμνός. γ, 17.
Ὃν ἀγαπᾶ Κύριος ἐλέγχει. Παροιμ. γ, 12.	Ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω. γ, 19.
Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ (Ἡσαΐ. ς, 1). Καὶ ὡς ὅρασις τόξου (ὅταν ᾖ ἐν τῇ νεφέλῃ) κυκλόθεν. Ἰεζ. α, 28.	Καὶ ἰδοὺ θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος – καὶ ἶρις κυκλόθεν τοῦ θρόνου. δ, 2.
Ὡς ὁμοίωμα τεσσάρων ζώων- καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, πρόσωπον ἀνθρώπου, καὶ πρόσωπον τοῦ λέοντος, καὶ πρόσωπον μόσχου, καὶ πρόσωπον ἀετοῦ- καὶ οἱ νῶτοι αὐτῶν πλήρεις ὀφθαλμῶν. Ἰεζ. α, 5, 10, 18.	Τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν· καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῶον ὅμοιον μόσχῳ, καὶ τὸ τρίτον- ὡς ἄνθρωπος, καὶ τὸ τέταρτον ὅμοιον ἀετῷ. δ, 6, 7.
Ἔκτισεν εἰς τὸ εἶναι τὰ πάντα (Σοφ. Σολ. α, 14). Αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Ψαλ. ρμη, 5.	Ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου εἰσὶ καὶ ἐκτίσθησαν. δ, 11
Σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ υἱέ μου ἀνέϐης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων (Γεν. μθ, 9). Ῥάϐδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναϐήσεται. Ἡσαΐ. ια, 1.	Ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ὢν ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαϐίδ. ε, 5.
Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου (Ψαλμ. ρμ. 2)· ἅγιον τῶν ἁγίων ἔσται θυμίαμα (Ἐξόδ. λ, 36). θυΐσκαι καὶ φιάλαι χρυσαῖ (Γ. Βασιλ. ζ, 50: Β. Παραλ. δ, 8,	Φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων. ε, 8.

Οἱ Ο	Ἀποκάλυψις.
21), ὡς φιάλαι τοῦ ἀρώματος. ᾿Ασμ. ᾿Ασμ. ε, 13.	
Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι. Ψαλ. λϐ, 3: ρμγ, 9.	Καὶ ᾄδουσιν ᾠδὴν καινήν. ε, 9.
Πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι. Δαν. γ, 7.	Ἐκ πάσης φυλῆς, καὶ γλώσσης, καὶ λαοῦ, καὶ ἔθνους. ε, 9.
Ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς (Ἐξόδ. κ, 4), ἐν τῇ θαλάσσῃ καὶ πάντα τὰ ἐν αὐτοῖς. Ψαλ. ρλη, 9; ρμε, 6.	Πᾶν κτίσμα ὅ ἐστιν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, καὶ ὑποκάτω τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης ἃ ἐςι, καὶ τὰ ἐν αὐτοῖς πάντα. ε, 13.
Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν- ἐναντίον Κυρίου (Ψαλ. ϙδ, 6) Θεοῦ ζῶντος. Ἱερεμ. κγ, 36.	Καὶ ἔπεσαν καὶ προσεκύνησαν (τῷ) ζῶντι εἰς τοὺς αἰῶνας. ε, 14.
Ἑώρακα, καὶ ἰδοὺ ἀνὴρ ἐπιϐεϐηκὼς ἐπὶ ἵππον *πυῤῥὸν*, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυῤῥοὶ, καὶ *ψαροὶ*, καὶ *ποικίλοι*, καὶ *λευκοί*. Ζαχ. α, 8.	Καὶ εἶδον, καὶ ἰδοὺ ἵππος *λευκὸς*, καὶ ἄλλος ἵππος *πυῤῥὸς*-καὶ ἵππος *μέλας*-καὶ ἵππος *χλωρός*. ς, 2—8.
Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος (ὡς δέῤῥις τριχίνη. Ζαχ. ιγ, 4), καὶ ἡ σελήνη εἰς αἷμα. Ἰωὴλ, β, 31.	Ὁ ἥλιος ἐγένετο μέλας, ὡς σάκκος τρίχινος, καὶ ἡ σελήνη ἐγένετο ὡς αἷμα. ς, 12.
Καὶ πάντα τὰ ἄστρα πεσεῖται, ὡς πίπτει φύλλα ἀπὸ συκῆς (Ἡσαΐ. λδ, 4), ἢ ἐξήνεγκεν ὀλύνθους. ᾿Ασμ. ᾿Ασμ. β, 13.	Καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν γῆν, ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς κτλ. ς, 13.
Ἐταράχθησαν τὰ ὄρη (Ψαλμ. με, 3)· σεισθήσονται αἱ νῆσοι (Ἰεζ, κς, 15). Καὶ οἱ βασιλεῖς τῆς γῆς (Ἡσ. κδ, 21), καὶ οἱ μεγιστᾶνες (Ἱερεμ. ιδ, 3), καὶ οἱ χιλίαρχοι (Ἐξ. ιη, 21), καὶ οἱ	Καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν. Καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστᾶνες, καὶ οἱ πλούσιοι, καὶ οἱ χιλίαρχοι, καὶ οἱ ἰσχυροὶ, καὶ πᾶς δοῦλος, καὶ πᾶς ἐλεύθερος

Οἱ Ο	Αποκάλυψις.
πλούσιοι (Ἠσ. ε, 14), καὶ οἱ ἰσχυροὶ (Κριτ. ε, 22), καὶ δοῦλοι δεσπότου (Παροιμ. λ, 10) καὶ ἐλεύθεροι (Ἐξόδ. κα, 26) εἰσέδυσαν εἰς τὰ σπήλαια (Ἱερ. δ, 29), καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν. Ἠσ. β, 21.	ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια, καὶ εἰς τὰς πέτρας τῶν ὀρέων. ς, 14.
Δὸς σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν. Ἰεζ. θ, 4. (βλ. ὄπισθ. σελ. 84).	Ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν. ζ, 3.
Καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς. Ἠσαΐ. μθ, 10.	Καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζώσας πηγὰς ὑδάτων. ζ, 17. (τουτ. ἐπὶ πηγὰς ὑδάτων ζωῆς, ὕδατος ζῶντος).
Καὶ ἐποίησε τὸ θυσιαστήριον τὸ χρυσοῦν, καὶ θυΐσκας χρυσᾶς. Γ. Βασ. ζ,48,50: Ἀριθμ. ζ, 86.	Ἄγγελος ἔχων λιβανωτὸν χρυσοῦν ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν. η, 3 (α).
Καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. Γεν. α, 30.	Καὶ πᾶς χόρτος χλωρὸς κατεκάη. η, 7.
Ὡς ὅρασις ἵππων ἡ ὅρασις αὐτῶν (Ἰωὴλ β, 4). Οἱ ὀδόντες —ὡς ὀδόντες λέοντος (α, 6), ὡς φωνὴ ἁρμάτων ἐπὶ τὰς κο-	Καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις· καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦσαν— καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν, ὡς

(α) Λίβανος, τό τε λιβανοφόρον δένδρον, καὶ τὸ θυμίαμα (τὸ καὶ συνήθως λιβάνιον). Λιβανωτὸς δὲ, τὸ θυμίαμα μόνον (βλ· Ἄμμων. π. ὁμοίων καὶ διαφόρ. λέξ·). Ἐν δὲ τῇ Ἀποκαλύψει (ἀνωτέρω) λιβανωτὸς, καὶ ἡ λιβανωτρὶς, τὸ σκεῦος τοῦ θυμιάματος (Ἀνδρέας, καὶ Ἀρέθας). Τοῦτο δὲ τὸ λιβανωτὸς μάτην ὁ κλεινὸς Γρότιος διώρθου εἰς τὸ λιβανωτὶς (ἀντὶ λιβανωτρὶς)· φαίνεται γὰρ τῆς τότε συνηθείας ἡ λέξις, ἀντὶ λιβανωτὸν τὸ, ὡς καὶ νῦν λέγομεν θυμιατὸν τὸ θυμιατήριον· εὑρίσκεται δὲ καὶ ἐν ἀρχαίοις ἀπογράφοις τῆς Ἀποκαλύψεως οὐδετέρως ἡ λέξις (βλ. ἔκδ. Griesbach) οἷον. « Καὶ εἴληφε τὸ λιβανωτὸν καὶ ἐγέμισεν αὐτό » (Ἀποκ. η, 5), ὅπου κοινῶς γράφεται « Τὸν λιβανωτὸν αὐτόν ». Τὸ δὲ ἀνωτέρω λιβανωτὸν χρυσοῦν, συμπίπτει καὶ πρὸς τὸν οὐδέτερον σχηματισμόν. Λιβανωτὸν δέ τι, ἢ μικρὸν θυμιατήριον (ὡς τὸ τῆς Συνηθείας καπνιστήριον, ἢ καπνιστηρὸν, καὶ χυδ. κατσὶ), φαίνεται καὶ ἡ θυΐσκη (βλ. Ἀριθμ. ζ, 80, 86), συνήθης καὶ παρὰ τοῖς ἀρχαίοις Ἕλλησι.

Οἱ Ο	Ἀποκάλυψις.
ρυφὰς τῶν ὀρέων ἐξαλοῦνται— καὶ ὡς λαὸς πολὺς, παρατασσόμενος εἰς πόλεμον. (β, 5).	φωνὴ ἁρμάτων πολλῶν, τρεχόντων εἰς πόλεμον. θ, 7, 9.
Καὶ σὺ σφράγισον τὴν ὅρασιν. Δαν. η, 26: ιϐ, 4.	Σφράγισον ἃ ἐλάλησαν αἱ ϐρονταί. ι, 4.
Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι.— Τῷ ζῶντι εἰς τὸν αἰῶνα (Δευτ. λϐ,40: Γεν. ιδ, 22: Δαν. ιϐ, 7). Σὺ ἐποίησας τὸν οὐρανὸν—καὶ πᾶσαν τὴν ςάσιν αὐτῶν, τὴν γῆν καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ, τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐταῖς. Νεεμ. θ, 6,	Καὶ ὁ ἄγγελος ἦρε τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ. ι, 5, 6.
Καὶ ἰδοὺ ἀνὴρ- καὶ ἐν τῇ χειρὶ αὐτοῦ- κάλαμος μέτρον, καὶ διεμέτρησε τὸν ναὸν, κτλ. Ἰεζ. μ, μα, μϐ, μγ.	Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάϐδῳ.-ἔγειραι καὶ μέτρησον τὸν ναὸν, κτλ. ια, 1.
Καὶ ἰδοὺ δύω ἐλαῖαι. Ζαχ. δ, 3, 12.	Οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι. ια, 4.
Φλὸξ ἐκ τοῦ ςόματος αὐτοῦ ἐκπορεύεται (Ἰὼϐ μα, 12)· καὶ καταφάγεται αὐτοὺς πῦρ. Ψαλ. κ, 9.	Πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν, καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν. ια, 5.
Οἱ πατάξαντες τὴν Αἴγυπτον ἐν πάσῃ πληγῇ. Α. Βασιλ. δ, 8.	Καὶ πατάξαι τὴν γῆν πάσῃ πληγῇ. ια, 6.
Καὶ ἰδοὺ θηρίον ἕτερον, καὶ κέρατα αὐτῷ δέκα, καὶ στόμα λαλοῦν μεγάλα.- Καὶ ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσε πρὸς αὐτούς. Δαν. ζ, 7, 8, 21.	Καὶ εἶδον θηρίον ἔχον κεφαλὰς ἑπτὰ, καὶ κέρατα δέκα- καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα· καὶ ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι μετὰ τῶν ἁγίων, καὶ νικῆσαι αὐτούς. ιγ, 1, 5, 7.
Πέπτωκε, πέπτωκε Βαϐυλών. Ἡσαΐ. κα, 9.	Ἔπεσεν, ἔπεσε Βαϐυλὼν, ἡ πόλις ἡ μεγάλη. ιδ, 8.
Καὶ οὐ σϐεσθήσεται εἰς τὸν αἰῶνα χρόνον, καὶ ἀναϐήσεται ὁ καπνὸς αὐτῆς ἄνω. Ἡσ. λδ, 10.	Καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν ἀναϐαίνει εἰς αἰῶνας αἰώνων. ιδ, 11.

Οἱ Ο	Ἀποκάλυψις.
Ἐξαποστείλατε δρέπανα, ὅτι παρέστηκεν ὁ τρυγητός. Εἰσπορεύεσθε, πατεῖτε· διότι πλήρης ὁ ληνός· ὑπερεκχεῖται τὰ ὑπολήνια (Ἰωὴλ γ, 13)· ὡς ἀπὸ πατητοῦ ληνοῦ, κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. Ἡσαΐ. ξγ, 2, 3.	Πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ, καὶ τρύγησον τοὺς βότρυας- καὶ ἐτρύγησε τὴν ἄμπελον, καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ Θεοῦ τὴν μεγάλην· καὶ ἐπατήθη ἡ ληνὸς- καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ. ιδ, 18—20.
Καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. Ἡσαΐ. ς, 4,	Καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ. ιε, 8.
Καὶ οὐκ ἠδυνήθη Μωϋσῆς εἰσελθεῖν εἰς τὴν σκηνήν. Ἐξ. μ, 35: πρβλ. Γ. Βασιλ. η, 11.	Καὶ οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναόν. ιε, 8.
Ἕλκος πονηρόν. Δευτ. κη,35.	Ἕλκος κακὸν καὶ πονηρόν. ις, 2.
Βαβυλὼν ἡ μεγάλη (Δαν. δ, 27).- τὰς κακίας αὐτῶν ἐμνήσθην. Ὡσηὲ ζ, 2.	Καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ Θεοῦ. ις, 19.
Καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες καὶ δαιμόνια, ὄρνεα καὶ ἴβεις καὶ κόρακες κατοικήσουσιν ἐν αὐτῇ. Ἡσαΐ. ιγ, 21: λδ, 11.	Καὶ ἐγένετο κατοικητήριον δαιμόνων, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου· ιη, 2,3.
Ἐξέλθετε-λαὸς ἐμός· ὅτι ἤγγικεν εἰς οὐρανὸν τὸ κρῖμα αὐτῆς. Ἱερ. κη, 9, 45.	Ἐξέλθετε ἐξ αὐτῆς ὁ λαός μου -ὅτι ἠκολούθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ. ιη, 4.
Πρβλ. Ἰεζεκ. κζ, 5—36: Ἡσαΐ. μζ.	Καὶ οἱ ἔμποροι τῆς γῆς κτλ· ιη, 11-18.
Ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς. Ψαλμ. ρς, 23.	Καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται· ιη, 17.
Καὶ ἐπιδήσεις ἐπ᾽ αὐτὸ (τὸ βιβλίον) λίθον, καὶ ῥίψεις αὐτὸ εἰς τὸ μέσον τοῦ Εὐφράτου, καὶ ἐρεῖς· Οὕτω καταδύσεται Βαβυλὼν, καὶ οὐ μὴ ἀναστῇ κτλ. Ἱερ. κη, 63, 64.	Καὶ ἦρε-λίθον ὡς μύλον μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων· οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν, καὶ οὐ μὴ εὑρεθῇ ἔτι. ιη, 21.
Καὶ ἀπολῶ ἀπ᾽ αὐτῶν φωνὴν χαρᾶς, καὶ φωνὴν εὐφροσύνης,	Καὶ φωνὴ κιθαρῳδῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ φῶς λύ-

Οἱ Ο	Ἀποκάλυψις.
φωνὴν νυμφίου, καὶ φωνὴν νύμφης, ὀσμὴν μύρου (ἄλλ. φωνὴν μύλου) καὶ φῶς λύχνου. Ἱερεμ. κε, 10: μ, 11.	χνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. ιη, 22.
Καὶ ἐν ταῖς χερσί σου εὑρέθησαν αἵματα ψυχῶν ἀθῴων. Ἱερεμ. β, 34.	Καὶ ἐν αὐτῇ αἷμα προφητῶν καὶ ἁγίων εὑρέθη. ιη, 24.
Καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς λαμπάδες πυρός. Δαν. ι, 6.	Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός. ιθ, 12.
Διὰ τί σου ἐρυθρᾶ τὰ ἱμάτια; καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; Ἡσαΐ. ξγ, 2.	Περιβεβλημένος ἱμάτιον βεβαμμένον αἵματι, καὶ αὐτὸς πατεῖ τὸν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ Θεοῦ. ιθ, 13, 15.
Εἰπὼν παντὶ ὀρνέῳ πετεινῷ- Συνάχθητε καὶ ἔρχεσθε.. ἐπὶ τὴν θυσίαν μου, ἣν τέθυκα ὑμῖν, καὶ φάγεσθε κρέα, καὶ πίεσθε αἷμα ἀρχόντων τῆς γῆς -· ἵππον καὶ ἀναβάτην κτλ. Ἰεζ. λθ, 17-20.	Καὶ ἔκραξε λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετωμένοις. -Δεῦτε καὶ συνάγεσθε εἰς τὸ δεῖπνον τοῦ μεγάλου θεοῦ, ἵνα φάγητε σάρκας βασιλέων, καὶ σάρκας ἰσχυρῶν, σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ' αὐτῶν. ιθ, 17-18.
Πῦρ καὶ θεῖον ἡ μερὶς αὐτῶν (Ψαλμ. 1,7). Ὡς φάραγξ ὑπὸ θείου καιομένη. Ἡσ. λ, 33.	Εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν τῷ θείῳ. ιθ, 20.
Καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς σάρκας σου. Γεν. μ, 19.	Καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν κρεῶν αὐτῶν. ιθ, 21.
Ὁ ὄφις (Γεν. γ.), ὁ διάβολος (Ἰὼβ α, 6), ὁ σατανᾶς (Σειρ. κα, 27).	Τὸν ὄφιν τὸν ἀρχαῖον, ὅστις ἐστὶ διάβολος καὶ Σατανᾶς. κ, 2.
Ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ κριτήριον ἐκάθισε, καὶ τὸ κρίμα ἔδωκε τοῖς ἁγίοις. Δαν. ζ. 9, 10, 22.	Καὶ εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ' αὐτοὺς, καὶ κρίμα ἐδόθη αὐτοῖς. κ, 4.
Ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας (τουτ. *πανταχόθεν*)	(Πλανῆσαι *τὰ ἔθνη*) ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς, τὸν

Οἱ Ο	Ἀποκάλυψις.
(Ἰὼϐ α, 19). Στήριξον ἐπὶ τὸν Γὼγ καὶ τὴν γῆν τοῦ Μαγὼγ (Ἰεζεκ. λη, 2). Ὥστε πληρῶσαι, τὸ πλάτος τῆς χώρας. Ἡσαΐ. η, 8.	Γὼγ καὶ τὸν Μαγὼγ - καὶ ἀνέϐησαν ἐπὶ τὸ πλάτος τῆς γῆς. κ, 8, 9.
Κατέϐη πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτούς. Δ. Βασιλ. α, 10. (Ψαλμ. κ, 9: Ἡσαΐ. κς. 11).	Καὶ κατέϐη πῦρ ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτούς. κ, 9.
Καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. Δαν. β, 35.	Καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. κ, 11.
Καὶ παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς καὶ βίϐλοι ἠνεῴχθησαν, καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται. Δαν. ζ, 9, 10: ιβ, 2.	Καὶ εἶδον θρόνον λευκὸν μέγαν, καὶ τὸν καθήμενον ἐπ᾽ αὐτοῦ· καὶ εἶδον τοὺς νεκροὺς μικροὺς καὶ μεγάλους, ἑστῶτας ἐνώπιον τοῦ Θεοῦ, καὶ βιϐλία ἠνεῴχθησαν. κ, 11, 12.
Καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ-ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ. Ἡσαΐ. ξα, 10, ξβ, 5. (πρβλ. Ὡσηὲ β, 19. ᾎσμ. Ἀσμάτ. κτλ.).	Καὶ ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. κα, 2.
Καὶ ἔσται ἡ κατασκήνωσις μου ἐν αὐτοῖς, καὶ ἔσομαι αὐτοῖς Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός· Ἰεζ. λζ. 27.	Ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ᾽αὐτῶν· καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς ἔςαι μετ᾽ αὐτῶν, Θεὸς αὐτῶν. κα, 3.
Ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι τὰ θεμέλιά σου σάπφειρον, καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν. Ἡσαΐ. νδ, 11, 12: Τωϐὶτ, ιγ, 16.	Ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύτερος σάπφειρος κτλ. κα, 19.
Κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλε κύριος ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου (Ἡσαΐ. κε, 8). Καὶ οὐκέτι μὴ ἀκουσθῇ φωνὴ κλαυθμοῦ, καὶ φωνὴ κραυγῆς. Ἡσαΐ. ξε, 19.	Καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν· καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος, οὔτε κραυγή· κα, 4.

Οἱ Ο	Ἀποκάλυψις.
Ἰδοὺ ἐγὼ ποιῶ καινά. Ἡσαΐ. μγ, 19	Ἰδοὺ καινὰ πάντα ποιῶ. κα, 5.
Καὶ πορεύσονται ἔθνη τῇ λαμπρότητί σου (ἄλλ. τῷ φωτί σου). Ἡσαΐ. ξ, 3.	Καὶ τὰ ἔθνη ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσι. κα, 24.
Καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι. καὶ ὄψονται τὴν δόξαν σου (Ἡσαΐ. ξ, 10: ξβ, 2). Σοὶ οἴσουσι βασιλεῖς δῶρα. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμὴν αἱ πατριαὶ τῶν ἐθνῶν. Ψαλμ. ξζ, 29. ϙε, 7.	Καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτὴν-καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν. κα, 24.
Καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι. Ζαχ. ιδ, 11.	Καὶ πᾶν κατανάθεμα οὐκ ἔσται ἔτι. κβ, 3.
Ἰδοὺ κύριος ἔρχεται. Ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ᾽ αὐτοῦ. Ἡσαΐ. μ, 10.	Ἰδοὺ ἔρχομαι,- καὶ ὁ μισθός μου μετ᾽ ἐμοῦ. κβ, 12.
Οἱ διψῶντες πορεύεσθε ἐφ᾽ ὕδωρ . . . ἄνευ ἀργυρίου καὶ τιμῆς. Ἡσαΐ. νε, 1.	Καὶ ὁ διψῶν ἐλθέτω· καὶ ὁ θέλων λαμβανέτω τὸ ὕδωρ τῆς ζωῆς δωρεάν. κϐ, 17.
Οὐ προσθήσετε πρὸς τὸ ῥῆμα ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν· καὶ οὐκ ἀφελεῖτε ἀπ᾽ αὐτοῦ. Δευτ. δ, 2: ιϐ, 32.	Ἐάν τις ἐπιτιθῇ πρὸς ταῦτα (*τοὺς λόγους τοῦ βιβλίου*), ἐπιθήσει ὁ Θεὸς ἐπ᾽ αὐτὸν τὰς πληγάς-. Καὶ ἐάν τις ἀφαιρῇ ἀπὸ τῶν λόγων τοῦ βιϐλίου,-ἀφαιρήσει ὁ Θεὸς κτλ. κβ, 19.
Ταχὺ ἔρχεται, καὶ οὐ χρονιεῖ (Ἡσαΐ. ιδ, 1). Ναὶ (Γεν. ιζ, 19). Ἀμὴν (Νεεμ. ε, 13). ἐλθὲ (Παροιμ. ζ, 11). γένοιτο Κύριε. Ἱερ. ια, 5.	Ναὶ ἔρχομαι ταχύ· ἀμὴν, ναὶ ἔρχου, Κύριε Ἰησοῦ. κβ, 20.

§. νε. Μακρὰν, ὦ φίλε ἀναγνῶστα, ἀλλ᾽ ἴσως οὐκ εἰς μάτην παρετείναμεν τῶν ἱερῶν παραλήλλων τὴν σειράν. Πολλὰς δὲ καὶ ἄλλας παρελίπομεν φράσεις, ἐπιτέμνοντες τὸν λόγον, καὶ λέξεις ἰδίως, ὅσας προφανῶς οἱ θεῖοι Ἀπόστολοι μετεφύτευσαν εἰς τὴν Καινὴν Διαθήκην ἐκ τῆς ἑρμηνείας τῶν Ο (α). Οὐδὲ τῶν γραμμα-

(α) Περὶ τῶν ἐν τῇ καινῇ Διαθήκῃ φράσεων καὶ λέξεων τῶν Ο, πολλοὶ τῶν

τικῶν ἰδιωτισμῶν, καὶ τῶν τοῦ λόγου καὶ τῆς διανοίας σχημάτων ἐμνημονεύσαμεν, οἷον μεταφορῶν, καταχρήσεων, ἀντονομασιῶν, καὶ τῶν ἄλλων τῶν τοιούτων, οἷς ἐχρήσατο καὶ ὁ λόγος ὁ Ἀποστολικὸς κατὰ τὴν τῶν Ο κατασκευὴν, καὶ τὸ ἰδίωμα τῆς ἁγιογραφικῆς διαλέκτου (α). Οὕτω συμφωνοῦσιν ἐν τῇ Ἐκκλησίᾳ αἱ γραφαὶ τῶν Προφητῶν καὶ τῶν Ἀποστόλων εἰς ἓν παναρμόνιον μέλος· καὶ τοῦτ᾿ ἐστιν ὅπερ ἐλέγομεν ἐν τοῖς ἔμπροσθεν· ὅτι ἡ Καινὴ Διαθήκη φαίνεταί τις πορφύρα θεοΰφαντος, ἐπὶ τῆς ἑρμηνείας τῶν Ο, οἷον ἐπὶ στήμονος ἀῤῥαγοῦς ἐξυφασμένη. Ἴτωσαν οὖν ἤδη καὶ λεγέτωσαν οἱ λέγοντες ἃ λέγουσι κατὰ τῆς ἑρμηνείας, πολλὰ καὶ μάτην λογοποιοῦντες εἰς ἀναίρεσιν πραγμάτων, οὕτως ἐναργῶς καὶ ἀριδήλως φαινομένων. «Κατὰ συγκατάβασιν (εἶπον) οἱ Ἀπόστολοι προφητικάς τινας *ὀλίγας* ἐξήνεγκον ἐκ τῶν Ο ῥήσεις, παραλιπόντες τὸ ἑβραϊκόν· καὶ αὐτὰ δὲ τὰ τῆς ἑρμηνείας σφάλματα κατεδέξαντο, πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας». (βλ. ὄπισθ. σελ. 257). Οὕτως οἱ ἄνδρες οὐκ ἔφριξαν αὐτῶν τῶν Ἀποστολικῶν καθαπτόμενοι συγγραφῶν, μέτρον τῆς ἀληθείας τοῦ θείου λόγου φέροντες τὴν δειλαίαν Μάσοραν. Πῶς; Οἱ θεῖοι Ἀπόστολοι, «οἱ μὴ *δολοῦντες τὸν λόγον τοῦ* Θεοῦ, *ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς πρὸς ἅπασαν συνείδησιν ἀνθρώπων ἐνώπιον τοῦ Θεοῦ* (Β. Κορ. δ, 2)· οἱ θεῖοι Ἀπόστολοι, *οὓς ὡδήγησεν* ὁ *Παράκλητος εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ ὧν ὑπῆρχε τὸ ναὶ ναὶ καὶ, τὸ οὒ οὔ* (Ἰωάν. ις, 13: Ματθ. ε, 37)· οἱ θεῖοι Ἀπόστολοι, οἵτινες ἐκήρυττον καὶ ἔγραφον· «*Οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ—οὔτε γάρ ποτε ἐν λόγῳ*

Εὐρωπαίων σοφῶν ἐπραγματεύσαντο φιλολογικώτερον, ὡς ὁ προμνημονευθεὶς (σελ. 75) Olearius (De stylo Nov. Testam.). Βλ. καὶ Schwarz, Commentarij critici et philologici linquae Gr. N. Test. Lipsiæ, 1736. - Vorstii, Commentarium de Hebraismis N. Test. curavit Fischerus, Lipsiæ, 1778. - Leusdeni, De dialectis N. Test. Lipsiæ, 1792.

(α) Βλ. τοῦ νεωτέρου Θηρσίου τὸ De Pentatevchi versione Alexandrina. οὐχ ἅπαξ καὶ ἐν τοῖς ἔμπροσθεν μνημονευθέν.

κολακείας ἐγενήθημεν (Α. Θεσσαλ. β,4)· οἱ Ἀπόστολοι, «*ἐν οἷς ἐλάλει ὁ Χριστός* (Β. Κορ. ιγ,3), παρεχάραττον λοιπὸν ἔστιν ὅπου τὴν προφητικὴν ἀλήθειαν κατὰ τὸ κόμμα τῶν Ο δἰ ἀνθρωπαρέσκειαν, καὶ εὑρίσκοντο «*ψευδομάρτυρες τοῦ Θεοῦ*»; (Α. Κορ. ιε, 15). Ὢ ποῖος ἀνόσιος λῆρος. Καὶ ποῦ τῶν θείων Γραφῶν ἀνέγνων οἱ κριτικοὶ τοιαύτην συγκατάβασιν; ἢ ποίαν τοιαύτης συγκαταβάσεως χρείαν εἶχον οἱ λαλοῦντες «*οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως*»; Πρὸς τίνας δ' ἂν καὶ συγκατέβαινον, ἵνα μὴ σκανδαλισθῶσι; Πρὸς τοὺς ἐκ περιτομῆς πιστεύοντας Ἑβραϊστάς; Ἀλλ' οὗτοι εἶχον αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκὸν, ἐξ οὗ τάχιστ' ἂν ἐμάνθανον τὴν ἀλήθειαν τῶν προφητικῶν ῥητῶν. Ἢ πρὸς τούτους μὲν οὐχὶ, πρὸς δὲ τοὺς ἐξ ἀρχῆς Ἑλληνιστάς; ἀλλὰ καὶ τούτους ῥᾳδίως ἂν ἐπληροφόρουν οἱ Χριστοκήρυκες, ἀποδεικνύοντες τὴν τῶν Ο πλάνην ἐξ αὐτῆς πάλιν τῆς ἑβραΐδος Γραφῆς, ὡς καὶ ταύτης ἐπίσης τῇ ἑρμηνείᾳ παρ' ἐκείνοις σεβαζομένης· καὶ χάριν δ' ἂν τὴν μεγίστην ὡμολόγουν οἱ Ἑλληνισταὶ τοῖς Ἀποστόλοις, βλέποντες ὑπ' αὐτῶν διορθούμενα τὰ σφάλματα τῆς ἑρμηνείας πρὸς τὸ πάτριον αὐτοῖς ἑβραϊκὸν πρωτότυπον. Ἢ μήπως συγατέβαινον πρὸς τοὺς ἐπιστρέφοντας ἐξ ἐθνῶν, ἄλλους τε παντοίους καὶ τοὺς Ἕλληνας; Ἀλλ' οὗτοι μήτε τὸ ἑβραϊκὸν, μήτε τὴν μετάφρασιν (οἱ πλεῖστοι) γνωρίζοντες, μηδὲ δυνάμενοι ταύτην πρὸς ἐκεῖνο παραβάλλειν, ἀπεδέχοντ' ἂν ὁμαλῶς τὰς προφητικὰς μαρτυρίας ἐκ μιᾶς τινος, ὁποτέρας τῶν Γραφῶν, παραδιδομένας· διὰ τί λοιπὸν οἱ Ἀπόστολοι ἐμυσταγώγουν καὶ τούτους τὰς ῥήσεις τῶν προφητῶν ἐκ τῆς διεψευσμένης ἑρμηνείας τῶν Ο; ἢ διὰ τί κἂν οὐ παρεδίδουν αὐτὰς ἐκ τοῦ ἑβραϊκοῦ διορθοῦντες; Μήπως οὐκ ᾔδεισαν οἱ Ἑβραῖοι ἐξ Ἑβραίων τὴν ἑβραϊκὴν Γραφὴν, καὶ τὴν δύναμιν αὐτῆς; ἢ τοῦ χαρίσματος τῶν γλωσσῶν ἐστεροῦντο; ἢ μήπως ἐξ ἀμελείας ἑτοίμην, ὅπως ἔτυχε, μετεχειρίζοντο τὴν ἑρμηνείαν πρὸς ἀπόδειξιν τῆς θειοτάτης ἀληθείας, οἱ τοῖς ἄλλοις παραγγέλλοντες «*προσέχειν τῇ ἀναγνώσει*» (Α. Τιμ. δ, 13), καὶ, «*πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε;* (Α. Θεσσαλ. ε, 21)· ἢ μήπως, τέλος, παρεδίδουν εἰς

αἰῶνας τῇ Ἐκκλησίᾳ διεφθαρμένην τὴν Βίβλον τῶν προφητικῶν χρησμῶν, καὶ αὐτὴν τὴν Καινὴν τοῦ Θεοῦ Διαθήκην φέρουσαν τῆς ἐξ αὐτῶν διαφθορᾶς τὰς κηλίδας; Φεῦ· οὐδὲν (κατὰ τὴν παροιμίαν) εὐκολώτερον, ἢ τὸ καμμύειν ἑκοντὶ τοὺς ὀφθαλμοὺς πρὸς τὸν ἥλιον.

Ἀφ' ἑαυτῶν (εἶπον ἄλλοι) καὶ οἴκοθεν οἱ Ἀπόστολοι ἐξελλήνιζον τὰς ῥήσεις τὰς προφητικάς, καὶ ὅτε ταύτας ἐξέφερον διαφερούσας μὲν πρὸς τὸ ἑβραϊκόν, συμφωνούσας δὲ τοῖς Ο! Ἀλλὰ καὶ τοῦτο τὸ μηχάνημα λίαν ἄτεχνον καὶ παχυλὸν καθ' ἑαυτῆς ἐτέκτηνεν ἡ τέκταινα κριτική· εἴπερ γὰρ οἱ Ἀπόστολοι θεοπνεύστως ἐξέφερον τὰ προφητικὰ λόγια (ὁμολογεῖ δὲ καὶ αὐτή), μετέφραζον δὲ ταῦτα σύμφωνα τοῖς Ο, μὴ οὐ πρόδηλον ἐντεῦθεν, ὅτι τὸ αὐτὸ Πνεῦμα προλαβὸν ἐφώτισε καὶ τοὺς ἑρμηνεῖς ἐκείνους πρὸς τὴν αὐτὴν τῶν λέξεων ἐξήγησιν: « Πολλὰς (εἶπον ἄλλοι) καὶ πάσας σχεδὸν τὰς προφητικὰς μαρτυρίας ἐξήνεγκαν οἱ ἀπόστολοι ἐκ τῶν Ο. ἀλλ' ὅμως ἔστιν ὅπου συνεχρήσαντο, καίτοι σπανίως, καὶ τῷ ἑβραϊκῷ· μήποτε δόξωσι θεῖον κῦρος τῇ ἑρμηνείᾳ περιποιοῦντες, ἢ προτιμῶντες αὐτὴν καὶ τοῦ πρωτοτύπου » (βλ. Βάλτων. Προλεγ. θ, 38, 54). Ἀλλ' ὁσάκις τὰς ῥήσεις ἐξέφερον ἐκ τῶν Ο, μήτι ταύτας ὡς ἐξ ἀκύρου καὶ βεβήλου γραφῆς ἐξέφερον; Τί δ' οὐ μᾶλλον διὰ τούτων ἀπεδείκνυον, ὅτι τιμῶσι τὴν ἑρμηνείαν ὡς αὐθεντικὴν καὶ θείαν ἴσα καὶ τῷ πρωτοτύπῳ, καὶ μάλιστα, διότι τούτῳ σπανίως (ὡς λέγουσι) συνεχρήσαντο; Ἢ μήπως ἡ χρῆσις τῶν ὀλίγων τούτων ὧν φασὶν ἐκ τοῦ ἑβραϊκοῦ μαρτυριῶν ἀνήρει τὸ κῦρος τῶν ἄλλων τῶν τοσούτων ἐκ τῶν Ο ῥητῶν; καὶ ἔμειναν λοιπόν, ἐν οἷς ταῦτα κεῖνται χωρίοις, αἱ ἀποστολικαὶ συγγραφαὶ πάσης αὐθεντίας γεγυμνωμέναι; ὁποῖοι σοφῶν φρενῶν ῥεμβασμοί! Ἀλλ' ἡμεῖς εἴδομεν καὶ προηγουμένως (σελ. 244), ὅτι καὶ αὐτοὶ οἱ Ἀπόςολοι, καὶ πᾶσα ἡ κατ' αὐτοὺς Συναγωγὴ καὶ τῶν ἑβραϊζόντων καὶ τῶν ἑλληνιςῶν Ἰουδαίων, ὡς θείαν καὶ κυρίαν ἐτίμα τὴν ἑρμηνείαν τῶν Ο. Τελευταῖον· ὁμολογοῦσιν, ὅτι οὐ λέξεις, ἢ φράσεις ὀλίγας, ἀλλὰ πᾶσαν μονονοὺ τὴν τῶν φωνῶν καὶ φράσεων ἔμφασιν ἐκ τῆς ἑλληνικῆς τῶν

Ο ἑρμηνείας μετέφερον οἱ Ἀπόστολοι εἰς τὰς θεοπνεύστους αὐτῶν συγγραφὰς (ϐλ. ὄπισθ. σελ. 357). Ἀλλ᾽ ἔστησαν οἱ ἄνδρες μέχρι τούτου, καμόντες· ὡσανείπερ ὤφειλον μόνον φιλολογικὰς ποιεῖσθαι τὰς κρίσεις περὶ τῶν θείων Γραφῶν, λέγοντες, μικροῦ δεῖν, καὶ περὶ τῶν Ἀποστόλων, ὅτι ἄρα οὗτοι κατὰ τὸ λεκτικὸν *Ἑϐδομηκοντίζουσι!* καθὰ καὶ *Φίλων Πλατωνίζει,* καὶ *Ἡσίοδος Ὁμηρίζει.* Ὅτι δὲ τὴν ἔμφασιν τῶν κατὰ τοὺς Ο φράσεων καὶ τὴν σημασίαν τῶν φωνῶν, καὶ πᾶσαν σχεδὸν τὴν τοῦ λόγου κατασκευὴν οὐ σοφοί τινες κατὰ κόσμον ἐν βιωτικαῖς μετεφύτευσαν συγγραφαῖς, ἀλλ᾽ αὐτοὶ ἐκεῖνοι, δἰ ὧν τὸ Πνεῦμα τὸ ἅγιον ἐχάραξεν ἐν τῇ Καινῇ Διαθήκῃ μέχρις *ἑνὸς ἰῶτα καὶ κεραίας μιᾶς* τὸν αἰώνιον λόγον τῆς ἀληθείας καὶ σωτηρίας τοῦ σύμπαντος κόσμου· καὶ ὅτι διὰ τοῦτο καὶ αὐτὴ λοιπὸν ἡ πλεισταχοῦ καὶ διὰ πασῶν τῶν ἀποστολικῶν συγγραφῶν φθεγγομένη ἑρμηνεία τῶν Ο, θεία δείκνυται πάντως, καὶ φέρουσα τοῦ παναγίου Πνεύματος τὴν σφραγῖδα, τοῦτο μόνον ὤκνησαν οἱ ἄνδρες ὁμολογῆσαι, ὀῤῥωδοῦντες ἴσως, μήποτε, ταύτης τῆς ἀποδείξεως, ὡς ἀσϐέστου λαμπάδος πρὸς τῇ φίλῃ Μασόρᾳ προσενεχθείσης, ἐξελεγχθῶσι τοῦ κατεσκληκότος αὐτῆς προσώπου τὰ ῥάκη. Ὅθεν πολλοί τινες τῶν κριτικῶν, καί τοι τὴν τῆς Καινῆς Διαθήκης πρὸς τοὺς Ο συμφωνίαν φιλολογικῶς ὁμολογοῦντες, ὅμως καὶ οὕτως οὐκ ὤκλασαν λοίδορον ὀξύνοντες γλῶσσαν κατὰ τῆς ἑρμηνείας, ὡς μὴ πειθομένης τοῖς Μασορίταις! μηδὲ τοῦτο γοῦν μηδ᾽ αὐτοὶ εὐλαϐηθέντες, ὅτι ταύτης καθαπτόμενοι, συγκαθήπτοντο καὶ τῶν ἀπ᾽ αὐτῆς ἀχωρίστων καὶ παναχράντων πυξίων τῆς Καινῆς Διαθήκης. Ἀλλὰ πρὸς τοιούτους ἀϐληχροὺς καὶ *βραδυγράφους* τοῦ ψεύδους *καλάμους* περιττὸν ἂν εἴη πλείονα ἀπαντᾷν· ἀρκοῦσι δὲ πρὸς ἔλεγχον αὐτῶν, καὶ μόνον τῶν ἱερῶν παραλλήλων αἱ προκείμεναι ϛῆλαι, λαμπρὰν καὶ ἀνεξάλειπτον φέρουσαι τὴν περὶ τὴν συμφωνίαν τῶν Γραφῶν σφραγῖδα τῆς ἀληθείας, οἵαν ἐν πάσαις ταῖς θείαις θεσμοθεσίαις «*Ἕστηκεν ἔχων ὁ στερεὸς θεμέλιος τοῦ Θεοῦ*» (Β. Τιμοθ. ϐ, 19).

§. νς. Ἐνταῦθα καταπαύομεν τὸ δεύτερον τμῆμα, μάλα κα-

λὴν καὶ πρέπουσαν κατακλεῖδα τιθέντες, τοὺς παντὸς χρυσοῦ τιμιωτέρους λόγους Εἰρηναίου τοῦ θείου Πατρός. «Πέτρος καὶ Ἰωάννης καὶ Ματθαῖος καὶ Παῦλος καὶ καθεξῆς οἱ λοιποὶ τῶν Ἀποστόλων, καὶ οἱ τούτων ὀπαδοὶ, τὰ προφητικὰ πάντα οὕτως ἐξήνεγκαν, ὡς ταῦτα περιέχει ἡ ἑρμηνεία τῶν Ο πρεσβυτέρων. Ἓν γὰρ καὶ τὸ αὐτὸ Πνεῦμα τοῦ Θεοῦ διὰ μὲν τῶν προφητῶν προεκήρυξε, τίς ἔσται καὶ ὁποία ἡ ἔλευσις τοῦ Κυρίου, διὰ δὲ τῶν Ο καλῶς μεθηρμήνευσε τὰ καλῶς προφητευθέντα· τὸ δ' αὐτὸ καὶ διὰ τῶν Ἀποστόλων εὐηγγελίσατο, ὅτι ἦλθε τὸ πλήρωμα τοῦ χρόνου τοῦ τῆς υἱοθεσίας, καὶ ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ κατῴκησεν ἐν τοῖς εἰς αὐτὸν πιστεύουσιν ἀνθρώποις ὁ ἐκ τῆς Παρθένου γεννηθεὶς ΕΜΜΑΝΟΥΗΛ» (α).

ΤΜΗΜΑ Γ.

Μαρτυρίαι τῶν θείων Πατέρων, καὶ ἄλλων Ἐκκλησιαστικῶν, καὶ ἐκ τῶν νεωτέρων.

§. νζ. Ἥκομεν, τέλος, καὶ εἰς τὸ τρίτον τμῆμα τοῦ κεφαλαίου, ἐν ᾧ καταγράφομεν τὰς περὶ τοῦ κύρους τῆς ἑρμηνείας τῶν Ο γνώμας τῶν ἁγίων τῆς Ἐκκλησίας Πατέρων, Ἀνατολικῶν τε καὶ Δυτικῶν, αἷς καθυποτάττομεν καὶ τὰς ὁμοφώνους τῶν ἐφεξῆς σοφῶν ἀνδρῶν μαρτυρίας, τῶν τε ἡμετέρων καὶ τῶν θύραθεν, ἀρχόμενοι ἀπὸ τῶν εὐθὺς μετὰ τοὺς Ἀποστόλους προτελευταίων τοῦ Α, αἰῶνος ἐτῶν, καὶ χωροῦντες μέχρι καὶ τῶν χρόνων τῶν καθ' ἡμᾶς.

§. νη. Πρὸ τῶν Ἀποστολικῶν Πατέρων ἀπαντᾷ Βαρνάβας ὁ Ἀπόστολος, ὁ τοῦ Παύλου συνεργάτης, καὶ εἷς ἐκ τῶν ἑβδομήκοντα Μαθητῶν. Τούτου σῳζομένην ἔχομεν τὴν περίφημον ἐπιστολὴν, ἣν, καί τοι μὴ καταταχθεῖσαν ἐν τῷ κανόνι τῶν θείων Γραφῶν, ἀλλ' ὅμως σεβασμίαν καὶ γνησίαν παρέδωκαν οἱ ἀρχαιότατοι τῶν Πατέρων, πλὴν Εὐσεβίου, ὅστις ἐν τοῖς νόθοις (δηλαδὴ τοῖς *ἀντιλεγομένοις*) αὐτὴν ἀριθμεῖ. Οὐκ ὀλίγοι δὲ καὶ τῶν νεωτέρων

(α) Εἰρην. Γ. κε. σῴζεται μόνον λατινιστί· σελ. 256· Oxon. 1702.

κριτικῶν παντελοῦς νοθείας αὐτὴν ἐγράψαντο, παραλόγως· οἱ δὲ, διεσκευασμένην μόνον ἔκριναν· συμφωνοῦσι δὲ ὅμως σχεδόν τι πάντες, ὅτι τῶν ἀποστολικῶν χρόνων ἐστὶν ἡ συγγραφὴ (ἴσ. τῷ 75. μ. χ.) (α). Ἐν ταύτῃ τοίνυν τῇ καθολικῇ (καὶ μάλιστα πρὸς τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας) ἐπιστολῇ τοῦ Βαρνάβα, πᾶσαι, ὅσαι κατὰ πόδα καὶ ῥητὸν ἀναφέρονται προφητικαὶ ῥήσεις, ὀγδοήκοντα περίπου τὸν ἀριθμὸν, ὑπάρχουσιν ἐκ τῶν Ο, καὶ μνημονεύονται ὡς λόγια Θεοῦ μὴ μόνον κατὰ νοῦν, ἀλλὰ καὶ κατὰ λέξιν· οἷον «Οὕτω λέγει (ὁ Θεὸς)»· καὶ, «τὸ Πνεῦμα Κυρίου προφητεύει» (§. θ). Μεταξὺ δὲ τούτων τῶν μαρτυριῶν εὑρίσκονται οὐκ ὀλίγαι καὶ ἐξ ἐκείνων, ἐν αἷς διαφέρει τὸ ἑβραϊκὸν πρὸς τοὺς Ο· οἷον τὸ «Ἐπὶ καθέδρᾳ λοιμῶν» (Ψαλμ. α, 1. ὅπου τὸ ἑβρ. ἔχει *χλευαστῶν*), καὶ τὸ «*Οὐχ οὕτως* οἱ ἀσεβεῖς, *οὐχ οὕτως*» (ὅπου τὸ ἑβραϊκὸν ἅπαξ ἔχει τὸ *οὐχ οὕτως*), καὶ τὸ «*Δήσωμεν* τὸν δίκαιον, ὅτι *δύσχρηστος* ἡμῖν ἐστι» (Ἡσαϊ. γ, 11, ὅπου τὸ ἑβρ. «*εἴπατε* τῷ δικαίῳ, *ὅτι καλὸν* κτλ. βλ. ὄπισθ. σελ. 198), καὶ τὸ «Συνετέλεσεν ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ *ἕκτῃ*» (ὡς διώρθωται ὄπισθ. Βιβλ. Γ. σελ. 462, ἐξ αὐτῶν τῶν ἑπομένων τοῦ Βαρνάβα λόγων, ἀντὶ τοῦ σφαλερῶς ἐκδεδομένου, τῇ ἡμέρᾳ τῇ *ἑβδόμῃ*, ὡς ἔχει καὶ τὸ νῦν ἑβραϊκόν· ἐκ δὲ τούτου πλανηθεὶς ὁ κλεινὸς Οὐόσσιος, ὑπέλαβε τὸν Βαρνάβαν χρησάμενον καὶ τῷ ἑβραϊκῷ) (β). Ὁ δὲ σοφὸς Ὅδιος (ᾧ καὶ Λύμπερος ἐπίστευσε) (γ), καὶ λίαν ἄτοπα λέγει, διατεινόμενος, ὅτι δῆθεν ὁ

(α) Βλ. τὰ προλεγόμενα τῆς ὑπὸ τοῦ Ἑφέλου (Hefele, Patr. Apostolic. opera Tubing. 1842) νεωτάτης ἐκδόσεως τῆς τοῦ Βαρνάβα ἐπιστολῆς· ὅστις οὔτι πάντῃ πιθανῶς ἔταξεν αὐτὴν τῷ 106-120 μ. Χ). Ἐξέδωκε ταύτην καὶ Κοτελέριος (Patr. Apostol. T. 1), καὶ Λεμοῦνος (Varia Sacra, T. 1), καὶ πρὸ τούτων, Ἰσ. Οὐόσσιος κτλ.

(β) Ἔλαθε καὶ τὸν σοφὸν Ἕφελον τὸ τυπογραφικὸν τοῦτο σφάλμα τῆς τοῦ Βαρνάβα ἐπιστολῆς. Ὅθεν ἐξέδωκε καὶ αὐτὸς, ἐν τῇ ἡμέρᾳ τῇ ἑ β δ ό μ ῃ, ἀντὶ τοῦ ἕ κ τ ῃ. Ὡς ἐκ τοῦ ἑβραϊκοῦ ἐσημείωσε καὶ οὗτος, ὡς καὶ ἄλλοι, τὸ παρὰ τῷ Βαρνάβᾳ «Καὶ λίθος ἰσχυρὸς ἐτέθη εἰς συντριβὴν» (ἐκ τοῦ Ἡσαΐ. η, 14). ἀλλ' ὁ Βαρνάβας ἐξέφρασε τὸ νόημα τῆς ῥήσεως οὐκ ἐκ τοῦ ἑβραϊκοῦ, ἀλλ' ἐκ τοῦ θείου Πέτρου λαβὼν τὸ λ ί θ ο ς π ρ ο σ κ ό μ μ α τ ο ς (βλ. ὄπισθ. σελ. 271).

(γ) Lumper, Historia etc. T. I. p. 161.

Βαρνάβας ἔν τισι τόποις καταλιμπάνων τοὺς Ο, *κατέφευγεν εἰς τὸ ἑβραϊκόν*». φέρει δὲ τοῦ πράγματος διττὰς ἀποδείξεις, καὶ ἀμφοτέρας διεψευσμένας· πρῶτον· τὸ, «Ἰδοὺ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ . . . *καὶ ὃς ἐλπίσει ἐπ᾽ αὐτὸν ζήσεται εἰς τὸν αἰῶνα*» (ἀντὶ τοῦ «*καὶ ὁ πιστεύων εἰς αὐτὸν οὐ μὴ καταισχυνθῇ*, ὡς ἔχουσιν οἱ Ο, καὶ Πέτρος ὁ Ἀπόστολος). Ἀλλ᾽ ὁ μὲν Βαρνάβας τ᾽ ἄλλα πάντα γράψας ἀκριβῶς ἐκ τῶν Ο, τὸ τελευταῖον κῶλον μετέβαλε πρὸς τὸ σαφέστερον, ἀποδοὺς τὴν ἔννοιαν τοῦ ῥητοῦ. Τὸ δ᾽ ἑβραϊκὸν καθ᾽ ὅλην τὴν ῥῆσιν ὅλους πήχεις ἀπέχει τῆς παρὰ τῷ Βαρνάβᾳ φερομένης ταύτης ῥήσεως, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς παραλλήλοις (βλ. ὄπισθ. σελ. 330). Δευτέραν ἀπόδειξιν ἐπήγαγεν Ὅδιος οὐδόλως τῆς πρώτης εὐτυχεστέραν, τὸ μικρῷ πρόσθεν εἰρημένον, *τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ*. Ὅτι δὲ καὶ κατὰ τὴν χρονολογίαν ἡ τοῦ Βαρνάβα ἐπιστολὴ συμφωνεῖ τοῖς Ο, οὐχὶ δὲ τῷ ἑβραϊκῷ, καὶ τοῦτο ἔλαθε τὸν Ὅδιον· ἐσημειώθη δὲ ἐν τοῖς ἔμπροσθεν (Βιβλ. Γ. σελ. 778).

§. νθ. Κλήμης ὁ Ῥώμης, ὁ ἰσαπόστολος, καὶ τοῦ θείου Παύλου συνέκδημος καὶ συνεργὸς (τῷ 70-83 μ. χ.) μίαν οἶδε θείαν καὶ κυρίαν προφητικὴν Γραφὴν, τὴν τῶν Ο, ἐξ ἧς ἐκφέρει πάσας τὰς μαρτυρίας ἐν οἷς ἐξέδωκε βιβλίοις. Οὐδεμία δὲ φέρεται παρ᾽ αὐτῷ ῥῆσις συμφωνοῦσα τῷ νῦν ἑβραϊκῷ, διαφωνοῦσα δὲ πρὸς τοὺς Ο· τοὐναντίον δὲ, πολλαὶ τῶν, ἐν αἷς οἱ Ο διαφέρουσι πρὸς τὸ καθ᾽ ἡμᾶς ἑβραϊκόν. Βιβλία δὲ τοῦ Ἀποσολικοῦ Κλήμεντός εἰσι ταῦτα.

Α) Αἱ τῶν *Ἀποστόλων Διαταγαὶ*, ἅς αὐτὸς ἐξέδωκε μετὰ τῶν προειρημένων (σελ. 110) *Κανόνων τῶν Ἀποστολικῶν*. (Οἱ δὲ κριτικοὶ μάτην περὶ τούτων ἀμφοτέρων τῶν συγγραφῶν σκανδαλίζονται). Ἐν ταύταις τοίνυν ταῖς Ἀποστολικαῖς Διαταγαῖς ἐμπεριέχονται πολλὰ ῥητὰ τῶν Προφητῶν, τὰ πάντα κατὰ τοὺς Ο· αὐτὰ δὲ τὰ βιβλία τῆς Παλαιᾶς Γραφῆς ὀνομάζονται *φθόγγοι*, ἢ *φθέγματα Θεοῦ* (Α, ϛ). Ὅτι δὲ πρὸς τοῖς κανονικοῖς (κατὰ τὸν Ἐσδραῖον κανόνα) βιβλίοις τῆς Γραφῆς, ἐκφέρονται ῥήσεις καὶ ἐκ

τῆς Σοφίας τοῦ Σολομῶντος, καὶ τοῦ Σειρὰχ, προείρηται (σελ. 200, 206).

Β) Ἡ τῆς Ῥωμαίων Ἐκκλησίας πρὸς τοὺς Κορινθίους θαυμαστὴ ἐπιςολὴ (βλ. ὄπισθ. σελ. 129), ἣν αὐτὸς ὁ Κλήμης ἔγραψεν. Ἀναφέρει δὲ καὶ ἐν αὐτῇ πλέον, ἢ *ἑβδομήκοντα* ῥήσεις προφητικὰς, καὶ πολλάκις ὅλας περικοπὰς (ὡς, ὅλον τὸ νγ, κεφ. τοῦ Ἡσαΐου, καὶ τὸν ν, Ψαλμὸν, κτλ.), τὰς πάσας, ὡς ἀναγινώσκονται καὶ νῦν παρὰ τοῖς Ο (α). Καὶ καθόλου δὲ τὰς δύω τοῦ Θεοῦ Διαθήκας, τήν τε Παλαιὰν (κατὰ τοὺς Ο) καὶ τὴν Καινὴν, ἐπίσης *Λόγια Θεοῦ* καὶ *ῥήσεις τοῦ παναγίου Πνεύματος* ἀπαραποιήτους διαῤῥήδην ἀποκαλεῖ, λέγων· «Ἐγκύπτετε εἰς τὰς Γραφὰς, *τὰς ἀληθεῖς ῥήσεις* [τοῦ] *Πνεύματος τοῦ ἁγίου*. Ἐπίστασθε, ὅτι οὐδὲν ἄδικον οὐδὲ παραπεποιημένον γέγραπται ἐν αὐταῖς» (§. με)· καὶ πάλιν, «Ἐπίστασθε τὰς ἱερὰς Γραφὰς, ἀγαπητοὶ, καὶ ἐγκεκύφατε εἰς τὰ λόγια τοῦ Θεοῦ (§. νγ, καὶ φέρει ῥῆσιν ἐκ τοῦ Δευτερονομίου). Καὶ αὐτοὶ δὲ τότε οἱ Κορίνθιοι (ὡς καὶ πᾶσαι αἱ Ἐκκλησίαι) μίαν ἐσέβοντο ὡς γνησίαν καὶ θεόπνευστον κατά τε λέξιν καὶ κατὰ νόημα Γραφὴν, τὴν τῶν Ο, ἣν ἤκουσαν καὶ παρέλαβον μάλιστα παρὰ τοῦ τῆς Ἐκκλησίας αὐτῶν *ἀρχιτέκτονος* Παύλου. Ἄλλας τοῦ Ἀποστολικοῦ Κλήμεντος ἐκ τῶν Ο, Γραφικὰς μαρτυρίας, πρὸς ἃς πολλάκις διαφωνεῖ τὸ νῦν ἑβραϊκὸν, ἔχεις ἐν τοῖς προλαβοῦσι· μνημονεύει δὲ καὶ τῆς Ἰουδείθ (§. νε).

Γ) Ἡ πρὸς Κορινθίους Β. Ἐπιστολὴ (ἣν καὶ ὁ ΠΕ, Κανὼν τῶν Ἀποςόλων βεβαιοῖ· παραλόγως δὲ νοθίζεται παρὰ πολλοῖς). Οὐκ ὀλίγας καὶ αὕτη περιέχει θείας ῥήσεις ἐκ τῶν Ο.— Ὡσαύτως καὶ τὰ νόθα μὲν, ἀλλ᾽ ἀρχαιότατα Κλημέντια, μετὰ τῶν Ἀναγνωρισμῶν, καὶ τῶν λοιπῶν.

(α) Ἐν §. κη, μνημονεύει ῥῆσιν ἐκ τοῦ ρλη, Ψαλμοῦ (στίχ. 7—10) διαφερόντως ἔν τισιν, ἢ ὡς κεῖται παρὰ τοῖς Ο. καὶ φαίνεται μέν πως πλησιάζουσα κατά τι πρὸς τὸ ἑβραϊκὸν, ἀλλ᾽ ὅμως ὑπάρχει μᾶλλον ἐξ ἐκείνων, ὅσας καὶ Βαρνάβας, καὶ Κλήμης αὐτὸς, καὶ Ἰουστῖνος, καὶ ἄλλοι Πατέρες ἐξέφερον ἀπὸ μνήμης (βλ. Hefele σημ. αὐτ.).

§. ξ. Ὁ θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ Παύλου τοῦ οὐρανοβάμονος θεοφάντωρ μαθητὴς (τῷ 50—100 μ. Χ.) ἐν ταῖς κοσμούσαις τὴν Ἐκκλησίαν γνησιωτάταις (καὶ ἀκόντων τῶν κριτικῶν), καὶ μυσταγωγικαῖς αὐτοῦ συγγραφαῖς, *θεῖα καὶ θεοπαράδοτα λόγια*, καὶ *ῥήσεις τοῦ Πνεύματος* ὀνομάζει καὶ οὗτος τὰς κατὰ τοὺς Ο, Γραφὰς (αἷς ἐχρῆτο πάντως καὶ αὐτὸς, ὡς ὁ διδάσκαλος αὐτοῦ Παῦλος)· καὶ τὰ ἱερὰ τεύχη συνεπτυγμένως ἀριθμεῖ· καὶ ἐκ τῆς τοῦ Σολομῶντος Σοφίας ῥῆσιν ἐξήνεγκε (ϐλ. ὄπισθ. σελ. 113).

§. ξα. Ἰγνάτιος ὁ θεοφόρος καὶ ἰσαπόστολος (τῷ 100—120 μ. Χ.) ἐν πάσαις αὐτοῦ ταῖς ἐπιστολαῖς, εἴπου μέμνηται ῥήσεων προφητικῶν, ἐκφέρει ταύτας ἐκ τῶν Ο (ὡς, πρὸς Ἐφεσ. §. ε, §. ιζ. Μαγνησ. §. ιϐ. Ἀντιοχ. §. γ: Πολύκαρ. §. γ). Ἐν δὲ τῇ πρὸς Φιλαδελφεῖς ἐπιστολῇ τό, τε θεόπνευστον τῶν Προφητῶν ἀνακηρύττει (§. ε), γράφει δὲ καὶ ταῦτα· «Ἐπεὶ ἤκουσα τινῶν λεγόντων, ὅτι, ἐὰν μὴ ἐν τοῖς ἀρχείοις εὕρω, ἐν τῷ Εὐαγγελίῳ οὐ πιστεύω· καὶ λέγοντός μου αὐτοῖς, ὅτι γέγραπται, ἀπεκρίθησάν μοι, ὅτι πρόκειται. Ἐμοὶ δὲ ἀρχεῖά ἐστιν Ἰησοῦς Χριστὸς, τὰ ἄθικτα ἀρχεῖα, ὁ σταυρὸς αὐτοῦ καὶ ὁ θάνατος, καὶ ἡ ἀνάστασις αὐτοῦ, καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ» κτλ. (§. η). Ἐν τούτοις τοίνυν ὁ μὲν Οὐόσσιος τὸ *ἀρχείοις* ὀρθῶς ἐξέλαβεν ἐπὶ τῶν ἀρχαίων βιϐλίων, τῆς Παλαιᾶς δηλονότι Γραφῆς· τὸ δὲ *πρόκειται*, ἀντιδιεσταλμένως πρὸς τὸ *κεῖται* (τουτ. γέγραπται)· ἵνα ᾖ ὁ νοῦς, ὅτι τὰ περὶ Χριστοῦ ἐν μὲν τῷ κειμένῳ τῷ ἑϐραϊκῷ οὐ κεῖται, *πρόκειται* δὲ, ἢ *παράκειται*, προστεθειμένα δηλονότι ἐν τῇ τῶν Ο, μεταφράσει (ταῦτα δ᾽ ὑποτίθησιν Ἰουδαῖόν τινα λέγοντα, βουλόμενος ἐκ τούτων δεῖξαι τοὺς Ἰουδαίους ἐπιϐαλομένους διαφθείρειν τὸ κείμενον τὸ ἑϐραϊκὸν ἐν τῷ μεταξὺ τῶν Ἰωσήπου καὶ τῶν Ἰγνατίου χρόνων)· ἀλλ᾽ αὕτη ἡ τοῦ *πρόκειται* ἐκδοχὴ βεϐιασμένη δοκεῖ (α). Ὁ δὲ Σιμώνιος ἀντεῖπεν ἔτι ἀπιθανώτερα, καὶ Ὄδιος πάλιν ὡσαύτως· Εὐλογώτερα φαίνονται λέγοντες, ὅσοι τῶν νεωτέρων τὸ μὲν *ἀρχεῖα* ἐξέλαϐον καὶ αὐτοὶ ἐπὶ

(α) Voss. de oracul. Sibyllin. καὶ Respons. ad iterat. Simonij Objection.

τῆς Παλαιᾶς Γραφῆς, τὸ δὲ *πρόκειται* ἀντὶ τοῦ *ζητεῖται*, προτίθεται πρὸς ἀπόδειξιν (α) (αὐτὸ δηλαδὴ τὸ πληρέστερον, *πρόκειται δεῖξαι)*. Καὶ ταῦτα μὲν οὕτως. Ἐκ δὲ τούτων ἄλλο τι θεωροῦμεν ἡμεῖς, ὅ καὶ *πρόκειται δῆλον*· ὅτι κἀκεῖνοι οἱ τὰς περὶ Χριστοῦ δείξεις ζητοῦντες παρὰ τοῦ Ἰγνατίου ἐκ τῆς Παλαιᾶς Γραφῆς (κατὰ τὴν ἑρμηνείαν δηλονότι τῶν Ο, ᾗ περ ἐχρῆτο ὁ Πατὴρ), πάντως ἐζήτουν αὐτὰς, ὡς ἀπὸ Γραφῆς κυρίας καὶ γνησίας πεπιστευμένης, καὶ κοινῶς παραδεδεγμένης.

§. ξϐ. Περὶ τὰ τέλη τοῦ α, ἢ καὶ τοῦ β, αἰῶνος τὰς ἀρχὰς τίθεται καὶ ἡ λατινὶς ἀρχαία μετάφρασις τῶν Γραφῶν (ἡ Ἰτάλα) ἐκ τῆς μόνης τῇ Ἐκκλησίᾳ γνωστῆς καὶ θείας πρεσβευομένης ἑρμηνείας τῶν Ο μεταγλωττισθεῖσα· προείπομεν δὲ, καὶ πάλιν ἐροῦμεν καὶ περὶ ταύτης, καὶ περὶ τῆς Συριακῆς.

§. ξγ. Πολύκαρπος ὁ Σμύρνης ἐπίσκοπος ὑπὸ τῶν Ἀποστόλων καταστὰς, Ἰγνατίου σύγχρονος (τῷ 108 μ. Χ.), καὶ τοῦ θεολόγου Ἰωάννου μαθητὴς, ἐν τῇ καὶ εἰς ἡμᾶς ἀποσωθείσῃ πρὸς Φιλιππησίους παγκάλῃ αὐτοῦ ἐπιστολῇ μεταξὺ τῶν Εὐαγγελικῶν καὶ Ἀποστολικῶν ῥήσεων μνημονεύει (§. ιβ), ὡς ἰσοδύναμον παράγγελμα, καὶ τὸ «*Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε*» (ἐκ τῶν Ο, Ψαλ. δ) (ϐ)· νουθετεῖ δὲ καὶ «*δουλεύειν τῷ Κυρίῳ μετὰ φόβου*» (Ψαλμ. β), «καθὼς (φησιν) αὐτὸς ὁ Κύριος ἐνετείλατο, καὶ οἱ Ἀπόστολοι, καὶ οἱ Προφῆται» (§. ϛ). Καὶ ἐκ τοῦ Τωβὶτ ἔχει ῥητὸν (§ θ. βλ. ὄπισθ. σελ. 190). Ἐν δὲ τῇ ἁγιωτάτῃ αὐτοῦ προσευχῇ (Εὐσεϐ. Ἐκ. ἱστ. Δ, ιε), ἣν ὡς ἀληθὴς ἢ φοῖνιξ, ἢ κύκνος ᾖσε πρὸ τῆς καυστειρᾶς, εἰς ἣν ἠπείγετο, πυρᾶς, «Ὁ Θεὸς (ἔλεγε) *τῶν δικαίων, οἳ ζῶσιν ἐνώπιόν σου*» (ἐκ τοῦ Σοφ. Σολ. ε, 15).

§. ξδ. Καὶ ἡ τοῦ *Ἑρμᾶ*, τοῦ καὶ *Ποιμένος* βίϐλος, *Ποιμὴν* καὶ αὐτὴ ἐπιγεγραμμένη, καὶ παρὰ τοῖς παλαιοῖς Πατράσι μάλιστα

(α) Proponitur demonstrandum.- C' est cela qui est en question. βλ. Hefele l. c. p. 100.

(ϐ) Πρὸς τῷ τέλει τῆς ἐπιστολῆς· λατινιστὶ μόνον ἐξ ἀρχαίας μεταφράσεως διεσώθη (Cotel. P. Apostol. T. 2. p. 189).

τιμωμένη (τίθεται δὲ περὶ τὸ 130 μ. Χ.), ἐν τοῖς εἰς ἡμᾶς ἀποσωθεῖσιν ὀλίγοις ἀποσπάσμασι (τὸ δὲ πλεῖστον εὑρίσκεται μόνον ἐν τῇ παλαιᾷ λατινικῇ μεταφράσει), σῴζει ῥῆσιν ἐκ τῶν Ο (Ἐκκλησ. ιϐ, 13)· καὶ φράσεις δὲ περιέχει τῶν Ο· ὡς τὸ «Εἷς ἐστι Θεός, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας»· καί, «Ὁ Θεὸς κατοικεῖ ἐν ἡμῖν». καί, Μὴ λύπει τὸ Πνεῦμα τὸ ἅγιον» καί, «Ἐκ τοῦ στόματος ἀλήθειαν ἐκπορεύεσθαι», καὶ ἄλλας ἱκανάς. (βλ. σελ. 86, 98 κτλ. ἐκδ. Κοτελ.)·

§. ξε. Ἰουστῖνος, ὁ κατ᾽ ἐξοχὴν μάρτυς καὶ φιλόσοφος (τῷ 140 μ. χ.), θείῳ Πνεύματι τοὺς Ο περὶ τὴν ἑρμηνείαν καταυγασθέντας ἐφρόνει μετὰ πάσης τῆς Ἀποστολικῆς Ἐκκλησίας, καθὰ προείπομεν (Βιϐλ. Β. σελ. 367). Ἐρεῖ δὲ καὶ αὐτὸς ἡμῖν ἐν αἷς καταχωρίσομεν ἐν τῷ παραρτήματι περικοπαῖς τῶν ἰδίων αὐτοῦ λόγων. Καὶ πάσας δὲ τὰς πολυπληθεστάτας ῥήσεις καὶ περικοπὰς τῶν προφητῶν ἐξέφερεν ἐκ τῶν Ο, ὡς τοῦ θείου Πνεύματος φωνάς, ἔν τε τοῖς ἄλλοις αὐτοῦ βιϐλίοις, κἀν τῷ πρὸς τὸν Ἰουδαῖον Τρύφωνα διαλόγῳ, μηδ᾽ αὐτὸν ἀντιλέγοντα πρὸς τὸ τῶν Ο κῦρος; εἰ μὴ περί τινας ὑπὸ τῶν τότε ῥαϐϐίνων διαστρεϐλουμένας λέξεις (ὡς περὶ τοῦ «ἰδοὺ ἡ *Παρθένος*». βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 80). Ὁ δὲ Ὅδιος καὶ λίαν ἀστεῖός τις εἶναι δοκεῖ, σημειῶν τοὺς ἐφεξῆς τοῦ Μάρτυρος πρὸς τὸν Τρύφωνα λόγους (§. 131)· «Ἐπήνεγκα λέγων, ὅτι οἱ Ο ἐξηγήσαντο, ὅτι «Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ». Ἀλλ᾽ ἐπεὶ καὶ ἐκ τούτου πάλιν οὐδέν μοι ἐλαττοῦται ὁ λόγος, τὴν ὑμετέραν ἐξήγησιν εἶπον» (τὴν, «κατὰ ἀριθμὸν υἱῶν Ἰσραήλ»). Ὡσανεὶ ταῦτα λέγων ὁ Μάρτυς, ἀπεδέχετο τὴν κατὰ τοὺς Ἰουδαίους ἐξήγησιν μᾶλλον, ἢ τὴν τῶν Ο. Ἀλλ᾽ ὁ μὲν θεσπέσιος Ἰουστῖνος, οὔτε προὐτίμησεν (ἄπαγε!) τὴν κατὰ τοὺς Ἰουδαίους ἐξήγησιν, ὡς ἀληθεστέραν, καὶ ταύτης ἐμνημόνευσεν ἁπλῶς, ἵνα καὶ ἐξ αὐτῆς ἐξελέγξῃ τοὺς Ἰουδαίους· ὁ δὲ κλεινὸς Ὅδιος μάτην ζητεῖ καὶ σμικράς τινας ἀφορμάς, εἴπου ἐφεύροι, πρὸς τὸ κινεῖν ὑπονοίας κατὰ τοῦ κύρους τῆς ἑρμηνείας· καὶ εὔρηκεν ὁ ἄνθρωπος πρὸς ἐπιτυχίαν τοῦ σκοποῦ κατάλληλον τὸν τό-

πον, καὶ δεξιὸν τὸν σύμμαχον, τὸν *Ἰουστῖνον!* Προβάλλει καὶ τινας ἀναγνώσεις τῶν παρὰ τῷ Μάρτυρι ῥητῶν, διαφερούσας ἐν μέρει πρὸς τὰς τῶν Ο (ἀντέγραψε δὲ ταύτας ἐκ τοῦ προμνημονευθέντος *Δατριβιδίου*. βλ. ὄπισθ. σελ. 251). Συνεπάγεται καὶ μάρτυρα τὸν Σιμώνιον, ὅτι συχνάκις ὁ Ἰουστῖνος ἐκφέρει τὰς ῥήσεις ἀναμίκτους ἔκ τε τῶν Ο, καὶ τῆς ἑρμηνείας τοῦ Ἀκύλα! Ἀλλὰ καὶ τοῦτ' αὐτῷ τὸ *βέλος ἅλιον ἔκφυγε χειρός*. Πολλάκις οἱ θεῖοι Πατέρες ἔγραφον τὰς ῥήσεις ἀπὸ μνήμης, ὡς προείπομεν. Ἄδηλον δὲ καὶ εἴπερ Ἰουστῖνος ἀνέγνω τὴν Ἀκύλα ἑρμηνείαν· (οὐδαμοῦ γὰρ αὐτὸν μνημονεύει· τὴν δὲ τοῦ, *ἰδοὺ ἡ παρθένος*, εἰς τὸ, ἰδοὺ *ἡ νεᾶνις* παρερμηνείαν εἰς τοὺς τότε διδασκάλους, ἤτοι τοὺς ῥαββίνους τῶν Ἰουδαίων ἀναφέρει). Εἰ δὲ καὶ τὸν Ἀκύλαν ἀνέγνω, τίς ποτ' ἂν ὀρθὰ φρονῶν πιστεύσειεν, ὅτι ὁ Μάρτυς Ἰουστῖνος προέκρινεν (ἔστω καὶ σπανίως) παρὰ τοὺς Ο, τὴν ἐπίβουλον ἑρμηνείαν τοῦ μισοχρίστου Ἀκύλα; Ἔπειτα, καὶ ἐξ αὐτῶν τῶν φερομένων παρ' Ἰουστίνῳ παραλλαγῶν ὀλιγώταται φέρουσι λέξεις τινὰς, ἐκ τῆς Ἀκύλα ἑρμηνείας δοκούσας. Καὶ ταύτας ἔγραψε πάντως οὐκ Ἰουστῖνος αὐτὸς, ἀλλὰ μᾶλλον παλαιοί τινες ἀντιγραφεῖς, παρεκτραπέντες ἔκ τινων παρασημειώσεων, κειμένων ἐν τῷ περισελίδῳ τῶν τοῦ Μάρτυρος ἀντιγράφων (Τοιαῦτα δὲ συνέβησαν καὶ ἐν ἄλλοις τῶν Πατέρων συγγράμμασιν, ὡς πρόδηλον τοῖς φιλολογοῦσι). Καὶ δικαίως λοιπὸν Οὐόσσιος πρὸς τὸν Σιμώνιον ἀπαντῶν, ἔλεγε. «Μίαν γοῦν ἐξ ἁπασῶν τῶν Ἰουστίνου συγγραφῶν παραγαγέτω ῥῆσιν, ἐν ᾗ διενόθευσεν ὁ Μάρτυς τὴν ἑρμηνείαν τῶν Ο, συμφύρας τῇ τοῦ Ἀκύλα, καὶ τότε μοι *ἀνὴρ* ἀναγεγράψεται ὁ Σιμώνιος». Ὁ δὲ σοφὸς Ὅδιος καὶ ἄλλο τι μέγα προβάλλει κατὰ τοῦ Ἰουστίνου, ὅτι ἄρα τῆς ἑβραΐδος γλώσσης ἦν ἀμαθὴς, ὡς φαίνεταί (φησιν) ἐν οἷς ἐξηγεῖ τὸ *Ἰσραὴλ*, «ἄνθρωπος νικῶν δύναμιν· τὸ γὰρ *ἰσρα* ἄνθρωπός ἐστι· τὸ δὲ *ηλ*, δύναμις» (πρὸς Τρύφων. §. 125). Ἀλλ' ὤφειλεν ὁ κριτικὸς τελειότερον ἀναγνῶναι τὴν συγκεκομμένην τοῦ Μάρτυρος ῥῆσιν, ἐκ τοῦ Δρουσίου μαθὼν, ὅτι ὁ Ἰουστῖνος ἔγραψεν (ὅπερ καὶ αὐτὴ ἡ σύμφρασις τοῦ λόγου διακηρύττει) «Τὸ γὰρ

ἰσρα ἄνθρωπός ἐστι *νικῶν*, τὸ δὲ *ηλ* δύναμις», καὶ γράφει δὲ ὁ Δρούσιος τὰς ἑβραϊκὰς φωνάς, ἐξ ὧν ὁ Ἰουστῖνος ἠτυμολόγει τὸ ὄνομα (α). Ὁ δὲ κλεινὸς Ἀρχιδιάκονος, ἐπιλαθόμενος καὶ αὐτῆς τῆς ἑαυτοῦ ἐπιεικείας, μεθ' ἧς ἀπελογεῖτο ὑπὲρ τοῦ Ἀλεξανδρέως Φίλωνος (βλ. ὄπισθ. σελ. 223), κατήνεγκε τὸν ψόγον τὸν αὐτὸν κατὰ τοῦ Σαμαρείτου τὴν πατρίδα καὶ τοῖς Ἰουδαίοις γνωριμωτάτου, τὸ δὲ γένος Ἕλληνος, παιδείᾳ τε καὶ φιλοσοφίᾳ πρῶτα μὲν τῇ θύραθεν, εἶτα δὲ καὶ τῇ καθ' ἡμᾶς ἀφωσιωμένου Μάρτυρος (β), ὡς ἂν εἴπερ μέγας τις (οὐχ ὁρᾷς;) ἐκ τούτου προσετρίβετο μῶμος τῷ Ἰουστίνῳ! Ἀλλ' ἐκεῖνος μὲν ὁ ἐν φιλοσόφου σχήματι λάτρις καὶ μάρτυς τοῦ θείου λόγου, ἔγγιστα τοῖς Ἀποστόλοις γενόμενος, καὶ ἐκ τῆς πληρεστάτης τῶν κατὰ τοὺς Ο προφητῶν πρὸς τὸ θεῖον Εὐαγγέλιον συμφωνίας τὴν διάνοιαν ἐλλαμφθείς, καὶ χωρὶς (ὡς θέλει Ὅδιος) τῆς γλώσσης τῆς ἑβραϊκῆς ἴσχυε μὲν καὶ τότε καὶ αὐτοὺς τοὺς σοφωτάτους τῶν Ἰουδαίων (οἷος ἦν ὁ Τρύφων) ἐπιστομίζειν, ἰσχύει δὲ καὶ νῦν, καὶ εἰς τὸν πάντα χρόνον, ἐξελέγχειν τὸν τύφον τῶν κατὰ τῆς θείας ἑρμηνείας τῶν Ο φριμασσόντων ἑβραϊστῶν. Ὅδιος δ' ἐν τούτοις καὶ ὑπὲρ Ἰουδαίων ἀπολογεῖται, ψέγων τὸν Μορῖνον, ὅτι κακῶς ἐξέλαβε τοὺς Ἰουστίνου λόγους, ἀποδεικνὺς ἐξ αὐτῶν τοὺς Ἰουδαίους διαφθείραντας τὰς ἑβραϊκὰς Γραφάς (γ)· ὁ γὰρ θεσπέσιος Ἰουστῖνος οὐκ αὐτὰς τὰς ἑβραϊκάς, ἀλλὰ τὴν ἑρμηνείαν τῶν Ο λυμηναμένους τοὺς Ἰουδαίους φησί. Καὶ μάτην μὲν ἐπὶ τούτοις Ὅδιος ἀγάλλεται (ὡσανεὶ πάσας τὰς ἐν τῇ Ἐκκλησίᾳ Γραφὰς ἴσχυον οἱ Ἰουδαῖοι περικόψαι καὶ διαφθεῖραι)· λέγει δὲ ὅμως ἀλήθειαν. Ἰδοὺ οἱ λόγοι τοῦ Μάρτυρος, καὶ τὰ χωρία, περὶ ὧν τοὺς Ἰουδαίους ἐλέγχει.

«Πολλὰς Γραφὰς (οἱ διδάσκαλοι ὑμῶν) τέλεον περιεῖλον ἀπὸ

(α) Isch Schera El. βλ. Drusij Comm. posth. ab voces N. Test. p. 190.

(β) Ὅθεν καὶ ὁ Κάβης ὀρθῶς ἐπιπλήττει τοῖς ἀμαθῆ τῆς ἑβραϊκῆς εἰποῦσι τὸν Ἰουστῖνον (Cave, Scr. Eccl. Hist. p. 27).

(γ) Βλ. Morin. Exercit. Bibl. L. I. Exerc. 1. c. 3. πρβλ. Vossij de LXX. p. 17. seqq.

τῶν ἐξηγήσεων τῶν παρὰ Πτολεμαίῳ γεγενημένων πρεσβυτέρων». Καὶ ἐφεξῆς ἀπαριθμεῖ· α) ἐκ τοῦ Ἔσδρα ἐξέκοψαν τὰ ἑξῆς· «Καὶ εἶπεν Ἔσδρας τῷ λαῷ· τοῦτο τὸ πάσχα, ὁ Σωτὴρ ἡμῶν, καὶ ἡ καταφυγὴ ἡμῶν· καὶ ἐὰν διανοηθῆτε, καὶ ἀναβῇ ὑμῶν ἐπὶ τὴν καρδίαν, ὅτι μέλλομεν αὐτὸν ταπεινοῦν ἐν σημείῳ, καὶ μετὰ ταῦτα ἐλπίσωμεν ἐπ' αὐτὸν, οὐ μὴ ἐρημωθῇ ὁ τόπος οὗτος εἰς τὸν ἅπαντα χρόνον, λέγει ὁ Θεὸς τῶν δυνάμεων. Ἐὰν δὲ μὴ πιστεύσητε αὐτῷ, μηδὲ εἰσακούσητε τοῦ κηρύγματος αὐτοῦ, ἔσεσθε ἐπίχαρμα τοῖς ἔθνεσι». β) Ἐκ τοῦ Ἱερεμίου τὸ ἑξῆς· «Ἐγὼ ὡς ἀρνίον ἄκακον φερόμενον τοῦ θύεσθαι» (κτλ. ἕως τοῦ «οὐ μὴ μνησθῇ ἔτι»· Ἱερεμ. ια, 19).» αὕτη, φησὶν ἡ περικοπή ἐστιν ἐγγεγραμμένη ἔν τισιν ἀπογράφοις τῶν ἐν Συναγωγαῖς Ἰουδαίων. πρὸ γὰρ ὀλίγου χρόνου ταῦτα ἐξέκοψαν»· γ) Ἐκ τοῦ αὐτοῦ Ἱερεμίου ταῦτα. «Ἐμνήσθη δὲ Κύριος ὁ Θεὸς ἀπὸ Ἰσραὴλ τῶν νεκρῶν αὐτοῦ τῶν κεκοιμημένων εἰς γῆν χώματος, καὶ κατέβη πρὸς αὐτοὺς εὐαγελίσασθαι τὸ σωτήριον αὐτοῦ». δ) «Ἀπὸ τοῦ ϟε, Ψαλμοῦ τοῦ Δαβὶδ ἀφείλοντο τὸ «*ἀπὸ τοῦ ξύλου*». εἰρημένον γὰρ, «*Εἴπατε ἐν τοῖς ἔθνεσιν· ὁ Κύριος ἐβασίλευσεν ἀπὸ τοῦ ξύλου*», ἀφῆκαν· «*Εἴπατε ἐν τοῖς ἔθνεσιν· ὁ Κύριος ἐβασίλευσε*» (π. Τρύφων. §. 71,72,73). Ταῦτα ὁ πανεύφημος Μάρτυς. Ἀλλ' ἐκ τούτων τῶν ῥητῶν μόνον τὸ β, τοῦ Ἱερεμίου («*Ἐγὼ δὲ ὡς ἀρνίον*» κτλ.) σώζεται καὶ ἐν τοῖς καθ' ἡμᾶς κώδηξι τῶν Ο, καὶ τοῦτο μάλιστα ἐξέκοπτεν ἡ Ἰουδαϊκὴ κακουργία ἐκ τῶν ἀπογράφων τῶν ἐν ταῖς Συναγωγαῖς τῶν ἑλληνιστῶν, καί τοι μὴ δυνηθεῖσα περιελεῖν ἐξ ἁπάντων, ὡς ὁ Ἰουστῖνος διαῤῥήδην ἀποφαίνεται. (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 877). Τὰ δὲ λοιπὰ τρία χωρία ἐν οὐδενὶ τῶν ἀρχαίων ἀντιγράφων τῶν Ο κεῖνται, οὔτε ἐν ταῖς ἐπισήμοις ἐκδόσεσιν αὐτῶν, οὔτε ἐν τοῖς παρὰ τοῖς θείοις Πατράσι τετηρημένοις κειμένοις τῆς Γραφῆς (οἷον Θεοδωρήτῳ, Χρυσοστόμῳ, Κυρίλλῳ Ἀλεξανδρ. Εὐσεβίῳ κτλ.). Ἀλλ' οὐδὲ τῶν ἄλλων τῶν Ἀνατολικῶν Πατέρων οὐδεὶς ἐν τοῖς αὐτοῦ συγγράμμασι τούτων τῶν ῥήσεων ἐπεμνήσθη (πλὴν μιᾶς, εἷς καὶ μόνος, ὁ Εἰρηναῖος, ὡς ἐροῦμεν εὐθύς), οὐδ' Ὠριγένης αὐτὰς ἐσημείωσεν, οὐδ'

αὐτὸς Ἱερώνυμος ἐν τῇ Βουλγάτᾳ, οὐδ᾽ ὁ Σύρος ὁ ἀρχαῖος. Ἔπειτα καὶ ἄλλως, πως ἂν ἴσχυσεν ἡ ῥᾳδιουργία τῶν Ἰουδαίων εἰσδῦναι εἰς πάντα τὰ τῶν Ο ἑλληνικὰ χειρόγραφα, τὰ τηρούμενα πολλαχοῦ τῆς Οἰκουμένης ἔν τε ταῖς Ἐκκλησίαις καὶ παρὰ τοῖς ἑκασαχοῦ χριστιανοῖς; Καὶ φαίνεται λοιπὸν, ὅτι κατὰ τοὺς Ἰουστίνου χρόνους χειρόγραφά τινα περιεῖχον πάντως ἃς ὁ Μάρτυς ἐμνημόνευσε ῥήσεις, ἀλλ᾽ οὔτ᾽ ἐν τῷ ἑβραϊκῷ πρωτοτύπῳ κειμένας, οὔθ᾽ ὑπ᾽ αὐτῶν τῶν Ο μεθηρμηνευμένας. Ὕστερον δὲ (καὶ ἴσως περὶ τὰ τέλη τοῦ α, αἰῶνος μ. Χ.) τῶν τινες Ἑλληνιστῶν Ἰουδαίων, τῶν εἰς Χριστὸν πεπεστευκότων, ἔγραφον τοιαύτας γνώμας ἐν τῷ περισελίδῳ τῶν παρ᾽ αὐτοῖς ἀντιγράφων, συνάπτοντες ἐκ διαφόρων χωρίων τῆς Γραφῆς, ἢ καὶ ἔκ τινων παρ᾽ Ἰουδαίοις Ἀποκρύφων λαμβάνοντες (α) πρὸς ἐξήγησιν τοῦ κειμένου, ἢ καὶ πρὸς εὐσεβεστέραν αὐτῶν μελέτην, πολλαχῶς ἀσκοῦντες τὸν λόγον πρὸς τοὺς ἀντιλέγοντας τῇ ἀληθείᾳ σκληροτραχήλους αὐτῶν ὁμογενεῖς. Ταῦτα δὲ μετ᾽ οὐ πολὺ προσετέθησαν ὑπό τινων ἀκρίτων ἀντιγραφέων καὶ εἰς τὸ κείμενον τινῶν κωδήκων τῆς Γραφῆς, παρὰ τοῖς ἐκ περιτομῆς μάλιστα χριστιανοῖς ἀναγινωσκομένων. Ὅτι δὲ αἱ παρενθῆκαι αὗται ἦσαν παλαιαὶ, μαρτυρεῖ Λακτάντιος, ἐκφέρων τὰ τοῦ Ἔσδρα λατινιστὶ μεθηρμηνευμένα (β). Τὸ δὲ δεύτερον ῥητὸν τοῦ Ἱερεμίου («Ἐμνήσθη δὲ *Κύριος*» κτλ.) μνημονεύει καὶ ὁ θεῖος Εἰρηναῖος (ἴσως Ἰουστίνῳ παρακολουθῶν) (γ). Τὸ δὲ, τέλος, ἀπὸ

(α) Τοιαῦτα ἐξ ἰουδαϊκῶν ἀρχαίων Ἀποκρύφων ἀναγινώσκομεν καὶ παρ᾽ ἄλλοις ἀρχαίοις, καὶ ἐν τῇ τοῦ Βαρνάβα ἐπιστολῇ, οἷον (§. ιβ) «Ὁμοίως πάλιν περὶ τοῦ σταυροῦ ἐν ἄλλῳ προφήτῃ λέγει - ὅταν ξύλον κλιθῇ καὶ ἀνασῇ, καὶ ὅταν ἐκ ξύλου αἷμα στάξῃ» κτλ. παρόμοια κεῖνται καὶ ἐν τῷ Δ. Ἔσδρᾳ (βλ. Coteler. ubi s. p. 38).

(β) Lactant. Institut. L. IV. c. 18. Καὶ ἐκ τῶν νεωτέρων δέ τινες ὡς γνήσιον θεωροῦσι τὸ τοῦ Ἔσδρα χωρίον· καὶ πρὸς τοῦτο, λέγουσι, ἀποβλέπει τὸ τοῦ Ἀποστόλου (Α. Κορ. ε, 7) «τὸ πάσχα ὑπὲρ ὑμῶν ἐτύθη Χρισὸς» (Βλ. Colomes. Observ. sacr. p. 149. πρβλ. καὶ Cudworth de vera notion. Cœn. Domin. c. 2. p. 16).

(γ) Εἰρην. Βιβλ. Γ. κεφ. κγ. σελ. 252 (ὡς ἐκ τοῦ Ἡσαΐου, ἴσως δι᾽ ἀντιγραφικὴν παραδρομὴν), καὶ πάλιν Βιβλ. Δ. 39, ῥητῶς ἐκ τοῦ Ἱερεμίου.

τοῦ *ξύλου* καὶ ἔν τισιν ἀρχαιοτάτοις λατινικοῖς ἀντιγράφοις τοῦ Ψαλτηρίου κεῖται, καὶ ἐν τοῖς Κοπτικοῖς, καὶ παρὰ τοῖς ἐπισήμοις δὲ τῶν ἀρχαίων Δυτικῶν Πατέρων μνημονεύεται (α). Ἀπὸ τοιούτων λοιπὸν κωδήκων, ἐν οἷς ἦσαν αἱ προσθῆκαι, συνῆγεν ὁ Μάρτυς, ὅτι ἐξέκοψαν οἱ Ἰουδαῖοι τὰ χωρία ἐκ τῶν παρ' αὐτοῖς ἀπογράφων τῆς ἑρμηνείας τῶν Ο. Καὶ ταῦτα μὲν ταύτῃ. Ὅτι δὲ ὅμως οἱ Ἰουδαῖοι καὶ ἐξ αὐτῶν τῶν παρ' αὐτοῖς ἑβραϊκῶν Γραφῶν τὰ μὲν ἐξέκοψαν, τὰ δὲ παγκάκως ἠλλοίωσαν, μαρτυρεῖ μὲν Ὠριγένης, βοᾷ δὲ καὶ ἡ Σωσάννα ὅλη, καὶ τ' ἄλλα πάντα, καὶ ἡ χρονολογία. Ὁμολογοῦσι δὲ καὶ τῶν νεωτέρων ἄνδρες ἐπισημότατοι. Ὁ δὲ Ὅδιος τὰς ὑπὲρ τῶν Ἰουδαίων ἀπολογίας ἐξέχεεν εἰς ἀέλλας ἀνέμων, καὶ πρὸς *κῦμα κωφόν*· (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 954 κτξ).

§. ξϛ. Μελίτων ὁ Σάρδεων ἐπίσκοπος (τῷ 170), περὶ οὗ προείται (σελ. 106, 149), ἐξέδωκε τὸν Κατάλογον τῶν ὁμολογουμένων θείων Γραφῶν τῆς Παλαιᾶς Διαθήκης, κατὰ τὴν ἑρμηνείαν πάντως τῶν Ο, καθ' οὓς γράφει καὶ τὰς ἐπιγραφὰς τῶν ἱερῶν τευχῶν (Εὐσέβ. Ἐκκλ. ἱστορ. Δ, κϛ: Ε, κη).

§. ξζ. Εἰρηναίου δὲ τοῦ θεσπεσίου πατρὸς (ἐγεννήθη περὶ τὸ 126: ἐτελεύτα δὲ μαρτυρικῶς τῷ 203) τὰς ὑπὲρ τῶν Ο λαμπροτάτας μαρτυρίας « *πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον θάσομαι*»· Οὗτος ὁ τοῦ Πολυκάρπου, μαθητοῦ τοῦ Θεολόγου Ἰωάννου, μαθητής, καὶ

(α) Ἀναφέρουσι τὸ ἀπὸ τοῦ ξύλου, Τερτυλλιανὸς, Αὐγουστῖνος, Κασσιόδωρος, Λέων ὁ Μάγνος, καὶ ἄλλοι, καὶ Φορτουνάτος (τοῦ ϛ, αἰῶνος Λατῖνος ποιητὴς) ἐν ὕμνῳ λέγων **Regnavit à ligno Deus** (βλ. **Plueschke, De Psalterij Syriaci mediolanensis, - peculiari indole, etc. p. 62 seqq. Bon. 1835**). Φαίνεται δὲ τοῦτο τὸ γλώσσημα, τὸ ἀπὸ τοῦ ξύλου, παρεισφρῆσαν εἰς τὸ κείμενον τοῦ Ψαλμοῦ τὸ πρῶτον ἔκ τινος φράσεως τῆς τοῦ Βαρνάβα ἐπιστολῆς· «ἡ βασιλεία τοῦ Ἰησοῦ ἐπὶ τῷ ξύλῳ (§. η. ἔκδ. **Coteler.**). Σημειωτέον δὲ καὶ ὅτι παρ' αὐτῷ τῷ Ἰουστίνῳ, εὐθὺς μετὰ τὸν εἰς τοὺς Ἰουδαίους ἔλεγχον ἕνεκα τῆς «ἀπὸ τοῦ ξύλου» ἐκκοπῆς (§. 73), γέγραπται ὅλος ὁ ϟε Ψαλμὸς, καὶ ἡ ῥῆσις αὐτὴ χωρὶς τοῦ «ἀπὸ τοῦ ξύλου» (Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε· καὶ γὰρ κατώρθωσε, κτλ. ὡς καὶ τὴν σήμερον)· ἀλλὰ τοῦτο φαίνεται συμβὰν ἐκ τῆς τῶν βιβλιογράφων ἀβλεψίας.

τῶν παραδόσεων τοῦ *Υἱοῦ τῆς Βροντῆς*, ἔναυλον εἰσέτι ἠχουσῶν, γενόμενος ἐν τοῖς πλείστοις ἀκροατὴς, οὐ μόνον τὴν ἱστορίαν τῆς ὑπὸ τῶν Ο, ἑρμηνείας ἐξέθηκεν (ἴδε ταύτην ἐν τῷ παραρτήματι), ἀλλὰ καὶ τὰς προφητικὰς μαρτυρίας ἁπάσας, ὅσας μὴ κατ' ἔννοιαν μόνον, ἀλλὰ κατὰ λέξιν καὶ ῥητὸν μνημονεύει. ἐκ ταύτης ἐκφέρει τῆς ἑρμηνείας, ὡς θείας φωνάς. Ἐκ ταύτης ἐξήνεγκε καὶ τὸ κατὰ πολλὰς ἤδη ἐκδόσεις τῶν Ο μὴ πλῆρες εὑρισκόμενον θεοπρεπέστατον τοῦ Ἠσαΐου ῥητὸν(τὸ «*Θαυμαστὸς, σύμβουλος, Θεὸς ἰσχυρός*»· βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 232), πλῆρες ἐπ' ἀκριβὲς ἀναγράψας (ὡς καὶ πρὸ αὐτοῦ ὁ θεῖος Ἰγνάτιος, καὶ μετ' αὐτὸν ὁ Στρωματεὺς), ἐξ οὗ καὶ ἡ ἐν τούτῳ ἀτέλεια τῶν εἰρημένων ἐκδόσεων ἐξελέγχεται. (Ὁ δὲ Ὅδιος πεπλάνηται, νομίσας, ὅτι δῆθεν τοῦτο τὸ ῥητὸν ὁ Πατὴρ ἔγραψε κατὰ τὸ ἑβραϊκόν). Μαρτυρεῖ δὲ πρὸς τούτοις λαμπρῶς (ὡς εἴδομεν ἀνωτέρω, σελ. 417), ὅτι καὶ οἱ Ἀπόστολοι τὰς ῥήσεις τὰς προφητικὰς ἔγραψαν ἐκ τῆς ἑρμηνείας τῶν Ο. «Οἱ Ἀπόστολοι (προστίθησι) συμφωνοῦσι τῇ ἑρμηνείᾳ, καὶ ἡ ἑρμηνεία συμφωνεῖ τῇ παραδόσει τῶν Ἀποστόλων» (Γ, κε). Ὁ δ' αὐτὸς προσέθηκε καὶ ὅτι, «Εἴπερ (οἱ Ἰουδαῖοι) ᾔδεισαν ἡμᾶς (*τοὺς χριστιανοὺς*) ἐσομένους, καὶ χρησομένους ταῖς ἐκ τῶν Γραφῶν μαρτυρίαις, οὐκ ἂν ὤκνησαν αὐτοὶ τὰς ἑαυτῶν κατακαῦσαι Γραφάς· αὗται γὰρ τά τε ἔθνη πάντα τὰ λοιπὰ ἀποφαίνουσι μετασχόντα τῆς ζωῆς, καὶ αὐτοὺς τοὺς καυχωμένους οἶκος εἶναι Ἰακὼβ, καὶ λαὸς Ἰσραὴλ, ἀποδεικνύουσιν ἀποκεκληρωμένους τῆς χάριτος τοῦ Θεοῦ» (α). Τελευταῖον σημειοῦμεν, ὅτι καὶ τοῦ Τωβὶτ μνημονεύει, καθὰ προ-

(α) Εἰρην. κ. Αἱρέσ. Γ. κδ. σελ. 253. Ὅδιος δὲ κἀν τούτοις σοφιστευόμενος, βούλεται πάντως, ὅτι περὶ τῆς τῶν Ο Γραφῆς ταῦτα λέγει ὁ Εἰρηναῖος. Ἀλλ' ὅτι μὲν ὁ Πατὴρ πᾶσαν ἐννοεῖ τὴν Παλαιὰν Γραφὴν, καὶ πρώτιστα τὴν ἑβραΐδα, φανερὸν τῷ ἐπιστήσαντι· Μαρτυρεῖ δὲ καὶ Εὐσέβιος λέγων, ὅτι χωρὶς τῆς ἑρμηνείας «οὐκ ἂν ἄλλως ἐτύχομεν τῶν Γραφῶν παρ' Ἰουδαίων, ἀποκρυψάντων ἂν τὰ παρ' αὐτοῖς λόγια διὰ τὸν πρὸς ἡμᾶς φθόνον» (Προπαρ. Η, α). Ἡδέως δ' ἄν τις ἤρετο τὸν Ὅδιον. Μήπως μόνον ἀπὸ τῆς ἑρμηνείας τῶν Ο, οὐχὶ δὲ καὶ ἐξ αὐτοῦ τοῦ ἑβραίου πρωτοτύπου τῶν προφητῶν ἐξήλεγχον οἱ χριστιανοὶ τοὺς Ἰουδαίους; (ἐξήλεγχον δὲ

είπομεν, καὶ νῦν ἄσμενοι ἐπαναλαμβάνομεν μετὰ Εὐσεβίου (Ἐκκλησ. ἱστορ. Ε. η. καὶ κς), ὅτι «*καὶ ῥητοῖς τισιν ἐκ τῆς Σολομῶντος Σοφίας ὁ Εἰρηναῖος κέχρηται*» (Βιβλ. Δ. 37, ἐκ τῆς Σοφίας ς, 19, 20 κτλ.), ὡς ἐκ θείας δηλονότι Γραφῆς (α).

πάντως αὐτοὺς οἵ τε κατ' ἀρχὰς τοῦ θείου κηρύγματος ἐξ Ἰουδαίων πεπιστευκότες, καὶ αὐτοὶ οἱ Ἀπόστολοι, Πέτρος καὶ Παῦλος καὶ οἱ λοιποί, ὅτε πρὸς τοὺς βαθεῖς Ἑβραίους εὐηγγελίζοντο τὸν Χριστόν). Εἴπερ οὖν τοὺς τοιούτους ἐσομένους προῄδεισαν (ὡς ὑποτίθησιν ὁ θεῖος Πατήρ), οὐκ ἂν ἔκαιον οἱ σκληροτράχηλοι καὶ αὐτὰς τὰς ἑβραϊκάς; Βεβαιοῖ δὲ ταύτην αὐτῶν τὴν διάθεσιν, οὐ μόνον ἡ διαφθορὰ καὶ διανόθευσις, ἣν ἐτόλμησαν ὕστερον περί τε τὰ λοιπὰ καὶ μάλιστα τὴν χρονολογίαν, ἀλλὰ καὶ ἡ παράφορος τῶν Ῥαββίνων ὁρμή, οἵτινες διενοήθησαν ἀποκρύψαι καὶ τοῦ Σολομῶντος τὸν Ἐκκλησιαστήν, καὶ τὰς Παροιμίας (βλ. Hotting. Thesaur. p. 493, 501). Καὶ πρεσβεύουσι δὲ διαῤῥήδην, ὅτι ἐν ἡμέραις τοῦ Μεσσίου πάντα τὰ προφητικὰ καὶ ἁγιόγραφα βιβλία κατακαήσονται, πλὴν τῆς Ἐσθήρ (αὐτ. σελ. 494)· καὶ ταῦτα μὲν οὕτως. Ὅδιος δὲ μνημονεύσας καὶ τῆς περὶ τῶν Ἀποστόλων περικοπῆς τοῦ Εἰρηναίου, ἐπέφερεν, ὅτι, «οὐ πάντα τὰ ἐν τῇ Καινῇ Διαθήκῃ ῥητὰ τῆς Παλαιᾶς ἐκ τῶν Ο κεῖσθαί φησιν ὁ Εἰρηναῖος, ἀλλὰ μόνον ὅσον ἀποβλέπει τοὺς ἑρμηνεύοντας τὸ ἰδοὺ ἡ παρθένος εἰς τὸ ἰδοὺ ἡ νεᾶνις» (σελ. 283). Παράδοξος αὐθάδεια! Ὁ θεῖος Εἰρηναῖος λέγει τετραγωμένως, ὅτι «Πέτρος καὶ Ἰωάννης καὶ Ματθαῖος καὶ Παῦλος καὶ οἱ τούτων ὀπαδοὶ πάντα τὰ προφητικὰ οὕτως ἐξήνεγκαν, καθὼς αὐτὰ περιέχει ἡ τῶν Ο ἑρμηνεία», καὶ Ὅδιος τρέπει τὸ πάντα εἰς ἓν καὶ μόνον ῥητόν, καὶ τοὺς Ἀποστόλους πάντας, εἰς ἕνα καὶ μόνον, τὸν Ματθαῖον (παρ' ᾧ κεῖται τὸ ἰδοὺ ἡ παρθένος)!

(α) Μόνον τῶν συγγραμάτων τοῦ θείου Εἰρηναίου τὸ περὶ Ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως (ἤ, κατὰ Αἱρέσεων) ἐν Ε, βιβλίοις διεσώθη καὶ εἰς ἡμᾶς, καὶ τούτου τὸ πλεῖστον μέρος μόνον κατὰ τὴν ἀρχαίαν λατινικὴν μετάφρασιν, τοῦ Ἑλληνικοῦ κειμένου διαπεπτωκότος. Καὶ ἐν ταύτῃ δὲ τῇ πολλῷ τῆς τοῦ κειμένου καλλονῆς λειπομένῃ μεταφράσει αἱ προφητικαὶ μαρτυρίαι φέρονται πᾶσαι μὲν ἐκ τῶν Ο, ἀλλ' ἐνίοτε ἡ τοῦ μεταφραστοῦ ἢ τοῦ ἀντιγραφέως ὀκνηρία παρηλλαγμένας αὐτὰς ἔγραψεν ἔν τισι φωναῖς. Τουτ' αὐτὸ πεποίηκε καὶ ἔν τισι μαρτυρίαις ἐκ τῆς Καινῆς Διαθήκης (Βλ. Lumper, Historia etc. T.3. p. 216. πρβλ. 311-316). Περὶ δὲ τῆς παρὰ τῷ θείῳ Εἰρηναίῳ ἱστορίας τῆς ἑρμηνείας τῶν Ο, ὁ κλεινὸς Λύμπερος (ἅτε καὶ αὐτὸς ἀγαπῶν ἐνίοτε κριτικῆς σοφίης ἐπ' ἄκροισι θαμίζειν), ἀμφιβάλλει, καὶ μᾶλλον ἀποκλίνει πρὸς τοὺς νοθίζοντας τὸν Ἀριστέαν κριτικούς. Ὁμολογεῖ δὲ ὅμως, ὅτι πάντες οἱ κατὰ τοὺς Δ, πρώτους αἰῶνας (μέχρις Ἱερωνύμου) θεῖοι Πατέρες προφητικοὺς ἑρμηνεῖς τοὺς Ο διεπρέσβευον, καὶ θεόπνευστον τὴν ἑρμηνείαν (εἰ δὲ προσετίθη καὶ τοὺς ἐπὶ τοῦ Α, αἰῶνος Ἀποστόλους, πληρέστερον ἂν ἀπεδίδου τὸν λό-

§. ξη. Θεόφιλος ὁ ἱερὸς Ἀντιοχείας ἐπίσκοπος (τῷ 168 μ. Χ.), πάσας ὅσας ἐκφέρει μαρτυρίας, ὡς ἔχουσι καὶ νῦν οἱ Ο, γράφει· καὶ ταύτας φωνὰς αὐτῶν τῶν θεοπνεύστων Προφητῶν, καὶ Θεοῦ λόγους ἀποκαλεῖ. Ἄκουε. «Μωσῆς δὲ, μᾶλλον δὲ ὁ λόγος ὁ τοῦ Θεοῦ, ὡς δι' ὀργάνου δι' αὐτοῦ, φησίν· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν-ἡ δὲ γῆ ἦν *ἀόρατος καὶ ἀκατασκεύαστος*» (ὅπου τὸ ἑβραϊκὸν ἔχει τὸ πολύκροτον «*κένωμα καὶ οὐθὲν*»)»· Ἄλλας παρομοίας τοῦ Πατρὸς ἐκφράσεις παραλείπομεν, ἃς ἔστιν ἰδεῖν ἐν τοῖς τρισὶ πρὸς Αὐτόλυκον αὐτοῦ λόγοις. Ὅτι δὲ καὶ τὸ περὶ τὴν χρονολογίαν ἄγος τῶν Ἰουδαίων ἐξελέγχει, χρονολογῶν καὶ αὐτὸς κατὰ τοὺς Ο, προείπομεν (Βιβλ. Γ. σελ. 782). Ὁ δὲ παριζάνων Ὀδίῳ (δύστροπος σύνοικος) Μῶμος, ὁμολογήσας, ὅτι τὴν κατὰ τοὺς Ο χρονολογίαν ἐτήρησε καὶ Θεόφιλος, ἔπειτα προστίθησιν, ὅτι οὐκ ἀριθμεῖ τὸν Καϊνᾶν! ἀλλ' εἴπομεν περὶ τούτου ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Γ. σελ. 733).

§. ξθ. Θεοφίλῳ σύγχρονος ἐγένετο καὶ Ἡγήσιππος (τῷ 170 μ. Χ.) ἀρχαῖος καὶ ἀποστολικὸς ἀνὴρ, ὁ πρῶτος Ἐκκλησιαστικῆς ἱστορίας ἁψάμενος, ἐν οἷς συνέγραψεν «*Ὑπομνήμασι τῶν Ἐκκλησιαστικῶν πράξεων*». Μνημονεύει τούτων ὁ Εὐσέβιος, προςιθεὶς καὶ τὰ ἑξῆς. «Ἔκ τε τοῦ καθ' Ἑβραίους Εὐαγγελίου, καὶ τοῦ Συριακοῦ, καὶ ἰδίως ἐκ τῆς ἑβραΐδος διαλέκτου τινὰ τίθησιν, ἐμφαίνων ἐξ Ἑβραίων ἑαυτὸν πεπιστευκέναι» (Εὐσέβ. Ἐκκλ. ἱςορ. Δ, κϐ). Ἐν τούτοις τοίνυν Ὄδιος οἴεται τὸν Εὐσέβιον ἐννοεῖν, ὅτι κατέφευγεν ὁ Ἡγήσιππος ἔν τισι τόποις καὶ πρὸς τὰς ἑβραϊκὰς Γραφὰς, καί τινα χω-

---

γον!). Καὶ τοὺς Ἀποστόλους δὲ ἐκ τῆς ἑρμηνείας τῶν Ο παραλαβεῖν τὰς προφητικὰς μαρτυρίας, ἀμελήσαντας τοῦ ἑβραϊκοῦ, κατὰ τοὺς πλείστους, λέγει, Πατέρας. Ἐκ δὲ τῶν Εἰρηναίου λόγων ὁ Λύμπερος τοῦτο μόνον ἐξάγει· ὅτι, ὅσα τῶν προφητικῶν ἐξέφερον οἱ Ἀπόστολοι, οὐδὲν τούτων ἀντιλέγει τοῖς Ο, συμφωνεῖ δὲ τοῖς Ἀποστόλοις ἡ ἑρμηνεία (ὅπερ δὴ καὶ τοῦτο, φησὶ, κράτιστον ὑπάρχει θεμέλιον τοῦ κύρους τῶν Ο). Ἀλλ' ὅ,τι μὲν λέγει κατὰ λέξιν καὶ διάνοιαν ὁ Εἰρηναῖος, πρόκειται δῆλον. Ὁ δὲ Λύμπερος διὰ τῆς τελευταίας ὁμολογίας ἀπέπλυνε τὰ κριτικώτερον προημαρτημένα.

ρία καὶ ἐκ τούτων ἐξῆγεν». Ἀλλ' ὅτι ὁ Εὐσέβιος εἶπε *διάλεκτον* τὴν Παλαιὰν Γραφήν (ὅθεν καὶ τὸ τινὰ *τῆς ἑβραΐδος διαλέκτου* σημαίνει τῆς ἑβραΐδος Γραφῆς), οὐχ ἕξει πολλοὺς τοὺς συνομολογοῦντας Ὅδιος· ἀνένευσε δ' ἄν, οἶμαι, καὶ αὐτὸς Εὐσέβιος ἀκούσας· ὅστις οὐχ ἅπαξ τὰς *ἑβραϊκὰς γραφὰς* ἐξ ὀνόματος γράφει (Ϛ, ις)· διώριζε δ' ἂν ταύτας καὶ ὧδε, ἐκ τῆς κυρίας ὀνομασίας, ὡς εἶπε καὶ τὸ καθ' Ἑβραίους καὶ τὸ Συριακὸν Εὐαγγέλιον. Ἄλλας οὖν ὡς ἔοικε νοεῖ ἑβραϊκάς τινας γνώμας καὶ χρήσεις ἐγγράφους, ἴσως ἐκ τῶν παρ' Ἑβραίοις Ἀποκρύφων (ὃ καὶ Λυμπέρῳ δοκεῖ), οἷα προσέθηκεν εὐθὺς καὶ τὰ ἑξῆς· «καὶ ἄλλα δέ (φησιν) ὡς ἂν ἐξ ἰουδαϊκῆς ἀγράφου παραδόσεως Ἡγήσιππος μνημονεύει» (αὐτόθι). Κἂν δὲ θῶμεν, τέλος, ὅτι Ὅδιος ἐμάντευσεν ὀρθῶς, οὐδὲν παράδοξον, εἴπερ ὁ Ἡγήσιππος ἐξ Ἑβραίων ὤν, ἐξέφερεν, ἔστιν ὅπου, καί τινας ῥήσεις προφητικὰς ἐκ τῆς τότε καθ' Ἑβραίους Γραφῆς, εἴτε παραβάλλων αὐτὰς (ὡς καὶ Ὠριγένης) πρὸς τὰς ἀντιστοιχούσας τῶν Ο, εἴτε καὶ ὡς διαφόρους ἐξελέγχων, εἴτε καὶ παρατιθεὶς πρὸς ἐπεξήγησιν λέξεών τινων τῶν Ο. Ὅτι δὲ τούτων τὴν ἑρμηνείαν καὶ Ἡγήσιππος μετὰ τῆς Ἀποστολικῆς Ἐκκλησίας ὡς θείαν ἐτίμα, καὶ ταύτῃ προσέκειτο, δῆλός ἐστι καὶ Ὅδιος ὁμολογῶν, ἐξ ὧν εἶπεν, ὅτι «*ἔν τισι τόποις καὶ πρὸς τὰς ἑβραΐδας Γραφὰς κατέφευγεν*» (ἀπὸ τῶν αὐτῷ συνηθεστάτων πάντως, τῶν Ο, μεταβαίνων)· τὸ δὲ *κατέφευγε* δριμύτερον εἶπεν ὁ κριτικὸς, ἐκ τῶν ἑαυτοῦ φρονημάτων καὶ τὸν Ἡγήσιππον ζωγραφῶν (ὡς ἂν ἐξ ἐπισφαλοῦς τῆς ἑρμηνείας, εἰς ἀσφαλῆ προσφεύγοντα λιμένα, καὶ χρηστήριον ἀψευδέστατον, τὸ μετὰ τὸν α, αἰῶνα Ἑβραϊκόν!). Αὐτὸς ὅμως ὁ Ἡγήσιππος ἐπίσης θείας Γραφὰς ἐφρόνει, καὶ ὠνόμαζεν ἀμφοτέρας, καὶ τὴν Καινὴν καὶ τὴν Παλαιὰν (τῶν Ο), ὡς φαίνεται ἐκ τῆς Ϛ, τῶν ἑπτὰ καὶ εἰς ἡμᾶς περιελθουσῶν, κατὰ λέξιν αὐτοῦ περικοπῆς (καί τοι κακοδοξότερα περί τινος ῥητοῦ φθεγγομένης), ἣν διέσωσε Στέφανος ὁ Γόβαρος, ἢ μᾶλλον, ὁ καὶ τοῦτον διασώσας Φώτιος (α).

(α) « Ἡγήσιππος μέν τοι ἀρχαῖός τε ἀνὴρ καὶ ἀποστολικὸς ἐν τῷ πέμπτῳ τῶν

§. ο. Ὑπὸ τοὺς αὐτοὺς χρόνους (τῷ 175 μ. Χ.) ἐξεπόνησεν ὁ Θεοδοτίων τὴν ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείαν, ἐξ ἧς εἶπεν ὁ μακάριος Ἱερώνυμος, ὅτι παρέλαβεν ἡ Ἐκκλησία τὸ τεῦχος τοῦ Δανιήλ. Ἐπαναλαμβάνει δὲ τοὺς Ἱερωνύμου λόγους καὶ Ὄδιος, ὅπως ἡμῖν ἔτι κατὰ τὸν β, αἰῶνα καταδείξῃ μὴ καθαρεύουσαν τὴν θεόσδοτον ἑρμηνείαν· ἀλλὰ περὶ τοῦ χειμερινοῦ τούτου ὀνείρου ἱκανὰ προείρηται (Βιβλ. Β. §. ς, κδ—κε) (α).

ὑπομνημάτων, οὐκ οἶδ' ὅ,τι καὶ παθὼν, μάτην μὲν εἰρῆσθαι ταῦτα λέγει» (τὰ «Ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε» κτλ.), «καὶ καταψεύδεσθαι τοὺς ταῦτα φαμένους τῶν τε θείων Γραφῶν καὶ τοῦ Κυρίου, λέγοντος· μακάριοι οἱ ὀφθαλμοὶ ὑμῶν, οἱ βλέποντες, καὶ τὰ ὦτα ὑμῶν τὰ ἀκούοντα, καὶ ἑξῆς» παρὰ Φωτίῳ Ἀναγν. σλβ.

(α) Ὁ Ὄδιος ἀριθμεῖ ἐν τούτῳ τῷ χρόνῳ καὶ τοὺς Αἱρετικοὺς Ἐβιωναίους (Ἰουδαίους τινὰς, χριστιανοὺς λεγομένους), «οἵτινές (φησιν) οὐ τῇ τῶν Ο, ἀλλὰ τῇ Ἀκύλα καὶ Θεοδοτίωνος ἑρμηνείᾳ ἐχρῶντο, καθὼς Εἰρηναῖος μαρτυρεῖ (Γ, 24)»· ἀλλ' ἰδοὺ οἱ λόγοι τοῦ Εἰρηναίου· « Ἀλλ' οὐχ ὡς ἔνιοί φασι τῶν νῦν μεθερμηνεύειν τολμώντων τὴν Γραφὴν, « Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει» ὡς Θεοδοτίων ἡρμήνευσεν ὁ Ἐφέσιος, καὶ Ἀκύλας ὁ Ποντικὸς, ἀμφοτεροι Ἰουδαῖοι προσήλυτοι, οἷς κατακολουθήσαντες οἱ Ἐβιωναῖοι, ἐξ Ἰωσὴφ αὐτὸν γεγεννῆσθαι φάσκουσιν». Ἐν τούτοις οὖν ὁ Πατὴρ φαίνεται σαφῶς ἄλλο πάντως λέγων, ἢ ὅ,τι Ὄδιος ὑπέλαβεν· λέγει γὰρ τοὺς Ἐβιωναίους συμφωνήσαντας Ἀκύλᾳ καὶ Θεοδοτίωνι κατὰ τὴν ὑπ' αὐτῶν κακουργηθεῖσαν παρερμηνείαν τοῦ Ἰδοὺ ἡ Παρθένος, εἰς τὸ ἰδοὺ ἡ νεᾶνις καθότι κἀκεῖνοι συμφώνως τοῖς δύω τούτοις μεταφρασταῖς ἐξήγουν τὸ ῥητὸν, ἀρνούμενοι τὴν θεότητα τοῦ Κυρίου. Ὅτι δὲ τοῦτο λέγει ὁ Πατὴρ, πρόδηλον. α). Διότι οἱ Ἐβιωναῖοι ἀπὸ τοῦ Ἐβίωνος (ὃ δηλοῖ πτωχὸν) παρονομασθέντες, ἀνεφάνησαν καὶ πρὸ τοῦ Ἀκύλα καὶ πρὸ τοῦ Θεοδοτίωνος (Εἰρην. Α, κς. Εὐσ. Ἐκ. ἱστ. Γ. κζ)· καὶ αὐτὸς ὁ Θεοδοτίων οὐ μόνον τοῦ δυσσεβοῦς Μαρκίωνος ὀπαδὸς, ἀλλὰ καὶ Ἐβιωναῖος ἱστόρηται (Ἱερών.). β). Πῶς ἂν εἶπεν Εἰρηναῖος, ὅτι οἱ Ἐβιωναῖοι ἀνεγίνωσκον συνάμα καὶ τὴν Ἀκύλα καὶ τὴν Θεοδοτίωνος ἑρμηνείαν, αἵτινες οὕτω διέφερον πρὸς ἀλλήλας; Μιᾷ γὰρ τούτων, θατέρᾳ, πάντως ἔμελλον χρῆσθαι, εἴπερ ἐχρῶντο, ἤτοι τῇ τοῦ Ἀκύλα, ἢ τοῦ Θεοδοτίωνος· Καί τοι καὶ οὗτος ἐν τοῖς πλείστοις ἀντιγράψας τοὺς Ο, ἐν οἷς ἐνετράφη (Ἐπιφ· τ. β. σελ. 173), δῆλός ἐστιν ἐπιγνοὺς τὴν ἀξίαν τῶν Ο. Ὁ δὲ Ὄδιος προστίθησι καὶ τοὺς Ναζωραίους, ὡς καὶ τούτους τοῖς Ἐβιωναίοις πλησιεστάτους, καὶ, πλὴν τινων μικρῶν διαφορῶν, ταυτιζομένους («Ἑκάτεροι γὰρ ἀλλήλους ἀπεμάξαντο,- καὶ οἱ Ναζωραῖοι «τὰ πάντα Ἰουδαῖοί εἰσι, καὶ οὐδὲν ἕτερον». Ἐπιφάν. Τόμ. α. σελ. 122, 126)· καὶ τοὺς Ναζωραίους τοίνυν Ὄδιος ἐθέλει μὴ κατακολουθήσαντας τῇ ἑρμηνείᾳ τῶν Ο,

§. οα. Τότε ἤκμαζε καὶ Τατιανὸς ὁ Σύρος (τῷ 173 μ. Χ.), Ἰουστίνου τοῦ μάρτυρος οὐκ εἰς τέλος γνήσιος μαθητής· (ὡς ἄρξας τῆς αἱρέσεως τῶν Ἐγκρατιτῶν) (α). Οὗτος τὴν θειότητα τῶν Γραφῶν τρανῶς ἀνακηρύττει (β), ἐν τῷ (πρὸ τῆς πτώσεως) πολυμαθεστάτῳ λόγῳ τῷ *πρὸς τοὺς Ἕλληνας*. Καὶ ῥήσεις μὲν προφητικὰς ἐξ ὀνόματος οὐκ ἀναφέρει, ἀλλ᾽ ὅτι καὶ αὐτὸς πιστῶς παρηκολούθει τοῖς Ο, φαίνεται σαφῶς ἐξ ὧν προφέρει λέξεων, ὁπόταν σκιαγραφῇ τὰ δόγματα τῶν χριστιανῶν. οἷον τὸ, «Ὁ Θεὸς ἔκτισε τὸν *ἄνθρωπον κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ*». καὶ, «*Εἰκόνα τῆς ἀθανασίας* ἐποίησε τὸν ἄνθρωπον»· ὅπερ ὁ τὸν Τατιανὸν ἐνίοτε μιμούμενος ἱερώτατος Κλήμης (Στρωμ. ς, 663), τρανώτερον ἐξέφρασεν, ἀντιγράψας κατὰ λέξιν ἐκ τῆς Σολομῶντος Σοφίας (β, 23) ὅλον

καθὰ φαίνεταί, φησιν, ἐκ τοῦ Ἱερωνύμου (εἰς Ἡσαΐ. η). Ἀλλ᾽ οὔτε φαίνεται οὔτ᾽ ἀκούεται τοιοῦτό τι παρ᾽ Ἱερωνύμῳ, ὡς ἔξεστι παντὶ τῷ βουλομένῳ κατιδεῖν. Οἱ δὲ Ναζωραῖοι ἐχρῶντο τῷ ἑβραϊκῷ κειμένῳ, ὡς καὶ φαίνεται τρανῶς, καὶ ἀναγινώσκεται παρὰ τῷ Ἐπιφανίῳ· «πάντα τὰ βιβλία παρ᾽ αὐτοῖς ἑβραϊκῶς ἀναγινώσκεται» (Αἱρέσ. κθ. σελ. 123). Ἔπειτα πῶς οὐκ ᾐδέσθη ἡ τοῦ Ὀδίου γραφὶς παράγουσα μάρτυρας τοῦ κύρους τῆς Ἀποστολικῆς τῶν Ο ἑρμηνείας Ἐβιωναίους καὶ Ναζωραίους, οἵτινες ἠρνοῦντο καὶ αὐτὴν τὴν θεότητα τοῦ ἐκ τῆς Παρθένου γεννηθέντος Χριστοῦ; Εἰ δ᾽ ἐκ τῶν τοιούτων μαρτυρίας φέρειν ἐχρῆν, ἔστιν εἰπεῖν, ὅτι τῶν ἀρχαίων αἱρετικῶν οἱ πλεῖστοι τοῖς Ο ἐχρῶντο, ἄλλοι τε παντοῖοι, καὶ οἱ περὶ τὸν Θεόδοτον, καὶ οἱ Βασιλιδειανοὶ, οἵτινες πρὸς τὴν αἵρεσιν αὐτῶν παρεχρῶντο καὶ τῷ «Κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ» (κατὰ τοὺς Ο, ἄλλως ἔχοντι ἐν τῷ νῦν ἑβραϊκῷ), περὶ οὗ προείπομεν Βιβλ. Β. σελ. 289.

(α) Βλ. Lumper, Historia etc. Tom. 2. p. 229, 231.

(β) Πόσον θαυμαστῶς ἐξέφρασεν, ὅπως διὰ τῶν Γραφῶν ἐπέστρεψεν ἐκ τῆς εἰδωλολατρείας εἰς Χριστόν. «Περινοοῦντι δέ μοι (φησί) τὰ σπουδαῖα, συνέβη Γραφαῖς τισὶν ἐντυχεῖν βαρβαρικαῖς, πρεσβυτέραις μὲν ὡς πρὸς τὰ Ἑλλήνων δόγματα, θειοτέραις δὲ ὡς πρὸς τὴν ἐκείνων πλάνην. Καί μοι πεισθῆναι ταύταις συνέβη, διά τε τῶν λέξεων τὸ ἄτυφον, καὶ τῶν εἰπόντων τὸ ἀνεπιτήδευτον, καὶ τῆς τοῦ παντὸς ποιήσεως τὸ εὐκατάληπτον, καὶ τῶν μελλόντων τὸ προγνωστικὸν, καὶ τῶν παραγγελμάτων τὸ ἐξαίσιον, καὶ τῶν ὅλων τὸ μοναρχικόν. Θεοδιδάκτου δέ μου γενομένης τῆς ψυχῆς, συνῆκα» κτλ. (§. 29). Ὅτι δ᾽ ἐν τούτοις τήν τε Παλαιὰν (κατὰ τοὺς Ο) καὶ τὴν Καινὴν ὑπογράφει, πρόδηλον. πρβλ. καὶ τὴν Ἰουστίνου ἐπιστροφήν (π. Τρύφ. §. 2—8).

τὸν ἐφεξῆς στίχον· «Ὁ Θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος (γρ. ἀϊδιότητος) ἐποίησεν αὐτόν». Καὶ ἄλλα δὲ τοιαῦτα τῆς ἱερᾶς ἑρμηνείας ἀμάραντα ἄνθη στεφανοῦσι τὸν Λόγον τοῦ Τατιανοῦ (§. 5, 7, 17, 32 κτλ.).

§. οβ. Σύγχρονος Τατιανῷ καὶ Ἀθηναγόρας ἦν ὁ Ἀθηναῖος, ὁ εὐγενὴς καὶ ἱερὸς φιλόσοφος (τῷ 177 μ. Χ.), ὅστις ἐν τῇ πρὸς τοὺς Ῥωμαίους Αὐτοκράτορας ὑπὲρ τῶν χριςιανῶν *Πρεσβείᾳ* μεμνημένος ἐκ τῶν Ο προφητικῶν ῥητῶν (οἷον τῶν Ἡσαΐου, μα, 1: με, 5: μγ, 10), *αὐτάς*, φησιν, ὅτι ἐκφέρει τὰς φωνάς, «ἃς ἐξεφώνησαν κινηθέντες ὑπὸ τοῦ θείου Πνεύματος οἱ προφῆται». καὶ πάλιν ἐπ' ἄλλης ῥήσεως (Παροιμ. κα, 1). «Ταῦτά φησι τὸ προφητικὸν Πνεῦμα» (ϐλ. Πρεσϐ. περὶ χριστιαν. §. 9 καὶ 18).

§. ογ. Ὁ δὲ Πάνταινος ὁ φερώνυμος, ἀπὸ Στωικῶν χριστιανὸς φιλόσοφος (τῷ 181 μ. Χ.), καὶ κατὰ παιδείαν ἐνδοξότατος ἀνήρ, καὶ Χριστοῦ κῆρυξ μέχρι καὶ εἰς Ἰνδίαν ἐλθών, καθηγήσατο μὲν τοῦ κατ' Ἀλεξάνδρειαν ἀρχαίου κατηχητικοῦ διδασκαλείου (Εὐσ. Ἐκκλ. ἱστορ. Ε, ι), ἱστόρηται δὲ καὶ μὴ μόνον τῶν τοὺς Ἀποστόλους ἰδόντων ἀκροασάμενος, ἀλλὰ καί τινων αὐτῶν ἐκείνων διακούσας (Φώτ. Ἀναγν. ριη). παρὰ δὲ τῷ μαθητῇ καὶ διαδόχῳ Κλήμεντι διαγράφεται «Σικελικὴ τῷ ὄντι μέλισσα, τοῦ προφητικοῦ καὶ Ἀποστολικοῦ λειμῶνος τὰ ἄνθη δρεπόμενος, καὶ ἀκήρατόν τι γνώσεως χρῆμα ταῖς τῶν ἀκροωμένων ἐγγεννήσας ψυχαῖς» (Στρωμ. Α, σελ. 201). (α) Οὗτος οὖν συνέγραψεν ὑπομνήματα εἰς τὰς θείας Γραφάς, ἐξ ὧν βραχύ τι λείψανον κατὰ λέξιν διεσώθη ἐν ταῖς Θεοδότου *ἐκ τῶν προφητικῶν Ἐκλογαῖς* (ἐν τῷ τέλει τῶν τοῦ Κλήμεντος τοῦ Στρωματέως ἐκδιδομέναις, καὶ ὑπ' αὐτοῦ τούτου ἀπηνθισμέναις, ἃς εἶχεν, ὥς φασί, καὶ ἐν ταῖς Ὑποτυπώσεσιν αὐτοῦ καταγεγραμμένας) (ϐ). Ἐν δὲ τοῖς ἀποσπάσμασι τούτοις ὁ Πάνταινος διαλέγεται περὶ τῶν κατὰ τοὺς Ο Γραφῶν, ὡς περὶ

(α). **Lumper, Historia Theologico-critica etc. T. 4. p. 43.**

(ϐ) Βλ. **Vales. not.** εἰς Εὐσέϐ. Ἐκκλησ. ἱστορ. Ε, ια: **Cave l. c. p. 37, 40.**

θείας προφητείας, ἐκφράζων τὰ περὶ τοὺς χρόνους μάλιστα τῶν ῥημάτων ἰδιώματα τῆς Γραφῆς (α). Ἐπειδὴ δὲ ὁ λόγος Θεοδότου ἐμνήσθη (Βυζαντίου τὴν πατρίδα, τὸ δ' ἔργον σκυτέως, καὶ παιδείας οὐκ ἀμοίρου, κατὰ δὲ τὴν, ἣν ἐν Ῥώμῃ διάγων, ἐμάνη μανίαν, ἢ αἵρεσιν, ἀρνητοῦ τῆς τοῦ Χριστοῦ θεότητος, καὶ Μοντανιστοῦ, περὶ τὸ 190 μ. Χ.), ἐν ταῖς εἰρημέναις αὐτοῦ Ἐκλογαῖς, (αἵτινες ἀποτελοῦσι μέρος τῶν, (ὡς *ἐπιγράφονται*) «*Θεοδότου καὶ τῆς ἀνατολικῆς καλουμένης διδασκαλίας κατὰ τοὺς Οὐαλεντίνου χρόνους Ἐπιτομῶν*), πολλαὶ προφητικαὶ μνημονεύονται ῥήσεις, καὶ πᾶσαι κατὰ τοὺς Ο, ἐν αἷς καὶ ἡ τῶν *τριῶν παίδων ᾠδή*. (Ὄδιος δὲ τῶν Ἐβιωναίων ἐπιμνησθεὶς, τῆς *Ἀνατολικῆς* λεγομένης ταύτης *διδασκαλίας* ἐπελάθετο).

§. οδ. Κλήμης ὁ Ἀλεξανδρεὺς (τὸ δὲ γένος, ἴσως, Ἀθηναῖος), ἱερὸς ἀνὴρ, καὶ λαμπρότατος ἐπὶ παιδείᾳ παντοδαπῇ, καὶ τοῦτ' αὐτὸ, ζῶσα βιβλιοθήκη πολυμαθείας, οὐ μόνον κατὰ θεῖον βούλημα, καὶ *ἐκ θείας ἐπιπνοίας* ἑρμηνεῦσαι τοὺς Ο παραδίδωσιν, ἀλλὰ καὶ τὴν ἑρμηνείαν αὐτὴν ἰδίως *ἑλληνικὴν προφητείαν* ἀποκαλεῖ (ἴδε τοὺς τούτου λόγους ἐν τῷ παραρτήματι). Καὶ πάσας δὲ τὰς ῥήσεις τῆς Παλαιᾶς, μυρίας ὅσας, ἐν τοῖς αὐτοῦ συγγράμμασιν, (ἔν τε τῷ πρὸς Ἕλληνας, καὶ τοῖς η, βιβλίοις τῶν Στρωματέων, κἀν τῷ Παιδαγωγῷ) ἐκ τῆς ἑρμηνείας τῶν Ο γράφει, καὶ ταύτας ὡς φωνὰς Θεοῦ καὶ λόγια τοῦ Πνεύματος ἐκφέρει. Ὅτι δὲ καὶ τῇ χρονολογίᾳ τῶν Ο μαρτυρεῖ, εἴδομεν ἐν τοῖς προλαβοῦσι (Βιβλ. Γ, σελ. 782). Ὁ δὲ κλεινὸς Ὄδιος πάντα τὰ τοῦ Κλήμεντος σιγῇ παραδραμὼν, καὶ λακωνικῶς ἐν ὀλίγαις λέξεσιν εἰπὼν, ὅτι θείᾳ ἐπιπνοίᾳ τοὺς Ο μεθηρμηνευκότας καὶ οὗτος ἰσορεῖ, «ἀλλ' ὅμως (εὐθὺς ἐπιφέρει) ἐξηγῶν ὁ Κλήμης τὰς Γραφὰς, εἰώθει πρὸς τὸ κῦρος τῶν Ἑβραίων ἀνατρέχειν, ὡς ἔγραψεν Ἱερώνυμος λέγων· «Ὠρι-

---

(α) « Ὁ Πάνταινος δὲ ἡμῶν (ἴσ. γρ. ἡμῖν) ἔλεγεν, ἀορίστως τὴν προφητείαν ἐκφέρειν τὰς λέξεις, ὡς ἐπὶ τὸ πλεῖστον, καὶ τῷ ἐνεστῶτι ἀντὶ τοῦ μέλλοντος χρῆσθαι χρόνῳ, καὶ πάλιν τῷ ἐνεστῶτι ἀντὶ τοῦ παρῳχηκότος». παρὰ Κλήμ. ἐκ τῶν προφητικ. ἐκλογαί. σελ. 578. βλ. καὶ Vales. not. εἰς Εὐσέβ. Ἐκκλ. ἱστ. ε, ια.

γένης καὶ Κλήμης καὶ Εὐσέβιος, καὶ ἄλλοι πλεῖστοι, ἐπειδάν τινα διαλέγωνται περὶ τῶν Γραφῶν, καὶ θέλωσιν ἃ λέγουσι βεβαιώσασθαι, οὕτως εἰώθασι γράφειν· «Ἀνέφερέ μοι ὁ Ἑβραῖος»· καί, «*Ἤκουσα παρ' Ἑβραίου*»· καί, «*Ἑβραίων αὕτη ἡ γνώμη*» (Ἱερών. κατὰ Ῥουφίν. α, 3). Ἀλλ' ὁ μὲν μακάριος Ἱερώνυμος φαίνετ' ἐπιτηδεύσας *ζεῦγμα γραμματικόν*, δι' οὗ συνῆψεν ἀδιακρίτως καὶ τὰ τρία πρόσωπα, ὡς ταὐτὰ *συνήθως* λέγοντα! Καὶ ὁ μὲν Ὠριγένης συγκρίνων τὸ τῶν Ο κείμενον πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκόν, καὶ θεωρῶν τὰς τῶν κωδήκων διαφοράς, ἔγραψε (καὶ ὤφειλε γράφειν) τοιαῦτα, καθὸ καὶ Ἰουδαίοις, ἔστιν ὅτε, περί τινων ἀπορουμένων κοινολογούμενος, καὶ ῥητῶς περὶ τῶν καθ' Ἑβραίους ἐπιγραφῶν τῶν Ψαλμῶν (α). Συμπαρεξετάζει δὲ καὶ Εὐσέβιος ἔστιν ὅπου τὰς τῶν Ο πρὸς τὰς καθ' ἑβραίους φωνὰς (καίτοι μηδ' οὗτος *συνήθως* ἀνατρέχων πρὸς Ἰουδαίους, ἀλλ' ἐξ αὐτῶν ἀντιγράφων τῶν Ὠριγένους Ἑξαπλῶν). Ὅτι δὲ καὶ Κλήμης ὁ Στρωματεύς, ὁ λαμπροφωνότατος κῆρυξ τοῦ θείου κύρους τῆς ἑρμηνείας τῶν Ο, *εἴωθε* γράφειν τοιαύτας λέξεις, ἀνατιθεὶς εἰς τοὺς Ἰουδαίους τὴν ἔγκρισιν τῶν κατ' αὐτὸν ἐξηγήσεων τῆς Γραφῆς, τοῦτ' αὐτὸς ὁ βιβλιακώτατος Ὄδιος ὤφειλεν ἀποδεῖξαι τρανῶς, οὐκ ἀπὸ τῶν ἀορίστων Ἱερωνύμου λόγων (ὃν ὡς πρωτοστάτην *ἠΰν τε μέγαν τε* προβάλλεται, κρυπτόμενος αὐτὸς καὶ ὑποπτώσσων ὄπισθεν ἐκείνου), ἀλλ' ἀπ' αὐτῶν τῶν τοῦ Κλήμεντος συγγραμμάτων· ἵνα καὶ αὐτὸς (ὡς ἀνωτέρω ὁ Σιμώνιος) ὑπ' Ὀυοσσίου *ἀνὴρ* ἀνακηρυχθῇ. Καίτοι γε οὐδ' οὕτως ἔμελλεν ἐκ τοῦ κηρύγματος οὐδὲν ὠφελεῖσθαι (ὡς οὐδ' Ἱερώνυμος αὐτὸς ἀπώνατο, τοιαῦτ' ἀπολογούμενος πρὸς τὸν ἰσχυρὸν κατήγορον Ῥουφῖνον). Εἴπερ γὰρ καὶ Κλήμης καὶ πάντες (ἂν Ὄδιος θέλῃ) οἱ πάλαι Πατέρες τῆς Ἐκκλησίας ἐπέφερον ἐκ τοῦ τότε (μή πω *μασοριτισθέντος*) ἑβραϊκοῦ καί τινας ἐνίοτε μαρ-

(α) Βλ. τὸ χωρίον τοῦ Ὠριγένους παρὰ **Montfauc. Hexapl. T. 1. p. 79.** Ταῦτα τοῦ Ὠριγένους καὶ Ἱερώνυμος αὐτὸς (αὐτόθ.) παρακατιὼν μνημονεύει (βλ. ἐφεξῆς §. οη). Ἐκ δὲ τοῦ Εὐσεβίου οὐδὲν παρεδειγμάτισεν ὁ Ἱερώνυμος, οὐδ' ἀπὸ τοῦ Κλήμεντος.

τυρίας, ἢ πρὸς τρανωτέραν ἀπόδειξιν τοῦ προκειμένου λόγου, ἢ πρὸς Ἰουδαίους ἐκ τῶν παρ' αὐτοῖς οἰκείων ἀπαντῶντες, ἢ πρὸς ἔνδειξιν ὀρθῶς ἐχούσης λέξεώς τινος τῶν Ο, πρὸς ἣν καὶ αὐτὸ τὸ ἑβραϊκὸν συνεφώνει, μήπως ἐκ τούτου παρεβλάπτετο τὸ πρὸς τὴν θεόσδοτον ἑρμηνείαν σέβας αὐτῶν τε τῶν Πατέρων, καὶ πάσης τῆς Ἐκκλησίας; Ἀλλὰ περὶ τούτου θεωροῦμεν καὶ ἐν τοῖς ἑξῆς.

§. οε. Σεπτίμιος, Φλῶρος, ὁ *Τερτυλλιανὸς* (τῷ 192 μ. Χ.), Ἄφρος τὴν πατρίδα (Καρχηδόνιος), ὁ πρέσβιςος ταξίαρχος ἁπάντων τῶν συγγραφέων τῆς Λατινικῆς Ἐκκλησίας, καὶ τῆς Ἑλληνίδος γλώσσης ἐγκρατὴς (ἐπὶ τέλους δὲ, κακοδαίμονος οἰήσεως πτῶμα, Μοντανιστὴς), ἐχρῆτο μὲν τῇ ἐκ τῶν Ο μεθηρμηνευμένῃ παλαιᾷ Βουλγάτᾳ, ἢ Ἰτάλᾳ, ἐσέβετο δὲ μάλιστα καὶ τὸ ταύτης ἱερὸν πρωτότυπον, τὴν ἀρχέγονον ἑλληνικὴν ἑρμηνείαν, διδάσκων, ὅτι τὰς (κατὰ τοὺς Ο) Γραφὰς ἔτι καὶ κατ' αὐτὸν οἱ Ἰουδαῖοι δημοσίως ἀνεγίνωσκον. «Ὁ δὲ ταύταις (φησὶ) προσελθὼν, εὑρήσει τὸν Θεὸν» (βλ. ὄπισθεν σελ. 233). Ἀνεκήρυξε δὲ καὶ τὴν ἀλήθειαν τῆς περὶ τῶν Ο ἱστορίας τοῦ Ἀριστέου (βλ. ἐν τῷ παραρτήματι), καὶ τὴν ἐν τῇ μεταφράσει κοινὴν τῶν Ο συμφωνίαν καθυπέγραψεν, ὡς πολλοὶ συνήγαγον ἔκ τινος συντετμημένης αὐτοῦ φράσεως (α). Τοῖς Ο πάντως ἐχρήσατο καὶ ἐν οἷς συνέγραψε καὶ ἑλληνιστὶ βιβλίοις, περὶ *Βαπτίσματος*, καὶ *Περὶ τοῦ δεῖν καλύπτραν φέρειν τὰς*

(α) Ἰδοὺ ἡ φράσις. Quos (72, interpretes) Menedemus quoque philosophus providentiae vindex de S e n t e n t i æ C o m m u n i o n e suspexit». (Tertul. Apolog. c. 18. p. 126. Lutet. Paris. 1624). Τοῦτο τοίνυν τὸ κοινὸν, ἢ σ ύ μ φ ω ν ο ν τ ῆ ς γ ν ώ μ η ς, ἐξέλαβον ἐπὶ τῆς κοινῆς ἐν τῷ ἑρμηνεύειν συμφωνίας τῶν Ο, ἑκάστου κατὰ μέρος ἐν ἰδίῳ δωματίῳ τὴν ἑρμηνείαν φιλοπονήσαντος. Ταύτην τὴν συμφωνίαν τῶν ἑρμηνευτῶν ὁ Μενέδημος ἐπιγνοὺς, ὡς ἀνέγνω καὶ αὐτὸς τὴν ἑρμηνείαν, ἔ κ δ ι κ ο ς ἐ γ έ ν ε τ ο καὶ μάρτυς τῆς θείας Προνοίας, ἧς συνεφαπτομένης, οὕτω θαυμαστῶς συνεφώνησαν οἱ Ο περὶ τὴν μετάφρασιν. Οὕτως ἡρμήνευσαν τοὺς ἀνωτέρω λόγους τοῦ Τερτυλλιανοῦ, ἄλλοι τε πολλοὶ, καὶ Βελλαρμῖνος, Βαρόνιος, Βοβέριος, καὶ αὐτὸς Ὀττιγγῆρος (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 344, καὶ Lumper Historia etc. T. 6. σελ. 666). Ὅ,τι δὲ ἀντεῖπεν Ὅδιος, βλ. ὄπισθ. Βιβλ. Β. σελ. 345.

παρθένους, καὶ *Περὶ στεφάνου στρατιώτου*, ὡς αὐτὸς ἐν τούτοις μαρτυρεῖ, ἐκδοὺς αὐτὰ καὶ λατινιςὶ (οἷα σῴζονται καθ' ἡμᾶς) (α). Ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις τοῖς λατινικοῖς αὐτοῦ συγγράμμασι πλείςας ἔχει τῶν Ο ῥήσεις, ἀκραιφνεῖς καὶ ἐν τῇ Ἰτάλᾳ τετηρημένας. Ἐν δὲ ταύταις καὶ τὸ «Ὄψονται εἰς ὃν ἐξεκέντησαν» (β), ὡς ἔγραψαν οἱ Ο, καὶ ὁ θεῖος Ἰωάννης ἀνέγνω (βλ. ὄπισθ. σελ. 268). Ἐν δὲ τῷ «*Καὶ δὸς σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν*» (Ἰεζεκ. θ), ὡς ἔχουσιν οἱ Ο, πρὸς τῷ *σημεῖον* προσέθηκε καὶ τὸ *Ταῦ*· καὶ τὴν ῥῆσιν ἀνέφερεν (ὡς καὶ ἄλλοι τῶν Πατέρων πρὸ αὐτοῦ) πρὸς ἔνδειξιν τοῦ σημείου τοῦ Σταυροῦ (γ). Ὅδιος δὲ κἀν τούτῳ πάλιν ὤλισθεν, εἰσαγαγὼν τὸν Τερτυλλιανὸν, ὡς μὴ τοῖς Ο, τῷ δ' Ἀκύλᾳ καὶ Συμμάχῳ παρηκολουθηκότα· «μαρτυρεῖ γάρ (φησιν) Ὠριγένης, ὅτι Ἀκύλας καὶ Θεοδοτίων ἔγραψαν «*Σημειώσεις* τὸ *Θαῦ ἐπὶ τὰ μέτωπα*» (σελ. 343). Ἀλλ' Ὠριγένης μὲν ἀληθεύει, Ὅδιος δ' οὐκ ἀληθεύει. Ὁ μὲν γὰρ Ἀκύλας καὶ ὁ Θεοδοτίων ἔγραψαν «*σημειώσεις Θαῦ* (ὡς ἔχει καὶ τὸ ἑβρ.), *σημεῖον* δ' οὐκ' ἐγραψαν· ὁ δὲ Τερτυλλιανὸς ἔγραψε, «*δὸς σημεῖον*» (ὡς αὐτὸ τὸ *Ταῦ* ἡρμήνευσαν οἱ Ο)· προσέθηκε δὲ (εἴτ' αὐτὸς, εἴτε τις ἄλλος πρότερον τῆς Ἰτάλας ἀντιγραφεὺς) καὶ τὸ Ταῦ, ὡς χρήσιμον αὐτῷ πρὸς τὸν σκοπόν. Ἄλλην δεῖξιν Ὅδιος ἐπήγαγεν, ὅτι ὁ Τερτυλλιανὸς προυτίμα καὶ τὸν Σύμμαχον *παρὰ τοὺς Ο* (ἤθελεν εἰπεῖν παρὰ τὴν Ἰτάλαν)· διότι (φησὶν) ἔγραψεν, οὐχ ὡς οἱ Ο, «Ὁ δὲ δίκαιος *ἐκ πίστεώς μου* ζήσεται», ἀλλ' ὡς ὁ Σύμμαχος, *ἐκ πίστεως αὐτοῦ* (κατὰ Μαρκίων. Δ, ιη). Ἀλλ' ὁ Σύμμαχος ἐξέδωκεν ἐν Ἀσίᾳ τὴν ἑρμη-

---

(α) Βλ. Tertullian. De Baptism. c. 15. De virgin. velandis cap. 1. §. 7, καὶ De corona milit. c. 6.

(β) Tertul. adv. Judaeos c. 14. - De Resur. c. 22. Ὁ δὲ τοῦ Τερτυλλιανοῦ ἐκδότης Παμέλιος (ὑπερβολικώτερον) ἀείποτε τοῖς Ο χρώμενον ὑπέλαβε τὸν Τερτυλλιανὸν, καὶ αὐτὸν ἐκλατινίζοντα τὰς ῥήσεις. (βλ. Lumper, Historia etc. T. 6. p. 678).

(γ) «Et da signum tau in frontibus virorum· ipsa enim est litera Græcorum Tau, species crucis» etc. (Contr. Marcion. III. 9). βλ. καὶ ὄπισθ. σελ. 84.

νείαν τῷ 201 μ. Χ. (ἐπὶ Σεβήρου), καὶ ταύτην πρῶτος ἴσως Ὠριγένης (τῷ 235), ἀνέδειξε κοινοτέραν καὶ μᾶλλον γνωστὴν, ὡς ἔστιν εἰκάσαι, ἐξ ὧν λέγει ὁ Εὐσέβιος (Ἐκκλ. Ἱστορ. ς, ιζ). Ὁ δὲ Τερτυλλιανὸς συνέγραφεν ἐν Ῥώμῃ τὰ κατὰ Μαρκίωνος Ε, βιβλία τῷ 207 μ. Χ. (α). Ὥστε λίαν ἐνωρὶς, καὶ πρώϊμος εἰσάγεται παρ' Ὀδίῳ, μόλις, ἢ καὶ μήπω φανεῖσαν ἐν Ῥώμῃ, τὴν Συμμάχειον ἑρμηνείαν κατασπασάμενος, καὶ καθιερώσας αὐτὴν εἰς τὰς ἰδίας μελέτας (καὶ τοι μηδαμόθεν ἔχουσαν κῦρος), καὶ προδοὺς ἐξάπινα τὴν ἐν ᾗ ἐτράφη καὶ ἐνεγήρασε πάτριον Ἰτάλαν. Μᾶλλον οὖν φαίνεται πιθανώτερον, ὅτι τῶν τινες ἀρχαίων ἀντιγραφέων ἀνέμιξαν καὶ ἐν τοῖς βιβλίοις τοῦ Τερτυλλιανοῦ λέξεις τινὰς τῶν ἄλλων ἑρμηνευτῶν (οἷα καὶ ἐν ἄλλοις συγγράμμασι συνέβη. βλ. ὄπισθ. σελ. 424). Σεσημείωται δὲ παρὰ πολλοῖς (ὃ καὶ Ὅδιος ὡμολόγησεν), ὅτι καὶ αὐτὴ ἡ Ἰτάλα κατὰ τόπους ἀνεμίγη καὶ ἐξ ἄλλων ἑρμηνειῶν λατινικῶν, παλαιόθεν ἐκ τῶν Ο γενομένων, καὶ ἔν τισιν ἐσφαλμένων (β). Ἔπειτα, πῶς οὐ παράδοξος Ὅδιος, ὅστις ἐκ μιᾶς καὶ μόνης, καὶ ταύτης ἀμφιβόλου μαρτυρίας, ἠθέλησεν ἀποδεῖξαι τὸν γηραιὸν Τερτυλλιανὸν πάσας ἑρμηνείας ἀναγινώσκοντα μᾶλλον, ἢ τοὺς Ο, καὶ τὴν τούτων θυγατέρα, τὴν πρωτότοκον Ἰτάλαν, ἐξ ἧς ἀντέγραψε τοσοῦτον πλῆθος μαρτυριῶν; Τέλος· ὁ Τερτυλλιανὸς ἐχρήσατο μαρτυρίαις ἐκ τῆς Ἰουδεὶθ, καὶ τῆς Σοφίας τοῦ Σολομῶντος, καὶ ἐκ τῶν Μακκαβαϊκῶν· καὶ τὸν Σειρὰχ θείαν γραφὴν ὀνομάζει (γ).

§. ος. Ἱππόλυτος ὁ ἱερομάρτυς, Εἰρηναίου μαθητὴς (τῷ 220

(α) Cave, Script. Eccl. Hist. p. 43.

(β) Οὕτως ἐν τῷ ἀνωτέρω ῥητῷ τοῦ Ἰεζεκιὴλ πρὸ τοῦ «δὸς σημεῖον» κτλ. ἀναγινώσκεται παρὰ τῷ Τερτυλλιανῷ « Dicit Dominus ad me· pertransi medio portæ, medio Jerusalem ». τουτ. Εἶπε Κύριος πρός με. Δίελθε ἐν μέσῃ τῇ πύλῃ, ἐν μέσῳ Ἱερουσαλήμ », ἀντὶ τοῦ, Δίελθε μέσην τὴν πόλιν, καὶ μέσην τὴν Ἱερουσαλὴμ (οἱ Ο, Κουμπλουτ. οὕτω καὶ τὸ ἑβρ.)· ὁ δὲ λατῖνος παραναγνοὺς ἐν τῷ ἑλλην. πύλην, ἀντὶ πόλιν, ἔγραψε portam· ἀλλὰ τίς πιςεύει, ὅτι καὶ Τερτυλλιανὸς οὕτως ἀνέγνω;

(γ) Tertul. De Monogam. c. 17: De Præscrip. c. 7; Adver. Jud. c. 4; De Exhortat. etc.

μ. Χ.) ἐν πᾶσι τοῖς σῳζομένοις αὐτοῦ λόγοις, ἢ ἀποσπάσμασιν, ἐκ τῶν Ο μεταγράφει τὰς προφητικὰς μαρτυρίας, καὶ ταύταις ὡς θεῖον κῦρος ἐχούσαις κέχρηται πρὸς ἀπόδειξιν καὶ αὐτῶν τῶν θειοτάτων, περὶ ὧν πολλάκις πεπραγμάτευται, δογμάτων. Ὅτι δὲ καὶ τὴν Σολομῶντος Σοφίαν τούτου συγγραφὴν γνησίαν ὁμολογεῖ, καὶ ῥήσεις ἐξ αὐτῆς ὡς Γραφικὰς μαρτυρίας ἐκφέρει, προείπομεν. Ἐπίσημος δὲ καὶ ἡ εἰς τὸν μακάριον Ἱππόλυτον ἐπιγραφομένη χρονολογία, κατὰ πάντα τοῖς Ο συμφωνοῦσα, ἐν ᾗ καὶ Καϊνᾶν ἀριθμεῖται, καὶ καθόλου τῆς Ἑβραίας χρονομετρίας ἡ πλάνη στηλιτεύεται (α). Ἀλλ᾽ οὐδ᾽ οὕτως ἐκορέσθη ἡ ἀπληστία τῆς Ὀδιακῆς κριτικῆς. Ἐπήγαγε γάρ, ὅτι δῆθεν ὁ ἱερὸς Ἱππόλυτος ἐν τοῖς εἰς *τὴν Γένεσιν ὑπομνήμασι* (Γεν. μθ) «τὴν μὲν κατὰ τοὺς Ο ἀνάγνωσιν οὐκ ἀποῤῥίπτει, ἀποδίδωσι δὲ ὅμως τὸ πλεῖστον κῦρος εἰς τὸν Ἀκύλαν»· καὶ εὐθὺς ἐπισυνείρει τοὺς Ἱππολύτου λόγους λατινιστί (σελ. 284). Ἐπειδὴ δ᾽ ἐν τούτοις ἡμεῖς τὴν Ὀδίου γνώμην οὐχ ἑωρῶμεν, ἀνελίξαμεν λοιπὸν αὐτὰ τοῦ Ἱππολύτου τὰ γράμματα, θεωρήσοντες τὸ χωρίον ἑλληνιστί. Ἀλλὰ παρὰ τούτῳ τὴν ῥῆσιν ὅλως οὐχ εὕρομεν, εὕρομεν δ᾽ αὐτὴν ἐν τῇ εἰς τὴν Γένεσιν Σειρᾷ τῶν ἱερῶν Πατέρων, ἀλλ᾽ οὐκ εἰς τὸν *Ἱππόλυτον*, εἰς δὲ τὸν Ταρσέα *Διόδωρον* ἐπιγεγραμμένην. Ὁ δὲ σοφὸς Ὄδιος ἠπατήθη· καὶ ξένον οὐδέν. *Σύσκηνος ἀπάτη τοῖς ταλαιπώροις βροτοῖς*. Ἐκεῖνο δὲ μόνον ἐθαυμάσαμεν· ποῦ πόθ᾽ εὗρεν Ὄδιος τὸ παρ᾽ Ἱππολύτου (δηλαδὴ τοῦ Διοδώρου) *πλεῖον τῷ Ἀκύλᾳ*, ἢ τοῖς Ο προσνεμόμενον *κῦρος*. Ἴδε τί φησιν ὁ Διόδωρος. «Πῶς οὖν σωθήσεται (ἴσ. γρ. *σταθήσεται*) τὸ «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, εἰμὴ οὕτω νοηθείη; ὅτι ἐξ Ἰακὼϐ οὐκ ἐκλείψει ἄρχων, τουτέστιν ἡ φυλὴ [ἡ] ἄρχουσα καὶ κρατοῦσα καὶ μείζων τῶν ἄλλων οὖσα, ἕως ἂν ἔλθῃ ὁ Κύριος. ὅτι δὲ τὴν φυλὴν ἄρχοντα *λέγει ὁ Μωϋσῆς*, ἀλλ᾽ οὐ τοὺς ἐν αὐτῷ (ἴσ. γρ. αὐτῇ) βασιλεύσαντας, μαρτυρεῖ ὁ Ἀκύλας, σκῆπτρον

(α) Βλ· τὸ λατινιστὶ σῳζόμενον τοῦτο Χρονικὸν ἐν Ἱππολύτ. σελ. 50. ἐκδ. Hamburg. 1716.

εἰρηκώς, ἀντὶ τοῦ ἄρχων· σκῆπτρον δὲ ἡ φυλὴ ὀνομάζεται. Καὶ γὰρ ἀληθῶς τὸ κατὰ τῶν ἄλλων ἀξίωμα διετέλεσεν ἔχουσα ἡ φυλὴ Ἰούδα τὸν πλείονα χρόνον, καὶ τὸν ναὸν ἔχουσα, καὶ τὴν κιβωτὸν» κτλ. (α). Ἐν τούτοις πᾶς τις ἐναργῶς καθορᾷ, α) ὅτι ὁ Διόδωρος τοὺς λόγους τῶν Ο θεωρεῖ ὡς λόγους αὐτόχρημα τοῦ Μωσέως αὐτοῦ· «*τὴν φυλὴν ἄρχοντα λέγει ὁ Μωϋσῆς*». β) ὅτι πρὸς τούτου δεῖξιν παρήγαγεν ἁπλοῦν μάρτυρα τὸν Ἀκύλαν, ὅςις ἀντὶ τοῦ Μωσαϊκοῦ ἄρχων, ἔγραψε *σκῆπτρον* (β). Ταὐτὰ λέγει (ὡς ἐπίπαν) καὶ ἡ παρ' Ὀδίῳ λατινὶς ἑρμηνεία (γ). Πῶς λοιπὸν ἐν τούτοις εὗρεν ὁ κριτικὸς τὸν Ἀκύλαν προτιμώμενον τῶν ἴσα καὶ Μωσεῖ κατὰ τὴν φράσιν τετιμημένων Ο, αὐτὸς ἂν εἰδείη. (δ).

(α) Βλ. Σειρὰν εἰς τὴν Ὀκτάτευχον τόμ. α. σελ. 519. ἐκδ. Θεοτ.

(β) Οὕτως ἔχει καὶ τὸ νῦν ἑβρ. Schebeth, ὅπερ καὶ ῥ ά β δ ο ν, καὶ σ κ ή π ω ν α, καὶ σ κ ῆ π τ ρ ο ν σημαίνει β α σ ι λ ι κ ὸ ν (ὅθεν καὶ ἐξουσίαν, ἡγεμονίαν, καὶ ἄ ρ χ ο ν τ α, ὡς ἀνωτέρω)· καὶ ὅλην φ υ λ ὴ ν τ ο ῦ Ἰ σ ρ α ή λ. Οὕτω καὶ παρὰ τοῖς Ο ἐκλαμβάνεται τὸ σκῆπτρον ἐν Γ. Βασιλ. ια, 35, 36, καὶ ἀλλαχοῦ. (Περὶ δὲ τῆς ἐξηγήσεως τοῦ ῥητοῦ βλ. καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ Σειρᾷ ἱεροὺς Πατέρας, καὶ Ἰουστῖν. π. Τρύφων. §. 32 κτλ.).

(γ) Ἰδοὺ καὶ ἡ παρ' Ὀδίῳ λατινὶς ἑρμηνεία τοῦ χωρίου. «Qua igitur ratione fidem praestabit illud N o n d e f f i c i e t p r i n c e p s d e J u d a? Nam potius accipiendum hoc est, ex Jacob filius non deficiet princeps, id est tribus quæ aliarum princeps et major erit. Quod pro principe Moses primum gradum locumque in tribubus intelligat, non autem ex ejus tribus stirpe Reges, testatur A q u i l a. qui loco p r i n c e p s vertit sceptrum, quo nomine Judæa appellatur, ut quæ praeter caeteras dignitate polleret, penes quam Templum, Arca etc.

(δ) Καὶ ὁ Λύμπερος (Historia etc. T. 8. p. 75) ὑπέλαβε τὸν ἱερὸν Ἱππόλυτον ὡς πολλαχοῦ κεχρημένον ταῖς Ἀκύλα καὶ Συμμάχου ἑρμηνείας· καὶ πρὸς τούτου δεῖξιν παραπέμπει εἰς δύω τόπους τοῦ Ἱππολύτου (σελ.22-23, καὶ 26). Ἀλλ' ἔσφηλε τὸν Λύμπερον ὁ Συλλογεὺς τῶν ἐν τούτοις τοῖς τόποις ἀποσπασμάτων τῶν εἰς τὴν Γένεσιν ὑπομνημάτων τοῦ Ἱππολύτου, ὅπου καταγράφει τὰ χωρία τῆς Γραφῆς κατὰ τὸ εἶδος τῶν Ἑξαπλῶν, πρῶτον κατὰ τὴν ἑρμηνείαν τῶν Ο, εἶτα κατὰ τὸν Ἀκύλαν, ἔπειτα κατὰ τὸν Σύμμαχον, καὶ εὐθὺς ὑποτάσσει τὴν ἐξήγησιν τοῦ Ἱππολύτου, ἥτις ὅμως ἐξηγεῖ τὸ ῥητὸν κατὰ τοὺς Ο· οὕτω φέρ' εἰπεῖν (σελ. 22-23), ἐν Γενέσ. μθ, 3 (« Ῥουβὴν πρωτότοκός μου », κτλ) μετὰ τὴν ἔκθεσιν τῶν τριῶν ἑρμηνειῶν, ὑπόκειται τὸ τοῦ Ἱππολύτου ὑπόμνημα, διερμηνεῦον ἀκραιφνῶς τὰ τῶν Ο

§. οζ. Ἰούλιος ὁ Ἀφρικανὸς (τῷ 220 μ. Χ.) τά τε περὶ τὴν ἄλλην παιδείαν διάσημος ἀνὴρ, καὶ μάλιστα διαπρέψας «*ἐν ταῖς ἐξετάσεσι καὶ μελέταις τῆς θείας Γραφῆς*» (Ὠριγέν. π. Ἀφρικ.), καὶ τῆς ἑβραϊκῆς δὲ γλώσσης ἐγκρατὴς (ὡς φαίνεται σαφῶς ἐν τῇ πρὸς Ὠριγένην ἐπιστολῇ). Ὅτι *τοίνυν* καὶ οὗτος θείαν καὶ γνησίαν ἐφρόνει τὴν ἑρμηνείαν τῶν Ο, ἀρκεῖ πρὸς ἀπόδειξιν ἡ περίφημος, ἣν *κατὰ* τοὺς Ο συνέγραψε, χρονολογία (ἐξ ἧς ἠρανίσατο καὶ Εὐσέβιος, καὶ πάντες μονονοὺ οἱ μεταγενέστεροι χρονογράφοι), παριδὼν τὴν καθ' ἑβραίους, ὡς λελωβημένην. Καὶ ἐξ αὐτῆς δὲ τῆς πρὸς Ὠριγένην ἐπιστολῆς ἀποδείκνυται κυριωτάτην πρεσβεύων τὴν ἑρμηνείαν τῶν Ο. Διαλεγόμενος γὰρ πρὸς Ὠριγένην περὶ τῶν Γραφῶν, μόνον τὰ περὶ τῆς Σωσάννης καὶ τὰς ἄλλας τοῦ Δανιὴλ περικοπὰς ὡς κιβδήλους ὑπώπτευσε. «πῶς ἔλαθέ σε (φησὶ) τὸ μέρος τοῦ βιβλίου τοῦτο *κίβδηλον ὄν;*» (βλ. Βιβλ. Γ. σελ. 641), τ' ἄλλα πάντα γνήσια πάντως ὁμολογῶν. Ἀλλ' ὁ Ἀφρικανός (φησιν Ὅδιος) ἔγραψε πρὸς Ὠριγένην, ὅτι *πρὸ πάντων* ἡ τῆς Σωσάννης περικοπὴ *τῷ παρὰ τῶν Ἰουδαίων εἰλημμένῳ Δανιὴλ οὐκ ἐμφέρεται*». Ἐκ δὲ τῶν λόγων τούτων δῆλός ἐστιν ὁ Ἀφρικανὸς τὸ κράτιστον κῦρος ἀπονέμων εἰς τὴν παρ' Ἰουδαίοις εἰλημμένην (παραδεδεγμένην) ἑβραϊκὴν Γραφήν- Ἀλλ' (ἀπαντῶμεν) οὐδὲν τοιοῦτον ἐμφαίνουσιν οἱ λόγοι τοῦ Ἀφρικανοῦ. Μόνον περὶ τῆς Σωσάννης οὗτος ἀμφιβάλλων, πρὸς αἷς ἔφερεν ἀποδείξεσι προσέθηκε καὶ ταύτην, ὅτι παρ' ἑβραίοις σῳζομένου τοῦ Δανιὴλ, οὐκ ἐμφέρονται αἱ περικοπαὶ (ἔδει δὲ κἀκεῖ ταύτας ἐνυπάρχειν, εἴπερ ἦσαν γνήσιαι)· περὶ δὲ καθολικῆς τοῦ ἑβραϊκοῦ κυριότητος καὶ ἐπικρατεστέρας ὑπὲρ τὴν ἑρμηνείαν αὐθεντίας, οὐδὲν ἔγραψεν, οὔτ' ἐφρόνησεν ὁ Ἀφρικανός. (καὶ πῶς ἂν εἶχεν; ὅστις δι' ὅλης τῆς χρονολογίας

μόνα. Ἐν δὲ σελ. 26 κεῖται τὸ Γεν. μθ, 16 (« Δὰν κρινεῖ » κτλ.), κατὰ τοὺς Ο μόνον. Ἐν δὲ τῇ ἐξηγήσει τοῦ Ἱππολύτου, παραῤῥίπτονται καὶ δύω λέξεις τοῦ Ἀκύλα, μηδόλως τούτου ὀνομαζομένου, οὕτω· « πειρατήριον πειρατεύσει. Εὔζωνος εὐζωνήσει» (τὸ α, τῶν Ο. τὸ β, τοῦ Ἀκύλα). Ἀλλ' ἐν τούτῳ φαίνονται αἱ λέξεις παρεισφρήσασαι εἰς τὸ τοῦ Ἱππολύτου κείμενον ἐκ τοῦ περισελίδου.

ἀπεσκυβάλισε τὸ ἑβραϊκὸν, παρακολουθήσας τοῖς Ο). Καὶ πάντα δὲ ὅσα πρὸς Ὠριγένην ἔγραψε περὶ τῶν περικοπῶν, οὐχ ὡς βέβαια πρεσβεύων ἐφάνη, ἀλλ' ὡς ἁπλᾶς ὑπονοίας, περὶ ὧν ἐξητεῖτο τὴν Ὠριγένους ψῆφον· «*Ἔκρουσα* (λέγει)· *σὺ δέ μοι ἤχησον· καὶ ἀντιγράφων* (τουτ. ἀντεπιστέλλων), *παίδευε*». Ὁ δὲ κλεινὸς Οὐόσσιος (α) εἰς τὸν Ἀφρικανὸν ἀναφέρει κἀκείνην τὴν παρ' Εὐσεβίῳ καὶ Συγκέλλῳ σῳζομένην περικοπήν. «Πανταχόθεν τοιγαροῦν τῆς τῶν Ο ἑρμηνείας ἐκ παλαιᾶς, ὡς ἔοικε, καὶ ἀδιαστρόφου γραφῆς μεταβεβλῆσθαι συνισταμένης, εἰκότως ταύτῃ ἡμεῖς κεχρήμεθα κατὰ τὴν παροῦσαν χρονογραφίαν· ὅτε μάλιστα καὶ ἡ καθ' ὅλης τῆς οἰκουμένης ἡπλωμένη Χριστοῦ Ἐκκλησία ταύτῃ μόνῃ προσέχει», καὶ τὰ ἑξῆς (βλ. τὴν περικοπὴν ὄπισθεν Βιβλ. Γ. σελ. 835). Ἀλλ' Ὅδιος ἀντεῖπεν, ἀποφηνάμενος, ὅτι μέγιστον Οὐόσσιος ἐσφάλη, ἀπονέμων τῷ Ἀφρικανῷ καὶ τούτους καὶ ἄλλους τοιούτους λόγους τοῦ Συγκέλλου. Καὶ ὅμως τοὺς λόγους τούτους ἔχει καὶ ἡ παλαιὰ τῶν Εὐσεβίου χρονικῶν Ἀρμενικὴ μετάφρασις (β). Ὁ δὲ πολλὰ τῶν Ἀφρικανοῦ βεβαίως ἀντιγράψας Εὐσέβιος, οὐδὲν ἀπεικὸς, εἰ καὶ ταῦτα μετέλαβεν. Ἐκ δὲ τούτου, ἢ καὶ ἐξ αὐτοῦ τοῦ Ἀφρικανοῦ (οὗ περικοπὰς πολλὰς ἔχει), καὶ ὁ Σύγκελλος. Εἰ δὲ καὶ Εὐσέβιος αὐτὸς ἔγραφε ταῦτα, οὐκ ἂν ἐξήρκει πρὸς μαρτυρίαν; Προσέθηκεν Ὅδιος, καὶ ὅτι ὁ Ἀφρικανὸς ἐν τῇ χρονολογίᾳ παρέλιπε τὸν Καϊνᾶν, διότι οὐδ' ἐν τῷ ἑβραϊκῷ κεῖται. Ἀλλὰ τὴν ἔλλειψιν ταύτην ἤλεγξε μὲν ὁ Σύγκελλος, ἐλέγχει δὲ πρὸ πάντων ὁ Εὐαγγελιστὴς Λουκᾶς (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 733, 740). Καὶ κατ' αὐτὴν τὴν γενεολογίαν τοῦ Κυρίου, ἣν ἰδίως ἐξεπόνησεν ὁ Ἀφρικανὸς (πραγματευόμενος περὶ τῆς μεταξὺ Ματθαίου καὶ Λουκᾶ νομιζομένης διαφωνίας) λείπουσιν ἕτερα δύω πρόσωπα, ὁ *Μελχὶ* καὶ ὁ *Λευὶ*, ὅπερ ἄλλοι ἄλλως πειρῶνται θεραπεύειν (γ).

(α) Voss. Respons. ad objecta Critic Sacr. V. T.

(β) Βλ. Εὐσεβ. Χρονικ. σελ. 67. ἐκδ. Mediolan. 1818.

(γ) Βλ. τὸ χωρίον παρ' Εὐσεβίῳ (Ἐκκ. ἱστ. Α, ζ), ὅστις καὶ αὐτὸς παρέλιπε τὰ δύω ὀνόματα (καὶ Εἰρηναῖος, Γ. 33. ἀλλ' ἐξ ἀντιγράφου διεφθαρμένου· βλ. ἔκδ.

§. οη. Ὠριγένης ὁ μέγας, ὁ Ἀδαμάντιος καὶ Χαλκέντερος, οὗ καὶ μόνον τὸ ὄνομα πρὸς ἔπαινον ἀρκέσει δι' αἰῶνος (ἐν οἷς ἐφρόνησεν ὀρθῶς), καὶ ὃν ὁ Δίδυμος (συγκαιταινοῦντος καὶ τοῦ Ἱερωνύμου) διδάσκαλον τῆς Ἐκκλησίας μετὰ τοὺς Ἀποστόλους ἐκάλεσεν (α), ἤκμαζε τῷ 231 μ. Χ. Ὅ,τι δὲ καὶ οὗτος ἐφρόνει περὶ τῶν κατὰ τοὺς Ο θείων Γραφῶν, ὀψόμεθα εὐθὺς, ἀφ' οὗ πρῶτον διαλάβωμεν, ὅπως οἱ περὶ τὸν Ὅδιον κριτικοὶ κατεσπούδασαν ἀποδεῖξαι τὸν Ὠριγένην ἐξ αὐτῶν αὐτοῦ τῶν λόγων καταφρονοῦντα μὲν τῆς ἑρμηνείας, πᾶσαν δὲ τὴν γνησιότητα καὶ τὸ κῦρος εἰς μόνην ἀποκληροῦντα τὴν Ἑβραΐδα Γραφήν. Οὗτοι τοίνυν κατὰ πρῶτον ὁμολογοῦσιν, ὅτι Ὠριγένης ἐν τῇ πρὸς Ἀφρικανὸν ἐπιστολῇ προασπίζεται τῆς ἑρμηνείας τῶν Ο. Καὶ καταγράφουσιν ἄλλα τέ τινα χωρία τῆς ἐπιστολῆς, καὶ μάλιστα τὸ ἑξῆς. «Ὥρα τοίνυν (εἰ μὴ λανθάνει ἡμᾶς τὰ τοιαῦτα) ἀθετεῖν τὰ ἐν ταῖς Ἐκκλησίαις φερόμενα ἀντίγραφα, καὶ νομοθετῆσαι τῇ ἀδελφότητι ἀποθέσθαι μὲν τὰς παρ' αὐτοῖς ἐπιφερομένας ἱερὰς βίβλους, κολακεύειν δὲ Ἰουδαίους, καὶ πείθειν, ἵνα μεταδῶσιν ἡμῖν τῶν καθαρῶν καὶ μηδὲν πλάσμα ἐχόντων. Ἆρα (γρ. Ἆρα) δὲ καὶ ἡ Πρόνοια ἐν ἁγίαις Γραφαῖς δεδωκυῖα πάσαις ταῖς Χριστοῦ Ἐκκλησίαις οἰκοδομὴν, οὐκ ἐφρόντισε τῶν τιμῆς ἀγορασθέντων, ὑπερ ὧν Χριστὸς ἀπέθανε;» κτλ. (β) Ἀφ' οὗ δὲ ταῦτα προέταξεν Ὅδιος, καί τινας ἄλλας ὀλίγας Ὠριγένους ὑπὲρ τῶν Ο μαρτυρίας (ἃς γράψομεν παρακατιόν-

---

Grabe). ἴδε καὶ Vales. annot. εἰς Εὐσεβ. αὐτόθ. Millij Nov. Test. in Luc. III. not. 24. καὶ Lumper, Historia etc. vol. 7- p. 95. κτλ. καὶ τοῦ ἡμετέρου Εὐγενίου τὴν ἐκ τοῦ Calmet μετάφρασιν τοῦ Συμβιβασμοῦ τῶν δύω Γενεαλογιῶν, κτλ. σελ. 4.

(α) Hieron. Praef. in Ezech.

(β) Ὠριγέν. ἐπις. π. Ἀφρικ. σελ. 16, ἐκδόσ. Delarue. Ἔχει ταύτην τὴν περικοπὴν καὶ Ὅδιος (ἐκ τῆς πολυαμαρτήτου ἐκδόσεως τοῦ Βετιστενίου), ἀλλὰ κακῶς ἐν μέρει γεγραμμένην, καὶ κάκιστα μεθηρμηνευμένην, οὑτωσί· «Ὅρα τοίνυν, εἰ μὴ λανθάνει ἡμᾶς, τὰ τοιαῦτα ἀτεθεῖν, τὰ παρὰ ταῖς Ἐκκλησίαις φερόμενα ἀντίγραφα, καὶ νομοτεθῆσαι τῇ ἀδελφότητι» κτλ. (ὡς ἀνωτέρω)· καὶ ἐκλατινίζει (οὐκ αὐτὸς, ἀλλ' ἄλλος ἀρχαιότερος) οὑτωσί. Vide igitur (etiamsi non lateat

τες), ἔπειτ' ἐπάγει. «Ἀλλ' ὑπάρχουσιν ἄλλα πάμπολλα χωρία, ἐν οἷς Ὠριγένης οὐ στρέφει τὰ νῶτα, ἀλλ' ἀπ' εὐθείας καὶ διαῤῥήδην ἀνακηρύττει, ὅτι τὴν ἑρμηνείαν τῶν Ο οὐκ εἶχεν αὐθεντικὴν, προτιμῶν τὸ ἑβραϊκόν» (σελ. 288)· καὶ καταριθμεῖ τοὺς τόπους ὁ κριτικὸς διὰ τῶν ἐφεξῆς ἀρθριδίων.

1) Ἐν μέν (φησι) τῇ πρὸς Ἀφρικανὸν ἐπιστολῇ ὑπερασπίζεται τῆς ἱστορίας τῆς Σωσάννης ὁ Ὠριγένης, ὡς ἀναγινωσκομένης ἐν τῇ Ἐκκλησίᾳ κατὰ τοὺς Ο· ἀλλαχοῦ δὲ χρῆται τῇ κατὰ Θεοδοτίωνα μεταφράσει. Οὕτως ἐν τῷ Ι, βιβλίῳ τῶν αὐτοῦ Στρωματέων μνημονεύσας τινὰς ῥήσεις ἐκ τῆς Σωσάννης, ἔπειτ' ἐπιφέρει· «τοῦτο τὸ χωρίον ἐξεθέμην ἐκ τῆς τῶν Ἑβδομήκοντα ἑρμηνείας». Ὥςε (φησὶν Ἱερώνυμος) τὰ λοιπὰ ἐξήνεγκεν οὐ κατὰ τοὺς Ο!— Ἀλλ' ἐν τούτοις (ἀπαντῶμεν) ὁ Ὄδιος πρῶτον μὲν, ἀδικεῖ καὶ τὸν Ὠριγένην καίπως καὶ τὸν Ἱερώνυμον· ἴδε τὰ περὶ τούτων ἐκτενέστερον ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Β. σελ. 629, 636). Ἔπειτα δὲ καὶ αὐτὸς εἰς ἑαυ-

---

nos) haec talia irrita facere exemplaria, quæ in Ecclesiis nostris habentur, et fratribus legem figere, tum abjiciendi libros sacros apud illos usitatos; tum Judæis blandiendi et suadendi, ut nobis puros, et nullum figmentum continentes libros tradant etc. ἤτοι «Βλέπε (ὅρα) τοίνυν (καὶ τοι μὴ λανθάνει ἡμᾶς) ταῦτα τὰ τοιαῦτα ἀθετεῖν ἀντίγραφα, ἃ ἐν ταῖς ἡ μ ε τ έ ρ α ι ς Ἐκκλησίαις φέρονται, καὶ τοῖς ἀδελφοῖς νόμον ἐπάγειν, ἀποῤῥίψαι μὲν τὰς ἐν χρήσει παρ' αὐτοῖς ἱερὰς βίβλους, Ἰουδαίους δὲ κολακεύειν καὶ πείθειν, ἵν' ἡμῖν τὰ καθαρὰ καὶ μηδὲν πλάσμα ἔχοντα βιβλία παραδῶσι» κτλ. Ἐκ δὲ τῆς τοιαύτης γραφῆς καὶ ἑρμηνείας φαίνεται λέγων Ὠριγένη τἀναντία ὧν αὐτὸς γράφει· «Ὅρα (λέγει) ἀθετεῖν (τουτ. ὅ π ω ς ἀ θ ε τ ή σ ε ι ς, ἢ καὶ π ρ ὸ ς τ ὸ ἀ θ ε τ ε ῖ ν, ἢ ὅπως ἄλλως ἄν τις ἐκλάβῃ τὴν σόλοικον σύνταξιν τοῦ ὁρᾶν πρὸς ἀπαρέμφατον) τὰ ἐν ταῖς Ἐκκλησίαις φερόμενα ἀντίγραφα, καὶ τοῖς ἀδελφοῖς νόμον ἐπάγειν, ἀποῤῥίψαι μὲν κτλ. Ἀλλ' ὁ Ὠριγένης εἰρωνικῶς σχηματίζων τὸν λόγον, βούλεται καταδεῖξαι τῆς ἀτοπίας τὸ μέγεθος, εἴτις νομίζοι τὰς μὲν ἐν τῇ Ἐκκλησίᾳ Γραφὰς τῶν Ο διεφθαρμένας, ἀκραιφνεῖς δὲ τὰς τῶν Ἰουδαίων, ὥστε παρὰ τούτων τοὺς χριστιανοὺς ἐξαιτεῖσθαι τὰ γνήσια καὶ ἀληθινά.! (βλ· ὄπισθ. Βιβλ. Γ. σελ. 90). Ὅτι δὲ ταῦτα λέγει Ὠριγένης, αὐτός τε κηρύττει ὁ λόγος, μαρτυρεῖ δὲ καὶ Ῥουφῖνος τοῦτ' αὐτὸ τὸ Ὠριγένειον μιμηθεὶς (ἐν Invectiv. 2). «Καὶ τοίνυν ἡ Ἐκκλησία πρέσβεις πέμψει πρὸς τὴν περιτομὴν (τοὺς περιτετμημένους Ἰουδαίους) ἱκετεύουσα καὶ προσλιπαροῦσα, ὅπως αὐτῇ χαρίσαιντό τι τῆς παρ' αὐτοῖς ἀληθείας»!

τὸν περιπίπτει. Εἴπερ γὰρ Ὠριγένης ἐκ τῶν Ο, ἔστι δ' ὅπου καὶ ἐκ τοῦ Θεοδοτίωνος ἐξηγεῖτο τὰ τῆς Σωσάννης, ἣν ἔκπαλαι τὸ ἑβραϊκὸν ἀπεκάρη (κατὰ δὲ τοὺς ἑβραϊστὰς, καὶ τὸν Ὅδιον αὐτὸν, οὐδ' εἶχε ταύτην πώποτε τὸ ἑβραϊκὸν), πῶς λοιπὸν ἐν τοῖς οὐκ οὖσιν ἐτίμα τὸ ἑβραϊκὸν ὑπὲρ τοὺς Ο; μᾶλλον δὲ, πῶς οὐ διὰ τούτων ἐξήλεγχε τὴν λώβην καὶ ἀτέλειαν τοῦ ἑβραϊκοῦ;

2) Ὁ Ἱερώνυμος ἔγραψεν, ὅτι Ὠριγένης μετ' Εὐσεβίου καὶ Ἀπολλιναρίου τοὺς περὶ τὴν Σωσάνναν καὶ τὸν Βὴλ καὶ Δράκοντα μύθους ἐκ τῆς κανονικῆς ἀπέβαλλον Γραφῆς, ὡς μὴ κείμενα παρ' Ἑβραίοις. -Οὐθ' ὁ Ἱερώνυμος (ἀπαντῶμεν) ἐσημείωσε ποῦ τοιαῦτα γέγραφεν Ὠριγένης, καὶ Ὅδιος ὑποκρύπτεται πάλιν ὑπὸ τὴν Ἱερωνύμου πρωτοστασίαν, μηδ' αὐτὸς ἐν ἑαυτῷ πειθόμενος ταῖς τοῦ Πατρὸς ὑπερβολαῖς. Ἀλλὰ καὶ πρὸς ταῦτα ἀπηντήσαμεν τὰ εἰκότα (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 639).

3) Ἐξηγῶν τὰς Γραφὰς Ὠριγένης, εἰώθει καὶ πρὸς Ἰουδαίους ἀνατρέχειν, καὶ τούτοις περὶ τῶν ἀπορουμένων χρῆσθαι συμβούλοις, ὡς Ἱερώνυμος ἱςορεῖ.— Ἀλλὰ ταῦτα καὶ πρότερον εἶπεν Ὅδιος, ὡς εἴδομεν ἐν τοῖς προηγηθεῖσιν (§. οδ). Ἤδη δὲ σημειοῦμεν, ὅτι τὸ πλεῖστον τοῦ βάρους, καὶ αὐτὴν (ὡς λέγουσι) *τὴν ἐντεριώνην* τοῦ ἐπιχειρήματος ἐζημιώθη ὁ κριτικὸς, ἐκφέρων τὰ περὶ τούτου κατὰ τὴν Ἱερωνύμου μετάφρασιν, καὶ οὐκ ἀπὸ τῶν αὐτοῦ τοῦ Ὠριγένους λόγων, οἳ σῴζονται καὶ καθ' ἡμᾶς, ἔχοντες οὕτως. «Ἐγὼ μὲν ᾤμην ἕνα εἶναι ἐν τῇ βίβλῳ τῶν Ψαλμῶν, ὃς ἐπεγέγραπτο «*προσευχὴ τοῦ Μωϋσῆ ἀνθρώπου τοῦ Θεοῦ*». Τὸ ὕστερον δὲ, ἀνακοινούμενος περί τινων λογίων Θεοῦ Ἰούλλῳ τῷ πατριάρχῃ καί τινι τῶν χρηματιζόντων παρ' Ἰουδαίοις σοφῶν, ἀκήκοα, ὅτι δι' ὅλης τῆς βίβλου τῶν Ψαλμῶν ἀπὸ τῶν α καὶ β, οἳ παρ' Ἑβραίοις ἀνεπίγραφοί εἰσιν, ἢ ἐπιγραφὴν μὲν ἔχοντες οὐχὶ δὲ καὶ τὸ ὄνομα τοῦ γράψαντος, ἐκείνου εἰσὶν, οὗ τὸ ὄνομα φέρεται ἐν τῷ πρὸ τούτων ἐπιγραφὴν ἔχοντι Ψαλμῷ. Καὶ περὶ τούτων λέγων» (ὁ ἰουδαῖος σοφὸς), «πρότερον μὲν ἔφασκεν, ὅτι τρισκαίδεκά εἰσιν οἱ τοῦ Μωσέως· ὡς δὲ ἐξ ὧν ἀκήκοα, καὶ αὐτὸς . . *τὴν* (λείπει. ἴσ. γρ. *ἐσκεψάμην*), «ἀνέφερον ἐπ' (ἴσ.

γρ. εἰς) αὐτὸν, ὅτι εἰσὶν ἕνδεκα· εἶτα πυθόμενος τοῦ *παρ' αὐτοῖς δοκοῦντος σοφοῦ*, ἐμάνθανον, ὅτι εἶεν ἕνδεκα»- (καὶ τούτους ἀριθμεῖ ἀπὸ τοῦ πη, μέχρι τοῦ ϙθ κατὰ σειράν· ἔπειτα ἐπάγει). «Τούτων εἰρημένων εἰς τοὺς Ψαλμοὺς, οἵ *ἀπὸ* (ἴσ. γρ. *ὑπὸ*) *Ἑβραίων ἀναφέρονται* εἰς Μωσέα, ἀνθυποφορὰν ὑπειδόμενος ὁ Ἰουδαῖος, ἔθηκεν αὐτὴν *τὴν φαινομένην αὐτῷ λύσιν*· ἑώρα γὰρ, ὅτι ἀντεῖπεν ἄν τις περὶ τοῦ μὴ εἶναι τὸν ἕνα τῶν ια, Ψαλμῶν (τὸν ϙη) τοῦ Μωσέως, ἐκ τοῦ «Ὑψοῦτε κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ· *ἅγιος Μωσῆς* (γρ. *ὅτι ἅγιός ἐστι*. Μωϋσῆς) «*καὶ* Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ *Σαμουὴλ* ἐν τοῖς ἐπικαλουμένοις» κτλ· πῶς τὸ ὄνομα τοῦ Σαμουὴλ, γενομένου πλείοσιν ὕστερον γενεαῖς, Μωσῆς ἔθηκεν ἐν τῷ ἑαυτοῦ Ψαλμῷ; ἔλεγεν οὖν πρὸς τοῦτο (ὁ Ἰουδαῖος), ὅτι οὐδὲν θαυμαςὸν προπεφητεῦσθαι ὑπὸ Μωσέως τὸ ὄνομα Σαμουὴλ» κτλ (α). Ἐν τούτοις βλέπεις, ἀναγνῶστα, πῶς ὁ Ὠριγένης μόνον *περὶ τῶν ἐπιγραφῶν τῶν Ψαλμῶν* τὸν λόγον ποιούμενος, α) ἀναφέρει ὅ,τι

(α) Βλ. **Montfauc. Hexapl.** Origen. T. 1. p. 79-80. Ἰδοὺ καὶ τί λέγει περὶ τούτων ὁ Ἱερώνυμος. **Certe etiam Origenes Patriarchem Huillum-nominat. et trigesimum tomum in Esaiam, in cujus fine edisserit, V a e t i b i c i v i t a s A r i e l, q u a m e x p u g n a v i t D a v i d, illius expositione concludit. et, quum aliter prius sensisse se dicat, doctum ab illo id quod est v e r i u s confitetur.** Octogesimum quoque nonum Psalmum, qui **inscribitur O r a t i o M o y s i h o m i n i s D e i, et reliquos undecim, qui non habent titulos, secundum Huilli expositionem, ejusdem Moysi putat etc. (adver. Ruffin. I).** Ἀλλὰ περὶ μὲν τοῦ «(Οὐαί σοι πόλις Ἀριὴλ) ἣ ν ἐ π ο λ έ μ η σ ε Δ α β ὶ δ» (Ἡσαϊ. κθ, 1) ὅ,τι εἶπεν Ὠριγένης, σῴζεται παρ' Εὐσεβίῳ (εἰς Ἡσ. κθ), ἀριθμοῦντι μόνον ἁπλῶς τὰς παρ' Ἀκύλᾳ καὶ Συμμάχῳ ἑρμηνείας· ὅτι (τὸ Ἑβρ. **Hanna**) Ἀκύλας ἡρμήνευσε (πολίχνη) β ι ο τ ε ύ σ ε ω ς Δαβίδ· ἄλλοι, π α ρ ε μ β λ ή σ ε ω ς, ἢ π α ρ ε μ β ο λ ῆ ς (κτλ. **Monfauc. Hexapl.**)· αὐτὸς δὲ τοῦτο ὁ Ἱερώνυμος ἔγραψεν ἀκριβῶς, ὡς ἔχουσιν οἱ Ο· «ἣν ἐ π ο λ έ μ η σ ε» (**Vulgat.**). Ὅτι δὲ τὸν παρ' Ὠριγένει πατριάρχην Ἴουλλον κακῶς ἔγραψε **Huillum** (ὃ κουφότατον παράπτωμα), καὶ ὅτι ἀπένειμεν εἰς τὸν Ἴουλλον, ὅσα φησὶν Ὠριγένης ὅτι ἤκουσε παρὰ τοῦ παρ' Ἰούλλῳ σοφοῦ, ἐσημειώσατο καὶ Μοντεφαλκώνιος (ἐν Ἑξαπλ. τόμ. α. σελ. 77). Ὅτι δὲ οὐδὲ τῶν ἄλλων τοῦ Ὠριγένους λόγων τὸν νοῦν ἐξηκρίβωσεν ὁ μακάριος Ἱερώνυμος δῆλον, ἐξ ὧν λέγομεν ἀνωτέρω.

ἔλεγον οἱ Ἰουδαῖοι, μηδὲν προστιθεὶς, ὅτι παρ' αὐτῶν ἐμάνθανε *τ' ἀληθέστερα* (ὡς εἶπεν ὁ Ἱερώνυμος). α *φ́μην* λέγει, *πρότερον* (πρὶν ἢ ἀκούσω τὰ παρὰ τῶν Ἰουδαίων), ἕνα εἶναι τὸν εἰς τὸν Μωσῆν ἐπιγραφόμενον Ψαλμὸν (ὡς εἷς καὶ νῦν ἐστι παρά τε τοῖς Ο, ὁ πθ, καὶ ἐν αὐτῷ τῷ ἑβραϊκῷ, ὁ 90). εἶτα δὲ ἤκουσε καὶ τὰ παρ' Ἰουδαίων λεγόμενα περὶ τῶν ἐπιγραφῶν. β). Ὅτι τοσοῦτον ἐδέησεν Ὠριγένης ὁμολογῆσαι τοὺς Ἰουδαίους ἀληθέστερα λέγειν, ὧν αὐτὸς πρότερον ἐφρόνει, ὥστε καὶ χλευάζει τὸν παρ' αὐτοῖς *δοκοῦντα* σοφὸν, καὶ τοῦτον ἐξελέγχει κακῶς ἀριθμήσαντα 13, τοὺς ἕνδεκα μόνους ψαλμοὺς (οἵτινες οὐκ εἶχον ἐν τῷ ἑβρ. ἐπιγραφὴν τοῦ Δαβὶδ, ἢ ἄλλου τινὸς, ὡς καὶ αὐτὸς παρετήρησε). γ) Ὅτι καὶ ἐν αὐτοῖς τοῖς ια ἐπέφερεν ἀνθυποφορὰν εἰς τὴν Ἰουδαίων γνώμην, ἐξελὼν τὸν ϙη, ὅπου ἀπιθάνως ὁ Μωϋσῆς (εἰς ὃν ἀνέφερον οἱ Ἰουδαῖοι τὸν Ψαλμὸν) ἐμνημόνευσε τὸν πολλοῖς ἐνιαυτοῖς μεταγενέστερον Σαμουήλ. Καὶ τὴν περὶ τούτου λύσιν τοῦ Ἰουδαίου ἐξουθενεῖ λέγων, *τὴν φαινομένην αὐτῷ λύσιν*. δ) τέλος (ὅπερ οὐθ' Ἱερώνυμος ἐσημείωσεν, οὔτε Ὅδιος παρετήρησεν), ὁ Ὠριγένης πρὸς τὸν Ἰουδαῖον Πατριάρχην καὶ τὸν παρ' αὐτῷ σοφὸν διαλεγόμενος περὶ τῶν Ψαλμῶν, ἀριθμεῖ τούτους κατὰ τοὺς Ο, οὐχ ὡς ἔχουσιν ἐν τῷ νῦν ἑβραϊκῷ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 607), καὶ οἱ Ἰουδαῖοι συγκατετίθεντο περὶ τὴν ἀρίθμησιν. Καὶ ταῦτα μὲν οὕτω. Πόσον δ' Ὠριγένης ἐσέβετο τὰς κατὰ τοὺς Ο ἐπιγραφὰς τῶν Ψαλμῶν, δῆλον καὶ ἐξ ἄλλων αὐτοῦ ἀποσπασμάτων, σῳζομένων ἐν τοῖς αὐτοῦ συγγράμμασι (Τόμ. β, σελ.516, κτλ.), καὶ ἐν τοῖς Ἑξαπλοῖς (Τόμ. α. σελ. 81. Μοντεφ.). Ἡμεῖς δὲ μεταβαίνομεν εἰς τὴν ἀκολουθίαν τῶν ἄλλων ἀντιῤῥήσεων τῶν Ὀδιακῶν.

4) Οὐ μόνον (φησὶν) ἐκ τῶν Ο, ἀλλὰ καὶ ἐκ τῶν ἄλλων τῶν πρὸς τούτους διαφωνούντων ἑρμηνευτῶν μαρτυρίας ἐξέφερεν Ὠριγένης ἐν τοῖς συγγράμμασιν αὐτοῦ· καὶ μάρτυς Ἱερώνυμος (Προοιμ. εἰς Ἡσαΐαν), λέγων· «*εἰς τὸν Ἡσαΐαν κατὰ τὰς Δ, ἐκδόσεις* (τῶν Ο, Ἀκύλα, Θεοδοτ. Συμμάχου) *μέχρι τῆς ὁράσεως τῶν τετραπόδων* (Ἡσαΐ. λ, 6) *συνέγραψεν Ὠριγένης τόμους* (ἐξηγητικοὺς)

τριάκοντα».- Διὰ τί δὲ (πυνθάνεται Ὅδιος), διὰ τί τοῦτο πεποίηκεν Ὠριγένης, εἴπερ αὐθεντικὴν ἐφρόνει τὴν ἑρμηνείαν τῶν Ο; ἀκούσωμεν πάλιν τὸν Ἱερώνυμον (προλόγ. εἰς Ἰησοῦν). «Εἰ δὲ τούτοις ἡ παλαιὰ (τῶν Ο) μετάφρασις ἀρέσκει (ἥτις οὐδ᾽ ἔμοι γε ἐπαρέσκει), καὶ μηδὲν ἕτερον ἐκτὸς αὐτῆς νομίζουσι παραδεκτέον, διὰ τί θαυμάζουσι τὸν Ὠριγένην καὶ Εὐσέβιον τὸν Παμφίλου, πάσας τὰς ἑρμηνείας ὁμοίως ἐξηγοῦντας; Ἢ ποία τις ἦν ἡ μωρία (ἐκείνων), ἀφ᾽ οὗ εἶπον τ᾽ ἀληθῆ (ἐκ τῶν Ο), ἔπειτα προφέρειν καὶ τὰ ψευδῆ (τῶν ἄλλων ἑρμηνευτῶν);». Καὶ πάλιν (Ἀπολογ. πρὸς Ῥουφῖν. β) «Ὁ σὸς Ὠριγένης ἐν πᾶσι τοῖς βιβλίοις μετὰ τοὺς Ο, καὶ τὰς ἄλλας τὰς ἰουδαϊκὰς ἑρμηνείας ἐξηγεῖ καὶ διαλευκαίνει» (τοιαῦτα καὶ ἀλλαχοῦ ὁ Ἱερώνυμος). Ἀλλ᾽ ἡμεῖς ἐν πᾶσι τούτοις τὸν Ὅδιον ἐθαυμάσαμεν, πῶς παραλιπὼν τὸν Ὠριγένην αὐτὸν, παρ᾽ οὗ μαθεῖν ἠδύνατο τὴν αἰτίαν, δι᾽ ἣν ἐμνημόνευε καὶ τοὺς ἄλλους, ἔστιν ὅπου, μεταφραστὰς, ὁ δ᾽ ἠρώτα τὸν Ἱερώνυμον, ὅστις οὐδὲν ἕτερον ἀπεκρίνατο, εἰ μὴ, ὅτι καὶ *αὐτὸς* (καί τοι καὶ ἀπαρεσκόμενος) *ἠρέσκετο τοῖς Ο!* καὶ ὅτι Ὠριγένης ἐξήγει καὶ τοὺς λοιπούς· διὰ τί δὲ τούτοις ἐχρήσατο, οὐκ εἶπεν οὐδέν. Οὕτως ὁ μακάριος Πατὴρ ἀγωνιῶντα παρεῖχε τὸν λόγον πρὸς τοὺς δεινοὺς κατηγόρους τῆς ἰουδαϊζούσης αὐτοῦ ἑρμηνείας, ἀπαντῶν ἐκ παραδειγμάτων, ὧν συνέκρυπτε τὸ τέλος καὶ τὸν σκοπόν. Ἀλλ᾽ ἡμεῖς περὶ τούτων ἀκούσομεν μετ᾽ ὀλίγον αὐτὸν τὸν Ὠριγένην, οὗ τὴν περικοπὴν καὶ αὐτὸς Ὅδιος ἔγραψεν, ἀποταμιεύσας ἀπωτέρω (ἐν τῷ 6 ἀριθμῷ), οὕτως αὐτῷ δόξαν διεξιώτερον.

5) Εἶπε μέν (φησιν Ὅδιος) πρὸς τὸν Ἱερώνυμον ὁ Ῥουφῖνος (Στηλιτ. β), ὅτι «οὐδ᾽ ἕνα γοῦν τόπον τῶν θείων Γραφῶν εὗρε παρ᾽ Ὠριγένει μεθηρμηνευμένον ἐκ τῶν ἑβραϊκῶν Γραφῶν· Ἀλλ᾽ ἄκουε (λέγει) τὸν Ἱερώνυμον αὐτὸν (προλόγ. Ζητημ. ἑβρ.). «Περὶ τοῦ Ἀδαμαντίου (τοῦ Ὠριγένους) σιγῶ· ὅστις ἐν μὲν ταῖς *Ὁμιλίαις* αἷς πρὸς τὸν λαὸν ἠγόρευε, τῇ Κοινῇ (τῶν Ο) κέχρηται ἑρμηνείᾳ. ἀλλ᾽ ἐν τοῖς *τόμοις*, τουτέστιν ἐν τῇ μείζονι πραγματείᾳ, τῇ τε ἀληθείᾳ τῇ ἑβραϊκῇ πεπυκνωμένος, καὶ τοῖς ἑαυτοῦ περιστοιχού-

μενος τάγμασιν, ἐξαιτεῖται, ἔστιν ὅτε, καὶ παρὰ τῆς ξένης γλώσσης (τῆς ἑβραϊκῆς) ἐπικουρίαν» (α). Οὕτω (προστίθησιν Ὅδιος) ἐν τοῖς τόμοις, οἵτινες ἦσαν μείζονες ὑπομνηματισμοὶ τῶν Γραφῶν εἰς χρῆσιν καὶ μελέτην τῶν πεπαιδευμένων, πλησίστιος ἐφέρετο τοῦ Ὠριγένους ἡ εὐφυΐα, «πρὸς τοὺς πνέοντας ἀνέμους ἐκπετανῦσα τὰ ἱστία· καὶ μακρὰν τῆς γῆς ἀποχωροῦσα, μέσον ἔθεε τὸ πέλαγος» (καὶ ταῦτα ἐκ τοῦ Ἱερωνύμου). Καὶ ἀνεκάλυψέ (φησιν) ἡμῖν ὅλον τὸ μυστήριον ὁ Ἱερώνυμος, ὡς καὶ Βετιστένιος ἔκρινεν (ἐν αἷς εἰς τὴν πρὸς Ἀφρικανὸν τοῦ Ὠριγένους ἐπιστολὴν ἔγραψε σημειώσεσιν)· «Ὦ τὸν δειλὸν Ὠριγένην! (ἀνέκραγεν ὁ Βετιστένιος) ἐνώπιον μὲν τοῦ λαοῦ κατακολουθεῖ τῇ πεπλανημένῃ Κοινῇ (τῶν Ο) ἑρμηνείᾳ, ἧς ὑπερασπίζεται κἀν ταύτῃ τῇ ἐπιστολῇ, πρὸς ἕνα μὲν ἐπιστελλομένῃ, πρὸς πάντας δὲ μελλούσῃ δημοσιευθήσεσθαι παραυτίκα. Ἀλλ᾽ ὅτε μονάζει, ἢ καὶ σοφοῖς σύνεστι διδασκάλοις, εὐθύνει, διορθοῖ (τὴν Κοινὴν), προτιμᾷ τὴν Ἑβραίαν, καὶ οὔ-

---

(α) Τρία εἴδη ἐξηγήσεων εἰς ἀμφοτέρας τὰς Γραφὰς συνέγραψεν Ὠριγένης. Τόμους (Ὑπομνήματα κατὰ πλάτος). Σχόλια (σύντομα σημειώματα εἰς διασάφησιν τινῶν τόπων ἀσαφεστέρων). Ὁμιλίας (λόγους ἐπ᾽ Ἐκκλησίας ἐξηγητικοὺς τῆς Γραφῆς, καὶ διδακτικοὺς τῶν ἄρθρων τῆς πίστεως καὶ τῆς ἠθικῆς). Οὐδὲν τῶν Σχολίων περιῆλθε καὶ εἰς ἡμᾶς· Ὀλίγαι τῶν Ὁμιλιῶν Ἑλληνιστὶ, τὸ δὲ πλέον ἀποσπάσματα, καὶ ἱκαναὶ λατινικαὶ μεταφράσεις ὑπὸ τοῦ Ῥουφίνου καὶ ἄλλων μετὰ πολλῆς ἐλευθερίας ἡρμηνευμέναι. Καὶ τῶν Τόμων δὲ λείψανα διεσώθησαν (οἷον εἰς τὴν Γένεσιν, εἰς τὴν Ἔξοδον, εἰς τὸ Λευϊτικὸν. κτλ. καὶ εἰς τοὺς Εὐαγγελιστὰς), ἐν δὲ τούτοις βλέπει πᾶς τις τὸν εὐφυέστατον Ὠριγένην κατὰ πολλοὺς καὶ ποικίλους τρόπους γυμνάζοντα τὸν λόγον, καὶ πολὺν περὶ τὰς ἀλληγορίας. Καὶ χρῆται μὲν κἀν τούτοις συνήθως τοῖς Ο. Ἐνιαχοῦ δὲ μνημονεύει καὶ τῶν λοιπῶν τὰς ἑρμηνείας, ἀποβλέπων πρὸς Ἰουδαίους, ἔστι δ᾽ ὅτε καὶ πρὸς διασάφησιν τοῦ κειμένου, ἢ καὶ πρὸς ἁπλῆν ἐνίσχυσιν τῶν ἰδίων αὐτοῦ νοημάτων· τὰς δὲ τοῦ Ἱερωνύμου ὑπερβολὰς, αἷς ὁ κλεινὸς Ὅδιος ἀνωτέρω παρίσταται τεθωρακισμένος, οὐδαμοῦ οὐδόλως εὑρήσεις ἐν τοῖς Ὠριγενείοις. Ἀλλὰ περὶ Ὠριγένους, καὶ περὶ πάντων τῶν σωζομένων αὐτοῦ συγγραμμάτων καὶ ἐκδόσεων βλ. Cave, Scrip. Eccl. hist. p. 57: Du-Pin, Nouv. Biblioth. etc. T. 1. p. 125: Lumper, Historia etc. T. 9. καὶ τοῦ πάντα τὰ τοῦ Ὠριγένους δόγματα καὶ ἰδιώματα ὅλῳ τῷ θυλάκῳ σπείραντος Ὑετίου τὰ Ὠριγένεια (Huetij Origeniana), καὶ τὰς σημειώσεις ἐν τῇ ὑπ᾽ αὐτοῦ ἐκδόσει τῶν Ὠριγένους ἐξηγητικῶν κτλ.

τως ἀλλαχοῦ καθαιρεῖ, ὅ,τι ἀλλαχοῦ οἰκοδομεῖ» (α). τοιαῦτα Ὅδιος. Ἀλλ᾽ ἀπαντᾷ καὶ πρὸς αὐτὸν ὁ σεμνὸς Καπέλλιος, ὅ,τι πολὺ πρότερον ἀπήντησε πρὸς ὃν καὶ Ὅδιος ἐμιμήσατο, τὸν πατέρα τοῦ *Διατριβιδίου* (ὅςις παρῆγε κἀκεῖνος εἰς μέσον τὸν πεπυκνωμένον, ἢ πύκα περιπεφραγμένον (stipatum) Ὠριγένην, καὶ τοὺς ἄλλους τοὺς κεκαλλιεπημένους λόγους τοῦ Δαλμάτου πατρός). Τὴν Ἀκύλα (λέγει ὁ Καπέλλιος) καὶ Συμμάχου καὶ Θεοδοτίωνος ἑρμηνείαν *τάγμάτα* τοῦ Ὠριγένους εἶπεν ὁ Ἱερώνυμος, καὶ αὐτὸν δὲ πεπυκνωμένον τῇ ἑβραϊκῇ ἀληθείᾳ, διότι τούτων τὰς ἑρμηνείας ἔταξεν Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς καὶ Ὀκταπλοῖς, περὶ τὴν (ὡς ἔδοξεν Ἱερωνύμῳ) *Ἑβραίαν ἀλήθειαν* περιϊσταμένας. Καὶ ἐν μὲν ταῖς Ὁμιλίαις ἐχρῆτο μόνοις τοῖς Ο, ὡς ταύτης μόνης τῆς ἑρμηνείας παραδεδεγμένης ἀνέκαθεν ἐν τῇ Ἐκκλησίᾳ, καὶ θείας παρὰ τοῖς χριστιανοῖς (καὶ παρ᾽ αὐτῷ τῷ Ὠριγένει) πεπιστευμένης. Ἐν δὲ τοῖς *Τόμοις*, εἴ ποτε καὶ τῶν ἄλλων ἐμέμνητο μεταφράσεων, τοῦτο πρὸς τοὺς ἀπίστους Ἰουδαίους ἀποβλέπων ἐποίει, οἵτινες ἐπὶ τῶν Ὠριγένους χρόνων ἐπὶ πλέον ἤρξαντο κατὰ τῶν Ο μαίνεσθαι, χρώμενοι μᾶλλον τῷ Ἀκύλᾳ καὶ τοῖς ἄλλοις τοῖς ἰουδαΐζουσιν ἑρμηνευταῖς. Οὕτω καὶ τὴν σήμερόν (φησιν), εἴ τις ἡμῖν συμβαίη πρὸς Ἰουδαίους διάλεξις, μάτην ἂν ἐπάγοιμεν τὰς μαρτυρίας ἐκ τῆς Βουλγάτας, ἣν ἀποστέργουσιν οἱ Ἰουδαῖοι, χρησόμεθα δὲ μᾶλλον τοῖς ἑβραϊκοῖς ῥητοῖς, ὀρθότερον ἐξηγοῦντες. Τοιαῦτα καὶ ἄλλα τούτοις ὅμοια ὁ συνετὸς Καπέλλιος (β). Ὅδιος δὲ τούτου παρακούσας, ἀνέπλασεν ἡμῖν τὴν Ὠριγένους εὐφυΐαν, ὡς νῆα πλανωμένην ἀσκόπως ἐν πελάγεσιν ἀχανεστάτοις (κατ᾽ ἐκεῖνο τὸ τοῦ Κωμικοῦ· «*Αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα*»), καὶ πρὸς

(α) Καὶ ἐν ἄλλοις ὁ Βετιστένιος (not. in Epist. ad African. p. 169) ἔψεξε τὴν Ὠριγένους δειλίαν, διότι ἐν ᾧ τι καινότερον λέγει περὶ τὰς ἐξηγήσεις, κέχρηται πυκνῷ τῷ τάχα, ἴσως, δοκεῖ. Ὁ δὲ σοφὸς Γαλάτης ἐλευθερώτερον ἐν τούτοις ἤθελεν ἄρα τὸν Ὠριγένην! ὅστις καί τοι συνήθως μετριοφρονῶν καὶ δειλιῶν, ἀλλ᾽ ὅμως ἐσφάλη ἐν οὐκ ὀλίγοις, τολμηρότερος φανείς.

(β) L. Cappell. Crit. Sacr. p. 531.

πάντα μεταβαλλόμενον ἄνεμον εὐχερῶς ἐνδιδοῦσαν· (ὅπερ ὁ μὲν Ἱερώνυμος εἶπεν ἀλλαχοῦ (α), παραδειγματίζων τὴν ἐν τοῖς *Τόμοις* Ὠριγένους κατὰ διαφόρους τρόπους ἐξήγησιν πολλῶν χωρίων τῆς Γραφῆς, ὁ δὲ Ὅδιος προσῆψεν ἀτόπως πρὸς τοῖς ἀνωτέρω τοῦ Ἱερωνύμου λόγοις, ἐφαρμόζων τὴν ὁμοίωσιν εἰς τὴν δῆθεν πυκνὴν χρῆσιν τῶν ἄλλων ἑρμηνειῶν). καὶ, τέλος, κατησπάσθη τοὺς μωροσόφους λήρους τοῦ πολλὴν τὴν ἑωλοκρασίαν εἰς Ὠριγένην καταχέαντος γεννάδα Βετιστενίου· ὅστις πόσον ἐξηκρίβου τὸν Ὠριγένους νοῦν, δείκνυσιν ἡ φιλοτίμως ὑπ' αὐτοῦ γενομένη ἔκδοσις τῆς πρὸς Ἀφρικανὸν ἐπιστολῆς, περὶ ἧς προείπομεν ἀνωτέρω (σελ. 445). Εἴδομεν δὲ καὶ ἀλλαχοῦ τὴν ἐν πράγμασι καιριωτάτοις παραφορὰν τῶν πολυμαθῶν αὐτοῦ σημειωμάτων (6λ. Βιβλ. Γ. σελ. 641).

6) Ἐν τῇ πρὸς Ἀφρικανὸν ἐπιστολῇ (συνεχίζει Ὅδιος) ἀφ' οὗ τῆς ἑρμηνείας τῶν Ο προὐστάτευσεν ἐξεραίτως ὁ Ὠριγένης, ἵνα μή τις ἔπειτα νομίσῃ τοῦτον καταγινώσκοντα τῆς σπουδῆς τῶν ἄλλων ἑρμηνειῶν, προστίθησι τὰ ἑξῆς. «Καὶ ταῦτα δέ φημι οὐχὶ ὀκτῷ (γρ. ὄκνῳ) τοῦ ἐρευνᾷν καὶ τὰς τῶν Ἰουδαίων Γραφὰς, καὶ πάσας τὰς ἡμετέρας ταῖς ἐκείνων συγκρίνειν, καὶ ὁρᾷν τὰς ἐν αὐταῖς διαφοράς· εἰ μὴ φορτικὸν γοῦν εἰπεῖν, ἐπὶ πολὺ τοῦτο, ὅση δύναμις, πεποιήκαμεν, γυμνάζοντες αὐτῶν τὸν νοῦν ἐν πάσαις ταῖς ἐκδόσεσι καὶ ταῖς διαφοραῖς αὐτῶν, *μετὰ τοῦ ποσῶς*» (τουτ. περισσῶς, πολὺ) «*μᾶλλον ἀσκεῖν τὴν ἑρμηνείαν τῶν Ο· ἵνα μή τι παραχαράττειν δοκοίημεν ταῖς ὑπ' οὐρανὸν Ἐκκλησίαις*, καὶ προφάσεις διδῶμεν τοῖς ζητοῦσιν ἀφορμὰς, ἐθέλουσι τοὺς ἐν μέσῳ συκοφαντεῖν, καὶ τῶν διαφαινομένων ἐν τῷ κοινῷ κατηγορεῖν. Ἀσκοῦμεν δὲ μὴ ἀγνοεῖν καὶ τὰς παρ' ἐκείνοις. ἵνα, πρὸς Ἰουδαίους διαλεγόμενοι, μὴ προφέρωμεν αὐτοῖς τὰ προσκείμενα (γρ. τὰ *μὴ* προσκείμενα) ἐν τοῖς ἀντιγράφοις αὐτῶν, καὶ ἵνα συγχρησώμεθα καὶ τοῖς φερομένοις παρ' ἐκείνοις, εἰ δὲ (γρ. εἰ καὶ) ἐν τοῖς ἡμετέροις οὐ κεῖνται βιβλίοις. Τοιαύτης γὰρ οὔσης ἡμῶν τῆς πρὸς αὐτοὺς ἐν ταῖς ζητήσεσι

(α) S. Hieron. Prolog. interpr. Homil. Origen. in Ezechiel.

παρασκευῆς, οὐ καταφρονήσουσιν, οὐδ', ὡς ἔθος αὐτοῖς, γελάσονται τοὺς ἀπὸ τῶν ἐθνῶν πεπιστευκότας, ὡς τ' ἀληθῆ παρ' αὐτοῖς ἀναγεγραμμένα ἀγνοοῦντας» (ἐπιστ. π. Ἀφρικ. §. ε). Ἔχεις ἤδη ἀναγνῶστα, τοὺς Ὠριγένους λόγους, περὶ ὧν ἐλέγομεν ἀνωτέρω (σελ. 450), καὶ βλέπεις τὸν Ὠριγένην πόσον σαφῶς διατρανοῖ τὸν σκοπὸν, δι' ὃν καὶ τῷ ἑβραϊκῷ καὶ τοῖς ἄλλοις ἑρμηνευταῖς ἐχρήσατο ἐν τοῖς Ἑξαπλοῖς, καὶ εἴ που τούτους ἐμνημόνευσεν ἀλλαχοῦ. Ὅδιος δὲ τί πρὸς ταῦτα; οὐδὲν μικρὸν, ἢ μέτριον, ἀλλὰ τὸ πᾶν ψευδοποιεῖ τὸν Ὠριγένην! «Μῶν (φησὶν) ἀληθῶς *πρὸς χάριν τῶν Ἰουδαίων* αὐτός τε ταῦτα πεποίηκεν Ὠριγένης, καὶ τοὺς ἄλλους ἐνουθέτει ποιεῖν; πῶς; *πρὸς χάριν τῶν Ἰουδαίων* ἐπάγει καὶ τῶν ἄλλων τὰς ἑρμηνείας ἐν τοῖς τόποις ἐκείνοις, ἐν οἷς οὐδεμία περὶ τοῦ Μεσσίου περιέχεται προφητεία; Πλὴν τούτων, ἐν τοῖς Ἑξαπλοῖς οὐ μόνον ὁλόκληρον τὸ κείμενον τὸ ἑβραϊκὸν, ἀλλὰ καὶ τὰς ἄλλας ἑλληνικὰς ἑρμηνείας (τοῦ Ἀκύλα, τοῦ Θεοδοτίωνος, τοῦ Συμμάχου) κατέστρωσεν ὁλοκλήρους *εἰς χρῆσιν τῆς Ἐκκλησίας·* μὴ καὶ τοῦτο *πρὸς χάριν τῶν Ἰουδαίων*; Τί δὲ καὶ ὅλως ἐχρῆν ἕνεκά τινων ὀλίγων τοῦ κειμένου διαφορῶν ὁλοκλήρους ἀντιγράφειν ἑρμηνείας; Ἀλλ' ἐξ αὐτοῦ δὴ τοῦ πολλοῖς μὲν πόνοις, πολλαῖς δὲ δαπάναις συνταχθέντος ἔργου τῶν Ἑξαπλῶν, ἀποδείκνυται βεβαίως, τίποτε κατὰ νοῦν εἶχεν ὁ Ὠριγένης. Ἐφρόνει δηλονότι ἐκεῖνος, ὅτι περὶ τὸ ἑρμηνεύειν τὰς Γραφὰς οὐ μόνον τῇ Κοινῇ (τῶν Ο) χρηστέον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἑρμηνευταῖς»! — Παπαὶ τῆς Ὁδίου μαντικῆς! ἥτις πειρωμένη ψευδόμενον ἐν τοῖς ἀνωτέρω φωράσαι τὸν Ὠριγένην, οὐκ ἔβλεπε καθαιροῦσα ἐκ βάθρων ἣν πραγματεύεται τὴν ἀπόδειξιν. Ἅπαξ γὰρ τοῦ Ἀδαμαντίου ἐξελεγθέντος περὶ τὰ καίρια πλαττομένου καὶ μὴ ἀληθεύοντος, τίς ἔπειτα λελείψεται πίστις τῶν ἄλλων αὐτοῦ λόγων, οὓς ἐπάξεται Ὅδιος εἰς τεκμήριον, ὅτι ἄρα Ὠριγένης μόνον τὸ ἑβραϊκὸν ὡς κύριον ἐτίμα, κατεφρόνει δὲ τῶν Ο; Πῶς δ' ἀνακαλύπτει καὶ τὸν σκοπὸν, ὃν ἔκρυπτεν Ὠριγένης ἐν *φρεσὶ βυσσοδομεύων;* ὡς οὐκ ἂν γένοιτο ψευδέστερον. Ὁ Ὠριγένης λέγει, ὅτι παρέβαλε τὸ ἑβραϊκὸν καὶ τὰς

παλαιὰς ἐκδόσεις, «*ἵνα πρὸς Ἰουδαίους διαλεγόμενοι μὴ προφέρωμεν τὰ μὴ κείμενα παρ᾽ αὐτοῖς*, *καὶ καταγελῶσιν ἡμῶν*, *ὡς ἔθος αὐτοῖς*»· ὁ δὲ Ὅδιος λέγει διαμπὰξ, ὅτι παρέβαλε *πρὸς χάριν τῶν Ἰουδαίων*! Ὁ Ὠριγένης λέγει, ὅτι *ποσῶς* μᾶλλον τῶν ἐν τοῖς Ἑξαπλοῖς ἐκδόσεων ἤσκει τὴν ἑρμηνείαν τῶν Ο, *ἵνα μή τι παραχαράττειν δόξῃ ταῖς ὑπ᾽ οὐρανὸν Ἐκκλησίαις* (ἐν αἷς μία καὶ μόνη καὶ τότε ὑπῆρχεν ἁγία καὶ δεκτὴ, ἡ τῶν Ο)· ὁ δὲ Ὅδιος λέγει, ὅτι συνέταττε τὰ Ἑξαπλᾶ *πρὸς χρῆσιν τῆς Ἐκκλησίας*! Ὁ Ὠριγένης λέγει, ὅτι καὶ ἐν ταῖς λοιπαῖς ἑρμηνείαις ἐγύμναζε τὸ νόημα, πρός τε διασάφησιν, εἴπου δεήσοι, τινῶν χωρίων ἀσαφεστέρων, καὶ μάλιστα πρὸς διάγνωσιν τῶν ἐν τοῖς ἀντιγράφοις τῶν Ο ἀκριβεςέρων ἀναγνώσεων (ὡς αὐτὸς ἡμῖν ἐρεῖ μετὰ μικρόν)· ὁ δὲ Ὅδιος ἐπιφωνεῖ καὶ ὧδε τωθαστικῶς τὸ *πρὸς χάριν τῶν Ἰουδαίων*. Προσεπαπορεῖ δὲ μειδιῶν, καὶ διὰ τί παρέθηκεν ὁλοκλήρους τὰς ἐκδόσεις, ἕνεκά τινων μόνον χωρίων, ἐν οἷς διαλαμβάνονται προφητεῖαι περὶ τοῦ Μεσσίου. (ὡσανεὶ μόνον περὶ τοιούτων χωρίων διελέγοντο πρὸς Ἰουδαίους οἱ χριστιανοὶ, ἢ ὡσανεὶ μόνον ἐν τούτοις τοῖς χωρίοις διέφερον οἱ Ο, τῶν ἄλλων ἑρμηνευτῶν!). Τελευταῖον (ἵνα τ᾽ ἄλλα παραλίπωμεν), ὁ Ὠριγένης ἐν αὐτῇ τῇ πρὸς Ἀφρικανὸν ἐπιστολῇ διακηρύττει τήν τε τῆς Σωσάννης ἱστορίαν (καὶ πᾶσαν τὴν Γραφὴν τῶν Ο) *προνοίᾳ τοῦ πνεύματος γεγράφθαι* (§. 9), καὶ ὅτι, «δι᾽ αὐτῶν τῶν ἁγίων Γραφῶν *δέδωκεν ἡ πρόνοια οἰκοδομὴν ἁπάσαις ταῖς τοῦ Χριστοῦ Ἐκκλησίαις* (§. 4), καὶ τὸν Ἀφρικανὸν ὑπομιμνήσκει τὸ, «*Μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου* (§. 5), καὶ, τέλος, σαρδόνιον γελᾷ, εἴτις φαίνοιτο τὰς μὲν ἐν ταῖς Ἐκκλησίαις φερομένας ἱερὰς βίβλους (τῶν Ο) ἀθετῶν, ζητῶν δὲ παρ᾽ *Ἰουδαίων* λαβεῖν τὰ δῆθεν καθαρὰ καὶ γνήσια (ὄπισθ. σελ. 445)· ὁ δὲ Ὅδιος ἐξ αὐτῶν τῶν λόγων τοῦ Ὠριγένους, καὶ ὧν συνῆψεν ἐφεξῆς ἐν τῇ αὐτῇ ἐπιστολῇ, ἀνεκάλυψεν αὐτοῦ τὴν διάνοιαν, ὅτι τοῦτο πάντως ἐφρόνει· μὴ μόνον κατὰ τοὺς Ο, ἀλλὰ καὶ κατὰ τὰς ἄλλας τὰς ἰουδαϊκὰς ἑρμηνείας ἀδιαφόρως ἐξηγεῖν δεῖν τὰς θείας τὰς Γραφάς!—

Ἀλλ' εἰ μὴ τοῦτ' ἔστιν (ὡς ἡμεῖς νομίζομεν) τὸ τῆς παροιμίας, *ἐκ δρυὸς καρπίζεσθαι σῦκα, καί, μύρον ἐκ κισσήρεως ἀποθλίβειν*, ἄλλος εἰπάτω τὸ προσφυέστερον.

7) Ἐν τούτῳ τῷ ἄρθρῳ Ὅδιος πραγματεύεται περὶ τῶν ὀβελῶν καὶ ἀστερίσκων, οἷς ἐχρήσατο Ὠριγένης ἐν τῇ τῶν Ο ἐκδόσει, ἣν κατεχώρισεν ἐν τοῖς *Ἑξαπλοῖς*· διὰ μὲν τῶν ἀστερίσκων δηλῶν ὅσα προσέθηκεν ἐκ τοῦ *Θεοδοτίωνος*, λείποντα πρότερον ἐν τῇ *Κοινῇ* τῶν Ο ἐκδόσει, διὰ δὲ τῶν ὀβελῶν ὑποσημαίνων τὰ κείμενα μὲν παρὰ τοῖς Ο, λείποντα δὲ ἔκ τε τῶν ἄλλων ἑρμηνευτῶν καὶ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ. Καὶ περὶ τούτων μὲν τῶν κριτικῶν σημείων διελάβομεν ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Β. σελ. 860). Ὅδιος δὲ κἀν τούτοις τὸν Ὠριγένους νοῦν ἀναδιφῶν, ἐξεμάστευσε, τέλος, «ὅτι διὰ μὲν τῶν *λαμπρῶν* (ὡς ἐπιθετίζει) σημείων τῶν ἀστερίσκων ἐσημείωσεν, ὅσα, λείποντα παρὰ τοῖς Ο, προσέθηκεν, ὡς ἄξια φωτός, καὶ οἷον φῶς ἐπαυγάζοντα τῇ ἐκδόσει· τὰ δὲ περιττεύοντα διὰ τοῦ κριτικοῦ ὀβελοῦ διαπείρας ἠθέτησεν, ὡς ἐν τῷ ἑβραϊκῷ μὴ κείμενα». Καὶ ἐφεξῆς πειρᾶται διὰ μακρῶν ἀποδεῖξαι τὸν ὀβελὸν ὡς κριτικὸν σημεῖον, ᾧπερ οἱ ἀρχαῖοι ἐχρῶντο πρὸς ἔλεγχον τῶν ὑποβολιμαίων καὶ νόθων, ἢ κιβδήλων, καὶ ἀποβλητέων χωρίων, ἐκκαθαίροντες τὰς, ἐν αἷς παρεισέφρησαν, συγγραφάς. Πρὸς ἀπόδειξιν δὲ τῆς τοιαύτης τοῦ ὀβελοῦ σημασίας τέσσαρας ὅλας σελίδας πληροῖ, ποικίλους εἰσάγων ὁ βιβλιακώτατος Ὅδιος μάρτυρας, τὸν Ἰσπάλων Ἰσίδωρον, τὸν Ζωναρᾶν, τὸν Βαλσαμῶνα, τὸν Αὐσόνιον, τὸν Γαληνόν, τὸν Εὐστάθιον, τὸν παρὰ τῷ Τζέτζῃ Ἀρίσταρχον, τὸν Σενέκαν, τὸν Κικέρωνα, τὸν Οὐλπιανὸν, τὸν Λαέρτιον (α), καὶ ἐπὶ πᾶσι τὸν μακάριον Ἱερώνυμον. Μόνον τοῖς

(α) Ἐκ τοῦ Λαερτίου φέρει μαρτυρίαν Ὅδιος τὸ ἐφεξῆς. «Ὀβελὸς περιεστιγμένος πρὸς τὰς εἰκαίους ἀθετήσεις» (Λαέρτ. Γ, 39). Τοῦτο δὲ ἐξήγησεν Ὅδιος (ἀντιγράψας τὴν ἐξήγησιν ἐκ τοῦ παλαιοῦ Λατίνου μεταφραστοῦ) οὑτωσί· **Obelus utrinque punctum habens, ad superflua quaeque jugulanda praeponitur**· τουτ. ὀβελὸς ἑκατέρωθεν ἔχων στιγμὴν (περιεστιγμένος) προτίθεται πρὸς τὸ περιττά τινα ἀθετεῖν. Ἀλλ' ὁ μεταφραστὴς εἶπεν (ὡς ἔμοι γε

αὐτοῦ τοῦ Ὠριγένους λόγοις οὐ προσέσχεν, ἐξηγοῦντος τρανῶς πρὸς Ἀφρικανὸν (§. δ), τί σημαίνουσιν οἱ παρ' αὐτῷ *ὀβελοί*. «*Καὶ ἄλλα δέ* (φησίν) *ἐστιν εὑρεῖν ἐν τῇ Γενέσει*» (παρὰ τοῖς Ο, *λείποντα* δ' ἐκ τοῦ ἑβραϊκοῦ), «*οἷς σημεῖα παρεθήκαμεν, τοὺς καλουμένους παρ' Ἕλλησιν ὀβελοὺς, ἵν' ἡμῖν γνώριμον ᾖ τὸ τοιοῦτον*» (ὅτι δηλαδὴ παρ' Ἑβραίοις οὐχ εὑρίσκονται)· «ὡς πάλιν ἀστερίσκους, τοῖς κειμένοις μὲν ἐν τῷ *ἑβραϊκῷ, παρ' ἡμῖν δὲ μὴ εὑρισκομένοις*». Πῶς ἄλλως ἠδύνατο σαφέστερον Ὠριγένης ἐξηγῆσαι τὸν σκοπὸν, δι' ὃν ἐχρήσατο τοῖς δύω τούτοις κριτικοῖς τῶν ἀρχαίων σημείοις; οὐδὲν ἐν τούτοις ἀμφίβολον, οὐδὲν σκοτεινὸν καὶ στραγγαλιῶδες· ἀλλ' ἁπλῶς φησὶ καὶ καθαρῶς, ὅτι τοὺς μὲν ἀστερίσκους προσέθηκεν, οὔτ' ἐγκρίνων ὡς γνήσια τὰ προστεθειμένα, οὔτε φῶς ἀστρῷον, οἷον εἶδεν Ὅδιος, δι' αὐτῶν τῇ ἐκδόσει περιποιῶν, ἀλλὰ τοῦτο μόνον καὶ μόνον δηλῶν, ὅτι *ταῦτα προσετέθησαν*. Ὡσαύτως καὶ διὰ τῶν ὀβελῶν οὔτε διέπειρεν, οὔτε κατέσφαζεν ἀναιρῶν καὶ ἀθετῶν (jugulabat) τὰ κείμενα παρὰ τοῖς Ο, ἀλλὰ τοῦτο μόνον διατρανῶν, ὅτι *ταῦτα παρ' Ἑβραίοις οὐχ εὑρίσκονται*· καὶ λέγει δὲ ῥητῶς, «*ἵν' ἡμῖν γνώριμον ᾖ τὸ τοιοῦτο*»· καὶ πάλιν· «ὑπὲρ τοῦ μὴ λανθάνειν ἡμᾶς τὴν διαφορὰν τῶν παρ' Ἰουδαίοις καὶ ἡμῖν ἀντιγράφων» (αὐτόθ.). Τὸ δὲ πάντων ἐπισημότατον, (ὅπερ καὶ τοῦτο παρεῖδεν ὁ κριτικὸς), εὐθὺς μετὰ τοὺς ἀνωτέρω λόγους, ἐπισυνάπτει τὴν προεκτεθεῖσαν λαμπρὰν μαρτυρίαν, τὴν «*Ὥρα δὲ ἡμῖν*» *κτλ.* δι' ἧς καὶ τὸ γνήσιον καὶ ἀκέραιον τῶν ἐν ταῖς Ἐκκλησίαις ἱερῶν κατὰ τοὺς Ο βίβλων *(ἐν αἷς ἡ θεία πρόνοια δέδωκεν οἰκοδομὴν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ)* στεντορείως

δοκεῖ) τἀναντία ὧν ὁ Λαέρτιος ἔγραψε, δηλῶν, ὅτι ὁ περιεστιγμένος ὀβελὸς προτίθεται πρὸ τῶν χωρίων ἐκείνων, ὅσα τινὲς εἰκαίως καὶ μάτην ἠθέτησαν (ὡς γνήσια ὄντα). Ὅθεν ἑκατέρωθεν προσετίθεντο στιγμαὶ, τὸ μάταιον, ὡς ἔοικε, καὶ ἄκυρον δηλοῦσαι τοῦ ἀθετοῦντος ὀβελοῦ. Τοιοῦτος περιεστιγμένος ὀβελὸς ἁρμόζει (φερ' εἰπεῖν) πολλαχοῦ τῆς αὐτοῦ τοῦ Ὀδίου συγγραφῆς, ὀβελίζων ἅμα καὶ καταστίζων τὰς εἰκαίας ἀθετήσεις, δι' ὧν ὁ κριτικὸς ἠθέτησεν οὐκ ὀλίγας γνησίας ἀναγνώσεις τῶν Ο.

ἀνακηρύττει, καὶ τῶν ἰουδαϊκῶν βιβλίων τὴν νομιζομένην ἐν πᾶσι καθαρότητα καὶ τελειότητα σαφῶς διατωθάζει. Κατὰ τὴν αὐτὴν σημασίαν εἶπε καὶ ἀλλαχοῦ, ὅτι «τὰ μὲν ὠβελίσαμεν ἐν τῷ ἑβραϊκῷ μὴ κείμενα, τινὰ δὲ προσεθήκαμεν» κτλ. (βλ. τὴν ῥῆσιν ὅλην ἐφεξῆς ἐν ἀριθμῷ 8) (α). Ὅθεν καὶ ὁ ἱερὸς Αὐγουστῖνος μόνον

(α) Ὁ Ὅδιος προσίθησι καὶ τὴν περὶ ἀστερίσκων γνώμην τοῦ μακαρίου Ἐπιφανίου (π. Μετρ. §. 2), ὅτι «Ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ οἱ ἀστέρες εἰσὶ, κἂν τε ὑπὸ νεφελῶν, ἢ ἡλίου καλυφθῶσι· τούτῳ τῷ νοήματι ὁ τοὺς ἀςερίσκους παραθεὶς ἐποίησεν, ἵνα σοι δόξῃ (ἴσ. δείξῃ), ὅτι οἱ λόγοι, οἷς παράκειται οἱ ἀςερίσκοι, πεπήγασι μὲν ἐν ταῖς ἑβραϊκαῖς λέξεσιν, ὥσπερ οἱ ἀστέρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ἐκαλύφθησαν δὲ ὑπὸ τῶν ΟΒ ἑρμηνείας (γρ. ἑρμηνέων), ὥσπερ οἱ ἀςέρες ὑπὸ τῶν νεφελῶν καλύπτονται». Ἕως ὧδε Ὅδιος ἔγραψε τὰ τοῦ Ἐπιφανίου, μηδόλως παρατηρήσας ὅτι *νεφελοςεγεῖς*, καὶ παντελῶς *ἀφώτους* τοὺς ἀστέρας τούτους ὁ ἱερὸς Ἐπιφάνιος ἔκρινε, καὶ πᾶν τοὐναντίον, ἢ ὡς αὐτὸς αὐτοὺς διέγραψε *φωσφόρους ὅλους καὶ φωταυγεῖς*! Ἀλλ' ὁ Ἐπιφάνιος (§. 2) πρὸ τῶν ἐκτεθέντων λόγων ἔγραψε περὶ τῶν ἀστερίσκων καὶ τὰ ἑξῆς (ἅπερ, συντομίας ἴσως χάριν, παρέδραμεν Ὅδιος). «Ὠριγένης δὲ μετὰ ταῦτα» (μετὰ τὰς ἐκδόσεις τῶν περὶ τὸν Ἀκύλαν) «ἐπελθὼν, ἀποκατέστησε (ἐν τοῖς Ο) τῷ (γρ. ἐν) ἑκάστῳ τόπῳ τὸν ἐλλείποντα λόγον, παρέθετο δὲ αὐτῷ τὸν ἀστερίσκον, οὐχ ὡς χρείας οὔσης τοῦ πάντως ζητηθῆναι τὸν λόγον» (τὰς προστεθείσας λέξεις καὶ φράσεις) «περιττὸς γὰρ ἐστίν· *ἀλλ' ἵνα μὴ παραλείψῃ Ἰουδαίοις καὶ Σαμαρείταις ἐπιλαμβάνεσθαι τῶν ἐν ταῖς ἁγίαις Ἐκκλησίαις θείων Γραφῶν*, μηδενὸς ἐπιληψίμου πράγματος ὑπάρχοντος κατὰ τῆς πίστεως ἐν τοῖς ἀπεστερημένοις λόγοις» (τοῖς λείπουσιν ἐκ τῶν Ο). Περὶ δὲ τῶν ὀβελῶν ὁ μὲν Ὅδιος ἐσιώπησεν, ὅπως αὐτοὺς ἐξήγησεν ὁ Ἐπιφάνιος· οὐ περιττὸν δ' ἴσως προσθεῖναι καὶ τὴν περὶ τούτου γνώμην τοῦ Πατρός. Καὶ ὅτι μὲν καὶ οὗτος ὡς ἁπλᾶ σύμβολα, καὶ οὐδόλως ἀναιρετικὰ τῶν ἐν τοῖς Ο προσθηκῶν, ἠπίστατο τοὺς ὀβελοὺς, διακηρύττει λέγων· «Ὠριγένης τὰ προστεθέντα οὐκ ἀφείλετο... ἀλλὰ μετὰ ὀβελῶν ἔνθα ἕκαστον.. εὗρεν, εἴασε, *μόνον σημειωσάμενος* διὰ τοῦ ὀβελοῦ *τὴν περὶ τῆς τοῦ τόπου ἀναγνώσεως εἴδησιν* (§. ιζ). Μεταξὺ δὲ πάλιν ἄλλων (§. 3), ἔγραψε καὶ ταῦτα (§. 7). Ὅτι «ὁ ὀβελὸς λόγχη λέγεται—. ξίφος δὲ ἐστι τοῦτο ἀναιρετικόν· ἔνθα τοίνυν ἡ λέξις εὑρίσκεται, παρὰ μὲν τοῖς ΟΒ κειμένη, ἐν δὲ τῷ ἑβραϊκῷ μὴ ἀναφερομένη, ἐκ τῆς τοῦ ὀβελοῦ σημειώσεως τοῦ ἐν τῇ λέξει παρακειμένου δηλοῦται, ὅτι *ἀνῄρηται* ὁ λόγος ἀπὸ τοῦ γεννητικοῦ τόπου, ἤτοι τοῦ ἐδάφους τῆς Γραφῆς, ὡς μὴ ὑπάρχων ἐν τῷ τόπῳ τῆς βίβλου» (τῆς Ἑβραϊκῆς). Ὥστε ἐν τούτοις ὁ ἱερὸς Ἐπιφάνιος θεωρεῖ τοὺς ὀβελοὺς καὶ ὡς ἀναιρετικοὺς (οἵους Ὅδιος θέλει), ἀλλ' ἀναφερομένους εἰς αὐτὸ τὸ ἑβραϊκὸν, ὡς τούτου τὰς ἀφῃρημένας ἐλλείψεις δηλοῦντας, ὧν τὸ πλῆρες ἔχουσιν οἱ Ο. Ὁ Ὅδιος προ-

ὡς ἁπλᾶ σύμβολα τῶν ἐλλείψεων, ἢ προσθηκῶν, καὶ οὐδὲν ἕτερον σημαίνοντα, τὰ σημεῖα τῶν ὀβελῶν καὶ ἀστερίσκων ἐξήγησε (περὶ πόλ. Θεοῦ ΙΗ, 43). Ὡσαύτως εἶπε καὶ Ῥουφῖνος· ὅτι «ταύτας τὰς διὰ τῶν ἀστερίσκων προσθήκας καὶ τοὺς ὀβελοὺς ἐν τοῖς Ο ἔγραψεν Ὠριγένης, ἵνα γινώσκωμεν ὅ,τι ποτὲ δοκεῖ, οὐχ ἡμῖν, ἀλλὰ τοῖς καθ' ἡμῶν πυκτεύουσιν Ἰουδαίοις, ἢ λεῖπον, ἢ περιττεῦον ἐν ταῖς Γραφαῖς» (Στηλιτευτ. 6). Εἰ δὲ καὶ καλῶς πεποίηκεν Ὠριγένης ἐν αὐτῷ τῷ κειμένῳ τῶν Ο, καὶ μὴ τούτου παρεκτὸς καταγράψας τὰς τῶν ἀστερίσκων προσθήκας, ἄλλος περὶ τούτου λόγος. Ὁ δ' οὖν μακάριος Ἱερώνυμος, καί τοι πολλαχοῦ περικροτήσας τὰ κριτικὰ ταῦτα σημεῖα τῆς ἐν τοῖς Ἑξαπλοῖς ἐκδόσεως τῶν Ο, τελευταῖον εἶπε, καὶ ὅτι διὰ τούτων, «ἢ *διώρθωσεν*, ἢ *διέφθειρεν ὁ Ὠριγένης τοὺς Ο*» (α). Καὶ πάλιν ὁδ' αὐτὸς ἀπεφήνατο ἀλλαχοῦ, καὶ ὅτι «Ὅπου πρόκειται ὀβελὸς, ἐκεῖ σημαίνεται, ὅτι οἱ Ο προσέθηκαν, ἢ χάριν εὐπρεπείας, ἢ βουλῇ τοῦ παναγίου Πνεύματος (Προλ. εἰς Β, τῶν Παραλειπ.).

8) Ὅτι δὲ (συνεχίζει Ὅδιος) καὶ κατὰ τὰς ἄλλας ἑρμηνείας διώρθωσεν Ὠριγένης τοὺς Ο, αὐτὸς οὗτος ὁμολογεῖ λέγων. «Καὶ εἰ μὲν μὴ καὶ περὶ ἄλλων πολλῶν διαφωνία ἦν πρὸς ἄλληλα τῶν ἀντιγράφων, ὥστε πάντα τὰ κατὰ Ματθαῖον μὴ συνᾴδειν ἀλλήλοις,

---

στίθησι καὶ ὡς ἐκ τοῦ Μ. Βασιλείου τὸ «Τὰ τοίνυν ἀκριβῆ τῶν ἀντιγράφων ὠβέλισται» (εἰς Ἑξαήμ. ὁμιλ. δ)· ἀλλ' ὅτι ἡ φράσις αὕτη παρέγγραπτός ἐστι καὶ ὑποβολιμαία, προαποδέδεικται (Βιβλ. Γ. σελ. 453). Εἰ δὲ καὶ γνήσιος ἦν, ἀλλὰ καὶ ὁ Μ. Βασίλειος (καὶ εἴ τις ἄλλος τῶν Πατέρων κέχρηται τῇ λέξει), οὐδὲν ἂν ἕτερον ἐνόει διὰ τοῦ ὠ β έ λ ι σ τ α ι, εἰ μὴ ὅπερ καὶ Ὠριγένης· ὅτι σεσημείωται μὴ κείμενον παρ' Ἑβραίοις, καὶ πλέον οὐ.

(α) «Et miror quo modo LXX interpretum libros legas (ἐν τοῖς Ἑξαπλοῖς) non puros, ut ab eis edidi sunt, sed ab Origene emendatos, s i v e c o r r u p t o s p e r o b e l o s e t a s t e r i s c o s (Epist. ad Augustin.). Ταύτης τῆς περικοπῆς καὶ Βετιστένιος μνημονεύσας (not. εἰς τὴν πρὸς Ἀφρικ. ἐπιστολ. p. 175), πάνυ συνετῶς ἐξήγησε τὸν περιπεπλεγμένον (intricatum) τοῦτον Ἱερωνύμου τόπον. Ὁ δὲ Ὅδιος ἀντιλέγων πρὸς τὸν φιλούμενον, ἄγαν σοφιστεύεται (βλ. Hody pag. 293).

ὁμοίως δὲ καὶ τὰ λοιπὰ Εὐαγγέλια, κἂν ἀσεβής τις ἔδοξεν εἶναι ὁ ὑπονοῶν ἐνταῦθα προσεῤῥίφθαι οὐκ εἰρημένην ὑπὸ τοῦ Σωτῆρος πρὸς τὸν πλούσιον, τήν, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν, ἐντολήν. Νυνὶ δὲ δηλονότι πολλὴ γέγονεν ἡ τῶν ἀντιγράφων διαφορά, εἴτε ἀπὸ ῥαθυμίας τινῶν γραφέων, εἴτε ἀπὸ τόλμης τινῶν μοχθηρᾶς τῆς διορθώσεως (ἴσ. γρ. καὶ μοχθηρᾶς διορθώσεως) τῶν γραφομένων, εἴτε ἀπὸ τοῦ τὰ ἑαυτοῖς δοκοῦντα ἐν τῇ διορθώσει προστιθέντων, ἢ ἀφαιρούντων. Τὴν μὲν οὖν ἐν τοῖς ἀντιγράφοις τῆς παλαιᾶς Διαθήκης διαφωνίαν, Θεοῦ διδόντος, εὕρομεν ἰάσασθαι, *κριτηρίῳ χρησάμενοι* ταῖς λοιπαῖς ἐκδόσεσι· *τῶν γὰρ ἀμφιβαλλομένων παρὰ τοῖς Ο, διὰ τὴν τῶν ἀντιγράφων διαφωνίαν*, τὴν κρίσιν ποιησάμενοι ἀπὸ τῶν λοιπῶν ἐκδόσεων, τὸ *συνᾷδον ἐκείναις ἐφυλάξαμεν*. Καί τινα μὲν ὠβελίσαμεν ἐν τῷ ἑβραϊκῷ μὴ κείμενα, *οὐ τολμήσαντες αὐτὰ πάντῃ περιελεῖν*· τινὰ δὲ μετὰ ἀστερίσκων προσεθήκαμεν, ἵνα δῆλον ᾖ, ὅτι μὴ κείμενα παρὰ τοῖς Ο, ἐκ τῶν λοιπῶν ἐκδόσεων συμφώνως τῷ ἑβραϊκῷ προσεθήκαμεν, καὶ ὁ μὲν βουλόμενος πρόηται αὐτά, ᾧ δὲ προσκόπτει τὸ τοιοῦτον, ὃ βούλεται περὶ τῆς παραδοχῆς αὐτῶν, ἢ μή, ποιήσῃ (α). Ταῦτα λέγει Ὠριγένης. Ἐν δὲ τούτοις βλέπομεν α)· Ὅτι τὸν λόγον ὁ Ἀδαμάντιος ποιεῖται περὶ ἀντιγράφων ἑκατέρας τῆς Γραφῆς, πρῶτον τῆς Καινῆς, εἶτα δὲ τῆς Παλαιᾶς. καὶ διώρθου λοιπὸν ἑκάτερα· ἀλλ' ὅτι πάντα συλλήβδην τὰ πανταχοῦ τῆς οἰκουμένης ἀντίγραφα τῶν θείων Γραφῶν οὐκ ἠδύνατο (καίτοι χαλκέντερος) συμπεριλαβεῖν καὶ παρεξετάσαι, προφανέστατον, κἂν μὴ λέγωμεν ἡμεῖς. Ὥσπερ οὖν τὰ τῆς Καινῆς οὐδεμίαν ἔπαθον καθόλου λώβην καὶ διαφθορὰν ἐκ τῆς ἔν τισι κατὰ τόπους ἐπισυμβάσης μοχθηρᾶς διορθώσεως καὶ ἀβλεψίας τῶν γραφέων, ὡς ἐν ἄλλοις πολλῷ πλείοσι καὶ ἀκριβεστέροις ἀντιγράφοις τῶν γνησίων ἀναγνώσεων τετηρημένων, οὕτω καὶ τὰ τῆς Παλαιᾶς. Τοιαῦτα δὲ ἀντίγραφα τῶν Ο καὶ αὐτὸς εἶχεν Ὠριγένης, ὡς αὐτὸς μαρτυ-

---

(α) Ὠριγεν: εἰς Ματθ. τόμ. ιε. σελ. 381 ἐκδ. Huet.

ρεῖ, ἐν οἷς μνημονεύει ἀνάγνωσίν τινα ἐξ Ἱερεμίου (τὴν «*οὐκ ὠφείλησέ μοι οὐδὲ εἷς*»· Ἱερεμ. ιε, 10), λέγων. «Εἰ καὶ ἀνέγνωμεν οὕτως» (ἐν ἀντιγράφοις δηλαδὴ τῶν Ο), «ἀλλὰ καὶ δεῖ εἰδέναι, ὅτι τὰ *πλείονα τῶν ἀντιγράφων* τῆς ἐκδόσεως τῶν Ο οὐκ ἔχει οὕτως· ὕστερον δὲ ἐπισκεψάμενοι καὶ τὰς λοιπὰς ἐκδόσεις, ἔγνωμεν γραφικὸν εἶναι ἁμάρτημα» (Ὠριγέν. εἰς Ἱερ. Ὁμιλ. ιε. σελ. 144)· καὶ πάλιν ἀλλαχοῦ μνημονεύει ἀκριβῶν χειρογράφων, λέγων· «Οὕτω γὰρ ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις εὕρομεν, καὶ ταῖς λοιπαῖς παρὰ τοὺς Ο ἐκδόσεσι, καὶ τῷ ἑβραϊκῷ» (α). β). Ὁ Ὠριγένης ἀνωτέρω γράφει σαφῶς, ὅτι ἐν τοῖς παρ' αὐτῷ ἀντιγράφοις τῶν Ο εὗρε διαφωνίαν περὶ τὰς λέξεις, τῶν μὲν ταύτην, τῶν δ' ἐκείνην τὴν ἀνάγνωσιν φερόντων· ποτέρα δὲ τούτων ὑπῆρχεν ἡ ὀρθὴ καὶ γνήσιος, *ἀμφέβαλλεν*. Ἐν δὲ τούτοις τοῖς (ὥς φησιν) *ἀμφιβαλλομένοις*, παρελάμβανε καὶ τὰς ἄλλας ἐκ τοῦ ἑβραϊκοῦ μεταφράσεις πρὸς ἐπίλυσιν τῶν ἀμφιβολιῶν, *κριτηρίῳ* ταύταις χρώμενος· πρὸς ὁποτέραν δὲ τῶν ἀνεγνώσεων τοῦ κειμένου τῶν Ο συνεφώνουν καὶ αἱ λοιπαὶ μεταφράσεις, ἐκείνην ὡς *συνᾴδουσαν* ΕΦΥΛΑΞΕ, καὶ πρὸς ἐκείνην μετέβαλε καὶ τὴν ἄλλην, ἢ τὰς ἄλλας τὰς διαφερούσας. Καὶ διώρθου λοιπὸν *τοὺς Ο ἐκ τῶν Ο*, μηδὲν ἐκ τῶν ἄλλων ἐκδόσεων περὶ τὰς λέξεις εἰς τὸ κείμενον τῶν Ο καινοτομῶν, μηδὲ μεταβάλλων τὰς ἀναγνώσεις, ἀλλ' ἄχραντον ἀφῆκε καὶ καθαρὸν αὐτὸ τὸ τῶν Ο κείμενον, ὁποῖον ἐξέδωκεν ἐν τοῖς Τετραπλοῖς. γ). Ἐν τοῖς *Ἑξαπλοῖς* (περὶ ὧν ὁ λόγος ἐν τῇ ἀνωτέρῳ περικοπῇ) προσέγραψε τοὺς ὀβελοὺς πρὸ τῶν λέξεων, ἢ φράσεων, τῶν μὴ κειμένων ἐν τῷ ἑβραϊκῷ, *μὴ τολμήσας* (ὥς φησὶ) *πάντη περιελεῖν τὰ ὀβελιζόμενα* (πῶς γὰρ ἂν ἐτόλμησε τοσαύτην ἱεροσυλίαν ἐν αἷς ἐπίστευε καὶ ὡμολόγει θείαις Γραφαῖς, καὶ ταῦτα συφωνούντων τῶν ἀντι-

---

(α) Ὠριγέν. ἐξηγητ. εἰς Ἰωάν. τόμ. ϛ. καὶ εἰς Ἰώβ. λβ. σελ. 505. Ὅτι δὲ καὶ ἐν Ἀλεξανδρείᾳ ἐσῴζετο ἤτοι τὸ πρωτότυπον, ἢ μᾶλλον, ἀρχαιότατον τῶν Ο ἀντίγραφον, μαρτυροῦσι Τερτυλλιανὸς (Apolog. c. 18), καὶ Χρυσόστομος (τόμ. α. σελ. 595).

γράφων;). Ὥστε καὶ ἐν τούτοις διετηρήθη τὸ κείμενον τῶν Ο κατὰ τὴν οὐσίαν ἀμετάβλητον καὶ ἀναλλοίωτον (καθότι τὰ προτασσόμενα γραμμάρια τῶν ὀβελῶν οὔτε γράμματα ἦσαν, καὶ διεκρίνοντο ἐναργῶς). Ὡσαύτως καὶ τὰ μετὰ παραθέσεως τοῦ ἀστερίσκου προστιθέμενα διεχωρίζοντο ἀπὸ τοῦ κειμένου τῶν Ο διὰ τοῦ σημείου, τηλεφανῶς διακρινομένου. Ὅθεν τῶν ἠστερισμένων τούτων προσθηκῶν, ὡς παραρτημάτων, εὐκόλως αἱρομένων, ἔμενε πάλιν αὐτὸ τὸ κείμενον ἀκέραιον καὶ ἀμιγές. «Θέλεις (ἔλεγεν ὁ Ἱερώνυμος πρὸς τὸν Αὐγουστῖνον), «θέλεις εἶναι ἀληθὴς ἐραστὴς τῶν Ο; μὴ ἀναγίνωσκε τὰ ὑπὸ τοῖς ἀστερίσκοις». δ). Τέλος, διὰ τί καὶ τοὺς ἀστερισμοὺς καὶ τοὺς ὀβελισμοὺς τούτους προσέθηκεν Ὠριγένης, εἴδομεν διὰ μακρῶν ἐν τοῖς προηγηθεῖσι (σελ. 457). Ὁ δὲ Ὅδιος ἐπαιάνιζεν, ἐν οἷς ἐκυβίστα, τριπλῶς παρεξηγῶν τὴν ἀνὰ χεῖρας περικοπὴν τοῦ Ὠριγένους. α) Ἐξέλαβε τὸν Ὠριγένην, ὅτι *διώρθου* τὸ κείμενον τῶν Ο, παντοίως ἐκ τῶν ἄλλων μεταφράσεων μεταποιῶν, ὁπότ' ἐκεῖνος ταύταις ἐχρήσατο μόνον ὡς *κριτηρίῳ*, παρεξετάζων τὰ τῶν Ο ἀντίγραφα πρὸς ἀσφαλῆ διάγνωσιν τῶν ἐν τούτοις ἀκριβεστέρων ἀναγνώστων. β) Ἐπανέλαβε πάλιν ὡς δεῖξιν τῆς διὰ τῶν ὀβελῶν παντελοῦς τῶν χωρίων ἀθετήσεως τὰς Ὠριγένους λέξεις ἐκείνας, «*Οὐ τολμήσαντες αὐτὰ πάντῃ περιελεῖν*», (καὶ μεγαλογραφεῖ τὸ πάντῃ, **PENITUS**), ὁπότε πᾶν τοὐναντίον Ὠριγένης φησίν. Οὐκ ἐτόλμησε ταῦτα **ΠΑΝΤῌ** περιελεῖν (καθὼς δηλονότι **ΠΑΝΤῌ** καὶ τὸ σύνολον ἔλειπον ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ), διότι κἀκεῖνα πιστῶς ἐσέβετο, καὶ τὰς πολλὰς *τῆς ἑβραίας ἀληθείας* ἐλλείψεις καὶ κολοβώσεις ὑφωρᾶτο δικαίως. γ) Τελευταῖον, καὶ τὸ «*ἵν' ὁ μὲν βουλόμενος πρόηται αὐτὰ*», καὶ τ' ἄλλα μέχρι τέλους τῆς Ὠριγενείου ῥήσεως, ἐσημείωσεν Ὅδιος, ὡς ἀπόλυτον ἄδειαν ἐκδεδομένην φιλοτίμως παρὰ τοῦ Ὠριγένους πρὸς πάντα τὸν βουλόμενον παραδέχεσθαι καὶ τιμᾶν ὡς ἁγίας πάσας τὰς ἐκ τοῦ ἑβραϊκοῦ προσθήκας (ἃς οὐδ' αὐτὸς ἐπρέσβευε τοιαύτας). Ὡσανείπερ ἦν Ὠριγένης ὑπέρτατος τῶν θείων λογίων δεσπότης, αὐτός τε ἐναυθεντῶν, καὶ πάντα τινὰ καὶ ἄλλον ἐγκαθιστὰς κυ-

ριάρχην τῶν ἐν τῇ Ἐκκλησίᾳ τετηρημένων θείων Γραφῶν. Ἀλλ' ὁ γηραιὸς ἐκεῖνος ἠγνόει τὴν τοιαύτην περὶ τὰς τοῦ Θεοῦ Διαθήκας ἐλευθερίαν τῶν νεωτέρων. Προσέθηκε δὲ τὰς λέξεις ταύτας ὑπὸ πολλῆς μετριοφροσύνης, *ἵνα μὴ δόξῃ νομοθετεῖν τῇ ἀδελφότητι παραδέχεσθαι τὰ τῶν Ἰουδαίων καθαρὰ καὶ μηδὲν ἔχοντα πλάσμα!* (ὄπισθ. σελ. 445). Καὶ πάντα δὲ *βουλόμενον* λέγων, ἐνόει τὸν ἐθέλοντα (ὡς αὐτὸς πάλιν προεῖπε) *συγχρήσασθαι τοῖς φερομένοις παρ' ἐκείνοις* (τοῖς Ἰουδαίοις), χάριν φιλολογικῆς εἰδήσεως καὶ μελέτης, *ὑπὲρ τοῦ μὴ λανθάνειν ἡμᾶς τὴν διαφορὰν τῶν παρ' Ἰουδαίοις καὶ ἡμῖν ἀντιγράφων*, καὶ μάλιστα πρὸς κατασκευὴν ἐπιχειρημάτων κατὰ τῆς τῶν Ἰουδαίων πλάνης, ὅστις ἦν ὁ πρώτιστος καὶ μέγιστος σκοπὸς τῶν Ἑξαπλῶν. Τέλος, τῆς ἐσχάτης ἀδικίας καὶ ἀτοπίας ἔργον ἂν εἴη, τὸ προφέρειν τοὺς ἀστερισμοὺς καὶ ὀβελισμοὺς καὶ τὴν ἄλλην τὴν περὶ τὰ Ἑξαπλᾶ σπουδὴν τοῦ Ὠριγένους, ὡς ἀπόδειξιν, ὅτι κατεφρόνει μὲν τῶν Ο, μόνον δὲ γνήσιον καὶ κύριον ἐνόμιζε τὸ κατ' αὐτὸν ἑβραϊκὸν, καὶ τὰς ἐξ αὐτοῦ Ἰουδαϊκὰς μεταφράσεις, ἐν ᾧ στεντορείως ἐκεῖνος διακηρύττει τῆς ἐκδόσεως τὸν σκοπόν.

9). Ἐφεξῆς Ὅδιος ἐπιφέρει καὶ ἐκ τῶν εἰς τὰς Γραφὰς ἐξηγητικῶν χωρίων τοῦ Ὠριγένους ὀλίγας τινὰς χρήσεις, δι' ὧν πειρᾶται δεῖξαι τὸ πρὸς μόνην τὴν ἑβραϊκὴν Γραφὴν ὑπέρτιμον σέβας τοῦ Ὠριγένους, συμπεραίνων ἔκ τινων μερικῶν παραδειγμάτων τὸ *καθόλου*, καὶ τὰς δείξεις μεθοδεύων κατὰ λόγον πάντῃ ἀνακόλουθον καὶ ἀσυλλόγιστον. Ἰδοὺ τὰ παραδείγματα καὶ αἱ πρὸς ἕκαστον αὐτῶν ἀπαντήσεις.

α) Ἐν τῇ Ῥωμάνᾳ ἐκδόσει τῶν Ο, φέρεται σχόλιον εἰς Ἰεζεκιὴλ, ζ, 27. ὅπου *Ὠριγένης ἐσημείωσε* ταῦτα· «Τὸ, ὁ *βασιλεὺς πενθήσει*, συνήθως *ἱστόρηται* (ἀνάγνως, φησὶν Ὅδιος, *ἠστέρικται!* ἤθελε γράφειν, *ἠστέρισται*· τουτ. δι' ἀστερίσκου σεσημείωται, ὡς λεῖπον ἐκ τῶν Ο)· «τάχα διὰ τὸν Σωτῆρα, οὐκ ἂν νομισθέντα πενθεῖν, *οὐκ* (γρ. οὐχ) *ἑρμηνευσάντων τῶν Ο τὸ ῥητὸν*, ἢ *μὴ εὐρηκότων τότε ἐν τῷ ἑβραϊκῷ τὴν λέξιν*· Οὐδὲν δὲ ἄτοπον, σῴζο-

μένου καὶ τοῦ ῥητοῦ, πενθεῖν λέγειν καὶ τὸν βασιλέα· εἴ γε ἔκλαυσεν ὁ Σωτὴρ ἐπὶ τὴν Ἱερουσαλήμ.» (α). Ἐν τούτοις βλέπεις, ἀναγνῶστα 1) ὅτι τὸ σχόλιον ἄλλος ἔγραψε πάντως, οὐκ Ὠριγένης αὐτός· πῶς; αὐτὸς πρῶτος *ἠστέριζεν* Ὠριγένης, καὶ αὐτὸς ἔγραφε τὸ *συνήθως ἠστέρισται;* 2) τὸ σχόλιον ἀπηνθίσθη πιθανώτατα ἐκ τῶν Ὠριγένους Ἐξηγήσεων (δηλοῖ δὲ καὶ ἡ φράσις· τοιαῦτα καὶ Ἱερώνυμος ἔγραψεν εἰς Ἰεζεκιὴλ αὐτόθ.)· δύω τοίνυν Ὠριγένης ἔγραψεν αἰτίας τοῦ μὴ κεῖσθαι παρὰ τοῖς Ο τὸ ῥητόν· ἢ ὅτι οὐχ ἡρμήνευσαν αὐτὸ, νομίσαντες, ὅτι οὐκ ἂν ἐπένθησεν ὁ Χριστός· καὶ οὕτω φαίνεται προφητικοὺς ὑπολαμβάνων τοὺς Ο, ὡς διακρίναντας τὴν προφητείαν εἰς Χριστὸν ἀφορῶσαν, ἢ ὅτι οὐχ εὕρηκαν τὸ χωρίον ἐν τῷ τότε κατ' αὐτοὺς ἑβραϊκῷ· καὶ οὕτως ἐθεώρει τὴν φράσιν προστιθειμένην εἰς τὸ ἑβραϊκὸν μετὰ τοὺς Ο, ἐφ' ὧν ὑπῆρχε γνησιώτερον πάντως τὸ κείμενον παρ' Ἑβραίοις. γ) Οὔτε τὴν ἔλλειψιν, οὔτε τὴν προσθήκην τῶν λέξεων τούτων ὁ Ὠριγένης οὔτ' ἐγκρίνει, οὔτ' ἀθετεῖ· λέγει δὲ μόνον ὅτι *οὐδὲν ἄτοπον* προκύπτει ἐκ τῆς προσθήκης. δ) Τὸ, ὁ *βασιλεὺς πενθήσει* (ὡς ἔχει καὶ τὸ ἑβραϊκὸν) σῴζεται ἔν τισιν ἀρχαιοτάτοις ἀντιγράφοις τῶν Ο (ἐν τῇ τοῦ Ἄλδου, καὶ τῇ Κομπλουτείᾳ ἐκδόσει, καὶ παρὰ Θεοδωρήτῳ κτλ.), λείπει δὲ ἐκ τοῦ Βατικανοῦ (ἴδε καὶ τὴν Ὀλμητείαν ἔκδοσιν).

β) Λέγει Ὅδιος, ὅτι τὰ παρὰ τοῖς Ο ἐν τοῖς κυρίοις ὀνόμασι σφάλματα, *ἐκ τοῦ ἑβραϊκοῦ διορθοῦσθαι δεῖν* ἀπεφήνατο Ὠριγένης, λέγων. «Τὸ δ' ὅμοιον περὶ τὰ ὀνόματα σφάλμα πολλαχοῦ τοῦ νόμου καὶ τῶν προφητῶν ἐστιν ἰδεῖν, ὡς ἠκριβώσαμεν ἀπὸ Ἑβραίων μαθόντες, καὶ τοῖς ἀντιγράφοις αὐτῶν τὰ ἡμέτερα συγκρίναντες, μαρτυρηθεῖσιν ὑπὸ τῶν μηδέπω διαστραφεισῶν ἐκδόσεων Ἀκύλου, καὶ Θεοδοτίωνος, καὶ Συμμάχου» (καὶ ἔπειτα, προθέμενος τριῶν ὀνομάτων παραδείγματα, ἐπιφέρει), «Καὶ τί με δεῖ διατρίβοντα πλείονα παρατίθεσθαι, παρόντος τῷ βουλομένῳ τοῦ

(α) Βλ. τὸ σχόλιον ἐν τῇ Φρανεκυηρίᾳ (τοῦ Bos) ἐκδόσει τοῦ Βατικανοῦ εἰς Ἰεζεκ. ζ. 27. σελ. 998.

ἐξετάζειν καὶ γινώσκειν τὰ κατὰ τὰ ὀνόματα *ἀληθῆ*»; (εἰς Ἰωάννην τόμῳ η.σελ. 131 ἐκδ. Ὑετ.). Ἐν τούτοις σημείωσαι· α) Ὁ Ὠριγένης ἐπιφέρει τὰ ἀνωτέρω, λαβὼν ἀφορμὴν ἔκ τε τοῦ κατά τινα τῶν ἀντιγράφων τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου σφαλερῶς γεγραμμένου «ἐν *Βηθανίᾳ*», ἀντὶ, «ἐν *Βηθαβαρᾷ*», (ὡς καὶ νῦν καθ' ἡμᾶς ἀναγινώσκεται), καὶ ἐκ τοῦ παρὰ τοῖς ἄλλοις τοῖς τρισὶν Εὐαγγελισταῖς τριχῶς ἀναγινωσκομένου, «(χώρα) *Γεργεσηνῶν*, *Γερασηνῶν*, *Γαδαρηνῶν*· ἐν δὲ τούτοις αὐτὸς προτιμᾷ τὸ *Γεργεσηνῶν*, ὡς ἀκριβεστέραν ἀνάγνωσιν (ἐκ τοῦ *Γέργεσα*), τὰς ἄλλας δύω θεωρῶν ὡς ἀντιγραφέων σφάλματα (α)· Ἀλλ' οὔτ' ἐκ τούτων παρεμείου

(α) Ὁ κλεινὸς Ῥελάνδος (Palaistin. L. III· p. 806 καὶ 773. λ. Gadara καὶ Gerasa) συγχωρῶν Ὠριγένει τὴν ἐσφαλμένην γραφὴν τοῦ Γερασηνῶν, ἀποδέχεται μὲν ὡς ὀρθὴν τὸ Γεργεσηνῶν, ἐπιμένει δὲ ὅμως καὶ εἰς τὸ Γαδαρηνῶν, ὡς οὐχ ἧττον ὀρθὴν καὶ τοῦτο γραφήν· διότι ἡ μὲν Γέρασα (καὶ τὰ Γέρασα) κεῖται μακρὰν τῆς Τιβεριάδος ἐν Ἀραβίᾳ, ἢ ἐν μεθορίοις τῆς Περαίας καὶ Ἀραβίας· τὰ δὲ Γάδαρα κατῴκιστο παρὰ τὴν Γέργεσαν, καὶ οὐ μακρὰν τῆς Τιβεριάδος. Ταῦτα δὲ ἐκ πολλῶν ὁ Ῥελάνδος ἀποδείκνυσι συγγραφέων, κατὰ τὴν σύνοικον αὐτῷ πολυμάθειαν. Ἀλλὰ καὶ οὕτως ἡ ἀθέτησις τοῦ Γερασηνῶν, ὡς βεβαίως ἐσφαλμένης γραφῆς, ἔχει συναντῶντα πολλὰ τὰ δυσχερῆ. Α) Ἐν μὲν τοῖς καθ' ἡμᾶς κοινοῖς ἀπογράφοις καὶ ἐκδόσεσι τῶν θείων Εὐαγγελιστῶν δύω μόνον τῶν ὀνομάτων τούτων ἀναγινώσκονται, τὸ Γεργεσηνῶν (Ματθ. η, 28), καὶ τὸ Γαδαρηνῶν (Μάρκ. ε, 1, καὶ Λουκ. η, 26). ταῦτα ἔχουσι καὶ τὰ παρὰ Θεοφυλάκτῳ καὶ Ζιγαβηνῷ κείμενα τοῦ Εὐαγγελίου, καὶ ὁ Ἀθανάσιος ἐν Συνόψει, καὶ Κύριλλος ὁ Ἀλεξανδρείας, καὶ τὰ ἀρχαιότατα ἀντίγραφα, τὸ Ἀλεξανδρινὸν καὶ τὸ Βατικανόν. Ἀλλ' ἐν τοῖς ἐπ' Ὠριγένους ἀντιγράφοις τῶν Εὐαγγελιστῶν ἐγέγραπτο τριχῶς Γεργεσηνῶν, Γερασηνῶν, Γαδαρηνῶν (τοῦτο δ' ἐν ὀλίγοις εὗρεν Ὠριγένης) Καὶ ὁ ἱερὸς Ἐπιφάνιος ἐν μὲν τῷ Ματθαίῳ ἀνέγνω Γαδαρηνῶν (καὶ κατά τινα ἀντίγραφα Γεργεσαίων)· ἐν δὲ τῷ Μάρκῳ καὶ Λουκᾷ, Γεργεσηνῶν (τἀνάπαλιν, ἢ ὡς ἔχουσι τὰ νῦν)· καὶ ὁ ἱερὸς Θεοφύλακτος εἰς Μάρκ. Ε, παρὰ τὸ Γαδαρηνῶν ἀκριβεστέραν ἔκρινεν ἀνάγνωσιν τὸ Γεργεσηνῶν· οὕτως ἀνέγνω παρὰ τῷ Μάρκῳ καὶ Ἀθανάσιος ἐν Συνόψει. Ἄλλους κώδηκας ἀρχαίους ἔχοντας Γερασηνῶν ἐν πᾶσι τοῖς τρισὶν Εὐαγγελισταῖς μνημονεύει ὁ Γριεσβάχιος (ἐκδ. τῆς Ν. Δ.), καὶ Ῥωβέρτος ὁ Στέφανος εἰς Μάρκον καὶ Λουκᾶν (ἐκδ. τῆς Κ. Διαθ. 1550). Αὕτη δὲ ἡ τῶν κωδήκων διαφωνία δείκνυσιν οὐ μᾶλλον πλάνην ἀντιγραφέων, ἢ ἀδιάφορον τοῦ αὐτοῦ ὀνόματος γραφήν. Β) Καὶ ἐκ τῶν ἀρχαίων ἑρμηνειῶν ἡ παλαιὰ Ἰτάλα,

τὸ πρὸς τὴν θειότητα τοῦ Εὐαγγελίου σέβας, οὔτε τὸ πρὸς τοὺς Ο, διὰ τὰς ἐν τοῖς ἀντιγράφοις ἀβλεψίας τῶν ἀντιγραφέων. β) Οὐκ εἶπεν Ὠριγένης *ἐκ τοῦ ἑβραϊκοῦ διορθοῦσθαι δεῖν*, ἀλλ' ὅτι αὐτὸς εὕρισκε καὶ ἐσημείου τὰ ἐν τοῖς ἀντιγράφοις τῶν Ο περί τινα μάλιστα τῶν *ἀκλίτων* ὀνομάτων σφάλματα, παραβάλλων πρός τε τὸ κατ' αὐτὸν ἑβραϊκὸν, καὶ τὰς *ἔτι τότε μήπω διαστραφείσας* ἑρμηνείας τῶν λοιπῶν· ἀλλὰ μὴ παρὰ τοῦτο συνωμολόγει καὶ *κατὰ πάντα* κύριον καὶ γνήσιον τὸ ἑβραϊκόν; Εἰ δὲ καί τι τῶν ἐν ταῖς θείαις Γραφαῖς ἑλληνικῶν κυρίων ὀνομάτων εὕρισκε (καθ' ὑπόθεσιν) ὑπὸ τῶν γραφέων ἡμαρτημένον, διώρθου δὲ τοῦτο παραβάλλων

καὶ ἡ Βουλγάτα ἐν πᾶσι τοῖς τρισὶν Εὐαγγελισταῖς γράφει σταθερῶς Γ ε ρ α σ η ν ῶ ν· ταύτην τὴν γραφὴν ἐτήρησε καὶ Ἱερώνυμος, καὶ οἱ πρὸ τούτου ἱεροὶ πατέρες τῆς Δυτικῆς Ἐκκλησίας· καὶ ὁ ἱερὸς Ἀμβρόσιος (εἰς Λουκ.) γράψας Γ α δ α ρ η ν ῶ ν, ἔπειτ' εὐθὺς ἀναγινώσκει Γερασηνῶν (ὡς τοὺς αὐτοὺς ἑκατέρους φρονῶν). Ὁ δὲ Σύρος ἔχει Γαδαραίων (**Gadaria**· βλ. καὶ **E. Tremellij not. ibid.**). Ἄλλας κατὰ διαφόρους γλώσσας παλαιὰς μεταφράσεις τὴν αὐτὴν ἐχούσας περὶ τὰ ὀνόματα ποικιλίαν καὶ ἀνθυπαλλαγὴν, ἀριθμεῖ ὁ Γριεσβάχιος. Ὥστε ὡς ἐκ τῶν ἀρχαίων καὶ κωδήκων, καὶ μεταφράσεων, καὶ Πατέρων, δυσκόλως ἐξοβελίζεται τὸ Γερασηνῶν (καί τοι μετὰ τοῦ Ῥελάνδου καὶ ἄλλοι τῶν νεωτέρων, καὶ μάλιστα τῶν Διαμαρτυρουμένων, Σχολιαστῶν τῆς Γραφῆς, σφάλμα τοῦτο ἔκριναν. Καὶ αὐταὶ δὲ αἱ νεώτεραι τῶν Διαμαρτυρουμένων μεταφράσεις μόνας τὰς δύω φέρουσιν ἀναγνώσεις, τὰς καθ' ἡμᾶς. Γ) Ὁ Εὐσέβιος, καὶ ἐξ αὐτοῦ ὁ τὸ Ὀνομαστικὸν αὐτοῦ μεταφράσας Ἱερώνυμος (**De locis Hebraicis, Tom. 1. p. 1424-6. Paris. 1609**) γράφει ταῦτα (λ. **Gargasi, Gadara, Gergessa**). «Γαργασεὶ (ἢ Γεργασεὶ) πόλις πέραν Ἰορδάνου, συνάπτουσα τῷ ὄρει Γαλαὰδ, ἣν ἔσχεν ἡ φυλὴ Μανασσῆ. Καὶ αὕτη νῦν εἶναι λέγεται ἡ Γ έ ρ α σ α, πόλις ἐπίσημος Ἀραβίας. Οἱ δέ τινες αὐτὴν εἶναι τὰ Γ ά δ α ρ α νομίζουσιν. Ἀ λ λ ὰ κ α ὶ τ ὸ Ε ὐ α γ γ έ λ ι ο ν μ έ μ ν η τ α ι Γ ε ρ α σ η ν ῶ ν». - Γ έ ρ γ ε σ α, ὅπου τοὺς δαιμονῶντας ὁ Σωτὴρ ἰάσατο· καὶ νῦν ἐπ' ὄρους δείκνυται κωμύδριον παρὰ τὴν λίμνην τῆς Τιβεριάδος », κτλ. Ἐν τούτοις βλέπομεν, ὅτι ὁ Ἱερώνυμος μετὰ τοῦ Εὐσεβίου λέγουσι· α) Ὅτι ἡ Γεργασεὶ ἐλέγετο ἡ αὐτὴ, καὶ ἡ κατὰ τὴν Ἀραβίαν ἐπίσημος πόλις Γέρασα. β) Ὅτι κατ' ἄλλους, ἡ αὐτὴ καὶ τὰ Γ ά δ α ρ α. γ) Ὅτι καὶ τὸ Εὐαγγέλιον, προστίθησιν ὁ Ἱερώνυμος, μέμνηται Γ ε ρ α σ η ν ῶ ν· τοῦτο δὲ λέγων, δῆλός ἐςιν ἐννοῶν, οὐχ ἣν εἶπεν ἐν Ἀραβίᾳ Γέρασαν, ἀλλ' ἑτέραν, τὴν ἐν τῷ Εὐαγγελίῳ, ἀφ' ἧς οἱ Γερασηνοὶ, αὐτὴν δηλαδὴ τὴν Γέργεσαν, (ἣν ἐφεξῆς μνημονεύει), ἐξ ἧς οἱ παρὰ τῷ Ματθαίῳ Γεργεσηνοί. Ὥςε κατ' αὐ-

πρὸς τοὺς ἀρχαίους Ἕλληνας συγγραφεῖς, μὴ διὰ τοῦτο παρεῖχε τοῖς Ἕλλησι τούτοις κῦρος καθολικόν; Ἔπειτα, τὴν μὲν *ἀληθῆ* τῶν ἑβραίων ὀνομάτων γραφὴν περιώριζεν Ὠριγένης ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ καὶ ταῖς ἐξ αὐτοῦ νεαραῖς εἰσέτι μεταφράσεσι, τὰ δὲ σφάλματα πάλιν ἐν τοῖς κατ' αὐτὸν ἀντιγράφοις τῶν Ο. Ὅπως δὲ ἀνέγνων καὶ ἔγραψαν αὐτοὶ οἱ Ο τὰς κυριωνυμίας ταύτας, οὐδὲν εἶπεν Ὠριγένης. Εἰ δὲ καὶ τὸ κατ' αὐτὸν ἑβραϊκὸν διετήρει τῷ ὄντι γνησίαν καὶ ἀληθινὴν τὴν ἀρχαίαν τῶν τοιούτων ὀνομά-

---

τὸν ἡ Γέργεσα ἐκαλεῖτο καὶ Γέρασα· καθὰ καὶ ἡ ἐν Ἀραβίᾳ Γέρασα (καθ' ἑλληνικώτερον σχηματισμὸν) ἐκαλεῖτο καὶ Γεργασεὶ (ἑβραϊκώτερον). Ἐκ τῆς Γεργασεὶ παρωνυμοῦντο καὶ οἱ Γεργεσαῖοι, φῦλον Χαναναίων (Γενέσ. ι, 16. ιε, 21: Ἐξόδ. γ, 8: Δευτ. γ, 14. ζ, 1), οἵτινες κατῴκουν καὶ ἄλλην Γεργασεὶ, τὴν ἐν Βασανίτιδι (Ἱερών. αὐτόθ. πρβ. Cahen.Δευτ.γ,14)· καὶ αὐτοὶ δὲ οἱ τὴν ἐν Τιβεριάδι Γέργεσαν κατοικοῦντες Γεργεσηνοὶ, Γεργεσαῖοί τινες ἦσαν ἐθνικοὶ, οὐχ Ἰουδαῖοι (διότι ἔτρεφον χοίρους)· μαρτυρεῖ δὲ καὶ Ὠριγένης. Ὅτι δὲ ἡ παρὰ τὴν Τιβεριάδα Γέργεσα καὶ Γέρασα ἐκαλεῖτο, μαρτυροῦσι καὶ τῶν νεωτέρων ἄλλοι τε, καὶ Ε. ὁ Τρεμέλλιος· ὅςις διακρίνων τὰ Γάδαρα ἀπὸ τῆς παρακειμένης Γεργέσης, ὡς δύω πολύχνια (oppida) διάφορα, καὶ Γ έ ρ α σ α ν αὐτὴν ἀδιαφόρως καλεῖ· καὶ Γ ε ρ α σ η ν ο ὺ ς, ἢ Γ ε ρ γ ε σ η ν ο ὺ ς (Gergessa sive G e r a s a, à quo G e r a s e n i vel Gergesseni)· καὶ ὁ Οὐαλέσιος (ἀπ' ἄλλης ἀρχῆς), δύω συνωνύμους Γεράσας διακρίνει (εἰς Μαρκελλῖν.). Πάλιν ἐπὶ τοῦ Ἱερωνύμου Γεργασεί τινες ἔλεγον καὶ τὰ μόνον 60 σταδίους (κατὰ τὸν Ἰώσηπον) ἀπὸ τῆς Τιβεριάδος ἀπέχοντα, καὶ οὐ μακρὰν τῆς Γεργέσης ἀπῳκισμένα Γάδαρα· ὧν ἡ χώρα, μέχρι τῆς Τιβεριάδος παρατείνουσα, Γαδαρὶς ἐκαλεῖτο, (Ἰώσηπ.)· ὅθεν καὶ ἡ Γέργεσα, ὡς ἐν τῇ Γαδαρίδι κειμένη, ἦν καὶ αὕτη Γαδαρὶς πόλις, διὸ καὶ μετὰ τῶν Γαδάρων ἐταυτίζετο, κατὰ τὸν Ἱερώνυμον. Ὁμολογεῖ δὲ καὶ Ῥελάνδος (σελ. 774) « τ ὴ ν α ὐ τ ὴ ν ε ἶ ν α ι Γ α δ α ρ ί δ α κ α ὶ Γ ε ρ γ ε σ ὶ χ ώ ρ α ν». Ὅθεν πάλιν καὶ ἡ γραφὴ Γαδαρηνῶν ὡς συνώνυμος τοῦ Γεργεσηνῶν (βλ. καὶ Drusium καὶ τοὺς παρ' αὐτῷ, καὶ Erasmum εἰς Ματθ. ε. καὶ Casaubon. εἰς Μάρκ. ε, καὶ Schleusner Lex.N.T. λέξ. Γαδαρηνὸς, Γεργεσηνός). Ὁ δὲ γηραιὸς Ὠριγένης ἐγένετο μὲν ἐν τοῖς ἁγίοις τόποις (ὡς ἔγραψεν αὐτὸς) « Ἐ π ὶ τ ὴ ν ἱ ς ο ρ ί α ν τ ῶ ν ἰ χ ν ῶ ν τ ο ῦ Ἰ η σ ο ῦ, κ α ὶ τ ῶ ν μ α θ η τ ῶ ν α ὐ τ ο ῦ, κ α ὶ τ ῶ ν π ρ ο φ η τ ῶ ν», καὶ ἐν τῷ θεοδέγμονι Σπηλαίῳ προσεκύνησε (κατὰ Κέλσ. Α, §. 51)· [ὁ δὲ ζωοδόχος Τάφος, καὶ ὁ Γολγοθᾶς ἔτι τότε κατ' αὐτὸν κατείχοντο ὑπὸ τοῖς εἰδωλείοις τῶν ἐθνικῶν. βλ. ὄπισθ. Βιβλ. Γ. σελ.147. Σημειωτέον δ' ἐν παρόδῳ τὸ ἱερὸν τοῦτο ἔθιμον τῶν Χριστιανῶν, ὅτι καὶ κατ' αὐτὰς ἔτι τὰς ἀρχὰς τοῦ χριστιανισμοῦ ἀπήρχοντο εἰς ἱερὰν ἐπίσκεψιν τῶν θεοβαδίστων τόπων. βλ. Chateaubriand Itinéraire etc. T. 1. p. 90—97. Paris, 1822].

των γραφὴν, τοῦτο μὲν ἐῶμεν. Ἐκεῖνο δὲ προστιθέμεθα μόνον, ὅτι τὸ καθ' ἡμᾶς Μασοραῖον ἑβραϊκὸν (πρὸς ὅπερ, ἴσως, Ὅδιος ἐθέλει διορθοῦσθαι καὶ νῦν τὰ κατὰ τοὺς Ο ὀνόματα, παρεισάγων τὸν Ὠριγένην ὡς κελεύοντα ἀπολύτως αὐτὰ *πρὸς τὸ ἑβραϊκὸν διορθοῦσθαι δεῖν)*, τὸ Μασοραῖον, λέγω, κείμενον ἔχει τοσαύτας καὶ περὶ τὰ κύρια ὀνόματα διαφορὰς, ὥστε καὶ αὐτοὶ τῆς Μασόρας οἱ θερμότατοι θιασῶται διομολογοῦσι τὰ σφάλματα.

γ) Εἰς Ἱερεμ. β, 18, ἐσημείωσεν Ὠριγένης ταῦτα· «Τί σοι τοῦ

Ὅθεν καὶ τὴν Γέργεσαν ὁ Ὠριγένης ὡς αὐτόπτης ζωγραφεῖ, λέγων· «Γέργεσα πόλις ἀρχαία περὶ τὴν νῦν καλουμένην Τιβεριάδα λίμνην, περὶ ἣν κρημνὸς παρακείμενος τῇ λίμνῃ, ἀφ' οὗ δείκνυται τοὺς χοίρους ὑπὸ τῶν δαιμόνων καταβεβλῆσθαι». - «Γέρασα δὲ (λέγει) τῆς Ἀραβίας ἐστὶ πόλις, οὔτε θάλασσαν, οὔτε λίμνην πλησίον ἔχουσα»- «Τὰ δὲ Γάδαρα πόλις μέν ἐστι τῆς Ἰουδαίας, περὶ ἣν τὰ διαβόητα θερμὰ τυγχάνει· λίμνη δὲ κρημνοῖς παρακειμένη οὐδαμῶς ἐστιν ἐν αὐτῇ, ἢ θάλασσα» (εἰς Ἰωάν. σελ. 130, 131. Ὑετ.). Πρὸς ταύτας δὲ τὰς πόλεις τὴν Γέργεσαν παραβάλλων, ὀρθῶς διέκρινε μόνην γνησίαν γραφὴν τὴν Γεργεσηνῶν, τὰς ἄλλας δύω σφαλερὰς ἐξελέγχων. Ὅτι δὲ ἡ Γέργεσα αὐτὴ καὶ Γέρασα, καὶ Γαδαρὶς ἢ Γάδαρα, κατά τινας, ἐκαλεῖτο, (καὶ Γάδειρα, ἀντὶ Γάδαρα, Ἀθανάσ. ἐν Συνόψ. εἰς Λουκᾶν), ὁ μὲν Ὠριγένης οὐκ ἐξηκρίβωσεν. Οἱ δὲ περὶ τὸν Εὐσέβιον καὶ Ἱερώνυμον ὕστερον ἐπελθόντες, διέκριναν τὴν συνωνυμίαν. Ὅθεν οὐδὲ τὰς γραφὰς Γερασηνῶν καὶ Γαδαρηνῶν ἐξωβέλισαν (καί τοι τὸν Ὠριγένην ἔχοντες ἀμφότεροι καθημερινὸν ἀνάγνωσμα μετὰ χεῖρας), οὔτ' ἄλλος τῶν θείων Πατέρων οὐδεὶς, οὐδ' ἡ Ἐκκλησία, ἥτις ἀνέκαθεν καὶ διὰ παντὸς ἀναγινώσκει ἐν τοῖς θείοις Εὐαγγελίοις τὸ Γεργεσηνῶν ἐπίσης καὶ Γαδαρηνῶν, καὶ (κατὰ τοὺς Δυτικοὺς πατέρας) Γερασηνῶν. Ἀλλὰ ποῖον τῶν τριῶν τούτων ὀνομάτων ἔγραψαν οἱ θεόπνευστοι Εὐαγγελισταί; Ὁ ἱερὸς Ἐπιφάνιος διαλλάττων τὴν μεταξὺ τῶν Εὐαγγελίων φαινομένην ταύτην διαφωνίαν, γράφει ταῦτα. (Τ. α. σελ. 650). «Ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη τῆς Γεργεσηνῶν, ὡς ὁ Μάρκος λέγει, ἢ ἐν τοῖς ὁρίοις τῶν Γεργεσηνῶν, ὡς ὁ Λουκᾶς φησιν, ἢ Γαδαρηνῶν, ὡς ὁ Ματθαῖος, ἢ Γεργεσαίων, ὡς ἀντίγραφά τινα ἔχει· τῶν γὰρ τριῶν κλήρων ὁ τόπος ἀνὰ μέσον ἦν» κτλ. (ἐν τούτοις ὁ Πατὴρ φαίνεται διακρίνων τὸ Γεργεσαίων, ὡς ἴδιον ὄνομα κλήρου, ἢ φύλου· ἀλλ' ὑποπτεύω, μήπως παρὰ μὲν τῷ Λουκᾷ ἔγραψε Γερασηνῶν. τὸ δὲ Γεργεσαίων ἀνέφερεν ὡς ἄλλην ἔν τισιν ἀντιγράφοις τοῦ Ματθαίου γραφὴν, ἀντὶ τοῦ παρ' ἄλλοις Γαδαρηνῶν)· Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, ὁ Ἐπιφάνιος ἀποδέχεται τρεῖς διαφόρους τοῦ αὐτοῦ ὀνόματος γραφὰς τὰς πάσας γνησίας παρὰ τοῖς Εὐαγγελισταῖς, διότι, φησὶν, ἡ περὶ τὸν δαιμονῶντα θαυματουργία τοῦ Κυρίου γέγονεν ἐν μέσῳ τῆς χώρας τῶν τριῶν τούτων κλήρων, ἐπίσης ἀφ' ἑκάστου τῶν τριῶν παρονομαζομένης. Ταύ-

πιεῖν ὕδωρ ποταμῶν; (οἱ Ο), ἤ, ὡς τὸ ἑβραϊκὸν ἔχει, τοῦ πιεῖν ὕδωρ Σιών;» (Ὑπομνημ. εἰς Ἰωάνν. σελ. 137. Ὑετ.). «Ἰδού, φησιν Ὄδιος, ὅπως *καταφεύγει* πρὸς τὴν ἑβραϊκὴν ἀνάγνωσιν». -Ἄγαν ὁ σοφὸς ἀνὴρ ἥδεται τῷ *καταφεύγειν* (βλ. ὄπισθ. σελ· 432). Ἀλλά, α) μήπως ταύτην πρώτην παρέβαλε πρὸς τοὺς Ο; οὐχὶ δὲ καὶ τοσαύτας ἄλλας ἀναγνώσεις; καὶ ταύτας μήτε προσφεύγων, μήτε προσκόπτων πρὸς τὸ ἑβραϊκὸν, ἀλλ᾽ ἁπλῶς καὶ μόνον «ὑπὲρ τοῦ μὴ λανθάνειν (ὡς εἶπεν) ἡμᾶς τὴν διαφορὰν τῶν παρ᾽ Ἰουδαίοις ἀντιγράφων καὶ τῶν

την τοῦ Πατρὸς τὴν γνώμην ἀπεδέξαντο καί τινες τῶν καθ᾽ ἡμᾶς ἐξηγητῶν τοῦ Εὐαγγελίου, καὶ πάντες σχεδὸν οἱ τὰς δύω μόνον γραφὰς Γαδαρηνῶν καὶ Γεργεσηνῶν, ὡς γνησίας ἀποδεχόμενοι νεώτεροι, ἐν οἷς καὶ ὁ Ῥελάνδος. Καὶ λύεται μὲν οὕτως ἡ φαινομένη διαφωνία· ἀλλ᾽ ἑτέρωθεν ἀναφύεται ἄλλη τις δυσχέρεια. Οἱ θεῖοι Εὐαγγελισταὶ, πρὸς τῇ χώρᾳ τῶν Γεργεσηνῶν, ἢ Γαδαρηνῶν (ἐν ᾗ ἐθαυματούργησεν ὁ Κύριος, εὐθέως, ὡς ἐξῆλθεν ἐκ τοῦ πλοίου. Μάρκ. ε) γράφουσι παρακειμένην καὶ πόλιν. «Κατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν — Ἐξελθόντι δὲ (τῷ Ἰησοῦ) ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως» (ὁ δαιμονῶν)· καὶ, «Οἱ δὲ βόσκοντες (τοὺς χοίρους) ἀπήγγειλαν εἰς τὴν πόλιν» (Λουκ. η, 26. 34)· ταυτὰ σχεδὸν καὶ ὁ Μάρκος (ε, 2)· καὶ ὁ Ματθαῖος· «Ἐλθόντι εἰς τὴν χώραν τῶν Γεργεσηνῶν.- Οἱ δὲ βόσκοντες ἀπελθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα.. καὶ ἰδοὺ πᾶσα ἡ πόλις» κτλ. Ὅτι δὲ ἡ πόλις αὕτη ἦν ἡ παρακειμένη περὶ τὴν λίμνην Γέργεσα, φανερὸν ἐξ ὅλης τῆς ἱερᾶς διηγήσεως, ἥτις παρίστησι καὶ τὴν ἀγγελίαν ταχέως διαδοθεῖσαν, καὶ τοὺς πολίτας (τοὺς κυρίους τῶν χοίρων) μετ᾽ ὀλίγον ἐξελθόντας, καὶ καταλαβόντας τὸν ἰαθέντα, σωφρονοῦντα, καὶ ἔτι «καθήμενον παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ» (Λουκ. η, 35)· τὰ δὲ Γάδαρα ἀπεῖχον, ὡς εἴπομεν, 60, σταδίους μακρὰν τῆς Τιβεριάδος (καὶ 2, ὥρας ἀπὸ τῆς Γεργέσης). Ὅθεν, ἢ αὐτοὶ οἱ θεῖοι Εὐαγγελισταὶ ἔγραψαν ἀδιαφόρως, ὁ μὲν Γεργεσηνῶν καὶ (τὸ αὐτὸ σχεδὸν) Γερασηνῶν, ὁ δὲ, Γαδαρηνῶν, ἓν καὶ τὸ αὐτὸ νοοῦντες πόλισμα, τὴν Γαδαρίδα Γέργεσαν ἢ Γέρασαν, ἢ τούτων ἕν τι ὄνομα κοινῶς γραψάντων, τὸ Γεργεσηνῶν (ὡς Ὠριγένει δοκεῖ), ἔπειτα οἱ πρῶτοι τῶν Εὐαγγελίων ἀντιγραφεῖς ἀδιαφόρως καὶ ἐπίσης ἀληθῶς ἔγραφον καὶ τ᾽ ἄλλα δύω ὀνόματα, ὡς ἀκριβῶς εἰδότες τὴν συνωνυμίαν τοῦ πολίσματος. Ἐκ δὲ τούτων προῆλθε καὶ ἡ τῶν ἀρχαίων κωδήκων περὶ τὴν ὀνομασίαν διαφορὰ, καὶ ἡ παρὰ τοῖς Πατράσι, καὶ κατ᾽ αὐτὴν τὴν Ἐκκλησίαν ἀδιακόπως ἐμβασιλεύουσα χρῆσις τῶν ὀνομάτων, ὡς βεβαίως ταυτοσημάντων. Ὅθεν καὶ ὁ ἱερὸς Εὐθύμιος ὁ Ζιγαβηνὸς τὰς δύω μόνας ἀναγνώσεις (Γεργεσηνῶν καὶ Γαδαρηνῶν) ἐν τοῖς κατ᾽ αὐτὸν ἀντιγράφοις ἀναγνοὺς, σχολιάζων τὸ κατὰ Ματθαῖον Γεργεσηνῶν, ἔγραψε· «Τὸ δὲ κατὰ Μάρκον Εὐαγγέλιον (ε, 1), ἔτι δὲ καὶ τὸ κατὰ Λουκᾶν (η,

παρ' ἡμῖν».– β) Καὶ τὸ καθ' ἡμᾶς ἑβραϊκὸν ἔχει «*ὕδωρ ποταμοῦ*» (ὡς οἱ Ο)· ὥστε τῶν ἐπ' Ὠριγένους ἑβραίων χειρογράφων ἡ ἀνάγνωσις ὑπῆρχε διεφθαρμένη (α).

δ) Εἰς Ἱερεμ. Ὁμιλ. ιε (σελ. 149) λέγει Ὠριγένης· «Τί δὲ καὶ τὸ, *Οὐκ ὠφείλησέ μοι οὐδὲ εἷς* (Ἱερεμ. ιε, 10); πῶς διηγησόμεθα ἐπὶ τοῦ Σωτῆρος, οὐκ ὠφείλησέ μοι οὐδὲ εἷς; εἰ καὶ ἀνέγνωμεν οὕτως, ἀλλὰ καὶ δεῖ εἰδέναι, ὅτι *τὰ πλείονα τῶν ἀντιγράφων τῆς ἐκδόσεως τῶν Ο* οὐκ ἔχει οὕτως. Ὕστερον δὲ ἐπισκεψάμενοι καὶ τὰς λοιπὰς ἐκδόσεις, ἔγνωμεν γραφικὸν εἶναι ἁμάρτημα»– Καὶ λοιπὸν (ἐπάγει Ὅδιος) ἐχρῆτο συμβούλοις καὶ ταῖς λοιπαῖς ἑρμηνείαις, ἐξερευνῶν, ὅπως ἀναγνωστέον ἐν τῇ Κοινῇ (τῶν Ο).– Ἀλλὰ καὶ χωρὶς τῆς ἄλλων ἑρμηνευτῶν συμβουλῆς, μὴ οὐκ ἂν ἤρκεσαν Ὠριγένει τὰ ἀκριβέστερα *τῶν ἀντιγράφων τῶν Ο*, ὅσα οὕτως εἶχον καὶ τότε

---

28), τῶν Γαδαρηνῶν γράφουσιν· ἀλλὰ τῇ Τιβεριάδι λίμνῃ ἡ πόλις Γέργεσα παράκειται, καὶ οὐ τὰ Γάδαρα. Τινὲς δέ φασι διώνυμον εἶναι τὴν τοιαύτην πόλιν, καὶ καλεῖσθαι τοῦτο κἀκεῖνο». Ὁ δὲ καθ' ἡμᾶς ἀείμνηστος Θεοτόκης, καὶ τὰς τρεῖς παρέβαλεν ὀνομασίας λέγων· «Ἡ αὐτὴ πόλις εἶχε δύω ὀνόματα, Γάδαρα, καὶ Γέρασα, ἢ Γέργεσα» (ὡς ταὐτόν· Βλ. Κυριακοδρόμ. Τ. α. σελ. 158. καὶ σελ. 167). Κατὰ ταῦτα καὶ ἡμεῖς ἐν τοῖς ἔμπροσθεν (Βιβλ. Β. σελ. 648), ἀναφέροντες (ὡς ἀπῄτει ὁ λόγος) τὰς ἐν διαφόροις ἀντιγράφοις περὶ τὰ ὀνόματα παραλλαγὰς, ἐμνημονεύσαμεν καὶ τὸ «Γεργεσηνῶν, Γερασηνῶν, Γαδαρηνῶν (ἐκ τοῦ Γέργεσα, καὶ Γέρασα, καὶ Γάδαρα τὸ αὐτὸ πόλισμα)», προσθέντες καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἁπλῶς καὶ μόνον ὡς παράδειγμα τῶν περὶ τὰ ὀνόματα διαφόρων γραφῶν, ἄλλο δὲ μηδὲν πολυπραγμονοῦντες· ἤδη δὲ καὶ ταῦτα προσεπεμετρήσαμεν, Ὠριγένους καλέσαντος.

(α) Ἐν Ἱερεμ. β, 18, ἡ ῥῆσις ὅλη ἔχει οὕτω, «Τί σοι καὶ τῇ ὁδῷ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γηών; καί τί σοι καὶ τῇ ὁδῷ Ἀσσυρίων, τοῦ πιεῖν ὕδωρ ποταμῶν;». Καὶ φαίνεται λοιπὸν ὁ Ὠριγένης ἐν ᾗ συντετμημένως ἐξέφερε ῥήσει ἐννοῶν τὸ ἐν τῷ πρώτῳ κόμματι τοῦ στίχου Γηών, ὅπερ ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ εὕρισκε Σιών (ὅτι δὲ ἡ παρ' αὐτῷ γραφὴ Σιὼν ὑπάρχει ἀληθὴς, βεβαιοῦται ἐξ ἧς προηγουμένως μνημονεύει ῥήσεως τοῦ ρλς Ψαλμοῦ· «Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος.. ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών», πρὸς ἣν παραβάλλει τὰ τοῦ Ἱερεμίου). Ἀλλὰ καὶ οὕτω τὸ ἐπ' Ὠριγένους ἑβρ. διέφερεν ἐν τούτῳ τοῦ καθ' ἡμᾶς, ὅπου γράφεται ἡ λέξις οὐχὶ Σιὼν, ἀλλὰ Σιχὸρ (Schihor), ὡς ὄνομα ποταμοῦ, ἀντὶ τοῦ παρὰ τοῖς Ο, Γηὼν (τὸ αὐτὸ καὶ Γεών· Γενέσ. β, 13). Ἐν δὲ τῇ Βουλγάτᾳ γράφεται (aquam) turbidam, θολερὸν (ὕδωρ), ὡς ἐξήγησεν ὁ Ἱερώνυμος τὸ Schihor (εἰς Ἱερεμ. αὐτόθ.). πρβλ. καὶ Huet. not. εἰς Ὠριγ. αὐτόθ.

κατ᾽ αὐτόν; ἢ ὡς ἀνέγνω καὶ ὁ *Φίλων*, καὶ ὡς ἔχουσι καὶ νῦν ἔτι καθ᾽ ἡμᾶς, «*οὐκ ὠφέλησέ με*;» (ὅτι δὲ τὸ *ὠφέλησε* καὶ ὤνησε, καὶ *ὠφείλησεν*, ἢ *ὤφλησε*, δηλοῖ, προείπομεν Βιβλ. Β. σελ. 883). Ἢ μήπως ἀντιγράφοις ἀντίγραφα συγκρίνων (τὰ τῶν Ο τοῖς Ἰουδαϊκοῖς), καὶ μίαν τινὰ πιθανωτέραν αὐτῷ δόξασαν ἀνάγνωσιν ἐξ αὐτῶν πάλιν τῶν Ο κατὰ τόπους ἐκλέγων, καὶ τοὺς ἄλλους ἑρμηνεῖς ἐν ταύτῃ συμφωνοῦντας παράγων, ἀντεστάθμιζε λοιπὸν καὶ ὅλην τὴν ἀξίαν τῆς ἑρμηνείας τῶν Ο, ὡς ἰσόῤῥοπον πρὸς τὴν τῶν λοιπῶν ἑρμηνευτῶν;

ε) Εἰς Ἱερεμ. Ὁμιλ. ις (σελ. 154) ὁ Ὠριγένης (φησὶν Ὅδιος) προσέθηκεν ἐκ τῶν ἄλλων ἑρμηνειῶν μίαν λέξιν *ἀναγκαίαν* παροφθεῖσαν ὑπὸ τῶν Ο, λέγων. «Ὅτι (ἐν τῷ ἀνταποδώσω *πρῶτον* διπλὰς τὰς ἀδικίας αὐτῶν), «τὸ *πρῶτον*» εἴτε μὴ νοήσαντες, ἐξεῖλόν τινες τὸ γεγραμμένον, εἴτε *καὶ οἰκονομήσαντες ἐξελεῖν* (ἴσ. ἐξεῖλον) *οἱ Ο*, Θεὸς ἂν εἰδείη (α)· ἡμεῖς μέν τοι γε συγκρίνοντες (γρ. συγκρίναντες) ταῖς λοιπαῖς ἐκδόσεσιν, εὕρομεν κείμενον «Καὶ ἀνταποδώσω διπλὰς τὰς ἀδικίας αὐτῶν». Ἵνα δηλωθῇ, ὅτι εἰ καὶ ἄξιοι, διὰ τὰ δεύτερα αὐτῶν ἔργα, μακαριότητος εἶεν, ἐπεὶ ἄνθρωποί εἰσι καὶ ἐν ἁμαρτίαις γεγόνασι, *πρῶτον* δεῖ ἀπολαβεῖν αὐτοὺς τὰς ἁμαρτίας αὐτῶν».– Καὶ πάλιν· «Ἀναγκαίως πρόσκειται τὸ πρῶτον· πρῶτον γὰρ τὰ τῆς ἀδικίας, εἶτα τὰ τῆς

(α) Ταύτην τὴν φράσιν ἑρμηνεύων ὁ μακάριος Ἱερώνυμος (ἔχει δὲ καὶ ταύτην τὴν Ὠριγένους ὁμιλίαν ὅλην ἐκλατινίσας), προσέθηκε καί τι ἀφ᾽ ἑαυτοῦ παρεγγράψας (ὡς οὐκ ὤφειλεν)· ἀντὶ γὰρ τοῦ «εἴτε καὶ οἰκονομήσαντες. ἐξελεῖν οἱ Ο» γράφει. «**Sive LXX interpretas, sicut et cætera, secundum dispensationem suam auferre voluerunt**» (τουτ. εἴτε οἱ Ο, ὡς καὶ τὰ λοιπά, κατὰ τὴν οἰκονομίαν αὐτῶν ἐξελεῖν ἠθέλησαν» Δικαίως ἠγανάκτησεν ἐπὶ ταύτῃ μάλιστα τῇ, «ὡς καὶ τὰ λοιπὰ» προσθήκῃ ὁ κλεινὸς Ὑέτιος, καὶ τὸν Ἱερώνυμον οὐκ ἐπῄνεσε, ψέγοντα καὶ ὧδε τοὺς Ο, ὡς καὶ ἐν ἄλλοις συχνοῖς. «Καὶ ὅ μάλιστά (φησι) θαυμάσεις, ἐν ᾧ τούτους ὡς πάντα πρὸς τὸ δοκοῦν θρασέως ἐκκόπτοντας διαβάλλει, παρενέπηξε καὶ εἰς αὐτὸ τὸ κείμενον τοῦ Ὠριγένους ἀλλοτρίας καὶ νόθους φωνάς» (**Huet. ad Origen. comm. not. p. 16**). Ταύτην τὴν Ἱερωνύμου ἀδικίαν ἐπιτετμημένως ἐσημείωσε καὶ Ὅδιος, μεταγράψας τινὰ ἐξ Ὑετίου.

δικαιοσύνης ἀποδίδοται». — Ἀλλ' (ἀπαντῶμεν) ὅτι μὲν ἐν τῷ ἑϐραϊκῷ τοῦ Ἱερεμίου κειμένῳ πολλαὶ μεταγενέστεραι γεγόνασι προσθῆκαι, τοῦτο λαμπρῶς ἀπέδειξαν οἱ νεώτεροι (α). Τοιαύτας τινὰς καὶ ἐπὶ τοῦ Ὠριγένους εἶχε τοῦτο προσθήκας, καὶ πρότερον ἐπὶ τῶν ἄλλων τῶν τριῶν ἑρμηνευτῶν· ἐν δὲ ταύταις ἴσως ἦν καὶ *τὸ πρῶτον*, ὅπερ οὐδὲ νῦν ἐν τοῖς ἀρχαίοις ἀντιγράφοις τῶν Ο κεῖται (β). Ἐνταῦθα δὲ ὁ Ἀδαμάντιος, καθ' ἣν αὐτὸς ἐξήγει διάνοιαν τὸ προφητικὸν τοῦτο χωρίον (γ), εὕρισκεν ἀναγκαῖον καὶ *τὸ πρῶτον*, καὶ προσέθηκε μετὰ παραθέσεως *ἀστερίσκου* ἐκ τοῦ Θεοδοτίωνος. Εἰδ' ἐξέπεσε τῷ ὄντι ἡ λέξις αὕτη, ἢ καὶ ἄλλαι τινὲς ἐκ τῶν ἀντιγράφων τῶν Ο, δι' ἀϐλεψίαν ἀντιγραφέων, ἐτηρήθησαν δὲ ἐν τῷ κειμένῳ τοῦ πυκνὰ τοὺς Ο μεταγράψαντος Θεοδοτίωνος, μὴ διὰ τοῦτο παρεϐλάβη τὸ κῦρος τῆς προφητικῆς ἑρμηνείας, ἀποδοθέντων αὐτῇ τῶν οἰκείων; Σὺ δὲ σημείωσαι ἀναγνῶστα, μεθ' ὅσης καὶ ὧδε τῆς εὐλαϐείας ὁ Ὠριγένης λαλεῖ περὶ τῶν Ο· ἢ γάρ, φησιν, ἄλλοι τινὲς ἐξεῖλον τὴν λέξιν *(μὴ κατανοήσαντες)*, ἢ αὐτοί, φησιν, οἱ Ο παρέλιπον, *οἰκονομήσαντες*· οἰκονομίαν δὲ λέγει ὅπερ εἶπε καὶ ἐν ἄλλοις, «*κατὰ τὸ βούλημα τοῦ οἰκονομήσαντος γραφῆναι ταῦτα πνευματικῶς* (εἰς Ἰωάνν. τόμ. β. σελ. 192), ἢ καὶ ὡς εἶπεν ὁ μακάριος Ἐπιφάνιος· «ὅτι καὶ ἀπὸ μέρους προφῆται γεγόνασιν (οἱ Ο)· ὧν γὰρ οὐκ ἦν χρεία εἰς ἑρμηνείαν, παρῆκαν»

(α) Βλ. ἀντὶ πάντων τὸν κλεινότατον Μόϐερον (Movers, De utriusque recens. Vatic. Ierem. §. 5. seq.) βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 893 καὶ Γ. σελ. 445.

(β) Ἐν τῷ Ἀλεξανδρινῷ προσέθηκεν ὁ Grabe, καὶ ὁ ἱερὸς Θεοδώρητος ἀνέγνω τὸ π ρ ῶ τ ο ν, ἴσως ἐκ τῶν Ἐξαπλῶν.

(γ) Ταύτῃ τῇ ἐξηγήσει τοῦ Ὠριγένους, καὶ τούτῳ τῷ π ρ ῶ τ ο ν καταχρῶνται πρὸς μαρτυρίαν οἱ ἀπὸ γῆς ἐν τῷ μετὰ θάνατον βίῳ προχείρως ἀνάπτοντες, καὶ πάλιν, ὅταν θέλωσι, κατασβεννύντες τὸ παρ' αὐτοῖς λεγόμενον κ α θ α ρ τ ή ρ ι ο ν π ῦ ρ (purgatorinm)· καὶ φέρουσι πρὸς ἀπόδειξιν τὰ ἀνωτέρω· «π ρ ῶ τ ο ν τ ὰ τ ῆ ς ἀ δ ι κ ί α ς, ε ἶ τ α τ ὰ τ ῆ ς δ ι κ α ι ο σ ύ ν η ς κτλ. Ἀλλ' εἰ καὶ μὴ ἐνταῦθα τοιοῦτο καταφαίνεται ἐναργῶς τὸ τοῦ Ὠριγένους φρόνημα, ἀλλαχοῦ δὲ ὅμως διαῤῥήδην ἐξήνεγκε τὴν κακοδοξίαν. βλ. Huetij Origenian. p. 153.

(περὶ Μέτρ. §. 17. σελ. 173). Τοιαῦτα καὶ ὁ ἱερὸς Αὐγουστῖνος, καὶ ἄλλοι τῶν Πατέρων (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 893).

ϛ) Ἐν τῇ αὐτῇ Ὁμιλίᾳ (σελ. 157) γράφει Ὠριγένης ταῦτα. «Εἶτα ἄλλη ἐςὶ προφητεία, ἥν, οὐκ οἶδ᾽ ὅπως, παρὰ τοῖς Ο οὐχ εὕρομεν· εὕρομεν δὲ ἐν ταῖς λοιπαῖς ἐκδόσεσι, δηλονότι κειμένην ἐν (ἴσ. καὶ ἐν) τῷ ἑβραϊκῷ· καὶ πεπλήρωται πραγμάτων ἀναγκαιοτάτων, δυναμένων, ἐὰν προσέχωμεν, ἐπιστρέψαι τὴν ψυχὴν ἡμῶν· οὕτω δὲ ἔχει τὰ ῥήματα (Ἱερ. ιζ, 1) «*Ἁμαρτία Ἰούδα γέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ, ἐγκεκολαμμένη ἐπὶ τοῦ στήθους τῆς καρδίας αὐτῶν*» (α). Καὶ συνεχίζει Ὠριγένης. «*Ἐπὶ τὸ εὐχερέστερον ἑαυτὸν ἐπιδοῦναι, καὶ εἰπεῖν περὶ τῶν Ἰουδαίων ταῦτα γέγραπται, ὅτι ἡ ἁμαρτία αὐτῶν γέγραπται.* (*Ἀλλ᾽ ἐὰν ἴδῃς, ὡς πολλάκις ἐδείξαμεν,* Ἰούδαν κτλ.). Ἀντὶ δὲ τούτων ὁ Ἱερώνυμος ἐν τῇ λατινικῇ ἑρμηνείᾳ γράφει τὰ ἑξῆς. «Ἐπεὶ δυσχερές ἐςιν ἑαυτόν τινα πονηρὸν ὁμολογῆσαι, διὰ τοῦτο οἱ Ἰουδαῖοι, οἵ τινα τῶν ἀντιγράφων διενόθευσαν, καὶ ἐν τούτῳ τῷ τόπῳ ἀντὶ τοῦ, *ἁμαρτία Ἰούδα*, γεγράφασιν, *ἁμαρτία αὐτῶν*». κτλ. Ὁ δὲ κλεινὸς Ὑέτιος (Σημ. σελ. 16) διορθοῖ τὸ κείμενον τοῦ Ὠριγένους οὕτως «*Ἐπεὶ δυσχερέστερον ἑαυτὸν ἐπιδοῦναι, καὶ εἰπεῖν, ὅτι περὶ τῶν Ἰουδαίων ταῦτα γέγραπται*», (καὶ μηδὲν πλέον)· σημειοῖ δὲ καὶ ταῦτα, «Εἰς τοὺς μεταγενεστέρους τῶν Ἰουδαίων ἀποῤῥίπτει Ὠριγένης τὴν περὶ τὴν ἔλλειψιν τῶν στίχων τούτων *ἀπιστίαν τῆς ἑρμηνείας τῶν Ο*, ὡς ἔλεγε πρὸς Τρύφωνα καὶ ὁ μάρτυς Ἰουστῖνος». Ἀλλ᾽ ὁ κλεινὸς Ὑέτιος οὔτε τὸ κείμενον τοῦ Ὠριγένους διώρθωσεν (εἰ μὴ μόνον τρέψας τὸ

(α) Ταῦτα μέρος ἐστὶ τῆς ἐκ τεσσάρων στίχων συγκειμένης περικοπῆς (Ἱερ. ιζ, 1—5), ἥτις κεῖται παρὰ τοῖς Ο, ἐκδ. Κομπλουτ. καὶ παρὰ Θεοδωρήτῳ (εἰς Ἱερεμ. ιζ). Καὶ ἔν τινι τῶν Ἡσαΐου χειρογράφων· Montf. Exapl. T. 2. p. 211. Ἔχει ταύτην καὶ Εὐσέβιος (ἐν Εὐαγγ. Ἀποδ. I, ε. σελ. 301), ἐπισημειῶν τὰ ἑξῆς (ὡς καὶ Ὠριγένης) «Εἰ καὶ μὴ παρὰ τοῖς Ο, ἀλλ᾽ οὖν ἐν τῷ ἑβραϊκῷ ταῦτα εὑρόντες καὶ ἐν ταῖς τῶν λοιπῶν ἑρμηνευτῶν ἐκδόσεσιν, ἔτι μὴν μετὰ παραθέσεως ἀστερίσκων καὶ ἐν τοῖς ἀκριβέσι τῶν παρὰ τοῖς Ο ἀντιγράφοις, ἀναγκαίως αὐτὰ παραθέμεθα». βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 894.

εὐχερέστερον εἰς τὸ *δυσχερέστερον*, ἐκ τοῦ Ἱερωνύμου, καὶ τὴν *ἐπὶ* εἰς τὸν *ἐπεί*, ὃ καὶ πλείονα τὴν ἀνακολουθίαν τοῦ λόγου ποιεῖ, παραῤῥιφθὲν χωρὶς ἀνταποδόσεως), καὶ ἀποδίδωσιν εἰς τὸν Ὠριγένην ὅσα λέγει μόνος ὁ Ἱερώνυμος, μηδόλως εἰπὼν, ὅπως οὗτος ἀνέγνω παρ' Ὠριγένει· προσέθηκε δὲ καὶ ἐξ ἑαυτοῦ ὅ,τι μήτ' Ὠριγένης ἔγραψε μήτ' Ἱερώνυμος εἶπεν ἐνταῦθα, «τὴν *ἀπιστίαν τῆς ἑρμηνείας τῶν Ο*». Ὁ δὲ πάλιν Ὅδιος χείρονα τοῦ μηδενὸς πρὸς Ὑέτιον ἀντειπὼν, καὶ μετὰ πολλῆς βαρυθυμίας ὁμολογήσας, ὅτι οὐδ' αὐτὸς ἔχει ἀληθέστερα λέγειν, τέλος, ἐπιφωνεῖ τὴν αὐτῷ φίλην ἐπῳδὴν, λέγων «Ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, τοῦτο μόνον βεβαιοῦται καὶ ἐντεῦθεν, ὅτι Ὠριγένης ἀπὸ τῶν Ο *κατέφυγεν εἰς τὸ ἑβραϊκόν!* Ἡμεῖς δὲ σὺν πᾶσι τούτοις ἀσμένως ἂν Ὀδίῳ πονουμένῳ παρέσχομεν οἱανδήποτ' ἐπικουρίαν, εἰ μὴ παρῆν Ἱερώνυμος. Ἔστι γὰρ (οἶμαι) διὰ σμικρᾶς προσθήκης διορθώσασθαι τὰ τοῦ Ὠριγένους, ἀναγινώσκοντας οὕτως. ΕΣΤΙ *μὲν* ἐπὶ τὸ εὐχερέστερον ἑαυτὸν ἐπιδοῦναι, καὶ εἰπεῖν, ὅτι περὶ τῶν Ἰουδαίων ταῦτα γέγραπται, ὅτι «*ἁμαρτία Ἰούδα γέγραπται*». ἀλλ' ἐὰν ἴδῃς, ὡς πολλάκις ἐδείξαμεν, Ἰούδαν τροπικῶς λεγόμενον τὸν Χριστὸν» (καὶ τὰ ἑξῆς τῆς ἑρμηνείας, καθ' ἣν Ὠριγένης, ὡς εἴωθεν, ἄγαν τροπολογεῖ). Ἀλλ' ἐπειδὴ πάρεστιν Ἱερώνυμος, ὅστις ἀλλαχοῦ (ὑπομνημ. εἰς Ἱερεμ. αὐτόθ.) εἰς αὐτοὺς ἀποῤῥίπτει τοὺς Ο τὴν ἑκουσίαν παράλειψιν τῶν στίχων, ἐπὶ λόγῳ δῆθεν φιλογενείας! (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 894), οὐδ' ἂν εἶπεν οὕτω ῥᾳδίως ἐνόχους νοθείας τοὺς Ἰουδαίους, εἰμὴ τούτους ἔλεγεν Ὠριγένης, φαίνεται λοιπὸν, ὅτι τὰ τοῦ Ὠριγένους εἶχον οὕτω πως. «Ἐπεὶ δὲ δυσχερέστερόν ἐςι τοὺς Ἰουδαίους εἰς ἑαυτοὺς τὴν ἁμαρτίαν ἀποδοῦναι, καὶ εἰπεῖν, περὶ Ἰουδαίων ταῦτα γέγραπται· διὰ τοῦτο οἱ Ἰουδαῖοι τὰ μὲν τῶν ἀντιγράφων διανοθεύσαντες, ἐξέκοψαν παντελῶς τὰ ῥήματα, οἱ δ' ἐν τούτῳ τῷ τόπῳ ἀντὶ τοῦ *ἁμαρτία Ἰούδα*, τιθεῖσιν, *ἁμαρτία αὐτῶν γέγραπται*». Οὕτως ὁ Ὠριγένης, εἰπὼν πρῶτον, «*οὐκ οἶδ' ὅπως οὐχ εὕρομεν ταῦτα παρὰ τοῖς Ο*» ἔπειτ' ἀπέδωκε τὴν αἰτίαν, δικαίως καὶ ὀρθῶς πιθανολογῶν. Εἰ δὲ μὴ

ταῦτα, ἢ τοιαῦτα ἔγραψεν Ὠριγένης, παρενέδυσε δὲ καὶ ὧδε τοὺς λόγους ὁ μακάριος Ἱερώνυμος, ἔχομεν λοιπὸν τοῦτον αὐτὸν μάρτυρα τῆς αἰτίας, δι' ἣν οὐχ εὕρηκεν Ὠριγένης τὰ λείποντα παρὰ τοῖς Ο (ὡς λείπουσι καὶ ἐν τοῖς πλείσοις τῶν καθ' ἡμᾶς ἀντιγράφων· κεῖνται δὲ, ὡς προείπομεν, παρὰ τῷ Θεοδωρήτῳ, κἀν τῇ ἐξ ἀρχαιοτάτου κώδηκος Κομπλουτείᾳ ἐκδόσει). Καὶ μάτην ἄρα Ὅδιος εἶδε τὸν Ὠριγένην καταφυγόντα ἐκ τῶν Ο, πρὸς τοὺς Ἰουδαίους, ὧν ἐκεῖνος ἐξήλεγχε τὴν ῥᾳδιουργίαν, εὕρισκε δὲ τὸ κλέμμα παρὰ τοῖς ἄλλοις μεταφρασταῖς (καὶ μάλιστα παρὰ τῷ Θεοδοτίωνι, ἐξ οὗ καὶ μετέγραφε τὰ ἀστεριζόμενα), ἐν οἷς ἡ Ἰουδαϊκὴ κακεντρέχεια οὐκ ἐξήλειψε τὸ χωρίον, ὅλην ἐπιδείξασα τὴν μανίαν ἐν τοῖς πλείσοις χειρογράφοις τῶν παρὰ τοῖς χριστιανοῖς ἀναγινωσκομένων Ο.

ζ) Εἰς Ψαλμὸν β, 12, ὅπου οἱ Ο, «καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας», ὁ Ὠριγένης ἐσημείωσε ταῦτα. «Ἀλλ' ἐπεὶ οὔτε ἐν τῷ ἑβραϊκῷ πρόσκειται, οὔτε ἐν ταῖς λοιπαῖς ἑρμηνείαις τὸ *δικαίας*, ὑποπτεύομεν, μήποτε ἢ κατ' οἰκονομίαν προσέθηκαν τοῦτο, ἢ τὰ ἀντίγραφα ἡμάρτηται». Ἀλλὰ καὶ ὧδε Ὠριγένης δείκνυσι τὸ πρὸς τοὺς Ο σέβας, εἰς ὧν *τὴν οἰκονομίαν* ἀναφέρει τὴν λέξιν. Εἶπε δὲ καὶ τὴν ἑτέραν αὐτοῦ ὑποψίαν, ὡς ὑπόνοιαν ψιλὴν, ἥτις ἐξελέγχεται καὶ μάταιος. Ἔχουσι γὰρ τὴν λέξιν οὐ μόνον οἱ καὶ εἰς ἡμᾶς περισωθέντες ἀρχαιότατοι τῶν Ο κώδηκες, ἀλλὰ καὶ ἡ πλέον ἢ μιᾷ ἑκατονταετηρίδι προλαβοῦσα τὸν Ὠριγένην ἑρμηνεία τῆς Ἰτάλας, καὶ ὁ μάρτυς Ἰουστῖνος ταύτην ἀνέγνω (σελ. 69). Καὶ φαίνεται λοιπὸν ἡ ἐκ τοῦ ἑβραϊκοῦ ἔκπτωσις τῆς λέξεως, λώβη τούτου παλαιὰ (καὶ ἴσως μεταξὺ τοῦ α, καὶ β, αἰῶνος ἐπισυμβᾶσα).

η) Εἰς Ψαλμ. γ, 7, ὅπου τὸ «ἐπάταξας .. τοὺς ἐχθραίνοντάς μοι *ματαίως* (τὸ δ' ἑβρ. *εἰς σιαγόνα*), σεσημείωκεν Ὠριγένης. «Τῷ ἑβραϊκῷ ἐντυχόντες, τὸ ματαίως οὐδαμῶς εὕρομεν δυνάμενον δηλοῦσθαι. Τί γὰρ κοινὸν τῆς λέξεως τῆς *ματαίως* πρὸς τὴν *σιαγόνα;* καὶ οἱ λοιποὶ δὲ ὡς τὸ ἑβραϊκὸν τεθείκασιν. Εἰκὸς οὖν, ὥς τινες τῶν Ἑβραίων λέγουσι, *τὰ ἀρχαῖα ἀντίγραφα* ἑτέρως ἐσχηκέναι· ἢ τὸ εὐτελὲς περιϊσταμένους τοὺς Ο τῆς λέξεως, τετολμη-

κέναι ἀντὶ τοῦ *σιαγόνα* ποιῆσαι *ματαίως*». Ὥστε (συμπεραίνει Ὅδιος) ταύτην τὴν ἀνάγνωσιν ὁ Ὠριγένης ὡς *ψευδῆ παντάπασιν ἀποῤῥίπτει*· διότι ἐν τῷ ἑβρ. καὶ ἐν τοῖς ἄλλοις οὐχὶ *ματαίως*, ἀλλ' εἰς τὴν *σιαγόνα* κεῖται. — Ἀλλ' ὅτι μὲν Ὠριγένης ἀπέῤῥιπτεν ὡς ψευδῆ τὴν κατὰ τοὺς Ο ἀνάγνωσιν, τοῦτο μόνῳ Ὁδίῳ ἐκ τῶν Ὠριγένους λόγων συνάγειν ἐξῆν· πᾶς δέ τις ἄλλος βλέπει, ὅτι τὴν μὲν διὰ τὸ *εὐτελὲς τῆς λέξεως* μεταβολὴν ἄγαν ἐπιπολαίως ὑπενόησεν Ὠριγένης· ἀξίως δὲ τῆς κριτικῆς αὐτοῦ δυνάμεως ἐσημείωσεν, ὅτι τὰ ἀρχαῖα ἀντίγραφα (οἷς οἱ Ο ἐχρήσαντο) διέφερον τῶν κατ' αὐτὸν, ὃ καὶ τῶν ἑβραίων αὐτῶν οἱ εἰλικρινέστεροι ὡμολόγουν· Προσῆκε δὲ ἄρα καὶ τῇ τοῦ Ὁδίου κριτικῇ μαρτυρῆσαι τῇ ἀληθείᾳ τοῦ Ὠριγένους· καὶ προσθεῖναι δὲ, καὶ ὅτι τῶν ἐπ' Ὠριγένους πάλιν ἀντιγράφων πολλῷ πλέον, ἐν ἄλλοις ὅτι πλείστοις, διαφέρουσι τὰ νῦν Μασορικά. Ὁ δὲ καὶ αὐτοὺς τοὺς Ὠριγένους λόγους παρεῖδεν! ἀλλ' ἐκήρυξαν αὐτοὺς ἄλλοι δικαιότεροι (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 88).

θ) Εἰς Ψαλμ. νθ, 1. Ὠριγένης (φησὶν Ὅδιος) προτιμᾷ *σαφέστατα* τὴν Ἀκύλα ἑρμηνείαν παρὰ τοὺς Ο, λέγων· «Εἶτ' ἐπιλέγει (ὁ Ψαλμὸς), «*ὠργίσθης* καὶ *ᾠκτείρησας ἡμᾶς*»· κατὰ δὲ τὸν Ἀκύλαν, «*θυμωθεὶς μετέστρεψας ἡμᾶς*». Τοῦτον δὲ μᾶλλον τὸν λόγον ἡ τῶν πραγμάτων ἔκβασις παρίστησι· μετὰ γοῦν τὴν τοῦ Σωτῆρος παρουσίαν ταῦτα πεπόνθασιν. Ὅτε γὰρ ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ, εἰς τέλος *ἀπώσθησαν καὶ καθῃρέθησαν, καὶ ἀπεβλήθησαν, διεκόπησάν τε καὶ περιήχθησαν*, διασκορπισθέντες εἰς πάντα τὰ ἔθνη» (α). Ἀλλ' ἐν τούτοις Ὠριγένης φαίνεται *σαφέ-*

(α) Σημείωσαι, πῶς ὁ πολὺς Ὠριγένης ἐπὶ τῆς ἐξηγήσεως ἐχρήσατο ταῖς λέξεσιν ἁπάντων τῶν ἑρμηνευτῶν· τὸ ἀπώσθησαν καὶ καθῃρέθησαν ἔλαβεν ἐκ τῶν Ο, «ἀπώσω καὶ καθεῖλες ἡμᾶς», ἀνθ' ὧν ὁ Σύμμαχος, ἀπεβάλου καὶ διέκοψας ἡμᾶς· ὅθεν τὰ ἀπεβλήθησαν καὶ διεκόπησαν. ἀντὶ δὲ τοῦ ἐφεξῆς ᾠκτείρησας τῶν Ο, καὶ τοῦ μετέστρεψας τοῦ Ἀκύλα, ὁ Σύμμαχος ἔχει περιήγαγες ἡμᾶς· ὅθεν, τὸ περιήχθησαν· καὶ ταῦτα πάντα συνεπίλησεν, ὅπως τρανώτερον ἐκφράσῃ τὸ τοῦ Ἀκύλα μετέστρεψας, ὡς τοῦτ' αὐτὸς ἐνόησε.

στατα μὴ ἐξακριβώσας τὸ τοῦ Ἀκύλα *μετέστρεψας* (α)· ἐκλαβὼν δὲ ἄρα τοῦτο (ἢ καὶ ἴσως ἀναγνοὺς) *κατέστρεψας*, ἐφήρμοσεν εἰς τὴν ἐσχάτην τῶν Ἰουδαίων καταστροφήν· διὸ καὶ τὴν λέξιν εὗρηκε μᾶλλον ἐμφαντικὴν τῆς, ἧς αὐτὸς ὑπέλαβε, τῶν πραγμάτων ἐκβάσεως· ἀλλ' οὐδὲ τὸ τῶν Ο «*ᾠκτείρησας*» παντελῶς ἀπέβαλεν. Οἱ δὲ μᾶλλον Ὠριγένους ἀκριβώσαντες τὸ νόημα τοῦ Ψαλμῳδοῦ, μόνην τὴν ἀνάγνωσιν τῶν Ο ἐκύρωσαν, ὡς ἡ παλαιὰ Ἰτάλα (καὶ ἡ νῦν Βουλγάτα), ὁ Σύρος Θεοδώρητος, ὁ Δίδυμος, ὁ Μ. Βασίλειος, ὁ Μ. Ἀθανάσιος, Ἱλάριος, Αὐγουστῖνος, αὐτὸς ὁ Ἱερώνυμος.

ι) Εἰς Γενέσ. α, 1. φαίνεται τῷ Ὀδίῳ ὁ Ὠριγένης, ὅτι προτιμᾷ τῶν Ο τὴν Ἀκύλα ἑρμηνείαν, λέγων· «Ζητητέον, εἰ ταὐτόν ἐστι τὸ, *εἰς ἀρχὰς τῆς ἡμέρας*, τῷ, καὶ *ἄρχειν* τῆς ἡμέρας· καὶ τὸ, *εἰς ἀρχὰς τῆς* νυκτὸς, τῷ, καὶ ἄρχειν τῆς νυκτός. Καὶ ὁ Ἀκύλας γὰρ ἀνάλογον ἐτήρησε, ποιήσας, ἀντὶ μὲν τοῦ, *εἰς ἀρχὰς*, εἰς ἐξουσίαν· ἀντὶ δὲ τοῦ *ἄρχειν*, ἐξουσιάζειν».– Ἀλλ' ἐν τούτοις Ὠριγένης αὐτοὺς τοὺς Ο ἐξηγῶν, ζητεῖ καὶ τὴν Ἀκύλα συμμαχίαν πρὸς ἀπόδειξιν τῆς ἐξηγήσεως· προτιμᾷ λοιπὸν ὑπὲρ τοὺς Ο, τὸν Ἀκύλαν; (β).

ια) Κατὰ Κέλσου Ε, §. 48. ὁ Ὠριγένης (ὡς Ὀδίῳ ἔδοξεν) ἀποβαλὼν τὴν ἐν Ἐξόδῳ δ, 25, ἀνάγνωσιν τῶν Ο, ἐνηγκαλίσθη τὴν ἑβραϊκὴν, λέγων· «Ἡ Σεπφώρα λαβοῦσα ψῆφον, περιέτεμε τὸ παι-

---

(α) Τὸ ἑβρ. ἔχει «ὠργίσθης, καὶ ἐπέστρεψας πρὸς ἡμᾶς. τοῦτο καὶ Ἀκύλας εἶπε μετέστρεψας ἡμᾶς, ἀντὶ τοῦ ἐπέστρεψας, ὡς ἡρμήνευσε καὶ Ἱερώνυμος convertes nos· ὅθεν καὶ οἱ νεώτεροι ἀναψύξεις, ἢ ἀνέψυξας ἡμᾶς (βλ. Rosenmüll.), καὶ οἱ Ο, κυριώτερον, ᾠκτείρησας.

(β) Παρόμοια συλλογίζεται Ὅδιος καὶ ἐν ἄλλοις· ἄκουε. Ἐν Γενέσ. ς, 16. ἐξηγῶν ὁ Ὠριγένης τὸ τῶν Ο, κατάγαια διώροφα καὶ τριώροφα (τῆς κιβωτοῦ), λέγει. «Τὰ μὲν κάτω- ἅπερ ὠνόμασται κατάγαια, ὀροφῶν δύω· τὰ δὲ ὑπὲρ τὰς δύω ὀροφὰς, ὀροφῶν τριῶν. Τοῦτο δὲ καὶ ὁ Σύμμαχος σαφῶς ἐξέθετο εἰπὼν, «κατὰ δίστεγα καὶ τρίστεγα» (Ἑξαπλ. Τ. α.σελ. 24). Τοσαῦτα Ὠριγένης περὶ Συμμάχου, καὶ πλέον οὐδέν. πῶς δὲ καὶ ἐν τούτοις εἶδεν Ὅδιος τὸν Σύμμαχον προτετιμημένον, ἡμεῖς ἀποροῦμεν· ἀπορήσει δὲ δήπου καὶ πᾶς τις ἄλλος.

δίον αὐτῆς· κατὰ μὲν τὰ κοινὰ τῶν ἀντιγράφων λέγειν ἀναγεγραμμένη τὸ, *Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου*· κατὰ δὲ τὸ ἑβραϊκὸν αὐτὸ, *Νυμφίος αἱμάτων σύ μοι*. Ἤδει γὰρ τὸν περὶ τοῦ τοιουδὶ ἀγγέλου λόγον, δυναμένου πρὸ τοῦ αἵματος, καὶ παυομένου διὰ τὸ τῆς περιτομῆς αἷμα, ἐφ᾽ ᾧ καὶ ἐλέχθη αὐτῷ» (τῷ ἀγγέλῳ) «τὸ Νυμφίος αἱμάτων σύ μοι».— Ἐν τούτοις σημειωτέον· α) ὅτι ἡ περικοπὴ αὕτη ἀναφέρεται πρὸς ὅσα μικρῷ πρότερον εἴρηκεν Ὠριγένης· ὅτι «Καὶ τάχα διά τινα πολέμιον τῷ Ἰουδαίων ἔθνει ἄγγελον αὐτὴ (ἡ περιτομὴ) ἐτελεῖτο, δυνάμενον μὲν σίνεσθαι τοὺς μὴ περιτεμνομένους αὐτῶν, ἀτονοῦντα δὲ ἐν τοῖς περιτεμνομένοις» (αὐτόθ.). Τούτου τοῦ *τοιουδὶ ἀγγέλου* τὸν λόγον ἐπανέλαβε κἀν τοῖς ἀνωτέρω. β) Ὅτι τὸ ἑβραϊκὸν οὐκ ἔχει *ἄγγελον*, οὐδ᾽ οἱ τρεῖς ἑρμηνευταί. Ἀλλ᾽ ἀντὶ τοῦ παρὰ τοῖς Ο, (συνήντησεν αὐτῷ) *ἄγγελος Κυρίου* (ὡς ἔχει καὶ ὁ Χαλδαῖος, καὶ ὁ Ἄραψ κτλ. Ἐξόδ. δ, 24), ὁ ἑβραῖος ἔχει, ὁ *Ἰευὼ (ἢ Ἰεχυβὰ)*, ὁ Κύριος, ἢ *ὁ Θεὸς*, ὡς Ἀκύλας· ὁ δὲ Θεοδοτίων καὶ Σύμμαχος, ὁ *Κύριος*. Ὥστε Ὠριγένης οὐ μόνον οὐ παρέλιπε τὴν ἀνάγνωσιν τῶν Ο, ἀλλὰ ταύτην κυρίως τίθησι βάσιν τῆς κατ᾽ αὐτὸν ἑρμηνείας τοῦ ῥητοῦ· παρέθηκε δὲ καὶ τὴν «*Νυμφίος αἱμάτων*», ἑβραίαν ἀνάγνωσιν ἁπλῶς καὶ μόνον, ὅπως ἀποδείξῃ τὴν πρὸς τοὺς Ο διαφορὰν αὐτῆς. γ) Σχόλιον ἀρχαῖον εἰς τὸν τόπον τοῦτον τῆς Ἐξόδου λέγει ταῦτα. «Ὁ δὲ Ἑβραῖος, «*ἐσφράγισε τὸ αἷμα τῆς περιτομῆς*» (α). Ὥστε καὶ οὗτος ὁ παλαιὸς Σχολιαστὴς ἀνέγνω ἐν ἑβραϊκῷ χειρογράφῳ τετηρημένην καὶ καθαρὰν τὴν ἀνάγνωσιν τῶν Ο, οἵτινες ἀνέγνων προφανῶς οὐχὶ *χαταν* (νυμφίος), ὡς ἔχει καὶ τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν, ἀλλὰ *χατάμ* (ἔστη), καθὰ προείπομεν (Βιβλ. Γ. σελ. 505). Καὶ λοιπὸν ἐπ᾽ Ὠριγένους καὶ

(α) Τὸ ἐσφάγισεν (ὃ καὶ τὸ χαταμ ὡσαύτως σημαίνει), οὐδέτερον, ἀντὶ τοῦ ἐσφράγισεν ἑαυτὸ (ἐσφράγισται), δηλοῖ τὸ πέπαυται, τετέλεσται (οἷον διὰ σφραγῖδος ἐπιτεθείσης ἐγκλεισθὲν, καὶ κωλυθὲν, ἢ σταθὲν τῆς ἐπὶ τῆς πρόσω φορᾶς). ὅθεν καὶ τὸ τῶν Ο, ἔστη τὸ αἷμα, ὃ καὶ ὁ θεῖος Λουκᾶς ἔγραψεν· «Ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς» (η, 44). Συνήθης δὲ ἡ φράσις καὶ παρ᾽ Ἕλλησι.

τῶν ἄλλων ἑρμηνευτῶν τὰ πλεῖστα τῶν ἑβρ. χειρογράφων διέφερον καὶ κατὰ ταύτην τὴν ἀνάγνωσιν τῶν ἀρχαίων ἐκείνων, ἐξ ὧν οἱ Ο μεθηρμήνευσαν τὴν ῥῆσιν γνησίαν καὶ τελείαν. Ὅτι δ' ἐκεῖνα εἶχον καὶ τὸ «τῆς *περιτομῆς*», δείκνυσι καὶ αὐτὸ τὸ καθ' ἡμᾶς ἑβραϊκὸν, ὅπου κατὰ τὴν (ἐν στίχ. 26) ἐπανάληψιν τοῦ «*Νυμφίος αἱμάτων* (καὶ κατὰ τοὺς Ο πάλιν, *Ἔστη τὸ αἷμα* κτλ.), γέγραπται «Νυμφίος αἱμάτων *τῆς περιτομῆς*» (οὕτω καὶ οἱ περὶ τὸν Ἀκύλαν). Ὥστε καὶ εἰ (κατὰ τὸν Ὅδιον) ὁ Ὠριγένης ἠσπάζετο τῷ ὄντι, προκρίνων τῆς τῶν Ο, τὴν καθ' Ἑβραίους ἀνάγνωσιν, προέκρινεν ἂν τὴν ἐσφαλμένην ἀντὶ τῆς ἀληθινῆς.

ιϐ) Πρὸς τὸν Κέλσον χλευάζοντα τὴν διάλεκτον τῶν Γραφῶν (τῆς Παλαιᾶς, κατὰ τοὺς Ο, καὶ τῆς Καινῆς), ὡς τοῦ κάλλους τῆς ἑλληνικῆς φράσεως ἄμοιρον, ἀπαντῶν Ὠριγένης, «Καίτοι γε (φησὶν) ἡ πρώτη Ἰουδαίων λέξις, ᾗ οἱ προφῆται χρησάμενοι κατελελοίπασιν ἡμῖν βιβλία, Ἑβραίων διαλέκτῳ καὶ σοφῇ συνθέσει τῶν ἐν τῇ διαλέκτῳ [τῇ] κατ' ἐκείνους ἀναγέγραπται» (κ. Κέλσ. Ζ. §. 59. σελ. 736). Καὶ ταῦτα τοίνυν προστίθησιν Ὅδιος πρὸς ἀπόδειξιν, ὅτι ὁ Ὠριγένης ὡμολόγει τὰς ἑβραϊκὰς Γραφὰς οὐκ ἐστερημένας λεκτικῆς δεινότητος καὶ καλλιεπείας. Ἀλλ' οὔτε Ὠριγένης, οὔτ' ἄλλος τις ἠρνήσατο τὴν ἐν πολλοῖς φραστικὴν δύναμιν τῆς ἐν ἄλλοις πάλιν οὐκ ὀλίγοις λίαν ἀρχαϊζούσης καὶ πτωχῆς ἑβραϊκῆς. Εἶπε καὶ ὁ Σειραχίδης πολλοῖς αἰῶσι πρότερον Ὠριγένους, ὅτι κατὰ τὴν διάλεκτον τὰ ἑβραϊκὰ βιβλία *οὐ μικρὰν ἔχει τὴν διαφορὰν* (βλ. ὄπισθ. σελ. 226). Ἀλλ' ὅτι πάλιν καὶ τὴν ἁπλότητα τῆς ἑλληνίδος ἑρμηνείας τῶν Ο θαυμάζων Ὠριγένης (αὐτόθ.), παρέβαλε πρὸς ἁπλῆν καὶ κοινωφελεστάτην σκευασίαν βρωμάτων ὑγιεινῶν, καὶ ὅτι ἀλλαχοῦ (ὡς ὀψόμεθα) αὐτὴν τὴν ἁπλότητα τῆς διαλέκτου παρέστησεν ὡς δεῖξιν τῆς δι' αὐτῆς ἐνεργούσης δυνάμεως τοῦ Θεοῦ, ταῦτα παρέλιπεν Ὅδιος.

ιγ) Καὶ τοῦτο προστίθησιν Ὅδιος. Ἐν τῇ εἰς τὸ Ἆσμα Β, Ὁμιλίᾳ (λατινιστὶ μόνον φερομένῃ κατὰ τὴν Ἱερωνύμου μετάφρασιν) ὁ Ὠριγένης ἐπωνόμασε τὸ καθ' Ἑβραίους κείμενον Ἑβραϊκὴν

ἀλήθειαν, λέγων· «Τὸ κατὰ τοὺς Ο, «*ἀτυχῶν*» (Παροιμ. κζ, 10) ὁ Ἀκύλας *τὴν ἑβραϊκὴν ἀλήθειαν* ἐκφράζων, ἡρμήνευσεν, «*ἀγροῖκον*».—Ἀλλ' ὅτι μὲν Ὠριγένης οὐδαμοῦ οὐδόλως οὔτε ἔγραψεν, οὔτ' ἐφαντάσθη πώποτε «*ἑβραϊκὴν ἀλήθειαν*», ὑπάρχει πρᾶγμα βέβαιον. Πρῶτος ὁ μακάριος Ἱερώνυμος τὴν φράσιν ταύτην ἐχάλκευσε, καὶ αὐτὸς ἐνέβαλεν αὐτὴν καὶ εἰς τὸ στόμα τοῦ Ὠριγένους, ἐκλατινίζων τὴν περὶ ἧς ὁ λόγος Ὁμιλίαν αὐτοῦ. Τοῦτο δὲ καὶ Ὄδιος, τέλος, αὐτὸς ὡμολόγησεν, εἰπών, ὅτι ὁ Ὠριγένης ἔγραψε μόνον, *κατὰ τὸ ἑβραϊκόν*.

ιδ) Τοιαῦτα πομφολυγώδη καὶ ἄλλα τινὰ προσέθηκεν ὁ κριτικὸς, οἷον τὸ ἑξῆς. Ὁ Χαλκίδιος ἔγραψεν, ὅτι ἄρα ἐνόμιζεν Ὠριγένης, ὡς ἔμαθε παρ' Ἑβραίων, ὅτι τὸ κατὰ τοὺς Ο, «ἡ δὲ γῆ ἦν *ἀόρατος καὶ ἀκατασκεύαστος*» ἡρμήνευται μικρόν τι ἀφεστηκὸς τῆς ἀκριβείας τῶν ἑβραϊκῶν φωνῶν· σημαίνουσι δὲ αὗται κυρίως («ἡ δὲ γῆ ἦν) *ἐν ἐκστατικῷ τινι θαυμασμῷ!* (α)· οὕτως ἐκεῖνος. Ὁ δὲ Ὄδιος μετὰ τοῦτο τὸ *ἐκστατικὸν*, ἐπειπὼν καὶ ὅτι Ὠριγένης οὐκ ἠρίθμει τὸν Καϊνᾶν (περὶ οὗ προείπομεν Βιβλ. Γ. σελ. 730, 740), τελευταῖον συμπεραίνει τὰ κατὰ τὸν Ὠριγένην, καταγράψας ἐν ἰδίῳ κεφαλαίῳ φράσεις τινὰς περὶ τῶν Ἑξαπλῶν καὶ γνώμας τοῦ μακαρίου Ἱερωνύμου, ἐν αἷς ὁ Πατὴρ ἀπολογούμενος πρὸς τοὺς κατηγόρους τῆς ἑρμηνείας αὐτοῦ, ἔλεγε καὶ ταῦτα. «Ἀλλ' εἰ παρ' Ἕλλησι, μετὰ τὴν ἑρμηνείαν τῶν Ο, ἤδη τοῦ Εὐαγγελίου ἀνατείλαντος, *ἐγένοντο δεκτοὶ* ὁ Ἰουδαῖος Ἀκύλας, καὶ Θεοδοτίων δὲ καὶ Σύμμαχος, ἰουδαΐζοντες αἱρετικοί, οἵτινες πολλὰ τοῦ Σωτῆρος μυστήρια δολίᾳ συνέκρυψαν μεταφράσει, καὶ ὅμως φέρονται ἐν τοῖς Ἑξαπλοῖς *παρὰ ταῖς Ἐκκλησίαις*, καὶ ὑπὸ ἀνδρῶν Ἐκκλησιαστικῶν ἐξηγοῦνται, πόσῳ μᾶλλον ἐγὼ ὁ Χριστιανὸς» κτλ. (Προλόγ. εἰς Ἰώβ). Δια δὲ τούτων καὶ ἄλλων

(α) «Terra autem stupida quadam erat admiratione!! Βλ. τὰ Χαλκιδίου εἰς τὰ Τιμαίου ὑπομνήματα (§. σοδ) λατινιστὶ γεγραμμένα, καὶ ὑπὸ Φαβρικίου ἐν τῇ πέζᾳ τῶν Ἱππολύτου σῳζομένων ἐκδοθέντα, τόμ. β. σελ. 178. Ταῦτα τὰ στυπώδη καὶ Φύλλερος οὐκ ὤκνησε μνημονεῦσαι, κατά τινας Ραββίνους ἐτυμολογῶν τὰ tochu, bochu (Fuller. Miscell. Sacr. III. 3).

τοιούτων ὑπερβολικῶν λόγων τοῦ μακαρίου πατρὸς βούλεται ὁ Ὅδιος ἀποδεῖξαι τὴν Ἐκκλησίαν ἀποδεξαμένην καὶ κυρώσασαν τὰ τοῦ Ὠριγένους Ἑξαπλᾶ, καὶ χρωμένην ἐπίσης τῇ τε τῶν Ο ἑρμηνείᾳ καὶ τοῖς ἄλλοις τοῖς τρισὶν ἑρμηνευταῖς, ἔςι δ' ὅπου καὶ προτιμῶσαν τούτους ἐκείνων! Ἀλλὰ τοῦτο μὲν αὐτὸς Ὠριγένης ἀπώμνυτο καὶ ἔτρεμε, *μήποτε δόξῃ παραχαράττειν ταῖς ὑπ' οὐρανὸν Ἐκκλησίαις*· ὁ δὲ μακάριος Ἱερώνυμος τὴν παρά τισι τῶν Ἐκκλησιαστικῶν, δι' οὓς προείπομεν λόγους (σελ. 454) φερομένην χρῆσιν τῶν ἐν τοῖς Ἑξαπλοῖς ἑρμηνευτῶν, ἔλεγεν οὐκ ἀληθῶς *καὶ χρῆσιν τῆς Ἐκκλησίας*· (Ὡσανεὶ ἐν ταῖς Ἐκκλησίαις ἀνεγίνωσκον ἐπὶ τῶν ἱερῶν τελετῶν τὰ Ἑξαπλᾶ, κατὰ πάσας τὰς ἑρμηνείας! ἢ καὶ μόνους τοὺς Ο μετὰ τῶν ὀβελῶν καὶ τῶν προσθηκῶν προφερομένους! Καὶ ἔγραψε ταύτην τὴν ἀνήκουστον παραδοξολογίαν ὁ μακάριος Ἱερώνυμος, εἰπών· ὅτι «Ἐν Ἐκκλησίαις ἀναγινώσκεται, ὅπερ οἱ Ο οὐκ ᾔδεισαν». Προλόγ. εἰς Α. Παραλ.). Ἀλλ' ὅτι μὲν ἡ Ἐκκλησία οὐδέποτε οὐδεμίαν ἄλλην, πλὴν τῆς τῶν Ο, παρεδέξατο ἑρμηνείαν, πολλοὶ γινόμεθα μετὰ τοσαύτας ἐπαναλαμβάνοντες ἀποδείξεις (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 1010). Τοσοῦτο δὲ μόνον λέγομεν, ὅτι αὐτὴ ἡ παντελὴς ἀπώλεια τῶν μετὰ Χριστὸν Ἰουδαϊκῶν ἑρμηνειῶν ἀποδείκνυσι λαμπρῶς, οὐ μόνον ὅτι οὐδέποτε οὐδαμοῦ τῆς οἰκουμένης εἰσῆλθον εἰς τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ ὅτι οὐδὲ παρὰ τοῖς πλείστοις τῶν ἀρχαίων Ἐκκλησιαστικῶν διδασκάλων ἦλθον εἰς οἱανδήποτε χρῆσιν φιλολογικήν. Περὶ δὲ τῶν Ἑξαπλῶν, ὅπως καὶ πότε, τέλος, ἀπώλοντο, προείπομεν. Βιβλ. Γ. σελ. 91).

§. οθ. Εἴδομεν ἕως ὧδε, ποίαν τινὰ δόξαν ἔχοντα περὶ τοῦ ἑβραϊκοῦ καὶ τῶν Ο παρέστησαν τὸν Ὠριγένην οἱ περὶ τὸν Ὅδιον. Ἀκούσωμεν δὲ ἤδη καὶ Ὠριγένους αὐτοῦ.

Εἰς Γένεσ. Ὁμιλ. γ. λέγει· «Ὅπου ἡμεῖς ἐν τοῖς ἀντιγράφοις τῆς Ἐκκλησίας (Ἐξόδ. δ, 10, 13) ἔχομεν ἀναγεγραμμένον περὶ τοῦ Μωσέως λέγοντος πρὸς Κύριον· «Δέομαι Κύριε, προχείρισαι δυνάμενον ἄλλον, ὃν ἀποστελεῖς· ἐγὼ γάρ εἰμι ἰσχνόφωνος καὶ *βραδύγλωσσος*», ὑμεῖς (οἱ Ἰουδαῖοι) ἐν τοῖς ἑβραίοις ἀντιγράφοις ἔχετε

«*ἀπερίτμητος χείλεσι*» (ἀντὶ τοῦ βραδύγλωσσος)· «καὶ ἴδε, ἔχετε καὶ χειλέων περιτομὴν, κατὰ τὰ παρ' ὑμῖν ἀντίγραφα, ἃ λέγετε ἀληθέστερα εἶναι. Εἰ τοίνυν καθ' ὑμᾶς ὁ Μωϋσῆς ἀνάξιον ἔλεγεν ἑαυτὸν διὰ τὸ τοῖς χείλεσιν ἀπερίτμητος εἶναι, δῆλον ἐκ τούτου πάντως, ὅτι ἀξιώτερος ἔσται καὶ ἁγιώτερος ὁ τοῖς χείλεσι περιτετμημένος. Καὶ τοίνυν ἐπίθεσθε τοῖς χείλεσι ξυρὸν, καὶ τὰ καλύμματα τοῦ στόματος ἐκτέμετε, ἐπειδὴ καὶ τοιαύτη ὑμῖν ἀρέσκει ἐν τοῖς θείοις γράμμασιν ἔννοια» (τόμ. ϐ. σελ. 68).

Εἰς Ῥωμ. ιε, λέγει. «Δεῖ εἰδέναι, ὅτι ἐν πᾶσι (τοῖς ῥητοῖς τῆς πρὸς Ῥωμ. ἐπιστολῆς) ὁ Ἀπόστολος τὴν τῶν Ο ἑρμηνείαν κατέχει· πλὴν εἴ που μὴ καὶ λέξεσιν αὐταῖς τῶν Ο, ἰδίᾳ δὲ φράσει ἐκφέροι τὴν ἔννοιαν τῶν Γραφῶν».- Καὶ κεφ. ι. (αὐτόθ.) «Δεῖ δὲ ἡμᾶς εἰδέναι, ὅτι τὸ, *Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν*; ἐν τοῖς ἑϐραίοις ἀντιγράφοις οὐκ ἔχει τὸ *Κύριε*, ἀλλὰ κατὰ τὴν ἑρμηνείαν τῶν Ο» (ϐλ. ὄπισθ. σελ. 317). «Οὕτω δὲ καὶ ὁ Ἀπόστολος ἔγραψεν, ἐπικυρῶν τὸ παρ' ἐκείνοις *Κύριε*». Καὶ μετ' ὀλίγα. «Ἀλλ' οὐδὲ τοῦτο ἀγνοητέον· ὅτι ἐν τοῖς Ἑϐραίων ἀντιγράφοις οὐκ ἐμφέρεται τὸ *ἀντιλέγοντα*» (βλ. ὄπισθ. σελ. 331). «Ὁ γὰρ Ἀπόστολος ἐν ταῖς αὐτοῦ συγγραφαῖς παρηκολούθησε τῇ ΑΛΗΘΕΙᾼ τῆς ἑρμηνείας τῶν Ο, καὶ, ὡς ἐκεῖνοι ἡρμήνευσαν, τίθησι».

Εἰς Ἰωάννην (ιγ, 18) ἐξηγῶν τὸ «Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ», οὐκ ἀπὸ τοῦ ἑϐραϊκοῦ (καθώς τινες εἶπον), ἀλλ' ἀπὸ τῶν Ο λέγει τὸ ῥητόν. «Παραπέφρασταί (φησιν) ἀπὸ τοῦ Μ, Ψαλμοῦ, οὕτως ἔχον. «καὶ γὰρ ὁ ἄνθρωπος.. ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν» (σελ. 393. ϐλ. καὶ ὄπισθ. σελ. 318). Ὡσαύτως καὶ τὸ «Μὴ φοϐοῦ θύγατερ Σιὼν» (Ἰωάν.), καὶ τὸ «Εἴπατε τῇ θυγατρὶ Σιὼν» (Ματθ.), ἐκ τοῦ Ζαχαρίου τῶν Ο, κατ' ἐπιτομὴν ἐλήφθησαν (αὐτόθ. σελ. 175. ϐλ. καὶ ὄπισθ. σελ. 312).

Εἰς τὸ *Ἆσμα*, Ὁμιλ. α, ὁ Ὠριγένης διακηρύττει, ὅτι ἐν πᾶσι παρακολουθεῖ τῇ ἑρμηνείᾳ τῶν Ο, λέγων. «Μὴ λανθανέτω δὲ ἡμᾶς, ὅτι ἔν τισιν ἀπογράφοις ἀντὶ τοῦ «Ὅτι ἀγαθοὶ *οἱ μαστοί σου* ὑπὲρ

οἶνον, εὕρομεν γεγραμμένον, «Ὅτι *ἀγαθὰ τὰ ῥήματά σου* ὑπὲρ τὸν οἶνον», ὃ καὶ σαφέστερον δοκεῖ σημαίνειν αὐτὰ τὰ παρ' ἡμῶν κατὰ πνευματικὴν ἐξήγησιν εἰρημένα. Ἀλλ' ἡμεῖς ἐν πᾶσι τὰ ὑπὸ τῶν Ο γεγραμμένα τηροῦμεν. Βεβαίως εἰδότες, ὅτι τὸ Πνεῦμα τὰς τῶν μυστηρίων μορφὰς κεκαλυμμένας ἠθέλησεν ἐν ταῖς θείαις ἐγκεῖσθαι Γραφαῖς, καὶ μὴ πάντη φανερῶς ἐμφέρεσθαι καὶ πασιφανῶς».

Ἐν τῇ πρὸς Ἀφρικανὸν ἐπιστολῇ τρανῶς ἐξελέγχει τοὺς Ἰουδαίους, ὡς ἐκκόψαντας ἀπὸ τοῦ θείου Δανιὴλ τὴν Σωσάννης ἱστορίαν, ἣν καὶ θεόπνευστον ἀνακηρύττει· καὶ τὴν εἰς τὸ διαφθείρειν καὶ αὐτὰς τὰς μὴ κανονικὰς Γραφὰς σκαιότητα τῶν Ἰουδαίων ἐστιγμάτισε (§. 9).

Πολλαχοῦ τῶν κατὰ Κέλσου βιβλίων «*θεῖα γράμματα*, καὶ *λόγους ἐνθέους*» ὀνομάζει τὰς ῥήσεις τῆς Γραφῆς, ὅσας ἐπὶ λέξεως ἐκφέρει κατὰ τοὺς Ο (καὶ ἐκ τόπων, ἐν οἷς τὸ νῦν ἑβραϊκὸν περί τινα διαφέρει)· οἷον (Βιβλ. Ϛ. §. 46, 49) ἐκ τοῦ Δανιὴλ, καὶ ἐκ τῆς Γενέσεως περικοπὰς, καὶ ἄλλας ἄλλοθεν ἀλλαχοῦ πολλαχοῦ. Καὶ καθόλου δὲ περὶ τῶν Γραφῶν πρὸς τὸν Κέλσον, ληροῦντα λῆρον βαθὺν, ἀπαντῶν, «Εἰ δ' ἀκριβῶς (φησὶ) χρὴ ἡμᾶς λέγειν τὰ πρὸς τὸν Κέλσον, οἰόμενον τὰ αὐτὰ ἡμᾶς (τοὺς χριστιανοὺς) Ἰουδαίοις περὶ τῶν (ἐν ταῖς Γραφαῖς) ἐγκειμένων δοξάζειν, φήσομεν, ὅτι τὰ *μὲν βιβλία θείῳ γεγράφθαι πνεύματι* ὁμολογοῦμεν ἀμφότεροι· περὶ δὲ τῆς ἐκδοχῆς τῶν ἐν τοῖς βιβλίοις οὐκέτι τὰ ὅμοιά φαμεν» κτλ. (Ε. §. 60). Θείῳ πνεύματι λοιπὸν τὰς Γραφὰς γεγραμμένας τήν τε ἑβραΐδα (ᾗ περ Ἰουδαῖοι χρῶνται), καὶ τὴν ἑλληνίδα (ᾗ περ οἱ χριστιανοὶ) ἀμφότεροί, φησιν Ὠριγένης, ὁμολογοῦμεν, καὶ Ἰουδαῖοι, καὶ οἱ χριστιανοί. (Ὅτι δὲ καὶ πάλαι, καὶ ἐπ' Ὠριγένους οἱ Ἰουδαῖοι θείῳ πνεύματι καὶ τοὺς Ο μεθηρμηνευκότας ὡμολόγουν, προαποδέδεικται) (α).

(α) Προσαριθμείσθω ἐν παρόδῳ καὶ Κέλσος αὐτὸς ὁ Ἐπικούρειος, ὡς πρόσωπον κωφὸν παρακολουθῶν μετὰ τῶν ἄλλων τῶν προειρημένων αἱρετικῶν (ἐπειδὴ καὶ τούτοις Ὅδιος ἀπένειμε χώραν πρὸς μαρτυρίαν. βλ. ὄπισθ. σελ. 433). Ὅστις καὶ αὐτὸς

Ἐν τῷ *περὶ Ἀρχῶν* Δ, §. 1 κτξ. πραγματεύεται περὶ τοῦ θεοπνεύστου τῆς θείας Γραφῆς, καὶ ὅπως ταύτην *ἀναγνωστέον, καὶ νοητέον*. Καὶ πρὸς ἀπόδειξιν τῶν λεγομένων «προσλαμβάνομέν (φησι) μαρτύρια τὰ ἐκ τῶν πεπιστευμένων ἡμῖν θείων Γραφῶν, τῆς τε λεγομένης παλαιᾶς Διαθήκης» (κατὰ τὴν ἑρμηνείαν πάντως τῶν Ο, ἐξ ἧς ἐκφέρει πάσας τὰς ῥήσεις), «καὶ τῆς καλουμένης Καινῆς». Καὶ (§. 6). «Ἀποδεικνύντες δὲ, ὡς ἐν ἐπιτομῇ, περὶ τῆς θειότητος τοῦ Ἰησοῦ, καὶ χρώμενοι τοῖς περὶ αὐτοῦ λόγοις προφητικοῖς, συναποδείκνυμεν θεοπνεύστους εἶναι τὰς προφητευούσας περὶ αὐτοῦ Γραφὰς, καὶ τὰ καταγγέλλοντα τὴν ἐπιδημίαν αὐτοῦ γράμματα καὶ διδασκαλίαν, *μετὰ πάσης δυνάμεως καὶ ἐξουσίας εἰρημένα, καὶ διὰ τοῦτο τῆς ἀπὸ τῶν ἐθνῶν ἐκλογῆς κεκρατηκότα»* (α). Καὶ, «Ὁ δὲ μετ᾽ ἐπιμελείας καὶ προσοχῆς ἐντυγχάνων τοῖς προφητικοῖς λόγοις, παθὼν ἐξ αὐτοῦ τοῦ ἀναγινώσκειν ἴχνος ἐνθουσιασιασμοῦ, δι᾽ ὧν πάσχει, πεισθήσεται οὐκ ἀνθρώπων εἶναι συγγράμματα τοὺς πεπιστευμένους Θεοῦ λόγους» (§. 6). Καὶ, «Πρέπει δὲ τὰ ἅγια γράμματα πιστεύειν μηδεμίαν κεραίαν ἔχειν κενὴν σοφίας Θεοῦ.– Ἐκ γὰρ τοῦ πληρώματος αὐτοῦ λαβόντες οἱ Προφῆται λέγουσι· διὸ πάντα πνεῖ τῶν ἀπὸ πληρώματος· καὶ οὐδέν ἐςιν ἐν Προφητείᾳ, ἢ ἐν Νόμῳ, ἢ Εὐαγγελίῳ, ἢ Ἀποςόλῳ, ὃ οὐκ ἔςιν ἀπὸ πληρώματος» (Φιλοκ. α). Καί, «Ὥσπερ οὐ χρεοσκοπεῖται ἡ πρόνοια διὰ τὰ μὴ γινωσκόμενα, παρὰ τοῖς γε ἅπαξ παραδεξαμένοις αὐτὴν καλῶς, οὕτως οὐδὲ ἡ τῆς Γραφῆς θειότης διατείνουσα εἰς πᾶσαν αὐτὴν, διὰ τὸ μὴ καθ᾽ ἑκάστην λέξιν δύνασθαι τὴν ἀσθένειαν ἡμῶν παρίστασθαι τῇ κεκρυμμένῃ λαμπρότητι τῶν δογμάτων, *ἐν εὐτελεῖ καὶ εὐκαταφρονήτῳ λέξει ἀποκειμένῃ*. Ἔχομεν γὰρ *θησαυρὸν*

μίαν καὶ μόνην ἠπίστατο (καὶ κακῶς κακὸς ἀνέγνω, καθὼς φαίνεται) τὴν παρὰ τοῖς χριστιανοῖς παραδεδεγμένην καὶ ὁμολογουμένην θείαν Γραφὴν, τὴν ἑρμηνείαν τῶν Ο.

(α) Ἐννοεῖ τὴν ἐκ θείας δυνάμεως ἐνέργειαν τῶν προφητικῶν Γραφῶν (καὶ ἰδίως τῆς ἑρμηνείας τῶν Ο) εἰς ἐπιστροφὴν τῶν ἐθνῶν. Καὶ τοῦτο προεξεθέμεθα ἐν τοῖς προλαβοῦσι (σελ. 63, 78), ὡς δεῖγμα τοῦ θεοπνεύστου τῆς ἑρμηνείας.

ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα λάμψῃ ἡ ὑπερβολὴ τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ μὴ νομισθῇ εἶναι ἐξ ἡμῶν τῶν ἀνθρώπων» (§. 7).

Ἐν τῷ Τόμῳ τῶν εἰς τοὺς Ψαλμούς (τόμ. β. σελ. 327). «Ἐπὶ πᾶσαν ἔφθασε γραφὴν ἡ σοφία τοῦ Θεοῦ, θεόπνευστον μέχρι τοῦ τυχόντος γράμματος. – Οὕτως ἡμεῖς ὑπολαμβάνομεν περὶ πάντων τῶν ἐξ ἐπιπνοίας τοῦ ἁγίου Πνεύματος ἀναγεγραμμένων, ὡς τῆς ἐπιδιδούσης τὴν ὑπὲρ ἄνθρωπον σοφίαν ἱερᾶς προνοίας διὰ τῶν γραμμάτων τῷ γένει τῶν ἀνθρώπων, λόγια σωτήρια, ἐνεσπαρκυίας, ὡς ἔστιν εἰπεῖν, [καὶ] ἑκάστῳ γράμματι, κατὰ τὸ ἐνδεχόμενον, ἴχνος τῆς σοφίας». – Καὶ πάλιν· «Οὐκ ἔστιν εἰπεῖν περὶ τῶν τοῦ παναγίου Πνεύματος γραμμάτων, ὡς ἀργόν τι καὶ περιττόν ἐστιν ἐν αὐτοῖς» κτλ· (εἰς Ἀριθμ. Ὁμιλ. κζ.).

Ἀλλ' ὀχληρὸν ἀποβαίνει τὸ πάσας τὰς περὶ τοῦ θεοπνεύστου, τῆς τε Καινῆς καὶ τῆς Παλαιᾶς, κατὰ τοὺς Ο, Γραφῆς, λαμπροτάτας μαρτυρίας τοῦ Ὠριγένους ἐξαριθμεῖν. Ὡς εἰς τὴν Καινήν, οὕτω καὶ εἰς τὴν ἑρμηνείαν τῶν Ο ἀποβλέπει, ἐν οἷς διαλαμβάνει περὶ τοῦ σολοικισμοῦ καὶ τῆς εὐτελοῦς φράσεως τῆς Γραφῆς. Καὶ περὶ τοῦ ἰδιώματος τῆς (ἐν τῇ τῶν Ο μάλιστα ἑρμηνείᾳ) μεταβολῆς τῶν προσώπων πραγματεύεται. Καὶ τὴν κατὰ διάφορα σημαινόμενα τοῦ αὐτοῦ ὀνόματος (οἷον τοῦ *Νόμος*) χρῆσιν ἀκριβῶς ἐξετάζει. Καὶ περὶ τοῦ μὴ δεῖν ἐπιχειρεῖν τολμηρῶς διορθοῦσθαι τὰ σολοικοειδῆ, καὶ μὴ σῴζοντα τὴν κατὰ φράσιν ἀκολουθίαν ῥητὰ τῆς Γραφῆς νουθετεῖ. Καὶ καθόλου παρίσταται ἐναργῶς θεόπνευστον φρονῶν καὶ δογματίζων τὴν ἑρμηνείαν τῶν Ο, ὡς ἔστιν εὐκόλως ἰδεῖν πολλαχοῦ τῶν εἰς ἡμᾶς σεσωσμένων αὐτοῦ συγγραφῶν (α).

§. π. Ἐμηκύναμεν τὸν περὶ τοῦ Ὠριγένους λόγον διά τε τὸ σπουδαῖον τῆς θεωρίας, καὶ ἅμα σπουδάσαντες ἀπαλλάξαι τὸν μέγαν τοῦτον διδάσκαλον ἀπὸ τοῦ ἐγκλήματος, ὃ πρὸς τοῖς λοιποῖς αὐτοῦ πολυστενάκτοις πτώμασιν ἐπειράθησαν αὐτῷ προσάψαι οἱ

(α) Ἴδε τὴν Ὠριγένους Φιλοκαλίαν (κεφ. α—ιζ), ἣν ἐκ πλείστων αὐτοῦ συγγραμμάτων ἀπανθίσαι οὐκ ἀπηξίωσεν ἡ μεγάλη τῶν φωστήρων τῆς Ἐκκλησίας δυάς, ὅ,τε Μ. Βασίλειος καὶ Γρηγόριος ὁ Θεολόγος. Ἐτυπώθη τὸ πρῶτον ἐν Παρισίοις τῷ 1618.

περὶ τὸν Ὅδιον, καὶ ἄλλοι τῶν νεωτέρων κριτικῶν, δικαιοῦντες ἑαυτοὺς διὰ τοῦ Ὠριγένους (ὡσανεὶ μυρίων Ὠριγενῶν μαρτυρίαι ἦσαν ἀντάξιοι μιᾶς καὶ μόνης Ἀποστολικῆς), καὶ παριστῶντες αὐτὸν κακῶς φρονοῦντα περὶ τῆς θεοκυρώτου ἀξίας τῆς ἑρμηνείας τῶν Ο. Συμπεραίνομεν δὲ ἤδη τὸ ἄρθρον, ἐπάγοντες ἐκ τῶν εἰρημένων πορίσματα τὰ ἑξῆς.

Α) Ὅτι ὁ Ὠριγένης τὴν ἑρμηνείαν τῶν Ο θεόπνευστον ἀείποτε ἐπρέσβευε, καὶ ὡς τοιαύτην ἐξήγει, καὶ ὡς αὐτόπιστον Θεοῦ λόγον ἐδίδασκε πρὸς ἀπόδειξιν τῶν τῆς πίστεως δογμάτων καὶ ἐντολῶν.

Β) Ὅτι καὶ τὴν ἑβραΐδα τὴν πρωτότυπον Γραφὴν ὡσαύτως ἐφρόνει θεόπνευστον, ὡς συνέγραψαν αὐτοὶ οἱ θεῖοι προφῆται. Ἀλλ' ἐν ταυτῷ καὶ διεκήρυξεν, ὅτι μήτε κατὰ πάντα τέλειον, μήτε καθαρὸν καὶ γνήσιον ἐν πᾶσι τὸ κείμενον αὐτῆς ἐθεώρει τετηρημένον παρὰ τοῖς μετὰ Χριστὸν Ἰουδαίοις. Καὶ τούτους δ' ἔςιν ὅπου λυμεῶνας τοῦ θείου κειμένου ἐκπεφασμένως ἀνεκήρυξε.

Γ) Ὅτι καὶ τὰς μετὰ Χριστὸν ἑρμηνείας, ἃς συνεξέδωκεν ἐν τοῖς *Ἑξαπλοῖς καὶ Ὀκταπλοῖς* μετὰ τοῦ ἑβραϊκοῦ, καὶ πάλιν χωρὶς τούτου ἐν τοῖς *Τετραπλοῖς* μετὰ τῶν Ο τὰς τρεῖς (Ἀκύλα, Θεοδοτίωνος, Συμμάχου), οὔτε ὡς θεοπνεύστους, οὔθ' ὡς ἰσοτίμους τοῖς Ο καὶ κυρίας ἐθεώρει. Συνεξέδωκε δὲ ταύτας δι' οὓς αὐτὸς διαῤῥήδην καὶ τορῶς ἐξέφρασε λόγους (βλ. ὄπισθ. σελ· 455).

Δ) Ὅτι καὶ εἴ ποτε παρελάμβανε ταύτας τὰς μετὰ Χριστὸν ἑρμηνείας, ἐξηγῶν (ἐν τοῖς Τόμοις μάλιστα) τὰς θείας Γραφάς, τοῦτο πάντως ἔπραττεν, οὐκ ἀθετῶν τὸ θεῖον κῦρος τῶν Ο (κατὰ τὴν συκοφαντίαν), ἀλλ' ἢ πρὸς Ἰουδαίους ἰδίως ἀπαντῶν, ἢ πρὸς κριτικὴν ἔρευναν τῶν ἐν τοῖς ἀντιγράφοις τῶν Ο διαφόρων ἀναγνώσεων γυμνάζων πανταχόθεν τὸ νόημα τῆς Γραφῆς (α), ἢ πρὸς

(α) Μετὰ τοσαύτης ἀκριβείας ἐποιεῖτο τῶν κατ' αὐτὸν ἀντίγραφων τὴν παρεξέτασιν, ὥστε καὶ μικράς τινας πολλάκις καὶ ἀσημάντους διαφορὰς ἐσημείου· ὡς, ὅταν ἐξηγῶν τὸ «Οὐκ ἐν τῷ πνεύματι Κύριος» (Γ. Βασιλ. ιθ, 11), «Ἐν δὲ ἄλλοις (φησὶν) ἀντιγράφοις εὕρομεν. «Ο ὐ κ ἐ ν τ ῷ π ν ε ύ μ α τ ι Κ υ ρ ί ο υ (εἰς Ἰωάν. τομ. ιδ. σελ. 217. Huet.).

σαφεστέραν ἐξήγησιν ἀσαφεστέρων τινῶν χωρίων τῶν Ο, ἢ πρὸς ἠθικὰς τροπολογίας καὶ χρήσεις ἀλληγορικάς, ἔστι δ' ὅπου καὶ πρὸς ὑποστήριξίν τινος ἰδίας αὐτοῦ δόξης, ἐν οἷς ἐξήγει ῥῆσίν τινα τῆς θείας Γραφῆς (βλ. ὄπισθ σελ. 472), ἢ κατὰ παροδικὴν καὶ ἀδιάβλητον ἔνδοσιν τῷ ἔθει τοῦ ἀντιλέγοντος, ὡς ἂν μὴ ἀντιτείνῃ πρὸς τὰ καίρια, ἢ καί, τέλος, κατὰ παρεκβατικὴν καὶ ἐξαγώνιον χρῆσιν τῶν κατ' αὐτὰς ἀναγνώσεων, ὡς συντελουσῶν ὑπερεκπερισσοῦ πρὸς λαμπρότερον ἔλεγχον παντοίων αἱρετικῶν, καὶ τρανωτέραν τῆς εὐσεβείας ἀπόδειξιν. Πολλάκις δὲ καὶ τῶν ἐχθρῶν αὐτῶν αἱ μαρτυρίαι μεγάλως ἰσχύουσι πρὸς πίσωσιν τοῦ δικαίου καὶ ἀληθοῦς. Εἰ γὰρ ὁ θεῖος Παῦλος ἠξίωσε καὶ ἐθνικῶν τινων χρήσασθαι γνώμαις πρὸς σωτήριον ἔνδειξιν τῆς ἀληθείας, καὶ ἐξ Ἀποκρύφων δέ τινων καὶ μὴ κανονικῶν παρ' Ἑβραίοις βιβλίων οὐκ ἀπηξίωσαν οἱ Ἀπόστολοι (ὡς ὁ θεῖος Ἰούδας κτλ.) καθιερῶσαί τινας ῥήσεις ἐν ταῖς ἁγίαις αὐτῶν συγγραφαῖς, τί θαυμαστόν, εἰ καὶ ἐκ τῶν Ἰουδαϊκῶν τούτων ἑρμηνειῶν ὁ Ὠριγένης παρέλαβεν ἐνίοτε μαρτυρίας, ἐν αἷς ἐτηρεῖτο ἔν γε τοῖς καιρίοις γνήσιον τὸ νόημα τῶν θείων Γραφῶν, καὶ συνᾷδον τοῖς Ο; Καὶ ἐξ αὐτοῦ δὲ τοῦ καθ' ἡμᾶς Μασοραίου κειμένου οἱ σεβόμενοι καὶ διακρατοῦντες τῶν καθ' ἡμᾶς ἱερῶν λόγων τὸ ἀξίωμα δύνανται μετὰ προσοχῆς ἐκλέγειν καὶ μαρτυρίας χρησίμους, εἴ τε πρὸς ἀπόδειξιν ἀναγνώσεών τινων ἀκριβῶς παρὰ τοῖς Ο τετηρημένων, εἴτε καὶ πρὸς ἐντονώτερον ἔλεγχον ἰουδαϊκῶν τινων φρονημάτων, κατεξανισταμένων κατὰ τῆς ἀληθείας.

Ε) Ὅτι, κατὰ τὸ παράδειγμα καὶ τὸν σκοπὸν τοῦ Ὠριγένους, καὶ οἱ πάλαι Πατέρες τῆς Ἐκκλησίας, οἷον ὁ Εὐσέβιος, ὁ μακάριος Ἐπιφάνιος, ὁ Μ. Βασίλειος, Γρηγόριος ὁ Νύσσης, ὁ θεῖος Χρυσόστομος, Διόδωρος ὁ Ταρσεύς, Κύριλλος ὁ Ἀλεξανδρείας, ὁ Κύρου Θεοδώρητος, καὶ ὕστερον ὁ Προκόπιος, καὶ εἴ τις ἄλλος τῶν ἀρχαίων, ἐν τοῖς εἰς τὴν θείαν Γραφὴν ὑπομνηματισμοῖς παραβάλλουσιν ἐνίοτε, ὡς ἐν παρόδῳ, καί τινας ἀναγνώσεις κατά τε τὸ (μήπω τότε κατ' αὐτοὺς Μασορόσικτον) ἑβραϊκόν, καὶ τὸν Ἀκύ-

λαν καὶ Θεοδοτίωνα καὶ τὸν Σύμμαχον (ἐκ τῶν Ὠριγένους παραλαμβάνοντες Ἑξαπλῶν). Καὶ τὴν ἀρχαίαν δὲ Συριακὴν μετάφρασιν τινὲς ἐμνημόνευσαν, ὡς ὅ,τε Μ. Βασίλειος (εἰς Ἑξαήμ. ὁμιλ. δ), καὶ ὁ Θεοδώρητος (εἰς Ἰεζ. ιθ). Ἀλλὰ μή ποτε διὰ τοῦτο λοιπὸν ἠθέτουν τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο, ἣν παρὰ τῶν Ἀποστόλων παραλαβόντες, μίαν καὶ μόνην κυρίαν καὶ θεόπνευστον ἐδογμάτιζον, καὶ ὡμολόγουν, καὶ ἡρμήνευον, καὶ πρὸς τὰς ἀποδείξεις τῶν θείων δογμάτων τῆς Πίστεως ἀείποτε παρελάμβανον ἐν ταῖς ἱεραῖς αὐτῶν συγγραφαῖς; Ἄπαγε! Οἱ τῶν Ἀποστόλων διάδοχοι ἐκείνας πάντως *τὰς ἁγίας Γραφὰς* ἐκράτουν ὡς θεῖα λόγια, δἰ ὧν ἐβεβαίουν τῆς ἀμωμήτου Πίστεως τὴν διδασκαλίαν, καθ' ἃς ἐκήρυττε τὸν Χριστὸν καὶ Παῦλος, ὁ κλητὸς Ἀπόστολος τῶν ἐθνῶν, «ὁ ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο *διὰ τῶν προφητῶν αὐτοῦ ἐν* **ΓΡΑΦΑΙΣ ΑΓΙΑΙΣ** *περὶ τοῦ υἱοῦ αὐτοῦ — εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσι*» (Ῥωμ. α, 1). Καὶ ταῦτα μὲν εἰρήσθωσαν κατὰ πρόληψιν καὶ εἰσάπαξ πρὸς ἀπάντησιν ὧν Ὅδιος ἐν τοῖς ἑξῆς ἐκ τῶν Πατέρων ἐξοίσει τοιούτων μαρτυριῶν, ἐκλέγων αὐτὰς, ὡς ἄν τινα σπανίων καὶ ξενικῶν φυτῶν φυλλάρια, διαφαίνοντα μεταξὺ τῶν γνησίων καὶ μυρίων ἀνθέων τῆς ἑρμηνείας τῶν Ο. Ὁ δὲ ταῦτα παρατρέχων, ἐξέρχεται ἐκ τοῦ λειμῶνος τῶν πατρικῶν συγγραφῶν, ἱδρῶτι περιῤῥεόμενος, καὶ φέρων μετὰ χεῖρας ὀλίγας τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν συλλαβὰς, πρὸς ἀπόδειξιν, ὅτι καὶ οἱ Πατέρες ἐχρῶντο ταῖς μ. Χ. ἰουδαϊκαῖς ἑρμηνείαις ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ πίστει τοῖς Ο! Ἡμεῖς δ' ἐπ' ἄλλα μεταβαίνομεν.

§. πα. Εἰς τὸν Ὠριγένην ἐπιγράφεται κάλλιστον σύγγραμμα καὶ τὸ ἑξῆς· «*Διάλεξις Ἀδαμαντίου, τοῦ καὶ Ὠριγένους, περὶ τῆς εἰς Θεὸν ὀρθῆς πίστεως*»· τοῦτο δὲ πολλοὶ τῶν κριτικῶν ψευδεπίγραφον κρίνουσιν, ἀπονέμοντες εἰς ἄλλον Ἀδαμάντιον (οὗ καὶ ὁ Θεοδώρητος μέμνηται) (α). Ὑπάρχει δὲ καὶ τοῦτο οὔτε τῆς Ὠριγένους

(α) Θεοδώρ. Αἱρετ. κακομυθ. Α, 25. Ἀλλὰ καὶ Σωφρόνιος, ὁ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων, δύω διακρίνει Ὠριγένας, λέγων· «ὡς ἄλλος μέν ἐστιν Ὠριγένης ὁ παλαιὸς, ἕτερος δὲ ὁ μετ' ἐκεῖνον, ὁ ἐπικληθεὶς Ἀδαμάντιος»· παρὰ Φωτ. ἀναγν. σλα.

εὐφυΐας καὶ πολυμαθείας ἀνάξιον, οὔτε τῆς κατ' αὐτὸν ἡλικίας μακρῷ τοὺς χρόνους ὑπερτεροῦν. Καὶ ἐν τούτῳ τοίνυν πάμπολλαι μαρτυρίαι τῶν Ο, ὡς ἐκ θεοπνεύστου κατά τε νοῦν καὶ κατὰ λέξιν ἀναφέρονται Γραφῆς (α).

§. πϐ. Κατὰ τοὺς Ὠριγένους χρόνους (περὶ τὸ 210 μ. Χ.) ἀριθμεῖ ὁ Εὐσέϐιος (Ἐκκλ. Ἱστορ. Ε, κζ, κη) καὶ ἄλλων ἐκκλησιαστικῶν ἀνδρῶν ἐπίσημα ὑπομνήματα, ἐν οἷς καὶ τὰ Κανδίδου, καὶ Ἀπίωνος, εἰς τὴν Ἑξαήμερον, καί τινος ἄλλου ἀξιόλογον σύγγραμμα, *κατὰ τῆς Ἀρτέμωνος αἱρέσεως* πεπονημένον, οὗ καὶ περικοπὴν ἀντιγράφει, ἐξελέγχουσαν τοὺς περὶ τὸν Ἀρτέμωνα τοῦτον αἱρετικοὺς, «*ὅτι Γραφὰς θείας ἀφόϐως ῥεραδιουργήκασιν*».– Οἱ δέ (φησι) ταῖς τῶν ἀπίστων τέχναις εἰς τὴν τῆς αἱρέσεως αὐτῶν γνώμην ἀποχρώμενοι, καὶ τῇ τῶν ἀθέων πανουργίᾳ τὴν ἁπλῆν τῶν Γραφῶν πίστιν καπηλεύοντες, ὅτι μηδὲ ἐγγὺς πίστεως ὑπάρχουσι, τί χρὴ καὶ λέγειν; διὰ τοῦτο *ταῖς θείαις Γραφαῖς ἀφόϐως ἐπέϐαλον τὰς χεῖρας*, λέγοντες αὐτὰς διωρθωκέναι» κτλ. Γραφὰς δὲ θείας λέγων ὁ ἱερὸς οὗτος συγγραφεὺς, φανερὸν, ὅτι καὶ τῆς Καινῆς καὶ τῆς Παλαιᾶς, κατὰ τοὺς Ο, ἀντίγραφα νοεῖ, διαφθειρόμενα ὑπὸ τῶν αἱρετικῶν, οὓς καὶ διὰ τοῦτο *ἀπίστους* ὀρθῶς ὀνομάζει, ὡς ἀφόϐως ἐπιχειροῦντας *τὰ θεῖα Λόγια* διαστρεϐλοῦν, ἐξελεγχομένους δὲ ὅμως λαμπρῶς ὑπὸ τῶν τότε διδασκάλων τῆς Ἐκκλησίας, ἐν ᾗ τὸ θεῖον κείμενον ἀπαραχάρακτον ἐτηρεῖτο. Κατὰ τοὺς αὐτοὺς χρόνους (212 μ. Χ.) ἤκμασε καὶ Γάϊος, πρεσϐύτερος Ῥωμαῖος, Εἰρηναίου μαθητὴς, οὗ τῶν σοφῶν συγγραμμάτων ὀλίγας περικοπὰς διέσωσεν ὁ Εὐσέϐιος (Ἐκ. Ἱσ. Β. κε: Γ, κη, λα: Ϛ, κ). Εἰς τοῦτον ἀποδίδοται παρὰ τοῖς νεωτέροις καὶ τὸ εὑρεθὲν ἐν τῇ Μεδιολάνων Βιϐλιοθήκῃ ἀνώνυμον τεμάχιον τοῦ καταλόγου τῶν κανονικῶν Βιϐλίων τῆς θείας Γραφῆς, περὶ οὗ προείπομεν (σελ. 201).

§. πγ. Θάσκιος Καικίλιος *Κυπριανὸς*, ὁ ἱερομάρτυς, Καρχηδό-

(α) Ἐν δὲ ταύταις καὶ τὸ Ἡσαΐ. νϐ, 5, μνημονεύει, ὡς κεῖται παρὰ τῷ Ἀποστόλῳ. «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην». βλ. ὄπισθ. σελ. 273.

νιος τὸ γένος, καὶ Καρχηδόνος, ἢ Καρθαγένης, ἐπίσκοπος (τῷ 247) κατέλιπε πραγματείας ἄλλας τε ποικίλας, καὶ μελισταγεῖς ἐπιςολὰς, λατινιςὶ συγγεγραμμένας, ἐν αἷς τὰς ῥήσεις τῆς παλαιᾶς Γραφῆς συμφώνως τοῖς Ο καταγράφει (α). Τούτων ἐστὶ μία, καὶ ἡ «*Ὄψονται εἰς ὃν ἐξεκέντησαν*», ἥτις καὶ αὐτὴ μετὰ τῶν λοιπῶν μαρτυριῶν βεβαιοῖ τὴν παρὰ τοῖς Ο γνησίαν τῆς ῥήσεως γραφήν (ὄπισθ. σελ. 268). Ὁ δὲ Ὄδιος σκιαμαχῶν καὶ ὧδε, κατὰ τὴν ἑβραίαν (φησὶν) ἀλήθειαν οὐ κατὰ τοὺς Ο τὸ ῥητὸν ἐξήνεγκεν ὁ Κυπριανός! Καὶ ἄλλην δὲ προστίθησι ῥῆσιν τοῦ Κυπριανοῦ, ὡς δῆθεν ἐκ τοῦ Θεοδοτίωνος εἰλημμένην, τὴν, «Ὁ συνέχων σῖτον, *ἐπικατάρατος ἐν τῷ λαῷ*» (Παροιμ. ια, 26), ὅπου οἱ Ο, «Ὁ συνέχων σῖτον, *ὑπολίποιτο αὐτὸν τοῖς ἔθνεσιν*». Ἀλλὰ α) ὁ Θεοδοτίων οὐκ ἔχει *συνέχων*, ἀλλὰ *κωλύων* (Ἑξαπλ.). β) ὁ ἱερὸς Ἀμβρόσιος (Offic. 1.3) ἔχει ἐκ τῆς Ἰτάλας τὴν αὐτὴν ἀνάγνωσιν τῶν Ο. Προστίθησι δὲ καὶ ἑτέραν γραφὴν, τὴν αὐτὴν καὶ παρὰ τοῖς Ἕλλησι συχνάκις μνημονευομένην, τὴν, «Ὁ *τιμιουλκῶν σῖτον, δημοκατάρατος*». (βλ. Ἡσύχ. καὶ Σουΐδ. λ. Τιμιουλκέω)· ἐν ταύτῃ δὲ τῇ ῥήσει μόνον τὸ *δημοκατάρατος* εὑρίσκεται παρὰ τῷ Θεοδοτίωνι. Ὥστε τὸ τοῦ θείου Κυπριανοῦ φαίνεται σύνθετον ἐκ τῶν δύω τούτων ἑρμηνειῶν, ἀπὸ μνήμης γράψαντος τὴν ῥῆσιν τοῦ Πατρὸς (Μαρτυρ. Α. 61). Ἄλλας δὲ πολλὰς προφητικὰς παρ' αὐτῷ ῥήσεις, καὶ πολλάκις ἐξ ἐκείνων, ὅσαι συμφωνοῦσαι ἀκριβῶς τοῖς Ο, διαφέρουσι τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ, παραλείπομεν, ὡς ἐμφανεστάτας· οἷα καὶ ἡ ἑξῆς. «Εἰδέναι γὰρ καὶ μὴ ἀγνοεῖν ὀφείλομεν, ὅτι γέγραπται, *Ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου*, ὃ δὴ καὶ πάλαι ἐμήνυσε τὸ *Πνεῦμα* τὸ *ἅγιον ἐν Ψαλμοῖς*» (βλ. τὴν πρὸς Ἰοβιανὸν καὶ τοὺς συνεπισκόπους συνοδικὴν αὐτοῦ ἐπιστολὴν, ἑλληνιστὶ ἐκδεδομένην ἐν Συνόδων Συλλογῇ, Τόμ. α. σελ. 98).

(α) Βλ. S. Cyprian. Testim. L. I. καὶ II. καὶ III. De Unit. Eccles. §. 4, 5, etc. καὶ Epist. LV. §. 18, 19: LVIII, §. 6. καὶ ἀλλαχοῦ πλειασταχοῦ. ἐκδ. Goldhorn. Lipsiae, 1838.

§. πδ. Διονύσιος ὁ *μέγας* τό, τε πρᾶγμα καὶ τὸ ἐπώνυμον, πάπας Ἀλεξανδρείας (ὡς ἐν ταῖς ἐπιστολαῖς ἐπιγέγραπται, ἀκμάσας τῷ 254. μ. Χ.), ἀλλαχοῦ τε τῶν ὀλίγων ὑπολειφθέντων ἱερῶν αὐτοῦ συγγραμμάτων, καὶ ἐν τῇ πρὸς τὸν δυσσεβέστατον Παῦλον τὸν Σαμοσατέα δογματικῇ ἐπιστολῇ (ἐν ᾗ καὶ αἱ δέκα προτάσεις τοῦ Σαμοσατέως, ὡς ἱστὸς ἀράχνης, διαλύονται), πλείστας ὅσας ἀναφέρει μαρτυρίας προφητικὰς ἐκ τῆς ἑρμηνείας τῶν Ο· καὶ ταύτας *Θεοῦ φωνὰς* ἐπίσης, ὡς καὶ τὰς ῥήσεις τῶν Εὐαγγελιςῶν ἀποκαλεῖ· οἷον· «Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου καθ' ἡμᾶς, οὔτε πάλιν ἁγίου ἀνθρώπου, τὸ εἰπεῖν· *Νῦν ἡ ψυχή μου τετάρακται*. Λέγει γὰρ ὁ Θεὸς διὰ τοῦ Ὠσηὲ τοῦ προφήτου, λέγοντος (ια, 8). «Τί σε διαθῶ Ἐφραΐμ; ὑπερασπιῶ σου Ἰσραήλ; τί σε διαθῶ; ὡς Ἀδαμὰ θήσομαί σε, καὶ ὡς Σεβοείμ· μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ· *ἐταράχθη* (ἄλλ. *συνεταράχθη*) ἡ μεταμέλειά μου· οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου. Οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ· διότι Θεός εἰμι, καὶ οὐκ ἄνθρωπος, ἐν σοὶ ἅγιος».—Ἆρα ἐν τούτοις οὐ φανερῶς, ὁ εἰπὼν διὰ Ὠσηὲ, ὁ αὐτὸς πάλιν λέγει ἐπὶ τοῦ πάθους «Νῦν ἡ ψυχή μου τετάρακται;» (Συνόδ. Συλλογ. Τόμ. α. σελ. 113). Ἄλλας ἐν αὐτῇ παρομοίας μαρτυρίας παρασιωπῶμεν· μνημονεύομεν δὲ μόνον τὴν θεοπρεπεστάτην ῥῆσιν ἐκείνην τοῦ Ἡσαΐου «*Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης*», κτλ. ἀκεραίαν καὶ παρὰ τῷ μεγάλῳ Διονυσίῳ ἐκ τῶν Ο ἐκφερομένην, ὡς καὶ παρὰ τῷ θεοφόρῳ Ἰγνατίῳ, καὶ τοῖς ἄλλοις Πατράσι, περὶ ὧν προείπομεν (Βιβλ. Γ. σελ. 232). Ἐκ δὲ τούτου τοῦ ῥητοῦ καὶ ἐξ ἄλλων ἀποδεικνύων τὴν θεότητα τοῦ Ἐμμανουήλ, *Θεοτόκον* καὶ τὴν παρθένον *Μαρίαν* πολλάκις ἐπονομάζει, ὅθεν δῆλον, ὅτι καὶ ἐπ' αὐτοῦ, καὶ πρότερον ἐπὶ Ὠριγένους (ὅστις καὶ αὐτὸς τὴν *Θεοτόκον* ἀποκαλεῖ), καὶ ἔτι ἀπὸ τῶν Ἀποστολικῶν χρόνων τοῦτο τὸ ὑπερένδοξον καὶ ἀειμακάριςον ὄνομα τῆς ἀειπαρθένου *Μητρὸς τοῦ Κυρίου* ὑπῆρχεν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριςοῦ, δογματικῶς πρεσβευόμενον καὶ ὑμνούμενον, ὡς προείρηται (σελ. 69) (α).

(α) Τὸ Θεοτόκος θεόχρηστον ὄνομα ἔγραφε καὶ ἐξήγει Ὠριγένης (ἐγεν-

καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ μέγας Διονύσιος καὶ περὶ *τὰς λέξεις* σοφιστευόμενον καὶ ζυγομαχοῦντα τὸν Σαμοσατέα, ἐξ αὐτῶν πάλιν τῶν *λέξεων* τῶν προφητικῶν, ὡς θεοπνεύστων, ἐξελέγχει (αὐτόθ. σελ. 120). Κἀκεῖνο δὲ κάλλιστον, καὶ πρὸς νουθεσίαν τῶν βουλομένων κατὰ τὸ σφίσι δοκοῦν κανονίζειν τὰς Γραφὰς ἀνυσιμώτατον εἶπεν ὁ Πατὴρ πρὸς τὰ Σαμοσατέα Τελχῖνα, λέγων·

νήθη οὗτος τῷ 186, μ. Χ.), ὡς ἀνέκαθεν ἤδη σύνηθες ἐπ' αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ· «Ὠριγένης ἐν τῷ α, Τόμῳ τῶν εἰς τὴν πρὸς Ῥωμαίους τοῦ Ἀποστόλου ἐπιστολὴν ἑρμηνεύων, πῶς Θεοτόκος λέγεται, πλατέως ἐξήγησε» (Σωκρ. Ἐκ. Ἱστ. Ζ, λϐ.). Σῴζεται δὲ καὶ ἄλλη αὐτοῦ τοῦ Ὠριγένους ῥῆσις εἰς Δευτερ. κϐ, 23: « Τὴν ἤδη μεμνηστευμένην, γυναῖκα καλεῖ· οὕτω καὶ ἐπὶ τοῦ Ἰωσὴφ καὶ τῆς Θεοτόκου ἐλέχθη » (ἐν 'Οκτατ. σελ. 1554. ἐκδ. Θεοτ.). Καὶ Ὁμιλ. α. εἰς Ματθ. α. « Ἡ μήτηρ αὐτοῦ· τίνος αὐτοῦ; ἡ μήτηρ τοῦ Θεοῦ τοῦ μονογενοῦς »· καὶ πάλιν, «Αὕτη ἡ Παρθένος Θεὸν ἐγέννησε· καὶ μήτηρ ἐγένετο, ἀλλὰ τὴν παρθενίαν οὐκ ἀπέϐαλε »· καὶ «Τούτου τοῦ μονογενοῦς Θεοῦ μήτηρ, αὕτη ἡ Παρθένος Μαρία», Τὸ Θεοτόκος εἶπε καὶ Γρηγόριος ὁ θαυματουργὸς, πανηγυρίζων τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου Παρθένου Μαρίας (εἰς τὸν Εὐαγ. λόγ. α, καὶ ϐ. σελ. 14, 18. Paris. 1632). καὶ Διονύσιος ὁ μέγας (ἀνωτέρω)· καὶ ὁ ἱερὸς Μεθόδιος (λόγ. εἰς Συμεὼν, ὅπου καὶ Θεογεννήτριαν λέγει, καὶ Μητέρα Θεοῦ)· καὶ ὁ Μ. Ἀθανάσιος (ἐπις. π. τοὺς ἐν Αἰγύπτῳ μοναχοὺς, καὶ ἀλλαχοῦ πολλαχοῦ· καὶ Κυριοτόκον δὲ τὴν Μητέρα τοῦ Κυρίου ἀποκαλεῖ· ὑπομν. εἰς Λουκ. ἐν Galland. Bibl. Patr. T. V. p. 187). Ἀλέξανδρος ὁ Ἀλεξανδρείας (ἐπις. π. Ἀλέξ. Κωνσταντινουπ.). Εὐσέϐιος ὁ Παμφίλου (Βίῳ Κωνσταντ. γ, 45). Ὁ Μ. Βασίλειος (λόγ. εἰς τὴν Χ. γέννησιν). Ὁ θεολόγος Γρηγόριος· « Εἴτις οὐ Θεοτόκον τὴν Μαρίαν ὑπολαμϐάνει, ΧΩΡΙΣ ΕΣΤΙ ΤΗΣ ΘΕΟΤΗΤΟΣ » (λόγ. να, σελ. 738. πρϐ. καὶ λόγ. λε, σελ. 564). Ὁ θεῖος Χρυσόστομος (τόμ. ϛ. λόγ. εἰς τὸν Μελχισεδ. καὶ τ. ε. Ὁμιλ. ρια, ὅπου καὶ 'Αειπάρθενον αὐτὴν ἀνευφημεῖ). Ὁ ἱερὸς Ἐπιφάνιος (πολλαχοῦ). Γρηγόριος ὁ Νύσσης (ἐπιστ. πρὸς Ἀμϐροσίαν. ϐλ. τόμ. γ. σελ. 660). Κύριλλος ὁ Ἱεροσολύμων (Κατηχ. Ι). Καὶ ἐν τῷ Ἀλεξανδρινῷ κώδηκι (τιθεμένῳ περὶ τὸ 380 μ. Χ.)· ἡ ᾠδὴ τῆς Θεοτόκου ἐπιγέγραπται « Προσευχὴ Μαρίας τῆς Θεοτόκου » (τόμ. Δ. ἐκδ. Grabe). Τὴν Θεοτόκον ἐκήρυξαν καὶ Ἀμφιλόχιος ὁ Ἰκονίου, καὶ ὁ ἱερὸς Ἀντίοχος, καὶ Ἄμμων ὁ Ἀνδριανουπόλεως, καὶ Σεϐηριανὸς, καὶ Θεόφιλος ὁ Ἀλεξανδρείας, καὶ Ἀττικὸς ὁ Κωνσταντινουπόλεως (παρὰ Κυρίλ. Ἀλεξανδρ. τ. ε. ἐπισολ. πρὸς Ἀκάκιον τὸν Βερῥοίας). Πρόκλος ὁ Κωνσταντινουπόλεως (λόγ. εἰς τὴν ἐνανθρώπησιν κτλ.). Ὁ ἱερὸς Θεοδώρητος (τ. δ. σελ. 697 κτλ.). Ὁ ἱερὸς Αὐγουστῖνος « Deipara Virgo et casta perpetuo » (de Tempor Ser. 6, καὶ ἀλλαχοῦ). Ὁ μακάριος Ἱερώνυμος. « Μήτηρ Θεοῦ (εἰς Ἡσαΐ. η, 4. καὶ ἀλλαχοῦ). Οὕτω τὰ

«Εἰ θέλεις κανονίζειν πῶς ὀφείλει γραφῆναι [ἡ] Γραφή, μὴ ἀπαίτει με λαλεῖν σοι ἀπὸ τῆς Γραφῆς» (σελ. 118). Καὶ αὐτὸς δὲ ὁ δείλαιος Σαμοσατεὺς κατὰ τοὺς Ο τὰς ῥήσεις ὡς θεοπνεύστους ἐξέφερε, δι' ὧν δολίως οὐχ ἧττον, ἢ ἀμαθῶς ἐπειρᾶτο κρατύνειν τὰς ἑαυτοῦ κακοδοξίας (α)· Ἀλλὰ καὶ ἐν ἄλλῃ συγγραφῇ ὁ ἱερὸς Διονύσιος πάσας τὰς *θείας Γραφὰς* ὑπὸ κοινὸν ὄνομα ἐκφέρων, ἔπειτα διαιρεῖ εἰς Νόμον, καὶ Προφήτας, καὶ Εὐαγγέλια, καὶ Ἐπιστολάς, ἐν οἷς μνημονεύει «*Καί τινων διδασκάλων, τὸν μὲν Νόμον καὶ τοὺς Προφήτας τὸ μηδὲν ἡγουμένων*, καὶ τὸ τοῖς *Εὐαγγελίοις ἕπεσθαι παρέντων*, καὶ τὰς τῶν *Ἀποστόλων ἐπιστολὰς ἐκφαυλισάντων*» κτλ. (παρ' Εὐσεβίῳ Ἐκ. Ἱς. Ζ, κδ).

Θεοτόκος ὄνομα ἔτι κατὰ τὸν 6 αἰῶνα ἐξ ἀποστολικῆς παραδόσεως καὶ διδασκαλίας ἐδοξάζετο ἐν τῇ ἐκκλησίᾳ, ὑπὸ τῶν Χριστιανῶν ἁπάντων ὁμολογούμενον. Ὅθεν καὶ Ἰουλιανὸς ὁ ἀποστάτης ἐμαίνετο, λέγων· «Θεοτόκον δὲ ὑμεῖς οὐ παύεσθε τὴν Μαρίαν καλοῦντες» (Κύριλλ. κατὰ Ἰουλιαν. Η. σελ. 262). Ὕστερον δὲ καὶ Νεστορίου φρυάξαντος, συνεκροτήθη ἡ ἐν Ἐφέσῳ Οἰκουμενικὴ Γ, Σύνοδος, 430 μ. Χ. ἐν ᾗ καὶ Συνοδικῶς ἐθεσπίσθη, Κυρίως καὶ ἀληθῶς Θεοτόκον τὴν ἀειπάρθενον τοῦ Κυρίου μητέρα ἀνευφημεῖσθαι. Τότε διέλαμπε καὶ Κύριλλος ὁ Ἀλεξανδρείας, ὁ τῆς Θεοτόκου μεγαλοφωνότατος κῆρυξ, καὶ ἄλλοι τῶν ἱερῶν Πατέρων, οἵτινες, ὡς καὶ πάντες οἱ τούτων ἑξῆς, καὶ ἡ Δ, καὶ ἡ Ε, καὶ Ϛ, καὶ ἡ Ζ, Οἰκουμενικὴ τὸ ὄνομα τῆς Θεοτόκου γεραίρουσι. Τοῦτο δὲ ἄρα ἐλάνθανε τοὺς κινήσαντας ἀμφιβολίας περὶ τῆς γνησιότητος τῆς ἀνωτέρω πρὸς τὸν Σαμοσατέα ἐπιςολῆς τοῦ Διονυσίου διά τινας κουφολογίας, ἐν αἷς μίαν ἀριθμοῦσι καὶ ὅτι περιέχει τὸ δῆθεν πολλοὺς μετὰ τὸν Διονύσιον χρόνους ἐν τῇ Γ, Συνόδῳ πρῶτον θεσπισθὲν ὄνομα τῆς Θεοτόκου. Βλ. τὴν ἐφεξῆς σημ.

(α) Ταύτην τὴν τοῦ μεγάλου Διονυσίου πρὸς τὸν Σαμοσατέα γνησιωτάτην ἐπιστολήν, ψευδεπίγραφον ὑπώπτευσάν τινες τῶν νεωτέρων κριτικῶν (6λ. Du-Pin l. c. T. 1. p. 190: Cave, l. c. p. 69 etc.)· ἀντεῖπον δὲ ἄλλοι πρὸς αὐτούς, καὶ μάλιςα πρὸς τὸν (Ceillier) Κεϊλλῆρον ὁ Σχροίκιος (Schrœkh), καὶ ὁ Lumper (Histor. T. 13. p. 123). κτλ. Ὁμολογοῦσι δὲ τὸ γνήσιον τῆς ἐπιστολῆς καὶ Suicer. (Thes. T. 1. p. 1387), καὶ Grabe (edit. τῶν LXX. T. IV. prolog. c. 1). Πρὸ πάντων δὲ καὶ ἀντὶ πάντων τούτων, ὅσον πρὸς τοὺς καχυπόπτους κριτικούς, ἀρκεῖ ἑνὸς καὶ μόνου, τοῦ ἱεροῦ Θεοδωρήτου, ἡ μαρτυρία, ὅστις ἀναφέρει τὴν ἐπιστολὴν ὡς γνησίαν, λέγων· ὅτι ὁ Διονύσιος (καὶ πρὸ τῆς ἐν Ἀντιοχείᾳ κατὰ τοῦ Σαμοσατέως συγκροτηθείσης Συνόδου) «διὰ γραμμάτων ἐκείνῳ (τῷ Σαμοσατεῖ) παρῄνεσε τὰ προσήκοντα». κτλ. (Θεοδώρ. Αἱρετικ. κακομυθ. Β. η). Ἄλλης δὲ πρὸς τὴν ἐν Ἀντιοχείᾳ Σύνοδον (τῷ 264) τοῦ ἱεροῦ Διονυσίου ἐπιστολῆς μνημονεύει ὁ Εὐσέβιος Ἐκ. ις. ζ. 27.

§. πε. Πρὸς τὸν αὐτὸν Σαμοσατέα Παῦλον σῴζεται καὶ ἄλλη πέντε ὀρθοδόξων ἐπισκόπων Ἐπιστολὴ (Συνόδ. Συλλογ. τόμ. α. σελ. 109), ἐν ᾗ πᾶσαι αἱ προφητικαὶ ῥήσεις ἐκφέρονται κατὰ τοὺς Ο, καὶ κατ᾽ αὐτὰς οἱ γράφοντες ἐκτίθενται τὴν ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ παραδοθεῖσαν καὶ τηρουμένην πίστιν ἔγγραφον, «ἐκ Νόμου καὶ Προφητῶν καὶ τῆς Καινῆς Διαθήκης».

§. πς. Γρηγόριος ὁ θαυματουργὸς, Νεοκαισαρείας ἐπίσκοπος, μαθητὴς καὶ οὗτος Ὠριγένους, ὡς καὶ Διονύσιος ὁ μέγας, καὶ κατὰ τοὺς αὐτοὺς ἐκείνῳ χρόνους ἀκμάσας, καὶ πρὸς Κύριον μεταστὰς (τῷ 267). Τούτου τοῦ θείου πατρὸς τὰ μὲν θαύματα καὶ τὴν ἀρετὴν ὁ Μ. Βασίλειος διαγράφει, τιθεὶς αὐτὸν μετὰ τῶν Ἀποστόλων καὶ Προφητῶν (α). Τῶν δὲ συγγραμμάτων ὀλίγα τινὰ διεσώθησαν εἰς ἡμᾶς, ἐν οἷς διαλάμπει τὸ ἱερὸν *τῆς Πίστεως Σύμβουλον*, ὃ συνέγραψεν ἐκ θείας ὀπτασίας (τούτου δὲ τὸ αὐτόγραφον καὶ ἐπὶ τοῦ θείου Γρηγορίου τοῦ Νύσσης ἐσῴζετο, ὡς αὐτὸς μαρτυρεῖ). Ἐκ δὲ τῶν ἄλλων συγγραφῶν ἀρκείτω μνημονευθεῖσα ἡ εἰς τὸν *Ἐκκλησιαστὴν Μετάφρασις* αὐτοῦ (ἥτις συνήθως μὲν ἐκδίδοται μετὰ τῶν συγγραμμάτων Γρηγορίου τοῦ Θεολόγου, ἔστι δὲ γνήσιον πόνημα τοῦ θαυματουργοῦ, κατὰ τὴν μαρτυρίαν Ἱερωνύμου καὶ Ῥουφίνου καὶ ἄλλων)· ταύτην δὲ τὴν παράφρασιν συνέταξεν ὅλην κατὰ τὴν ἑρμηνείαν τῶν Ο, μεταῤῥυθμίσας τὸ τεῦχος πρὸς τὸ σαφέστερον, ὡς Γραφὴν ἁγίαν, καὶ τό, τε νόημα καὶ τὰς λέξεις θεόπνευστον. «Καὶ εἰς τὸν Εὐαγγελισμὸν (λόγῳ β) «Θησαυρός (φησιν) ἡμῖν ἔστω ἡ προφητικὴ γλῶσσα, καὶ ἡ Ἀποστολικὴ διδασκαλία· οὐ γάρ ἐστι χωρὶς Νόμου καὶ Προφητῶν, ἢ Εὐαγγελιστῶν καὶ Ἀποστόλων ἔχω (ἴσ. γρ. ἔχειν) τὴν ἀκριβῆ τῆς σωτηρίας ἐλπίδα». Καὶ ἐν τῇ *Κανονικῇ* δὲ αὐτοῦ ἐπιστολῇ θεσμο-

(α) «Γρηγόριον δὲ τὸν μέγαν καὶ τὰς ἐκείνου φωνὰς ποῦ θήσομεν; ἆρ᾽ οὐχ μετὰ τῶν Ἀποστόλων καὶ Προφητῶν; ἄνδρα τῷ αὐτῷ πνεύματι ἐκείνοις περιπατήσαντα» κτλ. (πρὸς Ἀμφιλόχ. περὶ τοῦ ἁγ. Πνεύματος, κεφ. κθ). Ἀλλὰ καὶ Γρηγόριος ὁ Νύσσης, ὁ τοῦ Μ. Βασιλείου ὁμότιμος ἀδελφὸς, συνέγραψε κατὰ πλάτος τὸν βίον τοῦ θαυματουργοῦ Γρηγορίου (Τόμ. Γ. σελ. 534—577).

θετεῖ τοὺς ἱεροὺς αὐτοῦ κανόνας, ἐπάγων καὶ ἐν παραδείγμασι τῆς παλαιᾶς Γραφῆς μαρτυρίας κατὰ τοὺς Ο (Κανόν. α, καὶ γ, καὶ δ). Καὶ καθόλου δὲ τοῖς Ο χρῆται περὶ τὴν διδασκαλίαν τῶν θείων Γραφῶν, ἐν ᾗ ἀνεδείχθη πολὺ κρείττων καὶ ὑψηλότερος, ἢ ὅσον ηὔχετο καὶ παρήγγελλεν αὐτῷ ὁ διδάσκαλος Ὠριγένης ἐν τῇ θαυμαστῇ πρὸς αὐτὸν ἐπιστολῇ, λέγων· «Σὺ οὖν κύριε υἱὲ, πρόσεχε τῇ τῶν θείων Γραφῶν ἀναγνώσει· ἀλλὰ πρόσεχε· πολλῆς γὰρ προσοχῆς ἀναγινώσκοντες τὰ *θεῖα* δεόμεθα, ἵνα μὴ προπετέστερον εἴπωμέν τινα, ἢ νομίσωμεν περὶ αὐτῶν» καὶ τὰ ἑξῆς· ἐπιφέρει δὲ τὸ παράγγελμα μετὰ πολλὰ παραδείγματα ἐκ τῆς παλαιᾶς θείας Γραφῆς εἰλημμένα (βλ. Ὠριγέν. Τόμ. α. σελ. 30, 32).

§. πζ. Ἀνατόλιος ὁ ἱερώτατος, καὶ τὴν θείαν καὶ ἀνθρωπίνην παιδείαν σοφώτατος, τὸ γένος Ἀλεξανδρεὺς (τῷ 270 μ. Χ.) ἐν τῷ παρ' Εὐσεβίῳ (Ἐκκλ. ἱϛορ. ιζ, 32) σωζομένῳ μεγάλῳ τεμαχίῳ τῶν περὶ τοῦ πάσχα Κανόνων αὐτοῦ, λαμπρῶς ἀνακηρύττει τοὺς Ο, « Ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου-τὰς ἱερὰς καὶ θείας τῶν Ἑβραίων ἑρμηνεύσαντας Γραφάς »· ἀλλὰ περὶ τούτου μακρὰ προείρηται (Βιβλ. Α. σελ. 410).

§. πη. Ἀρχέλαος Κασχάρων τῆς Μεσοποταμίας ἐπίσκοπος (τῷ 277) ἐν τῇ πρὸς τὸν ἀσεβέστατον Μάνεντα σοφωτάτῃ αὐτοῦ Διαλέξει, δι' ἧς κατεκεραύνωσε τὸν τῆς μανίας τοῦτον ἐπώνυμον, ἐκ τῆς ἑρμηνείας τῶν Ο τὰς ῥήσεις τὰς προφητικὰς ἀναφέρει (σελ. 179 κτλ.) (α), ἄλλας τε, καὶ τὴν «Οὐκ ἐκλείψει ἄρχων» κτλ. (ὅπου ἀντὶ τοῦ «ᾧ *ἀπόκειται*» γέγραπται κατὰ τὴν Συριακὴν

(α) Τὴν ἱστορίαν τῆς Διαλέξεως ἔχεις παρ' Ἐπιφανίῳ Αἱρέσ. νϛ. Ταύτης μέρος ἔχει καὶ Κύριλλ. Ἱεροσολ. Κατηχ. ϛ. ἴδε καὶ Φωτ. Ἀναγ. πε. καὶ S. Hieron. Script. Eccles. c. 72. Συνέγραψε δὲ τὴν Διάλεξιν ὁ Ἀρχέλαος πρῶτον Συριστὶ, καὶ ἐξελλήνισεν Ἡγεμόνιος, Χαλκηδόνος ἐπίσκοπος· ἐκ δὲ τοῦ ἑλληνικοῦ προῆλθεν ἡ σωζομένη παλαιὰ λατινὶς ἑρμηνεία, ἥτις τὰ πρακτικὰ (Acta) τῆς διαλέξεως ἐπιγέγραπται (ἐκδέδοται δὲ καὶ ὑπὸ Φαβρικίου ἐν τοῖς Ἱππολύτου, τ. 6. σελ. 142-195). βλ. περὶ τούτων καὶ τὸν Lumper, Historiæ. etc. T. 13. p. 343-372.

μετάφρασιν, «*ἐκεῖνος, οὗ ἐστι*» (cujus est), τὸ σκῆπτρον δηλαδὴ, κατὰ τὸ, «*ᾧ καθήκει*», τοῦ Ἰεζεκιήλ. Βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 500)· καὶ τὴν *θίβην* δὲ (Ἐξοδ. α) λέξιν τῶν Ο, διετήρησε καὶ ἡ μετάφρασις (thibin. σελ. 183). Καὶ τὴν συμφωνίαν τῆς Παλαιᾶς μετὰ τῆς Καινῆς διὰ παραδείγματος ἐμφαίνων, πρὸς ἓν ὁλοσχερὲς ὕφασμα παραβάλλει τὴν ὅλην θείαν Γραφὴν, Παλαιάν τε καὶ Καινὴν, ἐκ στήμονος καὶ κρόκης ἐξυφασμένον· ἢ καὶ πρὸς ἱμάτιον περιπόρφυρον, φέρον τὴν Καινὴν, ὡς πορφύραν, περὶ τὴν Παλαιάν (σελ. 178).

§. πθ. Βικτωρῖνος ὁ ἱερομάρτυς ἐπίσκοπος Πεταυΐων τῶν κατὰ τὴν ἄνω Παννονίαν παρὰ τὸν Δράβον ποταμὸν (τῷ 290), πολὺ πλέον τὸν ἕλληνα λόγον, ἢ τὴν λατινίδα φωνὴν ἠσκηκὼς (ὅθεν ἔλεγε περὶ αὐτοῦ ὁ Ἱερώνυμος τὸ τοῦ Ἀποστόλου· «Εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει») (α). Συνέγραψε λατινιστὶ κατὰ τῶν αἱρέσεων, καὶ ὑπομνήματα εἰς τὰς θείας Γραφάς. Ἐκ δὲ τούτων ὁ Καβέος (σελ. 73) ἐδημοσίευσε περισωθὲν γνήσιον ἀποσπασμάτιον, ἐν ᾧ *περὶ κοσμοποΐας* διαλαμβάνων, ἐκφέρει τὰς ῥήσεις καὶ τὰ κύρια ὀνόματα τῆς Γραφῆς κατὰ τὴν Ἰτάλαν, συμφώνως τοῖς Ο· καὶ τῶν Μακκαβαίων μνημονεύει, καὶ τῆς κατὰ τοὺς Ο ἐπιγραφῆς τοῦ ϛ, Ψαλμοῦ. Ὁ δὲ Ὄδιος (σελ. 345) προσέκρουσε καὶ ὧδε βαρέως, ἀποδοὺς εἰς τὸν Βικτωρῖνον, ὡς δῆθεν ἐκ τοῦ Ἱερωνύμου, ὅ,τι ὁ Ἱερώνυμος γράφει περὶ τοῦ Ὠριγένους (β).

§. ϙ. Μεθόδιος ὁ ἅγιος μάρτυς καὶ ἐπίσκοπος τῆς περὶ τὸν Ὄλυμπον Λυκίας, ἤτοι τῶν ἐν Λυκίᾳ *Πατάρων*, εἶτα δὲ καὶ Τύ-

(α) Βλ. §. Hieronym. De Scriptor. c. 74 καὶ εἰς Ἡσαΐ. προοιμ. καὶ κεφ. λϛ. —Cassiodorus De div. Lect. c. 5. 7-9).

(β) Διαλαμβάνων ὁ Πατὴρ περὶ τῶν εἰς Ἡσαΐαν ὑπομνημάτων, ἐν οἷς, φησὶν, οἱ Ἕλληνες ἐνίδρωσαν, ἐπιφέρει. « Cæterum apud Latinos grande silentium est, præter S. memoriæ martyrem Victorinum, qui cum Apostolo dicere poterat· Etsi imperitus sermone, non tamen scientia. Scripsit enim in hunc Prophetam juxta editiones quatuor, usque ad visionem Quatrupedum in deserto O r i g e n e s triginta volumina » etc. (S. Hier. Procem. in I. Com. Esai. βλ. καὶ ὄπισθ. σελ. 449)· ταῦτα Ὄδιος ὑπέλαβεν ὡς εἰρημένα περὶ τοῦ Βικτωρίνου, παριδὼν τὸ Ὠριγένους ὄνομα.

ρου (τῷ 290), «Λόγιος ἀνὴρ καὶ σφόδρα περὶ τῆς ἀληθείας ἀγωνισάμενος» (Ἐπιφάν. Αἱρέσ. ξδ), καὶ τέλος τὸν τοῦ μαρτυρίου στέφανον ἀναδησάμενος (τῷ 303). Τῶν γλαφυρῶν τούτου συγγραμάτων ὀλίγα τινὰ περιῆλθον ὁλόκληρα καὶ εἰς ἡμᾶς, ἐν οἷς καὶ τὸ λαμπρότατον *Συμπόσιον τῶν δέκα παρθένων*, ἢ *περὶ Ἁγνείας* (ὃ πρὸς τὸ τοῦ Πλάτωνος *Συμπόσιον* ὁ μάρτυς ἀντέταξε). Τεμάχια δὲ τούτου μεγάλα, καὶ ἄλλων τινῶν πονημάτων τοῦ θεσπεσίου τούτου πατρὸς (οἷον τοῦ *Περὶ αὐτεξουσίου*, *Περὶ τῶν γενητῶν*, *Περὶ ἀναστάσεως*) ἐξέδωκεν ὁ Φώτιος (Ἀναγν. σλδ, σλε. σλς. σλζ). Καὶ λόγοι δὲ τοῦ Πατρὸς σῴζονται, ἐν οἷς καὶ ὁ εἰς τὰ *Βαΐα*, καὶ ὁ εἰς *Συμεὼν καὶ Ἄνναν* (ἐν τῇ ἑορτῇ τῆς ὕστερον ἐπικληθείσης Ὑπαπαντῆς) (α). κτλ. Ἐν πᾶσι δὲ τούτοις ὁ μέγας Μεθόδιος τὰς προφητικὰς ῥήσεις ἐκ τῶν Ο ἐκφέρει, ὡς λόγια Θεοῦ, καὶ τὴν κατὰ τοὺς Ο χρονολογίαν τηρεῖ, «Ἑξακισχιλιοστὸν ἔτος ἀπὸ Ἀδὰμ εἰς δεῦρο συντείνειν», λέγων (παρὰ Φωτίῳ Ἀναγ. σλε). Καὶ ῥῆσιν τοῦ Βαροὺχ (γ. 14), ὡς αὐτοῦ τοῦ Ἱερεμίου προφητείαν μνημονεύει (καθὰ καὶ ἄλλοι. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 682)· τὴν δὲ Σοφίαν εἰς τὸν Σολομῶντα ῥητῶς ἐπιγράφει, (παρ' Ἐπιφανίῳ τόμ. α. σελ. 559), καὶ ῥῆσιν ἄλλην (Σ. Σολ. γ. 16) προφητικὸν τοῦ ἁγίου πνεύματος χρησμὸν ὀνομάζει (ἐν Συμποσ. λόγ. Β. σελ. 680. ἐκδ. Γαλλάνδ. βλ. καὶ ὄπισθ. σελ. 200). Ἐν δὲ τῷ εἰς *Συμεὼν* λόγῳ πολλάκις *Θεοτόκον* τὴν ἀειπάρθενον Μαρίαν ὑμνολογεῖ.

§. ϥα. Κοίλιος *Λακτάντιος*, Φιρμιανός, Λατῖνος συγγραφεὺς (τῷ 303), περὶ οὗ προείπομεν (σελ. 22). Καὶ οὗτος ἐν τοῖς ἀποσωθεῖσιν αὐτοῦ συγγράμμασι, καὶ μάλιστα ἐν τοῖς ἑπτὰ βιβλίοις *τῶν θείων Εἰσαγωγῶν*, ἢ Διδασκαλιῶν (Institutionibus divinis), ἐκ τῆς Ἰτάλας συμφώνως τοῖς Ο τὰς προφητικὰς ῥήσεις ανα-

(α) Ἅπαντα τὰ σῳζόμενα τοῦ ἁγίου Μεθοδίου ἐξεδόθησαν εἰς ἕνα τόμον μετὰ τῶν τοῦ ἁγίου Ἀμφιλοχίου, καὶ Ἀνδρέου τοῦ Κρήτης. Paris. 1644. βλ. καὶ τὴν τοῦ Ἀλλατίου De Methodiorum scriptis σοφὴν διατριβήν, μετὰ τῶν Ἱππολύτου ἐκδεδομένην, ἐν τόμ. β. σελ. 79—108. ὑπὸ Φαβρικίου. πρβλ. Lumper, Histor. T. 12. p. 426, κτξ.

γράφει. Καὶ ἐκ τοῦ Βαροὺχ (γ, 35—37) ὡς τοῦ Ἱερεμίου ῥήσεις ἐκφέρει· καὶ ἐκ τῆς Σολομῶντος Σοφίας (β, 12—22), τοῦ Σολομῶντος τὴν βίβλον καὶ οὗτος ἀνακηρύττων, καὶ ἐκ τῆς Σοφ. Σειρὰχ (κδ,3), εἰς τὸν Σολομῶντα καὶ ταύτην ἐπιγράφων (βλ. ὄπισθ. σελ. 205). (α) Καὶ χρονολογεῖ δὲ κατὰ τοὺς Ο. (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 783). Ἐν δὲ τοῖς ἀπολεσθεῖσιν αὐτοῦ συγγράμμασι μνημονεύεται καὶ τούτου *Συμπόσιον*, ὅπερ συνέγραψεν, ἴσως, μιμηθεὶς τὸ τοῦ ἱεροῦ Μεθοδίου.

§. ϙβ. Ἀλέξανδρος ὁ πάπας Ἀλεξανδρείας, καὶ τῶν Ἀποστολικῶν δογμάτων ὑπέρμαχος (τῷ 313), ἐν τῇ πρὸς Ἀλέξανδρον τὸν Κωνςαντινουπόλεως κατὰ τοῦ ἀλάστορος Ἀρείου ἐπιστολῇ (β) ταῖς ἐκ τῶν Ο μαρτυρίαις χρῆται πρὸς ἀπόδειξιν τοῦ θείου δόγματος, ἐν αἷς μνημονεύει καὶ τὴν (Ἡσαϊ. νγ, 8), «*ἦν τὸ προφητικὸν Πνεῦμά φησι. Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;*» (ὅτι δὲ τὸ νῦν ἑβρ. κἀν τούτῳ διαφέρει. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 958). καὶ ἐν τῷ τοῦ Ἀρείου καὶ τῶν σὺν αὐτῷ *Καθαιρετικῷ*, ὅπερ ὁ θεσπέσιος Ἀλέξανδρος μετὰ τῆς περὶ αὐτὸν Συνόδου ψηφισάμενος, ἀπέστειλε τοῖς ἁπανταχοῦ τῆς Καθολικῆς Ἐκκλησίας συλλειτουργοῖς, ἄλλας τε κατὰ τοὺς Ο ῥήσεις ἐκφέρει, καὶ τὸ «*Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν*», καὶ τὸ «*Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε*», ὡς φωνὰς τοῦ Θεοῦ καὶ Πατρός (Συνόδ. Συλλογ. Τόμ. Α. σελ. 192. ἴδε καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 402).

§. ϙγ. Λουκιανὸς, πρεσβύτερος Ἀντιοχείας (τῷ 296), τὸν πάντα βίον ἄριστος (Εὐσέβ.), καὶ περὶ τὰ θεῖα μαθήματα συγκεκροτημένος, καὶ στεφανίτης, τέλος, ἱερομάρτυς (τῷ 313)· οὗ τὸν βίον καὶ ὁ θεῖος Χρυσόστομος (τόμ. β. σελ. 524) ἐγκωμίῳ τετίμηκεν (γ).

(α) Βλ. Lactant. Instit. Div. L. IV. 8, 13, 16 καὶ Inst. Epit. 44, 45. ed. Fritzsche. Lipsiae, 1842.

(β) Βλ. Συνόδ. Συλλογ. τόμ. α. σελ. 141. - Θεοδώρητ. Ἐκκλ. ἱςορ. Α. γ.

(γ) Οἱ Ἀρειανοὶ παρωνόμαζον ἑαυτοὺς καὶ Λουκιανιστὰς, καὶ ἀλλήλους, Συλλουκιανιστὰς (βλ. Θεοδωρ. Ἐκκλ. ἱστορ. Α, δ), ὡς ἀπό τινος ἐνδόξου Λουκιανοῦ, φρονήσαντος τὰ τοῦ Σαμοσατέως Παύλου, τοῦ μετὰ τὸν

Οὗτος πρὸς τὸ παράδειγμα τοῦ Ὠριγένους, ἔκδοσιν ἐποιήσατο τῆς θείας ἑρμηνείας τῶν Ο, διορθώσας ὅσα σφάλματα παρετήρησεν ἐν τοῖς κατ' αὐτὸν ἀντιγράφοις, παραβαλὼν αὐτὰ πρὸς τὰ ἀκριβέστερα τῶν σωζομένων, καὶ πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκὸν, καθ' ὅσα δηλονότι καὶ τοῦτο συνεφώνει τοῖς ἀκριβεστέροις ἀντιγράφοις. Αὕτη δὲ τῶν Ο ἡ ἔκδοσις παρωνομάσθη *Λουκιανὶς* (οὕτω γραπτέον, ἀντὶ τοῦ παρ' Ἱερωνύμῳ ἡμαρτημένῳ *Λουκιανός*). Περὶ τούτου γράφει (ἴσως ἐκ τοῦ Μεταφραστοῦ λαβὼν) καὶ Σουΐδας ταῦτα (λ. Λουκιανός). «Οὗτος τὰς ἱερὰς βίβλους θεασάμενος πολὺ τὸ νόθον εἰσδεξαμένας, τοῦ γε (γρ. τοῦ *τε*) χρόνου λυμηναμένου πολλὰ τῶν ἐν αὐταῖς, καὶ τῆς συνεχοῦς ἀφ' ἑτέρων εἰς ἕτερα μεταθέσεως, καὶ μέν τοι καί τινων ἀνθρώπων πονηροτάτων, οἳ τοῦ ἑλληνισμοῦ προειστήκεισαν, παρατρέψαι τὸν ἐν αὐταῖς θελησάντων νοῦν, καὶ πολὺ τὸ κίβδηλον ἐνσκευασαμένων, αὐτὸς ἁπάσας ἀναλαβὼν, ἐκ τῆς ἑβραΐδος ἐπανεσώσατο γλώττης, ἣν καὶ αὐτὴν ἐς τὰ μάλιστα ἦν ἠκριβωκὼς, πόνον τῇ ἐπανορθώσει πλεῖστον εἰσενεγκάμενος». Λαμπρὸς ὁ ἔπαινος, καὶ προσήκων, ἀλλ' ὅτι ἔχει καί τινας ὑπερβολὰς, πᾶς τις ἐννοεῖ, τοῦτο μόνον ἐνθυμηθείς· ὅτι, καθὼς ἦσαν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης *ἀκριβέστερα τῶν ἀντιγράφων* ἐπ' Ὠριγένους (50 περίπου ἔτεσι πρὸ τοῦ Λουκιανοῦ), οὕτως ἦσαν τοιαῦτα καὶ ἐν Ἀντιοχείᾳ· ἢ μήπως νενοθευμένοις ὑπὸ τῶν δυσσεβῶν ἀντιγράφοις ἐχρῆτο ἡ Ἀποστολικὴ

Ἐβίωνα πρωτοδιδασκάλου τῆς Ἀρείου μανίας. Ἀλλ' ἄδηλον, τίς ἦν οὗτος ὁ Λουκιανός· τοῦτον δὲ τὸν ἁγιώτατον πρεσβύτερον τῆς Ἀντιοχείας οὐδεὶς τῶν ἱερῶν Πατέρων συγκατηρίθμησε τοῖς ἀρνησιχρίστοις. Καὶ λέγει μὲν ἡ τοῦ θεσπεσίου Ἀλεξάνδρου τοῦ Ἀλεξανδρείας ἀνωτέρω μνημονευθεῖσα ἐπιστολὴ Λουκιανόν τινα «διαδεξάμενον τὰ τοῦ Σαμοσατέως, ὃς καὶ ἀποσυνάγωγος ἔμεινε τριῶν ἐπισκόπων πολυετεῖς χρόνους». ἀλλὰ καὶ ὧδε μένει ἀδιόριστον, εἰ οὗτος ἦν ὁ Λουκιανός. Κἂν δὲ τοῦτο τεθῇ, πάλιν ἐξ αὐτῆς συνάγεται τῆς ἐπιστολῆς, καὶ ἐκ τοῦ μακαρίου δὲ τέλους ὁ ἱερόνικος Λουκιανὸς τρανώτατα δείκνυται, ὅτι ὑπέστρεψε πάλιν εἰς τοὺς κόλπους τῆς Ἐκκλησίας πολὺ πρὸ τοῦ μαρτυρίου, ὁπότε «βασιλέως ἐπιπαρόντος (τοῦ Μαξιμίνου), τὴν οὐράνιον τοῦ Χριστοῦ βασιλείαν καὶ λόγῳ καὶ ἔργῳ ἀνεκήρυξε» (Εὐσέβ. Ἐκκλ. ἱστορ. η, 13: θ, 6; Σωζόμεν. γ, 5: Σουΐδ. λ. Λουκιανός).

τῶν Ἀντιοχέων ἐκκλησία; καὶ οὔτε ὁ ἕβδομος ἀπὸ τῶν Ἀποστόλων Θεόφιλος γενόμενος Ἐπίσκοπος τῆς Ἀντιοχείας, οὔτ᾽ ἄλλος τις τῶν ἐφεξῆς ποιμένων, καὶ τῶν τὰ θεῖα σοφῶν, οὔτ᾽ αὐτὸς Ὠριγένης ἐλθὼν εἰς Ἀντιόχειαν (Εὐσέβ. Ἐκκλ. ἱστορ. ϛ, 24) συνεῖδον οὕτω ῥερᾳδιουργημένας τὰς ἐν τῇ Ἐκκλησίᾳ τηρουμένας θείας Γραφὰς, ἕως ταύτας ἐξεκάθηρεν ὁ ἱερομάρτυς Λουκιανός; Καὶ τὸ «*ἐπανεσώσατο δὲ ταύτας ἐκ τῆς ἑβραΐδος γλώσσης*» παρίστησι τὴν ὑπὸ τοῦ Λουκιανοῦ διορθωθεῖσαν ἔκδοσιν τῶν Ο, ὡς μηδόλως διαφέρουσαν τοῦ τότε κατ᾽ αὐτὸν ἑβραϊκοῦ, καὶ τῶν ἄλλων τῶν ἐκ τούτου ἰουδαϊκῶν ἑρμηνειῶν· καὶ παρεχάραττε λοιπὸν ὁ ἱερώτατος μάρτυς *ταῖς ὑπ᾽ οὐρανὸν Ἐκκλησίαις*, ὅπερ ἔφρισσε καὶ αὐτὸς ὁ συντάκτης τῶν Ἑξαπλῶν. Ἀλλ᾽ ὅτι μὲν διώρθωσεν ὁ Λουκιανὸς πολλά τινα τῶν ἀντιγράφων τῆς Κοινῆς ἑρμηνείας τῶν Ο, τοῦτο βέβαιόν ἐστιν. Ἀλλ᾽ ὡσαύτως ἐστὶ βέβαιον, καὶ ὅτι ἡ κατ᾽ αὐτὸν ἔκδοσις οὐ διέφερεν ἐπισήμως τῶν ἄλλων τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένων ἱερῶν βίβλων, ὡς ὀψόμεθα ἐν τῷ ἐφεξῆς κεφαλαίῳ. Ἐνταῦθα δὲ προστιθέμεθα καὶ τὴν μαρτυρίαν τοῦ ἱεροῦ Ἀθανασίου, λέγοντος· ὅτι «Ὁ Λουκιανὸς ταῖς προγεγραμμέναις ἐκδόσεσι (ταῖς ἑρμηνείαις τῶν Ο, καὶ τῶν περὶ τὸν Ἀκύλαν), καὶ τοῖς ἑβραϊκοῖς ἐντυχὼν, καὶ ἐποπτεύσας μετὰ ἀκριβείας τὰ λείποντα, ἢ καὶ περιττὰ *τῆς ἀληθείας* ῥήματα, καὶ διορθωσάμενος ἐν τοῖς οἰκείοις τῶν Γραφῶν τόποις, ἐξέδοτο τοῖς χριστιανοῖς ἀδελφοῖς· ἥτις δὴ ἑρμηνεία μετὰ τὴν ἄθλησιν καὶ μαρτυρίαν τοῦ αὐτοῦ ἁγίου Λουκιανοῦ, — ἤγουν τὸ ἰδιόχειρον αὐτοῦ τῆς ἐκδόσεως βιβλίον, εὑρέθη ἐν Νικομηδείᾳ ἐπὶ Κωνσταντίνου βασιλέως τοῦ μεγάλου, παρὰ Ἰουδαίοις ἐν τοίχῳ πυργίσκῳ (γρ. *πυργίσκου*), περικεχρισμένῳ κονιάματι εἰς διαφύλαξιν (Ἀθανάσ. ἐν Συνόψ. Τομ. β. σελ. 135) (α).

(α) Ἐν τούτοις σημειωτέον, ὅτι ὁ ἱερὸς Ἀθανάσιος (εἴγε τοῦ Ἀθανασίου οἱ λόγοι, καὶ μή τινος νεωτέρου, ὡς φαίνεται πιθανὸν) καταχρηστικώτερον ἠρίθμησε καὶ ὠνόμασεν ἑβδόμην ἑρμηνείαν τὴν ὑπὸ τοῦ Λουκιανοῦ κριτικὴν ἔκδοσιν αὐτῆς τῆς ἑρμηνείας τῶν Ο. καὶ τοῦτο προῆλθε διὰ τὸ συνώνυμον τῆς ἐκδόσεως, ὡς καὶ Ὠριγένης πολλάκις ἔκδοσιν καλεῖ καὶ τὴν κυρίως ἑρμηνείαν, ἢ μετά-

§. ϞΔ. Κατὰ τοὺς αὐτοὺς χρόνους (τῷ 265) ἤκμαζε καὶ Ἡσύχιος ὁ ἱερομάρτυς ἐπίσκοπος ἐν Αἰγύπτῳ (Εὐσέβ. Ἐκκλ. ἱστορ. η, 9), ὅστις καὶ αὐτὸς ἠσχολήθη περὶ τὴν διόρθωσιν τῶν κατ' Αἴγυπτον καὶ Ἀλεξάνδρειαν ἀντιγράφων τῶν Ο, διὸ καὶ ἡ τούτου ἔκδοσις ὡς ἰδία τις ἀριθμεῖται συνήθως.

§. ϞΕ. Σύγχρονος τούτοις ἦν καὶ Πάμφιλος, καὶ οὗτος ἱερομάρτυς, ἐπίσημος τὸ γένος, Φοῖνιξ ἐκ Βηρυτοῦ, καὶ πρεσβύτερος τῆς ἐν Παλαιστίνῃ Καισαρείας, ἔνθα καὶ τοῦ μαρτυρικοῦ στεφάνου ἠξιώθη (τῷ 309), «πάσης ἕνεκεν ἀρετῆς καὶ παιδείας ἐπιδοξότατος ἀνὴρ» (Εὐσέβ. καὶ Ἱερών.), καὶ φίλος οἰκειότατος τοῦ Καισαρείας ἐπισκόπου Εὐσεβίου (ὅστις καὶ λαμπρὸν τῆς φιλίας ἔσχε παράσημον τὸ ἐπώνυμον, *ὁ τοῦ Παμφίλου*). Οὗτος, συνεργοῦντος καὶ τοῦ φίλου Εὐσεβίου, ἐξέδωκε τὴν ἑρμηνείαν τῶν Ο, μεταγράψας ἐκ τῶν αὐτογράφων Ὠριγένους Τετραπλῶν, τηρουμένων ἐν τῇ Βιβλιοθήκῃ τῆς Καισαρείας (ἣν αὐτὸς ὁ Πάμφιλος καθίδρυσεν, ἰδίαις δαπάναις πανταχόθεν συναγαγὼν καὶ θησαυρίσας ἐν αὐτῇ πλεῖςά τε καὶ κάλλιστα ἐκκλησιαστικὰ συγγράμματα, ἐν οἷς καὶ τὰ Ὠριγένους). Καὶ περὶ μὲν τῶν τριῶν τούτων ἐκδόσεων τῶν Ο, τῶν ὑπὸ τριῶν ἱερομαρτύρων, συγχρόνως σχεδὸν, γεγενημένων, Λουκιανοῦ καὶ Ἡσυχίου καὶ Παμφίλου, λέγομεν ἐν τῷ ἐφεξῆς κεφαλαίῳ, τοῦτο μόνον ὧδε προσθέντες· ὅτι καὶ τῶν τριῶν τούτων θεοφόρων ἀνδρῶν αἱ ἐκδόσεις διακηρύττουσιν, ὅτι μίαν καὶ μόνην ἁγίαν καὶ θεόπνευστον ἑρμηνείαν ἀνέκαθεν ἐγνώριζεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τὴν τῶν Ο, ἧς τοὺς κώδηκας θρησκευτικῶς ἐπεμελοῦντο καθαροὺς ἀπὸ τῶν προσπιπτόντων γραφικῶν σφαλμάτων διατηρεῖν, ὡς καὶ τοὺς τῆς Καινῆς Διαθήκης. Ὁ δὲ μακάριος Πάμφιλος ἤδη καθειργμένος ἐν τῷ δεσμωτηρίῳ (ὅπου διετίαν ὅλην ἐκρατεῖτο μέχρι τῆς μαρτυρικῆς

φρασιν (οἷον τὴν τῶν Ο, καὶ τῶν λοιπῶν). Οὕτως ἔγραψε τὸ σχόλιον καὶ Νικήτας ὁ Ἡρακλείας (προλόγ. εἰς τοὺς Ψαλμ.), καὶ Εὐθύμιος (προλ. αὐτόθ.), καὶ ἄλλοι τῶν νεωτέρων. Ἴσως δὲ καὶ κατὰ σύγχυσιν ἐξελήφθη ὡς ἑβδόμη ἑρμηνεία ἡ τοῦ Λουκιανοῦ ἔκδοσις, ἀντὶ τῆς ἐν τοῖς Ὀκταπλοῖς ὑπ' Ὠριγένους τεταγμένης ἑ β δ ό μ η ς ἑ ρ μ η ν ε ί α ς (Εὐσέβ. Ἐκκλ. ἱστορ. ϛ, 16). βλ. καὶ Hody p. 597.

τελειώσεως), συνέγραψε κοινῶς μετὰ τοῦ φίλου Εὐσεβίου ἀπολογίαν Ὠριγένους (Εὐσέβ. Ἐκκλ. ἱστορ. ς, 33: Φώτ. Ἀναγ. ριη) ἐν βιβλίοις ἕξ· ὧν τὸ πρῶτον μόνον σῴζεται καθ' ἡμᾶς λατινιστὶ, κατὰ τὴν μετάφρασιν τοῦ Ῥουφίνου (μετά τινων καὶ ἄλλων αὐτοῦ θεωρημάτων προςεθειμένων). Ἐν τούτῳ τοίνυν τῷ βιβλίῳ ὁ ςεφηφόρος ἱερομάρτυς, ὅσας εἰσάγει τὸν Ὠριγένην προφητικὰς ἐκφέροντα ῥήσεις, τὰς πάσας γράφει κατὰ τοὺς Ο· οἷον τὸ (Γεν. μθ) «*Ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται*» (α) (ὅπου τὸ ἑβρ. ἔχει, *ὁ Σιλὼ*)· καὶ τὸ τοῦ Ὠσηὲ (γ, 4) «Ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων» (ἐν δὲ τῷ νῦν ἑβραϊκῷ τὸ μὲν *ἱερατείας* λείπει, ἀντὶ δὲ τοῦ οὐκ ὄντος *θυσιαστηρίου*, *οὐδὲ δήλων*, γράφεται, «*οὐκ ὄντος ἀγάλματος, καὶ οὐκ ὄντος ἐφὸδ καὶ θεραφίμ*»). Ἀλλα πάμπολλα παραδείγματα παραλείπομεν.

§. Ϥς. Εὐσέβιος ὁ Παμφίλου (ἤκμαζε τῷ 314, γεννηθεὶς, ἴσως, περὶ τὸ 270), Καισαρείας τῆς ἐν Παλαιστίνῃ καὶ γέννημα (ὡς εἰκάζεται), καὶ ἐπίσκοπος, καὶ τῆς ἐκκλησιαστικῆς ἱστορίας κορυφαῖος ἀρχιτέκτων, καὶ ἄλλων δὲ πολλῶν καὶ ἐπισήμων συνταγμάτων πολυΐστωρ πατὴρ, περιώνυμος δὲ καὶ ὡς τοῦ Παμφίλου συνεργάτης, εἰς ἣν προείπομεν ἔκδοσιν τῆς ἑρμηνείας τῶν Ο. Καὶ τοῦτον τοίνυν ὁ μακάριος Ἱερώνυμος, ἀπολογούμενος ὑπὲρ τῆς ἑαυτοῦ μεταφράσεως (προλόγ. εἰς Ἰησοῦν, καὶ πρὸς Ῥουφῖν. ἀπολογ. β), παρήγαγεν (ὡς καὶ τὸν Ὠριγένην) ἰσχυρὸν συνηγορίας παράδειγμα, διατεινόμενος, ὅτι ἄρα καὶ Εὐσέβιος οὐ μόνον κατὰ τοὺς Ο, ἀλλὰ καὶ κατὰ πάσας τὰς ἰουδαϊκὰς τῶν λοιπῶν ἑρμηνείας ἐξήγει τὰς θείας Γραφάς. Εἴδομεν δὲ ἐν τοῖς προλαβοῦσι (σελ. 437), ὅτι καὶ τοὺς Ἑβραίους ἠρώτα περί τινων χωρίων τῆς Γραφῆς. Ὁμολογεῖ δὲ τοῦτο καὶ αὐτὸς ὁ Εὐσέβιος καὶ ἀλλαχοῦ, καὶ ἐν τοῖς εἰς Ἡσαΐαν (λθ, 2, 8) ὑπομνήμασιν (β). Ὁ δὲ κλεινὸς Ὅδιος ταύτην μὲν τὴν

(α) «Cui repositum est» (regnum scilicet). βλ. τὴν ὑπὸ Ῥουφίνου Pamphili Apologiam ἐν τοῖς Ἱερωνύμου Τόμ. Δ. σελ. 414—450.

(β) Βλ. Collect. Nov. Patrum et Script. Graec. T. 2. p. 355. (ἐκδ. Μοη-

Εὐσεβίου μαρτυρίαν οὐκ εἶχεν ἀναγνοὺς (ὡς δοκεῖ)· περισαλπίζει δὲ τοὺς Ἱερωνύμου λόγους, καὶ κυλίει πάλιν ἄνω καὶ κάτω τὸν Σισύφειον λίθον, ἀναζωσάμενος τὸν αὐτὸν, ὃν καὶ περὶ Ὠριγένους ἀνέλαβεν ἀγῶνα, καὶ πειραθεὶς ἀποδεῖξαι καὶ τὸν Εὐσέβιον ὡς ἐπίσης τοῖς Ο τιμῶντα τὰς τῶν λοιπῶν ἰουδαϊκὰς ἑρμηνείας, τὸ δὲ κατ' αὐτὸν ἑβραϊκὸν καὶ ὑπερτιμῶντα. Καὶ πρὸς τούτου δεῖξιν καταγράφει τινὰ χωρία τοῦ Εὐσεβίου. Ἀλλὰ πρὸς ταύτην μὲν τὴν κακοτεχνίαν εἰσάπαξ ἀπηντήσαμεν, διευκρινήσατες τὰ περὶ Ὠριγένους (σελ. 454); καὶ περιττὸν ἂν ἦν πάλιν τὰ καθ' ἕκαστα ἐξετάζειν. Ἐπειδὴ δὲ πολλὴν καὶ περὶ τὸν Εὐσέβιον ἐπεδείξατο φιλοτιμίαν ἡ εὔλαλος Ὀδίου γραφὶς, εὐμενῶς ὁ ἀναγνώστης ἀνέξεται διατρέχων καὶ τὰς περὶ τούτου ἰδιαιτέρας ἀπαντήσεις, ἔν γε τοῖς λόγου τινὸς ἀξιωτέροις φαινομένοις.

Ἔγραψεν ὁ Εὐσέβιος· «Εὑρὼν δὲ παρ' Ἑβραίοις διαφόρους τῶν χρόνων ἀποδόσεις, τὴν μὲν πλεονάζουσαν» (ὡς ἐν τοῖς Ο), «τὴν δὲ ἐνδέουσαν» (ὡς ἐν τῷ ἑβραϊκῷ), «ταύτην μετῆλθον». (Προοιμ. Χρονικ. Β, σελ. 223). Ἔψεξεν ὁ Σύγκελλος τὴν Εὐσεβίου ἀστασίαν, ὅτι ταῦτα διορίσας, ἔπειτα «τῇ πλεοναζούσῃ τῶν δύο, τῆς τε κατὰ τὸ Ἑβραϊκὸν, τῆς τε παρὰ Σαμαρείταις, ἐκδόσει τῶν Ο κέχρηται» (σελ. 125). Ἐπῆλθε καὶ ὁ λογιώτατος Σκαλίγηρος, ἐμβριμώμενος διὰ τοῦτο κατὰ τῆς Εὐσεβίου (φησὶν) *ἀλογιστίας* (α)· ὁ δὲ κλεινὸς Ὄδιος ἐξεμετάλλευσε, τέλος, ἐξ αὐτῆς τῆς Εὐσεβίου διανοίας τὴν αἰτίαν τῆς ἀστασίας, λέγων· «Ἱκανὸν ἐνόμισεν Εὐσέβιος τὸ καταδεῖξαι μόνον, ὅτι *αὐτὸς προτιμᾷ τὴν καθ' Ἑβραίους ἀρίθμησιν τῶν ἐτῶν*· τὴν δ' ἑτέραν ἐξέθετο κατὰ τὴν κοινὴν ὑπόθεσιν.»— Ἀλλ' ἰδοὺ σαφὴς ἀλογιστία· πῶς; τὸ, *ταύτην μετῆλθον*, σημαί-

---

tfauc. Paris. 1707). Σημειωτέον δὲ ὅτι, ὅπου λέγει ὁ Εὐσέβιος ὅτι τοῦτό τι ἢ ἐκεῖνο ἤκουσε π α ρ' Ἑ β ρ α ί ω ν, ἢ π α ρ' Ἑ β ρ α ί ο υ δ ι δ α σ κ ά λ ο υ, τοῦτ' αὐτὸ λέγει καὶ Ἱερώνυμος ἐν τοῖς ἰδίοις εἰς Ἡσαΐαν ὑπομνήμασιν, ἐπὶ τῶν αὐτῶν τόπων σημειῶν, ὅτι τοῦτο π α ρ' Ἑ β ρ α ί ο υ δ ι δ α σ κ ά λ ο υ π α ρ έ λ α β ε. Παρετήρησε τὸ πρᾶγμα καὶ αὐτὸς ὁ κλεινὸς ἐκδότης τῆς Συλλογῆς ταύτης (præf.)·

(α) Scalig. not. in Euseb. Chronic. p. 402.

νει τὸ, ταύτην *προτιμήσας οὐ μετῆλθον*; ἀλλὰ τοῦτο μὲν ἔοικεν αἰνίγματι, οἷον λέγεται κἀκεῖνο τὸ « *Ἀνὴρ καὶ οὐκ ἀνὴρ, βάλλει καὶ οὐ βάλλει* », καὶ τὰ λοιπὰ τοῦ σκώμματος. Ὁ δὲ περὶ τοῦ πράγματος σπουδαιολογῶν οὐδὲν, ἴσως, ἀπίθανον ἐρεῖ, λέγων· ὅτι ὁ Εὐσέβιος *ἐνδέουσαν* χρονολογίαν ἐννοεῖ τὴν μόνον 290 ἔτεσιν ἐλλειπεστέραν τῆς τῶν Ο, καὶ μᾶλλον πρὸς τὸ ἑβραϊκὸν ἀποκλίνουσαν, ἣν αὐτὸς τῷ ὄντι (ὡς οὐκ ὤφειλε) μετῆλθε (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 786)· περὶ δὲ τὴν ἄλλην τῶν χρόνων ἀπόδοσιν παρηκολούθησεν ἀκριβῶς τοῖς Ο. Οὕτω γὰρ, οἶμαι, διαλλάττεται μὲν πρὸς ἑαυτὸν, ἀπαλλάττεται δὲ καὶ τῶν Σκαλιγηρείων ἐλέγχων, καὶ τῶν Ὀδιακῶν ἐπαίνων ὁ πολυΐστωρ Εὐσέβιος (α). Αὐτῶν δὲ τῶν ἑβραϊκῶν ἀντιγράφων τὴν περὶ τὴν ὅλην χρονολογίαν διαφθορὰν καὶ ἀτοπίαν καὶ συνεῖδε, καὶ διέφυγε, καὶ κατεστηλίτευσε, λέγων· « Ἔστι δὲ καὶ ἄλλως τὴν ἀτοπίαν συνιδεῖν τῶν παρ᾽ Ἰουδαίοις ἀντιγράφων, ἀπὸ τοῦ τριακονταετεῖς ἀναγράψαι τοὺς πρὸ τοῦ Ἀβραὰμ πεπαιδοποιημένους, ὁπότε οἱ μετὰ τὸν Ἀβραὰμ ἱστοροῦνται πρεσβύτεροι τῶν τριάκοντα ἐτῶν ἐπὶ τὴν παιδοποιΐαν ἐλθεῖν. Πανταχόθεν τοιγαροῦν τῆς τῶν Ο ἑρμηνείας ἐκ παλαιᾶς, ὡς ἔοικε, καὶ ἀδιαστρόφου Ἑβραίων γραφῆς μεταβεβλῆσθαι συνισταμένης, εἰκότως ταύτῃ ἡμεῖς κεχρήμεθα κατὰ τὴν παροῦσαν χρονογραφίαν» κτλ. (Χρον. Α. σελ. 67). Ἀνέγνω ταῦτα Ὄδιος, ἢ οὔ;

Ἐν τῇ Εὐαγγελικῇ Ἀποδείξει (Βιβλ. Ζ. κεφ. γ. σελ. 206) ἀποῤῥίπτει (κατὰ τὸν Ὄδιον) ὁ Εὐσέβιος τὰς λέξεις τῶν Ο, καὶ καταφεύγει εἰς τὸ Ἑβραϊκόν. Ἐξηγῶν γὰρ « *τὸ ὕδωρ τοῦ Σιλωὰμ* » (Ἡσαΐ. η, 6), « ἑρμηνεύεταί (φησι) Σιλωὰμ *ἀπεσταλμένος*. Οὗτος δ᾽ ἂν εἴη ὁ ἐκ τοῦ Πατρὸς ἡμῖν ἀπεσταλμένος Θεὸς Λόγος, περὶ οὗ καὶ Μωϋ-

---

(α) Κριτικοί τινες (εἰς Εὐσεβ. Χρονικ. Β. σελ. 223. Mediol.) ἐνδέουσαν χρονολογίαν ἐνόμισαν τὴν παρ᾽ Εὐσεβίῳ ἔλλειψιν τοῦ Καϊνᾶν, ἀλλ᾽ ἡ Εὐσεβίου χρονολογία ἀποδέει τῆς τῶν Ο πολλῷ πλείονα ἔτη τῶν 130 τοῦ Καϊνᾶν· ἡ δὲ καθ᾽ Ἑβραίους ἐλλείπει Καϊνάναις ὅλοις δώδεκα καὶ ἔτι πρός. (βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 966).

σῆς φησίν· (Γεν. μθ)· Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται. - ἀντὶ γὰρ ᾧ *ἀπόκειται* τὸ ἑβραϊκὸν *Σιλωὰμ* περιέχει, τὸν ἐνταῦθα (ἐν Ἡσ.) *Σιλωὰμ*, τουτέστι τὸν ἀπεσταλμένον, κἀκεῖ (Γεν. μθ) δηλοῦντος τοῦ λόγου.» — Ἀλλ' ἐν τούτοις, α) ὁ Εὐσέβιος ἀναφέρει τὴν ἀνάγνωσιν τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ, μόνον ὅπως ἐνισχύσῃ τὴν τροπολογίαν, καθ' ἣν ἔδοξεν αὐτῷ τροπολογῆσαι τὸ παρ' Ἡσαΐᾳ ὕδωρ τοῦ *Σιλωάμ*· αὐτὸ δὲ τὸ τῶν Ο, ᾧ *ἀπόκειται*, οὐ μόνον οὐκ ἀπέῤῥιψεν, ἀλλὰ καὶ πολλάκις αὐτὸς οὗτος ὡς κυρίαν καὶ γνησίαν ῥῆσιν τοῦ Μωϋσέως ἐξήγησεν (οἷον καὶ ἐν Εὐαγγ. Ἀποδ. Η, α). β) Τὸ ἑβραϊκὸν οὐκ ἔχει *Σιλωὰμ*, ἀλλὰ *Σιλῶ* (κατὰ τὴν νῦν ἰουδαϊκὴν γραφήν). Ὅπως δὲ ἀνέγνων τοῦτο Ο, καὶ ὅτι ἀκριβῶς ἡρμήνευσαν, τρανῶς προαποδέδεικται (Βιβλ. Γ. σελ. 500). Ὥρα τοίνυν ἐν τούτοις Ὀδίῳ τὸ νῦν ἑβραϊκὸν διεφθαρμένον ὁμολογεῖν, εἴ γε τὸν Εὐσέβιον κατεῖδε καταφυγόντα πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκόν, ὅπου δηλονότι τὴν γνησίαν εὗρεν ἀνάγνωσιν. Ἐφεξῆς ὁ κριτικὸς ὑποσυνάπτει κἀκεῖνα τοῦ Εὐσεβίου (Βιβλ. Ζ. 3. σελ. 208, 209) « *Κατὰ μὲν τοὺς Ο, Μεγάλης βουλῆς ἄγγελος*, καὶ ὥς τινα τῶν ἀντιγράφων ἔχει, *θαυμαστὸς σύμβουλος*,» κτλ. περὶ ὧν ἱκανὰ προείπομεν (Βιβλ. Γ. σελ. 231). Προϊὼν δὲ προστίθησι καὶ ταῦτα τοῦ Εὐσεβίου, ἀναγινωσκόμενα ἐν τῇ αὐτῇ τοῦ αὐτοῦ κεφαλαίου περικοπῇ· «Οὐκοῦν, οὐχ ἁπλῶς ἄγγελος, *κατὰ τοὺς* Ο, ἀλλὰ τῆς μεγάλης βουλῆς ἄγγελος» — Ἀλλ' εἴπερ ὁ κριτικός, αὐτίκα λαβὼν τουτὶ τὸ «*κατὰ τοὺς Ο*», μετετίθει κατόπιν τοῦ, «*ἀλλὰ*», ἢ καὶ τοῦ, «τῆς μεγάλης βουλῆς *ἄγγελος*», ὡς ἐξ ἐκείνου τοῦ κατὰ φύσιν οἰκείου τόπου, εἰς ὃν τανῦν κεῖται, κατὰ συναρπαγὴν ὑπὸ τοῦ μεταγραφέως προβιβασθὲν (ὅπερ συμβῆναι πάντως ἡμῖν δοκεῖ), οὔτ' αὐτὸς ἂν ἔσχε πράγματα, οὔτε τὸν Εὐσέβιον παρῆγεν εἰς μέσον οὕτω παράφορον, ὥστε μεταξὺ ὀλίγων στίχων ἀντιφάσκειν μὲν πρὸς ἑαυτόν, κολοβοῦν δὲ καὶ τὴν ῥῆσιν, ἥν, ὡς εἶπεν, ἀνέγνω παρὰ τοῖς Ο.

Εὐαγγελ. Ἀποδείξ. Θ. ιδ (σελ. 280) Ὁ Εὐσέβιος ἐξηγήσας τὸ τοῦ Ἡσαΐου (η, 16) «Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν

νόμον τοῦ μὴ μαθεῖν· καὶ ἐρεῖ» καὶ τὰ ἑξῆς (κατὰ τοὺς Ο, Βατ.) ἐπιφέρει. «Ἀσαφῶς δὲ παρὰ τοῖς Ο εἰρημένον (τὸ ῥητὸν), σαφέστερον ἐξέδωκε Σύμμαχος, εἰπών· «Δῆσον μαρτύριον, σφράγισον νόμον ἐν τοῖς διατάγμασι μου»· καὶ ὁ Ἀκύλας δὲ τοῦτον καὶ αὐτὸς ἐξέδωκε τὸν τρόπον» κτλ. Ἀλλ' ἐὰν Ὅδιος νομίζῃ τὸ *σαφέστερον* ὡς χαρακτῆρα τῆς γνησιότητος, πολλὰ καὶ ἄλλα χωρία καὶ τῶν Ο, καὶ αὐτοῦ τοῦ ἑβραϊκοῦ, ἀσαφέστερον πολλάκις εἰρημένα, ταχέως ἡμῖν ἐξοβελίσει, πανταχοῦ τὰ σαφῆ καὶ περίτρανα καὶ λεῖα ζητῶν. ἀλλὰ πρὸς τοῦτον μὲν ἴσως ἐρεῖ τις τὸ τοῦ Ἐπιχάρμου «*Μή μοι τὰ μαλακὰ μώεο, μὴ τὰ σκλὴρ' ἔχῃς*». Ὁ δ' Ὠριγένης ἐκεῖνος ἐσεβάσατο μάλιστα τὴν ἐν ταῖς Γραφαῖς μυστηριώδη πολλάκις ἀσάφειαν. Καὶ ἡμεῖς προείπομεν (σελ. 455), ὅτι χρῶνται μὲν ἔστιν ὅπου οἱ Πατέρες ταῖς τῶν λοιπῶν ἑρμηνείαις εἰς ἐπεξήγησιν· οἵας δὲ ταύτας ἐνόμιζον, αὐτὸς ἡμῖν Εὐσέβιος ἐρεῖ μετὰ μικρόν.

Ἐν τοῖς κατὰ Μαρκέλλου (Γ, ε) ὁ Εὐσέβιος (κατὰ τὴν Ὁδίου κρίσιν) «ψέγει καὶ ἀποῤῥίπτει τὴν ἑρμηνείαν τῶν Ο, ὡς οὐκ ἀποδιδοῦσαν τὴν γνησίαν σημασίαν μιᾶς τινος λέξεως ἑβραϊκῆς» (ἐν τῷ «Κύριος *ἔκτισέ με*». Παροιμ. ζ. 22, ὅπου τὸ ἑβρ. ἔχει, *ἐκτήσατο*) Ἰδοὺ οἱ λόγοι τοῦ Εὐσεβίου. «Εἴτις ἐξακριβώσαιτο τὸν ἀληθῆ νοῦν τῆς θεοπνεύστου Γραφῆς, εὕροι ἂν τὴν ἑβραϊκὴν ἀνάγνωσιν οὐ πεπεριέχουσαν τὸ *ἔκτισέ με*, ὥσπερ οὐδὲ τῶν λοιπῶν ἑρμηνευτῶν ταύτῃ τις κέχρηται τῇ λέξει» (γράφουσι δὲ τὸ, ἐκτήσατο). Ἀλλὰ α) αὐτὸς ὁ Εὐσέβιος ἀλλαχοῦ (Εὐαγ. Ἀποδ. Ε, α. σελ. 134) τὸ *ἔκτισέ με* ὡς γνησίαν λέξιν τῆς θεοπνεύστου Γραφῆς ἐξηγεῖ καὶ θεολογεῖ. (Οὕτως ἀνέγνω καὶ Ἀθηναγόρας, καὶ Ὠριγένης, καὶ ὁ Μ. Ἀθανάσιος, καὶ Θεοδώρητος, κτλ.). β) Ὁ Νύσσης Γρηγόριος βεβαιοῖ, ὅτι, «ἐν ἀρχαιοτέροις βιβλίοις (παλαιοῖς ἀντιγράφοις) ἀνέγνω *ἐκτήσατο* γεγραμμένον, ἀντὶ τοῦ *ἔκτισε*»· καὶ μέντοι οὐδ' αὐτὸς τὴν *ἔκτισεν* ἀνάγνωσιν ἀποβάλλει (ὡς οὐδ' ὁ Μ. Βασίλειος, καὶ ἄλλοι τῶν Πατέρων. βλ. ἐφεξῆς §. ριε).

Καὶ ἐκ τῶν εἰς τοὺς Ψαλμοὺς ὑπομνημάτων τοῦ Εὐσεβίου μνημονεύει τινὰ παραδείγματα ὁ Ὅδιος (τὸ ἐν Ψαλμ. νδ, 22

καὶ ρζ, 10), ἐν οἷς ὁ Εὐσέβιος γυμνάζων τὸ νόημα τῶν χωρίων τούτων, παρασυνάπτει τοῖς Ο καὶ τὴν κατ᾽ Ἀκύλαν καὶ Σύμμαχον λέξεών τινων ἑρμηνείαν, προστιθεὶς (ρζ, ι.) «καί τινα περὶ ταύτην τὴν ἐξήγησιν λόγον, ὃν ἤκουσε παρ᾽ ἑβραίου (α).

Ἐν δὲ τῷ ριγ Ψαλμῷ (στ. 12) τὰ ἀπὸ τούτου, ἢ τὰ ἀπὸ τοῦ 9 ςίχου («Μὴ ἡμῖν Κύριε») καὶ ἐφεξῆς «*ἔν τισι* (λέγει) *τῶν ἀντιγράφων* ἀφώριςαι τοῦ ριγ Ψαλμοῦ, ὥςε εἶναι ριδ, τὸν μετὰ χεῖρας. Ἐπειδὴ δὲ ἐγκύψας αὐτῇ τῇ ἑβραϊκῇ βίβλῳ τοὺς αὐτῶν *(τῶν προκειμένων)* χαρακτῆρας εὗρον καὶ τὰς λέξεις, ἐπέστησα καλῶς ἀκολουθῆσαι τῇ Ἑβραίων βίβλῳ, συνάψαι τε τοῖς προτέροις τὰ προκείμενα, ὥστε εἶναι μέρος αὐτὰ τοῦ ριγ ὕμνου.» — Ἀλλὰ ταύτην μὲν τὴν ἐσφαλμένην διαίρεσιν τοῦ Ψαλμοῦ μόνον ἔν τισι τῶν ἀντιγράφων εἶδεν ὁ Εὐσέβιος, πάντα δὲ τ᾽ ἄλλα πάντως εἶχον, ὡς ἔχουσι καὶ τὰ καθ᾽ ἡμᾶς, ὁλόκληρον τὸν ριγ ψαλμόν, καὶ ὡς ἔγραψε καὶ αὐτὸς ὁ Παμφίλου, πληροφορηθεὶς ἐκ τοῦ κατ᾽ αὐτὸν ὡσαύτως ἔχοντος ἑβραϊκοῦ. Τὸ δὲ καθ᾽ ἡμᾶς ἑβραϊκὸν ἔχει τὴν διαίρεσιν τοῦ ψαλμοῦ τούτου τοιαύτην, οἵαν ἐκάκισεν ὡς ἄτοπον ὁ Εὐσέβιος. Ἄρχεται γὰρ καὶ νῦν παρ᾽ Ἑβραίοις ὁ 114 Ψαλμὸς ἐκ τοῦ «*Μὴ ἡμῖν Κύριε, μὴ ἡμῖν.*» Ὁ δὲ Κιμχὴς καὶ ἄλλοι παλαιοὶ ῥαββῖνοι μαρτυροῦσιν, ὅτι τὸ πάλαι τὰ ἀπὸ τοῦ 9 στίχου καὶ ἐφεξῆς ἦσαν παρ᾽ αὐτοῖς συνημμένα μετὰ τῶν προηγουμένων, εἰς ἕνα ψαλμὸν (τὸν 113), ὡς ἔχουσιν οἱ Ο. καὶ νῦν δὲ κώδηκές τινες ἑβραῖοι οὕτως ἔχοντες εὑρέθησαν (Ῥόσσις, καὶ Κεννικῶτος). Ὥστε ὁ σοφὸς

(α) «Σαφέστερον δὲ τὴν διάνοιαν ἡρμήνευσεν ὁ Ἀκύλας τῶν Ο (τὸ «Μωὰβ λέβης τῆς ἐλπίδος μου. ψαλμ. ρζ. 18), καὶ ἡ Ε, ἔκδοσις, «Μωὰβ λέβης (τουτέςι δοχεῖον) τοῦ λουτροῦ μου». Οἶδα δὲ ἐγὼ ἀκούσας λόγον ἐν ἀποῤῥήτῳ παραδεδεγμένον ὑπό τινος Ἑβραίου. — Μυστικῶς γὰρ ἔφασκε δηλοῦσθαι διὰ τῶν προκειμένων τὴν κατὰ σάρκα τοῦ Χριστοῦ γέννησιν - διὰ τὴν Μωαβῖτιν Ῥοὺθ, ἀφ᾽ ἧς γίνεται καὶ Δαβὶδ ὁ βασιλεὺς, οὗ ἐκ σπέρματος τὸ κατὰ σάρκα ὁ Χριστὸς τοῦ Θεοῦ γεγέννηται, ὁ καὶ ἐπὶ τοῦ (γρ. τὸ) Ἰωάννου βάπτισμα, καὶ τὸ λουτρὸν τὸ ἐν τῷ Ἰορδάνῃ παρεληλυθώς». Ἀλλὰ παρὰ ταύτην τὴν τροπολογίαν παρακατιὼν αὐτὸς ὁ Εὐσέβιος πολὺ ἀσφαλέστερον καὶ τοῖς ἄλλοις πατράσι συμφωνότερον ἐτροπολόγησεν αὐτὰ τὸ τῶν Ο Μωὰβ κτλ. ἐπὶ τῶν ἐθνῶν ἐκλαβὼν (βλ. Σειρ. εἰς τοὺς Ψαλμ. ρζ, 10; τ. γ. σελ. 209).

ὕδιος ἠγνόει ἄρα διὰ τοῦ παραδείγματος οὐ τοὺς Ο, τὸ δὲ κατ' αὐτὸν ἑβραϊκὸν ἐκφαυλίζων. Σὺ δὲ βλέπεις, ἀναγνῶστα, μέχρι τίνος ὤθησε τὸν κριτικὸν τὸ πρὸς τοὺς Ο δυσμενὲς ἦθος, ὥστε γράφειν ἄλλα τε παράλογα, καὶ τοιαῦτα σκαλαθύρματα! Περισαλπίζει τὴν παρ' Εὐσεβίῳ κατά τινας τόπους χρῆσιν καὶ τῶν ἄλλων ἑρμηνευτῶν, ὡς ἂν τούτους δηλονότι τιμῶντι πλέον, ἢ τοὺς Ο. ὅτι δὲ τὴν ἀπιστίαν τούτων τῶν ἰουδαϊζόντων ἑρμηνευτῶν οὐχ ἅπαξ ἐστηλίτευσεν ὁ Εὐσέβιος, τοῦτο παρεσιώπησεν ὁ φιλιουδαῖος κριτικός· ἀλλ' αὐτὸς ἡμῖν ὁ τοῦ Παμφίλου λεγέτω.

Εἰς Ψαλμ. ϙ, 9. σεσημείωκε ταῦτα· «Διὸ λέλεκται πρὸς αὐτὸν (τὸν σαρκωθέντα υἱὸν τοῦ Θεοῦ), ὅτι «*Σὺ Κύριε ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου*» (οἱ Ο). «Ἐπεὶ δὲ *ἰουδαϊκώτερον* ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος τὴν ἑρμηνείαν ἐκτεθείκασιν, ὑφορώμενοι τὸ περὶ *τοῦ Ὑψίστου καὶ περὶ τοῦ Κυρίου* ἀποδεδομένον (ἴσ. γρ. ἀποδεδεγμένον) ἡμῖν δόγμα· καὶ ὁ μὲν Ἀκύλας ἡρμήνευσεν εἰπὼν, ὅτι, *Σὺ Κύριε ἐλπίς μου, ὕψιστον ἔθηκα* (ἴσ. γρ. ἔθηκας) *κατοικητήριόν σου*· ὁ δὲ Σύμμαχος, *Σὺ γὰρ Θεὲ ἀφοβία μου, ὑψίστην ἔθου τὴν κατοίκησιν σου*· τηρητέον, πρῶτον μὲν, ὡς ἡ πέμπτη ἔκδοσις συνᾴδει τοῖς Ο. - δεύτερον, ὡς ἡ ἑβραϊκὴ φωνὴ, *Ελιων* περιέχου-σα, τὸν Ὕψιστον δηλοῖ. —Οὐκ ἄρα χρὴ βιαζομένους τὴν ἀλήθειαν διαστρέφειν. Ἄλλως δὲ, εἴπερ κατὰ τὸν Ἀκύλαν πρὸς αὐτὸν τὸν Κύριον λέλεκται· ὅτι *Σὺ Κύριε . . . ὕψιστον ἔθηκας κατοικητήριόν σου*, ἢ κατὰ τὸν Σύμμαχον, *Σὺ γὰρ Θεὲ . . . ὑψίστην ἔθου τὴν οἴκησίν σου*, ἀναφέρεταί τε ὁ λόγος, ὡς ἂν οἰηθεῖεν Ἰουδαίων παῖδες, ἐπὶ τὸν τῶν ὅλων Θεὸν, πῶς συνῆπται τὰ ἑξῆς; κατὰ μὲν τὸν Ἀκύλαν τὸ, *Οὐ μεταχθήσεται πρὸς σὲ κακία, καὶ ἀφὴ οὐκ ἐγγιεῖ ἐν τῇ σκέπῃ σου· ὅτι ἀγγέλοις αὐτοῦ ἐντελεῖταί σε φυλάξαι ἐπὶ ταρσῶν ἀροῦσί σε*· κατὰ δὲ τὸν Σύμμαχον· *Οὐ κατισχύσει σου κακὸν* (καὶ τὰ ἑξῆς); Ταῦτα γὰρ πρὸς τὸν τῶν ὅλων Θεὸν λέγεσθαι, πῶς οὐκ ἂν εἴη πάντων ἀσεβέστατον;» (α).

(α) Εὐσέβ. ὑπομν. εἰς Ψαλμ. ἐν Collect. Nov. Patrum etc. T. 1. p. 591.

Πάλιν (Εὐαγγελ. Ἀποδ. Ζ, α. σελ. 195). «Ἐν μὲν τοῖς ἡμετέροις ἀντιγράφοις, ὑφ' ἑβδομήκοντα ἀνδρῶν, ἄνωθεν μὲν Ἑβραίων τὸ γένος, ἐπ' ἀκριβείᾳ δὲ τῆς πατρίου παιδείας δεδοκιμασμένων ἡρμηνευμένοις, ὧδέ πως φέρεται (Ἡσαΐ ζ.)· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται. κτλ. Ἐν δὲ τοῖς Ἰουδαίων ἀντιγράφοις, κατὰ τὴν Ἀκύλου μεταβολὴν φερομένοις· προσήλυτος δὲ ὁ Ἀκύλας ἦν, οὐ φύσει Ἰουδαῖος. —τοῦτον εἴρηται τὸν τρόπον. Ἰδοὺ ἡ *νεᾶνις* ἐν γαστρὶ συλλαμβάνει κτλ. Παρὰ δὲ τῷ Συμμάχῳ ταῦθ' οὕτως ἔχει. λέγεται δὲ ὁ Σύμμαχος Ἐβιωναῖος εἶναι· αἵρεσις δὲ ἦν οὕτω καλουμένων τινῶν Ἰουδαίων εἰς Χριστὸν πιστεύειν λεγομένων, ἐξ ὧν ὁ Σύμμαχος ἦν· παρ' ᾧ καὶ αὐτῷ ταῦτα οὕτως ἔχει. Ἰδοὺ ἡ *νεᾶνις* συλλαμβάνει» κτλ. Καὶ μετ' ὀλίγα· «Θεὸν, *κατὰ μὲν ἡμᾶς καὶ τὴν τῶν Ο ἑρμηνείαν* ἐκ παρθένου γενόμενον· κατὰ δὲ τὴν νῦν παρ' Ἰουδαίοις φερομένην, *ἐκ νεάνιδος*» κτλ. Οὕτω λαμπρῶς μόνην τὴν τῶν Ο ἑρμηνείαν *καθ' ἡμᾶς*, ἰδίαν δηλαδὴ τῶν Χριστιανῶν, ὀνομάζει, τὰς δὲ λοιπὰς ἰουδαϊκὰς, ἔργα διάστροφα προσηλύτων Ἰουδαίων (ὡς ὁ Ἀκύλας, καὶ οὗτος οὐδ' Ἑβραῖος τὸ γένος), καὶ Ἐβιωναίων ψευδοχριστιανῶν, ἀρνησιχρίστων, ὡς ὁ Σύμμαχος.

Ἄκουε καὶ τὰ ἑξῆς (Εὐαγγ. Ἀποδ. Ε. α. σελ. 133). «Χρὴ δὲ μὴ ἀγνοεῖν, ὅτι οἱ μὲν θεῖοι χρησμοὶ πολὺ τὸ καὶ πρὸς λέξιν καὶ πρὸς διάνοιαν ὑπερφυὲς [ἐν] τῇ Ἑβραίων φωνῇ περιέχοντες, διαφόρου τῆς ἐπὶ τὸ ἑλληνικὸν ἑρμηνείας τετυχήκασι, τοῦ δυσθεωρήτου χάριν. *Οἱ δ' οὖν Ο ἄνδρες ἀθρόως* (ἴσ. γρ. ἀθρόοι, ἄνδρες) *Ἑβραῖοι*, ΣΥΜΦΩΝΩΣ *αὐτὰς μεταβεβλήκασιν· οἷς μάλιστα τὸν νῦν προσέξομεν, ὅτι δὴ καὶ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τούτοις κεχρῆσθαι φίλον*. Εἰ δέ που γίνοιτο χρεία, οὐδὲ τὰς τῶν μετὰ ταῦτα νεωτέρων ἑρμηνευτῶν ἐκδόσεις, *αἷς εἰσέτι νῦν Ἰουδαίοις χρῆσθαι φίλον*, παραιτησόμεθα, ὡς ἂν πανταχόθεν τὰ τῆς ἀποδείξεως ἡμῖν βεβαιοτέρας τύχῃ παραστάσεως». Οὕτως ὁ Εὐσέβιος σημειώσας τὴν μεταξὺ τῆς Ἑλληνίδος καὶ τῆς Ἑβραΐδος γλώσσης διαφορὰν (ἣν εἶπε καὶ Σειρὰχ ἐν προοιμίῳ· βλ. ὄπισθ. σελ. 54), πρῶτον μὲν ἀνακηρύττει τὴν ὑπὸ τῶν Ο *συμφώνως*, ὡς

ἐκ θαύματος, γενομένην ἑρμηνείαν (ὅπερ καὶ Ἰουστῖνος, καὶ ἄλλοι τῶν Πατέρων ἱστόρησαν) (α), καὶ ὅτι ταύτῃ μόνῃ κέχρηται ἡ Ἐκκλησία, ὡς εἶπε καὶ ἀλλαχοῦ· «*τῶν τοῦ Σωτῆρος ἡμῶν Ἀποστόλων τε καὶ μαθητῶν ἀρχῆθεν αὐτῇ χρῆσθαι παραδεδωκότων* (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 835)· ἔπειτα δὲ λέγει καὶ τὸν λόγον, δι' ὃν ἔστιν ὅπου κέχρηται καὶ ταῖς τῶν λοιπῶν ἑρμηνείαις, ὅπως, ἐπειδὴ ταύταις Ἰουδαίοις χρῆσθαι φίλον, πανταχόθεν τὰ τῆς ἀποδείξεως βεβαιοτέρας τύχῃ παραστάσεως (βλ. ὄπισθ. σελ. 509).

Ἐν τῇ Ἐκκλησιαςικῇ ἱστορίᾳ (Α, β) «*Τὸ Πνεῦμα* (λέγει) *τὸ θεῖον* ἐν προφητείαις φησί. Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται»; Οὕτω καὶ ὧδε καὶ ἀλλαχοῦ, θεοπνεύστους φωνὰς τὰ κατὰ τοὺς Ο λόγια τῆς Γραφῆς ὀνομάζει. Ἀλλὰ καὶ τὴν τοῦ θεσπεσίου Εἰρηναίου περὶ τῆς ἑρμηνείας περικοπὴν ἀναγράφει (Ε. η), συναινῶν πάντως, ὡς ὁμόφρων καὶ αὐτὸς, καὶ μηδὲν ἀντιλέγων. (ἢ διὰ τί ταύτης ἐπεμνήσθη, μηδὲν δεόμενος;). Καὶ τὰ Ἰουστίνου δὲ τοῦ μάρτυρος περὶ τῆς ὑπὸ τῶν Ἰουδαίων ἑκουσίας διαφθορᾶς τῶν παρ' αὐτοῖς γραφῶν ἐσημείωσεν ὁ Εὐσέβιος (Δ. ιη), ὡς συνομολογῶν καὶ αὐτός. Ὅτι δὲ καὶ ῥητῶς εἶπε τὴν ἐν τοῖς ἑβραϊκοῖς ἀπογράφοις χρονολογίαν διαστραφεῖσαν, εἴδομεν ἐν τοῖς προηγηθεῖσι.

Θεόθεν οἰκονομηθεῖσαν εἶπε τὴν ἑρμηνείαν ἐν τῇ περὶ ταύτης ἱστορικῇ περικοπῇ, ἣν παρατιθέμεθα ἐν τῷ παραρτήματι (βλ. καὶ ὄπισθ. σελ. 62). Καὶ ἀλλαχοῦ, (Εὐαγ. Ἀποδ. Η. σελ. 245) μέ-

---

(α) Ἐντεῦθεν καὶ **Volaterranus, Middendorpius, Driedo, Andradius, Fevardentius** (εἰς Εἰρην. Γ, 25), **Pamelius** (εἰς Τερτυλλ. ἀπολογ.) εἶπον, ὅτι καὶ τῶν δ ω μ α τ ί ω ν τὴν ἱστορίαν ὁ Εὐσέβιος ἀπεδέχετο· τοῦτον δὲ τὸν τόπον τοῦ Εὐσεβίου, οὐκ οἶδ' ὅπως, οὐκ ἐσημείωσαν. Ὅθεν Ὅδιος αὐτοὺς μνημονεύσας, ἀπεφήνατο, ὅτι «βαρύτατα σφάλλονται· ἐν ποίῳ (φησὶ) τόπῳ περὶ τούτου τοῦ θαύματος ἐλάλησεν ὁ Εὐσέβιος»; (pag. 308). Καὶ ἐν τῇ ὑπὸ Σκαλιγήρου ἐκδόσει τοῦ χρονικοῦ (Α. σελ. 66) σεσημείωται, ὅτι οἱ ΟΒ ἐν ΟΒ οἰκίσκοις ἡρμήνευσαν. Ἀλλ' Ὅδιος διατείνεται, ὅτι ἄρα κακῶς ἐκεῖ ταῦτα προσετέθησαν ἐκ τοῦ Πασχαλίου χρονικοῦ. Ὁ δ' Εὐσέβιος οὐκ ἔγραψε τούτων οὐδέν. Κείσθω τοῦτο, χάριν Ὁδίου· γέγραφε δὲ ὅμως ὁ Εὐσέβιος τὸ τῶν δωματίων γνώρισμα, τὸ Σ υ μ φ ώ ν ω ς.

μνηται «Ἐλεαζάρου, καθ' ὃν οἱ Ο τὰς θείας ἑρμηνευθείσας Γραφὰς ταῖς κατὰ Ἀλεξάνδρειαν βιβλιοθήκαις ἀνατεθείκασι».

Τελευταῖον, ὁ Εὐσέβιος, οὐ μόνον ἐν τοῖς σωζομένοις εἰς τὴν παλαιὰν Γραφὴν ὑπομνήμασιν, ἀλλ' ἐν πάσαις ταῖς αὐτοῦ συγγραφαῖς μίαν οἶδε κυρίαν καὶ κανονικὴν ἑρμηνείαν, τὴν τῶν Ο· καὶ ταύτην ἐξηγεῖ, καὶ μνημονεύει ὡς θείαν Γραφήν. Ἐν μόνῃ (ἵνα παραλίπωμεν τἄλλα τῶν συγγραμμάτων), ἐν μόνῃ τῇ *Εὐαγγελικῇ Ἀποδείξει* ἑκατοντάδας ὅλας προφητικῶν μαρτυριῶν πρὸς ἀπόδειξιν τῆς Εὐαγγελικῆς Πίστεως ἀναγράφει, καὶ πάσας ἐκ τῆς ἑρμηνείας τῶν Ο· καὶ τούτων πάλιν οὐκ ὀλίγαι πάντῃ διαφόρως ἔχουσι πρός τε τὰ σωζόμενα τεμάχια τῶν Ἑξαπλῶν, καὶ μάλιστα πρὸς τὸ νῦν ἑβραϊκόν. Οἷος μεταξὺ πολλῶν καὶ ἄλλων καὶ ὁ ρθ, ψαλμὸς (« *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου* » κτλ.), ὅπου καὶ αὐτὰ τὰ δογματικὰ καὶ θειότατα ῥήματα, τὸ « *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου* », καὶ τὸ « *Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα* » παρὰ μόνοις κεῖνται γνησίως τοῖς Ο (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 956)(α). Καὶ ἄλλας δὲ τῶν Ο ῥήσεις θεολογεῖ, καὶ αὐτὴν τὴν θειοτάτην προσηγορίαν, τὸ *Χριστὸς*, καὶ τὸ προσκυνητὸν ὄνομα, τὸ *Ἰησοῦς*, κατὰ τὴν ἑρμηνείαν τῶν Ο (οὐ κατὰ τὸν παρ' Ἑβραίοις σχηματισμὸν), ὡς

(α) Πρὸς δὲ τὸ « Ὁ θρόνος σου ὁ Θεὸς »· καὶ, « Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς (= ὦ Θεὲ) ὁ Θεός σου » κτλ. ἐπιφέρει συμφωνοῦντα καὶ τὸν Ἀκύλαν καὶ τὸ ἑβραϊκὸν, λέγων. Ἐπὶ τῆς προτέρας ἐπωνυμίας (τῆς, ὁ θρόνος σου ὁ Θεὸς), καθ' ἣν ὁ Ἀκύλας, ὁ θρόνος σου Θεὲ, ἡρμήνευσε σαφῶς, ἀντὶ τοῦ ὁ Θεὸς, ὦ Θεὲ εἰπὼν, τὸ ἑβραϊκὸν Ἐλωῒμ περιέχει. Κἀνταῦθα δὲ ἐπὶ τοῦ Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, τὸ ἑβραϊκὸν Ἐλωῒμ παρείληπται, ὅπερ τὴν ὦ Θεὲ κλητικὴν ἐδήλου πτῶσιν. ἀντὶ δὲ τῆς ὀρθῆς καὶ εὐθείας τοῦ ὀνόματος (ὁ Θεός σου), τὸ ἑβραϊκὸν Ἐλωὰχ περιέχει σφόδρα ἀπηκριβωμένως, ἵνα ᾖ τὸ μὲν Ἐλωῒμ κατὰ κλητικὴν πτῶσιν ἐξενηνεγμένον, δηλοῦν τὸ ὦ Θεὲ, τὸ δὲ Ἐλωὰχ ὁ Θεός σου κατὰ εὐθεῖαν· ὥστε ἀκριβῶς ἔχειν τὴν φήσασαν ἑρμηνείαν (τῶν Ο) « Διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς, ὁ Θεός σου » κτλ. (Εὐαγ. Ἀποδ. δ. σελ. 115. πρβλ. σελ. 112 κτλ. βλ. καὶ Ὠριγέν. κ. Κέλσ. Α. §. 56). Ἔστω δὴ καὶ τοῦτο παράδειγμα τῆς περὶ ἧς προείπομεν (σελ. 454) εἰθισμένης παρὰ τοῖς Πατράσι χρήσεως τοῦ ἑβραϊκοῦ καὶ τῶν ἄλλων ἑρμηνευτῶν, εἰς τὸ τὴν ἀλήθειαν τῶν Ο ἐπιλαμπρύνειν, καὶ φιμοῦν τοὺς ἀντιλέγοντας.

φωνὰς αὐτοῦ τοῦ Μωϋσέως καὶ τῶν προφητῶν διαγράφει, ὑπὸ τοῦ παναγίου Πνεύματος ὑπηγορευμένας· καὶ τελευταῖον ἐπάγει· «Οὕτω μὲν δὴ Μωϋσῆς, ὁ πάντων προφητῶν θαυμασιώτατος, ἀμφοτέρας τὰς τοῦ *Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ* θείῳ πνεύματι διαγνοὺς τὰς ἐπωνυμίας, ἀμφοτέραις ταύταις, ὡς ἂν βασιλικοῖς διαδήμασι, τοὺς παρ' αὐτὸν (ἴσ. γρ. αὐτῷ) πάντων τῶν ἀρχόντων ἐκκρίτους ἐτίμησε, - τῷ μὲν Ἀαρὼν (τῷ ἀρχιερεῖ) τὸν Χριστὸν, τῷ δὲ (διαδόχῳ) Ναυσῇ (γρ. Αὐσῇ), ὡς ἂν τὴν αὐτοῦ τελευτὴν διαδεξομένῳ, *τὸν Ἰησοῦν* ἀπονείμας. Τοῦτον μὲν οὖν τὸν τρόπον *ἡ αὐτοῦ Μωϋσέως γραφὴ ταῖς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κεκόσμητο* (γρ. κεκόσμηται) *προσηγορίαις* (Εὐαγγελ. Ἀποδείξ. Δ. σελ. 124. πρβλ. καὶ σελ. 116-126, καὶ Ἐκκλησ. Ἱστορ. Α. γ). Καὶ θεωρεῖ λοιπὸν καὶ διακηρύττει τὴν ἑρμηνείαν τῶν Ο, ὡς αὐτοῦ Μωϋσέως καὶ τῶν προφητῶν αὐτόλεκτον Γραφήν. Ταῦτα ὁ Εὐσέβιος.

§. ηζ. Κωνσταντῖνος ὁ Μέγας καὶ ἰσαπόστολος τῶν Ὀρθοδόξων βασιλέων πατὴρ (τῷ 318) ἐν τῷ λόγῳ τῷ *πρὸς τὸν Σύλλογον τῶν Ἁγίων* (τὴν Καθόλου Ἐκκλησίαν τοῦ Χριστοῦ), ἐν οἷς τὰς εἰς τοὺς Ἑβραίους εὐεργεσίας τοῦ Θεοῦ θεωρεῖ, τά τε κατὰ τὸν Μωϋσῆν καὶ τὰ περὶ τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων ἐκ τῆς ἑρμηνείας τῶν Ο, ὡς ἐκ θεοπνεύστου προφητικῆς Γραφῆς ἀναγράφει (κεφ. ιζ.).

§. ηη. Τὸ πανάγιον τῆς Πίστεως ΣΥΜΒΟΛΟΝ, « *ὃ βραχεῖ ῥήματι καὶ πολλῇ συνέσει θεοπνεύστως ἀπεφθέγξαντο* » οἱ τῆς Α καὶ Β, Οἰκουμενικῆς Συνόδου θεοφόροι Πατέρες (τῷ 328, καὶ 381) συνεισάγει καὶ τὸ κατὰ λέξιν θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο. Καὶ γὰρ, α). Ὅλαι, σχεδὸν, τοῦ θείου Συμβόλου αἱ λέξεις (α) ἐλήφθησαν ἐκ τῆς Καινῆς Διαθήκης, ἥτις ἔχει ταύτας κοινὰς πρὸς τὰς προφητικὰς φωνὰς κατὰ τὴν ἑρμηνείαν τῶν Ο (βλ. ὄπισθ. σελ. 356). β) Ἐν τῷ Ε, ἄρθρῳ τὸ («*καὶ ἀναστάντα* τῇ τρίτῃ ἡμέρᾳ») «*κατὰ τὰς Γραφὰς*» ἐλήφθη ἐκ τοῦ Ἀπο-

---

(α) Βλ. Μ. Ἀθανάσ. τόμ. α. σελ. 400, καὶ 721; Θεοδώρ. Ἐ. ἱστ. Α. 7.

στολικοῦ· « Ὅτι Χριστὸς ἀπέθανε *κατὰ τὰς Γραφάς*, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται *κατὰ τὰς Γραφάς* » (Α. Κορ. ιε.). *Γραφὰς δὲ λέγων* ὁ Ἀπόστολος, καὶ ἐξ αὐτοῦ ἡ θεία Σύνοδος, τὰς κατὰ τοὺς Ο προφητικὰς λέγει πάντως, ἃς αὐτός τε ὁ Ἀπόστολος τῶν ἐθνῶν παρελάμβανεν εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου, καὶ πάντες οἱ Ἀπόστολοι παρέδωκαν τῇ Ἐκκλησίᾳ (βλ. ὄπισθ. σελ. 302). γ) Ἐν τῷ Η ἄρθρῳ ὁμολογοῦμεν καὶ πιστεύομεν « *Εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν* ». Τὰ δὲ διὰ τῶν προφητῶν τοῦ παναγίου Πνεύματος λόγια ἐκ μιᾶς καὶ μόνης, τῆς ἑρμηνείας τῶν Ο, ἐδιδάχθη τὸ πρῶτον ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ εἰς αἰῶνας διακρατεῖ.

§. ηθ. Ἐκ τῶν τῆς *Α, Συνόδου πρακτικῶν* ἀπηνθισμένην τὴν πρὸς τοὺς Ἀρειομανίτας Διάλεξιν τῶν θείων τῆς Συνόδου Πατέρων ἐν ἀρχαίοις χειρογράφοις εὑρὼν Γελάσιος ὁ Κυζικηνὸς, Καισαρείας ἐπίσκοπος τῆς ἐν Παλαιστίνῃ (τῷ 475), ἐξέθετο πολὺ ταύτης μέρος, ἐν ᾧ συνέταξεν ἱστορικῷ «*Συντάγματι τῶν κατὰ τὴν ἐν Νικαίᾳ ἁγίαν Σύνοδον πραχθέντων*» (ἐν Συνόδ. Συλλογῇ τόμ. α. σελ. 153 κτλ.). Ἐν ταύτῃ τοίνυν τῇ διαλέξει πάσας τὰς περὶ τοῦ θείου δόγματος μαρτυρίας τῶν ἁγίων προφητῶν ἐκ τῆς ἑρμηνείας τῶν Ο ἀπαγγέλουσιν οἱ πατέρες, ὡς ἐκ θεοπνεύστου Γραφῆς. Ἐν αὐταῖς αἱ ῥήσεις τοῦ Ἰὼβ, τοῦ Δαβὶδ, τοῦ Σολομῶντος, καὶ ἄλλων προφητῶν συνάμα ταῖς τῶν Εὐαγγελιςῶν ὡς ἰσοδύναμοι προφέρονται πρὸς ἀπόδειξιν τῆς Πίστεως· καὶ ἐκ τοῦ *Βαροὺχ*, ὡς ἐκ θεοπνεύστου γραφῆς, ἐκφέρεται μεγάλη περικοπὴ, «δακτυλοδεικτοῦντός (φησιν), ὡς ἂν εἴποι τις, καὶ λέγοντος· «*Οὗτος ὁ θεὸς ἡμῶν*» καὶ τὰ ἑξῆς (κεφ. ιη, ιθ). Καὶ τὸ « *Κύριος ἔκτισέ με* » γράφεται, καὶ ἰδίως διατρανοῦται· βεβαιοῦται δὲ καὶ ἡ παρὰ τοῖς Ο γραφὴ τοῦ «Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, Θεὸς ἰσχυρὸς» (κεφ. ιζ. βλ. καὶ ἐφεξῆς §. ρ). Καὶ καθόλου δὲ τῶν θείων ῥημάτων ἡ δύναμις παραβάλλεται πρὸς τὸν τῆς εὐαγγελικῆς παραβολῆς *κόκκον τοῦ σινάπεως*. « Οὕτω (φησὶν) ὁρῶμεν τὴν τῶν ῥημάτων δύναμιν ἐν βραχέσι σπειρομένων λέξεσιν, ἀναπληρουμένων

δὲ τῶν νοημάτων, καὶ ὥσπερ κλάδων ἐπὶ τὴν διάνοιαν τῶν ἀνθρώπων ἐπεκτεινομένων» κτλ. (βλ. κεφ. ιη, ιθ). Καὶ αὐτοὶ δὲ οἱ περὶ τὸν μιαρώτατον Ἄρειον ὡς ἐκ θεοπνεύστου τῆς τῶν Ο γραφῆς ἐξέφερον τὰς θείας φωνὰς, παρεξηγοῦντες τὸ νόημα, καὶ διαστρέφοντες πρὸς τὴν ἄθεον αὐτῶν πλάνην.

§. ρ. Ἀθανάσιος ὁ μέγας τῆς Ἀλεξανδρείας καὶ πάσης τῆς Ἐκκλησίας φωστὴρ (τῷ 329), οὗ τινος (κατὰ τὸν Θεολόγον Γρηγόριον, λόγ. εἰς Ἀθανάσ.) «Ὅρος μὲν ἐπισκοπῆς ὁ βίος καὶ τρόπος· νόμος δ᾿ ὀρθοδοξίας τὰ ἐκείνου δόγματα». Καὶ οὗτος τοίνυν ἐν πᾶσι τοῖς αὐτοῦ συγγράμμασιν ἐκ μόνης τῆς τῶν Ο Γραφῆς, ὡς ἐξ ἀκενώτου καὶ καθαρωτάτης πηγῆς, ἀρύεται τὰς ἀποδείξεις τῶν θείων δογμάτων τῆς ὀρθοδόξου Πίστεως, ὑπὲρ ἧς τοὺς μακροὺς καὶ μακαρίους ἄθλους ὑπήνεγκε. Καὶ ἔστι μὲν ὁ θεοφόρος Πατὴρ περὶ τὸν χαρακτῆρα τοῦ λόγου σαφὴς ἐν πᾶσι καὶ ἀπέριττος καὶ ἀφελὴς, δριμύς τε καὶ βαθὺς, καὶ λίαν τοῖς ἐπιχειρήμασιν ἔντονος, καὶ τὸ γόνιμον αὐτοῦ ἐν τούτοις ἡλίκον ὅσον καὶ θαυμάσιον (Φώτ. Ἀναγν. λβ). Πολὺ δὲ θαυμασιώτερος καὶ τῆς θείας χάριτος ἔμπλεως περὶ τὴν ἐξήγησιν τῶν Ἀποσολικῶν καὶ Προφητικῶν ἀναδείκνυται λογίων, καὶ τοῦ θεοπνεύσου τῆς ἑρμηνείας τῶν Ο κῆρυξ θεσπέσιος. Καὶ πάρεστι λοιπὸν θαυμάζειν τὴν Ὀδίου παράδοξον τόλμην, ὅστις καὶ ἀπὸ τῶν ἀθανάτων τοῦ Ἀθανασίου συγγραφῶν εὗρε, τέλος, μίαν λαβὴν, λέγων· «Πόσον ὁ Πατὴρ τοῖς ἑβραίοις ἀντιγράφοις ἀπένεμε σέβας, ἀποδείκνυται ἐκ τῆς ἐφεξῆς αὐτοῦ σημειώσεως (εἰς τὸ «*Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας*». Ψαλμ. πγ, 11) «Ἡμέραν (λέγει) μίαν τῶν αὐλῶν τοῦ Θεοῦ, τουτέστι τῶν Ἐκκλησιῶν, τὴν ἀναστάσιμον ἡμέραν τοῦ Σωτῆρος ὑποδηλοῖ· *χιλιάδας δὲ*, ἤτοι *χιλιάδα (οὕτω γὰρ εὕρηται ἐν τῇ τῶν Ἑβραίων γραφῇ)* τὴν κατὰ νόμον λατρείαν φησὶν, ἥτις εἰς χιλιάδα ἐτῶν ἐκράτησεν». Ἀλλ᾿ ἐκ τούτων οὐδὲν Ὅδιος ἀπώνατο. Προείδομεν γὰρ (Βιβλ. Γ. σελ. 6 καὶ 1015), ὅτι τὸ ἑβραϊκὸν πρωτότυπον οὐ μόνον Ἀθανάσιος ὁ Μέγας, ἀλλὰ καὶ πάντες οἱ ἱεροὶ Πατέρες, καί τοι καταλείποντες ἐκτὸς τῆς Ἐκκλησίας παρὰ τοῖς Ἰουδαίοις

νωτοφορούμενον, ἀλλ' ὅμως ἐτίμων, ἐν οἷς συνεφώνει τοῖς Ο, ταὐτὰ περὶ τῶν θείων δογμάτων καὶ διδαγμάτων φθεγγόμενον· δῆλον δὲ καὶ ἐκ τοῦ προκειμένου παραδείγματος, ὅπερ οὐδὲν κατὰ νόημα τῶν Ο διαφέρει. Ὁ γὰρ Μ. Ἀθανάσιος ἠπίστατο πάντως (παρὰ τῶν εἰδότων τὴν ἑβραΐδα μαθὼν), ὅτι σύνηθες σχῆμα τῇ ἑβραϊκῇ γλώσσῃ, πληθυντικῶς πολλάκις ἐκφέρειν τὰ ἑνικά· καὶ ὡς τοιοῦτο τὸ τῶν Ο *χιλιάδας* ἐκλαβὼν, παρέβαλε πρὸς τὸ ἑνικῶς ἐν τοῖς κατ' αὐτὸν ἑβραϊκοῖς ἀντιγράφοις γεγραμμένον *χιλιάδα*, ὡς μάλιστα σαφηνίζον ἣν ἐπέφερεν ἐξήγησιν τοῦ ῥητοῦ (α). Οὕτω καὶ ἀλλαχοῦ (ἐν Ἐκθέσ. Πίστεως) παρέβαλε καί τινα τοῦ Ἀκύλα ἑρμηνείαν (ὃ διέλαθεν Ὄδιον), λέγων. «Περὶ οὗ λέγει ὁ Ἱερεμίας (λζ, ἑβρ. λα, 22), κατὰ τὴν τῶν Ο ἑρμηνευτῶν ἔκδοσιν· *Κύριος ἡμῖν ἔκτισεν εἰς καταφύτευμα σωτηρίαν καινὴν, ἐν ᾗ σωτηρίᾳ περιελεύσονται ἄνθρωποι·* κατὰ δὲ τὸν Ἀκύλαν περὶ τοῦ αὐτοῦ ῥητοῦ κεῖται· *Ἔκτισε Κύριος καινὸν ἐν τῇ θηλείᾳ*» (β). Ἐν τούτοις συνῆψε πρὸς τῇ τῶν Ο, καὶ μέρος τῆς Ἀκύλα ἑρμηνείας, ὅπως ἂν καὶ ἐξ αὐτῶν τῶν Ἰουδαϊστῶν ἀποδείξῃ τὴν κατὰ τοὺς Ο ἀλήθειαν τῆς προφητείας, αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ (γ)· Ἐὰν δέ τις ἐπιχειρῇ καταγράφειν ὅλους τοὺς τόπους, ἐν οἷς ὁ μέγας Πατὴρ τὰς ῥήσεις τῶν Ο ὡς θεοπνεύστους ἐκφέρει φωνὰς, τόμον ὅλον ἀπαρτίσει. Ἡμῖν δ' οὖν ἀρκέσει καὶ δύω, ἢ

(α) Μάρτυς Θεόδωρος ὁ Ἡρακλεώτης, συμφώνως τῷ Μ. Ἀθανασίῳ λέγων. «Οὐ πάντως δὲ πληθυντικῶς ἀκουστέον τῶν χιλιάδων. Παρὰ γὰρ ἑβραίοις τὰ πληθυντικὰ ἀντὶ ἑνικῶν λαμβάνονται· ἐν ὅλοις γὰρ χιλίοις ἔτεσι συνέστη ὁ ναὸς ἀπὸ Σολομῶντος μέχρι τοῦ Χριστοῦ. Προσυπακουστέον δὲ (πρὸς τῷ χιλιάδας) «τὸ ἐτῶν, ἢ ἡμερῶν» κτλ. (ὑπομν. εἰς ψαλμ. αὐτ.). Τὸ καθ' ἡμᾶς ἑβραϊκὸν ἔχει «ὑπὲρ χιλίας» (ἡμέρας δηλονότι).

(β) Ἐν τῷ νῦν ἑβρ. γράφεται. «Ὅτι ἔκτισε Κύριος καινὸν ἐν τῇ γῇ· γυνὴ περικυκλώσει ἄνθρωπον» (οὕτω καὶ ἡ Βουλγ.). Ὁ δὲ Θεοδοτίων συμφωνεῖ τοῖς Ο. «Ὅτι ἔκτισε Κύριος σωτηρίαν καινήν· ἐν σωτηρίᾳ περιελεύσεται ἄνθρωπος». Ἑξαπλ. Montfauc. τ. β. σελ. 232. βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 877.

(γ) «Ἡ δὲ κτισθεῖσα ἡμῖν εἰς καταφύτευμα σωτηρίας (γρ. σωτηρία), καινὴ, καὶ οὐ παλαιὰ, ἡμῖν τε καὶ οὐ πρὸ ἡμῶν,

τρεῖς μαρτυρίας παραγαγεῖν. Ἐν τῇ περὶ τῆς ἰδίας φυγῆς *Ἀπολογίᾳ* (Προοιμ.) λέγει· «Ἀρκεῖ γὰρ αὐτοὺς (τοὺς Ἀρειανοὺς) ἐκ τούτου δειχθῆναι μηδὲν κατὰ τὸ Εὐαγγέλιον μήτε φρονοῦντας, μήτε πράττοντας, κατὰ δὲ τὰς ἰδίας ἡδονὰς οἰομένους εἶναι καλὸν, ὅπερ αὐτοὶ βούλονται. Ἐπειδὴ γὰρ προσποιοῦται δειλίαν ἐκκαλεῖν (γρ. *ἐγκαλεῖν*), ἀναγκαῖον ὀλίγα περὶ τούτου γράψαι· δειχθήσονται γὰρ καὶ ἐκ τούτου πονηροί τε τὸν τρόπον, καὶ μὴ ἐντετυχηκότες ταῖς θείαις Γραφαῖς· ἢ ἐντυχόντες μὲν, μὴ πιστεύοντες δὲ εἶναι *θεόπνευστα τὰ λόγια τὰ ἐν αὐταῖς*» (τόμ. α. σελ. 546). Τοῦτο τοῦ ἁγίου τὸ χωρίον ἴσως ἐννοῶν καὶ Λαυρέντιος ὁ Βάῤῥης, ἔγραψεν, ὅτι καὶ ὁ Μ. Ἀθανάσιος θεόπνευστον ἐκήρυττε τὴν ἑρμηνείαν τῶν Ο (α). Ὁ δ' ὀξύχολος Ὅδιος οὕτως ἐπὶ τούτοις ἠγανάκτησεν, ὥστε ἐπωνόμασε τὸν Βάῤῥην «*Διπόδων ἁπάντων* περὶ τὸ μνημονεύειν τοὺς ἀρίστους συγγραφεῖς *οὐτιδανώτατον*» (β) (τὰ λογικὰ δίποδα πάντως, οὐχὶ τὸν παρὰ Διογένει *ἄνθρωπον τοῦ Πλάτωνος* ἐννοῶν!)· αὐτὸς δὲ Ὅδιος ἀποφαίνεται, ὅτι ὁ Μ. Ἀθανασιος ἐν τούτοις οὐχὶ τὸ τῆς ἑρμηνείας, ἀλλ' αὐτῶν τῶν Γραφῶν τὸ θεόπνευστον ἐννοεῖ· καὶ τοῦτό φησιν οὕτω σαφές ἐστι καὶ φανερὸν, ὡς οὐκ ἂν γένοιτο σαφέστερον».– Ἀλλ' ἡμεῖς μηδὲν πτοηθέντες τὴν διποδίαν, ἀσμένως ἂν ἠρωτήσαμεν τὸν κριτικόν. Τὸ δὲ θεόπνευστον τῶν Γραφῶν ἐννοῶν ὁ Πατὴρ, μῶν οὐκ ἔλεγεν αὐτὰς τὰς ἑλληνιστὶ γεγραμμένας Γραφὰς, ἃς αὐτός τε καὶ ἡ Ἐκκλησία ἀνεγίνωσκε, τήν τε Καινὴν τῶν Ἀποστόλων, καὶ τὴν Παλαιὰν

(τῶν Χριστιανῶν), Ἰησοῦς ἐστιν, ὁ κατὰ τὸν Σωτῆρα (ἴσ. γρ. διὰ τὴν ἡμῶν σωτηρίαν) γενόμενος ἄνθρωπος· ὃς ἑρμηνεύεται πῇ μὲν σωτηρία, πῇ δὲ Σωτήρ· ἔστι δὲ ἐκ τοῦ Σωτῆρος ἡ σωτηρία.– Καὶ ὡς Ἀκύλας φησὶν, ἔκτισε Κύριος καινὸν ἐν τῇ θηλείᾳ, τουτέστιν ἐν τῇ Μαρίᾳ· οὐδὲν γὰρ ἐκτίσθη καινὸν ἐν τῇ θηλείᾳ, εἰμὴ τὸ ἐκ Μαρίας τῆς Παρθένου τεχθὲν - Κυριακὸν σῶμα, ὡς καὶ ἐν Παροιμίαις ἐκ προσώπου τοῦ Ἰησοῦ λέγει· Κύριος ἔκτισέ με ἀρχὴν ὁδὸν αὐτοῦ, κτλ. Μ. Ἀθανάσ. τόμ. α. σελ. 395. Com.

(α) Laurent. de la Barrre not. in Tertullian. Apolog. c. 19.

(β) «Bipedum omnium in citandis bonis auctoribus nequissimum». Hody pag. 309.

τῶν Ο; ἢ μήπως τὴν μὲν Καινὴν καὶ κατὰ λέξιν ὡμολόγει θεόπνευστον, οὐχὶ δὲ καὶ τὴν τῶν Ο Παλαιάν; Ἀλλ' ὁ θεῖος Ἀθανάσιος, καὶ πάντες οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, ὡς ἓν ὅλον σύγγραμμα θεόπνευστον πρεσβεύουσιν ἀμφοτέρας τὰς Γραφὰς, χωρίς τινος περὶ τὴν λέξιν τῶν Ο, διαστολῆς. Ὅθεν καὶ πρὸς ἀπόδειξιν τῆς ἀληθείας τῆς Πίστεως ἀμφοτέρας ἐπίσης πιστὰς ἀνεκήρυξεν ὁ Πατὴρ, λέγων· «Αὐτάρκεις γάρ εἰσιν αἱ ἅγιαι καὶ θεόπνευςοι Γραφαὶ πρὸς τὴν τῆς ἀληθείας ἀπαγγελίαν» (Λόγ. κατὰ Ἑλλήν. ἐν προοιμ.). Ἀλλὰ καὶ Ὠριγένης, πρὸς ταῖς ἄλλαις αἷς ἀπηριθμήσαμεν αὐτοῦ μαρτυρίαις (σελ. 481), μνημονεύων καί τινος χωρίου τῆς Α, τῶν Βασιλειῶν (κη, 11) κατὰ τὴν ἑρμηνείαν τῶν Ο, συνεθεώρει ἐν τούτῳ «*Τὸ πρόσωπον τοῦ ἁγίου Πνεύματος, ἐξ οὗ πεπίστευται ἀναγεγράφθαι ἡ Γραφή*»·- καὶ, «Συγγραφεὺς δὲ τούτων τῶς λόγων πεπίστευται οὐκ ἄνθρωπος, *ἀλλὰ συγγραφεὺς τὸ Πνεῦμα, τὸ κινῆσαν τοὺς ἀνθρώπους· οὐκοῦν τὸ Πνεῦμα τὸ ἅγιον λέγει*» κτλ. (εἰς τὴν Α, τῶν Βασιλ. σελ. 30 ἐκδ. Ὑετ.).

«Πᾶσα ἡ καθ' ἡμᾶς (τοὺς χριστιανοὺς) Γραφὴ, *Παλαιά τε καὶ Καινὴ*, θεόπνευστός ἐςι καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, ὡς γέγραπται» (β, Τιμόθ. γ), ἔλεγε πάλιν ὁ Μ. Ἀθανάσιος (πρὸς Μαρκελλῖν. εἰς τὴν ἑρμην. τῶν Ψαλμῶν), κοινὸν καὶ ὧδε καὶ ἰσοδύναμον καὶ ταὐτοσήμαντον ἐπ' ἀμφοτέρων τῶν θείων Διαθηκῶν τὸ θεόπνευστον θεωρῶν. Ὁ δὲ κλεινὸς Ὅδιος ταύτης τῆς Ἀθανασίου ῥήσεως ἐπιλαθόμενος, ὑπέλαβεν, ὅτι μόνον ἐν τῇ *Συνόψει* τοῦ Ἀθανασίου γέγραπται (ἐν προοιμίῳ) τὸ «*Πᾶσα ἡ Γραφὴ ἡμῶν τῶν χριστιανῶν θεόπνευστός ἐστι*»· καὶ πάλιν διατείνεται, «ὅτι οὐδεὶς ἂν τὰς φρένας ὑγιὴς εἰς τὴν ἑρμηνείαν τῶν Ο τὸ θεόπνευστον διαςρέψοι». Ἀλλὰ περὶ τούτου μὲν ἐψηφίσατο τὸ Χριστοῦ στόμα, Παῦλος, ὁ πρῶτος τὴν ῥῆσιν ἀποφθεγξάμενος, ὅστις αὐτός τε ἐχρῆτο τοῖς Ο, (μηδεμιᾶς ἄλλης οὔσης ἐπ' αὐτοῦ ἑρμηνείας), καὶ ὁ Τιμόθεος, πρὸς ὃν ἔγραφε τὸ ῥητὸν (βλ. ὄπισθ. σελ. 301). Ὅδιος δὲ προστίθησιν ἐφεξῆς, ὅτι καὶ ἀμφιβάλλεται, εἰ τοῦ Μ. Ἀθανασίου γνήσιόν ἐστι βιβλίον ἡ *Σύνοψις* (ὃ καὶ ἄλλοι τῶν νεωτέρων ὑπονοοῦσι), συγκα-

ταβαίνει δὲ ὅμως καὶ ἐξ αὐτῆς τῆς Συνόψεως μαρτυρίαν λαβεῖν, ὅτι ὁ Ἀθανάσιος οὗτος θείαν, καὶ *ἀλήθειαν* ἐφρόνει τὴν καθ' ἑβραίους Γραφὴν, ἐν οἷς τὰ περὶ τῆς ἐκδόσεως Λουκιανοῦ τοῦ ἱερομάρτυρος ἱστορῶν, ἔγραψε καὶ τοῦτο· «τὰ λείποντα καὶ περιττὰ τῆς *ἀληθείας* ῥήματα». Ἀλλὰ περὶ μὲν τῆς Λουκιανίδος ἐκδόσεως προείπομεν (σελ. 499). Ἀλήθειαν δ' ἐν τούτοις οὐ τὴν ἑβραΐδα λέγει γραφὴν (μὴ γὰρ Ἱερώνυμος ὁ Ἀθανάσιος ἦν;), ἀλλὰ τὴν ἀληθῆ ἀκρίβειαν μεθ' ἧς *ὄντως* ἡρμήνευσαν αὐτοὶ οἱ Ο. Ὡσανείπερ ἔλεγε κατ' ἄλλην φράσιν, «τὰ λείποντα καὶ περιττὰ *τοῦ ὄντος*». Ὅτι δὲ τὴν *ἑβραίαν ἀλήθειαν* μόνος εἶπεν Ἱερώνυμος, τῶν δὲ καθ' ἡμᾶς Πατέρων οὐδεὶς, προσεσημείωται (σελ. 480). Καὶ τοῦτο μὲν οὕτως. Ὁ δὲ κλεινὸς Ὅδιος κἀκεῖνο πάντως ὤφειλεν ἐνθυμηθῆναι, ὅτι ὁ Μ. Ἀθανάσιος ἐν τῷ Καταλόγῳ τῶν θείων Γραφῶν, ἀριθμήσας τά τε τῆς Παλαιᾶς καὶ τῆς Καινῆς «κανονιζόμενα, καὶ παραδοθέντα, *πιστευθέντα τε θεῖα εἶναι βιβλία*», ἐπέφερε καθόλου περὶ πάντων τὰ ἑξῆς· «*Ταῦτα πηγαὶ τοῦ Σωτηρίου*, ὥστε τὸν διψῶντα ἐμφορεῖσθαι *τῶν ἐν τούτοις λογίων*. Ἐν τούτοις μόνοις τὸ *τῆς εὐσεβείας διδασκαλεῖον* εὐαγγελίζεται. Μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τι» (βλ. ὄπισθεν σελ. 117). Ὅτι δε ἐν τούτοις ἀριθμεῖ καὶ τὸν Βαροὺχ, καὶ τὴν Ἱερεμίου ἐπιστολὴν, καὶ τὸν Α, Ἔσδραν καὶ τὴν Σωσάνναν μετὰ τῶν λοιπῶν περικοπῶν τοῦ Δανιὴλ, καθ' ἃ τὸ ἑβραϊκὸν ἀποκέκαρται, καὶ περὶ τούτου προσεσημείωται (Βιβλ. Γ. σελ. 637, 681).

Πολλαχοῦ τῶν συγγραμμάτων ὁ μέγας Πατὴρ καὶ ῥήσεις τῶν κατὰ τοὺς Ο προφητῶν παραβάλλει ὡς ἰσοδυνάμους πρὸς τὰς ἀντιστοίχους ῥήσεις τῶν Ἀποστόλων, καὶ τὰς λέξεις συνεξετάζει· οἷον «Λέγοντες δὲ οἱ ἅγιοι, *ὁ ὑπάρχων πρὸ τῶν αἰώνων*, καὶ *δι' οὗ ἐποίησε τοὺς αἰῶνας* (Ἑβρ. α), οὐδὲν ἧττον πάλιν τὸ ἀΐδιον εὐαγγελίζονται τοῦ Υἱοῦ, καὶ τὸ *αἰώνιον*· ἐν ᾧ καὶ αὐτὸν τὸν Θεὸν σημαίνουσιν. Ὁ μὲν γὰρ Ἡσαΐας φησίν· «Ὁ Θεὸς *ὁ αἰώνιος*, ὁ κατεσκευάσας τὰ ἄκρα τῆς γῆς». Ἡ δὲ Σωσάννα ἔλεγεν, «ὁ Θεὸς *ὁ αἰώνιος*». Ὁ δὲ Βαροὺχ ἔγραφε· Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν

αἰώνιον ἐν ταῖς ἡμέραις μου», καὶ μετ' ὀλίγα· Ἐγὼ γὰρ ἤλπισα ἐπὶ τῷ *αἰωνίῳ σωτῆρι* ἡμῶν» κτλ. (κατὰ Ἀρειαν. λόγ. β. τόμ. α, σελ. 143). Καὶ τὸ, *Οὗτος ὁ Θεὸς ἡμῶν* κτλ. ἐκ τοῦ Βαροὺχ ἀναγράφει· ἐκφέρει δὲ καὶ τὸ τοῦ Ἡσαΐου «Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος . . Θεὸς ἰσχυρὸς» κτλ. (Τόμ. α. σελ. 328), μαρτυρῶν τῇ ἀκριβείᾳ τῶν Ο, καθὰ προείπομεν (α). Καὶ *θείαν παροιμίαν* λέγει ῥῆσιν τῶν Παροιμιῶν (ιβ, 6) τὴν, «λόγοι ἀσεβῶν δόλιοι» κτλ. (τομ. α. σελ. 122). Καὶ ἐκ τῆς Σοφίας Σολομῶντος, ὡς ἐκ θεοπνεύστου γραφῆς, ἐκφέρει μαρτυρίας· οἷον, «Ταύτας δὲ καὶ τὰς τοιαύτας τῆς εἰδωλομανίας εὑρέσεις ἄνωθεν καὶ πρὸ πολλοῦ προδιδάσκει ἡ Γραφὴ, λέγουσα· *Ἀρχὴ πορνείας*

(α) Τὴν κατὰ τοὺς Ο, θειοτάτην ταύτην ῥῆσιν βεβαιοῦσιν οὐ μόνον αἱ Διαταγαὶ τῶν Ἀποςόλων, καὶ Ἰγνάτιος, καὶ Εἰρηναῖος, καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς, καὶ Διονύσιος ὁ Ἀλεξανδρείας, καὶ ὁ Μ. Ἀθανάσιος, καὶ Εὐσέβιος, καὶ τὸ παρὰ τῷ Γελασίῳ προειρημένον ἀπάνθισμα τῶν τῆς Α, Συνόδου Πρακτικῶν, καὶ Θεοδώρητος, καὶ Σεβηριανὸς (περὶ ὧν προείπομεν, Βιβλ. Γ. σελ. 232), ἀλλὰ καὶ αὐτὸς ὁ Προκόπιος, καί τοι μὴ ἀναγνοὺς ἐν τῷ κατ' αὐτὸν κειμένῳ, συνεῖδεν ὅμως, ὅτι τὸ Θεὸς ἰσχυρὸς εἰκὸς γεγράφθαι παρὰ τοῖς Ο· ὡς γέγραπται καὶ νῦν ἐν τῇ τοῦ Ἄλδου καὶ Κομπλουτείᾳ ἐκδόσει. Καὶ μάτην οἱ ἀντιλέγοντες προβάλλουσι τὸ Βατικανὸν χειρόγραφον, ἐν ᾧ τὸ ῥητὸν φαίνεται ἀτελές· (ἐν δὲ τῷ Ἀλεξανδρινῷ κατὰ μίαν λέξιν, τὴν, Θεός). Ὁ τέλειον τὸ ῥητὸν ἀναγνοὺς Μ. Ἀθανάσιος, καὶ πρὸ τούτου ὁ Κλήμης, ἦσαν Ἀλεξανδρεῖς. Προβάλλουσιν οἱ ἐναντίοι τὴν Ἀκύλα καὶ τῶν λοιπῶν ἑρμηνείαν, οἵτινες ἀντὶ τοῦ Θεὸς ἰσχυρὸς ἔγραψαν, δυνατὸς, ἰσχυρὸς, διαστρέφοντες τὴν ῥῆσιν, ὡς αὐτόχρημα ἀνδράποδα τῆς ἰουδαϊκῆς, ᾗ περ ὑπηρέτουν, ἀπιστίας· ἀλλὰ πρὸς τούτους ἀπήντησεν ὁ ἱερὸς Θεοδώρητος (ὄπισθ. αὐτόθ.)· τὸ δ' ἑβραϊκὸν El ὑπάρχει συγκοπὴ τοῦ Eloah, Θεὸς (ὡς τὸ Jah τοῦ Jehova)· καὶ μετὰ τοῦ Gibbor τὸ El συναπτόμενον, ὡς οὐσιαστικὸν, δηλοῖ πάντως καὶ ἀναντιῤῥήτως τὸ Θεὸς ἰσχυρὸς, ὡς κεῖται καὶ ἐν Δευτ. ι, 17: Ἡσαϊ. ι, 21. Νεεμ. θ, 32, καὶ ἀλλαχοῦ, ἔν τε τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο. Οἱ δὲ μισόχριστοι Ἰουδαῖοι παρετόνισαν καὶ τὸ ῥῆμα, γράφοντες vajikra, καὶ καλέσει· ἵνα ᾖ ὁ λόγος· ὁ Θεὸς ὁ ἰσχυρὸς καλέσει τὸ ὄνομα αὐτοῦ (τοῦ Μεσσίου) θαυμαστὸν σύμβουλον», κτλ. ἢ «Καὶ καλέσει τὸ ὄνομα αὐτοῦ ὁ θαυμαστὸς σύμβουλος, ὁ Θεὸς ὁ ἰσχυρὸς, ἄρχοντα εἰρήνης. Ἀλλ' ἡ ῥᾳδιουργία κατεξελέγχεται ἐκ τοῦ ὀρθοῦ τοῦ ῥήματος τονισμοῦ, vajikare, (ὡς ἀναγινώσκεται καὶ ἔν τισιν ἀντιγράφοις ἑβραϊκοῖς), τουτέστι κληθήσεται, ἤ. ὡς, οἱ Ο, καλεῖται τὸ ὄνομα κτλ. βλ. περὶ τούτου Hottinger. Thes. Phil. pag. 169. — Huet. Dem. Ev. Pr. IX. c. 25.

ἐπίνοια εἰδώλων», καὶ τὰ ἑξῆς (Σ. Σολ. η), καὶ ἐπιφέρει· «Τοιαύτης τῆς τῶν εἰδώλων εὑρέσεως *ἐπὶ μάρτυρι τῇ Γραφῇ* παρὰ τοῖς ἀνθρώποις ἀρξαμένης» κτλ. (Λόγ. κατὰ Ἑλλήν. τόμ. α. σελ. 10 καὶ 40).

Τελευταῖον, ἐν τῇ πρὸς Μαρκελλῖνον θαυμαστῇ περὶ τῆς ἑρμηνείας τῶν (κατὰ τοὺς Ο) Ψαλμῶν ἐπιστολῇ, πάμπολλα χωρία τῶν Ψαλμῶν πρός τε τὰ λοιπὰ τῆς Παλαιᾶς Γραφῆς καὶ πρός τινα τῆς Καινῆς ἀντιπαρεξετάζων, ἀνακηρύττει, ὅτι «ἕκαστος Ψαλμὸς παρὰ τοῦ Πνεύματος εἴρηται καὶ συντέτακται» (σελ. 746)· καὶ τέλος, παραγγέλλει· «Μὴ περιβαλλέτω μέντοι τις αὐτὰ (τὰ τῶν Ψαλμῶν) τοῖς ἔξωθεν ῥήμασι πιθανῶς, μηδὲ πειραζέτω τὰς λέξεις μεταποιεῖν, ἢ ὅλως ἐναλλάττειν, ἀλλ' οὕτως ἀτεχνῶς λεγέτω καὶ ψαλλέτω, ὥστερ εἴρηται.– ἵνα καὶ τὸ Πνεῦμα τὸ λαλῆσαν ἐν τοῖς ἁγίοις, θεωροῦν τοὺς παρ' αὐτοῦ λόγους ἐνηχηθέντας ἐκείνοις, συναντιλάβηται ἡμῖν» κτλ. Καὶ ταῦτα μὲν ὁ τῆς ἀθανασίας φερώνυμος. Μετ' αὐτοῦ δὲ συναριθμείσθωσαν καὶ οἱ ἐπίσκοποι *Μαρκελλῖνος*, καὶ *Ἐπίκτητος*, καὶ *Σεραπίων* ὁ ἀσκητὴς, καὶ *Μάξιμος ὁ φιλόσοφος*, καὶ ἄλλοι, καὶ οἱ *ἐν Ἀφρικῇ*, πρὸς οὓς *μετὰ τῶν ἐν Αἰγύπτῳ καὶ Λιβύῃ* 90 *ἐπισκόπων* ἐπέστειλε, καὶ οἱ *πανταχοῦ κατὰ τόπους τὸν μονήρη βίον ἀσκοῦντες*, καὶ πάντες πρὸς οὓς ἔγραψε τὰς σῳζομένας ἐπιστολὰς, ἐν ὅσαις περὶ τῶν θείων δογμάτων διαλαμβάνων, ἐμπεδοῖ τὰς ἀποδείξεις ταῖς ἐκ τῶν Ο μαρτυρίαις, ὡς κυρίαις καὶ θεοπνεύστοις, οἵας ἐπρέσβευον πάντως καὶ αὐτοὶ οἱ δεχόμενοι τὰς ἐπιστολάς (α).

§. ρα. Εὐστάθιος, ὁ πρῶτον μὲν τῆς ἐν Συρίᾳ Βεροίας ἐπίσκοπος,

---

(α) Ἐν τῇ τοῦ Ἀθανασίου Συνόψει, μετὰ τὸ τέλος τοῦ περὶ τῶν Ἐκδόσεων τῆς Γραφῆς κεφαλαίου, πρόσκειται ἴδιον ἄρθρον, λατινιστὶ μόνον περισωθὲν, περὶ τῶν ἐν τοῖς βιβλίοις τῆς θείας Γραφῆς μνημονευομένων ἐξ ὀνόματος, καὶ μηκέτι σῳζομένων συγγραμμάτων (οἷον τῶν προφητῶν, τοῦ Νάθαν, τοῦ Ἰωὴλ, τοῦ Ἀδδὼ, τοῦ Ἀχιὰ, τῶν τοῦ Σολομῶντος πεντακεσχιλίων ᾠδῶν, κτλ. ὅλ. Γ. Βασιλ. δ. Β. Παραλ. θ, ιγ, κτλ.) «Ταῦτά (φησι) πάντα, πρόδηλον, ὅτε διὰ τὴν τῶν ἀσεβῶν Ἰουδαίων ἀφροσύνην καὶ ἀμέλειαν ἀπώλοντο». (Μ. Ἀθανάσ. τόμ. β. σελ. 146).

εἶτα δὲ καὶ τῆς Ἀντιοχείας ποιμὴν, καὶ τῆς Α, Συνόδου πρόμαχος καὶ συμπάρεδρος (ἤκμαζε τῷ 325—340), «ἀνὴρ ὁμολογητὴς, καὶ πολὺς ὑπὲρ τῆς ἀληθείας ζηλωτὴς, καὶ ἐπ' εὐγλωττίᾳ δὲ δικαίως θαυμαζόμενος» (Μ. Ἀθανάσ.). Τούτου φέρονται συγγράμματα ἄλλα τε, καὶ τὸ (παρά τισιν ἀμφιβαλλόμενον) *Ὑπόμνημα εἰς τὴν Ἑξαήμερον*, καὶ ἀποσπάσματα τῶν εἰς τοὺς *Ψαλμοὺς ἑρμηνειῶν* (εἰς Ψαλμὸν ιε, καὶ ια). Ἔγραψε δὲ καὶ εἰς τὸ «*Κύριος ἔκτισέ με*» (Παροιμ.), καὶ «Λόγον εἰς τὰς ἐν τοῖς Ψαλμοῖς ἐπιγραφὰς τῆς *στηλογραφίας* (α), καὶ εἰς τὰς ἐπιγραφὰς τῶν Ἀναβαθμῶν». Ἐν πᾶσι δὲ τούτοις μίαν οἶδε θείαν καὶ κυρίαν Γραφὴν, καθ' ἣν καὶ χρονολογεῖ (βλ. ὄπισθ. Βιβ. Γ. σ. 783), τὴν ἑρμηνείαν τῶν Ο (βλ. Θεοδώρητ. Ἀτρ. Διαλ. α, 3: β, 5: Ἐκκλ. Ἱσορ. Α, 7: Σειρ. εἰς Ὀκτάτ. Τ. α. σελ. 350).

§. ρβ. Ἰάκωβος ὁ θεσπέσιος (τῷ 325—350), ἐπίσκοπος τῆς ἐν Μεσοποταμίᾳ Ἀντιοχείας τῆς Μυγδονίας (ἣν οἱ Σύροι Νίσιβιν ὀνομάζουσι), ὁ διὰ τὴν βαθεῖαν περὶ τὰ θεῖα γνῶσιν, *Σοφὸς* ἐπικληθεὶς, σύνεδρος καὶ οὗτος τῆς ἐν Νικαίᾳ Συνόδου. Συνέγραψε πολλὰ εἰς τὰς θείας Γραφάς· ἐν οἷς μνημονεύεται καὶ Χρονικὸν ἐκ τῆς αὐθεντίας τῶν θείων Γραφῶν, συντεταγμένον κατὰ τοὺς Ο (β).

(α) Στηλογραφία τῷ Δαβίδ, ἐπιγράφεται μετ' ἄλλων καὶ ὁ ιε Ψαλμὸς, εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν προφητευθεὶς (Πράξ. β, 27), παρ' ἑβραίοις δ' ἐπιγέγραπται Μιχθάμ (Michtham le David), ἤτοι τοῦ ταπεινοῦ καὶ ἁπλοϊκοῦ Δαβὶδ, (κατὰ τὸν Ἱερώνυμον). Ἀλλ' οἱ Ο ἀνέγνων (Michthab) Μιχθάβ (οὕτω καὶ Καπέλλ. καὶ Ῥοδομύλ.), ὃ δηλοῖ γραφὴν, γράμμα (πᾶν τὸ γραπτὸν, οἷον ᾆσμα, ἢ ᾠδὴν εὐχῆς, καὶ προσευχὴν, ὡς ἡρμήνευσαν οἱ Ο τὸ μιχθαβ, «προσευχὴ Ἐζεκίου». Ἡσαΐ. λζ). Ὅθεν καὶ γράμμα χαρακτὸν (οὕτω καὶ ὁ Χαλδαῖος ἐξήγησε, γλυφὴν, ἢ γραφὴν ὀρθίαν, ἤτοι ἐπὶ στήλης ὀρθῆς). «Ὥσπερ γὰρ οἱ μέγιστοι τῶν ἀγωνιζομένων· ἐν σταδίοις ἀθληταὶ στήλης ἀξιοῦνται, καὶ τῶν ἐν πολέμοις κατωρθωμένων εἰς τὴν μετὰ ταῦτα μνήμην ἵσταται τρόπαια, οὕτω τὸ μέγα τρόπαιον τοῦ Σωτῆρος, ὅπερ ἤρατο, νικήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, γραφαῖς ἄνωθεν ἐστηλιτεύθη προφητικαῖς» (Ὠριγέν. εἰς Ψαλμ, ιε). Καὶ Δίδυμος (αὐτόθ.) «Στήλας φησὶν, ἔνθα γραφαὶ περὶ νόμων ἀνάκεινται, ἃς κύρβεις καλοῦσι, καὶ πίνακας, ὁποίας ἔτυχον προσηγορίας αἱ τῶν ἁγίων (προφητῶν καὶ Ἀποςόλων) διδασκαλίαι, οὐκ ἐν πλαξὶ λιθίναις γραφεῖσαι, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις» κτλ. (βλ. Corder. Exposit. Patr. in Psalm. T. 1. p. 272).

(β) Βλ. Θεοδώρ. Ἐκκλ· ἱςορ. β, 26, καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 895.

§. ργ. Ἀντώνιος ὁ μέγας (τῷ 330), Ἡλιοῦ καὶ *Ἰωάννου τοῦ Προδρόμου* περὶ τὸν ἐρημικὸν βίον ὀπαδὸς, καὶ πολυύμνητος ἡγεμὼν τῆς ὑψηλῆς τοῦ μοναχικοῦ πολιτεύματος φιλοσοφίας, ὀλιγογράμματος καὶ σοφώτατος! (τὸν βίον αὐτοῦ συνέγραψεν ὁ Μ. Ἀθανάσιος, ᾧ καὶ *τὴν μηλωτὴν καὶ τὸ τριβώνιον* κατέλιπεν ὁ Ὅσιος ἐν τῇ διαθήκῃ αὐτοῦ· ἐτελεύτα δὲ τῷ 357, ἐτῶν 105). Τούτου τοίνυν σῴζονται *ἑπτὰ ἐπιστολαὶ* λατινιστὶ μεθηρμηνευμέναι ἐκ τοῦ ἑλληνικοῦ, εἰς ὃ τὸ πρῶτον μετεφράσθησαν ἐκ τῆς Αἰγυπτίας γλώσσης, ἣν ἐλάλει ὁ Πατὴρ (Παλλάδ. Λαυσαϊκ. κεφ. νθ)· καὶ ἄλλα δέ τινα αὐτοῦ συγγραμμάτια, ἐκ τῆς Αἰγυπτιακῆς φωνῆς ἐκλατινισθέντα, ἅπερ Ἀβραὰμ ὁ Ἐκκελήνσιος ἐξέδωκε (τῷ 1646). Ἐν πᾶσι δὲ τούτοις, ὁσάκις μνημονεύει θείαν τινὰ ῥῆσιν τῆς Γραφῆς, ἐκφέρει κατὰ τοὺς Ο.

§. ρδ. Θεόδωρος τῆς ἐν Θράκῃ τῆς Ἡρακλείας ἐπίσκοπος, ὁ καὶ Ἡρακλεώτης (τῷ 334), διαφερόντως ἐλλόγιμος (Θεοδώρητος, καὶ Ἱερώνυμ.). Τούτου σῴζονται διηνεκῆ ὑπομνήματα εἰς τοὺς 150 Ψαλμοὺς, ἐν οἷς οὐχ ἅπαξ τὰς τοῦ Προφητάνακτος ῥήσεις πρός τε τὰς τῶν ἄλλων προφητῶν, καὶ δὴ καὶ πρὸς ἀποστολικὰ ῥήματα ὡς ἰσοστασίους παραβάλλει. οἷον (Ψαλμ. ιδ, 1), εἰς τὸ, «*Τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου*; Ὄρος, φησὶ, [τὴν] Ἱερουσαλὴμ λέγει, [τὴν] ἐπουράνιον πόλιν· *προσεληλύθατε* γάρ φησι (Ἑβρ. ιβ, 22) *ὄρει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ*». Καὶ ἐν τῷ, «*Τίς Θεὸς, πλὴν τοῦ Θεοῦ ἡμῶν*; (Ψαλμ. ιζ, 31), Ὁ γάρ (φησι) τοῦ *Θεοῦ Λόγος* μόνος Θεὸς ἀληθὴς, διὸ καὶ *μονογενὴς* (Ἰωάν. α), διὰ τὸ μόνος εἶναι, ὡς ὁ Πατὴρ, Θεός». Καὶ ἐν τῷ «*Λαὸς.... εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου*». *Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι*» κτλ. (αὐτόθ.) σημειοῖ· «Ἔμφασιν δὲ ἔχει τὸ εἰς *ἀκοὴν ὠτίου*,.. ὡς ἐπὶ τοῦ, *προσέθηκέ μοι ὠτίον* (Ἡσαΐ. νδ, 10). Υἱοὺς δὲ ἀλλοτρίους τοὺς Ἰουδαίους φησὶν, οἱ τὰς προφητικὰς ῥήσεις ἑτέρως, ἢ ὡς προσῆκε, νενοηκότες, καὶ τῇ τοῦ γράμματος παχύτητι παρακαθεσθέντες.., πεπαλαίωνται, καὶ ἀπὸ τῶν τῆς σωτηρίας τρίβων ἐχώλαναν». Καὶ τὰς λέξεις δὲ παρατηρεῖ, ὡς ἐν τῷ «Ὅτι ἐκλέλοιπεν

ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων» (Ψαλμ. ια, 1), «Σκόπει δέ (φησι) πῶς *παρατετηρημένως ἐχρήσατο* ταῖς λέξεσιν, *ἐκλελοιπέναι* μὲν φήσας τὸν κατορθοῦντα τὴν ὁσιότητα, *ὀλιγωθῆναι* δὲ τὰς ἀληθείας, ἀλλ' οὐχὶ πάμπαν ἀπολωλέναι» κτλ. Καὶ ὅπου δὲ τὸ ἑβραϊκὸν διαφέρει τῶν Ο, τούτοις ὁ Ἡρακλεώτης ἐμμένει· οἷον ἐν αὐτῷ τῷ α, Ψαλμῷ ἀναγινώσκει «ἐπὶ καθέδρᾳ *λοιμῶν*» (οὐχ ὡς τὸ ἑβρ. *χλευαστῶν*)· καὶ τὸ «*οὐχ οὕτως* οἱ ἀσεβεῖς, *οὐχ οὕτως*» (ὅπου τὸ ἑβρ. ἅπαξ, τὸ *οὐχ οὕτως*) διπλῶς ἀναγινώσκων, «τῷ διπλασιασμῷ (φησι) τῆς ἀπαγορεύσεως τὸ τοῦ συμπτώματος ἀδίστακτον ἐμπεδοῖ». Μιμεῖται δὲ πολλαχοῦ τὸν Εὐσέβιον· ὅθεν καὶ τὰς τῶν ἄλλων ἑρμηνευτῶν ἐξηγήσεις ἐπὶ ῥητῶν τινων ἀναφέρει. Ὁ δὲ σοφὸς Ὅδιος τοῦτο μόνον ἐσημείωσεν ἐπὶ τῶν Ἡρακλεώτου ὑπομνηματισμῶν, ὀκτὼ χωρία ἀντιγράψας, ἐν οἷς (φησὶν) ὁ Ἡρακλεώτης οὐ μόνον ἐπίσης τοῖς Ο καὶ τοὺς ἄλλους ἑρμηνευτὰς ἐξηγεῖ, ἀλλὰ τούτους ἔστιν ὅπου καὶ *προτιμᾷ*· οἷον ἐν τῷ μδ, Ψαλμῷ, ὅπου οἱ Ο, «Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· *αὐτά με ὡδήγησαν*». Ἐνταῦθα (φησὶν ὁ Ἡρακλεώτης) τὸν χρόνον ἐνήλλαξαν οἱ Ο, οἱ δὲ λοιποὶ *σαφέστερον* ἐκδεδώκασιν, «*ἅτινα ὁδηγήσει με*». Καὶ ἐν Ψαλμ. ρμθ, ὅπου οἱ Ο «ῥομφαῖαι *δίστομοι* ἐν ταῖς χερσὶν αὐτῶν», ὁ Ἀκύλας (φησὶν) *ἐπιτευκτικώτερον*· «Μάχαιρα στομάτων ἐν χειρὶ αὐτῆς». Ἀλλὰ τὸ μὲν *ἐπιτευκτικώτερον* εἶπεν ὁ Ἡρακλεώτης ὡς πρὸς τὴν ἐν τῷ ἑβραϊκῷ λέξιν, ὅπου καὶ νῦν ῥομφαία (ἢ μάχαιρα) *στομάτων* ἀναγινώσκεται, δηλονότι *δύω στομάτων* (αἰχμῶν), τὸ αὐτὸ καὶ τὸ ἑλληνικώτερον *δίστομος* (ὡς καὶ Ὠριγένης, καὶ Ἱερώνυμος ἡρμήνευσαν· πρβλ. Κριτ. γ, 16). Ἐν δ' αὐτῷ τούτῳ τῷ στίχῳ ὁ Ἡρακλεώτης ἐξηγῶν καὶ τὸ «*Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν*», ὑψώσεις (φησὶν) ἐνταῦθα τὰς ὑμνολογίας λέγει· τοῦτο καὶ ἐπὶ τῶν Μακκαβαίων γέγονε· συμβαλόντων (ἴσ. γρ. συμβαλόντες) γὰρ τοῖς πολεμίοις, τὸν ρλε Ψαλμὸν ᾖδον, ὡς ἔστιν ἐκ τῆς βίβλου αὐτῶν μαθεῖν» (Α. Μακκ. δ,24). Οὕτως ὁ Ἡρακλεώτης καὶ τῆς Μακκαβαίων βίβλου ἐπεμνήσθη, ὡς γνησίου τεύχους τῆς θείας

Γραφῆς. Ὅτι δὲ καὶ τὴν τοῦ Βαροὺχ προφητείαν (ἧς γεγύμνωται τὸ ἑβραϊκὸν), μνημονεύει, προείπομεν (Βιβλ. Γ. σελ. 683). (α) Ὁ δὲ κλεινὸς Ὅδιος μηδόλως τούτοις προσέξας τὸν νοῦν, περιήει τοὺς Ἡρακλεώτου μακροὺς ὑπομνηματισμοὺς, ζητῶν ἐπιμελῶς ποῦ ποτε μεταξὺ τῶν ἐξηγουμένων μυριάδων λέξεων τῶν Ο, ἐξευρήσει καί τινας ἐκ τῶν λοιπῶν μεταφραστῶν εὐαρίθμους ἀναγνώσεις, προστεθειμένας εἰς ἐπεξήγησιν καὶ διασάφησίν τινος τῶν προκειμένων ῥητῶν. Ἀλλ' ἀποστέλλομεν τὸν κριτικὸν πρὸς τὰ προῤῥηθέντα. (σελ 486).

§. ρε. Εὐσέβιος Ἐμέσης ἐπίσκοπος, ὁ καὶ Ἐμεσηνὸς (τῷ 340), Εὐσεβίου τοῦ Παμφίλου μαθητής. Τούτου σῴζονται λείψανα ὑπομνημάτων εἰς τὴν Πεντάτευχον, ἐξ ὧν ἓν καὶ μόνον Ὅδιος ἐμνημόνευσε (τὸ Γενέσ. δ. 26, ὅπου οἱ Ο καὶ τὸ Σαμαρειτ. «Οὗτος ἤλπισεν *ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου*). Ἐν τῷ ἑβραϊκῷ (φησὶν ὁ Εὐσέβιος) οὐχ οὕτω λέγει· ἀλλ' *οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τῷ ὀνόματι Κυρίου* (Ἑξαπλ. ὁ δὲ Ὅδιος γράφει, *ἐν τῷ ὀνόματι*). Καὶ, «ἰδοὺ, προσίθησιν ὁ κριτικὸς, ὅπως καὶ ὁ Ἐμεσηνὸς κατέφευγεν εἰς τὸ ἑβραϊκόν». Ἀλλ' ὅτι μὲν ὁ Εὐσέβιος μίαν καὶ μόνην τῶν Ο λέξιν (καὶ ταύτην ἐν παρόδῳ καὶ ἁπλῶς) παραβαλὼν πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκὸν, ἀπέβη τούτου πρόσφυξ ἱκέτης, ἀπολακτίσας τὴν τροφὸν ἑρμηνείαν τῶν Ο, καθάπερ τὰ πωλάρια τὴν μητέρα, στέλεχος ἂν εἴη, εἴ τις περὶ τούτου πρὸς Ὅδιον ἀντιλέγοι! Ὥρα δὲ ὅμως ἤδη καὶ τῷ κριτικῷ διορθοῦν τὸ νῦν ἑβραϊκὸν οὕτως, ὡς Εὐσέβιος ἀνέγνω· γράφεται γὰρ ἤδη οὐχ «*Οὗτος ἤλπισεν*», ἀλλὰ πῶς; «*Τότε ἤρχθη τοῦ καλεῖσθαι ἐν ὀνόματι Κυρίου*» (οὕτως ἡρμήνευσε καὶ Ἀκύλας. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 726). Καὶ ὁ μὲν Ὁδίου *πολυσπερχὴς* κάλαμος οὕτω καὶ ἐν ὁμαλοῖς πολλάκις ὀλισθαίνει. Ὁ δὲ Ἐμεσηνὸς ἐκθέμενος μόνον τὸ *ἐν τῷ ὀνόματι* κατὰ τὸ ἑβραϊκὸν, τ' ἄλλα πάντα (τὸ, *οὗτος ἤλπισε*, καὶ τὸ, *ἐπικαλεῖ-*

(α) Περὶ δὲ τῆς θεοπνευστίας τῶν προφητῶν λέγει τὰ ἑξῆς. «Οὐ δὲ γὰρ πρὸς λέξιν ἐδίδου τὸ Πνεῦμα τὸ ἅγιον τοῖς προφήταις τὸ (ἴσ. γρ. τι) εἰπεῖν.- ἀλλ' ἐν τῇ διανοίᾳ ἅτα ἐνετίθει τὸ νόημα, καὶ ὁ λαβὼν τὴν γνῶσιν ἐξήγγειλεν (ἴσ. γρ. ἐξήγγελλεν), ὡς εἶχε δυνάμεως» (εἰς Ψαλμ. γ, 2)· βλ. ὄπισθ. σελ. 58.

σθαι) μετέγραψεν ἀκριβῶς ἐκ τῶν Ο, χαίρειν τῷ κατ' αὐτὸν Ἑβραίῳ φράσας μακρά. (Ἔοικε δὲ καὶ ἄλλως ὁ Ἐμεσηνὸς οὐ πάνυ τοῖς κατ' αὐτὸν Ἑβραίοις πιστεύων· εἴ γε καὶ πόνημα ὁλόκληρον συνέγραψε *κατὰ Ἰουδαίων*, ὡς Ἱερώνυμος μαρτυρεῖ ἐν Καταλόγῳ Ἐκκλ. Συγγραφ. §. 91). Καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ τῆς Πεντατεύχου τοὺς Ο ὡς θείαν Γραφὴν σχολιάζει, ὡς φαίνεται ἐν τῇ Σειρᾷ τῆς Ὀκτατεύχου (ἐκδ. Θεοτόκη)· οἷον (ἐν Γεν. μζ, 31) ἑρμηνεύει τὸ τῶν Ο, «*Ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου*» (οὐχ ὡς τὸ ἑβρ. «ἐπὶ τὸ ἄκρον *τῆς κλίνης*»). Καὶ (Γεν. μθ, 9) ἐξηγεῖ τὸ τῶν Ο, «Ἐκ *βλαστοῦ* υἱέ μου ἀνέβης» (οὐχ ὡς τὸ Ἑβρ. «ἀπὸ *θήρας* υἱέ μου», κτλ.). Καὶ ἐν τῷ, «*Ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου ὡς ὀσμὴ ἀγροῦ πλήρους*» (Γενέσ. κζ, 27, ὅπου τὸ *πλήρους* λείπει ἐν τῷ ἑβρ.) λέγει· «Εἴη ὀσμὴ (ἴσ. γρ. ἡ ὀσμὴ) αὐτοῦ, ἀγροῦ (ἴσ. γρ. ὡς ἀγροῦ) πλήρους.. τοῦ Κυρίου ἡ εὐλογία». Καὶ, ἐν τῷ, «*Ἃ ἀπένειμε Κύριος... πᾶσι τοῖς ἔθνεσι* (Δευτ. δ, 19) ἐξηγεῖ τὸ *ἀπένειμε*, λέγων· «Οὐκ ἔδωκε δὲ, λέγει, ἀλλ' *οὐκ ἐκώλυσεν*, ἀλλὰ συνεχώρησεν. Οὐ γὰρ (ἴσ. οὐ γὰρ ὁ) μακροθυμίᾳ μὴ κωλύων αἴτιος· καὶ ἐπειδὴ τὸν Ἰσραὴλ ἐξελέξατο, ἔσχε χώραν τοῦ εἰπεῖν *ἀπένειμε*» κτλ. Καὶ ἐν ἄλλοις δὲ πολλοῖς τῆς Πεντατεύχου τόποις συναντῶσι σχόλια *Εὐσεβίου τοῦ Ἐμέσης*, ἔστι δ' ὅπου καὶ ἁπλῶς Εὐσεβίου (τοῦ, Ἐμέσης, νοουμένου), ἐν οἷς σχολιάζει τοὺς Ο, παραβάλλων ἔστιν ὅπου καὶ τὰς τῶν λοιπῶν ἑρμηνείας (α)· μιμεῖται δὲ καὶ κατὰ τοῦτο, ὡς καὶ πολλαχοῦ τῶν ἐξηγήσεων, τὸν ὁμώνυμον διδάσκαλον, τὸν τοῦ Παμφίλου. Καὶ τέλος, μαρτυρεῖ καὶ τῇ χρονολογίᾳ τῶν Ο (βλ. Βιβλ. Γ. σελ. 906, 967).

§. ρς. Ἡ ἐν Σαρδικῇ ἁγία καὶ μεγάλη Σύνοδος ἐκ πλείστων ὅσων ἐπισκόπων ἀπὸ Δύσεως καὶ Ἀφρικῆς καὶ πολλῶν τῆς Ἑλλάδος καὶ τῆς Ἀσίας χωρῶν συνελθόντων συγκροτηθεῖσα (τῷ 347),

---

(α) Βλ. Σειρ. εἰς τὴν Ὀκτάτευχ. τόμ. α. σελ. 119, 313, 335, 354, 515, 522, 539, 574, 1203, 1325, 1441, κτλ. (πρβλ. καὶ πρόλογ. Θεοτόκ. σελ. 16). Τοῦ Ἐμέσης μέγα τεμάχιον ἔκ τινων αὐτοῦ συγγραμμάτων ἔχει καὶ ὁ ἱερὸς Θεοδώρητος Διαλόγ. Γ. σελ. 172.

ἧς τὸν τόμον (τὴν περὶ Πίστεως Ἔκθεσιν) ἀπεδέξατο καὶ ἐκύρωσεν ἡ Β, Οἰκουμενικὴ (Κανόν. ε), ἐν τῷ *πρὸς τοὺς πανταχοῦ τῆς Οἰκουμένης ἐπισκόπους τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας* ἐκδοθέντι Συνοδικῷ θεσπίματι διακηρύττουσα καὶ ὁμολογοῦσα τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, *δἰ οὗ τὰ πάντα*, γράφει καὶ ταῦτα· «Ὅτι, φησὶν» (ἡ Γραφὴ), *Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με Σοφία*» καὶ, «*πάντα δἰ αὐτοῦ ἐγένετο*» (α). Ἐκ δὲ τούτου δύω πράγματα καταφαίνονται. α). Ὅτι ἡ Σύνοδος μόνην τὴν τῶν Ο, ἑρμηνείαν ὡς ἐκκλησιαστικὴν καὶ θείαν ἐπρέσβευε Γραφὴν, ἐν ᾗ περιέχεται ἡ Σοφία τοῦ Σολομῶντος, ἐξ ἧς ἐξέφερε τὸ «*Ἡ πάντων τεχνῖτις*» κτλ. (Σ. Σολομ. ζ, 22)· καὶ β), Ὅτι ταύτην τὴν ῥῆσιν συνῆψε μετὰ τοῦ θεοπνεύστου λογίου, τοῦ, «*πάντα δἰ αὐτοῦ ἐγένετο*» (Ἰωάν. Α, 3), ὡς ὁμότιμον καὶ ἰσοδύναμον πρὸς ἀπόδειξιν τοῦ θειοτάτου δόγματος· καὶ ἑπομένως, τοιαύτας ἐπρέσβευε καὶ πάσας τὰς προφητικὰς ῥήσεις τῆς ἑρμηνείας τῶν Ο.

§. ρζ. Σεραπίων μοναχὸς καὶ ἀσκητὴς (τῷ 347), προϊστάμενος τῶν ἐν Θηβαΐδι τὸν μοναχικὸν βίον ἀσκουμένων, καὶ γνήσιος μὲν τοῦ Μ. Ἀντωνίου φίλος, πιστὸς δὲ τοῦ Μ. Ἀθανασίου συναθλητὴς, ὑφ᾽ οὗ καὶ Θμούεως, Αἰγύπτου πόλεως, ἐπίσκοπος προχειρίζεται, ἀνὴρ εἰς τὰ μάλιστα τὸν βίον θεσπέσιος, καὶ λέγειν δεινός (Σωζόμ.)· συνεδρίασε δὲ κἀν τῇ κατὰ Σαρδικὴν Συνόδῳ. Τούτου τοῦ τρισολβίου πατρὸς σῴζονται βραχέα τινὰ λείψανα ὑπομνημάτων εἰς τὴν Πεντάτευχον, ἐκδεδομένα ἐν τῇ εἰς τὴν Ὀκτάτευχον Σειρᾷ, τὰ πάντα τὰς τῶν Ο, ῥήσεις ἐξηγοῦντα· οἷον τὰ εἰς τὸ Γενέσ. γ. 15: «Παρατηρητέον (φησὶν), ὡς τῷ μὲν ὄφει εἴρηται, *Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων*· τῷ δὲ Ἀδὰμ, *Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου*» (τοῦτο ἄλλως ἔχει ἐν τῷ ἑβρ. βλ. ὄπισθ. Βιβ. Γ. σελ. 472)· «τῷ δὲ Κάϊν, *Ἐπικαταρατος σὺ ἀπὸ τῆς γῆς*» κτλ. (βλ. Σειρ. εἰς τὴν Ὀκτάτ. Τ. α. σελ. 89, 91, 92).

(α) Βλ. Θεοδωρ. Ἐκκλ. ἱστορ. Β. ς. Περὶ δὲ τοῦ ἀριθμοῦ τῶν Πατέρων πρβλ. καὶ Σωκράτ. Ἐκκλ. ἱστ. 6, 26: Σωζόμ. γ, 13.

§. ρη. Κύριλλος ὁ θεσπέσιος Ἱεροσολύμων ἱεράρχης (τῷ 350), ὃν «*αἰδεσιμώτατον* καὶ *θεοφιλέστατον* καὶ ἐν διαφόροις τόποις κατὰ τῶν Ἀρειανῶν ἀθλητὴν» ἀνεκήρυξεν ἡ Β. Οἰκουμενικὴ Σύνοδος ἐν τῇ πρὸς τοὺς περὶ Δάμασον τὸν Ῥώμης πάπαν καταπεμφθείσῃ Συνοδικῇ ἐπιστολῇ (α). Καὶ οὗτος ἐν ταῖς ἱεραῖς αὐτοῦ Κατηχήσεσι τὰς ἐκ τῶν Ο ῥήσεις ὡς θεόπνευστα λόγια ἐκφέρει, πρὸς ἀπόδειξιν τῶν θείων δογμάτων καὶ τῆς προφητευθείσης ἀληθείας τῆς πίστεως· οἷον· «Ἀλλ' ἵνα μὴ ἀπιστήσωσιν οἱ σῳζόμενοι, προγράφει *τὸ Πνεῦμα τὸ ἅγιον* (Ἡσαΐ. ξ, 6) ἐκ προσώπου Χριστοῦ λέγοντος (*αὐτὸς γὰρ ὁ τότε ταῦτα λαλῶν ὕστερον παρῆν*). Τὸν *νῶτόν μου δέδωκα εἰς μάστιγας· τὰς δὲ σιαγόνας εἰς ῥαπίσματα*» κτλ. Καὶ ἄλλα πάμπολλα τῶν θείων ῥητῶν κατὰ τοὺς Ο ἐκ πάσης τῆς Γραφῆς μνημονεύει, ὡς ἔξεστιν ἰδεῖν τοῖς μετερχομένοις τὰς τοῦ πατρὸς συγγραφὰς, ἵνα μὴ τὸν λόγον μηκύνωμεν, προστιθέντες κατὰ λέξιν τὰς μαρτυρίας. Καὶ καθόλου δὲ περὶ τῆς ἑρμηνείας τῶν Ο διαλαμβάνων, ὅπως τε, καὶ πότε γέγονε, καὶ ὑπὸ τίνων, ἀνακηρύττει διαπρυσίως αὐτῆς τὸ θεόπνευστον, λέγων· «*Ἐκ Πνεύματος ἁγίου ἡ τῷ* (γρ. τῶν τῷ) *ἁγίῳ Πνεύματι λαληθεισῶν θείων Γραφῶν ἑρμηνεία συνετελεῖτο*». Καταχωρίζομεν δὲ καὶ ἰδίως ὅλην τὴν περὶ τῆς ἑρμηνείας περικοπὴν τοῦ Πατρὸς ἐν τῷ παραρτήματι. Ὅτι δὲ καὶ ἐν τῷ καταλόγῳ τῶν Κανονικῶν θείων Γραφῶν ἀριθμεῖ κατὰ λέξιν μετὰ τοῦ Ἱερεμίου καὶ τὸν Βαροὺχ, καὶ τὴν Ἐπιστολὴν, καὶ ἐκ τῆς Σοφίας Σολομῶντος μαρτυρίας ἀναφέρει (τὸ δ' ἑβραϊκὸν τούτων πάντων ἀμοιρεῖ), προείπομεν (σελ. 122, 202).

§. ρθ. Ἱλάριος ὁ ἱερώτατος Πικτώνων ἐπίσκοπος (τῷ 354), περὶ οὗ προείπομεν (σελ. 123), ἐν τοῖς εἰς τοὺς Ψαλμοὺς λατινικοῖς αὐτοῦ ὑπομνήμασι (τὸ πλεῖστον ἐκ τῶν Ὠριγένους ἀπηνθισμένοις) διακηρύττει μὲν ὑπ' ἀνδρῶν ἑβραίων Ο, σοφῶν, πνευματικῇ καὶ οὐρανίᾳ συνέσει κατορθωθῆναι τὴν ἑρμηνείαν, κατ' αἴτη-

(α) Βλ. Θεοδωρ. Ἐκκλ. ἱστ. Ε, θ.

σιν Πτολεμαίου τοῦ βασιλέως, διακρίνει δὲ ταύτην ὡς γνησίαν καὶ ἐξηκριβωμένην· «Καθότι (φησὶν) οἱ ἑρμηνεῖς τὰς ποικίλας τῆς ἑβραΐδος γλώσσης ἀμφιβολογίας ἀποδεδώκασι διὰ λέξεων ἐμφαντικῶν τῆς βεβαίας καὶ κυρίας τοῦ νοήματος σημασίας. Ὅθεν οἱ μεταγενέστεροι (μετὰ Χ.) μεταφρασταὶ διαφοροτρόπως ἑρμηνεύσαντες, εἰς μεγάλην πλάνην παρήγαγον τοὺς ἐθνικούς». Προςίθησι δὲ καὶ ὅτι, «καθαρὰ καὶ ἄχραντος παρ᾽ Ἰουδαίοις ἡ ἑρμηνεία τῶν Ο, μετὰ θρησκευτικῆς εὐλαβείας μέχρι καὶ τοῦ Σωτῆρος Χριςοῦ διετηρήθη· μετὰ γὰρ τὴν θείαν αὐτοῦ ἐπιφάνειαν παραβληθέντα τὰ ἀντίγραφα πρὸς τὰ παρ᾽ αὐτῶν τῶν Ο τῷ βασιλεῖ τὸ πρῶτον ἐκδοθέντα (τὰ αὐτόγραφα), πιστῶς εὑρέθησαν συμφωνοῦντα· διὸ καὶ ἀδιάσειστον ἀπεδείχθη τό,τε τῆς ἑρμηνείας ὑπέροχον, καὶ τὸ κῦρος τῶν πρεσβείων τῆς ἀρχαιότητος αὐτῆς» (α). Καὶ ἐν τῇ κατὰ μέρος δὲ τῶν Ψαλμῶν ἑρμηνείᾳ τὰς κατὰ τοὺς Ο ἀναγνώσεις ὡς ἁγίας καὶ κυρίας ἐξηγεῖ, καὶ πρὸς ἀπόδειξιν τῶν θείων δογμάτων ἐκφέρει. Καὶ αὐτὰς τὰς τῶν Ψαλμῶν ἐπιγραφὰς κατὰ τοὺς Ο, διαφυλάττει, ἐν οἷς καὶ τὴν τοῦ νθ (Ἑβρ. ξ) Ψαλμοῦ, ὅπου ἄλλως ἀναγνοὺς παρὰ τῷ Ἀκύλᾳ, προτιμᾷ ὡς μόνην ἀληθῆ τὴν κατὰ τοὺς Ο ἀνάγνωσιν, τὴν «*ἐν φάραγγι ἁλῶν*» (β).

(α) Βλ. S. Hilar. prolog. in Psalm. 2. ὅπου καὶ ἄλλα πολλὰ διαλέγεται. Ἐκ δὲ τῶν τούτου λόγων ὁ Ἔρασμος (Schol. in Hieron. præf· in Pentat.) ὁ Βελλαρμῖνος (De Cat. S. Scriptur. II, 1), ὁ Φευαρδέντιος (not. εἰς Εἰρην. Γ, 25), καὶ ἄλλοι πολλοὶ τῶν Δυτικῶν, καὶ αὐτὸς ὁ κλεινὸς Βάλτων (Proleg. IX. 9) ἀριθμοῦσι καὶ τὸν Ἰλάριον ὡς ἕνα τῶν ἄλλων ἱερῶν Πατέρων τῶν ἱστορησάντων τὴν κοινὴν περὶ τὴν ἑρμηνείαν συμφωνίαν τῶν Ο, χωρὶς ἑκάστου ἑρμηνευσάντων. Ἀντιλέγει δὲ τοσούτοις καὶ τοιούτοις ἀνδράσιν ὁ Ὅδιος (σελ. 345).

(β) Οὕτως ἔχει καὶ τὸ νῦν ἑβραϊκὸν τὴν ἐπιγραφὴν (Γαι-μελαχ, ἢ Ge-melach). Ὅθεν καὶ ἐν Β. Βασ. η, 13 παρὰ τοῖς Ο ὁ αὐτὸς τόπος γέγραπται Γ η μ ε λ ἀ (κώδ. Ἀλεξ. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 664). Ἔςι δὲ ἡ Γ η μ ε λ ὰ αὕτη, ἢ ἡ φ ά ρ α γ ξ τ ῶ ν ἁ λ ῶ ν πιθανώτατα περὶ τὴν θάλασσαν τὴν ἁλυκὴν (βλ. Rosenmüll. Schol. εἰς Ψαλμ. 60 ἐπιγρ.). Ἁ λ υ κ ὴ ν δ ὲ θ ά λ α σ σ α ν κυρίως (καὶ ἑβραϊστὶ Jam hammelach. Γενέσ. ιδ,3. Ἀριθ. λδ, 12, Δευτ. γ, 17 κτλ. διὰ τὸ ἁ λ μ υ ρ ῶ δ ε ς) πανταχοῦ σχεδὸν ἡ θεία Γραφὴ ὀνομάζει τὴν ἄλλως Ἀσφαλτῖτιν, καὶ Νεκρὰν θάλασσαν παρὰ τοῖς ὑστέροις ἱστορικοῖς καὶ γεωγράφοις (παρ᾽ Ἰωσήπῳ δὲ καὶ λίμνην Σο-

§. ρι. Ἀπολινάριος (ἢ Ἀπολλινάριος) ὁ γεραίτερος (τῷ 362), Ἀλεξανδρεὺς, πρεσβύτερος τῆς ἐν Λαοδικείᾳ Ἐκκλησίας, ἐπίσημος γραμ-

---

δομίτιδα, παρὰ δὲ τῷ Μ. Βασιλείῳ, (Ὁμιλ. κα, καὶ ἁλμυρὰν, τὸ αὐτὸ καὶ ἁλυκὴν, θάλασσαν) καλουμένην, ἣν ὁ Στράβων ἰδίως λίμνην Σερβωνίδα καλεῖ. Ὅθεν καὶ ἡμεῖς ἐν τοῖς προηγηθεῖσι διαστέλλοντες τὴν παρὰ τῷ Γεωγράφῳ Σερβωνίδα ἀπ' ἄλλης ὁμωνύμου Σερβωνίδος (πλησίον τοῦ πρὸς τῷ Πηλουσίῳ Κασίου ὄρους κειμένης), καὶ προασφαλίζοντες τὴν ἐκ τῆς ὁμωνυμίας σύγχυσιν, ἐπισυνήψαμεν πρὸς τῷ παλαιῷ τοῦ Στράβωνος ὀνόματι καὶ τὰς μεταγενεστέρας ὀνομασίας, οἷον· «τὴν ἐρεβώδη χώραν τῆς Ἀσφαλτίτιδος, ἢ Σερβωνίδος λίμνης»· καὶ πάλιν, «τῆς Σερβωνίδος λίμνης, ἢ Νεκρᾶς θαλάσσης» (Βιβλ. Β. σελ. 9, 108)· καὶ ταῦτα μὲν οὕτως. Αὐτὸν δὲ τὸν Στράβωνα πολλοί τινες καὶ ἔνδοξοι τῶν νεωτέρων κριτικῶν, οἷον Σαλμάσιος (Exercit. Plinian. p.432), Κασωβὼν (Comment. εἰς Στράβ.), ἐκ δὲ τούτων ἐφεξῆς καὶ ἄλλοι τῶν μεταγενεςέρων, ἐν οἷς καὶ Ῥελάνδος (Palæstin. p.245) κατέκριναν, ὅτι συνέχεε τὴν παρὰ τῷ Κασίῳ κυρίως Σερβωνίδα πρὸς τὴν Ἀσφαλτῖτιν, ὡς ἂν μίαν οὖσαν καὶ τὴν αὐτήν. Ἀλλ' ὁ Στράβων (νομίζομεν) ἀδικεῖται· διότι διακρίνει σαφῶς δύω λίμνας ὁμωνύμους, καὶ τὴν θέσιν καὶ τὰς ἰδιότητας ἑκατέρων. Πρῶτον μὲν γὰρ τὴν προτέραν Σερβωνίδα τίθησιν ἐμφανῶς μεταξὺ Ῥινοκολούρων καὶ τοῦ Κασίου ὄρους, ὅπου κεῖται κυρίως (ὡς διαγράφουσιν αὐτὴν καὶ οἱ λοιποὶ ἀρχαῖοι Γεωγράφοι καὶ Ἱστορικοὶ), λέγων «Τὴν Σερβωνίδα λίμνην, παράλληλον πρὸς τῇ θαλάττῃ, μικρὰν δίοδον ἀπολείπουσαν μεταξὺ, μέχρι τοῦ Ἐκρήγματος καλουμένου· μῆκος ὅσον διακοσίων σταδίων, πλάτος δὲ τὸ μέγιςον, πεντήκοντα· τὸ δὲ Ἔκρηγμα συγκέχωσαι. Εἶτα συνεχὴς (χώρα)... ἐπὶ τὸ Κάσιον, κἀκεῖθεν ἐπὶ τὸ Πηλούσιον» κτλ. (σελ. 759, 760). Ταῦτα ἐκτὸς τῆς Ἰουδαίας. Μετέπειτα δὲ μεταβαίνων εἰς ταύτης τὴν περιγραφὴν, «Τῆς δ' Ἰουδαίας (λέγει) τὰ μὲν ἑσπέρια ἄκρα τὰ πρὸς τῷ Κασίῳ κατέχουσιν Ἰδουμαῖοί τε καὶ ἡ λίμνη—πρὸς θαλάττῃ δὲ ἡ Σερβωνὶς» (ἡ αὐτὴ δηλονότι, ἧς ἐμνήσθη ἀνωτέρω). Ἐφεξῆς δὲ προχωρῶν ἐσωτέρω, καὶ τὴν Ἱερουσαλὴμ καὶ τὰ κατὰ Μωσῆν καὶ τοὺς Ἰουδαίους δι' ὅλων τριῶν σελίδων ἱστορήσας, καταντᾷ εἰς Ἱεριχοῦντα· καὶ τὰ κατ' αὐτὴν καὶ τὰ πέριξ ἀκριβῶς ζωγραφήσας, εὐθὺς ἐπισυνάπτει· «Ἡ δὲ Σερβωνὶς λίμνη πολλὴ μέν ἐστι· καὶ γὰρ χιλίων σταδίων εἰρήκασί τινες τὸν κύκλον, τῇ μέν τοι παραλίᾳ παρεκτέταται, μικρῷ τι πλέον τῶν διακοσίων σταδίων μῆκος ἐπιλαμβάνουσα... μεστὴ δέ ἐστιν ἀσφάλτου αὕτη» κτλ. (σελ. 763)· καὶ τὰς ἰδιότητας τοῦ ὕδατος αὐτῆς ἐπὶ μακρὸν ἐξιστορεῖ, αὐτὴν τὴν Ἀσφαλτῖτιν προφανέστατα ζωγραφῶν, συμφώνως τοῖς λοιποῖς Ἱστορικοῖς καὶ Γεωγράφοις. Δύω λοιπὸν Σερβωνίδας ὁ Γεωγράφος διέκρινε· δείγματα δὲ τούτου τρία ταῦτα τρανώτατα· α) ἡ τοποθεσία. Μίαν μὲν γὰρ Σερβωνίδα τίθησιν ἐκτὸς τῆς Ἰουδαίας, μεταξὺ Ῥινοκολούρων καὶ τοῦ πρὸς τῷ Πηλουσίῳ Κασίου ὄρους· τὴν δ' ἑτέραν ἐντὸς τῆς Ἰουδαίας, κατόπιν τῆς Ἱεριχοῦς, κατὰ τὸ μέγα πεδίον κειμένης, ἐν ᾧ κεῖται

ματικὸς, καὶ περὶ τὴν ποίησιν δεξιὸς, ἤκμαζεν ἐπὶ Κωνσταντίου καὶ Ἰουλιανοῦ τοῦ παραβάτου. Ἐπειδὴ δὲ οὗτος ὁ χρισομάχος ἀπεῖρξε

καὶ ἡ νῦν Ἀσφαλτῖτις. β) Τὴν πρὸς τῷ Κασίῳ Σερβωνίδα 200 σταδίων λέγει, πλάτος δὲ τὸ μέγιστον 50, καὶ μεταξὺ θαλάσσης καὶ αὐτῆς στενὴν τὴν δίοδον διαγράφει, καὶ τὸ Ἔκρηγμα προστίθησιν (ὅπερ μετ' αὐτὸν καὶ Διόδωρος εἶπε, καὶ Πλούταρχος ἀντέγραψε, τὰ κατὰ ταύτην τὴν Σερβωνίδα ἱστορῶν. Ἀντων. §. γ)· περὶ δὲ τοῦ ὕδατος ταύτης οὐδὲν ὁ Στράβων ἱστορεῖ. γ) Τῆς αὐτῆς Σερβωνίδος μέμνηται καὶ ἐν Βιβλ. ιζ (σελ. 809), ὡς λίμνης γειτονευούσης πρὸς τὴν κάτω Αἴγυπτον (μεταξὺ Αἰγύπτου καὶ κοίλης Συρίας), καθὰ λέγει καὶ Ἡρόδοτος, ὅριον αὐτὴν τῆς Αἰγύπτου τιθείς (βιβλ. β, 6: γ, 5). δ) Τὴν δ' ἐπὶ τῆς Ἰουδαίας Σερβωνίδα (τὴν Ἀσφαλτῖτιν) πολλὴν λέγει, καὶ χιλίων σταδίων τὴν περίμετρον περιγράφει, καὶ τὰς τοῦ ὕδατος αὐτῆς ἰδιότητας ἀκριβῶς, ὡς καὶ Διόδωρος καὶ ὁ Γαληνὸς, καὶ ἄλλοι τῶν ἀρχαίων, ἐκφράζει· καὶ τέλος, προστίθησι· «Μεστὴ δέ ἐστιν ἀσφάλτου ΑΥΤΗ», διακρίνων ἄντικρυς αὐτὴν διὰ τῆς ἀντωνυμίας ἀπὸ τῆς ἑτέρας τῆς πρὸς τῷ Κασίῳ Σερβωνίδος. Εἰ δ' εἶπεν, ὅτι καὶ τῇ παραλίᾳ παρατέταται, φαίνεταί πως, ὅτι μεταξὺ γράφοντι ἐπῆλθεν αὐτῷ κατὰ νοῦν ἡ τοποθεσία τῆς πρὸς τῷ Κασίῳ Σερβωνίδος, ἣν οὕτως ἀκριβῶς πρὸ μικροῦ διέγραψεν. Ἀλλ' εἴτι μὲν περὶ τὴν ἀπὸ τῆς θαλάσσης ἀπόστασιν μὴ πάντη ἀκριβῶς γέγραπται παρὰ τῷ Γεωγράφῳ, θεωρείτωσαν οἱ κριτικοὶ, καὶ σκοπείτωσαν, μή τι καὶ τῇ πλάνῃ τῶν ἀρχαίων ἀντιγραφέων ἀποδοτέον. Τὸ δὲ λέγειν ἁπλῶς καὶ ἀπολύτως, ὅτι τὰς δύω Σερβωνίδας συνέχεεν εἰς μίαν ὁ Στράβων, ταὐτὸ ἂν εἴη, καὶ εἴ τις λέγοι, ὅτι παντάπασιν ἐπιλαθόμενος ἑαυτοῦ, συνέχεε τὸ Πηλούσιον πρὸς τὴν Ἱεριχὼ, καὶ τὴν μεταξὺ Ῥινοκολούρων καὶ Κασίου λυπρὰν καὶ ἀμμώδη γῆν πρὸς τὸν παρ' Ἱεριχοῦντι παράδεισον τοῦ βαλσάμου, καὶ τοῦ φοινικῶνος, ἄχρι καὶ Σοδόμων, ὧν καταστραφέντων, «προπέσοι (φησὶν) ἡ λίμνη» (ἡ Σερβωνὶς, ἤτοι ἡ Ἀσφαλτῖτις). Καὶ λίαν ἄρα ὀρθῶς καὶ ἀκριβῶς καὶ ὁ τὰς τοῦ Στράβωνος Χρηστομαθείας συγγράψας, διέκρινε παρὰ τῷ Γεωγράφῳ μίαν «Σερβωνίδα λίμνην πλησίον Πηλουσίου πόλεως», καὶ ἄλλην ἐν Ἰουδαίᾳ, προστιθεὶς καὶ τὰ παρ' Ἑβραίοις Σόδομα, μητρόπολιν καὶ ἑτέρων... πόλεων· καὶ ὅτι, «διὰ τὸ εἶναι τὴν γῆν ἔμπυρον, γενομένων σεισμῶν.., κατεστράφησαν, καὶ κατεκάησαν πᾶσαι, καὶ ἀνεδόθη ἡ νῦν λίμνη Σερβωνὶς καλουμένη, θειώδης οὖσα καὶ ἀσφαλτώδης» (Χρηστομάθ. σελ. 449, 451. ἐκδ. Κ.). Οὐδὲν δὲ παράδοξον, εἰ μόνος ὁ Στράβων εἶπε καὶ τὴν Ἀσφαλτῖτιν Σερβωνίδα. Τοῦτο γὰρ, ὡς ἔοικεν, εὕρηκε τὸ ὄνομα παρά τισι τῶν ἀρχαιοτέρων αὐτοῦ συγγραφέων, οἷον Ἐρατοσθένει καὶ τῷ Ποσειδωνίῳ (ὧν καὶ ἐξ ὀνόματος μνημονεύει κατὰ τὴν διαγραφὴν αὐτῆς τῆς Ἀσφαλτίτιδος). Ὁ δὲ λόγος τῆς συνωνυμίας εὐσυνείκαστος· ἔχει γὰρ καὶ ἡ Ἀσφαλτῖτις τὰς αὐτὰς (καὶ πολλῷ γε πλείους) ἰδιότητας, οἵας εἶχεν, ὡς ἔοικε, τὸ πάλαι, καὶ ἡ πρὸς

τοὺς χριστιανοὺς μηδένα τῶν Ἑλλήνων ποιητῶν καὶ συγγραφέων διδάσκεσθαι καὶ μανθάνειν, ἐνέτεινεν εἰς στίχους ὁ Ἀπολλινάριος ἡρωϊκῷ τῷ μέτρῳ τὴν Πεντάτευχον, καὶ τὰ λοιπὰ τεύχη τῆς κατὰ τοὺς Ο Γραφῆς, μέχρι καὶ τῆς βασιλείας Σαούλ (α). Τού-

τῷ Κασίῳ Σερβωνὶς, «ἄσφαλτον ἀναφυσῶσα μετὰ πομφολύγων, ὡςἂν ζέοντος ὕδατος» (ὅπερ ὁ Στράβων λέγει περὶ τῆς ἐν Ἰουδαίᾳ ἀσφαλτοφόρου Σερβωνίδος, ἢ Ἀσφαλτίτιδος), ὡς ἀποδείκνυται ἐξ ὧν οἱ ἀρχαῖοι διεμυθολόγουν, ὅτι δῆθεν ὑποκάτω τῆς πρὸς τῷ Κασίῳ Σερβωνίδος κεῖται ὁ Τυφὼς ὑποβρύχιος. (Ἡρόδ. γ, ε. Ἀπολλών. Ἀργον. Β. 1215: Μ. Ἐτυμ. λ. Τυφὼς)· «καὶ τὰ ἕλη ταύτης Τυφῶνος ἐκπνοὰς ἔλεγον οἱ Αἰγύπτιοι» (Πλούτ. Ἀντων. §. γ). Καὶ αὐτὸ δὲ τὸ Σερβωνὶς, ἢ Σιρβωνὶς, καὶ Σίρβων (ὡς γράφεται παρὰ Στεφάνῳ τῷ Βυζαντ.) φαίνεται ξενικὸν, Χαλδαϊκὸν, ἢ Συριακὸν, ὡς ἐκ τοῦ Σερβων (ἴσ. παρὰ τὸ Ἑβρ. Σαρὰβ) καύσων, φλογμὸς (διὰ τὸ πυρῶδες)· οἱ δ' Αἰγύπτιοι λέγουσι τὸ ὄνομα, ἐκ τοῦ Σερ, σπείρειν, καὶ Βον, τὸ δυσῶδες (βλ. Jablonsk. Panth. V. 3. §. 23. καὶ Lightfoot. Cent. Chronogr. Math. c. 8). Ὡς οὖν ἡ πρὸς τῷ Κασίῳ Σερβωνὶς, παρομοίως, (καὶ ἴσως ἐξ αὐτῆς) ὠνομάζετο παρά τισι καὶ ἡ ὁμοιοπαθὴς, καὶ οἷον παραγειτονεύουσα, λίμνη τῆς Ἰουδαίας, (πρὶν ἴσως ἐπικρατήσῃ τὸ Ἀσφαλτῖτις ὄνομα), ἅτε διασῴζουσα τὰς πρῴην ἰδιότητας ἐκείνης. Ὁ δὲ Ἀριστοτέλης καὶ πάντῃ ἀνώνυμον αὐτὴν ἀναφέρει, λέγων· «Εἰ δ' ἔστιν, ὥσπερ μυθολογοῦσί τινες, ἐν Παλαιστίνῃ τοιαύτη λίμνη, εἰς ἣν, ἐάν τις ἐμβάλῃ συνδήσας ἄνθρωπον, ἢ ὑποζύγιον, ἐπιπλεῖν καὶ οὐ καταδύεσθαι κατὰ τοῦ ὕδατος» κτλ. (Μετεωρ. Β, γ). Οὕτω καὶ Ἀσφαλτῖτις παρωνομάσθη ἀπὸ ἄλλης πολὺ μακρὰν ἀπεχούσης Ἀσφαλτίτιδος, τῆς ἐν Ἀδιαβηνῇ παρὰ τὴν Βαβυλῶνα (Βιτρούβ. η, 3: Ἀθήν. ια, 5: Σχολ. Λυκόφρ. στίχ. 704. κτλ. βλ. Reland. Palaest. p. 244)· τοῦτο δὲ τὸ κοινῶς παρὰ τοῖς μετὰ Στράβωνα γεωγράφοις καὶ ἱστορικοῖς εἰθισμένον ὄνομα, ἀπαντᾶται πρῶτον παρὰ Διοδώρῳ (β, 48: ιθ, 98), καὶ Ἰωσήπῳ (Ἰουδ. πολ. Δ, η. §. 4. κτλ.), εἶτα δὲ καὶ Γαληνῷ (περὶ ἁπλῶν φαρμάκ. δ, 19), καὶ Πλινίῳ, (ε, 16), καὶ Τακίτῳ (ε, 6) καὶ Κυρτίῳ (ε, 16). Καὶ ὁ Μ. Βασίλειος «Ἀσφαλτῖτιν λέγει τὴν ἐπὶ τῆς Ἰουδαίας· (διακρίνων, ὡς καὶ οἱ πρὸ αὐτοῦ, «τὴν Σερβωνῖτιν, τὴν μεταξὺ Αἰγύπτου καὶ Παλαιστίνης». Εἰς τὴν Ἑξαήμερ. Ὁμιλ. δ). Ὁ δὲ Παυσανίας (ε, 7) τὴν Ἀσφαλτῖτιν αὐτὴν Νεκρὰν θάλασσαν ὀνομάζει (ὃ καὶ Γαληνὸς προστίθησι)· τοῦτο δὲ τὸ ὄνομα φαίνεται νεώτερον καὶ τοῦ Ἀσφαλτῖτις (διὰ τὸ νεκροῦσθαι, καὶ μὴ ζῆν ἰχθύας ἐν αὐτῇ)· οὕτω καλοῦσι καὶ οἱ ἐφεξῆς Ἀφρικανὸς, Εὐσέβιος, Ἱερώνυμος, καὶ ἄλλοι, καὶ ἡ καθ' ἡμᾶς συνήθεια. Ταύτης τῆς Νεκρᾶς καὶ Ἀσφαλτίτιδος λίμνης τὴν ἄσφαλτον καὶ Διοσκορίδης Ἰουδαϊκὴν ὀνομάζει, λέγων· «Ἄσφαλτος διαφέρει ἡ Ἰουδαϊκὴ τῆς λοιπῆς... Γεννᾶται καὶ ἐν Φοινίκῃ, καὶ ἐν Σιδῶνι, καὶ Βαβυλῶνι, καὶ ἐν Ζακύνθῳ» (α, 99). Περὶ τῆς Ἀσφαλτίτιδος βλ. Rosenmüll. alt. und neues Morgenland. I. n. 24, 31, καὶ Schol. in Genes. 19, 25).

(α) Βλ. Σωκρ. Ἐκκλ. ἱστορ. γ, 16: Σωζόμ. ε, 18: Σουΐδ. λ. Ἀπολλινάριος.

του μᾶλλον, ἢ τοῦ ὁμωνύμου, αὐτοῦ υἱοῦ πόνημα κρίνεται καὶ ἡ μέχρις ἡμῶν σῳζομένη ἀξιολογωτάτη *Μετάφρασις τοῦ Ψαλτῆρος διὰ στίχων ἡρωϊκῶν* (α). Εἰς τοῦτον ἀποδίδουσί τινες καὶ τὴν ἐν τοῖς ποιήμασι τοῦ θείου Γρηγορίου τοῦ Ναζιανζηνοῦ συνήθως ἐκδιδομένην τραγῳδίαν, ἧς ἡ ἐπιγραφὴ, *Χριστὸς πάσχων*.

§. ρια. Τίτος ὁ Βοςρῶν (Φοινίκων πόλεως) ἐπίσκοπος (τῷ 362). Τούτου σῴζονται *κατὰ Μανιχαίων* τρία βιβλία, ἐν οἷς αἱ Γραφικαὶ μαρτυρίαι ἐκφέρονται κατὰ τοὺς Ο, καὶ ὁμολογεῖται ἡ παλαιὰ Διαθήκη πάντα συνῳδὰ τῇ Καινῇ φθεγγομένη (β). Ἀλλαχοῦ δὲ πάλιν (λόγῳ εἰς τὰ Βαΐα) ὁ αὐτὸς Τίτος γράφει καὶ ταῦτα. «Ὥσπερ γὰρ τὰ ὀνόματα τῶν βοτανῶν, καὶ τῶν πετεινῶν, καὶ τῶν τετραπόδων, καὶ τῶν ἀνθρώπων, κατὰ τὴν διαφορὰν τῆς μορφῆς καὶ τῆς δυνάμεως, οὕτω (ἴσ. γρ. *τοιοῦτο*) καὶ τὸ ὄνομα κέκτηται, οὕτως ἑκάστη κεραία τῶν θείων λογίων ἰδίαν δύναμιν καὶ θεωρίαν κέκτηται» (γ).

§. ριβ. Φάβιος Μάριος Βικτωρῖνος, Ἄφρος τὸ γένος (τῷ 362), οὗ τὴν ἐξ ἐθνικῶν εἰς Χριστὸν ἐπιστροφὴν διέγραψε λαμπρῶς ὁ μακάριος Αὐγουστῖνος (δ), συνέγραψε λατινιστί. Μεταξὺ δὲ τῶν σῳζομένων αὐτοῦ συγγραμμάτων (ἐν αἷς αἱ προφητικαὶ ῥήσεις γράφονται κατὰ τὴν Ἰτάλαν, συμφώνως τοῖς Ο), φέρεται καὶ ᾠδὴ *εἰς τοὺς ἑπτὰ παῖδας τοὺς Μακκαβαίους*, ἐκ τῆς Β, τῶν Μακκαβαϊκῶν, ὡς ἀπὸ Γραφῆς ἁγίας, κεκανονισμένης ἀνέκαθεν ἐν τῇ Ἐκκλησίᾳ (βλ. ὄπισθ. σελ. 212).

§. ριγ. Οὐλφίλας ὁ Γότθος (τῷ 365), τὸ γένος ἕλκων ἐκ Καππαδοκῶν, περὶ οὗ προείπομεν (σελ. 184), πρῶτος ἡρμήνευσε Γοτ-

(α) Voss. de Poetis Græc. c. 9— Cave l. c. p. 125.

(β) Τῶν κατὰ Μανιχαίων τοῦ Τίτου βιβλίων μνημονεύει καὶ Ἱερώνυμος (De Script. c. 102). Μέρος δὲ τοῦ Α, βιβλίου μετέγραψεν ἐκ τοῦ τριθεΐτου Γοβάρου καὶ Φώτιος (Ἀναγ. λβ).

(γ) Βλ. Galland Biblioth. Patr. Tom. V. p. 353- Οἱ δὲ περὶ τὸν Καβέον (p. 128) μάτην ἀποροῦσι, τίνος ποτὲ Τίτου Βοστρῶν οὗτός ἐστιν ὁ λόγος, μὴ πειθόμενοι εἶναι τοῦ περὶ οὗ ὁ λόγος.

(δ) S. August. Confess. VIII. c. 2.

θιστὶ τὴν παλαιὰν Γραφὴν ἐκ τῶν Ο, μόνας τὰς Δ, βίβλους τῶν Βασιλειῶν παραλιπὼν, κατὰ τὴν Φιλοστοργίου μαρτυρίαν, «διὰ τὸ τῶν Γότθων φιλοπόλεμον» (α).

§. ριδ. Ὁ ἱερὸς Ἐπιφάνιος (τῷ 368), τὴν πατρίδα Παλαιστινὸς, καὶ ἐξ Ἰουδαίων ἀνατείλας φωστὴρ τῆς Ἐκκλησίας, ἀρχιεπίσκοπος Κύπρου, τὸν μὲν τρόπον καὶ τὴν φράσιν ἁπλοϊκὸς, ἀλλὰ γραφικώτατος, καὶ *πεντάγλωσσος*, ὡς ὠνόμασεν αὐτὸν ὁ σύγχρονος Ἱερώνυμος (ἐν τοῖς κατὰ Ῥουφίνου), τῆς τε Ἑβραΐδος καὶ Συριακῆς καὶ Αἰγυπτίας, Ἑλληνίδος τε καὶ Λατινίδος γλώσσης ἐγκρατής. Οὗτος τοὺς Ο ἑρμηνεῖς ὑπὸ θείου Πνεύματος ἐλλαμφθέντας, καὶ προφήτας ἀποκαλεῖ· γράφει δὲ καὶ τὴν ἱστορίαν τῆς ἑρμηνείας, ἣν καὶ καταχωρίζομεν ἐν τῷ παραρτήματι. Ὁ δὲ σοφὸς Ὅδιος ἐπειράθη κἀν τοῖς συγγράμμασι τοῦ θείου Ἐπιφανίου κροκίδας τινὰς τῆς ἰδίας αὐτοῦ δόξης εὑρεῖν, «*γόνατον ἐν ἀγονάτῳ σχοίνῳ* (τὸ τῆς παροιμίας) ζητῶν»· καὶ εὕρηκεν ὁ ἄνθρωπος! Προβάλλει, ὅτι ὁ Πατὴρ εἰς τοὺς Ο ἀπονέμει, ὡς τούτων προσθήκας, τὰ μὴ κείμενα ἐν τῷ ἑβραϊκῷ κειμένῳ. Ὅθεν, λέγει, γνήσιον καὶ ἀδιάφθορον ὁ Ἐπιφάνιος ἐθεώρει τὸ ἑβραϊκόν. — Ἀλλ' ὁ Πατὴρ εἶπε καὶ ποίας προσθήκας ἐποίησαν οἱ Ο, «ὅσα ἔμελλον εἰς τρανότητα καταςῆσαι τὴν ἀνάγνωσιν καὶ σαφήνειαν, ἀχώλωτον ποιοῦντες τὸν παρ' Ἑβραίοις ἐλλειπῆ (διὰ τὸ στενὸν τῆς γλώσσης ἰδίωμα) καὶ χωλαίνοντα λόγον» (π. Μέτρ. §. 6, ε). Ὅτι δὲ καὶ κανόνα τῆς ἀληθείας ἔκρινε τὴν ἑρμηνείαν τῶν Ο ὁ ἱερὸς Ἐπιφάνιος, πρόδηλον ἐξ ὧν εἶπε, διαλαμβάνων περὶ τῶν Ὠριγένους Ἑξαπλῶν· ὅτι «*Ὠριγένης πειθόμενος τὴν τῶν Ο ἔκδοσιν ἀκριβῆ εἶναι, μέσην ταύτην ἔθηκεν*, ὅπως τὰς ἐντεῦθεν καὶ ἐντεῦθεν *ἑρμηνείας διελέγχῃ*» (αὐτόθ.)· διελέγχουσα δὲ ταύτας, συνεξήλεγχε πάντως καὶ τὸ ἑβραϊκὸν, ἐν

(α) Τὰ λείψανα τῆς ὑπὸ τοῦ Οὐλφίλα μεταφράσεως τῆς Καινῆς καὶ Παλαιᾶς Γραφῆς ἐξέδωκεν ὁ Gabelenz καὶ ὁ Lœbe. βλ. Ulfilas. Veteris et Novi Testamenti versionis Gothicæ fragmenta quæ supersunt, ad fidem codd. castigata. Latinitate donata, adnotatione critica instructa-ediderunt H. G. de Gabelenz et Dr. J. Lœbe. Altenburg. et Lips. 1836.

οἷς καὶ τοῦτο συνεφώνει πρὸς ἐκείνας. Ὅθεν καὶ κατὰ τοὺς Ο πάντως ὤφειλον διορθοῦσθαι καὶ αἱ ἄλλαι αἱ μ. Χ. ἑρμηνεῖαι, καὶ αὐτὸ τὸ ἑβραϊκόν. Ταῦτ᾿ ἐνόει ὁ Μορῖνος, συμπεράνας ὡς ἐκ τῆς μαρτυρίας τοῦ θείου Ἐπιφανίου, ὅτι ἐκ τῶν Ο διορθωτέον καὶ τὸ νῦν ἑβραϊκόν. Ἀλλ᾿ Ὅδιος ἄγαν ἐπὶ τούτῳ χολωθείς, ἐλοιδόρησεν ἀδίκως τὸν Μορῖνον, ὡς ἄπιστον φθορέα τῶν λόγων τοῦ Ἐπιφανίου. Προστίθησι δὲ καὶ ὅσα περὶ τῶν ὀβελῶν ἔγραψεν ὁ θεῖος Ἐπιφάνιος (βλ. ὄπισθ. σελ. 458), ἐν οἷς ὀνομάζει τὸ ἑβραϊκὸν κείμενον *ἔδαφος γεννητικὸν* ἐν ᾧ οὐχ εὑρίσκονται ὅσαι λέξεις τῶν Ο σεσημείωνται διὰ τοῦ ὀβελοῦ. Ἀλλ᾿ ὁ Ἐπιφάνιος ἐλάλει περὶ τοῦ κατ᾿ αὐτὸν καὶ τοὺς Ὠριγένους χρόνους ἑβραϊκοῦ. Ὅτι δὲ τοῦτο ἐθεώρει κατὰ μέρη διεφθαρμένον, ἀπόδειξις σαφὴς ἡ κατὰ τοὺς Ο χρονολογία, ᾗπερ καὶ αὐτὸς ἀκριβῶς παρηκολούθησε, παριδὼν τὴν Ἰουδαϊκὴν, ὡς ἠκρωτηριασμένην· πρόσθες καὶ τὰ κανονικὰ μέρη τῆς Γραφῆς μετὰ τῶν ἄλλων, ἅπερ τὸ μὲν ἑβραϊκὸν ἤδη κατ᾿ αὐτὸν ἐκεκολόβωτο, ὁ δὲ Πατὴρ ἀνεγίνωσκε, καὶ ἠρίθμει ἐν τῷ Καταλόγῳ, ὡς Γραφὰς θείας (βλ. ὄπισθ. σελ. 122 καὶ Βιβλ. Γ. σελ. 783, 969).

Καὶ ἄλλο δὲ παράδοξον εἶπεν Ὅδιος· ὅτι ἄρα ὁ Ἐπιφάνιος ἐν τῷ *Κύριος ἔκτισέ με* (Παροιμ. ζ, 22) προτιμᾷ τῶν Ο τὴν Ἀκύλα ἑρμηνείαν, λέγων· «Ἀλλὰ καὶ φύσει» (τουτ. *κυρίως, κατὰ γράμμα*) «παρὰ τοῖς ἑρμηνευταῖς οὐχ οὕτως ἐκδέδοται ἡ λέξις. Ἀκύλας μὲν γάρ φησι, *Κύριος ἐκτήσατό με*· ἐπειδήπερ ἐν τῷ ἑβραϊκῷ λέγει *Ἀδωναῒ κανανὶ* (γρ. κανανὶ)... καὶ ἡμεῖς δὲ κατὰ τὴν συνήθειαν λέγομεν περὶ τῶν γενομένων (γρ. γεννωμένων), *ἐκτήσατο τέκνα*. Ἀλλ᾿ οὐδὲ οὕτω τὴν δύναμιν τῆς ἑρμηνείας» (τουτ. τὴν *σημασίαν τῆς φωνῆς*) «ἐσφράγισε· τὸ γὰρ *Ἀδωναῒ κανανὶ* καὶ οὕτω δύναται ἐκφράζεσθαι, *Κύριος ἐνόσσευσέ με*», κτλ. (Ἀγκυρωτ. §. 44, καὶ Αἱρέσ. ξθ. §. 25). Ἀλλ᾿ ὁ αὐτὸς πατὴρ καὶ τὸ *ἔκτισεν* ἐπίσης διὰ μακρῶν θεολογεῖ, ἐπὶ τοῦ Κυριακοῦ σώματος (ὡς καὶ ὁ Μ. Ἀθανάσιος ἀνωτέρω. σελ. 516) τὴν σημασίαν ἐκλαμβάνων (Ἀγκυρ. §. 43. Αἱρέσ. ξθ. §. 16-24)· καὶ αὐτὸ δὲ τοῦ Ἀκύλα τὸ *ἐκτήσατο* οὐ πάνυ τι ἐγκρίνει, λέγων πάλιν· «Ἀλλ᾿ οὔτε Ἀκύλας τὴν

δύναμιν (τῆς φωνῆς) ἡρμήνευσεν» (§. 25)· προβάλλει δὲ καὶ αὖθις ὡς ἐκφρασικώτερον τὸ *ἐνόσσευσε* (§. 25)· καὶ πολλαχῶς γυμνάζων τὸν λόγον, καταντᾷ εἰς τὸ ἐγέννησε, ὡς κύριον τοῦ *ἔκτισεν*, ἢ *ἐκτήσατο*, ἢ *ἐνόσσευσε* σημαινόμενον. Ἀλλὰ μὴ παρὰ τοῦτο διέλιπε πρεσβεύων τὸ *ἔκτισέ με* ὡς γνησίαν ἑρμηνείαν τῆς ἐπιπνοίας τῶν Ο; Τελευταῖον Ὅδιος προστίθησιν, ὅτι τὸ «*Ἐκ γαστρὸς πρὸ ἑωσφόρου*» ἑρμηνεύει ὁ Πατὴρ ἐκ τοῦ ἑβραϊκοῦ, γράφων (κατὰ τὴν τότε προφορὰν) «*Μηρὲμ μεσσαὰρ, λακτὰλ, ἰελεδεχὲθ*» ὅπερ ἐστὶ σαφῶς καὶ ἀναμφιβόλως, *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε*. τὸ γὰρ *μηρὲμ*, ἐκ γαστρός ἐστι· *μεσσαὰρ* δὲ, τὸ ὀρθριαίτερον πάντων, ὅπερ ἐστὶ πρὸ ἑωσφόρου· *λακτὰλ*, καὶ πρὸ τῆς δρόσου παιδίον, *Ἰελεδεχὲθ* τοῦτ᾽ ἐστὶ τὸ ἐγέννησά σε» (Αἱρ. ξε. §. 4). Ἀλλ᾽ ὁ μακάριος Ἐπιφάνιος, καί τοι ἀναγνοὺς καὶ ἑρμηνεύσας τὸ πρὸ πολλοῦ ἐν τῷ ἑβραϊκῷ παρέγγραπτον *λακτὰλ* (ὡς ἀνέγνω τοῦτο καὶ Ἀκύλας. βλ. Ὠριγ. Ἑξαπ. αὐτόθ. Μοντ.), ἀλλ᾽ ὅμως τοῦτο παρεῖδεν (ὡς περιττεῦον), ἐν οἷς ἀνωτέρω διώρισε τὴν ἑβραϊκὴν ῥῆσιν, ὅτι *σαφῶς καὶ ἀναμφιβόλως* σημαίνει μόνον τὸ τῶν Ο «*Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε*» (βλ. περὶ τούτου καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 404). Ταῦτα καὶ περὶ τοῦ θείου Ἐπιφανίου τοῦ πενταγλώσσου καὶ μεγαλοφωνοτάτου κήρυκος τῆς θεοπνεύστου ἑρμηνείας τῶν Ο, ἐξ ἧς καὶ μόνης πάσας τὰς ῥήσεις, μυρίας ὅσας, λαμπροφωνεῖ πρὸς ἀπόδειξιν τῶν δογμάτων καὶ διδαγμάτων τῆς ὀρθοδόξου πίστεως. Καὶ πάλιν ἔπεστιν ἀπορεῖν, πῶς ὁ πολυμαθὴς Ὅδιος ἐματαιοπόνει ἐπὶ τοσοῦτον, ὥστε μάρτυρας τῆς ἑαυτοῦ δοκοφροσύνης πειρᾶσθαι παράγειν καὶ τοὺς θείους τῆς Ἐκκλησίας Πατέρας, καὶ τούτων μάλιστα τοὺς οὐ μόνον ἐναργῶς καὶ ἀναντιῤῥήτως, ἀλλὰ καὶ ἱστορικῶς τὸ θεῖον τῶν Ο κῦρος ἀνακηρύξαντας.

§. ριε. Ἐφραὶμ ὁ Σύρος, ὁ τρισμακάριστος (τῷ 370), ἡ εὔλαλος καὶ πολυφωνοτάτη τῆς Ἐκκλησίας ἀηδών. Εἴπομεν περὶ τοῦ πολυγραφωτάτου τούτου Πατρὸς οὐχ ἅπαξ ἐν τοῖς προηγηθεῖσι. Συνέγραψε Συριστί. Ἐκ δὲ τῶν ἐν Ὀξονίῳ (1733-1746) ἐκδεδομένων αὐτοῦ συγγραφῶν ἐν τόμοις ἓξ, οἱ μὲν τρεῖς περιέχουσι καὶ τὴν

ἑλληνικὴν καὶ τὴν λατινικὴν ἑρμηνείαν. Οἱ δὲ λοιποὶ τρεῖς, μόνην τὴν λατινικὴν μετὰ τοῦ Συριακοῦ πρωτοτύπου. Ὑπάρχει δὲ καὶ τόμος εἷς ἐν Ὀξονίῳ πρότερον ἐκδεδομένος (1700), οὗ ἡ ἐπιγραφή, «*Τὰ τοῦ ὁσίου πατρὸς Ἐφραὶμ τοῦ Σύρου πρὸς τὴν Ἑλλάδα μεταβληθέντα*». (Ἐκ τούτου παρεφράσθησαν ὑπὸ Ἱεροθέου τοῦ Ἰβηρίτου καὶ εἰς τὴν δημώδη γλῶσσαν τῶν Ἑλλήνων «*Λόγοι, καὶ παραινέσεις τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραίμ*· Ἐνετίῃσι, 1720). Ἐκ τῶν εἰς τὰς Γραφὰς αὐτοῦ ὑπομνημάτων περιέχονται τεμάχια καὶ εἰς τὴν Ὀκτάτευχον, καὶ εἰς τὸν Ἰώβ. Ἐν πᾶσι δὲ τοῖς αὐτοῦ συγγράμμασιν ὁ θεῖος Πατὴρ τὰς γραφικὰς μαρτυρίας ἐκφέρει κατὰ τοὺς Ο (περὶ δὲ τῶν τῇ Πεσχίτᾳ συμφωνούντων προείπομεν. Βιβλ. Γ. σελ. 898). Ὅτι δὲ καὶ χρονολογεῖ κατὰ τοὺς Ο, καὶ τοῖς *Ἀναγινωσκομένοις* ἰδίως καλουμένοις ἱεροῖς τεύχεσιν, ὡς θείαις κέχρηται Γραφαῖς, προείρηται καὶ περὶ τούτων (ὄπισθ. σελ. 202, 206, 211, 217 καὶ Βιβλ. Γ. σελ. 783).

§. ρις. Βασίλειος ὁ μέγας (τῷ 370), ὁ οὐρανοφάντωρ τῆς Ἐκκλησίας διδάσκαλος, ἡ τῶν θείων δογμάτων ἀπαρέγκλιτος στάθμη, οὗ τὸν μὲν ἁγιώτατον βίον ὁ φίλος καὶ ὁμότροπος Γρηγόριος ὁ Θεολόγος ἐζωγράφησεν (Ἐπιταφ. εἰς τὸν Μ. Βασίλ.), τὸ δὲ κύριον καὶ καθαρὸν καὶ εὔσημον τοῦ λεκτικοῦ, καὶ τῆς ὅλης φράσεως τὴν λαμπρότητα καὶ γλυκύτητα διέγραψεν ὁ κριτικώτατος Φώτιος (Ἀναγ. ρμε). Καὶ οὗτος τοίνυν ἐν τοῖς ἱεροῖς αὐτοῦ συγγράμμασι μίαν οἶδε θείαν παλαιὰν Γραφήν, τὴν τῶν Ο. Ἀλλ' ἡ τόλμη τῆς Ὀδίου κριτικῆς προσῆλθε καὶ πρὸς τοῦτο τὸ ἀδαμάντινον τεῖχος τοῦ θείου κύρους τῶν Ο, πειρωμένη, εἴπως εὕροι τόπον εὐεπίβατον. Καὶ πρῶτον προβάλλει τὰ ἐν τῇ Δ' εἰς τὴν Ἑξαήμερον ὁμιλίᾳ τοῦ θείου Πατρὸς εἰρημένα περὶ τοῦ «*Καὶ συνήχθη τὸ ὕδωρ*» κτλ. (Γεν. α, 9)· Ὅτι ταῦτα «οὔτε τινὲς τῶν λοιπῶν ἐκδεδώκασιν ἑρμηνέων, οὔτε ἡ χρῆσις τῶν ἑβραίων ἔχουσα φαίνεται· καὶ γὰρ τῷ ὄντι παρέλκει» κτλ. (τόμ. α. σελ. 50). Ἰδοὺ (φησιν ὁ κριτικὸς), πῶς καὶ ὁ Μ. Βασίλειος ἀποῤῥίπτει τὴν περὶ ἧς ὁ λόγος φράσιν τῶν Ο, διότι οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ! Ἀλλὰ

τούτους μὲν τοὺς λόγους ὅτι οὐκ αὐτὸς ὁ Μ. Βασίλειος ἔγραψεν, ἅλις ἀποδέδεικται (α). Ὅδιος δὲ καὶ δεύτερον παράδειγμα φέρει, διδάσκων ἐπιςαμένως, «ὅτι καὶ τὴν ἐκ τοῦ ἑβραϊκοῦ (καθὼς λέγει) μεθερμηνευθεῖσαν Συριακὴν ἑρμηνείαν ὁ Πατὴρ μνημονεύει· καίτοι δὲ ταύτην μὴ τῆς τῶν Ο προτιμᾷ, ἀλλ᾽ ὅμως (ἐξ ὧν λέγει περὶ αὐτῆς) εἰς τὸ ἑβραϊκὸν κείμενον καταφεύγειν *ἀείποτε* διὰ τοῦ ἰδίου παραδείγματος συμβουλεύει καὶ παραγγέλλει»· καὶ μεταγράφει Ὅδιος μέρος τῆς ἐφεξῆς χρήσεως τοῦ Πατρός. «Πῶς οὖν (πνεῦμα Θεοῦ) ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος; (Γεν. α, 2). Ἐρῶ σοι οὐκ ἐμαυτοῦ λόγον, ἀλλὰ Σύρου ἀνδρὸς, σοφίας κοσμικῆς τοσοῦτον ἀφεστηκότος, ὅσον ἐγγὺς ἦν τῆς τῶν ἀληθινῶν ἐπιστήμης. Ἔλεγε τοίνυν τὴν τῶν Σύρων φωνὴν ἐμφαντικωτέραν τε εἶναι, καὶ διὰ τὴν πρὸς τὴν ἑβραΐδα γειτνίασιν μᾶλλόν πως τῇ ἐννοίᾳ τῶν Γραφῶν προσεγγίζειν.—Τὸ *ἐπεφέρετο*, φησὶν, *ἐξηγοῦνται* ἀντὶ τοῦ συνέθαλπε καὶ ἐζωογόνει τὴν τῶν ὑδάτων φύσιν, κατὰ τὴν εἰκόνα τῆς ἐπωαζούσης ὄρνιθος, καὶ ζωτικήν τινα δύναμιν ἐνιείσης τοῖς ὑποθαλπομένοις. Τοιοῦτόν τινά, φησιν, ὑπὸ τῆς φωνῆς ταύτης (τῆς *ἐπεφέρετο*) παραδηλοῦσθαι τὸν νοῦν, ὡς ἐπιφερομένου τοῦ πνεύματος, τουτέςι πρὸς ζωογονίαν τὴν τοῦ ὕδατος φύσιν παρασκευάζοντος» κτλ. (τόμ. α. σελ. 24) (α). Ταῦτα ὁ Οὐρανοφάντωρ, ὅςις

(α) Βλ. ὄπισθ· Βιβλ. Γ. σελ. 454. Πρὸς δὲ τοῖς εἰρημένοις ἐκεῖ τεκμηρίοις, ὅτι παρέγγραπτος, καὶ οὐ τοῦ Μ. Βασιλείου ἐστὶν ἡ περικοπὴ, πρόσθες καὶ τὸ ἐφεξῆς λαμπρότατον δεῖγμα. Ἐξηγήσας ὁ Πατὴρ τὸ (ςχ. 9) « Συναχθήτω τὸ ὕδωρ . . . καὶ ὀφθήτω ἡ ξηρά » (μεθ᾽ ὃ παρέπεται ἡ περὶ ἧς ὁ λόγος περικοπὴ), καὶ μεταβὰς εἰς τὸ (ςχ. 10) « Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν» κτλ. ἐπιφέρει· «Διατί καὶ ἐν τοῖς κατόπιν» (τουτ. τοῖς ἀνόπιν, ἢ ἀνωτέρω, ὡς μείνασι κατόπιν τοῦ λόγου προχωρήσαντος) «εἴρηται τὸ, Συναχθήτω τὰ ὕδατα, . . καὶ ὀφθήτω ἡ ξηρὰ, ἀλλ᾽ οὐχὶ γέγραπται καὶ ὀφθήτω ἡ γῆ; καὶ ἐνταῦθα πάλιν «ὤφθη ἡ ξηρὰ, καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν; κτλ. (τόμ. α. σελ. 50). Ὅτι δὲ τὸ «ὤφθη ἡ ξηρὰ» μέρος ἐστὶ τοῦ « Καὶ συνήχθη τὸ ὕδωρ » κτλ. φανερόν. Ὥστε ὡς γνήσιον ἀνέγνω καὶ ἡρμήνευσε τὸ κόμμα ὁ Μ. Βασίλειος· ἡ δὲ τοῦτο ὡς παρέλκον ὀβελίζουσα περικοπὴ διεσκεύασται μεταξὺ τῶν λόγων τοῦ θείου Πατρός.

(α) Οὕτω καὶ αὐτὸς ὁ μακάριος Ἐφραὶμ τοῖς Ο παρακολουθῶν, ἐξηγεῖ τὴν Συ-

εἰπὼν πρότερον, ὅτι τὸ *πνεῦμα Θεοῦ, κατά τινας, σημαίνει τοῦ ἀέρος τὴν χύσιν, κατ' ἄλλους δὲ τὸ Πνεῦμα τὸ ἅγιον* («Ὅ φησι καὶ μάλιστα ἀληθέστερον, καὶ τοῖς πρὸ ἡμῶν ἐνεκρίθη»), ἐπέφερε τὴν δεῖξιν καὶ ὡς ἐκ ταύτης τῆς τοῦ Σύρου ἐξηγήσεως· καὶ τέλος, συμπεραίνει θεολογῶν, ὅτι «*οὐδὲ τῆς δημιουργικῆς δυνάμεως τὸ Πνεῦμα τὸ ἅγιον ἀπολείπεται*». Ἐν τούτοις οὖν τοῖς λόγοις φαίνονται σαφῶς τὰ ἐφεξῆς. α) Ὅτι ὁ θεῖος Πατὴρ λέγει λόγον οὐχ ἑαυτοῦ, ἀλλὰ Σύρου σοφοῦ (τὸν ἅγιον Ἐφραὶμ ἐννοῶν). β) Ὅτι τῶν Σύρων ἡ γλῶσσα, ὡς τῇ ἑβραΐδι πλησιάζουσα, μᾶλλόν πως προσεγγίζει πρὸς τὴν σημασίαν τῶν φωνῶν τῆς ἑβραϊκῆς Γραφῆς. γ) Ὅτι δυνάμει τῆς Συριακῆς λέξεως καὶ ὁ Σύρος Ἐφραὶμ, καὶ αὐτὸς ὁ Μ. Βασίλειος ἐξήγουν αὐτὸ τὸ τῶν Ο *ἐπεφέρετο*, οὐκ ἀποβάλλοντες τὴν φωνὴν, ἀλλὰ διαλευκαίνοντες, καὶ προσδιορίζοντες τὸν τρόπον, πῶς *ἐπεφέρετο* τὸ Πνεῦμα· καὶ περὶ τούτου μόνου τοῦ ῥήματος ὁ λόγος ἐστὶ τῷ Πατρὶ, δι' ὃ καὶ τῆς Συριακῆς ἑρμηνείας ἐμνήσθη. Ποῦ λοιπὸν εὗρεν ἐν τούτοις Ὅδιος ἃς ἀπερεύγεται παχυρῥημοσύνας; ἢ ὅτι ἡ Συριακὴ ἑρμηνεία, ᾗ περ ὁ μακάριος Ἐφραὶμ ἐχρῆτο, ὑπῆρχεν ἐκ τοῦ ἑβραϊκοῦ; (ὅπερ ἐστὶ ψευδές. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 895)· ἢ ὅτι ὁ Μ. Βασίλειος διὰ τοῦ ἰδίου παραδείγματος παραγγέλλει *πρὸς τὸν Ἑβραῖον ἀείποτε καταφεύγειν* (παραμελοῦντας δηλονότι τῶν Ο); ἢ, τέλος, ὅτι ἡ τῆς ἑβραΐδος συγγενὴς Συριακὴ *μᾶλλόν πως προσεγγίζουσα τῇ ἐννοίᾳ τῶν Γραφῶν*, προσεγγίζει λοιπὸν ἀκριβῶς καὶ ἀπολύτως ἐπὶ *πάντων καθόλου* τῶν νοημάτων, καὶ ἑπομένως ἡ ἑλληνὶς ἑρμηνεία τῶν Ο, ἀπεσχοίνισται μακρὰν τῆς κυρίας ἐννοίας τῶν Γραφῶν; Ταῦτα οὐκ ὄνειρος; Ἀλλὰ περὶ τῶν διαφόρων ἰδιωτισμῶν τῶν

ριακὴν λέξιν καὶ ὡς ἐκ τῆς ἐπωαζούσης, ἢ τοὺς νεοσσοὺς ἐπιθαλπούσης ὄρνιθος κτλ. (Α,18,143: καὶ 529: καὶ Β,552). Καὶ τὸ σύστοιχον ἑβρ. Rachaph σημαίνει καὶ τὸ ἐπωάζω incubo (βλ. Gesen. Lex. Hebr p. 934: καὶ Rosenmül. εἰς Γένεσ. αὐτόθ.). Ὁ δὲ Ἰώσηπος τὸ τῶν Ο ἐ π ε φ έ ρ ε τ ο πάντως ἔχων πρὸ ὀφθαλμῶν, ἔγραψε «Πνεύματος ἄνωθεν ἐ π ι θ έ ο ν τ ο ς» (Ἀρχαιολ. Α, ε), καὶ Ἱερώνυμος, ferebatur (ἐφέρετο) ἔγραψε (Βουλγάτ.), καὶ ἄλλαι τῶν νεωτέρων ἑρμηνειῶν.

γλωσσῶν, ἐῤῥέθησάν τινα καὶ ἐν τοῖς ἔμπροσθεν. Ἤδη δὲ λέγει πρὸς τὸν Ὄδιον ὁ γραφικώτατος Διόδωρος ὁ Ταρσοῦ ἐπίσκοπος (περὶ τούτου δὴ τοῦ *ἐπεφέρετο* τὸν λόγον ποιούμενος), ὅτι «Τὰ ἀφ' ἑτέρας γλώσσης εἰς ἑτέραν μεταγόμενα νοήματα, εἴ τις καὶ τῇ λέξει δουλεύειν, ἀφ' ἧς ἡρμήνευται, πειρῷτο, καὶ ταύτην μετάγειν, ἀποσφαλήσεται τῆς διανοίας». κτλ. Οἱ δὲ Ο, θαυμαστῶς ἀπέδωκαν τὴν ἔννοιαν τῆς ῥήσεως διὰ τοῦ *ἐπεφέρετο*, μὴ δουλεύσαντες κατὰ γράμμα τῇ ἀντιστοιχούσῃ ἑβραϊκῇ λέξει, ἣν οὐδόλως ἔστεγεν ἡ ἑλληνικὴ τοῦ νοήματος ἑρμηνεία· (ἢ πῶς ἂν εἶχον εἰπεῖν, «Πνεῦμα Θεοῦ *ἐπώαζεν*, ἢ *ἐπενεόττευεν*, ἢ *ἐπέθαλπεν* ὡς ὄρνις, ἐπάνω τοῦ ὕδατος;). Ἀλλὰ περὶ τούτου μὲν πλείω Διόδωρος ἐρεῖ μετ' ὀλίγον, (§. ρκθ), οὗ τὴν χρῆσιν καταγράφομεν τελειοτέραν, ἢ ὡς Ὄδιος αὐτὴν ἔγραψεν ἐκεῖ, συντετριμμένην καὶ ταύτην ἐξενεγκών. Νῦν δὲ θεωροῦμεν καὶ ἄλλας τοῦ κριτικοῦ παρεκτροπὰς, εἰς ὅσας καὶ ἔν τισιν ἄλλοις τοῦ Μ. Βασιλείου χωρίοις ἐξώκειλε.

Ἐν τῷ Β' λόγῳ κατ' Εὐνομίου λέγει ὁ Πατήρ. «Ὅτι ἄλλοι τῶν ἑρμηνέων, οἱ *καιριώτερον* τῆς σημασίας *τῶν ἑβραϊκῶν καθικόμενοι*, *Ἐκτήσατό με*, ἀντὶ τοῦ *Ἔκτισεν* ἐκδεδώκασιν, ὅπερ μέγιστον αὐτοῖς» (τοῖς Εὐνομιανοῖς) «ἐμπόδιον ἔσται πρὸς τὴν βλασφημίαν τοῦ κτίσματος· ὁ γὰρ εἰπὼν *Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ* (Γεν. δ. ε), οὐχὶ κτίσας τὸν Κάϊν, ἀλλὰ γεννήσας, ταύτῃ φαίνεται χρησάμενος τῇ φωνῇ» (τόμ. Β. σελ. 59). Ἰδού φησιν Ὄδιος, πῶς καὶ ὁ Μ. Βασίλειος εἰς τὴν Ἀκύλα ἑρμηνείαν (ὡς καιριωτέραν τῶν Ο) καταφεύγει!— Ἀλλὰ τὸ μὲν *καιριώτερον* εἶπεν ὁ Μ. Βασίλειος κατὰ τὴν Ὠριγένους ἔννοιαν, ὡς ἐκείνου πρῶτον εἰπόντος, ὅτι «Ακύλας ἦν *πεπιστευμένος παρ' Ἰουδαίοις* φιλοτιμότερον ἑρμηνευκέναι,— καὶ πάντων μάλιστα ἐπιτετευγμένως» (π. Ἀφρικαν.)· καὶ τοῦτο δὲ λέγει ὁ Πατὴρ περὶ μόνου τοῦ *ἐκτησάμην*, ὡς προσφορωτέρου πρὸς φανερώτερον ἔλεγχον τῶν βλασφημούντων· ἀλλὰ μήπως εἶπε καὶ τὸ ἔκτισε μὴ *καίριον*; ἢ καὶ πλανηθέντας περὶ τὴν λέξιν τοὺς Ο; ἀλλ' αὐτὸς ἐκ τούτων μάλιστα τῶν Ο λαμβάνει τὸ «*Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ*

Θεοῦ» πρὸς ἀπόδειξιν τῆς σημασίας τοῦ κατὰ τὸν Ἀκύλαν *ἐκτήσατό με*. Ὅτι δὲ καὶ μικρῷ πρὶν ἀναφέρῃ τὴν Ἀκύλα ταύτην ἑρμηνείαν, λέγει «πολλῷ ἀκολουθοτέραν τὴν ἔννοιαν τῆς προκειμένης λέξεως (τοῦ ἔκτισε), καὶ μηδένα κίνδυνον φέρουσαν» (αὐτόθ.), τοῦτο παρεσιώπησεν Ὅδιος. Τελευταῖον, ἐπελάθετο παντελῶς ὁ κριτικὸς, ὅσα καὶ περὶ τοῦ *ἔκτισεν* ἰδίως ἐν τῷ Δ κατὰ Εὐνομίου (σελ. 105) ἡ μεγάλη Σάλπιγξ τῆς Ἐκκλησίας θεολογεῖ, λέγων. «Ληπτέον οὖν τὸ μὲν *ἐγέννησεν* ἐπὶ τοῦ Θεοῦ υἱοῦ, τὸ δὲ *ἔκτισεν* ἐπὶ τοῦ τὴν μορφὴν τοῦ δούλου λαβόντος» (πρβλ. Γρηγ. Ναζ. λόγ. λς).

Καὶ ἄλλους δέ τινας τοῦ Μ. Βασιλείου τόπους παρήγαγεν Ὅδιος, ἐν οἷς δῆθεν ὁ Πατὴρ ἀποκλίνει πρὸς τὰς Ἀκύλα καὶ Συμμάχου ἑρμηνείας μᾶλλον, ἢ πρὸς τοὺς Ο, τὰ ἑξῆς. α) Ἐν Ψαλμῷ λζ, λέγει· «Ἀπὸ προσώπου *τῆς ὀργῆς σου* (οἱ Ο), ἀντὶ δὲ τοῦ *ὀργῆς* ὅ,τε Ἀκύλας καὶ ὁ Σύμμαχος ἀπὸ προσώπου *ἐμβριμήσεώς σου* ἡρμήνευσαν».– Καὶ, «*Ἀπὸ προσώπου* τῶν ἁμαρτιῶν μου» (οἱ Ο), ἀνθ' οὗ ὁ Σύμμαχος, *διὰ τὰς ἁμαρτίας μου*». Καὶ, «Ἀντὶ τοῦ, *αἱ ψόαι μου* ἐπλήσθησαν ἐμπαιγμάτων» (οἱ Ο), ὁ Ἀκύλας, ὅτι ἐπληρώθησαν *αἱ λαγόνες μου ἀτιμίας*, ἐκδέδωκε». Καὶ, «*Ὠρυόμην ἀπὸ στεναγμοῦ* τῆς καρδίας μου» (οἱ Ο), ἢ κατὰ τὸν Ἀκύλαν, *ἐβρυχόμην ἀπὸ βρυγμοῦ* τῆς καρδίας μου» (τόμ. α. σελ. 239, 242). Καὶ ἀλλαχοῦ δὲ τῶν Ψαλμῶν παρέβαλεν ὁ θεῖος Πατὴρ ἔστιν ὅπου καὶ τὰ τῶν ἄλλων ἑρμηνευτῶν (ὃ παρέλιπεν Ὅδιος)· οἷον καὶ εἰς τὸν νθ, Ψαλμ. ἐπὶ τοῦ «*Μωὰβ λέβης*» κτλ. ἐσημείωσεν ὅμοια τοῖς τοῦ Εὐσεβίου (βλ. ὄπισθ. σελ. 507). Ἀλλ' ἐν τοῖς τοιούτοις τίς οὐ βλέπει, ὅτι πρὸς τοῖς τῶν Ο συμπαρεξετάζει καὶ τὰ τῶν λοιπῶν ὁ Πατὴρ, ὡς ὑπηρετούντων πρὸς ἐπεξήγησιν καὶ διασάφησιν αὐτῶν τῶν κατὰ τοὺς Ο φωνῶν, καὶ τῶν διαφόρων τοῦ νοήματος ἐκδοχῶν; Τίς δὲ πάλιν οὐ θαυμάζει, θεωρῶν τῆς Ὀδίου κρίσεως τὸ εὐρίπιστον, ὅστις ἐκλέξας τὰς ἐν τῷ Ψαλμῷ παραβληθείσας δύω καὶ τρεῖς λέξεις τῶν ἄλλων ἑρμηνευτῶν, παρεῖδεν ὅλους τοὺς κατὰ τοὺς Ο λόγους, οὓς αὐτοὺς καὶ μόνους κυρίως ἡρμήνευεν ὁ Πατήρ; Τί δὲ περὶ τούτων ἐφρόνει, ἔδειξεν εὐθὺς ἐν

τῷ προοιμίῳ τῆς ἐξηγήσεως αὐτοῦ τούτου τοῦ λζ, Ψαλμοῦ, λέγων «*Οἱ τῆς θεοπνεύστου Γραφῆς λόγοι* στήσονται ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ. Ἐλέγξω γάρ, φησι, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου» κτλ.— β) Ἐν τοῖς εἰς Ἡσαΐαν ὑπομνήμασι (τόμ. α. σελ. 837) γράφει ταῦτα ὁ μεγαλώνυμος ἅγιος. «Ἀντὶ τῆς *μεγάλης ἡμέρας* (οἱ Ο, Ἡσαΐ. α, 13), οἱ λοιποὶ ἐκδεδώκασι *κλητήν*· ὁ μὲν γὰρ Θεοδοτίων, *κλητὴν ἐπίκλητον*, ὁ δὲ Σύμμ. *κλητὴν ἐπίκλησιν*. Ὅθεν λογιζόμεθα, μὴ *μίαν ἐξαίρετον* μεγάλην εἰρῆσθαι, ἀλλὰ πᾶσαν τὴν προσαγορευθεῖσαν κλητήν.... πάσας τὰς ἐπισήμους ἑορτὰς» κτλ. (Καὶ ταῦτα ἐπεξήγησις τῆς *μεγάλης ἡμέρας*, ὡς ἀνέγνων οἱ Ο). Εἰς Ἡσαΐ. γ, 18 (σελ. 921) λέγει· «Σαφέστερον δὲ τοὺς (ὡς οἱ Ο) *μηνίσκους* ἕτερος (ὁ Σύμμ.) ἐξέδωκεν εἰπών, καὶ τοὺς *μανιάκας*» (Καὶ μήπως τὸ *σαφέστερον* σημαίνει τὸ θειότερον, ἢ γνησιώτερον; ἀλλ᾽ ὁ θεῖος Πατὴρ αὐτὰς τὰς αὐτόθι *λέξεις* τῶν Ο, *λέξεις* ὀνομάζει τοῦ *Πνεύματος*, λέγων· «*Οὐ γὰρ σεμνότεροι τοῦ πνεύματος ἡμεῖς*, ὡς ἀπαξιοῦν τὰς *ἐν τῇ γραφῇ* λέξεις διερευνᾶσθαι»). Πάλιν (σελ. 924) ἐξηγήσας τὸ *θέριστρα κατάκλιτα* (Ἡσαΐ. γ, 23), ἐπιφέρει· «Καίτοι τὸ *κατάκλιτα* οὐ δὲ ἐκδεδώκασιν οἱ λοιποί, διὸ καὶ ὠβέλισται, ὡς οὐδένα νοῦν ἐμφαῖνον» (Ἀλλὰ τὸ *οὐδένα νοῦν ἐμφαῖνον* ἀναφέρεται εἰς τοὺς ὀβελίσαντας (ὡς τοιοῦτό τι νομίσαντας περὶ τῆς λέξεως), οὐκ εἰς αὐτὸ τὸ *κατάκλιτα*· τούτου γὰρ τὸν νοῦν οὗτος αὐτὸς πάλιν ἀκριβῶς ἐξήγησε· «τὰ ἐν τῷ *κατακλίνεσθαι* δι᾽ ὑπερβολὴν τρυφῆς ταῖς *κλίναις* ἐπιβαλλόμενα». Εἰ δὲ καὶ αὐτὸς τοῦτ᾽ ἔλεγεν ὁ Πατὴρ, ὑποπτεύσας, διὰ τὸν Ὠριγένους ὀβελισμόν, ὅτι τὸ *κατάκλιτα* παρεισέφρησεν εἰς τὸ ἱερὸν κείμενον ἀπό τινος τῶν ἀντιγραφέων, μήπως ἐπαύσατο παρὰ τοῦτο σεβόμενος τὸ θεῖον κῦρος τῶν Ο;) - γ) Διεσάλπισε πάλιν ὁ Ὅδιος καὶ τὰ εἰς τὸ Ι, κεφάλαιον τοῦ Ἡσαΐου ῥήματα τοῦ Πατρὸς ἐκεῖνα· «Ὅτι Παῦλος ὁ Ἀπόστολος Ἑβραῖος ὤν, οὐκ ἐδούλευσε ταῖς ἐκδόσεσιν, αἷς ἡμεῖς συγκεχρήμεθα, . . . ἑρμηνεύσας τὸ ῥητόν, ὡς αὐτῷ παρέστη» κτλ. (σελ. 1057)· ἀλλ᾽ ἤκουσε περὶ τούτου τὴν ἀπάντησιν ἐν τοῖς προ-

λαβοῦσα (σελ. 293). Ἀλλά (φησι) καὶ ἀλλαχοῦ εἰς τὸν Ἡσαΐαν (β; 21) σημειοῖ ὁ Μ. Βασίλειος, ὅτι λείπει κόμμα ὅλον, τὸ « *Παύσασθε ἀπὸ ἀνθρώπου, ᾧ ἀναπνοὴ ἐν τῷ μυκτῆρι αὐτοῦ, ὅτι ἐν τίνι ἐλογίσθη αὐτοῖς* » (ἄλλοι, αὐτῷ· ἄλλ. αὐτός)· « Ἐν τοῖς ἀντιγράφοις (λέγει) τῆς Κοινῆς ἐκδόσεως οὐ κεῖται τοῦτο, ἀλλ' ἐν τῷ ἑβραϊκῷ κειμένῳ, [καὶ] ἐκ τῶν λοιπῶν μετεκομίσθη » (σελ. 895). Ἀλλ' οὐδὲ νῦν κεῖται τὸ κόμμα ἐν τοῖς ἀρχαιοτάτοις ἀντιγράφοις (τῷ Βατικανῷ καὶ Ἀλεξανδρινῷ· ἐν δὲ τούτῳ πρῶτος ὁ Γράβης προσέθηκε τὰς λέξεις ἐν τῇ κατ' αὐτὸν ἐκδόσει, μεταλαβὼν ἐκ τῆς Ἄλδου καὶ Κομπλουτείας ἐκδόσεως, ὅπου κεῖται προστεθὲν ἐκ τῶν Ἑξαπλῶν· ὅθεν ἔχει τοῦτο καὶ ὁ ἱερὸς Θεοδώρητος, μέχρι τοῦ, « *ἐν μυκτῆρι αὐτοῦ* »· ἑρμην. αὐτόθ. καὶ ὁ Προκόπιος· ὁ δὲ Κύριλλος ὁ Ἀλεξανδρείας οὐκ ἔχει ἐν τοῖς εἰς Ἡσαΐ. ἐξηγήσεσι. Τόμ. β. σελ. 49). Λέγει τοίνυν ὁ θεῖος Πατήρ, ὅτι τοῦτο μετεκομίσθη ἐκ τῶν λοιπῶν ἑρμηνευτῶν, ἀλλ' οὐ προστίθησι καὶ ὅτι γνήσιόν ἐστιν αὐτοῦ τοῦ Ἡσαΐου τὸ ῥητὸν, οὐδ' ἔγραψεν, ὡς ὁ περὶ τὰ τοιαῦτα λίαν εὔκολος καὶ ταχυπειθὴς Ἱερώνυμος (εἰς Ἡσαΐ. αὐτόθ.) εἰπὼν, « ὅτι *παρέλιπον τοῦτο οἱ Ο* »! διὰ τί γὰρ καὶ παρέλιπον; πῶς δ' οὐ μᾶλλον ἐκ τούτου δῆλον, ὅτι οὐχ εὗρον τὸ ῥητὸν ἐν τοῖς κατ' αὐτοὺς γνησίοις ἀντιγράφοις; Ἠδύνατο γὰρ, ὡς ἄλλα τινὰ, καὶ τοῦτο παρεισφρῆσαι παρὰ τοῖς ὕστερον εἰς τὸ κείμενον τὸ ἑβραϊκόν· (φαίνεται δέ πως καὶ ἀσυνάρτητον πρὸς τὰ προηγούμενα)· καὶ ἐκ τοιούτου κειμένου ἡρμήνευσαν ὁ Ἀκύλας καὶ οἱ λοιποί· (κεῖται δὲ καὶ νῦν ἐν τῷ ἑβραϊκῷ, ἄλλως παρ' ἄλλοις ἑρμηνευόμενον· καὶ αὐτὸς Ἱερώνυμος διαφέρεται πρὸς τὸν Ἀκύλαν ἐν ταῖς τελευταίαις λέξεσι τοῦ κόμματος). Κἂν δὲ τεθῇ πάλιν, ὅτι τὸ κόμμα διεξέπεσεν ἐκ τῆς Κοινῆς ἐκδόσεως τῶν Ο, ἀλλ' ἐπανῆλθεν αὖθις, ἐκ τοῦ πλεῖστα τῶν Ο μεταγράψαντος Θεοδοτίωνος ἔκπαλαι προστεθὲν (ὡς κεῖται ἤδη ἐν ταῖς εἰρημέναις ἐκδόσεσι, καὶ παρ' αὐτῷ τῷ Μ. Βασιλείῳ, καὶ τῷ Θεοδωρήτῳ κτλ.). Ἀλλ' ἐκ τῶν τοιούτων περὶ τὰς ἀντιγραφὰς εὐϊάτων συμπτωμάτων (ὁποῖα συνέβησαν ἐν πᾶσι τοῖς ἀρχαίοις ἀντιγράφοις, καὶ αὐτῆς τῆς Καινῆς Διαθήκης), ποῖος προστρίβεται

μῶμος εἰς τὴν ἁγιωτάτην ἑρμηνείαν τῶν Ο; ἢ μήπως καὶ αὐτὸς ὁ θεῖος Πατὴρ ἐσμίκρυνε τὸ πρὸς αὐτὴν σέβας εἰπὼν, ὅτι ἐκ τῶν λοιπῶν *μετεκομίσθη* τὸ ῥητόν ;— Ἔσχατον, τέλος, καὶ οἷον ἄκρον ἄωτον τῶν ἐκ τοῦ Μ. Βασιλείου κριτικῶν κατὰ τῶν Ο παρατηρήσεων, ἐπέφερεν Ὄδιος τὸ ἑξῆς. «Εἰς τὸν μη, Ψαλμὸν ἀντὶ τοῦ «*Εἰσελεύσεται* ἕως γενεᾶς πατέρων αὐτοῦ» (κατὰ τοὺς Ο) ὁ Μ. Βασίλειος ἀνέγνω *εἰσελεύσῃ* κτλ. καὶ τοῦτο ἐξηγεῖ λέγων· «Τοσοῦτον οὖν, φησι, *παραγίνῃ* σὺ ὁ Θεός» κτλ. Τοῦτο δὲ (προστίθησιν Ὄδιος) τὸ *εἰσελεύσῃ* οὐ τῶν Ο, ἀλλὰ τῶν τριῶν ἐςιν (Α. Σ. Θ.), ὡς διδάσκει ὁ Θεοδώρητος.—ταῦτα ἐκεῖνος. Σὺ δ' ἐν τούτοις, ἀναγνῶσα, πάντως ἀπορήσεις, μαθὼν, ὅπως συνέχεε τὰ πράγματα ὁ κριτικός. Λέγομεν δὲ πρῶτον τὰς Θεοδωρήτου λέξεις αὐτάς. «*Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς* (Ψαλμ. μη, 19). Ἀντὶ τοῦ *εἰσελεύσεται*, *εἰσελεύσῃ* οἱ τρεῖς ἡρμήνευσαν· ὄψει, φησὶ, τοῦτον, πρὸς ὃν εἶπον, *Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος* (ςχ. 16), τὸν αὐτὸν τοῖς πατράσιν ὑπομένοντα θάνατον, καὶ οὐ μόνον τοῦ παρόντος φωτὸς, ἀλλὰ καὶ τοῦ αἰωνίου στερούμενον» (ἑρμην. αὐτόθ.)· ὅπου φανερῶς ὁ Θεοδώρητος οὐκ εἰς *τὸν Θεὸν*, ἀλλ' ἁπλῶς εἰς τὸν θεωρὸν, ἀναφέρει τὸ *εἰσελεύσῃ*, πρὸς ὃν εἶπε καὶ ἀνωτέρω ὁ Ψαλμῳδὸς τὸ «Μὴ φοβοῦ» κτλ. (α). Ὁ δὲ Μ. Βασίλειος ἐξηγήσας τὸν ἐγγυτέρω προηγούμενον στίχον «*Ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ*» (στίχ. 18), καὶ εἰπὼν, ὅτι «πρὸς τὸν Θεὸν ἤδη ποιεῖται τὸν λόγον», ἐπιφέρει· «*Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ*. Οἶμαι λέγειν *περὶ τοῦ ἁμαρτωλοῦ*, ὅτι τοσοῦτον ἐπιγινώσκει Θεὸν, ὅσον ἡ τῶν πατέρων αὐτοῦ συνήθεια παραδέδωκε» κτλ. Ὥστε τὸ *εἰσελεύσεται* ἀναφέρει ὁ Πατὴρ εἰς τὸν ἁμαρτωλόν. Μετ' ὀλίγα δὲ πάλιν πολλαχῶς γυμνάζων τὴν ἐξήγησιν, καὶ συνάπτων τὴν ἔννοιαν πρὸς τὸν προη-

---

(α) Εἰσελεύσῃ ἔχουσιν ἐκ τῶν τριῶν (Α. Σ. Θ.) καὶ τὰ Ἑξαπλᾶ (**Montf.** αὐτόθ.)· τὸ δὲ νῦν ἑβραϊκὸν καὶ ὁ Ἱερώνυμος ἔχουσιν ὡς οἱ Ο, **introibit**, εἰσελεύσεται.

γούμενον στίχον, τὸν «*Ἐξομολογήσεταί Σοι*» κτλ. σχηματίζει τὸν λόγον καὶ κατ᾿ ἀποστροφὴν πρὸς τὸν Θεὸν, λέγων· «Τοσοῦτον οὖν, φησι, *παραγίνῃ Σὺ*, ὁ Θεὸς (= *ὦ Θεέ*), καὶ τοσαύτη ἐστὶν αὐτῷ ἡ περὶ Σοῦ ἔννοια, ὅση ἐν τῇ γενεᾷ τῶν πατέρων αὐτοῦ ὑπῆρχε... διὰ τοῦτο *ἕως αἰῶνος οὐκ ὄψεται φῶς*». Ἀλλ᾿ ἐν τούτοις τὸ *παραγίνῃ* ΣΥ (καὶ ὀρθότερον ΣΟΙ, ὡς ἔχει καὶ ἡ εἰς τοὺς Ψαλμοὺς Σειρὰ τοῦ Κορδερίου), ὅτι πάντως ἐστὶν ἡμαρτημένη γραφὴ, πρόδηλον ἀπὸ τῆς ἐννοίας· γραπτέον οὖν, οἶμαι, *παραγίνεταί Σοι*· (τουτ. προσέρχεταί σοι δι᾿ ἐπιγνώσεως· οὕτω καὶ ὁ λατῖνος· accedit tibi, καὶ ἄλλος, aderit tibi, τουτ. παρέσται σοι, πλησιάσει σοι, ἢ προσελεύσεταί σοι, ὦ Θεὲ, ὁ ἁμαρτωλός) (α). Καὶ πάλιν δὲ, καὶ τρίτον ὁ Πατὴρ (διαφόρως ἐξηγῶν τὸ ῥητὸν) ἀπαραλλάκτως ἔγραψε τὸ *εἰσελεύσεται*· τῶν δὲ τριῶν ἑρμηνευτῶν τὴν ἀνάγνωσιν (τὸ *εἰσελεύσῃ*) οὔτ᾿ ἔγραψεν, οὔτ᾿ ἐμνημόνευσεν, οὔτ᾿ ἐνόησεν ὅλως ὁ Μ. Βασίλειος (βλ. τόμ. α. σελ. 290. ἐκδ. 1618). Ὁ δὲ κλεινὸς Ὅδιος οὔτε τὸ σχῆμα τῆς *ἀποστροφῆς* συνεῖδεν ἐν τῇ φράσει τοῦ Πατρὸς, καὶ ἐκ τοῦ προφανῶς ἡμαρτημένου *παραγίνῃ* ΣΥ (καί τοι μεγαλογραφήσας αὐτὸς τὴν τῆς ἀντωνυμίας ὀρθοτέραν λατινικὴν ἑρμηνείαν, aderit TIBI), ἐμάντευσε τὸ τῶν τριῶν ἑρμηνευτῶν δευτεροπρόσωπον *εἰσελεύσῃ*, καμμύσας ἑκὼν τοὺς ὀφθαλμοὺς πρὸς τὸ τῶν Ο *εἰσελεύσεται*, ὅπερ τρὶς ἔγραψεν ἐφεξῆς (ὁλόκληρον τὸν στίχον ἐξενεγκὼν), καὶ τρὶς ἡρμήνευσεν ὁ Πατήρ. Οὕτως ὁ πολὺς κριτικὸς φρικιῶν κατὰ τῶν Ο, καὶ εἰς πάμπλουτον ἰατρεῖον, τὰς συγγραφὰς τοῦ μεγάλου τῆς ἐκείνων ἑρμηνείας ἱεροφάντορος εἰσελθὼν, οὐδὲν ἄκος εὕρατο τοῦ νοσήματος· μικρὰ δὲ τρίμματα ῥιζίων συλλέξας, καὶ τούτοις, οὐχ ὡς ἔδει, χρησάμενος, ἐξῆλθε νοσερώτερος, ὁμόφρονα ἑαυτοῦ καὶ τὸν Μέγαν Βασίλειον ἀποδεῖξαι παντόλμως ἐπιχειρήσας!

Ἀλλ᾿ ἐξελέγχουσι τὴν πλάνην τοῦ κριτικοῦ μυρίαι τοῦ Οὐρα-

(α) Ὁ δὲ Γαρνιῆρος (Garnier ἐκδότης τοῦ Μ. Βασιλ. Paris. 1721) οὔτ᾿ ὀρθῶς ἔγραψε π α ρ α γ ί ν ῃ Σ ύ, οὔτ᾿ ἐπισταμένως προέκρινε τὴν γραφὴν τοῦ Ε ἰ σ ε λ ε ύ σ ῃ ἀντὶ τοῦ ε ἰ σ ε λ ε ύ σ ε τ α ι (Σημ. εἰς Μ. Βασιλ. τ. α. σελ. 188).

νοφάντορος μαρτυρίαι. Αὐτίκα ἐν αὐτῷ τῷ προοιμίῳ τῶν εἰς τὴν Ἑξαήμερον Θ, ὁμιλιῶν (ἐξ ὧν ἡμῖν Ὅδιος ἀνωτέρω τὰ καλὰ δείγματα παρεξέφερεν), εἰς τὸ «*Ἐν ἀρχῇ ἐποίησε*», πῶς ἄρχεται τῆς ἐξηγήσεως ὁ Πατήρ; «Πρέπουσά (φησιν) ἀρχὴ... (τὴν) *ἀρχὴν* τῆς τῶν ὁρωμένων διακοσμήσεως προθεῖναι τοῦ λόγου. — Ποία ἀκοὴ τοῦ μεγέθους τῶν λεγομένων ἀξία; ... Ἀλλὰ πρὶν ἐξετάσαι *τὴν ἐν τοῖς ῥήμασιν ἀκρίβειαν*, καὶ διερευνήσασθαι ἡλίκα τῶν μικρῶν φωνῶν τούτων ἐστὶ τὰ σημαινόμενα, ἐνθυμηθῶμεν, τίς ὁ διαλεγόμενος ἡμῖν.... Μωϋσῆς ἐκεῖνος — ὁ τῆς αὐτοπροσώπου θέας τοῦ Θεοῦ ἐξίσου τοῖς ἀγγέλοις ἀξιωθείς, *ἐξ ὧν ἤκουσε παρὰ Θεοῦ* διαλέγεται ἡμῖν. Ἀκούσωμεν τοίνυν *ἀληθείας ῥημάτων*, οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' *ἐν διδακτοῖς Πνεύματος* λαληθέντων» κτλ. Οὕτως ὁ μέγας τῆς Οἰκουμένης διδάσκαλος, ὡς αὐτοῦ τοῦ Μωσέως θεόπνευστα ῥήματα, τὰ τῶν Ο λόγια καὶ φρονεῖ καὶ διακηρύττει· καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ τούτων τῶν Ὁμιλιῶν, *θείας* αὐτὰ *φωνὰς*, καὶ *λόγια τοῦ Πνεύματος*, καὶ *θεόπνευστον διδασκαλίαν* ἀποκαλεῖ, καὶ «*μηδὲ μέχρι συλλαβῆς ἀργόν τι εἶναι τῶν θεοπνεύστων ῥημάτων*» διαῤῥήδην ἀποφαίνεται (σελ. 84 τόμ. α.). παραβάλλει δὲ πρὸς ἐξήγησιν καὶ ἄλλας ῥήσεις τῶν προφητῶν καὶ τῶν Ἀποστόλων, ὡς ἰσοδυνάμους καὶ ἰσοτίμους. Σημειωτέον δὲ (ὅπερ οὐ συνεῖδεν Ὅδιος), ὅτι καὶ ἐν τούτοις τοῖς οὕτως ἐκφαντορικοῖς μαρτυρίοις τοῦ θείου τῶν Ο κύρους, ἐμνημόνευσεν ὁ Πατὴρ καὶ τῶν ἄλλων ἑρμηνευτῶν ἐν παρόδῳ καὶ ἁπλῶς πρὸς ἐπεξήγησιν τῆς ἐννοίας. Ἐπειδὴ γὰρ πολλὰ περὶ τοῦ «*ἐν ἀρχῇ*» ὡς θεοφθέγκτου λέξεως διελέχθη, τὴν *κατὰ χρόνον* ἀρχὴν σημαινούσης (ἐναντίον τῶν ἄναρχον τὸν κόσμον ληρούντων), ἐπιφέρει καὶ ὅτι, τὸ «*Ἐν ἀρχῇ ἐποίησεν*» ἕτεροι τῶν ἑρμηνέων *σαφέστερον τὸν νοῦν* ἐκδιδόντες, εἰρήκασιν, «*Ἐν κεφαλαίῳ ἐποίησε*», τουτέστιν ἀθρόως καὶ ἐν ὀλίγῳ» (Ὁμιλ. α. σελ. 9). Οὕτως ὁ θεῖος Βασίλειος παρέβαλε καὶ τὴν Ἀκύλα ἐξήγησιν, ὡς πρὸς τὸν σκοπὸν τῆς ἑρμηνείας συντείνουσαν, οἷον ἀπὸ λεξικοῦ τὴν σημασίαν ἐκλαβών, ἢ καὶ ἄλλου τινὸς τῶν ἔξωθεν συγγρα-

φέων (ὁποίας καὶ φυσιολογικὰς, καὶ ἰατρικὰς, καὶ γεωγραφικὰς συμπαρέλαβε λέξεις, τὸ θεῖον κείμενον ἐξηγῶν). Βλέπε καὶ ἐν τοῖς ἑξῆς §. ριζ.

Πάλιν ἐν τῷ προοιμίῳ τῆς εἰς τοὺς *Ψαλμοὺς* ἐξηγήσεως λέγει· «Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος, διὰ τοῦτο *συγγραφεῖσα ὑπὸ τοῦ Πνεύματος*, ἵν᾿, ὥσπερ ἐν κοινῷ τῶν ψυχῶν ἰατρείῳ, πάντες *ἄνθρωποι τὸ ἴαμα τοῦ οἰκείου* πάθους ἕκαςος ἐκλεγώμεθα». Καὶ ἐφεξῆς ἰδίως τὸν ἐν τῷ Ψαλτῆρι θησαυρὸν τῶν θείων χαρίτων ἀπαριθμῶν, προστίθησι καὶ ὅτι «ἐν αὐτῷ ἔνι *θεολογία τελεία*» (τόμ. α. σελ. 127). Ὅτι δὲ οὐ μόνον κατὰ νόημα, ἀλλὰ καὶ κατὰ λέξιν θεόπνευστον καὶ τὴν ἑρμηνείαν τῶν Ψαλμῶν ἐπρέσβευεν ὁ Πατὴρ, ἀρκεῖ καὶ μία μόνον (ἵνα παραλίπωμεν ἄλλας), ἡ ἑξῆς αὐτοῦ μαρτυρία· «*Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη*». Σκόπει τῶν ῥημάτων τὸ ἀκριβές· [σκόπει] *πῶς ἑκάστη λέξις δογμάτων πεπλήρωται*· οὐκ εἶπεν, ὃς οὐ πορεύεται ἐν βουλῇ ἀσεβῶν, ἀλλ᾿ *ὃς οὐκ ἐπορεύθη*» κτλ. Πολλὰ δὲ καὶ ἀλλαχοῦ, οἷον ἐν τοῖς εἰς τὸν Ἡσαΐαν ὑπομνήμασι, καὶ ἐν τοῖς περὶ τοῦ Βαπτίσματος (λόγ. β. ἐρωτ. δ), περὶ τῶν λέξεων τῆς θείας Γραφῆς ὡς *διὰ στόματος Θεοῦ ἐκπορευομένων* διδάσκει (βλ. σελ. 687 κτξ.). Μαρτυρεῖ δὲ καὶ ὅτι, «*Ἀνθίστανται Ἰουδαῖοι τῇ ἐκδόσει τῶν Ο*»· καὶ τὰς *ἰουδαϊκὰς ἐπηρείας* φυλάττεσθαι παραγγέλλει, (τὰ περὶ τῆς ψευδοῦς ἑρμηνείας τοῦ, *ἰδοὺ ἡ νεᾶνις*, ἀντὶ τοῦ γνησίου *ἰδοὺ ἡ παρθένος*, ἀκριβῶς σημειῶν. σελ. 589 καὶ 1005). Καὶ αὐτῶν δὲ τῶν Ο γεραίρει τὴν εὐλάβειαν, μεθ᾿ ἧς οὗτοι, «Οἱ ἐξ ἀρχῆς τὴν Ἑβραίων διάλεκτον εἰς τὴν ἑλλάδα γλῶσσαν μεταβαλόντες, τινῶν ὀνομάτων τῆς ἑρμηνείας οὐ κατετόλμησαν, ἀλλ᾿ αὐτὴν τὴν ἑβραϊκὴν ἐκφώνησιν μετεκόμισαν, ὡς τὸ Σαβαὼθ, καὶ τὸ Ἀδωναῒ, καὶ τὸ Ἑλωῒ, καὶ εἴτι τοιοῦτον, οὐκ ἐπὶ τῶν θείων ὀνομάτων μόνον, ἀλλὰ καὶ ἐπὶ ἄλλων πλειόνων τὴν εὐλάβειαν ταύτην ἐπιδεικνύμενοι» (κατὰ Εὐνομ. λόγ. β. τόμ. β. σελ. 44). Καυχᾶται δὲ καὶ εἰς τὴν ἄκομψον καὶ ἀμαθῆ φαινομένην φράσιν τῶν θεοπνεύστων Γραφῶν· «Ἡμεῖς» (λέγει πρὸς τὸν ἀττικίζοντα σοφιςὴν Λιβάνιον), «Μωσῇ καὶ

Ἠλίᾳ καὶ τοῖς οὕτω μακαρίοις ἀνδράσι σύνεσμεν, ἐκ τῆς βαρβάρου φωνῆς διαλεγομένοις ἡμῖν τὰ ἑαυτῶν, καὶ τὰ παρ' ἐκείνων φθεγγόμεθα, νοῦν μὲν ἀληθῆ, λέξιν δὲ ἀμαθῆ, ὡς αὐτὰ ταῦτα δηλοῖ» (ἐπιστ. 146. τόμ. 6. σελ. 940). Ἀλλὰ καὶ οὕτως ἔχουσαν τὴν λέξιν, ἢ φράσιν τῶν Γραφῶν, *δεδοκιμασμένην ὑπὸ τοῦ παναγίου Πνεύματος*, καὶ θεόφθεγκτον ἀνακηρύττει. «Ἐπειδὴ(λέγει) *τῶν τε ὀνομάτων* καὶ τῶν πραγμάτων, [τῶν] ἐν τῇ συνηθείᾳ, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε κατὰ τὸ συμβὰν τὴν χρῆσιν παραλαμβάνεσθαι δοκῶ ἐν τῇ θεοπνεύστῳ Γραφῇ *παρά τε Θεοῦ*» (τοῦ Πατρὸς, ὅταν λαλῇ), «*καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ τῶν ἁγίων Προφητῶν τε καὶ Εὐαγγελιστῶν καὶ Ἀποστόλων, ἀλλὰ δεδοκιμασμένως ἐν ἁγίῳ Πνεύματι πρὸς τὸν σκοπὸν τῆς εὐσεβοῦς φρονήσεως*,— ἀναγκαῖον καὶ ἡμᾶς ἐξητασμένως καὶ ἐπιτετηρημένως προσέχειν ἑκάστῳ ῥητῷ», κτλ· (τόμ. α. σελ 649). Καὶ, τέλος, τὰς λαμπρὰς καὶ πανιέρους ἐκείνας ἀφῆκε φωνάς· «*Ἡμέτερα γάρ ἐστι τὰ θεῖα Λόγια, καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ὡς θεόπεμπτα δῶρα, καθ' ἕκαστον σύλλογον ὑπαναγινώσκεται, οἷόν τις τροφὴ ψυχῶν, χορηγουμένη διὰ τοῦ Πνεύματος*» (Ὁμιλ. εἰς τὸν νθ, Ψαλμ. τόμ. α. σελ. 294).

Ταῦτα, καὶ ἄλλα τοιαῦτα ἡ μεγάλη Σάλπιγξ τῆς Ἐκκλησίας διάτορον ἐξηχεῖ, καὶ διδάσκει πάντας Ὀδίους, περὶ τῆς ἑρμηνείας τῶν Ο· ἣν καὶ ἐμελέτα, καὶ ἡρμήνευε, καὶ αὐτῶν αὐτῆς τῶν ἀντιγράφων ἐπεμελεῖτο, ἀντιβάλλων αὐτὰ καὶ παρεξετάζων, ἵνα τὴν θεοφραδέσι πρέπουσαν Γραφαῖς ἀκρίβειαν διασῴζωσιν, ὡς ὁ Σύγκελλος μαρτυρεῖ (α).

(α). «Ἐν ἑνὶ δὲ ἀντιγράφῳ λίαν ἠκριβωμένῳ κατά τε στιγμὴν καὶ προσῳδίαν, ἐκ τῆς ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἐλθόντι εἰς ἐμὲ βιβλιοθήκης, ἐν ᾧ καὶ ἐπεγέγραπτο, ὡς ὁ μέγας καὶ θεῖος Βασίλειος τὰ, ἐξ ὧν ἐκεῖνο ἀπεγράφη, ἀντιβαλὼν, διωρθώσατο βιβλία· ἐν τούτῳ τοίνυν εὗρον κη, ἔτη τῆς βασιλείας Φακεέ». (Συγκ. Χρονογρ. σελ.382. Bon.). Ὅπου σημειούσθω ἐν παρόδῳ, ὅτι ἐπὶ τοῦ Μ. Βασιλείου ὑπῆρχον ἀντίγραφα τῆς θείας Γραφῆς γεγραμμένα καὶ μετὰ στιγμῶν, καὶ τόνων, καὶ τῶν ἄλλων προσῳδιῶν. βλ. καὶ Βιβλ. Γ. σελ. 288.

§. ριζ. Γρηγόριος ὁ τῆς ἐν Καππαδοκίᾳ Νύσσης καὶ πάσης τῆς Ἐκκλησίας φωστὴρ (τῷ 370), ὁμαίμων καὶ ὁμότροπος τοῦ Μ. Βασιλείου αὐτάδελφος, τὴν δ' ἡλικίαν νεώτερος. Συνέγραψε καὶ οὗτος εἰς τὴν Ἑξαήμερον, καὶ εἰς ἄλλα πολλὰ τῆς θείας Γραφῆς, καὶ εἰς τὰς τῶν Ψαλμῶν ἐπιγραφὰς, καὶ κατὰ Εὐνομίου λόγους ιγ, στηλιτεύων τὸν ἄθεον ἐκεῖνον, ἐφ' οἷς καὶ αὖθις, μετὰ τὴν μακαρίαν τοῦ Μ. Βασιλείου τελευτὴν, ἐτόλμησεν ἐκδοῦναι βλασφήμοις λης ήμασιν. Ἐν πᾶσι δὲ τοῖς καὶ εἰς ἡμᾶς ἀποσωθεῖσιν ἱεροῖς αὐτοῦ συγγράμμασι «τὴν μὲν φράσιν, εἴτις ἄλλος ῥητόρων, λαμπρὸς, καὶ ἡδονῆς ὠσὶν ἀποστάζων, - πλεονάζει δὲ καὶ τοῖς ἐνθυμήμασι, καὶ τοῖς παραδείγμασι» (Φώτ. Ἀναγ. ς.). Γραφικαῖς δὲ μαρτυρίαις ἀείποτε χρῆται ἐκ τῆς ἑρμηνείας τῶν Ο, μίαν ταύτην καὶ μόνην εἰδὼς καὶ οὗτος ἀποστολικὴν καὶ θεοπαράδοτον τῇ Ἐκκλησίᾳ Γραφὴν τῶν Προφητῶν, ἣν καὶ ἰδίως *Ἐκκλησιαστικὴν ἔκδοσιν* (τουτ. ἑρμηνείαν) ἀποκαλεῖ (εἰς Ψαλμ. η)-. Διαλεγόμενος δὲ περὶ τῶν εἰς τοὺς Ψαλμοὺς *ἐπιγραφῶν*, στηλιτεύει τοὺς Ἰουδαίους, ὡς ἐξαλείψαντας ἐκ τούτων δὴ τῶν ἐπιγραφῶν, ὅσαι περιέχουσιν ἐννοίας ἀναγομένας εἰς τῆς χριστιανικῆς πίστεως τὸ μυστήριον. «Τοῖς δέ (φησι) λοιποῖς (Ψαλμοῖς) ἐπιγραφαὶ μέν εἰσιν ἐκκλησιαστικαί τε καὶ μυστικαὶ, καὶ τῆς κατὰ τὸ μυστήριον ἡμῖν (ἴσ. *ἡμῶν*) εὐσεβείας σημαντικαὶ, ἀλλὰ τοῖς Ἑβραίοις οὐκ εἰσι· κατὰ τὴν γεγενημένην ἐν τῷ Εὐαγγελίῳ κατ' αὐτῶν κατηγορίαν, ὅτι *δόγμα ἔθεντο*, « [*ἵνα*], *εἴ τις ὁμολογήσειε τὸν Χριστὸν, ἀποσυνάγωγος γένηται*». Ὅσας τοίνυν ἐκεῖνοι τῶν ἐπιγραφῶν κατενόησαν ἔνδειξίν τινα περιέχειν τοῦ μυστηρίου, ταύτας οὐ παρεδέξαντο· διὸ καὶ παρεσημήνατο δι' ἀκριβείας ἐπ' αὐτῶν τὸ τοιοῦτον ὁ λόγος, τῇ ἀναγνώσει τῆς ἐκκλησιαστικῆς ἐπιγραφῆς προστιθείς» (ὡς ἐπιγέγραπται ἐν Ψαλ. λϐ, μϐ, ϙ, κτλ.), «ὅτι *παρ' Ἑβραίοις ἐστὶν ἀνεπίγραφος*» (κεφ. η. σελ. 307. τόμ. α). Τούτων τοίνυν τῶν ἐναργεστάτων τοῦ θείου Γρηγορίου λόγων μνημονεύσας Ὅδιος (ἐπειδὴ καὶ τὸν θεοφόρον τοῦτον Πατέρα σύμμαχον ἐκάλεσεν!), «Ἄδηλον, λέγει, πότερον ἐνόησεν ὁ Νύσσης ποιμὴν, ἆρά γε ἐξ αὐτῶν τῶν ἑβραϊκῶν κωδήκων ἐξεῖλον οἱ Ἰουδαῖοι τὰς ἐπιγραφάς;

ἢ ἐν τοῖς ἑλληνικοῖς (οἷς αὐτοὶ ἐχρῶντο) τῶν Ο ἀντιγράφοις αὐτὰς οὐ παρεδέξαντο; Λέγει μὲν γάρ (φησι) πολλάκις ὁ Πατὴρ ὅτι «*Ὁ Ἑβραῖος οὐ δέχεται*», ἀλλ' εἶπε καὶ ὅτι «Φεύγει ὁ Ἰουδαΐζων τὴν τῆς ἐπιγραφῆς συγκατάθεσιν».— Ἀλλ' ὅτι μὲν ὁ μετὰ Χ. ἄπιστος Ἑβραῖος ὁ αὐτὸς καὶ Ἰουδαῖος, καὶ Ἰουδαΐζει καὶ Ἑβραΐζει (ἀπιστῶν εἰς τὸν ἐπιφανέντα Σωτῆρα), πρόδηλον. Καὶ αὐτὸς ὁ Πατὴρ εἶπε πάλιν καὶ ὅτι «τοῖς Ἑβραΐζουσι κατὰ τὴν αἵρεσιν τὸ μυστήριον ἀπαράδεκτον ἦν» (σελ. 310, 315)· Ὅδιος δὲ μάτην σοφίζεται, φυσῶν ἀμφιβολίας καπνὸν ἐπὶ λέξεων ἡλιακῆς λαμπηδόνος ἐναργεστέρων. Ἔπειτα, πῶς οὐκ ᾐδέσθη κἂν αὐτὴν τὴν ἀρχαίαν ἐπὶ τῶν Ψαλμῶν ἐκκλησιαστικὴν ἐπιγραφὴν (ἣν ὁ Πατὴρ ἐξηγεῖ), τὴν, *Ἀνεπίγραφος παρ' Ἑβραίοις;* τί ἄλλο τοῦτο σημαίνει, εἰ μὴ ὅτι ἐν αὐτοῖς τῶν μ. Χ. *Ἑβραίων τοῖς Ἑβραϊκοῖς ἀντιγράφοις* οὐκ ἔχει παντελῶς *ἐπιγραφὴν* οὗτος, ἢ ἐκεῖνος ὁ Ψαλμός; (α).

Ἀκολούθως ὁ κλεινὸς Ὅδιος προβαίνει καὶ εἰς τὰ σπουδαιότερα. Θέλει πάντως, «ὡς πρᾶγμα βέβαιον καὶ συνεστηκὸς (constat !), ὅτι καὶ ὁ Νύσσης Γρηγόριος οὐ μόνον τὸ κείμενον τὸ ἑβραϊκὸν πρὸ τῶν Ο *προτιμᾷ*, ἀλλὰ καὶ τοῖς λοιποῖς (μ. Χ.) ἑρμηνευταῖς *οὐκ ὀλίγον κῦρος* ἀπονέμει· καθά (φησιν) ἐποίει καὶ Βασίλειος ὁ ἀδελφὸς αὐτοῦ, ὡς προαπεδείξαμεν» (!). Ἀλλ' ὅτι μὲν ὁ Γρηγόριος ἐφρόνει τε, καὶ ἔγραφε, καὶ ἐκήρυττεν ἐν πᾶσιν ἀπαράλλακτα καὶ ταὐτὰ *τῷ τε μεγάλῳ ἀδελφῷ* («*ὃν καὶ πατέρα καὶ διδά-*

(α) Οὕτω καὶ ἐν Ψαλμῷ ϥ (οὗ ἡ ἐπιγραφὴ «Αἶνος ᾠδῆς Δαβίδ.— Ἀνεπίγραφος παρ' Ἑβραίοις») ὁ σχολιαστὴς ἑρμηνεύει· «Ἀνεπίγραφος μὲν παρ' Ἑβραίοις, ὡς μὴ παραδεχομένοις τὴν δηλωτικὴν τῆς τοῦ Χριστοῦ Θεοφανείας ἐπιγραφήν· ἡμῖν δὲ αἶνός ἐστιν ᾠδῆς· πᾶς γὰρ αἶνος εἰς Θεὸν ἀναφορὰν ἔχει (Σειρ. εἰς τοὺς Ψαλμ. τ. β. σελ. 871. Corder.). Καὶ ἄλλος ἀρχαῖος ἀνώνυμος· «Οἱ μὲν ἄλλοι τῶν ἑρμηνευτῶν τὸν ψαλμὸν ἀνεπίγραφον ἔχουσι· πλὴν οὐ τούτου χάριν ἀθετεῖσθαι τὴν ἐπιγραφὴν προσῆκε, θέσθαι δὲ αὐτῇ (γρ. αὐτὴν) μᾶλλον. Ἔστι γὰρ τῶν Ο, οἵ διὰ τῆς πρὸς ἀλλήλους συμφωνίας ἐδήλωσαν τὴν γενομένην αὐτῆς (γρ. αὐτοῖς) χορηγίαν τοῦ Πνεύματος» (αὐτόθ. σελ. 878).

σκαλον» ὀνομάζει· τόμ. α. σελ. 45), καὶ πάσῃ τῇ Ἐκκλησίᾳ, παντὶ δῆλον, πλὴν Ὀδίῳ. Τίνα δ᾽ οὗτος φέρει δεῖξιν ὧν ὀνειροπολεῖ; μίαν καὶ μόνην, τὴν τοσάκις ἐπανειλημμένην, τὸ «*Κύριος ἔκτισέ με*». Τί δὲ λέγει περὶ τούτου ὁ Πατήρ; ἄκουε. «Λέγουσι γὰρ καὶ τοῦτό τινες τῶν δι᾽ ἀκριβείας τὰ θεῖα πεπαιδευμένων, ὅτι οὐ γέγραπται παρ᾽ Ἑβραίοις τὸ *ἔκτισε*· καὶ ἡμεῖς ἐν *ἀρχαιοτέροις βιβλίοις ἀνέγνωμεν* «*ἐκτήσατο*» γεγραμμένον. Εἰ δέ τις καὶ τὴν ἐπικρατοῦσαν ἐν ταῖς Ἐκκλησίαις ἀνάγνωσιν ἐν τῷ μέρει τούτῳ προβάλοιτο, οὐδὲ τὴν *ἔκτισε* φωνὴν ἀποβάλλομεν» (ϐλ. καὶ ὄπισθ. σελ. 506). Λέγει λοιπὸν ὁ ἱερὸς Γρηγόριος, ὅτι τὸ *ἐκτήσατο* ἀνέγνω καὶ ἐν *ἀρχαιοτέροις ἀντιγράφοις*» — ποίοις; — τῶν Ο, πάντως (εἰ γὰρ ἐνόει τὰ τῶν ἄλλων ἑρμηνευτῶν, ὤφειλεν ἐξάπαντος αὐτοὺς ὀνομάσαι)· καὶ ὅμως τούτους τοῦ Πατρὸς τοὺς λόγους προτίθησιν ὁ κριτικὸς ὡς ἀπόδειξιν ὧν προείρηκεν ἀνωτέρω *προτιμήσεων καί κυρώσεων!* Τούτοις δ᾽ οὐκ ἀρκεσθείς, ἐπεδαψιλεύσατο καί τι φιλοτιμότερον, λέγων· «Ὁ Γρηγόριος *μεμψιμοιρῶν περὶ τῆς ἀσθενείας* (imbecillitate) *τῶν* Ο, καταφεύγει εἰς τὸ ἑβραϊκόν». Ταύτην δὲ τὴν ἀσθένειαν *αὐτῶν ἐκείνων* (ὡς λέγει) *τῶν* Ο κατεῖδεν ὁ Ὄδιος ἐν τοῖς ἐφεξῆς, οἷς ἐπιφέρει, λόγοις τοῦ Πατρός. Εἰς τὸ «*Υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί· ἔθεντό με φυλάκισσαν*» κτλ. (Ἆσμ. α, 4)· «Καί μοι τοῦτο (λέγει) παρασχέσθω ἡ ἀκοή, μὴ λίαν ἀκριβολογεῖσθαι περὶ τὴν τῆς λέξεως σύνταξιν, ἀλλὰ πρὸς τὸν εἱρμὸν τοῦ νοήματος βλέπειν. Εἰ δέ τι μὴ ἀκριβῶς συνηρτημένον, *συμφράσεως* τῇ (ἴσ. γρ. τῇ τῆς φράσεως) ἀσθενείᾳ λογισάσθω τῶν τὴν Ἑβραίων γλῶτταν μεταβαλόντων εἰς τὴν ἑλλάδα φωνήν· οἷς γὰρ ἂν ἐπιμέλεια γέγονε παιδευθῆναι τὴν Ἑβραίων διάλεκτον, οὐδὲν εὑρίσκεται τοιοῦτον, οἷον ἀσυναρτήτως ἔχειν· *ὁ δὲ σχηματισμὸς τῆς ἡμετέρας γλώττης* μὴ συμβαίνων τῷ σχηματισμῷ τῆς ἑβραϊκῆς εὐγλωττίας, σύγχυσίν τινα τοῖς ἐπιπολαιότερον ἀκολουθοῦσι τῇ σημασίᾳ τῆς λέξεως ἀπεργάζεται» (εἰς τὸ Ἆσμ. τόμ. α. σελ. 494). Τίς ἐν τούτοις οὐχ ὁρᾷ, ὅτι ὁ Πατὴρ οὐκ εἰς αὐτοὺς τοὺς Ο (κατὰ τὴν Ὀδίου συκοφαντίαν) τῆς

ἐκφράσεως τὴν ἀσθένειαν ἀποδίδωσιν, ἀλλ' εἰς τὸν τῆς ἑλληνίδος γλώσσης ἰδιωτισμὸν, μὴ συμβαίνοντα, μηδὲ συμφωνοῦντα κατά τινας φράσεις πρὸς τὴν ἑβραϊκήν; (καί τοι τὸ περὶ οὗ ὁ λόγος ῥητὸν τοῦ Ἄσματος ἀπαραλλάκτως ἔχει καὶ τὸ καθ' ἡμᾶς ἑβραϊκόν)· Καὶ αὐτὸ δὲ τὸ τῆς λέξεως ἀσυνάρτητον φαίνεται μᾶλλον θεωρῶν ὡς πρὸς τὸν εἱρμὸν τῆς ἐξηγήσεως, καθ' ἣν ἐξηγεῖ τὸ ῥητόν. Ὅθεν ἐφεξῆς ἐπιφέρει· «Τὸ δὲ δοκοῦν ἀσυνάρτητον τῆς λέξεως πρὸς τὴν εὑρεθεῖσαν διάνοιαν, τούτῳ τῷ τρόπῳ δυνατόν ἐστι παραμυθήσασθαι» κτλ. (σελ. 496)· ἀλλὰ καὶ οὕτως ἀσυνάρτητον τὴν φράσιν ταύτην εἰπὼν ὁ Γρήγορος νοῦς, θείων δογμάτων ἔμπλεων αὐτὴν θεωρεῖ, λέγων· «πολλὰ δι' ὀλίγων δογματικῶς ἐκπαιδεύει ὁ λόγος» (σελ. 495 πρβλ. καὶ 499). Ὁ δὲ κριτικὸς καὶ ἄλλο δεινότερον ἐπήγαγε, λέγων· ὅτι «Καὶ ὡς ἀμαθεῖς τοὺς Ο, φαίνεται κατηγορῶν ὁ Γρηγόριος, ἐν οἷς ἔγραψεν (εἰς τὸ «*χρυσίον Κεφὰζ*». Ἆσμ, ε, 11), ὅτι «ἡ ἑβραϊκὴ λέξις, εἰ πρὸς τὴν ἡμετέραν μεταληφθείη φωνὴν, τὸ καθαρόν τε καὶ ἀνόθευτον καὶ πάσης ἐπιμιξίας ἀλλότριον χρυσίον διὰ τῆς φωνῆς ταύτης δείκνυται. Ἀνερμήνευτον δέ μοι *δοκεῖν* (ἴσ. γρ. δοκοῦσι) καταλελοιπέναι τὴν τοῦ *Κεφὰζ* λέξιν οἱ τὰς φωνὰς τῶν Ἑβραίων ἐξελληνίσαντες, διὰ τὸ μὴ εὑρεῖν ἐν τοῖς ἑλληνικοῖς ῥήμασι μηδεμίαν φωνὴν *ἐξαγγελτικὴν τῆς ἐμφάσεως*, τῆς ἐνθεωρουμένης τῇ ἑβραϊκῇ φωνῇ» (Ὁμιλ. ιγ. σελ. 668). Λέγει λοιπὸν ὁ Πατὴρ σαφῶς καὶ καθαρῶς, ὅτι κατέλιπον ἀνερμήνευτον τὴν ἑβραϊκὴν φωνὴν *Κεφὰζ*, διότι οὐχ εὗρον ἀντιστοιχοῦσαν λέξιν ἑλληνικὴν, ἀκριβῶς ἐκφραστικὴν καὶ παραστατικὴν τῆς ἐμφάσεως τοῦ Κεφὰζ (ὅθεν καὶ αὐτὸς διὰ πολλῶν ἡρμήνευσεν ἐπιθέτων, καθαρὸν, ἀνόθευτον, κτλ.). Ὄδιος δὲ καὶ ὧδε μυωπάζων πρὸς τοὺς λόγους τοῦ Πατρὸς, ἔγραψεν ὡς τούτου γνώμην τὴν ἰδίαν ἑαυτοῦ καὶ τῶν κατ' αὐτὸν ψευδοδοξίαν, καθ' ἣν ἔκριναν γελοίως τοὺς Ο καὶ τῆς ἑβραΐδος καὶ τῆς ἑλληνίδος γλώσσης ἀμαθεῖς.

Καὶ ταῦτα Ὀδίου. Ἐν τῇ βίβλῳ (λέγει) τῆς Ἑξαημέρου ὁ Γρηγόριος ἀσπάζεται τὴν Ἀκύλα ἑρμηνείαν, ὡς προτιμοτέραν, ἢ κἂν

ἴσην τῆς τῶν Ο. Λέγει γάρ· «τάχα πως *προσεγγίζομεν* τῇ ὑψηλῇ τοῦ Μωσέως φωνῇ, ὅς φησιν, *Ἐν κεφαλαίῳ* (τοῦτο γὰρ ἀντὶ τῆς ἀρχῆς Ἀκύλας ἐξέδωκε) πεποιῆσθαι παρὰ τοῦ Θεοῦ τὸν οὐρανὸν καὶ τὴν γῆν· - μία δὲ τῶν δύω φωνῶν ἡ σημασία τῆς τε *ἀρχῆς* καὶ τοῦ *κεφαλαίου*» κτλ. (τόμ. α· σελ. 7). Ἀλλ' ὑψηλὴν (κατὰ τὸ νόημα) τοῦ Μωσέως φωνὴν εἶπεν ὁ Πατὴρ τὸ τοῦ Ἀκύλα *ἐν κεφαλαίῳ* κατὰ τοῦτο μάλιστα, καθότι τοῦτ' ἐξέλαβεν ὡς ταυτοσήμαντον τοῦ *ἐν ἀρχῇ* τῶν Ο· «μίαν γάρ (φησι) τὴν σημασίαν ἀμφοτέρων τῶν φωνῶν». Ὅτι δὲ κυρίαν τοῦ Μωσέως καὶ καθιερωμένην λέξιν ὁ Πατὴρ ἐφρόνει τὸ *ἐν ἀρχῇ*, μαρτυρεῖ πάλιν οὗτος αὐτὸς παρακατιὼν, ἐν οἷς λέγει ταῦτα· «Ἡ οὖν ἀθρόα τῶν ὄντων καταβολὴ *Ἀρχὴ* παρὰ τοῦ Μωϋσέως, εἴτουν *κεφάλαιον κατωνομάσθη*» (τόμ. α. σελ. 8)· ὅπου σαφῶς τὸ τοῦ Ἀκύλα «ἐν κεφαλαίῳ» προστίθησιν ὡς ἐπεξήγησιν τοῦ Μωσαϊκοῦ *ἐν ἀρχῇ*· καθὰ καὶ ὁ *βασιλεύτατος* αὐτοῦ αὐτάδελφος ὁμοίως ἐποίησε (βλ. ὄπισθ. σελ. 545). Ὅδιος δὲ τὴν ὑστέραν τοῦ Γρηγορίου μαρτυρίαν παρεῖδε, βουλόμενος ἡμῖν παραστῆσαι τὸν θεηγόρον ἱεράρχην προτιμῶντα τὴν Ἀκύλα ἰουδαϊκὴν ἑρμηνείαν ὑπὲρ τὴν ἐκκλησιαστικὴν τῶν Ο, ἢ (τοὐλάχιστον) ἐπίσης ἐκείνῃ καὶ ταύτην τιμῶντα! Ἀλλ' ὤφειλεν ἐνθυμηθῆναι κἂν ὁ κριτικὸς, ὅτι πλῆθος πολὺ καὶ ἄλλων τῆς ἑλληνίδος παρὰ τοῖς ἔξω συγγραφεῦσι φωνῶν ὑπάρχουσι ταυτοσήμαντοι, καὶ πολλάκις αἱ αὐταὶ ταῖς τῆς θεοπνεύστου Γραφῆς, καὶ ὅμως κατὰ τὴν χρῆσιν καὶ καθιέρωσιν διαφέρουσιν ἀλλήλων, ὅσῳ καὶ τὰ ἱερὰ τῶν ἀνιέρων σκευῶν. Ταυτοσήμαντον ὑπάρχει τὸ *ἐν κεφαλαίῳ* τῷ *ἐν ἀρχῇ*· ἀλλὰ τοῦτο μὲν ἐν τῇ Ἐκκλησίᾳ κύριον πεπίστευται καὶ θεόπνευστον, ἐκεῖνο δὲ θυραυλεῖ παρὰ τοῖς υἱοῖς τῆς Συναγωγῆς ἀνίερον καὶ ἀκύρωτον, ὑπηρετοῦν δὲ μόνον πρὸς ἐπεξήγησιν τῆς ἐννοίας τοῦ καθηγιασμένου. Τοιοῦτον παραλογισμὸν ἔπαθεν Ὅδιος καὶ τὸν ἑξῆς. Ἐν τῷ αὐτῷ (φησι) βιβλίῳ ὁ Γρηγόριος καὶ πάσας τὰς τῶν τριῶν ἑρμηνείας ὡς σαφεστέρας τῶν Ο εἰς μέσον παράγει, λέγων (μετὰ τὸ, «*ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος*» Γενέσ. α. 1)· «Φανε-

ρώτερον δὲ διὰ τῆς Συμμάχου καὶ Θεοδοτίωνος καὶ Ἀκύλα γραφῆς ἡ τοιαύτη διάνοια σαφηνίζεται· τοῦ μὲν (Συμ.) εἰπόντος, ἡ δὲ γῆ ἦν *ἀργὸν καὶ ἀδιάκριτον*· τοῦ δὲ ἑτέρου (Ἀκύλ.), *κένωμα καὶ οὐθέν*· τοῦ δὲ ἄλλου (Θεοδ.), *οὐθὲν καὶ οὐθέν*.—Τὸν δὲ τρίτον λόγον (τοῦ Θεοδ.) ὡς ἐκ τῆς Ἐπικούρου φιλοσοφίας παρευρεθέντα καταλιπεῖν οἶμαι ἀθεώρητον· ὅμοιον γάρ τι κἀκεῖνός φησι περὶ τῆς πρώτης τῶν ὄντων ἀρχῆς, *κενόφωνον* (δὲ) *καὶ μηδὲν* τὴν ἀνυπόστατον τῶν ἀτόμων φύσιν διὰ τῶν τοιούτων φωνῶν ἐνδεικνύμενος, ὅπερ ὅμοιόν ἐστι τῷ «*οὐθὲν καὶ οὐθέν*» (τόμ. α. σελ. 13). Ἀλλὰ καὶ ἐν τούτοις τοῖς λόγοις τοῦ Πατρὸς, ἄπορον, πῶς οὐ συνεῖδεν Ὅδιος ὃ προείπομεν ἀνωτέρω· ὅτι τὰς τῶν λοιπῶν ἑρμηνείας παρέβαλεν ὁ Γρηγόριος, ὡς σαφηνιζούσας (ὃ καὶ λέγει ῥητῶς) *τὴν διάνοιαν* τῆς Γραφῆς (τῶν Ο). Εἰ δὲ καὶ μὴ *τὰς ἀνυποστάτους ἀτόμους* ὁ Ἐπίκουρος ἐλήρει, οὐδὲ τὴν πρὸς τὴν τούτου φράσιν συμφωνοῦσαν ἐξήγησιν τοῦ τρίτου κατελίμπανεν ἂν ὁ Πατὴρ ἀθεώρητον· πολλῷ γε μᾶλλον ἔμελλεν ἐκ τῶν ἄλλων τῆς ἑβραϊκῆς Γραφῆς ἑρμηνευτῶν ἀπανθίζειν τὰ ὁπωσδήποτε συμβάλλοντα πρὸς ἀνάπτυξιν τῶν ἀσαφεστέρων, ὑποτάσσων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τῆς ἐκκλησιαστικῆς καὶ θεοπνεύστου ἑρμηνείας, ὡς καὶ ἀλλαχοῦ προδεδήλωται (σελ. 488).

Τελευταῖον Ὅδιος προσίθησι λατινιςὶ καὶ σχόλιον (εἰς Ἐξόδ. κεφ. θ), ἐκ τῆς εἰς τὴν Πεντάτευχον Σειρᾶς, «ὅπερ (λέγει) *φαίνεται* εἰς τὸν Νύσσης Γρηγόριον ἐπιγεγραμμένον». Οὕτως εὐστόμως διὰ τοῦ *φαίνεται* ὡμολόγησε καὶ αὐτὸς τὸ πάντως ψευδεπίγραφον τοῦ Σχολίου, ὅπερ οὔτε ἐν τοῖς τοῦ Πατρὸς συγγράμμασιν, οὔτε ἐν τῇ εἰς τὴν Ὀκτάτευχον Σειρᾷ τοῦ Θεοτόκη κεῖται. Λέγει δὲ καὶ παντάπασιν ἄτοπα καὶ παράδοξα, καὶ μόλις Ὀδίοις πρέποντα λέγειν· ὅτι ἄρα ἡ Κοινὴ (τῶν Ο) ἑρμηνεία καταχρᾶται (οἱανδήποτε νοεῖ κατάχρησιν) καὶ ταῖς λέξεσι καὶ ταῖς σημασίαις!

Προσώχθισας, ἀναγνῶστα, καὶ σὺ (νομίζω) μεθ' ἡμῶν πρὸς τὰς Ὀδιακὰς κενοφροσύνας, ἄνω καὶ κάτω μάτην δολιχευούσας. Λάβωμεν οὖν ἀμφότεροι κάλλιστον τῆς δυσφορίας ἴαμα καὶ ἀναληπτι-

κώτατον, ἐξ αὐτῆς τῆς χαριτοβρύτου πηγῆς τοῦ θείου Πατρὸς, λαμπρῶς καὶ διαῤῥήδην ἀνακηρύττοντος τὴν οὐ μόνον κατὰ διάνοιαν, ἀλλὰ καὶ κατὰ λέξιν θεόπνευστον ἀξίαν τῶν Ο. Οἷον· «Ταύτης δὲ οὔσης τοῦ Ψαλμοῦ τῆς διανοίας,— ἔξεστι τῷ βουλομένῳ ἐξ αὐτῶν τῶν *θείων ῥημάτων* δοκιμάσαι τὴν ἡμετέραν ὑπόληψιν, εἴπερ ἐφαρμόζει τὰ παρ' ἡμῶν εἰρημένα τῇ θεοπνεύστῳ φωνῇ» (τόμ. α. σελ. 308). Καὶ (σελ. 277), «Προεκτεθείσης ἡμῖν τῆς διανοίας, ἀκόλουθον ἂν εἴη καὶ αὐτὰ ἐπαγαγεῖν *τὰ θεόπνευστα ῥήματα*» (καὶ ἐπάγει τὸν κατὰ τοὺς Ο, πθ, ψαλμὸν, ὅστις ἐν τῷ ἑβραϊκῷ πολλὰς ἔχει διαφοράς). Καὶ σχήματα δὲ λόγου (οἷον τὴν *κατάχρησιν*) ὡς ἰδίωμα τῆς θεοπνεύστου φράσεως σημειοῖ, λέγων· «Οἶδα γὰρ τὴν κατάχρησιν τῶν θείων ῥημάτων ἐπὶ τῆς γραφικῆς συνηθείας, τί σημαίνει διὰ τοῦ *ἀνοῖξαι*, καὶ τί διὰ τοῦ *κλεῖσαι* ἐνδείκνυται» (τόμ. α. σελ. 29). Καὶ πάλιν (ἐν οἷς ὡς σκηπτὸς ἐπιπίπτει κατὰ τοῦ δυσσεβοῦς Εὐνομίου, *μὴ ἄκτιστον* τὸν Υἱὸν βλασφημοῦντος) «Πόθεν (φησὶν) ἔχει τὴν παῤῥησίαν; εἰπάτω· *ἐκ ποίας θεοπνεύστου φωνῆς;* Τίς Εὐαγγελιστής; ποῖος Ἀπόστολος τὴν τοιαύτην ἀφῆκε φωνήν; *τίς προφήτης, ἢ νομοθέτης, ἢ πατριάρχης, ἢ ἄλλος τις τῶν ὑπὸ τοῦ ἁγίου Πνεύματος θεοφορουμένων*, ὧν ἀνάγραπτοί εἰσιν αἱ φωναὶ, τῆς τοιαύτης ῥήσεως καθηγήσατο; (τόμ. β. σελ.33). Ἀλλαχοῦ δὲ καὶ *σάρκας Χριστοῦ*, τοῦ τυθέντος ὑπὲρ ἡμῶν πασχαλίου προβάτου, τὰς λέξεις τῶν Γραφῶν ἀλληγορικώτερον ὀνομάζει. «Εἰ δὲ τὸ πρόβατον ὁ Χριστός ἐστι, τίνες τῶν θείων λόγων αἱ σάρκες, εἰ μὴ αἱ *θεῖαι Γραφαί*»; Καὶ, «Μὴ συνεψεῖν ὕδατι κελευόμεθα τὰς τοῦ *Σωτῆρος σάρκας*· λέγω δὲ *τὰς λέξεις τῶν Γραφῶν*· μηδὲ ἐπιμίσγειν τοῖς ῥητοῖς ἑτέραν τινα ὕλην, ἐξυδεροῦν δυναμένην διὰ τῆς συνεψήσεως αὐτά». κτλ. (εἰς Ἐξόδ. ιβ, 9). Παράβαλε καὶ τὰς εἰς τὸν Ἐκκλησιαστὴν, καὶ τὰς εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ἑρμηνείας τοῦ Πατρὸς, πανταχοῦ διαῤῥήδην ὡς θείας φωνὰς τὰς λέξεις τὰς προφητικὰς ἐξηγοῦντος. Ἀλλ' ἐάν τις θελήσῃ πάσας τὰς περὶ τοῦ θεοπνεύστου τῶν Ο μαρτυρίας τοῦ θείου Γρηγορίου εἰς ἓν συναγαγεῖν, σελίδων

αὐτῷ δεήσει πολλῶν· ἡμῖν δὲ καὶ ταῦτα πρὸς ὅδιον ἀρκεῖ.

§. ριη. Προσειρήσθω καὶ Πέτρος ὁ ἱερώτατος Σεβαστείας ἐπίσκοπος, τρίτος καὶ νεώτατος αὐτάδελφος τοῦ Βασιλείου καὶ Γρηγορίου, καὶ τό, τε γένος τό, τε φρόνημα γνησιώτατος, καὶ δὴ καὶ περὶ τοῦ θεοπνεύστου τῶν Ο, πάντως ἀδελφὰ καὶ ταυτὰ πρεσβεύων ἐκείνοις, καὶ «διὰ τοῦ Πνεύματος τὰ θεῖα βάθη διερευνῶν», ὡς λέγει πρὸς αὐτὸν αὐτὸς ὁ Γρηγόριος, ἐν τῷ προοιμίῳ τῆς Ἑξαημέρου, ἣν αὐτῷ καὶ προσφωνεῖ· ὡσαύτως καὶ τὸ *Περὶ ἀνθρώπου κατασκευῆς* κάλλιςον βιβλίον ἐπιγράφει, «*Τῷ ἀδελφῷ δούλῳ τοῦ Θεοῦ* Πέτρῳ Γρηγόριος ἐπίσκοπος Νύσσης» (τόμ.α. σελ. 1,44).

§. ριθ. Τῷ 368 (ἢ 365, ἢ 357) ἡ ἐν Λαοδικείᾳ ἁγία Σύνοδος ἐξέδωκε τὸν κατάλογον τῶν κανονικῶν θείων Γραφῶν (βλ. ὄπισθ. σελ. 118), ἐν ᾧ μετὰ τῶν θεοπνεύστων βιβλίων τῆς Καινῆς Διαθήκης συναριθμοῦνται ὡς ὁμότιμα καὶ τὰ τῆς Παλαιᾶς, κατὰ τοὺς Ο.

§. ρκ. Γρηγόριος ὁ μέγας, ὁ Ναζιανζηνὸς (τῷ 370), ὁ μετὰ τὸν πρῶτον (τὸν Εὐαγγελιστὴν Ἰωάννην), δεύτερος *Θεολόγος* δικαίως ἐπικληθεὶς, καὶ μετὰ Παῦλον τὸν Ἀπόστολον, *ῥήτωρ τῆς Ἐκκλησίας*, καὶ τῆς Οἰκουμένης διδάσκαλος, καὶ οὗτος τὸ θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο πολλαχοῦ τῶν θεηγόρων αὐτοῦ συγγραφῶν ἀνεκήρυξεν. Αὐτίκα ἀρχόμενος τοῦ Ἀπολογητικοῦ (Λόγ. α) «Ὑπετάγην (λέγει) τῷ Κυρίῳ, καὶ ἱκέτευσα αὐτὸν (ψαλμ. λς, 7)· Ὁ γάρ μοι μακαριώτατος Δαβὶδ ἀρχέτω τοῦ λόγου· μᾶλλον δὲ ὁ ἐν τῷ Δαυῒδ *φθεγξάμενος, καὶ εἰσέτι καὶ νῦν δι' αὐτοῦ φθεγγόμενος*». Καὶ πάλιν (εἰς Ἰωνᾶ τοῦ προφήτου τὴν βίβλον ἀναφέρων τὸν λόγον), «Μὴ γὰρ (φησιν) εἰκῇ ταῦτα συγγεγράφθαι νομίζωμεν, μηδὲ ὄχλον ἄλλως εἶναι ῥημάτων τε καὶ πραγμάτων. – Ταῦτα μὲν παιζόντων μῦθοι καὶ Ἕλληνες. – Ἡμεῖς δὲ, οἱ καὶ μέχρι *τῆς τυχούσης κεραίας καὶ γραμμῆς τοῦ Πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες* » κτλ. (αὐτόθ. σελ. 41)· καὶ ἀλλαχοῦ δὲ πλεισταχοῦ τὸ θεῖον τῆς ἑρμηνείας παρίστησι· καὶ ταύτης συχνάκις καὶ λέξεις καὶ ῥήσεις λαμβάνων, τό, τε ὕψος καὶ τὸ κάλλος τῶν ἱερῶν αὐτοῦ λόγων θαυμαστὸν ὅσον ἐξαίρει· κατελέγχει δὲ «καὶ τὰς παρὰ τῶν θείων Γρα-

φῶν λαμϐανομένας ἐνστάσεις καὶ ἀντιθέσεις, αἷς οἱ *τοῦ γράμματος ἱερόσυλοι* » (οἱ αἱρετικοί, καθὸ καὶ αὐτοὶ τοῖς Ο χρώμενοι), «καὶ τὸν νοῦν τῶν γεγραμμένων κλέπτοντες, τοὺς πολλοὺς σφετερίζονται » (λόγ. λϛ. σελ. 577). Καὶ τέλος, ἀρχόμενος τοῦ καταλόγου τῶν γνησίων βιϐλίων τῆς θεοπνεύστου Γραφῆς, λαμπρῶς προοιμιάζεται· « Θείοις ἐν λογίοισιν ἀεὶ γλώσσῃ τε νόῳ τε Στρωφᾶσθ', ὁ γὰρ ἔδωκε Θεὸς καμάτων τόδ' ἄεθλον » κτλ. (Τόμ. β. σελ. 98). Οὕτως ἐπίσης καὶ ὁμοτίμως *θεῖα λόγια* καὶ *θεόσδοτα* καλεῖ καὶ παραδίδωσι τὰ θεόπνευστα ῥήματα τῶν Διαθηκῶν ἀμφοτέρων.

§. ρκα. Οὐδὲ Καισαρίου ἐπιλῃστέον, τοῦ ἀοιδίμου καὶ τὰ πάντα γνησίου τοῦ μεγάλου Γρηγορίου ἀδελφοῦ, πρεσϐυτέρου δὲ τὴν ἡλικίαν (ἐτελεύτα τῷ 368), οὗ τὸν λαμπρότατον ἐπιτάφιον αὐτὸς συνέγραψεν ὁ ἀδελφός. Καὶ οὗτος ἐν τοῖς σῳζομένοις αὐτοῦ *Διαλόγοις* (περὶ ὧν τῆς γνησιότητος μάτην ὑπωπτεύθησάν τινες τῶν κριτικῶν, Φωτίου τούτους κυροῦντος, Ἀναγν. σ ι), πανταχοῦ τοῖς ἐκ τῶν Ο κέχρηται ῥητοῖς τῆς θείας Γραφῆς.

§. ρκϐ. Κατὰ τὸ 366 ἐτελεύτα καὶ Ἀκάκιος *ὁ* μονόφθαλμος, Εὐσεϐίου τοῦ Παμφίλου μαθητὴς, καὶ διάδοχος εἰς τὴν ἐπισκοπὴν τῆς ἐν Παλαιςίνῃ Καισαρείας (τῷ 340)· ἄνθρωπος ἐπὶ παιδείᾳ μὲν περίφημος, «καὶ ἱκανὸς νοεῖν καὶ φράζειν ἀστεῖος » (α)· ἀλλ' ὅμως ποικιλόφρων, καὶ ὕπουλος περὶ τὴν εὐσέϐειαν, «*ἕτερος μὲν τὴν δόξαν* (τὸ φρόνημα), *ἕτερος δὲ τὴν γλῶτταν* (ὡς μαρτυρεῖ περὶ αὐτοῦ ὁ Φιλοστόργιος)· καὶ τέλος, ἐξελεγχθεὶς Ἀρειανὸς, καθῃρέθη. Ἐκ τῶν αὐτοῦ συγγραμμάτων σῴζονται σχόλια ὀρθόδοξα εἰς τὴν Πεντάτευχον (διὸ καὶ τούτου ἐμνημονεύσαμεν), ἐν οἷς τὰ τῶν Ο, ὡς θεόπνευστα ῥήματα εὐσεϐοφρόνως ἑρμηνεύει (βλ. Σειρ. εἰς τὴν Ὀκτάτευχ. ἐκδ. Θεοτόκ.).

§. ρκγ. Ἀπολλινάριος ὁ νεώτερος, υἱὸς τοῦ προδιαληφθέντος ὁμωνύμου πατρὸς (σελ. 529), Λαοδικείας ἐπίσκοπος (τῷ 370),

---

(α) Σῳζόμ. γ, 2; δ, 23. - Σωκρ. ϐ. 40. - Φιλοστόργ. δ. κεφ. ἐσχ. Ἐπιφ. αἱρέσ. ογ. καὶ αἱρ. οϐ. σελ. 838, ὅπου γράφει καὶ περικοπὴν ἐκ τῆς πρὸς Μάρκελλον ἀντιλογίας τοῦ Ἀκακίου.

ποικίλης παιδείας ἐγκρατής, καὶ τὴν ῥητορείαν καὶ ποίησιν καὶ φιλοσοφίαν ἐξησκημένος· εἰδήμων δὲ καὶ τῆς ἑβραϊκῆς (α)· δύστηνος δὲ καὶ πανάθλιος ἕνεκα τῆς, εἰς ἣν ἐξέπεσε, κακοδοξοτάτης αἱρέσεως, δι' ἣν ἐξηλέγχθη μὲν λαμπρῶς ὑπὸ τοῦ Θεολόγου μάλιστα Γρηγορίου (β), κατεκρίθη δὲ καὶ Συνοδικῶς ὑπὸ τῆς Ἐκκλησίας. Τούτου τῶν συγγραμμάτων μέμνηται καὶ Ἱερώνυμος, ἐν οἷς καὶ τῶν κατὰ Πορφυρίου Λ, βιβλίων (γ). Λέγει δὲ καὶ ὅτι « Οὐ μόνον τοῖς Ο, ἀλλὰ καὶ τοῖς ἄλλοις ἑρμηνευταῖς ὁ Ἀπολλινάριος ἐχρῆτο περὶ τὴν ἐξήγησιν τῶν θείων Γραφῶν, *πολλὰ πηνία* συῤῥάπτων εἰς ἓν ἱμάτιον, καὶ τὴν τῆς Γραφῆς ἀκολουθίαν οὐ κατὰ τὸν κανόνα τῆς ἀληθείας, ἀλλὰ κατὰ τὴν ἰδίαν αὐτοῦ κρίσιν ἐξυφαίνων». Καὶ πάλιν· « τῷ Συμμάχῳ παρακολουθήσας ὁ Ἀπολλινάριος» (περί τινα ῥῆσιν τοῦ Ἐκκλησιαστοῦ, ιβ, 5), « οὔτε τοῖς Ἑβραίοις ἀρέσαι δύναται, οὔτε *τοῖς Χριστιανοῖς*, εἴγε καὶ τοῦ ἑβραϊκοῦ κειμένου ἀπομακρύνεται, καὶ τοῖς Ο παρακολουθεῖν ἀπαξιοῖ (δ). Οὕτως ὁ μακάριος Ἱερώνυμος, βουλόμενος δικαιοῦν τὴν ἑαυτοῦ ἑρμηνείαν, ὡς παρῆγε τὸν Ὠριγένην καὶ τὸν Εὐσέβιον μὴ μόνον τοῖς Ο, ἀλλὰ καὶ τοῖς ἄλλοις ἑρμηνευταῖς χρησαμένους (βλ. ὄπισθ. §. οη, καὶ ϞϚ), ὡσαύτως ἀναφέρει καὶ τὸν Ἀπολλινάριον· ἀλλ' ὅμως καὶ ψέγει τοῦτον δικαίως, ὡς καταχρησάμενον τοῖς ἑρμηνευταῖς· καὶ περὶ τῆς κακῶς ὑπὸ Συμμάχου μεθερμηνευθείσης ῥήσεως ἐξέφερε κρίσιν, Ἱερωνύμῳ μάλιστα πρέπουσαν (ἧς καὶ αὐτὸς ὁ μακάριος ὤφειλε μεμνῆσθαι διὰ παντὸς), ὅτι τὸ Συμμάχειον ἐκεῖνο προτιμήσας ὁ Ἀπολινάριος, οὔτε τοῖς ἑβραίοις ἤρεσεν, ἀποπλανηθεὶς τοῦ (κατ' αὐτὸν) ἑβραϊκοῦ, οὔτε *τοῖς χριστιανοῖς*, ἀπαξιώσας ἀκολουθῆσαι *τοῖς Ο!* Καὶ ὡμολόγησε λοιπὸν ὁ θεῖος Πατὴρ ἴδιον καὶ πατροπαράδοτον κλῆρον *τῶν χριστιανῶν* καὶ

(α) Φιλοστόργ. Ἐκκλ. ἱστορ. η. πρβλ. Σωκρ. γ, 16. - Σωζόμ. ς, 25.

(β) Βλ. Ἐπιστολ. πρὸς Νεκτάρ. καὶ πρὸς Κληδόνιον (λόγ. να, νβ), καὶ ἀλλαχοῦ.

(γ) Hier. De Script. c. 104, καὶ Procem. Comm. in Daniel. πρβλ. ὄπισθ. Βιβλ. Γ. σελ. 640.

(δ) Advers. Ruf. L. II. καὶ Comm. in Eccles. XII.

πάσης τῆς Ἐκκλησίας, μίαν εἶναι καὶ μόνην τῶν θείων Γραφῶν ἑρμηνείαν, τὴν τῶν Ο! Ὅδιος δὲ οὐδ' ἐν τούτοις τοῖς Ἱερωνύμου λόγοις, *φίλης ἐπελήθετο τέχνης*· τὸ μὲν γὰρ «*Οὔτε τοῖς χριστιανοῖς ἤρεσεν*» ὑπογλυκαίνει, καὶ μερικεύει, περεντιθεὶς διὰ παρενθέσεως, ὅτι «*πλατυκώτερον* ἐνταῦθα νοητέον τὸν Ἱερώνυμον» (ἤτοι *μὴ πᾶσι τοῖς χριστιανοῖς* ἐκληπτέον, τισὶ δὲ μόνον· καὶ ἦσαν λοιπὸν *οἷς ἤρεσε*!). Τὸ δὲ πάλιν *ἀπαξιώσας ἀκολουθῆσαι τοῖς Ο*, (δηκτικώτερον πρὸς ἔλεγχον τοῦ Ἀπολλιναρίου ῥηθὲν ὑπὸ τοῦ Πατρὸς), ἀφοριστικῶς Ὅδιος ἐξέλαβεν, ὡς γνώμην τοῦ Ἱερωνύμου κυρίαν ἀσμένως παρατιθείς· «Μαρτυρεῖ (φησιν) ὁ Ἱερώνυμος, ὅτι πάσαις χρῆσθαι ταῖς ἑρμηνείαις εἰώθει ὁ Ἀπολινάριος, *ἀπηξίωσε* δὲ μόνοις τοῖς Ο, παρακολουθεῖν»! Ἀλλ' Ὅδιος μὲν οὕτω πολλάκις Ὀδιάζειν φιλεῖ.

Αὐτὸς δὲ ὁ Ἀπολινάριος ὅτι μίαν καὶ μόνην ἑρμηνείαν ὡς κυρίαν ἀπεδέχετο, τὴν ἐκκλησιαστικὴν τῶν Ο, τοῖς δὲ λοιποῖς ἑρμηνεῦσιν ἐχρῆτο καὶ οὗτος κατὰ τὸ παράδειγμα τοῦ Ὠριγένους, πρὸς διασάφησιν καὶ ἐπεξήγησιν αὐτῶν τῶν Ο, πρόδηλον· (πλὴν εἰ μήπου μᾶλλον ἀπέκλινε πρὸς ταύτην ἢ ἐκείνην τὴν ἐξήγησιν τοῦ Συμμάχου, ἢ τοῦ Ἀκύλα, ὡς μᾶλλον συντείνουσαν πρὸς ἀπόδειξιν τῆς ἑαυτοῦ κακοδοξίας). Οὐδὲ γὰρ ἠδύνατο, οὐδὲ συνέφερεν αὐτῷ προτιμᾷν τὰς τῶν λοιπῶν ἑρμηνείας παρὰ τὴν μόνην τῇ Ἐκκλησίᾳ πανταχοῦ παραδεδεγμένην (ᾗπερ ἐχρῶντο καὶ πάντες οἱ αἱρετικοί, καί τοι παρεξηγοῦντες τὴν διάνοιαν τῶν ῥητῶν). Εἰ δὲ μὴ, τρανῶς ἂν ἐξηλέγχετο καὶ διὰ τοῦτο, ὡς ἰουδαϊστής· ὅπερ οὔτε τῶν ἱστορικῶν τις ἔγραψεν, οὔτε μὴν ἡ τὴν αἵρεσιν αὐτοῦ καταῤῥάξασα πυρίνη γλῶσσα τοῦ Θεολόγου. Καί τοι λαβόντος ἀφορμὴν, ἐν οἷς καὶ τὰς ἄλλας τὰς διὰ σίχων τῆς Γραφῆς παραφράσεις τοῦ Ἀπολιναρίου, καὶ αὐτὸ τὸ ἔμμετρον Ψαλτήριον ἔψεξεν (οὐχ οὕτω τὸ ἔργον, ὅσον τὴν προαίρεσιν ἀποδοκιμάζων) (α). Ὅτι δὲ τοῦτο

(α) «Εἰδὲ τὰ νέα ψαλτήρια καὶ ἀντίφθογγα τῷ Δαβίδ, καὶ ἡ τῶν μέτρων χάρις ἡ τρίτη Διαθήκη νομίζεται, καὶ ἡμεῖς ψαλμολογήσομεν, καὶ πολλὰ γράψομεν,

μετεφράσθη καθαρῶς καὶ γνησίως κατὰ τοὺς Ο, περιττὸν καὶ ὅλως λέγειν. Ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις τοῖς ὀλίγοις καθ' ἡμᾶς ἀποσωθεῖσι λειψάνοις τῶν πολλῶν αὐτοῦ συγγραμμάτων πανταχοῦ φαίνεται ὁ Ἀπολινάριος τοῖς Ο, ὡς προφητικῇ καὶ θείᾳ Γραφῇ, πιστῶς παρακολουθῶν. Σῴζονται δὲ τούτου σχόλια καὶ ἐν ταῖς Σειραῖς τῶν τε Ψαλμῶν καὶ τοῦ Ἰὼϐ καὶ εἰς τὴν Πεντάτευχον (ἐν τῇ Ὀκτατεύχῳ, ἐκδ. Θεοτόκη).

§. ρκδ. Ἀμφιλόχιος ὁ ἱερώτατος Ἰκονίου ποιμὴν (τῷ 370), Βασιλείῳ καὶ Γρηγορίῳ τοῖς μεγάλοις διδασκάλοις φίλος ἑταῖρος, πρὸς οὓς αὐτὸν καὶ παραϐάλλει ὁ μακάριος Ἱερώνυμος (ἐπιστολ. πρὸς Μάγνον), ὡς τά τε θεῖα καὶ τὰ θύραθεν παιδεύματα σοφὸν, καὶ μηδενὸς δεύτερον ὑπέρμαχον τῆς ἀληθείας. Συνέγραψε πολλὰ, ὧν ἀπώλετο μέγα μέρος, ὀλίγων ἀποσπασμάτων διασωθέντων, παρά τε τῷ ἱερῷ Θεοδωρήτῳ (Διαλόγ. α, καὶ β, καὶ γ), καὶ τῷ θείῳ Δαμασκηνῷ, καὶ ἐν ταῖς εἰς Λουκᾶν καὶ τὸν Ἰωάννην Σειραῖς. Καὶ ἡ ἐν Ἐφέσῳ δὲ Γ, Οἰκουμενικὴ (Πράξ. α.) καὶ ἡ Ζ, Οἰκουμενικὴ Σύνοδος (Πράξ. ε) μνημονεύουσι χρήσεις ἐκ τῶν ἀπολομένων συγγραμμάτων τοῦ ἱεροῦ τούτου Πατρός. Καὶ ἐν τούτοις οὖν, ἔστιν ὅπου, τοῖς ἀποσπάσμασι, κἀν τοῖς σῳζομένοις ὁλοκλήροις αὐτοῦ συγγράμμασι τὰς ἐκ τῶν Ο προφητικὰς μαρτυρίας ὡς ἐκ θεοπνεύστου ἐκφέρει Γραφῆς. Ὅθεν καὶ *θείας βίϐλους* αὐτὰς ὀνομάζει, συναριθμῶν μετὰ τῶν Καινῆς Διαθήκης, ὡς ἰσοτίμους (ἐν τῷ Καταλόγῳ τῶν κανονικῶν Γραφῶν). Καὶ τὸν Σέλευκον νουθετῶν ὑποτάττειν τὴν ἔξω σοφίαν ὡς ὑπηρέτιν «τῇ πανσόφῳ τῶν Γραφῶν θεωρίᾳ», ἐπάγει· «Καὶ γὰρ δίκαιον, *τὴν σοφίαν τοῦ Πνεύματος*, Ἄνωθεν οὖσαν, ἐκ Θεοῦ τ' ἀφιγμένην, Δέσποιναν εἶναι τῆς κάτω παιδεύσεως, Ὥσπερ θεραπαίνης μὴ μάτην φυσωμένης, Ὑπηρε-

---

καὶ μετρήσομεν· ἐπειδὴ δοκοῦμεν καὶ ἡμεῖς Πνεῦμα Θεοῦ ἔχειν· εἴπερ πνεύματος χάρις τοῦτό ἐστιν, ἀλλὰ μὴ ἀνθρωπίνη καινοτομία» (Γρηγ. Ναζ. λόγ. να). Ὅθεν φαίνεται, ὅτι ἡ καθ' ἡμᾶς σῳζομένη Μετάφρασις τοῦ Ψαλτῆρος τοῦ νεωτέρου Ἀπολιναρίου ἔργον ἐςὶ μᾶλλον, ἢ τοῦ πρεσϐυτέρου, ὡς ἔδοξε τοῖς πλείστοις τῶν κριτικῶν. (ϐλ. ὄπισθ. σελ. 532).

τέν δὲ κοσμίως εἰθισμένης. Τῇ τοῦ Θεοῦ γὰρ ἡ κάτω δουλευέτω» (α).

§. ρκε. Δίδυμος Ἀλεξανδρεὺς, ἔτι κομιδῇ νέος τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα μαθὼν, ἀπέβαλε τὰς ὄψεις ὑπὸ νόσου· διὰ δὲ τὴν εὐφυΐαν ἐξ ἀκοῆς μόνης ἐδιδάχθη πᾶσαν τὴν ἐγκύκλιον καὶ φιλόσοφον παίδευσιν, γραμματικὴν, ποιητικὴν, ῥητορικὴν, διαλεκτικὴν, γεωμετρίαν, μουσικὴν, ἀστρονομίαν, καὶ μάλιστα τὰς θείας Γραφάς· διὸ καὶ τῆς ἐν Ἀλεξανδρείᾳ κατηχητικῆς προέστη σχολῆς (β)· ἤκμαζε κατὰ τὸ 370. Διήκουσαν δὲ τούτου καὶ Ἱερώνυμος καὶ Ῥουφῖνος· καὶ Παλλάδιος ἐν τῷ Λαυσαϊκῷ μετ' ἐπαίνων αὐτοῦ μνημονεύει, καὶ ἄλλοι οὐκ ὀλίγοι. Συνέγραψε πολλά· σῴζονται δ' ὀλίγα, ἐν οἷς καὶ σχόλια εἰς τοὺς Ψαλμοὺς καὶ εἰς τὸν Ἰὼβ, καὶ εἰς τὴν Πεντάτευχον, ἐν ταῖς Σειραῖς ἐκδεδομένα. Ἐν πᾶσι δὲ τούτοις τὴν γραφὴν τῶν Ο, ὡς καὶ κατὰ λέξιν θεόπνευστον ἑρμηνεύει· παραβάλλει δ' ἐνίοτε πρὸς διασάφησιν λέξεών τινων ἐν τοῖς Ψαλμοῖς καὶ τὰς κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς. Οἷον, ἐξηγῶν (καθὼς ἐκδέδοται ἡ χρῆσις) τὸ «Ἔθου *τὰς ἀνομίας* ἡμῶν ἐναντίον σου» (Ψαλμ. πθ, 8). «Σαφέστερόν (φησιν) ὁ Σύμμαχος, «*Ἀπέδωκας*, εἰπὼν, *καὶ τὰς ἀμελείας ἡμῶν φανήσεσθαι τῷ προσώπῳ σου*». Μνημονεύει τούτου Ὅδιος, τὰ συνήθη καὶ ἐπὶ τοῦ Διδύμου μάτην καὶ ἀνήνυτα διαπονῶν. Ἀλλ' ὅτι μὲν τὸ *σαφέστε-*

(α) Πρὸς Σέλευκ. στίχ. 245—250. Ἐν τοῖς Γρηγορίου τοῦ Ναζιανζηνοῦ (τόμ. β. σελ. 193 κτξ.), ὅπου συνήθως ἐκδίδοται τὸ τοῦ ἱεροῦ Ἀμφιλοχίου ἰαμβεῖον τοῦτο ποίημα. Ὁ δὲ Βίλλιος καὶ τοῦτο εἰς τὸν Θεολόγον Γρηγόριον ἀπονέμει, ὡς ἐκ τῆς φράσεως συμπεραίνων (Σχόλ. αὐτόθ. σελ. 1478)· ἀλλ' ἔχει τοὺς δικαίως, ἴσως, ἀντιλέγοντας.

(α) Σωκρ. Ἐκκλ. ἱστορ. Δ. 25; Σωζόμ. γ. 15. Οὗτος δὲ καὶ αὐτὰ τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα τυφλὸν ἐκμαθεῖν τὸν Δίδυμον ἱστορεῖ. «Λέγεται τοὺς χαρακτῆρας τῶν γραμμάτων σανίδι καταχαραχθέντας εἰς βάθος, ἐκμαθεῖν, τοῖς δακτύλοις ἐφαπτόμενος· συλλαβὰς δὲ καὶ ὀνόματα καὶ τὰ ἄλλα ἐφεξῆς καταλήψει νοῦ καὶ συνεχεῖ ἀκροάσει» κτλ. (Σημείωσαι, ὅπως καὶ παρὰ τοῖς ἀρχαίοις τοιοῦτος ὑπῆρχεν ὁ τρόπος τῆς τῶν τυφλῶν ἐκπαιδεύσεως, οἷος σχεδὸν καὶ ὁ παρὰ τοῖς νεωτέροις ἐξευρεθείς).

ρον οὐχὶ καὶ *γνησιώτερον* τὸν λόγον ποιεῖ, προείπομεν. Καὶ ἐξ αὐτῶν δὲ τῶν θεοπνεύστων φωνῶν τῆς ἑβραϊκῆς Γραφῆς (ὅσον ἐκ τῆς σαφηνείας ἁπλῶς θεωρουμένων), ἐάν τις ἀσαφεστέρα ἐξηγηθῇ δι' ἄλλης τινὸς συγγενοῦς (οἷον Συριακῆς, ἢ Χαλδαϊκῆς), ἀκριβεστέρας καὶ σαφεστέρας, μήπως αὕτη προτιμᾶται τῆς ἑβραϊκῆς, ὡς πλεῖον κῦρος ἔχουσα καὶ γνησιωτέρα; Ὁ δὲ κλεινὸς Ὄδιος πολλαχῶς ἥμαρτε περί τε τὴν γραφὴν, καὶ τὴν πρὸς τοὺς Ο ἀντιπαράθεσιν τῆς προκειμένης ῥήσεως τοῦ Συμμάχου. Ἀντὶ γὰρ τοῦ «*Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου, ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου*» (οἱ Ο), ὁ Σύμμαχος ἔγραψε «Προσέθηκας (ἴσ. προέθηκας) τὰς ἀνομίας ἡμῶν ἀντικρύ σου, τὰς ἀμελείας ἡμῶν φαίνεσθαι πρὸ προσώπου σου» (α). Ἐν δὲ τῇ εἰς τοὺς Ψαλμοὺς Σειρᾷ τοῦ Κορδερίου (τόμ. β. σελ. 864) γέγραπται ἡ παρὰ τῷ Διδύμῳ φράσις τοῦ Συμμάχου κολοβῶς καὶ ἡμαρτημένως, ὡδί· «Σαφέστερον ὁ Σύμμαχος· Ἀπέδωκας, εἰπὼν, καὶ τὰς ἀμελείας ἡμῶν φανήσεσθαι τῷ προσώπῳ σου». Οὕτως ἔχει καὶ ὁ Λατῖνος, ἓν ἁμάρτημα προσθεὶς ἐπὶ πλέον, ὅτι τὸ *ἀπέδωκας* ἡρμήνευσε *παρέδωκας* (β). Ὡσαύτως ἔγραψε καὶ Ὄδιος. Ἀλλ' ὁ Δίδυμος ἔγραψεν (οἶμαι) οὑτωσί. «Σαφέστερον ὁ Σύμμαχος *ἀπέδωκεν, εἰπών*· Προέθηκας τὰς ἀνομίας ἡμῶν» (καὶ τὰ ἑξῆς ὡς ἀνωτέρω), οὐ μόνον τὸ *ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου*, ἀλλ' ὅλον τὸν στίχον τῶν Ο, πρὸς ὅλον τὸν τοῦ Συμμάχου παρεξετάζων (καὶ πάλιν τὰ τῶν Ο ἑρμηνεύων). Καὶ διορθούσθω τοίνυν (εἰ δοκεῖ) ἐν τῇ Σειρᾷ ἡ τοῦ Διδύμου πεπηρωμένη χρῆσις, χάριν Ὀδίου! Καὶ ἄλλο δὲ παράδειγμα προσέθηκεν οὗτος ἐκ τοῦ αὐτοῦ, τὸ «Καὶ θυσάτωσαν αὐτῷ θυσίαν *αἰνέσεως*» (Ψαλμ. ρϛ, 22)· ὅπου ὁ Δίδυμος· «Ὁ γοῦν

(α) Βλ. Ἑξαπλ. Montfauc. T. 1. σελ. 608, ἐξ Εὐσεβίου (οὕτω καὶ Εὐσέβιος ἐν τῇ Σειρᾷ Κορδερ., αὐτόθ.). Τὸ δὲ νῦν ἑβρ. ἔχει. «ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου· τὴν νεότητα (ἄλλοι παραδιορθοῦσι τ ὰ κ ρ ύ φ ι α) ἡμῶν πρὸς φωτισμὸν τοῦ προσώπου σου».

(β) Manifestius Symmachus, cum ait. Tradidisti etiam negligentias nostras (αὐτόθ.).

Ἀκύλας *ἀκριβέστατα* ἡρμήνευσεν, εἰπών· «Καὶ θυσάτωσαν αὐτῷ θυσίαν *εὐχαριστίας*»· σαφῶς διὰ τῆς τοιαύτης ἑρμηνείας τὰς τῆς καινῆς Διαθήκης, ἃς καὶ *εὐχαριστίας* ὀνομάζειν ἡμῖν ἔθος, παραστήσας, τὰς λογικὰς καὶ ἀναιμάκτους». Ἀλλ' ὁ μὲν Δίδυμος (ὡς καὶ Θεόδωρος ὁ Ἡρακλεώτης, αὐτόθι) *ἀκριβεστέραν* ἔκρινε τὴν κατὰ τὸν Ἀκύλαν *εὐχαριστίαν*, διότι ἐκφράζει κατὰ τὸ συνηθέστερον ὄνομα τὴν λογικὴν καὶ ἀναίμακτον ἱερουργίαν (ὡς ἐξέλαβε καὶ Εὐσέβιος, καὶ Χρυσόστομος, καὶ Ἀθανάσιος αὐτὸ τὸ τῶν Ο, *θυσίαν αἰνέσεως*· αὐτόθ.). Ὅτι δὲ καὶ ἄλλοθι παρὰ τοῖς Ο τὸ *θυσίαν αἰνέσεως* σημαίνει τὸ θυσίαν *εὐχαριστίας*, πρόδηλον ἐκ τοῦ Λευϊτικοῦ· «προσοίσει *ἐπὶ τῆς θυσίας τῆς αἰνέσεως* ἄρτους» (ζ, 12. ὅπου ὁ Σχολ. ἐξηγεῖ *εὐχαριστίας*· οὕτω καὶ Β. Παραλ. κθ, 31). Καὶ ἐπὶ τοῦ μυστηρίου δὲ τῆς καθ' ἡμᾶς ἱερουργίας, ἢ *εὐχαριστίας*, τίθεται τὸ *θυσία αἰνέσεως*, ὡς ἐν τῇ ὀπισθαμβώνῳ εὐχῇ τῆς τοῦ Μ. Βασιλείου λειτουργίας· «Ὁ *θυσίαν αἰνέσεως*, καὶ λατρείαν εὐάρεστον τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν προσδεχόμενος» κτλ. (α). Καὶ τὰ μὲν Ὀδιακὰ τοσαῦτα καὶ τοιαῦτα καὶ περὶ τοῦ Διδύμου. Αὐτὸς δὲ ὁ Δίδυμος πολλαχοῦ λόγια τοῦ προφητικοῦ πνεύματος ἀνεκήρυξε τὰ τῶν Ο, καὶ *ἀδελφὰ* τοῖς Εὐαγγελίοις. Οἷον (ἐν αὐτῷ τῷ ρϛ. Ψαλμῷ) τὸ «Καὶ ἐποίησε καρπὸν γεννήματος» (σίχ. 37), «Ἀδελφόν (φησιν) ἂν εἴη τοῦτο τῆς Σωτηρίου φωνῆς· ἥ φησιν ἀρθήσεσθαι τὴν βασιλείαν τοῦ Θεοῦ ἐκ τοῦ προτέρου λαοῦ, καὶ δοθήσεσθαι ἔθνει *ποιοῦντι τὸν καρπὸν αὐτῆς*». βλ. καὶ ἑξῆς §. ρλϐ. σελ. 572. σημ.

§. ρκϛ. Πέτρος Ἀλεξανδρείας ἀρχιπρεσβύτερος (τῷ 371), καὶ τοῦ Μ. Ἀθανασίου συναθλητής· ἐκείνου δὲ μετὰ τοὺς πολλοὺς ἀγῶνας καὶ τοὺς ἰσαρίθμους στεφάνους εἰς τὸν ἀνώλεθρον βίον μεταστάντος, διεδέχθη τὸν θρόνον τῆς Ἀλεξανδρείας ὁ Πέτρος. Τούτου ἐγκύκλιον ἀκεραίαν σχεδὸν (πλὴν τῆς ἀρχῆς καὶ τοῦ τέλους)

(α) Καὶ ἡ ἀντίςοιχος ἑβραϊκὴ λέξις (todah) ἐξομολόγησιν καὶ αἴνεσιν καὶ εὐχαριςίαν δηλοῖ· ὅθεν, καὶ θυσίαν εὐχαριςτήριον· βλ. Gesen. Lexic. Hebr. p. 1048.

διέσωσεν ἡμῖν ὁ μακάριος Θεοδώρητος (Ἐκκλ. ἱστορ. δ, 19), ἐν ᾗ λίαν ζωγραφικῶς ἐξιστορεῖ τὰ τῶν Ἀρειανῶν ἐν Ἀλεξανδρείᾳ κατὰ τῆς ὀρθοδόξου Ἐκκλησίας φρικώδη τολμήματα· ἐν ταύτῃ δὲ καὶ γραφικάς τινας ῥήσεις ἀκριβῶς ἐκ τῶν Ο μνημονεύει. Ὅτι δὲ οὗτος ὁ ἱερώτατος Πέτρος διάφορος ἦν τοῦ ἱερομάρτυρος Πέτρου, κἀκείνου τῆς Ἀλεξανδρείας προέδρου, κἂν ἡμεῖς μὴ λέγωμεν, πρόδηλον ἐκ τῆς ἱστορίας. Ἐκεῖνος γὰρ, τὸ, κατὰ τὸν Εὐσέβιον, «*θεῖον ἐπισκόπων χρῆμα*» (Ἐκκλ. ἱστορ. θ, 6), ἤκμαζε τῷ 300 μ. Χ. καὶ μετὰ τριετίαν (τῷ 303) τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο, καταλιπὼν τοὺς ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων (Ϛ, καὶ Ζ) κεκυρωμένους ΙΕ, ἱεροὺς αὐτοῦ Κανόνας, ἐν οἷς καὶ οὗτος ἐκ τῶν Ο προφέρει ὅσας ἐμνημόνευσε ῥήσεις τῆς προφητικῆς Γραφῆς. Ἄλλα δὲ τούτου σῳζόμενα ἀποσπάσματα βλέπε παρὰ τῷ Καβέῳ (σελ. 80.).

§. ρκζ. Μακάριος ὁ πάνυ φερώνυμος (τῷ 373), τὸ γένος Αἰγύπτιος, ἀσκητὴς μοναχὸς, τοῦ Μ. Ἀντωνίου μαθητὴς, καὶ θαυματουργὸς, καὶ τοῦ μέλλοντος προορατικὸς, ὡς οἱ συγχρονίσαντες αὐτῷ ἱστορικοὶ μαρτυροῦσι (α). Τούτου σῴζεται χρυσῆ βίβλος, πεντήκοντα περιέχουσα *Ὁμιλίας* πνευματικὰς, καὶ πλήρεις θείων ἐννοιῶν καὶ νουθεσιῶν σωτηριωδεστάτων, ἐν αἷς καὶ οὐκ ὀλίγας ῥήσεις τῶν Ο, ὡς ἐκ θείας ἀναφέρει Γραφῆς. Ἐν δὲ τῇ λθ, Ὁμιλίᾳ διαλαμβάνων περὶ τῶν ἁγίων Γραφῶν (τῆς Παλαιᾶς καὶ τῆς Καινῆς), γράφει τὰ ἑξῆς· «Τὰς θείας Γραφὰς, ὥσπερ ἐπιστολὰς, ἀπέστειλεν ὁ βασιλεὺς Θεὸς τοῖς ἀνθρώποις, δηλώσας δι᾽ αὐτῶν, ἵνα, παρακαλέσαντες τὸν Θεὸν, καὶ πιστεύσαντες, αἰτήσωσι καὶ λάβωσι δωρεὰν οὐράνιον, ἐκ τῆς ὑποστάσεως τῆς θεότητος αὐτοῦ· γέγραπται γὰρ, (Β, Πέτρ. α), ἵνα *γενώμεθα θείας κοινωνοὶ φύσεως*. Ἐὰν δὲ μὴ προσέλθῃ καὶ αἰτήσῃ καὶ λάβῃ ὁ ἄνθρωπος, οὐδὲν ὠφελήθη, ἀναγνοὺς τὰς Γραφάς» κτλ. (σελ. 473. ἐκδ. Παρισ. 1559). Οὕτω

(α) Παλλάδ. Λαυσαϊκ. κεφ. 20. — Σωκρ. Ἐκκλ. ἱστορ. δ, 23. — Θεοδώρ. δ, 18. — Σῳζόμ. γ, 14. — Νικηφ. ὁ Κάλλ. θ, 14. — Σουΐδ. λ. Μακάριος.

καὶ ὁ Μ. Βασίλειος *θεόπεμπτα δῶρα* τὰς θεοπνεύστους βίβλους ὠνόμασε (ὄπισθ. σελ. 547).

§. ρκη. Ἀμβρόσιος ὁ ἱερώτατος Μεδιολάνων ἐπίσκοπος (τῷ 374), λαμπρὸς ἀπό τε γένους καὶ σοφίας καὶ βίου ἁγιότητος καὶ συγγραμμάτων ἐκκλησιαστικῶν, πρὸς ὃν καὶ ὁ Μ. Βασίλειος ἐπέστειλεν, ἐπαινῶν τὴν ποιμαντικὴν αὐτοῦ ἀρετὴν (ἐπις. νέ.). Συνέγραψε πολλά, καὶ τὰ πάντα λατινιστί. Τεμάχια δέ τινα τῶν αὐτοῦ συγγραμμάτων σῴζονται καὶ ἑλληνιστὶ παρά τε τῷ ἱερῷ Θεοδωρήτῳ (Διαλόγ. β, καὶ γ), καὶ ἐν τοῖς πρακτικοῖς τῆς Ϛ, (πράξ. δ, ι), καὶ τῆς Ζ, Οἰκουμενικῆς Συνόδου (πράξ. Ϛ). Ἐν πᾶσι δὲ τοῖς ἱεροῖς αὐτοῦ πονήμασι κέχρηται ταῖς ἐκ τῶν Ο (κατὰ τὴν Ἰτάλαν) προφητικαῖς μαρτυρίαις, ὡς θεοτυπώτοις Γραφαῖς. Ὅδιος δὲ καὶ ὧδε πρὸς ἄνεμον ἐπύκτευσε, προβαλών, ὅτι ἐν τοῖς εἰς τὸν Ἰὼβ ὑπομνήμασι τοῦ ἱεροῦ Ἀμβροσίου λείπει ἀπὸ τοῦ ἐσχάτου κεφαλαίου τοῦ Ἰὼβ ἡ κατὰ τοὺς Ο περικοπὴ ἐκείνη « *Γέγραπται* δὲ » κτλ. (στίχ. 17), ἥτις λείπει καὶ ἐκ τοῦ ἑβραϊκοῦ. – Ἀλλ᾽ ὁ μὲν Πατὴρ ἐξήγησε μόνον τὰ μέχρι ταύτης τῆς περικοπῆς, παρεάσας αὐτήν, ἴσως, ὡς σαφῆ. Αὐτῆς δὲ τῆς περικοπῆς τὸ γνήσιον καὶ ἡ ἀρχαιότης ὑπάρχει παρὰ τοῖς ὀρθῶς φρονοῦσιν ἀναντίῤῥητος (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 603). « Λείπουσί (φησιν) ἐκ τῶν Ἀμβροσίου ὑπομνημάτων (ὡς καὶ ἐκ τοῦ ἑβραϊκοῦ) κἀκεῖνα τὰ παρὰ τοῖς Ο ῥήματα τῆς τοῦ Ἰὼβ γυναικός· « Μέχρι τίνος καρτερήσεις; » κτλ. (β. 9). — Τί δὲ τὸ ἐκ τούτου; μήπως ὁ Ἀμβρόσιος οὐκ ἀνεγίνωσκεν, οὐδ᾽ ἐπρέσβευεν ὡς γνήσια λόγια καὶ ταῦτα τὰ ἐν πάσῃ τῇ Ἐκκλησίᾳ, καὶ παρὰ τοῖς ἱεροῖς πατράσι, καὶ παρ᾽ αὐτῷ τῷ Ὠριγένει, ὡς ἀψευδῆ καὶ γνήσια ἀναγινωσκόμενα, διότι παρέλιπεν αὐτὰ ἀνεξήγητα; εἰ δὲ καὶ ἀπεδοκίμαζε τὸ χωρίον, προτιμῶν τὴν ἐν τούτῳ κολόβωσιν τοῦ ἑβραϊκοῦ, διὰ τί μὴ καὶ τὴν ἀποδοκιμασίαν ἐκπεφασμένως ἐδήλωσεν; (ὤφειλε δὲ πάντως). Ἔπειτα, πόθεν ἔσχεν Ὅδιος τὴν ἐγγύησιν, ὅτι οἱ πρῶτοι τῶν Ἀμβροσιανῶν ὑπομνημάτων ἀντιγραφεῖς οὐ παρέλιπον ἐξ ἀβλεψίας καὶ ταῦτα, καὶ ἄλλα τινά, ἴσως, ἐκ τοῦ κειμένου τοῦ συγγραφέως; Πόσον δὲ συγκεχυμένως τὸ πρῶτον ἐξεδό-

θησαν τὰ συγγράμματα τοῦ ἱεροῦ Ἀμβροσίου, μαρτυροῦσιν ἄλλοιτε καὶ Δουπῖνος (Βιβλιοθ. τ. β. σελ. 252) « Ἀλλά (φησι) καὶ ἐν ἄλλῳ χωρίῳ τοῦ Ἰὼβ (δ, 1)· ἐκφέρει τινὰ ῥῆσιν οὐ τῶν Ο, ἀλλὰ τοῦ Θεοδοτίωνος ». - Ἀλλὰ καὶ τοῦτο σφάλμα φαίνεται τῶν ἀντιγραφέων, οἵτινες συνέχεον τὰς ῥήσεις, ἀντιγράφοντες πολλάκις ἐκ τῶν Ἑξαπλῶν, οἷα καὶ ἐν ἄλλοις προσεσημείωται (ὄπισθ.σελ.424). Οὕτω καὶ ἀλλαχοῦ τῶν ὑπομνημάτων Ἀμβροσίου (εἰς Παροιμ. ια, 16) γέγραπταί τις ῥῆσις διπλῶς, καὶ κατὰ τοὺς Ο, καὶ κατὰ Θεοδοτίωνα, περὶ ἧς προείπομεν (σελ. 490). Καὶ αὐτὴ δὲ ἡ Ἰτάλα ὑπῆρχεν ἤδη ἐπὶ Ἀμβροσίου κατά τινας τόπους ἀνάμικτος καὶ ἐξ ἄλλων λατινικῶν ἑρμηνειῶν τῶν Ο, καὶ περί τινα διεφθαρμένη (βλ. ὄπισθ. σελ. 440)· καθὰ καὶ τῆς Καινῆς Διαθήκης οἱ τότε λατῖνοι κώδηκες ἔπαθόν τινας μεταβολὰς ἐκ τῆς πυκνῆς ἀντιγραφῆς, καί τινα χωρία « *ἄπιστοί τινες ἐνόθευσαν* », ὡς αὐτὸς ὁ Ἀμβρόσιος μαρτυρεῖ, παραπέμπων τοὺς ἀναγνώστας εἰς τὰ ἑλληνικὰ ἀντίγραφα, ἐν οἷς ἡ γνησία διετηρεῖτο γραφή (α). Καὶ τὰ μὲν Ὀδίου θεωρήματα τοιαῦτα. Αὐτὸς δὲ ὁ τῆς ἀμβροσίας ἐπώνυμος, καὶ φερώνυμος τῆς εὐσεβείας διδάσκαλος, πάσας τὰς πολυπληθεῖς, ἃς ἐμνημόνευσε προφητικὰς μαρτυρίας, ἔγραψε κατὰ τοὺς Ο (β), καὶ τούτων τὸ θεῖον κῦρος ἀνεκήρυξεν, ἐν οἷς διαλαμβάνων περὶ τοῦ προειρημένου χωρίου τῆς Γενέσεως («Καὶ συνήχθη τὸ ὕδωρ» κτλ.

(α) «Si quis de Latinorum codicum varietate contendit, qnorum aliquos perfidi falsaverunt, Graecos inspiciat codices, et advertat quia scriptum est «οἱ πνεύματι Θεῷ λατρεύοντες». S. Ambros. De Spirit. S. Lib. II. c. 6.

(β) Οὕτω, φερ' εἰπεῖν, ἐν αὐτῷ τῷ Ἰὼβ (λ, 24) γέγραπται κατὰ τοὺς Ο. « Εἰ γὰρ ὤφελον δυναίμην ἐμαυτὸν χειρώσασθαι· ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο ». Ἀπαραλλάκτως ἔχει καὶ ὁ ἱερὸς Ἀμβρόσιος. Τὸ δ' ἑβραϊκὸν παντάπασι διάφορον, καὶ παρ' ἄλλοις ἄλλως ἐξηγούμενον, καὶ ἀείποτε μένον ἀνεξήγητον, ὡς διεφθαρμένον· «Ἀλλ' ὅμως οὐκ εἰς τύμβον πέμψει χεῖρα· εἴπερ ἐν τῇ συντριβῇ αὐτοῦ ἐκείνοις κραυγή » (ἄλλοι, «εἰ γε ἐν τῷ ὀλέθρῳ αὐτοῦ ἐκείνοις σωτηρία). βλ. ἑρμην. Montan. πρβλ. Schulz, Schol. in V. Test. v. 6. p. 350. Ἄλλα παραδείγματα παρ' Ἀμβροσίῳ ἐκ τῶν Ο, βλ. ὄπισθ. Βιβλ. Β. σελ. 731, 732, 736 839. καὶ Βιβλ. Γ. σελ. 407, 431 κτλ.

βλ. ὄπισθ. σελ. 536), ἰσχυρῶς ἀντιλέγει πρὸς τοὺς περιττὴν καὶ παρεμπεποιημένην ὑποπτεύσαντας τὴν ἐπανάληψιν (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 453). «Ἡμεῖς δέ (φησιν) οὐ κωφὴν (ματαίαν) νομίζομεν τὴν λεγομένην ταύτην προσθήκην, κἂν εἴπωσιν, ὅτι τοῦτο βούλεται παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς ἢ ἡ ἀλήθεια, ἢ τὸ κῦρος» (τὸ ἐκ τοῦ ἑβραϊκοῦ δηλονότι κειμένου). «Πολλὰ γὰρ εὑρίσκομεν παρὰ τοῖς Ο πρὸς τῇ ἑβραϊκῇ ἀναγνώσει οὐκ ἀργῶς προςεθειμένα καὶ συνημμένα» (εἰς τὴν Ἑξαήμ. βιβλ. γ, 5). Ἑβραϊκὴν δ' ἀνάγνωσιν λέγων, ἐνόει πάντως τὸ μ. Χ. ἑβραϊκὸν, ἐξ οὗ ἔλειπον ἐκπεπτωκότα τὰ παρὰ τοῖς Ο εὑρισκόμενα, διὸ καὶ *οὐκ ἀργῶς* (περιττῶς καὶ εἰκαίως) ταῦτα λέγει *προστεθειμένα*. Καὶ τοῖς ἄλλοις δὲ τοῖς ἑρμηνευταῖς οὔτ' ἀλήθειαν ἀπένεμεν, οὔτε κῦρος (ὡς δῆθεν τῷ ἑβραϊκῷ συμφωνοῦσι, καθ' ὅσα διέφερον πρὸς τοὺς Ο). Καὶ ἀλλαχοῦ δὲ (ἑρμην. εἰς Ψαλμ. ριη) διακηρύττει, ὅτι ἡ *Ἐκκλησία τοῖς Ο μᾶλλον* (ἢ τῷ ἑβραϊκῷ) *παρακολουθεῖ*. Καὶ τὰ λείποντα δὲ ἐκ τοῦ ἑβραϊκοῦ· οἷον, τὸν Βαροὺχ, καὶ τὴν Σωσάνναν, καὶ τ' ἄλλα τὰ προσεσημειωμένα τεύχη καὶ χωρία τῶν Ο, καὶ τὰ *Ἀναγινωσκόμενα* πολλάκις ἐμνημόνευσεν ὁ ἱερὸς Ἀμβρόσιος, ὡς ἐκ θείας καὶ κανονικῆς Γραφῆς (βλ. ὄπισθ. σελ. 190, 202, 207, 217 καὶ Βιβλ. Γ. σελ. 677, 683, 853).

§. ρκθ. Διόδωρος (ὁ καὶ Θεόδωρος) Ἀντιοχεὺς (τῷ 378), τό, τε γένος περιφανὴς, καὶ τὴν παιδείαν διάσημος, πρεσβύτερος Ἀντιοχείας, εἶτα δὲ καὶ Ταρσοῦ ἐπίσκοπος, ὅστις καὶ διδάσκαλος ἐγένετο τοῦ Χρυσοστόμου, καὶ κατὰ τὴν Β, Οἰκουμενικὴν Σύνοδον παρῆν (α). Συνέγραψεν οὗτος πολλὰ, καὶ εἰς πᾶσαν τὴν παλαιὰν Γραφὴν ἐξηγήσεις, ἐξ ὧν σῴζονται τὰ ἐν ταῖς Σειραῖς τῆς Πεντατεύχου καὶ τῶν Ψαλμῶν ἐκδεδομένα τεμάχια. Φαίνεται δὲ κἀν τούτοις, οἷον αὐτὸν ἐζωγράφησεν ἡ κριτικὴ τοῦ Φωτίου γραφίς· «καθαρὸς τὴν φράσιν, καὶ εὐκρινὴς, τοῖς δὲ ἐνθυμήμασι καὶ τῇ τῶν ἐπιχειρημάτων διαπλάσει» ἄριστος. Περὶ δὲ τὴν ἐξήγησιν

(α) Φώτ. Ἀναγν. ρϐ, καὶ σκγ. — Θεοδώρ. ϐ, 19, δ, 22. — Σωζόμ. ζ, 8. — Σωκρ. ε, 8, ς, 3. πρβλ. καὶ Σουΐδ. λ. Διόδωρος.

τῶν Γραφῶν τὸ ἱστορικὸν νόημα πλεῖστον ὅσον προτιμᾷ τοῦ ἀλληγορικοῦ (καθὼς αὐτὸς ὁμολογεῖ, εἰς Γενέσ. μθ, 11). Πανταχοῦ δὲ καὶ οὗτος τὴν, ἣν ἐξηγεῖ, ἑρμηνείαν τῶν Ο, καὶ φράσει καὶ διανοίᾳ θείαν Γραφὴν θεωρεῖ καὶ κατονομάζει. Εἴδομεν τούτου δεῖξιν ἐν τοῖς προηγηθεῖσι (σελ. 441). Οὕτω καὶ περὶ τῆς σημασίας τοῦ *ὄφις* ὀνόματος διαλαμβάνων (εἰς Γεν. γ, 2), «Ὅτι δέ (φησι) καὶ αὐτὸν τὸν διὰ τοῦ ὄφεως ἐνεργήσαντα, *ὄφιν* ἡ θεία προσαγορεύει Γραφή, μάρτυς Ἡσαΐας (κζ, 1)· καὶ ὁ Κύριος δὲ τοῖς ἱεροῖς εἴρηκε μαθηταῖς· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων» κτλ. Παραβάλλει δ' ἔστιν ὅπου καὶ τὸν Ἑβραῖον καὶ τὸν Σύρον, καὶ τοὺς ἄλλους ἑρμηνευτὰς, σαφηνίζων τὸν λόγον· οἷον εἰς τὸ «*Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου*», νῦν (λέγει) μόνον τοῦτο γεγονὸς, ὡς καὶ ὁ Σύμμαχος καὶ Θεοδοτίων ἡρμήνευσαν (οὕτω)· Τοῦτο *ἅπαξ* ὀστοῦν ἐκ τῶν ὀστῶν μου» (Γεν. β, 23). Ὅδιος δὲ κἀν τούτοις τὰ οἰκεῖα ποιεῖ καὶ συνήθη, παριστῶν καὶ τὸν Διόδωρον προτιμῶντα πάντας ἄλλους πρὸ τῶν Ο. Καὶ φέρει ἐκ τοῦ Διοδώρου πέντε παραδείγματα, οἷον τὸ ἀνωτέρω (τοῦτο νῦν ὀςοῦν κτλ.), καὶ τὰ ἑξῆς. Εἰς τὸ «Πεντεφρὴς ὁ εὐνοῦχος» (Γεν. λθ, 1) ὁ Διόδωρος (ὥς φησιν Ὅδιος) ἀποῤῥίπτει προφανέστατα τὴν ἀνάγνωσιν τῶν Ο (τὸ *εὐνοῦχος*)· λέγει γάρ· «Εἰ εὐνοῦχος ὁ Πεντεφρὴς, πῶς εὑρίσκεται γυναῖκα ἔχων; Ἀλλ' ὁ μὲν Σύρος μιᾷ προσηγορίᾳ τόν τε σπάδοντα καὶ τὸν πιςὸν ἄνδρα λέγει τοῖς δεσπόταις, *ἐπειδὴ τοῖς εὐνούχοις ἐπιστεύετο πάντα τὰ κτήματα καὶ ἡ σωτηρία τοῦ βασιλέως*». — Ἀλλ' ἐν τούτοις, α) ὁ Ὅδιος ἀπένειμεν εἰς τὸν Διόδωρον σχόλιον ἐπιγραφόμενον *Ἀδήλου* (ἴδε τὴν Ὀκτάτ. Θεοτ. τόμ. α. σελ. 446)· β) καὶ τοῦτο ἐκφέρει συγκεκομμένον· μετὰ γὰρ τὸ *τοῖς δεσπόταις*, τὸ σχόλιον λέγει· «Ὁ δὲ Ἑβραῖος (λέγει) ἀληθῶς *εὐνοῦχον*· καὶ τοῦτον ἀπὸ τῆς πίςεως· ἐπειδὴ φιλεῖ τὸ τῶν εὐνούχων γένος μάλιςα πιστεύεσθαι τὰ τιμιώτερα τῶν κτημάτων» κτλ. Ὥστε ὁ κατὰ τὸν Ὅδιον Διόδωρος ἐπικυροῖ τὸ τῶν Ο, εὐνοῦχος καὶ ἐκ τοῦ ἑβραϊκοῦ (ὅτι δὲ «ἡ θεία Γραφὴ σπάδοντας καὶ τοὺς (ἴσ. γρ. καὶ τοὺς σπάδ.), εὐνούχους καλεῖ, καὶ τοὺς μὴ ὄντας

εὐνούχους, (καὶ) τὸν τόπον δὲ τούτων καὶ [τὴν] πίστιν ἐπέχοντας», ἄλλος Ἄδηλος ἐσημείωσεν αὐτόθ.). Πάλιν εἰς τὸ «Ἄρσην, ὃς οὐ περιτμηθήσεται . . . τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη» κτλ. (Γεν. ιζ, 14), γράφει ὁ Διόδωρος· «Τί οὖν; ὁ μὴ περιτμηθεὶς ἐξολοθρευθήσεται; καὶ πῶς τὸ βρέφος; τῶν γὰρ πατέρων ἐστὶ τὸ περιτεμεῖν *τῇ ἡμέρᾳ τῇ ὀγδόῃ*· ἀλλ' ὁ Σύρος οὕτως ἔχει· *πᾶς ὃς οὐ περιτέμνει*· καὶ ὁ Ἑβραῖος, «*πᾶς ὁ μὴ περιτέμνων*» κτλ. Ἀλλ' ἐν τούτοις ὁ Διόδωρος οὐκ αὐτὴν λέγει τὴν Συριακὴν καὶ τὴν Ἑβραϊκὴν γραφήν· ἀμφότεραι γὰρ ἔχουσιν, ὡς οἱ Ο, «*Ἄρσην, ὃς οὐ περιτμηθήσεται*» (καὶ τοῦτο Ὅδιος παρασιωπᾷ). Σύρον δὲ καὶ Ἑβραῖον ἐξηγητήν τινα τοῦ ῥητοῦ ὁ Διόδωρος ἐννοεῖ, ὅστις τὸ οὐ περιτμηθήσεται παρεβίασεν, ἀναγινώσκων κατ' ἐνεργητικὴν σημασίαν, ἵνα θεραπεύσῃ τὴν δοκοῦσαν ἀτοπίαν (α)· καὶ μάρτυς ὁ Φίλων, ὅστις ἐκ τοιούτων ἑβραίων λέγει ταῦτα· «Τὸ δὲ ὀκτὼ ἡμερῶν μετὰ γέννησιν βρέφος, εἰ μὴ περιτέτμηται, τί ἀδικεῖ, ὡς καὶ θανάτου τιμωρίαν ὑπομένειν; *Ἔνιοι μὲν οὖν φασιν, ἀναφορικὸν εἶναι τὸν τῆς ἑρμηνείας τρόπον ἐπὶ τοὺς γονεῖς, καὶ ἐκείνους κολάζεσθαι οἴονται*» κτλ. (Σχόλ. εἰς Γενέσ. αὐτ. πρβλ. καὶ Ἰσίδωρον Πηλουσ. αὐτ.). Ταύτην οὖν τὴν γνώμην καὶ Διόδωρος ἁπλῶς ἐπανέλαβε· παρακατιὼν δὲ πάλιν τὰ τῶν Ο κρατεῖ, λέγων· «καὶ οὐκ *ἐμέμφθη* (φησὶν) *ὁ μὴ περιτμηθείς*»· καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ κλεινὸς Ὅδιος βαρεῖαν ἐξ ὧν εἶπεν ἀνέλαβεν εἰς ἑαυτὸν ὀφειλήν. Ἐπειδὴ γὰρ (κατ' αὐτὸν) ὁ Διόδωρος προτιμῶν ἐνταῦθα τὸ ἑβραϊκὸν ὑπὲρ τοὺς Ο, ἔγραψε τὴν ῥῆσιν ὡς ἀνέγνω ἐν αὐτῷ τῷ ἑβραϊκῷ· γράφει δὲ συνάμα καὶ τὸ *τῇ ἡμέρᾳ τῇ ὀγδόῃ*· τοῦτο δὲ λείπει ἐκ τοῦ νῦν ἑβραϊκοῦ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 484)· ὥρα λοιπὸν Ὁδίῳ ἢ καὶ τὸ ἑβραϊκὸν κατὰ τὰ παρὰ τῷ Διοδώρῳ διορθῶσαι, ἢ τὰ περὶ Διοδώρου δόξαντα αὐτῷ μάταια καὶ ψευδῆ καθομολογῆσαι.

(α) Ὅτι τὸ, ὁ Ἑβραῖος καὶ ὁ Σύρος, παρὰ τοῖς Πατράσι σημαίνει οὐ μόνον αὐτὴν τὴν ἑβραϊκὴν, καὶ τὴν Συριακὴν Γραφὴν, ἀλλὰ καί τινας ἀναγνώσεις καὶ ἐξηγήσεις τῆς ἑβραϊκῆς λέξεως διαφόρους, ἢ ὡς ἡρμήνευσαν οἱ ἄλλοι ἑρμηνεῖς, προείπομεν Βιβλ. Γ. σελ. 371.

Τοιοῦτο καὶ τὸ ἑξῆς. Δυνάμει (λέγει) τῆς ἑβραϊκῆς φωνῆς ὁ Διόδωρος ἐξήγησε τὸ «(πνεῦμα θεοῦ) *ἐπεφέρετο*» (Γεν. α, 2), καὶ γράφει λατινιστὶ ὁ κριτικὸς ὀλίγας τινὰς φράσεις ἐκ τῆς ἐξηγήσεως τοῦ Διοδώρου. Ἀλλ' ἰδοὺ ὁλόκληρος ἡ χρῆσις τοῦ ὑπομνηματιστοῦ (ἧς μέρος ἐν τοῖς προλαβοῦσι προσεσημείωται, σελ. 539). « Τὰ ἀφ' ἑτέρας γλώττης εἰς ἑτέραν μεταγόμενα νοήματα, εἴ τις καὶ τῇ λέξει δουλεύειν (ἴσ. γρ. *δουλεύων*), ἀφ' ἧς ἡρμήνευται, πειρῷτο καὶ (ἴσ. γρ. καὶ *κατὰ*) ταύτην μετάγειν, ἀποσφαλήσεται τῆς διανοίας. Ὡς γὰρ σφενδονήτης, ἢ τοξότης, παρ' ἡμῖν μὲν διὰ μιᾶς λέξεως σημαίνεται, παρὰ Σύροις δὲ διὰ δύω, οὕτω καὶ τὸ *ἐπεφέρετο* μία μὲν ἐστι λέξις παρ' Ἑβραίοις· παρ' ἡμῖν δὲ διὰ μιᾶς λέξεως οὐκ ἂν παρασταίη» (ταῦτα πάντα *χάριν συντομίας* παρέλιπεν Ὅδιος, καὶ παραφράζει μόνα, καὶ οὐδ' ἀκριβῶς, τὰ ἐφεξῆς). « Βούλεται γὰρ ἡ ἑβραϊκὴ λέξις ἡ τοῦ *ἐπεφέρετο* σημαίνειν, ὅτι, καθάπερ ὄρνις ᾠὰ θάλπει, ταῖς πτέρυξιν ἁπαλῶς ἐφαπτομένη εἰς τὸ ζωογονεῖν, οὕτω καὶ τὸ πνεῦμα ἐπεφέρετο τοῖς ὕδασι ζωοθαλποῦν». Καὶ ὅτι μὲν ὁ Διόδωρος ἔγραψε ταῦτα, μιμούμενος τὸν Μ. Βασίλειον, πρόδηλον (βλ. σελ. 537). Ὅδιος δ' ἐν τούτοις κλεψίνους εἶναι δοκεῖ, πειρώμενος ἀποδεῖξαι τὸ τῶν Ο *ἐπεφέρετο* μηδέν τι σημαίνειν καθ' ἑαυτὸ χωρὶς τῆς ἑβραϊκῆς ἑρμηνείας. Ὅτι δὲ καὶ Ἀκύλας, καὶ Σύμμαχος, καὶ Θεοδοτίων *ἐπιφερόμενον* εἶπον (τὸ πνεῦμα), τοῦτο παρεῖδεν ὁ κριτικός. Οὐδ' αὐτῷ τῷ Διοδώρῳ προσέσχεν, ὅστις μόνον τὸν τρόπον τοῦ *ἐπιφέρεσθαι* σαφῶς διορίζει (ὡς ὁ Μ. Βασίλειος, καὶ ὁ Σύρος), καὶ τοὺς ἰδιωτισμοὺς τῶν διαλέκτων διατρανοῖ. Συνάμα δὲ καὶ τοὺς Ο φαίνεται ἐπαινῶν, *ὡς τῇ λέξει μὴ δουλεύσαντας, μηδὲ τῆς διανοίας ἀποσφαλέντας*. Πῶς γὰρ ἂν ἐκεῖνοι τῆς διανοίας τῶν ἑβραϊκῶν φωνῶν ἀπεσφάλησαν, οἱ καὶ τὴν πάτριον ἐπιστάμενοι γλῶσσαν, καὶ μετὰ θείας ἐπιπνοίας ἐξελληνίζοντες τὰς φωνὰς, ὡς ἀπῄτει κατὰ τόπους ἡ ἰδιάζουσα καὶ προσφυὴς σημασία; Ἐνταῦθα μὲν γὰρ *ἐπεφέρετο* τὴν ἑβραϊκὴν ἐξήγησαν λέξιν (δηλοῦντες τὴν ἐπὶ τῶν κινουμένων ὑδάτων ζωτικὴν φορὰν καὶ δύναμιν

τῆς ἐνεργείας τοῦ θείου πνεύματος). Ἐπὶ δὲ τῶν τοὺς νεοσσοὺς θαλπόντων πτηνῶν ἄλλως τὴν αὐτὴν ἡρμήνευσαν φωνὴν (οὕτω τοῦ ἰδικοῦ νοήματος ἀπαιτοῦντος)· «Ὡς ἀετὸς ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ *ἐπεπόθησε*» (Δευτερ. λϐ, 11) (α). Τελευταῖον· ὁ Ὅδιος ἐπελάθετο, ὅτι ὁ Διόδωρος οὕτω πιστῶς παρηκολούθει τοῖς Ο, ὥστε κατ' αὐτοὺς συνέγραψε καὶ τὸ (μηκέτι σῳζόμενον) «*Χρονικὸν, διορθούμενον τὸ σφάλμα τοῦ Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν χρόνων*» (ϐ).

§. ρλ. Ἐν τῇ Β, ἁγίᾳ καὶ Οἰκουμενικῇ Συνόδῳ (τῷ 381) τὸ θεῖον κῦρος τῶν Ο λαμπρῶς ἀποδέδεικται. α) Ἐνταύτῃ τῇ Συνόδῳ προσετέθη εἰς τὸ θεῖον Σύμϐολον τῆς πίστεως τὸ «Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον. . . *τὸ λαλῆσαν διὰ τῶν προφητῶν*» (βλ. ὄπισθ. σελ. 513). β) Καὶ ἐν τῷ πρὸς Δάμασον τὸν Ῥώμης *Συνοδικῷ* (Θεοδώρ. Ἐκκλ. ἱστ, ε, 9) εἴ τι προφητικὸν ἀναφέρεται, γέγραπται ἀκριβῶς κατὰ τοὺς Ο, οἷον τὸ «*Τίς δώσει ἡμῖν πτέρυγας, ὡσεὶ περιστερᾶς, καὶ πετασθησόμεθα, καὶ καταπαύσομεν;* κτλ. (Ψαλμ. νδ. 6). γ) Ὅλος ὁ *Συντακτήριος* λόγος, ὃν ὁ Θεολόγος Γρηγόριος, παραιτού-

---

(α) Ἐπεπότησεν ἔχει ἡ Κομπλουτεία ἔκδοσις (ὃ καὶ Γράϐης κατεχώρισεν ἐν τῷ Ἀλεξανδρινῷ), ἐκ τοῦ ποτάω κατὰ διάλεκτον ἀντὶ τοῦ μέσου ποτάομαι (καὶ πωτάομαι=πέταμαι) ὡς καὶ ἐν τῇ συνηθείᾳ τὸ πετῶ, ἀντὶ πετῶμαι. Μάτην δὲ τὸν Schleusner ἐσκανδάλισεν ὁ εἰς ω τοῦ ῥήματος σχηματισμὸς, διὸ καὶ μηδὲν δέον, μηδ' ἑλληνικῶς, διορθοῖ κατὰ μέσον ἀόριστον (καθ' ὃν οὐδέποτε τὸ πέτομαι, ἢ ἵπταμαι σχηματίζεται), γράφων ἐπεποτήσατο. Καὶ ἄλλην δὲ πολὺ παραδοξοτέραν διόρθωσιν προβάλλει, τὸ ἐπεπότισεν (ἐκ τοῦ ποτίζω, καὶ ἐπιποτίζω!), καὶ τοῦτο ἀντὶ ἐγαλούχησε (lactavit· τίς; ὁ ἀετὸς τοὺς νεοσσούς! καὶ τοῦτο ἄρα τὸ τῆς παροιμίας, ὀρνίθων γάλα!). Τὸ δὲ Βατικανὸν καὶ τὸ Ἀλεξανδρινὸν (πλὴν τοῦ Γράϐου) καὶ ἄλλαι ἐκδόσεις ἔχουσιν ἐπεπόθησε (ποθέω)· δηλοῖ δὲ καὶ τοῦτο ἡ ἑϐραϊκὴ φωνὴ, ἥτις καθόλου τὸ κινεῖσθαι σημαίνει (ὅθεν καὶ τὸ συγκινεῖσθαι, παθαίνεσθαι ὑπὸ πόθου, καὶ θάλπειν μαλακῶς, ἐπωάζειν), διὸ καὶ τὸ σείεσθαι (ὑπὸ φόϐου)· ὅθεν πάλιν οἱ Ο (Ἱερεμ. κγ, 9) ἐσαλεύθη (τὰ ὀστᾶ μου) τὴν λέξιν ἐξήγησαν (ϐλ. Gesen. Lexic. Hebr. p. 934. πρϐλ. καὶ ὄπισθ. Βιϐλ. Β. σελ. 921).

(ϐ) Σουΐδ. λ. Διόδωρος. πρϐλ. Cave l. c. p. 152. καὶ Θεοτόκ. προλ. εἰς τὴν Ὀκτάτευχ. σελ. ιδ.

μενος τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, ἐξεφώνησεν ἐπὶ παρουσίᾳ τῆς ἁγίας Συνόδου, γέμει ῥητῶν προφητικῶν, ἁπάντων ὡς θεοῦ φωνῶν ἐκφερομένων ἐκ τῆς ἑρμηνείας τῶν Ο. Ὅτι δὲ τοιαύτας τὰς ῥήσεις καὶ πάντες οἱ ρν Πατέρες τῆς Συνόδου ἐπίστευον καὶ ἐπρέσβευον, καὶ μίαν καὶ μόνην, τὴν τῶν Ο, θείαν Γραφὴν αὐτοί τε κατὰ μέρος, καὶ ἐπ' Ἐκκλησίας ἀνεγίνωσκον, τίς ἀμφιβάλλει;

§. ρλα. Φλαβιανὸς ὁ ἀοίδιμος (τῷ 380), ὁ ὑπὸ τῆς Β, Οἰκουμενικῆς Συνόδου βεβαιωθεὶς καὶ ἀνακηρυχθεὶς «ἐπίσκοπος *τῆς πρεσβυτάτης καὶ ὄντως Ἀποστολικῆς Ἐκκλησίας*, τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας (α), ἐν ᾗ πρώτῃ τὸ τίμιον τῶν χριστιανῶν ἐχρημάτισεν ὄνομα» (ὡς αὐτὴ ἡ Σύνοδος γράφει κατὰ λέξιν πρὸς τὸν Δάμασον, παρὰ Θεοδωρήτῳ, Ἐκκλ. ἱστορ. ε. 9). Τούτου τῶν Ὁμιλιῶν μικρὰ μόνον ἀποσπάσματα σῴζονται παρὰ Θεοδωρήτῳ (Διαλόγ. α, καὶ β), ἐν οἷς ἐκφέρει τὰς ῥήσεις τῶν Ο, ὡς λόγον Θεοῦ· οἷον, «Ἀκούσατε τοῦ *λέγοντος* (Χριστοῦ)· «Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με» κτλ. (ἐκ τοῦ Ἡσαΐ. ξε).

§. ρλβ. Εὐάγριος ὁ θαυμάσιος (τῷ 380—385), πρεσβυτέρου υἱὸς, Ἰβήρων πολίτης παρὰ τὸν Εὔξεινον Πόντον (ὅθεν καὶ Ἱερώνυμος *Ὑπερβορίτην* αὐτὸν ὀνομάζει, ἀντὶ Ὑπερβόρειον) (β). Τούτου

(α) Σημειωτέον τὸ «ὄντως ἀποστολικὴ Ἐκκλησία» ἐξεπίτηδες, ὡς ἔοικεν, ὑπὸ τῆς Οἰκουμενικῆς καὶ θείας Συνόδου προστεθὲν ἐν τῇ πρὸς τὸν πάπαν Δάμασον ἐπιστολῇ, πρὸς σωφρονισμὸν τῆς Δυτικῆς ὀφρύος, ἥτις ἔκτοτε περιεκρότει τὸ Ἀποστολικὴ ὡς ἐξαίρετον αὔχημα μόνης τῆς Ῥωμαίων Ἐκκλησίας, ἅτε δῆθεν διαδεξαμένης μετὰ τῆς τοῦ Πέτρου καθέδρας καὶ τὸ κορυφαῖον καὶ ὑπέροχον τῆς ἐπὶ τῶν ἄλλων ἐπισκόπων κυριαρχικῆς ἡγεμονίας τῶν Παπῶν, ἣν ὁ Πέτρος αὐτὸς οὔτ' ἔλαβεν, οὔτ' ἔσχεν ἐπὶ τῶν ὁμοταγῶν καὶ ὁμοτίμων Ἀποστόλων.

(β) «**Evagr. Ponticus Hyperborita**». **S. Hieron. Epistol. ad Ctesiphont.** Ὁ δὲ **Valesius** (**not.** εἰς Σωζόμεν.) οὐκ ἀπιθάνως ἀντὶ **Hyperborita** διορθοῖ **Hyborita**, Ὑβωρίτην (ἀντὶ Ἰβωρίτην) ἐκ Ποντικῆς πόλεως Ἰβώρας, ἣν Κωνστ. ὁ Πορφυρογέννητος (περὶ Θεμάτων) τίθησιν ἐν τῷ θέματι τῆς Καππαδοκίας. Καὶ ἐν τοῖς πρακτικοῖς τῆς Δ, καὶ ς, Οἰκουμενικῆς γέγραπται ἐπίσκοπος Ἰβώρων. Ἀλλ' ὁ Παλλάδιος (κεφ. 88) λέγει τὸν Εὐάγρ. τῷ γένει Ποντικὸν, ἐκ πόλεως Ἰβήρων (οὕτω καὶ Σωζόμενος). Καὶ ἡ τοῦ Ὑβώρα (διὰ δασέως Υ) ἀντὶ Ἰβώρα γραφὴ, εἰ ἀληθεύει, φαίνεταί τις καὶ μάλα γενναία κακογραφία.

τὸν βίον συνέγραψαν ὅ,τε Παλλάδιος ἐν τῷ Λαυσαϊκῷ (κεφ. 88), καὶ Σωζόμενος (ς, 30) ἐν μέρει, (ἐξ οὗ καὶ Νικηφόρος ὁ Κάλλιστος Ἐκκλησ. ἱστορ.), καὶ Σωκράτης παροδικῶς (δ, 23)· ἀλλ' ἕκαστος μετά τινων ἐπισήμων διαφορῶν (α). Τὴν δ' οὖν μεγάλην τοῦ Εὐα-

---

(α) Οἷον, κατὰ μὲν τὸν Παλλάδιον, ὁ Εὐάγριος « παρὰ τοῦ Μ. Βασιλείου προαχθεὶς ἀναγνώστης (τῆς ἐν Καισαρείᾳ Ἐκκλησίας), μετὰ τὴν τούτου τελευτὴν προχειρίζεται διάκονος ὑπὸ Γρηγορίου τοῦ Νύσσης (ἀδελφοῦ τοῦ Μ. Βασιλείου), μεθ' οὗ συνανῆλθε καὶ εἰς Κωνσταντινούπολιν, εἰς τὴν Β. Οἰκουμενικὴν Σύνοδον ἀφικομένου· μετὰ δὲ τὴν Σύνοδον ὁ Νύσσης Γρηγόριος ἀναχωρῶν οἴκαδε, κατέλιπε τὸν Εὐάγριον παρὰ τῷ Πατριάρχῃ Νεκταρίῳ, ἀ δ ι α λ ε κ τ ι κ ώ τ α τ ο ν ὄντα κατὰ πασῶν τῶν αἱρέσεων ». Κατὰ δὲ τὸν Σωζόμενον (ᾧ καὶ Νικηφόρος ὁ Κάλλιστος συμφωνεῖ Ἐκ. ἱστ. ια, 42), ὁ Εὐάγριος ἐφιλοσόφησε καὶ ἐπαιδεύθη ὑπὸ τῷ Θεολόγῳ Γρηγορίῳ τῷ Ναζιανζηνῷ, καὶ μετὰ τούτου συνανῆλθεν εἰς Κωνσταντινούπουλιν, ὅπου καὶ ἀρχιδιάκονον τῆς Ἐκκλησίας εἶχεν αὐτὸν ὁ Θεολόγος Γρηγόριος (Σωζόμ. ς, 30). Πάλιν, ἄλλως ὁ Παλλάδιος καὶ ἄλλως ὁ Σωζόμενος ἱστορεῖ τὰ κατὰ τὴν Κωνσταντινούπολιν τῷ Εὐαγρίῳ συμβάντα· ἐφ' οἷς εἴτε ἐν ἐκστάσει (κατὰ τὸν Παλλάδιον), εἴτε δι' ὀνείρου θεοπέμπτου (κατὰ τὸν Σωζόμενον) νουθετηθεὶς ὁ Εὐάγριος, ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, κἀκεῖθεν ἀπῆλθεν εἰς Αἴγυπτον (πρὸς τοὺς ἐν Νιτρίᾳ ἀσκητάς). Ὁ δὲ, τέλος, Σωκράτης (Ἐκ. ἱστ. Δ. 23) λέγει περὶ τοῦ Εὐαγρίου, ὅτι « ἐν τῇ Κωνσταντίνου πόλει ὑ π ὸ Γ ρ η γ ο ρ ί ο υ τ ο ῦ Ν α ζ ι α ν ζ η ν ο ῦ εἰς τὴν τοῦ διακόνου προχειρισθεὶς τάξιν, ἅ μ α α ὐ τ ῷ ε ἰ ς τ ὴ ν Α ἴ γ υ π τ ο ν κ α τ ε λ θ ὼ ν, ἐζήλωσε τὸν βίον » τῶν ἀσκητῶν. Καὶ τοιαῦται μὲν, ὡς ἔπος εἰπεῖν, αἱ διαφωνίαι τῶν ἱστορικῶν. Ὁ Βαλέσιος ἀξιοπιστότερον τοῦ Σωζομένου καὶ Σωκράτους κρίνει τὸν Παλλάδιον, ὡς Εὐαγρίου σύγχρονον καὶ μαθητὴν (Vales. not. εἰς Σωζόμ. ς, 30), Ἀλλὰ καὶ Σωκράτης συνεχρόνισε Παλλαδίῳ (πρεσβυτέρῳ νεώτερος), ἀνέγνω δὲ καὶ τὸ περὶ τῶν ἀσκητῶν πονηθὲν αὐτῷ Μ ο ν ό β ι β λ ο ν (τὸ Λαυσαϊκὸν), ὡς αὐτὸς γράφει (Δ, 23). ἄλλοι δὲ νεώτεροι συγκιρνῶσιν εἰς ἓν κρᾶμα τὸν Εὐαγρίου βίον ἐκ τοῦ Παλλαδίου καὶ Σωζομένου (βλ. Cave p. 158 καὶ Du-Pin, Bibl. T. 3. p. 1), ὅστις (ὁ Δουπῖνος) καὶ κατὰ λάθος εἶπεν, ὅτι ὁ Εὐάγριος εἶδε τὴν ὁσίαν Μελάνην ἐλθὼν εἰς Κωνσταντινούπολιν, ἐν ᾧ τ' ἀνάπαλιν ἀναχωρήσας ἐκ τῆς Κωνσταντινουπόλεως, ἐξενίσθη παρὰ τῇ ὁσίᾳ Μελάνῃ ἐν Ἱεροσολύμοις. Παλλάδ.). Τελευταῖον, ὁ σοφὸς οὗτος Εὐάγριος, καὶ Δίδυμος ὁ τούτου σοφώτερος, ἐξελεγχθέντες μετὰ θάνατον ἐκ τῶν ἰδίων αὐτῶν συγγραμμάτων ὡς Ὠριγένους ὁμόφρονες ἔν τισι τῶν δυσσεβεστάτων αὐτοῦ δογμάτων, κατεκρίθησαν καὶ ἀνεθεματίσθησαν μετ' Ὠριγένους καὶ αὐτοὶ σὺν τοῖς (κακοδόξοις) αὐτῶν συγγράμμασιν ὑπὸ τῆς πέμπτης Οἰκουμενικῆς ἁγίας Συνόδου. (Βλ. Συνόδ. Συλλ. τόμ. β. σελ. 393, καὶ Ταρασίου ἐπιστολὴν ἐν Συνόδ. Ζ, Πράξ. γ.).

γρίου παιδείαν καὶ ἀρετὴν πάντες συμφώνως ὁμολογοῦσιν· ἄγαν δὲ σπουδαῖα καὶ τὰ συγγράμματα, «καὶ θαυμάσια πάντα, καὶ νοήμασι καὶ φράσει μεστῇ τὸ ἐπαγωγὸν ἐπαυχοῦντα» (Νικηφ. Κάλλις.). Ἐν δὲ τούτων ὑπῆρχε καὶ λόγος «*Ἀντιῤῥητικὸς ἀπὸ τῶν θείων Γραφῶν* πρὸς τοὺς πειράζοντας δαίμονας», οὗπερ ὁ Σωκράτης μνημονεύει (δ, 23)· καὶ ἐξ ἄλλου δὲ βιβλίου τεμάχια εὐμεγέθη διέσωσεν ὁ αὐτὸς καὶ εἰς ἡμᾶς (δ, 23: γ, 7). Καὶ ἄλλα πάλιν ἀποσπάσματα, καὶ γνῶμαι τοῦ Εὐαγρίου σῴζονται ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Νείλου ἐκδεδομένα, κἀν τοῖς τῶν *Γερόντων ἀποφθέγμασι* (α). Καὶ Σχόλια δὲ ἐν τῇ εἰς τὸν Ἰὼβ Σειρᾷ (τοῦ Νικήτα) βραχέα καὶ καλά· οἷον εἰς τὸ «*Διαπορευθεὶς τὴν ὑπ' οὐρανὸν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν*» (Ἰὼβ, β, 2), λέγει· «Διὰ τοῦτο μέν τοι (ὁ διάβολος) τῷ Ἰὼβ οὐκ *ἐμπεριεπάτει*· ἐπειδὴ οὐκ ἦν *ὑπουράνιος*, ἔχων τὸ πολίτευμα ἐν οὐρανοῖς» κτλ. (σελ. 68). Ἐν πᾶσι δὲ τούτοις ὁ Εὐάγριος τὰς ῥήσεις τῶν Ο, ὡς ἐξ ἀναντιῤῥήτου καὶ θείας ἐκφέρει Γραφῆς. Καὶ εἰς τὸ Τετραγράμματον ΠΙΠΙ (ὄπισθ. σελ. 67), σχολιάζει ταῦτα· « Διὰ τὴν ἑβραϊκὴν ἐπὶ τοῦ Κυρίου παρασημείωσιν ταῦτα λεκτέον. Δέκα ὀνόμασι παρ' Ἑβραίοις ὀνομάζεται ὁ Θεὸς, ὧν ἓν μὲν *Ἀδωναΐ* λέγεται, ὅ ἐστι Κύριος· ἕτερον δὲ, *Ἰὰ*, ὃ (καὶ) αὐτὸ ἐν τῷ ἑλληνικῷ εἰς τὸ Κύριος μετελέφθη· ἕτερον δὲ παρὰ ταῦτά ἐστι τὸ τετραγράμματον, ἀνεκφώνητον ὂν παρ' Ἑβραίοις· ὃ καταχρηστικῶς παρὰ μὲν αὐτοῖς Ἀδωναῒ καλεῖται, παρὰ δὲ ἡμῖν, *Κύριος*. Τοῦτο δέ φασιν ἐπὶ τῷ πετάλῳ τῷ χρυσῷ, τῷ ἐπὶ τῷ μετώπῳ τοῦ ἀρχιερέως γεγράφθαι, κατὰ τὸ ἐν τῷ νόμῳ εἰρημένον, *Ἐκτύπωμα σφραγῖδος, ἁγίασμα Κυρίῳ* ΠΙΠΙ. Τὰ δὲ λοιπὰ ὀνόματά ἐστι ταῦτα· *Ἢλ, Ἐλωεὶμ* (ἄλλ. Ἐλωΐ), *Ἀδωναΐ*, Σαβαὼθ, Σαδδαὶ, *Ἰαΐθ*, *Ἐσεριὲ*, καὶ τὰ προγεγραμμένα τρία, ὧν ἐστι τὸ τετραγράμματον, τούτοις γραφόμενον τοῖς στοιχείοις, Ἰὼθ, Ἤπ (ἴσ. Ἤθ), Οὐαὺ, Ἤπ (ἴσ. Ἤθ), ΠΙΠΙ κτλ. (β).

(α) Βλ. Cave l. c. καὶ Du Pin Biblioth. T. 3. p. 2.

(β) Coteler. Monument. Eccles. Græc. T. 3. p. 102, καὶ 116. βλ. καὶ

§. ρλγ. Φιλάστριος (ἢ μᾶλλον Φιλάστερος, Philaster) Ἰταλὸς πρεσβύτερος (τῷ 380-387), καὶ Βριξίας ἐπίσκοπος, ἐπίσημος ὑπὲρ τῆς εὐσεβείας κατὰ τῶν αἱρετικῶν ἀθλητὴς, ὃν καὶ Αὐγουστῖνος (ὡς αὐτὸς μαρτυρεῖ) ἐγνώρισε, καὶ ὁ θεῖος Ἀμβρόσιος. Τούτου σῴζεται τὸ *περὶ Αἱρέσεων* λατινιστὶ συγγεγραμμένον, ἐν ᾧ θεόπνευστον διδάσκει τὴν ἑρμηνείαν τῶν Ο, καὶ ὅτι συμφώνως πρὸς ἀλλήλους ἡρμήνευσαν, καί τοι κατὰ μέρος ἕκαστος ἐν διαφόροις δωματίοις ἐκπονήσαντες τὴν ἑρμηνείαν· διὸ καὶ σοφωτάτους ἄνδρας, καὶ συνετοὺς, καὶ μακαρίους αὐτοὺς ἀποκαλεῖ. Διακηρύττει δὲ καὶ ὅτι, «μίαν ταύτην, τῶν ΟΒ τὴν ἑρμηνείαν, ἡ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία ἀνέκαθεν σέβεται καὶ διδάσκει καὶ διακρατεῖ· πᾶσαν δὲ ἄλλην (οἷον τὰς ἐκ τοῦ μ. Χ. ἑβραϊκοῦ) παρεῖδε καὶ ἀπέῤῥιψε. Διὸ καὶ μίαν τῶν αἱρέσεων ἀριθμεῖ τὸ χρῆσθαι ἑτέραις τῆς Π. Γραφῆς ἑρμηνείαις, παρεκτὸς τῆς τῶν Ο (Αἱρέσ. 137 κτξ.). (α).

§. ρλδ. Θεόφιλος, ὁ μετὰ Τιμόθεον τὸν θρόνον τῆς Ἀλεξανδρείας διαδεξάμενος (τῷ 385), συνέγραψεν ἱκανά. Μεταξὺ δὲ τῶν ὀλίγων ὑπολειφθέντων αὐτοῦ συγγραμμάτων σῴζονται καὶ βραχέα σχόλια εἰς τὸν Ἰὼβ, ἐν τῇ τοῦ Νικήτα Σειρᾷ (σελ. 547). Ὡσαύτως καὶ εἰς τὴν Πεντάτευχον, δι᾽ ὧν τὴν θείαν τῶν Ο Γραφὴν ἐξηγεῖ (βλ. Σειρ. εἰς τὴν Ὀκτάτευχ. σελ. 63 κτλ. καὶ προλεγ· σελ. 13. ἐκδ. Θεοτ.).

§. ρλε. Ἱερώνυμος ὁ μακάριος, καὶ πολὺς τὴν θείαν καὶ ἀνθρωπίνην σοφίαν, μοναχὸς καὶ πρεσβύτερος, Δαλμάτης τὸ γένος ἐκ

Recueil de Dissert. Critiques sur les endroits difficiles de l'Ecriture etc. p. 244. Paris 1715, καὶ Croij Observat. ad Origenis L. VI. Contra Celsum. Τὰ αὐτὰ ἀνωνύμως εὑρίσκονται καὶ ἐν τῷ προλόγῳ τοῦ κώδηκος τῆς Ὀκτατεύχου, σελ. λα, ἐκδ. Θεοτ.

(α) Καὶ Αἱρέσ. 115, γράφει ταῦτα. «Est Haeresis, quae iterum post Aquilam triginta hominum interpretationem accipit, non illorum beatissimorum septuaginta duorum, qui integre inviolate que de Trinitate sentientes, Ecclesiae Catholicae firmamenta certissima tradiderunt, interpretantes Scripturas Sacras». Philast. Haer. 115 in Galland. Bibliothec. Patr. T. 5. p. 513.

Στριδῶνος, πολυχνίου ἐν μεθορίοις τῆς Δαλματίας καὶ Παννονίας. (ἐγεννήθη τῷ 329, ἐτελεύτα δὲ τῷ 420). Ἔτι ἐκ παίδων ἐπαιδεύθη ἐν Ῥώμῃ τὴν λατινικὴν καὶ τὴν ἑλληνίδα γλῶσσαν, καὶ πᾶσαν τὴν ἐγκύκλιον παιδείαν παρὰ Δονάτῳ τῷ γραμματικῷ, καὶ τῷ ῥήτορι Βικτορίνῳ. Ἐν δὲ τοῖς ἱεροῖς λόγοις διδασκάλων διήκουσεν ἐπιφανεστάτων, Γρηγορίου τοῦ Θεολόγου, Ἀπολιναρίου τοῦ Λαοδικέως, Παυλίνου τοῦ Ἀντιοχέως, ἤδη δὲ μεσαιπόλιος, καὶ Διδύμου τοῦ Ἀλεξανδρέως (ὡς αὐτὸς μαρτυρεῖ. Ἐπις. ξε. καὶ εἰς Ἡσαΐ. βιб. γ). Οὗτος, ὁ τἄλλα πάντα λαμπρὸς καὶ πανσέβαστος τῆς Ἐκκλησίας διδάσκαλος, πρῶτος καὶ μόνος τῶν ἱερῶν τῆς Ἐκκλησίας Πατέρων, παρεῖδε τὸ Ἀποστολικὸν καὶ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο, προτιμήσας ἀναξίως ἑαυτοῦ τὸ *κατ' αὐτὸν* ἑβραϊκὸν, ἐξ οὗ μετέφρασεν ἐκ νέου λατινιστὶ τὰς κανονικὰς βίβλους τῆς ἑβραΐδος Γραφῆς. Πρῶτον μὲν γὰρ ὑπὸ τοῦ φίλου Δαμάσου τοῦ πάπα προτραπεὶς, διώρθωσε μὲν ἐκ του ἑλληνικοῦ πρωτοτύπου τὴν ἀρχαίαν λατινικὴν ἑρμηνείαν τῆς Καινῆς Διαθήκης (ἢ κατ' ἄλλους, μόνα τὰ Εὐαγγέλια), διώρθωσε δὲ καὶ τὰ πλεῖστα τῆς Παλαιᾶς Ἰτάλας, πρὸς τοὺς Ο παραβαλὼν, κατὰ τὴν ἔκδοσιν τῶν Ὠριγένους Ἑξαπλῶν (τοῦτον δὲ μιμούμενος, προσέθηκεν ἔν τισι τεύχεσι καὶ τοὺς ὀβελοὺς καὶ τοὺς ἀστερίσκους). Ἀλλ' ἔπειτα θαῤῥαλαιότερος τοῦ προσήκοντος ἀποβὰς, ὥρμησεν ὑπερτερῆσαι τὸν Ὠριγένην, ἐπιχειρήσας ἐξ αὐτοῦ τοῦ ἑβραϊκοῦ κειμένου νέαν ἐξ ὑπαρχῆς λατινικὴν ἑρμηνείαν (περὶ τὸ 380), μονάζων ἐν τῷ κατὰ τὴν Βηθλεὲμ ἡσυχαστηρίῳ (ὅπου καὶ κατεβίωσε). Καὶ πρῶτον μὲν ἐξέδωκε τὰς Δ, τῶν Βασιλειῶν, εἶτα τοὺς Προφήτας, καὶ ἐφεξῆς (περὶ τὸ 388, ἢ 393) τὰ τοῦ Σολομῶντος, ἃ καὶ *τριήμερον* ἔργον (tridui opus) ἀποκαλεῖ (α). Εἶτα δὲ τὰ ἄλλα· καὶ ἔσχατον, περὶ τὸ 405, τὴν Ὀκτά-

(α) Ἐν τρισὶν ἡμέραις μεθηρμήνευσεν ὁ μακάριος Ἱερώνυμος τὰ τρία βιβλία τοῦ Σολομῶντος (Παροιμίας, Ἐκκλησιαστὴν, Ἆσμα Ἀσμάτ.)· μονοήμερον δὲ πάλιν ἐξετέλεσε τὴν μετάφρασιν τοῦ Τωβὶτ καὶ τῆς Ἰουδὶθ (ὡς αὐτὸς μαρτυρεῖ). Εἰ δ' ἐχρήσατο τοιαύτῃ ταχυεργίᾳ περὶ τὴν μετάφρασιν καὶ τῶν ἄλλων τευχῶν τῆς Γραφῆς, πάντως ἂν διὰ μηνὸς ἑνὸς, ἢ (τὸ πλεῖστον) δίμηνον,

τευχον (α). Ὅπως δὲ μετῆλθε τὸ ἔργον, αὐτὸς ὁ μακάριος μαρτυρεῖ, (ἐν οἷς διαλέγεται περὶ τῆς ἑρμηνείας τοῦ Ἐκκλησιαστοῦ), λέγων· «ὅτι περὶ τὴν μετάφρασιν παρηκολούθησε μάλιστα τῇ συνηθείᾳ τῶν Ο, καθ' ὅσα (φησὶ) μὴ πάνυ πολὺ διαφωνοῦσι πρὸς τὸ ἑβραϊκόν· ἐνίοτε δ' ἐμέμνητο καὶ Ἀκύλα καὶ τοῦ Συμμάχου καὶ τοῦ Θεοδοτίωνος· ἵνα, «μήτε (φησὶ) σφόδρα καινοτομῶν, ἐκφοβίσω τὴν σπουδὴν τῶν ἀναγνωστῶν, μήτε πάλιν ἐναντίον τῆς ἐμαυτοῦ συνειδήσεως τὴν *πηγὴν τῆς ἀληθείας* παραλιπὼν, συστοιχήσω ῥυακίοις ὑπολήψεων» (ἀλλοτρίων). Τὸν δὲ πάλιν Ἰὼβ ἡρμήνευσέ (φησιν) ἐκ τοῦ ἑβραϊκοῦ, καὶ τοῦ ἀραβικοῦ, ἔστι δ' ὅπου καὶ τοῦ Συριακοῦ, μηδενὶ τῶν ἀρχαίων ἑρμηνευτῶν παρακολουθήσας». Ἄλλοτε δὲ λέγει, ὅτι τῷ *Συμμάχῳ καθόλου περὶ τὴν ἑρμηνείαν* παρηκολούθησεν, ὑπὲρ τοὺς ἄλλους Ἕλληνας ἑρμηνεῖς. Καὶ, τέλος, ἀλλαχοῦ, «Ἐλευθέρᾳ (λέγει) τῇ φωνῇ ὁμολογῶ, ὅτι τὰς θείας Γραφὰς, ἐν αἷς καὶ λέξεων τάξις ἔνεστι, καὶ μυστήρια, λέξιν πρὸς λέξιν (ἐκ τοῦ ἑβραϊκοῦ) μεθηρμήνευσα» (β). Οὕτως ὁ θαυμάσιος Ἱερώνυμος διαφωνεῖ πρὸς ἑαυτὸν, ἐν οἷς ἐκφράζει τὴν μέθοδον, ᾗ περ ἐχρῆτο περὶ τὴν ἑρμηνείαν. Καὶ φαίνεται σαφῶς, ὅτι ἦλθεν εἰς τὸ ἔργον, οὔτε περὶ τὴν ἑβραΐδα γλῶσσαν ἐντελῶς συγκεκροτημένος, οὔτε τὴν ἑλληνικὴν ἔν τισιν ἐξακριβῶν (διὸ καὶ μετεπήδα ἄλλοτ' ἐπ' ἄλλους ἑρμηνεῖς ὁδηγούς). Εἶχε δὲ καὶ πᾶσαν τὴν πίστιν εἰς ἣν μετὰ πολ-

---

ἔμελλεν ἐξανύσειν ὅλον τὸ ἔργον τῆς ἑρμηνείας. Ταύτην δὲ τὴν ὑπερθαύμαστον ταχύτητα τοῦ Ἱερωνύμου καὶ οἱ περὶ τὸν Ὅδιον θαυμάζουσι καὶ πιστεύουσι. Μόνον πρὸς τὴν ἐν ΟΒ ἡμέραις ἐκπονηθεῖσαν ὑπὸ τῶν Ο μετάφρασιν ὅλων τῶν κανονικῶν βιβλίων τῆς Γραφῆς (ὡς Ἀριστέας καὶ Ἰώσηπος ἱστοροῦσιν) ἀσχάλλουσι, καὶ ἀγανακτοῦσιν, ἀπίθανον νομίζοντες τὸ τάχος· διὸ καὶ λοιδοροῦσι τοὺς ἱστοροῦντας ὡς μυθολόγους! Βλ. Βιβλ. Β. σελ. 432.

(α) **Hody l. c. p. 356.** Ἄλλοι δ' ἄλλως πως χρονολογοῦσι. Βλ. **Fabricy, Des Titres etc. T. 2. p. 113. — Kennicot. Diss. gen. p. 144,** καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 968.

(β) Βλ. **S. Hieron. praef. in Job.— Comm. in Esaj. c. 13.— De optim. gener. interpr, etc.** πρβλ. **Hody pag. 356.** καὶ **Simon. Crit. S. V. T. L. II. c. 11—12.**

λοῦ τοῦ στόμφου προσηγόρευεν *ἑβραίαν ἀλήθειαν* τοῦ κατ' αὐτὸν, καὶ πολλῷ γε πρότερον ἤδη πολλαχῶς λελωβημένου κειμένου (ὄπισθ. Βιβλ. Γ. σελ. 99), πειθόμενος τὰ πάντα τοῖς, μηδ' αὐτοῖς αὐτοῦ περὶ τὰ ἑβραϊκὰ σοφωτέροις, Ῥαββίνοις, καὶ ἰδίοις αὐτοῦ διδασκάλοις, ὧν καὶ τὰ ἄζηλα ὀνόματα ἐφιλοτιμήθη παραδοῦναι τοῖς ἐπιγινομένοις· τοιοῦτον λέγει τὸν Λυδδαῖον (ἐκ τῆς Λύδδης) Σεδεκίαν, καὶ ὃν ἐκ τῆς Τιβεριάδος μετεπέμψατο (α), κἀκεῖνον, τέλος, τὸν Βαραββᾶν (β). Βουλόμενος δὲ καὶ βάρος ἀξιοπιστίας τῇ ἑαυτοῦ μεταφράσει περιβαλεῖν, ἔψεξε πικρῶς τοὺς Ο, καθ' ὅσα διαφέρουσιν, ὡς ἐν τούτοις δὴ κακοὺς καὶ ἀμαθεῖς γενομένους ἑρμηνευτάς! καὶ οὗτοι οἱ ψόγοι, μέχρι καὶ τοῦ νῦν (ὡς μὴ ὤφειλε) περισωθέντες, ἐπικάθηνται, ὡς κῆρες καὶ κηλῖδες, ἐπὶ τῶν ἄλλως ἀξίων τῆς εὐσεβοῦς τοῦ Πατρὸς πολυμαθείας ὑπομνημάτων, ἃ μετὰ τῆς ἑρμηνείας συνεξέδωκε καὶ εἰς ἄλλα τεύχη τῆς Γραφῆς, καὶ ἐξαιρέτως εἰς

(α) Ὅτι καὶ κατὰ τοὺς Ἱερωνύμου χρόνους ὑπῆρχεν ἐν τῇ Τιβεριάδι σχολή τις, ἢ καταγώγιον, δειλαίων ῥαββίνων, εἴδομεν ἐκ τοῦ ἁγίου Ἐπιφανίου ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Γ. σελ. 72). Καὶ ὕστερον δὲ (τῷ 716) ἐκ τῆς Τιβεριάδος ὑπῆρχεν ὁ Τεσσαρακοντάπηχυς μάγος καὶ γόης ἐκεῖνος ῥαββῖς, ὅστις προεμάντευσε πρὸς τὸν Ἀράβων, ἢ Σαρακηνῶν Καλίφην Ἰ έ ζ ι δ ο ν, ὅτι διατελέσει μακροβιώτατος, ἐὰν ἀφανίσῃ ἐκ τῆς αὐτοῦ ἐπικρατείας πᾶν ὁμοίωμα παντὸς ζώου μορφῆς, καὶ πᾶσαν ἀνεστηλωμένην εἰκόνα· καὶ κατέπραξε τὸ κακούργημα ὁ Καλίφης. Ἔκτοτε ἤρξατο ὁ κατὰ τῶν ἁγίων εἰκόνων διωγμός. Τοῦτο τὸ ἰουδαϊκὸν φρόνημα κατησπάσθη καὶ ὁ τότε βασιλεύων βάρβαρος αὐτοκράτωρ Λέων ὁ Ἴσαυρος, ὁμόφρονα ἔχων καί τινα ψευδεπίσκοπον Νακωλίας Γερμανόν. Βλ. Νικηφόρ. Πατριαρχ. Κωνσταντινουπ. Ἀντιῤῥητικῷ Γ. κεφ. 88. - Θεοφάν. Χρονικ. σελ. 267. κτλ. καὶ Ζ. Οἰκουμεν. Συνόδ. πράξ. Ε.

(β) Οὕτω τοῦτον ὀνομάζει ὁ Ῥουφῖνος (ἐν τῷ πρὸς Ἱερώνυμον Β, Στηλιτευτικῷ). λέγων· «ὅτι Βαραββᾶν οὐκ ἀποδεχόμεθα. Προτεθέντων γὰρ ἡμῖν ἀμφοτέρων, τοῦ Χριστοῦ καὶ τοῦ Βαραββᾶ, ἐγὼ μὲν ὁ ἀγροῖκος αὐτίκα τὴν ἐκλογὴν ἐποιησάμην. Σὺ δ', ὡς ὁρῶ, μετ' ἐκείνων κράζεις τῶν λεγόντων· «μ ὴ τ ο ῦ τ ο ν, ἀ λ λ ὰ τ ὸ ν Β α ρ α β β ᾶ ν» (οὕτως αἰνίττεται διὰ μὲν τοῦ Χριστοῦ τὴν ἐκκλησιαστικὴν ἑρμηνείαν τῶν Ο, διὰ δὲ τοῦ Βαραββᾶ τὴν ἐκ τοῦ μ. Χ. ἑβραϊκοῦ ἑρμηνείαν ὑπὸ διδασκάλοις Ἰουδαίοις). Βαραββανῖνον τοῦτον γράφει καὶ Ἱερώνυμος ἀλλαχοῦ (Epist. LXV). Πρὸς δὲ τὸν Ῥουφῖνον ἀπαντῶν, Βαρανίναν (Barhanina) αὐτὸν μετωνόμασεν, ἠρέμα τὴν φωνὴν μεταποιήσας, ὅπως ὑπεκφύγῃ τὸ δύσφημον (βλ. καὶ Hody l. c. p. 360).

τοὺς Προφήτας. Τοιαύτην Ἱερώνυμος ἐξετέλεσε τὴν νέαν ἐκ τοῦ μ. Χ. ἑβραϊκοῦ ἑρμηνείαν, πολλὰ μεταβαλὼν, προσθεὶς, ἀφελὼν, ὅλα τεύχη καὶ τεμάχια περικόψας (οἷον τὴν Σωσάνναν, καὶ τ᾽ ἄλλα καθ᾽ ὅσα κεκολόβωτο τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν), καὶ πράξας πάντολμον ἔργον, δι᾽ ὃ *μήτε τοῖς Ἑβραίοις ἤρεσε, μήτε τοῖς χριστιανοῖς* (ὡς ἔλεγεν αὐτὸς περὶ τοῦ Ἀπολιναρίου ὄπισθ. σελ. 557).

Ἤδη γὰρ τῆς μεταφράσεως κατὰ μικρὸν ἐκδιδομένης, πολὺς θόρυβος ἠγέρθη παρά τε τοῖς Δυτικοῖς, καὶ τοῖς Ἀφρικανοῖς, κατὰ τῆς καινοτομίας ταύτης τοῦ Πατρός. Δύω στηλιτευτικοὺς ἔγραψε κατ᾽ αὐτοῦ ὁ Ῥουφῖνος (Ἀκυληΐας πρεσβύτερος, φίλος ἔκπαλαι καὶ συσχολαστὴς Ἱερωνύμου· βλ. ἐφεξῆς §. ρλϛ.), ἐν οἷς καθήψατο δριμύτατα τοῦ νέου μεταφραστοῦ, «ὡς πράξαντος ἔργον, ὅπερ οὐδεὶς ἕτερος τῶν Χριστιανῶν, οὔτ᾽ αὐτὸς Ὠριγένης ἐτόλμησε (τούτου γὰρ ὁ Ἱερώνυμος προὐβάλλετο τὸ παράδειγμα). «Οὐδὲν γὰρ Ὠριγένης οὐδέποτε μεθηρμήνευσεν ἐκ τοῦ ἑβραϊκοῦ (τὰ δ᾽ ἐν τοῖς Ἑξαπλοῖς ἐκ τοῦ Θεοδοτίωνος σεσημειωμένα διέκρινε διὰ τοῦ ὀβελοῦ καὶ ἀστερίσκου, ἄχραντον καὶ ἄμικτον διατηρήσας τὸ τῶν Ο κείμενον). Ἰουδαῖοι δέ (φησι) μόνοι καὶ ἀποστάται (ὡς οἱ περὶ τὸν Ἀκύλαν) ἐμηχανήσαντο νεωτέραν μ. Χ. ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείαν. Ἢ τίς ἂν ἐτόλμησεν ἄλλος τὰς ὑπὸ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παραδεδομένας τῆς Διαθήκης βίβλους ἐξουθενίσαι, εἰ μὴ τὸ πνεῦμα τὸ Ἰουδαϊκόν;». Τοιαῦτα καὶ ἄλλα τούτων δηκτικώτερα ὁ Ῥουφῖνος. Ἀλλὰ καὶ αὐτὸς ὁ ἱερὸς, καὶ Ἱερωνύμῳ φίλος Αὐγουστῖνος, ἀπέτρεπεν αὐτὸν τοῦ ἐγχειρήματος, καὶ τὴν ἑρμηνείαν ἀπεδοκίμαζεν, ὡς ταράσσουσαν τὴν εἰρήνην τῆς Ἐκκλησίας. Καὶ αὐτὴ δὲ, τέλος, ἡ ἐν Καρθαγένῃ ἁγία Σύνοδος, τότε συγχρόνως ἐκδοῦσα τὸν Ἐκκλησιαστικὸν κατάλογον τῶν θείων Γραφῶν, κατεδίκασε σιωπηλῶς τὴν ἐν τῇ μεταφράσει τοῦ Ἱερωνύμου ἰουδαϊκὴν κολόβωσιν τῶν ἱερῶν τευχῶν καὶ τῆς χρονολογίας (βλ. ὄπισθ. 125). Ἀλλ᾽ οὐδ᾽ ἡ Ἀνατολικὴ Ἐκκλησία τὴν Ἱερωνύμου μετάφρασιν ἐνέκρινε πώποτε, οὐδὲ τῶν μετὰ τὸν Ἱερώνυμον ἀνατολικῶν Πατέρων καὶ διδασκάλων οὐδεὶς ἐμνημόνευσεν ἐξ αὐτῆς

οὐδεμίαν μαρτυρίαν, (ὡς ἐμνημόνευον ἐκ τῆς Συριακῆς μεταφράσεως εἰς ἐπεξήγησιν ῥήσεώς τινος τῶν Ο). Ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς Οἰκουμενικαῖς ἁγίαις Συνόδοις (Δ, Πράξ. β.-ϛ, Πράξ. γ.-Ζ, Πράξ. β.) ἐμνημονεύθησαν δογματικαὶ μαρτυρίαι ἐγκρίτων Δυτικῶν ἁγίων Πατέρων, Κυπριανοῦ, Ἱλαρίου, Ἀμβροσίου, Αὐγουςίνου, Λέοντος πάπα, ὅσαι συμφώνως τοῖς Ἀνατολικοῖς ἐξήλεγχον τὴν πλάνην τῶν αἱρετικῶν πρὸς ἀπόδειξιν τῆς εὐσεβείας. Ἐκ δὲ τῶν Ἱερωνύμου συγγραφῶν οὐδεμία οὐδαμοῦ φαίνεται μαρτυρία μνημονευθεῖσα (α). Ὁ δὲ σύγχρονος αὐτοῦ Θεόδωρος ὁ Μοψουεστίας καὶ ῥητῶς ἀπεδοκίμασε τὴν αὐτοῦ μετάφρασιν, ὀνομάσας αὐτὸν *Ἀρὰμ* (τουτ. Σύρον, ὡς ἐν Συρίᾳ διατρίβοντα) «ἀπωσάμενον μὲν [τὴν] τῆς θείας καὶ παλαιᾶς Γραφῆς, ἣν οἱ Ο συνεληλυθότες ἐκδεδώκασι, μετάφρασιν, ... ἰδίαν δέ τινα καὶ καινὴν ἐπαρθέντα συντάξαι, μήτε τὴν Ἑβραίων, ὡς ἐκεῖνοι, ἐκ παιδὸς ἀσκηθέντα διάλεκτον, μήτε τὸν τῆς θείας Γραφῆς νοῦν ἐκδιδαχθέντα, ἑβραίων δέ τισι τῶν χαμαιπετῶν ἑαυτὸν

(α) Οὐδ᾽ ἐν τοῖς ἀρχαίοις μηνολογίοις (ἐν οἷς καὶ Αὐγουστίνου καὶ Ἱλαρίου καὶ τοσούτων ἄλλων ἁγίων τῆς Δυτικῆς Ἐκκλησίας γέγραπται τὰ ὀνόματα, καὶ γεραίρονται κατὰ τὰς ἐτησίους αὐτῶν μνήμας), τὸ ὄνομα τοῦ μακαρίου Ἱερωνύμου οὐχ εὑρίσκεται (παρὰ δὲ τοῖς Δυτικοῖς ὑπῆρχεν ἤδη κατὰ τὸν Η, αἰῶνα. βλ. τὸ μαρτυρολόγιον Ἄδωνος (Ado), Σεπτεμβρίου 30). Καὶ ὁ Φώτιος Ἱερώνυμον πρεσβύτερον ἁπλῶς αὐτὸν ὀνομάζει (Ἀνάγν. νγ). Ἀλλ᾽ ἐν τῷ Κανόνι τοῦ Σαββάτου τῆς Τυρινῆς (ᾠδ. θ) ἀριθμεῖται μετὰ τῶν ὁσίων καὶ Ἱερώνυμος. (Ὅθεν καὶ ὁ Νικόδημος ἔταξεν αὐτὸν ἐν τῷ Συναξαριστῇ, Ἰουνίου ιε. Ἐκ δὲ τούτου, καὶ ἡ νεωτέρα τῶν Μηναίων ἔκδοσις, Κωνσταντινουπ. 1843). Ἔστιν οὖν καὶ παρ᾽ ἡμῖν πολὺ τὸ σέβας τοῦ φερωνύμου Πατρὸς, καὶ τὰ σοφώτατ᾽ αὐτοῦ συγγράμματα τιμῶνται κατ᾽ ἀξίαν καὶ παρὰ τοῖς Ἀνατολικοῖς Ὀρθοδόξοις. Διὸ καὶ τῶν μεταγενεστέρων παρ᾽ ἡμῖν διδασκάλων τῆς Θεολογίας ἄνδρες ἐπίσημοι (οἷον, Κορέσσιος, Ἀργέντης, Δοσίθεος καὶ Νεκτάριος οἱ πατριάρχαι, Εὐγένιος, Θεοτόκης) χρῶνται ἐνίοτε καὶ ταῖς τούτου μαρτυρίαις, καθ᾽ ὅσας συμφωνεῖ τοῖς ἁγίοις Πατράσι τῆς Ἐκκλησίας. Ἔστι δὲ καὶ ἄλλως ὁ Πατὴρ οὐ μόνον Δυτικὸς (ὡς ἐκ τῆς λατινίδος γλώσσης, ἐν ᾗ συνέγραψεν), ἀλλὰ καὶ Ἀνατολικὸς, Ἱεροσολυμίτης, ἢ Βηθλεεμίτης, ὡς ἐκ τῆς ἐν Βηθλεὲμ χρονιωτάτης παροικίας, καὶ τῆς μακαρίας αὐτοῦ τελευτῆς (Δοσίθ. Δωδεκαβ. σελ. 253)· καὶ ἐξ αὐτῆς δὲ τῆς ὀρθοδόξου διδασκαλίας, ἧς τὸ πλεῖστον μέρος παρὰ τῶν ἀνατολικῶν ἐδανείσατο Πατέρων, καὶ δι᾽ ἧς ἐξελέγχεται καὶ πᾶσα μεταγενεστέρα παρεκτροπὴ τῶν δυτικωτέρων καινοτομιῶν.

ἐκδεδωκότα ». κτλ. (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 402, καὶ Γ. σελ. 373). Καὶ Ποσειδώνιος δὲ, ἱερὸς ἀνὴρ ἐν Βηθλεὲμ ἀσκούμενος, σύγχρονος Ἱερωνύμῳ (τῷ 380, ἤδη τοῦ Ἱερωνύμου τῇ ἑβραϊζούσῃ μεταφράσει ἐπιχειρήσαντος), τὴν ἄλλην αὐτοῦ παιδείαν ἐπαινέσας, οὐδὲν ἰδίως περὶ τῆς ἑρμηνείας οὐδόλως ἠξίωσεν εἰπεῖν (α). Καὶ αὐτὴ δὲ, τέλος, ἡ Δυτικὴ Ἐκκλησία τὰς ἐγκεκριμένας Ἱερωνύμῳ ἰουδαϊκὰς τῶν κανονικῶν τευχῶν κολοβώσεις οὐδόλως παρεδέξατο· καὶ τὴν ἑβραίαν δὲ χρονολογίαν ἐξελέγχει κατ' ἔτος (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 593, 648, καὶ 788). Ἀλλὰ καὶ τῶν νεωτέρων ἐπίσημοι κριτικοὶ, οἷον οἱ περὶ τὸν εὐκλεέστατον ἄγγλον Πήρσωνα (β), ἀδίκους καὶ διεψευσμένας ἀπέδειξαν τὰς κατὰ τῆς ἑρμηνείας τῶν Ο, ἐμπαθεστέρας κρίσεις τοῦ πατρὸς Ἱερωνύμου. Ἰδοὺ τῶν ἐν πολλοῖς αὐτοῦ παραλογισμῶν ὀλίγα καὶ σαφέστατα δείγματα (γ).

α) Γενέσ. κε, 8. «Καὶ ἐκλείπων ἀπέθανεν Ἀβραάμ» (οἱ Ο). Ὁ δὲ Ἱερώνυμος ἐξέφρασε συντόμως· «*Καὶ ἀπέθανεν Ἀβραάμ*»· καὶ ἐπιφέρει λέγων· «Κακῶς παρὰ τοῖς Ο *προστέθειται τὸ* «*ἐκλείπων*» Οὐ γὰρ πρέπει τὸν Ἀβραὰμ ἐκλείπειν καὶ *ἐλαττοῦσθαι* (imminui)».

(α) «Τούτου τοῦ ἀνδρὸς, λέγω δὴ Ποσειδωνίου τοῦ ἀοιδίμου, καὶ προφητείαν ἔγνων ἐγώ. Ἱερώνυμος γάρ τις πρεσβύτερος ᾤκει εἰς τοὺς τόπους ἐκείνους, ἀ ρ ε τ ῇ λ ό γ ω ν Ῥ ω μ α ϊ κ ῶ ν π ο λ λ ῇ κ ε κ ο σ μ η μ έ ν ο ς, καὶ ἱ κ α ν ῇ ε ὐ φ υ ΐ ᾳ. Τοσαύτην δὲ ἔσχε βασκανίαν, ὡς ὑπὸ ταύτης καλύπτεσθαι τῶν λόγων τὴν ἀρετήν. Συγχρονίσας οὖν τούτῳ ὁ ἅγιος Ποσειδώνιος ἡμέρας πλείους, λέγει μοι πρὸς τὸ οὖς· Ὅτι ἡ μὲν ἐλευθέρα Παῦλα, ἡ φροντίζουσα αὐτοῦ, προτελευτήσει, ἀπαλλαγεῖσα αὐτοῦ τῆς βασκανίας, ὡς οἶμαι· χάριν δὲ τούτου τοῦ ἀνδρὸς οὐ μὴ ἅγιος ἀνὴρ εἰς τοὺς (ἴσ. γρ. τούτους τοὺς) τόπους οἰκήσει » κτλ. (Παλλάδ. Λαυσαϊκῷ κεφ. οθ). καὶ ἐν τῷ περὶ Παύλης δὲ μνημονεύει ὡσαύτως τοῦ Δαλμάτου Ἱερωνύμου (κεφ. ρκς.)· θυγάτηρ δὲ τῆς Παύλης ἦν ἡ Εὐστοχία, ἢ ἡ Εὐστόχιον, πρὸς ἃς οὐκ ὀλίγους τῶν Προλόγων προσεφώνησεν Ἱερώνυμος (ad Paulam et Eustochium). Αὐτὸς δὲ ὁ Παλλάδιος ἔψεγε τρανῶς τὴν ἑρμηνείαν, ὡς Ἱερώνυμος αὐτὸς ὁμολογεῖ (βλ. ἐφεξῆς §. ρν). Ὁ δὲ Λάμις (σημ. εἰς τὸ Λαυσαϊκὸν, αὐτόθ. βλ. J. Meursij Opera ex recensione Ioa. Lami. vol. 8. p. 539. Florent. 1746) ἄγαν περιπαθῶς καὶ ἐμμανῶς ὠργίσθη κατά τε τοῦ Ποσειδωνίου καὶ Παλλαδίου διὰ τὴν περὶ τοῦ μακαρίου Ἱερωνύμου κρίσιν αὐτῶν.

(β) Pearson, Praef. paraenet. in edit. LXX.

(γ) S. Hieron. in Tradit. Hebr.

Ἀλλὰ 1) τὸ *ἐκλείπων* μετὰ τοῦ ἀπέθανε συνημμένον ἔχει καὶ νῦν (εἶχε δὲ πάντως καὶ κατ' αὐτὸν) καὶ τὸ ἑβραϊκὸν (vaigva vajamath, καὶ *ἐξέπνευσε* καὶ ἀπέθανε). 2) Τὴν λέξιν ἀνέγνων καὶ ἡρμήνευσαν καὶ Ὄγκελος, καὶ Ἰωνάθαν, καὶ ἡ (ἐν τοῖς Ἑξαπλοῖς) Ε, ἑρμηνεία. 3) Τοῦτο τὸ ἑλληνικὸν *ἐκλείπειν* οὔτε τὸ *ἐλαττοῦσθαι* σημαίνει, οὔτε κυρίως τὸ *ἀποκάμνειν* (deficere· *καμεῖν* δὲ λέγει ἁπλῶς ἡ Ἑλληνικὴ τὸ θανεῖν, καὶ μόνον κατὰ μετοχὴν, «*οἱ καμόντες*», καὶ «*εἴδωλα καμόντων*». Ὅμηρ.), ἀλλ' ἔστι συντάξεως ἔλλειψις· τὸ δὲ πλῆρες, *ἐκλιπεῖν τὸ πνεῦμα* (ἐκπνεῦσαι), ἢ *τὸν βίον*, ἢ *τὸ ζῆν* (οὕτω καὶ παρ' Ἕλλησι· Λυσίας λόγ. ζ. 4: Πολύβ. ϛ, 11). Ὅθεν ἐνίοτε καὶ μόνον κείμενον τὸ ἐκλείπειν ἰσοδυναμεῖ τῷ θνήσκειν (ἐπὶ φυσικοῦ μάλιστα καὶ ἡσύχου, μὴ βιαίου θανάτου· οἷον· «ὅταν ἐκλίπητε». Λουκ. ις. 9· «τουτέστιν ὅταν ἐκλίπωμεν καὶ ἀναχωρῶμεν ἐκ τοῦ βίου»· Θεοφύλ. αὐτόθ. πρβλ. Σ. Σολ. ε). Οὕτως ὁ Ἱερώνυμος καὶ τοῦτο καὶ ἄλλας οὐκ ὀλίγας ἑλληνικὰς λέξεις τῆς Γραφῆς οὐκ ἐξηκρίβωσεν, ὡς καὶ ἐν ἄλλοις παρετηρήθη (ὄπισθ. Βιβλ. Β. σελ. 389).

β) Γενέσ. κϛ, 17. Καὶ κατέλυσεν Ἰσαὰκ ἐν τῇ φάραγγι Γεράρων» (οἱ Ο)· ὁ δὲ Ἱερώνυμος, «οὐχὶ φάραγγά (φησιν), ἀλλὰ χείμαῤῥον ἔχει τὸ ἑβραϊκόν». Ἀλλὰ 1) ἡ ἑβραϊκὴ λέξις (*ναχαλ*) σημαίνει τόπον κοῖλον καὶ χθαμαλὸν, εἴτε ἔνυδρον, εἴτε ἄνυδρον· καὶ ἡ φάραγξ δὲ ἐκλαμβάνεται καὶ ἀντὶ τῆς κοιλάδος. 2) Ὁ Ἱερώνυμος προστίθησιν, ὅτι οὐδέποτε ἐν φάραγγι εὑρίσκεται φρέαρ ὕδατος ζῶντος (ὅπερ εὗρεν ὁ Ἰσαάκ)· θαυμαστὸν τῷ ὄντι γεωλογικὸν θεώρημα! καὶ ἔτι θαυμαστότερον, διότι αὐτὸς ὁ Ἱερώνυμος ἐξελατίνισε κατὰ λέξιν τὸ τῶν Ο, «Ὁ ἐξαποστέλλων *πηγὰς ἐν φάραγξι*» (Ψαλμ. ργ, 11).

γ) Γενέσ. κη, 19. «Οὐλαμλοὺζ» (οἱ Ο). «Γελοίως (φησὶ) τὸ *Οὐλὰμ* ἐνόμισαν κύριον πόλεως ὄνομα»! — Ἀλλὰ 1) γελοῖον φαίνεται τ' ἀνάπαλιν τὸ νομίζειν τοὺς Ο γράψαντας ὡς πόλεως ὄνομα τοῦ *Οὐλὰμ*, ἐν ᾧ καὶ ἀνέγνων καὶ ἔγραψαν μετὰ τοῦ κυρίου Λοὺζ συνημμένην τὴν λέξιν (τὸ *πάλαι*, ἢ *πρότερον* δηλοῦσαν),

κατὰ τὰ ἑλληνικά, Παλαίσκηψις, Παλαίτυρος· καὶ τ᾽ ἀνάπαλιν, Νεακώμη, ἢ Νοβουμκώμουμ (Στράβ.)· μὴ καὶ τὸ *Πάλαι*, ἢ τὸ *Νέα*, ἐν τούτοις ὄνομα πόλεως; Ὅτι δὲ ἐγνώριζον τὴν ἐπωνυμίαν οἱ 600 ἔτη πρὸ τοῦ Ἱερωνύμου ζήσαντες Ο, οὐδ᾽ αὐτὸς ἂν ἠρνήσατο πρότερον σκεψάμενος ὁ πατήρ. 2) Μάρτυς καὶ ὁ Εὐσέβιος (περὶ τόπων)· « Οὐλαμλοὺζ· αὕτη ἐστὶν ἡ *καὶ κληθεῖσα* Λουζά » (ἴσ. γρ. « αὕτη ἐστὶν ἡ κληθ. Λουζά »). βλ. ὄπισθ. Βιβλ. Β. σελ. 667.

δ) Ἐν πολλοῖς τόποις προτιμᾷ τῶν Ο τοὺς τρεῖς (Ἀκύλαν, Σύμμαχον, Θεοδοτ.), οὓς αὐτὸς ὠνόμασεν ἀνθρώπους *ἰουδαΐζοντας καὶ αἱρετικούς*. Οὕτως ἐν Ψαλμῷ πθ, 7, οἱ Ο ἔγραψαν· « Ἐν τῷ θυμῷ σου *ἐταράχθημεν* ». Ὁ δέ, « Κρεῖττόν (φησιν) ἔγραψαν ὁ Σύμμ. καὶ Ἀκύλας, « *ἐσπεύσαμεν* », ὡς ἔχει καὶ τὸ ἑβραϊκόν ». — Καὶ ὅμως καὶ τὸ ἑβραϊκὸν *ἐταράχθημεν* ἔχει, καὶ αὐτὸς ὁ τοὺς Ο περιφρονῶν ὡσαύτως ἡρμήνευσε (ἐν τῇ πρὸς Κυπριανὸν ἐπιστολῇ)· καὶ πάλιν ἀλλαχοῦ (Ψαλμ. ς. 2, 3) « Ἐταράχθη τὰ ὀσᾶ μου, καὶ ἡ *ψυχή μου ἐταράχθη* » (οἱ Ο), καὶ αὐτὸς ὁμοίως ἀμφότερα (conturbata). Ἀπαραλλάκτως καὶ Ψαλμ. ς. 6.

ε) Γενέσ. λη, 5. « *Χασβεὶ* » (οἱ Ο). Κακίζει καὶ ὧδε τοὺς Ο ὁ Πατήρ, ὡς ὄνομα τόπου τὴν λέξιν ἐκλαβόντας, καὶ προτιμᾷ τὸν Ἀκύλαν, ὅστις ἡρμήνευσεν, « *ἵνα ψευσθῇ* ». Οὐ γὰρ (λέγει) τόπου κυριωνυμίαν τὸ *Χαζβὶ* » (Chazbi· νῦν δὲ γράφουσι Chezib), « *ἀλλὰ ψεῦδος* σημαίνει ». - Ἀλλ᾽ οὔτε Ἀκύλας ὀρθῶς ἀνέγνω, καὶ ψευδές ἐστιν ὅτι τὸ *Χαζβὶ* σημαίνει ψεῦδος. Χώρας ὄνομα τὴν λέξιν οἶδε καὶ Ὄγκελος, καὶ μετ᾽ αὐτὸν οἱ ῥαββῖνοι Σαλομὼν καὶ Βενέσδρας. Μαρτυρεῖ δὲ καὶ Εὐσέβιος (περὶ τόπ.) « Χασβεὶ . . . δείκνυται νῦν ἐν ὁρίοις Ἐλευθερουπόλεως ἔρημος, πλησίον Ὀδολλάμ ».

ς) Γενέσ. β, 8. « Καὶ ἐφύτευσεν *ἐν Ἐδὲμ* παράδεισον *κατὰ ἀνατολὰς* » (οἱ Ο, ἄγαν ἀκριβῶς καὶ συμφώνως πρὸς τὸ ἑβρ.). Ὁ δὲ Ἱερώνυμος, « ἀντὶ παραδείσου (φησὶ) τὸ ἑβρ. ἔχει (gan) *κῆπον* » (ὡσανεὶ διέφερε τὸ *παράδεισος*, κατὰ τὴν κοινοτέραν σημασίαν, παρὰ τὸ *κῆπος*!). « Καὶ τὴν *Ἐδὲν* (φησι) *τρυφὴν* ἡρμήνευσαν » (*καὶ τί ἄλλο σημαίνει* τὸ Ἐδέν, ἢ Ἐδέμ, εἰ μὴ τρυ-

φήν; Οὕτω καὶ πάντες οἱ Πατέρες, καὶ Ἡσύχιος, καὶ Σουΐδας· καὶ αὐτοὶ οἱ νεώτεροι ἑβραϊσταὶ συνομολογοῦσι. βλ. ὄπισθ. σελ. 73). «Ἀλλ' ὁ Σύμμαχος (λέγει) ἀντὶ τοῦ, *παράδεισον ἐν Ἐδὲμ*, μετέφρασε *παράδεισον ἀνθηρόν*. – Κάκιστα μετέφρασεν ὁ Σύμμαχος. Τὸ γὰρ Ἐδὲμ σημαίνει μὲν τρυφὴν, ἔστι δὲ καὶ κύριον ὄνομα τόπου· καὶ πρόδηλον ἐκ τοῦ Γεν. δ, 16, «*κατέναντι Ἐδέμ*». Ὅπου πάλιν καὶ τὸ ἑβραϊκὸν οὕτως ἔχει, καὶ ὁ Σύμμαχος αὐτός· τοῦτο καὶ ὁ κοινὸς νοῦς ἀπαιτεῖ· μάρτυς δὲ καὶ ὁ Εὐσέβιος (περὶ τόπ.) «Ἐδὲμ ὁ τοῦ θείου παραδείσου τόπος εἰς ἀνατολάς· ἑρμηνεύεται δὲ *τρυφή*.» Ἀλλὰ καὶ τὸ «*κατὰ ἀνατολὰς*» (ἑβρ. mikedem) ἔψεξεν ὁ Πατὴρ, λέγων· ὅτι τοῦτο ὁ Ἀκύλας ἡρμήνευσεν *ἀπ' ἀρχῆς*, καὶ ἡμεῖς φησιν (οἱ λατινίζοντες) εἴποιμεν ἂν ab exordio (ἀπ' ἀρχῆς)· Σύμμαχος δὲ, *ἐκ πρώτης*· ὁ δὲ Θεοδοτ. *ἐν πρώτοις*· ἐξ οὗ δείκνυται τρανῶς, ὅτι πρὶν ἢ ποιήσῃ ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἔκτισε πρότερον τὸν παράδεισον, ὡς ἀναγινώσκεται καὶ ἐν τῷ ἑβραϊκῷ»! Οὕτως ὁ σοφώτατος Πατὴρ ἰουδαϊστῶν τινων μισοχρίστων λήροις πιστεύσας, ἐξέπεσεν εἰς γνώμην μήτε τῇ εὐσεβείᾳ συνᾴδουσαν, μήτ' αὐτοῖς τοῖς φρονιμωτέροις τῶν Ἰουδαίων δεκτὴν (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 468).

ζ) Γενέσ. λγ, 1. «Καὶ διεῖλεν (ἄλλ. *ἐπιδιεῖλεν*) Ἰακὼβ τὰ παιδία ἐπὶ Λείαν, καὶ ἐπὶ Ῥαχὴλ, καὶ τὰς δύω παιδίσκας» (οἱ Ο)· ὅπου ὁ Ἱερώνυμος. «Οὐχ ὡς οἱ πολλοί (φησι) νομίζουσι τρεῖς ἀρχὰς (ἢ συστήματα, turmas) ἐποίησεν, ἀλλὰ δύω. Καὶ Ἀκύλας ἀντὶ τοῦ *διεῖλε* μετέφρασεν *ἡμίσευσεν*». Ἀλλὰ 1) τὸ ἑβραϊκὸν ἀντίστοιχον ῥῆμα, οὐχ *ἡμίσευσεν*, ἀλλὰ *διεῖλε* κυρίως σημαίνει· τὸ δὲ *διαιρεῖν*, ἀορίστως τιθέμενον, οὐ σημαίνει τὸ διχάζειν εἰς δύω μέρη μόνον, ἀλλὰ τὸ διαμερίζειν εἰς ὁσαδήποτε. Οὕτω καὶ ἀλλαχοῦ τῆς Γραφῆς· οἷον, «Διεῖλεν εἰς τρεῖς ἀρχάς» (Κριτ. θ, 43)· καὶ, «Διαιρεθήσεται εἰς τοὺς τέσσαρας ἀνέμους» (Δαν. ια, 4). 2) Αὐτὸ τὸ κείμενον τῆς θείας Γραφῆς (Γεν. λγ, 2) τρανώτατα μαρτυρεῖ τὴν εἰς τρία διαίρεσιν τῆς συνοδίας τοῦ Ἰακώβ· «Καὶ ἔθετό (φησι) τὰς δύω παιδίσκας καὶ τοὺς υἱοὺς αὐτῶν *ἐν πρώτοις*· καὶ Λείαν

καὶ τὰ παιδία αὐτῆς, ὀπίσω· καὶ Ῥαχὴλ καὶ Ἰωσὴφ, *ἐσχάτους*»· καὶ πάλιν. «Καὶ προσήγγισαν αἱ δύω παιδίσκαι καὶ τὰ τέκνα αὐτῶν, καὶ προσεκύνησαν· καὶ προσήγγισε Λεία καὶ τὰ τέκνα αὐτῆς, καὶ προσεκύνησαν· καὶ μετὰ ταῦτα προσήγγισε Ῥαχὴλ καὶ Ἰωσὴφ, καὶ προσεκύνησαν» (λγ, 6, 7)· τί ἄλλο ταῦτα πάντα πρὸ ὀφθαλμῶν ἐναργῶς παριστῶσιν, εἰ μὴ τρεῖς ἀρχὰς, ἢ τάγματα; Καὶ ὅμως ὁ Ἱερώνυμος προέκρινε τῶν Ο τὸν Ἀκύλαν, δύω ποιοῦντα τὰ τρία!

η) Γενέσ. λδ, 25. «Εἰσῆλθον εἰς τὴν πόλιν *ἀσφαλῶς*» (οἱ Ο)· ἐν δὲ τῇ κατ' αὐτὸν λατινικῇ ἑρμηνείᾳ (τῇ Ἰτάλᾳ) ἀντὶ τοῦ *ἀσφαλῶς* εὕρηκε γεγραμμένον *ἐπιμελῶς* (diligenter). Καὶ διὰ τοῦτο ψέγει τοὺς Ο! πῶς, καὶ τί λέγων; «*Ἀσφαλῶς* (φησὶ) *τουτέστιν*, *ἐπιμελῶς* (id est diligenter). ἀλλ' ἐν τῷ ἑβραϊκῷ γέγραπται *Βετα* (betach), τουτέστι τολμηρῶς καὶ θαῤῥούντως, ἢ πεποιθότως (audacter et confidenter)». – Ἀλλὰ τὸ τῶν Ο, *ἀσφαλῶς* (secure) πάντως οὐ σημαίνει τὸ τῆς Ἰτάλας, *ἐπιμελῶς* (ὡς ἐπαραδοξολόγησεν ὁ Πατὴρ), καὶ τὸ *Βετα* σημαίνει πάντως καὶ τὸ *ἀσφαλῶς* (καὶ τοῦτο δὲ συνωνυμεῖ καὶ πρὸς τὸ θαῤῥούντως, καὶ πεποιθότως, ἀφόβως, ἢ ἀπτώτως, *βεβαίῳ ποδί*). Οὕτως οἱ Ο, καὶ ἐν Λευϊτικῷ (κς, 5), «κατοικήσετε μετὰ *ἀσφαλείας* (καὶ τὸ ἑβρ. lebetach)· καὶ πάλιν τὸ αὐτὸ ἑβραϊκ. ἐν Ἡσαΐᾳ ἡρμήνευσαν, *πεποιθότες*.

θ) Γενέσ. ιδ, 5. «*Ἅμα αὐτοῖς*». Οὕτως ἔχει ἐν πλείστοις ἀντιγράφοις καὶ τὸ νῦν ἑβραϊκὸν (bahem), καὶ τὸ Σαμαρειτικὸν ὡσαύτως. Ὁ δὲ Ἱερώνυμος ἔκρινεν ἀναγνωστέον, καὶ ἡρμήνευσεν «*ἐν Ἅμ*» (be Ham). Ἀλλ' οὔτε κύριον ὄνομα τόπου Ἅμ εὑρίσκεται ἐν τῇ θείᾳ Γραφῇ, καὶ ὁ πατὴρ ἀναμφιβόλως ἀνέγνω καὶ ἐτόνισε ψευδῶς (οὕτως ἐκ τῶν κατ' αὐτὸν ῥαββίνων διδαχθείς. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 729). Καὶ ὀρθῶς ὁ κλεινὸς Πήρσων συμπεραίνει καὶ ἐκ τούτου, ὅτι ἡ ἑρμηνεία τῶν Ο συμβάλλει πολλάκις εἰς βεβαίωσιν τῆς σημασίας τῶν ἐν τῷ καθ' ἡμᾶς ἑβραϊκῷ περὶ τὴν ἐκφώνησιν τῶν καταλλήλων φωνηέντων ἀστάτως ποικιλλομένων φωνῶν. Ἄλλα παραδείγματα τῶν περὶ τὴν ἑρμηνείαν

τῶν Ο διεψευσμένων κρίσεων τοῦ Ἱερωνύμου βλέπε παρὰ τῷ αὐτῷ (ἔνθα ἀνωτέρω), πρόσθες δὲ καὶ τὰ ἑξῆς.

ι) Ἀββακοὺμ β, 4. «Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ· ὁ δὲ δίκαιος ἐκ πίστεώς *μου* ζήσεται» (ἢ κατὰ τὸ Ἀλεξ. ὁ δὲ δίκαιός *μου* ἐκ πίστεως ζήσεται). Τοῦτο τὸ ῥητὸν καὶ ὁ θεῖος Παῦλος ἔγραψε (κατ' ἀντιστροφὴν, καὶ χωρὶς τῆς πρὸς τῷ *πίστεως*, ἢ πρὸς τῷ *δίκαιος* συναπτομένης ἀντωνυμίας, τῆς *μου*) «Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ» (Ἑβρ. ι, 38. πρβλ. Ῥωμ. α, 17. Γαλάτ. γ, 11). Ὁ δὲ θαυμάσιος Ἱερώνυμος οὔτε τὸ ῥητὸν τοῦ Ἀββακοὺμ ἡρμήνευσεν ὀρθῶς (α), καὶ περὶ τοῦ Ἀποστόλου σεσημείωκε ταῦτα. «Διὰ τί δὲ ὁ Ἀπόστολος μᾶλλον ἐχρήσατο τῇ τῶν Ο μαρτυρίᾳ, «Ὁ δὲ δίκαιος *ἐκ πίστεώς μου ζήσεται*», καὶ οὐχ ὡς ἔχει τὸ ἑβραϊκὸν, καταφανὴς ἡ αἰτία. Ἔγραφε γὰρ *πρὸς Ῥωμαίους*, ἀγνοοῦντας τὰς ἑβραϊκὰς Γραφάς· οὐδὲ ῥημάτων ἐφρόντιζε, τῆς διανοίας οὔσης ἐν ἀσφαλείᾳ» (β) κτλ. Ἐν τούτοις σημείωσαι ἀναγνῶστα, 1) ὅτι ὁ Πατὴρ παρὰ τῷ Ἀποστόλῳ (Ῥωμ. α, 17) ἀνέγνω «ἐκ πίστεώς *μου*»· οὐδαμοῦ δὲ οὔτε τῶν ἑλληνικῶν, οὔτε τῶν ῥωμαϊκῶν χειρογράφων (τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς) ἀναγινώσκεται νῦν ἡ *μου* ἀντωνυμία (γ). 2) Οὐ μόνον πρὸς Ῥω-

(α) «Ecce qui incredulus est, non erit recta anima ejus in Semetipso· justus autem in fide sua vivet»· τουτ. «ἰδοὺ ὁ ἄπιστος, οὐκ ἔστιν εὐθεῖα ἡ ψυχὴ αὐτοῦ ἐν αὐτῷ· ὁ δὲ δίκαιος ἐν πίστει αὐτοῦ ζήσεται» (οὕτως ἔχει καὶ τὸ νῦν ἑβραϊκὸν, ὅπου ἄλλοι ἀντὶ τοῦ ἄπιστος ἔχουσιν (elata est) ὑψώθη (ἡ ψυχὴ) κτλ. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 929. πρβ. καὶ Πήρσωνα (ἔνθ. ἀνωτέρω), ἀποδεικνύοντα τὸ ὀρθὸν τῆς ἑρμηνείας τῶν Ο.

(β) S. Hieron. Comm. in Habac. c. 2. Tom. 3. p. 352.

(γ) Ἐκ πίστεως ἀνέγνω καὶ ὁ Βέζας (ἑρμην. τῆς Νέας Διαθήκ. ἐκδ. 1556). Καί τοι οὗτος καὶ πάνυ μὴ ἐκ πίστεως (ὡς εἴωθε πολλάκις) ἡρμήνευσε τὸ παρὰ τῷ Ἀποστόλῳ προφητικὸν ῥητὸν, γράφων οὕτω· «Justus autem ex fide vivet. At si quis se subduxerit, non erit gratum animo meo. τουτέστιν. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. Καὶ ἐάν τις ἑαυτὸν ὑπεξέληται (ἢ ὑποστείληται), οὐκ ἔσται ἀρεστὸν τῇ ψυχῇ μου. Ἐν δὲ τούτοις μετέβαλε μὲν τὸ πρόσωπον, προσθεὶς τὸ τὶς (quis), ἐξέβαλε δὲ τὸ ἐν αὐτῷ (οὐκ εὐδοκεῖ ἐν αὐτῷ).

μαίους, ἀλλὰ καὶ πρὸς Γαλάτας, καὶ πρὸς Ἑβραίους δὲ πλῆρες τὸ προφητικὸν ῥητὸν ὁ ἀπόστολος ἔγραψεν· Ὁ δὲ Δαλμάτης Πατὴρ ἐνταῦθα (Ἀββ. β. 4) μόνης τῆς πρὸς Ῥωμαίους ἐμνήσθη, πιθανολογῶν εὐκολώτερον τὴν αἰτίαν, δι' ἣν τάχα πρὸς τούτους ὁ Παῦλος ἐχρήσατο τῇ φράσει τῶν Ο· τοὺς δὲ Γαλάτας καὶ τοὺς Ἑβραίους παρῆλθε σιγῶν· εἰ γὰρ ἐμνημόνευε καὶ τούτους, ἐφαίνετ' ἂν ὁ Παῦλος ἐν ταῖς ἐπιστολαῖς τοῖς Ο χρώμενος. Ταύτην δὲ τὴν *κατάχρησιν* μόνῳ τῷ θείῳ Λουκᾷ συνεχώρησεν ὁ Πατὴρ ἀλλαχοῦ. Περὶ δὲ τοῦ Παύλου προεῖπε ῥητῶς, ὅτι κατὰ τὸ ἑβραϊκὸν ἀείποτε ἐκφέρει τὰς μαρτυρίας· κἀνταῦθα δὲ τὰ πρὸς Ῥωμαίους ἐνδούς, ἐκόλασεν ὅμως τὴν ἔνδοσιν, εἰπών, ὅτι «*ῥημάτων οὐδόλως ἐφρόντιζεν* ὁ Ἀπόςολος» (ὡς ἂν εἴπερ οὐ διὰ ῥημάτων ἐκφράζεται ἡ διάνοια! βλ. ὄπισθ. Βιβλ. Β. σελ. 235). 3) Ἐπειδὴ δέ, τέλος (εἰς Ἡσ. ς, 5) ἐμνήσθη καὶ τῆς πρὸς Ἑβραίους (ἥτις ἔχει καὶ αὐτὴ τὰς μαρτυρίας ἐκ τῶν Ο), μηδὲν μελήσας, ἐπήνεγκε λόγον παραδοξότατον, τὸν ἑξῆς «Ὅτι ἡ πρὸς Ἑβραίους ἐπιστολὴ διὰ τοῦτο ἀντιλέγεται» (ἦν δὲ καὶ αὕτη παρά τισι, καὶ πρὸ πάντων ἐν αὐτῇ μάλιστα τῇ Ῥώμῃ, μέχρι τινὸς ἐκ τῶν ἀντιλεγομένων) (α), «*διότι* (φησὶ) *γράφων ὁ Ἀπόστολος πρὸς Ἑβραίους, κέχρηται μαρτυρίαις μὴ κειμέναις ἐν τῷ ἑβραϊκῷ*» (!). Κεῖνται δ' αὗται ποῦ; παρὰ τοῖς Ο πάντως· ὁ δ' οὐδ' ὀνομάσαι τούτους ἠξίωσεν! Οἱ δὲ χρηστοὶ Ῥωμαῖοι, οἱ *τὴν ἑβραΐδα Γραφὴν* ἀγνοοῦντες (διὸ καὶ χρείαν εἶχον μαρτυριῶν ἐκ τῆς ἑλληνικῆς τῶν Ο ἑρμηνείας), πόθεν λοιπὸν ᾔδεισαν τὴν πρὸς Ἑβραίους ἀλλότρια τῶν καθ' Ἑβραίους γνησίων ῥητὰ φθεγγομένην, διὸ καὶ περὶ τῆς γνησιότητος

(α) Τὸ γνήσιον τῆς πρὸς Ἑβραίους ὁμολογοῦσι πάντες οἱ ἀρχαῖοι Πατέρες, καὶ οἱ κατάλογοι τῶν κανονικῶν θείων Γραφῶν· ὀλίγοι δέ τινες ἦσαν οἱ περὶ αὐτῆς ἀντιλέγοντες· «οὐκ εὖ λέγοντες· γνησία γὰρ ἡ χάρις» (Ἀμφιλόχ· ἐν τῷ καταλόγῳ· πρβλ. καὶ Οἰκουμενίου ὑπομν. εἰς τὴν πρὸς Ἑβρ.). ἐν δὲ τῇ Ῥώμῃ καὶ μέχρις αὐτοῦ Ἱερωνύμου ἦσαν οἱ ἀντιλέγοντες· ἀλλ' αὐτὸς πάλιν ὁ Ἱερώνυμος τὴν τούτων γνώμην ἀποδοκιμάζει (T. 2. p. 608. καὶ ἀλλαχοῦ· πρβλ. καὶ Schmidt, Hist. antiq. etc. p. 402. sq. καὶ 662-667).

αὐτῆς ἀντέλεγον ἀμφιβάλλοντες; Διὰ τί δὲ πάλιν ὁ Παῦλος Ἑβραῖος ὢν, καὶ πρὸς Ἑβραίους ἐπιστέλλων, ἐχρήσατο μαρτυρίαις ξέναις τῆς *ἑβραϊκῆς ἀληθείας*, ἐμβάλλων εἰς οὕτω προὖπτον κίνδυνον νοθείας ἣν ἔγραφεν ἐπιστολήν; Ἀλλὰ περὶ τῶν τοιούτων ἀνωμαλιῶν καὶ ἀντιφάσεων, εἰς ἃς ὁ Πατὴρ περιέπιπτε, τρέχων κατόπιν τῆς *ἑβραϊκῆς ἀληθείας*, προείπομεν καὶ ἐν τοῖς ἔμπροσθεν (σελ. 280, καὶ Βιβλ. Β. σελ. 467, 625, 630). Ὅτι δὲ καὶ ἄλλως περὶ τὴν ἑρμηνείαν ὁ Ἱερώνυμος ἐξελέξατο πολλάκις ἐκ τοῦ ἑβραϊκοῦ τὰ χείρονα, παριδὼν τὰ παρὰ τοῖς Ο βελτίονα καὶ ἀληθῆ, διέλαβον ἄλλοι τε καὶ Σιμώνιος (α).

Φαίνεται δὲ καὶ ἐν ἄλλοις ὁ μακάριος Ἱερώνυμος γοργὸς περὶ τὰς κρίσεις, καὶ ὀξύχολος πολλάκις, καὶ τοῦ μετρίου θερμότερος, καί πως καὶ αὐτεπαίνετος, ὑπὸ τῆς ἄγαν φιλοτιμίας (ἀνθρωπίνου

(α) Οἷον, Γενέσ. ϐ, 2· οἱ μὲν Ο, «Συνετέλεσε τῇ ἡμέρᾳ τῇ ἕκτῃ»· ὁ δὲ Ἱερώνυμος, κατὰ τὸ ἑβραϊκὸν, «τῇ ἑβδόμῃ» (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 458). — Γενέσ. δ, 16, οἱ Ο, «ᾤκησεν (ὁ Κάϊν) ἐν γῇ Ναΐδ» (τόπου ὄνομα)· ὁ δ' Ἱερώνυμος (ψέγων τὴν ἀμάθειαν τῶν Ο) μεταφράζει τὴν λέξιν, φυγὰς, πλανήτης». Ἀλλ' οἱ Ο, τὴν μὲν σημασίαν ταύτην ἐξέφρασαν ἀνωτέρω, στίχ. 12. (ἄτοπον δὲ καὶ τὸ ᾤκησε πλανήτης· ἔδει γὰρ εἰπεῖν περιῆγεν, ἐφέρετο, κτλ. πλάνη δὲ, καὶ ἔμμονος κατοικία, καὶ πόλις, ἣν ἔκτισε καὶ κατῴκησεν ὁ Κάϊν, πῶς συμφωνοῦσι;).— Γενέσ. ς, 3. «Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου» (οἱ Ο)· ὁ δὲ, «οὐκ ἐρίσει, ἢ οὐ κρινεῖ τὸ πνεῦμά μου». Ἀλλὰ τοῦτο, σφάλμα τοῦ ἑβραίου. Οἱ Ο, ἀνέγνων jalon· ἢ ὀρθῶς ἡρμήνευσαν αὐτὸ τὸ jadon (μενεῖ), ὃ καὶ ῥαββῖνοι συνομολογοῦσι.— Γενέσ. μθ, 21. «Νεφθαλεὶμ, ςέλεχος ἀνειμένον, ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος» (οἱ Ο). Τὸ δ' ἑβραϊκὸν, «Νεφθαλί ἔλαφος ἀνειμένη» (ἀπολελυμένη· ὡς ἂν εἶπερ ὑπῆρχεν ἐν τῇ συνηθείᾳ καὶ ἔλαφος δετή!)· κτλ. ἀλλ' ἡ ἑβραϊκὴ ἀνάγνωσις προφανῶς διέφθαρται (βλ. Pearson l. c.). Ὁ δὲ σοφὸς Ἱερώνυμος ἔτι χεῖρον ἀναγνοὺς, καὶ ἐξηγήσας κατὰ τὸν Ἰουδαῖον αὐτοῦ διδάσκαλον, ἡρμήνευσεν οὕτω. «Νεφθαλεὶμ ἀγρὸς ἀρδευτὸς» (ager irrigatus), «ἐπιδιδοὺς ἐν τοῖς ῥήμασι κάλλος» (καὶ τοῦτο, λέγει, ὡς ἐκ τῆς παρὰ τὸν Ἰορδάνην οἰκούσης φυλῆς τοῦ Νεφθαλεὶμ, ἧς ἦν καὶ ἡ Τιβεριὰς, ἔνθα ἤνθησε (μ. Χ.) ἡ καλλονὴ τῆς εὐγλωττίας τῶν ῥαββίνων! Ἄλλα διάφορα βλέπε παρὰ Σιμωνίῳ (Histor. Crit. V. Test. L. I. cap. 5. 6)· ὅπου καὶ τὸν πολλάκις κατὰ τῶν Ο σπιθαμιαίαν προβαλόντα γλῶσσαν Εὐγουβῖνον (Eugubinum) ὁ Σιμώνιος ἐξελέγχει δικαίως τῆς ἑλληνικῆς φωνῆς ἀμαθέστατον!

πάθους) ἐνίοτ᾽ ἐρεθιζόμενος, τὰ δὲ καὶ σφόδρα ζηλῶν ὑπὲρ τῆς ἑβραϊκῆς ἀληθείας, ἣν (ὑπὲρ τὸν Ὠριγένην μείζονα φρονήσας) ἐπίστευσεν ὅτι εὕρηκε παρὰ τοῖς ῥαββίνοις ἀκριβῆ καὶ τελείαν, οἵαν ἔγραψαν αὐτοὶ οἱ θεόπνευστοι Προφῆται· διὸ καὶ πρὸς πᾶν τὸ ἐμποδὼν ἀφειδῶς κατεφέρετο, λίαν ἐφ᾽ ἑαυτῷ πεποιθώς. Οὕτω πρὸς Ῥουφῖνον ἀπαντῶν, « Ἐγὼ (φησι) φιλόσοφος, ῥήτωρ, γραμματικὸς, Ἑβραῖος, Ἕλλην, Λατῖνος, τρίγλωσσος! » (ἐν Ἀπολογ. β. τόμ. α. σελ. 778). Ἀλλαχοῦ δὲ (κατὰ Ἰοβινιαν. β, κτλ.) τοὺς ψέγοντας τὴν αὐτοῦ μετάφρασιν καὶ *κύνας* ὠνόμαζεν *ὑλακτοῦντας*, καὶ *χοίρους ἀκαθάρτους*, κατ᾽ αὐτοῦ γρυλλίζοντας, καὶ *καταπατοῦντας τοὺς μαργαρίτας*. Ἐπιστέλλων δὲ πρὸς Σουνίαν καὶ Φρετέλαν, ἐπειδὴ τοῦτον ἠρώτησαν ἐκ χώρας τῶν Γετῶν, ἢ Γερμανῶν, ὅπως ἔχουσιν ἐν τῷ ἑβραϊκῷ χωρία τινὰ τοῦ Ψαλτηρίου, ἐν οἷς ἡ τῶν Ο μετάφρασις διέφερε τῆς Λατινικῆς, « Ἀληθῶς (φησὶν), ἐν ὑμῖν ἐπληρώθη ὁ λόγος ὁ ἀποστολικὸς καὶ προφητικός. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν » (ἀλλ᾽ ὤφειλεν εἰπεῖν *κατὰ τὴν ἑβραϊκὴν ἀλήθειαν*, « ἐξῆλθεν *ἡ γραμμὴ αὐτῶν* » !). « Τίς (φησιν) ἐπίστευεν, ὅτι ἡ βάρβαρος γλῶσσα τῶν Γετῶν ἔμελλεν ἐπιζητήσειν *τὴν ἑβραϊκὴν ἀλήθειαν*; καὶ, ἐν ᾧ νυστάζουσιν, ἢ ἐρίζουσιν οἱ Γραικοὶ, ἔμελλεν ἐρευνήσειν ἡ Γερμανία τὰ ῥήματα τοῦ ἁγίου Πνεύματος;» (τόμ. α. σελ. 1124. Οὕτως ἡ ἀνατολικὴ Ἐκκλησία *οὐκ ἠρεύνα* τὰ ῥήματα τοῦ παναγίου Πνεύματος, *νυσταζόντων τῶν διδασκάλων αὐτῆς*! Ἐν δὲ τοῖς νυσταλέοις τούτοις πάντως ὑπῆρχε καὶ Γρηγόριος ὁ Θεολόγος, ὁ διδάσκαλος αὐτοῦ, παρ᾽ οὗ *ἐγνώρισε τὰς Γραφὰς*, ὡς αὐτὸς ὁ Ἱερώνυμος ὡμολόγησεν ἐν τῷ Καταλόγῳ!)· καὶ ταῦτα μὲν ἀνεκτότερα. Ὁ δὲ τρίγλωσσος Πατὴρ καὶ αὐτὸν τὸν θεόπνευστον Ἀπόστολον Παῦλον, (κατὰ τοὺς γραμματικοὺς αὐτοῦ κανόνας ἐπικρίνων), εὕρισκε « σολοικιστὴν, καὶ φράσει χυδαίᾳ κεχρημένον »· καὶ, « ὅτι τὰ βαθέα τῶν νοημάτων οὐκ ἠδύνατο δι᾽ ἀλλοτρίας γλώσσης ἐκφράζειν »· καὶ, « ὅτι οὐ διὰ ταπεινοφροσύνην, ὡς οἱ πλεῖστοι νομίζουσι » (καὶ ὡς ἔγραψε καὶ αὐτὸς ὁ Ἱερώνυμος ἀλλαχοῦ· κατὰ Ἰοβινιανοῦ, β), « ἀλλ᾽ ἐπ᾽ ἀλη-

θείας ὠνόμασεν ἑαυτὸν ὁ Παῦλος «*ἰδιώτην τῷ λόγῳ*». Καὶ, τέλος, «ὅτι μετὰ τῶν ἀνοήτων Γαλατῶν ἀνόητος γενόμενος καὶ ὁ Ἀπόστολος, ἁπλουστέροις ἐχρήσατο τοῖς ἐπιχειρήμασιν (ἐν τῇ πρὸς αὐτοὺς ἐπιστολῇ). Ὥστε, εἰμὴ ἔφθη προτάξας τὸ «*κατὰ ἄνθρωπον λέγω*», δυσηρέστησεν ἂν τοῖς σοφοῖς!» (α). Ὑπὸ τοιούτων λογισμῶν, ἀγοραίῳ σοφιστῇ μᾶλλον, ἢ τοῦ θείου λόγου διδασκάλῳ πρεπόντων, ἔστιν ὅτε, παρεκφερόμενος, ἔγραψε κἀκεῖνα περὶ τοῦ Ἀποστόλου· «Ἀνάγνωτε τὰς ἐπιστολὰς αὐτοῦ, καὶ μάλιστα τὴν πρὸς Ῥωμαίους, τὴν πρὸς Γαλάτας, τὴν πρὸς τοὺς Ἐφεσίους, ἐν αἷς ὅλος καθέστηκεν εἰς ἀγῶνα, καὶ ὄψεσθε αὐτὸν ἐν ταῖς ἐκ τῆς παλαιᾶς Γραφῆς λαμβανομέναις μαρτυρίαις ὅσον μέν ἐςι τεχνικὸς, ὅσον δὲ συνετὸς, ὅσον δὲ προσποιητικὸς περὶ ὃ πραγματεύεται... Ταλαντεύεται ἀμφίβολος περὶ τοῦ προκειμένου· δράττεται παντὸς, οὗ ἂν ἐπιψαύσῃ· στρέφει τὰ νῶτα, ἵνα νικήσῃ· φεύγειν προσποιεῖται, ἵνα ἀποκτείνῃ»·(Ἀπολογ. πρὸς Παμμάχ. κατὰ Ἰοαβινιαν.). Καὶ ἔστι μὲν ταῦτα καὶ πρὸς τὸ κοσμιώτερον ὁπωσοῦν ἐκλαβεῖν· ἀλλ' ὅμως τίς τῶν θεηγόρων διδασκάλων τῆς Ἐκκλησίας ἔγραψεν οὕτω φορτικὰ, καὶ χαμαίζηλα, καὶ αὐτόχρημα δικανικὰ λεξείδια περὶ τοῦ Ἀποστόλου, «*ἐν ᾧ ἐλάλει Χριστός;*». Τοιαῦται δὲ φράσεις, ἄπρακτον μὲν δήπου καὶ ματαίαν, ἀλλ' ὅμως παρέσχον λαβὴν τοῖς προχείρως ἔχουσι μωμεῖσθαι τὰ θειότερα κακοσχόλοις λατρευταῖς τῆς ὑψηλῆς κριτικῆς (β). Τὸ δὲ πάντων ἀτοπώτερον, ὅτι, χάριν τῆς ἑβραϊκῆς ἀληθείας, καὶ αὐτὸν τὸν θεῖον Εὐαγγελιστὴν Ματθαῖον οὐκ ὤκνησεν εἰπεῖν *μνημονικὸν ἁμάρτημα* πεπονθότα,

(α) Βλ. S. Hieron. Comment. Εἰς τὴν πρὸς Ἐφεσ. γ. Εἰς τὴν πρὸς Γαλατ. γ. ς. καὶ εἰς τὴν πρὸς Τίτ. α. (Τόμ. 3. σελ. 884, 942, 1035). Παράβαλε καὶ τὴν τοῦ μακαρίου Θεοδωρήτου καὶ Θεοφυλάκτου κτλ. εἰς τοὺς σημειωθέντας τόπους ἑρμηνείαν, καὶ τὴν (περὶ τῆς τοῦ Ἀποστόλου φράσεως) ἐπιστολὴν τοῦ Πατριάρχου Φωτίου, (ἐπις. ρξε), καὶ ὄψει, πόσον διαφέρει ἡ ἐν πνεύματι Θεοῦ παρὰ τὴν ἐν ἀνθρωπίνῳ πνεύματι ἐξήγησιν τῶν ἀποστολικῶν καὶ θεοπνεύστων φωνῶν.

(β) Βλ. Cleric. Ars Critic. P. II. §, 4. c. 16. p. 165. βλ. καὶ ὄπισθ. Βιβ. Γ. σελ. 99.

(εἰς ἄλλους δῆθεν ἀναφέρων τὴν γνώμην, αὐτὸς δὲ ὅμως μηδὲν ἀντιλέγων), διότι τὸ μὲν ἑβραϊκὸν (Μιχ. ε) ἔχει «Καὶ σὺ Βηθλεὲμ *ἐλαχίστη*», ὁ δ' Εὐαγγελιστὴς ἔγραψεν, *οὐδαμῶς ἐλαχίστη*. «Εἰσί δέ (φησιν) οἱ διαβεβαιοῦντες, ὅτι τὸ παράπτωμα τοιοῦτόν ἐστιν, ὡς - ὅτε οἱ Ἀπόστολοι, ἢ οἱ Εὐαγγελισταὶ οὐκ ἀπὸ βιβλίου ἐδρέποντο τὰς μαρτυρίας, ἀλλὰ τῇ μνήμῃ πιστεύοντες, ἥτις ἔστιν ὅτε καὶ σφάλλεται» (α). Οὕτω δὲ μετὰ τοῦ Ματθαίου συμπαρέσυρε (κατὰ τὴν γνώμην τῶν διαβεβαιούντων) καὶ τοὺς ἄλλους Εὐαγγελιστὰς καὶ Ἀποστόλους, ὡς ὑποκειμένους ὀλισθήμασι μνημονικοῖς! Καὶ περὶ τοῦ θείου δὲ Λουκᾶ κατὰ μέρος διαλαμβάνων, διὰ τί καὶ οὗτος γράφει, ὡς οἱ Ο, 75 τὰς μετὰ τοῦ Ἰακὼβ εἰς Αἴγυπτον ἐλθούσας ψυχάς, καὶ οὐχ, ὡς τὸ ἑβραϊκόν, 70 (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 430), ἔλυσε τὴν δυσχέρειαν, λέγων· «Ὁ ἅγιος Λουκᾶς συγγράφων τὰς πράξεις ἕνεκα τῶν ἐθνικῶν, οὐκ ὤφειλεν εἰπεῖν ἐναντία τῆς Γραφῆς, ἥτις ἤδη ὑπῆρχεν εἰς τὰ ἔθνη δεδημοσιευμένη· καὶ κατ' ἐκείνους τοὺς χρόνους ἡ ἑρμηνεία τῶν Ο πλείονα τὴν ὑπόληψιν εἶχε παρὰ τὴν συγγραφὴν αὐτὴν τοῦ Λουκᾶ, ἀγνώστου τυγχάνοντος καὶ ταπεινοῦ, μηδὲ λίαν ἀξιοπίστου παρὰ τοῖς ἐθνικοῖς» (καὶ ἔγραφε λοιπὸν ὁ Ἀπόστολος τὸν ἐψευσμένον ἀριθμὸν τῶν Ο, ὅπως περιποιήσῃ ἑαυτῷ τε καὶ τοῖς θεοπνεύστοις αὐτοῦ βιβλίοις εὐδοξίαν καὶ ἀποδοχὴν παρὰ τοῖς ἐθνικοῖς; Τὸ δὲ Πνεῦμα τὸ ἅγιον οὐδὲν αὐτῷ συνήργει πρός τε τὴν συγγραφὴν καὶ τὸ κήρυγμα τοῦ Εὐαγγελίου;). «Καί τοι (προστίθησι) *πλεῖστοι παραδίδουσιν*, ὅτι ὁ εὐαγγελιστὴς Λουκᾶς, ὡς προσήλυτος, ἠγνόει τὰ ἑβραϊκὰ γράμματα» (καὶ ἑπομένως καὶ τὴν *ἑβραϊκὴν ἀλήθειαν*! τοῦ δὲ χαρίσματος τῶν γλωσσῶν, οὗ μετεῖχον τότε πλεῖστοι τῶν Χριστιανῶν, *γλώσσαις λαλοῦντες καιναῖς*, μόνος οὗτος ὁ

(α) « Sunt autem qui asserant-istiusmodi esse errorem, ut aut ordo mutetur, aut verba, et interdum sensus quoque diversus sit, vel Apostolis, vel Evangelistis non ex libro carpentibus testimonia, sed memoriae credentibus, quae nonnunquam fallitur ». S. Hieron. Comm. in Mich. c. 5. Tom. 3. p. 284. βλ. καὶ ὄπισθ. σελ. 288.

Ἀπόστολος, καὶ συνέκδημος τοῦ Παύλου καὶ συνεργὸς, ἔμεινεν ἀμέτοχος!). (α). Εἰς ταῦτα καὶ τὰ τοιαῦτα ἐξώκειλεν ὁ μακάριος Ἱερώνυμος, νῦν μὲν τῇ κατ' αὐτὸν *ἑβραίᾳ* μᾶλλον, ἢ τῇ Ἀποστολικῇ (τάγε τοιαῦτα) *ἀληθείᾳ* πιστεύων, νῦν δὲ πάλιν ἐξαπτόμενος ὑπὸ ζήλου διαπύρου. Οὕτως ἀγωνιζόμενος ἐνδόξως πρὸς τὸν Ἐπικούρειον Χριστιανὸν (ὡς αὐτὸν ὀνομάζει), καὶ τῆς παρθενίας πολέμιον Ἰοβινιανὸν, κατατρέχει τοὺς διγάμους ἐπὶ τοσοῦτον, ὥστε μόλις αὐτοὺς τῶν πόρνων διαστέλλει, καὶ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε ἀκαθάρτοις ζώοις καὶ ὄφεσι παραβάλλει· καὶ τέλος, περὶ γυναικὸς, εἰς δευτέρους γάμους ἐρχομένης, ἐπιλέγει τὸ « Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ *ὗς λουσαμένη εἰς κύλισμα βορβόρου* » (β). Οἷον δὲ καὶ τὸ ἑξῆς! Οὗτος αὐτὸς ὁ Πατὴρ, ὁ τοὺς ἐπισκόπους διαδόχους τῶν Ἀποστόλων εἰπὼν (ἐπιστ. πρὸς Μάρκελ.), καὶ τὸν μὲν ἐπίσκοπον πρὸς τὸν Ἀαρὼν παραβαλὼν, τοὺς δὲ πρεσβυτέρους πρὸς τοὺς υἱοὺς Ἀαρὼν (Ἐπιστολ. πρὸς Εὐάγρ.), καὶ ὁμολογήσας, ὅτι μόνων τῶν ἐπισκόπων ἴδιόν ἐστι τὸ χάρισμα τῆς ἱερᾶς χειροτονίας (αὐτόθ.), αὐτὸς οὗτος πάλιν ἀντιφάσκων πρὸς ἑαυτὸν, ἀντιβαίνων δὲ καὶ πρὸς πάντας τοὺς θείους τῆς Ἐκκλησίας Πατέρας, καὶ πρὸς αὐτὴν τὴν ἀποστολικὴν διδασκαλίαν καὶ παράδοσιν, ἔγραψε, «μηδὲν τοῦ πρεσβυτέρου διαφέρειν τὸν βαθμὸν τοῦ ἐπισκόπου, ἀλλ' εἷς (φησι) καὶ ὁ αὐτὸς ἐξ ἀρχῆς ὑπῆρχε καὶ ἐλέγετο πρεσβύτερος καὶ ἐπίσκοπος· τοῦτο μὲν διὰ τὸ ἀξίωμα, ἐκεῖνο δὲ διὰ τὴν ἡλικίαν. Μετέπειτα δὲ (λέγει) κατ' ὀλίγον ὑπετάγησαν οἱ πάντες εἰς ἑνὸς τὴν ἐπιστασίαν, ὅπως ἂν τὰ σπέρματα τῶν διχονοιῶν ἐκριζωθῶσιν. — Ἴστωσαν οὖν οἱ ἐπίσκοποι, ὅτι μᾶλλον ἐκ συνηθείας, ἢ κατὰ διαταγὴν τῆς Κυριακῆς ἀληθείας μείζονες τῶν πρεσβυτέρων εἰσί » (γ). Τοῦτο τὸ φρόνημα τῆς Ἀερίου

(α) Quaest. Hebraic. T. 1. p. 1343.

(β) Adv. Jovinian. L. 1. p. 495, καὶ Epist. ad Geront. καὶ ἀλλαχοῦ.

(γ) S. Hieron. Comm. ad Tit. I. 5. Tom. 3. p. 1041. εἰς τὸ «Καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους ». Σημειωτέον δὲ, ὅτι ἀρχόμενος ταύτης τῆς ἑρμηνείας ὁ πατὴρ, «Ἀκουσάτωσαν (λέγει) οἱ ἐπίσκοποι οἱ ἔχοντες, τὴν ἐξουσίαν τοῦ καθιστᾷν

κακοδοξίας ἔγραψεν ἀπερισκέπτως καὶ ὁ μέγας τῆς ὀρθοδόξου θεολογίας διδάσκαλος· καὶ δὴ καὶ γελοίως μὲν καὶ μαψιδίως, ἀλλ' ὅμως περικροτεῖται τὸ θρύλλημα καὶ παρὰ τοῖς νεωτέροις Ἀεριανοῖς (ἢ Πρεσβυτεριανοῖς), ὡς κυρία γνώμη τοῦ Πατρός· παρέχει δὲ καὶ πράγματα τοῖς Δυτικοῖς ἀγωνιζομένοις εἰς ἀπολογίαν (α).

Τοιαύτην λογισμῶν μετάβολον παλίῤῥοιαν βλέπει τις καὶ ἐν ἄλλαις δοξασίαις τοῦ Δαλμάτου Πατρός. Προτιμᾷ πρὸ τῶν Ο πολλάκις τοὺς τρεῖς (Ἀκύλ. Σύμμ. Θεοδ.), ὡς τῇ *ἑβραίᾳ συνᾴδοντας ἀληθείᾳ*, καὶ πάλιν αὐτοὺς Ἰουδαΐζοντας καὶ αἱρετικοὺς ὀνομάζει· (καὶ τὸν Ἀκύλαν ἰδίως *ἐριστικὸν* καὶ κακόζηλον, καὶ ὡς φθορέα περὶ τὴν ἑρμηνείαν ὑποπτεύει· καίτοι τοῦτον αὖθις ἀλλαχοῦ καὶ ἐπιμελέστατον καὶ περίεργον ἐκάλεσε)· μαρτυρεῖ δὲ, καὶ ὅτι οὗτοι οἱ τρεῖς ἀνέγνωσάν τινα ἐν τῇ Πεντατεύχῳ πολλῷ τῷ μέτρῳ διαφερόντως, ἢ ὡς αὐτὸς ἀνέγνω (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 81, 99)· καὶ τέλος, ἀνακηρύττει, ὅτι πολλὰ μυστήρια τοῦ Σωτῆρος δολίᾳ συνεκάλυψαν ἑρμηνείᾳ (Προλ. εἰς Ἰώβ). Ἀνεγίνωσκον δὲ (λέγει) τούτους οἱ Ἕλληνες, ἢ σπουδῆς χάριν, ἵνα γνωρίζωσι τὴν διάνοιαν αὐτῶν καὶ διδασκαλίαν, ἢ ἵνα διὰ τῆς ἀντιπαραθέσεως αὐτῶν ἐννοήσωσι σαφέστερον τοὺς Ο, (Προλόγ. εἰς Ἡσαΐ.). – Διατείνεται, ὅτι οἱ Ἀπόστολοι τὰς προφητικὰς μαρτυρίας ἁπάσας ἐλάμβανον ἐκ τοῦ ἑβραϊκοῦ· καὶ πάλιν, ὅτι ἐκείνας μόνον, ἐν αἷς οἱ Ο διαφέρουσι τοῦ ἑβρ. (Ἀπολογ.). Ἀλ-

---

κατὰ πόλεις πρεσβυτέρους· μηδ' οἰέσθωσαν τοὺς λόγους εἶναι τοῦ Ἀποστόλου, ἀλλὰ τοῦ Χριστοῦ» κτλ. ὥστε κατ' ἀρχὰς ὁμολογεῖ τὴν ἐξουσίαν τῶν ἐπισκόπων, εἰσάγων τὸν Ἀπόστολον αὐτὸν διακρίνοντα τοὺς ἐπισκόπους ἀπὸ τῶν πρεσβυτέρων, κατὰ τὴν διαταγὴν αὐτοῦ τοῦ Δεσπότου Χριστοῦ· προϊὼν δὲ κατωτέρω, αἴφνης μεταβάλλεται, ἐπιφέρων καὶ τὰ ἀνωτέρω σημειωθέντα. Τοιαῦτα ἔγραψε καὶ Epist. ad Evagr. καὶ Epist. ad Ocean. T. 1. p. 917, 932. Ἄλλα τοῦ Ἱερωνύμου λάθη δι' ἀπερισκεψίαν, ἴδε παρὰ Du-Pin Biblioth. T. 3. p. 135, 136. βλ. καὶ ἑξῆς §. ρλς.

(α) Βλ. Bellarmin. Lib. I. ad Cler. c.15.- Morin. de Sacr. ordinat. Part. III. Exercit. III. 4. Οἱ δέ τινες εἶπον, καὶ ὅτι ταῦτα παρενεποιήθησαν εἰς τὰ συγγράμματα τοῦ Πατρὸς ὑπό τινων αἱρετικῶν Ἀεριανῶν (Liebermann Instit. Theolog. vol. 2. p. 143).

λαχοῦ δὲ ὅμως ἐξαιρεῖ τὸν Λουκᾶν, ὡς τοῖς Ο κεχρημένον· ἔπειτα δὲ, τέλος, καὶ τοὺς ἄλλους ἅπαντας, κατατιθεὶς *ὡς θεώρημα γενικὸν*, ὅτι, «Ὅπου οἱ Ἀπόστολοι καὶ οἱ ἀποστολικοὶ ἄνδρες διαλέγονται πρὸς τοὺς λαοὺς» (καὶ πότε οὐ πρὸς τοὺς λαοὺς διελέχθησαν, καὶ εὐηγγελίσαντο, καὶ ἐπέστειλαν οἱ Ἀπόστολοι;), «ἐκείναις χρῶνται ταῖς μαρτυρίαις, αἵτινες ὑπῆρχον ἤδη εἰς τὰ ἔθνη δεδημοσιευμέναι» (δηλονότι τῶν Ο!) (α). – Μύθους ἀποφαίνεται τὴν Σωσάνναν καὶ τὰς λοιπὰς περικοπὰς τοῦ Δανιὴλ (καὶ τὰς τῆς Ἐσθὴρ, ἃς λέγει παρυφὰς, ἀποκόπτει)· καὶ πάλιν ταύτην τὴν γνώμην οὐχ ὡς ἰδίαν ἑαυτοῦ προσποιεῖται, ἀλλ᾽ εἰς τοὺς Ἰουδαίους ἀποῤῥίπτει (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 640). – Καὶ τὰ *Ἀναγινωσκόμενα* δὲ ὡς ἀπόκρυφα καὶ ἄκυρα καὶ ἄγνωσα τοῖς ἰουδαίοις ἐκσυρίξας, ἔπειτα τὴν Ἰουδεὶθ καὶ τὸν Τωβὶτ κατέταξεν ἐν τοῖς *Ἁγιογράφοις*, κἂν τῇ Α΄ Οἰκουμενικῇ Συνόδῳ κυρωθεῖσαν λέγει τὴν Ἰουδεὶθ (ὄπισθ. σελ. 125). Συγχωρεῖ δὲ τοῖς βουλομένοις καὶ τὴν Σοφίαν τοῦ Σολομῶντος τιμᾷν, ἣν καὶ αὐτός ποτε διώρθωσεν ἐν τῇ λατινικῇ Ἰτάλᾳ (κατὰ τοὺς Ο)· «οὐ γὰρ (λέγει) συῤῥάπτομεν νέα, ἵνα καταστρέψωμεν τὰ παλαιά» (Προλ. εἰς τὰ Βιβλ. Σολομ.)· καὶ αὐτὸς ἐκ τῆς Σοφίας καὶ ἐκ τῶν Μακκαβαίων ἐκφέρει μαρτυρίας, ὡς ἐκ θείας Γραφῆς. – Ἀνακηρύττει στεντορείως, ὅτι ἡ ἐν τοῖς Ἑξαπλοῖς ἔκδοσις αὐτή ἐστιν ἐκείνη ἡ γνησία τῶν Ο ἑρμηνεία, τελεία καὶ ἀμώμητος ἐκδεδομένη· πᾶν δὲ τὸ πρὸς αὐτὴν διαφέρον, ἀναμφιβόλως διαφωνεῖ καὶ πρὸς τὴν ἑβραίαν αὐθεντίαν (Ἐπιστ. πρὸς Σούν. καὶ Φρετέλ.). Καὶ πάλιν διατείνεται, ὅτι τὰ κατ᾽ αὐτὸν ἀντίγραφα τῶν Ο, ἦσαν διεφθαρμένα (προλ. εἰς Παραλειπ.)· καὶ πρὸς τούτοις, ὅτι ὁ Ὠριγένης προσθεὶς τοὺς ὀβελοὺς καὶ τοὺς ἀστερίσκους, διέφθειρε τὴν γνησίαν ἑρμηνείαν τῶν Ο, (Ἐπις. πθ΄ πρὸς Αὐγουστῖν.). – *Ἑβραίαν ἀλήθειαν* ὀνομάζει τὸ ἑβραϊκὸν κείμενον οὐ μόνον τὸ ἀρχαῖον, ἐξ οὗ οἱ Ο μεθηρμήνευσαν, ἀλλὰ καὶ τὸ ἐξ οὗ μετέφραζεν αὐτὸς, ὡς καὶ τοῦτο ταὐτὸν ἐκείνῳ καὶ ἀπαράλλακτον, καὶ αὐθεντικὸν, καὶ γνή-

(α) Quaest. Hebr. in Genes. c. 45. T. 1. p. 1343.

σιον ἐν πᾶσι καὶ ἄχραντον τετηρημένον. καὶ πάλιν ὁμολογεῖ τοὺς Ἰουδαίους οἵους τε ὄντας διαφθείρειν κατὰ τόπους τὸ ἑβραϊκὸν κείμενον διὰ μοχθηρίαν (α). - Μόνην, λέγει, τὴν Πεντάτευχον ὅτι μεθηρμήνευσαν οἱ Ο (εἰς ἄλλους, ὡς εἴωθεν, ἀναφέρων τὴν γνώμην. βλ. ὄπισθεν Βιβλ. Β. σελ. 414, 467)· καὶ πάλιν ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ, καὶ τῶν προφητῶν, καὶ πάντων τῶν λοιπῶν τῆς Γραφῆς τευχῶν τὴν ἑρμηνείαν εἰς τοὺς Ο διαῤῥήδην ἐπιγράφει, καὶ ἀποδίδωσιν ὁμολογουμένως· καὶ τὴν ἱστορίαν δὲ τοῦ Ἀριστέου μνημονεύει, ὡς πιστὴν καὶ ἀληθινήν. Τελευταῖον, ἔγραψε περὶ τῶν Ο, ὅτι ἦσαν ψιλοὶ καὶ συνήθεις ἑρμηνευταί, μηδὲν τῶν κοινῶν μεταφραστῶν διαφέροντες· πολλαχοῦ δὲ καὶ καθάπτεται τούτων ὡς πλανηθέντων περί τε τὴν ἀνάγνωσιν τῶν λέξεων καὶ τὴν ἑρμηνείαν. Ἔστι δ' ἃ καὶ μὴ κατανοήσαντας αὐτοὺς λέγει, καὶ ὅτι ταῦτα *κάλλιον* ἐνόησε καὶ μετέφρασεν *αὐτὸς* (Προλόγῳ εἰς Πεντάτευχον) (α). Καὶ ὅμως αὐτὸς οὗτος πάλιν ὁ μακάριος ἀλλαχοῦ, μεμνημένος νό-

---

(α) Οἷον εἰς τὸ « ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς . . γεγραμμένοις » (Δευτερ. κζ 26), ὅπου ἐξεῖλον τὸ π ᾶ σ ι (ὑπομν. εἰς Γαλατ. γ). Καὶ τὰς ια, κώμας ἐκ τοῦ ιε, κεφ. τοῦ Ἰησοῦ (εἰς Μιχ. ε). Καὶ περὶ τοῦ Ἀ χ ο ὺ (ὡς γράφεται ἑβραϊστὶ ἐν Γεν. μα. τὸ παρὰ τοῖς Ο, ἄ χ ι) διεφθαρμένον ἐν τούτῳ λέγει τὸ ἑβραϊκὸν (Ζητήμ. ἑβρ. εἰς Γένεσ.), καὶ ἄλλας δέ τινας ἐλλείψεις ὡμολόγησε. βλ. Βιβλ. Γ. σελ. 99, 100, 553, 968.

(β) Ὁ σοφὸς Ὅδιος καταγράφων ἄσμενος ὅσα περὶ τῶν Ο περιπαθέστερον ἔγραψεν ὁ μακάριος Ἱερώνυμος, προσέθηκεν ὡς ἐξ αὐτοῦ τοῦ Ἱερωνύμου καὶ τὴν ἑξῆς μαρτυρίαν. « Com. in Ezech. L. 10. ait (Hieron.) suos calumniatores, si quid de LXX. translatione subtraxerit, se sacrilegum et absque timore Domini vociferari, m a x i m e M a n i c h æ o s, q u o n i a m h o r u m e r r o r i b u s LXX m a g i s q u a m H e b r a i c a v e r i t a s f a v e r e v i d e b a n t u r ». τουτ. « Λέγει ὁ Ἱερώνυμος, ὅτι οἱ συκοφαντοῦντες αὐτὸν, εἴ τι ὑφέλοιτο ἐκ τῆς ἑρμηνείας τῶν Ο, ἱερόσυλον καὶ ἀθεόφοβον αὐτὸν καταλαλοῦσι, μ ά λ ι σ τ α ο ἱ Μ α ν ι χ α ῖ ο ι· τ ο ύ τ ω ν γ ὰ ρ τ α ῖ ς π λ ά ν α ι ς ο ἱ Ο μ ᾶ λ λ ο ν, ἤ π ε ρ ἡ ἑ β ρ α ϊ κ ὴ ἀ λ ή θ ε ι α, συντρέχοντες ἐφαίνοντο » (Hody p. 386). Ἀλλ' ἴδε τί λέγει ὁ Ἱερώνυμος αὐτός. « Sed quid faciam calumniatoribus meis : qui, si quid de LXX interpretum translatione substraxero, me sacrilegum et absque timore Domini vociferantur; maxime qui cum in fidei veritate discordent, et M a n i c h æ o-

μων πατρῴων, καὶ γνωσιμαχῶν, πολὺ πρὸς τοὺς Ο σέβας, καὶ τὴν ὀφειλομένην ἀπένειμε τιμήν. – «Ἐγώ (φησι) κατεῖπόν τι κατὰ τῶν Ο; οὓς πρὸ χρόνων ἤδη πολλῶν ἐπιμελέστατα διορθώσας» (τουτέστι τὴν ἐκ τῶν Ο. λατινικὴν Ἰτάλαν), «ἐξέδωκα τοῖς ὁμογλώσσοις μου σπουδασταῖς; οὓς καθ' ἑκάστην ἀπαγγέλλω ἐν τῇ συνάξει τῶν ἀδελφῶν (ἐν τῇ Ἐκκλησίᾳ); ὧν τοὺς ψαλμοὺς μετὰ μελέτης διηνεκοῦς ψαλμῳδῶ; Οὕτω γέγονα ἄφρων, ὥστε, ὅ,τι ἐκ παιδὸς ἔμαθον, τούτου γέρων ἤδη ἐπιλαθέσθαι ἐθέλειν;» (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 466). Ὑποσυνάπτει δὲ καὶ ὅτι «τὴν μετάφρασιν ἐξεπόνησεν, οὐχ ἵνα τὴν ἀρχαίαν (τῶν Ο) ἐξελέγξῃ, ἀλλ' ὅπως τὰ κατ' αὐτὴν ἀσαφέστερα, ἢ παραλειφθέντα, ἢ κατά τινα πλημμέλειαν πάντως τῶν ἀντιγραφέων διαφθαρέντα, σαφέστερα γένωνται διὰ τῆς κατ' αὐτὸν ἑρμηνείας» (Ἀπολογ. Β'. πρὸς Ῥουφῖν. σελ. 760, 764). Ἀλλαχοῦ δὲ πάλιν καὶ πρὸς τὸ παράδειγμα τῶν Ὠριγένους Ἑξαπλῶν λέγει φιλοπονηθεῖσαν ὑπ' αὐτοῦ τὴν μετάφρασιν, ὅπως ἀντ' ἐκείνων, δυσπορίστων ὄντων, ἔχωσιν αὐτὴν οἱ Λατῖνοι, πρὸς λύσιν τῶν προσπιπτουσῶν ἀποριῶν (τουτ. ὡς μελέτημα φιλολογικὸν, ἀλλ' οὐχὶ καὶ πρὸς χρῆσιν ἱερὰν ἐν τῇ Ἐκκλησίᾳ) (α). Τὴν δὲ τῶν Ο ἑρμηνείαν ἀνακηρύττει δεδη-

rum sequantur errores, in eo imperitiorum animas commovent, si de veteri quippiam monstrare potuerint mutatum consuetudine (S. Hieron. L. 10. Comm. in Ezechiel c. XXXII. 17. p. 889. Tom. 2. Paris. 1609). ἤτοι. «Ἀλλὰ τί ποιήσω τοῖς ἐμοῖς συκοφάνταις; οἵ γε, ἐάν τι τῆς τῶν Ο ἑρμηνείας ὑφέλω, ἱερόσυλόν με καὶ ἀθεόφοβον καταλαλοῦσι, καὶ μάλιστα, ὅσοι πρὸς τὴν ἀλήθειαν τῆς πίστεως διαφωνοῦντες, καὶ ταῖς τῶν Μανιχαίων πλάναις ἀκολουθοῦντες, ἐν τούτῳ συνταράσσουσι τὰς ψυχὰς τῶν ἀμαθεστέρων, ἐάν τι δυνηθῶσι δεῖξαι παρηλλαγμένον τῆς παλαιᾶς συνηθείας». Καὶ βλέπεις λοιπὸν, ἀναγνῶστα, πῶς ἡ ἀναιδὴς τοῦ Οἰκονόμου γραφὶς, παραχαράξασα τὴν Ἱερωνύμου χρῆσιν, ἐσυκοφάντησε τὸν μακάριον Ἱερώνυμον, ὡς εἰπόντα μάλιστα τοὺς Ο συντρέχοντας τῇ πλάνῃ τῶν Μανιχαίων! Τοῦτο δ' ἂν εἴη τὸ αὐτὸ, ὡς ἂν εἴ περ ἔλεγε καὶ τοὺς Ἀποστόλους ὁμοίως συμβάλλοντας τοῖς αἱρετικοῖς, διότι κἀκείνων ταῖς θείαις φωναῖς καταχρῶνται πολλάκις οἱ δυσσεβεῖς πρὸς ἀπόδειξιν τῆς ἑαυτῶν κακοδοξίας.

(α) Præf. in Josua, καὶ Præf. in Esdram. καὶ Præf. in Esai. etc.

μοσιευμένην καὶ κρατοῦσαν εἰς πᾶσαν τὴν οἰκουμένην (εἰς Ἡσαΐ. βιβ. ιη). Καὶ τὴν χρονολογίαν τῶν Ο, ἀποδέχεται· « *Οὔπω ἓξ χιλιάδας ἐτῶν ἀπὸ κτίσεως κόσμου* μέχρις αὐτοῦ (τῷ 400, μ. Χ.) *πληρωθείσας* » ὁμολογῶν (Ὑπομν. εἰς τὴν πρὸς Τίτ. α). Ὀνομάσας δὲ τὸν Ἡσαΐαν εὐαγγελιστὴν μᾶλλον, ἢ προφήτην (ὡς πάντα τὰ μυστήρια τῆς τοῦ Χριστοῦ Ἐκκλησίας λίαν ἐναργῶς, ὡς ἂν ἤδη γεγονότα, προφητεύσαντα), καὶ θεωρήσας τοὺς Ο περί τινα τοῦ προφήτου χωρία διαφέροντας τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ, ἐπιφέρει· « Ἐντεῦθεν συμπεραίνω, ὅτι οἱ Ο οὐκ ἠθέλησαν *τὰ μυστήρια τῆς ἰδίας αὐτῶν πίστεως* σαφῶς παραδοῦναι τοῖς ἐθνικοῖς· ἵνα μὴ βάλωσι τὰ ἅγια τοῖς κυσὶ, καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων » (Προλόγ. εἰς Ἡσαΐ. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 817). Καὶ ὁμολογεῖ λοιπὸν τοὺς Ο συνδραμόντας τῷ προφητικῷ πνεύματι, καὶ διϊδόντας, ὡς ἐν αἰνίγματι, τὰ προφητευθέντα μυστήρια τῆς πίστεως! Εἶπε δὲ καὶ ἀλλαχοῦ, ὅτι οἱ Ο ἑρμηνεῖς μετὰ τοὺς Ἀποστόλους, καὶ τοὺς Προφήτας τὸν ἔσχατον ἐπέχουσι βαθμὸν (Προλόγ. εἰς Πεντάτ. Τόμ. α. σελ, 1019). Καὶ τέλος, ἀνεκήρυξεν, ὅτι « οἱ Ο, ὡς *πλήρεις ἁγίου Πνεύματος*, τὰ ἀληθῆ μεθηρμήνευσαν » κτλ. (α).

Ταῦτα γράφομεν περὶ τοῦ μακαρίου Ἱερωνύμου, μηκύναντες τὸν λόγον, οὐχ ἵνα ψέξωμεν τὴν ἀοίδιμον μνήμην τοῦ φερωνύμου διδασκάλου τῆς εὐσεβείας, ἀλλ' ὅπως ἀπαντήσωμεν πρὸς τοὺς περὶ τὸν Ὅδιον σοφοὺς, οἵτινες ἡμῖν συχνάκις ἐπισείουσι τὰς παραδόξους γνώμας τῆς ἀνθρωπίνης τοῦ Πατρὸς ἀσθενείας, ὡς κύρβεις θεσφάτων θεσμῶν, ἐξαίροντες ἐν τούτοις δὴ καὶ μόνοις τὸν Ἱερώνυμον, ὡς ἥρωα τῆς ἀρχαίας παλαίστρας τῆς κριτικῆς, ὑπερβάντα καὶ καταπατήσαντα (καθὰ λέγουσι) τὴν ἀρχαίαν καὶ ψευδῆ περὶ τοῦ θείου κύρους τῶν Ο δοξασίαν! (δηλονότι τὴν ἱστορικὴν καὶ ἀποστολικὴν παράδοσιν, καὶ δι-

(α) S. Hieron. præf. in Paralip. πρβλ. Vossij de LXX. cont. Hulsium. - Morin. Exercit. I. L. 1. c. 1. - D'Espieresium, (De LXX. Int. Disp. 2. Dub. 10), Bellarminum (De verb. Dei II. 6), Middendorpium, Serarium, καὶ ἄλλους τῶν Δυτικῶν παρ' αὐτῷ Ὀδίῳ σελ. 364.

δασκαλίαν ἁπάσης καθόλου τῆς τοῦ Χριστοῦ Ἐκκλησίας). Ἡμεῖς δὲ τιμῶμεν τὸν Ἱερώνυμον πανευλαβῶς, καὶ γνησίως, καὶ λίαν εἰλικρινέστερον παρὰ τοὺς λοξοὺς αὐτοῦ ἐπαινέτας, ὡς προείπομεν (Βιβλ. Β. σελ. 389), καὶ μακαρίζομεν αὐτὸν ἐν πᾶσιν οἷς ἐλάλησεν ὀρθῶς καὶ ἀξίως ἑαυτοῦ, καὶ συμφώνως τοῖς θεοφόροις Πατράσι τῆς Ἐκκλησίας. Καὶ τὴν θεοφιλεστάτην αὐτοῦ πολιτείαν, καὶ τὴν ἐνάρετον ἄσκησιν, καὶ τοὺς ὑπὲρ τῆς πίστεως ἐν λόγοις καὶ ἔργοις ἀκαμάτους καὶ ἀριζήλους ἀγῶνας, καὶ τὸ μακάριον τέλος σεβόμεθα κατὰ χρέος. Μελετῶμεν δὲ καὶ τὰς εὐκλεεῖς αὐτοῦ συγγραφὰς, καὶ τὴν εὐγλωττίαν θαυμάζομεν, εἰ καὶ μὴ τῇ τοῦ Κικέρωνος ἰσοστάσιον (ὡς Ἔρασμος ἐπήνεσεν), ἀλλ' ὅμως εὔρουν, καὶ λαμπρὰν, καὶ μετὰ τοῦ δριμέως ἡδεῖαν, καὶ βρύουσαν ποικίλων καὶ γενναίων ἐνθυμημάτων, καὶ παντοίοις ἄνθεσι τῆς τε θύραθεν καὶ τῆς καθ' ἡμᾶς πολυμαθείας κεκοσμημένην· καὶ αὐτὰς δὲ τὰς κριτικὰς αὐτοῦ γνώμας (ἐφ' ὅσον οὐχ ὑπερπηδῶσι τὰ ἐσκαμμένα) διεξετάζομεν μετὰ τῆς προσηκούσης ἐπιστασίας, καὶ εἴτι συμβάλλοι πρὸς σαφήνειαν τοῦ ἱεροῦ κειμένου τῶν Ο, ἀποδρεπόμεθα προθύμως. Ἀλλ' ἑτέρωθεν διακρίνομεν καὶ τὰς παρατόλμους ὑπερβολὰς, καὶ τὰς ἐμπαθεστέρας κρίσεις, καὶ τὸ τῆς γνώμης ἀστάθμητον, καὶ τὰς ἐξ ἀπάτης παρεκτροπὰς, καὶ τὰ Βαραβανίνεια γνωματεύματα (α). Καὶ τὰ

(α) Ἰδοὺ πῶς ἔκρινε τὸν Ἱερώνυμον καὶ αὐτὸς ὁ σοφώτατος συγγραφεὺς τῆς Δυτικῆς Ἐκκλησίας Ὑέτιος. «Quamuis autem viri pij et orthodoxi officio functus sit, cum agnitos Origenismi errores ejuravit; optabile tamen foret, ut sanctissimus ille doctor (Hieronymus) constantior animo fuisset et moderatior· neque tam facile bili suae fuisset morigeratus, ut in contraria, pro rerum ac temporum ratione trahi se et jactari sivisset; nonnunquam etiam maximos viros amarissimis convicijs perfudisset; fatendum quippe est, jure eum saepe à Ruffino fuisse reprehensum; saepe etiam Ruffinum ab eodem sine caussa fuisse culpatum» (Huet. Origenian. L. II. c. 4. §. 15. p. 205). Ὁ δ' αὐτὸς Ὑέτιος ἀπέδειξεν, ὅτι ὑπῆρξέ ποτε καὶ Ἱερώνυμος τῶν Ὠριγενιστῶν. Ἀλλὰ καὶ αὐτὸς ὁ Πατὴρ ἀπολογούμενος ἔλεγεν «Erravimus Juvenes, emendemur senes» (τουτ. ἐπλανήθημεν νέοι, διορθούμεθα γέροντες). Ὅθεν καί τινες τῶν Ὠριγένους κακοδοξιῶν ἀπέμειναν, οἷον ἀμαυραὶ κηλῖδες, ἐν τοῖς συγγράμμασιν αὐτοῦ (βλ. Huet. ibid. p. 68, 199, 204, 205).

μὲν τοιαῦτα παρορῶμεν, ὡς βλάστην ἀτερπῆ καὶ χαμαίζηλον, ἕρπουσαν ἔνδον ἀμπέλου καλλισταφύλου· ἀσπαζόμεθα δὲ τὰς ἐγκάρπους καὶ ἀμωμήτους καὶ χρυσηλάτους διδασκαλίας. Ἐν ἐκείνοις φαίνεται ἀκράτως *ἄνθρωπος* ὁ Πατὴρ, «*οἷοι δὴ βροτοί εἰσιν*», ἀπάτης παίγνια πολλάκις, ἐν τοῖς νόθοις καὶ *δειλοῖς αὐτῶν λογισμοῖς*· ἐν δὲ ταῖς ἀπτώτοις καὶ εὐαγεστάταις θεηγορίαις ἀναδείκνυται θεσπέσιος τῆς ἀληθείας διδάσκαλος, ὑπὸ τοῦ φωτὸς τῆς ἄνωθεν σοφίας ἐλλαμπόμενος, ὡς καὶ πάντες οἱ μεγάλοι καθηγεμόνες καὶ φωστῆρες τῆς Ἐκκλησίας. Ἔψεξεν, ἔστιν ὅπου, τὴν ἀποστολικὴν τῶν Ο Γραφὴν, ἀπατηθεὶς ὑπὸ τῶν ῥαββίνων, καὶ ψευδῶς ὑπολαβὼν τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν εἰλικρινὲς καὶ ἄχραντον ἐν πᾶσιν, ἐπίσης τῷ ἀρχετύπῳ· τοῦτο, ὡς ἄνθρωπος! Ὡμολόγησε πάλιν τὴν ἀξίαν τῆς ἑρμηνείας τῶν Ο, καθὼς καὶ πρότερον αὐτὴν ὡμολόγει (πρὶν ἢ μαθητευθῇ παρὰ τῷ Βαραβανίνῳ), κυρίαν καὶ γνησίαν, καὶ ἐκ θείας ἐπιπνοίας συγγεγραμμένην ἀνακηρύττων· ταῦτα, ὡς ἄξιος μαθητὴς τοῦ Θεολόγου Γρηγορίου (ᾧ πολλάκις ἀπομνημονεύει τὴν χάριν, ὡς παρ᾽ αὐτοῦ τὴν ἔννοιαν τῶν θείων Γραφῶν διδαχθεὶς), καὶ συνῳδὸς τοῦ θείου χοροῦ τῶν Πατέρων τῆς Ἐκκλησίας. Ὅθεν πολλαχοῦ τῶν ἱερῶν αὐτοῦ λόγων ἐκ τῶν Ο φέρει τὰς μαρτυρίας, καί περ ἄλλως ἐχούσας ἐν τῷ ἑβραϊκῷ. Καὶ ἐν τοῖς ὑπομνήμασι πολλάκις τὰς θεοπνεύστους ῥήσεις τῆς Καινῆς Διαθήκης ἑρμηνεύων, παραβάλλει ὡς ἰσοτίμους πρὸς τὰς προφητικὰς μαρτυρίας τῶν Ο. Καὶ θεωροῦμεν λοιπὸν τὰς σοφὰς συγγραφὰς τοῦ Πατρὸς, ὡς κῆπον ἱερὸν ἐν τοῖς βασιλείοις τῆς Ὀρθοδόξου Ἐκκλησίας πεφυτευμένον, πολλῷ γε τῶν ᾀδομένων ἐκείνων (εἰ θέμις εἰπεῖν) Ἀλκινόου κήπων ἀληθέστερον, καὶ περικαλλέστερον. Ἔνθα θάλλουσι μὲν δένδρα πνευματικῶν ἐννοιῶν μακρὰ καὶ ἀγλαόκαρπα, ψυχὴν τρέφοντα, καὶ φρένας καὶ ἦθος κοσμοῦντα δι᾽ ἀκηράτου διδασκαλίας·

«*Ἐν δὲ δύω κρῆναι, ἡ μὲν τ᾽ ἀνὰ κῆπον ἅπαντα Σκίδναται,*», καθαρὸν καὶ κρυσταλλῶδες προχέουσα τὸ νᾶμα.

«*Ἡ δ᾽ ἑτέρωθεν ὑπ᾽ αὐλῆς οὐδὸν* (ἐκτὸς) *ἵησιν, ὅθεν ὑδρεύονται πολῖται*»

παντοῖοί τινες ἄλλοι, πλὴν τῶν ἀπὸ τῆς πηγῆς τοῦ ζῶντος ὕδατος ὑδρευομένων, καὶ ἀείποτε πολιτευομένων κατὰ τοὺς ἁγίους καὶ πατρῴους τῆς ἀποστολικῆς παραδόσεως θεσμούς.

§. ρλς. Ῥουφῖνος (ὁ καὶ *Τοράνιος* ἐπικαλούμενος), Ἰταλὸς τὸ γένος, τῆς Ἀκυληΐας πολίτης καὶ πρεσβύτερος, ἤκμαζε περὶ τὸ 380, Ἱερωνύμῳ σύγχρονος, καὶ φίλος ἀνέκαθεν, ὡς προείπομεν. Συγχρόνως δὲ καὶ οὗτος ἐν τοῖς Ἱεροσολύμοις διῆγεν, ἐν ταῖς ἱεραῖς ἀσκούμενος μελέταις, καὶ δι' ὅλων κζ ἐτῶν μετὰ τῆς ὁσίας Μελάνης τῆς Ῥωμαίας προϊστάμενος κοινοβίου πεντήκοντα παρθένων μοναζουσῶν. Εἶχε δὲ καὶ τὴν Αἴγυπτον καὶ τὴν Θηβαΐδα πᾶσαν ἔτι πρότερον ἱστορήσας, καὶ τοῖς ἐν Νιτρίᾳ συγγενόμενος ἀσκηταῖς, καὶ Διδύμου τοῦ Ἀλεξανδρέως γενόμενος ἀκουστής. Τά τε περὶ τὴν παιδείαν καὶ οὗτος οὐκ ἔλασσον Ἱερωνύμου τῆς ἑλληνικῆς καὶ λατινικῆς φιλολογίας ἦν ἐγκρατὴς, καὶ μάλιστα τὰ θεῖα πεπαιδευμένος. Ὅθεν δὲ προῆλθε, καὶ μέχρι πόσου προέβη τοῖς φίλοις τούτοις ἀνδράσιν ἡ πρὸς ἀλλήλους διαφορὰ, φαίνεται μὲν καὶ ἐξ ὧν ἑκάτεροι ἔγραψαν κατ' ἀλλήλων ἐν τοῖς περιλειφθεῖσιν αὐτῶν συγγράμμασιν, ἱστορείτωσαν δὲ καὶ οἱ βιογράφοι (α). Τὸν δ' οὖν Ῥουφῖνον ἄγαν ἀμειλίκτως ὁ ζάκοτος ὠνείδισεν Ἱερώνυμος· ἄλλοι δ' ἑκατέροις σύγχρονοι καὶ γνώριμοι, δικαιότεροι φαίνονται περὶ τὸν Ῥουφῖνον. «Ἀληθῶς» (ὁ ἱερός φησι Παυλῖνος, ὁ Νώλης ἐπίσκοπος, Ἱερωνύμῳ μάλιστα φίλος), «ἀληθῶς ἅγιος, καὶ εὐσεβῶς πεπαιδευμένος (ἦν ὁ Ῥουφῖνος), καὶ περί τε τὰ σχολαστικὰ καὶ τὰ σωτηριώδη γράμματα πλούσιος ἑλληνιστὶ καὶ λατινιστί» (β). Καὶ Παλλάδιος ὡσαύτως· «Ὁ εὐγενέστατος, καὶ μονότροφος (ἴσ. γρ. *μονότροπος*), καὶ στιβαρώτατος Ῥουφῖνος· – οὗ γνωστικώτερον καὶ ἐπιεικέστερον ἐν ἀνδράσιν οὐχ εὑρίσκετο» (γ)· μαρτυρεῖ δὲ καὶ Κασσιανός· «Χριστιανικῆς φιλοσοφίας (ἔμπλεως)

(α) Βλ. Cave p. 156, καὶ Du-Pin, Biblioth. T. 3. p. 140, καὶ Εὐγενίου σημ. εἰς Ζοιρνικάβ. τόμ. α. σελ. 355.

(β) Paulin. Nolanus Epist. 6 ad Sever. p. 115. βλ. καὶ τὴν Ἱερωνύμου 13, ἐπιστολὴν ad Paulinum.

(γ) Παλλάδ. Λαυσαϊκ. κεφ. ριθ. βλ. καὶ Νικηφ. Κάλλ. Ἐκκλ. ἱστ. κ. 28.

ἀνὴρ (ὁ Ῥουφῖνος), καὶ τῶν ἐκκλησιαστικῶν διδασκάλων μερὶς οὐκ εὐκαταφρόνητος» (α). Ἐπαινεῖ δὲ τοῦτον μάλιστα καὶ Γεννάδιος ὁ Γάλλος, Μασσαλίας ἐπίσκοπος (τῷ 495), ἐν τῷ καταλόγῳ τῶν Ἐκκλησιαστικῶν συγγραφέων (β), ψέγων ἀνωνύμως τὸν ἀντίζηλον (Ἱερώνυμον)· ὃν καὶ καταλαλητὴν τοῦ Ῥουφίνου ἀποκαλεῖ. Καὶ ἡ Ζ, Οἰκ. Σύνοδος ἐμνημόνευσε τοῦ Ῥουφίνου (πράξ. α)· καὶ ταῦτα μὲν οὕτως. Ἡμεῖς δὲ καὶ πρότερον ἐπιμνησθέντες, οὐδ' ἐνταῦθα παρασιωπήσομεν τὸν ὑπὲρ τῆς ἑρμηνείας τῶν Ο θεῖον τοῦ Ῥουφίνου ζῆλον, ὃν ἐπεδείξατο μάλιςα ἐν τῷ δευτέρῳ τῶν δύω καθ' Ἱερωνύμου Στηλιτευτικῶν (τούτων ὁ δεύτερος μόνον διεσώθη, εἰς δύω βιβλία διῃρημένος, καὶ μετὰ τῶν Ἱερωνύμου συγγραμμάτων συνήθως συνεκδιδόμενος) (γ). Ἄγαν δ' ἐμβριθέσι καὶ πυκνοῖς ἐπιχειρήμασιν ὁ τῷ ὄντι *στιβαρώτατος* Ῥουφῖνος ἐξελέγχει τὸ περὶ τὴν καινοτομηθεῖσαν ἑρμηνείαν τόλμημα τοῦ Δαλμάτου Πατρός. Οὐ πάντῃ δ' ἴσως περιττὸν, ἐξελληνίσαι τινὰ τούτων, καὶ παραθέσθαι τοῖς ἀναγνώσταις, γεύματος χάριν. Πρὸς τί φησι μεταφράζεις; «Μῶν, ἵνα τὰς βίβλους τῶν θείων Γραφῶν, ἃς οἱ Ἀπόστολοι πρὸς πληρεστάτην διδασκαλίαν τῆς πίστεως τῇ τοῦ Χριστοῦ παρέδωκαν Ἐκκλησίᾳ, ταύτας διὰ νέας νῦν καὶ ὑπὸ *τῶν Ἰουδαίων παρηλλαγμένης μεταφράσεως* παραλλάξῃς; Καὶ μὴν ὅσα σὺ τανῦν μεθερμηνεύεις, καὶ *κατ' ἐκκλησίας, καὶ μοναστήρια, καὶ πολίχνια, καὶ φρούρια* διαπέμπεις, ποτέρως ἀποδεξόμεθα, ὡς θεῖα, ἢ ὡς ἀνθρώπινα; Καὶ τί ποιήσομεν, ὁπότε τὰ Προφητῶν καὶ Νομοθετῶν ὀνόμασιν ἐπιγεγραμμένα (λόγια), οἷα παρὰ σοῦ προέρχονται, βεβαιοῦνται ὡς μᾶλλον ἀληθέστερα τῶν ἐγκεκριμένων ὑπὸ τῶν Ἀποστόλων; Τοῦτο δὲ τὸ ἁμάρτημα, ἄγε, λέγε, πῶς ἐπανορθωθήσεται; μᾶλλον δὲ, πῶς τὸ ἄγος καθαρθήσεται; Εἰ γὰρ περὶ τὴν τοῦ νόμου ἑρμηνείαν ἄλλως τι ἐξηγηθὲν, καταδικαστέον τοῦτο κρίνεις· τὸ τὸν νόμον αὐτὸν

(α) J. Cassianus, De incarnat. L. 7. c. 27.

(β) Gennadius, Illustr. viror. catalog. (ἐν τοῖς Ἱερωνύμ. τόμ. α. σελ. 424).

(γ) Βλ. Rufini Invectiva in D. Hieronymum. ἐν S. Hieron. Oper. τόμ. 4. p. 915—957. Paris. 1609.

διαστρέφειν εἰς ἄλλο παρ' ὃ παρέδωκαν οἱ Ἀπόστολοι, ποσάκις καταδικαστέον εἶναι κριθήσεται; Διὰ τί μὴ λαλήσω περὶ τῆς ἀπονοίας τοῦ τολμήματος; Τίς τῶν πρὸ σοῦ γενομένων τοσούτων καὶ τηλικούτων συνετῶν καὶ ἁγίων ἀνδρῶν ἐτόλμησε τοιοῦτον ἐγχείρημα; τίς ηὐθαδιάσατο τὰς ἱερὰς τοῦ παναγίου Πνεύματος φωνὰς καὶ τὰ θεῖα τεύχη περιφρονῆσαι; τίς ἄλλος ἐκτός σου ἐπέβαλε χεῖρα κατὰ τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ κληρονομίας τῶν Ἀποστόλων; Πολὺ πλῆθος (ὡς ἱστόρηται) τῶν ἐκ περιτομῆς πιστευσάντων ὑπῆρχεν ἐξ ἀρχῆς ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ, καὶ μάλιστα ἐν Ἱεροσολύμοις· ἐν δὲ τούτοις ἦσαν πάντως οἱ τελείαν ἔχοντες γνῶσιν ἀμφοτέρων τῶν γλωσσῶν, καὶ τοῦ νόμου ἐμπειρίαν... Τίς οὖν τῶν ἐν τούτῳ τῷ πλήθει πεπαιδευμένων ἀνδρῶν ἐτόλμησε τὴν ὑπὸ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παραδεδομένην Διαθήκην τοῦ Θεοῦ, καὶ τοῦ παναγίου Πνεύματος παρακαταθήκην διασκευάσαι; οὐ γὰρ διασκευάζειν ἐστὶ τὸ μεταποιεῖν τινά, καὶ λέγειν, *διορθοῦσθαι τὰ ἐσφαλμένα*; Πᾶσα ἐκείνη τῆς Σωσάννης ἡ ἱστορία, ἥτις ἁγνείας ὑπόδειγμα παρεῖχε ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις, ὑπὸ τουτουῒ (τοῦ Ἱερωνύμου) ἐκκέκοπται, καὶ ἀπέῤῥιπται καταφρονηθεῖσα. Τῶν τριῶν παίδων ὁ ὕμνος, ὁ κατὰ τὰς πανηγυρικὰς ἡμέρας ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ ψαλλόμενος, ὑπὸ τουτουῒ ἐκ τοῦ οἰκείου τόπου παντελῶς ἀπεξέσθη· καὶ τί δεῖ καθέκαστα μνημονεύειν, ὧν τὸν ἀριθμὸν ἀδύνατον συμπεριλαβεῖν; Ὅτι μὲν οὖν ΟΒ ἀνδρῶν ἑρμηνεία, κατὰ μέρος ἐν δωματίοις ὁμοφώνως ἑρμηνευσάντων, προῆλθεν ἀναμφιβόλως ἐξ ἐπιπνοίας τοῦ παναγίου Πνεύματος, διὸ δεῖ καὶ κῦρος αὐτὴν ἔχειν πολλῷ γε μεῖζον, ἢ τὸ παρ' ἑνὸς ἀνθρώπου, ὑπὸ Βαραββᾶ ἐμπνεομένου, μεταφρασθὲν, περὶ τούτου παρεῶ λέγειν· ἰδοὺ δὲ τί λέγομεν, χάριν παραδείγματος. Δι' ὅλων 24 ἐτῶν ὁ Πέτρος τῆς Ῥωμαίων Ἐκκλησίας προστὰς, ὡς τὰ λοιπὰ τῆς διδασκαλίας, οὕτω καὶ τὰς βίβλους τῆς Γραφῆς αὐτὸς παρέδωκε τῇ Ἐκκλησίᾳ, αἳ καὶ ἐπ' αὐτοῦ καθημένου καὶ διδάσκοντος ἀνεγινώσκοντο. Τί οὖν; ἐξηπάτησεν ὁ Ἀπόστολος Πέτρος τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, βιβλία ψευδῆ καὶ μηδὲν ἀληθείας περιέχοντα παραδούς; καὶ, ἐν ᾧ

τοὺς ἑβραίους ἠπίστατο κεκτημένους τὰ ἀληθῆ, παρὰ τοῖς χριστιανοῖς ἠθέλησεν ἐμφέρεσθαι τὰ ψευδῆ; Ἀλλ' ἴσως ἐρεῖ, ὅτι ἀγράμματος ἦν ὁ Πέτρος, καὶ ᾔδει μὲν τὰς παρ' Ἰουδαίοις βίβλους οὔσας ἀληθεστέρας τῶν ἐν τῇ Ἐκκλησίᾳ, ἀλλ' οὐκ ἠδύνατο ταύτας ἑρμηνεύειν, διὰ τὴν ἄγνοιαν τῆς φωνῆς. Καὶ πῶς; οὐδὲν λοιπὸν ἐνήργει ἐν αὐτῷ ἡ διὰ τοῦ ἁγίου Πνεύματος οὐρανόθεν αὐτῷ καταπεμφθεῖσα πυρίνη γλῶσσα; οὐδ' ἐλάλουν πάσαις γλώσσαις οἱ Ἀπόστολοι; Ἀλλ' ἔστω· δῶμεν ὅτι *Πέτρος ὁ Ἀπόστολος* οὐκ ἠδύνατο ποιεῖν, ὅ,τι μόνος *οὗτος* (ὁ Ἱερώνυμος) ἔπραξε. Περὶ δὲ τοῦ Παύλου τί εἴπωμεν; Μὴ καὶ Παῦλος ἀγράμματος ἦν; *Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, παρὰ τοὺς πόδας τοῦ Γαμαλιὴλ* παιδευθεὶς, ἐν δὲ τῇ Ῥώμῃ ταχθεὶς καὶ αὐτὸς, πῶς οἴει; μὴ οὐκ ἠδύνατο τὰ τῷ Πέτρῳ λείποντα προσαναπληρῶσαι; Καὶ πῶς οὗτοι δὴ, οἱ τοῖς μαθηταῖς *προσέχειν τῇ ἀναγνώσει* παραγγέλλοντες, οὐ παρεῖχον αὐτοῖς καὶ ἀναγνώσεις ἀληθεῖς καὶ διωρθωμένας; Καὶ αὐτοὶ, οἱ κελεύοντες ἡμῖν μὴ προσέχειν μύθοις ἰουδαϊκοῖς καὶ γενεαλογίαις, αἵτινες γεννῶσι μάχας μᾶλλον, ἢ οἰκοδομήν· καὶ πάλιν ἐπιτάττοντες, ἵνα φυλαττώμεθα καὶ παρατηρῶμεν μάλιστα *τοὺς ἐκ περιτομῆς*, πῶς οὗτοι οὐ προεῖδον διὰ τοῦ Πνεύματος, ὅτι ἔσται ποτὲ καιρὸς, μετὰ τετρακόσια σχεδὸν ἔτη, καθ' ὃν ἡ Ἐκκλησία ἐπιγνοῦσα, ὅτι οὐ παρέδωκαν αὐτῇ οἱ Ἀπόστολοι τὴν ἀλήθειαν τῆς παλαιᾶς Διαθήκης, ἔμελλε πέμπειν πρεσβείαν πρὸς οὓς ἐκεῖνοι ἐκάλουν *περιτομὴν*, ἱκετεύουσα καὶ δεομένη, ὅπως αὐτῇ χαρίσωνταί τι καὶ σμικρὸν τῆς παρ' αὐτοῖς ἀποκειμένης ἀληθείας; ὁμολογῆσαι δὲ, καὶ ὅτι δι' ὅλων 400 ἐτῶν ἐπεπλάνητο, καὶ ἠγνόει τὴν ἀλήθειαν; Καὶ ὅτι ἡρμόσθη μὲν ἐξ ἐθνῶν νύμφη τῷ Χριστῷ διὰ τῶν Ἀποστόλων, ἀλλ' οὐ καὶ περιδεραίοις ὁρμίσκοις ἀληθινοῖς ὑπ' αὐτῶν ἐκοσμήθη; Καὶ ᾤετο μὲν ταῦτα λίθους εἶναι πολυτίμους· ἐπειδὴ δὲ κατενόησεν, ὡς οὐκ εἰσὶν ἀληθινὰ ταῦτα δὴ τὰ κοσμήματα, τὰ παρὰ τῶν Ἀποστόλων τοῦ Χριστοῦ αὐτῇ περιτεθέντα, αἰσχύνεται προελθεῖν εἰς τὰ πλήθη, ψευδέσι λίθοις περικεκοσμημένη. Διὸ καὶ παρακαλεῖ (τὴν περιτομὴν), ἵνα κἂν τὸν Βαραββᾶν ἐκεῖνον, οὗ πρῴην κατεφρόνη-

σεν, ὅπως τῷ Χριστῷ νυμφευθῇ, ἐκεῖνον γοῦν ἀποστείλῃ πρὸς αὐτήν· ὅστις, μετά τινος ἀνδρὸς ἐκ τῶν αὐτῆς οἰκείων ἐκλελεγμένου, δυνήσεται τὰ ἀληθῆ κοσμήματα, ἅπερ οἱ Ἀπόστολοι οὐ παρέσχον αὐτῇ, ἀντικαταστῆσαι»!

Καὶ μετ᾽ ὀλίγα (προσθεὶς, ὅτι καὶ παρὰ τῶν ἀπίστων συκοφαντία προστρίβεται τῇ Ἐκκλησίᾳ, ὡς εἴη πεπλανημένη, ἐπειδὰν κἀκεῖνοι μάθωσιν, ὅτι τὰ θεῖα παρ᾽ αὐτῇ νενομισμένα βιβλία διορθοῦνται καὶ μεταβάλλονται ὑπ᾽ ἀνθρώπων· «Οὐκέτι γὰρ δύναται θεῖον εἶναι τὸ παρ᾽ ἀνθρώπων μεταποιούμενον»· ἐπιφέρει), «Ταῦτα ἡμῖν (τοῖς χριστιανοῖς) αὕτη σου ἡ μεγάλη σοφία περιποιεῖ, ἵνα πάντες ἄσοφοι λογιζώμεθα καὶ παρὰ τοῖς ἐθνικοῖς. Οὐκ ἐθέλω σοφίαν, ἣν ὁ Πέτρος καὶ Παῦλος οὐκ ἐδίδαξαν. Οὐκ ἐθέλω ἀλήθειαν, ἣν οὐκ ἐνέκριναν οἱ Ἀπόστολοι. Σὺ αὐτὸς εἶπας, ὅτι μετὰ 400 ἔτη οὐ χρὴ τὰς τῶν Λατίνων ἁπλοϊκὰς ἀκοὰς διαθρυλλεῖσθαι νεωτέρας διδασκαλίας φωναῖς. Νῦν δὲ σὺ πάλιν λέγεις, ὅτι, πᾶς ὃς ἐνόμιζε τὴν Σωσάνναν ἐγγάμοις τε καὶ ἀγάμοις αἰδοῦς παράδειγμα παρασχεῖν, ἐπλανήθη. Οὐκ ἀληθὲς τὸ διήγημα. Καὶ πᾶς ὃς ἐνόμιζεν, ὅτι Δανιὴλ ὁ παῖς, θείου πνεύματος πλησθεὶς, ἐξήλεγξε τοὺς μοιχοὺς πρεσβυτέρους, ἐπλανήθη. Οὐκ ἦν οὐδὲ τοῦτ᾽ ἀληθές. Καὶ πᾶσα Ἐκκλησία καθ᾽ ὅλην τὴν Οἰκουμένην, εἴτε τῶν ἔτι μετὰ σώματος ζώντων, εἴτε τῶν πρὸς Κύριον μεταστάντων, καὶ εἴτε Ὁμολογηταὶ ἅγιοι ἦσαν ἐκεῖνοι, εἴτε καὶ ἅγιοι Μάρτυρες, ὅσοι τὸν ὕμνον τῶν τριῶν παίδων ἔψαλλον ἐν τῇ Ἐκκλησίᾳ τοῦ Κυρίου, πάντες ἐπλανήθησαν, καὶ ἔψαλλον ψευδῆ. Νῦν ἤδη πρὸς ἡμᾶς μετὰ 400 ἐνιαυτοὺς ἡ τοῦ νόμου ἀλήθεια πρόσεισι, τιμῆς ἀγορασθεῖσα ἐκ τῆς Συναγωγῆς.» — Καὶ ἑφεξῆς (ἀποδείξας, πόσον τῶν Ὠριγένους Ἑξαπλῶν διαφέρει τὸ νέαν ἑρμηνείαν ἐκ τοῦ ἑβραϊκοῦ συντάξαι, ἐπάγει). «Ἐκεῖνοι (οἱ Ἰουδαῖοι) σε ἠπάτησαν, ὦ ἀδελφέ μου, πρὶν ὑπὸ τῶν Ἰουδαίων ἀγρευθῇς, φίλτατε! ἐκεῖνοί σε, δι᾽ ὧν ἐξέδωκας σχεδαρίων, τοὺς χριστιανοὺς στιγματίζειν, ἐκεῖνοι μηδὲ τῶν Μαρτύρων φείδεσθαι ποιοῦσιν· ἐκεῖνοί σε κατὰ σαυτοῦ, καὶ ὧν πρότερον ὡς χριστιανὸς ἐξέδωκας συγγραφῶν, ἐναντίαν ἤδη γνώμην ἐπιφέρειν

ἀναγκάζουσι.» κτλ. Ταῦτα καὶ τοιαῦτα (ὧν τινα σφοδρότερα τοῦ δέοντος ἴσως) ὁ ζηλωτὴς Ῥουφῖνος περὶ τῆς Ἱερωνύμου λατινικῆς ἑρμηνείας ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ. Εἰ δ' ἔβλεπεν ὁ ἀνὴρ, οἷον ὕστερον αὐτὸ κατέστησαν οἱ Μασορῖται, τὸ πλεῖστον ἔργον ἀνθρωπίνης χειρὸς (δι' ἃς προσέγραψαν φωνητικὰς στιγμὰς, πρὸς τῇ ψευδεῖ καὶ πολλῶν στοιχείων μεταβολῇ), τί οὐκ ἂν εἶπε, τί δ' οὐκ ἂν ἔγραψεν; Ἀλλ' οἶμαί γε, ὅτι οὐδ' ἂν αὐτὸς ὁ μακάριος Ἱερώνυμος ἐκ τοιούτου κειμένου ἐπεχείρησεν ἐξ ὑπαρχῆς ἑρμηνεῦσαι τὴν Γραφήν. Ἠγάπα δ' ἂν μᾶλλον τὴν, ἐν ᾗ πάντες οἱ πρὸ αὐτοῦ ἱεροὶ Πατέρες τῆς Δυτικῆς Ἐκκλησίας ἐτελειώθησαν ἐν Κυρίῳ, καὶ αὐτὸς ἐνετράφη, καὶ ἐνεγήρασεν (ἑξηκοντούτης γεγονὼς)· καὶ ἐκ τῶν Ο διώρθωσεν, ἀρχέγονον Ἰτάλαν. Ὁ δὲ Ῥουφῖνος καὶ τῶν *Ἀναγινωσκομένων* ὡς ἱερῶν τοῦ Ἐκκλησιαστικοῦ Κανόνος τευχῶν μνημονεύει, ὡς προείπομεν (ὄπισθ. σελ. 146).

§. ρλζ. Αὐρήλιος Αὐγουστῖνος, ὁ ἱερώτατος (τῷ 396), Ἄφρος τὴν πατρίδα, ἐν Ταγάστῃ (ἢ Ταγαστάμῃ) τῆς Νουμιδίας γεννηθεὶς, Ἱππῶνος ἐπίσκοπος (ἐτελεύτα τῷ 430). Τούτου τοῦ μεγάλου τῆς Ἐκκλησίας Πατρὸς περιώνυμος μὲν ἡ σοφία καὶ ἀρετὴ (α), λαμπρὰ δὲ καὶ πλουσία καὶ διαυγὴς ἡ τῆς εὐσεβείας διδασκαλία, ἣν ἐν τοῖς ἱεροῖς αὐτοῦ συγγράμμασιν ἐταμίευσεν, ἀνέκλειπτον θησαυρόν. Συνέγραψε δὲ πάμπολλα, τὰ πάντα λατινιστὶ, καὶ πλείω τῶν ἀπολομένων διεσώθησαν καὶ εἰς ἡμᾶς. Μνημονεύουσι δὲ καὶ ἑλληνιστὶ τοῦ θείου Αὐγουστίνου μαρτυρίας δογματικὰς πέντε Οἰκουμενικαὶ καὶ πνευματέμφοροι Σύνοδοι, ἡ Γ, ἡ Δ (πράξ. β), ἡ Ε (Συν. Συλ. τ. β. σελ. 380), ἡ ς (πράξ. ι), καὶ ἡ Ζ (πράξ. β), καὶ ὁ Θεοδώρητος (ἐν Διαλόγ.).

(α) Μεταξὺ τῶν ἄλλων τοῦ Πατρὸς ἀρετῶν ἐπαινεῖται καὶ ἡ φιλοξενία· φέρεται δὲ καὶ καλὸν αὐτοῦ ἐπίγραμμα, γεγραμμένον ἄνωθεν τῆς τραπέζης, ἐφ' ᾗ τοὺς ξενιζομένους ἐφιλοφρονεῖτο, τὸ ἑξῆς

« Quisquis amat dictis absentum rodere vitam,
Hanc mensam indignam noverit esse sibi». τουτέστιν.

Ὅς φιλέει μύθοισι βίον τρώγειν τὸν ἀπόντων,
Ἴστω τήν δε τράπεζαν ἀνάξιον ἔμμεναι αὐτοῦ.

Καὶ τὸ *Περὶ πόλεως Θεοῦ* κάλλιστον αὐτοῦ σύγγραμμα ἐξελλήνισε Μάξιμος ὁ Πλανούδης (τῷ 1430). Ὡσαύτως καὶ τὰ περὶ τῆς ἁγίας Τριάδος ΙΕ, Βιβλία, ἅτινα σῴζονται χειρόγραφα ἐν τῇ κατὰ τὸν Ἄθωνα ἱερᾷ μονῇ τοῦ Βατοπαιδίου (Νικόδημ. ἐν τῷ Συναξαριστῇ, Ἰουν. ιε), καὶ ἐν τῇ Καισαρικῇ τῆς Βιέννης Βιβλιοθήκῃ (α). Καὶ Δημήτριος δὲ ὁ Κυδώνιος (τῷ 1384) ἐξελλήνισε ΛΖ, Λόγους, καὶ τὸ Ἐγχειρίδιον τοῦ Αὐγουστίνου (β). Ἤδη δὲ καὶ καθ' ἡμᾶς ὁ ἀοίδιμος Εὐγένιος μεθηρμήνευσεν ἑλληνιστὶ Δ, τῶν τοῦ θείου Αὐγουστίνου πονηματίων, ἅπερ εἰς ἓν ἐξέδωκε τεῦχος, *Κεκραγάριον* ἐπιγράψας, πλῆρες θείων ἐννοιῶν, καὶ κατανυκτικώτατον, καὶ κατηγλαϊσμένον διὰ τῆς εὐφραδείας τοῦ σοφοῦ μεταφραστοῦ· ὁ δ' αὐτὸς μεθηρμήνευσε καὶ τὸ *Ψαλτήριον*, ὃ συνέτεμεν ὁ Πατὴρ ἐκ τῶν θείων ἀπανθίσας ψαλμῶν τοῦ Δαβὶδ, χάριν τῆς γεγηρακυίας αὐτοῦ μητρὸς, ἵνα

(α) Καὶ ὁ Βρυέννιος ἔχει χρήσεις ἐκ τοῦ περὶ Τριάδος (τ. α. σελ. 340). Ἐν δὲ ἐν τῇ τῶν Πατέρων Βιβλιοθήκῃ (τόμ. Α. σελ. 548—443. Paris. 1624) ἐκδέδοται τεμάχιον, εἰς τὸν ἱερὸν Αὐγουστῖνον ἐπιγεγραμμένον, ὅ καὶ τοῦτο μετέφρασεν ὁ Πλανούδης ἐκ τοῦ Βιβλίου τοῦ περὶ γνώσεως τῆς ἀληθοῦς ζωῆς. Ἐν δὲ τῷ τεμαχίῳ τούτῳ ὁ θεῖος Αὐγουστῖνος φαίνεται σαφὴς παπιστὴς, διδάσκων τὴν ἐκπόρευσιν τοῦ παναγίου Πνεύματος ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ! Καὶ ὁ ποτὲ ἡμέτερος Βησσαρίων ὁ Καρδινάλις πιστὴν ἐμαρτύρει τὴν ἑλληνικὴν τοῦ τεμαχίου μετάφρασιν, ὡς ἱστορεῖ περὶ τούτου ὁ Παποσέπτης Ἀλλάτιος (de Consensu etc. p. 842). Καὶ ἐμαρτύρει μὲν ἀληθῆ ὁ Βησσαρίων, ἠγνόει δὲ ἄρα ὁ τάλας, ὅτι τὸ πωλούμενον αὐτῷ ὡς Αὐγουστίνου βιβλίον ὑπῆρχεν 730 ἔτεσι νεώτερον ἐκείνου, γέννημα Ὀνωρίου τινὸς Αὐγουστοδινοῦ (Honorii Augustodunensis), ἀκμάσαντος τῷ 1130. Οἱ δὲ παραχαράκται σκότιον φέροντες εἰσεποίησαν τοῦτο τὸ νόθον ἐν τοῖς συγγράμμασι τοῦ θείου Αὐγουστίνου (τόμ. ς. ἐν τῷ παραρτήματι). Ἐξήλεγξαν δὲ τὴν νοθείαν οἱ νεώτεροι, τάξαντες τὸ βιβλίον τοῦτο ἐν τοῖς ὑποβολιμαίοις καὶ μὴ γνησίοις τοῦ Πατρὸς (βλ. Cave τόμ. 2. p. 55). Ἐν τῷ αὐτῷ τόμῳ τῆς Βιβλιοθήκης τῶν Πατέρων (εἰρήσθω δὲ καὶ τοῦτο ἐν παρόδῳ) ἐκδέδοται παράλληλον τῷ ἀνωτέρω, καὶ ἄλλο τεμάχιον ἑλληνιστὶ μεθηρμηνευμένον, ὡς ἐκ τοῦ ἁγίου Ἱλαρίου, Πικτάβων ἐπισκόπου (ὄπισθ. σελ. 123), ὅ καὶ τοῦτο νενόθευται, ἢ καὶ ὅλως πέπλασται, φέρον τὴν αὐτὴν βλασφημίαν· παρασεσημείωται δὲ πρὸς τῷ περισελίδῳ, καὶ ὅτι ἐν τοῖς Ἱλαρίου οὐχ εὑρίσκεται (σελ. 544.).

(β) Βλ. Fabric. Bibl. Gr. T. XI. p. 404, καὶ 684. Harl.

τούτῳ χρῆται προσευχομένη (α). Ὁ δ' οὖν θεῖος Αὐγουστῖνος τὴν ἑρμηνείαν τῶν Ο πολλαχοῦ τῶν αὐτοῦ συγγραφῶν θείαν καὶ κυρίαν ἀνεκήρυξε, καὶ ἐξ αὐτῆς ἐκφέρει τὰς μαρτυρίας· χρῆται δὲ καὶ τοῖς Ἀναγινωσκομένοις ὡς θείαις Γραφαῖς (βλ. ὄπισθ. σελ. 190, 192, κτλ)· καὶ τὴν χρονολογίαν τῶν Ο διατηρεῖ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 783), καὶ κατὰ τὰ ἔτη τοῦ Μαθουσάλα ταύτην δικαιοῖ, τῶν ἀκριβεστέρων μνημονεύων κωδήκων (βλ. αὐτόθ. σελ. 711)· καὶ τὸν ἐκκλησιαστικὸν κανόνα τῶν Γραφῶν διακρατεῖ (βλ. ὄπισθ. σελ. 128). Καὶ τὴν ἱστορίαν τῆς τῶν Ο ἑρμηνείας διηγεῖται συνοπτικώτερον (π. Πόλ. Θεοῦ ιη, 42). Καὶ αὐτὸν δὲ τὸν ἑαυτοῦ γεραίτερον φίλον Ἱερώνυμον ἀπέτρεπε τῆς ἐκ τοῦ ἑβραϊκοῦ νεωτέρας μεταφράσεως. «Ἔγωγε (ἔγραφε πρὸς αὐτὸν) βουλοίμην ἂν πάντως τὰς ἑλληνικὰς καὶ κανονικὰς ὑπὸ σοῦ μεθερμηνευθῆναι Γραφάς, αἳ τὸ κῦρος φέρουσι τῶν Ο. Ἔσται γὰρ καὶ λίαν δεινὸν, ἐὰν ἄρξωνται τὴν κατὰ σὲ (ἐκ τοῦ ἑβραϊκοῦ) ἑρμηνείαν ἐν πολλαῖς Ἐκκλησίαις συχνότερον ἀναγινώσκειν, καθότι διαφωνήσουσι πρὸς τοὺς Ἕλληνας αἱ λατινικαὶ Ἐκκλησίαι. Καὶ μάλιστα, ὁπότε ῥᾳδίως ὁ ἀντιλέγων μεταπείθεται, βίβλου προσκομισθείσης ἑλληνικῆς, τουτέστι διαλέκτου γνωριμωτάτης. Ἐν δὲ τῇ ἐκ τοῦ ἑβραϊκοῦ μεταφράσει, ἐάν τις ὑπό τινος ἀσυνήθους (ἐκφράσεως) ταραχθῇ, καὶ ψεῦδος αὐτῆς καταγνῷ, μόλις, ἢ οὐδέποτ' ἀφίξεται πρὸς τὰς ἑβραϊκὰς μαρτυρίας, ἐξ ὧν ἀποδειχθήσεται τὸ προκείμενον. Κἂν δὲ καὶ ἀφίκηται, τίς ἂν τοσαύτας ἑλληνικὰς καὶ λατινικὰς αὐθεντίας» (ἐνδόξους μαρτυρίας τοῦ κύρους τῶν Ο) «ἀνάσχοιτο καταδικασθῆναι;» (β). Καὶ πάλιν· «Ἐξαιτούμεθα

(α) Περιέχει τὸ Κεκραγάριον α) τὰς Μελέτας τοῦ ἱεροῦ Αὐγουστίνου. β) τὰ Μονολόγια. γ) τὸ περὶ τῆς Χριστοῦ θεωρίας. δ) τὸ περὶ συντριβῆς καρδίας· τούτοις ἐπισυνῆπται καὶ τὸ Ψαλτήριον. Ἐξεδόθη ἐν Λειψίᾳ τῷ 1804, ὑπὸ τῆς τετρακτύος τῶν ἀοιδίμων Ζωσιμάδων.

(β) Ἐπιστολ. 88 (ἐν τοῖς Ἱερων. τόμ. α. σελ. 942). Καὶ διηγεῖται παράδειγμα ταραχῆς ἐπισυμβάσης ἔκ τινος ξενοφανείας τῆς νέας μεταφράσεως. Ἔν τινι τῶν ἐν Ἀφρικῇ Ἐκκλησιῶν ἀναγνωσθείσης τῆς Ἰωνᾶ προφητείας κατὰ τὴν Ἱερωνύμου μετάφρασιν (ὅπου ἀντὶ τοῦ κολοκύνθη τῶν Ο, ὁ Ἱερώνυμος ἔγραψε, κατὰ

τοίνυν, καὶ μεθ' ἡμῶν ἅπασα ἡ τῶν Ἀφρικανῶν Ἐκκλησιῶν φιλόσπουδος ἑταιρεία, ἵνα μὴ βαρυνθῇς πᾶσαν φροντίδα καὶ σχολὴν καταβάλλων, ὅπως μεταφράσῃς τὰς βίβλους ἐκείνων (τῶν Ο) οἳ τὰς ἡμετέρας (τῶν Χριστιανῶν) Γραφὰς ἑλληνιστὶ ὡς ἄριστα μεθηρμήνευσαν. Ἄλλως δ' οὐκ ἄν σε βουλοίμην διαπονεῖσθαι περὶ τὸ μεταφράζειν λατινιστὶ τὰς ἁγίας καὶ κανονικὰς Γραφὰς, εἰ μὴ, καθ' ὃν τρόπον μεθηρμήνευσας τὸν Ἰὼβ, σημεῖα προστιθεὶς, δι' ὧν φανήσεται, εἴ τι τῆς σῆς (ἐκ τοῦ ἑβραϊκοῦ) μεταφράσεως διαφέρει τῆς τῶν Ο, ὧν μέγα βρίθει τὸ κῦρος. Οὐ δύναμαι δ' αὐτάρκως θαυμάζειν, εἴ τι κεῖται καὶ νῦν ἔτι λανθάνον ἐν τοῖς ἑβραϊκοῖς γράμμασι καὶ ἀντιγράφοις, μετὰ τοὺς ἐμπειροτάτους ἐκείνης τῆς γλώσσης ἑρμηνεῖς (παραλείπω τοὺς Ο, περὶ ὧν τῆς, εἴτ' ἀπὸ βουλῆς, εἴτ' ἀπὸ θειοτέρου πνεύματος γενομένης συμφωνίας, ὡς ἂν εἴ περ ἦσαν οἱ πάντες εἷς ἄνθρωπος, οὐ τολμῶ βεβαίαν γνώμην εἰς οὐδέτερον τῶν μερῶν ἐπιφέρειν (α). νομίζω δὲ μόνον, ὅτι τούτοις περὶ τοῦτο τὸ ἔργον ἀποδοτέον ἀναντιῤῥήτως τὴν ἔξοχον αὐθεντίαν). Ἐκεῖνοι δέ με (οἱ λοιποὶ ἑρμηνεῖς) κινοῦσι μᾶλλον εἰς ἀπορίαν· εἴ γε, κατόπιν τῶν Ο μεταφράζοντες, καὶ τῶν ἑβραϊκῶν λέξεων καὶ φράσεων τήν τε μέθοδον καὶ τοὺς κανόνας ὀδὰξ (τὸ τοῦ λόγου) κρατοῦντες, οὐ μόνον οὐ συνεφώνησαν πρὸς ἀλλήλους, ἀλλὰ καὶ πολλὰ κατέλιπον, ἅπερ

τὸν Σύμμαχον, κ ι σ σ ὸ ν), διηγέρθη πολὺς θόρυβος ἐν τῷ λαῷ· καὶ ὁ τῆς χώρας ἐπίσκοπος ἐξελαθῆναι κινδυνεύων (ὡς παραχαράκτης τῆς Γραφῆς), ἠναγκάσθη τοὺς ἐκεῖ διατρίβοντας ἰουδαίους ἐρωτῆσαι, ὅπως ἔχει ἡ λέξις ἐν τῷ ἑβραϊκῷ. Ἐκεῖνοι δὲ εἶπον, ὅτι, καθὼς ἔχει καὶ ἐν τῇ ἑλληνικῇ (τῶν Ο), κἂν τῇ λατινικῇ (Ἰτάλᾳ) μεταφράσει (δηλαδὴ κ ο λ ο κ ύ ν θ η ν· οὕτω κἀκεῖνοι ἡρμήνευον τὸ ἑβρ. kikajon, ὅπερ οἱ νεώτεροι ἐξηγοῦσι κ ί κ ι, φυτὸν αἰγυπτιακὸν)· ὥστε ὁ ἐπίσκοπος διώρθωσεν ὡς σφάλμα τὴν λέξιν.- Ἀλλ' ὁ Ἱερώνυμος ἐπὶ τούτοις ὠργίζετο, καὶ πρὸς τὸν Αὐγουστῖνον ἀπήντησε πικρά. Ἐπιστ. 89. σελ. 955.

(α) Οὐκ ἀντιφάσκει ἐν τούτοις πρὸς ἑαυτὸν ὁ ἱερὸς Αὐγουστῖνος, ὅστις ἀλλαχοῦ τὸ θεόπνευστον τῶν Ο διεκήρυξε βεβαίως καὶ ἀποφαντικῶς. ἠρέμα δὲ καὶ πρᾴως ὑπέρχεται τὸν ὀξύχολον φίλον Ἱερώνυμον, περιττὴν τὴν κατ' αὐτὸν ἑρμηνείαν καὶ σφαλερὰν ἐσομένην ἀποδεικνὺς, ὡς φαίνεται ἐν τοῖς ἑπομένοις (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 390).

ἤδη μετὰ τοσοῦτον χρόνον ἐξευρεῖν καὶ ἐξηγήσασθαι δεῖ. Εἰ μὲν γὰρ ταῦτ' εἰσὶ σκοτεινὰ, καίσέ γ' ἂν περὶ ταῦτα σφαλῆναι πιθανόν· εἰ δὲ φανερὰ, περιττὸν τὸ βούλεσθαί σε διασαφῆσαι ἅπερ ἐκείνους οὐκ ἔλαθον. Περὶ ὧν τοίνυν ἐπὶ τούτου τοῦ πράγματος ἐξεθέμην δι' ἀγάπην σου λόγων, πληροφορῆσαί με δέομαί σου» (Ἐπιστ. 8). Καὶ πάλιν· «Τούτου χάριν τῆς ἐκ τῶν Ο (λατινικῆς) ἑρμηνείας ἐπιθυμῶ, ἵνα καὶ τῆς ἀμαθείας τῶν λατίνων μεταφραστῶν (οἵτινες καὶ οἱοιδήποτε ὄντες ἐτόλμησαν ἐγχειρῆσαι τῷ ἔργῳ) κατὰ τὸ δυνατὸν ἀπαλλαγῶμεν (α), καὶ ὅσοι μὲ νομίζουσι τοῖς ὠφελίμοις σου πόνοις φθονοῦντα, ὀψὲ γοῦν, εἴπως ἔγεστιν, ἐννοήσωσιν, ὅτι διὰ τοῦτο οὐ βούλομαι τὴν σὴν ἑρμηνείαν ἐν ταῖς Ἐκκλησίαις ἀναγινώσκεσθαι, μήποτε ὡς ἄλλο τι καινότερον κατὰ τῆς αὐθεντίας τῶν Ο παρεισάγοντες, μετὰ πολλοῦ σκανδάλου διαταράξωμεν τοὺς λαοὺς τοῦ Χριστοῦ, ὧν τά τε ὦτα καὶ αἱ καρδίαι ἐκείνην εἰθίσθησαν ἀκούειν τὴν ἑρμηνείαν, ἥτις ἐνεκρίθη καὶ ὑπὸ τῶν Ἀποστόλων» (Ἐπιστ. 97. σελ. 984). Καὶ ταῦτα μὲν ἐπέστελλε πρὸς τὸν Ἱερώνυμον.

Ἐν δὲ τῷ *Περὶ πόλεως Θεοῦ* (ιη, 43) διαλαμβάνων ἰδίως περὶ τοῦ κύρους τῶν Ο, ἀφ' οὗ τὰς μ. Χ. ἑρμηνείας τῶν περὶ τὸν Ἀκύλαν ἠρίθμησεν, ἐπιφέρει· «Τὴν γεμὴν τῶν Ο, οὕτως ἀποδέχεται ἡ Ἐκκλησία, ὡς ἂν εἰ μία καὶ μόνη αὕτη ὑπῆρχε· καὶ ταύτῃ χρῶνται οἱ Χριστιανοὶ τῶν Ἑλλήνων λαοὶ, ὧν οἱ πλεῖστοι καὶ ὅλως ἀγνοοῦσιν, εἴτις καὶ ἄλλη μετάφρασις ὑφίσταται. Ἐκ ταύτης τῆς ἑρμηνείας τῶν Ο μεθηρμηνεύθη λατινιστὶ καὶ ἣν ἡ λατινὶς Ἐκκλησία διακρατεῖ. Ἀλλὰ καὶ κατὰ τοὺς ἡμετέρους χρόνους ὁ Ἱερώνυμος, σοφώτατος ἀνὴρ, καὶ τῶν τριῶν γλωσσῶν εἰδήμων, μετέφρασε λατινιστὶ τὰς αὐτὰς γραφὰς οὐκ ἐκ τῆς ἑλληνικῆς (τῶν Ο), ἀλλ' ἐκ τοῦ ἑβραϊκοῦ. Καί τοι δὲ τὴν ὑπ' αὐτοῦ πονηθεῖσαν ἑρμηνείαν οἱ ἰουδαῖοι ὁμολογοῦσιν εἶναι ἀληθινὴν, πεπλανῆσθαι

(α) Μετὰ τὴν ἀρχαίαν Ἰτάλαν ἐγένοντο καὶ ἄλλαι διάφοροι ἐκ τῶν Ο λατινίδες ἑρμηνεῖαι οὐ πάντῃ ἀκριβεῖς, περὶ ὧν ἐροῦμεν ἐν τῷ ἐφεξῆς κεφαλαίῳ.

δ' ἐν πολλοῖς τοὺς Ο διατείνονται, ἀλλ' ὅμως αἱ τοῦ Χριστοῦ Ἐκκλησίαι οὐδένα κρίνουσι προτιμητέον τῆς αὐθεντίας τοσούτων ἀνδρῶν, ὑπὸ τοῦ τότε ἀρχιερέως Ἐλεαζάρου πρὸς τὸ τοσοῦτον ἔργον ἐκλεγέντων. Εἰ γὰρ καὶ μὴ ἐν τούτοις ἐφανεροῦτο πνεῦμα θεῖον ἀναμφιβόλως, αὐτοὶ δ' ἀντιπαρέβαλλον πρὸς ἀλλήλους οἱ Ο τὰ ῥήματα τῆς ἑρμηνείας αὐτῶν, ἀνθρωπίνῳ τρόπῳ πεπαιδευμένοι, ἵνα τὸ πᾶσιν ἀρέσαν ἐκεῖνο καὶ κρατήσῃ, καὶ οὕτω πάλιν οὐκ ὤφειλεν εἷς τις ἑρμηνεὺς »(ὡς ὁ Ἱερώνυμος)« τῶν πολλῶν ἐκείνων προτιμᾶσθαι. Ἐπειδὴ δὲ τηλικοῦτον θειασμοῦ σημεῖον ἐν αὐτοῖς ἐπεφάνη, πᾶς τις ἄλλος λοιπὸν ἀληθὴς ἐκείνων τῶν Γραφῶν εἰς οἱανδήποτε γλῶσσαν ἐκ τῆς ἑβραΐδος μεταφραστὴς, ἢ τοῖς Ο συμφωνεῖ, ἢ, εἰ μὴ φαίνοιτο συμφωνῶν, ἐκείνοις ἐνεῖναι τὸ ὕψος τὸ προφητικὸν πιστευτέον. Τὸ γὰρ Πνεῦμα, τὸ τοῖς προφήταις ἐνὸν, ὅτε ταῦτα (τὰ ῥήματα) ἐχρημάτιζον, τοῦτ' αὐτὸ καὶ τοῖς Ο πρεσβυτέροις ἐνῆν, ὅτε ταῦτα μεθηρμήνευον» (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 269). Καὶ πάλιν, ἐν τῷ περὶ *Διδασκαλίας Χριστιανικῆς* (β, 15), πασῶν τῶν τότε φερομένων λατινικῶν ἑρμηνειῶν προτιμητέαν ἀποφαινόμενος τὴν Ἰτάλαν (ὡς μᾶλλον τῶν λοιπῶν ἐχομένην τῆς γραφικῆς λέξεως μετὰ τοῦ σαφοῦς τῆς διανοίας), καὶ διατάσσων τὰς ἐν ταῖς λατινικαῖς ἑρμηνείαις διαφορὰς διορθοῦν πρὸς τὴν ἔχουσαν τὸ κῦρος ἑρμηνείαν τῶν Ο, ἐπιφέρει· «Οὗτοι γὰρ, ὡς ἐν ταῖς σοφωτέραις Ἐκκλησίαις ἁπάσαις ὁμολογεῖται, τοσαύτῃ περιουσίᾳ Πνεύματος ἁγίου μεθηρμήνευσαν, ὥστε τοσούτων ἀνθρώπων τὰ στόματα συνεφώνησαν, ὡς στόμα ἕν ». Μαρτυρεῖ τῶν Ο τὸ θεόπνευστον καὶ ἐν τῷ περὶ *Συμφωνίας τῶν Εὐαγγελιστῶν* (βλ. κεφ. 66. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 899), καὶ εἰς Ψαλμ. οη. Καὶ πάλιν εἰς Ψαλμὸν πζ, ὅπου ἄλλην ἔχει λέξιν τὸ ἑβραϊκὸν, « ἀλλ' ὅμως (λέγει) τῶν Ο τοσοῦτόν ἐστι τὸ κῦρος, ὥστε οὐκ ἀναξίως διὰ τὴν θαυμαστὴν συμφωνίαν θείῳ Πνεύματι μεθερμηνεῦσαι πιστεύονται ». Καὶ εἰς Ψαλμ. ρλς, ἄλλην τοῦ ἑβραϊκοῦ διαφορὰν θεωρῶν, «εἴπερ (λέγει) τοῦτ' ἔστιν ἀληθὲς, πολλῷ δὴ μᾶλλον τοῖς Ο πιστευτέον, οὕτως ἐκ θείου Πνεύματος

μεθηρμηνευκόσι τὴν φωνὴν, δι' οὗ Πνεύματος ἐῤῥέθη καὶ τὸ γεγραμμένον ἐν τοῖς ἑβραϊκοῖς γράμμασι » κτλ. Καὶ ἀλλαχοῦ δὲ σπουδάζει ὁ Πατὴρ τοὺς Ο, ἔνθα ἐγχωρεῖ, διαλλάττειν πρὸς τὸ ἑβραϊκὸν, ὅπερ (τὴν Ἱερωνύμου φράσιν μιμούμενος) καὶ *ἑβραίαν ἀλήθειαν* ἔστιν ὅπου προσηγόρευσεν, ἐννοῶν πάντως ἐκεῖνο τὸ ἑβραϊκὸν κείμενον, ἐξ οὗ μετέφρασαν οἱ Ο. Οὕτω καὶ τὴν ἐκ τῶν Ο, μεθηρμηνευμένην Ἰτάλαν ὠνόμαζε *Λατίναν ἀλήθειαν* (ἐπιστ. 71. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 101). Καὶ αὐτὸ δὲ τὸ σύγχρονον αὐτῷ ἑβραϊκὸν, καί τοι ἄλλως ὑποπτευόμενος ἐν μέρει (διὸ καὶ νέαν ἐξ αὐτοῦ μετάφρασιν ἀπέστεργεν), ἀλλ' ὅμως ὡς θεόπνευστον καὶ ἀληθινὸν *ἔν γε τοῖς καιριωτάτοις* ἐθεώρει. Διὸ καὶ τὸ τῶν Ἰουδαίων ἔθνος ὠνόμαζε πολλαχοῦ « χαρτοφύλακα τῶν χριστιανῶν, νωτοφοροῦντα τὸν Νόμον καὶ τοὺς Προφήτας, εἰς μαρτύριον κυρωτικὸν τῆς Ἐκκλησίας, ἵνα λατρεύωμεν ἡμεῖς διὰ τοῦ μυστηρίου (τῆς πίστεως), ὅσα καταγγέλλουσιν ἐκεῖνοι διὰ τοῦ γράμματος» (α). Καὶ ταῦτα μὲν ὁ θεῖος Αὐγουστῖνος.

§. ρλη. Κατὰ δὲ τὸ 397 ἡ ἐν Καρθαγένῃ Σύνοδος ἐξέδωκε τὸν Ἐκκλησιαστικὸν Κανόνα *τῶν θείων Γραφῶν*, ἐν ᾧ καὶ τὰ *Ἀναγινωσκόμενα* μετὰ τῶν κανονικῶν ὡς ἐπίσης ἅγια καὶ θεόπνευστα συνηρίθμησε, καθὼς *παρέλαβε παρὰ τῶν Πατέρων*. Καὶ ἐν τῇ προλαβούσῃ δὲ (τῷ 395) ἐν Ἱππῶνι Συνόδῳ (ἐν ᾗ καὶ Αὐγουστῖνος παρῆν) ἡ τῶν Ἀφρικανῶν Ἐκκλησία θεῖα βιβλία ῥητῶς ἀνεκήρυξε καὶ τὰ *Ἀναγινωσκόμενα*, κατακρίνουσα σιωπηλῶς τὴν Ἱερωνύμου γνώμην, ὡς *ἀπόκρυφα* τὰ τεύχη παρεξωθοῦντος, ἐν ᾗ τότε διεπόνει ἐκ τοῦ ἑβρ. μεταφράσει· διέπεμπε δὲ ταύτης σχεδάρια *κατ' Ἐκκλησίας καὶ μοναστήρια καὶ πολίχνια* (ὡς λέγει πρὸς αὐτὸν ὁ Ῥουφῖνος ἀνωτέρω, καὶ ὡς φαίνεται καὶ ἐξ ὧν ἔγραφε πρὸς τὸν αὐτὸν ὁ θεῖος Αὐγουστῖνος). Περὶ τούτων εἴπομεν καὶ προλαβόντως (σελ. 123—128).

(α) S. August. contr. Faust. Manich. XII, 23. XIII. 10. XVI. 21. καὶ ἐν Psalm. 56. 58. καὶ Epist. 3. ad Volus. καὶ De Civit. Dei XVIII, 46. πρβλ· καὶ ὄπισθ. Βιβλ. Α. σελ. 56 καὶ Γ. σελ. 6, 1015.

§. ρλθ. Ἰωάννης ὁ ΧΡΥΣΟΣΤΟΜΟΣ, Ἀντιοχείας τῆς αὐτοῦ πατρίδος πρεσβύτερος, εἶτα δὲ (τῷ 397) Κωνσταντινουπόλεως πατριάρχης (ἐγεννήθη τῷ 354· ἐκοιμήθη ἐν Κυρίῳ τῷ 407) (α). καὶ οὗτος ὁ Οἰκουμενικὸς τῆς Ἐκκλησίας διδάσκαλος, ὁ χρυσοῤῥόας ποταμὸς τῆς θείας σοφίας, ὁ *πᾶσαν Παλαιάν τε καὶ Νέαν ἐξηγησάμενος Γραφὴν*, καὶ συνάμα Βασιλείῳ τῷ Μ. καὶ Γρηγορίῳ τῷ Θεολόγῳ τὴν μεγάλην τριάδα τῶν ὑπερμεσοῦντος τοῦ Δ, αἰῶνος διαλαμψάντων *φωστήρων τῆς τρισηλίου Θεότητος* ἀπαρτίζων, μίαν καὶ αὐτὸς οἶδε θείαν τῆς Παλαιᾶς Γραφῆς ἑρμηνείαν, τὴν τῶν Ο. Διηγεῖται συντόμως τὴν ἱστορίαν τῆς μεταφράσεως, καὶ θείαν οἰκονομίαν τὸ μέγα τοῦτο ἔργον ἀνακηρύττει (ἴδε τὴν χρυσῆν περικοπὴν ἐν τῷ παραρτήματι. βλ. καὶ ὄπισθ. Βιβλ. Α. σελ. 285, 623). Διαγράφει δὲ καὶ τὴν ἐν τῷ ἑρμηνεύειν θαυμαστὴν τῶν Ο *συμφωνίαν*· (ὅθεν καὶ τὸ θεόπνευστον αὐτῶν συνακολουθεῖ), καὶ τούτους μάλιστα πάντων τῶν μ. Χ. ἑρμηνευτῶν *ἀξιοπίστους* μόνους ἀποφαίνεται, λέγων (εἰς Ματθ. Ὁμιλ. ε)· «Πρῶτον μὲν ἐκεῖνο ἐροῦμεν· ὅτι τῶν ἄλλων μᾶλλον ἁπάντων τὸ ἀξιόπιστον οἱ Ο ἔχοιεν ἂν δικαίως. Οἱ μὲν γὰρ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ἡρμήνευσαν, ἰουδαῖοι μείναντες, καὶ δικαίως ἂν ὑποπτεύοιντο, ἅτε ἀπεχθείᾳ μᾶλλον εἰρηκότες, καὶ τὰς προφητείας συσκιάζοντες ἐπίτηδες. Οἱ δὲ Ο πρὸ ἑκατὸν» (ἴσ. γρ. τριακοσίων· βλ. ὄπισθ. Βιβλ. Α. σελ. 285, καὶ Βιβλ. Β. σελ. 565), «ἢ καὶ πλειόνων χρόνων τῆς τοῦ Χριστοῦ παρουσίας ἐπὶ τοῦτο ἐλθόντες, καὶ τοσοῦτοι ὄντες, πάσης τοιαύτης εἰσὶν ὑποψίας ἀπηλλαγμένοι· καὶ διὰ *τὸν χρόνον, καὶ διὰ τὸ πλῆθος, καὶ διὰ* ΤΗΝ ΣΥΜΦΩΝΙΑΝ μᾶλλον ἂν εἶεν πιστεύεσθαι ἄξιοι» (β). Εἰ δὲ τοὺς μ. Χ. ἑρμηνευτὰς ὑπόπτους ὁ Πατὴρ

(α) Βλ. Fabric. Bibl. Graec. T. VIII. p. 455. Harl.

(β) Ὁ δὲ σοφὸς Ἔρασμος, «οὐδὲν (φησι) θαυμαστὸν, εἴπερ ὁ Χρυσόστομος τοὺς Ο ἑρμηνευτὰς προετίμα τῶν ἄλλων, ὡς ὑπόπτων καὶ ἀσεβῶν· ἀλλ᾽ οἶμαί γέ (φησιν), ὅτι ὅδ᾽ αὐτὸς καὶ τοὺς Ο δευτέρους ἂν ἐτίθει, εἴ τις ὀρθόδοξος τῶν γλωσσῶν καὶ τῆς ἁγίας Γραφῆς ἐπιστήμων, ἐξ ἀντιβολῆς τῶν μάλιστα διωρθωμένων τῆς Παλαιᾶς Γραφῆς (ἑβραϊκῶν) κωδήκων, ἀποκαθίστα ἡμῖν τὴν ἑρμηνείαν τῶν Γραφῶν, οἷος ἡμῖν ὑπῆρξεν ὁ Ἱερώνυμος» (Erasm. Apol. cont. Latom.).

ἔκρινε (καὶ δικαίως), ὡς μισοχρίστους καὶ διαφθείροντας τὸ νόημα τῶν Γραφῶν, μόνον λοιπὸν κανόνα τῆς ἀληθείας ἐπρέσβευε τὴν ἑρμηνείαν τῶν Ο. (καὶ αὐτὸ δὲ τὸ μ. Χ. ἑβραϊκὸν οὐκ ἂν ἠδύνατο πιστὸν καὶ γνήσιον θεωρεῖν, καθ' ὅσα καὶ τοῦτο τοῖς ἄλλοις ἑρμηνευταῖς συμφωνοῦν, ἀντιλέγει τοῖς Ο.). Ὅθεν τῶν ἄλλων τούτων ἑρμηνευτῶν ἐνίοτε μνημονεύων, εἴ τί που διάφορον εἶπον τῶν Ο, κανονίζει τοῦτο πρὸς τὴν ἑρμηνείαν ἐκείνων. Οὕτως ἐξελέγχων τὸ «Ἰδοὺ ἡ νεᾶνις» ὡς στρεβλὴν ἐξήγησιν τῶν περὶ τὸν μισόχριστον Ἀκύλαν, ἔπειτ' ἐπήγαγεν· «Εἰ δὲ καὶ τὴν ἐκείνων παράγοιεν μαρτυρίαν οἱ Ἰουδαῖοι, καὶ οὕτω τὰ νικητήρια παρ' ἡμῖν· καὶ γὰρ [καὶ] τὸ τῆς *νεανιότητος* ὄνομα ἐπὶ τῆς παρθενίας εἴωθεν ἡ γραφὴ τιθέναι» (αὐτόθ. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 713) (α). Ἄλλοτε δὲ (οἷον ἐν τοῖς εἰς τοὺς Ψαλμοὺς καὶ τὸν

Ταύτην δὲ τὴν ἐράσμιον γνώμην καὶ Ὄδιος ἐπανέλαβεν. Ἀλλ' (ὡς ἔοικεν) ἐπελάθοντο οὗτοι, ὅτι συνεχρόνισε τῷ θείῳ Χρυσοστόμῳ, νεωτέρῳ γεραίτερος, ὁ μακάριος Ἱερώνυμος· καὶ ἀνέγνω τοὺς περὶ ἱερωσύνης λόγους τοῦ πρεσβυτέρου τῆς Ἀντιοχείας Ἰωάννου (αὐτοῦ δηλονότι τοῦ Χρυσοῤῥήμονος), ὡς αὐτὸς ὁμολογεῖ (ἐν τῷ Καταλόγῳ. §. 139), προστιθείς, καὶ ὅτι «πολλὰ συγγράψαι λέγεται (ὁ Χρυσόστομος). Κατὰ τὸν αὐτὸν δὲ χρόνον ὁ Δαλμάτης Πατὴρ εἶχεν ἤδη πᾶσαν σχεδὸν (πλὴν ὀλίγων τευχῶν) τὴν ἑρμηνείαν ἀπαρτίσας, καὶ πολλαχοῦ τῆς Δύσεως διακοινώσας. Ἤκουσε λοιπὸν καὶ ὁ θεῖος Χρυσόστομος πάντως, ἐν Ἀντιοχείᾳ τῆς Συρίας διάγων, τὴν ἐν τῇ γείτονι Παλαιστίνῃ διαπονουμένην μετάφρασιν τοῦ Ἱερωνύμου· καὶ ὅμως οὐδὲν περὶ αὐτῆς ἐμνημόνευσε, λέγων ἴσως καὶ αὐτὸς περὶ αὐτῆς, ὅ,τι ἔγραφε πρὸς τὸν ἑρμηνευτὴν ὁ θεῖος Αὐγουστῖνος. Καὶ πάντως ὁ σφόδρα τῆς καινοτομίας ταύτης καθαψάμενος Παλλάδιος εἶχε συμφωνοῦντα καὶ τὸν διδάσκαλον αὐτοῦ, τὸν θεῖον Χρυσόστομον, οὗ γέγονεν ἀκροατὴς καὶ ὀπαδός (βλ. ἐφεξῆς §. ρν.).

(α) Μνημονεύει καὶ Ὄδιος ταύτης τῆς ῥήσεως τοῦ Πατρὸς (προσῆλθε γὰρ ὁ κριτικὸς καὶ πρὸς τοῦτον τὸν ἀέναον καὶ καθαρώτατον ποταμὸν τῆς ὑγιοῦς διδασκαλίας, καὶ ἔστη πρὸς ὀλίγον, Τάνταλος διψῶν, καὶ φέρων ὑπὲρ κεφαλῆς ἐπικρεμάμενον τὸν λίθον τῆς πρὸς τοὺς Ο δυσμενείας!)· καὶ τί λέγει περὶ τούτου ὁ σοφός; «Ἰδού, φησι, πόσον κῦρος παρεῖχε καὶ τοῖς ἄλλοις ἑρμηνευταῖς ὁ Χρυσόστομος» (σελ. 320), ὡς δῆθεν ἀποδεχόμενος καὶ τὸ νεᾶνις. Ἀλλ' ἐὰν ὑπάρχῃ κῦρός τινος λέξεως τὸ ταύτην ἐξελέγχειν, ὡς ἐπ' ἀμφιβόλῳ σημασίᾳ δολίως ἐκτεθειμένην, τοῦτο μόνον οἶδεν ἡ ἀκρότης τῆς Ὀδιακῆς κριτικῆς. Ὁ δὲ κοινὸς νοῦς βλέπει καθαρῶς, ὅτι διὰ τοῦτο καὶ μόνον ὁ Χρυσόστομος ἐμνημόνευσε τὸ τῶν Ἰου-

Ἡσαΐαν ὑπομνήμασι) προστίθησιν ἔστιν ὅπου (ἐκ τῶν Ἑξαπλῶν) καὶ τὰς τῶν ἄλλων ἑρμηνευτῶν ἀναγνώσεις, χάριν σαφηνείας, ἢ ὡς ἐν παρόδῳ πρὸς εἴδησιν τοῦ ἀναγνώστου, ἁπλῶς ἐκφέρων διὰ τοῦ *ἄλλος* (οἷον, ἐν Ψαλμῷ ρθ, 3, «*ἐν ταῖς λαμπρότησι· ἄλλος, ἐν τῇ δόξῃ*»). Μόνην δὲ τὴν ἐκκλησιαστικὴν τῶν Ο Γραφὴν ἐξηγεῖ, θεόπνευστον ὁδηγὸν καὶ φύλακα τῶν τῆς Ἐκκλησίας δογμάτων καὶ πρεσβεύων καὶ ἀποκαλῶν. Αὐτίκα τὰ τῆς Γενέσεως σαφηνίζων, «Καθ' ἑκάστην (φησὶν) ἡμέραν τὰ ἀπὸ τῶν θείων Γραφῶν νοήματα ἐνιέναι ὑμῶν τῇ διανοίᾳ σπουδάζομεν, ὑποδεικνύντες ὑμῖν καὶ τὰ βλάπτειν δυνάμενα τὸν σπόρον τοῦτον τὸν πνευματικὸν, ὥστε μὴ ἁλῶναι, *μηδὲ τὴν ὑγιῆ τῶν δογμάτων διδασκαλίαν ἐπιθολῶσαι τῇ λύμῃ τῶν ἐπιχειρούντων τὰ ἐκ τῶν οἰκείων λογισμῶν ἐπεισάγειν τοῖς τῆς Ἐκκλησίας δόγμασι* » (εἰς Γένεσ. Ὁμιλ. θ. σελ. 72). Ἀρχόμενος δὲ τῆς ἐξηγήσεως τοῦ ρθ' Ψαλμοῦ, «Διαναστῶμεν (λέγει) παρακαλῶ, καὶ συντείνωμεν ἑαυτούς· καὶ γὰρ περὶ σφόδρα μεγάλων ἡμῖν ὁ Ψαλμὸς διαλέγεται θεωρημάτων»· καὶ ἑξῆς παρίστησι τοῦτον καὶ πρὸς Ἰουδαίους καὶ πρὸς ποικίλας αἱρέσεις παρατάττόμενον, καὶ ἐκ τῶν ψαλμικῶν λογίων, ὡς θείων φωνῶν, τὰ δόγματα τῆς πίστεως ἀποδείκνυσι, «*καὶ τῶν προφητικῶν καὶ ἀποστολικῶν ῥημάτων τὴν συμφωνίαν*» (τόμ. γ. σελ. 278). Καὶ πάλιν ἀλλαχοῦ, «Ἑρμηνεύομέν (φησι) πάντα μετὰ ἀκριβείας,

---

δαίων νεᾶνις (καὶ τοῦτο οὐκ αὐτὸς λέγων, ἀλλὰ πρὸς τοὺς δολίως τοῦτο λέγοντας Ἰουδαίους ἀπαντῶν, καὶ τὴν ἀμφίβολον σημασίαν τῆς λέξεως διορίζων), ἵνα τούτους καὶ ἐξ αὐτοῦ τοῦ πανούργου στόματος αὐτῶν παντελῶς καταῤῥάξῃ, καὶ στήσῃ τὰ νικητήρια τῆς «ἰδοὺ ἡ παρθένος» γνησίας κατὰ τοὺς Ο ἑρμηνείας, ἐξ αὐτῶν πάλιν τῶν Ο ἀποδεικνὺς, ὅτι τὸ νεᾶνις σημαίνει καὶ τὸ παρθένος. Καὶ πειθέτω τὸν Ὅδιον Ὠριγένης, παρομοίως κἀκεῖνος ἐπιχειρήσας καὶ πρὸ τοῦ Χρυσοῤῥήμονος. «Ἐὰν δέ (φησιν) ἰουδαῖος εὑρεσιολογῶν, τὸ, ἰδοὺ ἡ παρθένος, μὴ γεγράφθαι λέγῃ, ἀλλ' ἀντ' αὐτοῦ, ἰδοὺ ἡ νεᾶνις, φήσομεν πρὸς αὐτὸν, ὅτι ἡ μὲν λέξις Ἀλμὰ, ἣν οἱ Ο μετειλήφασι πρὸς τὴν παρθένον, ἄλλοι δὲ εἰς τὴν νεᾶνιν, κεῖται, ὥς φασι, καὶ ἐν τῷ Δευτερονομίῳ ἐπὶ παρθένου» κτλ. (κατὰ Κέλσ. α. §. 34. βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 965).

ἵνα παιδεύσωμεν ὑμᾶς, μηδὲ *βραχεῖαν λέξιν*, *μηδὲ συλλαβὴν μίαν* παρατρέχειν τῶν ἐν ταῖς θείαις Γραφαῖς κειμένων. *Οὐ γὰρ ῥήματά εἰσιν ἁπλῶς, ἀλλὰ τοῦ Πνεύματος τοῦ ἁγίου ῥήματα*· καὶ διὰ τοῦτο πολὺν ἐστι τὸν θησαυρὸν εὑρεῖν *καὶ ἐν μιᾷ συλλαβῇ*» (εἰς Γένεσ. Ὁμιλ. ιέ. σελ. 128). Ὅθεν καὶ ὡς αὐτὰς τὰς αὐτολέκτους ῥήσεις τῶν θεοπνεύστων προφητῶν θεωρεῖ τὰς λέξεις τῶν Ο. «Κάκεῖνο (λέγει, ἐξηγῶν τινας στίχους τῶν Ψαλμῶν), «Κἀκεῖνο τὸ ῥῆμα Δαβιδικὸν, καὶ τοῦτο· μᾶλλον δὲ, οὐδ᾽ ἐκεῖνο Δαβιδικὸν, οὐδὲ τοῦτο, ἀλλ᾽ ἀμφότερα τῆς τοῦ Πνεύματος χάριτος. Ἐφθέγξατο μὲν γὰρ ὁ *προφήτου γλῶσσαν* (ἴσ. γρ. τὴν τοῦ προφήτου γλῶσσαν *κινῶν*) ὁ Παράκλητος· διὰ τοῦτό φησιν «*ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου*»· καθάπερ [γὰρ] ὁ κάλαμος οὐκ ἀφ᾽ ἑαυτοῦ γράφει, ἀλλ᾽ ὑπὸ τῆς ἐξουσίας τῆς κινούσης αὐτὸν χειρὸς, οὕτω δὴ καὶ ἡ γλῶττα τῶν προφητῶν οὐκ ἐφ᾽ ἑαυτῆς ἐφθέγγετο, ἀλλ᾽ ἀπὸ τῆς κινούσης αὐτὴν χάριτος». Καὶ ἐφεξῆς τὸ *ὀξυγράφου* ὡς Δαβιτικὴν φωνὴν ἐξηγεῖ, καὶ πάσας δὲ τὰς ἑλληνίδας λέξεις ὡς ἰδίας τῶν προφητῶν θεωρεῖ, τὸ καὶ κατὰ λέξιν θεόπνευστον τῆς ἑρμηνείας παριστῶν (τόμ. γ. σελ. 714. ἐκδ. Δ.). Ἀλλὰ ῥᾷον ἄν τις ἀριθμήσοι «ὅσα φύλλα καὶ ἄνθεα γίγνεται ἦρος», ἢ τὰς τρανωτάτας περὶ τοῦ θεοπνεύστου τῶν κατὰ τοὺς Ο Γραφῶν μαρτυρίας, ὅσας εἰς τὸν μέγαν καὶ ἀειθαλῆ καὶ θεσπέσιον λειμῶνα τῶν αὐτοῦ συγγραφῶν ἐγκατέσπειρεν ὁ καὶ φράσει, καὶ διανοίᾳ, καὶ περιουσίᾳ παραδειγμάτων πάμπλουτος καὶ πάγχρυσος διδάσκαλος πάσης τάξεως ἀνθρώπων καὶ πάσης τῆς Ἐκκλησίας, ἡ μετὰ Παῦλον (ὡς αὐτὸς τὸν Παῦλον ὠνόμασε) «*χρυσὸν δόκιμον καὶ καθαρὸν ῥέουσα γλῶττα*, καὶ πηγὰς ἔχουσα μέλιτος ἐν τῷ στόματι,-μᾶλλον δὲ, καὶ κηρίου παντὸς ἀποκρύπτουσα τὴν ἡδονὴν τῇ τῆς πνευματικῆς διδασκαλίας γλυκύτητι» (τόμ. γ. σελ. 814. Δ.).

§. ρμ΄. Ἰννοκέντιος ὁ Α, Πάπας Ῥώμης διασημότητος (τῷ 402), Χρυσοστόμου σύγχρονος, καὶ τῶν μαρτυρικῶν αὐτοῦ θλίψεων παρήγορος, καὶ τῶν ἀρετῶν αὐτοῦ καὶ ζῶντος καὶ τελευτήσαντος μεγαλόφωνος κήρυξ, βαρὺς δὲ πολέμιος τῶν παρανόμως κατὰ τοῦ

θείου Πατρὸς κινηθέντων (α). Καὶ οὗτος ὁ Ἰννοκέντιος ἐν τῇ πρὸς Ἐξουπέριον ἐπιστολῇ (β) διεκήρυξε τὸν ἐν Καρθαγένῃ ἐκκλησιαστικὸν κανόνα τῶν βιβλίων τῆς θείας Γραφῆς, ὡς προείρηται ἐν τοῖς προλαβοῦσι (σελ. 127).

§. ρμα. Ἰούλιος ὁ Ἱλαρίων ἔζη καὶ συνέγραφεν, ὡς εἰκάζεται, περὶ τὰ ἔσχατα τοῦ Δ, αἰῶνος (τῷ 397). Τούτου φέρεται λατινιστὶ *Χρονικὸν*, ἢ *Ἐγχειρίδιον περὶ τῆς διαρκείας τοῦ κόσμου* (γ), ἐν ᾧ χρονολογεῖ κατὰ τοὺς Ο, Ἀφρικανῷ παρεπόμενος, ἢ αὐτοῦ τοῦ Ἀφρικανοῦ τὸ Χρονικὸν μεταφράζων (ὡς Οὐόσσιος ὑπενόησε), καὶ Εὐσεβίῳ δὲ τῷ Παμφίλου συμβουλευόμενος (διὸ καὶ παρέλιπε μόνα τὰ ἔτη τοῦ Καϊνᾶν).

§. ρμβ. Ἀστέριος, Ἀμασείας (τῆς ἐν Πόντῳ) ἐπίσκοπος (τῷ 401), συνέγραψε πολλὰ καὶ οὗτος ὁ μακάριος καὶ *φιλάρετος* (ὡς ὁ Φώτιος αὐτὸν ἐπονομάζει, Ἀναγ. σοα). Ὀλίγα δὲ σῴζονται καθ' ἡμᾶς (περὶ ὧν ἡ φιλολογικὴ ἱστορία διαλαμβάνει)· οἷον, Ὁμιλίαι εἴς τε ἄλλας ὑποθέσεις, καὶ εἰς τέσσαρας Ψαλμούς, καὶ ἰδίως δὲ τεμάχια πολλὰ ἐν τῇ τῶν Ψαλμῶν Σειρᾷ ἐκδεδομένα, καὶ ἄλλα δέ τινα εἰς τὴν Ὀκτάτευχον (ἐκδ. Θεοτ.) (δ). Ἐν πᾶσι δὲ τούτοις τὴν ἑρμηνείαν τῶν Ο ὡς ὅλως θείαν Γραφὴν ἐξηγεῖ (βλ. τὴν ὑπὸ Κορδερίου ἐκδοθεῖσαν Σειρὰν τῶν Πατέρων, εἰς τὸν ς, καὶ ζ, καὶ εἰς ἄλλους Ψαλμούς), καὶ ὡς Πνεύματος ἁγίου χρησμοὺς τὰς ἐξ αὐτῆς μαρτυρίας ἐκφέρει· οἷον· «Τὸ Πνεῦμα δὲ τὸ ἅγιον πρὸ πολλῶν γενεῶν

(α) Βλ. τὰς αὐτοῦ τοῦ Χρυσοστόμου πρὸς τὸν Πάπαν Ἰννοκέντιον ἐπιστολάς, καὶ τὰς τούτου πρὸς ἐκεῖνον, καὶ πρὸς ἄλλους, ἐν Συνόδ. Συλλογ. τόμ. α. σελ. 326-330). Τούτων δὲ τῶν Ἰννοκεντίου ἐπιστολῶν ἡ τὸν αὐτοκράτορα Ἀρκάδιον καὶ τὴν Εὐδοξίαν ἀφορίζουσα, διώκεται νοθείας παρὰ τῶν κριτικῶν. Βλ. H. Savilij admonitio de Scriptor. rerum Chrysostom. καὶ Cave l. c. p. 189, 206.

(β) Βλ. Binij Concil. General. T. 1. p. 756.

(γ) Q. Jul. Hilarionis, Chronicon, seu, Libellus de Duratione mundi ἐκδιδομένον ἐν Labb. nov. Biblioth. Mss. T. 1. σελ. 258. βλ. καὶ Cave T. 1. p. 175. καὶ T. II. p. 57.

(δ) Βλ. Cave l. c. p. 201, καὶ Fabric. Bibl. Graec. T. IX. p. 513. Harl., - καὶ πρόλογ. Θεοτόκ. ἐν τῷ α, τόμ. τῆς Ὀκτατεύχ. σελ. ε. ἴδε καὶ τὴν εἰρημένην σοα Ἀνάγνωσιν τοῦ Φωτίου.

διὰ Μαλαχίου (δ, 2) προεθέσπισεν· Ἀνατελεῖ γὰρ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιον δικαιοσύνης» (Ὁμιλ. εἰς Ἰάειρον, παρὰ Φωτίῳ αὐτόθ. σελ. 1508). Ἐν δὲ τῇ εἰς *τὸν Δανιὴλ καὶ τὴν Σωσάνναν* Ὁμιλίᾳ ὡς γνήσιον μέρος τοῦ θεοπνεύστου τεύχους τοῦ Δανιὴλ τὴν ἱστορίαν πραγματεύεται τῆς Σωσάννης. Τούτου τοῦ ἱεροῦ Ἀστερίου περικοπὴν ἐκ τῆς εἰς τὸ *μαρτύριον* τῆς πανευφήμου Εὐφημίας καλλίστης *Ἐκφράσεως* (ἐν ᾧ ἡ ἱερὰ τῆς Μάρτυρος εἰκὼν ἄγαν ζωγραφικῶς καὶ μετὰ πολλῆς τῆς ἐναργείας, καὶ λόγου καλλονῆς ὑποτυποῦται καὶ διαγράφεται) ἐμνημόνευσε καὶ ἡ ἁγία καὶ Οἰκουμενικὴ Ζ, Σύνοδος (πράξ. δ)· ἀνέγνω δὲ τὴν *Ἔκφρασιν* καὶ Φώτιος ὁ κριτικώτατος (Ἀναγ. σοα. σελ. 1502).

§. ρμγ. Μάρκος, ὁ κατ᾽ ἐξοχὴν *Ἀσκητὴς* ἐπικληθεὶς, Αἰγύπτιος ἴσως τὸ γένος, ἐν τῷ ὄρει τῆς Νιτρίας τοὺς ἱεροὺς τῆς ἀσκήσεως διαθλήσας ἀγῶνας (τῷ 401). Οὗτος ἔτι νέος πᾶσαν τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην ἀπεμνημόνευσε (α). Καὶ πολλὰ κατέλιπε συγγράμματα, ἐξ ὧν εἰς ἡμᾶς διεσώθησαν τὰ κάλλιστα *Κεφάλαια*, ἢ Λόγοι ὀκτὼ (β). Τούτων δὲ καὶ Φώτιος ὁ ἱερώτατος μνημονεύει, δηλῶν τὰ περιεχόμενα, καὶ ἐπιφέρει· «Σαφὴς μὲν οὖν ἐστὶν, ὅσον ἐπὶ τῇ κοινότητι τῶν λέξεων, καὶ τῷ κεφαλαιωδῶς ἐξενηνέχθαι, ἡ φράσις, εἰ καὶ μὴ πρὸς τὴν Ἀττικὴν ἀπηκρίβωται τὰ ὅλα γλῶσσαν· εἰ δέ που τὸ ἀσαφὲς ἐνορᾶται, τῷ *διὰ πράξεως αὐτὰ πεφυκέναι μᾶλλον κατανοεῖσθαι, ἀναχωρεῖ τῆς διὰ λόγων ἑρμηνείας, οὐχὶ τῷ δυσκόλως εἰρῆσθαι*». (Ἀναγνώσ. σ. σελ. 521). Καὶ οὗτος τοίνυν ὁ ὅσιος Ἀσκητὴς, (ὡς καὶ πᾶς ὁ τῶν τότε καὶ πρότερον, καὶ ὕστερον ἐν ἀσκήσει διαλαμψάντων ὁσίων μυρίανδρος

(α) Βλ. Σωζόμ. ς. 29. - Παλλάδ. Λαυσαϊκ. κεφ. κβ. - Νικηφ. Κάλλ. ιδ, 54. Cassiod. L. VIII. c. I. - Cave p. 201. Fabric. Biblioth. Graec. T. IX. p. 268. Harl.

(β) Βλ. «Τῶν ἁγίων Πατέρων Μάρκου ἐρημίτου καὶ ἀσκητοῦ, Νικολάου, Ἡσυχίου πρεσβυτέρου τὰ εὑρισκόμενα συγγράμματα». Paris. 1563. καὶ ἐν τῇ Βιβλιοθήκῃ τῶν Πατέρων τόμ. α. σελ. 871 — 984 (Paris. 1624). Τὰ δὲ Νηπτικὰ Κεφάλαια τοῦ Μάρκου (σελ. 210 - 233) ἐκδέδοται καὶ ἰδίως ἐν τῇ Φιλοκαλίᾳ τῶν ἱερῶν Νηπτικῶν. Ἐνετίησιν. 1782.

χορός· βλ. ἐφεξῆς §. ρν) τὰς ἐκ τῶν Ο προφητικὰς μαρτυρίας ἐπιφέρει ὡς λόγια θεοῦ, ἰσότιμα τοῖς θεοπνεύστοις ῥήμασι τῆς Καινῆς Διαθήκης· οἷον, «Οἶκος τοῦ Θεοῦ ἐσμὲν, *κατὰ τὸν προφητικὸν καὶ εὐαγγελικὸν καὶ ἀποστολικὸν λόγον*» (σελ. 84), Καὶ, «Εἰρηκότος τοῦ Θεοῦ διὰ τοῦ προφήτου· Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος» (σελ. 241)· καὶ τὰ λοιπὰ παρατρέχομεν. Ἀξία δὲ μάλιστα ἀναγνώσεως ἡ τοῦ μακαρίου Μάρκου πρὸς *Σχολαστικὸν Ἀντιβολὴ* (σελ. 239 - 285), ἤτοι συνδιάλεξις μετά τινος τῶν δικανικῶν, ὅστις ἠρώτησε τὸν ὅσιον· «Τί φρονοῦντες οἱ Μοναχοί, φατὲ δεῖν τοὺς ἀδικοῦντας μὴ κρίνειν; ἢ τί μεταχειριζόμενοι, τῶν αἰσθητῶν ἔργων ἀπέχεσθε; ἐφ' ὧν (ἴσ. γρ. *ἐφ'* ᾧ) λίαν καταμεμφόμεθα ὑμᾶς, ὡς τὴν μὲν ἀκρισίαν παρὰ τοὺς νόμους, τὴν δὲ ἀργίαν παρὰ τὴν φύσιν ἐπιτηδεύοντας». Ὁ δὲ μακάριος Ἀσκητὴς ἔλυσε τὴν ἀπορίαν τοῦ λογιωτάτου δικανικοῦ διὰ λόγων θαυμαστῶν, καὶ ἱκανῶν θεραπεῦσαι τὴν ὑλομανῆ φρενῖτιν τῶν κοσμοδούλων, ὅσοι συκοφαντοῦσι τὴν μοναχικὴν πολιτείαν, ὡς πολέμιον τῆς φύσει κοινωνικῆς ἀνθρωπότητος, καὶ φυγόπονον ἀργίας μητέρα.

§. ρμδ. Ἀννιανὸς, μοναχὸς Αἰγύπτιος (τῷ 401), συνέγραψε Χρονολογίαν κατὰ τοὺς Ο. Ὡσαύτως καὶ ὁ ἐφεξῆς.

§. ρμε. Πανόδωρος, καὶ οὗτος Αἰγύπτιος μοναχὸς, καὶ σύγχρονος Ἀννιανοῦ· καὶ οὗτος συνέγραψε Χρονογραφίαν κατὰ τοὺς Ο, χρονικῆς ἀκριβείας οὐκ ἄπειρος ὤν. Ἀλλ' οὔτε τοῦ Ἀννιανοῦ σῴζεται ἰδίως ἡ Χρονολογία, οὔτε ἡ τοῦ Πανοδώρου, ἀποσπάσματα δὲ τούτου διέσωσεν ὁ Σύγκελλος (Χρονογρ. σελ. 64), ἐξ οὗ μετέγραψε καὶ ὁ Σκαλίγηρος ἐν ταῖς εἰς τὸ Εὐσεβίου Χρονικὸν Ἐ*πιστασίαις* (βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 733, 784).

§. ρμς. Γαυδέντιος, Βριξίας ἐπίσκοπος, τοῦ Φιλαστρίου διάδοχος (τῷ 387 - 400), καὶ πρὸς Ἀρκάδιον εἰς Κωνσταντινούπολιν ὑπὸ τῆς ἐν Ῥώμῃ Συνόδου καὶ Ὁνωρίου τοῦ Αὐτοκράτορος πρέσβυς μετ' ἄλλων ὑπὲρ τοῦ θείου Χρυσοστόμου πεμφθεὶς (τῷ 405). Τούτου σῴζονται λατινιστὶ Ὁμιλίαι, τὰς ῥήσεις τῆς Γραφῆς ἐκφέ-

ρουσαι κατὰ τὴν Ἰτάλαν, ἐν αἷς καὶ ἐγκώμιον εἰς τοὺς *Μακκαβαίους.*

§. ρμζ. Σεδῆρος ὁ Σουλπίκιος (ἢ Σουλπίτιος), Γάλλος τὸ γένος, εἷς τῶν ἐπισήμων παρὰ Λατίνοις συγγραφέων· συνέγραψεν ἄλλα τε, καὶ ἱερὰν Ἱστορίαν (ἀπὸ Κ. Κ. μέχρι τοῦ 400 μ. Χ.), καθ' ἣν ἀκολουθεῖ τῇ τῶν Ο χρονολογίᾳ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 784). Κἂν τοῖς ἄλλοις δὲ συντάγμασιν, εἴ που δέοι, τὰς Γραφικὰς μαρτυρίας ἐκτίθησι κατὰ τὴν Ἰτάλαν. Ὁ δὲ κλεινὸς Ὅδιος (σελ. 396) πάντα ταῦτα τοῦ Σουλπικίου παραδραμὼν, ἐμνημόνευσε δύω περὶ τοῦ Ἱερωνύμου μαρτυρίας, τὰς ἑξῆς· «Οὐ μόνον ἐν τοῖς λατινικοῖς καὶ ἑλληνικοῖς, ἀλλὰ καὶ τοῖς ἑβραίοις γράμμασιν οὕτως ἦν πεπαιδευμένος (ὁ Ἱερώνυμος), ὥστε μηδένα τολμᾷν πρὸς αὐτὸν ἐν πάσῃ ἐπιστήμῃ παραβληθῆναι». Ἐντεῦθεν Ὅδιος συμπεραίνει, ὅτι λίαν εὐάρεστος ἦν τῷ Σουλπικίῳ ἡ περὶ τὰ ἑβραϊκὰ σπουδὴ τοῦ Ἱερωνύμου· καὶ ταύτην πάλιν τὴν σπουδὴν ἐκλαμβάνει ὡς ἰσοδύναμον τῆς νέας ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείας, ὅπως ἡμῖν καὶ τὸν εὔγλωττον Σουλπίκιον ἐπαινέτην καὶ συνεργὸν αὐτῆς καὶ ἄκοντα παραστήσῃ. Λέγει πάλιν (παρ' Ὀδίῳ) ὁ Σουλπίκιος· «Ὑπῆρχεν (ὁ Ἱερώνυμος) ἀνὴρ εἰς τὰ μάλιστα καθολικὸς, καὶ τοῦ ἱεροῦ νόμου ἐμπειρότατος». Ἀλλὰ τῆς ὑστέρας ταύτης φράσεως ἀπέκοψεν Ὅδιος τοὺς πόδας καὶ τὴν κεφαλήν. Ἰδοὺ τί λέγει ὁ Ποσθουμιανὸς (πρόσωπον τοῦ Διαλόγου) παρὰ τῷ Σουλπικίῳ (Διαλόγ. α. κεφ. 3). «Ἐκεῖνό με λίαν ἐτάραττεν, ὅτι ὁ Ἱερώνυμος, *ἀνὴρ εἰς τὰ μάλιστα καθολικὸς, καὶ τῶν ἱερῶν νόμων ἔμπειρος*, Ὠριγένει παρακολουθῆσαι πρότερον ἐνομίζετο· ἤδη δ' αὐτὸς μάλιστα πάντων ἐκεῖνον, ἢ πάντα τὰ κείνου συγγράμματα καταδικάζει». Τί κοινὸν τούτοις καὶ τῇ Σουλπικίου εὐαρέστῳ διαθέσει πρὸς τὴν Ἱερωνύμειον μετάφρασιν;

§. ρμη. Κατὰ τούτους τοὺς χρόνους (τῷ 400) συνέστη καὶ ἡ ἐν Τολήτῳ τῆς Ἱσπανίας Σύνοδος, ἥτις μεταξὺ τῶν ἄλλων, ὧν ἐξέδωκε Κανόνων, ἐψηφίσατο καὶ τοῦτον. «Ἐάν τις εἴπῃ, ἢ πιστεύσῃ Γραφὰς ἑτέρας, πλὴν τῶν ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ ἀποδεδεγμένων, κυρίας εἶναι νομιστέον, ἢ σεβαστέον, ἀνάθεμα

ἔστω » (α).

§. ρμθ. Σευηριανὸς (ὁ παρά τισι καὶ Σεβῆρος), Σύρος τὸ γένος, καὶ τῶν ἐν Συρίᾳ Γαβάλων ἐπίσκοπος (τῷ 401), ἐλλόγιμος ἀνὴρ καὶ εὐφραδής (καίτοι τὴν ἑλληνικὴν προφορὰν μὴ διατρανῶν· ἔφερε γὰρ ἐπὶ γλώσσης τὴν δασύτητα τῆς τραχείας τῶν Σύρων φωνῆς), καὶ μάλιστα περὶ τὰς θείας Γραφὰς ἐξησκημένος· διὸ καὶ εἰς Κωνσταντινούπολιν ἀνέβη, καὶ ἐν ταῖς ἐπ' Ἐκκλησίας Ὁμιλίαις ὑπῆρχεν εὐδοκιμῶν, καὶ τῷ τότε πατριαρχεύοντι θείῳ Χρυσοστόμῳ μάλιστα προσφιλής. Ἐπειδὴ δὲ τοῦ μικρῷ πρότερον αὐτόθι παρομοίως εὐδοκιμήσαντος Ἀντιόχου, Πτολεμαΐδος ἐπισκόπου, Σύρου καὶ αὐτοῦ, τὴν φιλοχρηματίαν ἐζήλου (β), καὶ ἄλλως ἐφαίνετο σκευωρῶν παρὰ τοῖς ἄρχουσι, καὶ δημοκοπῶν, τῆς εὐνοίας ἐξέπεσε τοῦ Πατρός· καὶ ἦν μετὰ τῶν παρανόμων αὐτοῦ διωκτῶν συμφατριάζων. Τούτου τοῦ Σευηριανοῦ (ἢ Σεβηριανοῦ) φέρονται λόγοι ς, *εἰς τὴν κοσμοποιΐαν*, ἐν τοῖς συγγράμμασι τοῦ θείου Χρυσοςόμου ἐκδεδομένοι (τόμ. ς, καὶ ζ). Τούτων ἀποσπάσματα φαίνονται καὶ τὰ ἐν τῇ Σειρᾷ τῶν εἰς τὴν Ὀκτάτευχον ὑπομνηματιστῶν ἐκδεδομένα (καίτοι ταῦτα ἐπιγράφονται *Σευήρου*· ὅθεν καί τινες ἀπένειμαν αὐτὰ εἰς τὸν ἕτερον Σευῆρον, τὸν Ἀντιοχείας, περὶ οὗ ἐφεξῆς. Αὐτὸν δὲ τὸν Γαβάλων ὅ,τε ἱερὸς Θεοδώρητος, καὶ Σωκράτης, καὶ Σωζόμενος, καὶ Σωφρόνιος ὁ Ἱεροσολύμων, καὶ Φώτιος, καὶ ἄλλοι, Σεβηριανὸν γράφουσι· καὶ ἴσως ἡ ὁμοηχία μετὰ τῆς συνήθους στενογραφίας συνέχεε τὰ ὀνόματα, καὶ ὁ Σεβηριανὸς ἐν ταῖς ἐπιγραφαῖς συνεκόπη εἰς τὸ Σεβῆρος). Καὶ ἄλλα δὲ λόγων λείψανα σῴζονται παρά τε τῷ θείῳ Δαμασκηνῷ (ὑπὲρ τῶν Εἰκόν. λόγ. α. σελ. 327), καὶ ἀλλαχοῦ (γ). Καὶ σχόλια εἰς τὸν Ἰώβ. Ἐν πᾶσι δὲ τούτοις τὴν θείαν τῶν Ο, γραφὴν ἐξηγεῖ.

(α) Βλ. Binij Concil. Gener. T. 1. p. 742.

(β) Περὶ τούτων ἀμφοτέρων τῶν Σύρων βλ. Σωκρ. Ἐκκλ. Ἱστορ. ς, 11. Σωζομ. η, 10. - Θεοτόκ. προλ. εἰς τὴν Ὀκτάτευχ. τόμ. α. σελ. κδ.

(γ) Βλ. Fabric. Bibl. Graec. T. X. p. 507-510. Harl.

§. ρν. Παλλάδιος ὁ θαυμάσιος (τῷ 401), τὸ γένος Γαλάτης (ἐκ τῆς ἐν Ἀσίᾳ Γαλατίας). Οὗτος παρὰ Δωροθέῳ τῷ Θηβαίῳ τὴν Μοναχικὴν πολιτείαν ἐκπαιδευθεὶς, καὶ τοῖς ἐν Νιτρίᾳ ἀσκηταῖς, καὶ μάλιστα Εὐαγρίῳ τῷ Ποντικῷ προσομιλήσας, καὶ ἐν Παλαιστίνῃ διατρίψας, ὕστερον ἀφίκετο καὶ εἰς Βιθυνίαν, ὅπου καὶ χειροτονεῖται ἐπίσκοπος Ἑλενουπόλεως. Ἐγένετο δὲ καὶ τοῦ θείου Χρυσοστόμου γνώριμος, κἂν τοῖς ἱεροῖς λόγοις μαθητής (α)· ὑπὲρ οὗ καὶ γενναίως μετὰ τῶν θεοφιλῶν ἐπισκόπων συνηγωνίσθη ἐν τοῖς ἀδίκοις τοῦ θείου Πατρὸς διωγμοῖς. Μετὰ δὲ τὴν τούτου ἐξορίαν (τῷ 404) φεύγων τὴν τῶν διωκτῶν μανίαν ὁ Παλλάδιος, ἀπῆλθεν εἰς Ῥώμην, ὑπὲρ τοῦ Χρυσοστόμου καὶ οὗτος πρεσβεύων πρὸς Ὁνώριον τὸν αὐτοκράτορα, καὶ τοὺς Δυτικοὺς ἐπισκόπους. Λαβὼν δὲ παρὰ τοῦ Ὁνωρίου πρὸς Ἀρκάδιον ἐπιστολὰς, καὶ πάλιν ἐπανελθὼν, καὶ πολλὰ παθὼν, μετατίθεται ἐκ τῆς Ἑλενουπόλεως εἰς τὴν ἐν Γαλατίᾳ Ἀσπούνων, ἢ *Ἀσπόνων* ἐπισκοπὴν (Σωκρ. ζ, 36). Καὶ τ' ἄλλα, μὲν τὰ κατ' αὐτὸν διηγεῖται ἡ ἱστορία· τῶν δὲ συγγραμμάτων αὐτοῦ τρία τινὰ περιῆλθον καὶ εἰς ἡμᾶς. α) Τὸ Λαυσαϊκὸν (ἀπὸ τοῦ, πρὸς ὃν προσεφωνήθη, περιβλέπτου Λαύσου, κοιτωνάρχου τοῦ Αὐτοκράτορος Θεοδοσίου), μή τοι λίαν ἀκριβῶς ἀττικίζον τὴν φράσιν, ἁπλούστερον δὲ καὶ σαφὲς, καὶ, ὡς ἂν εἴποις, εἰκονίζον τῶν ἱστορουμένων ὁσίων τὴν ἄδολον ἁπλότητα. β) Ὁ βίος τοῦ Χρυσοστόμου· δι' οὗ «διαλογικῷ τύπῳ τὰ περὶ τὸν Χρυσόστομον ἀνεγράψατο *καλῶς καὶ ἐσπουδασμένως*» (Φώτ. ἀναγ. ϟϛ)· καὶ γ) Τὸ περὶ τῶν τῆς Ἰνδίας ἐθνῶν, καὶ τῶν Βραχμάνων (β). Ὅσας τοίνυν μαρτυρίας ὁ Παλλάδιος ἐκ τῆς τῶν Ο

(α) «Εἶχε δὲ μαθητὰς ὁ Χρυσόστομος Πρόκλον, καὶ Παλλάδιον, καὶ Βρίσσωνα (ἀδελφὸν Παλλαδίου), καὶ Θεοδώρητον »(Κεδρην. εἰς Ὁνώρ.). Περὶ Παλλαδίου βλ. Σωκρ. Ἐκκλησ. ἱστορ. δ, 23; καὶ ζ, 36. - Νικηφ. Κάλλιστ. ιδ, 39. καὶ ια, 46 κτλ.

(β) Τὸ μὲν Λαυσαϊκὸν ἐπιγέγραπται «Ἡ πρὸς Λαῦσον τὸν πραιπόσιτον ἱστορία, περιέχουσα βίους ὁσίων πατέρων» (βλ. ἐν τοῖς Meurs. Oper. vol. 8. pag. 333—638 ἐκδ. Lami). Ταύτην τὴν «Παλλαδίου πρὸς Λαῦσον ἱστορικὴν ἔκθεσιν» καὶ ὁ

Γραφῆς ἔν τε τῷ τοῦ Χρυσοστόμου βίῳ, καὶ μάλιστα ἐν τῷ Λαυσαϊκῷ μνημονεύει, ὡς ἐκ στόματος τῶν ἱστορουμένων ἀσκητῶν εἰρημένας, τίθησι πάσας ὡς γνησίους τοῦ θείου Πνεύματος χρησμούς· οἷον· «Ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ ἁγίου Πνεύματος. *Ἐπιδεικνυμένην πίστιν ἀναγγελεῖ δίκαιος*» (Παρ. ιβ, 17)· καὶ πάλιν ἐν ἑτέρῳ (Ἡσαΐ. ξς, 2), «*Ἐπὶ τίνα ἐπιβλέψω*; φησὶν ὁ Κύριος» (Λαυσ. κεφ. κθ. πρβλ. κεφ. ς, κ, λ, μδ, κτλ.). Ὥστε πᾶσαι αἱ κατὰ τοὺς χρόνους τοῦ Παλλαδίου μυριάδες τῶν κατ᾽ Αἴγυπτον, καὶ Θηβαΐδα, καὶ Λιβύην, καὶ Συήνην, ὑφ᾽ ᾧ (γρ. ὑφ᾽ ἣ) καὶ οἱ Ταβεννησιῶται (γ), καὶ ἐν Μεσοποταμίᾳ, Παλαιστίνῃ τε καὶ Συρίᾳ, καὶ τοῖς μέρεσι τῆς δύσεως ἀσκουμένων πατέρων, οἷς συνανεστράφη ὁ Παλλάδιος (καθὼς αὐτὸς ἱστορεῖ ἐν Προοιμ. τοῦ Λαυσαϊκοῦ), ὡς θεόπνευστον ἀνεγίνωσκον τὴν ἑρμηνείαν τῶν Ο. Τὴν δὲ νέαν ἐκ τοῦ ἑβραϊκοῦ μετάφρασιν τοῦ Ἱερωνύμου λίαν ἀπέστεργε, καταψέγων

θεῖος Δαμασκηνὸς μνημονεύει (περὶ τῶν κεκοιμημένων). Τοῦτο καὶ Σωκράτης εἶπε μονόβιβλον, Παλλαδίῳ τῷ μοναχῷ πεπονημένον. Συνήθως δὲ καλεῖται Λαυσαϊκόν. Ἐκ τούτου καὶ ἀνάγνωσιν ἐν τοῖς μοναστηρίοις ποιοῦνται (καὶ μάλιστα κατὰ τὴν μεγάλην Μ). Τὸν δὲ βίον τοῦ Χρυσοστόμου (οὗ ἡ ἐπιγραφὴ «Διάλογος ἱστορικὸς Παλλαδίου ἐπισκόπου Ἑλενουπόλεως-πρὸς Θεόδωρον, διάκονον Ῥώμης, περὶ βίου καὶ πολιτείας τοῦ μακαρίου Ἰωάννου, ἐπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου») ἴδε ἐν τοῖς Χρυσοστόμου συγγράμμασι συνεκδεδομένον (τόμ. ιγ. σελ. ι-89 ἐκδ. Venet. 1741). Ἐκ τοῦ Παλλαδίου ἠρανίσατο τὸν τοῦ Χρυσοστόμου Βίον καὶ Γεώργιος ὁ Πατριάρχης Ἀλεξανδρείας (Φωτ. Ἀνάγν. ϥς). Καὶ Θεόδωρος δὲ, Τριμυθοῦντος ἐπίσκοπος, ἐν τῇ «Ὁμιλίᾳ τῇ περὶ βίου, καὶ ἐξορίας, καὶ τῶν θλίψεων, Ἰωάννου τοῦ μακαριωτάτου ἀρχιεπισκ. Κωνσταντ. τοῦ Χρυσοστόμου», μνημονεύει τοῦ ἱστορικοῦ Διαλόγου τοῦ Παλλαδίου (βλ. Bigot. Praef. ἐν Χρυσοστόμ. τόμ. ιγ. p. XI). Περὶ δὲ τῶν εἰς ἑκάτερα ταῦτα τὰ συγγράμματα, καὶ μάλιστα τὸν Διάλογον τοῦ Παλλαδίου μάτην κεκινημένων κριτικῶν ὑπονοιῶν, βλέπε Cave p. 204, ἔνθα διαλαμβάνει καὶ περὶ τοῦ τρίτου, τοῦ περὶ τῶν τῆς Ἰνδίας ἐθνῶν καὶ τῶν Βραχμάνων· πρβλ. Meursij Oper. T. 8. p. 666. καὶ Fabric. Bibl. Graec. vol. x. p. 106. Harl.

(γ) «Ταβέννη νῆσος τῆς (ἐν Αἰγύπτῳ) Θηβαΐδος, ὅθεν Ταβεννησιῶται εἰσέτι νῦν ὀνομάζονται» (Νικηφ. Κάλλ. Ἐκκλ. Ἱστορ. Θ, 14. Σωζόμ. γ, 14. πρβλ. καὶ Λαυσαϊκ. κεφ. κθ.).

ὁ θαυμάσιος Παλλάδιος· καὶ τοῦτο μαρτυρεῖ αὐτὸς ὁ Ἱερώνυμος, ἐν οἷς κατ' αὐτοῦ λίαν πικρὸς (ὡς φιλεῖ) καὶ βαρὺς καταφέρεται, λέγων· «Καὶ Παλλάδιος δουλεύων τῇ ἀδικίᾳ, τὴν αὐτὴν (τῶν Πελαγιανῶν) αἵρεσιν ἐσπούδασεν ἀνακαινίσαι, καὶ νέαν *ἐπὶ τῇ ἑβραϊκῇ ἑρμηνείᾳ κατ' ἐμοῦ τυρεῦσαι συκοφαντίαν*. Μήτι καὶ τῇ τούτου εὐφυΐᾳ καὶ εὐγενείᾳ φθονοῦμεν; Καὶ νῦν ἤδη τὸ μυστήριον τῆς ἀνομίας ἐνεργεῖται» κτλ. (α). Τοσαῦτα καὶ περὶ Παλλαδίου.

(α) Hieron. adv. Pelagianos. Ἐντεῦθεν καὶ Βαρόνιος (Annal. ad an. CCCLXXXVIII, καὶ CD — CDIV), καὶ ἄλλοι τῶν Δυτικῶν, ὑπερασπίζοντες καὶ ἐν οἷς οὐκ ἔδει τὴν Ἱερωνύμου δόξαν, ψέγουσι δριμέως καὶ τὸν τοῦ Ῥουφίνου φίλον μᾶλλον, ἢ τοῦ Ἱερωνύμου Παλλάδιον, ὡς Ὠριγενειαστὴν, καὶ Πελαγιανὸν, καὶ πᾶν κακόν. Ἐπιφέρουσι δὲ καὶ τοῦ ἱεροῦ Ἐπιφανίου μαρτυρίαν ἐκ τῆς πρὸς Ἰωάννην τῶν Ἱεροσολύμων ἐπιστολῆς (λατινιστὶ μόνον σωζομένης κατὰ τὴν μετάφρασιν τοῦ Ἱερωνύμου), τὴν ἑξῆς. «Τὸν δὲ Γαλάτην Παλλάδιον, τόν ποτε καὶ ἡμῖν ἀγαπητὸν, νῦν δὲ τῆς θείας εὐσπλαγχνίας χρῄζοντα, φυλάττου· ὅτι τὴν Ὠριγένους αἵρεσιν κηρύττει καὶ διδάσκει» κτλ. (ἐν Ἐπιφαν. τόμ. β. σελ. 317). Ταῦτα ἐκεῖνοι· Παλλαδίῳ δὲ τῷ θαυμασίῳ μεγάλη πρὸς τὰ βέλη τῶν κατηγόρων καὶ ἄῤῥηκτος ἀσπὶς, ἡ τοῦ θείου Χρυσοστόμου φιλία καὶ οἰκειότης· μεθ' οὗ καὶ ὡς ὁμόφρων Ὠριγενειαστὴς ἐν τῇ κατὰ Δρῦν (προάστειον τῆς Χαλκηδόνος) παπαρανόμῳ Συνόδῳ συνεσυκοφαντήθη (βλ. Φωτ. ἀναγν. νθ). Μαρτυρεῖ δὲ καὶ Θεόδωρος, ὁ Τριμυθοῦντος ἐπίσκοπος (βλ. ἀνωτέρω), ὅτι «Παλλάδιος ἀνὴρ τίμιος· πρῶτον μὲν τὴν ἔρημον οἰκήσας ἐπὶ ἱκανὰ ἔτη, κατηξιώθη τῆς (ἴσ. γρ. καὶ) ἐπισκοπῆς ἐν Βιθυνίᾳ· ὅς καὶ αὐτὸς, [ὡς] κοινωνικὸς Ἰωάννου (τοῦ Χρυσοστόμου), κατάκλειστος γέγονεν ἑνδεκαμηνιαῖον χρόνον ἐν οἰκίσκῳ ζοφερῷ» κτλ.. Ὅσον δὲ περὶ τῆς τοῦ μακαρίου Ἐπιφανίου γνώμης, γνωστὸν τὸ (ἔν γε τοῖς τοιούτοις) ταχύποπτον τοῦ θείου Πατρός, (Σωκρ. ς, 10)· ὅστις καὶ αὐτὸν τὸν Χρυσόστομον ὡς Ὠριγενιστὴν κατέκρινεν, ἀπατηθείς· (Φώτ. ἀναγν. ϙς). Ἔπειτα καὶ οὐδ' αὐτὸ τὸ ἑλληνικὸν πρωτότυπον σῴζεται τῆς πρὸς Ἰωάννην ἐπιστολῆς τοῦ Ἐπιφανίου. Εἰ δὲ καὶ Εὐαγρίου μαθητὴς ἦν ὁ Παλλάδιος, καί τινα τῶν Ὠριγένους (ὡς θέλουσι) συνεφρόνησε μετ' ἐκείνου, ἀλλ' ἠδύνατο πάλιν ἀποπτύσαι τὰ τοιαῦτα (τῷ θείῳ μάλιστα Χρυσοστόμῳ συνὼν), οἷα καὶ αὐτὸς Ἱερώνυμος ἐποίει, ὁ μακάριος, διορθούμενος ἐν γήρᾳ τὰ ἐν τῇ νεότητι παραδοξασθέντα (βλ. ὄπισθ. σελ. 597). Ἐν δὲ τῷ Λαυσαϊκῷ οὐδὲν οὔτ' Ὠριγένειον, οὔτε Πελαγιανὸν ἐπιδείκνυται φρόνημα οὔτ' αὐτὸς ὁ Παλλάδιος, οὔτ' ἄλλος τις τῶν βιογραφουμένων ἀσκητῶν, ἐν οἷς καὶ τὸν Εὐάγριον (ὡς ἔτεσι πολλοῖς πρὸ τῆς Ε, Συνόδου συγγράψας) ἀριθμεῖ (βλ. ὄπισθ. σελ. 572). Καὶ μάτην ἄρα καὶ αὐθαδέστερον ὁ σοφὸς Ἰησουΐτης Φρόντων ὁ Δουκαῖος, ᾧ καὶ Λάμις, ἢ Λάμιος (ἄ ξ ι ο ν τ ῆ ς χ ύ τ ρ α ς π ῶ μ α) συνε-

Τῷ Παλλαδίῳ καὶ Ἡρακλείδης συνήκμασε (τῷ 401), τὴν πατρίδα Κύπριος, ἐν τοῖς ἀσκητικοῖς ἀγῶσι γεγυμνασμένος, καὶ τῶν

φώνησε, καθήψαντο τοῦ τε Παλλαδίου, καὶ τοῦ Λαυσαϊκοῦ μονοβίβλου, «ἐν ᾧ (φασὶ) διηγεῖται ὁ Παλλάδιος περί τινων ὁμοίων ἑαυτῷ μοναχῶν, καὶ τῇ αὐτῇ ἀσβόλῳ τῆς αἱρέσεως κεχρισμένων. Διό (φασι) καὶ μάλιστα εὐλαβητέον, μή τινας ἀπεμπωλεῖ ὡς ἁγίους, οἵτινες ἦσαν Ὠριγενισταὶ καὶ Πελαγιανοί». (βλ. Meursij Opera T. 8. p. 369, 550, 654). Ταῦτα οἱ εὐλαβέστατοι Ἰησουῖται. Ἀλλ' ἡ μὲν Ὠριγένους καὶ Εὐαγρίου καὶ Διδύμου καὶ τῶν συγγραμμάτων αὐτῶν καταψηφισαμένη Ε, Οἰκουμενικὴ Σύνοδος, οὐ συγκατεδίκασε πάντως καὶ ὅσα οὗτοι γεγράφασιν ὀρθόδοξα τῆς εὐσεβείας φρονήματα· καὶ μάρτυς ὁ θεσπέσιος φωστὴρ τῆς Ἀλεξανδρείας Κύριλλος, λέγων· «Οὐ πάντα ὅσα λέγουσιν οἱ αἱρετικοὶ φεύγειν καὶ παραιτεῖσθαι χρή· πολλὰ γὰρ ὁμολογοῦσιν, ὧν καὶ ἡμεῖς ὁμολογοῦμεν». (Ἐπις. πρὸς Εὐλόγιον τ. ε. σελ. 132. Paris.) διὸ καὶ ὁ Μ. Βασίλειος, καὶ ἄλλοι τῶν θείων Πατέρων καὶ αὐτοῦ Ὠριγένους ἐμνημόνευσαν· πολλὰ δὲ καὶ τούτου, καὶ Διδύμου, καὶ Εὐαγρίου, ὡς καὶ ἄλλων κατεψηφισμένων αἱρετικῶν, οἷον Ἀπολιναρίου, καὶ Σευήρου τοῦ Ἀντιοχείας, καὶ Θεοδώρου τοῦ Μοψουεστίας ὀρθόδοξα σχόλια εἰς τὴν θείαν Γραφὴν ἐν ταῖς Σειραῖς δικαίως τε ἐτάχθησαν, καὶ εὐσεβοφρόνως ἀναγινώσκονται· Τοῦτο διδάσκει καὶ ὁ παλαιὸς Ἐκλογεὺς καὶ συντάκτης τῆς εἰς τὸν Δανιὴλ διαφόρων ἑρμηνείας, ἡ Σειρᾶς, παραινῶν τοὺς ἐντυγχάνοντας, «ὅτι ἐκ πολλῶν πονημάτων ἁγίων καὶ ὀρθοδόξων Πατέρων, οὐ μὴν ἀλλὰ καὶ ἀδοκίμων ἐξηγητῶν, καὶ τῆς τῶν αἱρετικῶν μοίρας τυγχανόντων, αἱ παραγραφαὶ ἔγκεινται, ἐκφεύγουσαι τὰ ἀπᾴδοντα τῆς ἐκκλησιαστικῆς παραδόσεως δόγματα τῶν αἱρετικῶν» (βλ. Scriptor. veter. nov. Collectio, edit. ab A. Majo T. 1. part. 2. p. 161)· καὶ ταῦτα μὲν οὕτω. Τῆς δὲ τῶν ἐν τῷ Λαυσαϊκῷ (καὶ ἐν τῷ Παραδείσῳ ὡσαύτως) ἱστορουμένων ὁσίων Πατέρων μνήμης οὐδόλως καθάπτεται· ἡ τῆς Ἰησουϊτείας εὐλαβείας ἀσβολώδης κακοήθεια. Τούτους γὰρ ἡ Ἐκκλησία, θεόθεν ἀγομένη, κατέταξεν εὐαγῶς καὶ θεοφρόνως ἐν τῷ καταλόγῳ τῶν εὐαρεστησάντων Θεῷ. καὶ τὴν ἀοίδιμον μνήμην αὐτῶν ἐτησίως ἐπιτελεῖ (τῷ σαββάτῳ τῆς Τυρινῆς· ἴδε τὸν ἐν τῷ Τριῳδίῳ κανόνα). Μαρτυροῦσι δὲ περὶ τούτων ἰδίως καὶ ἱστορικοί, Θεοδώρητος, Σωκράτης, Σωζόμενος, Νικηφόρος ὁ Κάλλιστος, ὁ Μεταφραστής, καὶ ἄλλοι· καὶ αὐτῆς δὲ τῆς Δυτικῆς Ἐκκλησίας πολλάκις τὰ ἀρχαῖα Μαρτυρολόγια. Οὐδὲ τὸ πρὸς ἰδίαν τε καὶ ἐπ' ἐκκλησίας ἀνάγνωσιν ἐν τοῖς ἱεροῖς μάλιστα μοναστηρίοις ἀποδεδεγμένον Λαυσαϊκὸν, οὐδεμίαν κηλῖδα κακοδοξίας οὐδόλως (ὡς προείπομεν) ἐμφαίνει· ἀλλὰ καὶ πρὸς οἰκοδομὴν τῶν ἁπλουστέρων μοναχῶν μάλιστα συντελεῖ. Ἐν τῷ εἰρημένῳ τοῦ Τριῳδίου κανόνι γέγραπται καὶ Παλλάδιος· ἄδηλον δὲ τίς οὗτος· μῶν ὁ περὶ οὗ ὁ λόγος; ἢ ὁ παρὰ τῷ ἱερῷ Θεοδωρήτῳ ἱστορούμενος; (Φιλοθ. ἱστορ. κεφ. ζ), ὃ καὶ μάλιστα πιθανώτερον (βλ. Νικοδ. Συναξαριστ. Ἰουν. κη). Ἔστι δὲ καὶ ἄλλος Παλλάδιος ἐν τῷ Παραδείσῳ τῶν Πατέρων, οὗ καὶ διάφορα φέρονται ἀποφθέγματα.

θείων λογίων ἔμπειρος· ὕστερον δὲ τοῦ Χρυσοστόμου ἀρχιδιάκονος καταστὰς, καὶ Καισαρείας ἐπίσκοπος ὑπ' αὐτοῦ χειροτονηθεὶς, καὶ τέλος, ὡς συναιρεσιώτης Ὠριγενιστὴς μετ' αὐτοῦ (καθὰ καὶ Παλλάδιος) ἐν τῷ κατὰ Δρῦν παρανόμῳ Συλλόγῳ κατακριθεὶς, καὶ τῆς τε ἐπισκοπῆς καὶ τῆς ἱερωσύνης καθαιρεθεὶς, ἐῤῥίφθη εἰς εἱρκτήν!(α). Τούτου σύγγραμμα κρίνεται ὁ *Παράδεισος* τῶν Πατέρων, ἤτοι «*Διήγησις περὶ τῶν κατ' Αἴγυπτον διαλαμψάντων ἁγίων πατέρων*»· συγχέεται δὲ πολλάκις τὸ σύγγραμμα καὶ συνάπτεται μετὰ τοῦ Λαυσαϊκοῦ ἔν τισιν ἀρχαίοις ἀπογράφοις, διὰ τὴν ὁμοιότητα τῆς ὑποθέσεως. Ὁ δὲ Γεράρδος Οὐόσσιος ἔκρινεν, ὅτι ἡ καθ' ἡμᾶς τοῦ Λαυσαϊκοῦ βίβλος ἐκ τῶν δύω τούτων σύγκειται συγγραφῶν· διὰ τοῦτο καὶ διπλᾶ φέρει τὰ προοίμια, τὸ μὲν εἰς Ἡρακλείδην, τὸ δ' εἰς Παλλάδιον ἐπιγεγραμμένον· ὅθεν καὶ ἐκ πλάνης τῶν βιβλιογράφων ἔν τισιν ἀντιγράφοις εἰς Ἡρακλείδην ἐπιγέγραπται ὅλον τὸ Λαυσαϊκόν (β).

§. ρνα. Χρωμάτιος, Ἀκυληΐας ἐπίσκοπος (τῷ 401), σοφώτατος καὶ ἁγιώτατος, ὡς Ἱερώνυμος αὐτὸν ἀποκαλεῖ (Προλ. εἰς Παραλειπ. καὶ εἰς Ἀββακοὺμ, καὶ ἐπις. 62), καὶ πρὸς αὐτὸν τὸν Ἱερώνυμον οἰκείως διακείμενος. Εἶχε δὲ καὶ περιέργως πρὸς ἣν ὁ Πατὴρ ἐπεχείρησεν ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείαν, οὐχ ἵνα τὴν ἐν τῇ Ἐκκλησίᾳ καθιερωμένην Γραφὴν ἀποβάλῃ, ἀλλ' ἵνα θεωρήσῃ πανταχόθεν τὰς πρὸς αὐτὴν διαφορὰς τῆς ὑπὸ τοῦ Ἱερωνύμου περιθρυλλουμένης *ἑβραίας ἀληθείας*· καὶ τοῦτο, ὡς βοήθημα πρὸς ἀπαλλαγὴν (ὅσον ἐξῆν) τῶν ἐν ταῖς ἄλλαις (ταῖς νεωτέραις τῆς Ἰτάλας) λατινικαῖς ἑρμηνείαις διαφόρων ἀναγνώσεων (ὡς ἔλεγεν ἀνωτέρω καὶ Αὐγουστῖνος). Ὅθεν ἐζήτησε παρ' αὐτοῦ καὶ τὴν ἐκ τοῦ Χαλδαϊκοῦ μετάφρασιν τῶν ἐκ τοῦ ἑβραϊκοῦ λειπόντων τευχῶν τοῦ Τωβὶτ, καὶ τῆς Ἰουδεὶθ. Καὶ

(α) Βλ. Σωκρ. Ἐκκλ. ἱστορ. ς, 11. Σωζόμ. η, 6. Παλλάδ. βίῳ Χρυσοστ. Φώτ. Ἀναγν. ϙς.

(β) Βλ. Voss. Hist. Graec. II. 19. Cave l. c. p. 205. Fabric. Biblioth. Graec. T. X. p. 118. Harl. Φέρεται δὲ παρ' ἡμῖν καὶ τοῦ Παραδείσου κοινολεκτικὴ μετάφρασις, ὡς καὶ τοῦ Λαυσαϊκοῦ, Ἐνετίῃσι. 1758.

ὑπήκουσεν ὁ Ἱερώνυμος (καί τοι μὴ πάνυ χαίρων), ὡς φαίνεται ἐκ τῆς πρὸς αὐτὸν συνάμα καὶ πρὸς Ἡλιόδωρον ἀπαντήσεως. «Ἱκανοποίησά (φησι) τὴν ὑμετέραν ἐπιθυμίαν, οὐχὶ τὴν ἐμὴν σπουδήν. Ἐξελέγχουσι γὰρ ἡμᾶς οἱ σπουδαῖοι τῶν Ἑβραίων, καταιτιώμενοι, ὡς ἐναντία τοῦ παρ' αὐτοῖς κανόνος ταῦτα (τὰ βιβλία) μεταφέροντας εἰς τὰς λατινικὰς ἀκοάς. Ἀλλ' ὅμως, κρεῖττον εἶναι νομίσας κρίσει Φαρισαίων ἀπαρέσαι, καὶ διαταγαῖς ἐπισκόπων ὑπηρετῆσαι, ἐπεβαλόμην, ὡς ἠδυνήθην» κτλ.- Ταῦτα πῶς οὐ παράδοξα, καὶ ἀσύστατα; διαστέλλει τὴν ἐπιθυμίαν τῶν ἐπισκόπων, ὡς διάφορον τῆς ἑαυτοῦ σπουδῆς, ἅτε περὶ μόνα τὰ παρ' Ἑβραίοις κανονικὰ σπουδάζειν ἐθέλων. καὶ φοβεῖται τὸν ψόγον τῶν Ἰουδαίων, αἰδούμενος μεταφράζειν χάριν τῶν Λατίνων βιβλία ἐναντίον τοῦ ἑβραϊκοῦ κανόνος· ὡσανεὶ μηδόλως ὑπῆρχεν ἐπ' αὐτοῦ κανὼν ἐκκλησιαστικὸς, καὶ παλαιὸς Πατέρων θεσμός! ἢ ὡσανεὶ πρῶτος αὐτὸς μετέφερε ταῦτα εἰς τὰς λατίνας ἀκοάς! καὶ πάλιν εὐθὺς διασύρει τὴν κρίσιν τῶν Ἑβραίων, ὡς αὐτόχρημα *Φαρισαίων* (καὶ τούτων μ. Χ!), κρεῖττον εἶναι νομίσας ὑπείκειν *ἐπισκόπων* διαταγαῖς, ἀποδοκιμαζόντων δηλονότι τὴν ἐν τοῖς Ἀναγινωσκομένοις κολόβωσιν τοῦ ἑβραϊκοῦ. Τοιαῦτα συνεῖρε σκηπτόμενος ὁ Πατήρ! Ἀλλ' ἴσως ἂν ἐποίει πολλῷ κρεῖττον, καὶ κράτιστον, ὁ ἀοίδιμος, εἴπερ ἐξ ἀρχῆς περιφρονήσας τὰς κρίσεις τῶν κατ' αὐτὸν Φαρισαίων, ὑπήκουε μᾶλλον ταῖς διαταγαῖς ἁπάντων τῶν μέχρις αὐτοῦ Ἐπισκόπων καὶ Πατέρων τῆς Ἐκκλησίας, δαπανῶν τὴν περὶ τὰ ἑβραϊκὰ φίλην αὐτῷ σπουδὴν εἰς συγκριτικὴν τῶν Ο πρός τε τὸ ἑβραϊκὸν, καὶ τὰς τῶν λοιπῶν ἑρμηνείας μελέτην, ὡς ἐποίησε, καὶ δι' ὃν σκοπὸν ἐποίησε καὶ Ὠριγένης. Μηδ' ἐπεχείρει νέᾳ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ λατινικῇ μεταφράσει· δι' ἧν ὕστερον ἀπέβη, ἣν ὁ θεῖος Αὐγουστῖνος ἐφοβεῖτο ἀνωτέρω (σελ. 608), ἡ περὶ τὴν ἀνάγνωσιν τῆς θείας Γραφῆς διάστασις τῆς Δυτικῆς πρὸς τὴν Ἀνατολικὴν Ἐκκλησίαν, καὶ αὐτῶν δὲ τῶν μετέπειτα Δυτικῶν Πατέρων ἡ πρὸς τοὺς ἀρχαιοτέρους διαφορὰ, καὶ αὐτῆς δὲ, τέλος, τῆς κατ' αὐτὸν ἑρμηνείας ἡ εἰς τὴν σημερινὴν Βουλγάταν μεταποίησις! καὶ ταῦτα μὲν τοιαῦτα. Ὁ δὲ Χρω-

μάτιος καὶ πρὸς τὸν Ῥουφῖνον εὐνοϊκῶς εἶχεν· ὅθεν οὐδ' ἀπεκήρυξεν αὐτὸν ὡς ἀκοινώνητον (ὡς ἔπραξεν ὁ Πάπας Ἀναστάσιος, ταῖς Ἱερωνύμου μάλιστα κατηγορίαις ἐξαφθείς). Καὶ αὐτὸν δὲ τὸν Ἱερώνυμον ἐνουθέτει, παραγγέλλων παύσασθαι τοῦ λοιποῦ τῶν κατὰ Ῥουφίνου κακογλώσσων κραυγῶν, καὶ μηκέτι δυσφημεῖν αὐτὸν ἐν συγγραφαῖς. Ὑπὲρ δὲ τοῦ θείου Χρυσοστόμου καὶ μάλα γενναίως ὁ ἱερὸς Χρωμάτιος μετὰ τῶν ἄλλων Δυτικῶν ἐπισκόπων συνηγωνίσθη (διὸ καὶ λίαν ἀσμένως μνημονεύομεν τοῦ ἀνδρός), ὡς δηλοῖ ἡ πρὸς αὐτὸν τοῦ θείου Χρυσοστόμου χαριστήριος, καὶ πλήρης ἀδελφικῆς καὶ πατρικῆς στοργῆς ἐπιστολή (ἐπιστ. ρνε). Καὶ οὗτος τοίνυν ὁ ποιμὴν Ἀκυληΐας ἐν τοῖς σωζομένοις ὀλίγοις αὐτοῦ λατινικοῖς συγγράμμασιν (ἐκδεδομένοις ἐν τῇ τῶν Πατέρων Βιβλιοθήκῃ, τόμ. ε) οὐ τῇ καθ' Ἱερώνυμον, ἀλλὰ τῇ τῶν Ο κέχρηται Γραφῇ, ἐκ τῆς ἀρχαίας Ἰτάλας παράγων τὰς μαρτυρίας. Ὁ δὲ σοφὸς Ὅδιος (σελ. 386) ταῦτα παριδών, εἰσάγει τὸν Χρωμάτιον ὡς μάλιστα ζηλωτὴν καὶ συνεργὸν τῆς ἐκ τοῦ ἑβραϊκοῦ νέας ἑρμηνείας· (ὡσανεί, καὶ τούτου, καθ' ὑπόθεσιν, καὶ ἄλλων δὲ μετ' αὐτοῦ τινων ἐπισκόπων πρὸς τὴν Ἱερωνύμου ἑβραίαν ἀλήθειαν πτοηθέντων, πολὺς ἂν, οὐχ ὁρᾷς; καὶ δεινὸς ἐκ τούτου, προσετρίβετο τοῖς Ο μῶμος!). Ἀλλ' ὁ γνήσιον καὶ δευσοποιὸν τὸ τῶν πατρίων χρῶμα διατηρῶν Χρωμάτιος, ἐκ μόνης περιεργείας, καὶ ἐφ' οἷς προείπομεν, συγκατένευεν εἰς τὴν Ἱερωνύμου μετάφρασιν, (ὡς συγκατέβαινε καὶ Αὐγουστῖνος ἀνωτέρω σελ. 607). Οὐδ' ἠδύνατο ὁ τῆς Ἀκυληΐας ἐπίσκοπος ἐναντία φρονεῖν πρός τε τὸν σύγχρονον αὐτῷ Πάπαν Ἰννοκέντιον, καὶ τὴν ἐν Καρθαγένῃ Σύνοδον, καὶ τὴν ἐν Τολήτῳ, καὶ πρὸς πάντας τοὺς τότε τῆς Δύσεως ἐπισκόπους, ἕνα κηρύττοντας καὶ φρονοῦντας ἐκκλησιαστικὸν *κανόνα* τῶν θείων Γραφῶν, τὸν κατὰ τοὺς Ο, ὑπὲρ ὧν καὶ αὐτὸς ὁ τοῦ Χρωματίου συμπρεσβύτερος καὶ φίλος Ῥουφῖνος ἀνθίστατο πρὸς Ἱερώνυμον, συνειδότος πάντως καὶ τοῦ ἰδίου ἐπισκόπου (α).

(α) Ὁ Ὅδιος ἐν τούτοις (σελ. 325, 396) παρεισάγει καὶ τὸν Σωφρόνιον, ὡς σφόδρα ζηλωτὴν τῆς ἑβραϊζούσης ἑρμηνείας τοῦ Ἱερωνύμου. Τοῦτον δὲ τὸν Σωφρόνιον

§. ρνϐ. Φίλων ὁ Καρπάσου, ἢ Καρπασίας, πόλεως τῆς νήσου Κύπρου, ἐπίσκοπος, ὑπὸ τοῦ θείου Ἐπιφανίου προχειρισθεὶς (τῷ 401)· ἦλθε δὲ εἰς Κύπρον ἐκ Ῥώμης ἀποσταλεὶς, διάκονος ὢν τὸν βαθμὸν,

---

οὐδαμόθεν ἄλλοθεν γνωρίζομεν, εἰ μὴ μόνον ἐκ τοῦ Ἱερωνύμου, ὅστις οἰκεῖον αὐτὸν εἶχε, καὶ ἐδιογράφησεν ἐν τῷ Καταλόγῳ (§. 144), λέγων «εἰς ἄκρον πεπαιδευμένον, καὶ ὅτι συνέγραψε μέν τινα καὶ αὐτὸς, ἐξελλήνισε δὲ καὶ τοῦ Πατρὸς αὐτοῦ τὰ συγγραμμάτια (opuscula), καὶ τὴν ἐκ τοῦ ἑϐραϊκοῦ λατινικὴν ἑρμηνείαν τῶν Προφητῶν, ἔτι δὲ καὶ τὴν τῶν Ψαλμῶν». Καὶ ταύτην εἰς τὸν αὐτὸν Σωφρόνιον προσεφώνησεν ὁ Πατὴρ, ὡς αὐτοῦ χάριν, αἰτησαμένου, τὴν μετάφρασιν ἐκπονήσας, καὶ «ἐκθέμενος ἑαυτὸν (ὥς φησιν) εἰς νέας ὑλακὰς τῶν καταλαλητῶν αὐτοῦ» (præf. in Psalm. καὶ Epistol. 133). Τοῦτον τὸν Σωφρόνιον πάντως ἐννοεῖ καὶ ἀλλαχοῦ (πρὸς Ῥουφῖν. ἀπολογ. β), λέγων πλατυκώτερον, ὅτι «Καὶ Ἕλληνες, μετὰ τοσούτους ἑρμηνεῖς, οὐ προσώχθισαν οὐδὲ τῇ ἐκ τοῦ λατινικοῦ μεταφράσει τῆς ἑϐραΐζούσης ἑρμηνείας αὐτοῦ». Τούτους δὲ τοὺς Ἱερωνύμου λόγους ὁ Ὄδιος ἔτι πλατυτέρως ἐξεῤῥητόρευσε, γράψας οὑτωσί. «Τὴν ἱερωνύμειον μετάφρασιν τῶν Προφητῶν καὶ τῶν Ψαλμῶν, ὑπὸ Σωφρονίου ἐξελληνισθεῖσαν, οἱ σπουδαῖοι τῶν Ἑλλήνων, ἔτι ζῶντος Ἱερωνύμου, ἀσμένως ὑπεδέξαντο, καὶ συχνῶς ἀνεγίνωσκον (!). Καὶ χάρις τῇ μετριότητι τοῦ κριτικοῦ, ὅτι μὴ περὶ τοῦ Σωφρονίου τούτου προσέθηκε, καὶ ὅπερ ἄλλοι ὠνειρεύθησαν, ὅτι οὗτος ὑπῆρξε καὶ Κωνσταντινουπόλεως Πατριάρχης! (βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 373). Ἀλλ' ὅτι μὲν ποιάς τινας μεταφράσεις τῶν Ἱερωνύμου πόνων ἐποίησε φίλος τις αὐτοῦ, Σωφρόνιος λεγόμενος, πιστεύομεν Ἱερωνύμῳ. Πλὴν ἀλλ' (ὡς ἔοικεν) αὐτὸς αὐτὰς ἀνεγίνωσκε μόνος, καὶ μάλιστα τὰς Γραφικάς· ἢ καὶ πρὸς Παῦλαν καὶ τὴν Εὐστόχιον, καί τινας τῶν οἰκείων, τονθορύζων, ἔστιν ὅτε, ἔν τινι τοῦ μοναστηρίου γωνίᾳ πρός τινα ἀκροατὴν πενιχρὸν (ὡς ἔλεγε καὶ περὶ αὐτῆς αὐτοῦ τῆς ἑρμηνείας ὁ Ἱερώνυμος, σεσηρὸς ἀστεϊζόμενος, ἐν οἷς ἔγραφεν ἀγανακτῶν πρὸς τὸν Αὐγουστῖνον· «Ἔμοι γε δ' ἀρκεῖ, μεθ' ἑνὸς ἀκροατοῦ, καὶ ἀναγνώστου πενιχραλέου (pauperculo) ἐν γωνίᾳ που τοῦ μοναστηρίου ψιθυρίζειν». Ἐπιστ. πθ). Ὅτι δὲ τὰς Γραφικὰς ταύτας ἑρμηνείας ὁ Σωφρόνιος ἀνεκδότους ἐν τῷ ἰδίῳ κιϐωτίῳ διετήρησε θαλαμευομένας, ἀπόδειξις περίτρανος, ἡ πάντων τῶν συγχρόνων τε καὶ νεωτέρων βαθεῖα σιγή. Οὐδεὶς οὐδαμοῦ οὔτε τῶν τοιούτων τῆς Γραφῆς Ἑλληνικῶν ἑρμηνειῶν, οὔτ' αὐτοῦ Σωφρονίου οὐδόλως ἐμνημόνευσεν, εἰ λευκός τις, ἢ μέλας, ἢ Ἕλλην, ἢ μὴ Ἕλλην ὑπῆρχε. Ποίαν δὲ διάθεσιν εἶχον πρὸς τὴν Ἱερωνύμου μετάφρασιν καὶ Ἕλληνες (ὅσοι ἤκουον), καὶ αὐτοὶ οἱ Λατῖνοι, εἴδομεν ἀνωτέρω ἔκ τε τῆς τοῦ Παλλαδίου, καὶ τῆς τοῦ Μοψουεστίας μαρτυρίας, καὶ ἐκ τοῦ θείου Αὐγουστίνου. Μίαν μόνην ὑπὸ τούτου τοῦ Σωφρονίου ἑνὸς Ἱερωνυμείου σπουδασματίου μετάφρασιν οἴδασιν οἱ Ἕλληνες, τὴν τοῦ Καταλόγου τῶν Ἐκκλησιαστικῶν συγγραφέων, ἐν τοῖς Ἱερωνύμου συγγράμμασι συνήθως ἐκδιδομένην (τόμ. α, σελ. 342-424), ἐν ᾗ καὶ οὐδ' εἰς ἄκρον,

40*

σοφὸς τὰ θεῖα, καὶ ὅσιος ἀνήρ (α). Τούτου σώζεται καλὸν εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ὑπόμνημα, ἐν ᾧ καὶ αὐτὸς ὡς πυξίον λογίων τοῦ παναγίου Πνεύματος ἐκτίθησι, καὶ ἐξηγεῖ τὸ κατὰ τοὺς Ο τοῦ

ἔστιν ὅπου, πεπαιδευμένος φαίνεταί πως ὁ Σωφρόνιος· οἷον περὶ Ὠριγένους (§. 64) ὁ Ἱερώνυμος γράφει ταῦτα. « Tantum in Scripturis divinis habuerit studij, ut etiam hebræam linquam contra aetatis gentis que suae naturam edisceret» τουτ. Τοσαύτην ἔσχε σπουδὴν περὶ τὰς θείας Γραφὰς, ὥστε καὶ τὴν Ἑβραίων γλῶσσαν, ἐναντίον τῆς τε ἡλικίας καὶ τῆς τοῦ γένους αὐτοῦ φύσεως ἐξέμαθεν». Ὁ δὲ Σωφρόνιος ἑρμηνεύει . . . « Ὥστε καὶ τὴν ἑβραϊκὴν διάλεξιν (τουτ. διάλεκτον), ἐναντιουμένην τῇ τε ἡλικίᾳ καὶ τῇ οἰκείᾳ φύσει ἐκμαθεῖν». Ἀλλ' ὁ Ἱερώνυμος ἐναντίον τῇ τοῦ γένους αὐτοῦ φύσει λέγων, ἐνόει τὸ σύνηθες καὶ οἷον φυσικὸν ἰδίωμα τῶν Ὠριγένους ὁμογενῶν Ἑλλήνων, καὶ μάλιστα τῶν Ἀλεξανδρινῶν (καθότι πάσης γλώσσης ἐξωτικῆς καταφρονεῖν εἰώθεισαν οἱ Ἕλληνες, καὶ τὸν δίγλωσσον οὐκ ἐποιοῦντο περὶ πολλοῦ). Τὸ δὲ κατὰ Σωφρόνιον μὴ ἀκριβὲς τῆς ἑρμηνείας ἠπάτησε καὶ ἄλλους (βλ. Huet. Origen. p. 9)· καὶ (τὸ παράδοξον) μετέγραψε τοῦτο κατὰ λέξιν καὶ ὁ Σουΐδας (λέξ. Ὠριγένης). Λέγει πάλιν ὁ Ἱερώνυμος (αὐτόθ. περὶ αὐτοῦ τοῦ Σωφρονίου) «Et opuscula mea in graecum eleganti sermone transtulit»· γράφει καὶ ὁ Σωφρόνιος. «Καὶ τὰ ἐμὰ συγγράμματα εἰς ἕλληνα λόγον εὐφυῶς μετέφρασε»! Καὶ ἄλλας δὲ τοιαύτας ἑρμηνευτικὰς παραδρομὰς, καὶ φράσεις ἀλλοκότους, καὶ λατινισμούς τινας ἔχει τὸ ἄλλως ὁπωσδήποτε χαρίεν περὶ τὸ λεκτικὸν, καὶ διὰ τὰς ὑποθέσεις ἅλις ἀξιόλογον τοῦτο βιβλιάριον. βλ. J. Voss. not. ad S. Ignat. Epist. ad Smyrn. καὶ Fabric. Biblioth. Græc. vol. IX. p. 158-161,294. Harl.

(α) Ὅθεν γράφεται καὶ Φίλων ὁ Καρπάσιος, καὶ ὁ Καρπάθιος (οὕτω Σουΐδας· «Φίλων ὁ Καρπάθιος συνέγραψεν ὑπόμνημα εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων). Ἀλλὰ τὸ Καρπάθιός ἐστιν (ὥς γέ μοι δοκεῖ) ἡμαρτημένη γραφή. Ἴδε τί λέγει Στέφανος ὁ Βυζάντιος· «Καρπασία πόλις Κύπρου . . . Διονύσιος δὲ διὰ διφθόγγου Καρπάσειαν αὐτήν φησιν ... «Ἤ δ' ὁ πόσοι Κινύρειον, Ἤ δ' αἰπεινὴν Καρπάσειαν» (γρ. Ἰδ' αἰπ. Κραπάσειαν, ὡς τὸ μέτρον ἀπαιτεῖ· οὕτω καὶ Κράπαθος (Ἰλιάδ. β. 276) ἡ Κάρπαθος). «Ἔστι καὶ νῆσος Καρπασία κατὰ τὴν ἄκραν τὴν Σαρπηδονίαν. Ξεναγόρας δὲ Κάρπαθον αὐτήν φησι. Δημήτριος δὲ, Καρβασίαν» κτλ. (Στέφ. σελ. 452. ἐκδ. Berkel, βλ. καὶ Holsten. not. ibid. pag. 162). Ἐκ τούτου τοῦ κατὰ Ξεναγόραν Κάρπαθος παρεδέξαντό τινες ἐπὶ τοῦ Φίλωνος καὶ τὸ Καρπάθιος (βλ. Allat. Diatrib. de Philonis). Ἀλλ' (οἶμαί γε) τὸ Κάρπαθος τοῦτο τρεπτέον εἰς τὸ Κάρπασος. Ἔχει δὲ τὸ χωρίον τοῦ Στεφάνου καὶ ἄλλο παράλογον ἐν τῷ «Ἔστι δὲ καὶ νῆσος Καρπασία» κτλ. ὅπερ ὁ μὲν Βερκέλιος ἐσημείωσεν ὡς ἢ τοῦ Στεφάνου αὐτοῦ χάσμην, ἢ τοῦ ἐπιτομέως

Ἄσματος τεῦχος, καὶ πᾶσαν τὴν κατ᾽ αὐτοὺς ἑρμηνείαν τῆς Παλαιᾶς ὡς ἰσοδύναμον τῇ Καινῇ θεωρεῖ· οἷον (εἰς Ἆσμ. α, 2, 8)· «Δύω (λέγει) μαςοὺς τὰς δύο Διαθήκας ῥητέον· ἀφ᾽ ὧν καὶ θηλάζει τὰ τέκνα τῆς Ἐκκλησίας, ὥσπερ γλώσσῃ, διανοίᾳ (ἴσ. γρ. τῇ διανοίᾳ) τοὺς λόγους τῆς ἀληθείας, καὶ εἰς τελείαν αὔξεται ζωήν τε καὶ ἡλικίαν» (σελ. 14). Καὶ, «Βλέπε καὶ τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην παρορμῶσαν τοὺς βουλομένους ὑπὲρ τῆς δικαιοσύνης καὶ τοῦ ὀνόματος τοῦ Χριςοῦ πάσχειν,– καὶ ἐκ μὲν τῆς Παλαιᾶς τὴν Σοφίαν (Σειρὰχ δ, 28) ἄκουε λέγουσαν· *Ἕως θανάτου ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας*· τὸ ὅμοιον καὶ ἐν τῇ Καινῇ ... αὐτὸν τὸν Κύριον ἐνωτίζου λέγοντα· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα» κτλ.

αὐτοῦ παρακοπήν· ἔμοι γε δὲ δοκεῖ μεταγραφέων ἀβλεψία τις εἶναι, μεταθέντων τὰ κόμματα, καὶ παριδόντων τὸ παρὰ τὴν κατὰ ὁμοιόγραφον κεῖται· διὸ καὶ θεραπευτέον, ἴσως, οὑτωσί. «Ἴδ᾽ αἰπεινὴν Κραπάσειαν. Κεῖται δὲ κατὰ τὴν ἄκραν τὴν Σαρπηδονίαν. Εἰσὶ καὶ νῆσοι Καρπάσιαι. Ξεναγόρας δὲ Κάρπασον αὐτὴν καλεῖ» (δηλονότι τὴν ἐν Κύπρῳ Καρπασίαν) κτλ. Οὕτως ἔχει καὶ Στράβων· «Εἶτα Καρπασία πόλις (Κύπρου) ...κεῖται δὲ κατὰ τὴν ἄκραν τὴν Σαρπηδόνα» (Σαρπηδονίαν;). «Ἐκ δὲ τῆς Καρπασίας ὑπέρβασίς ἐστιν ἰσθμοῦ λ, σταδίων πρὸς τὰς νήσους τὰς Καρπασίας καὶ τὸ νότιον πέλαγος» κτλ. (Βιβλ. ΙΔ. σελ. 682). Καὶ ἄλλη δὲ τῆς Καρπασίας ἡμαρτημένη γραφὴ φέρεται ἐν τοῖς Μηνολογίοις καὶ τῷ Συναξαριστῇ (Ἰαννουαρ. 24, ὅτε τελεῖται ἡ μνήμη τοῦ ἁγίου τούτου Φίλωνος), ἡ Καλπασίου, ἀντὶ Καρπασίου (εἶπον δὲ τὴν Καρπασίαν οἱ νεώτεροι καὶ οὐδετέρως, τὸ Καρπάσιον. Οὕτω Πολύβιος, ἐν βίῳ τοῦ ἁγίου Ἐπιφανίου, «Ἐπὶ τῆς πόλεως τοῦ Καρπασίου . . . ἐπίσκοπον»). Καὶ αὐτὸ δὲ τὸ Φίλων ἐν τῷ Συναξαρ. γράφεται Φύλων· τὴν δ᾽ ἡμαρτημένην ταύτην γραφὴν ἀνέγνω καὶ ὁ ποιητὴς τοῦ ἰαμβείου διστίχου (αὐτόθ.)· «Φῦλον βροτῶν προσῆξε τῷ Χριστῷ Φύλων» (γρ. Φίλων). Καὶ αὐτὸ δὲ τὸ Καρπάσιος ὡς ἐπίθετον τοῦ Φίλωνος ἀκυρολεκτούμενον δοκεῖ τῆς μὲν γὰρ Καρπασίας ὁ πολίτης Καρπασεώτης, καὶ Καρπασεὺς (Στ. Βυζ.)· τοῦ δὲ Φίλωνος ἡ πατρὶς ἀδιόριστος· καὶ μένει τὸ Καρπάσιος ἐπώνυμον ὡς ἐκ τῆς ἐπισκοπῆς· ἀλλὰ τὸ τοιαῦτα ἐπίθετα ποιεῖν ἀσύνηθες παρ᾽ Ἕλλησιν· ὀρθότερον οὖν οἶμαι τὸ, Φίλων ὁ Καρπασίου (ἐπίσκοπος). Οὕτως ἐπιγέγραπται ἐν ἀρχαίῳ κώδηκι· «Φίλωνος ἐπισκόπου τοῦ Καρπασίου ἑρμηνεία εἰς Ἆσμα Ἀσμάτων» (βλ. τὴν καλὴν ἔκδοσιν τοῦ Mich. Angel. Giacomelli, Romae, 1772 καὶ praef. αὐτόθ.). Ταῦτα χάριν τῶν διακρινόντων ὡς ἄλλον τὸν Καρπάθιον, καὶ ἄλλον τὸν Καρπάσιον, καὶ Καλπάσιον Φίλωνα. Βλ. καὶ Fabric. Bibl. Graec. vol. IV. p. 751. X. p. 479. Harl.

(Ματθ. ι, 20). Καὶ, «Δύω τοίνυν μαστοὶ αἱ δύω κέκληνται Διαθῆκαι, καὶ ἐκ μιᾶς, τῆς ἀθανάτου, πηγῆς τὴν ἐπίῤῥοιαν τοῦ πνευματικοῦ γάλακτος ἔχουσαι» κτλ. (σελ. 24, 26). Καὶ, «Νέα πρὸς παλαιὰ... ἐτήρησά σοι (Ἀσμ. ζ, 13)· τὴν Νέαν οἶμαι λέγειν Διαθήκην καὶ τὴν Παλαιὰν, ἐξ ὧν τὰ δικαιώματα καὶ προστάγματα ἡ Ἐκκλησία λαβοῦσα, τῷ ἰδίῳ αὐτὰ τηρεῖ νυμφίῳ· ἀπὸ μὲν τοῦ Νόμου ἀκούουσα τὸ Οὐ *μοιχεύσεις*· καὶ ἀπὸ τῆς Νέας ἐκ τῆς τῶν Εὐαγγελίων διαθήκης ἀκούουσα, καὶ τὴν *ἐπιθυμίαν ἐκκόπτειν*... Ἀπὸ τοῦ Νόμου ἀκούουσα τὸ Οὐκ ἐπιορκήσεις, καὶ ἀπὸ τῶν Εὐαγγελίων ἀκούουσα τὸ Μὴ *ὀμόσαι ὅλως*· καὶ .. ταῦτα τηρεῖ» (σελ. 182, 184). Καὶ πάλιν ἐκ τῆς Σοφίας τοῦ Σειρὰχ (σελ. 26, 82, κτλ.), καὶ ἐκ τῆς Σοφίας τοῦ Σολομῶντος (σελ. 40, 94) ὡς ἐκ θείας καὶ κανονικῆς Γραφῆς ἐκφέρει τὰς μαρτυρίας (ὃ καὶ ὁ ἐκδότης Ἰακωμέλης ἐσημείωσε. σελ. 166).

§. ρνγ. Βίκτωρ, Ἀντιοχείας πρεσβύτερος, Χρυσοστόμῳ σύγχρονος (τῷ 401). Τούτου πρὸς τοῖς ἄλλοις φέρονται καὶ βραχέα τινὰ σχόλια εἰς τὸ Δευτερονόμιον (α), καὶ ἐν τῇ εἰς τὸν προφήτην Δανιὴλ Σειρᾷ (ἐκδ. Μαΐου), καὶ εἰς ὅλον τὸν Ἱερεμίαν καὶ Βαροὺχ (β).

§. ρνδ. Ἀττικὸς, Κωνσταντινουπόλεως πατριάρχης (τῷ 406), ὁ πρῶτος πάλιν ἐν τοῖς ἱεροῖς διπτύχοις ἀναγράψας τὸ παρανόμως ἐξαλειφθὲν ὄνομα τοῦ πολυάθλου στεφανίτου, καὶ οἰκουμενικοῦ διδασκάλου τῆς πίστεως Χρυσοστόμου (γ). Καὶ τούτου τοίνυν τοῦ Ἀττικοῦ τὰ σῳζόμενα ὀλίγα τεμάχια, εἴ που μνημονεύουσι προφητικὰς μαρτυρίας, ἐκφέρουσιν ὡς ἰσοδυνάμους ταῖς θεοπνεύστοις φωναῖς τῶν Ἀποστόλων· οἷον· «Ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν (Φιλιπ. β, 7), . . . ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις» (Ψαλμ. ρμς, 8) (δ).

(α) Βλ. Σειρ. εἰς τὴν Ὀκτάτ. ἐκδ. Θεοτ. τόμ. α. σελ. 1653 κτλ. πρβλ. Cave. p. 202. καὶ Tom. 2. pag. 81.

(β) Βλ. Jeremiæ edit. Ghisler.

(γ) Βλ. Σωκρ. ζ, 2. 28. — Σωζόμ. η, 27.

(δ) Ἐν τοῖς πρακτικοῖς τῆς Γ. Συνόδου (βλ. Συνόδ. Συλλογ. τόμ. α. σελ. 485). Ἄλλο τεμάχιον σῴζεται παρὰ Θεοδωρήτῳ (Διαλ. β, σελ. 110), καὶ ἐπιστολὴ πρὸς Κύριλλον τὸν Ἀλεξανδρείας παρὰ Νικηφ. Ἐκκλ. Ἱστορ. ιδ, 26. κτλ.

§. ρνε. Θεόδωρος ὁ Ἀντιοχεὺς (τῷ 407), ὁ καὶ πρεσβύτερος Ἀντιοχείας, καὶ τῆς ἐν Κιλικίᾳ Μοψουεστίας ἐπίσκοπος (ὁ γὰρ αὐτός ἐστι Θεόδωρος ὁ Ἀντιοχεὺς, καὶ ὁ Μοψουεστίας) (α). Οὗτος ἐκ νέου τὰ μὲν ῥητορικὰ παρὰ Λιβανίῳ, τὰ δὲ θεολογικὰ καὶ τὴν μοναχικὴν πολιτείαν ἐπαιδεύθη παρὰ Διοδώρῳ τῷ Ταρσεῖ καὶ τῷ Καρτερίῳ, μετὰ τοῦ θείου Χρυσοστόμου συμμαθητεύσας. Ἔπειτα δὲ τῆς προθέσεως ἐκπεσὼν, καὶ βουλόμενος ἣν ἐνεστήσατο μοναδικὴν πολιτείαν ἀνταλλάξαι πρὸς τὰς βιωτικὰς τοῦ γάμου μερίμνας, πάλιν ἐπανῆλθεν εἰς τὴν φιλόσοφον ἄσκησιν, νουθετηθεὶς ὑπὸ τῶν δύω τοῦ Χρυσοῤῥήμονος πρὸς αὐτὸν ἐπιστολῶν. Σῴζονται δὲ καὶ καθ' ἡμᾶς, ἐπιγεγραμμέναι «*πρὸς Θεόδωρον ἐκπεσόντα*». Μετὰ δὲ ταῦτα (καθὰ προείρηται) τοῦ τε πρεσβυτερίου καὶ τῆς ἐπισκοπῆς ἠξιώθη. Ἐγένετο δὲ καὶ τῶν ἱερῶν βίβλων, καὶ τῆς ἄλλης παιδείας ῥητόρων καὶ φιλοσόφων ἱκανῶς ἐπιστήμων, καὶ κατά τε τῆς Ἀρείου, καὶ τῆς Εὐνομίου θεομάχου φάλαγγος, κατά τε τῶν λῃστρικῶν Ἀπολιναρίου λόγων ἰσχυρῶς ἀγωνισάμενος, ἠρίστευσεν, ὡς ὁ ἱερὸς μαρτυρεῖ Θεοδώρητος (β), οὗ καὶ διδάσκαλος ὁ Μοψουεστίας ἐχρημάτισε, καὶ αὐτοῦ δὲ τοῦ δειλαίου Νεστορίου. Καὶ μέχρι μὲν ἔζη, τὸν τῆς ἀληθείας λόγον ἐδόκει ὀρθοτομεῖν. Ἀποθανόντος δὲ (τῷ 429), πολλοῖς ὕστερον ἐνιαυτοῖς ἐκ τῶν ἤδη φερομένων γνησίων αὐτοῦ συγγραμμάτων, ἀκριβῶς ἐξετασθέντων, ἐξηλέγχθη περὶ τὸ θεῖον δόγμα τῆς εὐσεβείας βαρέως νοσῶν, καὶ τά τε τοῦ Νεστορίου καὶ πρὸ τοῦ Νεστορίου ὑπερευγόμενος (Φώτ. Ἀναγν. λη), καὶ ἄλλως κακοφρονῶν· διὸ καὶ μετὰ τῶν τοιούτων αὐτοῦ συγγραφῶν ὑπὸ τῆς Ε, Οἰκουμενικῆς ἁγίας Συνόδου ἀναθέματι καθυπεβλήθη (γ). Συνέγραψε δὲ πάμπολλα βιβλία, περὶ ὧν δια-

(α) Φώτ. Ἀναγν. δ, λη. πα. πρβλ. Cave. p. 210. κτλ. Ψευδῶς ἄρα διήρουν τινὲς (ἐν οἷς καὶ Ὄδιος, σελ. 332) τὸν Μοψουεστίας, ὡς ἕτερον τοῦ Ἀντιοχέως Θεοδώρου. Βλ. καὶ Fabric. Biblioh. Graec. vol. X. p. 346. Harl.

(β) Ἐκκλ. Ἱστορ. ε, 39. πρβλ. Σωκράτ. ϛ, 3: Σωζόμ. η, 2. Εὐάγρ. β, 1. κτλ.

(γ) Βλ. τῆς Ε. Οἰκουμενικῆς Συνόδου Πρακτ. ἐν Συνόδ. Συλλογ. Τόμ. β. σελ. 341 κτξ. - Λεόντ. π. Αἱρέσ. πράξ. δ. καὶ κατὰ Νεστορ. γ, 7. - Φώτ.

λαμβάνει ἡ ἐκκλησιαστικὴ φιλολογία, «Φιλοπονώτερον περὶ τὴν ἱερὰν ἡμῶν καὶ θείαν Γραφὴν διατεθεὶς, εἰ καὶ ἐν πολλοῖς παρασύρεται τῆς ἀληθείας» (Φώτ. Ἀναγ. ροζ). Μεταξὺ δὲ τῶν σωζομένων αὐτοῦ πονημάτων φέρονται καὶ τὰ εἰς τὴν Γένεσιν, καὶ εἰς τοὺς Ψαλμοὺς, καὶ εἰς τὸν Ἰώβ, ἐν ταῖς Σειραῖς ἐκδεδομένα ἐξηγητικὰ, καὶ μάλιστα τὰ εἰς τοὺς ιβ, Προφήτας ὑπομνήματα, καὶ τούτων ἀποσπάσματα, οὐ πρὸ πολλοῦ τοῦ χρόνου διὰ τύπων δημοσιευθέντα (α). Ἐν πᾶσι δὲ τούτοις τὴν μὲν φράσιν ὁ Μοψουεστίας φαίνεται τοιοῦτος, οἷον αὐτὸν ἐχάραξεν ὁ ζωγραφικὸς τοῦ Φωτίου κάλαμος (Ἀναγν. δ, λη, ροζ). «Οὐ πάνυ λαμπρὸς, οὐδὲ λίαν σαφής· καί τοι λέξει οὐ ξενιζούσῃ χρώμενος· ἀλλὰ τῷ σχοινοτενέσι χρῆσθαι περιόδοις, καὶ παρεμβολαῖς» (τουτ. παρενθέσεσιν) «ἀλλεπαλλήλοις· ταῖς δὲ διανοίαις λίαν πυκνὸς, καὶ ταῖς γραφικαῖς ἄριστα πλουτῶν μαρτυρίαις»(Διὰ δὲ τὰ βλάσφημα, καὶ τὴν,ὅσον ἠδύνατο,κατὰ γράμμα ἐξήγησιν τῆς θείας Γραφῆς, καὶ *ἰουδαιόφρων* ἐπεκλήθη· καὶ ἣν εἰς τοὺς Ψαλμοὺς συνέγραψε *προθεωρίαν*, *τυφλοποιὸν* ὠνόμασεν ὁ Λεόντιος, κατὰ Νεστορ. γ, 43). Τὰς δ' οὖν *γραφικὰς αἷς πλουτεῖ μαρτυρίας* ὁ Μοψουεστίας ἐκ τῶν Ο πάσας ἐκφέρει, καὶ ὡς θείας ῥήσεις ἐξηγεῖ (διὸ καὶ *τὴν χάριν τοῦ Πνεύματος* εἰς τὴν ἐξήγησιν ἐπικαλεῖται), καὶ δὴ καὶ ὡς αὐτολέκτους τῶν προφητῶν φωνὰς θεωρεῖ. Οὕτω, σαφηνίζων τὴν λέξιν «*ἣν οἱ Προφῆται καλοῦσι Λῆμμα*», ἀφ' οὗ διέγραψε τὴν ἐκ θείου Πνεύματος ἐν τῇ ἀποκαλύψει σύννουν ἔκστασιν τῶν Προφητῶν (βλ. ὄπισθ. σ. 61), ἐπιφέρει· «Τοιοῦτο δή τι βούλεται καὶ τὸ *Λῆμμα*· ἐκπλήξεως γάρ τι γέμον πολλάκις ὑποδεῖξαι τοῖς προφήταις βουλόμενος ὁ Θεὸς, ἀθρόαν αὐτῶν τῆς διανοίας τὴν μετάστασιν ἐποιεῖτο· *Λῆμμα* οὖν τοῦτο καλεῖ· ἐπειδὴ τοῦ Πνεύματος ἡ

Ἀναγν. δ, λη, πα, ροζ. - Σουΐδ. λ. Θεόδωρος. Θεοτόκ.— προλ. εἰς Ὀκτάτ. σελ. ιη. - Cave p. 211. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 585.

(α) Scriptor. vet. nov. collect. ed. a Majo T. 1. part. 2. pag. 41 sqq. καὶ T. VI. p. 1 - 298. Ἴδε καὶ τὰ ὑπὸ τοῦ σοφοῦ ἐκδότου περὶ τοῦ Μοψουεστίας καὶ τῶν πολυπληθῶν αὐτοῦ συγγραμμάτων ἐν τοῖς προλόγοις σημειωθέντα. T. I. pag. XVIII. seqq. καὶ T. VI. p. v. sq.

χάρις ὥσπερ ἀθρόον *ἐπιλαμβανομένη* τῆς τοῦ προφήτου διανοίας, πρὸς τὴν ἀποκάλυψιν αὐτὴν μεθίςῃ τῶν δεικνυμένων» (σελ. 76. ἐκδ. Μαΐου)· ἄλλα πλεῖστα παραλείπομεν. Καὶ κατ᾽ αὐτὴν δὲ τὴν κατὰ τῆς Ἱερωνύμου μεταφράσεως, εἰ καὶ ἀνωνύμως (Ἀρὰμ αὐτὸν ἐπονομάζων, πλαστὸν ἐπωνύμιον), ἀλλ᾽ ἄγαν ἐναργῶς καὶ χαρακτηριστικῶς ἐκδεδομένην αὐτοῦ γνώμην (α), τὴν ἑρμηνείαν τῶν Ο ὡς θείαν καὶ ἐξαίρετον τῶν λοιπῶν παρίστησιν ἑρμηνειῶν, ἐν οἷς φησὶν, «*αὐτὸν* (τὸν νέον μεταφραστὴν) *ἀπώσασθαι* [*τὴν*] *τῆς θείας καὶ παλαιᾶς Γραφῆς, ἣν οἱ Ο συνεληλυθότες ἐκδεδώκασι μετάφρασιν*, καὶ δὴ καὶ τὴν Συμμάχου καὶ Ἀκύλα καὶ τῶν ἄλλων» κτλ. Οὕτω συντόμως ἅμα καὶ σαφῶς ὑπογράφει τὴν καὶ ἐξ αὐτῆς τῆς *συνελεύσεως*, ἑπομένως δὲ (κατὰ τὸν Χρυσόστομον ἀνωτέρω, σελ. 611) καὶ συμφωνίας τῶν Ο δεικνυμένην κυριότητα καὶ αὐθεντίαν τῆς ἑρμηνείας αὐτῶν· προστίθησι δ᾽ ἔπειτα, κατὰ δεύτερον λόγον, συμφορήσας συνάμα πάσας καὶ τὰς τῶν ἄλλων (οὐχ ὡς καὶ ταύτας κανονικὰς, ἀλλ᾽ ὡς γενομένας παρ᾽ ἐμπείρων τῆς ἑβραϊκῆς), ὅπως ἀποδείξῃ τὸ μεμ-

(α) Βλ. ὄπισθ. σελ. 579. Ὅτι δὲ ἡ κρίσις αὕτη τοῦ Μοψουεστίας εἰς οὐδένα ἄλλον τῶν τότε, εἰμὴ τὸν Ἱερώνυμον ἀποτείνεται, ἀπέδειξαν μὲν καὶ ἄλλοι, καὶ ὁ **Cave p. 212.** (Βλ. καὶ **Fabric. Biblioth. Graec. vol. III. p. 717** καὶ **X. p. 362, 728. Harl.**). δηλοῦσι δὲ καὶ αὐτὰ τὰ χαρακτηριστικὰ, καὶ αἱ λέξεις τῆς ὅλης περικοπῆς. α) Διαγράφει τοῦτον «Ἐκ τῆς Δύσεως μὲν ὁρμώμενον, τοῖς δὲ τῆς Ἀνατολῆς ἐπιχωριάζοντα τόποις. β) Ὅτι καὶ πέμπτον Εὐαγγέλιον προσανέπλασεν, ἐκ τῆς Εὐσεβίου τοῦ Παλαιστινοῦ βιβλιοθήκης ὑποπλαττόμενος εὑρεῖν» (καὶ τοῦτο τὸ Εὐάγγελιον προφανῶς ἐςὶ τὸ καθ᾽ Ἑβραίους, ὅπερ Ἱερώνυμος ἐν ταῖς βιβλιοθήκαις τῆς Καισαρείας εὑρὼν, ἐξελλήνησέ τε, καὶ ἐξελατίνισεν, ὡς αὐτὸς μαρτυρεῖ, Καταλ. Ἐκκλ. Συγγρ. §. 23). γ) Ὅτι «καινὴν ἐκ τοῦ ἑβραϊκοῦ συνέταξεν ἑρμηνείαν, Ἑβραίοις τισὶ τῶν χαμαιπετῶν ἑαυτὸν παραδοὺς» (ὅπερ καὶ μόνον ἀρκεῖ πρὸς γνώρισμα τοῦ Ἱερωνύμου. Οὐδεὶς γὰρ ἄλλος τῶν Χριστιανῶν, πλὴν αὐτοῦ, τοιοῦτον ἐτόλμησεν ἔργον). δ) Λέγει δὲ τοῦτον καὶ αἱρετικὸν ὁ Θεόδωρος (εἰς αὐτὸν ἐπισωρεύων ἀδίκως, ὅσα τινὲς ἄλλοι τῶν τότε Δυτικῶν ἐβλασφήμουν περὶ τοῦ φύσει καὶ οὐ γνώμῃ πταίειν τοὺς ἀνθρώπους), διότι ὁ Ἱερώνυμος συνέγραφε κατὰ Πελαγιανῶν, ὧν ταῖς δόξαις ἐνείχετο ὁ Μοψουεστίας (βλ. τὸ χωρίον ἐν Φωτ. Ἀναγν. ροζ. καὶ **Cave l. c.**).

πτὸν καὶ περιττὸν τῆς ἐγχειρήσεως τοῦ καινοφανοῦς, καὶ μηδὲ τὴν ἑβραίαν γλῶσσαν ἐξακριβοῦντος μεταφραστοῦ. Ὁ δὲ κλεινὸς Ὅδιος ταύτην μόνην τὴν περικοπὴν (οὐδὲν γὰρ εἶχεν ἕτερον εὐάφορμον) τοῦ Μοψουεστίας μνημονεύσας, τοῦτο μόνον ἐνεῖδεν ἐν αὐτῇ, ὅτι «ὁ Θεόδωρος ψέγει τὸν νέον μεταφραστὴν, διότι *οὐ μόνον* τὴν τῶν *Ο, ἀλλὰ καὶ τὴν Ἀκύλα καὶ Συμμάχου καὶ τῶν ἄλλων ἑρμηνείαν ὑπερεῖδεν*». Οὕτως ὁ κριτικὸς διὰ τοῦ, «*οὐ μόνον, ἀλλὰ καὶ*» ἠρέμα κατασκευάζει τὰς ἐπιφερομένας ἑρμηνείας τιμιωτέρας τῆς τῶν Ο παρὰ τῷ Μοψουεστίας κεκριμένας (πᾶν τοὐναντίον ὧν ἐκεῖνός φησιν)· ἢ γοῦν, τίθησιν ἁπάσας *ὑπὸ μίαν Μύκονον*. Ὡσανεὶ ἔλεγεν ὁ Μοψουεστίας ἀδιακρίτως, «ἀπώσατο (ὁ μεταφραστὴς) τὴν τῶν Ο, καὶ τὴν Ἀκύλα, καὶ τῶν λοιπῶν». Ἀλλ' αὐτὸς ἡμῖν Ὅδιος εὐθὺς ἀποδείξει τὸν ἄνδρα *πολλῷ κρείττους τῶν ἄλλων ἑρμηνευτῶν* ἀποκαλοῦντα τοὺς Ο. Μικρῷ γὰρ ὑποκαταβὰς, προστίθησι καὶ τὰ ἑξῆς, ὡς λόγους Θεοδώρου τοῦ Ἀντιοχέως (ὅστις ὁ αὐτός ἐστι καὶ ὁ Μοψουεστίας). «Ὅτι οὐ καιρίως ἅπαντα τούτοις (τοῖς Ο) ἡρμήνευται· ἔστι γὰρ ἐν οἷς ἀσθενέστερον τὴν ἑρμηνείαν ἐξήνεγκον· *ἐνίοτε δὲ καὶ ἀπέτυχον*, τῶν ἄλλων σαφέστερον καὶ ἀκολουθότερον εἰπόντων. Ἀλλὰ μὴν καθόλου τοῖς ἄλλοις συγκρινόμενοι, *κρείττους εὑρίσκονται πολλῷ*, κἂν ἀσυνηθέστερον εἰπόντες τὰ πλείονα» (Σειρ. εἰς Ψαλμ. νε. 7). Ταῦτα ἡ κομμώτρια κουρὶς τῆς Ὀδίου κριτικῆς ἀπέκειρεν εὖ μάλα ἐκ τῆς ἀκολουθίας τῶν λόγων τοῦ Μοψουεστίας· ἀλλ' ἴδε τί λέγει οὗτος. «Ἀλλὰ καὶ τὴν Συμμάχου ἔκδοσιν ἀντιπαραθέντες, ἐδείξαμεν ἑκάστην λέξιν κειμένην *ἐν τῇ θείᾳ Γραφῇ κατὰ τὴν τῶν Ο ἔκδοσιν*, ὅπως Σύμμαχος ἐν τῇ οἰκείᾳ ἐκδόσει φαίνεται εἰρηκώς. — Ἡ δὲ διαφορὰ, ἐν τῷ, τὸν μὲν σαφέστερον εἰπεῖν, ἀπὸ τῆς διανοίας φροντίσαντα, τοῦ δὲ (γρ. *τῶν δὲ*) ἀμαυρότερον, ἐμφαντικωτέραις ταῖς λέξεσι καὶ κατὰ τὴν ἐν τῷ ἑβραϊκῷ διάνοιαν ἐκδοῦναι βουληθέντος (γρ. *βουληθέντων*)· ὃ καὶ πολλαχοῦ, καὶ μικροῦ ἐν τοῖς πλείοσίν ἐστιν εὑρεῖν. *Ὅθεν* [οἱ] Ο *μὲν ἐσπούδασαν μᾶλλον τὴν ἐν τῷ ἑβραϊκῷ ἔμφασιν ἀδιάφορον* (γρ. ἀδιάφθορον) *φυλάξαι*· ὁ δὲ Σύμμαχος τῆς σαφη-

νείας ἐπιμελεῖσθαι ἔδειξεν (γρ. *ἔδοξεν*)· ἐπιτυγχάνει δ' οὐ πανταχοῦ τῆς οἰκείας ἀξίως ἐπιχειρήσεως· *πολλαχοῦ γὰρ* παρὰ (γρ. *περὶ*) *τὴν σαφήνειαν ἀσχολῶν ἑαυτὸν δῆθεν, πολὺ ἀπᾴδοντα τῆς διανοίας τίθησιν*. Ὅθεν ΤΙΝΕΣ, *οὐ πρὸς τὴν ἀκολουθίαν ἰδόντες, ᾠήθησαν* ἀπὸ τῆς κατὰ τὸ πρόχειρον σαφηνείας κρείττονα εἶναι τὴν Συμμάχου ἔκδοσιν τῆς τῶν Ο· *ὅτι οὐ καιρίως*» (καὶ τὰ ἑξῆς, ὡς ἀνωτέρω). Ὥστε ἐν τούτοις ὁ Μοψουεστίας, α) *θείαν Γραφὴν τὴν κατὰ τοὺς Ο* λέγει μόνην, τὴν δὲ τοῦ Συμμάχου *ἔκδοσιν* ἁπλῶς ἀναφέρει. β) Ἀνακηρύττει, ὅτι οἱ Ο διεφύλαξαν ἀδιάφθορον τὴν *ἔμφασιν* (δηλονότι τὴν ἔννοιαν, τὴν σημασίαν) τοῦ ἑβραϊκοῦ πρωτοτύπου· κακίζει δὲ τὸν περὶ τὴν σαφήνειαν δῆθεν ἀσχοληθέντα Σύμμαχον, ὡς διαφθείραντα τὸ νόημα τῆς Γραφῆς. γ) Ψέγει, τέλος, καὶ τοὺς οἱουσδήποτε τούτους, *οὓς ΤΙΝΑΣ* λέγει (καὶ πιθανώτατα αὐτὸν ἐκεῖνον, ὃν εἶπεν *Ἀρὰμ*, τὸν Ἱερώνυμον), ὡς οὐ συνιδόντας τὴν (παρὰ τοῖς Ο) *ἀκολουθίαν* τοῦ νοήματος, καὶ κακῶς εἰπόντας, ὅσα παρήγαγεν ἡμῖν Ὅδιος αὐτὸν δῆθεν τὸν Ἀντιοχέα Θεόδωρον λέγοντα καὶ φρονοῦντα! Τελευταῖον· οὗτος αὐτὸς ὁ Μοψουεστίας, οὐ συνεπτυγμένως, οὐδ' αἰνιγματωδῶς, ἀλλὰ χαλκοστόμου σάλπιγγος τορώτερον ἀνεκήρυξεν, ὅτι «Τῶν Ο, τὴν ἑρμηνείαν οἱ μακάριοι Ἀπόστολοι δεξάμενοι φαίνονται προδήλως· οἳ καὶ τοῖς ἀπὸ ἐθνῶν πιστεύσασι - παρέδωκαν τὰς θείας Γραφὰς - κατὰ τὴν τῶν Ο ἑρμηνείαν· παρ' ὧν καὶ παραλαβόντες αὐτὰς νῦν ἔχομεν ἅπαντες οἱ ἐξ ἐθνῶν τῷ Δεσπότῃ πεπιστευκότες Χριστῷ, ἔν τε ταῖς Ἐκκλησίαις ἀναγινώσκοντες, καὶ κατ' οἶκον ἔχοντες» (ἑρμην. εἰς Σοφον. α. ἴδε τὴν περικοπὴν πληρεστέραν, καὶ ἄλλην ὁμοίαν, ἐν τῷ Παραρτήματι). Γράφει τινὰ παροδικῶς ἐκ τῆς περικοπῆς ταύτης καὶ ὁ σοφὸς Ὅδιος, ὀκνηρῷ καὶ αἱμωδιῶντι καλάμῳ· καὶ εὐθὺς ἐπιφέρει. Διετείνατο δὲ ταῦτα (ὁ Μοψουεστίας) περὶ τῶν Ο, οὐχ' ὡς τῷ πνεύματι τῆς ἀναμαρτησίας ἠσφαλισμένων, ἀλλ' ὡς τοσούτων ὄντων τὸν ἀριθμὸν, καὶ ἐμπείρων περὶ τὰς θείας Γραφάς. Ἀλλ' ἐν τούτοις ὁ κριτικὸς οὐκέτι περικείρει, συκοφαντεῖ δ' ἄντικρυς τὸν γηραιὸν Μοψουεστίας, παρεξηγῶν αὐτοῦ τὴν διάνοιαν,

καὶ ἄλλης, πρὸς αἷς ὑπέπεσε, βλασφημίας ἔνοχον αὐτὸν ἀδίκως παριςάς. Εἰ γὰρ μὴ καὶ θείᾳ ἐπιπνοίᾳ γενομένην τὴν ἑρμηνείαν ἐπρέσβευεν ὁ Μοψουεςίας, ἐφρόνει λοιπὸν τοὺς Ἀποςόλους ἀθείαστόν τινα, καὶ ἐν πολλοῖς ἡμαρτημένην ἑρμηνείαν τῶν Προφητῶν, αὐτούς τε ἀναμίξαι ἐν ταῖς θεοπνεύστοις αὐτῶν συγγραφαῖς, καὶ τῇ Ἐκκλησίᾳ παραδοῦναι πρὸς ἀπόδειξιν τοῦ κηρύγματος τῆς Εὐαγγελικῆς ἀληθείας! Ἀλλὰ τοιαύτην πλάνην φρενῶν ὁ Μοψουεστίας πάντως οὐδαμοῦ οὐδέποτ' ἐφάνη ῥεμβόμενος.

§. ρνς. Πολυχρόνιος (τῷ 410), Σύρος τὸ γένος, Θεοδώρου τοῦ Μοψουεστίας αὐτάδελφος, τὸ μὲν πρῶτον παρὰ Ζεβινᾷ τῷ θαυμασίῳ Ἀσκητῇ μαθητεύσας, εἶτα δὲ καὶ Ἀπαμείας ἐπίσκοπος χειροτονηθεὶς, «τῇ τοῦ λόγου χάριτι καὶ τῇ τοῦ βίου λαμπρότητι χρώμενος» (α). Συνέγραψε καὶ οὗτος ὑπομνήματα εἰς πᾶσαν μονονοὺ τὴν θείαν Γραφήν. Ἐκ δὲ τούτων εἰσὶ καὶ τὰ καθ' ἡμᾶς ἐν ταῖς Σειραῖς σωζόμενα εἰς τε τὴν Πεντάτευχον (ἐκδ. Θεοτόκη), καὶ εἰς τὸν Ἰὼβ, καὶ εἰς τὸν Ἰεζεκιὴλ (ἐξ οὗ καὶ ὁ θεῖος Δαμασκηνὸς ἔγραψε περικοπὰς ἐν τοῖς ὑπὲρ τῶν ἁγίων εἰκόνων λόγοις), καὶ ἄλλα πλεῖστα εἰς τοὺς ἄλλους Προφήτας, καὶ τὰ εἰς τὸν Δανιὴλ, πληρέστερα ὑπὸ τοῦ Μαΐου ἐκδοθέντα (β). Ἐν δὴ τούτοις ὁ ἀξιάγαστος Πολυχρόνιος τὴν ἑρμηνείαν τῶν Ο ὡς μόνην ἐκκλησιαστικὴν Γραφὴν ἐξηγῶν, μέμνηται ἐνίοτε (οἷον εἰς τὸν Ἰὼβ) καὶ τῶν λοιπῶν ἑρμηνευτῶν, πρὸς πλείονα διασάφησιν τῆς διανοίας τῶν Ο (κατὰ τὸ σύνηθες καὶ ἄλλοις Πατράσι). Καὶ ταῦτα τὰ χωρία ὄδιος ἁπλῶς ἀριθμεῖ, μηδὲν ἐκ τούτων κατὰ τῶν Ο, ποριζόμενος (ᾐδέσθη γὰρ ὡς ἔοικε, μνησθεὶς τῶν Ἱερωνύμου λόγων, ὅστις καὶ αὐτὴν αὐτοῦ τὴν ἑρμηνείαν ἔλεγεν ὑπηρετοῦσαν εἰς διασάφησιν τῶν Ο. βλ. ὄπισθ.

(α) Θεοδώρ. Ἐκκλ. Ἱστορ. ε, 39. καὶ Φιλοθ. ἱστορ. κδ'. - Θεοτόκ. προλόγ. εἰς Ὀκτάτ. τόμ. α. σελ. κγ. πρβλ. Cave p. 213. Fabric. Bibl. Graec. vol. VIII. p. 661 καὶ vol. X. p. 362. Harl. - Maij Prolegom. in Script. vet. Nov. Collect. T. 1. p. XXX. Ὅπου καὶ τὸν Λεκυῖνον ὀρθῶς ὁ Μάϊος ἐξελέγχει, παραλειπόντα Πολυχρόνιον τὸν πάνυ ἐν τῷ καταλόγῳ τῶν Ἀπαμείας ἐπισκόπων (Lequin, Oriens Christ. T. 2. p. 911).

(β) Βλ. Maij Script. vet. nov. Collect. T. 1. part. 2. p. 105—160.

σελ. 595). Τοῦ δὲ Πολυχρονίου φέρεται καὶ εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ἐξήγησις, ἣν συνέγραψεν ἔτι Διάκονος ὢν (α). Καὶ τοῦτο δὲ τὸ Σολομώντειον τεῦχος, ὡς θεόπνευστα λόγια, κατὰ τὴν ἑρμηνείαν τῶν Ο ἐξηγεῖ. Αὐτίκα, ἐν ἀρχῇ ἀλληγορῶν τὰ πρόσωπα τοῦ βιβλίου, «Νυμφίος (φησὶν) ὁ Κύριος ἡμῶν· Νύμφη, ἡ Ἐκκλησία· φίλοι τοῦ νυμφίου, ἄγγελοι καὶ ἅγιοι· Νεάνιδες, αἱ τῆς Ἐκκλησίας ἀκόλουθοι» κτλ. Καὶ ἑξῆς, «Καὶ Σαλομὼν μὲν ᾄδει τὴν (ἴσ. γρ. τὸ) ἐπιθαλάμιον. Ἰωάννης δὲ παρανυμφεύει, ὁ φίλος τοῦ νυμφίου. Ἡσαΐας δὲ προικογραφεῖ, *λαβὼν τόμον καινόν*· καὶ Δαβὶδ (Ψαλμ. μδ) νυμφοσολεῖ, *Ἄκουσον*, λέγων, θυγάτηρ (γρ. *θύγατερ*)» κτλ. Καὶ τοὺς *δύω δὲ μαστοὺς*, εἰς τὰς δύω Διαθήκας ἀλληγορεῖ (ὡς ὁ Φίλων ἀνωτέρω, καὶ Γρηγόριος ὁ Νύσσης, καὶ ὁ Θεοδώρητος, καὶ ἄλλοι τοῦ Ἄσματος ἐξηγηταί). Καὶ πολλαχοῦ τὰς ἐκ τῶν Ο προφητικὰς ῥήσεις ταῖς ἀποστολικαῖς ὡς ἰσοδυνάμους καὶ ἀλληλουχουμένας παρασυνάπτει. Ὅδιος δὲ τούτοις μὴ προσχών, ἢ καὶ μὴ ἐντυχών, ἐπάγει κατὰ τῶν Ο δύω τοῦ Πολυχρονίου γνώμας, τὰς ἑξῆς. α) Ἐν τῷ προοιμίῳ τῆς εἰς τὸν Ἰὼβ ἐξηγήσεως ἔγραψεν οὗτος, «Ὅτι (οἱ μετὰ τὸν Νόμον θέλοντες ἀκμάσαι τὸν Ἰὼβ) *παραγράφονται* τὴν ἐν τῷ τέλει γενεαλογίαν (τοῦ Ἰὼβ), ὡς μὴ ἐμφερομένην ἐν τῷ ἑβραϊκῷ· τοῦ δὲ τεύχους ὄντος ἄχρι τοῦ, καὶ *ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος, καὶ πλήρης ἡμερῶν*». Ἕως ὧδε Ὅδιος ἐκ τοῦ Πολυχρονίου, τὰ δὲ τούτου καθεξῆς ἀκολουθοῦντα γράμματα παρεῖδε. «Καὶ ταῦτα μὲν (προστίθησιν ὁ Πολυχρόνιος) οἱ μετὰ Νόμον θέλοντες εἶναι, καὶ ἐθνικὸν (τὸν Ἰὼβ). *Ἐπιστήσεις δὲ οὐ μόνον ἐκ τῆς ἐν τῷ τέλει γενεαλογίας (ἣν δὴ καὶ δεχόμεθα, οἷα τοῖς Πατράσιν ἐγκεκριμένην)* τῆς βίβλου (β), πρὸ Νόμου γεγενῆσθαι

(α) «Πολυχρονίου διακόνου ἐξήγησις εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων». (καὶ ἄλλη ἐπιγραφὴ) Ἐξήγησις διαφόρων εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ὑπὸ Πολυχρονίου διακόνου συναχθεῖσα. Βλ. Meursij Oper. T. VIII. p. 214— 259 ἐκδ. Lami.

(β) Τὸ «τῆς βίβλου» ἀνήκει εἰς τὸ προηγούμενον ἐν τῷ τέλει, καὶ ἴσως ἐκεῖ γραπτέον ταύτην τὴν γενικήν, ὡς ἐξ ἀβλεψίας τῶν μεταγραφέων μετατοπισθεῖσαν.

τὸν δίκαιον, ἀλλ' ὅτι καὶ τοσοῦτον ἐβίω χρόνον» κτλ. (α). – β) Ἄλλην τοῦ Πολυχρονίου χρῆσιν Ὄδιος ἐπήγαγε τὴν περὶ τοῦ ὕμνου *τῶν τριῶν παίδων*· λέγει δὲ ταῦτα ἡ χρῆσις· «Εἰδέναι δεῖ, ὡς οὗτος ὁ ὕμνος οὐ κεῖται ἐν τοῖς Ἑβραϊκοῖς, ἢ ἐν τοῖς Συριακοῖς βιβλίοις· λέγεται γὰρ *ἀπὸ τῶν εἰρημένων* παρά τινων μετὰ ταῦτα συντεθεῖσθαι»· ἕως ὧδε καὶ τοῦτο παρ' Ὀδίῳ (β). Ὁ δὲ Πολυχρόνιος προστίθησι καὶ τὰ ἑξῆς. «Διόπερ καὶ αὐτὸς τὴν καθ' ἑκάστην (ἴσ. γρ. *καθ' ἕκαστον*) αὐτῶν ἑρμηνείαν παρήσω, τῆς ἑρμηνείας μόνον ἐχόμενος τῆς βίβλου» (γ). Ἀλλὰ καὶ σὺν πᾶσι τούτοις ὁ Πολυχρόνιος οὐδὲν ἕτερον ἔγραψεν, εἰμὴ ὅ,τι πολὺ πρότερον αὐτοῦ διεκήρυξεν Ὠριγένης· ὅτι «ταῦτα ἐν τοῖς ἑβραϊκοῖς ἀντιγράφοις λείπουσι» (Ἐπιστ. π. Ἀφρικαν.), ἅτε καὶ ταῦτα κολοβωθεῖσιν, ὡς καὶ τῆς Σωσάννης τὴν ἱστορίαν. Ἀπὸ τοιούτου πεπηρωμένου ἑβραϊκοῦ ἀντιγράφου λελωβημένην Συριακὴν ἑρμηνείαν ἀναγνοὺς καὶ Πολυχρόνιος, ταύτῃ παρηκολούθησε, καθὸ Σύρος· καί τοι διὰ τοῦ *λέγεται* σαφῶς ἐκφράσας ὡς λεγομένην μόνον, ἀλλ' οὐ καὶ βεβαίαν οὖσαν τὴν δῆθεν μετὰ ταῦτα τοῦ ὕμνου προσθήκην. Πῶς γὰρ ἂν ἐπρέσβευε τοῦτο βεβαίως ὁ Πολυχρόνιος, ὅςις ἧδε πάντως καὶ αὐτὸς ἐν τῇ Ἐκκλησίᾳ τὸν θεῖον τοῦτον, καὶ παγκόσμιον, «καὶ *ἐξ ἐκείνου* (τοῦ χρόνου) *πανταχοῦ τῆς οἰκουμένης ᾀδόμενον, καὶ εἰς τὰς μετὰ ταῦτα γενεὰς ᾀσθησόμενον ὕμνον*»; Καὶ τοῦτο μαρτυρεῖ Σύρος πάλιν ἄλλος (ὅσον ἐκ τῆς χώρας), καὶ σύγχρονος αὐτοῦ, καὶ οἰκουμενικὸς διδάσκαλος, ὁ Χρυσόςομος. Καὶ αὐτὴ δὲ ἡ Συριακὴ ἑρμηνεία ἐν ἄλλοις τελειοτέροις ἀντιγράφοις εἶχε τὸν ὕμνον τῶν γ, παίδων, ὃν καὶ ἄλλος πάλιν Σύρος ἀνέγνω προγενέστερος, ὁ μακάριος Ἐφραίμ· καὶ τρίτος Σύρος ἕτερος, ὁ Θεοδώρητος (εἰς Δαν. γ.). Ἔχει δὲ τοῦτον καὶ ἡ ἐν ταῖς καθ' ἡμᾶς Πολυγλώττοις ἐκδεδομένη Συριακὴ ἑρμηνεία. Ἡρμήνευσε

(α) Βλ. Προοίμ. τῆς τοῦ Νικήτα Σειρ. εἰς τὸν Ἰώβ. ἐκδ. P. Junij. πρβλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 587.

(β) Ἐκ τῶν εἰς τὸ γ, κεφάλ. Δανιὴλ σχολ. τῆς ἐν Ῥώμῃ ἐκδ. τῶν Ο.

(γ) Τὰ «ἐκ τῆς Πολυχρονίου εἰς τὸν Δανιὴλ ἑρμηνείας» ἐν Script. vet. nov. Collect. edit. Maij vol. 1. part. 2. pag. 113.

τὸν ὕμνον καὶ ὁ Θεοδοτίων, ὡς ἔτι τότε σωζόμενον ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ. Ἐμνημόνευσε δὲ καὶ Ὠριγένης· καὶ πρὸ τούτου Κλήμης ὁ Στρωματεὺς (ἐν ταῖς ἐκ τῶν προφητῶν Ἐκλογαῖς, ὡς ἐκ τοῦ Δανιὴλ ῥητῶς ἀναφέρων τὸν ὕμνον, σελ. 774), καὶ Κυπριανὸς (α), καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (β), καὶ Ἰσίδωρος ὁ Πηλουσιώτης (Ἐπιϛ. Δ, 9), καὶ ἄλλοι τῶν ἀρχαιοτέρων Πατέρων, περὶ ὧν προείπομεν (Βιβλ. Γ. σελ 654).

§. ρνζ. Εὐδόξιος, Ἀρμένιος τὸ γένος, Γερμανικείας ἐπίσκοπος, εἶτα δὲ καὶ τὴν τῆς Ἀντιοχείας προεδρίαν ἁρπάσας, καὶ αὐτὴν δὲ, τέλος, τὴν καθέδραν τῆς Κωνσταντινουπόλεως (γ). Τερμέρειον κακόν! Εἷς τῶν ἐπὶ Κωνσταντίου τοῦ Αὐτοκράτορος πολλαχοῦ τὴν Ἐκκλησίαν λυμηναμένων ὀλέθρων Ἀρειανῶν (ἐτελεύτα τῷ 370). Εἰς τοῦτον ὁ Λαμβέκιος, καὶ ἄλλοι τῶν νεωτέρων ἀπένειμαν τὰ ἐπ' ὀνόματι *Εὐδοξίου φιλοσόφου* φερόμενα εἰς τὸν Ἰὼβ, καὶ εἰς ἄλλα τεύχη τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης σωζόμενα ὑπομνήματα, ἢ σχόλια ἐξηγητικά. Ἀλλὰ τὸν Ἀρμένιον Εὐδόξιον οὐδεὶς τῶν ἱστορικῶν οὔτε *φιλόσοφον* ἐπωνόμασεν, οὔτε συγγραφῆς τινος αὐτοῦ ἐπεμνήσθη. Καί φαίνεταί τις πιθανώτερον ἄλλος ὁ *φιλόσοφος Εὐδόξιος*, νεώτερος τοῦ Ἀρμενίου (ἴσως περὶ τὸ 400). Πρὸς ταύτην ἴσως τὴν γνώμην καὶ Ὅδιος ἀπέκλινεν, ὡςἔοικε, κατόπιν τοῦ Πολυχρονίου μνημονεύσας τὸν Εὐδόξιον· καὶ τοῦτο, μόνον ὅπως ἀποδείξῃ καὶ τοῦτον ταὐτὰ Πολυχρονίῳ λέγοντα περὶ τῆς τῶν γ, Παίδων ᾠδῆς. Γράφει δὲ τὴν Εὐδοξίου χρῆσιν λατινιστὶ, ὡς ἐκ τῆς *Σειρᾶς τῶν Πατέρων εἰς τὰς ᾠδὰς τῆς Γραφῆς*· καὶ λέγει ἡ λατινίζουσα χρῆσις ταὐτὰ σχεδὸν καὶ ἀπαράλλακτα, οἷα καὶ τὰ τοῦ Πολυχρονίου· ὅτι «Εἰδέναι δεῖ, ὡς οὗτος ὁ ὕμνος οὐ κεῖται οὔτε ἐν τοῖς ἑβραϊκ. οὔτε ἐν τοῖς Συριακοῖς βιβλίοις» κτλ.

(α) Cyprian. de Lapsis. — (β) Κυριλ. Ἀλεξ. ἑορταστ. λόγ. ιη. σελ. 209.

(γ) Σωκράτ. Ἐκκλ. ἱστορ. Β. 37, 42. δ, 14: Σωζόμ. ς. 12; Φιλοστόργ. δ, 4, Θεοδώρητ. β. 20 : Σουΐδ. λ. Εὐδόξιος. πρβλ. Cave T. 2. p. 44. Fabric. Biblioth. Graec. vol. VII. p. 652, 654 καὶ IX. p. 261. Harl. - Maij. prolegom. in Scriptor. vet. nov. coll. T. I. p. XXXIIII.

Ἀλλὰ ταῦτα τὰ λεγόμενα τοῦ Εὐδοξίου οὐδέν ἐστιν ἕτερον, εἰμὴ πλάνη λατίνων βιβλιογράφων, ἐπιγραψάντων τὰ τοῦ Πολυχρονίου εἰς τὸν Εὐδόξιον. Ὅθεν οὐχ εὑρίσκεται τὸ Σχόλιον οὔτε ἐν τῇ τῶν Πατέρων (εἰς ἣν Ὄδιος παραπέμπει) *Σειρᾷ εἰς τὰς ᾠδὰς τῆς Γραφῆς*, ἣν ἐξέδωκεν ὁ Κορδέριος, οὔτε ἐν τῇ *εἰς τὸν Δανιὴλ ὑπὸ διαφόρων ἑρμηνείᾳ*, ἢ *Σειρᾷ* (ἣν ὁ Μάϊος ἐξέδωκεν) (α). Ἐν ταύτῃ δὲ πολλὰ τοῦ Εὐδοξίου σχόλια· ἐν οἷς καὶ τὰ εἰς τὴν Ὠδὴν τῶν γ, Παίδων (Δαν. γ, 1), ὑφ' ἓν μετὰ τῶν ἄλλων τοῦ Προφήτου ῥητῶν ἀδιακρίτως εἰσὶ συνημμένα, καὶ πάντα ὡς τοῦ θείου Πνεύματος λόγια ἐξηγούμενα. Οἷον εἰς τὸ «Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη (Δαν. γ, 49) ὁ Εὐδόξιος σχολιάζει· «Ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ἄνω τε ὢν, καὶ κάτω παρὼν, συγκατῄει· τὴν *χρείαν μηνύων, οὐ κίνησιν ἐμφαίνων*» (β). «Ὁ δὲ ἄγγελος Κυρίου· καὶ οὐκ εἶπεν *ἄγγελος Κυρίου*, ἀλλ' ὡρισμένως καὶ κατ' ἐξοχὴν μηνυόμενος· οὐ γὰρ ἦν ἀγγελικῆς δυνάμεως, οὐδὲ λειτουργικῆς ἰσχύος ταῦτα δρᾶν» κτλ. (σελ. 185). Καὶ πάλιν εἰς τὸ «*Δανιὴλ ἐνύπνιον εἶδε*» (Δαν. ζ.) διὰ τί καθ' ὕπνον τὸ ὅραμα, ἐξηγῶν ὁ Εὐδόξιος, «*Μονονουχί* (φησι) *λέγοντος τοῦ θείου*, ὡς τότε γρηγορεῖ τὰ θεῖα, ὅτε ἠρεμεῖ τὰ ἀνθρώπινα» (σελ. 198). Ἄλλα παραλείπομεν. Ὡσαύτως καὶ εἰς τὸν Ἰὼβ (ἐν τῇ Σειρᾷ), ὡς θεῖα λόγια τὰ τῶν Ο ἐξηγεῖ Εὐδόξιος ὁ φιλόσοφος.

§. ρνη. Συνέσιος ὁ Κυρηναῖος, καὶ αὐτῆς τῆς Κυρήνης, μιᾶς τῆς ἐν Λιβύῃ Πενταπόλεως, ἐπίσκοπος (τῷ 410) γνωστὸς ἀπό τε τῆς Ἐκκλησιαστικῆς ἱστορίας, καὶ τῶν σωζομένων αὐτοῦ λόγων, καὶ ἐμμέτρων ὕμνων, καὶ μάλιστα ἀπὸ τῶν ἐπιστολῶν, «αἵ χάρι-

---

(α) Βλ. Script. veter. nov. collect. T. 1. part. 2. p. 182.

(β) Ἐκπέπτωκε προφανῶς ἐκ τῆς περιόδου τὸ, Σ υ γ κ α τ έ β η δ έ φ η σ ὶ ν ὁ π ρ ο φ ή τ η ς, (τὴν χρείαν μηνύων κτλ.), ἤ τι τοιοῦτο. Δηλοῖ δὲ καὶ ὁ λατῖνος ἑρμηνεύων ministerium autem S c r i p t o r innuit, non motum ostendit, τουτ. τὴν χρείαν (τὴν βοήθειαν τοῦ ἀγγέλου) ὁ συγγραφεὺς ἐννοεῖ, οὐ κίνησιν δείκνυσι. Καὶ ἐν τοῖς ἑξῆς πρὸ τοῦ ὠ ρ ι σ μ έ ν ω ς, ἐκπεπτωκέναι δοκεῖ τὸ ὁ ἄ γ γ ε λ ο ς (ἀλλ' ὁ ἄ γ γ ε λ ο ς, ὁ ὡρισμένως κτλ.).

τος καὶ ἡδονῆς ἀποσάζουσι, μετὰ τῆς ἐν τοῖς νοήμασιν ἰσχύος καὶ πυκνότητος» (α). Καὶ οὗτος ἐν τῇ εἰς τὸν ΟΔ, ψαλμὸν Ὁμιλίᾳ τό, τε «*Ποτήριον ἐν χειρὶ Κυρίου*» κτλ. λαμπροφώνως ἐκ τῶν Ο διασαφοῖ, καὶ τὸ πνευματέμφορον τῆς ἑρμηνείας ἀνακηρύττει μεγαλοφρόνως, λεγων· «Οὐδὲν μέλει τῷ θεῷ θεοφορήτου λέξεως» (οἵαν Ἕλληνες αὐχοῦσι). «*Πνεῦμα θεῖον ὑπερορᾷ μικρολογίαν συγγραφικήν*. Καὶ πάλιν· «Περὶ ποίου *ποτηρίου* φησίν; ὃν τοῖς ἀνθρώποις θεόθεν προποθέντα λόγον ἔχομεν παρὰ τοῦ Θεοῦ, ἐν Παλαιᾷ Διαθήκῃ καὶ Νέᾳ.—Καὶ τὸ ποτήριον ἕν· *Ἓν γὰρ ἔπνευσε Πνεῦμα καὶ εἰς Προφήτην καὶ εἰς Ἀπόστολον*· καί, κατὰ τοὺς ἀγαθοὺς ζωγράφους, πάλαι μὲν ἐσκιαγράφησεν, ἔπειτα δὲ διηκρίβωσε τὰ μέλη τῆς γνώσεως»· (σελ. 295. ἐκδ. Πεταυίου). Ἀλλὰ καὶ ἐν τῇ ρκη, ἐπιστολῇ αὐτὸν εἰσάγει τὸν θεόπνευστον προφήτην Ἱερεμίαν ἰδιολογούμενον πρὸς ὃν γράφει τὴν ἐπιστολήν. «Καὶ νόμιζέ (φησι) καὶ πρὸς σὲ τὸν προφήτην μεγαλοφώνως κεκραγέναι· «*Τί σοι καὶ τῇ γῇ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γεών;*».

§. ρνθ. Ἰσίδωρος Πηλουσιώτης, ὁ τρισμακάριστος πρεσβύτης, ἢ πρεσβύτερος (τῷ 412), τοῦ μεγάλου Χρυσοσόμου χρυσολόγος μαθητής, τὸ δὲ γένος Ἀλεξανδρεὺς (ὡς μαρτυρεῖ Ἐφραίμιος παρὰ Φωτίῳ, Ἀναγν. σκη). Πηλουσιώτης δ' ἔοικεν ἐπονομασθείς, ὡς χρηματίσας διὰ χρόνου κορυφαῖος καθηγεμὼν τῶν ἐν Πηλουσίῳ (τῷ ὄρει) διαθλούντων ἀσκητῶν· ἀνὴρ ἐλλογιμώτατος, καὶ ῥήτωρ καὶ φιλόσοφος, καὶ τὸν βίον ὁσιώτατος, καὶ ἐν ἁγίοις δεδοξασμένος (ἑορτάζεται Φεβρ. δ) (β). Συνέγραψεν ἄλλα τέ τινα, καὶ τὰς σῳζομένας θαυμαστὰς

(α) Φώτ. Ἀναγν. κς. προβλ. Νικηφ. Ἐκκλ. ἱστορ· ιδ, 55. **Fabric. Bibl. Graec. T. IX. p. 190. Harl.**

(β) Ὁ Εὐάγριος (Ἐκκλ. ἱστορ. Α, ιε, ἐξ αὐτοῦ δὲ καὶ Νικηφόρος, Ἐκκλ. ἱστορ. ιδ, 53) λέγει περὶ τοῦ Ἰσιδώρου, «οὗ κλέος εὐρύ, κατὰ τὴν ποίησιν» (δηλαδή, ποιητικῶς εἰπεῖν, κατὰ τὸν ποιητήν· τὸν Ὅμηρον). Ἐκ τούτων δὲ τῶν λόγων σοφοί τινες ὑπέλαβον τὸν ἱερὸν Ἰσίδωρον καὶ ἔνδοξον ποιητὴν (βλ. προλεγ. τῆς ἐκδόσεως τοῦ Ἰσιδώρου)· ὁ δὲ Δουπῖνος (**Biblioth. T. 3. p. 4**) προστίθησιν, ὅτι τοιοῦτό τι ἐπίθετον ἀπέδωκε τῷ Ἰσιδώρῳ καὶ ὁ ἱερὸς Ἐφραίμιος. Ἀλλ' ἴσως ὁ Γάλλος σοφὸς ἐπίθετον ἐννοεῖ ἰσοδύναμον μόνον πρὸς τὸ «οὗ κλέος εὐρὺ»

ἐπιςολὰς, ἐπέκεινα τῶν δισχιλίων ἀριθμουμένας. Ἐν δὲ ταύταις αἱ πλεῖσται περὶ τῆς ἑρμηνείας ῥητοῦ τινος τῆς θείας Γραφῆς πραγματεύονται, καὶ λόγου κάλλει καὶ νοημάτων ἀκριβείᾳ συντεταγμέναι, κἂν σμικρῷ ποσῷ πολλάκις τὸ μέγα καὶ καλὸν διαγράφουσαι. Καὶ οὗτος τοίνυν ὁ Πατὴρ τὰ θεόπνευστα ῥήματα τῆς Π. Γραφῆς ἐκ μόνων τῶν Ο ἐκφέρει, καὶ σαφηνίζει, καὶ ἐξυμνεῖ. Τούτοις κέχρηται τοῖς μαρτυρίοις εἰς ἀπόδειξιν τῶν θείων δογμάτων, εἰς ἐξήγησιν πολλῶν τῆς Καινῆς Διαθήκης ῥητῶν, εἰς ἐπίλυσιν πολλῶν γραφικῶν ἀποριῶν, εἰς ἔκφρασιν τῶν Ἀποστολικῶν καὶ Πατρικῶν περὶ τὴν Ἐκκλησιαστικὴν οἰκονομίαν διατάξεων, θεολογῶν, ἠθικολογῶν, εὐσεβῶς φιλοσοφῶν, μετὰ ζήλου καὶ μετριόφρονος παῤῥησίας ἐλέγχων καὶ νουθετῶν πάντας καὶ παντοίους, πρὸς οὕς ἐπιστέλλει, κοσμικοὺς, μοναχοὺς, ἱερεῖς, ἀρχιερεῖς, αὐλι-

---

(οὐχὶ δὲ καὶ τὴν ποίησιν)· καὶ τοιοῦτο φαίνεται παρ' Ἐφραιμίῳ τὸ περίβλεπτος· «Ἐν τούτῳ τῷ κεφαλαίῳ (φησὶν ὁ Φώτιος) καὶ Ἰσιδώρου τοῦ ἐν μονάζοσι περιβλέπτου (Ἀλεξανδρεὺς δὲ τὸ γένος οὗτος ἦν, καὶ τοῖς ἀρχιερεῦσιν αἰδέσιμος) διαφόρους ἐξ ἐπιστολῶν διαφόρων χρήσεις ὁ Ἐφραίμιος ἐπιφέρει (Ἀναγν. σκη). Ὁ δὲ Γόβαρος λέγει ταῦτα· «ὁ εὐλαβέστατος Ἰσίδωρος ὁ τοῦ Πηλουσίου»· καὶ, «τὸν ἐν ἁγίοις Ἰσίδωρον». Καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ Σουΐδας λέγει· «Ἰσίδωρος πρεσβύτης (ἴσ γρ. πρεσβύτερος), ὁ Πηλουσιώτης, ἀνὴρ ἐλλογιμώτατος, φιλόσοφός τε καὶ ῥήτωρ, ἐπιστολὰς ἑρμηνευούσας τὴν θείαν Γραφὴν ͵Γ (3000) γέγραφε, καὶ ἑτέρας ͵Ζ (7000), καὶ ἄλλα τινά» (βλ. Sirmond. not. in. Facund. p. 79. ὅστις ἐξ ἀτελοῦς κώδηκος ἠρίθμησε χιλ. δύω· πρβλ. Cave pag. 214)· Σημειωτέον δὲ, ὅτι ἐν τῇ ἀρχαιοτέρᾳ τοῦ Σουΐδα ἐκδόσει λείπει τὸ, καὶ ἑτέρας ͵Ζ. Οἱ δὲ, ἀντὶ τοῦ ἑτέρας ͵Ζ γράφουσιν ἑτέρας ͵Ε, ἢ 5000 (Du-Pin Biblioth. T. 4. p. 4). Ἀλλὰ τὴν μυριάδα τῶν Ἰσιδώρου ἐπιστολῶν μαρτυρεῖ καὶ Νικηφόρος ὁ Κάλλιστος (Ἐκκλ. ἱστορ. ιδ, 53). Τελευταῖον, ὁ Βελλαρμῖνος (Script. Eccles.) τὰς σωζομένας Ἰσιδώρου ἐπιστολὰς ἀναγράφει 130 πλείονας, ἢ ὅσας ἔγραψε Σουΐδας (τουτ. 3130). Ἐκ δὲ τούτου δῆλον, ὅτι καὶ τὸν Σουΐδαν ἀνέγνω κατὰ τὴν ἀρχαίαν ἔκδοσιν, ἐν ᾗ λείπει τὸ ἑτέρας ͵Ζ, καὶ τὰς σωζομένας μεγάλως παρηρίθμησεν. Ὁ δὲ Δουπῖνος, σμικρῷ τῆς ἀληθείας ἔλαττον ἠρίθμησε, γράψας ταύτας 2012. Ἡ ἐν Παρισίοις ἔκδοσις περιέχει 2102. Βλ. «Τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου ἐπιστολῶν βιβλία πέντε, εἰς τὴν ἑρμηνείαν τῆς θείας Γραφῆς». Paris. 1638. πρβλ. Fabr. Bib. Graec. T. X. p. 480—484. Harl.

κοὺς, βασιλεῖς, (δῆλον δὲ, ὅτι καὶ αὐτοὶ, πρὸς οὓς ἐπέστελλε, μυρίοι ὅσοι, θεολέκτους πάντες ἐπίςευον τὰς πρὸς πίςωσιν τῶν λεγομένων ἐπαγομένας ῥήσεις τῶν Ο). Ἀλλὰ καὶ διαῤῥήδην *θείους χρησμοὺς*, καὶ *θεοδιδάκτους φωνὰς* τὰς τῶν Ο ῥήσεις ἀποκαλεῖ (Α, 5, καὶ 434), καὶ ὡς «*ἱερὰς καὶ κατὰ* λέξιν *θείας Γραφὰς*» *ἐκθειάζει* (Δ, 114). Ὅθεν καὶ τὰ λόγια τοῦ τε ψαλμῳδοῦ Δαυὶδ, καὶ τοῦ Σκεύους τῆς ἐκλογῆς (Παύλου) ὡς ἰσοσθενῆ συμπαραβάλλει, θάτερα διὰ τῶν ἑτέρων ἐπικυρῶν (Δ, 65). Καὶ κοινῶς δὲ τὸ λεκτικὸν *τῆς θείας σοφίας* (ἀμφοτέρων τῶν Γραφῶν) θεωρῶν, «*τὴν μὲν λέξιν πεζὴν, τὴν δὲ ἔννοιαν οὐρανομήκη*» διακηρύττει. «Ἔχομεν γάρ (φησι) τὸν πλοῦτον τῆς θείας σοφίας ἐν ταῖς ἱεραῖς Γραφαῖς, εὐτελέσι καὶ ἰδιωτικαῖς λέξεσι καὶ παραδείγμασιν ἐμπεριεχομένην» (Β, 4, 5). Καὶ πλατύτερον δὲ περὶ τῆς Γραφικῆς φράσεως πραγματεύεται «κατὰ τῶν αἰτιωμένων τὴν θείαν Γραφὴν, [ὡς] μὴ τῷ περιττῷ καὶ κεκαλλωπισμένῳ χρωμένην λόγῳ, ἀλλὰ τῷ ταπεινῷ καὶ πεζῷ.– Ἀλλά (φησιν) ἄμεινον παρ' ἰδιώτου τ' ἀληθὲς, ἢ παρὰ σοφιστοῦ τὸ ψεῦδος μαθεῖν. – Ἡ δὲ Γραφὴ τὴν ἀλήθειαν πεζῷ λόγῳ ἡρμήνευσεν, ἵνα καὶ ἰδιῶται καὶ σοφοὶ καὶ παῖδες μηδόλως παραβλάπτωνται· ἐκ δὲ ἐκείνου (τοῦ κεκαλλιεπημένου ψεύδους) τὸ πλέον τῆς οἰκουμένης μέρος προεβλάβη». Καὶ, «Ἂν τινων φροντίσαι ἐχρῆν, μάλιςα μὲν τῶν πλειόνων» (πρόσθες, *ἐχρῆν*)· «ἐπειδὰν δὲ καὶ πάντων ἐφρόντισεν (ἡ Γραφὴ), δείκνυται λαμπρῶς θεία οὖσα καὶ οὐράνιος» (Δ, 67). Καὶ ἁπλῶς τὴν κατὰ τοὺς Ο Παλαιὰν ὡς μόνην μετὰ τῆς Καινῆς ἁγίαν καὶ κανονικὴν διαπρεσβεύει, καὶ πρός τε ἰδίαν καὶ συχνὴν ἀνάγνωσιν συνιςᾷ (Δ, 91), καὶ ἐπ' ἐκκλησίας ἀναγινωσκομένην διακηρύττει. Οὐ περιττὸν δὲ προσθεῖναι καὶ ἃ περὶ τούτου διαγορεύει. «Πᾶσα μὲν γραφὴ (τουτ. συγγραφὴ) πρὸς εὐσέβειαν βλέπουσα, καλλίςη καὶ ἐπαινετὴ, καὶ ἐγκωμίων ἀξία. *Αἱ δὲ ἱεραὶ πτυκταὶ τῶν μαρτυρουμένων θείων Γραφῶν* τῆς πρὸς Θεὸν εἰσὶν ἀναβάσεως κλίμακες· *Πάντα τοίνυν τὰ ἐν* [τῇ] *Ἐκκλησίᾳ Θεοῦ προφερόμενα, ὡς δόκιμον δέχου χρυσίον, πεπυρωμένα τῷ θείῳ τῆς ἀληθείας Πνεύματι*· τὰ δὲ ἔξω ταύτης περιφερόμενα, εἰ καί τι ἔχοι πιθανὸν πρὸς

σεμνότητα, τοῖς ἔξω τῶν σῶν ἀγώνων ζητεῖν καὶ τηρεῖν καταλίμπανε» κτλ. (Α, 369). Ὅτι δὲ μετὰ τῶν ἐνδιαθήκων Γραφῶν καὶ τὰ *Ἀναγινωσκόμενα* ὡς θείας Γραφὰς κατὰ τὸν κανόνα τὸν Ἐκκλησιαστικὸν ὡμολόγει, δῆλον ἐκ τῶν μαρτυριῶν, ἃς ἐπάγει ἔκ τε τῆς Ἰουδεὶθ, καὶ τῆς Σοφ. Σολομῶντος, καὶ τῆς τοῦ Σειράχ (α). Τοσαῦτα καὶ ἐκ τῶν τοῦ θεοφόρου Ἰσιδώρου μελιῤῥύτων καὶ ἐκφαντορικῶν, καὶ οὐχ ἧττον θεολογικῆς διδασκαλίας, ἢ φιλολογικῆς ἐπιστολογραφίας καὶ καλλιεπείας τύπον καὶ κανόνα περιεχουσῶν ἐπιστολῶν.

§. ρξ. Κύριλλος ὁ θεσπέσιος ἱεράρχης Ἀλεξανδρείας, καὶ πάσης Ἐκκλησίας φωστὴρ (τῷ 412), ὁ μεγαλοφωνότατος κήρυξ τῆς ὀρθοδόξου πίστεως, καὶ τῆς θεοχρήσου καὶ παναγίας ἐπωνυμίας τῆς *Θεοτόκου* ὑπέρμαχος ἀπροσμάχητος. Συνέγραψε πολλὰ, ἐν οἷς ὁ τῆς θείας σοφίας *ἀκήρατος* πλοῦτος, ὡς ἐν ταμείοις ἁγίοις, ἐντεθησαύρισται· καὶ περὶ τούτων μὲν ἡ ἐκκλησιαστικὴ πραγματεύεται φιλολογία (б). Ἐν πάσαις δὲ ταῖς σῳζομέναις αὐτοῦ συγγραφαῖς, ἄλλαις τε παντοίαις, κἀν τοῖς γλαφυρωτάτοις αὐτοῦ *Γλαφυροῖς*, καὶ τοῖς ἄλλοις εἰς τὴν θείαν Γραφὴν ὑπομνήμασι, κἀν ταῖς Ἐπιςολαῖς, καὶ ταῖς Ὁμιλίαις, καὶ τοῖς ἀνεκτιμήτοις *Θησαυροῖς*, ἐκ τῶν Ο, τὰς προφητικὰς μαρτυρίας ἐξάγει· καὶ ταύτας ὡς βέλη πυρφόρα

(α) Οἷον Σοφ. Σολ. ἐν Ἐπιστολ. Α, 76. Δ, 143, 146. κτλ. - Σοφ. Σειρ. ἐν Δ, 58, 101, 157, 228, καὶ ἀλλαχοῦ πολλαχοῦ. - Ἰουδεὶθ, Α, 87, Ε, 363. Τὴν δὲ Σωσάνναν ὡς γνησίαν περιοχὴν τοῦ Δανιὴλ ἀναφέρει. Α, 87. Δ, 45, 71.

(б) Βλ. Θεοτόκ. προλ. εἰς Ὀκτάτευχ. σελ. κα. Πρбλ. καὶ Cave p. 215, καὶ Du Pin l. c. T. 4. p. 41. Ἀμφότεροι δὲ οὗτοι τὸν τοῦ θείου Κυρίλλου βίον ἐπιτομογραφοῦντες, ἐκεῖνο μάλιστα δίκαιον ποιοῦσιν ἔργον καὶ ἀξιέπαινον, ὅτι συνῳδὰ τοῖς ὀρθοφρονοῦσι καταστηλιτεύουσιν, ὡς ψεῦδος ἀναιδέστατον, ἥν τινες ἄλλοι τῶν νεωτέρων (ὡς ὁ La-Croze, Histoir. du Christianisme des Indes. Tom. 1. p. 14. seqq.), χολώδεις λόγους ἐμοῦντες, κακοήθως ἐπανέλαβον κατὰ τοῦ θεσπεσίου Κυρίλλου συκοφαντίαν· ὅτι δῆθεν ὁ θεοφόρος οὗτος Πατὴρ παρώξυνε τὸ πλῆθος τῶν Ἀλεξανδρέων εἰς τὸ μεληδὸν διασπάσαι τὴν ἐθνικὴν φιλόσοφον Ὑπατίαν! Τοῦτο δὲ τίς ἐξυλάκτησε πρῶτος; ὁ Νεοπλατωνικὸς καὶ μισοχριστότατος Δαμάσκιος (βλ. Σουϊδ. λ. Ὑπατία). Βλ. καὶ Fabric. Bibl. Graec. vol. IX. p. 188 καὶ 447. edit. Harl.

κατὰ τῆς λύσσης τῶν θεομάχων ἐκπέμπει, καταῤῥάσσων αὐτῶν τὸ φρύαγμα, καὶ τὰ τρόπαια τῆς ὀρθοδοξίας ἱςῶν, ὁ πανταχοῦ νικηφόρος φρουρὸς τῆς ἀκριβείας Κύριλλος. Καὶ *θέσφατα* δὲ ῥήματα τὰς λέξεις τῶν Ο ῥητῶς ἀποκαλεῖ· οἷον· «Αὐτὸν ἤδη παροίσω τὸν ἁπάντων Θεὸν καὶ Δεσπότην, τοιοῦτό τι λέγοντα δι᾽ ἑνὸς τῶν Προφητῶν· «Ἴδετε ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται» (α). Αὐτοῦ τοῦ θεοπνεύστου Μωσέως αὐτοφώνητα ῥήματα τὰ τῶν Ο λέγει. Λόγους αὐτολέκτους αὐτοῦ Χριστοῦ τοῦ Θεοῦ τὰς φωνὰς τοῦ ἱεροψάλτου Δαβὶδ ἀποκαλεῖ. «Μωσῆς μὲν γάρ (φησιν) ὁ θεσπέσιος προσεφώνει τοῖς ἐξ Ἰσραὴλ, οὕτω λέγων· *Ἄκουε Ἰσραήλ*. Ὁ δὲ Κύριος ἡμῶν διὰ τῆς ψάλλοντας (ἴσ. γρ. τῆς *τοῦ ψάλλοντος*) λύρας, *Ἀκούσατέ*, φησι, *ταῦτα πάντα τὰ ἔθνη*» κτλ. (β). Τρὶς μόνον, ἢ τετράκις (κατὰ τὴν Ὀδίου σημείωσιν) ἐμνημόνευσεν ὁ Πατὴρ καί τινας τῶν ἄλλων ἑρμηνευτῶν ἀναγνώσεις· ἀλλὰ καὶ ταύτας, ὅπως καὶ ἐξ αὐτῶν ἀποδείξῃ τὸ κῦρος τῶν Ο· οἷον εἰς τὸ «Καὶ ἰδόντες *οἱ υἱοὶ τοῦ Θεοῦ* τὰς θυγατέρας τῶν ἀνθρώπων» (Γεν. ς. 4, ὅπερ ἔν τισιν ἀντιγράφοις οὐκ ὀρθῶς ἐγέγραπτο, *οἱ ἄγγελοι τοῦ Θεοῦ*), ἀναφέρει καὶ τὴν Ἀκύλα καὶ Συμμάχου φράσιν, ἑκατέρων ὁμολογούντων τοῖς Ο. «Ἔμπεδοί δὲ (λέγει) μᾶλλον *ἡμῖν* ὀρθῶς ἔχουσαν *τὴν τοιάνδε* (τῶν Ο) γραφὴν καὶ ἡ παρὰ τῶν ἑτέρων ἑρμηνευτῶν ἀπόδοσις» (Γλαφυρ. α. σελ. 23). Οὕτω καὶ τὸ (Γεν. ς.) «*ἐνεθυμήθη ὁ Θεὸς*» ἐπεξηγῶν, καὶ πρὸς τὸ σαφέστερον διορίζων, «Ἐνεθυμήθη (φησὶν) ὁ Θεός· ἤτοι *μετεμελήθη*, καὶ καθ᾽ ἑτέραν δὲ ἔκδοσιν, τὴν Ἀκύλου φημί» (Γλαφ. α. σελ. 24). Ὅτι δὲ καὶ αὐτοὶ οἱ Ο εἶπον ἀλλαχοῦ ἐπὶ Θεοῦ τὸ *μετεμελήθη* (ὅθεν μετέγραψε καὶ Ἀκύλας), προείπομεν (Βιβλ. Β. σελ. 839) (γ). Τῆς αὐτῆς ἰδέας ἔχονται καὶ τὰ

(α) Ὁμιλ. Ἑορτ. λόγ. ς. σελ. 56, προβλ. σελ. 61, 65: λόγ. ια. σελ. 124: ιδ, 171: ις. 184: κε, 248, 262: κς, 270. λ, 299. Antwerp. 1618. Βλέπε καὶ Γλαφυρ. α. σελ. 15, καὶ ἀλλαχοῦ πολλαχοῦ· καὶ τὰς Ἐπιστολὰς τὰς ἐν Συνόδ. Συλλ. Τόμ. α. σελ. 361, 367, 440, 442, 458, 459, 466, 498 κτλ.

(β) Κύριλ. ἐξηγήσ. ὑπομνηματ. εἰς Ἡσαΐ. Βιβλ. Γ. Τόμ. β. σελ. 402. Lutet. 1638.

(γ) Οὕτω καὶ εἰς τὸ «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα» (Ἡσ. α). Ἀλλά

ἄλλα δύο παραδείγματα, δι' ὧν Ὅδιος ἠθέλησε τὸν θεῖον Κύριλλον ἀποδεῖξαι σεβαζόμενον καὶ τὰς μ. Χ. ἰουδαϊκὰς ἑρμηνείας ἐπίσης τῇ θεοπνεύστῳ τῶν Ο! Ἀλλ' εὐθέως ἐνόησε καὶ αὐτὸς, ὅτι *σκληρὸν τὸ πρὸς κέντρα λακτίζειν*. Τὸ γὰρ ὀξυβελὲς αὐτοῦ γραφεῖον, ὡς γλυφεῖον σιδηροῦν, πρὸς ἄῤῥηκτον πέτραν, τὴν διδασκαλίαν τοῦ θεσπεσίου Κυρίλλου, τολμηρῶς προσαῤῥάξαν, «*Τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε τῆς αὐτοῦ χειρός*» καὶ ᾤχετο φεύγων ὁ κριτικὸς, τὰ τέσσαρα ταῦτα τρύφη τῶν αὐτοῦ σημειώσεων καταλιπὼν, ἄλλο δὲ μηδὲν παρατηρήσας ἐπὶ τῶν συγγραφῶν τοῦ θεηγόρου κήρυκος τῶν κατὰ τοὺς Ο, θεοπνεύστων προφητειῶν. Ἀλλὰ τί καὶ ὅλως ἤθελεν ὁ σοφὸς πρὸς τοιαύτην ἀκρόπολιν προσπελάσαι; τί κοινὸν τῇ πνευματεμφόρῳ τοῦ Κυρίλλου διδασκαλίᾳ, καὶ τοῖς Ὁδίου φρονήμασι; «*Μίαν ὅλην βίβλον* ὁ Πατὴρ τήν τε Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην ἀνακηρύττει, ὑφ' ἑνὸς καὶ τοῦ αὐτοῦ Πνεύματος ὑπηγορευμένην» (τόμ. Β. σελ. 402). Τὸν μακάριον προφήτην Ἡσαΐαν ἀναγορεύει ἐστεφανωμένον «οὐχὶ τῇ τῆς προφητείας χάριτι μόνῃ, ἀλλὰ γὰρ καὶ τοῖς ἀποστολικοῖς αὐχήμασιν. Ἐν ταυτῷ γάρ ἐστι Προφήτης τε ἅμα καὶ Ἀπόστολος· καὶ τῆς τῶν εὐαγγελικῶν κηρυγμάτων φαιδρότητος οὐκ ἠμοιρηκότας τοὺς τῆς ἑαυτοῦ συγγραφῆς πεποίηται λόγους» (προοίμ. εἰς Ἡσαΐ.)· καὶ πανταχοῦ σχεδὸν τῶν εἰς τὸν Ἡσαΐαν ὑπομνημάτων τὰς φράσεις τὰς προφητικὰς διὰ τῶν Ἀποστολικῶν, καὶ ταύτας πάλιν δι' ἐκείνων ἐξηγεῖ καὶ διατρανοῖ. Καὶ τὰς ἐν τοῖς θειοτάτοις δόγμασι κυριολεκτουμένας τοῦ Πνεύματος φωνὰς διορίζει· οἷον· «Ἐπὶ μὲν τῶν ποιημάτων, ὅτε κτιστῆς αἰτίας αὐτὰ δεικνύειν βούλεται ἡ θεία Γραφὴ, λέγει· Ἐν ἀρχῇ *ἐποίησεν* ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· *καὶ, Ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον*· οὐκ ἐγέννησεν, ἀλλ' *ἐποίησε*. Τὴν δὲ τοῦ οἰκείου Λόγου γέννησιν ὁ Θεὸς ἐξηγούμενος, *Ἐξηρεύξατό φησιν ἡ καρδία μου Λόγον ἀγαθόν*. Καὶ τοῖς μὲν κτίσμασιν ὁρίζουσα τοῦ εἶναι τὴν ἀρχὴν,

(φησι) καὶ ὕ ψ ω σ α, τουτέστιν ἀ ν έ θ ρ ε ψ α. Τοῦτο γὰρ ἡ τῶν ἑτέρων μηνυτῶν ἐπίδοσις (ἴσ. γρ. ἑ ρ μ η ν ε υ τ ῶ ν ἔ κ δ ο σ ι ς) ἔχει» (τόμ. Β. σελ. 3).

λέγει πάλιν ἡ θεία Γραφή· *Ἐν ἀρχῇ ἐποίησεν*· ἐπὶ δὲ τοῦ Θεοῦ Λόγου, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*· - ἀρχὴν ἔχων τὸν ἄναρχον Πατέρα, ἀϊδίως ὢν ἐν αὐτῷ» (τόμ. Ε. σελ. 164). Καὶ αὐτὰς δὲ τὰς ἐν τοῖς Προφήταις ἐκφαντορικὰς τοῦ Σωτῆρος ἐπωνυμίας ἐκ τῶν Ο σημειοῖ (τόμ. Β. σελ. 124, καὶ τόμ. Ε, σελ. 784 - 787). Ἄλλοτε δὲ πάλιν διδάσκει καὶ ὅπως «*ἡ θεόπνευστος Γραφὴ τοῖς ὀνόμασι* κέχρηται τροπικῶς» (τόμ. Β. σελ. 89), καὶ ἄλλους γραφικοὺς ἰδιωτισμοὺς ἐξηγεῖ· οἷον, «ὅτι τὸ ὄνομα ἀντὶ τῆς δόξης ἔθος λέγειν *τῇ θεοπνεύστῳ Γραφῇ* (αὐτόθ. σελ. 730). Καί, «τοὺς ἄγαν εὐρωστάτους (γρ. εὐρωστοτάτους) γίγαντας ἀποκαλεῖν κατείθισταί πως *τῆς θεοπνεύστου γραφῆς ὁ Λόγος* (Γλαφυρ. α. σελ. 23)· καὶ μυρίας ἄλλας τῶν Ο λέξεις διαῤῥήδην ἐκθειάζει.

Τί κοινόν, Ὄδιε, τοῖς τῶν φίλων σου ἑρμηνευτῶν, καὶ αὐτῆς τῆς Μασορίτιδος Γραφῆς κολοβώμασι, καὶ τῷ πλήρη καὶ ὁλόκληρον καὶ ἀκραιφνῆ τὴν ἀποστολικὴν τῶν Ο ἑρμηνείαν ἐξηγουμένῳ θείῳ Κυρίλλῳ; Πάντα μονονοὺ τὰ παρ' Ἰουδαίοις λείποντα λαμπρῶς ὁ Πατὴρ ἐξηγεῖ. Καὶ τὸ *Διέλθωμεν εἰς τὸ πεδίον* (Γεν. δ, 8) ἀναγινώσκει, καὶ τὸ «*Οὐκ* ἀνέστρεψεν ὁ κόραξ» ἐπικυροῖ, καὶ τὸ «Πονηρὸν ἐφάνη ἐνώπιον τοῦ Ἰακὼβ» (Γεν. κε, 22) ἐπιγινώσκει, καὶ τὸν *Καϊνᾶν* εὐαγγελικῶς ἀριθμεῖ, καὶ τὴν ἱερὰν Χρονολογίαν, οὐχ ὡς οἱ χρονοκλόποι συνέκοψαν Ἰουδαῖοι, ἀλλ' ἀκεραίαν ὅλην καὶ ἀλώβητον διατηρεῖ, καὶ οἵαν αὐτὴν παρέδωκαν μετὰ τῆς Γραφῆς *οἱ ἀπ' ἀρχῆς αὐτόπται γενόμενοι τοῦ Λόγου, τοῦ φανερωθέντος, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου.* Κατὰ τοὺς Ο γράφει τὰ ἔτη κατὰ μέρος ἑκάστου τῶν ἀπὸ Ἀδὰμ μέχρι Ἑνὼχ Πατριαρχῶν (Γλαφυρ. Α σελ. 18)· καὶ πάλιν τῶν ἀπὸ Ἀδὰμ ἄχρι Νῶε διαδραμόντων ἐτῶν ὁλόκληρον τὸ κεφάλαιον· «Οἱ γάρ τοι (φησὶ) λεπτῶς καὶ ἠκριβωμένως τοὺς ἀπ' ἀρχῆς αἰῶνος καιροὺς ἀπηριθμησάμενοι, - καταφέρουσι μὲν ἀπὸ Ἀδὰμ εἰς Νῶε, τὸν ἐξ αὐτοῦ δέκατον, ἐτῶν ἀριθμὸν διακοσίων που τάχα, δύο τε καὶ τεσσαράκοντα πρὸς τοῖς δισχιλίοις» (α). Τὸ δὲ παράδοξον, ὅτι καὶ

(α) Κατὰ Ἰουλιαν. λόγ. Γ. σελ. 110. ἔκδ. Spanhem. Σημειωτέον δέ, ὅτι

αὐτὸς ὁ ἀποστάτης Ἰουλιανὸς (πρὸς ὃν ὁ Πατὴρ ἀπετόξευσε τοὺς χρονολογοῦντας τούτους λόγους) κατὰ τὴν σειρὰν τῆς τῶν Ο πάντως χρονολογίας (οὓς ἐκ παίδων ἔτι ὁ δείλαιος ἐδιδάχθη, καὶ ἐπ' Ἐκκλησσίας. ἀναγνώστης προχειρισθεὶς, ἀνεγίνωσκε) φαίνεται τοὺς χρόνους συνάπτων, ἐν οἷς ἔγραφε περὶ τοῦ τῶν Ἰουδαίων ἔθνους, ὡς «*οὐδὲ πρὸ δισχιλίων ἐτῶν* ὅλων ἐνὶ μέρει συνοικισθέντος τῆς Παλαιστίνης» (α). Ὥστε κἀκεῖνος ὁ μεγαλειότατος Χριστομάχος, ἐν οἷς ἐμόχθει τηνάλλως, ἀνασκάπτων ἐκ τῶν τοῦ ᾅδου βαράθρων τὴν εἰδωλολατρείαν, ἠρίθμει καὶ αὐτὸς ἀπὸ Μωσέως μέχρι Χριστοῦ Σωτῆρος ἔτη περίπου 1600· τούτοις γὰρ τὰ ἀπὸ Χ. μέχρις αὐτοῦ 365 προστεθέντα, ἀποδίδουσιν *οὐχ ὅλα δισχίλια ἔτη* (ἤτοι, 1965). Καὶ ὅσας δὲ ῥήσεις τῆς θείας Γραφῆς ἐκ τοῦ βεβήλου στόματος αὐτοῦ ἐξέφερε καὶ ἔγραφε, τὰς πάσας ἐλάμβανεν ἐκ τῶν Ο (αὐτόθ.). Καὶ ταῦτα μὲν περὶ τούτου παροδικώτερον. Ὁ δὲ θεσπέσιος Κύριλλος καὶ τὰ παρ' Ἰουδαίοις λείποντα κανονικὰ, καὶ τὰ *Ἀναγινωσκόμενα* βιβλία, ὡς μέρη καὶ ταῦτα τῆς θεοπνεύστου Γραφῆς παραδίδωσι, μαρτυρίαις χρώμενος καὶ ἐξ αὐτῶν, οἷον, ἔκ τε τῆς Σοφίας τοῦ Σολομῶντος, καὶ τῆς τοῦ Σειρὰχ (βλ. ὄπισθ. σελ. 202, 207)· καὶ ἐξ αὐτοῦ δὲ τοῦ Α, Ἔσδρα περικοπὴν ὁλόκληρον ἐγκαταλέγει μεταξὺ τῶν ἄλλων θεοπνεύστων μαρτυριῶν τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, δι' ὧν ἀποδείκνυσι τὸ θειότατον δόγμα, «Ὅτι γεννητὸς ἐκ τοῦ Πατρὸς ὁ Υἱός» (β). Ἀλλ' ὥρα ἤδη καταπαύειν καὶ τὸν περὶ τοῦ θείου Κυρίλλου

τὰ ἀπὸ Ἀδὰμ ἄχρι τοῦ Νῶε 2242 συνάγει καὶ ὁ θεῖος Κύριλλος, καθὼς καὶ Θεόφιλος ὁ Ἀντιοχείας. Κατὰ δὲ τὸν ἱερὸν Ἐπιφάνιον συμποσοῦνται ἔτη 2262 (βλ. ὄπισθ. Βιβλ, Γ. σελ. 706). Προστεθείσθω δὲ καὶ ταῦτα τοῦ θείου Κυρίλλου εἰς τὸ προταχθὲν περὶ τῆς Χρονολογίας κεφάλαιον.

(α) Παρὰ τῷ θεσπεσίῳ Κυρίλλῳ αὐτόθ. σελ. 106. Καὶ αὐτὰς δὲ τὰς θείας Γραφὰς, ἐν οἷς αὐτὰς διέσυρε, καταμωκώμενος τῶν Χριςιανῶν, ἐν τούτοις ἐγέραιρε, μαρτυρῶν τὸ παρὰ τοῖς Χριστιανοῖς ἀνέκαθεν πρεσβευόμενον δόγμα τῆς θεοπνευστίας αὐτῶν.

(β) Ἐν τῷ Ἔσδρᾳ (γέγραπται) «Καὶ ἡ ἀλήθεια ζῇ, καὶ μένει, καὶ ἰσχύει, καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος» καὶ

λόγον, ἄκοντα καὶ μόλις ἀποσπώμενον ἀπὸ τῶν τοῦ Πατρὸς συγγραφῶν, κατὰ τοὺς φιλοκάλους στεφανηπλόκους, ὅσοι τῶν εὐωδεστάτων καὶ καλλίστων ἀνθέων δυσχερῶς ἀπαλλάττονται.

§. ρξα. Εὐδοκία, ἡ καὶ (πρὸ τοῦ θείου βαπτίσματος) Ἀθηναῒς, καὶ Ἀθηναία τὴν πατρίδα, Λέοντος τοῦ φιλοσόφου θυγάτηρ, καὶ σύζυγος τοῦ αὐτοκράτορος Θεοδοσίου τοῦ Νέου (τῷ 421). Αὕτη ἡ φιλόχριστος καὶ φιλολογωτάτη βασιλὶς ἔργῳ ἀπέδειξεν, ὅτι ἀπέκειτο ἄρα τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ καὶ αὕτη θεόθεν ἡ χάρις, ἵνα μεταξὺ τοσούτων θεοφόρων Πατέρων, καὶ ἄλλων σοφῶν θεολόγων ἀνδρῶν, ἀναφανῶσι καὶ γυναῖκες ἐπισημόταται περὶ τὴν σπουδὴν καὶ ἐξήγησιν τῶν θείων Γραφῶν. Ἡ γάρ τοι βασιλὶς Εὐδοκία, πλὴν τῶν ἐν μέρει περισωθέντων καὶ εἰς ἡμᾶς *Ὁμηροκέντρων*, συνέταξεν ἡρώῳ τῷ μέτρῳ καὶ *Μετάφρασιν* (ἤτοι παράφρασιν) τῆς *Ὀκτατεύχου*, ἐν βιβλίοις ὀκτώ. Καὶ τοῦτο τὸ ἔμμετρον πόνημα ὁ ἱερώτατος Φώτιος ἀναγνοὺς, «*ἄξιον* (λέγει) *θαυμάσαι, ὅτι καὶ γυναικὸς* (τὸ πόνημα), *καὶ βασιλείᾳ τρυφώσης, καὶ οὕτω καλόν*. Σαφὴς καὶ γὰρ ὁ πόνος - εἴπου τις ἄλλος. Καὶ οὔτε ἐξουσίᾳ ποιητικῇ μύθοις τὴν ἀλήθειαν τρέπων, ἡδύνειν σπουδάζει μειράκια ὦτα, οὔτε ταῖς ἐκβολαῖς τὸν ἀκροατὴν διαπλανᾷ τοῦ προκειμένου. Ἀλλ' οὕτω περὶ (ἴσ. γρ. *παρὰ*) πόδα τὸ μέτρον ἔθετο τοῖς ἀρχαίοις,

---

τὰ ἑξῆς μέχρι τοῦ «Καὶ εὐλογητὸς ὁ Θεὸς τῆς ἀληθείας» (Α. Ἔσδρα. δ, 38 — 40, καὶ Κύριλλ. τ. Ε. σελ. 364 — 382 κτξ. καὶ κατὰ Ἰουλιαν. Α. σελ. 36). Τὴν αὐτὴν ἐκ τοῦ Α, Ἔσδρα μαρτυρίαν καὶ ὁ Μέγας Βασίλειος ἀνέφερεν ὡς ἐκ βίβλου κανονικῆς (κατὰ Εὐνομ. λόγ. ε. σελ. 133), καὶ Γρηγόριος ὁ Θεολόγος· «Μεγάλη ἡ ἀλήθεια, ὡς Ἔσδρᾳ κἀμοὶ δοκεῖ» κτλ. (λόγ. ιη), καὶ πολὺ πρότερον Ὠριγένης, λέγων· «Καὶ κατὰ τοὺς [Ἔσδρα] δὲ χρόνους ὅτε νικᾷ (ἴσ. γρ. ὅτε ἐνίκα, ἢ, ὅτι νικᾷ) «ἡ ἀλήθεια τὸν οἶνον, καὶ τὸν ἐχθρὸν βασιλέα, καὶ τὰς γυναῖκας» (Ἔσδρ. γ. δ) «ἀνοικοδομεῖται ὁ ναὸς τῷ θεῷ» κτλ. (Ὠριγέν. εἰς Ἰωάνν. τόμ. ς. σελ. 93 Huet.). Ὅθεν καὶ ὁ Σύγκελλος. «(Ἔσδρας ὁ Α) ὀρθῶς ὑπὸ τῶν Ο σοφῶν ἱερέων ἑρμηνευθεὶς ἐπὶ Πτολεμαίου Φιλαδέλφου, σὺν ταῖς λοιπαῖς θεοπνεύστοις Γραφαῖς ἐδοκιμάσθη ἀναγινώσκεσθαι» (Χρονογρ. σελ. 461 ἐκδ. Bon.). Ἄλλας πλείστας ἀποδείξεις περὶ τοῦ Α Ἔσδρα. προείπομεν Βιβλ. Γ. σελ. 687—692.

ὡς μηδὲν ἐκείνων δεῖσθαι τὸν τούτοις ἐνομιλοῦντα· καὶ ταῖς λέξεσι δὲ, ὅπου δυνατὸν, τὴν ἐγγύτητα καὶ ὁμοιότητα συνδιαφυλάσσειν» κτλ. Οὕτως ἡ στεφηφόρος ἑρμηνεύτρια καὶ περὶ τὴν φράσιν αὐτὴν τῶν Ο τὸ προσῆκον ἐπεδείκνυτο σέβας, ἐγγίζοντας, ὅσον τὸ δυνατὸν, τοὺς ἡρῴους ἐντείνουσα στίχους, καὶ τοὺς θείους θεσπεσιῳδοῦσα χρησμοὺς οὐκ ἀπὸ *δαφνηφάγων λαιμῶν*, ἀλλ' ἐκ λάρυγγος μελετῶντος τὰ ῥήματα τῆς ἀληθείας. Εἶχε δὲ ἡ βίβλος ἐπὶ τοῦ Δευτερονομίου καὶ τοῦτο τὸ Ἐπίγραμμα (αὐτῆς ἴσως καὶ τοῦτο ποίημα τῆς βασιλίσσης)

Δευτέρην (ἴσ. γρ. *Δευτερίην*) καὶ τήν δε Θεοῦ θέμιδος κάμὲ (ἴσ. γρ. *κάμε*) βίβλον

Εὐδοκίη βασίλεια, Λεοντιὰς, εὐπατέρεια.

Καὶ ἐκ τῶν τοῦ Ζαχαρίου δὲ καὶ Δανιὴλ προφητειῶν ἡ αὐτὴ βασιλὶς τῷ αὐτῷ μέτρῳ μετάφρασιν ἐξεπόνησε· καὶ τρεῖς συνέγραψε λόγους εἰς τὸν ἱερομάρτυρα Κυπριανόν. Ὁ δὲ χρόνος ἡμῖν ἐφθόνησε τούτων τῶν βασιλικῶν θησαυρῶν (α).

§. ρξϐ. Ἰωάννης ὁ Κασσιανὸς (τῷ 424), Σκύθης τὸ γένος ἐκ τῆς Ταυρίδος, Ἀθήνῃσι γεννηθεὶς, ἔτι παιδιόθεν τὸν μοναχικὸν ἠσπάσατο βίον, καὶ ἐλθὼν ἐμόνασεν ἐν Βηθλεέμ· κἀκεῖθεν μεταβὰς, τοῖς ἐν Νιτρίᾳ συνδιήθλησεν ἀσκηταῖς· καὶ τὰ κατὰ τὴν Αἴγυπτον ἱερὰ μοναστήρια ἱστορήσας, καὶ τὰς ἐν αὐτοῖς διατάξεις ἐπισκεψάμενος, ἔπειτα διήκουσεν ἐν Κωνσταντινουπόλει καὶ τὸν μέγαν Χρυσόστομον, ὑφ' οὗ καὶ Διάκονος ἐχειροτονήθη, καὶ εἰς Ῥώμην ἐπρέσβευσεν ἐν τοῖς διωγμοῖς τοῦ θείου Πατρός· ἐκεῖ καὶ πρεσβύτερος, ὡς ἔοικεν, ἐχειροτονήθη· καὶ, τέλος, ἐν τοῖς Δυτικωτέροις τόποις κατεβίωσεν, ἐν Μασσαλίᾳ καταστὰς, καὶ δύω μοναστήρια καθιδρύσας, τὸ μὲν ἀνδρῷον, τὸ δὲ γυναικεῖον (ἐτελεύτα

(α) Βλ. Φώτ. Ἀναγν. ρπγ, ρπδ. - Σωκράτ. Ἐκκλ. ἱστ. Ζ, 21. - Εὐάγρ. Α. 20. Νικηφ. Κάλλ. Ἐκκλησ. Ἱστορ. ιδ, 23: Ζωναρ Χρονικ. ϐιϐλ. ιγ. σελ. 45, καὶ not. histor. p. 47. Τόμ. 6. Paris. Τζέτ. Χιλ. 10. κεφ. 306. Fabric. Biblioth. Graec. T. I. p. 553. Harl.

δὲ τῷ 448, ζήσας ἔτη 97· τελεῖ δὲ τὴν ἱερὰν αὐτοῦ μνήμην ἡ Ἐκκλησία τῇ κη Φεβρ.) (α). Συνέγραψεν οὗτος λατινιςὶ *περὶ Κοινοβίων*, ἀσκητικὸν σύνταγμα, πρὸς Κάστορα ἐπίσκοπον προσπεφωνημένον, καὶ εἰς δύω λόγους ἐν Βιβλίοις ΙΒ διαιρούμενον, ὧν τὰ μὲν Δ, ὁ πρῶτος περιέχει λόγος, περὶ *Κοινοβίων* ἰδίως πραγματευόμενα, τὰ δὲ λοιπὰ ὀκτὼ βιβλία ὁ Β' ὑπέρχεται λόγος, διαλαμβάνοντα περὶ τῶν *ὀκτὼ λογισμῶν* (ἢ κεφαλαιωδῶν ἁμαρτημάτων), Καὶ τρίτον προστέθειται λογίδριον, παρομοίως ἀσκητικὸν, πρὸς Λεόντιον προσπεφωνημένον διάδοχον, τοῦ Κάστορος (β). Τούτων τῶν τριῶν λόγων ἐπιτομὴν ἑλληνιστὶ συντεταγμένην ἀνέγνω καὶ Φώτιος (Ἀναγν. ρϥζ), οὓς καὶ ἀποθαυμάζει· «Χρήσιμα (λέγων), εἴπερ τι ἄλλο τὰ λόγια ταῦτα τοῖς αἱρουμένοις τὸν ἀσκητικὸν ἀναδέχεσθαι ἀγῶνα· καὶ ἐπὶ τοσοῦτον *τὸ δυνατὸν καὶ θεῖον αὐτοῖς περίεστιν*, ὥστε καὶ μέχρι νῦν, εἴ τι κατὰ τοὺς τύπους τουτουσὶ καὶ τὰ διατάγματα μοναχικὸν σύστημα πολιτεύοιτο, ἀνθεῖ τε τέως ἀληθῶς, καὶ τῶν ἀρετῶν ὁρᾶται ἐργαστήριον. — Δεσποτικῆς γὰρ ταῦτα νομοθεσίας, καὶ τῆς εὐαγγελικῆς ἐστὶν ἀνάπτυξίς τε καὶ ἐξάπλωσις πολιτείας. Ἔστι δ' αὐτῷ οἰκεῖα τοῖς διανοήμασι καὶ τὰ ῥήματα, τό, τε σαφὲς ἀποστίλβοντα, καὶ τὸ ῥαδίως καὶ ἀνεπαχθῶς ἐγχαράσσεσθαι ταῖς ψυχαῖς τὴν χάριν κληρωσάμενα» κτλ. Ἐν πᾶσι δὲ τούτοις ὁ ἱερὸς Κασσιανὸς ταῖς ἐκ τῶν Ο κέχρηται

(α) Βλ. Φώτ. Ἀνάγν. ρϥζ, ὅστις γράφει περὶ τοῦ μακαρίου Κασσιανοῦ, ὅτι τὴν Ῥώμην ἔσχε πατρίδα» (ἴσως ὡς ἐν Ῥώμῃ ἐπὶ πολὺ διατρίψας, καὶ μάλιστα διότι ῥωμαϊστὶ συνέγραψε, καὶ ἀπὸ Ῥώμης τὸ πρῶτον ἴσως ἀνεφάνη τὸ σύγγραμμα), πρβλ. Παλλάδ. Διαλόγ. σελ. 11. — Gennad. De Scriptor. Eccles. c. 63. - Cave p. 227. - Du-Pin, Nouv. Biblioth. T. 4. p. 14. - Fabric. Bibl. Graec. T. VIII. p. 452. ed. Harl. καὶ Biblioth. med. et infim. Latinit T. I. p. 355—357 ed. Mans.

(β) Cassiani, De institutis Coenobiorum. L. 4. Καὶ, De octo capitalibus vitiis, Libr. 8. ad Castorem episcop. etc. Καὶ, Collationes Patrum ad Leontium. Ἔστι δὲ καὶ ἄλλο τοῦ Κασσιανοῦ De Christi incarnatione contra Nestorium. Βλ. τὰ ἅπαντα τοῦ Πατρὸς ἐκδεδομένα Atrebati, 1628.

μαρτυρίαις, λατινιστὶ κατὰ τὴν Ἰτάλαν (α). Ὡσαύτως καὶ ἐν τῷ *περὶ τῆς ἐνανθρωπήσεως Χριστοῦ* πονηματίῳ. Ὅπου καὶ *Θεοτόκον* τὴν ἀειπάρθενον μητέρα τοῦ Ἐμμανουὴλ τρανῶς ἀνακηρύττει, καὶ ἀποδείκνυσιν ἐκ τῶν Γραφικῶν μαρτυριῶν, καταισχύνων τὸν Νεστόριον, ἔτι τότε (περὶ τὸ 430) τῆς ἀποστολικῆς καθέδρας τῆς Κωνσταντινουπόλεως ἀναξίως ἐπιβατεύοντα. Ἐν δὲ τῷ τέλει τοῦ συγγράμματος ἄγαν περιπαθῶς καὶ κατανυκτικῶς τοῦ θείου μέμνηται Χρυσοστόμου, ὡς γνησίου διδασκάλου τῆς εὐσεβείας· καὶ τὴν ὑπὸ πονηρῶν ποιμένων διαφθειρομένην Ἐκκλησίαν ὀδυνηρῶς ἀποκλαίεται.

§. ρξγ. Πρὸς τῷ ἱερῷ Κασσιανῷ προστεθείσθω καὶ Νεῖλος ὁ ἁγιώτατος, ὡς καὶ οὗτος ἀσκητικὸς, καὶ τοῦ Πηλουσιώτου Ἰσιδώρου περί τε τὴν ἱερὰν, καὶ τὴν κατὰ κόσμον πολυμάθειαν, καὶ τὴν τῆς μοναδικῆς πολιτείας φιλοσοφίαν ἐφάμιλλος, καὶ τοῦ χρυσοῤῥόου δὲ τῆς εὐσεβείας Νείλου, τοῦ θείου Χρυσοσόμου, Νειλῷος καὶ φερώ-

(α) Ἅπαξ (ἐν Collat. XXIII, 8) πρὸς τῇ τῶν Ο ῥήσει (τῆς Ἰτάλας) παραβάλλει καὶ ἄλλην, ὡς ἐξ ἄλλης ἑρμηνείας, ἣν καὶ μᾶλλον λέγει διωρθωμένην· ἡ δὲ ῥῆσίς ἐστιν ἡ ἑξῆς (ἐκ τοῦ Ἰὼβ, ιε, 15) «Εἰ κατὰ ἁγίων οὐ πιστεύει, οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον αὐτοῦ» (οὕτω καὶ ἡ Ἰτάλα)· «ἣ (προστίθησιν), ὡς ἡ μᾶλλον διωρθωμένη (emendatior) μετάφρασις ἔχει, Ἰδοὺ ἐν ἁγίοις αὐτοῦ οὐδεὶς ἄτρεπτος, οὐδ᾽ ὁ οὐρανὸς ἄσπιλος» — Ἀλλὰ τοῦτο πρῶτον ὁ Σύμμαχος ἡρμήνευσε, ὅθεν ἐξ αὐτοῦ ὁ Ἱερώνυμος ἐξελατίνισεν ἐν τῇ Βουλγάτᾳ· ἀντὶ δὲ τοῦ οὐκ ἄσπιλος ἔχει καὶ αὐτὴ, ὡς οἱ Ο, οὐ καθαροὶ (οἱ οὐρανοί)· ὥστε ἡ τῆς Συμμαχείου φράσεως πρὸς τοὺς Ο διαφορὰ κεῖται ἐν μόνῳ τῷ οὐ πιστεύει. Ὅδιος δὲ οὐδὲ τοῦτο τὸ ῥητὸν παρέλιπεν ἀσημείωτον, (σελ. 397)· ἐμνημόνευσε δὲ τὸ παράδειγμα τοῦτο καὶ μόνον (οὐ γὰρ εἶχεν ἕτερον), ὅπως ἡμῖν ἀποδείξῃ κᾀκεῖνον τὸν τοῖς Ο, ὡς μόνῃ θείᾳ Γραφῇ κεχρημένον (ἅτε δὴ μὴ μόνον Ἀθηναῖον τὴν πατρίδα, ἀλλὰ καὶ τοῦ Χρυσοστόμου χρησήλατον μαθητὴν, καὶ τῶν ἐν Αἰγύπτῳ κοινοβίων τρόφιμον καὶ σπουδαστὴν), ὅτι δῆθεν ἐθεώρει τὴν Ἱερωνύμου μετάφρασιν ὡς ὀρθοτέραν τῶν Ο! Καὶ ὅμως α) ὁ Κασσιανὸς ἁπλῶς μετάφρασιν ἀναφέρει, τοῦ δ᾽ Ἱερωνύμου οὐδόλως ἀνεμνήσθη. β) Ὅπως ἂν ἐθεώρει τὴν ἥν φησι διόρθωσιν ἐν τῇ Λατινικῇ ἑρμηνείᾳ, τὸ ἑβραϊκὸν ἔχει ἀκριβῶς, ὡς οἱ Ο, οὐ πιστεύει (lo Jaamin· τὸ δ᾽ αὐτὸ κεῖται ἀπαραλλάκτως καὶ ἀλλαχοῦ ἐν Ἰὼβ δ, 18, παρά τε τοῖς Ο, καὶ ἐν τῷ ἑβραϊκῷ). Ὅδιος δὲ ταῦτα παρῆλθε σιωπῶν.

νυμος μαθητής. Κωνσταντινουπολίτης ἦν ὁ Πατὴρ, τὸ γένος ἕλκων ἐξ εὐγενῶν, καὶ Κωνςαντινουπόλεως ἔπαρχος διαπρέψας, καὶ τέλος, ἀπὸ τῶν τοῦ βίου κυμάτων εἰς τὸν ὅρμον τῆς ἀσκήσεως εὐπλοηκώς (περὶ τὸ 430). Ἀλλὰ τούτου τὸν μὲν βίον διηγεῖται ἡ ἱστορία, καὶ τὴν ἁγίαν μνήμην ἡ Ἐκκλησία τῇ ιϐ Νοεμϐρίου ἐπιτελεῖ. Τῶν δὲ συγγραμμάτων ὁ πλοῦτος πρόκειται πᾶσιν ἀδάπανος καὶ ἀνεξάντλητος, ἀνελλειπῶς ὠφελῶν τοὺς μετερχομένους, καὶ «*τήν τε κατὰ τὰ ἔργα τελειότητα* τοῦ συγγραφέως, *καὶ τὴν ἐν λόγοις μαρτυρόμενος δύναμιν*» (Φώτ. Ἀναγν. σα) (α). Ἐν πᾶσι δὲ τούτοις τὴν κατὰ τοὺς Ο Γραφὴν ἐκθειάζει, καὶ ὡς θεοχρήστους φωνὰς τὰς ῥήσεις αὐτῆς ἑρμηνεύει, ὡς ἔξεστιν ἰδεῖν ἔν τε τῇ εἰς τὸ *Ἆσμα τῶν Ἀσμάτων ἐκθέσει*, κἀν τοῖς περὶ τῶν καθ' ἑαυτὸν παθητικωτάτοις Ζ, *Διηγήμασι* (β, γ, δ, ζ), καὶ τοῖς πολυαρίθμοις *παραινετικοῖς Κεφαλαίοις*, τοῖς μὲν καταλογάδην, τοῖς δὲ καὶ δι' ἡρωελεγείων ἐπῶν συντεθειμένοις (ϐ), καὶ ἐν ἄλλοις αὐτοῦ πονήμασιν (ἐξ ὧν καὶ τὰ ἐν ταῖς Σειραῖς τῆς Ὀκτατεύχου καὶ τοῦ Ἰὼϐ ἐξηγητικὰ), καὶ ἐν ταῖς 355 ἐπιστολαῖς, τῇ τε διδασκαλίᾳ, καὶ τῇ τοῦ λόγου καλλονῇ, καὶ δὴ καὶ τῇ περὶ τὸν ἀριθμὸν ἀφθονίᾳ πρὸς τὰς Ἰσιδωρείους ἁμιλλωμέναις (γ)· (τούτων δὲ δύω καὶ ἡ Ζ, Οἰκουμε-

---

(α) Περὶ τοῦ θεσπεσίου Νείλου καὶ τῶν ἐκδόσεων τῶν αὐτοῦ συγγραμμάτων βλ. Θεοτόκ. εἰς Ὀκτάτευχ. προλ. σελ. κγ. **Cave p. 241. Du-Pin, Biblioth. Τόμ. 4. p. 26. Fabric. Biblioth. Graec. T. X. p. 3-17. Harl.**

(ϐ) Ὡς τὰ Τετράστιχα τὰ παραινετικὰ, ὧν ἡ ἀρχή.

« Ἀνθεμόεις Παράδεισος ὁ τῶν ἁγίων Χορός ἐστι,
Ὀδμῆς ἡδείης πείρατα πιμπλάμενος».

(γ) Ἐν ταύταις τὴν 279 τοῦ Γ, καὶ τὴν 265 τοῦ Β, βιϐλίου γράφει πρὸς τὸν Αὐτοκράτορα Ἀρκάδιον ὑπὲρ τοῦ ἀδίκως τῷ 402 ἐξορισθέντος Χρυσοστόμου. Καὶ τοῦτο δεῖγμα σαφὲς, ὅτι ὁ ὅσιος Νεῖλος οὐκ ἂν ἔζησε μέχρι τοῦ 500 μ. Χ. ὡς ὑπέλαϐεν ὁ Ἀλλάτιος (ὃ καὶ ἄλλοι τινὲς ἐπίστευσαν), προϐάλλων τὸ «ἰδοὺ λοιπὸν πεντακοσιοστὸν ἔτος», ὡς γράφει ὁ Πατὴρ ἐν τῇ πρὸς Ζωσάριον ἐπιστολῇ (Α, 70). Τοῦτο γὰρ σημαίνει τὴν πέμπτην ἑκατονταετηρίδα καθ' ἣν ἔζη· ὡς ἂν εἴπερ ἔλεγεν· ἰδοὺ (τῶν 400 μ. Χ. παρελθόντων) τὸ πεντακοσιοστὸν διατρέχομεν ἔτος. Ἐτελεύτα δὲ ὁ ἀοίδιμος ἔτει 451 (ὡς ἔκρινε πιθανῶς ὁ Δουπῖνος), ἐπὶ Μαρκιανοῦ αὐτοκράτορος, ἀνθ' οὗ ἐν τοῖς Μηνολογίοις ἐπὶ Μαυρικίου γέγραπται ἐσφαλμένως ἐκ πλάνης ἀντιγραφέων.

νική Σύνοδος ἐμνημόνευσε). Καὶ τῶν Ἀναγινωσκομένων, ὡς κανονικῶν Γραφῶν, ῥήσεις ἀναφέρει· οἷον ἐν τῷ Β εἰς τὸ Πάσχα λόγῳ (παρὰ Φωτ. Ἀναγν. σος) ὅπου τὴν ἐν τῇ μήτρᾳ διάπλασιν τοῦ ἐμβρύου ζωγραφικώτατα διαγράφει· «Ὢ τέχνης (φησὶν) ἐξ ὕδατος γλυφούσης ἀγάλματα· - Ὢ γραφέως, ἐπὶ σαλευομένης σινδόνος ἀσφαλῶς ζωγραφοῦντος· τὸ γὰρ αἷμα, οἷον σινδών τις ὑπόκειται τῇ μορφουμένῃ γονῇ. Τοῦτο καὶ Σολομὼν ἐκπληττόμενος, ἔλεγεν. «Ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σάρξ, δεκαμηνιαίῳ χρόνῳ παγεὶς ἐν αἵματι» (Σοφ. Σολ. ζ, 2). Ἐξυμνεῖ δὲ καὶ οὗτος ὁ τρισόλβιος Πατὴρ τὴν ἐν τῇ ἁπλότητι τῆς φράσεως δύναμιν τῆς θεοπνεύστου Γραφῆς, καὶ πρὸς τὰ Ἰορδάνεια ῥεῖθρα λίαν ἐπιχαρίτως αὐτὴν παραβάλλει. Ἄκουε· «Ὅταν ἴδῃς ἄνθρωπον ἄπιστον καὶ φιλόκοσμον ἐγκαυχώμενον τῇ ματαιότητι τῆς προσκαίρου σοφίας, καὶ εὐτελίζοντα τὴν θεόπνευστον Γραφὴν, ὡς μὴ ἀττικίζουσαν, γίνωσκε τοῦτον Ναιμὰν ὑπάρχειν τὸν Σύρον, λελεπρωμένον ὅλον διὰ τῆς ἀπιστίας, πρὶν ἐπιγνῷ τὸν εὐεργέτην Θεόν· - ὅςις ἄγαν μὲν ἐθαύμαζε τοὺς μεγίστους τῆς Δαμασκοῦ ποταμοὺς, μηδαμῶς δυναμένους ἕνα λεπρὸν ἀπαλλάξαι τῆς καταστίκτου λέπρας, ἠυτέλιζε δὲ τὸν ἐν τῇ γῇ τοῦ Ἰσραὴλ Ἰορδάνην. Ἔχομεν γὰρ καὶ ἡμεῖς, νοητοὶ Ἰσραηλῖται ὄντες, τὰ τῆς θείας Γραφῆς Ἰορδάνεια ῥεῖθρα, ἅπερ κατὰ μὲν τὴν προφορὰν τοῦ λόγου, οὐδαμινά τε καὶ ἐλάχιστα φαίνεται, κατὰ δὲ τὰς δυνάμεις τῶν μυστηρίων, τῶν κεκρυμμένων τοῖς τοῦ Χριστοῦ διδάγμασιν, ὕδατι» (ἴσ. προσθετέον, *ἔοικεν*) «ἀλλομένῳ εἰς ζωὴν αἰώνιον, ἰατρεύοντι καὶ καθαίροντι καὶ φωτίζοντι, ὑπερφυῆ τε τυγχάνει καὶ θαυμαστὰ» κτλ. (Σχόλ. εἰς Δ. Βασιλ. ε, 12, ἐν Ὀκτατ. τόμ. β. σελ. 487).

§. ρξδ. Θεοδώρητος ὁ Κύρου (πόλεως ἐν τῇ Εὐφρατησίᾳ Συρίᾳ, τῆς καὶ Κυρεστῶν, ἢ Κυρεστηνῶν λεγομένης πόλεως) ἐπίσκοπος (τῷ 428), Ἀντιοχεὺς τὴν πατρίδα, καὶ τῆς πολυτέκνου καὶ καλλίπαιδος σοφίας τοῦ θείου Χρυσοστόμου μαθητὴς καὶ οὗτος ὁ μακάριος, πολλάκις δὴ τὴν χάριν ἀπομνημονεύσας τῷ διδασκάλῳ, «ὡς τοῖς ῥεύμασι τῆς διδασκαλίας καὶ τήμερον πᾶσαν τὴν

οἰκουμένην ἀρδεύοντι» (προοιμ. εἰς τὸ Ἆσμα Ἀσμ. καὶ Ἐκκλησ. ἱστορ. Ε, 28 - 34· βλέπε καὶ τὰ παρὰ τῷ Φωτίῳ, ἐν Ἀναγν. σογ, τετηρημένα τῶν εἰς τὸν Χρυσόστομον Ε, ἐγκωμιαστικῶν λόγων ἀποσπάσματα). Ἐγένετο δὲ καὶ αὐτὸς παιδείας τε ἑλληνικῆς καὶ τῆς ἄλλης πολυμαθείας κάλλιστον ἐνδιαίτημα, τῆς τε Συριακῆς καὶ τῆς Ἑβραΐδος γλώσσης ἐγκρατὴς, καὶ περὶ τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν καὶ τὴν θειοτέραν διδασκαλίαν θαυμαστὸν ὅσον ἐξησκημένος, καὶ τοῖς ἄκροις τε καὶ πρώτοις τῶν ἐν τῇ Ἐκκλησίᾳ διαπρεψάντων θείων Πατέρων ἐφάμιλλος *παρὰ μικρὸν* ἀναδειχθείς (α). Ὑπεμνημάτισε δὲ ὁ Πατὴρ τὰ πλεῖστα τῆς Πα-

---

(α) Ἤδη τοῦ δυσσεβοῦς Νεστορίου διαχέοντος τῆς αἱρέσεως αὐτοῦ τὴν ὀλεθρίαν λύμην (τῷ 429), ἐξέδωκεν ὁ θεσπέσιος Κύριλλος τὰ ΙΒ δογματικὰ Κ ε φ ά λ α ι α, διατρανοῦντα τὸ δόγμα τῆς Εὐσεβείας. Ὁ δὲ μακάριος Θεοδώρητος μήτε καθαρῷ καὶ ἀθολώτῳ βλέμματι τῆς διανοίας πρὸς τὰ Κεφάλαια ἀπιδὼν, μήτε τὸ βάθος τῆς Νεστορίου κακοφροσύνης ἐξερευνήσας, ἀδικεῖσθαι δὲ τοῦτον ὑπολαβὼν, φίλον ἀρχαῖον ὄντα καὶ συμμαθητὴν, συνέταξε τὴν μήποτ' ὀφειλομένην τῶν ΙΒ, τούτων Κεφαλαίων Ἀ ν α τ ρ ο π ὴ ν, πειρώμενος Ἀπολλιναρίζοντα δῆθεν τὸν θεῖον Κύριλλον ἀποδεῖξαι (βλ. τὰ ΙΒ. Κεφ. καὶ τὴν Ἀνατροπὴν, καὶ τὴν Ἀπολογίαν Κυρίλλου ἐν Συνόδ. Συλλογ. τ. α. σελ. 549,554,571). Ἐφεξῆς δὲ τῆς Γ, Οἰκουμενικῆς συγκροτηθείσης Συνόδου (τῷ 431), ἐπειδὴ κατ' αὐτὴν ὁ Ἀντιοχεὺς Ἰωάννης μετὰ τῶν περὶ αὐτὸν στασιάσας, συνέστησε τὸ Ἀποστατικὸν ἐκεῖνο συνέδριον κατὰ τοῦ θείου Κυρίλλου, καὶ κατ' αὐτῆς τῆς Γ, Συνόδου, συμμετεῖχε τοῦ Συνεδρίου, καὶ συνυπέγραφε καὶ ὁ Θεοδώρητος (βλ. Συνόδ. Συλλ. τ. α. σελ. 534). Ἀλλὰ μετὰ τὸν θρίαμβον τῆς ἀληθείας διηλλάγησαν ἔπειτα μετὰ τοῦ καλλινίκου Κυρίλλου οἵ τε περὶ τὸν Ἀντιοχείας Ἰωάννην, καὶ αὐτὸς ὁ Θεοδώρητος. Μετ' οὐ πολὺ δὲ (τῷ 429) κατὰ τὸ συσταθὲν ἐν Ἐφέσῳ λῃστρικὸν ἐκεῖνο Συνέδριον οὗ προεξῆρχεν ὁ παλαμναῖος Διόσκορος, κατηγορηθεὶς καὶ ὁ Θεοδώρητος καὶ ἀπὼν, ὡς Νεστοριανὸς, καθῃρέθη. Ὅτι δὲ τῷ δυσσεβεῖ Νεστορίῳ οὐδέποτε οὐδόλως ὁ Θεοδώρητος συνεφρόνησεν, ἀλλὰ καὶ τὴν τούτου αἵρεσιν ἐστηλίτευσεν, ἀποδείκνυται τρανῶς καὶ ἀλλαχόθεν, καὶ ἐξ αὐτῶν αὐτοῦ τῶν συγγραφῶν, (οἷον Αἱρετικ. Κακομυθ. κεφ. ΙΒ. κτλ.), καὶ ἐξ οὗ δὲ πρὸς αὐτὸν τὸν Διόσκορον ἔγραφε βραχυλόγου ἐκείνου καὶ ἀειμνήστου κηρύγματος τῆς ὀρθοδοξίας. «Εἴ τις (φησὶν) οὐχ ὁμολογεῖ τὴν ἁγίαν Παρθένον Θ ε ο τ ό κ ο ν, ἢ ψιλὸν ἄνθρωπον ἀποκαλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἢ εἰς δύω υἱοὺς μερίζει τὸν Μονογενῆ καὶ Πρωτότοκον πάσης τῆς κτίσεως, ἐ κ π έ σ ο ι τ ῆ ς ε ἰ ς Χ ρ ι σ τ ὸ ν ἐ λ π ί δ ο ς· κ α ὶ ε ἰ π ά τ ω π ᾶ ς ὁ λ α ὸ ς, γ έ ν ο ι τ ο γ έ ν ο ι τ ο» (ἐπιστ. πρὸς Διόσκορ.). Ἀλλὰ καὶ ταύτης τῆς συκοφαντίας, ὕστερον ἐν τῇ Δ. Οἰκουμενικῇ Συνόδῳ (πράξ. α, η) ἀνακριθεὶς, ἀθῷος ἀνεκηρύχθη,

λαιᾶς θείας Γραφῆς, καὶ ἐκ τῆς Νέας τὰς ΙΔ τοῦ Παύλου ἐπιστολάς (α). Σῴζονται δὲ καὶ λόγοι τούτου, καὶ ἐπιστολαί, νῦν μὲν 136· (τῶν δὲ πρὸς ταύταις ἑτέρων 36 ὕςερον ἐκδοθεισῶν, μόναι

καὶ δικαιωθείς, ἀπεδόθη τῇ Ἐκκλησίᾳ. Καὶ ἡ Ε, δὲ Οἰκουμενικὴ Σύνοδος τὴν μὲν κατὰ τῶν ΙΒ κεφαλαίων Ἀνατροπὴν αὐτοῦ δι' ἀναθέματος ἀπεκήρυξεν, αὐτὸν δὲ ὅμως τὸν Συγγραφέα ἀφῆκεν ἀκατάγνωστον. Ὅθεν καὶ ἐν τῇ τοῦ ἁγίου Σωφρονίου συνοδικῇ ἐπιστολῇ (ὡς ὁ Φώτιος ἐσημείωσε) «Θεοδώρητον (εὑρήσεις) τῆς Ἐκκλησίας οὐκ ἀποκηρυττόμενον, εἰ καί, ἐν οἷς Κυρίλλου κατεψηφίσατο, τὸ ἀδόκιμον καὶ μεμπτὸν ἀπηνέγκατο» (Ἀναγν. σλα). Καὶ ταῦτα μὲν περιστατικώτερον διηγεῖται ἡ ἱστορία. Ἐκεῖνο δ' ἐνταῦθα σημειωτέον, ὅτι ὁ μακάριος Θεοδώρητος, εἴ τι παρὰ τὸ προσῆκον καὶ θεμιτὸν ἔγραψε κατά τε τοῦ θείου Κυρίλλου καὶ τῆς ἧς προεξῆρχε Γ. Οἰκουμενικῆς Συνόδου, οὐκ ἀπὸ διαθέσεως πονηρᾶς, ἢ κακόφρονος ἔγραψεν, ὑπὸ ζήλου δὲ πολλοῦ καρδίας καθαρᾶς, καὶ τοῖς δόξασι φιλονείκως ἐγκαρτερούσης. Ἀλλὰ καὶ οὕτω, μετὰ τὴν μακαρίαν αὐτοῦ τελευτὴν πολλοῖς τισιν ἐναπέμεινεν ἴχνος ἀμαυρὸν σκυθρωποτέρας ἀναμνήσεως τῶν μὴ καλῶς ὑπ' αὐτοῦ γραφέντων. Διὸ καὶ οὐδ' ἐν τῷ Χορῷ τῶν ἁγίων ἀπαντᾶται γεγραμμένος ἐν τοῖς ἀρχαίοις μηνολογίοις· καί τοι ἄλλως παρὰ πᾶσι τοῖς ὀρθοδόξοις μακαριζόμενος, καὶ ταῖς προσηκούσαις στεφανούμενος εὐφημίαις, ὡς ἐν τῷ τῶν Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας θιάσῳ διαπρέπων πανευκλεῶς, καὶ πολλῷ τοῦ μακαρίου Ἱερωνύμου διασημότερον. Ἀρέσκει δ' ἡμῖν ἐνταῦθα προσθεῖναι καὶ ἃ περὶ τοῦ φερωνύμου τούτου Πατρὸς ἐν ἰάμβοις ἔγραψεν Ἰωάννης ὁ Εὐχαΐτων, ἀνὴρ ἐπὶ σοφίᾳ καὶ ἁγιότητι διαπρέψας (τῷ 1054). «Ἐξιστορήσας τοὺς σοφοὺς Διδασκάλους, - Καὶ τὸν Θεοδώρητον αὐτοῖς ἐγγράφω. — Ὡς ἄνδρα θεῖον, ὡς διδάσκαλον μέγαν, — Ὡς ἀκράδαντον ὀρθοδοξίας στύλον. — Ἂν δ' ἐκλονήθη μικρὸν ἔκ τινος τύχης, — Ἄνθρωπος ἦν, ἄνθρωπε, μὴ κατακρίνῃς. — Οὐ γὰρ τοσούτῳ δυσσεβὴς ἦν ὁ κλόνος, — Ὅσον μετεῖχε τῆς ἐριστικῆς βίας. — Τί γάρ; Κύριλλον πανταχοῦ νικᾶν ἔδει; — Καὶ δογματιστὴν ὄντα καὶ λογογράφον; — Ὅμως δὲ τούτῳ καὶ διώρθωται πάλιν. — Τὰ δ' ἄλλα πάντα τῶν μεγίστων ποιμένων — Βλέπων τὸν ἄνδρα μηδαμῶς λελειμμένον, — Ἐνταῦθα τούτοις εἰκότως συνεγγράφω».

(α) Ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Γαλάτας ἐπιστολῆς ἐλλείπουσι παρὰ τῷ μακαρίῳ Θεοδωρήτῳ τὰ ἐν τῷ Β, κεφαλαίῳ τῆς ἐπιστολῆς ἀπὸ τοῦ 5, μέχρι τοῦ 15, κόμματος, ἐν οἷς ὁ Παῦλος αὐστηρότερον διαλέγεται πρὸς τὸν Πέτρον· καὶ Καβέος ὁ Ἄγγλος θαυμάζει, πῶς ὁ Ἰησουΐτης Γαρνιῆρος (ἐν τῷ Ἐπιμέτρῳ τῷ εἰς τὰ συγγράμματα τοῦ Πατρὸς), τἄλλα πάντα τὰ περὶ τὸν Θεοδώρητον ἰσχνῶς ἐκλεπτουργήσας, οὐδὲν οὐδὲ γρῦ περὶ τούτου τοῦ ἀκρωτηριασμοῦ τῆς ἑρμηνείας σεσημείωκε! (Τί γὰρ ἔδει τὸν ἰησουΐτην πράγματ' ἀνακινεῖν, καὶ λόγων μνημονεύειν, τὴν Παπικὴν κατασπώντων ὀφρύν, καὶ καθαιρούντων ἐκ θεμελίων τὴν ἐπ' ὀνόματι τοῦ Πέτρου κατὰ τῆς τοῦ Πέτρου διδασκαλίας τραχηλιάσασαν Βατικάνειον Μοναρχιεραρχίαν;). Οὐδ' ὁ κλεινὸς Δουπῖνος ἔθιξε ταύτης τῆς χορδῆς.

αἱ 15 εἰσὶν ἀναμφήριστοι). Ἐπὶ δὲ Νικηφόρου τοῦ Καλλίστου ἦσαν πλείους τῶν 500 (Ἐκκλ. ἱστ. ΙΔ, 54.). Συνέταξε καὶ ἱστορίαν ἐκκλησιαστικὴν, καὶ ὅσα ἄλλα καταριθμοῦνται ἐν τῇ φιλολογίᾳ τῶν Ἐκκλησιαστικῶν συγγραφέων (α). Σαφὴς δ' ἐστὶν ἐν ἅπασι τὴν φράσιν, ὡς εὐκρινὴς καὶ καθαρὸς, καὶ οὐκ ἀμοιρῶν τοῦ ἤδέος, καταλλήλως τε τοῖς νοήμασιν εὐθηνούμενος· καὶ πολλῶν ἄλλων τῇ τῶν προφητικῶν ῥημάτων ἀναπτύξει τε καὶ διακαθάρσει κρατεῖ. Καὶ ἡ λέξις δὲ αὐτῷ καὶ ἡ συνθήκη τῆς Ἀττικῆς εὐγενείας οὐ φεύγει τὰς γονάς (ϐ). Καὶ οὗτος τοίνυν ὁ ἱερὸς Πατὴρ τὸ θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο πολλαχοῦ διεκήρυξε. Πολλαχοῦ δὲ καὶ αὐτὸς, καὶ μάλιστα ἐν τῇ τῶν Ψαλμῶν καὶ τῇ τῶν Προφητῶν ἐξηγήσει, καί τινας φράσεις καὶ λέξεις τῶν λοιπῶν ἑρμηνειῶν πρὸς τῇ τῶν Ο παραϐάλλει, σαφεστέραν ταύτην ἀναδεικνύς. Ὅδιος δὲ οὐδὲ τούτων ἀπέσχετο. Ταυτάζει δὲ καὶ ὧδε, τὰ χωρία σημειῶν (καί τοι γε πολλῷ βραχύτερα τῶν παρὰ Θεοδωρήτῳ μνημονεύων), καὶ ματαιάζει, *θερίζων χερσὶν ἀκαρπίαν*, ἢ καὶ καθ' ὕδατος γράφειν φιλοτιμούμενος, καὶ σφόδρα γλιχόμενος ἀποδεῖξαι καὶ τὸν φερώνυμον Θεοδώρητον (ὅπως ἀπέδειξε δηλονότι καὶ τοὺς ἄλλους Πατέρας!), ὡς ἐπίσης τοῖς Ο, καὶ πολλῷ γε πλέον (εἰ δυνατὸν) σεϐαζόμενον καὶ τιμῶντα τοὺς μ. Χ. ἑρμηνευτάς! (γ). Ἀλλὰ περὶ ταύτην τὴν

(α) Τὰ Ἅπαντα τοῦ ἱεροῦ Θεοδωρήτου ἐξεδόθησαν καὶ ἀλλαχοῦ, καὶ ἐν Παρισ. τῷ 1642, ἐν τόμοις δ, οἷς προσετέθη καὶ ε, τῷ 1684. Ἐξέδωκε δὲ τὰ Σωζόμενα τοῦ μακαρίου Θεοδωρήτου καὶ ὁ ἡμέτερος Εὐγένιος ὁ Βούλγαρις ἐν τόμοις Ε, (Χάλλῃ 1768 — 1775)· καὶ τὸν βίον δὲ τοῦ ἱεροῦ τούτου Πατρὸς πληρέστατα συγγράψας, προσέθετο (τόμ. ε).

(ϐ) Βλ. τὰς περὶ τοῦ Θεοδωρήτου κρίσεις τοῦ μεγάλου Φωτίου Ἀναγν. λα, μς, σγ, σδ, σογ. — πρϐλ. Θεόδ. Ἀναγνώστ. (Ἐκλογ.), Κασσιόδωρον, Νικηφ. τὸν Κάλλιστον, κτλ. ἴδε καὶ Cave p. 223. - Du-Pin, Biblioth. T. 4. p. 81. - Fabr. Bibl. Graec. T. VII. p. 430.

(γ) Εἰς τοσαύτην φλεγμονὴν ἐνίοτε προῆλθεν ὁ τοῦ Ὀδίου παροξυσμὸς, ὥστε καταντᾷ καὶ γελοῖος. «Μίαν (φησὶν) ἀνάγνωσιν τῶν Ο διεφθαρμένην ἔκρινεν ὁ Θεοδώρητος, διότι ἄλλως ἀνέγνων τὴν λέξιν οἱ ἄλλοι ἑρμηνευταί» (Ὅδιος, σελ. 328). Ἔστι δ' ἡ ἀνάγνωσις ἡ ἑξῆς. Εἰς Α, Βασιλ. (κεφ. κε) σημειοῖ ὁ Θεοδώρητος ταῦτα. «Τὸ δὲ ὑπὸ τοῦ Δαυῒδ εἰρημένον «Εὐλογημένη σὺ εἶ, ὡς ἀπο-

ἄχαριν, καὶ κακόζηλον, καὶ τοσάκις ἐξελεγχθεῖσαν Ὀδίου σκιαμαχίαν οὐκέτι καλὸν, οὐδ' ἀνασχετὸν, οὔθ' ἡμῖν, οὔτε τοῖς εὐγνώμοσιν ἀναγνώσταις, ἐπὶ πλέον χρονοτριβεῖν. Ὁ δὲ Θεοδώρητος ἐχρῆτο μὲν τοῖς ἄλλοις ἑρμηνευταῖς, ὁσάκις ὑπηρέτουν πρὸς ἐπεξήγησιν τῶν παρὰ τοῖς Ο ἀσαφέστερον εἰρημένων τινῶν φωνῶν, οὐκ ἀντιλέγοντες πρὸς τὴν ἔννοιαν· ἐξήλεγχε δὲ πάλιν τὴν ἰουδαϊκὴν αὐτῶν κακοήθειαν, ὁσάκις διέστρεφον τὸ παρὰ τοῖς Ο γνήσιον τῆς σημασίας· ὡς ὅτε τὸ «*Θεὸς ἰσχυρὸς*» ἐξηγῶν, «τοῦτο δὲ (λέγει) κακουργήσαντες οἱ περὶ τὸν Ἀκύλαν, « *ἰσχυρὸς δυνατὸς* » ἡρμήνευσαν (εἰς Ἡσαΐ. θ, 6)· *ἀλλαχοῦ δὲ καὶ ἄκοντας* τούτους ἀποδείκνυσι διατρανοῦντας τὴν ἀλήθειαν· ὡς ὅτε ἑρμηνεύων τὸ « *Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός· καὶ ἔσται σημεῖα*» κτλ. (Ησαΐ. η, 18), *τὰ παιδία* (φησὶ) *τοῖς σημείοις* οἱ ἄλλοι συνῆψαν ἑρμηνευταί· οὕτω γὰρ οἱ τρεῖς συμφώνως ἔφησαν. Ἰδοὺ ἐγὼ καὶ τὰ *παιδία ἅ μοι ἔδωκεν ὁ Θεὸς εἰς σημεῖα καὶ εἰς τέρατα*» *κτλ.* Σαφέσερον τοίνυν ἡμῖν τὸν ἀποςολικὸν *χορὸν καὶ ἄκοντες ἐδήλωσαν οὗτοι*». Ὅπου δὲ πάλιν μετὰ τούτων τῶν ἑρμηνευτῶν καὶ αὐτὸ τὸ ἑβραϊκὸν φαίνεται διαφωνοῦν πρὸς τοὺς Ο, τούτων τὴν ἀνά-

---

κωλύσασά με σήμερον-τοῦ μὴ εἰσελθεῖν εἰς αἵματα, καὶ σῶσαι τὴν χεῖρά μου ἐμοὶ», ἁμάρτημα γραφικὸν εἶναι ὑπολαμβάνω. Οἱ γὰρ ἄλλοι ἑρμηνευταὶ μὴ μυσῶσαι εἰρήκασιν» (ἐν τοῖς Ἀπόρ. εἰς Α. Βασιλ. ἐρωτ. νθ). Ταῦτα δὲ τί κοινὸν ἔχουσιν ἢ πρὸς τοὺς Ο, ἢ πρὸς τὴν ὑπεροχὴν τῶν ἄλλων ἑρμηνευτῶν; Τοῦ ἀντιγραφέως, οὐ τῶν Ο ἁμάρτημα τὸ σῶσαι ὑπέλαβεν ὁ Πατήρ. αὐτὴν δὲ τὴν γνησίαν ἀνάγνωσιν τῶν Ο, ἔκρινε σεσωσμένην παρὰ τοῖς ἄλλοις ἑρμενευταῖς, εἰκάζων τὸ καὶ σῶσαι ὡς ἀποκοπὲν τὰς δύω πρώτας συλλαβὰς ἐκ τοῦ μὴ μυσῶσαι· διὸ καὶ τούτους ἐμνημόνευσεν· (οὕτω καὶ Β, Βασιλ. η, 17, ἄλλο γραφικὸν, δηλαδὴ τοῦ ἀντιγραφέως, ἐσημείωσεν ἁμάρτημα τὸ, «Ἀχιμέλεχ υἱὸς Ἀβιάθαρ, ἀντὶ Ἀβιάθαρ υἱὸς Ἀχιμέλεχ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 199). Αὐτὸς δὲ ὁ κριτικὸς Ὅδιος πῶς παρεσιώπησεν, ὅτι τὸ καὶ σῶσαι τῶν Ο ὡς γνησίαν ἀνάγνωσιν ἐπικυροῖ καὶ τὸ καθ' ἡμᾶς ἑβραϊκόν; σῶσαι γὰρ ἀπαραλλάκτως ἔχει καὶ τοῦτο (vehoschea)· ὥστε σπουδάζων ὁ σοφὸς ἀποδεῖξαι τοὺς ἄλλους ἑρμηνευτὰς στάθμην καὶ κανόνα διορθώσεως τοῦ παρὰ τῷ Θεοδωρήτῳ κειμένου, ἀποδείκνυσι τούτους τ' ἀνάπαλιν, σφαλεροὺς ἐληλεγμένους ὑπό τε τῶν Ο, καὶ αὐτῆς τῆς κατ' αὐτὸν ἑβραίας ἀληθείας!

γνωσιν προτιμᾷ, καὶ ἐξηγεῖ, παραδραμὼν τὴν ἑβραϊκήν. Οὕτως (εἰς Ψαλμ. κα) ἑρμηνεύων τὸ «τῶν *παραπτωμάτων μου*», καὶ προστιθεὶς τὰς τῶν ἑτέρων διαφορὰς (ὁ μὲν Ἀκύλας *βρυχήματός μου*, ὁ δὲ Σύμμαχος *ὀδυρμῶν μου*, ὁ δὲ Θεοδοτίων *βοηθήσεώς μου*), ἐπιφέρει· «Ἵνα δὲ μὴ δόξωμεν, τοῖς ἄλλοις ἑρμηνευταῖς ἐνταῦθα κεχρημένοι, ἐκ περινοίας τοὺς ἑτέρως τὸν Ψαλμὸν ἡρμηνευκότας ἐλέγχειν, τῇ τῶν Ο ἑρμηνείᾳ χρησόμεθα». κτλ. Καὶ τὸν Ψαλμὸν αὐτὸν μετὰ τῆς ἐπιγραφῆς εἰς τὸν Χριστὸν ἀναφέρων, «μᾶλλον γάρ (φησι) πιστευτέον τοῖς ἱεροῖς Ἀποστόλοις, καὶ αὐτῷ τῷ Σωτῆρι, χρωμένῳ σαφῶς τῷ τοῦ Ψαλμοῦ προοιμίῳ, ἢ τοῖς ἄλλως ἑρμηνεύειν ἐπιχειροῦσι». Καὶ πάλιν ἐξηγῶν τὸ «*Οὐχ ὡς λίθου προσκόμματι*» (κατὰ τοὺς Ο, Ἡσαΐ. η, 13· ἐν δὲ τῷ ἑβραϊκῷ λείπει τὸ ἀρνητικὸν *οὐ*). «Τούτου (φησι) τοῦ λίθου ὁ μακάριος ἐμνημόνευσε Παῦλος· – ἐπειδὴ τὸ αὐτὸ Πνεῦμα διά τε [τῆς] προφητικῆς, διά τε [τῆς] ἀποσολικῆς ἐφθέγγετο γλώσσης» (βλ. ὄπισθ. σελ. 272). Προφητικὴν δὲ γλῶσσαν, δι' ἧς τὸ Πνεῦμα ἐφθέγξατο, τὴν κατὰ τὴν ἑρμηνείαν τῶν Ο πάντως λέγει, καθ' ἣν ἀνεγίνωσκε καὶ ἡρμήνευε τὸ ῥητόν. Καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ τοῦ αὐτοῦ Πνεύματος λόγους παραδίδωσι καὶ τοὺς τῶν Προφητῶν καὶ τοὺς τῶν Ἀποστόλων (κατὰ τὴν ἑλληνικὴν δηλονότι φωνὴν τῆς τε Παλαιᾶς κατὰ τοὺς Ο, καὶ τῆς Καινῆς). Οἷον· παραβάλλων τὸ τοῦ Βαροὺχ «*Οὗτος ὁ Θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθη*» (γ, 37), καὶ τὸ τοῦ Ἀποστόλου «*Ὃν* (Θεὸν) *εἶδεν οὐδεὶς ἀνθρώπων*» (α. Τιμ. ϛ.), καὶ διερμηνεύων τὴν φαινομένην ἀντίφασιν, ἐπιφέρει· «Τί οὖν; ψεύδεται ὁ Προφήτης; Μὴ γένοιτο! τοῦ θείου γὰρ Πνεύματος καὶ ταῦτα κἀκεῖνα τὰ ῥήματα» (Διαλόγ. α. σελ. 12, τόμ. δ). Ἄλλα παραδείγματα μυρία παραλείπομεν, ἵνα μὴ δόξωμεν δακτυλοδεικτοῦντες ἐν σταθερᾷ μεσημβρίᾳ τὸν ἥλιον· προσιθέμεθα δὲ μόνον, ὅσα ὁ Πατὴρ καθόλου περὶ τῆς τῶν Ο ἑρμηνείας ἐπρέσβευε, καὶ διαῤῥήδην ἀνεκήρυξε, λέγων· «*Τὰς τῶν ψαλμῶν ἐπιγραφὰς* οἱ Ο πάντες πρεσβύτεροι μετέθεσαν εἰς τὴν ἑλλάδα φωνὴν, ὡς καὶ τὴν ἄλλην ἅπασαν θείαν Γραφήν. *Πρὸ πεντήκοντα* δὲ καὶ *ἑκατὸν τῆς ἑρμηνείας ἐνιαυτῶν*

θείας ἀναπλησθεὶς χάριτος ὁ θαυμάσιος Ἔσδρας, τὰς ἱερὰς ἀνέγραψε βίβλους, ὑπὸ τῆς τῶν Ἰουδαίων ἀμελείας, καὶ τῆς τῶν Βαβυλωνίων δυσσεβείας πάλαι διαφθαρείσας. Εἰ δὲ κἀκεῖνος ὑπὸ τοῦ παναγίου Πνεύματος τὴν τούτων ἀνενεώσατο μνήμην, καὶ οὗτοι (οἱ Ο) *μὴ δίχα τῆς θείας ἐπιπνοίας* μετὰ πολλῆς συμφωνίας μετήνεγκαν ταύτας εἰς τὴν ἑλλάδα φωνήν, πρὸς δὲ ταῖς ἄλλαις θείαις Γραφαῖς καὶ τὰς *ἐπιγραφὰς* ἡρμηνεύκασι· τολμηρὸν, οἶμαι, καὶ λίαν θρασὺ, ψευδεῖς ταύτας προσαγορεύειν, *καὶ τοὺς οἰκείους λογισμοὺς τῆς τοῦ Πνεύματος ἐνεργείας σοφωτέρους* ὑπολαμβάνειν» (Προθεωρ. εἰς τοὺς Ψαλμούς). Οὕτως ὁ ἱερὸς Θεοδώρητος οὐ μόνον τὸ κείμενον τῆς ὅλης τῶν Ο μεταφράσεως θεόπνευστον καὶ κατὰ λέξιν ἐπρέσβευεν, ἀλλὰ καὶ αὐτὰς τὰς τῶν Ψαλμῶν ἐπιγραφάς. «Ταύτας δὲ» (λέγει προϊὼν εἰς τὴν ἑρμηνείαν τοῦ Α, Ψαλμοῦ) «πάλαι *παρ' Ἑβραίοις εὑρόντες* οἱ τὰς θείας ἡρμηνευκότες Γραφὰς, μετέθεσαν εἰς τὴν ἑλλάδα φωνήν» (α). Ὅθεν καὶ ὁ θεῖος Γρηγόριος ὁ Νύσσης ἐξήλεγχε τοὺς μ. Χ. Ἰουδαίους ὡς ἐξελόντας ἐκ τῶν παρ' αὐτοῖς ἑβραϊκῶν ἀντιγράφων τὰς ἀφορώσας τὸ μυστήριον τῆς καθ' ἡμᾶς εὐσεβείας ἐπιγραφὰς, ὅσας ἔχουσιν οἱ Ο (βλ. ὄπισθ. §. ριζ. σελ. 548-549).

(α) Μόνον Δ, Ψαλμῶν (τῶν ϙγ, ϙε, ϙϛ, ρλϛ) ἐπιγραφὰς ἐξαιρεῖ, ὡς μήτε ὑπὸ τοῦ Προφήτου, μήθ' ὑπὸ τῶν ἐξ ἀρχῆς ἑρμηνευτῶν, ἀλλ' ὑπ' ἄλλων τινῶν ὕστερον ἐπιγεγραμμένας. Ὅδιος δὲ κἀν τούτοις προσέπταισεν, ὅ, τι γ' ἐπ' ἀκαιρίμαν ἐπῆλθε γλῶτταν εἰπών. Ὁ δ' αὐτὸς προστίθησι λατινιστὶ ὡς ἐκ τῆς τῶν Πατέρων Σειρᾶς εἰς τοὺς Ἀριθμοὺς (κεφ. λδ'), καὶ Σχόλιον ἴδιον τοῦ Θεοδωρήτου, ἐν ᾧ φαίνεταί πως μεμψιμοιρῶν ὁ Πατὴρ, ὅτι οἱ Ο μεταφράζοντες ἐνίοτε τὰ κύρια ὀνόματα εἰς προσηγορικὰ, ποιοῦσι τὴν διάνοιαν ἀσαφεστέραν. «Οὕτω (φησὶν) ἔγραψαν (Ἀριθμ. λδ). «Οἳ ἐκύκλουν τὸ νότιον κλίτος διὰ τῆς ἀναβάσεως τοῦ Σκορπίου (ἤ, ὡς γράφει λατινιστί. Qui circuibant australem plagam par Scorpionis ascensum). Παρομοίως ἔγραψαν οἱ Ο καὶ ἐν Ψαλμῷ μα, 8, «ἀπὸ ὄρους μικροῦ» ἀντὶ τοῦ κυρίου Μιτζάρ. Καὶ ὧδε τοίνυν εἴπερ ἔλεγεν ὁ ΕΡΜΗΝΕΥΣ (interpres) διὰ τῆς ἀναβάσεως Ἀκραββὶμ, ῥᾷον ἂν ἐπεγινώσκετο τὸ κύριον ὄνομα τοῦ τόπου». Τοιαῦτα τὸ παρ' Ὀδίῳ σχόλιον τοῦ Θεοδωρήτου! Ἀλλ' ἐνταῦθα πᾶς τις ἀπορήσει δικαίως, πῶς ὁ κριτικώτατος ἀνὴρ οὕτως εὐχερῶς καὶ ταχυπειθῶς μετεμόρφωσε τῶν τινα νεωτέρων λατίνων σχολιαστῶν εἰς τὸν Κύρου

Ὡσαύτως καὶ εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων (ἐν Προοιμ.) στηλιτεύων ὁ Θεοδώρητος τοὺς ἀποβάλλοντας τὸ θεῖον τοῦτο βιβλίον (ὡς ἐκ τῆς ἑρμηνείας δηλονότι τῶν Ο θεωρῶν αὐτὸ καὶ ἐξηγῶν), «Ὁρᾶτε (λέγει) ποῦ τὰ τῆς βλασφημίας ἡμῖν χωρεῖ; κατὰ γὰρ τοῦ παναγίου Πνεύματος ἡ κατὰ τοῦ βιβλίου λοιδορία τολμᾶται. Τῆς γὰρ τούτου (τοῦ Πνεύματος) χάριτος ἐμπλησθεὶς ὁ μακάριος Ἔσδρας, διαφθαρὲν, ὡς ἔφαμεν, τὸ βιβλίον ἀνενεώσατο. Καὶ τοῦτο συνειδότες οἱ μακάριοι Πατέρες *ταῖς θείαις αὐτὸ Γραφαῖς* συντετάχασι» κτλ. Καὶ οὐ μόνον τὸ τοῦ θείου Ἄσματος τεῦχος μετὰ τῶν ἄλλων τῶν παρ' Ἑβραίοις κανονικῶν θεόπνευστον ἀνεκήρυττεν ὁ γραφικώτατος Θεοδώρητος, ἀλλὰ καὶ αὐτὰ τὰ Ἀναγινωσκόμενα, καὶ κατὰ τὸν Ἐκκλησιαστικὸν κανόνα μετὰ τῶν κανονικῶν ἰσοτίμως συναριθμούμενα. κέχρηται γὰρ ὁ Πατὴρ πολλαχοῦ μαρτυρίαις ἔκ τε τῆς Σολομῶντος Σοφίας, καὶ τῆς τοῦ Σειρὰχ, καὶ ἐκ τῶν Μακκαβαίων, ὡς ἐκ θείων Γραφῶν.

§. ρξε. Ἰώσηππος ὁ *Χριστιανὸς* συνέγραψεν *Ὑπομνηστικὸν* ἐν Ε, βιβλίοις (σύνταγμα περιέχον ὑπομνήσεις ἐξηγητικὰς εἰς πολλὰ τῆς παλαιᾶς Γραφῆς, ἔστι δ' ἃ καὶ τῆς Νέας, τὰ μάλιστα ἀξιομνημόνευτα, ἱστορικὰ, καὶ ἄλλα διδακτικά) (α). Καὶ οὗτος

Θεοδώρητον, καὶ αὐτὸ δὲ τὸ κείμενον τῆς Βουλγάτας εἰς κείμενον τῶν Ο! Ἰδοὺ τὰ ῥήματα τούτων· «Καὶ κυκλώσει ὑμᾶς τὰ ὅρια ἀπὸ Λιβὸς, πρὸς ἀνάβασιν Ἀκραβίν» (Ἀριθμ. λδ, 4). Ἡ δὲ Βουλγάτα λέγει Et circuibunt australem plagam per ascensum Scorpionis (αὐτὰ ταῦτα γράφει καὶ τὸ σχόλιον ἀνωτέρω, μετά τινων σφαλμάτων τυπογραφικῶν). Ποῦ λοιπὸν ἐν τούτοις ὁ Θεοδώρητος καὶ οἱ Ο; Τὸ δὲ πάλιν Μιτζὰρ οὔτε ἡ Βουλγάτα οἶδεν, οὔτ' αὐτὸς ὁ Θεοδώρητος ἐν τῇ εἰς τὸν (μθ) ψαλμὸν ἑρμηνείᾳ (ὅπου γράφει καὶ αὐτὸς, ἀπὸ ὄρους μικροῦ, καὶ παρακατιὼν, ὄρους μικροτάτου), οὔτ' αὐτὸς, τέλος, ὁ Ἱερώνυμος (γράφει δὲ καὶ οὗτος, de monte minimo). Ἀλλ' οὐδ' ἂν εἶπε, τέλος, ὁ ἱερὸς Θεοδώρητος τοὺς Ο ἑνικῶς, ὁ ἑρμηνεὺς, προλαμβάνων πρὸ τοσούτων αἰώνων τὴν σκοτεινὴν καὶ δύσπεπτον δυσπιστίαν τῆς νεωτέρας κριτικῆς, ἥτις μὴ δυναμένη στέγειν τοὺς Ο, εἰς ἕνα τούτους καὶ μόνον συνεχώνευσε, καὶ τοῦτον ἄγνωστον! Καὶ ἀπεληλάσθω λοιπὸν τοῦτο τοῦ ψευδοθεοδωρήτου τὸ σχόλιον, ὅπου καὶ τἄλλα τὰ νόθα καὶ ψευδεπίγραφα, κἀκεῖνο τὸ τοῦ Ψευδευδοξίου (βλ. ὀπισθ. σελ. 640).

(α) Περὶ τοῦ χρόνου καθ' ὃν ἔζη ὁ Ἰώσηππος οὗτος διαφέρονται οἱ νεώτεροι. Ὁ σο-

τοίνυν τὰς θείας φράσεις τῶν Προφητῶν ἐκφέρει κατὰ τοὺς Ο (ἔχει δὲ καὶ γνώμας πολλὰς ἐκ τῶν Εὐσεβίου, καὶ τοῦ ἱεροῦ Ἐπιφανίου δεδανεισμένας). Καὶ τὴν χρονολογίαν δὲ τῶν Ο διατηρεῖ, ἐν οἷς πραγματεύεται περὶ τοῦ «*Πόσαι γεγόνασιν ἀπὸ Ἀδὰμ, ἕως τῆς τοῦ Σωτῆρος παρουσίας αἱ γενεαὶ*» (Βιβλ. Α. κεφ. α). Καὶ λείπει μὲν ἐν αὐταῖς ἡ τοῦ Β, Καϊνᾶν (κατὰ τὴν Εὐσεβίου δηλονότι ἔλλειψιν, εἴτ' αὐτοῦ τοῦ Ἰωσήπου γράψαντος, εἴτε καί τινος τῶν ἀντιγραφέων), διορίζει δὲ ὅμως πλήρη τὸν χρόνον, καθ' ὃν αὐτὸς συνέγραψεν ὁ Ἰώσηπος, μεμνημένος «τῆς (ἀπὸ Κ. Κ.) *ἐν ἑξάδι χιλιάδων μέχρι τῆς παρούσης καταστάσεως*». Ὥστε φαίνεται ὅτι συνέγραφεν οὐ πολὺ μετὰ τὰς ἀρχὰς τοῦ Ε, αἰῶνος· πρὸς γὰρ τοῖς 5507, προστιθέντα καὶ 420, ἢ 430, ἀπαρτίζουσι τὴν ἑξάδα τῶν χιλιάδων, ὡς ἔγγιστα, (ἤτοι 5937). Ἔχει δὲ καὶ ἴδιον κεφάλαιον (Ε, 122) περὶ τοῦ «*Τίνες εἰσὶν οἱ τὰς ἱερὰς Γραφὰς ἑρμηνεύσαντες*» (ἐν οἷς προεξάρχουσι, καὶ ἐξυμνοῦνται ὡς κορυφαῖοι οἱ Ο).

§. ρξϛ. Φιλοστόργιος ὁ Καππαδόκης (τῷ 425), ὁ τῆς Ἐκκλησιαστικῆς ἱστορίας Ἀρειανὸς συγγραφεὺς, μίαν οἶδε καὶ αὐτὸς θείαν παλαιὰν Γραφὴν ἐν τῇ Ἐκκλησίᾳ, τὴν τῶν Ο. «Ἡ ἱερά (φησιν) ἡμῶν Γραφὴ ἐκ τοῦ Παραδείσου τούτους (τὸν Τίγρην καὶ Εὐφράτην) λέγουσα ὁρμᾶσθαι, τὸ ἀληθέστατον ἱστορεῖ». καὶ, «Ταύτῃ ἄρα καὶ

φὸς Οὐόσσιος νομίζει τοῦτον τὸν αὐτὸν καὶ τὸν παρ' Ἐπιφανίῳ (Αἱρεσ. λ. §.4—8) χριστιανίσαντα Ἰουδαῖον Ἰώσηπον, τὸν Τιβεριαδέα (περὶ τὰ 400). Ὁ δὲ Καβέος (Script. Eccl. Hist. lit. T. 2. p. 83) ἔτι περαιτέρω, καὶ λίαν πιθανῶς, χρονοθετεῖ (τῷ 420). Ἀλλ' ὁ πάντα τὰ τοιαῦτα ῥαδίως καινουργῶν καὶ νεωτερίζων Φαβρίκιος (Bibl. Graec. T. XI. p. 52. Harl.), ὑπολαμβάνει τὸν συγγραφέα τοῦ Ὑπομνηστικοῦ μὴ πρὸ τοῦ ια, αἰῶνος ἀκμάσαντα. εἴ γε (φησὶ) μέμνηται τοῦ Θηβαίου Ἱππολύτου· (ὡς ἂν εἴπερ ἦν ἀδύνατον ἀναμίξαι τοὺς βιβλιογράφους μετὰ τῶν Ἰωσήπου καί τινα τῶν Ἱππολύτου τοῦ Θηβαίου!). Ἀντεῖπε δὲ πρὸς τὸν Φαβρίκιον ἰσχυρῶς ὁ Γαλλάνδος (Biblioth. Patr. Tom. XIV. proleg. p. IV.), διατεινόμενος (ὑπερβολικώτερον ἴσως), ὅτι ὁ Ἰώσηπος οὗτος ἔζη κατὰ τὰ μέσα τοῦ Δ, αἰῶνος (τῷ 350 μ. Χ.). Τὸ δ' οὖν Ὑπομνηστικὸν ἐξέδωκεν Ἑλληνιστὶ καὶ Λατινιστὶ ὁ Φαβρίκιος, ἐν τῷ Codicis Pseudepigraphi V. Testam. vol. alterum. Hamburg. 1723.

ὁ προφήτης ἐμελῴδησε Δαυΐδ. Αὐτὸς *ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν»* (Βιβλ. Γ. 9). Καὶ τέλος (ἵνα παραλίπωμεν ἄλλα), ἐκ τῆς ἑρμηνείας τῶν Ο καὶ τὸν Οὐλφίλαν ἱςορεῖ φιλοπονήσαντα τὸ πρῶτον Γοτθικὴν μετάφρασιν. Περὶ τούτου προείπομεν (σελ. 532).

§. ρξζ. Κελεστῖνος, Πάπας Ῥώμης (τῷ 423-431). Τούτου σῴζονται ἄλλαι τε λατινικαὶ ἐπιστολαὶ, καὶ πέντε ἐν τοῖς Πρακτικοῖς τῆς Γ, Οἰκουμενικῆς Συνόδου ἑλληνιστὶ ἐκδεδομέναι, ἐν αἷς αἱ θεῖαι τῶν Προφητῶν ῥήσεις ἐκφέρονται κατὰ τὴν ἑρμηνείαν τῶν Ο, οἷον· «Πρὸ ὀφθαλμῶν μοι ἐστὶ τὰ ῥήματα Ἱερεμίου τοῦ προφήτου (ε, 30) «Φοβερά, φησιν, ἐγένετο ἐπάνω τῆς γῆς· οἱ προφῆται ἀδικίαν προφητεύσουσι» κτλ. (Συνόδ. Συλλογ. Τόμ. α. σελ. 446).

§. ρξη. Θεόδοτος Ἀγκύρας ἐπίσκοπος (τῷ 430). Τούτου σῴζονταί τινες Ὁμιλίαι· οἷον εἰς τὴν Γέννησιν τοῦ Σωτῆρος ἡμῶν, καὶ ἄλλη ῥηθεῖσα ἐν τῇ ἡμέρᾳ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, καὶ τὰς λοιπὰς ἀριθμήτωσαν, οἷς ἀνήκει τὸ ἔργον (α). Τούτου τοῦ Θεοδότου φαίνονται τὰ καὶ πολλαχοῦ τῆς Ὀκτατεύχου ἀπαντῶντα ἐξηγητικὰ σχόλια, *Θεοδότου* ἁπλῶς, χωρὶς τῆς τοῦ Ἀγκύρας προσωνυμίας ἐπιγραφόμενα (ὑπῆρχε δὲ καὶ ἕτερος Θεόδοτος Ἀντιοχείας τῷ 423, ὁ παρὰ Θεοδωρήτῳ *μαργαρίτης τῆς σωφροσύνης*· τούτου δ' οὐδὲν ἰδίως εἰς τὴν θείαν Γραφὴν ὑπόμνημα μνημονεύεται· βλ. Καβέον τόμ. β. σελ. 85). Ὁ δ' οὖν Ἀγκύρας Θεόδοτος πανταχοῦ τὰς ἐκ τῶν Ο μαρτυρίας ἐκφέρει ὡς αὐτόχρημα λόγια Θεοῦ, πρὸς ἀπόδειξιν τῶν δογμάτων τῆς εὐσεβείας· οἷον ἀπὸ τῶν Ψαλμῶν, τοῦ Βαροὺχ, τοῦ Μαλαχίου, κτλ. (βλ. Συνόδ. Συλλογ. τόμ. α. σελ. 590-599).

§. ρξθ. Ἀκάκιος, ἐπίσκοπος τῆς ἐν Ἀρμενίᾳ Μελιτηνῆς (τῷ 430), εἷς καὶ οὗτος τῶν ἁγίων τῆς Γ, Οἰκουμενικῆς Συνόδου

(α) Βλ. τῆς Γ, Συνόδου Πρακτ. ἐν Συνόδ. Συλλ. τόμ. α. σελ. 510, 513. πρβλ. Θεοτόκ. πρόλ. εἰς τὴν Ὀκτάτευχον τόμ. α. σελ. ιζ. Galland. Biblioth. Patr. T. IX. p. 423. Fabric. Biblioth. Graec. T. X. p. 512. ed. Harl.

Πατέρων, ἐν τῇ κατὰ τὴν Ἔφεσον λεχθείσῃ Ὁμιλίᾳ (βλ. Συνόδ. Συλλογ. τόμ. α. σελ. 590), μεταξὺ τῶν ἄλλων, ὧν κατὰ τῆς Νεστορίου πλάνης ἀπετόξευσε, θείων χρησμῶν, καὶ τὸ τοῦ Ἡσαΐου «*Παιδίον ἐγεννήθη ἡμῖν*», λαμπρῶς θεολογεῖ, καὶ τὸ «*Θεὸς ἰσχυρὸς*» κτλ. κατὰ τὴν τῶν Ο τελείαν καὶ ἀκεραίαν ἐκφέρει γραφήν. [Τούτου σύγχρονος ἦν καὶ ἄλλος Ἀκάκιος, ὁ τῆς ἐν Συρίᾳ Βεροίας διασημότατος ἐπίσκοπος (βλ. Θεοδώρ. Ἐκκλ. ἱστορ. Ε, 23), ὅστις τῆς μὲν ἐν Ἐφέσῳ Συνόδου διὰ γῆρας ἀπελείφθη, τὴν δὲ ψῆφον αὐτοῦ τότε μὲν ἐναντίον Κυρίλλου παρέσχεν, εἶτα δὲ κατὰ τὴν ἐν Βεροίᾳ συνελθοῦσαν Σύνοδον, γνωσιμαχήσας, συνήργησε πάσῃ δυνάμει πρὸς τὰς τῶν Ἀποσχιστῶν μετὰ τοῦ θείου Κύριλλου διαλλαγὰς, καὶ τὴν εἰρήνην τῆς Ἐκκλησίας. Σῴζονται καὶ τούτου τρεῖς ἐκ τῶν πολλῶν, ὧν ἔγραψεν, ἐπιστολαί· βλ. ἐφεξῆς §. ρογ] (α).

§. ρο. Ἀλύπιος πρεσβύτερος (τοῦ ναοῦ) τῶν ἁγίων Ἀποστόλων ἐν Κωνσταντινουπόλει (τῷ 410), ἐν τῇ πρὸς τὸν ἀήττητον Κύριλλον τὸν Ἀλεξανδρείας ἐπιστολῇ, μακαρίζων αὐτὸν ἕνεκα τῶν κατὰ τοῦ δυσσεβοῦς Νεστορίου πολυμόχθων καὶ πανιέρων ἀγώνων, ἄλλοις τε χρῆται ῥητοῖς τῶν Ο, καὶ τοῖς ἐν τῇ «*Βὴλ καὶ Δράκων*» περικοπῇ τοῦ προφήτου Δανιήλ· «Ὅτι, φησί, τὸν πολυφάγον Βὴλ κατέστρεψας» (Συνόδ. Συλλ. τόμ. α. σελ. 547).

§. ροα. Ἡ Τρίτη Οἰκουμενικὴ καὶ πνευματέμφορος Σύνοδος, ἡ ἐν Ἐφέσῳ κατὰ τοῦ θεοστυγοῦς Νεστορίου, ἐκ διακοσίων θεοφόρων Πατέρων συναθροισθεῖσα, ἧς προεξῆρχε Κύριλλος ὁ θεσπέσιος, ἐπέχων καὶ τὸν τόπον τοῦ Πάπα Ῥώμης Κελεστίνου (τῷ 431), ἐν πᾶσι τοῖς ἐν τοῖς Πρακτικοῖς αὐτῆς ὑπομνήμασι, καὶ ταῖς Ὁμιλίαις, δι᾽ ὧν τὸ τῆς ἀμωμήτου Πίστεως ἀκραιφνὲς ἀπεδείκνυτο δόγμα, καὶ ἡ ἀειπάρθενος Μήτηρ τοῦ Ἐμμανουὴλ *Θεοτόκος* ἀνεκηρύττετο, μόναις ταῖς ἀπὸ τῶν Ο θείαις ῥήσεσι τῶν Προφητῶν ἐχρῆτο πρὸς τὰς ἀποδείξεις, κυροῦσα βεβαίως καὶ ἀποδεχομένη τὰς τὴν πλάνην τῆς αἱρέσεως στηλιτευούσας θεολόγους συγγραφὰς, ἐν αἷς καὶ

(α) Βλ. Fabric. Biblioth. Græc. T. VII. p. 336. Harl.

τὰ προῤῥηθέντα ΙΒ. κεφάλαια τοῦ θείου Κυρίλλου (Συνόδ. Συλλ. τόμ. α. σελ. 549). Καὶ ἰδίως δὲ ἐν τῇ πρὸς τὴν τοπικὴν ἐν Παμφυλίᾳ εὐαγῆ Σύνοδον κανονικῇ αὐτῆς ἐπιστολῇ, ἀρχὴν τοῦ λόγου ποιεῖται τὸ, « *Μετὰ βουλῆς πάντα ποίει, τῆς θεοπνεύστου Γραφῆς* » (Σ. Σειρὰχ, λε, 20).

Ἀλλὰ καὶ αὐτὸς ὁ *Χριστομάχος* καὶ *Θεοτοκομάχος* Νεστόριος (εἰ δεῖ καὶ τοῦτο προσθεῖναι), καὶ πάντες οἱ περὶ αὐτὸν παραχαράττοντες τὰς θεοπνεύστους ἐννοίας τῶν Προφητῶν, ἐκ τῶν Ο τὰς ῥήσεις ἐξέφερον, μίαν ταύτην καὶ αὐτοὶ ὁμολογοῦντες κυρίαν καὶ θεοπαράδοτον Γραφήν. Καὶ γὰρ (ὡς ὁ θεῖος ἀποφαίνεται Κύριλλος) «Οἱ ἀπὸ πάσης αἱρέσεως ἐκ τῆς θεοπνεύστου Γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμὰς, *τὰ διὰ τοῦ ἁγίου Πνεύματος ὀρθῶς εἰρημένα* ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες, καὶ ταῖς ἰδίαις ἑαυτῶν κεφαλαῖς τὴν ἄσβεστον ἐπαντλοῦντες φλόγα » (Συνόδ. Συλλ. Τόμ. Α, σελ. 619) (α).

§. ροϐ. Εὐθήριος, Τυάνων ἐπίσκοπος (τῷ 431). Καὶ οὗτος εἷς τῶν ἐναντίον τοῦ θείου Κυρίλλου μάλα κραταιῶς καὶ μάτην πυκτευσάντων, οὐχ ὡς τὰ Νεστορίου φρονῶν, ἀλλ᾽ ὡς ἀρχαῖος τούτου φίλος, κακόστοργος καὶ δυσφιλὴς, καὶ πολλὰ δὲ καὶ δεινὰ τῆς σφενδαμνίνου πεισμονῆς ἀπωνάμενος. Τούτου σῴζονται καὶ ἄλλα, καὶ *Λόγοι ΙΖ*, πάντες περὶ τῆς θείας τοῦ Σωτῆρος οἰκονομίας πραγματευόμενοι, καὶ θεολογοῦντες κατὰ τὰς προφητικὰς τῶν Ο Γραφάς, ὡς ταύτας ὁδηγούσας πρὸς σύστασιν τῆς ἀληθείας. « Ἐκ τῶν ἁγίων (λέγει) Γραφῶν ἡ τῶν ἀδήλων φανέρωσις· ἡ τῶν ἐλπίδων βεβαίωσις· ἡ τῶν ὑποσχέσεων ἔκβασις· ἡ τοῦ Σωτῆρος εὕρεσις· *Ὃν ἔγραψε Μωϋσῆς καὶ οἱ Προφῆται, εὑρήκαμεν* » (λόγ.

(α) Τῶν βλασφήμων τοῦ Νεστορίου γραμμάτων περικοπὰς βλ. ἐν Συνόδ. Συλλ. Τ. Α, σελ. 486, κτξ. Ἄλλα δὲ πάλιν ἀποσπάσματα «Τρύτου τοῦ φυσικῶς μὲν εὐλάλου, καὶ πεπαιδεῦσθαι δοκοῦντος, ἀναγώγου δὲ καὶ τετυφωμένου ἀνθρώπου (Σωκρ. ζ, 32. πρϐλ. καὶ Θεοδώρ. Αἱρετικ. κακομυθ. κεφ. ΙΒ), ϐλέπε παρ᾽ Εὐαγρίῳ Ἐκκλ. ἱστ. α, ζ. - πρϐλ. καὶ Fabric. Bibl. Gr. T. X. p. 529. Harl.

ϐ). Καὶ τὸ «*Θεὸς ἰσχυρός*» τέλειον ἐκφέρει, κατὰ τοὺς Ο (βλ. ὄπισθ. σελ. 519). Ἄλλα πάμπολλα παραλείπομεν (α).

§. ρογ. Παῦλος, Ἐμέσης ἐπίσκοπος (τῷ 431), καὶ οὗτος εἷς τῶν ἐπὶ τῆς Γ, Συνόδου στασιασάντων ἀποσχιστῶν, οἵτινες ὕστερον (τῷ 432) μετὰ τοῦ προεξάρχοντος αὐτῶν Ἰωάννου τοῦ Ἀντιοχείας Σύνοδον συγκροτήσαντες ἐν Βεροίᾳ, τὰ τοῦ δυσσεϐοῦς Νεστορίου τρανῶς ἀπεκήρυξαν, καὶ μετὰ τοῦ θείου Κυρίλλου διηλλάγησαν, πρέσϐυν πρὸς αὐτὸν εἰς Ἀλεξάνδρειαν ἀποστείλαντες Παῦλον τοῦτον τὸν Ἐμέσης, τὴν ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως αὐτῶν ἀποκομίζοντα. Σώζονται δὲ καὶ τούτου Ὁμιλίαι, ἃς ἐπ᾿ Ἐκκλησίας ἐξεφώνησεν ἐν Ἀλεξανδρείᾳ, τὸ δόγμα τῆς Πίστεως ἐκ τῶν τῆς Καινῆς καὶ τῆς Παλαιᾶς τῶν Ο Γραφῆς ἀποδεικνύων, καὶ ὁμολογῶν, ἐπευφημοῦντος τοῦ λαοῦ (Συνόδ. Συλλογ. τόμ. α. σελ. 615-616, καὶ Φωτ. Ἀναγν. σλ.).

§. ροδ. Ῥηγῖνος, ὁ Κωνσταντίας τῆς Κύπρου ἀρχιεπίσκοπος (τῷ 451), καὶ τοῦ θείου Κυρίλλου πιστὸς ὑπὲρ τῆς ἀληθείας συναθλητής, μετὰ τὴν Νεστορίου καθαίρεσιν, ἐνώπιον τῆς Γ, Συνόδου σύντομον καὶ καλὴν ἐξεφώνησεν Ὁμιλίαν, δι᾿ ἧς ἐξελέγχει τὸν ἀλιτήριον ἐκ τῶν προφητικῶν μάλιστα ῥητῶν, ὡς ἐκ θείων φωνῶν (βλ. Συνόδ. Συλλ. τόμ. α. σελ. 498).

§. ροε. Μαξιμιανός, ὁ μετὰ τὴν Νεστορίου καθαίρεσιν ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως ἀξίως τῆς αὐτοῦ ἀρετῆς ἀναγορευθεὶς (τῷ 431). Ἔγραψεν ἐπιστολὴν πρὸς τὸν θεσπέσιον Κύριλλον, πλήρη παραμυθίας καὶ τιμῆς καὶ γνησίας στοργῆς. «Πάντα (φησὶν) ἴσχυσας ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· ἐταπείνωσας τὸν Σατανᾶν

(α) Τοὺς 17, τούτους λόγους οἱ μὲν εἰς τὸν ἱερὸν Μάξιμον ἀπέδωκαν· ὁ δὲ Φώτιος εἰς τὸν Κύρου Θεοδώρητον ἐπιγεγραμμένους ἀνέγνω (Ἀναγν. μϛ). Κατὰ δὲ τὴν Μαρίου τοῦ Μερκάτορος (Αὐγουσίνῳ συγχρονίσαντος) μαρτυρίαν, εἰς Εὐθηρίον αὐτοὺς οὐκ ἀπιθάνως ἐπέγραψεν ὁ Γαρνιῆρος ἐν τῷ Ἐπιμέτρῳ (ἢ Ἐπαυξήματι, auctuario), ὅ ἐξέδωκεν εἰς τὰ σῳζόμενα τοῦ ἱεροῦ Θεοδωρήτου. (βλ. τῆς ὑπὸ τοῦ Εὐγενίου ἐκδόσεως τοῦ Θεοδωρήτ. τόμ. Ε, σελ. 159-188). Εὑρίσκονται δὲ ἐκδεδομένοι καὶ ἐν τοῖς τοῦ Μ. Ἀθανασίου τόμ. Β. σελ. 245 ἐκδ. Com.

διὰ τῆς ὑπομονῆς, κατεγέλασας κολαστηρίων, ἐπάτησας θυμὸν ἀρχόντων, λιμοῦ κατεφρόνησας· ἔσχες γὰρ *τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ κατελθόντα* . . . Καταξίωσον, θεοφιλέστατε, εὐχαῖς τε ἡμᾶς ὑποστηρίζειν, καὶ συμβουλαῖς στοιχειοῦν,.. ὥστε πληρωθῆναι καὶ ἐφ' ἡμῖν τὸ γραφικὸν ῥητόν· «*Ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ*» (Παροιμ. ιη). κτλ. (Συνόδ. Συλλ. τόμ. α. σελ. 609) (α).

§. ρος. Πρόκλος ὁ ἁγιώτατος (τῷ 434), ἔτι νέος κομιδῇ περὶ τὴν ῥητορικὴν καὶ τὴν τῶν λόγων ἐπιστήμην ἀσκηθείς, ἐγένετο παρὰ τῷ θείῳ Χρυσοστόμῳ ζηλωτὸς τῶν ἐκείνου λόγων ὑπογραφεύς· ὡσαύτως δὲ καὶ παρὰ τῷ Πατριάρχῃ Ἀττικῷ· ὑφ' οὗ καὶ διάκονος καὶ πρεσβύτερος προχειρισθείς, ἐφεξῆς ὑπὸ Σισινίου Κυζίκου ἐπίσκοπος ἐχειροτονήθη, καὶ συνήδρευεν ἐπὶ τῆς Γ, Οἰκουμενικῆς ἁγίας Συνόδου· μετὰ δὲ τὴν Μαξιμιανοῦ τελευτὴν τὴν τῆς Κωνσταντινουπόλεως ἐκληρώθη προεδρίαν· ἀνὴρ *ἀγαθὸς τὸ ἦθος, εἰ καί τις ἄλλος*, καὶ λόγων μελιχρῶν δημιουργός. Οὗτος καὶ τὸ ἱερὸν τοῦ Χρυσοστόμου λείψανον ἐπανήγαγεν ἐκ τῆς ἐν Κομάνοις ἐξορίας εἰς Κωνσταντινούπολιν, καὶ μετὰ πομπῆς ἱερᾶς ὑπαντήσας, ἀπέθετο ἐν τῇ Ἐκκλησίᾳ τῶν ἁγίων Ἀποστόλων (ἐτελεύτα δὲ ὁ Πρόκλος τῷ 446· καὶ τὴν μνήμην αὐτοῦ ἐπιτελεῖ ἡ Ἐκκλησία Νοεμβ. κ) (β). Τούτου τῶν πολλῶν Ὁμιλιῶν, ἢ Λόγων, ΚΑ, μόνον περιῆλθον καὶ εἰς ἡμᾶς, καὶ τὸ περὶ τῆς θείας Λειτουργίας, καί τινες ἐπιστολαί· πανταχοῦ δὲ ταῖς προφητικαῖς τῶν Ο μαρτυρίαις ὡς θεολέκτοις κέχρηται φωναῖς πρὸς δογματικὰς τῆς πίστεως

(α) Ἄλλας τῶν τῆς ἐν Ἐφέσῳ Συνόδου Πατέρων ἐπιστολάς, καὶ μάλιστα τῶν Ἀποσχιστῶν, βλέπε ἐν τῇ Συλλογῇ πασῶν τῶν εἰς τὴν Γ. Οἰκουμενικὴν Σύνοδον ἀνηκουσῶν ἐπιστολῶν τῶν Πατέρων, ἃς κατὰ τὴν παλαιὰν ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων γενομένην λατινικὴν ἑρμηνείαν συναγαγών, καὶ Ἐ φ ε σ ί α ς ἐ π ι σ τ ο λ ὰ ς (Ephesinas Epistolas) ἐπιγράψας, ἐξέδωκε πρῶτος ὁ Christian. Lupus. Bruxel. 1682.

(β) Βλ. Σωκρ. Ζ, 28, 40, 45. — Νικηφ. ΙΔ, 29, 37. — Γεώργ. Ἀλεξάνδρ. καὶ Συμεὼν τὸν Μεταφρ. (ἐν Βίῳ Χρυσοστόμου). Θεοφάνην σελ. 75· κτλ. πρβλ. καὶ Fabric. Biblioth. Graec. vol. IX. p. 504. ed. Harl.

ἀποδείξεις. Αὐτίκα ἐν τῷ εἰς *τὴν Παναγίαν Θεοτόκον* ἐγκωμίῳ, ὅπερ, ἔτι Κυζίκου πρόεδρος ὤν, ἐξεφώνησε λαμπρῶς ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ, προκαθημένου τοῦ τότε ἀνοσίως πατριαρχοῦντος καὶ Χριστομαχοῦντος δυσσεβοῦς Νεστορίου (τῷ 429), ἀφ' οὗ τὸ τῆς θείας ἐνανθρωπήσεως δόγμα τρανῶς ἐθεολόγησε, καὶ τὴν ἀειπάρθενον Θεοτόκον ἐξύμνησεν, ἐπάγει τὸ τοῦ Ἰεζεκιὴλ (μδ). «Καὶ εἶπε Κύριος πρός με· Υἱὲ ἀνθρώπου, *ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ἀλλ' ἡ κύριος ὁ Θεὸς Ἰσραὴλ, μόνος αὐτὸς εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ πύλη κεκλεισμένη*». Ἰδοὺ ἀπόδειξις ἐναργὴς τῆς ἁγίας καὶ Θεοτόκου Μαρίας. Λυέσθω τοίνυν ἀντιλογία πᾶσα, καὶ τῇ τῶν Γραφῶν καταφωτιζώμεθα γνώσει». (Συνόδ. Συλλ. τόμ. α. σελ. 360). Πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα διασαλπίζει κἀν τῇ εἰς τὴν Ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ὁμιλίᾳ, «ἀπὸ *τῆς λύρας τῶν Ψαλμῶν*» ἀρχόμενος (ἣν καὶ *θεόπνευστον κιθάραν* καλεῖ), καὶ τὰς προφητικὰς ταῖς Ἀποστολικαῖς μαρτυρίαις συμπλέκων, καὶ καταῤῥάσων ἐξ ὑπαλλαγῆς τοὺς σκαιοὺς τῆς ἀπωλείας υἱοὺς, Ἄρειον καὶ Εὐνόμιον καὶ Μακεδόνιον καὶ Νεστόριον (οὓς καὶ «*τετράπωλον τοῦ διαβόλου ἅρμα*» κατονομάζει). Τί δὲ καὶ περὶ τῆς ᾠδῆς τῶν τριῶν Παίδων λέγει; «Οἱ περὶ Ἀνανίαν Παῖδες.. ἐν Βαβυλῶνι ἐκοιμήθησαν· καὶ δι' αὐτῶν πᾶσα ἡ Οἰκουμένη καθ' ἑκάστην βοᾷ· *Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον*» (λόγ. ε). Καὶ χρονολογεῖ δὲ, τέλος, κατὰ τοὺς Ο (5500, ἀπὸ Κ. Κ. μέχρι Χ. ἀριθμῶν). «Σήμερον ὁ ληστὴς ἐτυμβωρύχησε τὸν *πεντάκις χιλίοις καὶ πεντακοσίοις* ἔτεσιν ὑπὸ φλογίνης ῥομφαίας φρουρούμενον Παράδεισον» (λόγ. ια). Ἄλλα παραλείπομεν σημειοῦντες μόνον τὸ ἐφεξῆς. Ὅτι ὁ ΙΕ τῶν τοῦ ἁγιωτάτου Πρόκλου Λόγων ἐῤῥέθη «*εἰς τὸ ἅγιον Πάσχα, καὶ εἰς τὸ Ἐν ἀρχῇ ἦν ὁ Λόγος*». Ἐκ δὲ τούτου (ὡς καὶ ἐκ τῆς εἰς τὴν Ἀνάστασιν Ζ, Ὁμιλίας τοῦ θείου Χρυσοστόμου) δείκνυται τρανῶς, ὅτι ἡ αὐτὴ ἀρχαία τάξις τῶν Πατέρων διατηρεῖται καὶ μέχρι σήμερον ἐν τῇ Ὀρθοδόξῳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἥτις καὶ νῦν ἀναγινώσκει τὸ

«*Ἐν ἀρχῇ ἦν ὁ Λόγος*» ἐν τῇ λειτουργίᾳ τῆς ἁγίας ἡμέρας τοῦ Πάσχα (α).

§. ροζ. Πέτρος, ὁ τοὐπίκλην *Χρυσολόγος*, ἰταλὸς, Ῥαβέννης ἐπίσκοπος (τῷ 433), ὅν τινες κατὰ τὴν εὐγλωττίαν παραβάλλουσι πρὸς τὸν ἱερώτατον Πρόκλον. Τούτου σώζεται μία πρὸς τὸν Εὐτυχῆ, τὸν αἱρετικὸν ἀρχιμανδρίτην ἐπιστολὴ, ἑλληνιστὶ καὶ λατινιστὶ ἐκδεδομένη (πρὸς τῷ τέλει τῶν συγγραμμάτων Γρηγορίου τοῦ Θαυματουργοῦ σελ. 105), καὶ ρος, λατινικαὶ Ὁμιλίαι. Ἐν πᾶσι δὲ τούτοις κέχρηται καὶ οὗτος τῇ τῶν Ο, Ἰτάλᾳ. Ὡσαύτως καὶ Εὐχέριος, Γαλλος, Λουγδούνων ἐπίσκοπος, ἐν τοῖς εἰς τὴν Γένεσιν καὶ τὰς Βασιλείας λατινικοῖς ὑπομνήμασι, καὶ ἀλλαχοῦ. Ἔστι δὲ ὅπου καὶ τὸ ἑβραϊκὸν οὗτος παραβάλλει· μέμνηται δέ που καὶ τῆς *νεωτέρας θείας* (ἤτοι τῶν θείων Γραφῶν) *ἑρμηνείας*, τὴν Ἱερωνύμειον, ἴσως, ἐννοῶν (βλ. Ὅδιον σελ. 397 καὶ Καβέον σελ. 238).

§. ροη. Ἀδριανὸς ὁ συγγραφεὺς τῆς *εἰς τὰς θείας Γραφὰς Εἰσαγωγῆς*, καὶ πρῶτος ἴσως, στοιχειωτὴς καὶ διδάσκαλος τῆς ἐν τοῖς διδακτικοῖς τῆς Θεολογίας συντάγμασι τῶν Δυτικῶν πλουσιωτέρας εἰθισμένης ἤδη καὶ πλατυτέρας ταύτης μεθόδου. Ἤκμαζε τῷ 433, καὶ ἴσως ἔτι πρότερον· τοῦ δ᾽ οὖν Κασσιοδώρου πάντως προγενέστερος ἦν· μνημονεύει γὰρ οὗτος τῆς βίβλου (τῷ 534). Ἀνέγνω δὲ ταύτην καὶ Φώτιος μετ᾽ ἐπαίνου· «Χρήσιμος (λέγων) τοῖς εἰσαγομένοις ἡ βίβλος». Καὶ νῦν δὲ καθ᾽ ἡμᾶς ἔτι σώζεται ἐκδεδομένη ἐν τοῖς τοῦ Λονδίνου *Ἱεροῖς κριτικοῖς* (τόμ. Η. σελ. 11). Καὶ οὗτος τοίνυν ὁ Ἁγιογραφικὸς φιλόλογος διαγράφων τρία τὰ εἴδη τῶν τοῦ ἑβραϊκοῦ χαρακτῆρος ἰδιωμάτων (τὸ μὲν *ἐπὶ τῆς διανοίας*, τὸ δὲ *ἐπὶ τῆς λέξεως*, τὸ δὲ *ἐπὶ τῆς συνθέσεως*), ὡς πρωτότυπον θεωρεῖ τὴν ἑρμηνείαν τῶν Ο. Καὶ πολλαχοῦ τὰ τοῦ λόγου σχήματα καὶ νοήματα πρὸς τὰ τῆς Καινῆς Διαθήκης, ὡς συγγενέστατα παραβάλλει· οἷον, «Τὴν ἐπὶ τῶν ἀνθρωπίνων

(α) Βλ. Τοῦ ἐν ἁγίοις Πατρὸς Πρόκλου Ἀρχιεπισ. Κωνσταντινουπ. τὰ Ἀνάλεκτα. pag. 66, 101, 178, 367, 439. Romæ, 1630.

κακῶν συγχώρησιν τοῦ Θεοῦ πρᾶξιν αὐτοῦ λέγει (ἡ Γραφή)· «*Τί ἐπλάνησας ἡμᾶς Κύριε ἀπὸ τῆς ὁδοῦ σου;*» (Ἡσαΐ. ξγ, 17)· καὶ «*Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν*» (Ῥωμ. α, 28), καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. καὶ ἐπιλέγει· «Πῶς γὰρ οὐκ ἂν εἴη τῶν ἀτοπωτάτων, εἰ τὰς μὲν Ῥαψῳδίας, πλάσματα καὶ οὐκ ἀληθῆ πράγματα περιεχούσας, οὐκ ἔνεστιν ἑτέρως εἰσηγήσασθαι τοὺς ἐπιστήμονας, μὴ πρότερον τὴν ἑκάστης αὐτῶν ὑπόθεσιν εἰς γνῶσιν ἐνεγκαμένους· – τὰ δὲ *τῆς θείας ἡμῶν ὑποθημοσύνης* ἀνυποστάτοις τισὶ στοχασμοῖς ὑποβάλλοιμεν, εἰκαίας αὐτοῖς καὶ ἀσυναρτήτους τὰς ἑρμηνείας ἐπιφέρειν οὐ δυσωπούμενοι;» (σελ. 23).

§. ροθ. Σωκράτης ὁ ἱστορικὸς συγγραφεὺς (τῷ 439), Κωνσταντινουπολίτης τὸ γένος. Συνέγραψε τὴν καὶ καθ' ἡμᾶς σωζομένην Ἐκκλησιαστικὴν ἱστορίαν ἐν βιβλίοις ἑπτὰ, ἀπὸ τοῦ Μ. Κωνσταντίνου μέχρι τῶν κατ' αὐτὸν ἡμερῶν (439), εἰς ἣν πολλήν γε καὶ λιπαρὰν κατέβαλεν ἐπιμέλειαν μετὰ κρίσεως ἀξιολόγου (πλὴν ἐφ' οἷς ἰδίας τινὰς ἀποτόλμους ἐξέφερε γνώμας, δόξαν θηρεύων ἀδεισιδαίμονος τάχα καὶ φιλοσόφου τῆς ἀκριβείας ἐραστοῦ)· *Ἡ δὲ φράσις αὐτῷ οὐδὲν ἔχει ἀξιόλογον· ἀλλὰ καὶ ἐν τοῖς δόγμασιν οὐ λίαν ἐστὶν ἀκριβής*, Φώτιος ἔφη μετὰ τῆς ἀληθείας (α). Καὶ οὗτος τοίνυν, εἴπου ῥῆσιν ἀνέφερε προφητικὴν, ἐκ τῆς θείας ἀπεδρέψατο τῶν Ο Γραφῆς· ὡς ὅτε τὴν Θεοδοσίου τοῦ Νέου πρᾳότητα ἐπαινῶν, «καθάπερ (λέγει) ἡ βίβλος τῶν Ἀριθμῶν ἐπὶ Μωσέως φησί· Καὶ ὁ ἄνθρωπος ὁ Μωϋσῆς πρᾷος σφόδρα, παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ τῆς γῆς» (Ζ, 42).

§. ρπ. Ἑρμείας ὁ Σωζόμενος, Κύπριος ἐκ Σαλαμῖνος, ἢ μᾶλλον ἴσως Παλαιστινὸς (τῷ 440), καὶ οὗτος συγγραφεὺς τῆς γνωστῆς ἐκκλησιαστικῆς ἱστορίας ἐν βιβλίοις Θ. Ἔστι δὲ τοῦ συγχρονίσαντος Σωκράτους τῇ φράσει βελτίων, διαφωνεῖ δ' αὐτῷ καὶ

(α) Φώτ. Ἀναγν. κη. ἴδε καὶ Νικηφ. Κάλλιστ. προοιμ. Ἐκκλ. ἱστορ. Vales. praef. in Socrat. - Cave p. 240. - Fabric. Biblioth. Græc. T. VII. p. 423. Harl. — Holzhausen, Comment. de fontib. quibus Socrates, Sozomenus ac Theodoretus in scrib. hist. sacra usi sunt. p. 12. Gotting. 1825.

κατά τινας ἱστορίας (α). Ἐξυμνεῖ δὲ καὶ οὗτος *τὴν ἱερὰν βίβλον τῶν Προφητῶν* ἔν τε τῷ προοιμίῳ, καὶ ἀλλαχοῦ· οἷον ἐν οἷς διηγεῖται τοὺς ἱερεῖς τοῦ Χριστοῦ κατηχοῦντας τὸν Μ. Κωνσταντῖνον τῆς Πίστεως τὴν ἀλήθειαν, καὶ ὅπως, « ἐξηγούμενοι τὰ περὶ Χριστοῦ, καὶ πρὶν γενέσθαι σαφῆ, τὴν ἐπὶ τούτοις πρόῤῥησιν ἐκ τῶν Προφητῶν ἀπέδειξαν» (Βιβλ. Α, κεφ. γ καὶ δ), ἐκ τῆς ἑρμηνείας δηλονότι τῶν Ο. Ἐκ τούτων ἐκφέρει καὶ τοῦ προφήτου Ζαχαρίου θεῖον ῥητὸν (ιδ, 20), ἐπὶ τοῦ Μ. Κωνσταντίνου πληρωθὲν (Βιβλ. Β. κεφάλ. α).

§. ρπα. Λέων ὁ Α τ' ὄνομα τοῦτο σχὼν, Πάπας Ῥώμης, ὁ καὶ Μάγνος, ἢ *μέγας* τὸ ἐπώνυμον (τῷ 440). Τούτου σῴζονται λατινιστὶ Ὁμιλίαι εἰς ποικίλας ὑποθέσεις, καὶ μάλιστα εἰς ἑορτὰς, ἐν αἷς καὶ *εἰς τοὺς Μακκαβαίους*· καὶ διάφοροι ἐπιστολαὶ, ἄλλαι τε, καὶ αἱ πρὸς τὸν ἅγιον Φλαβιανὸν, τὸν Κωνσταντινουπόλεως Πατριάρχην ἑλληνιστὶ ἀποσταλεῖσαι, καὶ μάλιστα ἡ κατὰ τοῦ τρισαθλίου Εὐτυχοῦς καὶ τῆς αἱρέσεως αὐτοῦ ἐγκύκλιος, δογματικὴ καὶ θεολογίας πλήρης, ἣν καὶ *στήλην ὀρθοδοξίας* ἡ ἁγία καὶ Οἰκουμενικὴ Δ, Σύνοδος ἐπωνόμασε, καὶ διὰ τοῦ Συνοδικοῦ αὐτῆς Ὅρου ἐβεβαίωσεν (ἅτε σύμφωνον εὑρεθεῖσαν ταῖς Γραφικαῖς, καὶ Πατρικαῖς τῆς Α, καὶ Β, καὶ Γ, Συνόδου διδασκαλίαις). Ἐν πᾶσι τοίνυν τοῖς αὐτοῦ συγγράμμασιν ὁ μακαριώτατος Λέων ἐκ τῶν θείων Γραφῶν ἐκφέρων τὰς τοῦ δόγματος ἀποδείξεις, συνάπτει τὰς κατὰ τοὺς Ο, *προφητικὰς φωνὰς πρὸς τὰς τῶν Ἀποστόλων γραφάς*. Οὕτω, μνημονεύων τὸ ἀποστολικόν· «Ὃ (εὐαγγέλιον) προεπηγγείλατο (ὁ θεὸς) διὰ τῶν προφητῶν αὐτοῦ *ἐν Γραφαῖς ἁγίαις*», ταύτας τὰς *ἁγίας Γραφὰς* ἀνακηρύττει τὰς αὐτὰς καὶ τὰς *προφητικὰς βίβλους* (ἃς δηλονότι παρέδωκαν οἱ Ἀπόστολοι τῇ Ἐκκλησίᾳ, κατὰ τὴν ἑρμηνείαν τῶν Ο). Καὶ τὸ τοῦ Ἡσαΐου, «Παιδίον ἐγεννήθη ὑμῖν υἱὸς – *Θεὸς ἰσχυρὸς* » κτλ. πλῆρες

(α) Φώτ. Ἀναγν. λ. - Νικηφ. ἔνθ. ἀνωτ. προλ. Vales. ubi supr. - Fabric. Biblioth. Græc. T. VII. p. 427. Harl.

ἀναγινώσκει κατὰ τοὺς Ο. Πολλὰς δὲ καὶ ἄλλας ἔκ τε τῶν Ψαλμῶν καὶ τῶν λοιπῶν κανονικῶν βιβλίων τῆς Γραφῆς ἐκφέρει μαρτυρίας ἐν ταῖς ὀρθοδόξοις αὐτοῦ συγγραφαῖς· [Τοῦ Λέοντος ὑπογραφεὺς ἱστορεῖται καὶ Τίρων ὁ Προσπέριος (τῷ 444), λατῖνος συγγραφεὺς, οὗ μετ' ἄλλων συγγραμμάτων φέρεται καὶ *Χρονικὸν* κατὰ τοὺς Ο, τοῖς Εὐσεβίου καὶ Ἱερωνύμου *χρονικοῖς* ἐν τῇ Σκαλιγηρείᾳ ἐκδόσει συνεκδοθέν. βλ. Καβέον σελ. 248].

§. ρπβ. Φλαυιανὸς, ὁ ἁγιώτατος Πατριάρχης τῆς Κωνσταντινουπόλεως (τῷ 447), καὶ τῆς ὀρθοδόξου Πίστεως πανἀοίδιμος ὁμολογητὴς (οὗ τὴν μνήμην ἡ Ἐκκλησία Φεβρ. ις τελεῖ) ἔγραψε τὰς πρὸς τὸν Πάπαν Λέοντα τὸν Α, σωζομένας ἐπιστολας· ἔτι δὲ καὶ Ὁμιλίας, ἐν αἷς καὶ εἰς τὰ Θεοφάνεια· ταύτης μόνον ἀπόσπασμα μνημονεύεται ἐν τοῖς Πρακτικοῖς τῆς Δ, Οἰκουμενικῆς, ἀρχόμενον ἐκ τοῦ ψαλμικοῦ (ρε) «*Τίς, ὡς ἀληθῶς, λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ*»; (Συνόδ. Συλλογ. τόμ. Β. σελ. 213). Οὗτος συνεκρότησε (τῷ 448) καὶ τὴν ἐν Κωνςαντινουπόλει ἐνδημοῦσαν τοπικὴν ἐξ ἐπισκόπων 40, Σύνοδον, ἐν ᾗ τὸ πρῶτον καθῃρέθη, δυσσεβὴς καὶ ἀμετανόητος αἱρετικὸς δὶς ἐξελεγχθεὶς, ὁ ἀρχιμανδρίτης Εὐτυχής (α). [Ταύτης τὰ Πρακτικὰ μετὰ τῶν τοῦ λῃστρικοῦ κατὰ τὴν Ἔφεσον συνεδρίου ἀναγινώσκονται ἐν τοῖς τῆς Δ, Οἰκουμενικοῖς Συνόδου Πρακτικοῖς, πράξ. α].

§. ρπγ. Βασίλειος ὁ μακάριος, τῆς ἐν Ἰσαυρίᾳ Σελευκείας ἐπίσκοπος (τῷ 448). Οὗτος μᾶλλον, ἢ ὁ Μ. Βασίλειος, φαίνεται ὁ τοῦ θείου Χρυσοστόμου φίλος καὶ ὁμωρόφιος Βασίλειος (κατὰ τὸν Σουΐδαν, καὶ τὸν Φώτιον Ἀναγν. ρξη), πρὸς ὃν ἡ χρυσήλατος ἐκείνη σάλπιγξ προσεφώνησε τοὺς *περὶ Ἱερωσύνης* λόγους (οὓς, οὐκ ἄν τις ἁμάρτοι τοῦ πρέποντος, ὀνομάσας τὸ *ἄκρον ἄωτον* τῶν τοῦ Χρυσοῤῥήμονος συγγραφῶν). Ἀλλ' ἔοικε πολὺς ὁ ἀπὸ τοῦ θείου

(α) Βλ. Cotelor. Monument. T. 1. p. 90. - Fabric. Bibl. Græc. T. IX. p. 290. Harl.

Χρυσοστόμου διελθὼν χρόνος (ἅτε Διακόνου τούτου τυγχάνοντος ἔτι, καθ᾽ ὃν χρόνον ἠξιώθη τῆς ἀρχιερωσύνης ὁ Σελευκείας Βασίλειος), μέχρι τῆς Δ, Οἰκουμενικῆς Συνόδου (τῷ 451), ἐν ᾗ παρῆν οὗτος αὐτὸς πάλιν ὁ Βασίλειος· διὸ καὶ τῶν νεωτέρων οἱ μὲν τὸν Μ. Βασίλειον, οἱ δέ τινες (καὶ πάμπαν ἀπιθάνως) τρίτον τινὰ νομίζουσι τὸν, ᾧ προσεφωνήθησαν οἱ *περὶ Ἱερωσύνης* λόγοι, Βασίλειον· οἱ δὲ, τέλος, συμφωνοῦσιν ὁμαλῶς μετὰ Σουΐδα καὶ Φωτίου, τοῦτον δὴ τὸν Σελευκείας τιμῶντες τῇ πολυζήλῳ τοῦ Χρυσοστόμου φιλίᾳ (α). Ἀλλ᾽ ὅπως ἂν ἔχοι τὸ πρᾶγμα, ὁ τῆς Σελευκείας ἱερὸς ποιμενάρχης παρῆν μὲν ἐν τῇ ἀνωτέρω μνημονευθείσῃ ἐπὶ τοῦ Φλαβιανοῦ Συνόδῳ, κατακρίνων εὐσεβοφρόνως τὸν Εὐτυχῆ· παρῆν δὲ καὶ ἐφεξῆς ἐν τῷ λῃστρικῷ συνεδρίῳ, τῷ παρὰ τοῦ δυσσεβοῦς Διοσκόρου κατὰ τὴν Ἔφεσον (δυνάμει τοῦ πηλώδους ἐκείνου Χρυσαφίου, φίλου τοῦ Εὐτυχοῦς, καὶ ὁμόφρονος, καὶ πάντα ἰσχύοντος ἐν τοῖς βασιλείοις) κακοφρόνως συναθροισθέντι· ἀλλ᾽ ἐν τούτῳ ὁ Βασίλειος, βίᾳ καὶ δυναστείᾳ καθυπαχθεὶς, συνυπέγραψε μετὰ τῶν ἄλλων εἴς τε τοῦ Τελχῖνος Εὐτυχοῦς τὴν ἀθῴωσιν καὶ κακοφροσύνην, καὶ εἰς τὴν ἀνομωτάτην τοῦ ἀοιδίμου Φλαβιανοῦ καθαίρεσιν. Διὸ καὶ ἐν τῇ Δ, Οἰκουμενικῇ Συνόδῳ τὸ πρῶτον μετὰ πάντων τῶν Διοσκόρῳ συμφρονησάντων αἱρετικῶν κατακριθεὶς, καὶ ἀπολογησάμενος, καὶ ὅπερ ἀκήρατον διετήρει δόγμα τῆς Ὀρθοδοξίας τρανῶς ὁμολογήσας, ἠθῳώθη, καὶ ἐν τῷ χορῷ τῶν ἁγίων τῆς Συνόδου Πατέρων συμπαρελήφθη, καὶ τούτοις μέχρι τέλους τῆς Συνόδου συνήδρευε (β). Τούτου τοῦ Πατρὸς σῴζονται

(α) Βλ. Claud. Dausqueij not. in D. Basil. Seleuc. oration. pag. 315 ἐκδ. Paris. 1622. Ὅστις καὶ τὰς ἀντιῤῥήσεις τῶν ἀντιλεγόντων πάνυ πιθανῶς ἀνατρέπει· τοῦ δὲ γήρως τοῦ Βασιλείου φέρει τοῦτον αὐτὸν μάρτυρα, λέγοντα· «Πάλιν ὁ γέρων ἐγὼ πρὸς τὸ τῶν λόγων ἄγομαι στάδιον» (Ὁμιλ. εἰς τὰ Νήπια).

(β) Βλ. τῆς Δ, Οἰκουμ. Συνόδ. Πράξ. α, καὶ δ. — Εὐαγρ. Ἐκκλ. ἱστορ. β. 4. - Μεταφραστ. βίῳ Χρυσοστόμ. - Ζωναρ. Χρονικ. γ, 36. - Νικηφ. Ἐκκλ. ἱστ. ιδ, 47. - Κεδρην. κτλ. πρβλ. Cave l. c. p. 249, 251. - Du-Pin, Nouv. Bibl. T. 4. p. 206. - Fabric. Bibl. Graec. T. IX. p. 90. Harl.

ΜΕ, Λόγοι, καὶ εἰς τὴν πρωτομάρτυρα Θέκλαν Βιβλ. Β. πάντα πλήρη θείας καὶ ἀκηράτου διδασκαλίας συγγράμματα· « Ἐν οἷς (φησιν ὁ Φώτιος Ἀναγν. ρξή) τὸ τροπικὸν καὶ γοργὸν καὶ τὸ πάρισον, εἴπερ ποτέ τινι καὶ ἄλλῳ, ἔστιν ἰδεῖν αὐτῷ δημιουργούμενον· καὶ τὸ σαφὲς δὲ καὶ ἡδὺ διατρέχει. - Πλεονάζων δὲ ὅμως ταῖς τροπαῖς, καὶ αὐτὸ τῆς τροπολογίας πηγάζων τὸ εἶδος, οὔτε εἰς ψυχρολογίαν ἐκφέρεται» κτλ. Ἐν πᾶσι δὲ τοῖς λόγοις αὐτοῦ ὁ μακάριος Βασίλειος τοῖς ἐκ τῶν Ο κέχρηται θεοχρήστοις λογίοις, ὡς αὐθεντικοῖς καὶ ὁμοτίμοις πρὸς αὐτὰς τὰς αὐτοφθέγκτους φωνὰς τῶν Προφητῶν· οἷον· «Δεῦρο δὴ οὖν καὶ ἡμεῖς, οὐρανίῳ πειθόμενοι σάλπιγγι, φιλοσοφῶμεν τὰ θεῖα. — Χειραγωγεῖ δὲ ἡμᾶς πρὸς τὴν ἄνοδον χάρις Μωσαϊκῆς γλώσσης ἐπιβαίνουσα προφητική· τί λέγουσα; τί βοῶσα; Ἐν ἀρχῇ ἐποίησε» κτλ. (Λόγ. α). Καί, «Μωϋσῆς παρὰ Θεοῦ φθεγγομένου συνεγράφετο· - προφητικὰς δὲ γλώττας ἡ χάρις ἀρδεύει» (Λόγ. ις). Καί, «Αὐτὸς ὁ Χριστὸς τοῖς τοῦ Προφήτου χείλεσιν ἐναπέθετο τὴν προφητείαν» (λόγ. λζ). Καὶ τὸ μυστήριον δὲ τῆς θείας Οἰκονομίας, καὶ τὴν ὑπερύμνητον δόξαν τῆς Θεοτόκου ἐκ τῶν προφητικῶν ῥημάτων θεολογεῖ (λόγ. εἰς τὸν Εὐαγγελισμόν), καὶ τοῦ Βαροὺχ τὴν προφητείαν αὐτοῦ τοῦ Ἱερεμίου λόγους ἀποκαλεῖ, καὶ τῆς Σοφίας τοῦ Σολομῶντος κέχρηται ῥήσει, καὶ τοῦ Βὴλ καὶ Δράκοντος ἐκ τοῦ Δανιὴλ μνημονεύει. Καὶ (ἵνα μὴ τὸν λόγον ἐκτείνωμεν ἐπὶ πλέον), ἐν οἷς ἀριθμεῖ τὰ ἔτη τῶν τοῦ Δανιὴλ *ἑβδομάδων*, συνεῖρεν, ὡς ἐν παρόδῳ, καὶ τὴν κατ' Ἀριστέαν καὶ Ἰώσηπον ἱστορίαν τῆς ἑρμηνείας τῶν Ο. « Φιλάδελφος (ἐβασίλευσεν) ἔτη λη. Οὗτος ἀπολύσας τοὺς αἰχμαλώτους τῶν Ἰουδαίων, ἐφιλοτιμήσατο μεταγράψασθαι εἰς [τὴν] ἑλληνίδα γλῶσσαν τὰς ἑβραϊκὰς Βίβλους» (λόγ. λη. σελ. 203).

§. ρπδ. Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως Πατριάρχης (τῷ 449), ἐφ' οὗ ἡ Δ, Οἰκουμενικὴ ἁγία Σύνοδος ἐν Χαλκηδόνι συνεκροτήθη. Τούτου σῴζεται πρὸς τὸν Πάπαν Λέοντα τὸν Α, ἐπιστολή, τὰ κατὰ τὴν εἰρημένην Δ, Οἰκουμενικὴν διακοινοῦσα, ἐν ᾗ

καὶ τὸ «*Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν*» (Ἡσαΐ.), ὡς λόγια Θεοῦ παρενείρονται (Συνόδ. Συλλ. τόμ. Β. σελ. 25). Ἐν ταύτῃ τῇ ἐπιστολῇ καὶ τὴν ὑπὸ τῆς Δ, Οἰκουμενικῆς Συνόδου (κανόν. κη) θεσπισθεῖσαν ἐπικύρωσιν τῶν πρεσβείων τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, κατὰ τὸν κανόνα τῆς Β, Οἰκουμενικῆς ἁγίας Συνόδου, μετὰ πολλῆς μετριοφροσύνης πρὸς τὸν Πάπαν Λέοντα προσαναγγείλας ὁ Ἀνατόλιος, οὔ τοι πάνυ πρᾳείας, οὐδ' ἐξ ἀκυμάντων λογισμῶν προελθούσης ἀπαντήσεως ἔτυχε (α).

§. ρπε. Διάδοχος, ἐπίσκοπος τῆς ἐν τῇ παλαιᾷ Ἠπείρῳ Φωτικῆς (τῷ 450), συνέγραψεν ἄλλα τε, καὶ *Κεφάλαια ἀσκητικά*, ὧν μνημονεύει καὶ Φώτιος μετ' ἐπαίνων (Ἀναγν. σα), γραφικαῖς ἀποδείξεσι κατωχυρωμένα (β).

§. ρπς. Ἡ ἁγία καὶ Οἰκουμενικὴ Δ, Σύνοδος, ἡ ἐν Χαλκηδόνι τῆς Βιθυνίας. ἐπὶ Μαρκιανοῦ καὶ Πουλχερίας, ἐξ 630 θεοφόρων Πατέρων κατὰ τοῦ ματαιόφρονος Εὐτυχοῦς, καὶ Διοσκόρου, τοῦ

(α) Ὁ τὰ πάντα ἁγιώτατος, καὶ ζηλωτὴς ὑπέρμαχος τῆς Ὀρθοδόξου πίστεως, Λέων οὗτος ὁ Μάγνος, ἔπασχεν, ὡς ἔοικε, καὶ αὐτὸς τὴν Βατικάνειον ὀφρύωσιν τῶν ἐξοχωτάτων καὶ κορυφαιοτάτων πρεσβείων τῆς ἐν Ῥώμῃ τοῦ Πέτρου καθέδρας («ἅπτεται γὰρ καὶ τῶν ἀρίστων ὁ μῶμος»)· διὸ καὶ (ὡς οὐκ ὤφελεν) ἄγαν ἐδαρυθύμησε περὶ τοῦ εἰρημένου κανόνος. Εἶδε γὰρ τὰς παπικὰς ἐλπίδας ματαιωθείσας· ὑφ' ὧν καὶ αὐτὸς θωπευόμενος πρότερον, ἤθελεν, ἵνα καὶ πανηγυρικῶς καὶ παγκοσμίως ὑπὸ Συνόδου Οἰκουμενικῆς ψηφισθῇ τῆς τοῦ Πέτρου καθέδρας ἡ παντοκράτειρα δόξα. Διὸ καὶ ἰδίως καὶ δι' ἄλλων προσώπων ἐσπούδαζεν ἀνενδότως, πάντα λίθον κινῶν, ὅπως ἡ Δ, Σύνοδος συγκροτηθῇ μὴ ἐν τῇ Ἀνατολῇ, ἀλλ' ἐν Ἰταλίᾳ (δηλονότι κατὰ τὴν Ῥώμην). Ἀλλ' ἐπόνησεν εἰς μάτην. Ἔμελλε γὰρ καὶ κατὰ τοῦτο ἐν τῇ Ἀνατολῇ πληρωθήσεσθαι τὸ προφητικόν· «Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλοις ἑπτὰ» (ταῖς Ζ, οἰκουμενικαῖς ἁγίαις Συνόδοις)· καθότι καὶ τῷ νυμφίῳ τῆς Ἐκκλησίας «Ἀνατολὴ ὄνομα αὐτῷ». Ἴδε τὰ περὶ τούτων ἐν τοῖς Πρακτικοῖς τῆς Δ, Οἰκουμενικῆς Συνόδου (Συνόδ. Συλλ. τόμ. β. σελ. 3—222), καὶ ἐν τῇ Ἐκκλησιαστικῇ ἱστορίᾳ. πρβλ. καὶ τοῦ ἀοιδίμου Δοσιθέου τὴν Δωδεκάβιβλον, σελ. 391—397. κτλ.

(β) Βλ. τὴν τούτων ἔκδοσιν Florent. 1578. πρβλ. Cave l. c. p. 252. Fabric. Bibl. Græc. T. IX. p. 267. Harl.

λύκου μᾶλλον, ἡ ποιμένος τῆς Ἀλεξανδρείας, συγκροτηθεῖσα, καὶ στήσασα κατὰ τῆς δυσεβείας αὐτῶν ἀκατάλυτον το τρόπαιον τῆς Ὀρθοδοξίας, ἔν τε τοῖς Πρακτικοῖς αὐτῆς τὰς γραφικὰς ἐκ τῶν Ο μαρτυρίας ἐφθέγγετο καὶ ἤκουεν ἐκφωνουμένας, κἀν τῷ πανιέρῳ αὐτῆς Ὅρῳ τὸ θεῖον δόγμα τῆς Πίστεως ἀνακηρύττει, καθάπερ ἡμᾶς ἐξεπαίδευσαν «*ἄνωθεν οἱ Προφῆται*» (κατὰ τὴν ἑρμηνείαν πάντως τῶν Ο), καὶ τὰ ἑξῆς δογματικώτατα τοῦ Πνεύματος λόγια. Ὡσαύτως καὶ ἐν τῇ Συνοδικῇ ἐπιστολῇ, ἣν πρὸς τὸν Πάπαν Λέοντα τὸν Α, ἀπέστειλε (πολλῆς χάριτος καὶ φιλοφροσύνης βρύουσαν, καὶ τὰ πρὸς ἀκύμαντον εἰρήνην τῶν Ἐκκλησιῶν μετὰ τοῦ προσήκοντος ἀξιώματος θεοφρόνως οἰκονομοῦσαν), προφητικῶν μέμνηται ῥητῶν. Ἄρχεται μὲν γὰρ ἐκ τοῦ κατὰ τοὺς Ο, ριε Ψαλμοῦ· «*Ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως*· ταύτην, ὡς οἰκείαν ἡμῖν ἡ χάρις τὴν προφητείαν ἐφήρμοσε». Προϊοῦσα δὲ καὶ τὴν ἐκ τοῦ Α, Ἔσδρα (κεφ. γ) τοῦ Ζοροβάβελ ἱςορίαν ἐπισυνάπτει· «Βασιλεῖς δὲ (λέγει) πιστοὶ πρὸς *εὐκοσμίαν* ἐξῆρχον, ὡς Ζοροβάβελ (τῷ Ἰησοῦ, τῆς Ἐκκλησίας, καθάπερ Ἱερουσαλὴμ) τὴν ἐν τοῖς δόγμασιν οἰκοδομίαν ἀνανεοῦν προθυμούμενοι» (α). Καὶ δι᾽ ὅλων δὲ τῶν τῆς Συνόδου Πρακτικῶν εἴ που τις προφητικὴ μνημονεύεται ῥῆσις, ἐκ τῆς ἑρμηνείας ἐκφέρεται τῶν Ο.

§. ρπζ. Γεννάδιος, ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν, καὶ Πατριάρχης τῆς Κωνσταντινουπόλεως (τῷ 458) τὸν ἱερὸν διαδεξάμενος Ἀνατολιον, ἀνὴρ ἐπ᾽ ἀρετῇ καὶ θαυματουργίᾳ, καὶ λόγων δυνάμει, καὶ ζήλῳ τῆς ἐκκλησιαστικῆς εὐσταθείας διασημότατος. Οὐδένα ἐχειροτόνει μὴ γινώσκοντα τὸ Ψαλτήριον ἀπαγγέλλειν ἀπὸ μνήμης. Συνέγραψεν οὗτος εἰς ὅλον *τὸν προφήτην Δανιὴλ ὑπόμνημα*, καὶ *Ὁμιλίας* συνέταξε πολλάς, ὧν ἡμῖν ὁ βιβλιολάθας χρόνος ἐφθό-

---

(α) Οὕτως ἐκδέδοται ἐν Συνόδ. Συλλογ. τόμ. β. σελ. 23. ὅπου γραπτέον, ἴσως, «ὡς Ζοροβάβελ τῷ Ἰησοῦ, τὴν τῆς Ἐκκλησίας, καθάπερ Ἱερουσαλὴμ, ἐν τοῖς δόγμασιν οἰκοδομίαν» κτλ. Ἰησοῦν δὲ λέγει τὸν ἐπὶ Ζοροβάβελ νομικὸν ἀρχιερέα (Α. Ἔσδρα ε, 5).

νησε. Σῴζονται δὲ τούτου τὰ πολλαχοῦ τῆς Ὀκτατεύχου ἱερὰ ὑπομνήματα (ἐκδ. Θεοτόκη), καὶ ἡ κατὰ Σιμωνιακῶν ἐγκύκλιος καὶ κανονικὴ ἐπιστολή, ἣν τῷ 459, σύνοδον ἐξ ΟΕ ἐπισκόπων ἐν Κωνσταντινουπόλει συγκροτήσας, ἐξέδωκε (α).

§. ρπη. Γρηγέντιος, ὁ ἐν ἁγίοις ἀρχιεπίσκοπος Τεφρῶν ἢ Ταφρῶν (τῆς καὶ *Τεφὰρ*, πόλεως πρωτευούσης τοῦ τότε κατὰ τὴν εὐδαίμονα Ἀραβίαν βασιλείου τῶν Ὁμηριτῶν), ἄραψ τὸ γένος (περὶ τὸ 470 ἢ μᾶλλον τὸ 522). Τούτου σῴζεται «*Διάλεξις μετὰ Ἰουδαίου Ἑρβᾶν τοὔνομα*» σύγγραμμα πλῆρες δογματικῆς ἀκριβείας, καὶ τῆς ἐκ τῶν Γραφικῶν ἀποδείξεων ἀκμῆς, οὐδὲ λόγου χάριτος καὶ εὐκρινείας πάμπαν ἀπῳκισμένον (β). Ἐν τούτῳ τοίνυν τῷ Συντάγματι, πᾶσαι αἱ τῆς θείας Γραφῆς πολυάριθμοι ῥήσεις ἐκφέρονται πρὸς τὸν Ἰουδαῖον ἐκ τῆς ἑρμηνείας τῶν Ο. Καὶ αὐτὸς ὁ Ἑρβᾶν ἐν ταῖς ἀντιῤῥήσεσι τοὺς χρησμοὺς τῶν Προφητῶν ἐκ τῶν Ο προφέρει. Καὶ ἀποδέχεται δὲ χωρὶς ἀντιλογίας, ὅσας ὁ Γρηγέντιος ἀπαγγέλλει μαρτυρίας ἐκ τευχῶν ἐκπεπτωκότων τοῦ μετὰ τὴν ἅλωσιν ἑβραϊκοῦ κώδηκος· οἷον τὸ τοῦ Βαροὺχ· «*Οὗτος ὁ θεὸς ἡμῶν*» (σελ. 200), καὶ ἐκ τοῦ Δανιὴλ τὰ κατὰ τὸν Ἀββακούμ· «Πῶς εἰσῆλθε (φησὶν) Ἀββακοὺμ πρὸς Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων, τῆς θύρας τοῦ λάκκου δεσμοῖς καὶ σφραγῖσι περιεσφιγμένης;» (σελ. 211). Καὶ φαίνεται ἄρα, ὅτι παρὰ τοῖς ἐν Ἀραβίᾳ τῇ εὐδαίμονι παλαιόθεν μετῳκισμένοις Ἰουδαίοις ἐσῴζοντο χειρόγραφα τοῦ ἑβραίου κώδηκος τελειότερα (βλ. ὄπισθ. σελ. 213). Ἀλλὰ καὶ τὴν ὑπὸ τῶν Ο μετάφρασιν τῶν Γραφῶν ὁ Ἰουδαῖος, καί τοι μετ' ἀγανακτήσεως, ἀλλ' ὅμως ὁμολογεῖ, λέγων· «Κακῶς» (τουτ. κακῇ τύχῃ, κακῇ μοίρᾳ) «κατέστρεψαν (ἴσ. γρ. *μετέστρεψαν*) οἱ πατέρες ἡμῶν ἑκοντὶ τὰς βίβλους τοῦ Ἰσραὴλ εἰς τὴν ἑλλάδα γλῶσσαν,

---

(α) Βλ. Θεόδωρ. Ἀναγνώστ. Α. σελ. 553.— Gennad. de Script. c. 90: Cave p. 254.

(β) Ἐξεδόθη ἐν Biblioth. Patr. Tom. 1. p. 194—272. πρβλ. Cave p. 257. Ὅστις τὸ γνήσιον τῆς Διαλέξεως ὁμολογῶν, μόνον τὰ περὶ τὸ τέλος τοῦ πονήματος ὡς μετὰ ταῦτα παρέγγραπτα (μηδὲν δέον) ὑποπτεύει.

ἵνα ταύταις ἐμφιλοχωροῦντες ὑμεῖς, ἐπιστομίζητε πάντας ἡμᾶς» (σελ. 195) (α). Περὶ τοῦ ἁγίου Γρηγεντίου βλ. καὶ Συναξαριστὴν Δεκ. ιθ. (β).

ρπθ. Γελάσιος ὁ Κυζικηνός, καὶ τῆς ἐν Παλαιστίνῃ Καισαρείας ἐπίσκοπος (τῷ 475) συνέταξεν, ἐκ παλαιοτέρων συγγραφῶν ἀπανθίσας, τὰ τῆς Α, Οἰκουμενικῆς Συνόδου Πρακτικά· (βλ. ὄπισθ. σελ. 513) (γ).

§. ρϙ. Ἀκάκιος, Πατριάρχης Κωνσταντινουπόλεως (τῷ 476), ὁ γενναίως ἀντιστὰς κατὰ τῆς καυστειρᾶς Βασιλίσκου τοῦ τυράννου παραφροσύνης· ὅστις δι' ἐγκυκλίου διατάγματος ἀπεκήρυξεν ἀθετήσας τὴν Δ, ἁγίαν καὶ Οἰκουμενικὴν ἐν Χαλκηδόνι Σύνοδον, πολλῶν καὶ ἄλλων τῆς Ἀσίας Ἀρχιερέων ἐξ ἀνάγκης τοῖς βασιλικοῖς ἐγκυκλίοις ὑπογραψάντων. Μόνος ὁ στεῤῥὸς Ἀκάκιος μετὰ παντὸς τοῦ μοναχικοῦ τῆς Βασιλευούσης οὐκ εὐάντητος ἀπήντησε πρὸς τὸ διάταγμα τῆς δυσσεβείας· ἀλλὰ καὶ αὐτὸς μελανειμονήσας, ὡς ἐπὶ πένθει, καὶ τὸ θυσιαστήριον καὶ τὸν θρόνον μέλανα περιβαλών, ἔστη μετ' εὐανδρίας ἀτρόμητος, πρᾴως ἅμα καὶ ἰσχυρῶς ἀντειπών· καὶ τὸν τύραννον ἠνάγκασεν ἀκυρῶσαι μὲν τὴν ἄθεσμον ἐγκύκλιον, ἐκδοῦναι δ' ἄλλην *ἀντεγκύκλιον*, ἀνακηρύττουσαν τὸ θεῖον ἀξίωμα τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τῶν ἐν αὐτῇ δογματισθέντων καὶ ψηφισθέντων τὸ ἀῤῥαγὲς καὶ ἀσάλευτον (δ). Τούτου τοῦ Ἀκακίου

(α) Κακῶς τὸ ἀνωτέρω κακῶς ὁ λατῖνος ἡρμήνευσε perperam (μάτην ψευδῶς. - τὸ δὲ κατέστρεψαν ἀνέγνω καὶ αὐτὸς, ὡς ἔοικε, μετέστρεψαν, ἐκλατινίσας converterunt). Ἐκ δὲ τῆς τοιαύτης ψευδοῦς τοῦ κακῶς ἐκδοχῆς, ἐνόμισάν τινες, ὅτι δῆθεν ὁ Ἑρβᾶν ψέγει τὴν ἑρμηνείαν, ὡς ἂν ἐπίτηδες ὑπὸ τῶν Ο διαστρεβλωθεῖσαν. Ἀλλ' εἴγε μικρῷ προσεῖχον τοῖς ἑπομένοις «ἵνα ταύταις . . . ἐπιστομίζητε ἡμᾶς», εὐθέως ἂν κατενόουν, ὅτι τὸ κακῶς ἐνταῦθα σημαίνει τὸ ἐπὶ κακῷ ἡμετέρῳ, κακῇ μοίρᾳ (ὡς μὴ ὤφειλεν) ἐξελλήνισαν δηλαδὴ τὰς Γραφὰς, καὶ ταῦτα ἑκόντες, οἱ Πατέρες ἡμῶν, ἵνα ταύταις ἐπιστομίζητε ἡμᾶς». Τοῦτο δ' οὐκ ἂν ἔλεγεν ὁ ἰουδαῖος, εἴπερ ἐτίθει τὸ κακῶς ἐπὶ τοῦ ψευδῶς καὶ παρασήμως· ὤφειλε γὰρ, εἴπερ, πᾶν τοὐναντίον εἰπεῖν, ὅτι, στρεβλῆς γενομένης τῆς ἑρμηνείας, παραγράφομαι τὰς ῥήσεις, οὐδ' ἐπιστομίζομαι. — (β) Πρβλ. Fabric. Bibl. Gr. T. X. p. 106. Harl.

(γ) Βλ. Fabric. Bibl. Graec. T. IX. p. 291. Harl.

(δ) Βλ. Εὐάγρ. Ἐκκλησ. Ἱστορ. Γ. 4, 5, 7, 9. — Θεόδωρ. Ἀναγνώς. Α. σελ. 556. — Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 244, 250. — Cave p. 258.

σώζεται ἐπιστολὴ πρὸς τὸν Ἀντιοχείας Πέτρον ἐκεῖνον, τὸν ἀνόσιον καὶ διαβόητον *Κναφέα*, τὴν εἰς τὸν Τρισάγιον ὕμνον αἱρετικὴν αὐτοῦ προσθήκην στηλιτεύουσα διὰ γραφικῶν ἀποδείξεων τῆς τε Παλαιᾶς κατὰ τοὺς Ο, καὶ τῆς Καινῆς Διαθήκης. Καὶ ἄλλων δὲ συγχρόνων ἐπισκόπων πρὸς τὸν ἄγναφον τὸ ἦθος καὶ γρασώδη τοῦτον Κναφέα σώζονται τοιαῦται ἕξ ἐπιστολαί, ἐν αἷς καὶ ἡ Κυντιανοῦ, ἐπισκόπου Ἀρκουλιανῶν, καὶ Ἀντέωνος ἐπισκόπου Ἀρσινόης, καὶ τῶν λοιπῶν (α).

§. ρηα. Φῆλιξ, Πάπας Ῥώμης (τῷ 483)· γέγραφε καὶ οὗτος ἐπιστολὰς πρός τε τὸν Αὐτοκράτορα Ζήνωνα κατὰ τοῦ Κναφέως, καὶ πρὸς τοῦτον αὐτὸν τὸν δυσώνυμον, πρὸς ὃν λέγει καὶ ταῦτα· «Ὅτι αὐτὸς ὁ Κύριος διδάσκει ποτὲ μὲν ἐν Εὐαγγελίοις· *Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα*· ποτὲ δὲ καὶ ἐν Ψαλμοῖς· *Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου*» καὶ τὰ ἑξῆς. Καὶ ἡ τῆς ἐν Ῥώμῃ δὲ τοπικῆς Συνόδου πρὸς τὸν Κναφέα ἐπιστολὴ καθαιρεῖ τοῦτον, «*Ὅτι ἠγάπησε κακίαν ὑπὲρ τοῦ* λαλῆσαι δικαιοσύνην· *ἠγάπησε πάντα τὰ ῥήματα τοῦ καταποντισμοῦ, γλῶσσαν δολίαν*» (Ψαλμ. να). Βλ. Συνόδ. Συλλ. Τόμ. Β. σελ. 245, 246.

§. ρηβ. Θεόδουλος (ἄλλ. Θεόδωρος), ἐν Κοίλῃ Συρίᾳ πρεσβύτερος (τῷ 480), συνέγραψε περὶ τῆς *Συμφωνίας τῆς θείας Γραφῆς*, ἕνα καὶ τὸν αὐτὸν Θεὸν ἀμφοτέρων τῶν Γραφῶν ἀποδεικνύων· τὸ δὲ σύγγραμμα οὐ σώζεται (βλ. Καβέον σελ. 261).

§. ρηγ. Βιγίλιος, Ἄφρος τὸ γένος, ἐπίσκοπος Θάψου, πόλεως τῆς Βυζακηνῆς ἐπαρχίας (τῷ 484), συνέγραψε πολλὰ κατὰ Νεστορίου, καὶ Εὐτυχοῦς, καὶ Ἀρείου, καὶ ἄλλα ῥωμαϊστί. Πανταχοῦ δὲ τὰς μαρτυρίας ἐκ τῶν Ο κατὰ τὴν Ἰτάλαν ἐκφέρει (βλ. Καβέον σελ. 262).

§. ρηδ. Αἰνείας ὁ Γαζαῖος, σοφιστὴς τὴν ἐπαγγελίαν, καὶ ἀπὸ Πλατωνικοῦ φιλοσόφου, χριστιανὸς (τῷ 487), συνέγραψε Διάλογον περὶ ἀθανασίας ψυχῆς καὶ ἀναστάσεως σωμάτων πραγμα-

(α) Βλ. Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 245 — 254.

τευόμενον, *Θεόφραστον* ἐπιγράψας· πόνημα χρυσοῦν, ὑμηττείου μίλιτος ἀποςάζον, καὶ τὴν *νεκρακαδημίαν* τῶν θνητοψύχων φιλοσόφων διὰ τῶν ζωογόνων ἀκτίνων τῆς Χριστιανικῆς διδασκαλίας εἰς ἀναβίωσιν ἐκκαλυύμενον. Ἐν δὲ τούτῳ καὶ τῶν *ἑβραϊκῶν λογίων* (ὁ χριστιανὸς Εὐξίθεος πρὸς τὸν Πλατωνικὸν Θεόφραστον) μνημονεύει, λέγων· «Τὰ δὲ τῶν Ἑβραίων λόγια» (καθ' ἣν ἀνεγίνωσκεν ἑλληνικὴν τῶν Ο μετάφρασιν) «ἃ τὰ τοῦ Ἀπόλλωνος ἀνύμνησε λόγια, πανταχοῦ προλέγει, οὐ τοῦ ἀνθρώπου τι μέρος, ἀλλ' ὅλον ἀναβιῶναι (ἴσ. γρ. *ἀναβιώσεσθαι*) τὸν ἄνθρωπον». Ἀπόλλωνος δὲ λόγια λέγει τὸν ἀρχαῖον ἐκεῖνον χρησμόν· «*Μοῦνοι Χαλδαῖοι σοφίην λάχον, ἠδ' ἄρ' Ἑβραῖοι,- Αὐτογένεθλον ἄνακτα σεβόμενοι Θεὸν ἁγνῶς*» (βλ. ὄπισθ. σελ. 30) (α).

§. ρϞε. Ὀλυμπιόδωρος, ὁ πολὺς τὰ θεῖα, Διάκονος τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας (περὶ τὸ 500) (β). Τούτου σῴζονται ἐξηγητικὰ ὑπομνήματα εἴς τε τὸν *Ἐκκλησιαστὴν* (γ), καὶ τῶν εἰς *Ἱερεμίαν* ἀποσπάσματα, καὶ σχεδὸν ὁλόκληρον τὸ εἰς τὸν Ἰὼβ κατά τε λέξιν καὶ διάνοιαν ἀξιόλογον ὑπόμνημα, ἐν τῇ ὑπὸ τοῦ Νικήτα τῶν εἰς τὸν Ἰὼβ Σειρᾷ ἐκδεδομένον. Ἐξηγῶν δὲ καὶ οὗτος τὴν θείαν ταύτην βίβλον,

(α) Εὐσέβ. Εὐαγγ. Ἀποδ. Γ, σελ. 67. — Βλέπε τὴν ἐν Παρισίοις (1836) ἔκδοσιν τοῦ, Αἰνείας καὶ Ζαχαρίας ἐπιγεγραμμένου Βιβλίου σελ. 73. πρβλ. καὶ Notas σελ. 156, ὅπου καὶ τὸ ἐφεξῆς παλαιὸν Ἀδήλου ἐπίγραμμα. «Αἰνείου πόνος οὗτος, ὅς ἔξοχος Ἀτθίδι μούσῃ — Ῥητήρων γεγαὼς, καὶ θειοτέροις ἐνὶ μύθοις — Τοὺς νῦν καὶ τοὺς πρόσθε παρέδραμεν· ὡς τόδε γράμμα — Ἀ τ ρ ε κ έ ω ς ἤ λ ε γ ξ ε μ η κ έ τ ι π υ κ ι ν ή ν. — Γάζα μέγα φρονέοις, ὅτι τοίου πατρὶς ἐτύχθης, — Ὅστις καὶ ῥητῆρ' Ἐπιφάνιον ἐξεδίδαξεν». Ἀλλ' ἐν τούτῳ ὁ Δ, στίχος ὅτι διέφθαρται, πρόδηλον· ἴσως οὖν γραπτέος (εἰ δοκεῖ) καὶ ἀναπληρωτέος, οὑτωσί. Ἀτρεκέως ἤλεγξε π υ κ ν ὴ ν μ ῆ τ ι ν. Σ ὺ δ' ἀ μ ύ μ ω ν» κτλ.

(β) Τούτου μέμνηται ὁ μακάριος Ἀναστάσιος (τῷ 570). Ὅθεν ὁ Γράβης τίθησιν αὐτὸν κατὰ τὸν ε, ἢ ς, αἰῶνα (βλ. Grabe Spicil. Patr. T. 2. p. 245). Ἄγαν δὲ παρεχρόνισαν οἱ τιθέντες τὸν Ὀλυμπιόδωρον τῷ 650, ἢ 990. βλ. Fabric. Biblioth. Graec. T. VIII. p. 648, καὶ T. X. p. 628. Harl.

(γ) Ἐν Biblioth. Patr. T. 2. p. 612—680. Ὅπου, «Ἐκκλησιαστής, φησιν, ὡς ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ φυλαττομένων τῶν τῆς σοφίας ῥημάτων». Καὶ, «Σῶμα, ἡ Ἐκκλησία· δεξιὰ, ἡ Εὐαγγελικὴ παίδευσις· εὐώνυμος, ὁ Νόμος» (ἢ Π. Γ.). Ἔχει καὶ ῥήσεις τῆς Σ. Σολομ. κτλ.

παραβάλλει σπανίως πρὸς τῇ φράσει τῶν Ο καί τινας λέξεις τῶν ἄλλων ἑρμηνευτῶν. καὶ τοῦτο ποιεῖ (ὡς ἐπὶ λέξεως γράφει) «*σαφηνείας χάριν· οὐ μὴν συνιστῶν, ὅτι ἐκεῖνοι τούτων (τῶν Ο) ἄμεινον ἡρμήνευσαν· ἄπαγε! τοῦτο γὰρ ἰουδαϊκῆς, ἢ Σαμαρείτιδος γνώμης παρεγχείρημα*». Οὕτω, φέρ᾽ εἰπεῖν, εἰς τὸ «Πορευόμενοι πρὸς ἀλλήλους ἐποίουν πότον καθ᾽ ἑκάστην ἡμέραν» (Ἰὼβ α.) σημειοῖ· «Ἀλλήλους, φησὶν, ἐκδιαδοχῆς συνεκάλουν, ἕκαστος τὴν ἑαυτοῦ ἡμέραν. Οὕτω γὰρ Ἀκύλας ἡρμήνευσε». Τοιαῦτα και ἀλλαχοῦ (κεφ. ζ, η, θ, κτλ.). Αὐτὴν δὲ τὴν ἑρμηνείαν τῶν Ο θεόπνευστον ἀνεκήρυξε. Διαλεγόμενος γὰρ ἐν τῷ προοιμίῳ περὶ τῶν νεωτέραν ὑποπτευόντων τὴν βίβλον τοῦ Ἰὼβ, «Ἐγὼ δέ (φησι) Θεῷ πειθόμενος, τῷ μετὰ τῶν δικαίων καὶ προφητῶν τὸν ἄνδρα συντάξαντι,—πάλιν τε τοῖς ἱεροῖς Ἀποστόλοις ἀκολουθῶν, καὶ τοῖς ἁγιωτάτοις ἡμῶν Πατράσιν, *οἵτινες ἐκ τῶν Ἀποστόλων τὸ βιβλίον παρειληφότες, κατὰ τὴν τῶν Ο, ἑρμηνείαν ἐκδεδομένον*, ἐν τοῖς ἐνδιαθέτοις τῆς θεοπνεύστου Γραφῆς κατέλεξαν, οὐκ ἐξ ἀνθρωπίνης ἐννοίας συντεθεῖσθαι λέγω τὴν Γραφήν. *Ἀλλὰ καὶ τοὺς Ο, φημὶ ἐξ ἐπιπνοίας τοῦ ἁγίου Πνεύματος ὁδηγηθέντας*, τὰ ἑβραϊκὰ (ἴσ. γρ. ἐκ τῶν ἑβραϊκῶν) αὐτό τε τοῦτο τὸ βιβλίον, καὶ πάντα τὰ τῆς παλαιᾶς Διαθήκης εἰς τὴν ἑλλάδα μεταβαλεῖν γλῶσσαν, πρὸ τῆς τοῦ Κυρίου ἐπιδημίας, ἐπὶ Πτολεμαίου τοῦ ἐν Αἰγύπτῳ βασιλεύσαντος· Θεοῦ τοῦτο οἰκονομήσαντος, ἵνα μή τις εἴπῃ, ὡς χάριν Χριστιανοῖς κατατιθέμενοι, οὕτω τὰς Γραφὰς οἱ Ο διηρμήνευσαν. Ταῦτα μὲν περί τε τοῦ ἀνδρειοτάτου Ἰὼβ, καὶ τῆς συγγραφῆς, ἣν ἅπασαν δεχόμεθα μετὰ τῶν ἐν τῷ τέλει γεγραμμένων, ἐν οἷς καὶ ἡ γενεαλογία φαίνεται τοῦ Ἰὼβ» (βλ. ὄπισθ. σελ. 637). «Ὅλην γὰρ τὴν συγγραφὴν οὕτω γεγραμμένην ἐκ τῶν Ἀποστόλων ἡ Ἐκκλησία παρείληφε» (α).

(α) Ἡ ἀνωτέρω χρῆσις τοῦ Ὀλυμπιοδώρου, ἐν τῇ ὑπὸ τοῦ Patric. Junij ἐκδεδομένῃ τοῦ Νικήτα Σειρᾷ, φαίνεται συγκεκομμένη ὑπό τινος τῶν μετεγραφέων. Πληρεστέραν δὲ ταύτην (οἵαν καὶ Ὅδιος ἐξέδωκε σελ. 336) ἐκ τοῦ Βαροκκιανοῦ ἀντιγράφου βλέπε ἐφεξῆς ἐν τῷ Παραρτήματι.

§. ρϛϛ. Ἀνδρέας Καισαρείας ἐπίσκοπος (τῷ 500). ἴδε περὶ τούτου ἐν τοῖς ἐφεξῆς §. σιϐ.

§. ρϛζ. Ἰουλιανὸς, ἐπίσκοπος Ἁλικαρνασσοῦ τῆς Καρίας (τῷ 510), τὸ μὲν φρόνημα δυστυχὴς Εὐτυχοῦς ὀπαδὸς, καὶ τῆς τῶν παραφρόνων *Ἀφθαρτοδοκητῶν* κακοδοξίας ἀπαίσιος πρόπομπος· περὶ δὲ τὴν σπουδὴν τῶν θείων Γραφῶν ἄγαν ἐπιμελὴς, καὶ λόγων οὐκ ἄμουσος. Ἔγραψεν οὗτος ὑπομνήματα εἰς τὸν μακάριον Ἰὼϐ, ἐξ ὧν σῴζονται τεμάχια κατὰ τόπους τῆς ἱερᾶς ταύτης βίϐλου διεσπαρμένα, καὶ τοῦ προοιμίου λείψανον, ἐν τῇ τοῦ Νικήτα Σειρᾷ τῶν εἰς τὸν Ἰώϐ. Καὶ οὗτος τοίνυν τήν τε λείπουσαν ἐκ τοῦ ἑϐραϊκοῦ γενεαλογίαν τοῦ Ἰὼϐ κατὰ τοὺς Ο διατηρεῖ, καὶ τὰς τούτων ῥήσεις ὡς ἁγίας καὶ κατὰ λέξιν ἐκφέρει, τὸ τῶν φωνῶν σημαινόμενον ὁρίζων ἀκριϐῶς· οἷον· «Ὅταν μὲν οὖν εἴπῃ (ἡ Γραφὴ), ὅτι *ἦλθεν ὁ διάϐολος*, τὴν ὑπόθεσιν τοῦ πράγματος καὶ τὴν ἐπιχείρησιν ἐξηγεῖται· ὅταν δὲ τὸ *ἐξῆλθεν ἀπὸ προσώπου κυρίου*, τὴν συγχώρησιν διηγεῖται τοῦ Θεοῦ, καὶ τὴν δοθεῖσαν αὐτῷ κατὰ τῶν τοῦ δικαίου κτημάτων ἐξουσίαν» κτλ. (Σειρ. σελ. 37. πρϐλ. καὶ σελ. 66). Τούτου τοῦ Ἰουλιανοῦ καὶ Φώτιος ἐν παρόδῳ μέμνηται (α), ἐν οἷς διαλαμϐάνει *περὶ τῶν δέκα λόγων* Εὐσεϐίου τινὸς ἐπισκόπου (ὁ Θεσσαλονίκης Εὐσέϐιος οὗτος ἦν, τῷ 601) κατά τινος *Ἀνδρέου* Ἐγκλείστου συγγεγραμμένων· διὰ δὲ τούτων ὁ ὀρθόδοξος ἐπίσκοπος ἐξελέγχει τὴν κακοφροσύνην καὶ τὴν ἀμάθειαν ἅμα καὶ θρασύτητα τοῦ ματαιόφρονος Ἐγκλείστου, ἔκ τε τῆς *Παλαιᾶς* καὶ *Νέας* Γραφῆς κατὰ τοὺς ἐλέγχους τὰς ἀποδείξεις παρατιθεὶς, καὶ ἀπὸ τῶν λογάδων καὶ θεσπεσίων Πατέρων, ὧν ὁ Ἀνδρέας εἶχε τὰς χρήσεις ἀποσπαράξας, τὰς δὲ καὶ παραποιήσας, καὶ ἄλλας κακούργως, ἢ ἀνοήτως ἐξειληφώς· ἀνθ' ὧν ἁπάντων οὐ μεμπτὴν Εὐσεϐίῳ δέδωκε δίκην.

§. ρϛη. Σεϐῆρος (καὶ Σευῆρος) ἐκ Σωζουπόλεως τῆς Πισιδίας

(α) Φώτ. Ἀναγν. ρξϐ. ϐλ. καὶ Θεόδωρ. Ἀναγν. Β. σελ. 562. Ἀναστάσ. Ὁδηγ. σελ. 10, 98, 104, 210 κτλ. πρϐλ. Maij, Script. vet. nov. Collect. T. VII. p. 72.

ὁρμώμενος, Ἀντιοχείας ἐπίσκοπος (τῷ 513), ἔφερε καὶ οὗτος ἐν τῇ καρδίᾳ τὴν βάρβαρον καὶ μιαρὰν τῆς Εὐτυχοῦς αἱρέσεως τρίχα, Μονοφυσίτης τελῶν, καὶ κατὰ τῆς ἐν Χαλκηδόνι θείας Συνόδου ἀκατασχέτως λυσσῶν (α). Ὁ δ' αὐτὸς καὶ *Ἀκέφαλος* ἐπεκλήθη· (ἐκ δὲ τῆς αὐτοῦ Ἀκεφαλίας ἄλλων ἀνεφύησαν αἱρέσεων λερναῖαι κεφαλαί). Ῥέκτης ἄνθρωπος, ἀλλὰ ταραξίας, καὶ παμμόχθηρος, αὐτόχρημα *τορύνη κακῶν*, καὶ τὴν πονηρίαν ποικίλος, καὶ ἀλλοπρόσαλλος, ἐξ αἱρέσεως εἰς αἵρεσιν ἐγκυβιστῶν, ὡς διέγραψεν αὐτὸν ὁ μακάριος Εὐστάθιος, ὀνομάσας «*ὄφιν δίγλωσσον, μυριόμορφον, φιλοτάραχον, φύρτην καὶ φιλοσκώπτην*». Διὸ καὶ ὑπὸ τῆς Ε, Οἰκουμενικῆς ἁγίας Συνόδου μετὰ τῶν βλασφήμων αὐτοῦ συγγραμμάτων ἀπεκηρύχθη μετ' ἀναθέματος (β). Τὰ δὲ περὶ τοὺς λόγους ἐγένετο πολυμαθής, καὶ λέγειν τε καὶ γράφειν ἀκάματος, καὶ πολυγραφώτατος. Συνέγραψεν ἐπιστολὰς οὐκ εὐαρίθμους, καὶ Ὁμιλίας, ἢ λόγους, καὶ πάμπολλα εἰς τὴν θείαν Γραφὴν ὑπομνήματα, ἐξ ὧν πολλὰ τῶν ὀρθοδοξούντων ἐξεδόθησαν· οἷον τὰ εἰς *τὸν Ἰὼβ* (ἐν τῇ τοῦ Νικήτα Σειρᾷ), καὶ τὰ εἰς τὴν Ὀκτάτευχον (ἐκδόσ. Θεοτόκη), καὶ

(α) Εὐάγρ. Ἐκκλησ. Ἱστορ. Γ. 33, 34, 44 καὶ Δ. 4—11. — Νικηφ. Κάλλ. ΙΕ, 29. ΙΖ, 2. — Θεοτόκ. προλόγ. Σειρ. εἰς τὴν 'Οκτάτ. Τόμ. α. σελ. κδ. ὅπου, (σελ. 1673) σῴζεται καὶ ὑπομνημάτιον τοῦ Σεβήρου. πρβλ. Cave p. 276. Du-Pin, Nouv. Biblioth. T. 5. p. 40. — Fabric. Bibl. Graec. T. X. p. 614. Harl.

(β) Βλ. τὰ τῆς Ε, Συνόδου Πρακτικά· Ἴδε καὶ τὰς κατὰ τῶν Μονοφυσιτῶν καὶ τοῦ Σεβήρου, συγγραφὰς τῶν ἀρχαίων Πατέρων, Λεοντίου, Ἀναστασίου πρεσβυτέρου, Εὐσαθίου, Ἰουστινιανοῦ τοὺ αὐτοκράτορος (Λόγον δογματικὸν), Θεωριανοῦ Β, διάλεξιν μετὰ Νοσερσοῦ, καθολικοῦ Ἀρμενίων καὶ Σύρων Ἰακωβιτῶν. (ἡ δὲ Α, Διάλεξις, ἧς ἀναπληρώματα ἐξέδωκεν ὁ Μάϊος, ἐκδοθεῖσα ἐν τῇ Βιβλιοθ. τῶν Πατέρων, τ. α. σελ. 439. ἐτυπώθη καὶ ἐν τῷ Θεολογικῷ Ἀθανασίου τοῦ Παρίου). Ταύτας ἐξέδωκεν ὁ Μάϊος ἐν Script. Veter. nov. Collect. T. VII. p. 83—155. 192—206. 277—291. 292—313. καὶ T. VI. p. 314. βλ. καὶ Proleg. T. IX p. XX. Καὶ ἄλλα δὲ κατὰ Σεβήρου ἐξεδόθησαν· οἷον τὸ τοῦ Λεοντίου (ἕτερον πόνημα), καὶ τὰ ἐν τῷ Ἀναστασίου Ὁδηγῷ. Ῥουστικοῦ διάλογος. Λιβιράτου Σύνοψις· τὰ τοῦ θείου Ἰωάνου τοῦ Δαμασκηνοῦ (τόμ. α. σελ. 101, 572)· τὰ τοῦ ἁγίου Ἐφραιμίου, τοῦ Ἀντιοχείας, παρὰ Φωτίῳ Ἀναγν. σκη. τὰ τοῦ Ἰω. τοῦ Σκυθοπολίτου (βλ. ἐφεξ. §. σδ).

εἰς τὰς ᾠδὰς τῆς Παλαιᾶς Γραφῆς (ἴδε τὴν ὑπὸ τοῦ Κορδερίου ἐκδοθεῖσαν Σειρὰν εἰς τοὺς Ψαλμοὺς τόμ. γ. σελ. 857, 868, 880). Πολλὰ δέ καὶ ἄλλα σῴζονται ἀνέκδοτα· οἷον, ἀποσπάσματα τῶν εἰρημένων ἐπιστολῶν καὶ Ὁμιλιῶν, καὶ ὁλόκληροι Λόγοι, Συριστὶ μεθηρμηνευμένοι (α). Ἐν πᾶσι δὲ τοῖς φερομένοις ἑλληνικοῖς αὐτοῦ συγγράμμασι καὶ ὁ Σεβῆρος οὗτος τοῖς ἐκ τῶν Ο, προφητικοῖς χρῆται ῥήμασιν, ὡς ἁγίαις καὶ θεοκυρώτοις φωναῖς, καθὰ πάρεστιν ἰδεῖν ἐν τοῖς εἰς τὰς εἰρημένας Σειρὰς ἀποσπάσμασιν αὐτοῦ· οἷον· «Τί δ᾽ ἄν τις εἴποι καὶ περὶ τοῦ Ἰεζικιὴλ, ἐναργῶς τὴν ἀνάστασιν τῶν σωμάτων ἐμψύχων ἡμῖν ὑπογράφοντος; (τοῦτο γὰρ ἄνθρωπος). «Τάδε λέγει Ἀδωναῒ Κύριος τοῖς ὀστέοις τούτοις· ἰδοὺ *ἐγὼ φέρω ἐφ᾽ ὑμᾶς πνεῦμα ζωῆς*, καὶ δώσω ἐφ ὑμᾶς νεῦρα, καὶ ἀνάξω ἐφ᾽ ὑμᾶς σάρκας,- καὶ δώσω *πνεῦμά μου ἐφ᾽ ὑμᾶς καὶ ζήσεσθε*» (Ἰεζ. λζ, 5, 6). Κατανοῆσαι χρὴ, πῶς πρότερον εἰπὼν *φέρω* ἤγουν εἰσάγω, *ἐφ᾽ ὑμᾶς πνεῦμα* ζωῆς, ἵνα δηλώσῃ τὴν ψυχὴν, μᾶλλον δὲ τὴν ἐπανάληψιν τοῦ ἰδίου σώματος τῆς ψυχῆς, — καὶ προσθεὶς, ὡς δώσω *νεῦρα, καὶ ἀνάξω σάρκας*,-καὶ κατὰ μέρος τὴν ἀνάπλασιν ζωγραφήσας, πάλιν ἐπήγαγε· «*Καὶ δώσω* [τὸ] *πνεῦμά μου ἐφ᾽ ὑμᾶς*, ἵνα παραστήσῃ σαφῶς τὴν τοῦ ἁγίου Πνεύματος

(α) Ἐξέδωκεν ὁ σοφὸς Μάϊος Σεβήρου τοῦ Ἀντιοχέως σχόλια ἐν τῇ Σειρᾷ τῇ εἰς τὸν Δανιὴλ (Script. vet. nov. Collect. T. 1. p.171, 176, 177, 186, 213), καὶ πάμπολλα τεμάχια ἐκ τῶν αὐτοῦ λόγων καὶ ἐπιστολῶν, ἐξ ὧν καὶ τὰ ἐν ταῖς Σειραῖς ταῖς εἰς τὸν Ἡσαΐαν, καὶ Ἰεζεκιὴλ (Script. Vet. nov. Coll. T. IX. p. 725—741), καὶ ἐφεξῆς Δ, αὐτοῦ λόγους, ἐκ τοῦ Συριακοῦ ἐκλατινισθέντας (p. 742, 750). Ἄλλας τοῦ Σεβήρου Ὁμιλίας, Συριστὶ σῳζομένας (ἡρμηνεύθησαν δὲ εἰς τὸ Συριακὸν ὑπὸ Ἰακώβου τοῦ Ἐδεσσηνοῦ τῷ 610) ἀριθμεῖ ὁ Μάϊος 84, ὁλοκλήρους τηρουμένας ἐν τῷ Βατικανῷ, καὶ ἓν βιβλίον ὁλόκληρον κατὰ Ἰουλιανοῦ τοῦ Ἁλικαρνασσέως (βλ. ὄπισθ. σελ. 682), ὑπὸ τοῦ αὐτοῦ Σεβήρου συντεταγμένον, πλῆρες μαρτυριῶν καὶ περικοπῶν ἐκ τῶν ἁγίων ἡμῶν Πατέρων, καὶ ἐκδεδομένων καὶ ἀνεκδότων (βλ. proleg. Tom. IX. p. 20-24). Πόσον εὐκταῖον, ἵνα καὶ ταῦτα τὰ τοῦ Σεβήρου ἐξελληνισθῶσι πάλιν ἐκ τοῦ Συριακοῦ καὶ καθ ἡμᾶς, ὡς θησαυροὺς τῶν Πατέρων ἡμῶν ἀγνώστους ἔτι περιέχοντα, ἐξ ὧν ἐν πολλοῖς ἡ καθ᾽ ἡμᾶς ἐκκλησιαστικὴ πλουτισθήσεται φιλολογία. Τοιαῦτα καὶ περὶ τῶν τοῦ μακαρίου Ἐφραὶμ προηυξάμεθα (Βιβλ. Γ· σελ. 899).

χάριν, τὴν μέλλουσαν τοῖς τῶν δικαίων σώμασιν ἐπανθεῖν.—Ταῦτα καὶ ὁ Χριστὸς βεβαιῶν, *μᾶλλον δὲ διὰ τῶν αὐτῶν λόγων ἐρχόμενος· αὐτὸς γάρ ἐστι καὶ ὁ τὰ εἰρημένα διὰ τοῦ προφήτου φθεγξάμενος·* ἔλεγεν, «ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου» κτλ. (α).

§. ρηθ. Μάρκος Αὐρήλιος *Κασσιόδωρος*, πρῶτον μὲν ἔνδοξος ἐν Ῥώμῃ πατρίκιος, ἢ γερουσιαστὴς, εἶτα δὲ διάσημος μοναχὸς, καὶ ἐν ὁσίοις πατράσι σεβάσμιος (τῷ 514). Συνέγραψε λατινιστὶ καὶ ἄλλα καὶ τὴν *εἰς τὰς θείας Ἀναγνώσεις* (τῆς Γραφῆς) *Εἰσαγωγὴν* (Jnstitutionem) ἐν βιβλίοις δύω, καὶ *Ἔκθεσιν* ἢ *Ὑπόμνημα* εἰς τοὺς Ψαλμοὺς τοῦ Δαυὶδ (ἐκ τῶν τοῦ ἱεροῦ Αὐγουστίνου ἐρανισθὲν), καὶ ἐπιστολῶν βιβλία ιϐ. Ἐν πᾶσι δὲ τοῖς αὐτοῦ συγγράμμασι κέχρηται τῇ Ἰτάλᾳ. Καὶ μέμνηται μὲν τῆς Ἱερωνυμείας ἐκ τοῦ ἑβραϊκοῦ μεταφράσεως, καὶ ἐπαινεῖ τὸν ἄνδρα (Εἰσαγ. Α, ια, κα)· αὐτὸς δὲ ὅμως τῇ Ἰτάλᾳ πιστῶς παρακολουθεῖ, καὶ τὰς ψυχὰς τῶν μετὰ Ἰακὼϐ εἰς τὴν Αἴγυπτον ἐλθόντων 75 ἀριθμεῖ (κεφ. 13), καὶ τἄλλα παραπλησίως. Καὶ τὴν Αὐγουστίνου πρεσβεύει γνώμην (ὄπισθ. σελ. 608)· «ὅτι τοὺς Λατίνους κώδηκας τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, εἴποτε δεήσει, πρὸς τὴν τῶν ἑλληνικῶν αὐθεντίαν χρὴ διορθοῦν, παρ᾽ ὧν εἰς ἡμᾶς, μετὰ τὰ ἑβραϊκὰ πρωτότυπα, πᾶσα ἡ ἑρμηνεία τῶν Γραφῶν περιῆλθε» (Εἰσαγ. αὐτόθ. καὶ κεφ. ιε). Καὶ τέλος, ἐν τῷ κατ᾽ αὐτὸν Χρονικῷ (ἀπὸ Ἀδὰμ μέχρι τοῦ 519 μ. Χ.) κατὰ τοὺς Ο χρονολογεῖ.

§. σ. Ὁρμίσδας, Πάπας Ῥώμης (τῷ 514), ἐν τῇ *πρὸς τοὺς τῆς δευτέρας Συρίας μοναχοὺς* ἐπιστολῇ, οὐ μόνον ἐκ τῶν κανονικῶν Γραφῶν ῥήσεις ἀναφέρει (οἷον ἐκ τῶν Παροιμιῶν κεφ. κε, καὶ τῆς Β, Παραλ. κς), ἀλλὰ καὶ τῶν Μακκαϐαϊκῶν μνημονεύει (βλέπ. Συνόδ. Συλλογ. Τόμ. β. σελ. 295, ὅπου ἀντὶ τοῦ «*ποίᾳ θανάτου τιμῇ*», ἴσ. γρ. *ποίᾳ ἀθανάτῳ τιμῇ*)».

(α) Βλ. Maij, Script. vet. nov. Collect. T. IX. p. 739.

§. σα. Ἰωάννης, τὴν πατρίδα Καππαδόκης, Πατριάρχης Κωνσταντινουπόλεως (τῷ 517), «ἀνὴρ ἀρετῆς οἰκητήριον» (ὡς ὁ Σωφρόνιος ἀποφαίνεται, παρὰ Φωτ. ἀναγν. σλα), ἔγραψεν ἐπιστολὴν πρὸς τὸν ὁμώνυμον καὶ σύγχρονον Ἰωάννην, Πατριάρχην Ἱεροσολύμων, καὶ τὴν περὶ τοῦτον ἐνδημοῦσαν Σύνοδον· σῴζεται δὲ καὶ ἡ παρ᾽ αὐτῶν ἀπάντησις, ἐν ᾗ πᾶσαι αἱ μνημονευθεῖσαι προφητόφθεγκτοι ῥήσεις ἀναφέρονται κατὰ τοὺς Ο (βλ. Συνόδ. Συλλ. Τόμ. Β. σελ. 306).

§. σϐ. Θεόδωρος, Ἀναγνώστης τῆς Μεγάλης Ἐκκλησίας (τῷ 518) συνέγραψεν ἐκκλησιαστικὴν ἱστορίαν ἐκ βιϐλίοις Δ, ὧν σῴζονται αἱ *Ἐκλογαί* (α). Ἐκ τούτου (σελ. 569) μετέγραψεν ὁ Σουΐδας τὰ περὶ τῶν καθόλου εἰς πᾶσαν τὴν Γραφὴν ὑπομνηματισμῶν τοῦ Θεοδώρου, καὶ ὅτι διώρθωσεν οὗτος τὸ *περὶ τὴν χρονολογίαν τῶν Ο, σφάλμά τοῦ Εὐσεβίου* (βλ. ὄπισθ. σελ. 570).

§. σγ. Προκόπιος ὁ Γαζαῖος (τῷ 520) ῥήτωρ, σοφιστὴς τὴν ἐπαγγελίαν, καὶ τὴν σοφίαν ἐπίσημος, τήν τε θύραθεν καὶ τὴν θειοτέραν. «Τοσούτῳ γὰρ αὐτῷ καὶ ταύτης μετῆν, ὥστε, πλὴν τοῦ σχήματος μόνου, πάντα ἦν ἱερεύς» (ϐ). «Τούτου λόγοι πολλοί τε καὶ παντοδαποὶ φέρονται, ἄξιον ζήλου καὶ μιμήσεως χρῆμα. Ἡ φράσις δὲ αὐτῷ εἰς τὸ ἄριστον ἤσκηται· εἰ καὶ ἐξηγητικῆς διατυπώσεως ἔχει τι καὶ κομψότερον» (Φώτ. Ἀναγ. ρξ, ϛς, σζ). Ἐξέχουσι δὲ μάλιστα τὰ εἰς τὴν Ὀκτάτευχον, καὶ εἰς ἄλλα τεύχη τῆς Γραφῆς ὑπομνήματα, καὶ εἰς τὸν Ἡσαΐαν. Ἐν πᾶσι δὲ τούτοις τὴν θείαν τῶν Ο Γραφὴν σχολιάζει, καὶ σέϐεται μόνην· «Εἰ δέ τι (φησὶ) *καὶ ἔξωθεν* (*ἐκ τῶν ἄλλων ἑρμηνευτῶν*) προστίθησιν, *εἰς τρανωτέραν παράστασιν* τοῦτο ποιεῖ.» (γ). «Εὕροι

(α) Βλ. Hist. Eccles. Script. Græc. cura Valesij. τόμ. γ. σελ. 551 — 584. Amstel. 1695. - Cave. p. 275.

(ϐ) Χορίκιος παρὰ Fabric. Bibl. Graec. T. VIII. p. 841. ed. vet. πρϐλ. καὶ T. VII. p. 563. Harl. - Cave p. 279. - Θεοτόκ. Προλ. εἰς Ὀκτάτευχ. τόμ. α. σελ. ϛ, ζ, κγ.

(γ) Προοιμ. εἰς τὴν Γένεσ. Οὕτω καὶ εἰς Ἡσαΐ. παραϐάλλει καὶ τῶν ἄλλων ἑρμηνευτῶν τὰς ἀναγνώσεις. Εὑρίσκονται δὲ καὶ λατινιστὶ μεθηρμηνευμένα τὰ

γὰρ ἄν τις (λέγει) σκοπὸν τὴν Νέαν τῇ Παλαιᾷ γεγονυῖαν Γραφῇ, καὶ *χειραγωγίαν τινὰ τὴν Παλαιὰν πρὸς τὴν Νέαν ὑπάρχουσαν*» (αὐτόθ.). Καὶ τῆς ἐκ τῶν Ἑβραίων εἰς τὴν ἑλλάδα φωνὴν (ὑπὸ τῶν Ο) μεταφράσεως μνημονεύων, «*τοῦ Θεοῦ* (φησι) *τοῦτο διὰ Πτολεμαίου γενέσθαι πρὸ τῆς Χριστοῦ παρουσίας οἰκονομήσαντος, ὅτε κοινῇ πᾶσιν ἔμελλεν ἐγνῶσθαι τοῖς ἔ-*

εἰς τὴν Ὀκτάτευχον, ἢ Ἑπτάτευχον ὑπομνήματα τοῦ Προκοπίου (ἐκδ. Tigur. 1545), ἀλλὰ πολλαχοῦ πάντῃ τῶν ἑλληνικῶν παρηλλαγμένα, τὰ δὲ καὶ ἐλλειπῆ, «καὶ ἄλλα ἀντὶ ἄλλων πολλάκις διαλαμβάνοντα, ὡς τῇ τοῦ ἑλληνικοῦ πρωτοτύπου ἔγνωμεν παραθέσει», μαρτυρεῖ Θεοτόκης ὁ ἀοίδιμος (προλόγ. εἰς τὴν Ὀκτάτευχ. σελ. κγ). Ἐκ ταύτης τῆς λατινικῆς ἑρμηνείας ἐσημείωσεν Ὅδιος χρήσεις τινὰς ὡς γνησίας δῆθεν τοῦ Προκοπίου, ἐν αἷς, μεταξὺ τῶν ἄλλων παρεξηγήσεων, παρίσταται ὁ Προκόπιος ὡς πρὸ πάντων ἄλλων προτιμῶν «τὴν (μ. Χ.) Ἑβραϊκὴν ἀλήθειαν»! Πλὴν ἀλλ' ἐπαινοῦμεν τὸν Ὅδιον, ὁμολογήσαντα τέλος, ὅτι ταύτην τῆς ἑβραίας ἀληθείας τὴν φράσιν ἐπιγραπτέον πάντως οὐκ εἰς τὸν Προκόπιον. ἀλλ' εἰς τὸν λατῖνον μεταφραστὴν τῶν ὑπομνημάτων τοῦ Προκοπίου· «Λατίνων φησὶ (δηλαδὴ τῶν περὶ τὸν Ἱερώνυμον), οὐχ Ἑλλήνων ἡ φράσις (Hody p. 334). Καὶ ταῦτα μὲν περὶ τῆς λατινικῆς μεταφράσεως. Ὁ δὲ Θεοτόκης ἀντέβαλεν αὐτὴν πρὸς ἑλληνικὸν ἀντίγραφον τῶν τοῦ Προκοπίου ὑπομνημάτων, σῳζόμενον ἐν τῇ Βιβλιοθήκῃ τῆς Αὐγούστης, ἐξ οὗ καὶ προσέθηκε τεμάχια εἰς ἣν ἐξέδωκε Σειρὰν τῶν εἰς τὴν Ὀκτάτευχον ΝΑ, ὑπομνηματιστῶν. Τούτου δὲ τοῦ Αὐγουσταίου χειρογράφου πολλῷ τελειότερον ὑπάρχει τὸ τοῦ ἀοιδίμου Καραϊωάννου, πρῴην μὲν ἐν Βενετίᾳ, τανῦν δ' ἐν Κερκύρᾳ παρὰ τῷ ἰδίῳ κτήτορι τηρούμενον. Ἔστι δὲ τὸ Καραϊωάννειον τοῦτο χειρόγραφον ἡ πρώτη τῶν εἰς τὴν Ὀκτάτευχον ἐξηγήσεων Συλλογή, ἣν ὁ Προκόπιος ἐκ διαφόρων ἠρανίσατο λόγων τε καὶ ὑπομνημάτων τῶν ἀρχαίων Πατέρων. Ταύτης δὲ τῆς Συλλογῆς (ἣν καὶ Φώτιος ἀνέγνω, Ἀναγ. σς) ὁ αὐτὸς Προκόπιος καὶ Σύνοψιν ἐποιήσατο, « πρὸς μέτρον εὐσαλὲς συνελὼν τὴν γραφὴν », ὡς αὐτὸς μαρτυρεῖ (παρὰ Θεοτόκ. ἔνθα ἀνωτ.), καὶ ταύτης τῆς Συνόψεως ἀντίγραφόν ἐστι τὸ Αὐγουσταῖον χειρόγραφον, ᾧ περ ὁ Θεοτόκης εἰς τὴν ἔκδοσιν ἐχρήσατο τῆς Σειρᾶς. Ὁ δὲ κλεινὸς Α. Μουστοξύδης παραβαλὼν τὸ Καραϊωάννειον πρὸς τὰ παρὰ Θεοτόκῃ ἐν τοῖς δυσὶ τοῖς πρώτοις τῆς Γενέσεως κεφαλαίοις ὑπομνήματα τοῦ Προκοπίου, εὕρηκεν ἄλλας τέ τινας διαφοράς, καὶ ὅτι λείπουσιν ἐκ τῆς Θεοτοκείου Σειρᾶς τεμάχιά τινα καὶ ἐξηγήσεις· (ἴδε τὰς κριτικὰς αὐτοῦ παρατηρήσεις ἐν τῇ Αἰγιναίᾳ ἐφημερίδι σελ. 8—10. Αἰγίνῃ 1831)· ὥστε ἡ τελεία τοῦ χειρογράφου πρὸς τὴν Σειρὰν ἀντιβολὴ ὑπάρχει πάντως ἀναγκαία εἴς τε τούτου τὴν ἀναπλήρωσιν, καὶ εἰς τὴν τελειοτέραν δευτέραν ἔκδοσιν τῆς Σειρᾶς.

θεσι» (αὐτόθ.). Καὶ κατὰ μέρος δὲ τὰς ῥήσεις ὡς ἐκ θείας ἐπιπνοίας μεθηρμηνευμένας πολλαχοῦ διασαφοῖ. Οὕτω λέγει τοὺς Ο συνιδόντας τὸ θεοπρεπὲς τῶν περὶ τοῦ Σωτῆρος προφητειῶν τοῦ Ἡσαΐου (ζ,12) «Οἱ δέ (φησιν) Ο, *τοῖς θεοπρεπῶς περὶ αὐτοῦ* (τοῦ παιδίου) *λεγομένοις* ἐνατενίσαντες, τὸ παρὰ τοῖς Ἑβραίοις *Ἦλ* Θεὸν *εἰκότως* ἡρμήνευσαν. Τὸ δὲ *Ἦλ* ἐπὶ τοῦ Θεοῦ πολλάκις περείληφεν ἡ Γραφή. Οἱ δὲ (Ἀκύλας, Σύμμαχ. Θεοδοτ.) συμφώνως πάντες τὸ παρὰ τοῖς Ο, *Θεὸς*, ἐξέδωκαν *ἰσχυρός*· ὥσπερ εὐλαβηθέντες ἐπὶ παιδίου γεννωμένου τάξαι τοῦ Θεοῦ τοὔνομα» ! (εἰς Ἡσαΐ. ζ. σελ. 149. ἐκδ. 1580. βλ. καὶ ὄπισθ. σελ. 293). Πολλὰ δὲ καὶ τῶν δοκούντων ἀπόρων τῆς Γραφῆς εὐλαβῶς ἐπιλύεται· ὡς ὅτε τὰ περὶ τῶν ὁρίων τῆς κυρίως γῆς *Χαναὰν* θεωρῶν (Ἀριθ. λδ), «προφητικῶς (φησι) Μωϋσῆς τὰ ὅρια προλέγει τῆς γῆς· οὐδὲ γὰρ ἦν ἐπιμιξία πρὸς ἀπαγγελίαν, ἢ γνῶσιν· καὶ μέμνηται τῶν δύω καὶ ἡμίσεως φυλῶν, ὡς μὴ ὕστερον ἀντιποιοῖντο τῆς εἴσω γῆς» κτλ. (α).

(α) Ἰδοὺ ἡ ῥῆσις τῆς Γραφῆς. «Αὕτη ἡ γῆ (Χαναάν), ἣν κατακληρονομήσετε αὐτὴν μετὰ κλήρου, ὃν τρόπον συνέταξε Κύριος δοῦναι αὐτὴν ταῖς ἐννέα φυλαῖς, καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ. — Δύο φυλαὶ καὶ ἥμισυ φυλῆς ἔλαβον τοὺς κλήρους αὐτῶν πέραν τοῦ Ἰορδάνου κατὰ Ἰεριχὼ, ἀπὸ νότου πρὸς ἀνατολάς» (Ἀριθ. λδ, 13, 15. πρβλ. λβ, 7, 19, 33; λγ, 51: Δευτερ. λβ, 49, 52: λδ, 4: Ἰησ. κβ, 9 κτλ.). Ὥστε ἐκ τούτων φαίνεται σαφῶς, ὅτι γῆ Χαναὰν (ἡ καὶ γῆ τῆς ἐπαγγελίας) λέγεται κυρίως καὶ ἐξαιρέτως παρὰ τῇ θείᾳ Γραφῇ ἡ ἐπέκεινα καὶ ἔσω τοῦ Ἰορδάνου πρὸς δυσμὰς παρατεταμένη· τὰ δ' ἐντεῦθεν τοῦ Ἰορδάνου (ἐν οἷς ἔμειναν αἱ 2, 1/2 φυλαί) μένουσιν ἐκτὸς τῆς ἀποκληρωτικῶς καὶ ὡρισμένως καλουμένης γῆς Χαναάν. Καὶ ὀρθῶς ὁ πολυμαθὴς Ῥελάνδος διώρισε τὴν στενωτέραν ταύτην τοῦ ὀνόματος σημασίαν (Palaest. C. 1. p. 4.). Ἀλλ' ὅμως ἔστιν ὅπου τῆς θείας Γραφῆς ἐκλαμβάνεται τὸ ὄνομα καὶ κατὰ πλατυτέραν ἐκδοχὴν ἐπὶ πάσης τῆς ὑπὸ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ κατασχεθείσης γῆς τῆς Παλαιστίνης· καὶ τοῦτο φαίνεται λαμπρῶς ἐν τῷ, «Ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, δοῦναι ὑμῖν τὴν γῆν Χαναάν» (Λευΐτ. κε, 38. πρβλ. Ἐξόδ. ς, 4). Τοιοῦτο καὶ τὸ πρὸς Ἀβραὰμ, καὶ Ἰακὼβ (πρὸς πάντα δηλαδὴ τὸν δωδεκάφυλον Ἰσραὴλ) ἐπαγγελθὲν, «Σοὶ δώσω τὴν γῆν Χαναὰν» κτλ. (Ψαλμ. ρδ. 11, 44). Καὶ πᾶσα δὲ ἡ γῆ τῶν Φιλισταίων, ἤτοι ἡ Παλαιστίνη (ἐν ᾗ καὶ Ἀσκάλων, καὶ Γάζα, καὶ Ἄζωτος κτλ.) γῆ Χαναὰν ἐν τοῖς θείοις βιβλίοις ἔστιν ὅτε καλεῖται (καθὸ καὶ αὕτη τῆς Ἰουδαίας, ἢ

§. σδ. Ἰωάννης ὁ *Σκυθοπολίτης* (τῷ 520), ὁ αὐτὸς, ὡς ἔοικε, καὶ Ἰωάννης ὁ ἐν ἁγίοις ἐπίσκοπος Σκυθοπόλεως (Φώτ. Ἀναγν. ϙε, καὶ σλα)· συνέγραψε κατὰ τῶν *Ἀποσχιστῶν τῆς Ἐκκλησίας*, Εὐτυχοῦς καὶ Διοσκόρου, τόμους ιβ. «Ἔστι δὲ τὸν λόγον σαφής τε καὶ καθαρὸς, καὶ κατὰ τῆς αἱρέσεως οὐκ ἀσθενῶς ἐπαγωνιζόμενος,

---

τῆς γῆς ἣν κατέσχον οἱ Ἰσραηλῖται, ὅμορος καὶ συμφυὴς, ἐν ᾗ κατῴκουν καὶ ὕστερον Χαναναῖοι)· οἷον, «Λόγος Κυρίου ἐφ' ὑμᾶς Χαναὰν, γῆ ἀλλοφύλων» (Σοφον. β. 5). Χαναναῖοι πάντως ἦσαν καὶ οἱ κάτοικοι τῆς Φοινίκης, Σιδώνιοι καὶ Τύριοι καὶ ἄλλοι. Ὅθεν καὶ τὴν παρὰ τῷ θείῳ Μάρκῳ (ζ. 26) Συροφοίνισσαν γυναῖκα, Χαναναίαν ὠνόμασεν ὁ Ματθαῖος (ιε, 22)· καὶ τοὺς παρὰ τοῖς Ο, «Βασιλεῖς τῆς Φοινίκης» (Ἰησ. ε, 1) τὸ ἑβραϊκὸν «Βασιλεῖς Χαναὰν» ὀνομάζει (βλ. Bochart. Geogr. sacr. p.300). Γράφει ταῦτα καὶ ὁ Ῥελάνδος, τὴν εὐρυτέραν τῆς Χαναὰν σημασίαν ὁμολογῶν (σελ. 4—7). Εἶχε δ' ἂν καὶ ἄλλα τούτοις προσθεῖναι· οἷον τὸν Σαοὺλ ἐκεῖνον, ὅστις ὁ αὐτὸς καὶ υἱὸς Φοινίσσης καλεῖται (Ἐξόδ. ς, 15), καὶ υἱὸς Χαναανίτιδος (Γενέσ. μς, 10), καὶ τὴν τοῦ Ἡσαΐου (κγ, 11) Χαναὰν (τὴν Φοινίκην), καὶ τὰ ἀρχαῖα ὅρια τῆς Χαναναίων γῆς ἀπὸ Σιδῶνος καὶ ἑξῆς (Γεν. ι, 19). Ὅθεν καὶ ὁ Μ. Βασίλειος «Μητρόπολίς (φησι) τῆς Χαναὰν, ἡ Τύρος» (εἰς Ψαλμ. μδ). Ἀλλὰ σὺν πᾶσι τούτοις ὁ Ῥελάνδος ψέγει τοὺς περὶ τὸν Βοχάρτον, διότι (φησὶν) οὐκ ἀκριβῶς, ἀλλ' ὑπὸ δημώδους ἰδιώματος συναρπασθέντες, ἐναντίον τῆς συνηθείας τῆς θείας Γραφῆς παρεξέτειναν ἐπέκεινα τοῦ Ἰορδάνου τὴν Χανανίτιδα χώραν, ἐν αὐτῇ λέγοντες κεῖσθαι τὴν Γαλαὰδ, καὶ τὴν Βασὰν, καὶ τὸ ὄρος Ἑρμὼν (Bochart. Hieroz. p.1090 καὶ 305: Lightfoot Chronograph. Lucae. sect. 2). Ἀλλ' ὁ Βοχάρτος καὶ τὴν στενωτέραν ἠπίστατο σημασίαν τῆς Χαναὰν, καὶ τὴν πλατυτέραν παρεδέξατο οὐκ ἀλόγως, οὐδ' ἀσυμφώνως τῇ Γραφῇ. Αὐτὴ ἡ Γραφὴ γῆν Χαναὰν ὀνομάζει καὶ τὴν ἐντεῦθεν τοῦ Ἰορδάνου, ὡς ἴδομεν, καὶ ὀψόμεθα παρακατιόντες. Ἑτέρωθεν δὲ πάλιν οἱ καὶ πέραν, καὶ ἐντεῦθεν Ἰορδάνου κατοικοῦντες Ἀμοῤῥαῖοι (Ἰησ. κδ, 8, καὶ 11) Χαναναῖοι τὸ γένος ἦσαν· «Καὶ ἤκουσε (φησὶν) ὁ Χαναναῖος» (Ἀριθμ. κα, 1. ιδ, 45). Ὅθεν καὶ τἀνάπαλιν Ἀμοῤῥαῖοι καλοῦνται πλατυκώτερον καὶ πάντες οἱ Χαναναῖοι (Γεν. ιε, 16. Α. Βασιλ. ζ, 14) «Ἀμοῤῥαῖον ἐνταῦθά (φησιν ὁ ἱερὸς Θεοδώρητος) οὐ τὸ ἔθνος λέγει, ἀλλὰ πάντας τοὺς Χαναναίους» (ἐν Ἀπόρ. εἰς Γ. Βασιλ. ἐρωτ. ξβ). Ἀλλὰ καὶ ὁ Προφητάναξ (Ψαλμ. ρλδ, 11) ὑμνῶν τὸν Θεὸν, Τὸν δόντα κληρονομίαν τῷ Ἰσραὴλ τήν τε βασιλείαν τοῦ Σηὼν, βασιλέως τῶν Ἀμοῤῥαίων, καὶ τὴν τοῦ Ὤγ, βασιλέως τῆς Βασὰν (ἐπὶ Μωσέως), καὶ πάσας τὰς βασιλείας τῆς ἰδίως Χαναὰν (ἐπὶ Ἰησοῦ), δῆλός ἐστι συνάπτων εἰς ἓν πᾶσαν τὴν κατάσχεσιν τῶν ιβ φυλῶν, τήν τε ἐντεῦθεν Ἰορδάνου (τὴν Γαλααδῖτιν, καὶ Βασανῖτιν, κτλ. ἐν αἷς αἱ 2, 1/2 φυλαὶ), καὶ τὴν ἐπέκεινα τοῦ Ἰορδάνου (τὴν καὶ μᾶλλον ὡρισμένως Χανα-

καὶ ταῖς γραφικαῖς ἀποχρώμενος μαρτυρίαις, μετὰ τοῦ μηδὲ τὰς λογικὰς — παρατρέχειν ἐφόδους». Ταύτης τῆς συγγραφῆς ἀποσπάσματα διέσωσεν εἰς ἡμᾶς ὁ ἀοίδιμος Φώτιος, ἐν ἄλλῃ πάλιν, ἣν μνημονεύει, συγγραφῇ Βασιλείου τινὸς Κίλικος (ἀνθρώπου Νεστοριανοῦ, καὶ τὴν φράσιν χυδαίου, καὶ μηδὲ περὶ τὴν σύνταξιν

νῖτιν, ἐν ἧ αἱ 9, 1/2), καὶ οὕτω συναπαρτίζων ἣν προεῖπε γενικώτερον γ ῆ ν Χ α ν α ὰ ν, (Ψαλμ. ρδ, 11), τὴν παντὶ τῷ Ἰσραὴλ ἐπαγγελθεῖσαν, κατὰ τὸ ἀνωτέρω, «Ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου δ ο ῦ ν α ι ὑ μ ῖ ν τ ὴ ν γ ῆ ν Χ α ν α ά ν» (Λευϊτ. κε, 38). Οὔτε γὰρ μόνον τὰς 9 1/2 φυλὰς ἐξήγαγεν ὁ Θεὸς ἐξ Αἰγύπτου, οὔτε πάλιν τὰς 2, 1/2 ἀπέκλεισε τῆς ἐπαγγελίας. Αὐτὸς ὁ Ἰακὼβ ἀνεκήρυξεν ἐξ ὀνόματος τὸν Μ α ν α σ σ ῆ ν καὶ τὸν Ῥ ο υ β ὴ μ κληρονόμους ἐπίσης μετὰ τοῦ Γὰδ καὶ τῶν ἄλλων υἱῶν αὐτοῦ τ ῆ ς γ ῆ ς Χ α ν α ὰ ν, κατὰ τοὺς κλήρους αὐτῶν (Γεν. μη, 3—6). Ἡ δὲ φυλὴ τοῦ Μανασσῆ (κατὰ τὸ ἥμισυ), καὶ ἡ τοῦ Ῥουβὴμ, καὶ ἡ τοῦ Γὰδ, ποίας χώρας ἔλαβον εἰς κληρουχίαν καὶ κατάσχεσιν, εἰ μὴ τὰς ἐντεῦθεν τοῦ Ἰορδάνου; Καὶ ὅτε Μωϋσῆς παρὰ τὸν Ἰορδάνην ἠρίθμει τοὺς δήμους τῶν ιβ, φυλῶν, εἰς οὓς ἔμελλε μ ε ρ ι σ θ ή σ ε σ θ α ι ἡ γ ῆ τῆς ἐπαγγελίας (Ἀριθ. κς, 3—56), μετὰ τῶν 9, 1/2 συνηρίθμησεν ἐπίσης καὶ τὰς ἤδη κληρουχούσας 2 1/2 φυλάς. Τελευταῖον, ὅτε Κύριος ἔδειξε τῷ Μωϋσῇ πᾶσαν τὴν γῆν, «ἣ ν ὤ μ ο σ ε τ ῷ Ἀ β ρ α ὰ μ καὶ Ἰ σ α ὰ κ κ α ὶ Ἰ α κ ὼ β, λ έ γ ω ν· τ ῷ σ π έ ρ μ α τ ι ὑ μ ῶ ν δ ώ σ ω α ὐ τ ή ν» (Δευτ. λδ. 4), πρώτη μεταξὺ τῶν χωρῶν ἀριθμεῖται ἡ Γ α λ α ὰ δ (λδ. 1), δηλονότι (πλατυκώτερον) πᾶσα ἡ ἐντεῦθεν τοῦ Ἰορδάνου χώρα, ἣν ἔλαβον εἰς κατάσχεσιν αἱ 2, 1/2 φυλαὶ (ὡς ὀρθῶς ἐσημείωσεν ὁ Rosenmül. εἰς Δευτ. λδ. 1). Ὁ δὲ σοφὸς Ῥελάνδος μάτην περιστρέφει τὸν λόγον, ἑλικτὰ, καὶ μηδὲν πρὸς ἔπος ἐπισυνείρων (σελ. 18). Τὸ ἱερὸν κείμενον λέγει ῥητῶς «Κ α ὶ ἔ δ ε ι ξ ε ν α ὐ τ ῷ Κ ύ ρ ι ο ς π ᾶ σ α ν τ ὴ ν γ ῆ ν Γ α λ α ὰ δ ἕ ω ς Δ ὰ ν», κτλ. ὡς μέρος συνεχὲς τῆς ἐπαγγελθείσης γῆς Χαναὰν (κατὰ τὴν πλατυτέραν σημασίαν). Καὶ εἰς ταύτην μὲν εἰσῆλθεν ὁ Μωϋσῆς, ὡς εἰς ἀπαρχὴν προεισοδιώδη τῆς πρὸς κληρονομίαν ἐπηγγελμένης γῆς. «Ἐ ν ά ρ χ ο υ κ λ η ρ ο ν ο μ ε ῖ ν», εἶπε πρὸς αὐτὸν ὁ Θεὸς, μέλλοντα συνάψειν τὴν πρὸς τοὺς Ἀμοῤῥαίους μάχην (Δευτ. β, 24). Τὴν δ' ἐπέκεινα τοῦ Ἰορδάνου, τὴν κυρίως γ ῆ ν Χ α ν α ὰ ν, καὶ ἐξαιρέτως γ ῆ ν τ ῆ ς ἐ π α γ γ ε λ ί α ς, μακρόθεν εἶδε Μωϋσῆς, καὶ οὐκ εἰσῆλθεν εἰς αὐτήν. «Καὶ ἐ κ ε ῖ (ὁριστικῶς· εἰς ἐκείνην τὴν ἐπέκεινα τοῦ Ἰορδάνου), « Καὶ ἐ κ ε ῖ (φησιν) ο ὐ κ ε ἰ σ ε λ ε ύ σ ῃ» (Δευτ. λδ, 4). Οὕτω τοίνυν οὔτε Μωϋσῆς εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὔτε πάλιν αἱ 2, 1/2 φυλαὶ ἀπεκλείσθησαν τῆς (κατὰ τὴν εὐρυτέραν σημασίαν) ἐπηγγελμένης γ ῆ ς Χ α ν α ὰ ν, «ἣν ἔδωκεν αὐτοῖς Κ ύ ρ ι ο ς ὁ Θ ε ὸ ς ἐ ν κ λ ή ρ ῳ» (Δευτ. γ. 1—21: Ἰησ. α. 12—16). Ἀλλὰ τὸ περὶ τούτων μακρότερα διευκρινεῖν, οὐ τῆς προ-

ἀκριβοῦς, μηδὲ τῶν ἐκ τριόδου ῥημάτων ἀπεχομένου, καὶ λοιδορίαις ἐνασελγαίνοντος), ὅστις συνέγραψεν, ἣν *Δικολόγον* ἐπέγραψε βίβλον, κατὰ Ἰωάννου τούτου τοῦ Σκυθοπολίτου καταφερόμενος, ἐν ᾗ καὶ πολλὰς τῶν παρ' ἐκείνῳ γραφικῶν τῶν Ο, ῥήσεων μεταγράφει, ἄλλως αὐτῶν τὴν ἔννοιαν ἐξηγῶν, καὶ διαστρεβλῶν. Οἷον τὸ «Ἀναβήσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί» (Ἡσαΐ. ζ), καὶ τὸ «Ἀνάστα ὁ Θεός, κρῖνον τὴν γῆν» (Ψαλμ. πα), καὶ τὸ «Οὗτος

θέσεως. Πολλοὶ δὲ καὶ σοφοὶ τῶν νεωτέρων διέλαβον περὶ τῆς εὐρυτέρας σημασίας τῆς γῆς Χαναάν. βλ. **Drusij Not. ad Exod. VI, 15.** καὶ **ad Sophon. II. 5.** καὶ **Grot. ibid. - Bochart. Geogr. Sacr. c. 34. p. 301.-Calmet Diction. v. Amorréens.** καὶ **v. Palaestin. - Schulz** εἰς Δευτερον. λγ. 21—**Rosenmüll.** εἰς Δευτ. α, 19, καὶ Ἀριθμ. κα, 1. Γενέσ. ιε, 16. - **Cahen not.** εἰς Ἐξόδ. ις, 35. καὶ **Jansens Hermeneut. Sacr. p. 59.** ὅστις καὶ τὸ ἐν Ἐξόδῳ ις, 35, «παρεγένοντο εἰς μέρος τῆς φοινίκων (ὡς εἶπον οἱ Ο, ὅπου τὸ ἑβρ. «εἰς τὸ ἄκρον τῆς γῆς Χαναὰν), καὶ τοῦτο ἐξέλαβεν ὁ Ἰανσένιος ἐπὶ τῆς ἐντεῦθεν τοῦ Ἰορδάνου κατασχεθείσης χώρας τῶν 2, 1/2 φυλῶν. Οἱ δέ τινες καὶ τοὺς Ἀμαληκίτας (πρὸς οὓς οἱ Ἰσραηλῖται ἐπολέμησαν καθ' ὁδόν. Ἐξόδ. ιζ, 8, Ἀριθμ. κδ, Δευτ. κε), Χαναναίους καὶ τούτους λέγουσι (βλ. **Clar. Annot. ad Num. XXI.-Herbelot, Bibl. Orient. v. Amelac** κτλ.). Ἡμεῖς δ' ἐπροσέτι μόνον ἕνα μάρτυρα προστιθέμεθα, πολλῶν ἀντάξιον ἄλλων, καὶ τοῦτον ὑπὲρ πάντας ἀξιόχρεων, τὸν Ἰώσηπον· ὅστις καὶ ἀλλαχοῦ τῇ πλατυτέρᾳ σημασίᾳ τῆς γῆς Χαναὰν κεχρημένος (ἀπὸ Σιδῶνος αὐτὴν παρατείνων μέχρις Αἰγύπτου. Ἀρχαιολ. Α. ι, §, 5), γῆν Χαναὰν ἰδίως ὀνομάζει καὶ αὐτὴν τὴν ταῖς 2, 1/2 φυλαῖς κληροδοτηθεῖσαν χώραν, ἱστορῶν «τοὺς τῆς Ῥουβηλίδος (Ῥουβὶμ) φυλῆς ἄρχοντας, καὶ τοὺς τῆς Γαδίδος, καὶ Μανασσήτιδος προεστῶτας· ἐξ ἡμισείας γάρ (φησι) καὶ τῇ δε τῇ φυλῇ, τὴν Ἀμορίαν» (τουτ. τὴν τῶν Ἀμοῤῥαίων) «κατοικεῖν ἐπετέτραπτο, τῆς Χαναναίων γῆς ἕβδομον οὖσαν μέρος» (Ἀρχ. Ε. α, §. 1). Ἕβδομον δὲ μέρος τῆς Χαναναίας ταύτην τὴν γῆν λέγει, καθότι ἐπὶ Μωσέως οἱ κρατηθέντες Ἀμοῤῥαῖοι ἦσαν ἓν τῶν ἑπτὰ μεγάλων ἐθνῶν τῆς γῆς Χαναὰν (Δευτ. ζ, 1. προβλ. Πράξ. ιγ, 19). Ὅθεν καὶ τὴν ἐντεῦθεν τοῦ Ἰορδάνου Ἀμοῤῥαΐδα χώραν (ἐν ᾗ καὶ ἡ Γαλαάδ. Ἀριθμ. λβ, 39) Χαναναίαν ἐκάλουν. (Ἴδε καὶ Ῥελάνδον αὐτὸν ἐν σημειώσ. εἰς Ἰώσηπ. Ἀρχ. Ε, α. §. 1. καὶ ἐν **Palaest.** σελ. 139). Κατὰ ταῦτα εἴπομεν καὶ ἡμεῖς ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Β. σελ. 292), ὅτι «ἡ Χαναναία χώρα (κατὰ τὴν στενωτέραν σημασίαν) διενεμήθη εἰς τὰς 9 1/2 φυλάς αἱ δὲ δύω 1/2 κατέσχον τὴν ἐντεῦθεν τοῦ Ἰορδάνου γῆν τῶν Ἀμοῤῥαίων, Χαναναίων καὶ τούτων ὄντων». Καὶ πάλιν πλατύτερον (σελ. 461), τὰς ἐντεῦθεν τοῦ Ἰορδάνου κεκρατημένας χώρας τῆς Χαναναίας (ἐν αἷς αἱ 2 1/2 φυλαί).

ὁ Θεὸς ἡμῶν - ἐπὶ τῆς γῆς ὤφθη » (Βαροὺχ γ), καὶ ἄλλα τινά (α). Σῴζεται δὲ τεμάχιον τοῦ Σκυθοπολίτου (ἐκ τοῦ η, λόγου τῶν κατὰ Σεβήρου) καὶ ἐν τοῖς Πρακτικοῖς τῆς Ϛ. Συνόδου (Πράξ. Ι. βλ. Συνόδ. Συλ. Τ. Β. σελ. 595).

§. σε. Ἐφραίμιος, ὁ ἐν ἁγίοις τῆς Θεουπόλεως Ἀντιοχείας πατριάρχης (τῷ 526), Σύρας γεγονὼς καὶ φωνῆς καὶ γενεᾶς, παιδευθεὶς δὲ καὶ τὴν ἑλληνίδα γλῶσσαν οὐκ ἀγενῶς, συνέγραψε περὶ τῶν τῆς Ἐκκλησίας δογμάτων καὶ τῆς ἁγίας ἐν Χαλκηδόνι Συνόδου λόγους πολλούς, ὧν τρεῖς μόνον βίβλοι περιῆλθον εἰς τὸν ἀοίδιμον Φώτιον· καὶ τούτων πάλιν ἡμεῖς μόνα τὰ παρ' αὐτῷ, τῷ μεγαλοφυεῖ τῶν λόγων κριτῇ καὶ ταμιούχῳ, περισωθέντα λείψανα ἀναγινώσκομεν (β), ἐν οἷς πολλὰ τεθησαύρισται παντὸς ἄξια λόγου, καὶ δογματικαὶ δὲ τῆς ἀμωμήτου πίστεως ἀποδείξεις μάλιστα ἐκ τῶν Γραφῶν. «Αἱ δὲ Γραφαί (φησιν) εἰσὶν, ἥτε Παλαιὰ Διαθήκη (κατὰ τοὺς Ο), καὶ τὰ κυριακὰ λόγια (*τῶν Εὐαγγελίων*), καὶ τὰ τῶν Ἀποστόλων κηρύγματα» (*τῶν Ἐπιστολῶν*) (γ).

(α) Βλ. Φώτ. Ἀναγν. ρζ. πρβλ. Cave p. 280. Du-Pin, Nouv. Biblioth. T. 5. p. 40. - Fabric. Bibl. Græc. T. X. p. 707. Harl.

(β) Βλ. Φωτ. Ἀναγ. σκη, καὶ σκθ: καὶ Πρακτ. τῆς ς, Συνόδ. Πράξ. Ι. πρβλ. Cave p. 281. — Du-Pin, Nouv. Bibl. T. 5. p. 48. — Fabric. Bibl. Græc. T. VIII. p. 254. Harl.

(γ) Ὁ ἱερὸς Ἐφραίμιος γράφει καὶ τὰ ἑξῆς· «Πρῶτος [ὁ] ἐν ἁγίοις Λέων (ὁ Πάπας βλ. ὄπισθ. §. ρπά) ἰδικῶς εἶπεν αὐταῖς λέξεσιν, ὡς Μήτηρ Θεοῦ ἐστιν ἡ ἁγία Θεοτόκος, τῶν πρὸ αὐτοῦ Πατέρων οὕτω διαπρυσίοις ῥήμασι μὴ τοῦτο φαμένων» (Φωτ. Ἀναγν. σκη. σελ. 775). Ταύτην τὴν περικοπὴν ἔγραψε καὶ ὁ Σουϊκῆρος (Suicer. Thes. Eccles. T. 1. p. 1387), ἀντιλέγων πρὸς τὸν Ἐφραίμιον, ὡς οὐ πρῶτος Λέων ὁ Α (τῷ 440), ἀλλὰ πολὺ πρὸ αὐτοῦ καὶ ἄλλοι Πατέρες (οἷον Κύριλλος καὶ ἡ Γ, Οἰκουμενικὴ Σύνοδος, Θεοδώρητος, Χρυσόστομος, οἱ δύω Γρηγόριοι, ὅ,τε Ναζιανζηνὸς καὶ ὁ Νύσσης, ὁ Μ. Βασίλειος, Διονύσιος ὁ Ἀλεξανδρείας) εἶπον τὸ Θεοτόκος ἐπώνυμον τῆς Μητρὸς τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν». — Ὀρθῶς γε ταῦτα ὁ Σουϊκῆρος, καὶ πολλῷ τοῦ Μεϋρσίου συνετώτερον· (ὅστις ἔγραψεν ἐν τῷ κατ' αὐτὸν Γραικοβαρβάρῳ Λεξικῷ (σελ. 185), ὅτι κατὰ τὴν Ε, Οἰκουμενικὴν Σύνοδον, ἐπὶ Ἰουστινιανοῦ, τὸ πρῶτον ἀνηγορεύθη ἡ Θεοτόκος ἐπωνυμία!). Εἶχε δ' ἂν καὶ ἄλλους ὁ Σουϊκῆρος προσθεῖναι Πατέρας, ἀρχαιοτέρους ὧν ἐμνημόνευσε, τῇ πανυμνήτῳ ταύτῃ κεχρημένους προσηγορίᾳ (βλ. ὄπισθ. σελ. 492), «κατὰ τὴν πίστιν, ἣν τῇ Ἐκκλησίᾳ παρέδωκαν οἱ θεσπέσιοι μαθηταὶ, κἂν εἰ μὴ τῆς

§. σς. Συμεὼν ὁ ὅσιος πατὴρ (τῷ 527), ὁ *Θαυμαστορείτης* (ἐκ τοῦ παρὰ τὴν Ἀντιόχειαν *θαυμαστοῦ ὄρους*), καὶ *Στυλίτης*, καὶ *Κιονίτης* (ἀπὸ τοῦ στύλου, ἢ κίονος, τῆς ἀσκητικῆς αὐτοῦ παλαίστρας, ἐφ' ἧς πολλοὺς διήθλησεν ἐνιαυτοὺς, τὸν ὑψηλὸν καὶ μετάρσιον βίον πολιτευόμενος ἄχρι τοῦ 561, ὅτε εἰς οὐρανὸν μετεχώρησεν· ἑορτάζεται Μαΐου κδ). Οὗτος πολλαχοῦ τῆς Οἰκουμένης ἀοίδιμος ἐγένετο καὶ περιλάλητος ἀπό τε τῶν κατορθωμάτων τῆς ὑπερφυοῦς ἀρετῆς καὶ θαυματουργίας, ἀπό τε τῆς τῶν λόγων δυνάμεως, καὶ τοῦ θείου ζήλου, μεθ' οὗ κατὰ τῶν ὀλεθρίων Εὐτυχια-

---

λέξεως πεποίηνται μνήμην» (Κύριλλ. ἐπις. ἐν Συνόδ. Συλλ. τόμ. α. σελ. 361. «παρὰ τῶν πρόπαλαι κηρύκων τῆς πίστεως, κατὰ τὴν ἀποστολικὴν παράδοσιν» εἶπε τὸ Θεοτόκος καὶ ὁ Θεοδώρητος τόμ. Δ, σελ. 697. Lut. 1642). Ἀλλ' ὁ Σουϊκῆρος, καί περ ὀρθῶς, ἅπερ εἶπεν, εἰπὼν, οὐκ ἐξηκρίβωσεν ὅμως τὴν Ἐφραιμίου φράσιν. Οὐ γὰρ περὶ τοῦ Θεοτόκος, ἀλλὰ περὶ τοῦ Μήτηρ Θεοῦ ὁ λόγος τῷ συγγραφεῖ, ὡς αὐτὸς ἡμῖν ἐρεῖ μετὰ μικρόν. Ἀκριβῶς δὲ πάλιν τὸν Ἐφραιμίου νοῦν ὁ σοφὸς ἐνόησε Μάϊος, τὴν αὐτὴν μνημονεύων περικοπὴν, «καθὸ (λέγει) μαρτυρίαν μάλα τοῖς Ῥωμαίοις κεχαρισμένην, καὶ μέγιστον τῷ ἁγίῳ Πάπᾳ Λέοντι τὸ κλέος περιποιοῦσαν, εἴγε πρῶτος αὐτὸς τὴν Θεοτόκον ἐπωνόμασε κυριωτέρᾳ προσηγορίᾳ, Μητέρα Θεοῦ» (Script. Vet. nov. Collect. T. IX. proleg. p. XXI). Καὶ καλόν γε δήπου τῷ Μαΐῳ τὸ καύχημα· οὐδὲ φθόνος οὐδεὶς ἐν Κυρίῳ καυχᾶσθαι. Ἀλλ' ὁ θεσπέσιος Ἐφραίμιος φαίνεται καταχρηστικώτερον τὸ πρῶτος ἐπὶ τοῦ Λέοντος εἰπὼν, εἴτε τὴν ὀρθόδοξον αὐτοῦ ἐπιστολὴν (βλ. ὄπισθ. σελ. 671) ὑπερτιμῶν, εἴτε καὶ ὡς πρώτου τῶν ἄλλων Δυτικῶν Πατέρων πρὸς τὸν αὐτοκράτορα Λέοντα γράψαντος αὐταῖς λέξεσι τὴν ἐπωνυμίαν. Ἰδοὺ τί λέγει παρακατιὼν αὐτὸς οὗτος ὁ Ἐφραίμιος. «Μητέρα Θεοῦ πρῶτον μὲν ἡ Ἐλισάβετ ἀνεῖπεν, ἐν οἷς λέγει· «Καὶ πόθεν μοι τοῦτο, ἵνα ἡ μήτηρ τοῦ Κυρίου μου ἔλθῃ πρός με;» (βλ. ὄπισθ. σελ. 63). «Σαφέστερον δὲ τῶν ἄλλων μετὰ ταῦτα τὴν λέξιν πρῶτος ὁ ὅσιος Λέων ὁ Πάπας προήνεγκεν ἐν τῇ πρὸς Λέοντα τὸν βασιλέα ἐπιστολῇ, ῥήμασιν αὐτοῖς οὕτω γράψας· Ἀναθεματιζέσθω Νεστόριος, ὁ τὴν μακαρίαν καὶ Θεοτόκον Μαρίαν, οὐχὶ τοῦ Θεοῦ, ἀνθρώπου δὲ μόνον πιστεύων εἶναι μητέρα» (παρὰ Φωτ. ἔνθ. ἀνωτ. σελ. 779)· Καὶ ὅμως ὁ 220 ἔτεσι προγενέστερος τοῦ Λέοντος Ὠριγένης ἀνευφήμησε τὸ ΜΗΤΗΡ ΘΕΟΥ, (βλ. ὄπισθ. σελ. 492)· καὶ ὁ ἱερομάρτυς Μεθόδιος (τῷ 290) εἶπε τοῦτ' αὐτὸ συνθέτως, ΘΕΟΜΗΤΟΡΑ. «Τὰ κεχρηματισμένα (φησὶ) τυπικῶς τῷ προφήτῃ Ἡσαΐᾳ περιφανῶς ἡ ἱερὰ Θεομήτωρ ἐξετέλεσεν» (ἐν τῷ γνησιωτάτῳ λόγῳ, τῷ εἰς τὸν Συμεὼν καὶ τὴν Ἄνναν, ἢ εἰς τὴν Ὑπαπαντήν. σελ. 411. Paris. 1634). «Ἡ Θεομήτωρ Παρθένος», εἶπε (τῷ 380) καὶ ὁ θεῖος Γρηγόριος ὁ Νύσσης (Λόγ. εἰς τὴν Ὑπαπαντήν. Τόμ. β. σελ. 892). Ὁ δὲ θεηγόρος Κύριλλος

νῶν καὶ Νεστοριανῶν ὑπὲρ τῆς Ὀρθοδόξου πίστεως ἠγωνίσθη (α). Ἔγραψε δὲ πολλὰς καὶ γλαφυρὰς ἐπιστολὰς, ὧν σῴζεται μία πρὸς Ἰουστῖνον τὸν Αὐτοκράτορα ἐν τοῖς Πρακτικοῖς τῆς Ζ, Οἰκουμενικῆς Συνόδου (Πράξ. Ε), ἀρχομένη ἀπὸ τῆς ῥήσεως τοῦ Ἱερεμίου (θ, 1)· «*Τίς δώσει τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων;*» κτλ. Καὶ ἄλλης δὲ πρὸς τὸν Αὐτοκράτορα Ἰουστινιανὸν ὁ Ἱεροσολύμων Σωφρόνιος μνημονεύει (παρὰ Φωτ. Ἀναγν. σλα), καὶ ταύτης ἀπόσπασμα ὁ θεῖος ἔχει Δαμασκηνὸς (περὶ Εἰκόν. λόγ. γ). Καὶ ἄλλα δὲ τοῦ τρισολβίου τούτου Πατρὸς ἀνέκδοτα πονήματα, κατὰ τὴν Βατικανὴν Βιβλιοθήκην καὶ ἀλλαχοῦ σῳζόμενα, Λέων ὁ Ἀλλάτιος

(τῷ 429) καὶ κατὰ λέξιν διῃρημένως τὴν ἐπωνυμίαν ἀνεῖπε, καὶ μᾶλλον τοῦ Λέοντος ἐκφαντορικώτερον. «ΘΕΟΣ δὲ ὢν κατὰ φύσιν ὁ Λόγος, καίτοι σὰρξ γεγονὼς, προῆλθε θεοπρεπῶς, τουτέστιν ὡς ἂν πρέποι τῷ γε ὄντι κατὰ τὴν ἀλήθειαν ΘΕΩΙ· μόνος γὰρ ἔσχε ΜΗΤΕΡΑ τὴν ἀπειρόγαμον» κτλ. (ἐν τοῖς ΙΒ Κεφαλαίοις, Ἀπολογ. βλ. Συνόδ. Συλλ. τόμ. α. σελ. 555). Τοιαῦτα καὶ Πρόκλος ὁ ἱερώτατος (τῷ 428). «Εἰ δὲ καὶ μετὰ τόκον ἔμεινε παρθένος (Η ΜΗΤΗΡ), πῶς οὐχὶ ΘΕΟΣ (ὁ τεχθείς;) λόγ. α. σελ. 61). Καὶ ὁ τούτῳ σύγχρονος Βασίλειος ὁ Σελευκείας. «ΘΕΟΝ σαρκωθέντα τεκοῦσα, Θεοτόκος ὀνομάζεται — ἡ ΜΗΤΗΡ τοῦ Κυρίου τῶν ὅλων» κτλ. (λόγ. λθ. εἰς τὸν Εὐαγγελισμ. σελ. 208 — 217) κτλ. Ἔπειτα καὶ ἄλλως, οὐκ ἂν εἶχεν ὁ ἁγιώτατος Λέων πρῶτος αὐτὸς δογματικὴν ἐπωνυμίαν καινοτέραν εἰσενεγκεῖν, μὴ καὶ πρότερον ἱερολογουμένην ἐν τῇ Ἐκκλησίᾳ, κατ' ἀποστολικὴν παράδοσιν, ὡς καὶ τὸ σύνθετον Θεομήτωρ, καὶ τὸ ἰσοδύναμον Θεοτόκος, ἀνθ' οὗ καὶ Θεογεννήτωρ εἶπεν ὁ αὐτὸς ἅγιος Μεθόδιος (ἔνθ' ἀνωτέρ. σελ. 420). Τί γὰρ ἄλλο τὸ Μήτηρ, ἢ τὸ αὐτὸ καὶ ἡ Τεκοῦσα, καὶ ἡ Γεννήτρια; (καὶ ταῦτα πάντα πηγάζουσι κατὰ λέξιν ἀκριβῶς ἐκ τῆς θεοπνεύστου Γραφῆς. βλ. ὄπισθ. σελ. 69). Τὸ δὲ Θεογεννήτωρ (Deigenitrix) εἶπε καὶ ὁ ἱερὸς Αὐγουστῖνος, ἀρχαιότερος τοῦ Λέοντος.

(α) Βλ. Εὐάγρ. Ἐκκλησ. Ἱστορ. ς. 23. - Νικηφ. ΙΗ. 14. πρβλ. καὶ Ζ, Οἰκουμ. Συνόδ. Πράξ. Δ. καὶ Δαμασκην. περὶ Εἰκόν. λόγ. γ. Λέγεται καὶ Συμεὼν ὁ νεώτερος, πρὸς διαστολὴν τοῦ πρεσβυτέρου (περὶ τὸ 460) ἁγίου Συμεὼν τοῦ Στυλίτου (ἑορτάζεται Σεπτεμβρ. α), τοῦ πρώτου τὴν ἐπὶ στύλου ἄσκησιν ἀγωνισαμένου παρὰ τὴν Ἀντιόχειαν (βλ. Θεοδωρήτ. Φιλόθ. ἱστορ. κεφ. 26. καὶ Εὐάγρ. α, 13). Ἔγραψε καὶ οὗτος ὁ Πατὴρ πολλὰς ἐπιστολὰς ἄλλας τε, καὶ τὴν ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου. Σῴζονται δὲ τούτων λείψανα· καὶ δύω ὁλόκληροι (παρ' Εὐαγρίῳ, αὐτόθ. καὶ Νικηφ. ιδ. 13, 19. καὶ Φωτ. Ἀναγν. σλ. σελ. 879. καὶ σλα, σελ. 890). πρβλ. Cave p. 249 καὶ 282. - Du-Pin, Nouv. Bibl. Tom. 4. p. 214. - Fabric. Bibl. Græc. T. X. p. 324. καὶ T. XI. p. 299. Harl.

(ἐν τῇ περὶ Συμεώνων διατριβῇ, σελ. 21, 22) μνημονεύει, ἐν οἷς καὶ *Τροπάρια εἰς τὸν ἅγιον μεγαλομάρτυρα Δημήτριον*.

§. σζ. Ἰουστινιανὸς ὁ Αὐτοκράτωρ (τῷ 527), ὁ εὐσεβέστατος ὑπερασπιστὴς τῆς Ὀρθοδοξίας, καὶ μάλα βασιλικὸς καὶ ἀνύστακτος τῆς Ἐκκλησιαστικῆς εἰρήνης καὶ εὐσταθείας προστάτης τε καὶ μελεδωνός· (καί τοι περὶ τὰ τέλη τοῦ βίου οὐκ ἀπὸ προαιρέσεως φιλοκαινοτόμου καὶ μοχθηρᾶς, ἀλλὰ μᾶλλον ἐξ εὐλαβείας, εὐπεριτρέπτου καὶ εὐολίσθου διὰ τὴν τοῦ γήρως ἀσθένειαν ἀποβάσης, εἰς τὴν τῶν Ἀφθαρτοδοκητῶν αἵρεσιν ὑπὸ λοιμῶν καὶ φθόρων ἀνθρώπων παρασυρείς)· μεγαλεπήβολος ἀνὴρ καὶ μεγαλουργός, καὶ τοῦτ' αὐτὸ τὸ Ὁμηρικόν· «*Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής*»· πολλὰ μὲν τρόπαια στήσας κατὰ τῶν πολεμίων πρὸς ἀνατολὰς, καὶ δυσμὰς, καὶ κατ' Ἀφρικήν· πολλὰς δὲ πόλεις συνοικίσας, καὶ μεγάλας ἱδρύσας οἰκοδομὰς, καὶ νόμων δὲ θεσμοθεσίαις κοσμήσας τὴν πολιτείαν· ἐφ' οἷς καὶ δι' αἰῶνος ᾄδεται περικλεέστατος. Οὐδ' ἀνύουσιν οὐδὲν πολλοὶ τῶν νεωτέρων, ὅσοι κατὰ τῆς ἀοιδίμου μνήμης τοῦ μεγάλου τούτου Αὐτοκράτορος δωρεὰν καὶ μάτην ἐξεβάκχευσαν, μαχόμενοι πρὸς τὴν πραγματικὴν ἱστορίαν, καὶ ὑπὸ τῶν εὐγνωμόνων τῆς ἀληθείας φίλων στηλιτευόμενοι (α). Οὐδ' ἐκεῖνος ὁ ἡμέτερος, καὶ, καθὸ ἱστορικὸς ἐμβριθὴς, θαυμάσιος Προκόπιος, οὐδ' αὐτὸς ἀπώνατο τῆς σατυρικῆς κακοηθείας, μεθ' ἧς συνέγραψεν (εἴ γε καὶ συνέγραψεν οὗτος) τὰ διαβόητα *Ἀνέκδοτα* (β), ψέγων ἐν κρυπτῷ, καὶ ὑπὸ λύχνῳ κακομύξῳ καὶ βασκάνῳ σκότιος λοιδορῶν, ὃν ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ παῤῥησίᾳ καὶ πανευφήμως ἐνεκωμίαζε μέγαν Ἰουστινιανὸν, δημοσίως ἱστορῶν τὰ πᾶσι τοῖς αὐτῷ συγχρόνοις δῆλα καὶ ὁμολογούμενα τοῦ ἰδίου Αὐτοκράτορος ἔργα· αὐτὸς γὰρ ἑαυτὸν ἀνατρέπει, καταισχύνων τὸ κάλλος τῆς, ἣν πιστῶς ἀνέγραψεν, ἱστορίας, δι' ὧν ἐψευδοπλάστησεν ἐν τοῖς Ἀνεκδότοις αἰσχίστων ἀῤῥητουργιῶν. Φαίνεται δὲ ὅμως πιθανώτατον, ὅτι τὰ Ἀνέκ-

(α) Βλέπε τὸν σοφώτατον Καβέον (σελ. 282). — (β) Ὡς τὸ, « Βιβλίον ἀπόῤῥητον » (Δίων, λθ)· καὶ τὰ Γαλ. Chroniques scandaleuses.

δοτα ψευδῶς ἐπεγράφησαν εἰς τὸν σεμνὸν Προκόπιον, ὑπό τινος κακοήθους εἰς ὕβριν τοῦ Ἰουστινιανοῦ χαλκευθέντα, ὡς ἔκριναν ἄλλοι τε σοφοὶ, καὶ ὁ Καβέος (σελ. 284) (α). Ἀλλὰ τὰ μὲν περὶ τούτων, ἄλλης θεωρίας. Ὁ δ' ἀνθρωπίνων μὲν κηρῶν καὶ σφαλμάτων οὐκ ἀπείρατος, οὐδ' ἀπλημμελὴς, ἀξίως δὲ ὅμως τῶν βασιλικῶν αὐτοῦ κατορθωμάτων *μέγας* κλεϊζόμενος Ἰουστινιανὸς, «*ὁ τῆς εὐσεβοῦς λήξεως, καὶ σεβασμίας μνήμης*» (β), «*καὶ ὑπὲρ πάντας ζηλωτὴς τῆς ἀληθείας καὶ ἀποστολικῆς πίστεως*» (γ), τάς τε περὶ τῶν θείων πραγμάτων ἀνεγίνωσκε βίβλους, καὶ συνάμα τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις «ἀωρὶ τῶν νυκτῶν ἀνεκύκλου τὰ χριστιανῶν λόγια», ὡς αὐτὸς ὁ Προκόπιος ὁμολογεῖ (δ). Σῴζονται δὲ τού-

(α) Βλ. καὶ **Fabr. Bib. Gr. T. VII. p. 560. Harl.**

(β) Οὕτως αὐτὸν ἡ Ϛ, Οἰκουμενικὴ Σύνοδος (Πράξ. δ, καὶ, ι, κτλ.), καὶ ἡ Ἐκκλησία (Αὐγούς. 2) μνημονεύει. (καὶ Σωφρόν. π. Φωτ. Ἀναγν. σλα). Οὕτω καὶ Ἰουςίνου (τοῦ Θρᾳκὸς) καὶ τῆς αὐτοῦ συζύγου Θεοδώρας (Νοεμβρ. ιε), καὶ Θεοδοσίου τοῦ Μ. (Ἰαννουαρ. ιζ), καὶ Θεοδοσίου τοῦ νέου (Ἰουλ. κθ) «τῶν εὐσεβῶν βασιλέων» (ὡς ὑπερμάχων τῆς Ὀρθοδοξίας) μνήμην ἄγει ἡ Ἐκκλησία· (ἁγίους δὲ κατὰ λέξιν οὐ διορίζει). Ὁ δὲ πολύσοφος Ἀλλεμανὸς ληρεῖ κατὰ τῆς μνήμης τοῦ Ἰουστινιανοῦ, συγχέων τὰ ἀσύγχυτα (**N. Alleman. not. in Hist. Arcanan. Procop. p. 73. Lugd. 1623**). Βλ. καὶ Δοσιθ. Δωδεκάβιβ. σελ. 442, 453, 514.

(γ) Οὕτω γράφει περὶ αὐτοῦ ὁ ἱερὸς τῆς Ῥώμης Πάπας Ἀγάθων, πολλοὺς καὶ ἄλλους ἐπαίνους συνείρων (Συνόδ. Συλλ. τόμ. Β. σελ. 547). Αὕτη δὲ ἡ τοῦ Πάπα Ἀγάθωνος μαρτυρία ἀποφράττει τὸ δύσφημον στόμα τοῦ σοφοῦ Καρδιναλίου Βαρονίου, ὅστις εἰς τοσοῦτον ἀσχημοσύνης ἤλασεν, ὥστε διέγραψε τὸν Ἰουστινιανὸν οὐ μόνον ἀναλφάβητον, ἀλλὰ καὶ ἱερόσυλον αὐτοκράτορα, καὶ παράφρονα, πνεύματι πονηρῷ κατεσχημένον, τιναστόμενον ὑπὸ τοῦ Σατανᾶ, καὶ πᾶσαν τὴν ἐν τῇ Ἐκκλησίᾳ τάξιν παραλύσαντα, καὶ ταύτην ἀναδείξαντα ἀπὸ βασιλείας τῶν οὐρανῶν, ἐργαστήριον τοῦ ᾅδου. (**Baron. Annal. 551. n. 3. 4: 528 n. 20: 553 n. 21**). Ὁ δὲ τοῦ Βαρονίου σφοδρὸς οὗτος βρασμὸς καὶ τιναγμὸς, πόθεν; Διότι ὁ Ἰουστινιανὸς ἐχαλίνωσεν οὐχ ἅπαξ τὴν Παπικὴν αὐθάδειαν! Γνωστὰ ἐκ τῆς Ἐκκλησιαστικῆς ἱστορίας τά τε ἄλλα, καὶ τὰ κατὰ τὸν Πάπαν Βιγίλιον. Ὁ δὲ Βαρόνιος καὶ εἰς Νικηφόρον τὸν Κάλλιστον ἐξυβρίζει, πρᾳότερα κρίναντα περὶ τῆς εἰς τὴν αἵρεσιν ὀλισθήσεως τοῦ Ἰουστινιανοῦ (Νικηφ. ιζ, 31).

(δ) Περὶ Γοτθικ. πολεμ. γ. - καὶ περὶ κτισμάτων Ἰουστιν. α. Οὕτω καὶ Εὐστάθιος ἐν Βίῳ τοῦ ἁγίου Εὐτυχίου.

του τά τε τὴν ἐκκλησιαστικὴν εὐστάθειαν, καὶ τὸ κράτος τῶν θείων Κανόνων ἀφορῶντα διατάγματα (αἱ Νεαραὶ), καὶ ἡ βασιλικωτάτη *Ὁμολογία τῆς αὐτοῦ πίστεως*, ὅ,τε πρὸς Μηνᾶν τὸν Κωνσταντινουπόλεως κατὰ Ὠριγένους *Λόγος*, καὶ τὸ πρὸς τὴν Σύνοδον Γράμμα, πάλιν κατὰ τοῦ Ὠριγένους καὶ τῶν ὁμοφρόνων αὐτοῦ. Καὶ ὁ πρὸς τὴν Ε, Οἰκουμενικὴν Σύνοδον Τύπος, περὶ Θεοδώρου τοῦ Μοψουεστίας καὶ τῶν λοιπῶν. Καὶ ἄλλη ἐπιστολὴ πρός τινας ἐκδικήσαντας (ὑπερασπιθέντας) Θεόδωρον τὸν δυσσεβῆ, καὶ τὰ λοιπὰ τῆς ἐπιγραφῆς (α). Ἐν πᾶσι δὲ τούτοις ὁ κράτιστος Ἰουστινιανὸς τὰς ἐκ τῶν θείων κατὰ τοὺς Ο Γραφῶν προφητικὰς μαρτυρίας, ὡς θεοπνεύστους δείξεις τοῦ θείου δόγματος γράφει, συμφώνως τοῖς θεοφόροις Πατράσι θεολογῶν, καὶ τοὺς αἱρετικοὺς στηλιτεύων (σελ. 379 κτξ.). Ὅτι δὲ καὶ ἰδίως διὰ τῆς αὐτοῦ ΡΜϚ, Νεαρᾶς τὸ θεόπνευστον τῆς τῶν Ο μεταφράσεως ἀνεκήρυξε, βλέπε ἐν τῷ Παραρτήματι (πρβλ. καὶ Βιβλ. Γ. σελ. 107).

§. ση. Ἰώβιος μοναχὸς (τῷ 530), θεοσεβὴς, καὶ φροντίσιν ἱεραῖς ἀνειμένος ἀνὴρ, συνέγραψε πραγματείαν κατὰ Σευήρου· καὶ ἄλλο δὲ βιβλίον ἐν λόγοις Θ, *Οἰκονομικὴν πραγματείαν* ἐπιγράψας (ὡς πολλὰ τῶν περὶ τῆς θείας Οἰκονομίας ζητήματα περιέχον). Τούτου καὶ μόνου οἷον περίληψιν ἔχομεν τὰ παρὰ τῷ μεγαδόξῳ κριτῇ καὶ γαζοφύλακι τῶν λόγων Φωτίῳ περισωθέντα μεγάλα τεμάχια (Ἀναγν. σκϐ)· ἐν οἷς ὁ συγγραφεὺς (ὡς παρὰ τῷ Φωτίῳ λαμπρῶς ἐζωγράφηται) «περὶ μὲν τὰς ἀπορίας, καθόλου φάναι, οὐκ ἀγενής ἐστιν, οὔτε ἄτονος, οὐχ ὁμοίως δὲ διὰ τῶν λύσεων πρόεισιν· ἀλλ᾽ ἐν πολλοῖς μὲν ἰχνηλατῶν, τυγχάνει τῆς λύσεως· ἔστι δ᾽ ἐφ᾽ ὧν τοῖς φαινομένοις ἀρκεῖται. — Τῆς μέν τοι γε εὐσεβείας, ὅσα γ᾽ ἐμὲ εἰδέναι, — ἐραστής τέ ἐστιν ἀξιέπαινος, καὶ τὸ φιλόπονον οὐκ ἀδόκιμος, καὶ τῆς τῶν ἱερῶν Γραφῶν μελέτης οὐκ ἄπειρος» (Φώτ. αὐτόθ.). Πάσας δὲ τὰς προφητικὰς φωνὰς, ὅσας πρὸς ἐπί-

---

(α) Βλ. Συνόδ. Συλλ. Τ. Β. σελ. 351—392. Τούτοις προστεθείσθω καὶ ὁ Λόγος ὁ δογματικὸς, ὃν ὁ Μάϊος πρῶτος ἐξέδωκε (Script. vet. nov. Collect. T. VII. p. 292—313).

λυσιν θεολογικῶν καὶ δογματικῶν ζητημάτων παράγει κατὰ τοὺς Ο, ταύτας καὶ οὗτος ὡς ἰσοφυεῖς ταῖς τῆς Καινῆς Διαθήκης μαρτυρίαις παραβάλλει πολλάκις, καὶ τὰς Διαθήκας ἀμφοτέρας μίαν θεόπνευστον Γραφὴν ἀποκαλεῖ· Οἷον· ἐξηγῶν τὸ «*Ἐν κεφαλίδι βιβλίου*» (Ψαλμ. λθ, 8. Ἑβρ. ι, 7). «Κεφαλή (φησι) καὶ ἀρχὴ *βιβλίου, τουτέστι πάσης τῆς θεοπνεύστου Γραφῆς*, ἡ Ἑξαήμερος» (τοῦ Μωϋσέως) κτλ. (σελ. 609). Καὶ, «Καί τοι γε τὸ πανάγιον Πνεῦμα καὶ γυμνότερον, ἢ τὸν Υἱὸν, τὸ γράμμα (τῆς Π. Γ.) θεολογεῖ· καὶ γάρ φησι περὶ μὲν τοῦ Υἱοῦ, «*Δεξιὰ Κυρίου ἐποίησε δύναμιν*» καὶ, *Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν*, καὶ εἴ τι ἄλλο τοιοῦτον· ἃ νοήματι μὲν, συμβαίνει καὶ συνομολογεῖ τῇ σημασίᾳ τοῦ Υἱοῦ, τῆς δὲ κατὰ τὴν φωνὴν οὐκ ἐξίσταται παραλλαγῆς. Ὅρα δὲ τὸ τρανὸν καὶ ἀπαράλλακτον τῆς κατὰ τὸ ἅγιον Πνεῦμα φωνῆς· *Τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν*. (Ψαλμ. λϐ). — καὶ, *Πνεῦμα θεῖον τὸ ποιῆσάν με* (Ἰὼϐ λγ, 4)· καὶ, *Πνεῦμα Κυρίου ἐπ' ἐμέ*· (Ἡσαΐ. ξα, 1. Λουκ. δ, 18), καὶ (ἐκ τῆς Σοφίας Σολομῶντος α, 7) *Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην*, καὶ μυρία ἄλλα. *Τῆς ἀῤῥήτου δὲ καὶ τοῦτο τοῦ Θεοῦ σοφίας*· τὸ τὸν μὲν Υἱὸν ἑτεροφώνοις λέξεσι θεολογεῖσθαι, τὸ δὲ Πνεῦμα διὰ τῆς οἰκείας ὀνομασίας» κτλ. Λέγει δὲ καὶ ταῦτα. «Ἔοικε *τὰ ἱερὰ γράμματα* τῇ χρυσίτιδι γῇ, ἥτις οὐ πᾶσιν, οὐδὲ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς φιλοπόνως μεταλλεύουσι, τό, τε χρυσίον δόκιμον, καὶ τὸ κέρδος μεῖζον τῶν πόνων παρέχεται. — Καί τοι καὶ αὐτὸ τὸ κεκρύφθαι τὰ θεῖα νοήματα τὸ τιμιώτατον αὐτοῖς καὶ ὑψηλὸν ἐπιμαρτύρεται. — Καὶ τὸ κακοῦργον δὲ τῶν Ἰουδαίων καὶ τολμηρὸν περὶ τὰ ἀτόλμητα τῆς κατὰ τὴν Παλαιὰν ἀσαφείας αἴτιον· ἵνα γὰρ μὴ τὰς περὶ Χριστοῦ μαρτυρίας, τὸ περιφανὲς καὶ κατάδηλον ἐχούσας, τῶν Γραφῶν περικόψωσι, καὶ ἐξαφανίσωσι, διὰ τοῦτο μετὰ τοῦ συνεσκιασμένου ταῦτα προάγεται» (σελ. 616, 626).

§. σθ. Ἐν τῇ ἐπὶ Μηνᾶ τοῦ ἀοιδίμου Πατριάρχου (τῷ 535) τοπικῇ κατὰ τὴν Κωνσταντινούπολιν συνελθούσῃ Συνόδῳ, καὶ τὸν ἀπὸ Τρα-

πεζοῦντος ἀθέσμως ἐπιβάντα τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως αἱρετικὸν Ἄνθιμον, μετὰ Σευήρου καὶ ἄλλων Ἀκεφάλων συγκαθελούσῃ, πᾶσαι αἱ ἀναγνωσθεῖσαι ἐπιςολαὶ καὶ ἀναφοραὶ πρός τε ἔλεγχον τῶν εἰρημένων αἱρετικῶν, καὶ τῆς ὀρθοδοξίας βεβαίωσιν, ἐξέφερον τὰς ῥήσεις τῆς Παλαιᾶς Γραφῆς ἐκ τῶν Ο, ὡς θεηγόρους φωνάς. Ὡσαύτως καὶ ἐν τῇ κατὰ Σευήρου καὶ Ἀνθίμου καὶ τῶν ἄλλων τῶν αὐτῶν αἱρετικῶν ἐν Ἱεροσολύμοις ἐπὶ Πέτρου Πατριάρχου συγκροτηθείσῃ Συνόδῳ (τῷ 536), ἐν ᾗ καὶ ἡ ψῆφος τῆς Ἀνθίμου καθαιρέσεως ἄλλαις τε γραφικαῖς κρατύνεται ῥήσεσι, καὶ τῇ τοῦ Ὠσηὲ προφητείᾳ (δ, 6)· «Ὅτι σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι» (βλ. Συνόδ. Συλλ. τόμ. Β. σελ. 257—332).

§. σι. Ζαχαρίας, ὁ *Σχολαστικὸς* τὸ πρῶτον, εἶτα δὲ Μιτυλήνης ἐπίσκοπος (τῷ 536), τά τε ἄλλα θαυμάσιος, καὶ εἰς τὴν ἐπὶ Μηνᾶ ῥηθεῖσαν Σύνοδον διαλάμψας, συνέγραψε τὸν καὶ εἰς ἡμᾶς ἀποσωθέντα περὶ δημιουργίας τοῦ κόσμου κατὰ φιλοσόφων *Διάλογον*, *Ἀμμώνιον* ἐπιγράψας (α). Καὶ ἔστι παρ' αὐτῷ τὸ μὲν κράτος τῶν ἀποδείξεων ἰσχυρῶς ἐῤῥιζωμένον, ἡδεῖα δὲ μετὰ τῆς συνθήκης ἡ λέξις, καὶ πλατωνίζουσα, καὶ εὐανθής, ὅσον ἧκεν εἰς φράσιν ἐκ τῶν ἐκεῖθεν λειμώνων. Λέγει τοίνυν καὶ οὗτος περὶ τῶν θείων Γραφῶν τὰ ἑξῆς «Οὐ γὰρ δὴ οἱ παρ' ἡμῖν θεολόγοι» (*Προφῆται καὶ Ἀπόστολοι*) «κεκαλλιεπημένοις λόγοις, καὶ ῥημάτων κομψείαις, καὶ ἀττικῶν ὀνομάτων ἁρμονίᾳ τε καὶ συνθήκῃ, καὶ τῷ γλαφυρῷ τῆς φράσεως γοητεύουσι τῶν ἀκροωμένων τὰς ἀκοάς, ἀληθῶν ἀποδείξεων ἀπορίᾳ, ὡς ὁ ὑμέτερος Πλάτων καὶ οἱ λοιποὶ, ὅσοι τῶν ὑμετέρων πέρι γεγράφασι θεῶν.—Οὐ τοίνυν τὰ παρ' ἡμῖν τοιαῦτα. Καὶ γὰρ ὅ,τε Σωτὴρ ὁ ἡμέτερος, καὶ οἱ θεσπέσιοι τούτου φοιτηταὶ, καὶ *οἱ πάλαι προφῆται, τὰ περὶ αὐτοῦ χρησμῳδοῦντες*, οὐ ποικιλίᾳ λόγων, καθάπερ κομμωτικῇς ὕπο διεσκευασμένην, ἀλλὰ γυμνὴν παντὸς προκαλύμματος, καὶ πάσης ἐπιτε-

(α) Βλ. Cave p. 288. - Fabric. Biblioth. Graec. T. X. p. 633. ed. Harl.

χνήσεως καὶ στωμυλίας ἐλευθέραν προτιθέασι τὴν ἀλήθειαν, καὶ τὸ φυσικὸν ἀναφαίνεται κάλλος, καὶ οἱ λόγοι τοῖς πράγμασι συμβαίνουσι» (σελ. 90). Καὶ πάλιν (σελ. 97)· «Ὅθεν καλῶς τῷ θεσπεσίῳ Ἀποστόλῳ (Παῦλος δὲ οὗτος ἦν) πεφιλοσόφηται τοῦ Θεοῦ πέρι καὶ τοῦ κόσμου· ἔφη γὰρ ὧδε· «*Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται*» (Ῥωμ. α, 20). Ναὶ μὴν καὶ Σολομῶντι τῷ σοφῷ· ὃς τὴν αὐτὴν διάνοιαν ἑτέροις ὀνόμασι διεσάφησεν, ὧδέ πως λέγων· «Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν καθορᾶται». (Σ. Σολ. ιγ, 5). Οὕτω καὶ τὸ γνήσιον τοῦ τεύχους τῆς Σ. Σολομῶντος ὑπὸ τοῦ θείου Παύλου κυρούμενον παρίστησιν ὁ Ζαχαρίας, καὶ τὴν ἑρμηνείαν ὡς ἰσοδύναμον πρὸς τὴν ἀποστολικὴν φράσιν παραβάλλει. Καὶ ἄλλα δὲ *θεῖα Λόγια* ἐκφέρει κατὰ τοὺς Ο· οἷον τὸ «*Ἐν τῇ χειρὶ αὐτοῦ πάντα τὰ πέρατα τῆς γῆς*» (Ψαλμ. ϥδ, 4)· καὶ αὖθις ἐκ τῆς Σοφίας Σολομῶντος (α, 7) τὸ «Πνεῦμα κυρίου πεπλήρωκε τὴν Οἰκουμένην» (σελ. 148) (α).

§. σια. Ἀρέθας, τῆς ἐν Καππαδοκίᾳ Καισαρείας ἀρχιεπίσκοπος (περὶ τῷ 540) (β). Συνέγραψεν Ἑρμηνείαν εἰς τὴν θείαν Ἀποκάλυψιν Ἰωάννου τοῦ θεολόγου. Ἔστι δὲ αὐτὴ ἡ ἑρμηνεία (ὡς αὐτὸς ὁ Ἀρέθας ἐν τῷ προοιμίῳ φησὶν) «Ἐκ τῶν Ἀνδρέᾳ τῷ μακαριωτάτῳ ἀρχιεπισκόπῳ Καισαρείας Καππαδοκίας εἰς τὴν Ἀποκάλυψιν πεπονημένων θεαρέστως *Σύνοψις σχολική*» (ἤκμαζε δὲ ὁ Ἀνδρέας περὶ τὰ 500. βλ. ὄπισθ. σελ. 581). Σῴζεται δὲ καὶ καθ' ἡμᾶς ἡ τοῦ Ἀνδρέου Ἑρμηνεία. Ἐν ἑκατέροις δὲ τούτοις τοῖς ὑπομνηματισμοῖς ἀμφότεροι οἱ ἀοίδιμοι τῆς Καισαρείας ἀρχιεπίσκοποι (καὶ μάλιστα ὁ Ἀρέθας, τὰ τοῦ Ἀνδρέου κατὰ τόπους τρανώτερον ἐκτιθεὶς, καί τινας ἰδίας ἐπιφέρων ἐξηγήσεις, καὶ οἷον σχολιογρα-

---

(α) Βλ. τὴν ἀνωτέρω (σελ. 680) Αἰνείας καὶ Ζαχαρίας ἔκδοσιν σελ. 83 — 152.

(β) Οἱ δέ τινες καὶ πολὺ νεώτερον ὑπενόησαν τὸν Ἀρέθαν, ταυτίζοντες πρὸς ἄλλον Ἀρέθαν Καισαρείας πρεσβύτερον, γενόμενον περὶ τὸ 920. (Βλ. Cave p. 288. καὶ Fabric. Bibl. Graec. T. VIII. p. 696. Harl.). Ἀλλ' ἡ εἰκασία φαίνεται ἀπίθανος.

φῶν, διὸ φαίνεται προσθεὶς εἰς τὸ Σύνοψις καὶ τὸ *Σχολική*) χρῶνται πολλαχοῦ ταῖς ἐκ τῶν Ο προφητικαῖς μαρτυρίαις πρὸς ἐξήγησιν τῶν τῆς Ἀποκαλύψεως θεοπνεύστων φωνῶν, καὶ ἄλλων δὲ πολλάκις ἀποστολικῶν ἐπιφερομένων ῥητῶν. Οἷον (ὁ Ἀρέθας) εἰς τὸ «Ἡ ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ» (Ἀποκ. γ 15), «Φησὶν οὖν ὁ Παῦλος. Ὅς ἐστιν ἀπαρχὴ, πρωτότοκος πάσης κτίσεως· (Κολοσ. α, 15)· κτίσεως πρωτότοκος, οὐ μὴν πρωτόκτιστος· καὶ Δαυΐδ· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε» (Ψαλμ. ρθ). Καὶ πάλιν εἰς τὸ «Καὶ Ἀρνίον ἑστηκὸς ὡς ἐσφαγμένον» (ε, 6)· «Ὡς καὶ παρ' Ἱερεμίᾳ (ια, 19), «Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι»· καὶ παρ' Ἡσαΐᾳ (νγ,7).«Ὡς ἀμνὸς, ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος», καὶ ἄλλα πολυάριθμα. Εἰς δὲ τὸ «Λῦσον τοὺς τέσσαρας ἀγγέλους» (Ἀποκ. θ, 14), καὶ (ἐκ τοῦ Τωβὶτ, γ, 17) *τὸν Ῥαφαὴλ* ἀναφέρει. Καὶ ἐκ τῆς Σοφίας Σολομῶντος (ϛ, 6) ἐκφέρει ῥῆσιν· «Δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται» (εἰς Ἀποκάλ. κβ, 2) (α). – Ὡσαύτως καὶ τοῦ Ἀρέθα πρότερος ὁ Ἀνδρέας (εἰς Ἀποκαλ. κ, 13, 15)· «Γέγραπται γὰρ, ὅτι θάνατον ὁ Θεὸς οὐκ ἐποίησε» (Σ. Σολ. α, 13). Καὶ, «Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ» κτλ. (Σοφ. Σολ. γ, 1). Ὅτι δὲ καὶ ἐκ τῶν ἄλλων τῶν προφητικῶν πλείστας καὶ οὗτος ῥήσεις ταῖς Ἀποστολικαῖς, ὡς ὁμοφυεῖς, παρασυνάπτει, περιττὸν ἂν εἴη μακρολογεῖν. Οὕτως εἰς τὸ «Καὶ ἔπεσεν ἐξ οὐρανοῦ ἀστὴρ μέγας» (Ἀποκ. η, 10) ἐπάγει· «περὶ οὗ φησιν Ἡσαΐας· Πῶς ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων;» (β)· καὶ τὰ λοιπὰ παραλείπομεν.

§. σιβ. Ἰσαὰκ, ὁ ὅσιος ἀναχωρητὴς, καὶ ἀσκητὴς, καὶ ἐπίσκοπος Νινευΐ (τῷ 540), Σύρος τὸ γένος, Ἐδεσσηνὸς, καὶ ἐπ' ἀρετῇ, καὶ σοφίᾳ πνευματικῇ, καὶ τῇ διαβεβηκυίᾳ τῶν νοερῶν θεωρίᾳ θαυμάσιος καὶ τρισόλβιος. Συνέγραψε Συριστὶ τὰ ἐπιγραφόμενα

(α) Βλ. Οἰκουμενίου ὑπομνημάτων εἰς τὴν νέαν Διαθήκην, Pars altera. Accesser. Arethæ Explanat. in Apocal. p. 684. 696, 713, 837. Lut. Parisior. 1631.

(β) Βλ. Ἀνδρέου ἑρμην. εἰς τὴν Ἀποκάλυψιν. in S. Chrysostomi Oper. T. VIII. part. 2. p. 620, 697. Francof. 1723.

Ἀσκητικά, ἤτοι Λόγους ἀσκητικούς, καὶ ἐπιστολάς. Ταῦτα δὲ, πρόπαλαι μὲν ἐκ τοῦ Συριακοῦ ἐξελληνισθέντα ὑπὸ Πατρικίου καὶ Ἀβραμίου, μοναχῶν τῆς ἱερᾶς ἐν Παλαιστίνῃ Λαύρας τοῦ ἁγίου Σάββα, τετηρημένα δὲ παρὰ τοῖς Πατράσι τῆς αὐτῆς Μονῆς, καὶ εὑρεθέντα ὑπὸ τοῦ ἀειμνήστου Πατριάρχου τῶν Ἱεροσολύμων Ἐφραὶμ, ἐξέδωκε τὸ πρῶτον ἑλληνιστὶ ὁ ἀοίδιμος Νικηφόρος ὁ Θεοτόκης (α). Ἐν τούτοις οὖν τοῖς λόγοις ὁ μακάριος Ἰσαὰκ πολλαῖς ἐκ τῆς Παλαιᾶς Γραφῆς χρώμενος μαρτυρίαις, πάσας ἐκφέρει κατὰ τοὺς Ο· (καθότι καὶ ἐν τοῖς πρωτοτύποις συγγράμμασι τοῦ Πατρὸς ὑπῆρχον πάντως αἱ ῥήσεις κατὰ τὴν ἐκ τῶν Ο μεθερμηνευθεῖσαν Συριακὴν ἑρμηνείαν, ᾗπερ ἐχρῆτο συγγράφων Συριστί), καὶ ταύτας ὡς θείας γράφει φωνάς· οἷον (λόγ. κϐ) «Ὁ θεὸς ἐρεῖ περὶ αὐτοῦ· *Μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει*» (Ψαλ. ϙ, 15)· καὶ ἐν ἄλλοις ὁμοίως. Κέχρηται δὲ καὶ ῥητοῖς ἐκ τῆς Σοφίας Σειρὰχ, ὡς ἀπὸ βίβλου κανονικῆς· οἷον· «Καθὼς εἶπεν ὁ *Σοφὸς* (Σειρ. λδ). Ὁ φοβούμενος τῇ καρδίᾳ, μακαριος» (Λόγ. ξϐ. σελ. 374· καὶ ἄλλο, Λόγῳ ξθ. σελ. 401· καὶ τρίτον, Λόγῳ πε, σελ. 485). Καὶ καθόλου δὲ τὴν Παλαιὰν μετὰ τῆς Καινῆς ὡς μίαν θείαν Βίβλον θεωρεῖ. «Ἐν πᾶσι (φησὶ) τοῖς συναντῶσί σοι ἐν ταῖς Γραφαῖς, ἀνάκρινον τὸν σκοπὸν τοῦ λόγου, τοῦ κατανοῆσαι τὸ βάθος τῶν νοημάτων τῶν ἁγίων. Οἱ ἐκ τῆς θείας χάριτος ἐν τῇ πολιτείᾳ ὁδηγούμενοι,—ἀεὶ αἰσθάνονται ὡς ἀκτῖνός τινος νοητῆς, διαπορευομένης ἐν μέσῳ τῶν στίχων τῶν γεγραμμένων, καὶ διακρινούσης ἔμπροσθεν τῶν ψιλῶν λόγων, ἐκ (ἴσ. γρ. καὶ) τῶν πραγμάτων τῶν λεγομένων» κτλ. (σελ. 7). Καὶ ἐκ τῶν λογάδων δὲ Πατέρων, οἷον Διονυσίου τοῦ Ἀρεοπαγίτου, τοῦ Μ. Ἀθανασίου, τοῦ Μ. Βασιλείου, τοῦ Μ. Γρηγορίου, καὶ ἄλλων (ὡς ἤδη κατ᾽ αὐτὸν καὶ Συριστὶ

(α) «Τοῦ ὁσίου Πατρὸς ἡμῶν, Ἰσαὰκ ἐπισκόπου Νινευὶ, τοῦ Σύρου τὰ εὑρεθέντα Ἀσκητικά»—Λειψίᾳ αψο. Ἴδε καὶ τὸν Τοῖς ἐντευξομένοις πρόλογον τοῦ ἐκδότου, ἐν ᾧ τά τε περὶ τοῦ βίου, καὶ περὶ τῶν συγγραφῶν τοῦ θεσπεσίου Ἰσαὰκ διέλαβε τὰ εἰκότα. πρβλ. καὶ Cave T. 2. p. 110, καὶ Fabric. Bibl. Graec. T. XI. p. 119. Harl.

ἡρμηνευμένων) χρήσεις ἀναφέρει. Καὶ τὴν χρονολογίαν, τέλος, τῶν Ο διατηρεῖ, ἀριθμῶν ἀπὸ Κ. Κ. «*ἑξακισχιλίους χρόνους*»· ὅτε δηλονότι τὸν λγ, συνέγραφε λόγον (σελ. 213), ἢ καὶ ὡς ἔγγιστα τῆς ἑξακισχιλιοστύος, γέρων ἤδη, συγγράφων (ἴσως περὶ τὰ 590)· ἤκμαζε γὰρ καὶ πολὺ πρότερον, ὡς φαίνεται ἐκ τῆς Δ, ἐπιστολῆς, τῆς πρὸς τὸν ἅγιον Συμεὼν, τὸν Θαυμαστορείτην (βλ. ὄπισθ. §. ϛς)· ἴδε καὶ τὸν πρόλογον τοῦ Θεοτόκη (αὐτόθ. σελ. 6).

§. σιγ. Ἡ πέμπτη ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος, ἐξ ΡΞΕ Πατέρων ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου συγκροτηθεῖσα (τῷ 553), τέμενος μὲν ἱερὸν τῆς συνελεύσεως ἔσχε καὶ αὐτὴ τὴν Κωνσταντινούπολιν, πρόεδρον δὲ, τὸν ἁγιώτατον Εὐτύχιον, Πατριάρχην τῆς Κωνσταντινουπόλεως, ὅστις διεδέξατο τελευτήσαντα τὸν μακάριον Μηνᾶν. Ἐτύγχανε δὲ τότε παρὼν ἐν τῇ Βασιλευούσῃ καὶ Βιγίλιος, ὁ Πάπας Ῥώμης. Ἀλλ' οὗτος οὐ συνήδρευσε· νῦν μὲν σκηπτόμενος, ὡς οὐ χάριν τῆς Συνόδου κατέλαβε τὸ Βυζάντιον, ἀλλ' ἕνεκα τῆς κατὰ τὴν Ἰταλίαν ἐπιδρομῆς τῶν Γότθων· νῦν δὲ πάλιν, ὅτι νοσηλεύεται, ἀποκρινεῖται δὲ κατ' ἰδίαν τῷ Βασιλεῖ· καὶ ὅτι τῶν μὲν Ἀνατολικῶν ἐπισκόπων συνῆλθον πολλοὶ, μετ' αὐτοῦ δὲ πάρεστιν ὀλίγος τῶν Δυτικῶν ἀριθμός. Ταῦτα ἀπεκρίνατο πρὸς τοὺς τρεῖς Πατριάρχας, αὐτόν τε τὸν Κωνσταντινουπόλεως, καὶ τὸν Ἀλεξανδρείας, καὶ τὸν Ἀντιοχείας, οἵτινες αὐτοπροσώπως μετ' ἄλλων μητροπολιτῶν δὶς ἀπεστάλησαν ὑπὸ τῆς Συνόδου πρὸς αὐτὸν, μετακαλοῦντες εἰς τὴν ἱερὰν συνεδρίασιν. Ὁ δὲ μακαριώτατος Πάπας ἀνένευε, ματαίας προτείνων προφάσεις· (ὡς ἂν εἴπερ οὐκ ἂν ἐξεδίωξε τῆς Ἰταλίας τοὺς Γότθους ὁ Βελισσάριος, καὶ ἐξ αὐτῆς τῆς Ῥώμης ὁ Ναρσῆς, εἰ μετεῖχεν ὁ Πάπας ἐν Κωνσταντινουπόλει τῆς ὑπὲρ εὐσταθείας τῆς καθολικῆς Ἐκκλησίας θείῳ νεύματι συγκροτηθείσης Συνόδου! ἢ ὡς ἂν εἴπερ ἔμελλεν αὐτὸς, ὡς πρὸς πολεμίους ἐπιέναι, πλείστους ὄντας, τοὺς Ἀνατολικούς· ὅθεν ἐφοβεῖτο τῶν περὶ αὐτὸν Δυτικῶν τὸ εὐάριθμον, μὴ οὐκ ἀξιόμαχον ἀποβῇ!). Καὶ πολλὰ μὲν εἶπον οἱ Πατριάρχαι πρὸς τὸν Λιβέριον, τὰ πρόσφορα νουθετοῦντες (βλ. Συνόδ. Συλλ. τ. Β. σελ.

258)· ὡσαύτως καὶ οἱ πρὸς αὐτὸν παρὰ τοῦ Αὐτοκράτορος ἀποσαλέντες (αὐτόθ. σελ. 259). Ὁ δ' ἔμενεν ἀμετάπειστος. Οὕτως ὁ τοῦ μακαρίου Πέτρου τὴν διαδοχὴν ἐξαιρέτως αὐχῶν, ἀντέπραττε πρὸς τὸν Πέτρον αὐτὸν, καὶ πρὸς τὰ μεγάλα παραδείγματα τῶν Ἀποστόλων· οἵ γε, καί τοι δυνάμενοι καὶ χωρὶς κοινοῦ συμβουλίου ψηφίσασθαι περὶ τῶν πρακτέων (ὡς ἐνοικούσης ἐνὶ ἑκάστῳ αὐτῶν, καὶ πλεοναζούσης τῆς χάριτος τοῦ παναγίου Πνεύματος), ἀλλ' ὅμως συνῆλθον εἰς τὴν ἐν Ἱεροσολύμοις Σύνοδον, καὶ ὁ πολύζηλος Πέτρος ἀγορεύσας, ἐξεδέχετο τὴν ψῆφον τοῦ προέδρου Ἰακώβου, καὶ τὴν συναίνεσιν ἁπάσης τῆς Ἐκκλησίας (Πράξ. ιε). Ὁ δὲ χρηστὸς Λιβέριος ὑπεξέφευγε τὴν μετὰ τῆς Συνόδου συνεδρίασιν, συνορῶν, ὅτι, καί τοι προκαθέζεσθαι μέλλων (ὡς πρωτεύων τῇ τάξει), ὤφειλεν ὅμως ὑποταγῆναι τῇ κοινῇ τῆς ἱερᾶς Ὁμηγύρεως διαγνώσει, ἅτε μηδὲν τῶν ἄλλων τῶν ὁμοταγῶν κατ' ἀξίαν διαφέρων· τοῦτο δὲ τὸ πρᾶγμα δεινὸν ἐφαίνετο ἄρα τῷ *πρωτοκορυφαίῳ* εἶναι βουλομένῳ, «*πρὸς τὸ κατακυριεύειν τῶν κλήρων*»· καὶ τοῦτο βυσσοδομεύων, ὄζων δέ πως καὶ τῆς *πρὸς* τὰ *τρία Κεφάλαια*, περὶ ὧν ἐφεξῆς, προσπαθείας, οὐκ ἤθελε συνελθεῖν οὐχὶ «*μετὰ δύω ἢ τριῶν*», ἀλλ' ὅλων ρξε θεοφόρων Πατέρων, «*εἰς ὄνομα Χριστοῦ συνηγμένων, καὶ ἐχόντων τὸν Χριστὸν ἐν μέσῳ αὐτῶν*». Ἀλλ' ἡ ἁγία καὶ μεγάλη Σύνοδος καταλιποῦσα τὸν Πάπαν ἰδιάζοντα καὶ ματαιοφρονοῦντα, διεπράξατο καὶ ἐθέσπισεν ἀποστολικῶς, «*ἅπερ ἔδοξε τῷ ἁγίῳ Πνεύματι καὶ αὐτῇ*» πρὸς στήριξιν τῆς ὀρθοδοξίας. Καὶ κατέκρινε μὲν τὰ *τρία* περίφημα *Κεφάλαια* (τὰ Θεοδώρου τοῦ Μουψουεστίας ἀσεβῆ συγγράμματα, καὶ τὰς πρὸς τὰ ΙΒ τοῦ θείου Κυρίλλου κεφάλαια Ἀντιῤῥήσεις τοῦ Θεοδωρήτου, καὶ τὴν τοῦ Ἴβα φερομένην πρὸς Μάρην Νεστοριανὴν ἐπιστολὴν), κατέκρινε δὲ καὶ τὰ τοῦ Ὠριγένους, καὶ Διοδώρου, καὶ Εὐαγρίου, καὶ τούτους αὐτοὺς μετὰ τοῦ Μοψουεστίας ἀναθέματι καθυποβαλοῦσα. Ἐγένοντο μὲν γὰρ οἱ περὶ τὸν γηραιὸν Ὠριγένην (ἐν οἷς ἐβλασφήμησαν) παλαιὰ τῶν πιστῶν ἀῤῥωστήματα· ἠνείχετο δὲ τούτων ἡ Ἐκκλησία διὰ χρόνων μακρῶν, ἄριστον καὶ

σοφὸν οἰκονομίας χρῆμα ποιοῦσα, καὶ ἃ μὲν ἔγραψαν ὀρθὰ, κυροῦσα καὶ ἀποδεχομένη, τὰ δὲ βλάσφημα καὶ κίβδηλα στηλιτεύουσα, καὶ τοὺς οὕτω φρονοῦντας *ἀνωνύμως* ἀποκηρύττουσα (α). Ἐπειδὴ δὲ οἱ τῆς ἀδικίας ἐργάται (καὶ μάλιστα οἱ κατὰ τὸν ε, καὶ ς, αἰῶνα) οὐ διέλιπον ἐπισείοντες τῶν τε ἄλλων τὴν ἐπ' ἀγαθοῖς ὑπόληψιν, καὶ ἐξαιρέτως τὴν δόξαν τοῦ περικλεοῦς Ὠριγένους, ὡς ἂν μεγάλου γενομένου διδασκάλου τῆς Ἐκκλησίας· οὕτω δὲ ῥαδίως πολλοὺς τῶν ἁπλουστέρων πολλαχοῦ διέφθειρον, κατέκρινε καὶ *ἐξ ὀνόματος* τούτους τοὺς αἱρεσιάρχας ἡ Ε, ἁγία Σύνοδος, ἀποκλείουσα τὴν ἐπὶ τὰ πρόσω φορὰν τῆς κακοδοξίας, καὶ ἐκκόπτουσα ῥιζόθεν τῆς εὐρωτιώσης ἤδη, καὶ πάλιν ἀναφλεγμαινούσης σηπεδόνος τὴν ψυχώλεθρον νομήν. Καὶ αὐτὸς δὲ ὁ πάπας Βιγίλιος ἐβεβαίωσε τὴν Ε, Οἰκουμενικὴν Σύνοδον, ὑποταγεὶς τοῖς ὑπ' αὐτῆς τεθεσπισμένοις (Συνόδ. Συλλ. τόμ. β. σελ. 349). Καὶ ὅσας μὲν οὗτος ἐτράπη παλιῤῥουστέρας Εὐρίπου τροπὰς, διηγεῖται ἡ Ἐκκλησιαστικὴ ἱστορία (β)· ἡμεῖς δ' ἐπάνιμεν ἐπὶ τὸν σκοπόν. Καὶ ἡ Ε, Οἰκουμενικὴ Σύνοδος ταῖς ἐκ τῶν Ο, προφητικαῖς μαρτυρίαις, ὡς θεοπνεύστοις ἐχρῆτο φωναῖς, πρὸς ἔλεγχον τῶν αἱρέσεων· μαρτυροῦσι δὲ τρανῶς αἱ ἐν τοῖς Πρακτικοῖς αὐτῆς ἀναγνωσθεῖσαι χρήσεις τῶν ἁγίων Πατέρων, καὶ αἱ τοῦ ἀοιδίμου Ἰουστινιανοῦ ἐπιστολαὶ, κρατύνουσαι τὸ δόγμα πολλαχοῦ ταῖς ῥήσεσι τῶν θείων Προφητῶν. Καὶ αὐτὴ δὲ ἡ τῆς Συνόδου ψῆφος, ἣν ὁ προκαθήμενος Πατριάρχης Εὐτύχιος ἐξεφώνησε, μνημονεύει ῥήσεις ἐκ τοῦ Ἐκκλησιαστοῦ, καὶ τῶν Παροιμιῶν τοῦ Σολομῶντος (Συνόδ. Συλλ. Τόμ. Β. σελ. 339—392).

§. σιδ. Κοσμᾶς μοναχὸς, ὁ Ἰνδικοπλεύστης (τῷ 547), συνέγραψεν ἄλλα τε, καὶ *Ἐξήγησιν ἱστορικὴν καὶ ἀναγωγικὴν εἰς τοὺς*

(α) Βλ. Κυρίλ. 'Αλεξ. ἐπιστολ. Πρόκλῳ τῷ ἁγιωτάτῳ ἐπισκόπῳ Κωνσταντινουπόλεως· ἐν Συνόδων Συλλογῇ. Τόμ. Β. σελ. 348. πρβλ. καὶ τὰ τοῦ Ἐφραιμίου Ἀντιοχείας, παρὰ Φωτ. 'Αναγν. σκη.

(β) Βλ. Εὐαγρ. Ἐκκλησ. Ἱστορ. δ, 19, 38. - Νικηφ. ιζ, 26, 27. - Μελετ. Ἐκκλ. ἱστορ. Τόμ. Β. σελ. 94—106. πρβλ. Cave p. 290. Du-Pin, Nouv. Bibl. T. 5. p. 69, 193.

Ψαλμοὺς (ἐξ ἧς ἀποσπάσματα μνημονεύει ὁ Κορδέριος ἐν τῇ Σειρᾷ, εἰς Ψαλμ. γ, καὶ ις), καὶ τὴν *Χριστιανικὴν Τοπογραφίαν* (ἣν *Χριστιανῶν βίβλον* ὁ Φώτιος ὀνομάζει, Ἀναγν. λς). Ἐν δὲ ταύτῃ τὴν μὲν φράσιν ταπεινός ἐστι, καί τινα κατὰ τὴν ἱστορίαν ἀπίθανα συντίθησι καὶ μυθικώτερα· καὶ ἄλλα δέ τινα λίαν ἀλλόκοτα λέγει. Μνημονεύει δὲ ὅμως καὶ τῆς Γενέσεως, καὶ τῆς Ἐξόδου πολλὰ χωρία (καὶ μάλιστα τὰ περὶ τῆς Σκηνῆς), καὶ τοὺς Προφήτας ἐπιτρέχει, μηδὲ τὸν Α, Ἔσδραν παραλιμπάνων. Ἐπισυνάπτει δὲ καὶ τὸν Σειρὰχ, καὶ τὰ Μακκαβαϊκά. Πάσας δὲ τὰς ῥήσεις ἐκφέρει κατὰ τοὺς Ο, ὡς ἐκ μόνης θείας Γραφῆς (α). Καὶ τὴν ἱστορίαν, τέλος, τῆς ἐπὶ τοῦ Φιλαδέλφου Ἑρμηνείας τῶν Γραφῶν ἐπιτόμως διηγεῖται (β). Ἴδε τὴν περικοπὴν ἐν τῷ Παραρτήματι.

§. σιε. Κύριλλος ὁ Σκυθοπολίτης (τῷ 550), πρεσβύτερος τῆς ἐν Παλαιστίνῃ τοῦ ἁγίου Σάββα περιβλέπτου Μονῆς, συνέγραψε βίους Ὁσίων ἀναχωρητῶν καὶ ἡσυχαστῶν (γ), ἐν οἷς οὐκ ὀλίγας ῥήσεις τῆς τῶν Ο, θείας Γραφῆς ἀναφέρει· καὶ τὴν κατ' αὐτοὺς χρονολογίαν ἐν τῷ βίῳ τοῦ ἁγίου Εὐθυμίου τρανῶς ἐπιμαρτύρεται (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 784).

§. σις. Ἀναστάσιος, ὁ ἀπὸ τῆς ἀσκητικῆς ἐν τῷ Σιναίῳ ὄρει φιλοσοφίας εἰς τὴν πατριαρχικὴν τῆς Θεουπόλεως Ἀντιοχείας καθέδραν ἀρθεὶς (τῷ 561, ἐτελεύτα δὲ τῷ 599) (δ). Ἱερώτατος ἀνὴρ, καὶ στεῤῥὸς τῆς εὐσεβείας ἀθλητὴς, καὶ περὶ τὰ θεῖα μάλιστα λόγιος. Τούτου ὁ Εὐάγριος ἠγάσθη μεγάλως τὸν πρὸς τοὺς Ἀντιο-

(α) Βλέπε Κοσμᾶ Χριστιανικ. Τοπογραφ. ἐν Montfaucon Collect. Nov. Patr. et Script. Graec. T. 2. p. 117, 126 — 137, 144, 151 κτλ.

(β) Βλ. καὶ ὄπισθ. Βιβλ. Α. σελ. 383.

(γ) Βλ. Analecta Graec. p. 1—127. Paris. 1692, καὶ Coteler. Monum. Eccles. T. 2. p. 200—340, καὶ Tom. 3. p. 220—376, 500 καὶ 575. - Du-Pin, Nouv. Bibl. T. 5. p. 75. - Fabric. Bibl. Graec. T. XI. p. 97. Harl.

(δ) Ἐξορισθεὶς τῷ 571, ἐπανῆλθε τῷ 594. Ἐν δὲ τῷ μεταξὺ τούτῳ χρόνῳ Γρηγόριος, ὁ Βυζάντιος καὶ Σιναΐτης, προήδρευε τῆς Ἀντιοχείας (βλ. Εὐάγρ. ε, 6: ς, 24. — Νικηφ. ιη, 15). καὶ οὗτος ἐπὶ λόγοις ἐπίσημος. Σῴζονται δὲ καὶ τούτου Ὁμιλίαι, καὶ ἄλλα, πλήρη Γραφικῶν ῥητῶν (βλ. Fabric. Bibl. Graec. T. XI. p. 102. Harl.).

χέας Συντακτήριον λόγον, «τῆς τε καλλιεπείας, τοῦ τε ῥοῦ τῶν νοημάτων, *τῆς τε εὐπορίας τῶν ἱερῶν ῥήσεων*» (α). Τοῦ δ' αὐτοῦ φαίνονται καὶ τὰ ἐν τῇ ϛ, Οἰκουμενικῇ Συνόδῳ (Πράξ. Ι), καὶ τὰ ἐν τῇ Ζ Οἰκουμ. ἄλλα δύω ἀποσπάσματα, τὸ μὲν ἐκ τῆς πρός τινα σχολαστικὸν ἐπιστολῆς, οὗ ἡ ἀρχή· «Εἰ τῷ μόνον ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται» (Παροιμ. ιζ)· καὶ ἕτερον, ἐκ τοῦ περὶ Σαββάτου λόγου (βλ. Συνόδ. Συλλ. τόμ. β. σελ. 784). Ἕτερος δὲ τούτου τοῦ Ἀναστασίου διάδοχος εἰς τὸν θρόνον τῆς Ἀντιοχείας, καὶ ὁμώνυμος, καὶ Σιναΐτης κἀκεῖνος, ὁ ἱερομάρτυς ἐστὶν Ἀναστάσιος, περὶ οὗ ἐφεξῆς §. σκε.

§. σιζ. Ἰωάννης ὁ ὅσιος Πατὴρ ἡμῶν, ὁ πρότερον *Σχολαστικὸς*, εἶτα δὲ Σιναΐτης, καὶ καθηγούμενος τοῦ θεοβαδίστου σκηνώματος τοῦ Σιναίου (τῷ 564), ἓν καὶ μεγα συνέγραψε βιβλίον, τὸ *Κλίμαξ* ἐπιγραφόμενον, ὅθεν καὶ ὁ *τῆς Κλίμακος* συνήθως ἐπονομάζεται (β). Ἐν ταύτῃ δὲ τῇ ἱερᾷ, καὶ ἐκ Λ, Λόγων, ἢ Κεφαλαίων, οἷον βαθμίδων πνευματικῶν, εἰς τὸν Παράδεισον ἀναγουσῶν, συγκειμένῃ συγγραφῇ, κέχρηται πολλαῖς ταῖς ῥήσεσι καὶ λέξεσι τῆς θείας Γραφῆς. Οὐδὲ τῆς ἐκ τῶν λόγων καλλονῆς ἡ Κλίμαξ ἀμοιρεῖ· ἡ δὲ φράσις ἀποφθεγματική, πολὺν ἐν ὀλίγοις καὶ σφυρήλατον ἔχουσα νοῦν. «Καί τοι γε τὴν ἀνθρωπίνην πᾶσαν σοφίαν ἀκριβῶς ὁ τρισόλβιος οὗτος Πατὴρ ἠσκημένος, κατὰ ἰδιώτας, ὡς ἄγροικος δηλαδὴ καὶ ἀπαίδευτος, ἐβιότευε, ταπεινῶν ἑαυτὸν διὰ τὸν Θεόν», ὡς μαρτυρεῖ περὶ αὐτοῦ ὁ Κρήτης μητροπολίτης Ἠλίας, ὅστις καὶ ἐγκώμιον ἔγραψεν εἰς αὐτόν, καὶ τὴν ἱερὰν βίβλον τῆς Κλίμακος σχολίοις διεσάφησεν. Ὡσαύτως καὶ μίαν πρὸς τὸν Ποιμένα (ἡγούμενον) τῆς Ῥαϊθοῦς Ἰωάννην ἐπιστολὴν τοῦ θεοφόρου Πατρός (γ).

(α) Εὐάγρ. δ, 40. ε, 5. Πρβλ. Νικηφ, ιζ, 29 30, 36. ἴδε καὶ Fabric. Bibl. Graec. T. X. p. 571. Harl.

(β) Κατ' ἔλλειψιν δηλονότι τοῦ Σ υ γ γ ρ α φ ε ύ ς. Τοῦτο μὴ συνιδόντες οἱ περὶ τὸν Ῥάδερον, καὶ Καβέον (p. 297), καὶ Δευπῖνον, καὶ Φαβρίκιον (Biblioth. Græc. T. IX. p. 522 Harl.), καὶ ἄλλοι, ἐξέλαβον καὶ ἔγραψαν τὴν γενικὴν ὡς ἀρσενικὸν ἐπίθετον· ὁ Κ λ ί μ α κ ο ς (Climacus). βλ. καὶ ὄπισθ. Βιβλ. Α. σελ. 391.

(γ) Βλ. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Σχολαστικοῦ τοῦ ἡγουμένου τοῦ

§. σιη. Εὐλόγιος, ὁ ἐν ἁγίοις Πάπας καὶ Πατριάρχης Ἀλεξανδρείας (τῷ 581. ἐτελεύτα τῷ 608), ἀήττητος γενόμενος καὶ νικηφόρος κατὰ τῶν αἱρέσεων ἀνταγωνιστὴς, «*καὶ πολλοῖς λόγοις καταβαλὼν τὴν τῶν Ἀκεφάλων δυσσέβειαν*» (ὡς ὁ ἱερὸς Σωφρόνιος μαρτυρεῖ παρὰ Φωτίῳ, Ἀναγν. σλα). Συνέγραψεν οὗτος πολλὰ, μηκέτι σῳζόμενα ὁλόκληρα. Μεγάλα δὲ τούτων τεμάχια ἀποθησαυρίσας, διέσωσε καὶ εἰς ἡμᾶς ὁ ἀοίδιμος Φώτιος, «*ἐν μέτρῳ καλῷ καὶ πεπιεσμένῳ*», ὡς πιστὸς ταμίας, παρέχων τοῖς ἀναγνώσταις καὶ τοῦτο τῶν λόγων τὸ σιτομέτριον (Ἀναγν. ρπϐ, ση, σκε-σκζ, σπ) (α). Ἐν δὲ τούτοις ὁ θεσπέσιος Εὐλόγιος φαίνεται πολλαχοῦ ταῖς ἀπὸ τῶν Ο, θείαις κεχρημένος μαρτυρίαις· οἷον, ἐν ταῖς πρὸς Χριστόφορον λύσεσι Γραφικῶν *ἐρωτήσεων*, καὶ ἐν τῷ *Ὅρῳ τῷ τοῖς Σαμαρείταις ἐκφωνηθέντι* (Φώτ. Ἀνάγν. σλ), καὶ ἐν τοῖς κατὰ Ναυατιανῶν λόγοις (Ἀναγ. ση), καὶ ἀλλαχοῦ. Καὶ καθόλου δὲ περὶ τούτου ὁ ἱερώτατος Φώτιος μαρτυρεῖ (Ἀναγ. ση), ὅτι «τοῖς γραφικοῖς πλουτῶν νοήμασι καὶ θεωρίαις (ὁ Εὐλόγιος) ὅσα ἐκεῖνος (ὁ Ναυάτος) ἀποσπαράσσων, τῆς ἰδίας αἱρέσεως πρόβλημα καὶ συνηγορίαν ἐποιεῖτο, ταῦτα ὁ Εὐλόγιος ἀναπτύσσων, καὶ τὸ περὶ αὐτὰ κακοῦργον τῆς αἱρέσεως αὐτοῦ ἐπιδεικνὺς, ἀφαιρεῖται αὐτοῦ. Οὐ μὴν ἀλλὰ καὶ ἑτέροις τῶν Γραφῶν ῥήμασι τὸ ἀπονενοημένον αὐτοῦ, καὶ ἀσύγγνωστον, καὶ ἀλλόφυλον τῆς αἱρέσεως στη-

---

ἁγίου ὄρους Σινᾶ ἅπαντα. Interpr. M. Radero. p. 13, 21, 32, 65, 71, 72 κτλ. Lut. Paris. 1663. Ὁ δὲ Μάξιμος ὁ Μαργούνιος, ὁ ἀοίδιμος Κυθήρων ἐπίσκοπος, καὶ εἰς τὴν κοινοτέραν διάλεκτον μετεῤῥύθμισε τὴν Κλίμακα (Ἐνετίῃσι, 1590). Ἐσχολίασε τὴν θαυμαστὴν Κλίμακα καὶ ὁ ἀνωτέρω Ἰωάννης, ἡγούμενος τῆς Ῥαϊθοῦς, σύγχρονος τῷ τῆς Κλίμακος πατρί. (Καὶ τούτου δὲ πονήματα φέρονται ἐν τῇ Βιϐλιοθήκῃ τῶν Πατέρων). Καὶ Νέα δὲ Κλίμαξ καθ' ἡμᾶς ἀνεφάνη, κατὰ τὴν τοῦ θείου Ἰωάννου προσφυῶς ἐπωνομασμένη, ἡ εἰς τοὺς ΟΕ Ἀναϐαθμοὺς τῆς Ὀκτωήχου ἑρμηνεία, ἣν ὁ μακαρίτης Νικόδημος ὁ Ἁγιορείτης συνέταξεν, ἐκ διαφόρων Ἐκκλησιαστικῶν ἐρανισάμενος συγγραφέων. Ἐξεδόθη ἐν Κωνσταντινουπόλει 1844.

(α) Τούτου φέρεται καὶ Ὁμιλία εἰς τὰ Βαΐα, ἣν καὶ εἰς τὸν θεῖον Κύριλλον τὸν Ἀλεξανδρείας ἀπονέμουσι (Combefis. Auctuar. Nov. T. 1. p. 652. πρβλ. Cave p. 299. - Fabric. Bibl. Græc. T. IX. p. 475. Harl.).

λιτεύει». Καὶ πάλιν· «Γραφικῶν οὐκ ὀλίγων ἐνθεωρεῖται τούτοις (τοῖς λόγοις) πολλαχοῦ τοῖς ἀξιολογωτάτοις τῶν ἐξηγητῶν συμφερομένη ἑρμηνεία». Καὶ, «τούτῳ τῷ ἀνδρὶ ὄνομα μὲν λιπεῖν ἐπὶ δεξιότητι λόγων οὐδ' ὁτιοῦν προσεμέλησεν. Ἔστι δὲ τὴν φράσιν, ὅσα μὲν εἰς λέξιν ἥκει, τοῦ μετρίου πως ἐπ' ἔλαττον ἠκριβωμένος· ὅσα δ' εἰς συντάξεις, ἐγγὺς πολλάκις τῶν σολοικιζόντων· τῶν δὲ θείων οὐκ ἀμελέτητος Γραφῶν, ἀλλὰ καὶ εὐστόχως αὐταῖς κεχρημένος, διδασκαλικός τε, καὶ οὐκ ἄχαρις· ἀλλὰ καὶ τὸ πιθανόν τε καὶ ἡδύνον, ὡς ἐν τοιούτῳ λόγων χαρακτῆρι, οὐκ ἄν τις ἀγασθεὶς μεταγνοίη» (Ἀναγν. ση, καὶ ρπϐ).

§. σιθ. Ἰωάννης, ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν καὶ Πατριάρχης Κωνσταντινουπόλεως, ὁ (διὰ τὸ τῆς νηστείας ὑπερϐάλλον) *Νηστευτὴς* τὸ ἐπώνυμον (τῷ 585). Καππαδόκης τὸ γένος, τὴν πατρίδα Βυζάντιος, ἐπίσημος ἐν λόγοις, σημειοφόρος θαυματουργὸς, «*ἀνὴρ ἀρετῆς οἰκητήριον*» (ὡς ὁ ἅγιος Σωφρόνιος μαρτυρεῖ) (α). Τούτου κέκριται ὁ *περὶ Μετανοίας*, καὶ ἐγκρατείας, καὶ παρθενίας διεξοδικὸς καὶ καλιεπὴς Λόγος, ὁ ἐν τοῖς τοῦ θείου Χρυσοσόμου συγγράμμασιν (ὡς χρυσοσομίζων) ἐκδεδομένος (Τόμ. ζ, σελ. 641, ἐκδ. Σαϐιλ.), καὶ ὁ περὶ ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων (αὐτόθ.), ἐν οἷς τὰς ἀποδείξεις Ἀποστολικαῖς καὶ προφητικαῖς μαρτυρίαις κρατύνει. Οὗτος ὁ μακάριος πατὴρ ἔγραψε καὶ *περὶ τοῦ μυστηρίου τοῦ Βαπτίσματος* βιϐλίον πρὸς Λέανδρον τὸν Ἰσπανὸν, ἐπίσκοπον Ἰσπάλεως, ἐν ᾧ πα-

(α) Ἰδοὺ οἱ λόγοι τοῦ ἁγίου Σωφρονίου. «Ἰωάννης ὁ Κωνταντινουπόλεως, ὁ ἐκ Καππαδοκίας ἕλκων τὸ γένος, καὶ τὸ ἐπώνυμον, ἀνὴρ ἀρετῆς» κτλ. (παρὰ Φωτ. Ἀναγν. σλα. σελ. 890). Καὶ Καππαδόκην λοιπὸν τὸ ἐπώνυμον ὁ Σωφρόνιος ὀνομάζει, τὸν καὶ ἄλλως Νηστευτὴν (Φώτ. ξε, σελ. 93), εἰς ὅν ὁ Καϐέος καὶ οἱ πλεῖστοι τῶν νεωτέρων ἀπονέμουσι τὰ ἀνωτέρω συγγράμματα. Τοῦ δὲ Νηστευτοῦ πολὺ προγενέστερος ὑπῆρξε καὶ ἄλλος Κωνσταντινουπόλεως Ἰωάννης, ὁ καὶ ἰδίως Καππαδόκης καλούμενος, ὁ ἐπὶ Ἰουστίνου, τῷ 517, πατριαρχεύσας, περὶ οὗ προείπομεν §. σά. ὅθεν καί τινες ἐνόμισαν, ὅτι τούτου τοῦ Καππάδοκος Ἰωάννου μνημονεύει ὁ ἱερὸς Σωφρόνιος. (βλ. Fabric. Bibl. Græc. Tom XI. p. 108). Τοῦ δ' ἁγίου Νηστευτοῦ τὸν μὲν βίον συνέγραψεν ὁ ἅγιος Νικηφόρος ὁ Κωνσταντινουπόλεως. (μνημονεύεται δὲ καὶ ἐν τῇ Ζ, Οἰκουμενικ. Συνόδῳ Πράξ. Δ)· τὴν δὲ μνήμην ἐπιτελοῦμεν Σεπτεμβρ. β.

ρεῖχε συνηγμένας ἀθρόας τὰς περὶ τῆς τελετῆς τοῦ μυστηρίου ἀποδείξεις καὶ ἀποφάνσεις τῶν θεοφόρων Πατέρων. Ἀνεφύετο γὰρ ἤδη κατὰ τὴν Ἱσπανίαν ἡ παρὰ τοὺς Ἀποστολικοὺς κανόνας ἐπινόησις, ὅτι δῆθεν οὐδὲν διαφέρει, εἴ τε διὰ *τριττῆς*, εἴτε καὶ διὰ *μιᾶς* καὶ μόνης καταδύσεως ἐπιτελοῖτο τοῦ θείου Βαπτίσματος τὸ μυστήριον. Προέκρινον δὲ πολλοὶ τῶν Ἱσπανῶν ποιμένων τὸ *διὰ μιᾶς*, ἐπειδὴ καὶ οἱ Ἀρειανοὶ εἰς τρεῖς ἐβάπτιζον καταδύσεις, ὅπως διακρίνωσιν, ὡς μὴ *ὁμοούσιον* τῷ Πατρὶ, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα· διὰ δὲ τῆς μιᾶς καταδύσεως, καὶ τῆς ἐπικλήσεως ἅμα καὶ τῶν τριῶν θείων προσώπων, ἀνεδείκνυτο δῆθεν τὸ ὁμοούσιον τῆς Παναγίας Τριάδος. (Ὅτι δὲ τὸ εἰς μίαν κατάδυσιν βάπτισμα, ὑπῆρχεν εὕρημα καὶ νόσημα ἀρχαίων αἱρετικῶν, καὶ μάλιστα τῶν δυσσεβεστάτων Εὐνομιανῶν, οὓς καὶ ὡς ἀβαπτίστους βαπτίζει προσερχομένους ὁ Ζ κανὼν τῆς Β. Οἰκουμενικῆς Συνόδου, πρόδηλον). Τοιαύτην εἶχε γνώμην καὶ ὁ ῥηθεὶς Λέανδρος (ἐπίσημος παρὰ Λατίνοις, καθὸ συντελέσας εἰς τὴν ἐξ Ἀρειανισμοῦ τῶν Γότθων ἐπιστροφὴν), ὡς ἀποδείκνυται ἐκ τῆς πρὸς αὐτὸν σωζομένης ἀποκρίσεως τοῦ μακαριωτάτου Πάπα Γρηγορίου τοῦ Μάγνου, ὅστις καὶ αὐτὸς παραδόξως καὶ οὐ κατὰ θεσμὸν συγκατατίθεται τῷ Λεάνδρῳ· προστίθησι δὲ μόνον, ὅτι «Τηρητέον ἑκάστῳ τὸ ἔθος τῆς, εἰς ἣν ἀνήκει, ἐκκλησίας»! (α). Τούτου χάριν ὁ θεσπέσιος Νηστευτὴς ἀπέστειλε τὴν βίβλον πρὸς τὸν Λέανδρον· ἧς ἀφαντωθείσης ,μόνην τὴν μνήμην καὶ τὴν ἐπιγραφὴν διέσωσε καὶ εἰς ἡμᾶς αὐτὸς ὁ τοῦ Λεάνδρου ἀδελφὸς καὶ διάδοχος Ἰσίδωρος, Ἱσπάλεως ἐπίσκοπος (β). Τὸ δὲ *Κανονικὸν* τοῦ ἀοιδίμου Νηστευτοῦ ὑπάρχει πασίδηλον, βλ. καὶ ἑξῆς §. σκ.

(α) Βλ. S. Gregor. Magn. Epist. L. 1. Epist. 41.

(β) Isidor. Hispalens. De Script. Eccl. c. 26. πρβλ. Cave p. 301, 302. - Du-Pin, Nouv. Bibl. T. 5. p. 104, καὶ T. 6. p. 52. Εἰς ταύτην τοῦ Γρηγορίου τὴν διάγνωσιν ἐπιστηριζομένη ὕστερον (τῷ 633, ἐπὶ Πάπα Ὀνωρίου) καὶ ἡ Δ, ἐν Τολήτῳ Ἱσπανικὴ Σύνοδος, ἐκανόνισεν ἀκανονίστως καὶ παναθέσμως ὡς ἀδιάφορον, εἴτε διὰ μιᾶς, εἴτε διὰ τριῶν καταδύσεων (κατὰ τὸ παρ' ἑκάστοις ἔθος) τὸ Βά-

§. σκ. Γρηγόριος Α, ὁ καὶ Μάγνος, ἢ Μέγας, παρὰ τοῖς Δυτικοῖς, παρ᾽ ἡμῖν δὲ συνήθως (ἀφ᾽ ὧν ἐγνώσθη διαλόγων) *Διάλογος* ἐπωνυμούμενος, Πάπας Ῥώμης (τῷ 590), ἐπ᾽ ἀρετῇ, καὶ ἁγιότητι βίου, καὶ παιδείᾳ περικλεέστατος, καὶ πολυγραφώτατος (ἑορτάζεται τῇ ιβ Μαρτίου). Συνέγραψε λατινιστὶ Ἐξηγήσεις εἰς τὸν *Ἰὼβ* (ἢ *Ἠθικά*), καὶ εἰς τὸ ᾎσμα τῶν *Ἀσμάτων*, καὶ εἰς τὸν προφήτην *Ἰεζεκιὴλ* Ὁμιλίας, καὶ ἄλλα, καὶ *Ἐπιστολῶν* βιβλία ιβ, καὶ τοὺς μνημονευθέντας Διαλόγους, *περὶ βίου καὶ θαυμάτων τῶν Ἰταλικῶν Πατέρων, καὶ ψυχῶν ἀθανασίας*, πραγματευομένους, ἐν βιβλίοις Δ. Τούτους δὲ τοὺς Διαλόγους μετὰ ρξέ, (ἴσ. γρ. ρνε) ἐνιαυτοὺς (τῷ 745) μεθηρμήνευσεν ἑλληνιστὶ Ζαχαρίας ὁ Πάπας, Ἕλλην τὸ γένος καὶ τὴν φωνὴν (ὡς καὶ ἄλλοι ἐξ Ἑλλήνων καὶ πρὸ τούτου γεγόνασι πρόεδροι τῆς Ἀποστολικῆς καθέδρας τῆς Ῥώμης). Ταύτης δὲ τῆς ἑλληνικῆς ἑρμηνείας καὶ Φώτιος ὁ ἡμέτερος μέμνηται, ἐν αἷς ἀνέγνω *Ἐκλογαῖς τοῦ θεαρέστου βίου τοῦ Γρηγορίου* (Ἀναγν. σνβ). Ἐν ταύταις δὲ ταῖς Ἐκλογαῖς ἐγέγραπτο καὶ τὰ ἑξῆς. « Οὗτος ὁ θαυμάσιος Γρηγόριος πολλὰς μὲν καὶ ἄλλας ψυχωφελεῖς τῇ Ῥωμαίων συνετάξατο βίβλους· — ἀτὰρ δὴ καὶ βίους τῶν κατὰ τὴν Ἰταλίαν ἀξιολόγους ἐν τέσσαρσι διαλόγοις ἐφιλοπονήσατο· — Ζαχαρίας δὲ, ὃς τοῦ ἀποστολικοῦ ἀνδρὸς ἐκείνου, χρόνοις ὕστερον τοῖς εἰρημένοις (155), κατέστη διάδοχος, τὴν ἐν τῇ Ῥωμαΐκῇ μόνῃ συγκεκλεισμένην γνῶσιν καὶ ὠφέλειαν εἰς τὴν ἑλλάδα γλῶσσαν ἐξαπλώσας, κοινὸν τὸ κέρδος τῇ Οἰκουμένῃ πάσῃ φιλανθρώπως ἐποιήσατο » κτλ. (α). Ἐν τούτοις οὖν τοῖς διαλόγοις ὁ ἱερὸς Διάλο-

---

πτισμα τελοῖτο (Κανὼν ς.)· καὶ τοῦτο, χάριν συγκαταβάσεως! Ἀλλ᾽ ἐὰν (λέγει Στράβων ὁ Βαλλάφριδος, Δυτικὸς θεολόγος, de Rebus Eccles. c. 21). «Ἐὰν πάντα παραλίπωμεν, ὅσα μεθέλκουσιν οἱ αἱρετικοὶ πρὸς τὴν ἰδίαν αὐτῶν διαστροφὴν, οὐδὲν ἡμῖν καταλελείψεται». Ἴδε καὶ τὸν ἡμέτερον ἀοίδιμον Δοσίθεον ἐν τῷ Περὶ τῶν ἐν Ἱεροσολύμοις Πατριαρχ. Βιβλ. ς. κεφ. γ. §. 5. σελ. 524.

(α) Σῴζεται καὶ νῦν ἡ Ἑλληνικὴ τῶν Διαλόγων τούτων ἑρμηνεία, ἐκδεδομένη καὶ ἀλλαχοῦ, καὶ μετὰ τῶν ἁπάντων τοῦ Διαλόγου Γρηγορίου (Paris. 1640). Τῶν δὲ νεωτέρων κριτικῶν τινες διεσκευασμένους καὶ ἐξ ἄλλων νεωτέρων τούτους ὑπενόησαν (βλ. Cave. p. 305. — Du-Pin, Nouv. Bibl. T. 5. p.

γος, κἂν ταῖς εἰς Ἰεζεκιὴλ Ὁμιλίαις, καὶ ἀλλαχοῦ πλεισταχοῦ τῇ τῶν Ο κέχρηται Ἰτάλᾳ. Καὶ ἐν τῷ Προλόγῳ δὲ τῆς εἰς τὸν Ἰὼβ ἐξηγήσεως (ἣν τῷ ἀνωτέρῳ Λεάνδρῳ προσφωνεῖ), οἱ περὶ τὸν Βάῤῥιν (εἰς Τερτυλιαν. Ἀπολ. κεφ. 19), καὶ τὸν Γελασῖνον (περὶ τῶν Ο), ἀνέγνων πάντως (κἂν Ὅδιος μὴ θέλῃ. σελ. 402) τοὺς λόγους τοῦ

---

138. — Fabric. Biblioth. Graec. T. X. p. 636, καὶ 766. Harl.). Καὶ εἰς τὴν κοινοτέραν δὲ διάλεκτον μετεῤῥύθμισεν ἐκ τοῦ Ἑλληνικοῦ τοὺς Διαλόγους τούτους ὁ μακαρίτης Καισάριος ὁ Δαπόντης. Καὶ ταῦτα μὲν περὶ τῶν Διαλόγων. Ἡ δὲ θεία Λειτουργία τῶν Προηγιασμένων ὅτι οὐκ ἔστι τοῦ Διαλόγου Γρηγορίου, ἡλίου φανώτερον. Μακροῖς χρόνοις πρὸ τοῦ ἱεροῦ τούτου Πατρὸς εἶχεν ἡ Ἐκκλησία τὰς ἐπὶ τῆς Προηγιασμένης εὐχάς, παραδεδομένας ὑπὸ τῶν διαδόχων τῶν Ἀποστόλων (βλ. Συμεὼν Θεσσαλ. Ἀποκρ. νς.). Οὐδαμοῦ δὲ τῶν συγγραμμάτων τοῦ Διαλόγου εὕρηται ἡ καθ' ἡμᾶς Προηγιασμένη· ἠγνόει δὲ ὁ ἅγιος καὶ τὴν ἑλληνικὴν γλῶσσαν (ὡς αὐτὸς ὁμολογεῖ, ἐπις. 29 τοῦ ς. Βιβλ.)· Οὐδὲ κώδηξ οὐδεὶς τῶν ἀρχαίων Ἑλληνικῶν φέρει ἐπιγεγραμμένον τὸ ὄνομα τοῦ Διαλόγου εἰς ταύτην τὴν Λειτουργίαν· ἀλλ' ἁπλῶς, «Ἡ θεία Λειτουργία τῶν Προηγιασμένων». Ὡσαύτως αὐτῆς μνημονεύει καὶ τὸ πρὸ τοῦ Διαλόγου συνταχθὲν Τυπικὸν τοῦ ἁγίου Σάββα, καὶ ὁ ΝΒ κανὼν τῆς ς. Οἰκουμενικῆς ἁγίας Συνόδου (πρβλ. καὶ Ζωναρ. καὶ Βαλσαμ. σχόλ. αὐτόθ. καὶ τὸν Ἀριστηνὸν εἰς τὸν Μ, Κανόν. τῆς ἐν Λαοδικείᾳ, καὶ Νικηφόρ. πατριάχ. Καν. λβ). Τὴν αὐτὴν ἐπιγραφὴν φέρει ἡ μυσταγωγία αὕτη καὶ ἐν τῇ ἀρχαίᾳ Σλαβονικῇ μεταφράσει. Ἄλλας ἀποδείξεις παραλείπομεν. Ἐν δὲ τῇ ἀπολύσει τῆς θείας ταύτης Λειτουργίας μνημονεύεται τὸ ὄνομα τοῦ ἁγίου Γρηγορίου τοῦ Διαλόγου, οὐχ ὅτι προσέθηκέ τι εἰς τὰς εὐχὰς αὐτῆς, ἢ ὅλως συνείργησεν εἰς τὴν ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ πυκνοτέραν χρῆσιν αὐτῆς (ταύτην γὰρ καὶ ὁ ΜΘ, κανὼν τῆς ἐν Λαοδικείᾳ καὶ ὁ ΝΒ τῆς Ξ τρανῶς διορίζει)· ἀλλ' ἴσως, διότι «Οὗτος (ὁ Γρηγόριος) ἐστιν ὁ νομοθετήσας ἐπιτελεῖσθαι λειτουργίαν παρὰ τοῖς Ῥωμαίοις ἐν ταῖς νηστίμοις ἡμέραις» (ὡς φησὶν ὁ παλαιὸς Συναξαριστής, Μαρτ. ιβ)· διέταξε δὲ ταύτην, ἐκ τῆς Ἀνατολικῆς Ἐκκλησίας πάντως παραλαβών· ὅθεν καὶ μετὰ τὴν μακαρίαν αὐτοῦ τελευτὴν εἰς μνήμην ἀοίδιμον ἐπεκράτησεν ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ ἡ συνήθεια τοῦ μνημονεύειν τὸ ὄνομα αὐτοῦ ἐν μόνῃ τῇ ἀπολύσει τῆς Λειτουργίας, (εἰς τόπον τοῦ ὀνόματος τοῦ ἀποστολικοῦ συντάκτου τῶν εὐχῶν τῆς Προηγιασμένης, ὅπερ ὑπάρχει ἄγνωστον)· ὡς μνημονεύεται καὶ τὸ τοῦ Μ. Βασιλείου, καὶ τὸ τοῦ Χρυσοστόμου κατὰ τὴν ἀπόλυσιν τῶν Ἀποστολικῶν αὐτῶν Λειτουργιῶν. Βλ. καὶ Δοσίθ. περὶ τῶν ἐν Ἱεροσολ. πατριαρχ. Βιβλ. ς. κεφ. γ. §. θ. σελ. 526. - Εὐστ. Ἀργέντην ἐν τῷ κατὰ Ἀζύμων σελ. 285. - Νικόδημον ἐν τῷ Πηδαλ. σημ. εἰς τὸν ΝΒ, τῆς ς. καὶ ἐν τῷ Συναξαρ. Μαρτ. ιβ. Ἴδε καὶ τὸν Ἀλλάτιον ἐν τῷ De Libris Eccles. Graecorum Dissert. I. p. 14. ἐκδ. Fabric.

Γρηγορίου τούτους. «Τῶν Ο τῇ ἑρμηνείᾳ μόνῃ ἐχρῆτο ἡ Ῥωμαϊκὴ Ἐκκλησία οὐ δι' ἄλλην αἰτίαν, εἰ μὴ, διότι θείᾳ ἐπιπνοίᾳ ἐμπνευσθεῖσαν (ταύτην) ἐπίστευον· ἕως ὁ θεῖος Ἱερώνυμος *ἀνεπλήρωσεν*, ἅπερ ἐκεῖνοι περί τε τῆς Τριάδος καὶ τοῦ Υἱοῦ τὸν Πτολεμαῖον ἀπέκρυψαν ἐξεπίτηδες»! — Ἀλλ' εἰ μέν τινα καὶ ὅλως ἀπέκρυψαν οἱ Ο, ὅπως δ' ἀνεπλήρωσε ταῦτα δὴ τὰ κρυβέντα ὁ Ἱερώνυμος, εἴδομεν ἅλις ἐν τοῖς προηγηθεῖσιν. Αὐτὸ δ' οὖν τὸ κεφάλαιον τῆς ἑρμηνείας, καὶ μετὰ τὴν ἱερωνύμειον δῆθεν *ἀναπλήρωσιν*, πάντως οὐκ ἀπέβαλε τὸ θεόπνευστον, καὶ κατ' αὐτὸν τὸν Γρηγόριον. Τοιαῦτα δὲ φρονῶν ὁ Πατὴρ, ἐχρῆτο πολλάκις καὶ τῇ *Νέᾳ* (ὡς ὀνομάζει τὴν καθ' Ἱερώνυμον) ἑρμηνείᾳ, «Καὶ τὴν Νέαν (λέγει) ἑρμηνείαν ἐξηγῶ· ἀλλ' ὡς ἂν ἀπαιτήσῃ ἡ τῆς ἀποδείξεως χρεία, νῦν μὲν τὴν Νέαν, νῦν δὲ τὴν ἀρχαίαν (Ἰτάλαν) εἰς τὰς μαρτυρίας παραλαμβάνω. Ἐπειδὴ γὰρ ἡ Ἀποστολικὴ καθέδρα (ἧς, θεοῦ δόντος, προκαθέζομαι) ἑκατέρᾳ χρῆται τῇ ἑρμηνείᾳ, καὶ τῶν ἐμῶν λοιπὸν σπουδασμάτων ὁ πόνος ἀμφοτέραις ὑποστηριζέσθω» (προοίμ. εἰς Ἰώβ). Ἀλλ' ὅτι μὲν οὐδεὶς τῶν πρὸ αὐτοῦ τῆς *Ἀποστολικῆς καθέδρας προέδρων* ἐχρήσατο τῇ *Νέᾳ* ταύτῃ ἑρμηνείᾳ, πρόδηλον ἐξ ὧν ἐκεῖνοι κατέλιπον συγγραμμάτων· καὶ αὐτοὶ δὲ οἱ κατὰ μέρος Λατῖνοι συγγραφεῖς τοῦ ε, καὶ ϛ, αἰῶνος, πάντες μονονοὺ (πλήν τινων ὀλίγων, οὓς ἴσως ἐννοεῖ ὁ Πατὴρ, καὶ τὴν καθ' Ἱερώνυμον ἔστιν ὅπου μνημονευσάντων· βλέπε τούτους παρ' Ὀδίῳ σελ. 397—401), τὴν *παλαιὰν* Ἰτάλαν ἀνεγίνωσκον. Καὶ λίαν ἄρα ὀρθῶς καὶ ἀκριβῶς οἱ νεώτεροι Δυτικοὶ, καὶ αὐτὸς ὁ Βελλαρμῖνος (ᾧ περ Ὄδιος ἐν τούτῳ τολμᾷ ἀντιλέγειν, μηδὲν ἔχων ἀντειπεῖν), ἀποφαίνονται, ὅτι πρῶτον ἐπὶ Γρηγορίου τοῦ Α, ἤρξατο παρὰ τοῖς Δυτικοῖς ἡ χρῆσις τῆς καθ' Ἱερώνυμον ἑρμηνείας. Καί τοι καὶ μετὰ τοῦτον ἄλλοι καὶ Πάπαι, καὶ περιώνυμοι συγγραφεῖς οὐ διέλιπον τῇ τῶν Ο Ἰτάλᾳ χρώμενοι, μέχρι καὶ τοῦ Θ, αἰῶνος, ὅτε μᾶλλον ὑπερίσχυσε κατὰ τὴν Δύσιν ἡ χρῆσις τῆς καθ' Ἱερώνυμον Βουλγάτας, ὡς ὀψόμεθα ἐν τοῖς ἑξῆς, εἴπου τύχοι, παροδικῶς. (Τί γὰρ ἔτι περὶ τούτου καὶ φροντιστέον; ἢ τί κατά γε τοῦτο λείπεται κοινὸν τῇ τε διατηρούσῃ ἀπ' ἀρ-

χῆς καὶ εἰς αἰῶνας τὴν, ἣν παρὰ τῶν Ἀποστόλων παρέλαβεν ἑρμηνείαν, Ἀνατολικῇ Ἐκκλησίᾳ, καὶ τοῖς οἱασδήποτε *Νέας* μεταφράσεις παρεμπλέκουσιν, ἢ καὶ προτιμῶσι Δυτικοῖς;). Ὁ δ' οὖν ἱερὸς Γρηγόριος ὁ *Μάγνος* τοῦτο πάντως οὐ *μέγα* πεποίηκε, συμπλέξας καὶ Νέα πρὸς τοῖς Παλαιοῖς θείοις λογίοις, καὶ διὰ τῆς μεγάλης αὐτοῦ ὑπολήψεως ἀνοίξας θύραν εἰς χρῆσιν πλείστων ὅσων ἐκ τῆς *Νέας* ταύτης μεταφράσεως ῥητῶν, μαχομένων πολλάκις πρὸς τὰς ἐκ τῆς *Παλαιᾶς* ῥήσεις καὶ ἐξηγήσεις, αἷς ἐχρῶντο διὰ τοσούτων αἰώνων πάντες οἱ τῆς Ἀποστολικῆς καθέδρας ἱερώτατοι πρόεδροι, καὶ ἄλλοι Πατέρες τῆς Δυτικῆς Ἐκκλησίας, καὶ οἱ περὶ τὸν θεῖον Αὐγουστῖνον καὶ Κυπριανὸν πρόεδροι τῆς Ἀφρικανῆς· πρόσθες καὶ τὴν κατὰ τόπους διαφωνίαν αὐτῆς τῆς Νέας Βουλγάτας πρὸς τὴν Καινὴν Διαθήκην (βλ. ὄπισθ. Βιβλ. Γ. κεφ. ιϛ. §. ε). Ὡς οὐδὲ νομίμως καὶ συμφώνως τοῖς καὶ κατ' αὐτὴν τὴν Ἀποστολικὴν αὐτοῦ καθέδραν τότε κρατοῦσιν ἀποστολοπαραδότοις θεσμοῖς, ἐνέδωκε τοῖς καινοτόμοις Ἰσπανοῖς τὸν *διπλοῦν* τοῦ ΕΝΟΣ *Βαπτίσματος* τύπον (περὶ οὗ προείπομεν). Οὐδ' ἐπαινετῶς καὶ πρὸς τὴν ἑνότητα τῆς Ἐκκλησίας συμφερόντως ἐζηλοτύπησε μέχρις ἀφάτου, καὶ μᾶλλον Βιγιλίοις καὶ Πελαγίοις πρεπούσης, ὑπερβολῆς, κατὰ τοῦ Κωνσταντινουπόλεως ἁγίου Ἰωάννου τοῦ Νηστευτοῦ, ἕνεκα τῆς τοῦ *Οἰκουμενικοῦ* ἐπωνυμίας (α). Οὕτως ὑπὸ ζή-

(α) Πρῶτος ὁ αὐτοκράτωρ Θεοδόσιος ὁ Νέος τὸν θεῖον Χρυσόστομον ἐπωνόμασε διδάσκαλον Οἰκουμενικὸν (τῷ 438) ἔγγιστα τῆς Γ, Οἰκουμενικῆς Συνόδου, καὶ ὅλοις 150 ἐνιαυτοῖς πρὸ τοῦ Νηστευτοῦ. Καὶ πρὸ τῆς Ε, δὲ Συνόδου Ἰωάννης ὁ Καππαδόκης Οἰκουμενικὸς ἐκαλεῖτο (τῷ 518, ἐπὶ Ἰουστίνου τοῦ γέροντος). Καὶ αὐτὸς ὁ αὐτοκράτωρ Ἰουστινιανὸς τὸν Ἐπιφάνιον, καὶ τὸν Ἄνθιμον, καὶ τὸν Μηνᾶν Οἰκουμενικοὺς Πατριάρχας προσηγόρευε (τῷ 536, ἐν τῇ ἐπὶ Μηνᾶ Συνόδῳ, ἐν ᾗ παρῆσαν καὶ τοῦ Πάπα ἀπεσταλμένοι, πράξ. β, δ, ε. οὕτω καὶ ἐν ταῖς Νεαραῖς αὐτοῦ πολλαχοῦ). Καὶ αὐτὸν δὲ τὸν τῆς Ῥώμης ἁγιώτατον Πάπαν Λέοντα (βλ. ὄπισθ. σελ. 671), καὶ πάλιν μετέπειτα (καὶ μετὰ τὸν Μάγνον) τὸν Ἀγαπητὸν, καὶ τὸν Μαρτῖνον, Οἰκουμενικοὺς ἐπωνόμασαν οἱ ἡμέτεροι· καὶ Δόμνον δὲ, καὶ Λέοντα τὸν Β. (τῷ 682), αὐτὸς ὁ αὐτοκράτωρ Κωνσταντῖνος ὁ Πωγωνάτος· οἱ δ' Ἀφρικανοὶ καὶ ἄλλοι, τὸν Θεόδωρον. (βλ. Συνόδ. Συλλ. τόμ. β. σελ. 262, 436, 445, 527, 672). Ἀπενέμετο δὲ τοῖς προέδροις ἑκατέρων τῶν ἀρχιεπισκοπῶν τὸ ἐπώνυμον, τιμῆς χάριν, ὡς σημαντικὸν τῶν

λου παραθέρμου φλεγόμενος, κατέκαυσε καὶ τὴν Παλατινὴν Βι-

ἴσων πρεσβείων τῆς τε πρεσβυτέρας, καὶ τῆς Νέας Ῥώμης, τῶν δύω βασιλευουσῶν τῆς Οἰκουμένης (ὡς ἐπεκαλεῖτο ἡ τῶν Ῥωμαίων αὐτοκρατορία, καὶ αὐτοὶ οἱ Αὐτοκράτορες, Δεσπόται τῆς Οἰκουμένης), καὶ προκαθημένων, τῆς μὲν, τῶν ὑπὸ τὴν προστασίαν αὐτῆς τεταγμένων ἐπισκοπῶν τῆς Δύσεως (σῳζομένων τῶν προνομίων τῆς Ἀφρικανῆς ἐκκλησίας), τῆς δὲ, τῶν τῆς Ἀνατολῆς (σῳζομένων ὡσαύτως τῶν προνομίων τῶν ἄλλων τῶν τριῶν Πατριαρχείων). Ἀλλ' ἡ τῶν τῆς πρῴην κοσμοκράτορος Ῥώμης προέδρων εὐλαβῶς πρὸς μοναρχίαν τείνουσα ῥοπὴ, τοῦ χρόνου προϊόντος, ἀπέβαινε θρασυτέρα. Φέροντες τὸν Πέτρον ἐπὶ κεφαλῆς, ἤθελον ἐπιπηδᾷν ἐπὶ τὰς κεφαλὰς τῶν ὁμοταγῶν ἀδελφῶν· νομίζοντες, ἴσως, ὅτι καὶ τῆς πνευματικῆς αὐτῶν ἐξουσίας τὰ ὅρια περατοῦνται, ὅπου τὰ τῆς αὐταρχίας τῶν Ῥωμαϊκῶν Καισάρων. Εἴδομεν (σελ. 675) τὰ τοῦ θείου Λέοντος ὁρμήματα, μετὰ τὸν κη, κανόνα τῆς Δ, Συνόδου· τὰς δὲ τῶν ἐφεξῆς κατὰ τοῦ Κωνσταντινουπόλεως Ἀκακίου, καὶ τῶν δύω τούτου διαδόχων, σχισματώδεις πεισμονὰς διηγεῖται ἡ ἱστορία. Ὁ δὲ Τυφῶν Βιγίλιος καὶ ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει φιλοξενούμενος, ἀφώρισε τὸν Πατριάρχην Μηνᾶν, καὶ ἀπεσκορακίσθη! Διὰ ταῦτα ἡ Ἀνατολικὴ Ἐκκλησία κατὰ θείαν πάντως οἰκονομίαν (ὡς ἔδειξαν ὕστερον τὰ πράγματα) δέον ἔκρινε καὶ ἀναγκαῖον, ὅρον τινὰ στῆσαι πρὸς τὰς ὑπερορίους τῆς παπικῆς πλεονεξίας ἐπιδρομὰς, ἀναμιμνήσκουσα τὸν Ῥώμης ἐπίσκοπον, τὰ ἀρχαῖα ἔθη· ὥστε μόνης τῆς ὑπ' αὐτὸν τεταγμένης χριστιανικῆς Οἰκουμένης τὴν πνευματικὴν ἔχειν ἐξουσίαν (τῆς Α, καν. ς.). Καὶ δὴ κατὰ τὴν ἐν Κωνσταντινουπόλει περὶ Γρηγορίου τοῦ Ἀντιοχείας (βλ. ὄπιθ. §. σις. σημ. καὶ Εὐάγρ. ε, 6, 7) ἐπὶ Μαυρικίου (τῷ 586) συγκροτηθεῖσαν Σύνοδον (παρόντων καὶ τῶν ἄλλων Πατριαρχῶν, τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἱεροσολύμων) ἐψηφίσθη καὶ Συνοδικῶς, καὶ ὑπὸ τοῦ Αὐτοκράτορος ἐπεβεβαιώθη τὸ Οἰκουμενικὸς ἐπώνυμον τοῦ Πατριάρχου τῆς Νέας Ῥώμης (ἐπατριάρχευε δὲ τότε ὁ θεσπέσιος Ἰωάννης ὁ Νηστευτής). Ταῦτα μαθὼν ὁ τότε Πάπας Πελάγιος, οὐκ ἔφερε πρᾴως τὴν ἐπιψήφισιν τοῦ κανονικοῦ περιορισμοῦ· ἀλλ' ὑπερζέσας θυμῷ, καὶ μέγα φρυάξας, ἄκυρα διεκήρυξεν, εἷς αὐτὸς, ὅλης τῆς Ἀνατολικῆς Ἐκκλησίας ταῦτα τὰ πρακτικά. Οἱ δὲ τῆς Ἀνατολικῆς Οἰκουμένης πατέρες ἔστησαν ἐπὶ τῆς φυλακῆς αὐτῶν σιωπῶντες, καὶ τηροῦντες τῶν ἐκκλησιαστικῶν δικαίων τὴν κανονικὴν εὐστάθειαν· Μετ' ὀλίγον, τελευτήσαντος τοῦ Πελαγίου, διεδέξατο τὴν ἀποστολικὴν τῆς Ῥώμης καθέδραν ὁ ἁγιώτατος Γρηγόριος ὁ Μάγνος, καὶ μετ' αὐτῆς (ὡς ἔοικε) καὶ τὴν ἀνέκαθεν τοῖς Ῥωμαίοις ἐπισκόποις ἐνσκήψασαν ἀξίωσιν τῆς ἐπὶ πᾶσαν τὴν ἐκκλησίαν ὑπεροχῆς. Πῦρ πνέουσιν εἰσέτι, σωζόμεναι καὶ καθ' ἡμᾶς αἱ ἐπιστολαὶ, ὅσας ἐχαλαζοβόλησε πρὸς τοὺς Ἀνατολικοὺς, πρὸς αὐτὸν τὸν Αὐτοκράτορα, πρὸς τὴν Βασιλίδα σύζυγον αὐτοῦ, πρὸς αὐτὸν τὸν Νηστευτὴν, πρὸς τοὺς ἄλλους Πατριάρχας, ἄχρι καὶ τοῦ Θεσσαλονίκης (βλ. τὰς ἐπιστολὰς αὐτοῦ ἐν Βιβλ. Δ. ἐπιστ. 32, 34, 36, καὶ Βιβλ. ς, 4, 5, 23. Βιβλ. Ζ, 70, κτλ.). Ἀντίθεον, ἀντίχριστον, διαβολικὸν, καὶ τὰς τοιαύτας καλλιωνυμίας ἀποκαλεῖ διαῤῥήδην τὸ Οἰκουμενικὸς, ἐκλαμβάνων τὸ

βλιοθήκην, ἐν ᾗ διετηροῦντο τοσαῦτα μνημεῖα τῆς Ἑλληνικῆς καὶ

ἐπώνυμον κατ' ἄλλην σημασίαν, ὡς τάχα δηλοῦν καθολικὸν ἐπίσκοπον ἁπάσης τῆς ὑπ' οὐρανὸν καθόλου Ἐκκλησίας (ὁποῖος δηλονότι προέκυψε, τέλος, ὁ Πάπας, ἀνακηρύξας ἑαυτὸν Κεφαλὴν τῆς Ἐκκλησίας). Ἀπεκρίναντο δὲ πρὸς τὸν μέγαν Γρηγόριον ὅ,τε Αὐτοκράτωρ, καὶ αὐτὸς ἰδίως ὁ Νηστευτής, καὶ ὁ Ἀντιοχείας ἐκεῖνος Ἀναστάσιος ὁ ἱερομάρτυς, καταστέλλοντες τὸν θόρυβον αὐτοῦ τῆς ψυχῆς, καὶ μὴ φοβεῖσθαι, οὗ οὐκ ἔστι φόβος, παρεγγυῶντες. Ἀλλ' ὁ ἱερὸς Γρηγόριος ἔμενεν ἀμετάπειστος, προστιθεὶς « ὅτι καὶ τῷ ἁγίῳ Πάπᾳ Λέοντι προσήνεγκε τὴν ἐπωνυμίαν ἡ Δ, Οἰκουμενικὴ Σύνοδος, ἀλλ' ἐκεῖνος οὐ προσήκατο » (ἐπιστ. 32 βιβλ. δ, καὶ βιβλ. ζ. 30) « Ἀλλ' ὦ Πάτερ, (εἶχεν ἂν εἰπεῖν πρὸς αὐτὸν ὁ μακάριος Νηστευτής).» Εἴπερ καὶ αὐτὴ (ὡς φῄς) ἡ Δ, Οἰκουμενικὴ καὶ ἁγία Σύνοδος προσέφερε τῷ Λέοντι τὸ Οἰκουμενικός, πῶς λοιπὸν τοῦτο διαβολικὸν καὶ ἀντίθεον ὀνομάζεις; Η μήπως ἤθελε καὶ ἡ θειοτάτη Σύνοδος τύραννον ἀντίθεον ἐγκαταστῆσαι τῇ Ἐκκλησίᾳ; Διὰ τί δὲ, τέλος, καὶ αὐτὸς ὁ μόλις μετὰ διετίαν διάδοχός σου Βονιφάτιος ὁ Γ, (τῷ 606) ἐξεκόλαψε παρ' ἐκείνου τοῦ θεοστυγοῦς τυράννου Φωκᾶ Διάταγμα, χειροτονοῦν τὴν τῆς Ῥώμης Ἐκκλησίαν κεφαλὴν πασῶν τῶν Ἐκκλησιῶν; » καὶ ταῦτα μὲν τοιαῦτα. Αὐτὸς δὲ ὁ Γρηγόριος, πρὸς ἔλεγχον δῆθεν τοῦ Οἰκουμενικός, ἐπωνόμασεν ἑαυτὸν Δοῦλον τῶν δούλων τοῦ Θεοῦ (ἴσως καὶ αὐτὸς πατῶν ὃν ἔλεγε τύφον, ἑτέρῳ γε τύφῳ)· καὶ τοῦτο τὸ ἐπώνυμον παρέμεινεν ὡς καλλιστεῖον ἰδιάζον καὶ τοῖς ἐφεξῆς ἐπισκόποις τῆς Ῥώμης (Καίτοι γε οἱ πάντολμοι Γραικοὶ οὐδὲ τοῦτο κατέλιπον ἀποκληρωτικῶς χαρακτηριστικὸν τοῦ Πάπα γνώρισμα. Ἐν τῷ κατὰ Φωτίου Συνεδρίῳ ὁ ἐπίσκοπος Στυλιανὸς ὑπογράφεται δοῦλος τῶν δούλων τοῦ Θεοῦ!). Ἀλλ' ἐν ᾧ τοσοῦτον κατεφέρετο κατὰ τοῦ Οἰκουμενικοῦ ὀνόματος ὁ θεῖος Γρηγόριος, ἔπραττεν ὅμως ἑτέρωθεν τὰ συνήθη παπικά. Ἀνεκήρυττε τὴν ἀποστολικὴν αὐτοῦ καθέδραν ἔχουσαν κατὰ πάντων τῶν ἐπισκόπων τὴν ἐξουσίαν τοῦ τιμωρεῖν αὐτοὺς, ὅταν ἁμάρτωσι (Βιβλ. Ζ. ind. 2. ἐπιστ. 65). Διέταττε τὰ κατὰ τὴν Ἀφρικὴν (ἐπιστ. 72, βιβλ. Α). Τὰ παρὰ τοῖς Ἀνατολικοῖς δεδεκασμένα, πάλιν ἀνέκρινεν αὐτός. Οὕτω τὸν Ἰωάννην, πρεσβύτερον Χαλκηδόνος, ὡς αἱρετικὸν ὑπὸ τοῦ Κωνσταντινουπόλεως καθαιρεθέντα, καὶ προσφυγόντα πρὸς αὐτὸν, ἀνακρίνας, ἐδικαίωσε. Καὶ ἄλλον ὡσαύτως πρεσβύτερον Ἰσαυρίας (βιβλ. Ε, ἐπιστ. 15, 16, 64,). Τὸν ἐπίσκοπον τῶν Θηβῶν τῆς Βοιωτίας Ἀδριανὸν, κατακριθέντα ὑπὸ τοῦ ἰδίου Μητροπολίτου, τοῦ Λαρίσσης, ἀθῷον ἀπέφηνεν, ἀνακρίνας αὐτός· καὶ τὴν ἐπισκοπὴν ἀφεῖλεν ἀπὸ τῆς δικαιοδοσίας τοῦ Μητροπολίτου, προσαπειλήσας αὐτῷ καὶ ἀφορισμόν (ἐπιστ. 6 καὶ 7 βιβλ. β). Τοιαῦτα δὲ πράττων ὁ μακάριος Γρηγόριος, ἔγραφεν ὅμως καὶ πλήρεις μετριοφροσύνης λόγους· οἷον πρὸς τὸν ἐν ἁγίοις Πατριάρχην τῆς Ἀλεξανδρείας Εὐλόγιον., τοὺς ἑξῆς· « Ὅτι γινώσκει τίς ἐστιν ὁ Γρηγόριος, καὶ τίνες οἱ συναδελφοὶ αὐτοῦ· κατὰ μὲν τὴν ἀξίαν, ἀδελφοί· κατὰ δὲ τὴν ἀρετὴν, πατέρες αὐτοῦ » (βιβλ. Ζ. ἐπιστ. 30). Ἀστεῖα δὲ καὶ ὅσα πρὸς τὸν -

Ῥωμαϊκῆς ἀρχαιότητος, φοβούμενος, μή πως ἐκ τῶν ἐθνικῶν συγ-

αὐτὸν ἐπιστέλλει (διεγείρων καὶ τοῦτον, καὶ τὸν Ἀντιοχείας, εἰς συμμαχίαν κατὰ τοῦ Οἰκουμενικοῦ). Τρεῖς (φησιν) εἰσὶν οἱ τόποι τῆς καθέδρας τοῦ πρωτοκορυφαίου τῶν Ἀποστόλων. α). Ἡ Ῥώμη, ἐν ᾗ καὶ ἐτελεύτησε. β) Ἡ Ἀλεξάνδρεια, ἐν ᾗ τὸν Μάρκον κατέστησεν ἐπίσκοπον. γ) Ἡ Ἀντιόχεια, ἐν ᾗ διέτριψεν ἑπταετίαν. Αὗται δὲ αἱ τρεῖς οὐκ εἰσὶν, εἰμὴ μία καθέδρα » (εἰς τὴν τῆς Ῥώμης δηλαδὴ συγκεφαλαιούμεναι, ἐν ᾗ καὶ ἐτελεύτησεν ὁ Πέτρος, τηλύγετον κληρονόμον τῆς ἀποστολικῆς ἐξουσίας τὸν Ῥώμης καταλιπών). κτλ. (Ἐπιστ. 37, βιβλ. ς). τὴν δὲ πρὸς τὸν ἀλιτήριον ἐκεῖνον καὶ δυσσεβῆ τύραννον Φωκᾶν συγχαρητικὴν ἐπιστολὴν (38, βιβλ. ια) παραλείπομεν, αἰδοῖ τοῦ θείου πατρός. Καὶ ταῦτα δ' ἐγράψαμεν, μικρὰν ἀπολογίαν, ὑπὲρ τοῦ θεσπεσίου Νηστευτοῦ, καθ' οὗ καὶ Δυτικοὶ καὶ Διαμαρτυρηταὶ πλεῖστοι κατεκραύγασαν ἕνεκα τοῦ Οἰκουμενικὸς, ἐπιμαρτυρόμενοι τὴν ἐμπαθῆ τοῦ Πάπα Πελαγίου, καὶ αὐτοῦ τοῦ Γρηγορίου κρίσιν μᾶλλον, ἢ τὴν ἱστορικὴν ἀλήθειαν· (ὑπὸ τούτων παρεσύρη τι μικρὸν καὶ ὁ ἡμέτερος Μελέτιος, ὡς γνώμας τινὰς ἐξ αὐτῶν ἀπανθίσας περὶ τὴν Ἐκκλ. ἱστορίαν. βλ. τόμ. β, σελ. 134). Τὸν δ' οὖν τίτλον τοῦ Οἰκουμενικοῦ καὶ ὁ διάδοχος τοῦ Νηστευτοῦ, Κυριακὸς ὁ ἁγιώτατος, διετήρησε (καί τοι καὶ πρὸς τοῦτον ἔγραψεν ὁ Μάγνος ἀποτροπιασμοὺς κατὰ τῆς ἐπωνυμίας), καὶ πάντες οἱ ἐφεξῆς Πατριάρχαι, κεκυρωμένον ὑπὸ τῶν ἀεί ποτε Αὐτοκρατόρων, καὶ τῶν ἄλλων τῶν τριῶν Πατριαρχῶν, καὶ τῶν κατὰ τόπους Μητροπολιτῶν, καὶ ὑπ' αὐτῶν ἐκείνων τῶν τῆς Ζ, Συνόδου θεοφόρων Πατέρων, οἵτινες ἅπαντες ὁμοφώνως προσηγόρευον Οἰκουμενικὸν τὸν ἁγιώτατον Ταράσιον, παρόντων καὶ τῶν τοῦ Ῥώμης τοποτηρητῶν· (καὶ οὗτοι δὲ πάλιν ὑπέγραφον ἑαυτοὺς τοῦ (ὡς πρὸς τῆς δύσιν) Οἰκουμενικοῦ Πάπα τοποτηρητὰς, μηδενὸς αὐτοῖς ἀντιλέγοντος. Ϛ. Οἰκουμ. Συνόδ. πράξ. ις). Ὁ δὲ μακρὸς χρόνος ἀπέδειξεν, ὅτι ἡ ἐπωνυμία αὕτη τοῦ Κωνσταντινουπόλεως οὐ μόνον ὑπῆρξεν ἀβλαβεστέρα πολὺ παρὰ τὴν τοῦ Δούλου τῶν δούλων τοῦ θεοῦ, καὶ μάλα δὲ πρέπουσα τῇ ἀποστολικῇ τῆς Κωνσταντινουπόλεως καθέδρᾳ (καθ' ἣν αἱ Ζ, Οἰκουμενικαὶ Σύνοδοι θείῳ νεύματι συνεκροτήθησαν), ἀλλὰ καὶ τεῖχος ἔστη πρὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας ὀχυρὸν, πρὸς ὃ προσαῤῥάξαντα πολλάκις τὰ τῆς ὕστερον κορυφωθείσης παπικῆς φιλαρχίας ἄγρια κύματα, διεῤῥάγησαν εἰς ψεκάδας, καὶ κατεκυλίσθησαν εἰς τοὺς κόλπους τῆς μητρὸς αὐτῶν ἀφρίζοντα καὶ συντετριμμένα. Καὶ καθόλου δὲ (μετὰ τὴν πτῶσιν μάλιστα τῆς Βυζαντινῆς αὐτοκρατορίας) τὸ θεοβράβευτον ἀξίωμα τοῦ Ἀποστολικοῦ καὶ Οἰκουμενικοῦ θρόνου ἀνεδείχθη κέντρον ἱερώτατον, εἰς ὃ συνέρχονται, ὡς ἀκτῖνες, πᾶσαι αἱ κατὰ τὴν Οἰκουμένην Ἐκκλησίαι τῶν Ὀρθοδόξων, καὶ πατριαρχικαὶ, καὶ αὐτόνομοι, καὶ ὑπάλληλοι, συναπτόμεναι ἀδελφικῶς καὶ ἀχωρίστως ὑπὸ μίαν, οὔτε ὁρατὴν, οὔτε ἀνθρωπίνην (θνητὴν δηλοτότι καὶ ἐφάρμαρτον) κεφαλὴν, ἀλλὰ ζῶσαν εἰσαεὶ, καὶ ἀδιάδοχον, καὶ πανταχοῦ παροῦσαν καὶ βασιλεύουσαν ἀοράτως, τὸν Θεὸν ἡμῶν καὶ Σωτῆρα Χριστὸν « Ὅς ἐστιν ἡ κεφαλὴ τῆς Ἐκκλησίας». (Ἴδε περὶ τοῦ Οἰκουμενικὸς καὶ

γραμμάτων βλαβῇ τὸ *θεῖον* κῦρος τῶν Γραφῶν! (α).

§. σκα. Λεόντιος ὁ Βυζάντιος (τῷ 590), ἀπὸ Σχολαστικῶν μοναχὸς ὁσιώτατος, ἐν τῷ κοινοβίῳ τῆς ἐν Παλαιστίνῃ Σαββαΐτιδος Λαύρας τὸν μοναστικὸν διαθλήσας ἀγῶνα, διὸ καὶ *Ἱεροσολυμίτης* ἐπιλεγόμενος. Οὗτος ὁ πολὺς τὴν θείαν καὶ τὴν ἀνθρωπίνην σοφίαν Λεόντιος συνέγραψεν ἄλλα τε πολλὰ κατὰ τῶν αἱρετικῶν, καὶ ἰδίως τὸ *περὶ Αἱρέσεων* κάλλιστον βιβλίον, εἰς δέκα *πράξεις* διῃρημένον. Ἐν δὲ τούτῳ, ὡς κἀν τοῖς ἄλλοις αὐτοῦ πονήμασιν, οὐκ ὀλίγαις χρῆται προφητικαῖς μαρτυρίαις ἐκ τῆς Ἐκκλησιαστικῆς ἑρμηνείας (τῶν Ο) (β). Γράφει δὲ καὶ τὸν Κατάλογον τῶν θεοπνεύστων βιβλίων, ἐν ᾧ μόνα τὰ παρ' Ἑβραίοις κβ, κανονικὰ βίβλία τῆς Παλαιᾶς μνημονεύει (Πράξ. β. σελ. 497), παραλείπων τὰ Ἀναγινωσκόμενα· διότι (φησὶ) «*ταῦτα μόνον δέχονται οἱ Ἑβραῖοι*» πρὸς οὓς ποιεῖται τὰς ἀναιρέσεις (σελ. 498)· ἀπέβλεπε δὲ, ἴσως, καὶ πρὸς τὸν Κανόνα τῆς ἐν Λαοδικείᾳ Συνόδου (βλ. ὄπισθ. σελ. 119). Ἐν δὲ τοῖς κατὰ Νεστορίου καὶ Εὐτυχοῦς (βιβλ. γ), καταστηλιτεύων ἅμα καὶ τὰς Θεοδώρου τοῦ Μοψουεστίας κακοφροσύνας,

---

τοὺς δύω, τοὺς ἀοιδίμους καὶ φιλαλήθεις Πατριάρχας τῶν Ἱεροσολύμων, τὸν Νεκτάριον (ἐν τῷ περὶ τῆς ἀρχῆς τοῦ Πάπα. σελ. 12), καὶ τὸν Δοσίθεον (περὶ τῶν ἐν Ἱεροσολ. πατριάρ. σελ. 529, 649) πρβλ. Fabric. Bibl. Graec. T. XI. p. 109. Harl. καὶ Cave p. 304.

(α) Βλέπε τοῦ Δυτικοῦ συγγραφέως J. Sarisburiensis De Nug. Curial. L. 2. c. 24. καὶ Lib. 8. c. 19. πρβλ. Cave p. 304. Περὶ τοῦ τοιούτου ζήλου τῶν Παπῶν εἴπομεν καὶ ἄλλοτε (Γραμματικῶν Τόμ. Α. προλόγ. σελ. ξη).

(β) «Λεοντίου Σχολαστικοῦ Βυζαντίου Σχόλια, ἀπὸ φωνῆς Θεοδώρου τοῦ θεοφιλεστάτου Ἀββᾶ, καὶ σοφωτάτου φιλοσόφου, τήν τε θείαν καὶ ἐξωτικὴν φιλοσοφήσαντος γραφήν». Οὕτως ἐπιγέγραπται τὸ κατὰ αἱρέσεων βιβλίον τοῦ Λεοντίου, ἐκδεδομένον ἐν τῇ τῶν Πατέρων Βιβλιοθήκῃ (τόμ. α. σελ. 492. Paris. 1624). Ὁ δὲ σοφὸς Μάϊος πρῶτος ἐξέδωκε καὶ κατὰ Νεστοριανῶν ἐν βιβλίοις Ζ (λείπει τὸ Η) πραγματείαν τοῦ μακαρίου Λεοντίου ἀπὸ κώδηκος Βατικανείου, φέροντος ἐπιγραφὴν ταύτην «Τοῦ πανσόφου μοναχοῦ κὺρ Λεοντίου τοῦ Ἱεροσολυμίτου, κατὰ τῶν δύω τὰς ὑποστάσεις Χριστοῦ λεγόντων, τὴν δὲ οἱανοῦν σύνθεσιν ἐπ' αὐτοῦ οὐχ' ὁμολογούντων» (ἐν Script. Vet. nov. Coll. T. IX. p. 410-610).

μίαν τούτων ἀριθμεῖ τὰς πολλὰς λοιδορίας, ὅσας κατὰ τοῦ ἁγίου βιβλίου τοῦ Ἰὼβ ἐβλασφήμει (βλ. καὶ Συνόδ. Συλλ. τόμ. β. σελ. 382). Καὶ ἐξωβέλιζε δὲ καὶ ὅλως ὁ Θεόδωρος οὗτος ἐκ τοῦ Κανόνος τῶν θείων Γραφῶν τὰς βίβλους τοῦ Ἔσδρα καὶ τῶν Παραλειπομένων (α). Ἄλλα τοῦ ὁσίου Λεοντίου παραλείπομεν (β).

§. σκβ. Λεόντιος, ὁ τῆς ἐν Κύπρῳ Νεαπόλεως ἅγιος ἐπίσκοπος, σύγχρονος τῷ ἀνωτέρω μοναχῷ Λεοντίῳ (τῷ 590)· διὸ καί τινες τῶν νεωτέρων ἕνα καὶ τὸν αὐτὸν ὑπέλαβον εἶναι, ἀπὸ τοῦ μοναστηρίου εἰς τὴν ἐπισκοπὴν μετακληθέντα· φαίνονται δὲ ὅμως οὗτοι οἱ Πατέρες, οἱ Λεοντώνυμοι καὶ θεσπέσιοι, δύω, διαφέροντες ἀπ᾽ ἀλλήλων. Καὶ γὰρ ὅ,τε μετὰ τὸν Λεόντιον ἀμέσως ἀκμάσας ἁγιώτατος, Σωφρόνιος ὁ Ἱεροσολύμων, Λεοντίου μνημονεύων, *μοναχὸν* ἁπλῶς ὀνομάζει· «Λεόντιος ὁ τὴν μοναδικὴν πολιτείαν, καὶ τὸν μονάδα βίον ἑλόμενος». Ἐν δὲ τοῖς Πρακτικοῖς τῆς Ζ, Συνόδου (Πράξ. δ) ἀναγινώσκομεν τεμάχιον εὐμέγεθες «Λεοντίου ἐπισκόπου Νεαπόλεως τῆς Κύπρου, ἐκ τοῦ πέμπτου λόγου τῆς *ὑπὲρ Χριστιανῶν Ἀπολογίας κατὰ Ἰουδαίων, καὶ περὶ Εἰκόνων τῶν ἁγίων*». Ἄρχεται δὲ τὸ τεμάχιον οὕτω. «Φέρε δὴ λοιπὸν καὶ περὶ τῶν *σεπτογράφων* εἰκόνων ἀπολογίαν ποιήσωμεν» (Συνόδ. Συλλ. τόμ. β. σελ. 781), ὅπου οἱ θεῖοι τῆς Συνόδου Πατέρες καὶ ἄλλα συγγράμματα τοῦ ἱεροῦ τούτου Πατρὸς μνημονεύουσι (αὐτόθ. σελ. 784). Καὶ τοῦτο τοίνυν τὸ τεμάχιον, καὶ αἱ Ὁμιλίαι, κάλλιστα τῆς τοῦ Πατρὸς εὐσεβείας ἔργα,

---

(α) Τῆς Θεοδώρου λύμης ἀπόῤῥοια φαίνεται καὶ ἣν ὁ Ἰουνίλιος (τῷ 550), Ἀφρικανὸς ἐπίσκοπος, ἐκτίθησι διδασκαλίαν Παύλου τινὸς, Πέρσου (ἴσως τοῦ αὐτοῦ τῷ ἐν Συνόδ. Συλλ. τ. β. σελ. 504), ὅστις ἀπέκοπτε τῶν θείων Γραφῶν, ὡς ἀπόκρυφα, οὐ μόνον τὰ Μακκαβαϊκὰ, καὶ τὴν Ἰουδεὶθ, ἀλλὰ καὶ τὰς βίβλους τοῦ Ἔσδρα, καὶ τὰς τῶν Παραλειπομένων, καὶ τὸν Ἰὼβ, καὶ τὴν Ἐσθήρ· ἀπεδέχετο δὲ τὴν Σοφ. Σολομῶντος μετὰ τῶν ἄλλων αὐτοῦ τευχῶν, καὶ τὴν τοῦ Σειράχ. βλ. **Junilij De partibus divin. Legis L. II. Francof. 1603.** πρβλ. καὶ ὄπισθ. σελ. **161.**

(β) Οἷον τὰς εἰς τὸν Ἰὼβ Ὁμιλίας, ῥηθείσας κατὰ τὴν Μεγάλην ἑβδομάδας ὅτε τὸν Ἰὼβ ἀναγινώσκει ἡ Ἐκκλησία (βλ. ὄπισθ. σελ. 145), καὶ ἄλλα, περὶ ὧν βλ. **Cave T. 1. p. 303** καὶ **T. 2. p. 114. - Fabric. Bibl. Graec. T. VIII. p. 309. Harl.**

πολλαχοῦ ταῖς ἐξ ἀμφοτέρων τῶν θείων Γραφῶν μαρτυρίαις κρατύνονται, καὶ λάμπουσι διηνθισμένα (α).

§. σκγ. Εὐάγριος ὁ Σχολαστικὸς (τῷ 594), Σύρος, ἐξ Ἐπιφανείας, συνέγραψε καὶ ἄλλα, καὶ τὴν μόνην εἰς ἡμᾶς περισωθεῖσαν Ἐκκλησιαστικὴν ἱστορίαν, ἐν βιβλίοις ϛ (ἀπὸ τοῦ 431, μέχρι τοῦ 594), ἐν ᾗ καὶ ῥήσεις ἔστιν ὅπου γραφικὰς ἐκ τῶν Ο παρενείρει (ὡς ἐν βιβλίῳ γ, 41: δ, 17). «Ἔστι δὲ τὴν φράσιν οὐκ ἄχαρις» (Φώτιός φησιν, ἡ στομώτρια τῶν κριτικῶν ἀκόνη· Ἀναγν. κθ), «εἰ καί πως περιττεύεσθαι ἐνίοτε δοκεῖ. Ἐν δὲ τῇ τῶν δογμάτων ὀρθότητι ἀκριβὴς μᾶλλον τῶν ἄλλων ἱστορικῶν» (τουτέστι Σωκράτους, καὶ Σωζομένου, βλ. ὄπισθ. σελ. 670).

§. σκδ. Ἰσίδωρος ὁ Ἰσπανὸς, Ἰσπάλεως ἐπίσκοπος (τῷ 595), διάδοχος Λεάνδρου, τοῦ προῤῥηθέντος (§. σιθ) ἀδελφοῦ· συνέγραψε λατινιστὶ ἄλλα τε, περὶ ὧν ἡ λατινικὴ φροντίζει φιλολογία, καὶ τὰς περιφήμους *Ἐτυμολογίας* (Origines), ὅπου καταγράφει τὸν Κατάλογον τῶν θεοπνεύστων Γραφῶν κατὰ τὸν Κανόνα τὸν Ἐκκλησιαστικόν. Καὶ ἐν ᾧ δὲ συνέταξεν ἐπιτόμῳ *Χρονικῷ* (ἀπὸ Κ. Κ. μέχρι τοῦ 626 μ. Χ.), χρονολογεῖ κατὰ τοὺς Ο. Ὡσαύτως καὶ ἐν τοῖς εἰς τὴν Πεντάτευχον, καὶ εἰς ἄλλα τεύχη τῆς Γραφῆς σημειώμασι, τὸ κείμενον τῶν Ο, κατὰ τὴν Ἰτάλαν διατηρεῖ· παρασυνάπτει δὲ πολλάκις καὶ τὴν Ἱερωνύμειον ἑρμηνείαν, καὶ μάλιστα εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων (πρὸς τὸ παράδειγμα δηλονότι τοῦ Πάπα Γρηγορίου τοῦ Μάγνου). Ἐπιγινώσκει δὲ ὅμως καὶ ἀνακηρύττει δὶς τὸ θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο, καὶ θείαν ταύτην ὁμολογεῖ καὶ ἀληθινὴν, προστιθεὶς καὶ ὅπως οἱ Ο, κατ' ἰδίαν ἕκαστος ἑρμηνεύοντες, συμφώνως πάντες ἡρμήνευσαν, ὑπὸ θείου πνεύματος ἐμπνεόμενοι (β).

(α) Βλ. Du-Pin, Nouv. Bibl. T. 5. p. 85. ὅστις διακρίνει τὸν μοναχὸν Λεόντιον ὡς ἕτερον τοῦ ἐφεξῆς ἐπισκόπου· πρβλ. καὶ Combef. Auctuar. Nov. p. 681, 708, ὅπου ἐξέδωκε δύω τοῦ Νεαπόλεως Λεοντίου ὁμιλίας, α) εἰς τὴν Ὑπαπαντήν· β) εἰς τὴν Μεσοπεντηκοστήν. βλ. καὶ Fabric. Bibl. Gr. T. 8. p. 320. Harl.

(β) Origin. L. VI. 3. καὶ de Officiis L. I. 18. πρβλ. καὶ ὄπισθεν Βιβλίου Β. σελ. 338, 412.

§. σκε. Ἀναστάσιος, ὁ Σιναΐτης ἱερομάρτυς, καὶ Πατριάρχης Ἀντιοχείας, τὸν ὁμώνυμον κατ᾽ ἄμφω, καὶ ὁμότροπον, Ἀναστάσιον τὸν Σιναΐτην ἀμέσως διαδεξάμενος (τῷ 599), καὶ διὰ πυρὸς ὑπὲρ Χριστοῦ τελειωθεὶς ὑπὸ τῶν μιαιφόνων Ἰουδαίων, ἐπαναστάντων κατ᾽ Ἀντιόχειαν (τῷ 609), κατέλιπεν ἡμῖν τὰς περισωθείσας αὐτοῦ βίβλους ἀνεκτίμητον θησαυρόν. Τούτων ἐστὶ καὶ ὁ θαυμάσιος *Ὁδηγὸς* (σύγγραμμα κατὰ τῶν Σευηριανῶν καὶ ἄλλων Ἀκεφάλων, δέκα τῶν πάντων, οὓς καὶ τὸ *Δεκακέρατον τοῦ Ἀντιχρίστου* κατονομάζει σελ. 364), ἐν ᾧ πλεῖστα καὶ κάλλιστα περιέχονται δογματικά τε καὶ ἱστορικά, καὶ ῥήσεις τῶν θείων Γραφῶν ἐξηγοῦνται, καὶ χρήσεις τῶν ἁγίων Πατέρων παρασυνάπτονται. «Ταύτας δέ (φησιν), ἡμεῖς ἐν ἐρήμῳ (τοῦ Σινᾶ) καθήμενοι, καὶ ἀποροῦντες τῶν διδασκαλικῶν βιβλίων, ἀπὸ στήθους τὰς χρήσεις ἐγράψαμεν» (σελ. 106). Ὅθεν φαίνεται ὁ θεῖος Ἱερομάρτυς, ὅτι πρὸ τῆς πατριαρχείας, ἔτι διαθλῶν ἐν ταῖς ἁγίαις ἐρήμοις τοῦ Σινᾶ, συνέγραψε τὸν *Ὁδηγόν* (α). Τούτου φέρονται καὶ *Ἐρωτήσεις καὶ Ἀποκρίσεις (ΡΝΔ)*

(α) Περὶ τοῦ Ὁδηγοῦ καὶ τῶν ἄλλων συγγραμμάτων τοῦ ἱερομάρτυρος καὶ Πατριάρχου Ἀναστασίου τοῦ Σιναΐτου ἴδε τὸν Cave p. 297-307, καὶ Du-Pin, Nouv. Biblioth. T. 5. p. 96, οἵτινες τὰ πλεῖστα τούτων, καὶ τὴν Ἑξαήμερον (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 784) ἀπονέμουσιν εἰς τὸν τοῦ ἱερομάρτυρος προκάτοχον Πατριάρχην Ἀναστάσιον· καὶ τόν τε Ὁδηγὸν, καὶ μάλιστα τὰς Ἐρωτήσεις κρίνουσι πολλαχοῦ διεσκευασμένας, διότι περιέχουσι καί τινα νεώτερα τῶν δύω Πατριαρχῶν Ἀναστασίων. Ὅθεν καὶ τρίτον τινὰ Ἀναστάσιον Σιναΐτην μοναχὸν νομίζουσι τὸν τοῦ Ὁδηγοῦ καὶ τῶν Ἐρωτήσεων συγγραφέα· (ὁ δὲ Oudin καὶ Δ Ἀναστάσιον, πατέρα τῶν Ἐρωτήσεων, ἔπλασε γελοίως). Ἀναστάσιον Σιναΐτην ὅσιον μοναχὸν, ἀλλ᾽ οὐ καὶ Πατριάρχην, συγγραφέα λόγων ψυχωφελῶν καὶ βίων ἁγίων Πατέρων ἱστόρησε καὶ ὁ Μαυρίκιος ἐν τῷ Συναξαριστῇ (Ἀπριλ. κα), εἰς ὃν καὶ τὸ ἐφεξῆς δίστιχον Ἰαμβεῖον· «Ἀναστάσιος, ἐν Σινᾷ Μωσῆς νέος, Καὶ πρὶν τελευτῆς τὸν Θεὸν βλέπειν ἔχει» (ἴσ. γρ. ἜΧΕΝ). Ἀλλὰ τὸν βίον τοῦτον ἡμιτελῶς γεγραμμένον ὑπέλαβον, ὅσοι τὸν ἐν τῷ Συναξαριστῇ τοῦτον Ὅσιον κρίνουσι τὸν αὐτὸν, καὶ τὸν ἱερομάρτυρα Πατριάρχην Ἀναστάσιον (βλ. Νικοδ. Συναξαρ. αὐτόθ.). Εἰς τοῦτον ἐπιγράφουσι καὶ τὸν Ὁδηγὸν καὶ τὰς Ἐρωτήσεις, καὶ ἄλλα, ὅ,τε πολὺς Ζοιρνικάβιος, καὶ ὁ τούτου μεταφραστὴς Εὐγένιος ὁ ἀοίδιμος (Τόμ. α. σελ. 111). Ἴδε καὶ τῶν νεωτέρων κριτικῶν τὰς διαφόρους γνώμας ἐν Fabric. Bibl. Græc. T. X. p. 571 seq. Harl.

περὶ διαφόρων κεφαλαίων· καὶ *Εἰς τὴν πνευματικὴν ἀναγωγὴν τῆς ἑξαημέρου κτίσεως, Λόγοι ΙΒ*, καὶ ἄλλα διάφορα, καὶ *εἰς τὸν ς, Ψαλμὸν Ὁμιλίαι δύω*, καὶ Λόγοι δογματικοὶ (ἐν οἷς καὶ εἰς τὸν Εὐαγγελισμὸν λόγοι δύω). Ἐν πᾶσι δὲ τούτοις ὁ θεσπέσιος Ἀναστάσιος ἀπό τε τῶν Εὐαγγελικῶν ἐπίσης καὶ τῶν κατὰ τοὺς Ο προφητικῶν ῥημάτων τὰ ὑπερφυέστατα τῶν δογμάτων κρατύνει. οἷον· « Τοῦ θείου τούτου ποταμοῦ τὴν θείαν ἐξ οὐρανοῦ ἔξοδον ὁ ἱερὸς Μωσῆς περιγράφει, φάσκων· *Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ*, τουτέστιν ἐκ τῆς πλημμυρούσης τρυφῆς, ποτίζειν τὸν Παράδεισον διὰ τοῦ ἐξερχομένου ὕδατος, ἤγουν διὰ τοῦ Πνεύματος » κτλ. Καί, « Τὴν τοῦ ἁγίου Πνεύματος χάριν, ὡς ἐκ Πατρὸς τοῦ πηγαίου προϊοῦσαν, *ποταμὸν* ὠνόμασε, κεχωρισμένον τῶν ἀπίστων » (εἰς τὴν Ἑξαήμερον λόγ. η). Τοιαῦτα καὶ ἄλλα μυρία. Καὶ ἰδίως δὲ τὴν ἑρμηνείαν τῶν Ο ὀρθὴν καὶ ἀληθινὴν ἀνακηρύττει, καὶ τὴν κατ᾽ αὐτοὺς (ὡς καὶ ὁ προκάτοχος καὶ ὁμώνυμος αὐτοῦ) διατηρεῖ χρονολογίαν (βλ. ὄπισθεν Βιβλ. Γ. σελ. 784). Τὸν δ᾽ Ἀκύλαν διαῤῥήδην, ὡς διαστρέψαντα τὰς περὶ Χριστοῦ μαρτυρίας, καταδικάζει (ὅθεν καὶ τὸν Σευῆρον *νέον Ἀκύλαν* ἀποκαλεῖ)· καὶ τὰς ἰουδαϊκὰς Δευτερώσεις *ἀναίρεσιν* τῆς τῶν Ο ἑρμηνείας ὀρθῶς ἀποφαίνεται (Ὁδηγ. σελ. 92, 94, 192). Ὁμολογεῖ τινα τούτων καὶ Ὅδιος (σελ. 335, 576). Ἀλλ᾽ ὅμως ἐπιφέρει, καὶ ὅτι μέμνηται ἐνίοτε ὁ Ἀναστάσιος καὶ τῆς Συμμάχου καὶ τῆς Θεοδοτίωνος ἑρμηνείας, οἷον καὶ τὸ ἑξῆς· « Μετὰ τὸ εἰπεῖν, *Καὶ ᾠκοδόμησε Κύριος τὴν πλευρὰν*, στίξας τελείαν στιγμὴν ὁ μέγας Κλήμης, καὶ τότε ἀρχὴν στίχου ποιήσας, ἐπήγαγε τὸ, *ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα*· καὶ δοκεῖ μοι πάνυ θεοσεβῶς ἐπιστῆσαι τῇ λέξει· καὶ γὰρ ὁ Θεοδοτίων οὕτω διέστειλε τὸ αὐτὸ ῥῆμα » (εἰς Ἑξαήμ. λόγ. θ). Ἀλλ᾽ ὁ μὲν θεῖος Ἱερομάρτυς οὐ τοὺς Ο, μόνην δὲ τὴν παρὰ τῷ Κλήμεντι στίξιν καὶ διαστολὴν τῶν λέξεων θεωρεῖ· καὶ ταύτην ὀρθὴν εὑρίσκων, ἐπαινεῖ τὸν Κλήμεντα, ὡς πάνυ θεοσεβῶς ἀναγνόντα, καὶ συμφώνως τῷ νοήματι τῆς τῶν Ο, Γραφῆς· τῆς δὲ περὶ τὴν στίξιν ὀρθότητος ἁπλοῦν μάρτυρα παρίστησι καὶ

τὸν Ἰουδαϊστὴν Θεοδοτίωνα (μὴ γὰρ τοῦτον εἶπε *πάνυ θεοσεβῆ;*)· καὶ εἴ που δὲ ἀλλαχοῦ (σπανιώτατα) μέμνηται τῶν ἄλλων ἑρμηνευτῶν, καὶ τούτους ὡς ἐξωτικοὺς μάρτυρας εἰσάγει (ἐν οἷς οὐκ ἀντιλέγουσι πρὸς τοὺς Ο)· καὶ ταῦτα μὲν οὕτως· Ἡμεῖς δὲ τοὺς περὶ τὸν Ὅδιον εὐκαίρως ὑπομιμνήσκομεν, ὅτι πάλιν οὗτος αὐτὸς ὁ ἱερομάρτυς ἔγραψε κατὰ τῶν διαστρεβλούντων τὴν ἀλήθειαν, ὅτι τοῦτο ποιοῦσι, « *δύω λεξείδια, ἢ τρία χρησείδια καὶ κλεψύδρια πατρικὰ* (τῶν θείων πατέρων) *συλήσαντες*». (Ὁδηγ. σελ. 74, 348). Ἀλλ' ἐπὶ τὸ προκείμενον. Ὁ θεῖος Ἀναστάσιος καὶ τὸν ἁγιώτατον πάπαν Γρηγόριον τὸν Μάγνον ἀγαπῶν (ᾧ καὶ τὰ πρέποντα συνεβούλευσε· βλ. ὄπισθ. σελ. 716), καὶ τὴν ἐνάρετον αὐτοῦ σοφίαν τιμῶν, ἡρμήνευσεν ἑλληνιστὶ τὸ περὶ *Φροντίδος ποιμαντορικῆς* (de cura pastorali) λατινικὸν αὐτοῦ βιβλίον, ὡς αὐτὸς ὁ Γρηγόριος μαρτυρεῖ (ἐπις. κβ. τοῦ Ι Βιβλίου)· ἀλλ' οὗτος ὁ τῶν ἰσοτίμων τούτων καὶ ἁγίων τοῦ Πέτρου διαδόχων ἐπίκοινος πόνος οὐ διεσώθη καὶ εἰς ἡμᾶς.

§. σκς. Λεόντιος ὁ μακάριος ἐπίσκοπος Ἀραβισσοῦ (περὶ τὸ 595), τρίτος οὗτος, τῶν προειρημένων δύω Λεοντίων διάφορος (α). Διέσωσεν ἡμὶν καὶ τούτου μεγάλην περικοπὴν, ἐκ τοῦ « εἰς τὴν κτίσιν λόγου καὶ εἰς τὸν Λάζαρον », ὁ ἀοίδιμος Φώτιος (Ἀναγν. σοβ). Ἐν δὲ ταύτῃ πυκνὸν μὲν τὸ σχῆμα τῆς μεταφορᾶς, καί πως καὶ προσκορὲς ἀπαντᾷ· χαρίεν δὲ ὅμως πολλάκις, καὶ ἀστυκὸν, καὶ τὴν ἔννοιαν τοῦ θείου ῥητοῦ ποικίλοις τοῖς χρώμασι διαγράφον· γλαφυρὰ δὲ καὶ ἡ λέξις, καὶ ταῖς ἠθοποιΐαις ὡραϊσμένη ῥητορικώτερον· οἷον· «*Ἐν παραδείσῳ θέμενος* ὁ πλάσας τὸν ἄνθρωπον, *ἐργάζεσθαι καὶ φυλάττειν* αὐτὸν προσέταξεν· ἵνα μὴ, τῇ ῥαθυμίᾳ δεδωκὼς τῆς ἐξουσίας τὸ ἕτοιμον, ἀφύλακτος γένηται πρὸς [τὴν] ἐπιβουλὴν τοῦ ἐχθροῦ, φθόνου πρόσοδον τοῦ θεοῦ ποιούμενος τὰ χαρίσματα. —Ἡ δὲ [Εὔα] διὰ χειρὸς ἀπειθοῦς ἀποστασίας γράφουσα νόμον, ἐτρύγα καρπὸν, ὡραϊζόμενον παραβάσει, καὶ τῇ ἀκμῇ πεπαινόμενον τοῦ θανάτου . . . πορφυρίδα βα-

---

(α) Βλ. Cave p. 308. — Fabric. Bibl. Græc. T. VIII. p. 324. Harl.

σιλικὴν τὰ τῆς συκῆς ἐλογίζετο φύλλα.—*Ἀδὰμ ποῦ εἶ;* Οὐκ ὀργιζομένου, ἀλλ' ἐλεοῦντος ἡ φωνή· οὐκ ἀποστρεφομένου, ἀλλ' ἐλεοῦντος ἡ κλῆσις . . . *Τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος, καὶ ἐκρύβην·* ἤρκεσέ μοι πρὸς δειλίαν, τῶν ποδῶν ἡ φωνή . . . οὐκ ἔχω παῤῥησίαν φωνῆς· δέξαι τὸν φόβον, τὸ ἐμὸν δικαιοῦντα πλημμέλημα, καὶ τῆς σῆς δικαιοκρισίας γινόμενον συνήγορον. Νικῶσαν ἔδειξα, δραπετεύσας, τὴν ψῆφον· ἀπεγύμνωσα τῇ φυγῇ τὰ ἐγκλήματα.—*Ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς,* ὡς κατὰ πάσης ἐκζέσας τὴν ἀδικίαν τῆς κτίσεως. Οὐρανοὺς ἐνύβρισας, τῷ ἰῷ ῥυπώσας τοῦ φθόνου. Ἀγγέλους ἐλύπησας τῇ ἀποστασίᾳ, νομίζων ἐλαττοῦν τῶν ὑμνολόγων τὸ μέτρον· οὐκ εἰδώς, ὅτι τῷ χωρισμῷ τοῦ χείρονος πλεονάζει τὸ κρεῖττον» καὶ τὰ ἑξῆς.

§. σκζ. Ἰωάννης, ὁ Φιλόπονος διὰ τὸ φιλόπονον ἐπικληθεὶς, Ἀλεξανδρεὺς τὸ γένος, ἔντεχνος γραμματικὸς, καὶ τῆς Πλατωνικῆς καὶ Ἀριστοτελικῆς φιλοσοφίας λιπαρώτατος σπουδαστής (τῷ 601). Ἐπειδὴ δὲ (καθὼς εἶπε, καὶ ἔργῳ ἀπέδειξεν ὁ γηραιὸς Τερτυλλιανὸς) πρῶτοι καὶ ἀρχέκακοι τῶν αἱρέσεων φατριάρχαι πολλάκις ἀνεφάνησαν οἱ φιλόσοφοι, τοῦτο καὶ ὁ Φιλόπονος ἔπαθεν. Ἅμα τε γὰρ ἐξῆλθεν ἐκ τῆς Σχολῆς, καὶ περὶ τὴν πίστιν ἐναυάγησεν, Ἀριστοτελικῶς βουλόμενος θεολογεῖν, καὶ σχολικαῖς τερθρείαις ἐμματαιάζων, καὶ καθυποτάσσων πεφυσιωμένης φαντασίας ὑποθέσεσι καὶ συλλογισμοῖς τὴν θείαν τῆς εὐσεβείας μυσταγωγίαν. Ὅθεν καὶ *Μονοφυσίτης* ἀπέβη φρυαγματίας· μετὰ δὲ ταῦτα, καὶ ἀρχίπλανος *Τριθεΐτης,* συγχέων τὴν *φύσιν* πρὸς τὴν *ὑπόστασιν,* καὶ τρεῖς φύσεις, ἢ οὐσίας ἰδικὰς, καὶ ἰδικὰς θεότητας, ἐπὶ τῆς παναγίας Τριάδος δυσσεβῶς τερατευόμενος. Οὐδὲ νεκρῶν ἀνάστασιν προσεδόκα· ἔτι ζῶν κατασηπόμενος ἐν τῇ ἀπογνώσει τῆς μακαρίας ἐλπίδος! Ἔστι δὲ καὶ τὴν φράσιν ἀσαφὴς πολλάκις καὶ σαθρός (α). Συγγράμματα δὲ τούτου μνημονεύει πολλὰ ὁ ἱερώ-

(α) Βλ. Cave p. 311.—Fabric. Bibl. Graec. T. X. p. 640. Harl.

τατος Φώτιος (Ἀναγν. κα, κϐ, κγ, μγ, νε, οε, σιε)· «*ματαιόπονον* μᾶλλον (ἐν οἷς ἐϐλασφήμησεν), ἢ *φιλόπονον* ἀποκαλῶν. (οὕτω καὶ ὁ ἱερὸς Σωφρόνιος, Ἐπις. Συνοδ.) Σῴζονται δὲ καὶ καθ' ἡμᾶς ἱκανά, ἐν οἷς καὶ τὸ *περὶ Κοσμοποιΐας* (εἰς τὴν Ἑξαήμερον, ἐν λόγοις ἑπτά)· τοῦτο δὲ συνίστησιν ὁ Φώτιος, λέγων· «Ἐν τούτῳ τῷ βιϐλίῳ καθαρὸς καὶ σαφὴς (ὁ Φιλόπονος), καὶ κρείττων τῇ λέξει ἑαυτοῦ, καὶ συμφωνῶν σχεδὸν ἐν τοῖς πλείστοις Βασιλείῳ τῷ Μεγάλῳ, ἀντιπίπτων δὲ διόλου τῷ Μοψουεστίας Θεοδώρῳ» (Ἀναγν. μγ). Τὰς δὲ ῥήσεις τῆς Ἑξαημέρου γράφει κατὰ τοὺς Ο πανταχοῦ. Εἰ δέ που καὶ τοὺς ἄλλους ἑρμηνεῖς παραϐάλλοι, πρὸς σαφεστέραν ἐξήγησιν τοῦτο ποιεῖ (ὡς τὸ τοῦ Ἀκύλα, *ἐν κεφαλαίῳ*, ἀντὶ τοῦ *ἐν ἀρχῇ*, κτλ. βλ. λόγ. α, κεφ. 4: β, 5: ε, 6, 7: ς, 18, 26). Καὶ τὰς μετὰ Ἰακὼϐ ψυχάς, 75 ἀριθμεῖ (ε, 8). Καὶ τὴν περιττὴν νομισθεῖσαν ἐπανάληψιν τοῦ «*Καὶ συνήχθη τὸ ὕδωρ*» κτλ. (Γεν. α. 6) ἀναγκαίαν ἀποφαίνεται, «εἴτε (φησὶν) οὕτω τὰ ἀρχαῖα τῶν (*ἑϐραϊκῶν*) ἀντιγράφων εἶχεν, εἴτε οἱ Ο, εὐλόγως προσέθηκαν, διὰ τὴν σαφήνειαν», κτλ. (βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 430, 454). Καὶ ὅλως δὲ τὰ *Μωσαϊκὰ ῥήματα θεόθεν ἥκοντα* λέγει, καὶ ὡς θείους (καὶ κατὰ λέξιν) ἐκφέρει χρησμοὺς (α, 2)· καὶ ἄλλας ἐκ τῶν ἄλλων Προφητῶν μαρτυρίας, καὶ ἐξ αὐτῶν τῶν Ἀποστόλων, ὡς ἰσοτίμους, συμπαραϐάλλει· οἷον (Λόγ. α. κεφ. θ. σελ. 18) «Ἀλλ' οὐ τοιούτους (σωματικοὺς) εἶναι τοὺς λειτουργοὺς τοῦ Θεοῦ διδάσκει τὰ λόγια, οὓς *διὰ παντὸς τὸ πρόσωπον τοῦ Θεοῦ βλέπειν* ὁ Κύριος ἐμαρτύρησε (Ματθ.). — Ἀλλὰ καὶ ἐπιστατεῖν καὶ ἄρχειν ἐθνῶν ἐκελεύσθησαν. *Ἔστησε γὰρ ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ* (Δευτ.). Καὶ *ἄρχοντά τινα Περσῶν ἄγγελον*, *καὶ Ἑλλήνων* εἴρηκεν ἕτερον (Δαν.), καὶ *ἀρχιστράτηγος δέ τις δυνάμεως* Κυρίου εἰς συμμαχίαν ἐν ἀνθρώπου μορφῇ Ἰησοῦ τῷ τοῦ Ναυῆ παραγέγονε (Ἰησ.). — *Δυνατοὶ γὰρ ἰσχύϊ*, φησίν, οἱ ποιοῦντες τὸν λόγον αὐτοῦ» (Ψαλμ. ρϐ, 20)· οὕτω καὶ ἀλλαχοῦ πολλαχοῦ (οἷα καὶ ἐν β. 21, γ, 14, κτλ.). Καὶ ῥήσεις ἐκ τοῦ Σειρὰχ ἐπιφέρει, καὶ τῆς Σ. Σολομῶντος (Λογ. α, 4, 18), ὡς ἐκ

θείας καὶ κανονικῆς Γραφῆς (α). Καλὴ δὲ καὶ ἡ περὶ τοῦ Πάσχα τοῦ Φιλοπόνου διατριβὴ, περὶ ἧς προείπομεν (Βιβ. Γ. σελ. 835) (β).

§. σκη. Ἰωάννης ὁ Μαλαλᾶς (Συριακὸν ἐπώνυμον, ὅ σημαίνει *ῥήτορα, ἢ σχολαστικὸν*), Ἀντιοχεὺς μοναχὸς (τῷ 601), συνέγραψε τὴν γνωστὴν *Χρονογραφίαν*, ἐν ᾗ κατὰ τοὺς Ο καὶ χρονολογεῖ, καὶ τὴν ἱερὰν ἱστορίαν συνοψίζει, καὶ ῥήσεις ἁγίας ἐκφέρει, καὶ αὐτὴν δὲ τὴν ἱστορίαν τῆς ὑπὸ τῶν ΟΒ, πρεσβυτέρων μεταφράσεως τῶν θείων Γραφῶν ἐπισημειοῖ (Ἴδε τὴν Μαλαλαίαν ταύτην *Χρονογραφίαν*, ἀναπληρωθεῖσαν διὰ τῆς ἐν ἀρχῇ προηγουμένης ἀνωνύμου *χρονολογίας*, κατὰ τὴν ἐν Βόννῃ ἔκδοσιν 1831).

§. σκθ. Ἡσύχιος πρεσβύτερος, εἶτα δὲ καὶ Πατριάρχης Ἱεροσολύμων (τῷ 601· σῴζεται πρὸς τοῦτον τοῦ Πάπα Γρηγορίου τοῦ Μάγνου ἐπιστολὴ, ἡ 40 ἐν Βιβλ. Θ.), συνέγραψε πολλὰ, περὶ ὧν ἡ Ἐκκλησιαστικὴ πραγματεύεται φιλολογία· ἡμεῖς δὲ μνημονεύομεν τὸ *Στιχηρὸν*, ἢ τὰ *Κεφάλαια* τῶν ΙΒ Προφητῶν καὶ τοῦ Ἡσαΐου (ἐν ᾧ διαλαμβάνει περὶ τῆς εἰς στίχους τῶν προφητικῶν βιβλίων διαιρέσεως, καὶ περὶ τῶν στιγμῶν, ποῦ δεῖ τάττειν τὰς τελείας) (β). Καὶ τοὺς εἰς τριάκοντα Ψαλμοὺς (ἀπὸ τοῦ οζ, μέχρι τοῦ ρζ) ἀποσωθέντας ὑπομνηματισμοὺς (ἐν τῇ Σειρᾷ, ἐκδ. Κορδερίου). Καὶ τὰ πρὸς Θεόδουλον *Ἀντιῤῥητικὰ καὶ Εὐχτικὰ Κεφάλαια* (ἐν δυσὶν Ἑκατοντάσι), καὶ εἴ τι ἕτερον. Ἐν πᾶσι δὲ τούτοις κατὰ

(α) Ὁ Φιλόπονος, λέγει «Ὅτι καὶ Πλάτων ἐν τῇ διηγήσει τῆς τοῦ κόσμου γενέσεως ἐμιμήσατο Μωϋσέα». Καὶ παραβαλὼν ἐκ τοῦ Τιμαίου χωρίον, ἐπάγει· «Ὅσον δὲ τούτων μεγαλοπρεπέστερα τεθεολόγηκε Μωϋσῆς! ἄκουε· κτλ. (α. 2). Προστίθησι δὲ, ὅτι «καὶ Ἵππαρχος, καὶ Πτολεμαῖος (ὁ μαθηματικὸς) «τὴν ἐξωτάτω πασῶν σφαῖραν καὶ ἄναστρον πρῶτοι ὑπέθεντο, ἐκ Μωσέως λαβόντες τὰς ἀφορμάς» (α, 7). Ἐνόει δὲ πάντως αὐτοὺς ἀναγνόντας τὴν ἑρμηνείαν τῶν Ο, ἥτις ἐπὶ τῶν δύω τῶν ὑστέρων ἤδη ὑπῆρχε· περὶ δὲ τοῦ Πλάτωνος βλ. ὄπισθ. σελ. 19.

(β) Βλ. ταύτην τὴν Διατριβὴν συνάμα μετὰ τοῦ περὶ Κοσμοποιΐας βιβλίου ἐκδεδομένην ὑπὸ Κορδερίου Vienn. Austriae. 1630.

(γ) Βλ. Τούτου τεμάχιον ἐν Critic. Sacr. Lond. T. VIII. p. 26 ὑπὸ Οἰσχελίου ἐκδεδομένον. Συνεκδέδοται δὲ καὶ ἄλλου τινὸς ἀδήλου κεφάλαια (τουτ. ὑποθέσεις, ἢ περιλήψεις τῶν ἐν ἑκάστῳ κεφαλαίῳ τῆς Γραφῆς περιεχομένων). Οὕτως ἐκληπτέον καὶ τὰ ἀνωτέρω παρ' Ἡσυχίῳ κεφάλαια.

τοὺς Ο τὰς ῥήσεις τῆς θείας Γραφῆς, ὡς λέξεις τοῦ παναγίου Πνεύματος, ἀναφέρει καὶ ἐξηγεῖ. Οἷον· «Ὁ μέγας νομοθέτης Μωσῆς, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον, Πρόσεχε *σεαυτῷ* φησι» (Ἑκατ. α, κεφ. β). Καὶ (κεφ. λς) «Ἁμαρτάνων εἷς, φησιν ἡ θεία Γραφή, ἀπολέσει ἀγαθωσύνην μεγάλην» (Παροιμ. ·), καὶ ἄλλα τοιαῦτα. Ἐν δὲ τῷ *Στιχηρῷ* μνημονεύει καὶ τοῦ παρὰ τῷ Δανιὴλ προφήτου Ἀββακούμ, λέγων· «Ἀββακοὺμ γὰρ (ὁ προφήτης) εἰ μὲν οὗτός ἐστιν, ὃν εἰς τὴν Βαβυλωνίαν ἁρπάσας ἀπεκόμισεν ὁ ἄγγελος, εἰπεῖν τὸ σαφὲς οὐκ ἔχω» (βλ. ὄπισθ. Βιβλ. Γ. κεφ. ιδ. §. ιε, ις). Καὶ ἐν τῇ εἰς *τὴν Χριστοῦ γέννησιν* Ὁμιλίᾳ τὴν κατὰ τοὺς Ο χρονολογίαν διατρανοῖ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 780). Σημειωτέον δὲ, ὅτι καὶ τὸ *Στιχηρὸν* καὶ τὰ *Ἀντιῤῥητικὰ* ἐπιγέγραπται *Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων*. Καὶ Φώτιος δὲ παροδικῶς ἀναφέρει *γνώμας* Ἡσυχίου *πρεσβυτέρου Ἱεροσολύμων* (Ἀναγν. ρϙη), ἃς νομίζουσι τὰς αὐτὰς καὶ τὰ Ἀντιῤῥητικά. Εἰς τὸν αὐτὸν ἐπιγράφει καὶ δύω λόγους εὐφραδεῖς, ἐξ ὧν εὐμεγέθεις ἀπήνθισε περικοπὰς (Ἀναγν. σξθ, σοε)· καὶ ἄλλα δέ τινα εἰς Ἡσύχιον ἐπιγέγραπται *πρεσβύτερον* (οὐ πατριάρχην) τῶν Ἱεροσολύμων. Πότερον ἆρα; διότι πρεσβύτερος ὢν ἔτι, ταῦτα συνέγραψεν ὁ ἱερὸς ἀνὴρ, πρὶν ἢ πατριαρχεύσῃ (καὶ τοῦτο οὐδὲ Φώτιος σημειωτέον ἔκρινεν); ἢ μήποτε τούτων τινὰ ἀνήκουσι καὶ εἰς τὸν πολλῷ παλαιότερον Ἡσύχιον, πρεσβύτερον Ἱεροσολύμων κἀκεῖνον, ἐπὶ λόγοις εὐκλεέστατον; Ἤκμασε δὲ οὗτος (τῷ 410) ἐπὶ Θεοδοσίου, περὶ οὗ προείπομεν (Βιβλ. Β. σελ. 352, καὶ Βιβλ. Γ. σελ. 781). Εἰς τοῦτον ἐπιγράφονται καὶ ὑπομνηματισμοὶ εἰς τὴν Πεντάτευχον (α).

§. σλ. Δωρόθεος, ἀρχιμανδρίτης Παλαιστινὸς (ἰδίου κοινοβίου, ὃ συνέστησεν ἐν Παλαιστίνῃ, καθηγούμενος), Ἰωάννου τοῦ ὁσίου, τοῦ καὶ προφήτου ἐπικληθέντος, ὅσιος μαθητὴς (τῷ 601), πάντῃ

(α) Βλ. Fabric. Bibl. Graec. T. VII p. 731.—Cave T. 1. p. 312 καὶ T. 2. p. 128. Du-Pin, Nouv. Bibl. T. 6. p. 7. καὶ τὴν ὑπὸ τοῦ Θεοτόκη ἐκδοθεῖσαν εἰς τὴν Ὀκτάτευχον Σειρὰν τόμ. α. σελ. ιζ.

διάφορος ἄλλου Δωροθέου, Ἀκεφάλου τὴν αἵρεσιν (ὃν ὁ θεῖος Πατριάρχης Ἱεροσολύμων Σωφρόνιος ὀνομαστὶ στηλιτεύει, ἐν Συνόδ. Συλλ. Τόμ. Β. σελ. 613) (α). Συνέγραψεν οὗτος ὁ Πατὴρ ἐπιστολάς τινας, καὶ τὰς μέχρι καὶ ἡμῶν ἀποσωθείσας ἠθικὰς καὶ ἀσκητικὰς, ΚΔ *Διδασκαλίας* (τῆς ἐσχάτης ἡ λατινικὴ μετάφρασις μόνον σῴζεται), πόνημα θαυμάσιον, καὶ διδακτικώτατον· ἔχει δὲ καὶ τὸ σαφὲς ἐπιτρέχον, καὶ φράσεως ἀφέλειαν, οὔτ᾽ ἔντεχνον οὔτ᾽ ἄχαριν, καὶ πάντα τὰ λυσιτελῆ καὶ μοναχοῖς καὶ κοσμικοῖς, τοῖς εἰς κτῆσιν ἀρετῆς τὸν βίον ἀσκουμένοις, καὶ πίνειν ἐπισταμένοις ἀληθείας πόμα σωτήριον, κἂν μὴ ἐξ Ἀττικῆς κωλιάδος τὸ ποτήριον ᾖ κατεσκευασμένον. Ἐν δὲ ταύτῃ τῇ βίβλῳ πολλὰς ῥήσεις προφητικὰς ἐκ τῆς τῶν Ο Γραφῆς «τῆς *θείας καὶ ἁγίας*» (ὡς ταύτην ἐπονομάζει) ὁ τρισόλβιος Δωρόθεος ἀναγράφει, καὶ διασαφηνίζει πολλάκις, ἔκ τε τῆς Πεντατεύχου, καὶ τῶν Ψαλμῶν, καὶ τῶν ἄλλων Προφητῶν ἀποκαρπίζων, καὶ τοῖς ῥήμασιν ἑκάστοις παραγγέλλων προσέχειν, ὡς θείαις φωναῖς· οἷον· «*Δεῦτε τέκνα ἀκούσατέ μου*» κτλ. (Ψαλμ. λγ), «Θέτε (ἴσ. γρ. *θέσθε*) τὸν νοῦν ὑμῶν εἰς ἕκαστον ῥῆμα τοῦ Προφήτου. Πῶς ἑκάστη λέξις αὐτοῦ δύναμιν ἔχει. — *Τέκνα* καλοῦσιν οἱ ἅγιοι (Προφῆται καὶ Ἀπόστολοι) τοὺς διὰ τοῦ λόγου αὐτῶν μεταμορφουμένους ἀπὸ τῆς κακίας πρὸς τὴν ἀρετὴν, ὡς λέγει καὶ ὁ Ἀπόστολος (Γαλάτ. δ) *Τεκνία*» κτλ. (Διδασκ. δ. σελ. 771). Καὶ ἐκ τοῦ Σειρὰχ (ιη) ῥήσεις ἀναφέρει (Διδασκ. ιδ)· μνημονεύει δὲ καὶ τοῦ παρὰ τῷ Δανιὴλ Ἀββακοὺμ (Διδασκ. β), «πῶς ἀπῆλθεν ἔχων τὸν ἄρτον, λέγων αὐτῷ (τῷ Δανιήλ)· Δέξαι τὸ ἄριστον, ὃ ἔπεμψέ σοι ὁ θεὸς» κτλ. (β).

(α) Βλ. Fabric. Bibl. Graec. T. XI. p. 104. Harl.

(β) Βλ. τὰς Διδασκαλίας ταύτας ἐν Biblioth. Patr. T. 1. p. 744-869. Σημειωτέον δὲ, ὅτι ἐν τῇ κβ Διδασκαλίᾳ γέγραπται ἑρμηνεία τινῶν ῥητῶν Γρηγορίου τοῦ Θεολόγου, ψαλλομένων μετὰ τροπαρίων εἰς τὸ ἅγιον Πάσχα»· καὶ ἐξηγεῖ τὸ, Ἀνας άσεως ἡμέρᾳ.. Πάσχα Κυρίου κτλ. (Γρηγ. Ναζ. λόγ. μα, μβ). Ἐκ τούτων τοῦ Γρηγορίου συνέταξε καὶ ὁ θεῖος Δαμασκηνὸς ὃν καὶ νῦν ψάλλομεν εἱρμὸν τῆς α, Ὠδῆς τοῦ πασχαλίου κανόνος (ἦχ. α) κτλ. Καὶ πάλιν ἐν Διδασκαλ. κγ, ἐξηγεῖ ἄλλα ῥητὰ τοῦ Γρηγορίου, ψαλλόμενα

§. σλα. Εὐσέβιος, ἐπίσκοπος Θεσσαλονίκης (τῷ 601). Οὗτός ἐστιν ὁ τὸν Ἀφθαρτοδοκήτην Ἔγκλειστον Ἀνδρέαν ταῖς βολίσι τῶν θείων Γραφῶν καταῤῥάξας, οὗ τὰς περικοπὰς διέσωσεν ὁ Φώτιος, ὡς προείπομεν §. ρϥζ.

§. σλβ. Ἀντίοχος μοναχὸς ὁσιώτατος, Παλαιστινὸς, ἐν τῇ εὐαγεστάτῃ Λαύρᾳ τοῦ ἁγίου Σάββα τοὺς ἀσκητικοὺς ἄθλους διανύσας (τῷ 614), συνέγραψεν *Ἐπιτομὴν πάσης τῆς θείας Γραφῆς, Παλαιᾶς τε καὶ Καινῆς*, ἤτοι Σύνοψιν τῆς Χριστιανικῆς πίστεως καὶ ἠθικῆς, κατὰ τὰς διδασκαλίας τῶν θείων Γραφῶν, ἐν *Κεφαλαίοις*, ἢ *Λόγοις* ΡΛ (α). Καὶ ἔστιν ἡ βίβλος οἷον πανδέκτης τῶν τε δογμάτων τῆς εὐσεβείας, καὶ τῶν καθηκόντων τῆς κατὰ θεὸν πολιτείας, ἐκ τῆς θείας Γραφῆς ἀποδεικνυμένων· συνυπηχοῦσι δὲ κατὰ τόπους καὶ γνῶμαι τῶν ἐνδοξοτάτων καὶ θεοφόρων Πατέρων. Προηγεῖται δὲ τοῦ τεύχους ἐπιστολὴ προσφωνητικὴ πρὸς Εὐστάθιον, ἡγούμενον τῆς ἐν Ἀγκύρᾳ Ἀτταλίνης καλουμένης Μονῆς, ἐν ᾗ καὶ τὰ κατὰ τὴν φονικὴν ὑπὸ τῶν Ἰσμαηλιτῶν ἅλωσιν τῶν Ἱεροσολύμων (τῷ 614) σκιαγραφοῦνται συνοπτικῶς (β). Καὶ τοιοῦτο μὲν, ὡς ἐπίπαν, τὸ σύνταγμα· πέπλος τις ἅγιος καὶ παμποίκιλος, φέρων ἐμπεπασμένα, ὡς κάλλιστα ἄνθη, τὰ τῆς Χριστιανικῆς τελειότητος ἀκήρατα παραγγέλματα, διὰ τῶν προφητικῶν καὶ Ἀποστολικῶν ῥημάτων ἐξυφανθέντα. Πανταχοῦ δὲ τῆς Παλαιᾶς Γραφῆς αἱ ῥήσεις ἐκφέρονται κατὰ τοὺς Ο, παράλληλοι χωροῦσαι ταῖς Εὐαγγελικαῖς, καὶ πρὸς πίστιν ἰσοστάσιοι. Καὶ ἐκ τῶν Ἀναγινωσκομένων δὲ πολλαὶ παράγονται μαρτυρίαι, ὡς ῥήσεις θεόφθεγκτοι, καὶ ταῖς τῶν ἐνδιαθήκων Γραφῶν ὁμότιμοι καὶ ἰσοφαρεῖς· οἷον, ἐκ τῆς Σοφίας τοῦ Σολομῶν-

---

εἰς τοὺς Μάρτυρας, καὶ ἰδίως τὸ «Ἱερεῖα ἔμψυχα» (ὃ καὶ νῦν ψάλλομεν ἐν τῇ Παρακλητ. ἦχ. πλ. α). Καὶ φαίνεται ἄρα, ὅτι καὶ ἐπὶ τοῦ Δωροθέου, καὶ πρόπαλαι τό,τε ὄνομα καὶ ἡ χρῆσις τῶν τροπαρίων ὑπῆρχεν ἐν ταῖς ἱεραῖς τῆς Ἐκκλησίας ἀκολουθίαις· καὶ ταῦτα ἐψάλλοντο κατὰ τοὺς αὐτοὺς ἤχους, ἢ νόμους τῆς Ἐκκλησιαστικῆς μουσικῆς, καθ' οὓς καὶ μέχρι σήμερον ᾄδονται.

(α) Βλ. Fabric. Bibl. Graec. T. X. p. 500. Harl.

(β) Βλ. τὴν συγγραφὴν ἐν Biblioth. Patrum T. I. p. 1021—1251.

τος (λόγ. κη), καὶ τῆς τοῦ Σειρὰχ (λόγ. θ), καὶ ἐκ τοῦ Τωβὶτ (λόγ. πγ). Τὰς δ' ἐνδιαθήκους βίβλους τῆς Παλαιᾶς καὶ Νέας Γραφῆς ἁπάσας ἑξήκοντα λέγει, παραβάλλων πρὸς τὰς τοῦ Ἄσματος (ς, 7)· *ἑξήκοντα βασιλίδας* (α). Περὶ δὲ τοῦ ἑξηκονταδικοῦ τούτου ἀριθμοῦ προείπομεν (σελ. 134).

§. σλγ. Σωφρόνιος ὁ ἁγιώτατος (τῷ 629), τὸ γένος Δαμασκηνὸς, Σοφιστὴς τὸ πρῶτον, εἶτα μοναχὸς, καὶ τέλος Πατριάρχης Ἱεροσολύμων (β). Τούτου τὰς ποιμενικὰς ἀρετὰς, καὶ τοὺς ἱεροὺς καὶ ἀκαμάτους ὑπὲρ τῆς Ὀρθοδοξίας ἀγῶνας διηγεῖται ἡ Ἐκκλησία (ἑορτάζεται Μαρτ. ια). Συγγράμματα δὲ τούτου τὰ σωζόμενα καταλέγονται, Ὁμιλίαι (οἷον εἰς τὰ *γενέθλια τοῦ Χριστοῦ*, εἰς τὸν *Σταυρὸν*, ἐγκώμιον εἰς τοὺς Ἀρχαγγέλους καὶ τὰς λοιπὰς ἀσωμάτους Δυνάμεις, εἰς Κῦρον καὶ Ἰωάννην), καὶ ὁ βίος τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας, καὶ εἴτι ἕτερον (γ). Ἐπὶ δὲ πᾶσιν, ἡ θαυμα-

---

(α) «Φησὶν ἐν τοῖς Ἄσμασιν ὁ σοφὸς ὁ Σολομών· «Ἑ ξ ή κ ο ν τ ά ε ἰ σ ι β α σ ί λ ι σ σ α ι, κ α ὶ ὀ γ δ ο ή κ ο ν τ α π α λ λ α κ α ὶ, κ α ὶ ν ε ά ν ι δ ε ς, ὧ ν ο ὐ κ ἔ σ τ ι ν ἀ ρ ι θ μ ό ς. Ἡμεῖς οὖν τὰς μὲν ἑ ξ ή κ ο ν τ α β α σ ι λ ί σ σ α ς, τὰς ἐγκρίτους λέγομεν εἶναι βίβλους, τουτέστι τὰς ἑ ξ ή κ ο ν τ α τὰς ἐνδιαθέτους τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, τὰς δὲ ὀ γ δ ο ή κ ο ν τ α π α λ λ α κ ὰ ς, τὰς μὴ ἐγκρινομένας, τὰς λεγομένας ἀποκρύφους» (βλ. ὄπισθ. σελ. 140). «παλλακαὶ δὲ ὀνομάζονται διὰ τὸ ἀπαῤῥησιάστους καὶ νόθους αὐτὰς εἶναι. Τὰς μέν τοι ν ε ά ν ι δ α ς, τὰς ῥήσεις τοῦ νέου κηρύγματος τῶν τῆς Ἐκκλησίας διδασκάλων, διὰ τὸ ἀκραιφνὲς τοῦ λόγου αὐτῶν· αἱ γὰρ νεάνιδες ἁγναὶ ὀνομάζονται·— καὶ ἁ γ ν ῶ ν ῥ ή σ ε ι ς σ ε μ ν α ὶ, καὶ δ ι κ α ί ω ν ῥ ή σ ε ι ς ἁ γ ν α ὶ, κατὰ τὴν Γραφὴν (Παροιμ. κζ). — Ἐκ τοῦ ἱστοῦ οὖν τῶν ἑξήκοντα βασιλίδων τούτων ὀλίγους στήμονας ἀνείλαμεν (γ ρ. ἀ ν ε ι λ ό μ η ν), καὶ ἐποίησα περίζωμα εἰς θέρμην τοῖς μετὰ πίστεως ἐντυγχάνουσι» κτλ. (προλόγ. σελ. 1025).

(β) Βλ. Fabric. Bibl. Graec. T. IX. p. 162. Harl.

(γ) Καὶ τὸ Λ ε ι μ ω ν ά ρ ι ο ν, (τὸ καὶ Ν έ ο ς Π α ρ ά δ ε ι σ ο ς), ὃ συνέγραψεν ὁ Ὅσιος Ἰωάννης ὁ Μόσχος, ὁ καὶ Εὐκρατᾶς (περιέχει δὲ διηγήματα καὶ πολιτείας ὁσίων Πατέρων, ἐν κεφαλαίοις 219), ἐπιγράφεται καὶ εἰς τὸν Πατριάρχην Σωφρόνιον ἐν τοῖς Πρακτικοῖς τῆς Ζ. Οἰκουμενικῆς Συνόδου. Πράξ. Δ, καὶ Ε. καὶ παρὰ τῷ θείῳ Δαμασκηνῷ (Λόγ. α, περὶ τῶν Εἰκόνων. πρβλ. καὶ Νικηφόρ. Ἐκκλησ. Ἱστορ. η, 41)· διό τινες ἐνόμισαν, ὅτι καὶ ὁ ἱερὸς Σωφρόνιος συνεπόνησεν εἰς τὴν συγγραφήν (βλ. Cave p. 318.) Ἀλλ' ἕτερός τις φαίνεται ὁ λόγος τῆς διπλῆς ἐπιγραφῆς· Ἰωάννης ὁ Μόσχος (τουτ. ὁ τ ο ῦ Μ ό σ χ ο υ· ὡς διέκρινεν ὁ

στὴ, καὶ βιβλίου μέγεθος ἐπέχουσα ἐγκύκλιος, ἡ Συνοδικὴ Ἐπιστολὴ, ἥτις (φησὶ Φώτιος) κατὰ μὲν τὴν φράσιν, «πολλαχοῦ τοῖς ῥήμασιν ἐννεωτερίζει, καθάπερ τις πῶλος ἐπιγαυρούμενος τοῖς σκιρτήμασιν· πλὴν τὴν ὀρθόδοξον ὡς μάλιστα γνώμην ἐξακριβοῖ» (Ἀναγν. σλα), πλήρης οὖσα τῶν θείων δογμάτων καὶ διδαγμάτων τῆς εὐσεβείας, καὶ τοὺς κατ' αὐτῆς φρυαξαμένους αἱρετικοὺς, ἀπὸ Σίμωνος τοῦ μάγου μέχρι καὶ τῶν κατ' αὐτὸν, θεατρίζουσα, καὶ τοὺς Μονοθελήτας μάλιστα καταῤῥάσσουσα διά τε ῥήσεων Γραφικῶν, καὶ χρήσεων τῶν ἁγίων ἡμῶν Πατέρων. Ἡ ἐπιστολὴ ἀνεγνώσθη καὶ ἐκυρώθη καὶ ἐν τῇ ς, Συνόδῳ (Πράξ. ια).

§. σλδ. Τὸ Ἀλεξανδρινὸν Χρονικὸν, τὸ καὶ Χρονικὸν Πασχά-

Φώτιος, Ἀναγν. ρηθ, κατ' ἐπίκλησιν, ἤτοι ἐπωνυμίαν πατρωνυμικὴν, ὡς Ἀπολλώνιος ὁ Μόλων, Ἀπίων Πλειστονίκης, Ἡρώδης Ἀττικὸς, ἀντὶ ὁ τοῦ Μόλωνος, ὁ τοῦ Ἀττικοῦ, κτλ.. βλ. Vales. ad Ammian, XIV, 8. Ὁ δὲ Rosweid Prolegom. in vit. Patr. καὶ πάνυ παραδόξως ἐξέλαβε τὸ Μόσχος, ὡς ἐθνικόν). Ἰωάννης ὁ Μόσχος προσφωνεῖ τὸ βιβλίον Σωφρονίῳ τῷ μαθητῇ καὶ ὀπαδῷ αὐτοῦ, ὃν καὶ ἱερὸν, καὶ πιστότατον τέκνον, καὶ ἀδελφὸν ἀποκαλεῖ (Προοιμ. καὶ κεφ. 77), καὶ Σοφιστὴν ἐνίοτε (ὡς ἐκ τοῦ ἐπαγγέλματος). Οὗτος δὲ ὁ Σωφρόνιος (ὁ καὶ Σωφρονᾶς, Φώτ. αὐτόθ.). ὑπῆρχεν ἄρα ὁ αὐτὸς καὶ ὁ μετέπειτα Πατριάρχης Σωφρόνιος· ὅθεν καὶ εἰς τοῦτον ἐπιγράφεται τὸ Λειμωνάριον, οὐ μόνον ὡς αὐτῷ προσφωνηθὲν ὑπὸ τοῦ Συγγραφέως (Τοῦτον, λέγει, «πλεκτὸν στέφανον [ἐξ] ἀκηράτου λειμῶνος προσφέρω σοι», παρῳδῶν ἐπιχαρίτως τὰ τοῦ Εὐριπίδου, Ἱππολ. 73), ἀλλὰ καὶ διότι μαθητὴς ὑπῆρξεν ὁ Σωφρόνιος, καὶ συνοδοιπόρος τοῦ Μόσχου, καὶ συμμέτοχος τῶν ἀσκητικῶν αὐτοῦ περιηγήσεων (ὅθεν πολλάκις καὶ πληθυντικῶς ἐκφέρονται τὰ διηγήματα· οἷον. Ἀπήλθομεν ἐγὼ καὶ ὁ κύριος Σωφρόνιος, — καὶ ταῦτα γεγραφήκαμεν» κτλ. κεφ. 77)· καὶ διότι, τέλος, αὐτὸς ὁ Πατριάρχης Σωφρόνιος ἐδημοσίευσε τὴν βίβλον, ὡς αὐτῷ παραδοθεῖσαν ὑπὸ τοῦ Ἰωάννου (Προλόγ.). Συνεγράφη δὲ περὶ τὸ 600, ἔτος, τὴν μὲν φράσιν «Εἰς τὸ ταπεινότερον καὶ ἀμαθέστερον ἀποκλῖνον» (Φώτ.), πλεῖστα δὲ καὶ κάλλιστα ποικίλης ἀρετῆς παραδείγματα περιέχον (Du-Pin, Nouv. Bibl. Tom. 6, p. 18). Εἰ δὲ καὶ ἡ δριμεῖα τοῦ Ἀρλεσίου κριτικὴ οὐκ ὤκνησε τὰ ἐν αὐτῷ θαυμασότερα πρὸς τοὺς Μιλησίους μύθους παραβαλεῖν, οὐ φροντὶς τοῖς ἁπλοϊκοῖς τοῦ Σωφρονίου καὶ τῆς Ζ. Συνόδου μαθηταῖς! Ἐτυπώθη δὲ τὸ Λειμωνάριον ἀτελῶς μὲν ἐν τῇ Βιβλιοθ. τῶν Πατέρων (T. 2. p. 1055 — 1162. βλ. καὶ πρόλογον A. Lipoman.)· τελειότερον δὲ ὑπὸ Κοτελερίου ἐν Monument. Eccl. Graec. T. 2. p. 341—456. πρβλ. Fabric. Bibl. Graec. T. X, p. 124. Harl.

λιον (τῷ 630) ἀπὸ Κ. Κ. μέχρις Ἡρακλείου χρονολογοῦν (Δύω δὲ συγγραφέων τοῦτο κρίνουσιν ἔργον οἱ νεώτεροι κριτικοὶ, τοῦ μὲν τὰ ἀπὸ Κ. Κ. μέχρι Κωνσταντίνου τοῦ Μ. συγγεγραφότος, τοῦ δὲ τὰ ἐφεξῆς συνεχίσαντος μέχρι τοῦ Ἡρακλείου) (α). Καὶ τοῦτο τοίνυν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους πάσας, ὅσας μνημονεύει Γραφικὰς ῥήσεις (καὶ ταύτας οὐκ ὀλίγας), ἐκφέρει, καὶ χρονογραφεῖ, κατὰ τοὺς Ο. καὶ τῆς ὑπ᾽ αὐτῶν Ἑρμηνείας τὴν ἱστορίαν διηγεῖται κατ᾽ ἐπιτομὴν (σελ. 326. ἐκδ. Βόν.).

§. σλε. Ἀνδρέας ὁ ἱερώτατος, Σωφρονίῳ σύγχρονος (τῷ 639), τὴν πατρίδα Δαμασκηνὸς, σοφὸς Ἱεροσολυμίτης μοναχός. Ἤδη δὲ τῆς ς. Οἰκουμενικῆς ἀθροιζομένης Συνόδου, πέμπεται καὶ οὗτος εἰς Κωνςαντινούπολιν ὑπὸ Θεοδώρου τοῦ τότε Ἱεροσολύμων, ὑπέρμαχος τῆς Ὀρθοδοξίας· κἀκεῖ προχειρίζεται Διάκονος, καὶ Ὀρφανοτρόφος, καὶ τέλος, τῆς Κρήτης ἀρχιεπίσκοπος (β). Τούτου τοῦ ἁγίου Πατρὸς (ἑορτάζεται Ἰουλίου δ) σῴζονται πολλαὶ Ὁμιλίαι, πᾶσαι, σχεδὸν, πανηγυρικαὶ εἰς διαφόρους ἑορτὰς, πλήρεις θείων νοημάτων, καὶ ῥήσεων προφητικῶν καὶ ἀποστολικῶν· πολλὴ δὲ καὶ ἡ περὶ τὸν λόγον εὐφράδεια, νάματος κρηναίου, γλυκεροῦ καὶ καλλιῤῥόου, τήν τε καθαρότητα καὶ τὸν ῥοῦν ἀπομιμουμένη. Καὶ *Κανόνας* δὲ μελῳδικοὺς ἐμουσούργησεν ὁ ἀοίδιμος, οὓς καὶ νῦν ᾄδει, καὶ ᾄσεται διὰ παντὸς ἡ Ὀρθόδοξος Ἐκκλησία εἰς διαφόρους ἑορτὰς (οἷον εἰς τὴν Σύλληψιν τῆς ἁγίας Ἄννης, εἰς τὸ Γενέσιον τῆς Θεοτόκου, εἰς τὸν Λάζαρον, καὶ τὰς λοιπάς)· καὶ *Ἰδιόμελα* δὲ τροπάρια τούτου ψάλλομεν. Θαυμάσιος δὲ μάλιστα καὶ κατανυκτικώτατος ὁ Μέγας Κανὼν, (ἐκ 280 τροπαρίων συγκείμενος, καὶ ψαλλόμενος τῇ Ε, τῆς πέμπτης ἑβδομάδος τῆς Μ), ἐν ᾧ συμπεριλαμβάνονται τὰ κράτιστα κεφάλαια τῆς ἱερᾶς ἱστορίας, ἔκ τε τῆς Παλαιᾶς καὶ τῆς Νέας Γραφῆς, οὕτως ἐπιχαρίτως συνειρμολογημένα, ὥστε γίνονται καὶ αὐτοῖς τοῖς ἁπλουστέροις τῶν ἐκκλησιαζομένων οἷόν τις προπαίδεια εἰς τὴν ἁγιόγραφον ἱστορίαν· συμμαχούσης καὶ τῆς μελῳδίας πρὸς

(α) Βλ. Fabric. Bibl. Græc. T. VII. p. 450. Harl.
(β) Βλ. Fabric. Bibl. Græc. T. XI. p. 62. Harl.

τὸ ῥᾷον ἐγκολάπτεσθαι ταῖς μνήμαις τὰ θεῖα νοήματα. Ἀλλὰ περὶ τῶν ἱερῶν Μελῳδῶν τῆς Ἐκκλησίας λέγομεν καθόλου ἐν τοῖς ἑξῆς.

§. σλϛ. Γεώργιος ὁ Πισίδης, Διάκονος καὶ Χαρτοφύλαξ τῆς Μεγάλης Ἐκκλησίας (τῷ 640), συνέγραψε καὶ ἄλλα καταλογάδην, ὧν μνημονεύει ὁ Σουΐδας (λ. Γεώργιος), καὶ τὰ δι' ἰαμβείων στιχηρὰ, τὸ μὲν, εἰς τὴν *Ἑξαήμερον*, ἢ τὴν *Κοσμουργίαν*, τὸ δὲ *εἰς τὸν μάταιον βίον*· (ἃ καὶ ἐν τῇ *Ἱερογραφικῇ Ἁρμονίᾳ* ἐξεδόθησαν ἐν Κωνσταντινουπόλει, τῷ 1802). (α).

§. σλζ. Μάξιμος ὁ θεῖος Ὁμολογητὴς (τῷ 645), τὴν πατρίδα Βυζάντιος, Ἡρακλείου τοῦ αὐτοκράτορος ἀρχιγραμματεὺς, ἢ ἐξ ἀποῤῥήτων (Πρωτοασοκρῆτις), εἶτα μοναχὸς, πολὺς μὲν τὴν κοσμικὴν, μέγιστος δὲ τὴν θείαν σοφίαν, καὶ γενναῖος κατὰ τῶν δυσσεβῶν Μονοθελητῶν ἀνταγωνιςὴς, πλεῖςα παθὼν καὶ πονήσας ὑπὲρ τῆς εὐσεβείας, τόπους ἐκ τόπων ἀμείβων, καὶ ἐξ ἄλλων εἰς ἄλλας ἐξορίας ἀπαγόμενος, καὶ τὴν γλῶσσαν καὶ τὴν χεῖρα τμηθεὶς (ἐξεδήμησε πρὸς Κύριον δέσμιος ἐν τῇ Λαζικῇ, τῷ 662. καὶ ἑορτάζεται Ἰαννουαρίου κα). Ἀλλὰ καὶ κυλλόχειρ καὶ γλωσσότμητος οὗτος ὁ μεγαλόφωνος κήρυξ τῆς ἀληθείας, λαλεῖ καὶ ἤδη καὶ εἰς αἰῶνας ἐξ ὧν κατέλιπε παμπόλλων καὶ ποικίλων συγγραμμάτων, σωζομένων καὶ εἰς ἡμᾶς, ἐν οἷς τὸ ἀκραιφνὲς τῆς ὀρθοδόξου θεολογίας θαυμαστῶς διαλάμπει. Τούτων ἐστὶ καὶ τὸ «Περὶ διαφόρων ἀπόρων τῆς θείας Γραφῆς, Ἐρωτήσεις καὶ Ἀποκρίσεις ΞΔ. (ταῦτα τὰ κεφάλαια καὶ Φώτιος συνοψίζει, ἐν Ἀναγνώσει ρμβ, ὅπου ἐπιγράφονται ἐσφαλμένως ρξδ, τὰ μόνα ξδ)· πολλὰ δὲ τῶν ἀπορημάτων τούτων εἰς τὴν Παλαιὰν ἀνάγονται Γραφὴν, ἐξ ἧς ἐκφέρων τὰς θεοπνεύστους ῥήσεις, ἐπάγει καὶ ἐκ τοῦ Α, Ἔσδρα (θ, 6). Ἀλλαχοῦ δὲ πάλιν καὶ ἐκ τῶν Ἀναγινωσκομένων κέχρηται μαρτυρίαις, καὶ κα-

---

(α) Περὶ τῶν συγγραμμάτων τοῦ Πισίδου βλ. τὸν Φαβρίκιον, **Bibl. Graec. T. VIII. p. 612. Harl.** Ἐν τούτοις ἀριθμοῦνται καὶ ἰαμβεῖα ἐπιγράμματα εἰς τὸν ἐν Βλαχέρναις Ναὸν (βλ. καὶ **Du-Cange, Constantinop. Christ. IV. 83, 39**), ὅπου διορθωτέον τὸ «Οἱ βάρβαροι δὲ ὑπερβάλλοντες (γρ. προσβαλόντες) τῇ πόλει».

τὰ τοὺς Ο, χρονολογεῖ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 784) (α). Γνωστὴ δὲ τοῦ σοφωτάτου Μαξίμου καὶ ἡ *Μυσταγωγία* (ἐξήγησις τῆς θείας Λειτουργίας), καὶ τὰ εἰς τὸν θεῖον Διονύσιον τὸν Ἀρεοπαγίτην *σχόλια*, καὶ αἱ *Ἐπιστολαὶ* (ὧν καὶ Φώτιος μετ' ἄλλων τοῦ Πατρὸς πραγματειῶν μνημονεύει Ἀναγν. ρϟδ - ρϟε), καὶ ἡ ἐν Ἀφρικῇ *πρὸς τὸν Πύῤῥον Προσδιάλεξις* (Συνόδ. Συλλ. τόμ. β. σελ. 397-411), καὶ οἱ λοιποὶ θησαυροὶ τῆς διδασκαλίας τοῦ μεγάλου τούτου καὶ θεοῤῥήμονος διδασκάλου τῆς Ἐκκλησίας (ϐ).

§. σλη. Μαρτῖνος, ὁ μακάριος Πάπας Ῥώμης (τῷ 649) προτραπεὶς ὑπὸ τοῦ θείου Μαξίμου, ἐκ τῆς Ἀφρικῆς εἰς Ῥώμην ἐπιδημήσαντος, τὴν ἐν Λατεράνῳ κατὰ τῶν Μονοθελητῶν τοπικὴν συνήθροισε Σύνοδον, ἐξ ἐπισκόπων ρε (ἐν ᾗ καὶ Μάξιμος παρῆν). Ἐν δὲ ταύτῃ τὰ μὲν θεῖα τῆς ἀμωμήτου Πίστεως δόγματα τρανῶς διεκηρύχθησαν, τῶν δὲ Μονοθελητῶν ἡ αἵρεσις κατεκρίθη, καὶ ταύτης οἱ ἔξαρχοι, Σέργιος καὶ Πύῤῥος καὶ Παῦλος οἱ Κωνσταντινουπόλεως, καὶ οἱ λοιποὶ (ὁ δὲ τῆς Ῥώμης Πάπας Ὀνώριος, καί τοι συναιρεσιώτης, ἀπεσιωπήθη· μετὰ ταῦτα δὲ ὅμως συγκαθυπεβλήθη τῷ ἀναθέματι καὶ οὗτος, ἐν τῇ κατὰ τὴν Κωνσταντινούπολιν συνελθούσῃ ϛ, Οἰκουμενικῇ Συνόδῳ). Ἐπειδὴ δὲ ὁ τότε Αὐτοκράτωρ Κώνστας τὴν μονοθελῆτιν ἐνόσει μανίαν· εἶδε δὲ καὶ ὃν εἰς τὴν Σύνοδον ἀπέστειλεν αἱρετικὸν *Τύπον*, ἄπρακτον καὶ ἀπαράδεκτον ἀποϐάντα, τὸν μὲν τρισόλϐιον Μάξιμον ἁρπάσας ἐκ Ῥώμης, ἀπέπεμψε δέσμιον καὶ ὑπερόριον, πολλαχοῦ μετατοπίζων (καθὰ προείπομεν)· τὸν δὲ πάπαν Μαρτῖνον ἐξώρισεν εἰς Χερσῶνα, ἔνθα καὶ ἐτελεύτησε (τῷ 653· ἡ δὲ μνήμη αὐτοῦ, Σεπτεμ. κ). Ταύτης οὖν τῆς ἐν Λατεράνῳ Συνόδου τὰ Πρακτικὰ πέντε περιέχουσι Πράξεις (ϐλ. Συνόδ. Συλλογ. τόμ. ϐ. σελ. 431 - 522), ἐν αἷς αὐτοῦ τε τοῦ μακαρίου Μαρτίνου ἀναγινώσκονται *Διαλαλιαί*, καὶ δέκα πρὸς διαφόρους *ἐπιστολαί*, οἷον ἡ πρὸς τὴν ἐν Καρθαγένῃ Ἐκκλησίαν, καὶ ἡ

(α) Βλ. Scalig. De emend. Temp. L. IV. p. 736.

(ϐ) Βλ. τοῦ ἁγίου Μαξίμου τὰ συγγράμματα, καὶ τὰς τούτων ἐκδόσεις παρὰ Φαϐρικίῳ Bibl. Graec. T. 9. p. 635 — 677. Harl.

πρὸς τὴν ἐν Ἱεροσολύμοις καὶ Ἀντιοχείᾳ, καὶ πρὸς τὸν Θεσσαλονίκης, καὶ ἄλλαι πρὸς ἄλλους· καὶ αὐτῆς δὲ τῆς Συνόδου ἡ πρὸς τὸν αὐτοκράτορα Κώνσταν Ἐγκύκλιος ἐπιστολὴ, καὶ ἑτέρα ἐγκύκλιος πρὸς πάντας τοὺς Χριστιανοὺς, καὶ ἄλλων πάλιν πρὸς τὴν Σύνοδον ἀναφοραί. Ἐν πᾶσι δὲ τούτοις αὐτός τε ὁ Πάπας καὶ οἱ λοιποὶ πάσας, ὅσας συνάμα μετὰ τῶν ἀποστολικῶν καὶ προφητικὰς ἐκφέρουσι πολυπληθεῖς μαρτυρίας πρὸς ἔλεγχον τῆς αἱρέσεως, βεβαίωσιν δὲ τῶν τῆς ἀμωμήτου Πίστεως δογμάτων, γράφουσι τὰς πάσας, ὡς θείας φωνὰς, κατὰ τὴν ἑρμηνείαν τῶν Ο (α).

§. σλθ. Ἀγάθων Πάπας Ῥώμης (τῷ 679) ὁ ἁγιώτατος (ἄγει καὶ τούτου μνήμην ἡ Ἐκκλησία τῇ κ Φεβρουαρ.), ἐφ' οὗ ἡ ϛ, Οἰκουμενικὴ συνεκροτήθη Σύνοδος, ἔγραψε πρὸς τὸν αὐτοκράτορα Κωνσταντῖνον τὸν Πωγωνάτον δύω ἐπιστολὰς (αἵτινες ἐν τῇ ϛ, Συνόδῳ ἀνεγνώσθησαν, καὶ νῦν ἀναγινώσκονται ἐν τοῖς Πρακτικοῖς, πράξ. δ), τὴν μὲν Συνοδικὴν (μετὰ τῆς περὶ αὐτὸν Συνόδου), τὴν δὲ καὶ αὐτὸς κατὰ μόνας (β). Ἐν δὲ ταύτῃ διακηρύττει τὴν ὀρθόδοξον

(α) Βλ. Συνόδ. Συλλ. Τόμ. Β. σελ. 416, 418, 426, 432, 444, 458, 463. 473, 475, 479, 485 (ὅπου καὶ ῥήσεις ἐκ τῆς Σωσάννης), 501, 505, 520 κτλ.

(β) Ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Συνοδικῇ τοῦ Πάπα Μαρτίνου ἐπιστολῇ μνημονεύεται καὶ «Θεόδωρος τῆς μεγάλης νήσου Βρεττανίας ἀρχιεπίσκοπος, καὶ φιλόσοφος» (Συνόδ. Συλλ. τόμ. β. σελ. 554), Οὗτός ἐστιν ὁ διασημότατος Καντουαρίας ἀρχιεπίσκοπος Θεόδωρος, ἕλλην τὸ γένος καὶ τὴν φωνὴν, τὴν πατρίδα Ταρσεὺς, ἐκ Ταρσοῦ τῆς Κιλικίας, γνήσιος τοῦ Ἀποστόλου Παύλου συμπατριώτης. Πολὺς δὲ τούτου παρὰ τοῖς ἱστορικοῖς ὁ λόγος ἐπί τε σοφίᾳ καὶ ἀρετῇ. Ἀφικόμενος εἰς τὴν Ῥώμην, χειροτονεῖται Καντουαρίας ἀρχιεπίσκοπος ὑπὸ τοῦ Πάπα Βιταλιανοῦ (τῷ 668). Ἀπελθὼν δὲ εἰς ἣν θεόθεν ἐκληρώθη πολυπληθεστάτην Ἐκκλησίαν, κατήρτισε καὶ ἐκόσμησεν αὐτὴν πολλαχῶς· καὶ τὴν περὶ τὸν χρόνον τῆς τοῦ Πάσχα ἑορτῆς, καὶ εἴ τινας ἄλλας εὗρηκε καταχρήσεις διώρθωσε· καὶ πρῶτος εἰσήγαγεν ἄλλας τε κανονικὰς διατάξεις τῶν ἁγίων Πατέρων τῆς Ἀνατολικῆς Ἐκκλησίας (ᾗ συνεφώνει τότε καὶ ἡ Δυτικὴ), καὶ ἰδίως τοὺς περὶ τῶν μετανοούντων ὡρισμένους κανόνας, ἐξ ὧν συνέταξε τὸ μέγα Κανονικὸν (**Poenitentiale**). Τότε πρῶτον (ὃ καὶ σημειώσεως ἄξιον) ἐκ τούτου τοῦ ἀειμνήστου τῆς Βρετανικῆς Ἐκκλησίας ἀρχιποίμενος ἔσχεν ἅπασα ἡ Δυτικὴ Εὐρώπη τοιοῦτο βιβλίον κανονικόν. Καὶ πρὸς τὴν σπουδὴν δὲ τῶν γραμμάτων μάλιστα παρώτρυνε καὶ διήγειρε τοὺς μεγαθύμους

αὐτοῦ ὁμολογίαν «*ἐκ τῆς ἐν τῇ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ θεοπνεύστου διδασκαλίας*». Καὶ ῥήσεις ἐκ τῶν Ψαλμῶν ἐκφέρει κατὰ τοὺς Ο.

§. σμ. Ἡ Ϛ, Οἰκουμενικὴ καὶ ἁγία Σύνοδος ἐπὶ αὐτοκράτορος Κωνσταντίνου τοῦ Πωγωνάτου, καὶ Γεωργίου τοῦ Οἰκουμενικοῦ Πατριάρχου, ἐκ σπθ (α) θεοφόρων Πατέρων ἐν Κωνσταντινουπόλει κατὰ τῆς δυσσεβεστάστης αἱρέσεως τῶν Μονοθελητῶν συγκροτηθεῖσα (τῷ 680), ἔν τε τῇ Ἐκθέσει τῆς ὀρθοδόξου Πίστεως, καὶ ἐν τῷ πρὸς τὸν φιλόχριστον αὐτοκράτορα προσφωνητικῷ αὐτῆς Λόγῳ, ταῖς ἐκ τῶν Ο, κέχρηται μαρτυρίαις, ὡς μίαν ταύτην καὶ μόνην ἐπιγινώσκουσα καὶ διακρατοῦσα ἐκκλησιαστικὴν καὶ ἀποστολοπαράδοτον Γραφήν (βλ. Συνόδ. Συλλ. Τόμ. Ϭ. σελ. 651-690). Ὡσαύτως καὶ ἐν τῇ πρὸς τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης Πάπαν Ἀγάθωνα Συνοδικῇ αὐτῆς ἐπιστολῇ, τὰ ψηφισθέντα διακοινοῦσα, πρὸς ταῖς ἄλλαις Γραφικαῖς ἐκφράσεσι, λέγει καὶ ταῦτα· «Τὴν τῆς ἔναγχος ἀναφανείσης αἱρέσεως πολυπλανῆ δόξαν κατεστρεψάμεθα, καὶ αὐτοὺς (τοὺς αἱρετικοὺς), ὡς περὶ τὴν Πίστιν ἡμαρτηκότας, *εἰς τὰς πρωΐας ἔξω τῆς παρεμβολῆς* τῶν αὐλῶν τοῦ Θεοῦ, Δαϐιτικῶς εἰπεῖν, τοῖς ἀναθέμασιν *ἀπεκτείναμεν*» (Ψαλμ. ρ, 8. Λευΐτ. κδ). Ὀνομάζει δὲ διαῤῥήδην καὶ τοὺς ἀναθεματισθέντας

Βρετανοὺς ὁ ἀοίδιμος οὗτος Θεόδωρος. Ἔφερε γὰρ μεθ' ἑαυτοῦ μεγάλην βιβλιοθήκην, πολλὰ χειρόγραφα περιέχουσαν συγγράμματα, Ἑλληνικὰ καὶ Λατινικά. Ἐκ δὲ τῶν Ἑλληνικῶν θαυμάζονται μάλιστα, α) τὰ Ὁμήρου ποιήματα, οὕτω λαμπρῶς καὶ ἐξαιρέτως ἀντιγεγραμμένα, ὥστε ὑπερεῖχον καὶ αὐτῆς τῆς τυπογραφικῆς τέχνης τὴν ἀκρίβειαν· (εἷς τόμος παχὺς, καὶ ὁ χάρτης ἀρχαῖος). Ϭ) Ὁμιλίαι τοῦ Χρυσοστόμου (ἐν διφθέρᾳ περγαμηνῇ). γ) Τὸ Ψαλτήριον τοῦ Δαυίδ. καὶ δ) τὸ ὑπομνηστικὸν τοῦ Ἰωσήπου. «Ἔργα (λέγει ὁ κλεινὸς Καϐέος) καὶ ἐν τῷ καθ' ἡμᾶς αἰῶνι τῷ ὄντι σπάνια, διὰ τὴν ἐξαίρετον τῶν χαρακτήρων γραφὴν, καὶ διὰ μνήμης καὶ φήμης ἀϊδίου ἄγεσθαι ἄξια» (βλ. Cave p. 326. πρβλ. Du-Pin, Nouv. Bibl. T. 6. p. 19—Fabric. Bibl. Graec. T. X. 383. XI. p. 51. Harl.).

(α) Οὕτω Θεόδωρος ὁ Ἱεροσολύμων ἐν Συνόδ. Συλλ. Τόμ. Β. σελ. 765 (κατ' ἄλλους, ρο).

τῆς αἱρέσεως ταξιάρχας, ἐν οἷς καὶ τὸν *Πάπαν Ὀνώριον* (Συνόδ. Συλλ. Τόμ. Β. σελ. 664. πρβλ. 656). Ὡσαύτως καὶ αὐτὸς ὁ Β, Λέων, ὁ Πάπας (διάδοχος τοῦ Ἀγάθωνος, μεταξὺ ἀποθανόντος) ἐν τῇ *γνησιωτάτῃ* πρὸς τὸν αὐτοκράτορα Κωνσταντῖνον ἐπιστολῇ (δι' ἧς τὰ κατὰ τὴν Ϛ, Οἰκουμενικὴν Σύνοδον πραχθέντα καὶ ὁρισθέντα ὁμολογεῖ καὶ ἐπικυροῖ, χρώμενος καὶ αὐτὸς ἐκ τῶν Ο, ῥητοῖς), καὶ οὗτος πρὸς τοῖς ἄλλοις αἱρετικοῖς συναναθεματίζει καὶ τὸν Ὀνώριον, «ὅστις (φησὶ) τὴν ἀποστολικὴν ταύτην (τῆς Ῥώμης) Ἐκκλησίαν — τῇ βεβήλῳ προδοσίᾳ μιανθῆναι, τὴν ἄσπιλον, παρεχώρησε» (αὐτόθ. σελ. 677). Καὶ ταῦτα μὲν οὕτως (α). Ἡ δὲ Ϛ, Οἰκουμενικὴ καὶ τοὺς ἱεροὺς αὐτῆς Κανόνας, οὓς ὕστερον (ἐν Τρούλλῳ) θείῳ Πνεύματι ἐθέσπισε, πολλάκις καὶ διὰ τῶν θείων τῆς Γραφῆς ῥητῶν ἐπιβεβαιοῖ· οἷον τὸν ΝΔ κανόνα, ἐκ τοῦ Λευϊτικοῦ ιη' τὸν ΞΔ, ἐκ τοῦ Παροιμ. κγ. τὸν ΞΕ, ἐκ τοῦ Δ, Βασιλ. κα. τὸν ΠΖ, ἐκ τοῦ Ἱερεμ. γ, καὶ Παροιμ. ιη, τὸν Ρ, ἐκ τοῦ Παροιμ. δ. Ἐν δὲ τῷ Γ, καὶ τὴν τῶν Ο χρονολογίαν ἐπικυροῖ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ.

(α) Οὕτως ὁ Β, Λέων ὁμολογεῖ εἰλικρινῶς αἱρετικὸν τὸν Ὀνώριον ὅπερ ὁ μακάριος Μαρτῖνος ἀπεσιώπησε. Καὶ αὐτὸς ὁ ἱερὸς Ἀγάθων εἶπε φιλοτιμότερον· ὅτε εἰς τὴν τοῦ Πέτρου Ἐκκλησίαν (τὴν Ῥωμαϊκὴν) οὐδέποτε ἐξέλιπεν ἡ πίστις τοῦ Πέτρου, καὶ τὰ λοιπὰ (βλ. Συνόδ. Συλλ. Τόμ. β. σελ. 539). Ὁ δὲ πάπας Ἰωάννης ὁ Δ, (τῷ 640) συνέγραψε καὶ Ἀπολογίαν πρὸς τὸν αὐτοκράτορα Κωνσταντῖνον, ὅτι ὁ Ὀνώριος οὐκ ἦν μονοθελήτης (βλ. Binij Concil. T. 4. p. 620). Καὶ ὅμως αὐτὸς οὗτος ὁ Αὐτοκράτωρ δι' ἰδίου Διατάγματος, ἐν τῷ Νάρθηκι τῆς μεγάλης Ἐκκλησίας ἀνατεθέντος, διεκήρυξε πανδήμως καὶ τὸν Ὀνώριον ἕνα τῶν ἄλλων Μονοθελητῶν (Συνόδ. Συλλ. τόμ. β. σελ. 667). καὶ τὸ πρᾶγμα ὑπάρχει ἀναντίρρητον. Ἀλλ' οἱ Παπικοὶ διατείνονται χερσί τε ποσί τε κατὰ ταύτης τῆς ἀληθείας, μάτην πονοῦντες. Καὶ Βαρόνιος, καὶ Βελλαρμῖνος, καὶ ἄλλοι, πλίνθον πλύνουσιν, ἐπιχειροῦντες ἀντιλέγειν πρὸς δύω Συνόδους Οἰκουμενικὰς τὴν ς, καὶ τὴν Ζ, πρὸς δύω Πάπας, καὶ τρίτον ὕστερον, τὸν Ἀδριανὸν (ἐπὶ τῆς Ζ, Συνόδου), πρὸς τὸν Φώτιον (ἐν τῷ Συνοδικῷ, καὶ ἐν τῇ Μυριοβίβλῳ Ἀναγν. ιθ, ὅπου γελοίως ὁ παπικὸς ἐκδότης διὰ μακροῦ σχολίου ἀντιλέγει!), πρὸς αὐτὴν τὴν παλαιὰν λατινικὴν Βίβλον ἡμερήσιον, ἢ Ἐφημερίδα (Liber Diurnus), πρὸς τοσούτους ἱστορικοὺς, βεβαιοῦντας, ὅτι ὁ Ὀνώριος καὶ μετὰ θάνατον ἀνεθεματίσθη. Ἀλλ' ὁ κλεινὸς Δουπῖνος ἄγαν εἰλικρινῶς βεβαιοῖ τὴν ἀλήθειαν, ἐξελέγχων τὰ τοῦ Βαρονίου. Nouv. Bibl. T. VI. p. 67. πρβλ. Cave T. 2. p. 139. καὶ T. 1. p. 338.

785). Ἐν δὲ τῷ πρὸς αὐτοκράτορα προσφωνητικῷ (αὐτόθ. σελ. 681) «*ὅπου γάρ εἰσι* (λέγει) *δύω, ἢ τρεῖς, συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν*, ἡ Κυρία» (ἴσ. γρ. *ἡ Κυριακὴ*) «ἔφη φωνή· καὶ πάλιν δι' Ἱερεμίου ἡμῖν ἀνέκραξεν· *Ἐκζητήσατέ με ἐν ὅλῃ καρδίᾳ ἡμῶν, καὶ ἐπιφανοῦμαι ὑμῖν*» (Ἱερεμ. λϛ, 13).

§. σμα. Ἰουλιανὸς ὁ Πομήριος, ἱσπανὸς, Τολήτου ἐπίσκοπος (τῷ 680), ἐπίσημος ἐπ' ἀρετῇ καὶ ζήλῳ τῆς εὐσεβείας, συνέγραψε λατινιστὶ ἄλλα τε ποικίλα, καὶ «*Ἀπόδειξιν τῆς* ϛ (τοῦ κόσμου) *ἡλικίας, κατὰ Ἰουδαίων, ἐν βιβλίοις τρισὶ* (βλ. ὄπισθ. Βιβλ. Γ, σελ. 885). Ἐν δὲ ταύτῃ τῇ συγγραφῇ διακηρύττει τὸ τῶν Ο ἔργον θεόπνευστον. «Μᾶλλον γὰρ (φησι) προφητῶν ἐπαγγελίαν, ἢ μεταφραστοῦ πληροῦντες ἔργον, μεθηρμήνευσαν κατὰ θείαν ἀποκάλυψιν τὰς Γραφάς». Καὶ τούτων τὴν ἑρμηνείαν προτιμᾷ καὶ αὐτοῦ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ, ὃ καὶ διεφθαρμένον μάλιστα περὶ τὴν χρονολογίαν ἀποφαίνεται. Καὶ ῥήσεσι δὲ χρῆται τῆς τῶν Ο Ἰτάλας, *ἡμετέρους κώδηκας* αὐτὴν ὀνομάζων· τὴν δὲ καθ' Ἱερώνυμον, *ἑβραϊκὴν μετάφρασιν* ἀποκαλεῖ· καίτοι χρώμενος, ἔστιν ὅπου, καὶ ἐξ αὐτῆς μαρτυρίαις (α).

§. σμβ. Γρηγόριος ὁ Β, Πάπας Ῥώμης, καὶ Ῥωμαῖος τὸ γένος, (τῷ 715) ἔγραφε πρὸς τὸν αὐτοκράτορα Λέοντα τὸν Ἴσαυρον, ἤδη κινοῦντα τὴν πανώλεθρον εἰκονομαχίαν, *δύω ἐπιστολὰς* (β),

(α) Βλ. Pezron Défense de l'antiq. des Tems p. 34, 477. Τῷ 701 ἤκμασε καὶ Βέδας ὁ Βενεράβιλις, περὶ οὗ προείπομεν Βιβλ. Γ. σελ. 787, 971.

(β) Ἐν τῇ α, ἐπιστολῇ φέρονται καὶ οἱ ἑξῆς λόγοι τοῦ εἰκονομάχου Λέοντος τοῦ Ἰσαύρου. «Ὁ Ὀζίας» (τουτ. ὁ Ἐζεκίας, βλ. Δ. Βασιλ. ιη, 4) «βασιλεὺς τῶν Ἰουδαίων, μετὰ 800 ἐνιαυτοὺς (ἀπὸ Μωσέως) ἐξήγαγε τὸν χαλκοῦν ὄφιν ἐκ τοῦ Ναοῦ· κἀγὼ μετὰ 800 ἐνιαυτοὺς (ἀπὸ Χριστοῦ) ἐξήγαγον τὰ εἴδωλα ἀπὸ τῶν Ἐκκλησιῶν» (Συνόδ. Συλλ. τόμ. β. σελ. 714). Καλὸν καὶ ἄξιον τὸν ἔλεγχον τῆς ἑαυτοῦ δυσσεβείας ὁ Λέων ἐξέφερεν· ὁμολογεῖ ὁ ἄνθρωπος εἰλικρινῶς, ὅτι δι' ὅλων τῶν ἀπὸ Χριστοῦ Σωτῆρος μέχρις αὐτοῦ διελθόντων 800 ἐνιαυτῶν, εἶχε καὶ ἐσέβετο ἡ Ἀποστολικὴ Ἐκκλησία τὰς ἁγίας εἰκόνας, ἃς αὐτὸς ἐξεδίωξεν, ὡς εἴδωλα! Μόνον τοῦτο τὸ ἀπόφθεγμα σιωπῶσιν οἱ νεώτεροι σοφοὶ εἰκονοκλάσται, πάντα δὲ τ' ἄλλα τὰ στωμύλα ἐπιχειρήματα τοῦ ἰουδαΐζοντος καὶ Σαρακηνό-

ὧν ἡ πρώτη γέμει ῥήσεων καὶ ἱστορικῶν παραδειγμάτων τῆς Παλαιᾶς Γραφῆς, κατὰ τὴν ἑρμηνείαν τῶν Ο (Συνόδ. Συλλ. τόμ. 6. σελ. 712). Καὶ ἔστι μὲν ἀξιάγαστος καὶ ἀείμνηστος ὁ ὑπὲρ τῶν ἁγίων Εἰκόνων ζῆλος τῆς εὐσεβείας τοῦ καρτερόφρονος τούτου Πάπα, καὶ πάντα δὲ τἄλλα, ὅσα γράφει σύμφωνα τῇ ἀποστολικῇ διδασκαλίᾳ. Ἀποσιωπητέα δὲ καὶ ἡ φράσις, ἣν ἔγραψεν, ὅτι «*τὸν ἀπόστολον Πέτρον πᾶσαι αἱ βασιλεῖαι τῆς Δύσεως Θεὸν ἐπίγειον ἔχουσι*» (τοιοῦτο φρόνημα τρέφοντες οἱ τότε τῆς Δύσεως δορυκτήτορες, οὐδὲν θαυμαστὸν εἰ καὶ τὸν τοῦ Πέτρου διάδοχον ἐπίστευσαν, καὶ ἀνηγόρευσαν, ἀναμάρτητον *ἐπίτροπον τοῦ Θεοῦ* ἐπὶ τῆς γῆς!). Ἀλλὰ τὰ ἐφεξῆς τῆς ἐπιστολῆς οὔτε πάνυ καλὰ, οὔτε ὅλως ἱερατικὰ, ἀλλὰ καί πως ἀνταρτικά. Ἀπειλεῖ τῷ Αὐτοκράτορι ἀποστασίαν τῆς Ἰταλίας, καὶ δείκνυσιν αὐτῷ καὶ μακρόθεν τοὺς περιστοιχοῦντας τὴν Ῥώμην ἀγρίους Λογγοβάρδους καὶ Σαρμάτας, εἰς ὧν τὰς λόγχας ἐλπίζων, κατεφρόνει παῤῥησίᾳ τῆς πολιτικῆς ἐξουσίας τοῦ Αὐτοκράτορος. «Εἰ (φησὶν) εἰκοσιτέσσαρα στάδια ἐξέλθῃ ὁ Πάπας τῆς Ῥώμης» (εἰς τὴν Ῥάβενναν, κατεχομένην ὑπὸ τῶν Λογγοβάρδων) «*οὐδὲν προτιμᾷ σε*»! Καὶ τέλος, ἐξήγειρε τὴν ἐπανάστασιν, τοὺς ἐκ τῆς Ἰταλίας πρὸς τὸν Αὐτοκράτορα φόρους ἐπισχὼν (ὡς ὁ Ζωναρᾶς ἱστορεῖ), καὶ τοὺς Φράγγους εἰς βοήθειαν μετακαλέσας. Ὥστε πρῶτος Πάπας τοῦ Ῥωμαϊκοῦ κράτους ἀποστάτης, ὑπῆρξεν οὗτος ὁ Γρηγόριος, προσαλπίσας τὸν ἐνυάλιον τῷ διαδόχῳ Γρηγορίῳ τῷ Γ, καὶ τοῖς ἑξῆς (α).

φρονος Ἰσαύρου, καὶ τῶν περὶ τὸν υἱὸν καὶ διάδοχον αὐτοῦ, τὸν Καβαλῖνον, ἀσμένως ἀντιγράφουσι καὶ αὐτοὶ κατὰ τῶν Ὀρθοδόξων, καὶ εἰδωλολάτρας, καὶ εἰκονοδούλους, καὶ εἰκονομανεῖς αὐτοὺς ἀποκαλοῦντες! (βλ. Cave p. 337, 375).

(α) Τοῦτο διακηρύττει καὶ αὐτὸς ὁ σοφὸς Βαρόνιος. «Ἐπειδὴ (φησιν) ὁ πάπας Γρηγόριος λόγοις τε καὶ γράμμασιν οὐκ ἴσχυσε τὸν αὐτοκράτορα ἀποστῆσαι τοῦ ἐγχειρήματος (τῆς εἰκονομαχίας), ἐννοήσας, ὅτι πάρεστιν ἤδη ὁ καιρὸς, ἵνα ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τοῦ δυστήνου δένδρου ἐπιτεθῇ, «Ἐκκόψατε αὐτὸ», ἀνεβόησεν, Ἀποστολικῇ χρησάμενος αὐθεντίᾳ» (ἴσως ἐννοεῖ τὴν ἐπὶ τοῦ κήπου αὐθεντίαν τῆς μαχαίρας τοῦ ἀποστόλου Πέτρου! ἀλλ' ἐκείνη μόνον

Πόσον δὲ τούτου διέφερεν ὁ τότε Πατριάρχης Κωνσταντινουπόλεως ἀοίδιμος Γερμανός! (ὃν μεγάλως καὶ αὐτὸς ὁ Γρηγόριος ἐπαινεῖ), ὅστις 95 ἔτος ἄγων, καὶ ὑπεξούσιος διάγων τοῦ αὐτοκράτορος, ἀντέστη μὲν γενναίως πρὸς τὸ παράνομον αὐτοῦ βούλημα, καὶ κατὰ πάντα τρόπον ἐσπούδασεν αὐτὸν ἐπιστρέψαι, διδάσκων καὶ παρακαλῶν. Ἐπειδὴ δ' ἐκώφευεν ἡ τοῦ τυράννου μανία, ἀπήχθη εἰς τὴν ἐξορίαν χαίρων, καὶ μηδὲν ἀντιλέγων, ὡς γνήσιος τῶν ὑπὲρ Χριστοῦ παθόντων Ἀποστόλων διάδοχος. Καὶ ταῦτα μὲν παρείσθω τοῖς ἱστορικοῖς· ὁ δὲ Πάπας Γρηγόριος καὶ πρὸς τὸν θεῖον Γερμανὸν ἔγραψεν ἐπιστολὴν ὑπὲρ τῶν ἁγίων Εἰκόνων, οὐκ ὀλίγαις ἐκ τῶν Ο ῥήσεσι προφητικαῖς διηνθισμένην· μνημονεύει δὲ καὶ τοῦ Βὴλ (καὶ Δράκοντος), καὶ τῆς Ἰουδεὶθ τὴν ἱστορίαν (βλ. Πρακτ. τῆς Ζ, Συνόδ. πράξ. δ).

§. σμγ. Γερμανὸς, ὁ θεσπέσιος Πατριάρχης Κωνσταντινουπόλεως, καὶ Ὁμολογητὴς τῆς εὐσεβείας (τῷ 715), ἀπὸ τῆς μητροπόλεως Κυζίκου τὸν Οἰκουμενικὸν θρόνον ἀναβὰς, ἔργοις τε καὶ λόγοις διαλάμψας, καὶ γενναίως ὑπὲρ τῶν ἁγίων Εἰκόνων δι' ὅλης τετραετίας ἀγωνισάμενος, ἐξωθεῖται, τέλος, ὑπὸ τοῦ δυσσεβοῦς Ἰσαύρου, καὶ πέμπεται ὑπερόριος. «Ὁ μακάριος Γερμανὸς, ὁ βίῳ καὶ λόγῳ ἐξαστράπτων, καὶ ἐῤῥαπίσθη, καὶ ἐξόριστος γέγονε» (Δαμασκ. τόμ. α. σελ. 339). Τούτου τοῦ μακαρίου Πατρὸς (ἑορτάζεται Μαΐου ιβ) σώζονται λόγοι τρεῖς, καὶ ἐπιστολαὶ, (βλ. τῆς Ζ, Συνόδ. Πράξ. δ), καὶ βίβλος ἐπιγεγραμμένη «*Ἐκκλησιαστικὴ ἱστορία καὶ Μυστικὴ θεωρία*» (δηλονότι ἐξήγησις τοῦ μυστηρίου τῆς θείας λειτουργίας, καὶ τῶν κατ' αὐτὴν ἐν τῇ Ἐκκλησίᾳ τε-

---

ἑνὸς ἓν ἀπέκοψεν ὠτίον, καὶ τοῦτο ἰαθέν· ἡ δὲ ἀποστολικὴ τοῦ πάπα αὐθεντία ἐπλήρωσεν αἱμάτων τὴν Ῥάβενναν καὶ τὴν Ἰταλίαν· ἄκουε καὶ τὰ ἑξῆς) «Πρὸς ταύτην (τοῦ Ποντίφηκος) τὴν βροντὴν οἱ Δυτικοὶ χριστιανοὶ αὐτίκα διεγερθέντες, ἀπέστησαν ὁλοτελῶς ἀπὸ τῆς τοῦ Λέοντος αὐτοκρατορίας, καὶ προσεκολλήθησαν τῷ ἀποστολικῷ Ποντίφηκι!» κτλ. Ἰδοὺ τὰ προοίμια τῆς κοσμαρχίας τοῦ Δούλου τῶν δούλων τοῦ Θεοῦ! (Baron. ad Ann. 730. Num. 5). πρβλ. Cave p. 337. καὶ τὸν ἡμέτερον Δοσίθεον περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχ. ς. κεφ. ιθ. §. 5. σελ. 624.

λουμένων ἐξιστόρησις, ἢ διαγραφή). Ἐν δὲ ταύτῃ διὰ προφητικῶν καὶ ἀποστολικῶν ῥητῶν ἱερολογῶν, τὴν θειότητα τοῦ μυστηρίου ἀποδείκνυσιν (α). Ὁ δὲ πολὺς Φώτιος διέσωσεν εἰς ἡμᾶς περίληψιν καὶ ἄλλης τοῦ Πατρὸς μηκέτι σῳζομένης συγγραφῆς, ἧς ἡ ἐπιγραφὴ, *Ἀνταποδοτικὸς*, ἢ *Ἀνόθευτος* λόγος, δι' οὗ τὰς εἰς τρία συγγράμματα τοῦ θείου Γρηγορίου τοῦ Νύσσης ὑπὸ τῶν φθορέων Ὠριγενιστῶν ῥαδιουργηθείσας νοθεύσεις δημοσίως ἐξεθεάτρισεν ὁ μέγας οὗτος τῆς ἀληθείας συνήγορος, καὶ τὸ μυθῶδες ἐξήλεγξε τῆς αἱρέσεως ἔκ τε τῶν δεσποτικῶν τοῦ Κυρίου φωνῶν, καὶ ἀπὸ τῶν ἀποστολικῶν κηρυγμάτων, οἷς καὶ *προφητικὰς* ἐπισυνῆψε *μαρτυρίας*, τρανολογούσας τοῦ θείου δόγματος τὴν ἀλήθειαν. «Ἔστι δὲ τὴν φράσιν (φησὶν ὁ Φώτιος) καθαρός τε, καὶ

(α) Τοῦτο τὸ περὶ τῆς Μυστικῆς θεωρίας φιλοπόνημα τἠνάλλως ὁ Ἀλλάτιος καί τινες ἄλλοι τῶν κριτικῶν ἀπένειμαν εἰς τὸν Γερμανὸν τὸν νεώτερον (τῷ 1240)· οὕτω καὶ Δουπῖνος (Nouv. Bibl. T. 6. p. 90), καὶ εἴ τις ἕτερος (βλ. καὶ Fabric. Bibl. Græc. T. XI. p. 161. Harl). Ἀλλὰ μάτην εἰς ὑπονοίας ἐνέπεσαν. Καὶ τὸ ὕψος τῶν νοημάτων, καὶ ἡ φράσις, καὶ οἱ πλεῖστοι κώδηκες τὸν θεῖον Γερμανὸν ἀποδεικνύουσι τοῦ πονήματος πατέρα. Ὁμολογεῖ δὲ τοῦτο καὶ Ῥιχάρδος ὁ Σιμώνιος (ἐν τοῖς εἰς τὸν Γαβριὴλ Σευῆρον τὸν Φιλαδελφίας σημειώμασι, σελ. 249, 287)· πρβλ. καὶ Ζοιρνικάβιον τόμ. α. σελ. 141. Ἡ Μυστικὴ θεωρία ἐξεδόθη ἐν τῇ τῶν Πατέρων Βιβλιοθήκῃ τόμ. β. σελ. 131-197, καὶ Ἐνετίῃσι, τῷ αχοβ, ὑπὸ Γεωργ. Σουγδουρῆ. Σημειωτέον δὲ, ὅτι ἐν τῷ κειμένῳ (σελ. 155) μετὰ τὸ, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου» ἐπιφέρονται καὶ τὰ ἑξῆς. «Τὸ Ἑβραϊκὸν οὕτω κεῖται. Ὡσανὰ, ἀδοναῒ ἀσδινὰ, βαροὺχ πατὴρ αββὰθ σεμνὰ δενιὰν σαβαώθ»· ἀλλὰ ταῦτα προφανῶς εἰσὶ παρέγγραπτα, παρεισφρήσαντα εἰς τὸ κείμενον ἐκ τῆς ᾤας, ὅπου τις ἑβραΐζων ἔγραψε τὰς λέξεις, παραβάλλων δῆθεν αὐτὰς πρὸς τὸ «Ὡσανὰ, εὐλογημένος ὁ ἐρχόμενος»· οἱ δ' ἀντιγραφεῖς καὶ ἐπὶ πλέον παρεμόρφωσαν, καὶ συνέχεον τὰ ῥημάτια· μεταξὺ δὲ τούτων, οἷον ἄρτυμα, εὑρίσκεται καὶ τὸ πατὴρ πρὸς τῷ ἀββὰθ ὡς ἐπεξήγησις! Ὅτι δὲ ὁ θεῖος Γερμανὸς οὐκ ἔγραψε ταῦτα, πρόδηλον καὶ ἐκ τῆς τοῦ λόγου ὕφῆς, ἐν ᾗ φαίνονται περιττεύοντα καὶ παρένθετα. Τί δὲ καὶ ὅλως ἐχρῆν, ἐν ᾧ τὸν ἐπὶ τῆς θείας ἱερουργίας ᾀδόμενον Τρισάγιον ὕμνον ἐξηγεῖ, μεταπηδῆσαι καὶ εἰς τὸ ἑβραϊκὸν, οὗ τινος οὐδαμοῦ ἀλλαχοῦ ἐπεμνήσθη; ἢ τί κοινὸν ἔχει τὸ κείμενον τὸ ἑβραϊκὸν πρὸς τὸν προκείμενον τοῦ λόγου σκοπόν; Καὶ ἄλλων δὲ σφαλμάτων ἀντιγραφικῶν καὶ τυπικῶν οὐκ ἀπήλλακται ἑκατέρα ἡ ἔκδοσις.

διειδὴς, - καὶ οὐδὲν τῶν ὀφειλόντων ῥηθῆναι παρορῶν. Ἀλλ' ἐςιν, ὥσπερ τῶν εὐσεβῶν δογμάτων κανὼν ἀπαρέγκλιτος, οὕτω καὶ τῶν, εἴ τις ἐθέλει λόγους γράφειν δυνατοὺς, καὶ σαφεῖς, καὶ χαρίεντας, καὶ πνευματικὴν διδασκαλίαν προτιμῶντας τῆς ἐπιδείξεως, καλὸν παράδειγμα καὶ ἀξιοζήλωτον» (Ἀναγν. σλγ).

§. σμδ. Κοσμᾶς ὁ Ἱεροσολυμίτης (τῷ 740), ὁ δ' αὐτὸς καὶ Ἁγιοπολίτης (ὡς ἐν *τῇ ἁγίᾳ πόλει* Ἱερουσαλὴμ ἱερατεύσας), τὸ γένος ἕλκων ἐξ Ἰταλίας (δηλονότι ἐκ τῶν ἐν Ἰταλίᾳ Ἑλλήνων), ἐπίσκοπος Μαϊουμᾶ (τῆς πρώην Ἀνθηδόνος, πόλεως ἐν Παλαιστίνῃ), καὶ ὑμνογράφος ἅγιος (ἑορτάζεται Ὀκτωβρ. ιδ), πλήρης σοφίας, «καὶ *πνέων μουσικὴν ὅλως τὴν ἐναρμόνιον*» (Σουΐδ.) (α). Συνέγραψε τοὺς ἐν τῇ Ἐκκλησίᾳ καὶ νῦν ψαλλομένους ᾀσματικοὺς κανόνας, ἄλλους τε, καὶ εἰς τὰς Δεσποτικὰς ἑορτὰς, ἐν οἷς καὶ ῥήσεις καὶ λέξεις καὶ ἔννοιαι τῶν θείων Γραφῶν διαλάμπουσι, καὶ θεολογίας ἀκρίβεια θεσμῳδεῖ· ἡ δὲ τοῦ μέλους ἡδύτης καὶ τῆς εὐγλωττίας ἡ χάρις, γλυκυτέρα μέλιτος. Ἔστι δὲ ὁ μὲν ἱερὸς Κοσμᾶς εὐογκότερος τὴν φράσιν, καὶ ποιητικώτερος τοῖς ὀνόμασιν· ὁ δὲ τούτου μαθητὴς, Ἰωάννης ὁ Δαμασκηνὸς, ὁμαλώτερος καὶ ἡδύτερος· καὶ ἀμφότεροι πνευματέμφοροι καὶ ἀπαράμιλλοι μελῳδοὶ τῶν μεγαλείων τοῦ Θεοῦ, «Οἱ γοῦν ᾀσματικοὶ Κανόνες Ἰωάννου τε καὶ Κοσμᾶ σύγκρισιν οὐκ ἐδέξαντο» (Σουΐδ.).

§. σμε. Ἰωάννης ὁ Δαμασκηνὸς (τῷ 730) (τοῦτον καὶ Μανσοὺρ οἱ ἐν Δαμασκῷ καὶ Συρίᾳ Ἄραβες ἔλεγον), πρεσβύτερος Ἱεροσολύμων, καὶ τοῦ ἱεροῦ Κοσμᾶ μαθητὴς, διακούσας τὰ ἐγκύκλια τῶν μαθημάτων καὶ τὴν μουσικήν (β). Οὗτος ἐκεῖνος, ὁ χαριτώνυμος, ὁ θεῖος Δαμασκηνὸς, ὁ *Χρυσοῤῥόας* ἐπικληθεὶς, ὅν τις καὶ μόνον ὀνομάσας, ἅπαντας τοὺς θεολόγους καὶ διδασκάλους τῆς Ἐκκλησίας συμπεριλαβὼν ἐδήλωσεν. Ἀρκεῖ δὲ πρὸς τούτου ἔπαινον ἡ παρὰ τῆς Ζ, Οἰκουμενικῆς ἁγίας Συνόδου πανεύφημος ἀναγόρευ-

(α) Βλ. Fabric. Bibl. Graec. T. XI. 173. Harl.
(β) Βλ. Fabric. Bibl. Græc. T. IX. p. 685. Harl.

σις (Συνόδ. Συλλ. τόμ. β. σελ. 879). Τούτου τοῦ θείου Πατρὸς (ἑορτάζεται Δεκεμ. δ) τὰ πλήρη θείας χάριτος καὶ σοφίας συγγράμματα γέμουσι καὶ ῥήσεων γραφικῶν, κατὰ τοὺς Ο. Καὶ ἐν μὲν τῇ τῆς Ὀρθοδόξου Πίστεως Ἐκδόσει (ἐν ᾗ πρῶτος οὗτος ὁ ἐκ Δαμασκοῦ φωστὴρ τῆς Ἐκκλησίας συνέταξε καὶ παρέδωκε τύπον καὶ ὑπόδειγμα συστηματικῆς διδασκαλίας τῆς ἱερᾶς θεολογίας), ἀπαριθμῶν τὰς θείας βίβλους τῆς παλαιᾶς Γραφῆς, καταλέγει μόνον τὰς καὶ παρ' Ἑβραίοις κανονικὰς, κατὰ τὸν Ἐπιφάνιον, ὡς προείρηται (σελ. 129). Κέχρηται δὲ μαρτυρίαις καὶ ἐκ τῆς Σοφίας τοῦ Σολομῶντος, καὶ τῆς τοῦ Σειρὰχ, ὡς ἐκ θείας Γραφῆς (τόμ. α, 255, 278 κτλ. καὶ τόμ. β. σελ. 701, 222, 412 κτλ.). Καθόλου δὲ τὸ θεόπνευστον τῶν ἁγίων Γραφῶν δογματίζων, οὐδόλως διακρίνει τὴν κατὰ τοὺς Ο, Παλαιὰν ἀπὸ τῆς Καινῆς Διαθήκης· ἀλλ' ἀμφοτέρας ὡς μίαν Βίβλον θεόπνευστον θεωρεῖ, καὶ πρὸς τὸν θεοφύτευτον Παράδεισον παραβάλλει. «Τὸν κάλλιστον (λέγει) παράδεισον τῶν Γραφῶν, τὸν εὐώδη, τὸν γλυκύτατον, τὸν ὡραιότατον, τὸν παντοίοις τῶν νοερῶν θεοφόρων ὀρνέων κελαδήμασι περιηχοῦντα ἡμῶν τὰ ὦτα, τὸν ἁπτόμενον ἡμῶν τῆς καρδίας, καὶ λυπουμένην μὲν παρακαλοῦντα, θυμουμένην δὲ κατευνάζοντα, καὶ χαρᾶς ἀϊδίου ἐμπιπλῶντα, τὸν ἐπιβιβάζοντα ἡμῶν τὴν διάνοιαν ἐπὶ τὰ χρυσαυγῆ μετάφρενα τῆς θείας περιστερᾶς (ψαλμ. μζ), — καὶ ταῖς φανωτάταις αὐτῆς πτέρυξι πρὸς τὸν μονογενῆ Υἱὸν καὶ κληρονόμον τοῦ φυτουργοῦ τοῦ νοητοῦ ἀμπελῶνος ἀνάγοντα, καὶ δι' αὐτοῦ τῷ Πατρὶ τῶν φώτων προσάγοντα» (Ὀρθοδ. πίστ. Δ. ιζ). Καὶ περὶ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων διαλεγόμενος, τὸ «Εὐαγγέλιόν (φησι) προσκυνοῦμεν, καὶ περιπτυσσόμεθα, καὶ καταφιλοῦμεν, *ὁμοίως καὶ πᾶσαν τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην*»· καὶ πάλιν. «*Καὶ προσκυνοῦμεν τὰς Βίβλους, δι' ὧν ἀκούομεν τὸν λόγον αὐτοῦ*» (περὶ Εἰκόν. λόγ. β. καὶ γ, τόμ. α. σελ. 334, 352). Ῥήσεων προφητικῶν βρύουσι καὶ πάντα τὰ θεοπρεπῆ καὶ καλλίφθογγα μέλη, καὶ πεζὰ καὶ ἰαμβεῖα, δι' ὧν ἐξυμνεῖ τὰ θειότατα τῆς Πίστεως δόγματα, καὶ τὸ μέγα τῆς

Οἰκονομίας μυστήριον ὁ Σιωνίτης οὗτος, ὁ πνευματέμφορος ἀοιδὸς, καὶ ἔξοχος τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, καὶ τῆς παντανάσσης Θεομήτορος ὑμνοπόλος. Ὅτι δὲ ἡ μουσικὴ, καθ' ἣν ἐμελοποίησε τὰς Ὠδὰς ὁ Δαμασκηνὸς, ὡς καὶ ὁ Κοσμᾶς, καὶ καθ' ἣν ᾄδομεν αὐτὰς καὶ τὴν σήμερον, ὑπῆρχε πολὺ πρότερον πρὸ αὐτῶν ἐν τῇ Ἐκκλησίᾳ, τοῦτο δείκνυσι τρανῶς ὁ μιᾷ ἑκατονταετηρίδι προγενέστερος Ἀνδρέας ὁ Κρήτης, κατὰ τὴν αὐτὴν καὶ οὗτος μελῳδήσας μουσικὴν, ἣν εὕρηκεν ἐν τῇ Ἐκκλησίᾳ, συνήθη ἤδη καὶ ἐπ' αὐτοῦ, καὶ προϋφεστῶσαν.

§. σμϛ. Ταράσιος, ὁ ἐν ἁγίοις Πατριάρχης Κωνσταντινουπόλεως (τῷ 785), τὸ γένος ἐπιφανὴς, ἐξ ἀποῤῥήτων τοῦ Αὐτοκράτορος, καὶ τοῦ ἀοιδίμου Φωτίου πατρόθειος (α). Ἐπ' αὐτοῦ συνεκροτήθη ἡ Ζ, Οἰκουμενικὴ Σύνοδος. Τούτου σώζονται, Ὁμιλία εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου («*ὅτε προσηνέχθη ἐν τῷ ναῷ τριετίζουσα*), καὶ Ἐπιστολαὶ, προφητικοῖς λογίοις πεπυκασμέναι· παραφράζει δὲ καὶ ῥῆσιν ἐκ τοῦ Α, Ἔσδρα (δ, 38, 41), τὴν, «*ἡ ἀλήθεια μένει καὶ ἰσχύει*» (Συνόδ. Συλλογ. τόμ. β. σελ. 759, 769, 895—901. κτλ.). Καὶ τὰς πρὸς τὴν Σύνοδον αὐτοῦ διαλαλιὰς κρατύνει πολλάκις ῥήμασι γραφικοῖς.

§. σμζ. Ἐν τοῖς Πρακτικοῖς τῆς Ζ, Συνόδου (Πράξ. Β καὶ Γ) ἀναγινώσκονται ἐπιστολαὶ, ἄλλαι τε, καὶ ἡ τῶν ἀρχιερέων τῆς Ἑῴας πρὸς Ταράσιον τὸν Πατριάρχην, καὶ ἡ Θεοδώρου, Πατριάρχου Ἱεροσολύμων, Ὁμολογία, καὶ δύω τοῦ Πάπα Ἀδριανοῦ, ἡ μὲν ἀναφορὰ πρὸς τοὺς αὐτοκράτορας Κωνσταντῖνον καὶ Εἰρήνην, ἡ δὲ πρὸς τὸν Πατριάρχην Ταράσιον ἐπιστολὴ, ὑπὲρ τῶν ἁγίων Εἰκόνων. Αὗται δὲ πᾶσαι ταῖς ἐκ τῶν Ο προφητικαῖς μαρτυρίαις βεβαιοῦσι μὲν τὴν Ὀρθοδοξίαν, ἐξελέγχουσι δὲ τὴν πλάνην καὶ δυσσέβειαν τῆς Εἰκονομαχίας.

§. σμη. Πᾶσα ἡ Ζ, Οἰκουμενικὴ καὶ θεοσύλλεκτος Σύνοδος

(α) Βλ. Cave p. 351.—Le Quien, Oriens Christ. T. I. p. 239. — Fabric. Bibl. Græc. T. XI. p. 183. Harl.

(τῷ 785) οὐ μόνον τὰς εἰρημένας ἐπιστολὰς ἀπεδέξατο καὶ ἐκύρωσεν (ἐν ἐκείνοις δηλονότι μόνοις, ὅσα ὀρθοδόξως καὶ συμφώνως ταῖς θείαις Γραφαῖς δογματίζουσι, *κατὰ τὴν παράδοσιν τῆς καθολικῆς Ἐκκλησίας*, ὡς εἶπεν ὡρισμένως ὁ Ταράσιος, μετὰ τὴν ἀνάγνωσιν τῆς πρὸς αὐτὸν ἐπιστολῆς τοῦ Ἀδριανοῦ. βλ. Πράξ. Γ. σελ. 750, 768), ἀλλὰ καὶ τὰς ἰδίας αὐτῆς ἀποφάνσεις ἐπὶ τῶν προφητικῶν στηρίζει ῥητῶν· οἷον· «Καὶ ὡς φησὶν ὁ προφήτης (Ἡσαΐ. ια), «*Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς*», ᾧ καὶ ἡμεῖς ἑπόμενοι, καὶ τὴν τούτου φωνὴν οἰκειούμενοι, μεγαλοφώνως βοῶμεν· Οὐ Σύνοδος, οὐ βασιλέων κράτος . . τῆς τῶν εἰδώλων πλάνης τὴν Ἐκκλησίαν ἠλευθέρωσαν, καθὼς ἐληρῴδησε τὸ ἰουδαϊκὸν Συνέδριον, τὸ κατὰ τῶν σεπτῶν Εἰκόνων φρυαχθὲν, ἀλλ' αὐτὸς ὁ τῆς δόξης Κύριος» (σελ. 806). Καὶ ἐν ᾗ κατὰ τοῦ κακοδόξου Ὅρου τοῦ ψευδοσυλλόγου (τῶν Εἰκονομάχων) συνέταξεν *Ἀνατροπῇ*, ἢ *Ἀνασκευῇ* («*ἣν τὸ Πνεῦμα τὸ ἅγιον παρέσχετο*» σελ. 826), ῥήσεσιν ἀποστολικαῖς καὶ προφητικαῖς (ἐκ τῶν Ο) πρυμνόθεν ἀνασπᾷ καὶ ἀνασκευάζει τὰς βλασφημίας τοῦ ψευδωνύμου Ὅρου τῶν δυσσεβῶν (σελ. 826 - 870). Καὶ ῥῆσιν ἐκ τοῦ Α, Ἔσδρα (τὴν αὐτὴν, ἣν καὶ Ταράσιος ἀνωτέρω, σελ. 744) μνημονεύει (σελ. 850), καὶ τῆς Σωσάννης (σελ. 855, 869), καὶ ἐκ τοῦ Σειρὰχ τὸ « Ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου » (σελ. 870). Ἀλλὰ κἀν τῇ πρὸς τοὺς βασιλεῖς προσφωνήσει (σελ. 879), κἀν ταῖς δυσὶν ἐπιστολαῖς, τῇ τε πρὸς τοὺς ἱερεῖς καὶ κληρικοὺς (σελ. 881), καὶ τῇ πρὸς τὴν Ἀλεξανδρέων ἐκκλησίαν (σελ. 904), (α) ῥήσεις προφητικὰς ἡ θεοφόρος Σύνοδος θεσπιῳδεῖ. Καὶ κατ' αὐτὴν δὲ τὴν ἀρχὴν τῶν ἐν ἁγίῳ Πνεύματι θεσπισθέντων αὐτῆς Κανόνων, ἐκ τοῦ Ψαλμῳδοῦ

(α) Αὕτη ἐπιγράφεται καὶ, « Ἐποφειλομένη πρὸς Θεὸν ἐτήσιος Εὐχαριστία, καθ' ἣν ἡμέραν ἀπελάβομεν τὴν τοῦ Θεοῦ Ἐκκλησίαν, σὺν ἀποδείξει [τῶν τῆς] Εὐσεβείας δογμάτων, καὶ καταστροφῇ τῶν τῆς κακίας δυσσεβημάτων »· καὶ ἄρχεται, « Π ρ ο φ η τ ι κ α ῖ ς ἑ π ό μ ε ν ο ι ῥ ή σ ε σ ι » κτλ. Ταύτην καὶ νῦν ἤδη ἀναγινώσκει πανηγυρικῶς ἐπ' ἄμβωνος δημοσίως πολλαχοῦ (οἷον ἐν τῇ Ῥωσσίᾳ, κτλ.) ἡ Ὀρθόδοξος Ἐκκλησία κατ' ἔτος, τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας.

προοιμιάζεται, λέγουσα· «(*Τῶν κανονικῶν διατάξεων τὰς ὑποτυπώσεις*) *δεχόμενοι ἀσμένως*, [τὰ] *τοῦ θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν Δεσπότην Θεὸν, λέγοντες*· «Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ», καὶ τὰ ἑξῆς. Καὶ ὅλον ἁπλῶς τὸν Α, αὐτῆς Κανόνα συγκροτοῦσι θεόχρηστοι ῥήσεις τῶν Ψαλμῶν, καὶ τοῦ Δευτερονομίου, καὶ τοῦ Πέτρου καὶ Παύλου παράλληλοι (πρβλ. καὶ Καν. β, ε, ις, κβ,). Κυροῦται καὶ ἡ χρονολογία τῶν Ο (Πράξ. ς) (α). Πρόσθες καὶ τὸν Ἐπιφανίου, Διακόνου Κατάνης, *ἐγκωμιαστικὸν Λόγον τῇ ἁγίᾳ Συνόδῳ προσφωνηθέντα*, θεοπνεύστοις ῥήσεσι διαλάμποντα (σελ. 890).

§. σμθ. Ἠλίας, ὁ Κρήτης μητροπολίτης (τῷ 787), ὁ καὶ ἐν τῇ Ζ, Οἰκουμενικῇ Συνόδῳ συνεδριάσας, συνέγραψεν ἄλλα τε, καὶ Σχόλια εἰς τοὺς λόγους τοῦ Θεολόγου Γρηγορίου (β), δι' ὧν μετὰ σαφηνείας ἅμα καὶ εὐγλωττίας διαλευκαίνει τὰς θεηγόρους ἐννοίας καὶ τὰς συνεπτυγμένας τῶν φράσεων τοῦ ὑψηγόρου Πατρός (γ). κρατύνει δὲ τὰς ἐξηγήσεις, ἐπάγων καὶ ῥήσεις τῆς θείας Γραφῆς· καὶ τούτων δὲ πολλάκις τὴν ἔννοιαν ἀκριβῶς ἑρμηνεύει. Καὶ ἐκ τῆς Σωσάννης, καὶ ἐκ τῆς Σοφίας Σολομῶντος μαρτυρίας παράγει συχνάς. Πολλὰς δὲ θείας ῥήσεις ἀναφέρει καὶ ἐν τοῖς προσημειωθεῖσι (σελ. 707) εἰς τὴν Κλίμακα σχολίοις αὐτοῦ. Οὗτος ἔγραψε καὶ τὰς εὐστόχους πρός τινα μοναχὸν Διονύσιον *Ἀποκρίσεις περὶ διαφόρων* (πνευματικῶν) *ἐρωτήσεων αὐτοῦ* (δ).

(α) Ἡ ἐν Πράξει Β (σελ. 747) ἐπιστολὴ τοῦ Πάπα Ἀδριανοῦ μνημονεύει χρῆσιν καὶ ἐκ τοῦ λόγου Ἱερωνύμου πρεσβυτέρου Ἱεροσολύμων, ἥτις ἐλήφθη πάντως ἐκ τοῦ θείου Δαμασκηνοῦ (περὶ Εἰκόν. λόγ. γ. Τόμ. α, σελ. 385. καὶ σχόλ. Le Quien). Ὁ δ' Ἱερώνυμος οὗτος οὐκ ἔστιν ὁ Δαλμάτης Πατὴρ (ὄπισθ. σελ. 574)· ἀλλ' ἕτερος πολὺ νεώτερος (ἴσ. τοῦ ς, αἰῶνος) Ἕλλην θεολόγος, ὁ συγγράψας τὸν πρὸς Ἰουδαῖον Περὶ τῆς ἁγίας Τριάδος Διάλογον (ἴδε τούτου ἔκδοσ. ὑπὸ Carpzov. Helmstad. 1768. πρβλ. καὶ Fabric. Bibl. G. Tom. 9. p. 295).

(β) Βλ. Fabric. Bibl. Graec. T. VIII. p. 430. Harl.

(γ) Τούτων τὴν λατινικὴν μετάφρασιν ὁ Βίλλιος ἐκδέδωκε μετὰ τῶν συγγραμμάτων τοῦ θείου Γρηγορίου (τόμ. β. σελ. 2-979). Σῴζεται δὲ τὸ ἑλληνικὸν κείμενον, χειρόγραφον κάλλιστον, ἐν Βασιλείᾳ. βλ. Fabr. Bibl. Græc. l. c.

(δ) Βλ. Leunclav. Jur. Graeco-Roman. T. I. p. 335—341.

§. σν. Γεώργιος, ὁ Σύγκελλος τοῦ ἀοιδίμου Πατριάρχου Κωνσταντινουπόλεως Ταρασίου, Βυζάντιος τὴν πατρίδα (τῷ 792), συνέγραψεν *Ἐκλογὴν χρονογραφίας* ἀπὸ Κ. Κ. μέχρι τῶν Διοκλητιανοῦ χρόνων (τῷ 280), ἐν ᾗ κατὰ τοὺς Ο καὶ χρονολογεῖ, καὶ ῥήσεις γραφικὰς ἐκφέρει, καὶ τὴν ἱστορίαν τῆς ἑρμηνείας ἐπιτρέχει, καὶ ταύτης τὸ θεόπνευστον διακηρύττει (βλ. ὄπισθ. Βιβλ. Α. κεφ. θ, §. κα. καὶ Βιβλ. Γ. κεφ. ιε, §. ιε. κεφ. κγ, §. λα.

§. σνα. Θεοφάνης ὁ ἀοίδιμος (τῷ 792), υἱὸς Ἰσαακίου, ἐπάρχου τῶν Αἰγεοπελαγιτῶν, καὶ αὐτὸς ἐν πολιτικοῖς ἀξιώμασι διαπρέψας, καὶ τέλος, Μοναχὸς ὅσιος, τῶν ἁγίων Εἰκόνων ὑπέρμαχος, ἔν τε τῇ Ζ, Οἰκουμενικῇ Συνόδῳ διαλάμψας, καὶ ὕστερον κατὰ τῆς ἀναφυομένης εἰκονομάχου πλάνης τοῦ αὐτοκράτορος Λέοντος τοῦ Ἀρμενίου στεῤῥῶς ἀντιστὰς, καὶ πολλὰ παθὼν, καὶ τὴν καλλιστέφανον ἀράμενος νίκην, ὡς Ὁμολογητὴς τῆς Ὀρθοδοξίας (μετέστη πρὸς Κύριον τῷ 817, καὶ ἡ μνήμη αὐτοῦ, Μαρτίου ιβ). Συνέγραψε συνέχειαν τοῦ Χρονικοῦ τοῦ συγχρονίσαντος αὐτῷ Συγκέλλου, συντάξας καὶ αὐτὸς *Χρονογραφίαν* ἱστορικὴν τῶν ἐν τῇ Ῥωμαϊκῇ αὐτοκρατορίᾳ πολιτικῶν καὶ ἐκκλησιαστικῶν συμβεβηκότων. Τὰ δὲ ἔτη ἀριθμεῖ ἀπὸ Κ. Κ. κατὰ τοὺς Ο (α).

§. σνβ. Νικηφόρος ὁ ἐν ἁγίοις πατριάρχης Κωνσταντινουπόλεως (τῷ 806), ἀνὴρ μεγαλοφυὴς, καὶ θείας καὶ ἀνθρωπίνης σοφίας ἱερὸν οἰκητήριον, πολλοὺς καὶ αὐτὸς ὑπὲρ τῶν ἁγίων Εἰκόνων ἐνδόξους ἄθλους

(α) Μετὰ τοῦ Συγκέλλου καὶ Θεοφάνους τοῦ Ὁμολογητοῦ συμπεριληφθήτωσαν καὶ πάντα τὰ χρονικὰ τῶν ἐφεξῆς ἐπιγενομένων χρονογράφων (ἵνα μὴ τὸ βιβλίον ἐξογκῶμεν), οἵτινες μίαν οἴδασιν ἐν τῇ Ἐκκλησίᾳ θεόπνευστον ἑρμηνείαν, τὴν τῶν Ο, καθ' ἣν καὶ χρονολογοῦσι, καὶ τὰς προφητικὰς, ὅποι τύχοι, μεταγράφουσι ῥήσεις. Εἰσὶ δὲ οὗτοι. Γεώργιος ὁ Ἁμαρτωλός (τῷ 842). Λεόντιος (920). Ἱππόλυτος ὁ Θηβαῖος (933). Λέων ὁ γραμματικὸς, Γεώργιος ὁ Κεδρηνὸς (τῷ 1057). Ἰωάννης ὁ Ζωναρᾶς (τῷ 1118), τότε ἤκμαζε καὶ Μιχαὴλ ὁ Γλυκᾶς. Κωνσταντῖνος Μανασσῆς διὰ στίχων πολιτικῶν (τῷ 1150). Καὶ ἄλλους χρονογράφους ἀριθμεῖ ὁ Φαβρίκιος, Γεώργιον τὸν Ἀκροπολίτην, Συμεὼν τὸν Λογοθέτην, Συμεὼν τὸν Σὴθ, Θεοδόσιον τὸν Μελιτηνὸν, Ἐφραίμιον (περὶ τὰς ἀρχὰς τοῦ ιδ, αἰῶνος). Γεώργιον Χοῦμνον, κτλ· (Fabric. Bibl. Graec. Tom. VII. p. 471, sq. Harl.).

ἀνύσας, καὶ ὑπερόριος ἐν Προκοννήσῳ τῆς Προποντίδος πρὸς τὴν μακαρίαν λῆξιν μεταστὰς (τῷ 828, καὶ ἡ μνήμη αὐτοῦ Μαρτίου ιγ). Συνέγραψε πρὸς τῇ *Συντόμῳ Χρονολογίᾳ*, καὶ Στιχομετρίαν (βλ. ὄπισθ. σελ. 129), καὶ Σύντομον Ἱστορικὸν (ἀπὸ τῆς ἀναιρέσεως Μαυρικίου μέχρι τοῦ 769), οὗ καὶ Φώτιος μνημονεύει (Ἀναγν. ξς), καὶ μακρὰν πρὸς τὸν Πάπαν Λέοντα τὸν Γ, ἐπιστολήν, ἐν ᾗ καὶ ῥήσεις τῆς τῶν Ο Παλαιᾶς θείας Γραφῆς τὰς μὲν γράφει κατὰ λέξιν, τὰς δὲ κατὰ διάνοιαν συνεξυφαίνει (βλ. Συνόδ. Συλλ. Τόμ. 6. σελ. 908-915. ἴδε καὶ σελ. 916. κτξ.). Ὡσαύτως καὶ ἐν τοῖς τρισὶ βιβλίοις ὧν συνέταξεν *Ἀντιῤῥητικῶν* (κατὰ τῶν εἰκονομάχων) (α). Ἔστι δὲ τὴν φράσιν ὁ θεσπέσιος Νικηφόρος ἀπέριττός τε καὶ σαφής, « *καλλιλεξίᾳ τε καὶ συνθήκῃ λόγου κεχρημένος*, οἵᾳ ἂν χρήσαιτο ὁ ῥητορικὸς ὡς ἀληθῶς καὶ τέλειος ἀνήρ » (Φώτ. αὐτόθ.). (6).

§. σνγ. Θεόδωρος ὁ Στουδίτης (ἡγούμενος τῆς ἐν Κωνσταντινουπόλει Μονῆς τοῦ Στουδίου), Κωνσταντινουπολίτης τὸ γένος (τῷ 813), μοναζόντων κανών, καὶ τῆς Ἐκκλησίας φωστήρ, ἀριστεύσας καὶ οὗτος ἐν τῷ ἁγίῳ σταδίῳ τῶν ὑπὲρ τῶν ἱερῶν Εἰκόνων ἀειμνήστων ἀγώνων, καὶ Ὁμολογητὴς τῆς Ὀρθοδοξίας λαμπρῶς ἀναγορευθεὶς (ἡ μνήμη αὐτοῦ Νοεμβρ. ια). Συνέγραψε πολλά, ὧν τὰ πλεῖστα καὶ εἰς ἡμᾶς διεσώθησαν· οἷον 274 ἐπιστολαὶ (αἱ

(α) Ἐν τῷ β, τῶν Ἀντιῤῥητικῶν γράφεται καὶ ἡ ἑξῆς ῥῆσις τοῦ Ἡσαΐου. «Πορεύεσθε διὰ τῶν πυλῶν, καὶ σκυλεύσατε τὴν ὁδὸν» (ξ6, 10). Ταύτην ὁ κλεινὸς Ὅδιος μνημονεύων, διατείνεται, ὅτι ὁ θεῖος Νικηφόρος ἔγραψεν αὐτὴν οὐ κατὰ τοὺς Ο, ἀλλὰ κατὰ τὸ ἑβραϊκὸν κείμενον (Ὅδιος σελ. 337). Ἀλλ' ἔστι καὶ τοῦτο ἓν τῶν Ὁδιακῶν παραδόξων ὀνειρευμάτων. Οἱ Ο, γράφουσι· «Πορεύεσθε διὰ τῶν πυλῶν, καὶ ὁδοποιήσατε τῷ λαῷ μου». Ὡσαύτως ἔχει καὶ τὸ ἑβραϊκὸν «Διέλθετε διὰ τῶν πυλῶν, καὶ ὁμαλύνατε ὁδὸν τῷ λαῷ (Complanate viam. ἑρμην. Μοντάν.). Μόνος ὁ Θεοδοτίων, ἀντὶ τοῦ ὁδοποιήσατε, ἔγραψε σκευάσατε ὁδόν. Καὶ τοῦτο τὸ σκευάσατε τῶν τις ἀντιγραφέων ἐνέγραψε καὶ εἰς τὸ τοῦ Νικηφόρου κείμενον ἀντὶ τοῦ ὁδοποιήσατε. Ἄλλου δὲ πάλιν ἀβλεψίᾳ μεταγραφέως διέφθειρε τὸ σκευάσατε, εἰς τὸ σκυλεύσατε, καὶ τοῦτο ἡ τοῦ Ὁδίου Μοῦσα κατεῖδε καὶ ἐν τῷ κατ' αὐτὴν ἑβραϊκῷ!

(6) Βλ Fabric. Bibl. Græc. T. VII. p. 603-608. Harl.

μὲν ἐκδεδομέναι, αἱ δὲ πλεῖσται ἀνέκδοτοι), καὶ λόγοι εἰς διαφόρους ἑορτὰς πανηγυρικοὶ, καὶ ἕτεροι δογματικοὶ, ἢ ἀντιῤῥητικοὶ κατὰ τῶν Εἰκονομάχων, καὶ ἄλλα παντοῖα καταλογάδην, τὰ δὲ καὶ διὰ στίχων ἰαμβικῶν, οὓς εἰς διαφόρους ἐποίησεν ὑποθέσεις, ἄλλως τε, καὶ τὴν φιλομάθειαν τῶν μοναχῶν ἐκπαιδεύων εἰς θείων ὕμνων συνθέσεις (ὡς φησὶν ὁ τὸ καλὸν εἰς αὐτὸν ποιήσας ἐπίγραμμα) «*Ὑμνοπόλων θεότευκτον ἀγήνορα ὦρσεν ἀοιδήν*». Ἐπίσημος δὲ μάλιστα ἡ *Κατήχησις* τοῦ θεσπεσίου Πατρὸς, ἥτε *Μικρὰ* λεγομένη, ἐξ ρλζ, Λόγων, ἢ Κεφαλαίων συγκειμένη (α), καὶ ἡ *Μεγάλη καλουμένη Κατηχιτικὴ* (ἐν πλείοσι κεφαλαίοις, ἐν οἷς συγκαταλέγονται καὶ τὰ τῆς *Μικρᾶς* (β). Περιέχουσι δὲ καὶ αὗται τοὺς *χρυσολαμπεῖς καὶ θεοφθόγγους Λόγους* (ὡς εἶπε πάλιν ἄλλος ἐπιγραμματοποιός), δηλονότι διδασκαλίας λυσιτελεστάτας οὐ μόνον τοῖς ἐν τῷ λιμένι τῶν ἱερῶν Μοναστηρίων ἀσκουμένοις μοναχοῖς (δι' οὓς συνεγράφησαν), ἀλλὰ καὶ τοῖς βιωτικοῖς καὶ ἐγκοσμίοις, οἵτινες ταλαιπωροῦνται εἰς τοῦ κοσμικοῦ πελάγους τὰς τρικυμίας. Ἐν πᾶσι δὲ τοῖς συγγράμμασι τούτοις αἱ ῥήσεις τῆς παλαιᾶς τῶν Ο Γραφῆς συστοιχοῦσιν ὡς ἰσοδύναμοι πρὸς τὰς Ἀποστολικάς· Καὶ ἐν τῇ ἱερᾷ αὐτοῦ *Διαθήκῃ* τὴν ὁμολογίαν τῆς Πίστεως καταγράφων, «Ἀποδέχομαί, φησι, *πᾶσαν βίβλον θεόπνευστον Παλαιᾶς τε καὶ Καινῆς Διαθήκης*»· μνημονεύει δὲ καὶ τῶν ὁσίων, Δωροθέου καὶ Βαρσανουφίου (γ). Καὶ *Τροπάρια* δὲ, καὶ *Κανόνας* ὅλους,

(α) Ἴδε τὸν κατάλογον τῶν συγγραμμάτων παρὰ Fabric. Bibl. Graec. T. X. p. 434 — 474. Harl.

(β) Ἐξεδόθησαν καὶ εἰς τὴν κοινοτέραν διάλεκτον, χάριν τῶν ἁπλουστέρων, Κατηχήσεις τοῦ ἁγίου Θεοδώρου, τὸν ἀριθμὸν ϙς, ἔκ τινος κώδηκος, διαφόρως τεταγμένην ἔχοντος τὴν Συλλογὴν τῶν κεφαλαίων. Βλ. Κατηχητικὸν τοῦ ἁγίου Θεοδ. τοῦ Στουδίτου. Ἐνετίῃσι 1770. ἐν ᾧ περιέχονται καὶ τοῦ Μ. Βασιλείου Λόγοι ἀσκητικοὶ, καὶ πολλαὶ τῶν τοῦ ἱεροῦ Δωροθέου διδασκαλίαι (βλ. ὄπισθ. σελ. 728).

(γ) Περὶ τοῦ Δωροθέου εἴπομεν (σελ. 727). Τοῦ δὲ ὁσίου Βαρσανουφίου (Αἰγυπτίου ἀσκητοῦ, τῷ 548), βίβλος ἀξιόλογος; ἡ Διδασκαλία (πολλὰς ἐρωτήσεις περιέχουσα καὶ λύσεις) ἐτυπώθη ἐν Βενετίᾳ τῷ 1816.

καὶ φράσει καὶ ῥυθμῷ μελιφθόγγους, συνέταξεν ὁ ἱεροψάλτης οὗτος Πατὴρ, οὓς καὶ ψάλλει ἔκτοτε καὶ διὰ παντὸς ἡ Ἐκκλησία. Τούτου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Ἰωσὴφ εἰσὶ μέλη τὰ πολλαχοῦ τοῦ Τριῳδίου τεταγμένα τριῴδια, καὶ πᾶσα, σχεδὸν, ἡ τῶν ἁγίων νηστειῶν ὑμνολόγος αὕτη βίβλος. Ὅθεν καὶ ὁ Κωδηνὸς (σελ. 94) *ποιητὰς κανόνων* τὸν Θεόδωρον καὶ τὸν Ἰωσὴφ ἀποκαλεῖ (πρῶτος δὲ πάντων ὁ ἀοίδιμος Κοσμᾶς συνέταξε Κανόνων *τριῴδιον*, δηλονότι κανόνα συγκείμενον οὐκ ἐξ θ, ἀλλ' ἐκ γ, μόνων ᾠδῶν, εἰς τύπον τῆς ἁγίας Τριάδος, ὡς ὁ Νικηφόρος ἐν τῷ Συναξαρίῳ). Καὶ ἐν τούτοις δὲ τοῖς ἐναρμονίοις τροπαρίοις τοῦ Θεοδώρου τὰ ῥητὰ τῆς θείας Γραφῆς πολλαχοῦ καὶ κατὰ λέξιν, καὶ κατὰ νόημα παραφραστικώτερον ᾀσματολογοῦνται. Τοῦ δ' αὐτοῦ Θεοδώρου κάλλιστον πόνημα κρίνονται καὶ οἱ ἐν τῇ Δαμασκηναίᾳ Ὀκτωήχῳ ἱεροὶ Ἀναβαθμοί (βλ. ὄπισθ. σελ. 708).

Ὁμαίμων καὶ ὁμότροπος, καὶ τήν τε σοφίαν καὶ τὴν ἀρετὴν ἰσοφυὴς αὐτάδελφος τοῦ Θεοδώρου ἐγένετο καὶ ὁ προῤῥηθεὶς Ἰωσὴφ, Θεσσαλονίκης ἀρχιεπίσκοπος (τῷ 808), καὶ οὗτος Ὁμολογητὴς ὑπὲρ τῶν ἁγίων Εἰκόνων (οὗ ἡ μνήμη Ἰουλ. ιδ), ὅστις οὐ μόνον τὰ ῥηθέντα τριῴδια ἐμελῴδησεν, ἀλλὰ καὶ λόγους συνέγραψεν, οἷον εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ, καὶ ἄλλους ἀνεκδότους (α).

§. σνδ. Θεόδωρος καὶ Θεοφάνης, ἄλλοι δύω ἀδελφοὶ (τῷ 818), Παλαιστινοὶ τὴν πατρίδα, πολλοὶ τὴν σοφίαν, Ὁμολογηταὶ τῆς Ὀρθοδοξίας, *Γραπτοὶ* τὸ ἐπώνυμον ὡς φέροντες ἀμφότεροι τῆς κατὰ τῶν δυσσεβούντων νίκης τὴν ἀνάῤῥησιν, εἰς τὸ μέτωπον ἐπιγεγραμμένην (β). Τούτων ὁ μὲν Θεόδωρος (οὗ ἡ μνήμη Δεκεμβρ.

(α) Βλ. Cave p. 357 (καὶ Νικοδήμ. Συναξαρ. Ἰουλ. ιδ). Σημειωτέον δὲ, ὅτι ὁ Ἰωσὴφ οὗτος διάφορός ἐστιν ἄλλου Ἰωσὴφ, τοῦ ἰδίως Ὑμνογράφου ἐπονομαζομένου (περὶ οὗ ἐφεξῆς). Ὁ δὲ σοφὸς Φαβρίκιος (**Bibl. Græc. T. XI. p. 79. Harl.**) ἐκ τῶν δύω μόνον τούτων ὑμνῳδῶν Ἰωσὴφ, τέσσαρας ἐπολλαπλασίασε, κατὰ λάθος. Εἴπομεν περὶ τούτου ἐν τῷ προλόγῳ, πρῴην ἐκδιδόντες τὰ Ὑμνῳδῶν Ἀνέκδοτα ἐξ ἀπογράφων τοῦ Μεγάλου Σπηλαίου. Ἀθήνησι, 1840.

(β) Γνωστοὶ ἐκ τῆς ἱστορίας οἱ δώδεκα στίχοις οὓς ἔστιξεν ἐπὶ τοῦ μετώπου

κζ). πρεσβύτερος τῆς τοῦ ἁγίου Σάββα Μονῆς, συνέγραψε βιβλίον περὶ τῆς Ὀρθοδόξου Πίστεως κατὰ τῶν Εἰκονομάχων, καὶ πρὸς Ἰωάννην τὸν Κυζίκου μητροπολίτην ἐπιστολὴν, καὶ ἄλλην πρὸς Μιχαὴλ τὸν Σύγκελλον, ἐν ᾗ, «Μάχεταί (φησιν) ὁ Ἰηοῦ (ὁ Θεόφιλος) οὐχ ὑπὲρ τοῦ Ἰσραὴλ, ἀλλὰ κατὰ τοῦ νέου Ἰσραὴλ (Δ, Βασ. ι). Ἐκ δὲ Σιὼν ἐξελεύσεται Νόμος» κτλ. (Ἡσαΐ.). Ὁ δὲ Θεοφάνης (οὗ ἡ μνήμη Ὀκτωβ. ια), καὶ Νικαίας μητροπολίτης ἐγένετο (τῷ 845), καὶ κανόνων, καὶ τροπαρίων μελῳδὸς, ψαλλομένων καὶ νῦν ἐν ταῖς ἁγιστείαις τῆς Ἐκκλησίας, καὶ ῥήσεσι Γραφικαῖς περιλαμπομένων. Ἴδε τὸν εἰς τὴν Κυριακὴν τῆς Ὀρθοδοξίας κανόνα· ἥδιστος δὲ πρὸς τοῖς ἄλλοις καὶ ὃν εἰς τὸν προτελευτήσαντα Θεόδωρον, τὸν ἀδελφὸν, μετὰ πόθου νύσσοντος τὴν καρδίαν ἁγιοπρεπῶς ἐμελῴδησε (Δεκεμβρ. κζ).

§. σνε. Μιχαὴλ πρεσβύτερος, καὶ Σύγκελλος τοῦ Πατριάρχου τῶν Ἱεροσολύμων (τῷ 830), καὶ οὗτος Ὁμολογητὴς (οὗ ἡ μνήμη Δεκεμβρ. ιη), καὶ διδάσκαλος τῶν δύω αὐταδέλφων τῶν Γραπτῶν. Σῴζεται τούτου ἐγκώμιον εἰς τὸν θεῖον Διονύσιον τὸν Ἀρεοπαγίτην, καὶ ἕτερον εἰς τοὺς Ἀρχαγγέλους, ἐν οἷς καὶ ῥήσεις τῆς Γραφῆς ἐπικοσμοῦσι τὴν ἄλλην τοῦ λόγου καλλονήν.

§. σνϛ. Μεθόδιος, ὁ θεσπέσιος Πατριάρχης Κωνσταντινουπόλεως (τῷ 842), καὶ στεφανίτης ὑπὲρ τῶν ἁγίων Εἰκόνων Ὁμολογητὴς (οὗ ἡ μνήμη Ἰουν. ιδ)· συνέγραψε λόγους καλλιεπεῖς, Γραφικαῖς μαρτυρίαις κεχρυσωμένους, εἰς τὴν *Ὑπαπαντὴν*, εἰς τὰ

τῶν δύω τούτων Ὁ μ ο λ ο γ η τ ῶ ν τ ῆ ς Ὀ ρ θ ο δ ο ξ ί α ς ὁ εἰκονομάχος αὐτοκράτωρ Θεόφιλος (βλ. Μελετ. Ἐκκλησ. Ἱστορ. Τόμ, Β. σελ. 270). Καλὴ δὲ καὶ ἡ δι' ἰάμβων τρίστιχος ἐπιστολὴ, ἣν ἔπεμψαν οὗτοι τῷ ἁγίῳ Ὁμολογητῇ καὶ Πατριάρχῃ Μεθοδίῳ (ὃν ὁ αὐτὸς Θεόφιλος εἶχε κεκλεισμένον ἐν τάφῳ κατὰ τὴν Ἀντιγόνου νῆσον, ἔνθα κεῖται νῦν ἡ Ἐκκλησία τῆς Ἀντιγόνου), εἶχε δὲ οὕτω τὸ ἐπιστόλιον. «Τῷ ζῶντι νεκρῷ, καὶ νεκρῷ ζωηφόρῳ, Ναίοντι τὴν γῆν καὶ πατοῦντι (ἄλλ. π ο λ ο ῦ ν τ ι) τὸν πόλον, Γ ρ α π τ ο ὶ γράφουσι, δέσμιοι τῷ δεσμίῳ». Πρὸς οὓς πάλιν ὁ ἱερὸς Μεθόδιος ἀπήντα ταῦτα «Τοὺς ταῖς βίβλοισιν οὐρανῶν κλησιγράφους, Καὶ πρὸς πρόσωπα σωφρόνως ἐστιγμένους, Προσεῖπεν ὁ Ζώθαπτος, ὡς συνδεσμίους» (βλ. Δοσιθ. Δωδεκάβιβλ. σελ. 694).

Βαΐα, καὶ ὑπὲρ τῶν ἁγίων Εἰκόνων, καὶ ἄλλους, καὶ εἰς τὸν θεῖον Διονύσιον τὸν Ἀρεοπαγίτην ἐγκώμιον (ἴδε περὶ τούτων τὸν Φαβρίκιον Ἑλλην. Βιβλιοθ. Τόμ. Ζ. σελ. 273).

§. σνζ. Ἰγνάτιος ὁ ἀοίδιμος (τῷ 847), υἱὸς τοῦ αὐτοκράτορος Μιχαὴλ Κουροπαλάτου (τοῦ καὶ Ῥαγκαβέ). Τοῦτον, τοῦ πατρὸς ἀποθανόντος, βασιλεύσας ὁ δυσσεβὴς Λέων ὁ Ἀρμένιος, εὐνουχίζει, καὶ εἰς τὴν τοῦ Πρίγκηπος ἐπικαλουμένην νῆσον ἐξορίσας, τὸ μοναχικὸν σχῆμα δεκατετραετῆ περιβάλλει ἐν τῷ τοῦ Σατύρου Μοναστηρίῳ, ἔνθα καὶ διήγαγε 30 περίπου ἔτη ἀσκητικῶς. Κατὰ δὲ τὸ 847, τελευτήσαντος τοῦ θείου Μεθοδίου, διαδέχεται τὸν Πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον ὁ ἱερὸς Ἰγνάτιος. Καὶ τ' ἄλλα μὲν τὰ κατ' αὐτὸν διηγεῖται ἡ ἱστορία (α). Συγγράμματα δὲ τούτου φέρονται μόνον δύω ἐπιστολαὶ, ἡ μὲν πρὸς Νικόλαον τὸν Πάπαν, ἡ δὲ πρὸς Ἀδριανόν· καὶ Λόγος, ἢ Προσφώνησις πρὸς τὴν Σύνοδον. Οὐδὲ ταῦτα γραφικῶν τινων ἐστέρηνται ῥητῶν.

§. σνη. Φώτιος, τὸ μέγα ὄνομα, καὶ τοῦ τε κατ' αὐτὸν καὶ τῶν μετ' αὐτὸν αἰώνων τὸ θαῦμα· οὗ τινος μεσταὶ, πᾶσαι μὲν βιβλιοθῆκαι, πᾶσαι δὲ σελίδες τῆς Ἐκκλησιαστικῆς ἱστορίας· ὁ γένει τε, καὶ πλούτῳ, καὶ ἀξιώμασι, καὶ δὴ καὶ μεγαλοφυΐᾳ, καὶ σοφίᾳ, καὶ ἀρετῇ, καὶ εὐσεβείᾳ περικλεέστατος· τὴν πατρίδα Βυζάντιος, υἱὸς γονέων μαρτυρικῷ κοσμηθέντων στεφάνῳ, καὶ προγόνων περιφανῶν, Ταρασίου τοῦ ἀοιδίμου Πατριάρχου ἀνεψιὸς, ἀδελφὸς δὲ Ταρασίου, πατρικίου τὴν ἀξίαν (ᾧ καὶ τὴν Μυριόβιβλον προσεφώνησε), καὶ αὐτὸς βασιλικὸς πρωτοσπαθάριος, καὶ τῆς Συγκλήτου Βουλῆς ἀρχιγραμματεὺς καὶ ἐξ ἀποῤῥήτων (πρωτοασηκρῆτις), καὶ, τέλος, Πατριάρχης Κωνςαντινουπόλεως (τῷ 858), μετὰ τὴν ὑπὸ τοῦ Καίσαρος Βάρδα παράνομον ἔξωσιν τοῦ μακαρίου Ἰγνατίου, ἄκων μὲν *καὶ μετὰ βίας ἀφορήτου ἀγόμενος, καὶ ἑλκόμενος, καὶ ἀποδυσπετῶν* (ὡς αὐτὸς ὁ Φώτιος ἐν τῇ πρὸς αὐτὸν τὸν Βάρδαν ἐπιστολῇ περίτρανα καὶ περιπαθῶς διακη-

---

(α) Βλ. Philippi Cyprij Chronicon cum Hilar. notis p. 107.

ρύττει. Ἐπιστ. ϛ.), ἀλλ᾽ ὅμως ἐπ᾽ ἀγαθῷ τῆς Ἀνατολικῆς Ἐκκλησίας καὶ τῆς Ὀρθοδοξίας, θείᾳ νεύσει καὶ ψήφῳ τοῦ κλήρου καὶ τοῦ λαοῦ προχειρισθείς. Σιγάτω πᾶσα συκοφαντία. Οὔτε Νικήτα Δαβίδ, τοῦ Παφλαγονίας ἐπισκόπου, καὶ αὐτόχρημα Παφλαγόνος, ἡ παφλάζουσα γλωσσαλγία (α), οὔτε Στυλιανοῦ τοῦ Νεοκαισαρείας, τοῦ καὶ Μάπα, οἱ λῆροι (β), οὔτε τοῦ Σμύρνης Μητροφάνους ἡ πεισμονὴ (γ), οὔτε Θεογνώστου, τοῦ δύω Ποντιφήκων, Νικολάου καὶ Ἀδριανοῦ, δουλοπαροίκου πρόσφυγος (δ), οὐδὲν ἔβλαψαν τὸ κλέος, ὅπερ ἀγήραντον ἡ τῶν πραγμάτων ἀλήθεια τὸν Φώτιον περιβάλλει. Καὶ τούτους μὲν ἐμνημονεύσαμεν ὡς ἡμεδαποὺς, οἵτινες ἐκδικοῦντες τὸν ἀναξιοπαθήσαντα (ᾧ προσέκειντο) Ἰγνάτιον, ἠδίκησαν συκοφαντήσαντες τὸν ἀναίτιον Φώτιον· οὗ τὸ μέγεθος ἑτέρωθεν καὶ αὐτοὶ, πρὸς ἴδιον ἑαυτῶν ἔλεγχον, καθομολογοῦσι (ε). Τῶν δ᾽ *ἑκατὸν καὶ δώδεκα πηγῶν* τοῦ χιλιοίκου Βατικάνου τὰ μυριόκρουνα στόματα, σφοδρὰ καὶ μάτην ῥέοντα κατὰ Φωτίου, παραλείπομεν. Ὅσῳ γὰρ πλείω γεγράφασι, καὶ γράφουσι δὲ μέχρι καὶ σήμερον (ζ), τοσούτῳ μείζονα μὲν τὴν ἀρίζηλον Φωτίου δόξαν,

---

(α) Ἐν ᾧ συνέγραψε Βίῳ τοῦ Ἰγνατίου (κεῖται ἐν τῇ Βινίου Συλλογῇ τῶν Συνοδικῶν, Τόμ. Ζ. Μέρ. Β. σελ. 865). Καὶ λόγοι δὲ τούτου φέρονται πανηγυρικοὶ, καὶ εὐφραδεῖς. (Βλ. Cave p. 395. ὅστις ἐσφαλμένως ἀποδίδωσιν εἰς τοῦτον τὸν Νικήταν τὰς εἰς τὰ Τετράστιχα Γρηγορίου τοῦ Θεολόγου ἐξηγήσεις ἄλλου Νικήτα, τοῦ Σεῤῥῶν). — (β) Βλέπε τούτου τὰς δύω ἐπιστολὰς ἐν τοῖς Συνοδικοῖς (Τόμ. Ζ. Μέρ. Β. σελ. 992, κτλ.). — (γ) Βλ. τὴν πρὸς Μανουὴλ Πατρίκιον ἐπιστολὴν αὐτοῦ (Συνοδικ. Τόμ. Η. σελ. 1385. Lab.). — (δ) Βλέπε καὶ τούτου τὸν Λίβελλον (ἱςορικὸν τῶν κατὰ τὸν Ἰγνάτιον), ὃν τῷ Πάπᾳ Νικολάῳ προσήνεγκε (Συνοδ. Τόμ. Ζ. Μέρ. Β. σελ. 915). Σημειωτέον δὲ, ὅτι καὶ οἱ Δ, οὗτοι, πλὴν τοῦ κατὰ Φωτίου μίσους, λύμης ἄλλης παπικῆς οὐδεμιᾶς μετέσχον.

(ε) «Ἦν δὲ» (λέγει αὐτὸς ὁ Νικήτας ὁ Παφλαγὼν) «Ἦν δὲ οὗτος ὁ Φώτιος οὐ τῶν ἀγενῶν τε καὶ ἀνωνύμων, ἀλλὰ τῶν εὐγενῶν κατὰ σάρκα, καὶ περιφανῶν» (καὶ ἀριθμήσας τὰς ἐπιστήμας ἐν αἷς διέλαμπεν), «ὥστε (φησὶ) καὶ πρὸς τοὺς παλαιοὺς αὐτὸν διαμιλλᾶσθαι. Πάντα γὰρ συνέτρεχεν ἐπ᾽ αὐτῷ· ἡ ἐπιτηδειότης τῆς φύσεως, ἡ σπουδὴ, ὁ πλοῦτος, δι᾽ ὃν καὶ βίβλος ἐπ᾽ αὐτὸν ἔῤῥει π ᾶ σ α· πλέον δὲ πάντων ὁ τῆς δόξης ἔρως, δι᾽ ὃν αὐτῷ καὶ νύκτες ἄϋπνοι [ἤ γ ο ν τ ο], περὶ τὴν ἀνάγνωσιν ἐμμελῶς ἐσχολακότι» (Βίῳ Ἰγνατ. σελ. 877).

(ζ) Ἴδε τὴν ὑπὸ τοῦ Ἀββᾶ Ἰαγήρου Ἱ σ τ ο ρ ί α ν τ ο ῦ Φ ω τ ί ο υ (Histoire

λαμπροτέραν δὲ τὴν ἑαυτῶν ἀδικίαν ἀποδεικνύουσι. Μέχρις ἄν, Θεοῦ νεύσαντος, ὑποκλίνωσι τὰς Ῥωμαϊκὰς πελεκοφόρους δέσμας ἐνώπιον τοῦ τροπαίου τῆς τοῦ Ἀποστόλου Πέτρου Ὀρθοδοξίας, ὃ πρῶτος ἔστησεν ὁ Φώτιος κατὰ τῆς τὸ σχίσμα τῶν Ἐκκλησιῶν τερατοτοκησάσης Ἀνομίας. Καὶ ταῦτα μὲν Θεῷ μελήσει, « *ὅς ἐστιν ἡ εἰρήνη ἡμῶν* ». Τοῦ δὲ Φωτίου τὰς ἀρετὰς κηρύττουσιν εἰς αἰῶνας, ἃς κατέλιπε κοινὸν πᾶσι τοῖς ἔθνεσι θησαυρὸν, αἱ ἀθάνατοι βίβλοι. Ὁποῖον πολυμαθείας πελάγιον χεῦμα! Ὅστις ἀναγνῷ τὴν Μυριόβιβλον αὐτοῦ Βιβλιοθήκην, ἐξίσταται, βλέπων ἄνδρα βιβλιακώτατον, ἀχανεστάτης ἀναγνώσεως ταμιοῦχον, ἀκριβέστατον *ἱστορικὸν*, *γραμματικὸν*, *μουσικὸν*, *περὶ τὴν ποίησιν* δεξιὸν (φέρονται δὲ τούτου καὶ Ὠδαί), *γεωγράφον*, *χρονολόγον*, *ἀρχαιολόγον*, *πάμπλουτον φιλολόγον*, μεγαλοφυέστατον *κριτικόν*. Ἐὰν δὲ καὶ τ' ἄλλα, καὶ μάλιστα τὰς ἐπιστολὰς ἀναγνῷς, θαυμάσεις τὸν *φιλόσοφον*, τὸν *μαθηματικὸν*, τὸν *Ἰατρὸν*, τὸν εὐφραδέστατον *ῥήτορα*. Τὰς δὲ περὶ τὴν *Νομικὴν* ἐξηκριβωμένας αὐτοῦ γνώσεις; Τὰς δὲ περὶ τὰ *Πολιτικά*; Τὰς δὲ περὶ τὰ Κανονικὰ, καὶ πάντα τὰ τῆς *Ἐκκλησίας*; Πάμμουσον ὁρᾷς παιδείας ἐνδιαίτημα. Ἐξαιρέτως δὲ τῆς Θεολογίας ἱερώτατον τέμενος, καὶ στόμα τῆς Ὀρθοδοξίας τρανόφθογγον, λέξει τε καὶ φράσει κεχαριτωμένῃ καὶ ἐκφαντορικῇ τὰ πανάγια τῆς εὐσεβείας μυστήρια τελεστικῶς ἀναπτύσσοντα, καὶ ἱερουργοῦντα. Καὶ πανταχοῦ δὲ τὸ πρέπον τοῦ λόγου διατηρεῖ, συνάπτων εὐφυῶς τῆς ἀττικῆς Μούσης τὴν ἀκρίβειαν πρὸς τὰς νεωτέρας χά-

---

de Photius etc. par Jager. Paris 1845)· ὅπου ὁ δεινὸς οὗτος μεταγραφεὺς, ἢ π λ α γ ι ά ρ ι ο ς, ἐφιλοτιμήθη παραστῆσαι μετὰ δύω ἤδη αἰῶνας τὰ τοῦ Ῥαδήρου καὶ Βαρονίου καὶ ἄλλων ἀββάδων Ἰησουϊτῶν εὐρωτιῶντα ψεύδη, τῆς φύσεως αὐτῶν αἰσχρότερα, ἐπιχρώσας ταῦτα καὶ διά τινων ἐπαριστέρων αὐτοῦ συμπερασμῶν, μηδὲν ἕτερον ἐμφαινόντων, ἢ κακοηθείας ὑπερβολήν. Ἀλλ' ἱκανῶς κατέστιξε τὴν μήτ' ἰ ὰ ν, μήτε γ ῆ ρ υ ν ἀληθείας φωνοῦσαν Ἰ α γ ή ρ ε ι ο ν ταύτην ῥαψῳδίαν ὁ χαρίεις κάλαμος τοῦ ἡμετέρου Στεφάνου Καραθεοδωρῆ, τοῦ Ἰατροῦ· ἴδε τὸ, Ἐ π ί μ ε τ ρ ο ν εἰ ς τ ὴ ν Ἐ π ι σ τ ο λ ι μ α ί α ν ἐ π ί κ ρ ι σ ι ν, ὅπερ ὁ μουσοτραφὴς Ἠλίας ὁ Ταντελίδης ἐξέδωκεν ἐν Κωνσταντινουπόλει. ͵αωμζ. Συγχρόνως ἐρράπιζε τὴν ἀλαζονείαν τοῦ Ἀββᾶ καὶ ὁ **Mortreuil, Hist. de Droit Byzantin, T. 2. p. 496.**

ριτας τῆς Ἀλεξανδρινῆς εὐγλωττίας (α). Καὶ δικαίως ἄρα Μάξιμος ὁ Μαργούνιος ἐθαύμαζε τὸν ἱερὸν καὶ σοφώτατον Φώτιον, «Οὐ μόνον, ὅτι τοὺς τῆς ἱερᾶς Ἐκκλησίας ἐμπιστευθεὶς οἴακας, τὸ τοῦ Χριστοῦ λογικὸν ποίμνιον εἰς νομὰς εἰσῆγέ τε καὶ ἐξῆγε σωτηριώδεις,—

(α) «Vir infinitæ lectionis, stupendæ eruditionis, omnium non sui modo, sed, et omnium pene saeculorum doctissimus etc.» Cave p. 387. Οὐδ' αὐτὸς ὁ κλεινὸς καρδινάλις Μάϊος ἠρνήσατο τοὺς (ὅσον ἐπὶ τῇ πολυμαθείᾳ), ὀφειλομένους τῷ Φωτίῳ ἐπαίνους. Προστίθησι δὲ ὁ σοφὸς ἀνὴρ καὶ ὅσα ὁ τῆς ἀληθείας συνήγορος Φώτιος ἔγραψεν, ἀριθμῶν μετ' ἐπαίνων τοὺς ἐπισήμους Πάπας τῆς Ῥώμης, ὅσοι τὸ θεῖον Σύμβολον ὡμολόγουν χωρὶς τῆς στυγερᾶς καὶ παναθέσμου προσθήκης· καὶ τούτων οὐ μόνον τοὺς παλαιτέρους καταλέγει (οἷον, τὸν τρισόλβιον Δάμασον, τὸν Κελεστῖνον, Λέοντα τὸν μέγαν, τὸν κλεινὸν Βιγίλιον, τὸν καλὸν κἀγαθὸν Ἀγάθωνα, Γρηγόριον τὸν Α, καὶ Ζαχαρίαν), ἀλλὰ καὶ τοὺς αὐτῷ συγχρόνως παπεύσαντας, Λέοντα τὸν Δ (τῷ 855), Βενέδικτον τὸν Γ, Ἰωάννην τὸν Η, ἐφ' οὗ καὶ Φώτιος αὐτὸς ἐπατριάρχευσεν. Ἐπαινῶν δὲ τοῦτον ὁ Φώτιος, λέγει τὰ ἑξῆς· «Ὁ ἐμὸς Ἰωάννης, ὁ τὸν νοῦν μὲν ἀνδρεῖος, ἀνδρεῖος δὲ τὴν εὐσέβειαν, ἀνδρεῖος δὲ μισεῖν καὶ καταβάλλειν ἀδικίαν πᾶσαν καὶ δυσσέβειαν, καὶ οὐχ ἱεροῖς δὲ θεσμοῖς μόνον, ἀλλὰ καὶ πολιτικοῖς ἐπαρκεῖν δυνάμενος» κτλ. Ἐν δὲ τούτοις ὁ Φώτιος ἐπαινεῖ προφανῶς τήν τε κατὰ τῆς προσθήκης στεῤῥὰν ἀντίστασιν τούτου δὴ τοῦ ἀνδρείου τὴν εὐσέβειαν ἀρχιερέως τῆς Ῥώμης, καὶ τὸ τῆς γνώμης ἀῤῥενωπὸν (ὡς ἀκυρώσαντος πάντα τὰ παρὰ τῶν αὐτοῦ προκατόχων, Νικολάου καὶ Ἀδριανοῦ, κατά τε τὴν ἐν Ῥώμῃ καὶ τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον παρανόμως καὶ βιαίως κατ' αὐτοῦ Φωτίου ψηφισθέντα·), ἔτι δὲ καὶ τὴν ἄλλην τοῦ Ἰωάννου περὶ τὰ πολιτικὰ πράγματα θαῤῥαλαιότητα καὶ γενναιοψυχίαν (βλ. Cave p. 394). Ὁ δὲ Μάϊος ἁρπάσας τοὺς λόγους, ἐπ' ἄλλα παρέτρεψεν. «Ἐκ ταύτης (λέγει) τοῦ Φωτίου τῆς περικοπῆς πολύχουν καρπὸν συνάγω. Οὐ μάτην ὁ Φώτιος τρὶς ἐπὶ τοῦ Ἰωάννου ἐπεφώνησε τὸ ἀνδρεῖος· ἀλλὰ πάντως ἀφορῶν, καὶ πλαγίως ἀνασκευάζων τὴν κατ' αὐτοῦ τότε φερομένην δυσφημίαν τῆς θηλυπρεποῦς γνώμης· διότι φρικτὸν ἐχθρὸν, τὸν Φώτιον, καὶ τοσούτοις ἀναθεματισμοῖς βεβλημένον, ἠνέσχετο καὶ αὖθις ἀποκαταστῆσαι ἐπὶ τῆς καθέδρας τοῦ Βυζαντίου. Ἐντεῦθεν (λέγει) διεθρυλλήθη καὶ ὁ μῦθος τῆς Παπίσσης Ἰωάννας, ὡς εὐστόχως ὁ Βαρόνιος ἐσημείωσεν. Ἐπειδὴ γὰρ οὗτος ὁ Η, Ἰωάννης ὠνειδίζετο ὡς εὔκολος καὶ μαλακὸς τὸ ἦθος, καὶ πᾶσαν ἱερατικῆς στεῤῥότητος ἀνδροφροσύνην ἀποβαλὼν, οὐδὲ Πάπας λοιπὸν, ὡς Νικόλαος ὁ Α, καὶ ὁ Β, Ἀδριανὸς, ἀλλὰ Πάπισσα χλευαστικῶς ἐκαλεῖτο· εἴπερ οὐδ' εὐνούχῳ γοῦν ἀντέστη, οἷον τῷ ὄντι ἡ φήμη τὸν Φώτιον ἔλεγε»! κτλ. Τοιαῦτα τὰ τοῦ Μαΐου· Ἀλλ' ὅτι μὲν τὸ εὐνοῦχος ἔπλασεν ὁ Βαρόνιος ἐπὶ τοῦ Φωτίου, πλανηθεὶς ἔκ τινος ἐπιστολῆς, ὑπάρχει ἀναντίῤῥητον· οὐ γὰρ ὁ Πατρίκιος πρὸς τὸν Φώτιον, ὡς

ἀλλ᾽ ὅτι καὶ πᾶσαν μετελθὼν παιδείαν, πάντας τοὺς ἐπ᾽ αὐτοῦ πολλῷ τῷ μέτρῳ ὑπερηκόντισε. Μαρτυροῦσιν αὐτοῦ τὸ πολὺ τῆς σοφίας οἱ Πανηγυρικοὶ τῶν λόγων, οἷς τηλικαύτην ἐνέθηκε τὴν χάριν καὶ τὴν γλυκύτητα, ὡς δεινὸν τίθεσθαι τοὺς ἐντυγχάνοντας τὴν ὁπωσοῦν

ὑπέλαβεν ὁ Βαρόνιος (ἔστι δὲ καὶ παρ᾽ αὐτῷ ἡ ἐπιστολή), ἀλλ᾽ ὁ Φώτιος αὐτὴν ἔγραψε πρὸς ἐκεῖνον (βλ. Hankij de Byzant. Scriptor. P. I. c. 18. Lips. 1677. καὶ Μελετ. Ἐκκλ. Ἱστορ. Τ. β. σελ. 275). Ἔπειτα, καὶ εἴπερ ἠλήθευεν, οὐδὲν ἂν ἔβλαπτε τὸν Φώτιον, (ὡς οὐδὲ τὸν Γερμανὸν, καὶ τὸν Μεθόδιον) τὸ ἐκ γενετῆς, ἢ βιαίως, ἢ ἰατρικῶς ἀποκοπῆναι (καθὰ οἱ ἱεροὶ κανόνες διαγορεύουσι). καὶ μάρτυρες ἦσαν τῷ σοφῷ Βαρονίῳ πάντες οἱ ψάλται τῆς ἐν Ῥώμῃ μάλιστα τοῦ ἁγίου Πέτρου Ἐκκλησίας, οὓς καὶ ἐπ᾽ αὐτοῦ, καὶ μέχρι χθὲς καὶ οὔπω πάνυ πρῴην εὐνούχιζον χάριν εὐφωνίας, τῇ νεύσει τοῦ Ποντίφηκος (ἐκ δὲ τούτων πολλοὶ καὶ ἱεράτευον, καὶ ἡγουμένευον, καί τινες, τυχὸν, καὶ ἐκαρδινάλευον). Τὴν δέ γε θρυλλουμένην Πάπισσαν Ἰωάνναν προγενεστέραν τοῦ ἀοιδίμου τούτου Ἰωάννου τοῦ Η (παρ᾽ ἄλλοις, Θ) γράφουσιν οἱ γράψαντες, προστιθέντες καὶ τὰς δείξεις· εἰ δ᾽ ὀρθῶς ἔγραψαν, ἐκείνοις μελέτω (βλ. τούτων τὸ σμῆνος παρὰ Δοσιθέῳ, Δωδεκαβίβλ. Ζ. ιβ. σελ. 700-702. πρβλ. F. Spanheim. Opp. T. 2. p. 577. Mosheim, Hist. Eccl. T. 2. p. 215, sq.). Τὸν δ᾽ οὖν Φώτιον οὐκ ἂν λάβοι μάρτυρα Βαρονίῳ συμμαχοῦντα ὁ σοφώτατος Μάϊος, οὐδαμῇ οὐδαμῶς· τὸ γὰρ ἀ ν δ ρ ε ῖ ο ς ἐξελέγχεται τηλαυγῶς παρερμηνεύσας. Οὐδὲν δὲ ξένον, εἰ συνηρπάγη, δικαιοῦν βουλόμενος τόν τε συγκαρδινάλιν Βαρόνιον, παίζοντα πολλάκις ἐν οὐ παικτοῖς, καὶ τὸν ἔν γε τοῖς τοιούτοις γελοῖον Ἀλλάτιον, ὅστις (ὁμηρίζων δῆθεν), ἐπωνόμασε τὸν Φώτιον καὶ «Ἐ λ έ γ χ ι σ τ ο ν ζ ω ό ν τ ω ν»! τὸν Φώτιον, ὁ τά γε περὶ τ ὴ ν π α π ο λ α τ ρ ε ί α ν, καὶ ζώντων καὶ θανόντων ὀνομαστότατος Ἀλλάτιος! (βλ. Allat. Confutatio Fabulæ de J. Papissa. πρβλ. καὶ τὴν Θεοφάνους τοῦ Προκοπόβιτζ, Ἱστορίαν τοῦ Ζητήματος, τοῦ περὶ τῆς ἐκπορ. τοῦ ἁγίου Πνεύματος). Ἀλλ᾽ ἡμεῖς οὔτ᾽ ἐπὶ τούτοις, οὔτ᾽ ἐπ᾽ ἄλλοις, οἷς ἔγραψε δηκτικώτερον περὶ τοῦ Φωτίου, βαρυθυμοῦμεν πρὸς τὸν καθ᾽ ἡμᾶς πορφυρωτὸν φιλολόγον Μάϊον· καὶ χάριν δὲ προσομολογοῦμεν, ἕνεκα τῆς ἐκδόσεως τοῦ μέρους τῶν Φωτίου Ἀμφιλοχίων, τοῦ μήπω μέχρις αὐτοῦ ἐκδοθέντος. Περιμένει δὲ ἡ φιλολογία καὶ τὸ ὑπεσχημένον μέγα μέρος τῶν ἔτι ἀνεκδότων ὑπολοίπων Ἀμφιλοχίων, μετ᾽ αὐτῶν δὲ καὶ τὴν δημοσίευσιν τῆς εἰσέτι κἀκείνης ἀνεκδότου πραγματείας τοῦ Φωτίου, ἐξ ἧς ὁ Μάϊος ἀντέγραψε καὶ τὰ ἀνωτέρω. Ἐπιγέγραπται δὲ αὕτη ἡ μεγάτιμος πραγματεία, «Π ε ρ ὶ τ ο ῦ ἁ γ ί ο υ κ α ὶ ζ ω ο π ο ι ο ῦ κ α ὶ π ρ ο σ κ υ ν η τ ο ῦ Π ν ε ύ μ α τ ο ς· Φ ώ τ ι ο ς ἐ λ έ ῳ Θ ε ο ῦ ἐ π ί σ κ ο π ο ς Κ ω ν σ τ α ν τ ι ν ο υ π ό λ ε ω ς, ν έ α ς Ῥ ώ μ η ς, τ ῷ ὁ σ ι ω τ ά τ ῳ [καὶ] ε ὐ λ α β ε σ τ ά σ τ ῳ ἐ π ι σ κ ό π ῳ Β έ δ ᾳ, ἐ ν Κ υ ρ ί ῳ χ α ί ρ ε ι ν» (βλ. Maij Script. vet. nov. Collect. T. I. p. 45). Ἄλλη δ᾽ ἐστὶν αὕτη, πάντῃ διάφορος τῆς μνημονευθησομένης Π ε ρ ὶ τ ο ῦ ἁ γ ί ο υ Π ν ε ύ μ α τ ο ς μ υ σ τ α γ ω γ ί α ς.

ἀπὸ τούτων ἀπαλλαγήν. Οὕτω τὰς τῶν ἀκουόντων καταθέλγει ψυχὰς ταῖς τῶν οἰκείων σειρήνων σωστικαῖς ἐπῳδαῖς. – Τοιαῦται καὶ αἱ θαυμασταὶ τούτου πρὸς διαφόρους ἐπιστολαί. Τὸ δὲ πρὸς τὰς τῶν ἀποριῶν λύσεις ἕτοιμον, ἄλλας τε καὶ ὅσαι ἐπὶ τὴν ἱερὰν τείνουσι φιλοσοφίαν καὶ τὰ τῆς θείας Γραφῆς (ἐν οἷς μάλιστα μυστικώτερόν τι ἐναποκέκρυπται), ἀγχίνουν τε καὶ διερμηνευτικὸν, τίς τῷ τῶν *Ἀμφιλοχίων* αὐτῷ πεπονημένῳ συγγράμματι ἐντυχὼν, οὐκ ἂν εἰκότως θαυμάσειεν; Ἀλλὰ γὰρ καὶ τὴν περὶ τὴν ἱστορίαν ἀκρίβειαν, καὶ τὸ τῆς σοφίας ποικίλον, καὶ τὸ περὶ τὴν κρίσιν τῶν τοῖς ἄλλοις συντεθειμένων ἔντεχνόν τε ἅμα καὶ εὐκρινέστατον, ἡ μετὰ χεῖρας αὕτη βίβλος (ἡ Μυριόβιβλος) ἀποδείξει τρανώτατα » (α).

Οὗτος τοίνυν ὁ τοῦ χοροῦ τῶν μεγάλων τῆς Ἐκκλησίας Πατέρων συνθιασώτης, καὶ ἐν τοῖς ἁγίοις δεδοξασμένος Φώτιος (β) ὅτι τὴν κατὰ τοὺς Ο Γραφὴν, ὡς Θεοῦ φωνὴν, τῇ τῶν θείων Εὐαγγελίων συμφυῆ καὶ ὁμοδύναμον ἐσεβάζετο, συμφώνως τοῖς θείοις πατράσι, ταύτῃ μόνῃ χρώμενος ἐν ταῖς εὐαγέσιν αὐτοῦ συγγρα-

---

(α) Μάξ. Μαργούν. Προλόγ. εἰς τὴν ἔκδοσιν τῆς Μυριοβίβλου Βιβλιοθήκης (ἐκδ. Hoeschel). Καθόλου δὲ περὶ τῶν συγγραμμάτων τοῦ ἀοιδίμου Φωτίου βλ. Fabric. Bibl. Graec. T. X. p. 670-770. καὶ XI. p. 1—38. Harl. καὶ τὸν τοῦ Θεοτόκη πρόλογ. εἰς τὴν Ὀκτάτευχ. τόμ. β. σελ. ι-ιη. Καὶ ἔστι μυρίας ἄξιον εὐχῆς, εἴ τις παρ' ἡμῖν ἀπαρτισθείη ἔκδοσις ἁπάντων τῶν σῳζομένων Φωτίου συγγραφῶν (ὀλίγων μὲν ἐκδεδομένων, πολλῶν δ' εἰσέτι ἀνεκδότων), πρὸς πλουτισμὸν ἐν γένει τῆς φιλολογίας, καὶ ἰδίως τῆς Ἑλληνικῆς, καὶ παντοίαν ὠφέλειαν καὶ κλέος τοῦ γένους ἡμῶν.

(β) Ἑορτάζεται τῇ ς, Φεβρουαρίου· καὶ ὁ ἅγιος Ἰγνάτιος Ὀκτωβρίου κγ. (ἐτελεύτα δὲ φίλος ἤδη πρὸς τὸν Φώτιον, διαλλαγεὶς ὁ Ἰγνάτιος, ὡς ἡ ἐπὶ Φωτίου Σύνοδος ἀνεκήρυξε. Βλ. Συν. Συλλ. Τ. Β. σελ. 944). Ἀμφοτέρων δὲ τούτων καὶ ἐτησίως τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας μνείαν ποιεῖται ἡ Ἐκκλησία (ἐν τῷ Συνοδικῷ)· «Ἰγνατίου καὶ Φωτίου, τῶν ἁγιωτάτων καὶ ὀρθοδόξων καὶ ἀοιδίμων πατριαρχῶν, αἰωνία ἡ μνήμη». Καὶ πάλιν· «Ἅπαντα τὰ κατὰ τῶν ἁγίων Πατριαρχῶν Ταρασίου, Νικηφόρου, Μεθοδίου, Ἰγνατίου,.. ΦΩΤΙΟΥ γραφέντα ἢ λαληθέντα, ἀνάθεμα» (Συνόδ. Συλλ. Τόμ. Β. σελ. 906). Ὁ δ' Ἀλλάτιος οἰμώζει (De libr. Eccles. Græcor. p. 105).

φαῖς, περιττὸν καὶ ὅλως λέγειν. « Μωσῆς (φησιν) ὁ Νομοθέτης εἶπε· μᾶλλον δὲ ὁ κοινὸς καὶ πλάστης καὶ νομοθέτης δι' αὐτοῦ· *Οὐ φονεύσεις* » (Ἀμφιλοχ. Α. §. γ). « Ὁ γὰρ λαλήσας πάλαι ἐν τοῖς Προφήταις, ὁ αὐτὸς καὶ ἐν τοῖς Ἀποστόλοις τὴν χάριν ἐνήργησε, καὶ διὰ τῶν ἁγίων Πατέρων ἐδίδαξε » (Ἀμφιλ. ρμη). Καὶ τῶν *Ἀναγινωσκομένων* δὲ πολλάκις, ὡς θείων Γραφῶν μνημονεύει, καὶ ἐκ τῆς Σωσάννης ῥήσεις ἐκφέρει, καὶ τὴν Ὠδὴν τῶν Τριῶν παίδων ὑμνολογεῖ (α). Διαλλάττων δὲ καὶ διαλευκαίνων παντοδαπῶς τὰς ἐν τῇ θείᾳ Γραφῇ φαινομένας ἀντιλογίας, ἐξερευνᾷ καὶ διεξετάζει οὐ μόνον γραμματικῶς, ἀλλὰ καὶ θεοφρόνως, « *ὁδηγῷ τῷ πνεύματι χρώμενος* », ὡς ἐν τῇ Καινῇ, οὕτω κἀν τῇ Παλαιᾷ, καὶ νόημα, καὶ φράσιν, καὶ λέξιν, καὶ σχῆμα λόγου, καὶ ἰδιωτισμὸν, καὶ προσῳδίαν, καὶ τὴν στίξιν αὐτήν· καὶ γὰρ καὶ διά τινας ἀτόπους στιγμῶν μεταθέσεις τινές (φησιν) « ἀνοίγουσι, τοῖς βουλομένοις *τὰ μυστικὰ καὶ φρικτὰ κάλλη τῶν ἱερῶν ἡμῶν Λογίων* κατορχεῖσθαι, πλατεῖαν ὁδόν ». (Ἀμφιλ. Α. §. λγ. ἴδε καὶ ΚΔ). Λεοντίῳ δὲ τῷ φιλοσόφῳ καὶ διαῤῥήδην ἐπιπλήττει, ὅτι « Οὐκ ἐδυσωπήθη, διὰ τὴν τοῦ *εἰμὶ* παρολκὴν, - σολοικισμὸν κατὰ τῆς *θείας ἡμῶν* καὶ *ἱερωτάτης* καταψηφίζεσθαι Γραφῆς » (τουτ. τῆς τῶν Ο). « Ἀλλὰ

(α) Οὕτω καὶ ἀλλαχοῦ, καὶ ἐν τῷ « Περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας ». « Οὐ μὴν ἀλλὰ καὶ ταπεινώσεως λέγεται πνεῦμα, ὥς που ψάλλουσιν οἱ Παῖδες τῷ πυρὶ δροσιζόμενοι· Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. Ἀλλὰ καὶ κρίσεως πνεῦμα καὶ καύσεως λέγεται, δι' ὧν ἡ τιμωρητική τε καὶ καθαρτικὴ τοῦ Πνεύματος ἐμφαίνεται δύναμις· καὶ γὰρ Ἡσαΐας βοᾷ· Καθαριεῖ αὐτοὺς Κύριος πνεύματι κρίσεως, καὶ πνεύματι καύσεως » κτλ. Σημειωτέον δὲ, ὅτι αὕτη ἡ περὶ τοῦ ἁγίου Πνεύματος συγγραφὴ κεῖται ἀνέκδοτος ἐν τῇ Μαρκιανῇ Βιβλιοθήκῃ (ἐξ ἧς καὶ τὸ παρ' ἡμῖν ἀντίγραφον), καὶ ἐν τῇ τῶν Παρισίων, καὶ εἴπου ἄλλοθι (ἐλ. Fabr. Bibl. Graec. T. XI. p. 28). Καὶ ὅτι μὲν τὸ πόνημα τῶν ἱερῶν ᾠδίνων Φωτίου γνήσιον ὑπάρχει γέννημα, δῆλον ἐκ τῆς φραστικῆς μεγαληγορίας. Εἰσὶ δέ τινες, οἵ τοῦτο καὶ εἰς τὸν Σμύρνης Μητροφάνην ἐπιγράφουσιν. Οὕτως ὁ Ἀλλάτιος (de Consens. p. 575), καί τινες ἄλλοι τῶν νεωτέρων· πρβλ. καὶ Δοσίθεον (Δωδεκαβ. σελ. 707).

(παραγγέλλει) μηκέτι σε τὰ τοιαῦτα ὑπ' αἰτίαν ὁρᾷν· καὶ εἴ τινες τολμῷεν παραπλησίως ἐξαμαρτάνειν, ῥαδίως αὐτοὺς μεθέλκειν, καὶ ἀναδιδάσκειν » κτλ. (Ἐπιςολ. ση. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 700). Περὶ δὲ τοῦ τρόπου καὶ τοῦ χρόνου τῆς ἑρμηνείας ἔγραψε τάδε· « Ἐπειδὴ δὲ Χριστὸς ἤγγιζε παραγενέσθαι, καὶ πρὸς ἑαυτὸν τὴν οἰκουμένην καλεῖν, ἡ ἑλληνικὴ δὲ γλῶσσα τῶν ἄλλων μᾶλλον τοῖς ἔθνεσιν ἐπεπόλαζε, τηνικαῦτα καὶ ἡ τῶν Ἑβραίων φωνὴ πρὸς τὴν Ἑλλήνων μετεβέβλητο, *πρὸ ἐνιαυτῶν οὐ πλέον ἑκατὸν τῆς τοῦ Κυρίου παρουσίας, αὐτοῦ τῆς Αἰγύπτου Πτολεμαίου βασιλεύοντος*. Ἐχρῆν γὰρ δι' ἧς ἔμελλε (φωνῆς) τὰ πλείω τῶν ἐθνῶν εἰς θεογνωσίαν χειραγωγεῖσθαι, δι' αὐτῆς καὶ τοὺς χρησμοὺς προαγγέλλεσθαι, οἳ τὸν κοινὸν προεφήτευον Σωτῆρα» κτλ. Καὶ ὅτι μὲν ταῦτα ὁ Πατριάρχης Φώτιος παρὰ τοῦ πάλαι προκατόχου καὶ διδασκάλου καὶ πατρὸς ἐδανείσατο, τοῦ Χρυσοστόμου (τόμ. ς, σελ. 183), δῆλον ἐκ τῶν προῤῥηθέντων (σελ. 611). Ἐπειδὴ δὲ ἐν ἐκείνοις εἴδομεν αὐτὸν τὸν Χρυσόστομον διορθοῦντα τὸ τυπογραφικὸν ἁμάρτημα, τὸ *ἑκατὸν*, εἰς τὸ *τριακόσια*, οὕτως ἄρα καὶ παρὰ τῷ ἱερῷ Φωτίῳ ἀναγνωστέον. Καὶ τὸ «*αὐτοῦ*» δὲ περὶ τοῦ Πτολεμαίου ἀλόγως αὐτολεκτούμενον, ἄτοπον δοκεῖ, καὶ τῇ Φωτίου ἀκριβείᾳ ἥκιστα πρέπον· ὅθεν, εἰ δοκεῖ, καὶ τοῦτο τρεπτέον εἰς τὸ, *ἐπὶ τοῦ*, ἢ γοῦν εἰς τὸ, *ἐπὶ τοῦ α* (τουτ. *τοῦ πρώτου*)· ἐκ γὰρ τοῦ ἀριθμητικῶς γεγραμμένου, ΤΟΥ Α, προῆλθε κατ' ἀντιστροφὴν, ὡς ἔοικε, τὸ ἡμαρτημένον ΑΥΤΟΥ (α).

§. σνθ. Ἐν τοῖς Πρακτικοῖς τῆς ἐν τῇ ἁγίᾳ Σοφίᾳ ἐκ τπγ, Πατέρων ἐπὶ Βασιλείου τοῦ Μακεδόνος (τῷ 879) συγκροτηθείσης

(α) Βλέπε τὴν ἀνωτέρω χρῆσιν τοῦ Φωτίου ἐν Ἀμφιλοχ. ρνγ. ἐκδ. Μαΐου (Script. vet. nov. Collect. T. I. p. 318), ὅπου ὁ κλεινὸς ἐκδότης οὐκ ἀλόγως ἐρωτᾷ, «ποίου Πτολεμαίου»; μηδὲν ὑπονοήσας περὶ τῆς ἡμαρτημένης γραφῆς, καὶ τοῦ αὐτοῦ, καὶ τοῦ ἑκατόν. Ἔπειτα καὶ ἄλλως, κἂν ὑποτεθῇ, ὅτι ἔγραψεν ὁ Φώτιος ἐπὶ τοῦ Πτολεμαίου (δίχως ἀριθμοῦ), ἀλλὰ καὶ Χρυσόστομος ὡσαύτως ἐστιν ὅπου γέγραφε (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 285)· ὡς γνωστοῦ τοῖς πᾶσιν ἤδη γενομένου τοῦ Πτολεμαίου (κἂν τὸν Α, κἂν τὸν Φιλάδελφον λέγῃς), ἐφ' οὗ μεθηρμηνεύθησαν αἱ Γραφαί (βλ. Βιβλ. Α. κεφ. θ. §. κγ.).

Οἰκουμενικῆς Συνόδου, αἱ παρὰ τῶν τριῶν Πατριαρχῶν (Θεοδοσίου Ἱεροσολύμων, Θεοδοσίου Ἀντιοχείας, Μιχαὴλ Ἀλεξανδρείας) ἀποσταλεῖσαι καὶ ἀναγνωσθεῖσαι ἐπιστολαὶ, ῥήσεσι κεχρύσωνται προφητικαῖς ἐκ τῶν Ο (βλ. Συνόδ. Συλλ. τόμ. β. σελ. 945—955).

§. σξ. Θεόδωρος Ἀβουκαρᾶς (τῷ 867), ἀρχιεπίσκοπος, οὐ τῆς *Καρίας* (ὥς τισιν ἔδοξεν), ἀλλὰ μᾶλλον Καῤῥῶν (Κάῤῥαι δὲ, ἢ Κάραι, πόλις Μεσοποταμίας, ἡ αὐτὴ καὶ ἡ ἐν τῇ θείᾳ Γραφῇ *Χαράν*. βλ. Στ. Βυζάντ. καὶ Θεοδώρ. Ἐκκλ. Ἱστορ. Γ. κα). Συνέγραψε περὶ τῆς εὐσεβοῦς Πίστεως συντόμους *Διδασκαλίας*, καὶ *Διαλόγους*, ἢ *Διαλέξεις*, ἄλλας τε, καὶ ὅσας πρὸς Αἱρετικοὺς, καὶ Ἰουδαίους, καὶ Σαρακηνοὺς διελέχθη, διὰ τῶν Γραφικῶν ῥήσεων τὴν ἀλήθειαν τοῦ θείου δόγματος ἀποδεικνύς. Οὕτως ἐν τῇ *πρὸς Ἰουδαῖον Διαλέξει* πολλὰς ἐκ τῶν Ο, ῥήσεις ἐπάγει· καὶ ταύτας ὁ Ἰουδαῖος ὡς ἐκ θείας ἀποδέχεται Γραφῆς, κἂν ἄλλως παρεξηγῇ (βλ. Βιβλιοθ. τῶν Πατέρων τόμ. Α. σελ. 404).

§. σξα. Βασίλειος ὁ Αὐτοκράτωρ, ὁ Μακεδὼν (τῷ 867), συνέγραψε *Παραινετικὰ Κεφάλαια Λέοντι τῷ πεποθημένῳ υἱῷ καὶ συμβασιλεῖ*, καὶ *Λόγους*, καὶ εἴ τι ἕτερον. Ὁ δ' αὐτὸς καὶ τὸ τῶν καθ' ἑκάστην ἑκάστου μηνὸς ἡμέραν μνημονευομένων ἁγίων τοὺς βίους περιέχον Ἐκκλησιαστικὸν *Μηνολόγιον* ἐφρόντισεν ἐκ τῶν ἀρχαίων Ὑπομνημάτων καὶ Μαρτυρολογίων εἰς ἓν συνταχθῆναι σῶμα, καὶ ταῖς τῶν ἁγίων εἰκόσι λαμπρῶς ἐπικοσμηθῆναι· καὶ αὐτὸς ἀνέγνω καὶ ἐπεσκέψατο τὸ πρωτότυπον σύνταγμα, καθὼς ὁ Βαρόνιος μαρτυρεῖ, προστιθεὶς, ὅτι ὁ κώδηξ αὐτὸς ἐκεῖνος ἔτι καὶ νῦν σῴζεται ἐν τῇ Βατικανῇ Βιβλιοθήκῃ· μόνον δὲ τοὺς ἓξ μῆνας περιέχει (ἀπὸ Μαρτίου μέχρις Αὐγούστου), κατὰ τὸν Ἀλλάτιον (α).

§. σξβ. Κύριλλος (ὁ καὶ, πρὶν ἢ μονάσῃ, *Κωνσταντῖνος* ὁ φιλόσοφος), καὶ Μεθόδιος, οἱ ἀοίδιμοι τῶν Σλάβων ἀπόστολοι (τῷ 863 — 894), τὴν πατρίδα Θεσσαλονικεῖς, υἱοὶ τοῦ στρατηλάτου

(α) De libris Eccles. Graec. p. 65. ed. Fabric. Οὗτος δὲ, ὁ Ἀλλάτιος, πιθανώτερον ἔκρινεν, «ὅτι τὸ λαμπρὸν καὶ μεγάτιμον τοῦτο χειρόγραφον οὐ τοῦ Μακεδόνος, ἀλλὰ τοῦ νεωτέρου αὐτοκράτορος Βασιλείου, τοῦ Πορφυρογεννή-

Λέοντος, καὶ αὐτάδελφοι ὁμαίμονες καὶ ὁμότροποι, σοφίᾳ κομῶντες καὶ ἀρετῇ. Τούτων ὁ μὲν Κύριλλος τά τε γράμματα τὰ Σλαβονικὰ πρῶτος εὗρε, καὶ εἰσήγαγεν εἰς τὴν Σλαβονικὴν γλῶσσαν, (Κάδμος τις ἄλλος τῷ μεγάλῳ καὶ πολυφύλῳ γένει τῶν Σλαβόνων ἐπιφανείς), ἡρμήνευσε δὲ καὶ τὸ Εὐαγγέλιον (ἐκ τοῦ Ἑλληνικοῦ ἀρχετύπου), καὶ τὴν Παλαιὰν κατὰ τοὺς Ο Διαθήκην, καὶ τὴν θείαν Λειτουργίαν, καὶ εἴτι ἄλλο τῶν ἐν πρώτοις ἀναγκαίων Ἐκκλησιαστικῶν (συμπονοῦντος ἴσως ἐν τοῖς τοιούτοις καὶ τοῦ ἀδελφοῦ). Οὗτοι καὶ τοῖς Ῥώσσοις ἔφερον τὰς θείας Γραφὰς (πρὸς οὓς καὶ ἐπὶ Μιχαὴλ τοῦ Αὐτοκράτορος καὶ Φωτίου Πατριάρχου τὸ πρῶτον, μετ' ὀλίγον δὲ καὶ ἐπὶ Ἰγνατίου ὑπὸ Βασιλείου τοῦ Μακεδόνος ἀπεστάλησαν ἀρχιερεῖς καὶ διδάσκαλοι τῆς Πίστεως). Καὶ τοῖς Βουλγάροις δὲ, καὶ Βοημοῖς, καὶ Κροάταις, καὶ τοῖς Μοραυοῖς εὐηγγελίσαντο· ὅπου καὶ ἐπίσκοπος ὁ ἱερὸς Μεθόδιος ἐχειροτονήθη (α). Βλέπε *περὶ τῆς Σλαβονικῆς τῶν Ο μεταφράσεως* ἐν τῷ ἐφεξῆς κεφαλαίῳ.

§. σξγ. Ἰωσὴφ, ὁ ὅσιος καὶ θεόφρων ὑμνῳδὸς (οὗ ἡ μνήμη Ἀπριλ. γ), Σικελὸς τὴν πατρίδα (ἐκ τῶν Σικελιωτῶν Ἑλλήνων), Πλωτίνου καὶ Ἀγάθης υἱὸς, ἤκμαζεν ἀπὸ μέσου τοῦ θ, αἰῶνος καὶ ἐφεξῆς (840-883)· ἴδιον δὲ τούτῳ καὶ ἐξαίρετον ἐπώνυμον, τὸ *Ὑμνογράφος*· διότι τοσαύτας ᾠδὰς συνέταξεν οὗτος ὁ χαριτόβρυτος, ὅσας οὐδεὶς τῶν ἄλλων τῆς Ἐκκλησίας μελοποιῶν (β).

του ἴδιόν ἐςιν αὐτόγραφον». Ἀλλ' οὐ παρὰ τοῦτ' ἀναιρεῖται καὶ ἡ ἐπὶ τοῦ Μακεδόνος πρώτη συλλογὴ τοῦ Μηνολογίου. — Περὶ δὲ τὸ 870 καὶ Ἄδων ὁ Γάλλος, τῆς ἐν Γαλλίᾳ Βιέννης ἀρχιεπίσκοπος, ἐξέδωκε λατινιστὶ τὸ τῶν ἁγίων Μαρτυρολόγιον. Ὁ δ' αὐτὸς συνέταξε καὶ Ἐπιτομὴν χρονικῶν (Breviar. Chronicorum) ἀπὸ Κ. Κ. ἕως τοῦ 874· ὅπου διατηρεῖ τὴν χρονολογίαν τῶν Ο.

(α) Βλ. Φωτίου ἐπιστολ. Β. - Κωνσταντῖν. Πορφυρογέννητ. ἐν βίῳ Βασιλείου §. ξς. —Δοσιθ. Δωδεκάβιβλ. σελ. 738. — Μελετ. Ἐκκλ. ἱστορ. Τόμ. β. σελ. 302. — Cave p. 394. — Fabric. Biblioth. Graec. T. VII. p. 272. IX. p. 449. Harl. — Karamsin, Histoire de l'Empire de Russie. T. I. p. 129, 136, 147, 148, 272, 312, 376.—Ῥωσσικ. Μηνολόγ. Μαΐου ιβ, ὅτε καὶ ἡ μνήμη τοῦ ἁγίου Μεθοδιου· ἡ δὲ τοῦ ἁγίου Κυρίλλου, Φεβρ. ιδ.

(β) Τούτων εἴδομέν τινας ἐν τοῖς προλαβοῦσι (§. σς, σλ, σλε, σμδ, σμε, σνγ, σνδ).

Ἅπαντες σχεδὸν οἱ ἐν τοῖς ιϐ τοῦ ἔτους Μηναίοις εἰς τὰς καθ᾽ ἡμέραν μνείας τῶν ἁγίων συντεταγμένοι κανόνες (ἑνὸς τετάρτου μόλις ἐξαιρουμένου), τῆς ἱερᾶς αὐτοῦ Μούσης εἰσὶ μελίσματα· φέρει δὲ καὶ ἡ ἀκροστιχὶς τῆς θ, ᾠδῆς τὸ ὄνομα αὐτοῦ, *Ἰωσήφ*. Τούτου πόνημα καὶ πᾶσα ἡ ὀκτώηχος *Παρακλητικὴ* (πλὴν ὀλί-

---

Ἐπειδὴ δὲ καὶ μετὰ τὸν ὑμνογράφον Ἰωσὴφ ἤκμασαν καὶ ἄλλοι τινὲς, παρ᾽ οἷς ἅπασιν αἱ προφητικαὶ τῶν Ο ῥήσεις ὁμοίως ἐμϐασιλεύουσι, καταγράφομεν ἐνταῦθα τοὺς πάντας συλλήϐδην, ἀπαλλάττοντες τὸν ἀναγνώστην ἀπὸ τῆς καθ᾽ ἕκαστον παλιλλογίας. Κεφαλαιωδῶς ἠρίθμησε τοὺς ἐξόχους μελῳδοὺς Νικηφόρος ὁ Ξανθόπουλος (Συνόψει τῆς Γραφῆς) ἐν τοῖς ἐφεξῆς ἰαμϐείοις· «Οἱ τὰ μέλη πλέξαντες ὕμνων ἐνθέων. Ἡ λύρα τοῦ Πνεύματος Κοσμᾶς, ὁ ξένος» (ὡς ἐξ Ἰταλίας). «Ὀρφεὺς νεαρὸς, ἡ Δαμασκόθεν χάρις. Καὶ Θεόδωρος, Ἰωσὴφ [θ᾽] οἱ Στουδῖται, Ὄργανα τὰ κράτιστα τῆς μουσουργίας. Ξένη τε σειρήν» (ἐκ Σικελίας) «Ἰωσὴφ ὑμνογράφος. Μέλος παναρμόνιον, Ἀνδρέας Κρήτης. Καὶ Θεοφάνης ἡ μελιχρὰ κιννύρα. Γεώργιος (ὁ Νικομηδείας), Λέωντε (ὁ αὐτοκράτωρ), Μάρκος (ὁ Ἰδροῦντος, ἴσ. Ὑδροῦντος), Κασσία» (ἡ μοναχὴ, ἡ καὶ Κασσιανὴ, καὶ ἄλλως Ἰκασία, ἴσ. ἐκ τοῦ Ἡ Κασσία παραφθαρέν). Τούτοις προστεθείσθωσαν καί τινες ἄλλοι τῶν ἐπισημοτέρων. Ἀνατόλιος ὁ Πατριάρχης Κωνσταντινουπόλεως (τῷ 450. Οὗ τὰ Ἀνατολικὰ λεγόμενα, ἀναστάσιμα τροπάρια συμψάλλονται μετὰ τῶν τοῦ Δαμασκηνοῦ ἐν τῷ ἑσπερινῷ τοῦ Σαϐϐάτου)· ὁ ἱερὸς Ἀμφιλόχιος (τῷ 370). Ῥωμανὸς (ὁ ποιητὴς τῶν κοντακίων, τῷ 496. παρὰ τὸ κόνταξ, κοντὸς, τὸ στυλίδιον, ἡ κεφαλὶς τοῦ περιέχοντος τὰ ᾄσματα εἱλητταρίου). Μεθόδιος Πατάρων (τῷ 290). Γερμανὸς, καὶ Νικηφόρος, καὶ Μεθόδιος, καὶ Φώτιος, καὶ Φιλόθεος, οἱ Πατριάρχαι Κωνσταντινουπόλεως. Σωφρόνιος ὁ Ἱεροσολύμων. Συμεὼν ὁ Στυλίτης (τῷ 527. βλ. ὄπισθ. σελ. 694)· Μιχαὴλ ὁ Σύγκελλος. Ἓξ Αὐτοκράτορες, Μαυρίκιος, καὶ Θεόφιλος (οὗτος ἐποίησε τὸ, Ἄκουε κόρη· καὶ τὸ εἰς τοὺς αἴνους τῆς Κυριακῆς τῶν Βαΐων ψαλλόμενον Ἐξέλθετε ἔθνη· ὁ δὲ σοφὸς Μεῦρσιος, λέξ. Ἰδιόμελον, παραλογίζεται), καὶ μετὰ τοῦ Σοφοῦ Λέοντος ὁ πορφυρογέννητος υἱὸς Κωνσταντῖνος, καὶ Θεόδωρος ὁ Λάσκαρις (ὁ τὸν εἰς τὴν Θεοτόκον παρακλητικὸν κανόνα τὸν μέγαν ποιήσας), καὶ Μανουὴλ ὁ Παλαιολόγος. Γεώργιος ὁ Ἀμάστριδος (ἀρχαιότερος τοῦ Νικομηδείας)· Ἀνδρέας ὁ Πυῤῥὸς, Ἄνθιμος καὶ Τιμοκλῆς (τῷ 457. Θεόδωρ. Ἀναγν. ἐν Ἐκλογ.)· Ἀρσένιος, Βαϐύλας, Κλήμης, Βύζας ὁ καὶ Βυζάντιος, Βασίλειος ὁ Πηγοριώτης, Ἰωάν. μοναχὸς, Ἰωάννης ὁ Μαυρόπους, ὁ αὐτὸς καὶ Ἰωάννης Εὐχαΐτων (τῷ 1030, ὁ καὶ τὴν καλλίστην εἰς τοὺς τρεῖς Ἱεράρχας ἀκολουθίαν συντάξας), Ἐφραὶμ Καρίας, Μητροφάνης ὁ Σμύρνης (τῷ 850. ὁ συντάξας, ἢ μᾶλλον συμπληρώσας τοὺς Τριαδικοὺς κανόνας). Νικήτας ὁ Ἡρακλείας, Νικήτας ὁ Στηθάτος, Νεῖλος καὶ Νικηφόρος Κάλλιστος, οἱ Ξανθόπουλοι, Στέφανος ὁ Σαϐϐαΐτης, Σέργιος καὶ Στέφανος, οἱ Ἁγιοπολῖται, Συ-

γων τροπαρίων), καὶ τοῦ χαρμοσύνου Πεντηκοσταρίου τὸ πλεῖστον. Καὶ ἄλλους δὲ πολλοὺς εἰσέτι ἀνεκδότους κανόνας ἐμελῴδησεν ὁ πολυγραφώτατος οὗτος μελοποιὸς, πηγή τις τοῦ τῶν θείων ὕμνων χαρίσματος πολύκρουνος ἀναδειχθείς. Ἐν πᾶσι δὲ τούτοις τοῖς ἱεροῖς ᾄσμασιν αὐτοῦ θαυμάζει πᾶς τις θεωρῶν τὴν

μεὼν ὁ Λογοθέτης, Λέων ὁ Μάγιστρος, Μιχαὴλ ὁ Ψελλὸς, Ἰωάν. ὁ Ζωναρᾶς, ὁ ἁγιώτατατος Μάρκος ὁ Ἐφέσου, ὁ Εὐγενικός· καὶ ἄλλους παραλείπομεν (ϐλ. τὸν κατάλογον τῶν Μελῳδῶν παρὰ Φαϐρικίῳ Bibl. Graec. T. XI. p. 76—84 Harl. ὅπου καί τινες περιττῶς διαιροῦνται, ὡς Ἰωσὴφ ὁ Στουδίτης, καὶ Ἰωσὴφ ὁ Θεσσαλονίκης (ὁ αὐτός). Μάρκος μοναχὸς, καὶ Μάρκος ὁ Ἰδροῦντος (ὁ αὐτὸς, ὁ ποιητὴς τῶν πρώτων Δ, ᾠδῶν τοῦ κανόνος τοῦ Μ. Σαϐϐάτου κτλ.). Σημειωτέον δὲ, ὅτι ἡ ἱερὰ μελοποιΐα ὑπῆρχεν ἀνέκαθεν ἐν τῇ Ἐκκλησίᾳ. Τὸ τοῦ Ἀποστόλου, «Ἐν ψαλμοῖς, καὶ ὕ μ ν ο ι ς, καὶ ᾠ δ α ῖ ς πνευματικαῖς» φαίνεται, πλὴν τῶν τοῦ Δαϐὶδ, καὶ ἰδίους ὕμνους σημαῖνον, ὑπὸ τῶν πρώτων χριστιανῶν συντιθεμένους. Καὶ λέγει δὲ καὶ ῥητῶς· «Ἕ κ α σ τ ο ς ὑ μ ῶ ν ψ α λ μ ὸ ν ἔ χ ε ι» κτλ. (Α. Κορινθ ιδ, 26. ϐλ. καὶ Θεοφύλακτ. αὐτόθ.). Ὁ Πλίνιος (τῷ 98) ἱστορεῖ, ὕμνον εἰς Χριστὸν, ὡς εἰς Θεὸν, ψαλλόμενον ὑπὸ τῶν Χριστιανῶν, ἐ ξ ὑ π α μ ο ι ϐ ῆ ς («carmen que Christo, quasi Deo, dicere s e c n m i n v i c e m». Plin. Epist. L. X. 97). Ὁ Ἀποστολικὸς Ἱερόθεος, ὁ Ἀθηνῶν (ἐν τῇ Κοιμήσει τῆς Θεοτόκου) «θ ε ῖ ο ς ἦ ν ὑ μ ν ο λ ό γ ο ς», καὶ «ἐ ν θ ε α σ τ ι κ ω τ ά τ α ς ὑ μ ν ῳ δ ί α ς» ὑμνολόγει (Διον. Ἀρεοπαγ. π. θείων Ὀνομ. γ, σελ. 282). «Ὅτι καὶ ψαλμοὺς ἔλεγον τότε ἐμμελεῖς, καὶ ᾠδάς»· (ἅγ. Μάξιμ. Σχόλ. αὐτόθ. καὶ Παχυμέρης παραφράσ. αὐτόθ.). Ὁ Ἀποστολικὸς Ἰγνάτιος ἔταξεν ἐν τῇ Ἐκκλησίᾳ τὰ Ἀντίφωνα, καὶ τ ο ὺ ς δ ύ ω χ ο ρ ο ύ ς (Σωκρ. ς, η. οὕς, ὑπὸ τοῦ Σαμοσατέως Παύλου μετὰ τῶν ἱερῶν ὕμνων παυθέντας, ἀνενέωσαν πάλιν ἐν Ἀντιοχείᾳ τῷ 331, ὁ Φλαϐιανὸς καὶ Διόδωρος· Θεοδώρ. Ἐκκλ. Ἱστ. β, 19). Ὁ μάρτυς Ἰουστῖνος (τῷ 120) συνέγραψε τὸ μηκέτι σωζόμενον Ψ ά λ τ η ς. Κλήμης ὁ Στρωματεὺς (τῷ 180) ἐποίησεν ἔμμετρον ᾠδὴν εἰς Χριστόν. Ὁ ἱερὸς Ἱππόλυτος (τῷ 200) συνέταξεν ᾠ δ ὰ ς εἰς πᾶσαν τὴν Γραφήν. Ὁ Γάϊος (τῷ 210) ἱστορεῖ, ὅτι «ψ α λ μ ο ὶ κ α ὶ ᾠ δ α ὶ ἀ δ ε λ φ ῶ ν ἀ π' ἀ ρ χ ῆ ς ὑ π ὸ π ι σ τ ῶ ν γ ρ α φ ε ῖ σ α ι, τὸν Λόγον τοῦ Θεοῦ, τὸν Χριστὸν, ὑμνοῦσι θεολογοῦντες (Εὐσέϐ. Ἐκκλησ. ἱστορ. Ε, 28). Ὁ δυσσεϐὴς Παῦλος ὁ Σαμοσατεὺς (τῷ 280) παύσας τοὺς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ᾀδομένους ψαλμοὺς ἐν τῇ Ἐκκλησίᾳ, ἔταξε γυναῖκας ψαλμῳδεῖν ᾠδὰς εἰς τὴν ἰδίαν ἑαυτοῦ ἀθλιότητα, κατὰ τὴν ἡμέραν τοῦ Πάσχα (Συνόδ. Συλλογ. τόμ. α. σελ. 124). Τῶν ἐξ ἀρχῆς ὑπὸ τῶν πιστῶν συντεθέντων ὕμνων ἐστὶ καὶ τὸ «Δ ό ξ α σ ο ι τ ῷ δ ε ί ξ α ν τ ι τ ὸ φ ῶ ς», καὶ τὸ «Φ ῶ ς Ἱ λ α ρ ὸ ν», ἃ ψάλλει καὶ νῦν ἡ Ἐκκλησία· γέγραπται δὲ καὶ ἐν ταῖς Ἀποστόλων Διαταγαῖς (Η, 35). Πολλοί τινες ἐνόμισαν, ὅτι τὸν ἐ π ι λ ύ-

τε μελιχρὰν τῆς λέξεως χάριν, καὶ τὴν εὐρυθμίαν τοῦ μέλους, καὶ τὴν ἀκρίβεαν τῶν θείων ἐννοιῶν, ἐν αἷς φρυκτωροῦσιν αἱ ῥήσεις τῆς θείας Γραφῆς, καὶ κατὰ λέξιν καὶ περιφραστικῶς ἐνυφασμέναι. Θαυμαστὴ δὲ καὶ ἡ ποικιλία τῆς φράσεως τῶν αὐτῶν ἐννοιῶν, ἄλλοτε ἄλλως καὶ ἀείποτε καλῶς ἑρμηνευομένων.

χνιον τοῦτον ὕμνον (τὸ Φῶς ἱλαρὸν) ὁ Μ. Βασίλειος λέγει ποίημα τοῦ Ἀθηνογένους (τῷ 296). Ἀλλ' ἰδοὺ οἱ λόγοι τοῦ Πατρός. «Καὶ ὅστις μὲν ἐστιν ὁ Πατὴρ τῆς ἐπιλυχνίου ἐκείνης εὐχαριστίας, εἰπεῖν οὐκ ἔχομεν, ὁ μέν τοι λαὸς ἀρχαίαν ἀφίησι τὴν φωνήν. — Εἰ δέ τις καὶ τὸν ὕμνον Ἀθηνογένους ἔγνω, ὃν ὥσπερ τι ἄλλο ἐξιτήριον τοῖς συνοῦσιν αὐτῷ καταλέλοιπεν, ὁρμῶν ἤδη πρὸς τὴν διὰ τοῦ πυρὸς τελείωσιν, οἶδε καὶ τὴν τῶν μαρτύρων γνώμην, ὅπως εἶχον καὶ περὶ τοῦ Πνεύματος (π. τοῦ ἁγίου Πνεύματ. §. κθ.). Ὥστε διακρίνει ὁ Πατὴρ τὸν ὕμνον Ἀθηνογένους ἀπὸ τῆς ἐπιλυχνίου εὐχαριστίας, ἣν εἰς τοὺς πάλαι πατέρας ἀπονέμει (καὶ οὐδὲ τὸ νόημα ἐπιπρέπει εἰς ὕμνον ἐξιτήριον, οἷος ἦν ὁ τοῦ μάρτυρος Ἀθηνογένους ὁρμῶντος εἰς τὸ πῦρ). Καὶ φαίνεται ἄρα καὶ τὸ Φῶς ἱλαρὸν τῶν Ἀποστολικῶν ἀνδρῶν ὑμνῳδία. Λέγει δὲ καὶ Νικηφόρος ὁ Κάλλιστος ἀπὸ τῶν Ἀποστόλων καὶ εἰς ἡμᾶς τοῦτο κατελθεῖν (Ἐκκλησ. ἱστ. ιη, 51). ἀρχαῖον δὲ καὶ τὸ Δόξα Πατρί· ὡσαύτως καὶ τὸ Τρισάγιον ᾆσμα (Δαμασκ. π. Ὀρθοδόξου Πίστεως), καὶ τὸ Δεῦτε προσκυνήσωμεν. κτλ. Καὶ Ἐφραὶμ δὲ ὁ Σύρος ἐμελῴδησε πολυπληθεῖς ᾠδάς. Καὶ Γρηγορίου τοῦ Θεολόγου (τῷ 370, ὃς καὶ τῶν Ἀντιφώνων μνημονεύει, ἐν Ἰάμβ. τόμ. β. σελ. 218) σῴζονται διὰ στίχων ὕμνοι. Καὶ τοῦ Συνεσίου (τῷ 410)· καὶ τοὺς ἐφεξῆς προείπομεν. Ἀλλὰ καὶ κατὰ τὴν Δυτικὴν Ἐκκλησίαν ἦσαν ἔκπαλαι μελῳδοί, οἷον ὁ Ἱλάριος, ὁ ἱερὸς Ἀμβρόσιος (τῷ 374. βλ. καὶ τούτου τὴν 85 ἐπιστολήν), Λακτάντιος (τῷ 303), Οὐϊκτωρῖνος, Σεδούλιος, καὶ εἴ τις ἄλλος τῶν ἀρχαίων. Καὶ αὐτοὶ οἱ αἱρετικοὶ ἐπειρῶντο δι' ᾠδῶν θρησκευτικῶν καὶ τῆς τοῦ μέλους ἡδονῆς ἐκκλέπτειν τοὺς ἀμαθεστέρους. Πλὴν τοῦ προῤῥηθέντος Σαμοσατέως, καὶ Ἄρειος (τῷ 315) ἐποίησεν Ἀσμάτια, Ναυτικά τε καὶ Ἐπιμύλια καὶ Ὁδοιπορικὰ κτλ. (Φιλοστόργ. ἱστορ. Β. β. - Μ. Ἀθανάσ. τόμ. α. σελ. 307 — 312)· καὶ Ἀπολινάριος, καὶ πρότερον Οὐαλεντῖνος (Tertul. de Carne Christ. C. 17), καὶ Ἱέραξ τις (Ἐπιφ. Αἱρέσ. ξζ), καὶ οἱ Δονατισταὶ (Αὐγουστ. ἐπιστ. 119). Καὶ ὁ Χρυσόστομος, πρὸς τὰς ᾠδὰς τῶν Ἀρειανῶν ἀντέταττεν ἄλλας, ψαλλομένας ὑπὸ τῶν Ὀρθοδόξων (Σωκρ. ς, η). Καὶ φαίνεται λοιπὸν σαφῶς, ὅτι ἡ Ἐκκλησία ἔτι ἀπὸ τῶν Ἀποστόλων, πλὴν τῶν Δαβιδικῶν Ψαλμῶν, καὶ τῶν θ, ᾠδῶν τῆς Γραφῆς, ἔψαλλε καὶ ὕμνους εἰς τὴν ἁγίαν Τριάδα, καὶ τὸν Χριστὸν, καὶ ᾠδὰς εἰς τοὺς Μάρτυρας καὶ ἄλλους ἁγίους, εἰς δόξαν Χριστοῦ. πληθυνομένων δὲ τῶν Μαρτύρων, ἐπληθύνοντο ἀναλόγως καὶ αἱ ᾠδαί, καὶ οἱ ὕμνοι (ἀπὸ διφθέρας

Οἷον τί λέγω; Πολλαὶ κανόνων ἑκατοντάδες περιέχονται εἰς τὰς βίβλους ἐν γένει τῆς Ἐκκλησιαστικῆς ἡμῶν Ἀκολουθίας (τὴν Δαμασκηνίδα Ὀκτώηχον, τὰ ιϐ, Μηνιαῖα, τὴν Παρακλητικήν, τὸ Τριῴδιον, τὸ Πεντηκοστάριον κτλ.). Πάντων δὲ τῶν κανόνων τούτων ὁ τῆς α, ᾠδῆς Εἱρμὸς ἐκφράζει τὴν διαϐατήριον τοῦ

τοὺς ὑπὸ τῆς Ἐκκλησίας δεδοκιμασμένους ψαλλόντων τῶν ψαλτῶν. Λαοδικ. Καν. ιε. πρϐλ. οε, τῆς ς)· ὅθεν συνετάχθη ἡ Ἀκολουθία τῆς Ἐκκλησίας. Διὸ καὶ ὁ ἱερὸς Μάξιμος, «Ἀποστολική (φησι) παράδοσις τοὺς νυκτερινοὺς τῶν ψαλμῳδιῶν κανόνας παρέδωκε» (Σχόλ. εἰς Διονύσ. Ἀρεοπαγ. τόμ. β. σελ. 129). Ποῖον δ' ἐξ ἀρχῆς τὸ εἶδος τῆς Ἐκκλησιαστικῆς μουσικῆς; οὐ τοῦ παρόντος λέγειν· πλὴν εἰ μή τι δέοι κατὰ πάροδον εἰπεῖν καὶ ἀκροθιγῶς. Ἀναγινώσκομεν ἐν ταῖς Ἀποστόλων Διαταγαῖς· «Ἕτερός τις» (εἷς τις), «τοὺς τοῦ Δαυῒδ ψαλλέτω ὕμνους, καὶ ὁ λαὸς τὰ ἀκροστίχια ὑποψαλλέτω (Β, νζ. καὶ Σημ. Κοτελερ. Ἀκροστίχια, δὲ καὶ Ἀκροτελεύτια, τὸ δ' αὐτὸ καὶ ἑλληνικώτερον Ἐφύμνια, λέγονται τὰ ἄκρα τῶν ἔν τισι ψαλμοῖς στίχων, οἷον τὸ τοῦ ρλε, ψαλμοῦ «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ», ὅπερ ὑπέψαλλε συνυπηχῶν καὶ ὁ λαός. Βλ. Μ. Ἀθανασίου τόμ. α, σελ. 558. Com.). Ταῦτα τὰ ἀκροστίχια ἐννοεῖ καὶ ὁ θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης Ἐκκλησ. Ἱεραρχ. γ. τοιοῦτο καὶ τὸ ἐν τοῖς ἐκκλησιαστικοῖς ἀντιφώνοις «Σῶσον ἡμᾶς υἱὲ Θεοῦ» κτλ. καὶ τὸ «ταῖς πρεσβείαις τῆς Θεοτόκου». Ὡσαύτως καὶ Εὐσέβιος διαγράφει «τοὺς εἰωθότας λέγεσθαι πρὸς ἡμῶν (ἐν τῇ Ἐκκλησίᾳ) ὕμνους ἑνὸς μετὰ ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος, οἱ λοιποὶ καθ' ἡσυχίαν ἀκροώμενοι, τῶν ὕμνων τὰ ἀκροτελεύτια συνεξηχοῦσι» (Ἐκκλησ. Ἱστορ. β. ιζ). Παρομοίως ἔψαλλον καὶ οἱ Θεραπευταὶ τοῦ Φίλωνος (τόμ. β. σελ. 476, 484) ἐν ταῖς αὐτῶν προσευχαῖς, ὕμνους εἰς θεὸν ποιοῦντες ἐν μέτροις καὶ ῥυθμοῖς σεμνοτέροις (ὅ τοῖς γνησίοις Ἰουδαίοις ἀσύνηθες ἦν, ἅτε μηδὲν ἄλλο πλὴν τῶν θείων Γραφῶν ἀναγινώσκουσιν, ἢ καὶ ψάλλουσιν ἐν ταῖς προσευχαῖς. Καὶ αὐτὸς ὁ Ἰουδαῖος Ἰώσηπος, πάσας τὰς παρ' Ἰουδαίοις αἱρέσεις ἱστορῶν, περὶ τοιούτων Θεραπευτῶν οὐδὲν εἶπεν, οὐδὲ γρύ. Ὅθεν ὁ Εὐσέβιος καὶ τὴν ψαλμῳδίαν τῶν Θεραπευτῶν ἓν τῶν ἄλλων γνωρισμάτων τῆς χριστιανικῆς αὐτῶν πολιτείας ἐκλαμβάνει. Καὶ ἴσως ἦσαν καὶ οὗτοι τῶν ἐκ περιτομῆς εἰς Χριστὸν πιστευσάντων, ἅμα δὲ καὶ τοὺς τύπους τῆς Μωσαϊκῆς νομοθεσίας διακρατούντων, ὡς καὶ οἱ Ναζαραῖοι, κἂν οἱ νεώτεροι πολλαχῶς καὶ ὑπερβολικώτερον πρὸς τὸν Εὐσέβιον ἀντιλέγωσιν· ἀλλ' ἐπάνιμεν εἰς τὴν Ἐκκλησίαν). Ὁ Μ. Βασίλειος λέγει. «Τὰ νῦν κεκρατηκότα ἔθη πάσαις ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις συνῳδά ἐστι καὶ σύμφωνα» (περὶ τὴν προσευχὴν καὶ ψαλμῳδίαν). «Ἐπιτρέψαντες ἑνὶ κατάρχειν τοῦ μέλους, οἱ λοιποὶ ὑπηχοῦσιν» (Ἐπιστολ. ξγ, ϐλ. καὶ Ὅρους κατ' Ἐπιτομ. 281, 307). Καὶ τέλος, ὁ θεῖος Χρυσόστομος. «Καὶ ὁ ψάλλων ψάλλει μόνος· κἂν

Μωσέως Ὠδὴν (*Ἄσωμεν τῷ Κυρίῳ*). Τούτων οὖν τῶν πολυαρίθμων Α, Εἱρμῶν οὐδεὶς οὐδαμοῦ συμπίπτει πρὸς ἄλλον ἄλλου κανόνος κατὰ τὴν φράσιν, ἀλλὰ πάντες τὸ αὐτὸ νόημα διαφόρως ἐκφέρουσι, καὶ πάντες ἐπίσης ἀκριβῶς καὶ ἐμμελῶς. Τοῦτ' αὐτὸ θεωρεῖται καὶ εἰς τοὺς Εἱρμοὺς τῶν ἄλλων ᾠδῶν (οἷον

πάντες ὑπηχῶσιν, ὡς ἐξ ἑνὸς στόματος ἡ φωνὴ φέρεται (εἰς Α. Κορινθ. Ὁμιλ. λς). Καὶ ὑπῆρχε λοιπὸν ἐξ ἀρχῆς ἐν τῇ Ἐκκλησίᾳ μονῳδικὸν τὸ εἶδος τῆς ψαλμῳδίας, νῦν μὲν ἑνὸς, νῦν δὲ καὶ πολλῶν ἅμα συνᾳδόντων ὁμοφθόγγως καὶ ὁμοτόνως, ὡς ἐξ ἑνὸς στόματος τῆς αὐτῆς ἐξηχούσης φωνῆς (βλ. καὶ ἐφεξ. σελ. 769), καθὰ καὶ παρ' ἡμῖν τὴν σήμερον. Καὶ οἱ Νόμοι δὲ, ἢ οἱ Ἦχοι ἦσαν περὶ τὰ καθόλου οἱ αὐτοί· δεῖγμα δὲ τούτου τρανώτατον τὸ ἑξῆς. Πάντα τὰ προσόμοια λεγόμενα τροπάρια τῆς καθ' ἡμᾶς Ἐκκλησιαστικῆς Μουσικῆς, καὶ οἱ (πρὸς οὓς τρέπουσι τὸ μέλος) Εἱρμοὶ, καὶ τῶν ἄλλων τῶν τοιούτων μελυδρίων τὰ πολλὰ (καὶ αὐτοὶ οἱ ἀρχαιότατοι ὕμνοι) σύγκεινται ἐκ κώλων καὶ κομμάτων ἄλλο τε μὲν ἴσων καὶ ὁμοίων κατ' ἀκολούθους ὁμοζυγίας συντεθειμένα, ἄλλο τε δὲ πάλιν εἰς ἄνισα καὶ ἀνόμοια κῶλα καὶ στροφὰς ποικίλας διῃρημένα, καὶ συναπαρτίζουσιν οἷον στίχους λογοειδεῖς, ἐκ τῶν συλλαβῶν συμμέτρως κατὰ τόνους ῥυθμιζομένους· (εἴπομεν περὶ τούτων, καὶ περὶ τῶν Ἰδιομέλων, ἢ ἴδιον μέλος ἐχόντων, ἐν τῷ περὶ Προφορᾶς τῆς Ἑλληνικῆς γλώσσης σελ. 667. κτξ.). Τούτων τοίνυν ἡ ψαλμῳδία βάσιν ἔχει τὸν Ἦχον, ἢ τὸν Νόμον, καθ' ὃν ἕκαστα διεμελουργήθησαν. Οὐδ' ἂν ψάλλοι τις τοῦτον, φέρ' εἰπεῖν, ἢ ἐκεῖνον τὸν εἱρμὸν, ἢ τὸ προσόμοιον, κατ' ἄλλον Ἦχον διάφορον τοῦ, καθ' ὃν ἐῤῥυθμίσθησαν ὑπὸ τοῦ πρώτου μελοποιοῦ· εἰ δ' οὖν, ὅ, τε ῥυθμὸς ἀπόλλυται, καὶ λύεται ἡ ἁρμονία τοῦ μέλους· κατακερματίζονται δὲ καὶ αἱ λέξεις καὶ ἡ προσῳδία καὶ τὸ νόημα. Οὕτω τὰ Ἀναστάσιμα τροπάρια τοῦ Δαμασκηνοῦ (οὗ τινος ἡ μουσικὴ ὑπάρχει ἀναντιῤῥήτως ἡ αὐτὴ καὶ ἡ καθ' ἡμᾶς) τηροῦσι τὸν αὐτὸν ῥυθμὸν, καθ' ὃν καὶ τὰ τοῦ Ἀνατολίου πρὸ 300 ἐτῶν μελουργηθέντα. Καὶ τὰ Ῥωμανοῦ τοῦ μελῳδοῦ Κοντάκια, καὶ τὰ ἐπὶ Δωροθέου πασχάλια τροπάρια, καὶ τὰ τοῦ Ἀνδρέου Κρήτης (βλ. ὄπισθ. σελ. 728, 732) ἐτονίσθησαν καὶ ἐψάλλοντο ἐξ ἀρχῆς, ὡς καὶ παρ' ἡμῖν τὴν σήμερον. Οὐδὲ τὰ ἐπὶ τοῦ Μ. Βασιλείου καὶ Ἀθανασίου ψαλλόμενα μέλη διάφορον εἶχον τάξιν ἤχων καὶ νόμων, ἢ τὴν ἐξ ἀρχῆς ἐν τῇ Ἐκκλησίᾳ παρὰ τῶν Ἀποστολικῶν ἀνδρῶν διαταχθεῖσαν, καὶ διὰ τῆς παραδόσεως κεκρατηκυῖαν. Καὶ αὐταὶ τῶν αἱρετικῶν αἱ ᾠδαὶ τὸν αὐτὸν εἶχον ῥυθμόν. Τὸ τῶν Ἀρειανῶν σῳζόμενον κόμμα «Ποῦ εἰσὶν οἱ λέγοντες, τὰ τρία μίαν δύναμιν (Σωκρ. ϛ, 8: Σωζ. η, 8) ἐψάλλετο πάντως, ὡς καὶ τὸ, «Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε» (ἦχ. β), πρὸς ὃ συμπίπτει ἀκριβῶς. Ἀλλὰ περὶ τῆς Ἐκκλησιαστικῆς ἡμῶν Μουσικῆς, καὶ πόσον διαφέρει τῆς ἀρχαίας Ἑλληνικῆς (ἥτις εἶχε κἀκείνη τοὺς Λυδίους, καὶ Φρυγίους, καὶ Μιξολυ-

τῆς γ, οὗ τινος ὑπόθεσις ἡ τῆς Ἄννης ᾠδὴ, ἡ «*Ἐστερεώθη ἡ καρδία μου*»· καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως). Οὕτως ἡ θεία χάρις διὰ τῆς ἑλλάδος φωνῆς ἀνέδειξε τοὺς ἱεροὺς αὐτῆς ὑμνῳδοὺς ποικιλογήρεις λογικὰς ἀηδόνας, καταφωνούσας τὸν παράδεισον τῆς Ἐκκλησίας τοῦ Χριστοῦ.

§. σξδ. Ἐπιφάνιος, Κύπρου ἀρχιεπίσκοπος (τῷ 880)· σῴζεται τούτου τεμάχιον συντάγματος εἰς τὴν *Ἑξαήμερον* (α)· καὶ πρὸς τὸν ἀοίδιμον Ἰγνάτιον τὸν Πατριάρχην ἐπιστολή.

§. σξε. Γεώργιος ὁ Νικομηδείας (τῷ 880), πρὸς ὃν αἱ τρεῖς τοῦ Φωτίου ἐπιστολαί. Τούτου σῴζονται ὀκτὼ λόγοι ἑορταστικοὶ ἐκδεδομένοι (εἰς τὴν *Σύλληψιν τῆς Θεοτόκου*, *εἰς τὰ Εἰσόδια*, κτλ.), καὶ ᾀσματικὰ καλλιεπῆ τροπάρια (οἷον εἰς τὰ *Εἰσόδια*, εἰς τὸν *θεῖον Χρυσόστομον*, κτλ.), καὶ νῦν ἔτι ψαλλόμενα ἐν τῇ Ἐκκλησίᾳ.

§. σξς. Λέων, ὁ τοὐπίκλην *Σοφὸς*, καὶ *Φιλόσοφος*, Αὐτοκράτωρ (τῷ 889), υἱὸς Βασιλείου τοῦ Μακεδόνος, καὶ τῶν Βυζαντινῶν αὐτοκρατόρων ἁπάντων σοφώτατος· μαθητὴς τοῦ μεγάλου Φωτίου, φιλοσοφίας τε, καὶ ἱστορίας, καὶ ῥητορείας, καὶ νόμων

δίους, καὶ Μιξοφρυγίους Ἀσιανοὺς Νόμους, καὶ τὴν Ἀσιάτιδα κιθάραν) φιλοκρινήσουσιν ἄνδρες ὁμογενεῖς, τῆς τε τῶν Εὐρωπαίων, καὶ τῶν Ἀσιανῶν, καὶ τῆς ἱερᾶς ἡμῶν καὶ πατροπαραδότου μουσουργίας ἐγκρατεῖς, κάλλιστον τοῦτον πονήσαντες πόνον, καὶ οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον ἀξιόχρεων παρὰ τὸν τοῦ ἀοιδίμου Ψελλοῦ, ὅστις καὶ κατ᾽ αὐτὸν τὸν ια αἰῶνα συγγράφων περὶ Μουσικῆς Ἑλληνικῆς, οὐ διῄρει τὴν Ἐκκλησιαστικὴν, ὡς διαφέρουσαν. Περὶ τῆς Ἐκκλησιαστικῆς ψαλμῳδίας ἴδε καὶ Coteler. PP. Ap. T. I. p. 262. — Le Moyen. Var. Sac. T. 2. p. 1096. — Bingham Origin. vol. vi. p. 1-56: πρβλ. Justelli not. ad codic. Canon. Eccles. univers. T. 1. p. 90.

(α) Τὸ τεμάχιον ἀπόκειται ἐν μόνῃ τῇ Μαρκιανῇ Βιβλιοθήκῃ (ἐξ οὗ καὶ παρ᾽ ἡμῖν ἐστιν ἀντίγραφον), εἰσέτι ἀνέκδοτον· διαλαμβάνει δὲ περιληπτικῶς περὶ τῶν ἔργων τῶν ἓξ τῆς κοσμουργίας ἡμερῶν. Ὁ Φαβρίκιος (Bibl. Graec. T. VIII. p. 258. Harl.) ἀπορεῖ, πότερον οὗτος ὁ Κύπρου Ἐπιφάνιος, ἢ ὁ καὶ ἐπὶ τῆς ς, Συνόδου συνεδριάσας ἐστὶν ὁ τοῦ τεμαχίου πατήρ· ἀλλ᾽ ἡ συνθήκη τοῦ λόγου, καὶ τῶν νοημάτων ἡ ἰδιότης μαρτυρεῖ μᾶλλον τὸν ἀνωτέρω. Ἄρχεται δὲ οὕτω. Τῇ πρώτῃ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τοὺς οὐρανοὺς τοὺς ἀνωτέρω» κτλ.

ἐπιστήμης ἐγκρατέστατος, καὶ ἄλλως βασιλεὺς ἀγαθός· τῶν δ' ἀνθρωπίνων αὐτοῦ παραπτωμάτων δύω μάλιστα φαίνονται λίαν ἐπιλήψιμα· ἥ τε πρὸς τὸν διδάσκαλον καὶ εὐεργέτην Φώτιον ἀχαριστία (ὃν ἀδίκως καὶ παρανόμως ἄκριτον ἐκβαλὼν τῆς Πατριαρχείας, ἀντεισήγαγε τὸν ἴδιον ἀδελφὸν αὐτοῦ Στέφανον), καὶ ἡ στυγερὰ, καὶ πολλῶν αἰτία σκανδάλων γενομένη *τετραγαμία*. Ταύτην δὲ Νικόλαος μὲν ὁ ἀοίδιμος Πατριάρχης ὁ ἀπὸ Μυστικῶν, μετὰ πολλὰς καὶ ματαίας πρὸς ἀποκώλυσιν ἱκεσίας, ἀπεκήρυξεν, ὡς ἀντικειμένην τοῖς τε θείοις θεσμοῖς, καὶ τῷ ὑπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ Λέοντος ἐκδεδομένῳ διατάγματι (διὸ καὶ βιαίως ἐξώσθη τοῦ θρόνου). Σέργιος δὲ ὁ Πάπας συγχωρήσας, ηὐλόγησε καὶ μακρόθεν (ὡς ὁ Βαρόνιος ἱστορεῖ). Ὅθεν ὁ σοφὸς Λέων (τῷ πάθει κεκρατημένος) «Διενοεῖτο καὶ νόμον πονηρὸν ἐκθεῖναι, τοῦ ἔχειν γυναῖκας ἄνδρα τρεῖς καὶ τέσσαρας, *πολλῶν λογιωτάτων ἀνδρῶν εἰς τοῦτο αὐτῷ συνεργούντων*» (α). Καὶ τ' ἄλλα διηγεῖται ἡ ἱστορία. Συντάγματα δὲ τοῦ Λέοντος διεσώθησαν καὶ εἰς ἡμᾶς ἄλλα τε σοφὰ, καὶ ποικίλα, καὶ *Λόγοι*, ΛΓ, ἐν οἷς καὶ πανηγυρικοὶ (οἷον εἰς τὴν *θεόσωμον Ταφὴν*, καὶ *εἰς τὴν Ἀνάστασιν*, καὶ *εἰς τὴν Ἀνάληψιν* τοῦ Κυρίου· εἰς τὴν Πεντηκοστήν· εἰς τὸ *Γενέσιον*, καὶ εἰς *τὰ Εἰσόδια*, καὶ εἰς *τὸν Εὐαγγελισμὸν*, καὶ *εἰς τὴν Κοίμησιν* τῆς Θεοτόκου, καὶ ἄλλοι), πάντες εὐγλωττίας καὶ χάριτος πλήρεις, καὶ ῥήσεων ἀποστολικῶν καὶ προφητικῶν κατὰ τοὺ Ο (β).

§. σξζ. Συμεὼν ὁ Μεταφραστὴς (τῷ 901), Κωνσταντινουπολίτης, πατρίκιος καὶ ἀρχιγραμματεὺς καὶ μέγας Λογοθέτης (Καγγελλάριος) τοῦ σοφοῦ Λέοντος, καὶ, τέλος, μοναχὸς ὅσιος (οὗ

(α) Βλ. Λέοντος Γραμματ. Χρονογραφ. σελ. 484.

(β) Ἴδε τὴν τούτων ἔκδοσιν ὑπὸ Combefic. Auctuar. Nov. T. 1. p. 1605. πρβλ. Fabric. Bibl. Graec. T. VII. p. 698. Harl. — Τοῦ Αὐτοκράτορος Λέοντος (ἔτι Δεσπότου ὄντος) ἔργον ἐστὶ καὶ τὸ μελιφραδὲς καὶ θεολογικώτατον ἰδιόμελον Δοξαστικὸν, τὸ εἰς τὸν ἑσπερινὸν τῆς Πεντηκοστῆς γρανοφθόγγως ᾀδόμενον «Δεῦτε λαοί»· ὡσαύτως καὶ τὰ ΙΑ. Ἑωθινὰ ἰδιόμελα.

ἡ μνήμη Νοεμβρ. θ), συνέγραψεν εὐφραδῶς καὶ αὐτὸς, καὶ παρ' ἄλλων συγγραφέντα *παρέφρασεν* (ὅθεν αὐτῷ καὶ ἡ τοῦ *Μεταφραστοῦ* ἐπωνυμία) πολλὰ καὶ εἰς ἡμᾶς σωζόμενα *Ὑπομνήματα*, βίους ἁγίων ἐξιστοροῦντα, ἐν οἷς καὶ ῥήσεις τῆς θεοπνεύστου Γραφῆς διαλάμπουσιν, ἁγιοπρεπῶς ἱεροφαντούμεναι. Μαρτυρεῖ δὲ καὶ περὶ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, ὅτι τὸν θεῖον λόγον ἐκήρυττε, « Νῦν μὲν ἀπὸ τῆς Παλαιᾶς παράγων Γραφῆς, νῦν δὲ ἀφ' οὗπερ οὗτος ἀνετάξατο Εὐαγγελίου διερμηνεύων, - καὶ δεικνὺς τὴν *Παλαιὰν τῇ Νέᾳ μάλα συμβαίνουσαν*». (Ὑπόμν. εἰς Λουκᾶν)· καὶ ὕμνους δὲ συνέταξε, καὶ εὐχὰς ἱερὰς διὰ στίχων ἰαμβικῶν (ἐξ ὧν καὶ ἡ ἐν τῇ Ἀκολουθίᾳ τῆς θείας Μεταλήψεως εὐχαριστήριος καὶ ἱλαστήριος ἐκείνη· «*Ὁ δοὺς μοι τροφὴν μοι*»), καὶ εἴ τι ἕτερον. Εἰς τοῦτον τὸν ἀοίδιμον ἔχει καὶ Μιχαὴλ ὁ Ψελλὸς λόγον πανηγυρικὸν, καὶ ᾀσματικὴν Ἀκολουθίαν.

§. σξη. Ἰωάννης Καμενιάτης, Θεσσαλονικεὺς, κληρικὸς ἐλλόγιμος (τῷ 904), συνέγραψε λόγον, *εἰς τὴν ἅλωσιν τῆς Θεσσαλονίκης*, ἱστορῶν εὐφραδῶς καὶ παθητικῶς τὴν ὑπὸ Σαρακηνῶν τῆς πατρίδος αὐτοῦ πολυώδυνον αἰχμαλωσίαν, ἧς καὶ αὐτὸς πανέστιος ἐγένετο ἔργον. Μνημονεύει καὶ οὗτος Ἡσαΐου, καὶ Ἱερεμίου, καὶ Δαυΐδ, καὶ ἄλλων ῥήσεων Γραφικῶν (§. ε, ς, ζ, ιγ). Διαγράφει δὲ κάλλιστα καὶ τὴν πρὸ τῆς ἁλώσεως εὐημερίαν τῆς Θεσσαλονίκης, ἄλλην τε παντοίαν, καὶ ὅτι ἐν αὐτῇ «παῖδες περὶ λόγους ἐσπούδαζον, ἐξ ὧν ἐπιστήμη καὶ τέχνη τὸ κράτος ἔχουσι»· προστίθησι «καὶ τῶν τῷ Θεῷ κεκληρωμένων τὰ σπουδάσματα, καὶ τὰ περὶ τῆς ἁρμονίου (ἴσ. γρ. ἐναρμονίου) μουσικῆς τῶν (ἐκκλησιαστικῶν) ᾀσμάτων, καὶ τῶν ᾀδόντων τὰ ψυχοτερπῆ μέλη, καὶ τὴν μοῦσαν ἐκείνην, *τὴν ἐκ παντὸς στόματος ὑφ' ἓν* τῷ Θεῷ ἀναπεμπομένην τοὺς ὕμνους»· (§. ς. βλ. τὸ βιβλίον παρ' Ἀλλατίῳ, ἐν τοῖς Συμμίκτοις, σελ. 180—316).

§. σξθ. Κωνσταντῖνος, ὁ Πορφυρογέννητος αὐτοκράτωρ (τῷ 911), τοῦ σοφοῦ Λέοντος υἱὸς σοφὸς καὶ αὐτὸς, καὶ τοῦ *πατρὸς τὸ παιδίον*. Ἐπαιδεύθη πᾶσαν τὴν ἐν λόγοις ἐγκύκλιον καὶ ἐπι-

στημονικὴν παιδείαν, ῥητορικὴν, μουσικὴν, ἱστορίαν, γεωμετρίαν, ἀστρονομίαν, ἰατρικὴν, καὶ ἐκ τῶν καλῶν τεχνῶν τὴν ζωγραφικὴν, εὐδοκιμῶν καὶ κατ' αὐτήν. Μαρτυρεῖ δὲ καὶ Ζωναρᾶς, ὅτι «τά τε πρὸς Θεὸν ἦν εὐσεβὴς ὁ Κωνσταντῖνος, καὶ λόγοις προσκείμενος» (Χρονικ. γ. σελ. 155). Συνέγραψε δὲ καὶ οὗτος ἄλλα τε ποικίλα, πολιτικὰ, καὶ τακτικὰ, καὶ νομικὰ, καὶ μουσικὰ (οἷον τὰ λιγυρὰ καὶ μεμουσωμένα Ἀναστάσιμα Ἐξαποστειλάρια), καὶ ἱστορικὰ, ἐν οἷς καὶ τὸν τοῦ πάππου βίον, ἢ «*Ἱστορικὴν διήγησιν τοῦ βίου καὶ τῶν πράξεων Βασιλείου τοῦ ἀοιδίμου βασιλέως*», ἔνθα καὶ θείων ῥητῶν, οἷον τοῦ Ἰὼβ, καὶ τοῦ Δαβὶδ, ἐπὶ λέξεως μνημονεύει (§. νθ, καὶ §. ξζ). Καὶ ἄλλα δὲ πάλιν τοῖς ἰδίοις λόγοις συνεπιπλέκει, παραφράσεως νόμῳ.

§. σο. Σουΐδας, ὁ γραμματικὸς καὶ λεξικογράφος (τῷ 980), περιέχει πολλὰ συγγραφέων ἱστορικὰ καὶ θεολογικὰ τεμάχια· ἐν δὲ τούτοις ἀπαντῶσι καὶ λέξεις καὶ ῥήσεις προφητικαὶ, ἐκ τῆς τῶν Ο μάλιστα ἑρμηνείας, ὡς ἀπὸ κυρίας καὶ μόνης Ἐκκλησιαστικῆς Γραφῆς (βλ. τὰς λέξεις Ἀδὰμ, Παράδεισος, Μελχισεδὲκ, Μεμυαλωμένα, Σωσάννα κτλ.). Εἴδομεν δὲ καὶ ἐν τοῖς προλαβοῦσι (Βιβλ. Γ. σελ. 784) τὰ τῆς χρονολογίας. Ἀλλὰ καὶ ἐν τῷ τοῦ Ἡσυχίου Λεξικῷ πολλαὶ τῆς τῶν Ο Γραφῆς σεσημείωνται (α). Ὡσαύτως καὶ ἐν τῷ τοῦ Κυρίλλου, κἀν τῷ τοῦ Φωτίου Λεξικῷ, καὶ ἐν ἄλλοις γλωσσαρίοις (β).

§. σοα. Οἰκουμένιος (τοῦ Θ, ἢ Ι, αἰῶνος, μεταξὺ τοῦ 890 καὶ 990) συνέγραψεν *ἑρμηνείας* εἰς τὰς Πράξεις τῶν Ἀποστόλων, καὶ τὰς τοῦ Παύλου, καὶ τὰς Καθολικὰς ἐπιστολὰς (γ), τῷ θείῳ Χρυσοστόμῳ τὰ πλεῖστα παρακολουθῶν· πολλαχοῦ δὲ καὶ αὐτὰς τὰς χρυσέας φράσεις ἐπιτόμως ἀντιγράφει, μετὰ σαφη-

---

(α) Βλ. Ἡσυχ. Λεξικ. ἐκδ. Alberti. πρβλ. καὶ J. C. Biellij Hesychius Sacer ect. Brunsw. 1716.

(β) Schleusn. Thes. V. Test. Tom. 1 praef. pag. 17.

(γ) Βλ. Οἰκουμενίου ὑπομνήματα εἰς τὰς τῆς νέας Διαθήκης πραγματείας. Ed. Frid. Morellus. 2. vol. Lut. Paris. 1631.

νείας καὶ χάριτος καὶ ἀκριβείας τὰ θεῖα λόγια διασαφῶν· ἀπανθίζει δ' ἔστιν ὅπου καὶ ἐκ τῶν τοῦ Σευηριανοῦ, καὶ ἄλλων, καὶ ἐκ τῶν τοῦ Φωτίου. Ἐν ταύταις οὖν ταῖς *ἑρμηνείαις* ἐπάγει πολλαχοῦ πρὸς πίστωσιν καὶ συχνὰς τῆς Π. Γραφῆς μαρτυρίας κατὰ τοὺς Ο, καὶ ἐκ τῆς σοφίας τοῦ Σολομῶντος καὶ τοῦ Σειράχ.

§. σοϐ. Νικήτας, ὁ τοὐπίκλην *Στηθάτος*, μοναχὸς καὶ πρεσϐύτερος Στουδίτης, ἐκ τῆς ἐν Κωνσταντινουπόλει μονῆς τοῦ Στουδίου (τῷ 1050). Συνέγραψεν εἰς τὴν *Ἑξαήμερον* λόγους ιε. καὶ *Φυσικῶν κεφαλαίων Ἑκατοντάδας δύω*· καὶ βιϐλίον κατὰ τῶν ἀθέσμων καινοτομιῶν τῆς λατινικῆς Ἐκκλησίας, ἤτοι *περὶ Ἀζύμων, καὶ τῆς ἐν Σάββασι νηστείας, καὶ τῆς τοῖς ἱερεῦσι ἀπαγορεύσεως τοῦ γάμου* (α). Καὶ κανόνα δὲ εἰς τὸν ἅγιον Νικόλαον ὁ γεραρὸς Στηθάτος ἐμελῴδησε, καὶ ἄλλα συνέταξε. Σῴζονται δὲ ἐν ταῖς τοῦ ἁγιωνύμου Ὄρους βιϐλιοθήκαις διάφορα τοῦ ἱεροῦ Νικήτα πονημάτια, πνευματικὰς ὑποθέσεις πραγματευόμενα. Ἐν πᾶσι δὲ τούτοις ὑψηλὴ καὶ ἀκριϐὴς περὶ τῶν θείων διαλάμπει θεωρία, καὶ φράσις ἐμμελὴς, καὶ καθαρὰ, καὶ χρυσόπαστος λογίοις Γραφικοῖς.

§. σογ. Μιχαὴλ ὁ Ψελλὸς (τῷ 1050), πρῴην Συγκλητικὸς, εἶτα

(α) Βλ. Allat. de Missa præsanctif. 2. 16. καὶ advers. Hottinger. c. II. πρβλ. Cave pag. 423. – Fabric. Bibl. Graec. T. VII. pag. 753. Harl. Ὁ Καϐέος προστίθησιν, ὅτι Οὔμϐερτος (εἷς τῶν ὑπὸ τοῦ πάπα Λέοντος Θ, εἰς Κωνσταντινούπολιν ἐπὶ Μιχαὴλ τοῦ Κηρουλαρίου ἀπεσταλμένων) ἔγραψεν, «Ὅτι μετ' αὐτοῦ τοῦ Νικήτα διελέχθη. Νικηθεὶς δὲ ἐν τῇ διαλέξει ὁ Νικήτας, ἔκαυσε τὰ ἑαυτοῦ συγγράμματα, καὶ ἀνεθεμάτισε πάντας τοὺς ἐχθροὺς τῆς Ῥωμάνας Ἐκκλησίας». - Ὁ γοῦν Καϐέος ἀπορεῖ, πότερον ἆρα, ψεύδεται Οὔμϐερτος; ἢ ὁ Νικήτας οἰκονομικῶς τοῦτ' ἐποίησε, καιρῷ δουλεύων; - Ἀλλ' ἡμεῖς ἀποροῦμεν, πῶς καὶ ὅλως ἐσκανδαλίσθη ὁ σοφὸς ἀνὴρ ὑπὸ τῶν Οὐμϐέρτου τερατολογιῶν, ἐν ᾧ τούτων δὴ τῶν καταφλεγέντων συγγραμμάτων οὐ μόνον τὰ ἑλληνικὰ πρωτότυπα σῴζονται, ἀλλὰ καὶ λατινικὴν μετάφρασιν ἐξέδωκεν ὁ Κανίσιος· (ἔχει δὲ καὶ ὁ Βαρόνιος ἀποσπάσματα, Appendic. ad T. XI). βλ. καὶ Δοσιθ. Δωδεκάϐιϐλ. σελ. 658. — Μελετ. Ἐκκλ. ἱστορ. τόμ. β. σελ. 402. Ἴδε καὶ τοὺς τοῦ Ἀστυδάμαντος Οὐμϐέρτου λήρους ἐν τῷ Refutatio tractatus editi contr. Latin. à Niceta Pectorato παρὰ τῷ Κανισίῳ Lection. antiq. T. 3. p. 308. ed. Basnage.

μοναχὸς, «ἀνὴρ σοφώτατος καὶ τῶν φιλοσόφων ὕπατος» (Ζωναρᾶς), ἔτι δὲ καὶ πολυγραφώτατος. Ὅτι πλεῖστα τὸν ἀριθμὸν, καὶ παντοδαπὰ τούτου πονήματα καταλέγονται, τὰ μὲν ἐκδεδομένα, τὰ δ' ἀνέκδοτα σωζόμενα, μαθηματικὰ, φιλοσοφικὰ, ἰατρικὰ, ἱστορικὰ, θεολογικά. Τῶν δ' ἐκδεδομένων ἐστὶ καὶ ἡ *εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων Ἐξήγησις διὰ στίχων πολιτικῶν*· καὶ ἄλλη καταλογάδην *Ἑρμηνεία, συλλεγεῖσα ἐκ τριῶν ἁγίων Πατέρων, Γρηγορίου τοῦ Νύσσης, καὶ Νείλου, καὶ Μαξίμου*. Ἴδε ταύτην τὴν Συλλογὴν, καὶ τὴν μετ' αὐτῆς συνηρμοσμένην στιχηρὰν Ἐξήγησιν τοῦ Ψελλοῦ, ἐν τῇ Βιβλιοθήκῃ τῶν Πατέρων (Τόμ. β. σελ. 680—752.

§. σοδ. Μιχαὴλ, ὁ τοὐπίκλην Κηρουλάριος Πατριάρχης Κωνσταντινουπόλεως (τῷ 1043—1058), ὁ γενναῖος καὶ ἀοίδιμος τῆς Ὀρθοδοξίας ὑπέρμαχος, καθ' οὗ πολλὰ μὲν οἱ Παπισταὶ, καὶ ἄλλοι ἱστορικοὶ, πάντα δ' ἀδίκως ἐξεῤῥητόρευσαν, εἰς τοῦτον πρῶτον ἀποῤῥίπτοντες τὴν αἰτίαν τοῦ ἐπ' αὐτοῦ διαῤῥαγέντος σχίσματος τῶν Ἐκκλησιῶν. Ἀλλὰ ποῖος μέν τις ἦν ὁ τότε Πάπας τῆς Ῥώμης, Λέων Θ, ὁ ἀρειμάνιος, καὶ ποία τις ἡ ἐπ' αὐτοῦ τῆς Ῥωμάνας Ἐκκλησίας κατάστασις, δῆλον καὶ ἐκ τῶν Λατίνων, καὶ ἐκ τῶν καθ' ἡμᾶς ἱστορικῶν (α). Τοῦ δ' ἀοιδίμου Μιχαὴλ σῴζονται δύω ἐπιστολαὶ, καὶ σύγγραμμα κατὰ Λατίνων, οὗ ἡ ἀρχὴ «*Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητος* τοῦ παναγάθου Κυρίου» (Ψαλμ. λ, 19), καὶ τὸ Συνοδικὸν *Σημείωμα*, τῷ 1053 (κατὰ μῆνα Ἰούνιον) ἐκδοθὲν, ψήφῳ τῆς προηγησαμένης, καὶ αὖθις συνελθούσης Συνόδου, ἐν ᾗ παρῆσαν καὶ ὁ Ἀντιοχείας, καὶ οἱ δύω αὐτοκέφαλοι ἀρχιεπίσκοποι, ὁ Κύπρου καὶ ὁ Βουλγαρίας, προκαθημένου καὶ τοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ Μονομάχου (συνεψηφίσαντο δὲ συμφώνως μετὰ μικρὸν καὶ οἱ δύω ἀπόντες πατριάρχαι, ὁ Ἀλεξανδρείας καὶ ὁ Ἱεροσολύμων). Τότε ἐκηρύχθη ἐν τῇ ἀνατολικῇ Ἐκκλησίᾳ τὸ ἔσχατον ἀνάθεμα κατὰ τῶν μήποτ' ὀφειλομένων,

---

(α) Βλ. Δοσίθ. Δωδεκαβ. σελ. 756, 761. Μελέτ. Ἐκκλ. ἱστορ. τόμ. β. σελ. 400.

καὶ ἀνιάτων ἐληλεγμένων καινοτομιῶν τῆς Δυτικῆς Ἐκκλησίας, ὧν τὸ πρώτιστον κεφάλαιον, καὶ αὐτὴ ἡ κορωνὶς τῶν κακῶν, ἡ πανάθεσμός ἐςι καὶ δυσσεβὴς ἐν τῷ *Συμβόλῳ προσθήκη*. Ταύτην δὲ καὶ ἡ ἐπὶ Φωτίου καὶ τοῦ Πάπα Ἰωάννου τοῦ Η (τῷ 879) *Οἰκουμενικὴ* Σύνοδος ἀνεθεμάτισε (Πράξ. ϛ). Καὶ αὐτὸς ἰδίως ὁ Πάπας Ἰωάννης (ἐν τῇ πρὸς τὸν Φώτιον ἐπιστολῇ) τοὺς τὴν *προσθήκην* καινοτομοῦντας ἔταξε *μετὰ τοῦ Ἰούδα!* Ἀλλὰ καὶ ἡ Γ, Οἰκουμενικὴ καὶ ἁγία Σύνοδος, πολλοὺς αἰῶνας προλαβοῦσα, μεθ' ἣν καὶ ἡ Δ, καὶ ἡ Ε, καὶ Ϛ, καὶ Ζ, τῷ ἀναθέματι καθυπέβαλον, πᾶσαν ἐν γένει περὶ τὸ Σύμβολον μεταβολήν, ἢ ἀφαίρεσιν, ἢ *προσθήκην* ἀποκηρύξασαι (βλέπε καὶ Βρυέννιον λόγ. η, τόμ. α, σελ. 138-141). Τί καινότερον ἔπραξεν, ἢ πῶς οὐκ ὤφειλε τοῦτο πρᾶξαι καὶ ἐπὶ τοῦ ἀειμνήστου Κηρουλαρίου ἡ Ὀρθόδοξος Ἐκκλησία;

§. σοε. Συμεών, ὁ Νέος Θεόλογος (πρὸς διαστολὴν τοῦ Θεολόγου Γρηγορίου) ἐπικληθείς, πρεσβύτερος καὶ ἡγούμενος τῆς ἐν Κωνσταντινουπόλει πρὸς τῷ Ξυλοκέρκῳ Μονῆς τοῦ ἁγίου Μάμαντος (τῷ 1051), καὶ ὅσιος ἀνὴρ (οὗ ἡ μνήμη Μαρτίου ιβ) «Τούτου» (λέγει Νικήτας ὁ Στηθάτος ἐν τῷ βίῳ αὐτοῦ) «ἡ τοῦ Θεοῦ χάρις τὴν μὲν γλῶτταν κάλαμον ὀξυγράφον, τὴν δὲ διάνοιαν πηγὴν σοφίας Θεοῦ ἀπειργάσατο». Συνέγραψε λόγους λγ, *περὶ Πίστεως καὶ ἠθῶν* τῶν τε (κοσμικῶν) χριστιανῶν, καὶ τῶν Μοναχῶν, καὶ σκη *Κεφάλαια ἠθικά, πρακτικά, καὶ θεολογικά*, καὶ βιβλίον *τῶν Ἱερῶν ὑπομνηματισμῶν*, ἐν οἷς καὶ λόγου πρόσεστι χάρις, καὶ νοημάτων ἀκρίβεια, καὶ χρῆσις πολλῶν ῥήσεων τῆς θείας Γραφῆς.

§. σοϛ. Γεώργιος ὁ Κεδρηνός, μοναχὸς (τῷ 1057), εἷς καὶ οὗτος τῶν Βυζαντινῶν ἱστορικῶν. Οἵ γε καὶ αὐτοὶ πανταχοῦ χρῶνται τοῖς Ο, κἄν τε χρονολογῶσι, κἄν τε ῥήσεις τῆς Γραφῆς ἐκφέρωσι (α).

(α) Συνάπτομεν ὧδε καὶ τοὺς Βυζαντινοὺς ἱστορικούς, ὅσον πρὸς τοὺς Ο ἀφορῶσι (τὴν δ' ἀξίαν ἑκάςου, καὶ εἴ τινα πρὸς τῇ ἱστορίᾳ συνέγραψαν καὶ ἄλλα, διευκρινεῖ ἡ φιλολογία). Εἰσὶ δὲ οὗτοι (πρὸς τοῖς πρὸ μικροῦ, σελ. 747 προαριθμηθεῖσι Χρονογράφοις), Ἰωάννης Σκυλίτζης ὁ Κουροπαλάτης (τῷ 1081), Νικηφόρος ὁ Βρυέν-

§. σοζ. Θεοφύλακτος, ὁ ἱερώτατος Βουλγαρίας ἀρχιεπίσκοπος (τῷ 1077), Κωνσταντινουπολίτης τὸ γένος, πολὺς τὴν θείαν παιδείαν καὶ ὅση κατ᾽ ἄνθρωπον, λόγῳ τε καὶ ἀρετῇ τὸν βίον κεκοσμηκώς. Συνέγραψε τὴν *εἰς τὰ Δ, Εὐαγγέλια* καλλίστην *Ἑρμηνείαν*, ἐκ τῶν τοῦ Χρυσοστόμου λειμώνων ἀνθολογήσας, καὶ τοὺς τῆς ἰδίας σοφίας κρίνους παρεμφυτεύσας. Χαίρει δὲ μάλιστα σαφηνείᾳ, κυρίᾳ χρώμενος λέξει, καὶ λόγου συνθήκην κατασκευάζων καθαρότητι διαυγάζουσαν, καὶ ἀπέριττον, καὶ μάλιστα πρέπουσαν τῷ ἐξηγητικῷ τοῦ λόγου χαρακτῆρι. Ὡσαύτως καὶ εἰς *τὰς Πράξεις τῶν Ἀποστόλων*, καὶ *τῶν ἐπιστολῶν τοῦ ἁγίου Παύλου* συνέταξεν *Ἐξήγησιν* (α), καὶ *εἰς τοὺς ιβ μικροὺς Προφήτας* ἐξεπόνησεν ὑπομνήματα. Ἐν πᾶσι δὲ τούτοις τὴν θείαν τῶν Ο γραφὴν ὡς μόνην κυρίαν καὶ θεόπνευστον ἑρμηνείαν θεωρεῖ. Ἀλλὰ κἂν ταῖς ἰδίαις αὐτοῦ ἐπιστολαῖς ῥήσεις παρατίθησι προφητικάς· καὶ ῥητορείας ἐπιδείκνυται σθένος ζωγραφικὸν, καὶ μάλιστα παθητικὸν, ἐν οἷς ἀποκλαίεται τὰς συμφορὰς τῆς κατ᾽ αὐτὸν ἀρχιεπισκοπῆς.

§. σοη. Νικήτας ὁ Σεῤῥῶν, εἶτα δὲ καὶ Ἡρακλείας ἀρχιεπίσκοπος (τῷ 1077) συνέταξεν, ἢ μᾶλλον ἐπλούτισε καὶ ἐπηύξησε τὴν ὑπὸ

γιος (τῷ 1118), καὶ ἡ τούτου σύζυγος, ἡ μουσοστεφὴς καὶ καλλικέλαδος βασιλὶς, Ἄννα ἡ Κομνηνὴ (τῷ 1118), Ἰωάννης Κίνναμος (τῷ 1160), Νικήτας ὁ Χωνιάτης (τῷ 1204), Γεώργιος Ἀκροπολίτης (τῷ 1241), Γεώργιος Παχυμέρης (τῷ 1262), Ἰωάννης Καντακουζηνὸς (1357), Νικηφόρος Γρηγορᾶς (τῷ 1345), Ἰωάννης Κανανὸς (τῷ 1422), Ἰωάννης Ἀναγνώστης (τῷ 1430), Ἰωάννης Δούκας (1453), Γεώργιος Κωδηνὸς (τῷ 1460), Λαόνικος ὁ Χαλκοκονδύλης (τῷ 1462), Γεώργιος Φραντζῆς (1476).

(α) Γνωστὴ φέρεται παρὰ πολλοῖς ἡ εἰς τὴν κοινοτέραν διάλεκτον παράφρασις τῆς εἰς τὰ Δ Εὐαγγέλια ἑρμηνείας τοῦ ἱεροῦ Θεοφυλάκτου. Παρεφράσθη δὲ ὑπὸ Ἰωάννου τοῦ Κομνηνοῦ ἐν Βουκορεστίῳ τῷ 1702 (βλ. Kollarij ad Lambec. Commentar. etc. p. 230), καὶ ἐξεδόθη τὸ πρῶτον ἐν Λειψίᾳ τῷ 1761 ἀνωνύμως. Ὡσαύτως καὶ ἐν ταῖς Ἐνετίῃσιν ἐφεξῆς αὐτῆς μετατυπώσεσι. — Καὶ τὴν Ἐξήγησιν τῶν τοῦ Παύλου ἐπιστολῶν παρέφρασεν ὁ ἀοίδιμος Νικόδημος, πολλῶν καὶ ἄλλων Πατέρων γνώμας ὑποσυνάψας ἐν ὑποσημειώσεσιν· ἐξεδόθη δὲ καὶ αὕτη Ἐνετίῃσι τῷ 1819.

τοῦ Ὀλυμπιοδώρου πρότερον ἁρμοσθεῖσαν Σειρὰν εἰς τὸν Ἰὼβ (βλ. ὄπ. σελ. 680), ἱκανὴν ἐκ διαφόρων Πατέρων ἐρανισάμενος συμβολὴν, καὶ μηδ' αὐτὸς ἀσύμβολος ἀπολειφθείς. Τούτου τοῦ Νικήτα καλὸν ὕφασμα φαίνονται καὶ *Σειραὶ* εἰς τὸν Λουκᾶν, καὶ τοὺς ἄλλους Εὐαγγελιστὰς συντεταγμέναι (α). Ἐν δὲ τῷ προοιμίῳ τῆς εἰς τοὺς Ψαλμοὺς ὑπ' αὐτοῦ συναρμοσθείσης Σειρᾶς γράφει ταῦτα. «Ἡμεῖς δὲ τὴν τοιαύτην ἔκδοσιν (τοῦ Λουκιανοῦ) σεβαζόμενοι, τῇ τῶν Ο προσκείμεθα μάλιστα· ὅτι διῃρημένως τὴν τῆς διαλέκτου μεταβολὴν ποιησάμενοι, μίαν ἐν ἑκάστοις ἔννοιαν καὶ λέξιν ἀποδεδώκασι» (β). Συνέγραψε δὲ καὶ εἰς τοὺς *Λόγους* Γρηγορίου τοῦ Θεολόγου, ὡσαύτως καὶ εἰς τὰ *Τετράστιχα*, καὶ τὰ *Μονόστιχα*, καὶ τὰ *Ἐπιγράμματα* τοῦ Πατρὸς, ἐξηγητικὰ σχόλια, προφητικοῖς λογίοις ἐξεστεμμένα. Λάβε καὶ τῆς ἐξηγητικῆς αὐτοῦ σοφίας ὀλίγον γεῦμα. Ἑρμηνεύων τὸ τοῦ Γρηγορίου, «Καὶ ὃν ὤδινε πόῤῥωθεν ἐν ἑαυτῷ βασιλίσκον τῆς ἀσεβείας ἀναῤῥήξας ἀθρόως» κτλ. (Λόγ. εἰς τὸν Μ. Ἀθανάσιον), λέγει· «Τὰ δὲ περὶ τοῦ βασιλίσκου ἐκ τοῦ Ἡσαΐου εἴληπται (νθ, 5), λέγοντος· «*Ὠὰ ἀσπίδων ἔῤῥηξαν, καὶ ὁ μέλλων τῶν ὠῶν αὐτῶν φαγεῖν, συντρίψας, οὔριον εὗρε· καὶ ἐν αὐτῷ βασιλίσκος*». Κατὰ μὲν οὖν τὸ ῥητὸν, οἱ τὰ τῶν ἀσπίδων ῥηγνύντες ὠὰ, οὐδὲν ἕτερον εὑρίσκουσιν, ἢ βασιλίσκον· ὄφεως δὲ κύημα ὁ βασιλίσκος παγχάλεπον.—Πρὸς δὲ [τὴν] διάνοιαν, ἀσπίδος νοουμένου τοῦ διαβόλου, γέννημα αὐτοῦ καὶ ὠὸν τὸν Ἰουλιανὸν ὁ Θεολόγος ὀνομάζει, κρύπτοντα ἐν ἑαυτῷ μέχρι τινὸς τὴν ἀσέβειαν, ἣν βασιλίσκον προσαγορεύει» κτλ. (γ).

(α) Τὴν εἰς τὸν Λουκᾶν Σειρὰν ἐξέδωκεν ὁ Μάϊος, ἐν Script. vet. nov. Collect. T. IX. p. 626. sq.

(β) Βλ. Fabric. Bibl. Graec. T. III. p. 667. VII. p. 750. Harl. πρβλ. καὶ Hody σελ. 338. ἴδε καὶ ὄπισθ. Βιβλ. Β. σελ. 353·

(γ) Βλ. «Ἐξήγησιν Νικήτα τοῦ πανιερωτάτου Μητροπολίτου Σεῤῥῶν εἰς τοὺς ἀναγινωσκομένους ἐπ' Ἐκκλησίας λόγους τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Θεολόγου». Σῴζεται δὲ τὸ ἑλληνικὸν κείμενον χειρόγραφον ἐν τῷ Ἁγιωνύμῳ Ὄρει, ἐξ οὗ καὶ τὸ παρ' ἡμῖν ἀντίγραφον, ὅθεν μετεγράφη καὶ ἡ ἀνωτέρω χρῆσις.

§. σοθ. Εὐστράτιος, Νικαίας μητροπολίτης (τῷ 1110), συνέγραψε τὴν κατὰ τοῦ Χρυσολάνου σοφωτάτην *Περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος* πραγματείαν. Καὶ ἄλλα δὲ πέντε τούτου πονήματα περὶ τῆς αὐτῆς ὑποθέσεως ὁ Ἀλλάτιος μνημονεύει (ἐν τῷ περὶ Διηνεκοῦς *Συμφωνίας*). Τοῦ δ' αὐτοῦ εἰσι καὶ τὰ εἰς τὰ Νικομάχεια Ἠθικὰ τοῦ Ἀριστοτέλους, καὶ ἐπὶ τῶν *Ἀναλυτικῶν τῶν ὑστέρων*, ἐκδοθέντα ὑπομνήματα. «Ἦν γὰρ ἀνὴρ τά τε θεῖα σοφὸς, καὶ τὰ θύραθεν, μᾶλλον – ἢ οἱ περὶ τὴν Στοὰν καὶ Ἀκαδημίαν ἐνδιατρίβοντες», ὡς Ἄννα ἡ Κομνηνὴ μαρτυρεῖ.

§. σπ. Εὐθύμιος ὁ Ζιγαβηνὸς, μοναχὸς σοφὸς, καὶ μάλα περὶ τὰς θείας Γραφὰς ἠσκημένος (τῷ 1116), συνέγραψε τὴν κατὰ πασῶν τῶν Αἱρέσεων *Δογματικὴν Πανοπλίαν*, ἐκ τῶν ἐγκρίτων καὶ θεοφόρων Πατέρων ἀρυσάμενος καταλλήλους τὰς ἀποδείξεις, καὶ λίαν ἐμμελῶς αὐτὰς διατάξας. Συνέταξε δὲ καὶ *Ἑρμηνείαν εἰς τὰ τέσσαρα Εὐαγγέλια*, ἐκ τῶν τοῦ Χρυσοστόμου ἐξηγήσεων ἐρανισάμενος (ὡς λέγει ῥητῶς), καὶ ἐξ ἄλλων διαφόρων, καὶ τὰ καθ' ἑαυτὸν συνεισενεγκών (α). Ἔστι δὲ περὶ τὴν ἑρμηνείαν σαφὴς, συντόμως καὶ εὐκρινῶς τὰ θεόπνευστα ῥήματα ἐξηγούμενος. Πολλὰς δὲ καὶ τῆς Παλαιᾶς τῶν Ο Γραφῆς ῥήσεις συμπλέκει, διατρανῶν τὴν ἐξήγησιν. Καὶ εἰς τοὺς *Ψαλμοὺς τοῦ Δαβὶδ, καὶ τὰς Ὠδὰς* τῆς Γραφῆς, ἑρμηνείαν ἐξεπόνησεν, ὡσαύτως ἀξιόλογον καὶ εὐσύνοπτον. Ἐν δὲ τῷ γλαφυρῷ καὶ καλλιῤῥήμονι προοιμίῳ προτάξας πάντα τὰ προεισοδιώδη, μέμνηται καὶ τῶν κατὰ καιροὺς ἑλληνικῶν μεταφράσεων τῆς θείας Γραφῆς, πρώτην ἀριθμῶν τὴν *ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου, διέποντος τῆς Αἰγύπτου τὴν βασιλείαν, φιλοπονηθεῖσαν ὑπὸ τῶν Ο*, «*οἵτινες ἑβραῖοι ὄντες σύμφωνον τὴν ἑρμηνείαν ἐξέθεντο*». Ἔχεις ὅλην τὴν περικοπὴν ἐν τῷ Παραρτήματι (β).

(α) Βλ. Euthymmij Zigabeni Commentarius in quatuor Evangelia. Edid. Matthaei. 4. vol. Lipsiae 1792.

(β) Βλ. Τὸ προοίμιον τῆς εἰς τοὺς ψαλμοὺς ἑρμηνείας τοῦ Ζιγαβηνοῦ ἐξέδωκεν ἰδίως ὁ Λεμοῦνος (Var. Sacr. Tom. 1. p. 150 — 210). Ὅλη δὲ τοῦ Ψαλτῆρος ἡ

§. σπα. Θεοφάνης, ὁ τοὐπίκλην *Κεραμεὺς*, καὶ τοῦ κατὰ Σικελίαν Ταυρομενίου ἀρχιεπίσκοπος, (τῷ 1130-1152), λογική τις ἀπὸ σίμβλου κεραμείου μέλισσα, μελιχρὸς καὶ ῥητορικώτατος· συνέταξεν ἱερὰς Ὁμιλίας, ἐξηγητικὰς ῥητῶν Εὐαγγελικῶν, ἑορταστικὰς, καὶ ἄλλας διδακτικάς· οἷον εἰς τὰ ΙΑ, Ἑωθινὰ Εὐαγγέλια, εἰς τὴν Κυριακὴν τῆς Ὀρθοδοξίας, εἰς τὴν ἀρχὴν τῆς Ἰνδίκτου, καὶ τὰς λοιπὰς παρατρέχομεν. Εἰσὶ δὲ πᾶσαι αἱ ἐκδοθεῖσαι ΞΒ. ἐν αἷς μετὰ τῶν Εὐαγγελικῶν καὶ αἱ προφητικαὶ συνεκλάμπουσι ῥήσεις κατὰ τοὺς Ο. Καὶ ἀμφοτέρας τὰς θείας Διαθήκας, ὡς μίαν Γραφὴν ὁ ἱερὸς Θεοφάνης ἐξυμνῶν, « Ἡ πολύτροπός (φησι) τοῦ Θεοῦ σοφία ηὐδόκησε ποικιλοτρόπως νοεῖσθαι τῆς Γραφῆς τὰ μυστήρια ». Καί· « Φρέαρ γάρ ἐστιν ἡ θεία Γραφὴ, ὡς ὕδωρ τὴν γνῶσιν πηγάζουσα. Βάθος δὲ τοῦτο (ἴσ. γρ. τούτου) τοῦ φρέατος, τὰ μυστηριώδη αἰνίγματα· ἄντλημα δὲ, ἡ [τῶν] γραμμάτων μελέτη καὶ μάθησις » κτλ. (σελ. 101, 268. ἐκδ. Σκόρσου), καὶ τὸν ἐν τῷ προφήτῃ Δανιὴλ Ἀββακοὺμ μνημονεύει (σελ. 273). καὶ ῥήσεις ἐκ τῆς Σοφίας Σολομῶντος ὡς ἐκ βίβλου κανονικῆς ἀναγράφει.

§. σπβ. Θεόδωρος, ὁ τοὐπίκλην *Πρόδρομος* (εἶχε δὲ καὶ πάππον *Προδρομώνυμον*, ὡς αὐτὸς γράφει), ὁ δ' αὐτὸς καὶ (ὡς ἐκ τῆς ἑαυτοῦ πτωχείας, ἣν αὐτὸς διέγραψε) *Πτωχοπρόδρομος*· (μάτην γὰρ διαιροῦσι τοῦτον ὡς ἕτερον τοῦ Προδρόμου), μοναχὸς σοφὸς καὶ πολυμαθὴς (μεταξὺ τοῦ 1143, καὶ 1180), συνέγραψε ποικίλα καὶ καταλογάδην καὶ διὰ στίχων ἰαμβικῶν (ἴδε τὸν Φαβρίκιον Ἑλλην. Βιβλ. Τόμ. 8. σελ. 137). Ἐν δὲ τούτοις, καὶ «*Τετράστιχα Ἰαμβεῖα καὶ ἡρῷα εἰς τὰ κεφαλαιωδῶς ῥηθέντα ἐν τῇ Γραφῇ*» (τῇ παλαιᾷ), καὶ ἄλλα *Ἰαμβεῖα* μόνον εἰς *τὴν Καινὴν Διαθήκην*, πόνημα χαρίεν, καὶ κομψὸν, καὶ ἐν ὀλίγοις στίχοις περιλη-

---

Ἑρμηνεία συνεξεδόθη μετὰ τῶν ἁπάντων τοῦ Θεοφυλάκτου ἐν τόμ. Δ. Ἑνετ. 1763. Καὶ παράφρασιν δὲ ταύτης τῆς ἑρμηνείας κοινολεκτικωτέραν ἐφιλοπόνησεν ὁ ἀοίδιμος Νικόδημος ὁ Ἁγιορίτης, προσθεὶς καὶ ὑποσημειώσεις ἐκ διαφόρων Πατέρων ἀπηνθισμένας, ἐν τόμοις δυσί. Ἐτυπώθη δαπάνῃ τῶν ἀειμνήστων Ζωσιμάδων, ἐν Κωνσταντινουπόλει ͵αωιθ.

πτικὸν πολλῶν ὑποθέσεων τῆς θείας Γραφῆς. Καὶ ἔστι χρήσιμον μάλιστα τοῖς πρωτοπείροις, καὶ τοῖς παιδίοις, ὡς εἰς τὴν ἱερὰν ἱστορίαν εἰσαγωγικὸν, καὶ εὐμάθητον, καὶ εὐμνημόνευτον διὰ τὴν ἁρμονίαν καὶ τὴν ῥέουσαν φράσιν τῶν ἰαμβείων. Καὶ ἐξήγησιν δὲ εἰς τοὺς ἀσματικοὺς κανόνας Κοσμᾶ καὶ Δαμασκηνοῦ, τῶν ἐξόχων ὑμνῳδῶν, συνέγραψεν ὁ πλούσιος ἐν λόγοις καὶ ἱεραῖς ἐννοίαις Πτωχοπρόδρομος.

§. σπγ. Εὐστάθιος, τὴν πατρίδα Κωνσταντινουπολίτης, Διάκονος τῆς Μ. Ἐκκλησίας, καὶ ἐπὶ τῶν Δεήσεων, καὶ Διδάσκαλος (Μαΐστωρ) τῶν Ῥητόρων, ἐπὶ Μανουὴλ καὶ Ἀλεξίου καὶ Ἀνδρονίκου, τῶν Κομνηνῶν Αὐτοκρατόρων ἀκμάσας (τῷ 1170. ἐτελεύτα δὲ περὶ τὸ 1196), ὁ μετὰ τὸν Φώτιον δεύτερος τῆς ἑλληνικῆς φιλολογίας φωστὴρ, πλήρης παντοίας πολυμαθείας, τῆς τε θειοτέρας καὶ τῆς κατὰ κόσμον, καὶ λόγων ἰσχὺν περιβεβλημένος. Οὗτός ἐστιν ἡ *τῶν Ὁμήρου Σειρήνων* Σειρὴν (ἵν' αὐτὸν ἀπὸ τῶν αὐτοῦ προσφθεγξώμεθα), ὁ τὰς εἰς τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν *Παρεκβολὰς* συνταξάμενος, οἷον πηγὰς ἀειῤῥύτους, νάματα παντοίων γνώσεων ἀφθόνως ἀναστομούσας, ἐξ ὧν καὶ παλαιοὶ καὶ νεώτεροι καταρδεύουσι τὰς φιλολογικὰς αὐτῶν συγγραφάς. Οὗτός ἐστιν ὁ *τῆς Διονυσίου Περιηγήσεως* ἔμπειρος πρωράτης, περιάγων ἀσφαλῶς, καὶ ξεναγῶν τὸν ἀναγνώστην εἰς τὴν τῆς Οἰκουμένης ἱστορίαν διὰ τῶν σοφῶν αὐτοῦ ἐξηγήσεων. «*Εὐστάθιος*» (ἔλεγεν ὁ ἀρτιστομώτατος Ψελλὸς), «*Ἡ Μοῦσα τῶν ἐννοιῶν, ἡ Χάρις τῶν λέξεων, ἡ φιλόσοφος Καλλιόπη*». Ἀλλὰ περὶ τῶν ἀνεκτιμήτων φιλολογικῶν αὐτοῦ θησαυρῶν οὐχ ἡμῖν ὁ λόγος (α).

(α) Αὐτόγραφον ἰδιόχειρον τοῦ Εὐσταθίου χειρόγραφον τῆς εἰς τὴν Ὀδύσσειαν ἐξηγήσεως τεθησαύρισται ἐν τῇ Μαρκιανῇ Βιβλιοθήκῃ, ἐν τῇ τῶν Βησσαρίωνος Χειρογράφων Συλλογῇ, Ἀριθ. 460, ἐν μεμβράναις. ἔχει φύλλα 250. Ἡ ἀρχὴ λείπει. Ἄρχεται δὲ οὕτω. «Μένος, ἔνθα τὰ τοῦ Ὀδυσσέως βασίλεια· φησὶ γοῦν, ὡς ἡ τοῦ μύθου Ἀθηνᾶ» κτλ. καὶ τελευτᾷ εἰς τὰ «πλὴν ὅσον, ἐκεῖ μὲν ὀλιγοήμεροι αἱ τοιαῦται σπονδαὶ, ἐνταῦθα δὲ διηνεκεῖς». Βεβαιοῖ δὲ τὸ αὐτόγραφον τοῦ Εὐσταθίου αὐτὸς ὁ τοῦ κώδηκος κτήτωρ, ὁ Βησσαρίων, ὁ τοῦ ἱεροῦ θρόνου τῆς

Ὁ δ' ἀοίδιμος ἱεράρχης οὐδὲ τῆς θειοτέρας καὶ μόνης αἰωνίας ἀπελείπετο Σοφίας· ἀλλ' ἦν καθ' ἑκάτερον, ἔντε φιλολογικοῖς σπουδάσμασι, καὶ ἐν ταῖς τῶν θείων Γραφῶν ἀκηράτοις μελέταις ἐξησκημένος. Τοῦτο γάρ (φησι Νικήτας ὁ Χωνιάτης) «*τὸ οἰκειότατον ἐκείνῳ, καὶ ἐξαίρετον ἦν χαρακτήρισμα*». Καὶ Μιχαὴλ ὁ Νικήτας, Μητροπολίτης Ἀθηνῶν, μνημονεύει τοῦ Εὐςαθίου «*Λόγους* λαμπροὺς, καὶ δόγμασιν Εὐαγγελικοῖς γεγανωμένους θαυμασίως, ὡς εἴ τις ἀργύρῳ χρυσὸς ἐπιχέοιτο» (Μονῳδ. εἰς Εὐστάθ. §. 16). Ἀλλὰ τῶν Ἐκκλησιαστικῶν τοῦ ἱεροῦ τούτου Πατρὸς συγγραφῶν, ὅσαι διεσώθησαν, ἀνέκδοτοι εἰσέτι μένουσιν αἱ πολλαί· οἷον, *Εἰς τὴν ʽΕξαήμερον ὑπομνήματα*, καὶ *Περὶ τῆς Ἐγγαστριμύθου πρὸς Ὠριγένην*, καὶ εἴ τι ἄλλο, καὶ Ἐξήγησις τοῦ εἰς τὴν Πεντηκοστὴν Ἰαμβικοῦ κανόνος τοῦ θείου Δαμασκηνοῦ (α), καὶ *Λόγοι* Ἐκκλησιαστικοὶ, οἷον, *Εἰς τὴν ἀρχὴν τῆς Ἰνδίκτου* (τῷ Κ. Κ. 6703. ἤτοι τῷ 1196 μ. Χ. κατὰ τοὺς Ο), καὶ *εἰς τὴν ἀρχὴν τῆς Τεσσαρακοστῆς*, καὶ ἄλλος εἰς τὸ, *Μυστήριον ξένον* (τὸν εἱρμὸν τῆς θ, ᾠδῆς τοῦ εἰς τὴν Χριστοῦ γέννησιν κανόνος τοῦ Κοσμᾶ) κτλ. Ἐξέδωκε δὲ καὶ ὁ κλεινὸς Τάφελος ἐν τῇ πολυΐδμονι αὐτοῦ *Θεσσαλονίκῃ* δύω τοῦ Εὐσταθίου λόγους, τὸν μὲν πρὸς τὸν αὐτοκράτορα Μανουὴλ, (νεάζει δέ πως ὁ λόγος οὗτος, ἀποκλίνων πρὸς τὸ σοφιςικώτερον, καὶ καταχρᾶται *τῷ σχήματι τῆς ὑπερβολῆς*)-τὸν δὲ, πρὸς τὸν αὐτὸν

Νικαίας τὴν Τούσκλων ἐπισκοπὴν, καὶ τὴν Καρδινάλειον πορφύραν ἀνταλλαξάμενος! Εὐθὺς ἐν τῇ ἀρχῇ τοῦ κώδηκος ἐπιγέγραπται ταῦτα τὰ γράμματα τῆς αὐτοῦ τοῦ Βησσαρίωνος χειρός, «Εὐσταθίου ἀρχιεπισκόπου Θεσσαλονίκης Ἐξήγησις εἰς ὅλην τὴν Ὀδύσσειαν. ΕΙΣΙ ΔΕ ΤΑ ΓΡΑΜΜΑΤΑ ΤΗΣ ΧΕΙΡΟΣ ΑΥΤΟΥ ΕΚΕΙΝΟΥ. Κτῆμα Βησσαρίωνος, Ἕλληνος τὸ γένος, τὴν ἀξίαν καρδινάλεως, τοῦ τῶν Τούσκλων».

(α) Βλ. Suicer. Thes. Eccl. v. Μητροπάρθενος. Cave p. 475. Λόγους τοῦ Εὐσταθίου περὶ τούτου τοῦ κανόνος μνημονεύει καὶ ὁ μακαρίτης Νικόδημος ἐν ᾧ συνέταξεν Ἑορτοδρομίῳ (σελ. 553)· ὁ δ' αὐτὸς (ἐν τῷ προλόγῳ σελ. ιζ) καὶ ἀνωνύμου μητροπολίτου Θεσσαλονίκης Ἑρμηνείαν τῶν κανόνων χειρόγραφον μνημονεύει, σῳζομένην ἐν τῷ ἁγιωνύμῳ Ὄρει. Καθόλου δὲ περὶ τῶν Εὐσταθίου συγγραμμάτων βλ. Fabric. Bibl. Graec. T. XI. p. 283. Harl.

αὐτοκράτορα,« *Δέησιν ὡς ἀπὸ τῆς πόλεως, ὅτε αὐτὴν αὐχμὸς ἐπίεζεν*» (α). Ἐν ἀμφοτέροις δὲ τούτοις τοῖς λόγοις συμπλέκονται προσφυῶς καὶ ῥήσεις τῆς θείας Γραφῆς· οἷον· «Ἀποκατάστησον τὸ ὕδωρ ἐπὶ χώραν, οὐ *πρὸς ἡμέραν*, ὡς τὰ τῆς Γραφῆς, ἀλλ' εἰς αἰῶνα ὅλον, ᾧ συνεπεκταθείη καὶ τὸ κράτος τῆς βασιλείας σου. *Οὐκ ἔστιν ὕδωρ τῷ λαῷ πιεῖν· δὸς ἡμῖν ὕδωρ ἵνα πίωμεν·* ἀλλ' ἐκεῖνο μὲν ἔλεγε πρὸς τὸν Θεοῦ θεράποντα Μωϋσῆν γογγυστὴς λαὸς, σκληροτράχηλος, καὶ, τῆς βρώσεως ἔτι οὔσης ἐν τῷ στόματι, τοῦ εὐεργέτου καταλαλῶν» κτλ. Καί· «Κράζομεν ἰδοὺ μετὰ Ἡλιοὺ καὶ ἡμεῖς τῇ βασιλείᾳ σου... *Ζῇ Κύριος, εἰ ἔσται τὰ ἔτη ταῦτα ὕδατος σταγὼν, εἰμὴ διὰ λόγου στόματός σου* (Γ. Βασιλ. ιζ). Ἐκ τούτου λόγον *ἐξαπόστειλον*, καὶ (Δαβὶδ ἂν εἴποι) ῥυήσεται ὕδατα» (Ψαλμ. οζ).

§. σπδ. Θεόδωρος ὁ Βαλσαμὼν (τῷ 1180), Κωνσταντινουπολίτης, Διάκονος τῆς Μεγάλης Ἐκκλησίας, καὶ Νομοφύλαξ, καὶ Χαρτοφύλαξ τῶν πατριαρχικῶν ἀρχείων, εἶτα δὲ καὶ Πατριάρχης Ἀντιοχείας προχειρισθείς. Ἀλλὰ τὴν ἀποστολικὴν αὐτοῦ καθέδραν οὐκ εἶδεν (ἤδη τῆς Ἀντιοχείας ὑπὸ τῶν *σταυροφθόρων* μᾶλλον, ἢ *σταυροφόρων* Λατίνων ἑαλωκυίας, ἐν ᾗ καὶ ἴδιον αὐτῶν ψευδοπατριάρχην εἶχον ἐγκαταστήσαντες)· διὸ καὶ τεθλιμμένος ἀποκλαίεται ὁ ἱερὸς Βαλσαμὼν ἐν τῇ πρὸς τοὺς ἐν Ὀλύμπῳ ἀσκουμένους μοναχοὺς περὶ νηστειῶν ἐπιστολῇ. «Ἰσχνόφωνός (φησίν) εἰμι, καὶ γέρων ἀστήρικτος, καὶ οὐδὲ τὸν λαχόντα με θρόνον ἰδεῖν κατηξίωμαι». Ὑπῆρχε δὲ οὗτος ἐν λόγοις ἐπισημότατος, «καὶ τρίβων ἐπ' ἀκριβὲς τῶν νομικῶν καὶ κανονικῶν μαθημάτων, καὶ παρὰ πᾶσιν ἐν τού-

---

(α) Βλ. De Thessalonica ejusque agro dissertat. Geographica. Scrips. Theophil. Luc. F. Tafel, Berolini, 1839. in appendic. p. 350—439. Ὅπου συνεξέδωκε καὶ ἐπιστολὰς τοῦ τε Μιχαὴλ Νικήτα, μητροπολίτου Ἀθηνῶν, καὶ τρεῖς Μιχαὴλ τοῦ Ψελλοῦ πρὸς τὸν Εὐστάθιον. Καὶ Εὐθυμίου δὲ τοῦ Νέων Πατρῶν Μονῳδίαν ἐπὶ τῇ τελευτῇ τοῦ ἀοιδίμου Εὐσταθίου, καὶ ἄλλην πάλιν τοῦ Νικήτα μητροπολίτου Ἀθηνῶν· ἀμφοτέρων συγχρόνων καὶ φίλων τοῦ Εὐσταθίου. Καὶ ἄλλα δὲ ἰδίως τῶν Εὐσταθίου πονηματίων ἐξέδωκεν ὁ εὐκλεὴς Τάφελος ἐν τῷ Eustathij, metropol. Thessalonicensis Opuscula etc. Francof. ad M. 1832.

τοις πειριαδόμενος» (ὡς ὁ Κίτρους Ἰωάννης ἱστορεῖ). Σῴζονται καὶ νῦν αἱ περὶ τὰ μαθήματα ταῦτα πολυμαθεῖς αὐτοῦ συγγραφαί (α)· ἔτι δὲ καὶ ἐπιστολαὶ, καὶ *αἱ πρὸς τὰς κανονικὰς ἐρωτήσεις Μάρκου τοῦ Ἀλεξανδρείας ἀποκρίσεις*, ἐν αἷς καὶ ὅσας τῆς παλαιᾶς τῶν Ο Γραφῆς ἀναφέρει ῥήσεις, ἀποκαλεῖ· «*Τῆς τοῦ Πνεύματος κιννύρας θεσπιῳδήματα*» *(β)*.

§. σπε. Γερμανὸς, ὁ *Νέος* τὸ ἐπώνυμον (πρὸς διαστολὴν τοῦ πρεσβυτέρου)(τῷ 1226), ἀνὴρ συνετὸς, καὶ ἀρετῇ, καὶ λόγων σοφίᾳ πεπυκασμένος. Συνέγραψεν *Ὁμιλίας*, ἢ *Λόγους* πανηγυρικούς· οἷον εἰς τὸ Γενέσιον καὶ τὴν Κοίμησιν τῆς Θεοτόκου, εἰς τὴν Ὕψωσιν τοῦ Σταυροῦ, καὶ ἄλλους, λίαν εὐφραδεῖς, καὶ τοῖς ἐκ τῶν Γραφῶν θεσπεσίοις λογίοις ἀμφιλαφεῖς· τοιαύτη καὶ ἡ πρὸς τὸν Πάπαν Ἀδριανὸν τὸν Δ, πατριαρχικωτάτη, καὶ περίσεμνος αὐτοῦ ἐπιςολὴ, τό, τε φοβερὸν τῆς τοῦ σχίσματος μαχαίρας διαγράφουσα, καὶ πρὸς ὁμόνοιαν ἀνακαλοῦσα, καὶ μετ' ἀποστολικῆς πρᾳότητος τὰς κατὰ τὴν Κύπρον μάλιστα ὑπὸ τῶν ἐπιβατῶν Λατίνων κατὰ τῶν Ὀρθοδόξων ὠμότητας ἐξελέγχουσα· « Πολέμου (φησὶν) ἀφανισμοί· σφραγῖδες ἀπῃωρημέναι κατὰ τῶν ἐκκλησιαστικῶν θυρῶν [ἐν]

(α) Βλ. «Ἐξήγησιν τῶν ἱερῶν καὶ θείων Κανόνων κτλ. πονηθεῖσαν Θεοδώρῳ τῷ Βαλσαμών». Lut. Paris. 1620. πρβλ. καὶ «Θεοδώρου Διακόνου Βαλσαμῶν τῶν Ἐκκλησιαστικῶν Διατάξεων Συλλογὴν» (ἐκδεδομένην ὑπὸ Vœll καὶ Justel. ἐν Biblioth. Juris Canon. T. 2. pag. 1223). Ταύτην δὲ τὴν Συλλογὴν πάντες μονονοὺ οἱ περὶ αὐτῆς διαλαβόντες νομικοὶ καὶ φιλολόγοι (οἷον Fabrotus, Leunclavius, Menagius, Janus à Costa, Cave, Fabricius (Bibl. Græc. T. X.), Schœll, Giraud, Heimbach) γνησίαν ἀποδέχονται τοῦ Βαλσαμῶνος. Ὁ δὲ Biener (Geschichte der Novellen Justinians p. 183, 185. Berlin, 1824) ὑπολαμβάνει πολλῷ ἀρχαιοτέραν, ἐκδεδομένην περὶ τὰ τέλη τῆς Ἡρακλείου βασιλείας. Καὶ τούτου δὲ παλαιοτέραν ἔναγχος ἐπρέσβευσεν ὁ κλεινὸς G. A. Mortreuil (Histoire de Droit Byzantin et de Droit Romain etc. T. 1. p. 241-246. Paris, 1847), νομίζων τὴν Συλλογὴν οὐ μόνον τοῦ Βαλσαμῶνος, καὶ τοῦ Φωτίου προγενεστέραν, ἀλλ' ἀνήκουσαν καὶ εἰς τοῦ Β, Ἰουστίνου τὴν ἐποχὴν, καθ' ἣν μετὰ τὴν Ἰουστινιανοῦ τελευτὴν ἐγένοντο τοιαῦται Συλλογαὶ τῶν Διαταγμάτων τῆς Ἰουστινιανείου νομικῆς, ἀφορῶσαι τὴν ἐκκλησιαστικὴν εὐταξίαν.

(β) Βλ. Leunclavij Jus Graeco — Romanum. L. V. p. 362. sq.

ἱεροπραξίαις παντοίαις, *ἵνα μὴ γραικαῖς φωναῖς δοξολογῆται ὁ Θεός*. Ἓν ἐλείπετο μόνον, καὶ γέγονε καὶ αὐτό· ἵνα μαρτυρίου καιρὸς αὐτῇ (ἴσ. γρ. *ἐπιστῇ*), καὶ βῆμα τυραννικὸν προτεθῇ, καὶ θρόνος μαρτυρικὸς ἀνοιγῇ . . . Καλά γε ταῦτα ἁγιώτατε, καὶ τοῦ Ἀποστόλου Πέτρου διάδοχε; » κτλ. (Συνόδ. Συλλ. Τόμ. Β. σελ. 999). Τούτου δὲ καὶ ᾄσματα *ἰδιόμελα* φέρονται, καὶ ἄλλα, περὶ ὧν ἴδε τὸν Φαβρίκιον (Ἑλλην. Βιβλιοθ. Τόμ. ια. σελ. 162). Ὅτι δὲ εἰς τοῦτον οὐκ εὐλόγως τινὲς τῶν νεωτέρων κριτικοὶ ἀπονέμουσι καὶ τὴν Ἐξήγησιν τῆς θείας Λειτουργίας, προείπομεν. (σελ. 741).

§. σπϛ. Θεόδωρος Λάσκαρις, ὁ νεώτερος (ὁ καὶ Δούκας), αὐτοκράτωρ Κωνσταντινουπολίτης (τῷ 1255), καὶ πρὸς τῷ τέλει τοῦ βίου τὸν μοναχικὸν ἀντὶ τῆς πορφύρας ἀνταλλαξάμενος τρίβωνα, συνέγραψε τὸν *περὶ τοῦ ἁγίου Πνεύματος λόγον*, κατὰ Λατίνων, πρὸς Δωρόθεον, Κορώνης ἐπίσκοπον, καὶ ἄλλα, καὶ ἐγκώμιον εἰς τὸν ἅγιον Εὐθύμιον. Τούτου καὶ ὁ Παρακλητικὸς κανὼν εἰς τὴν Θεοτόκον (βλ. ὄπισθ. σελ. 762).

§. σπζ. Νικηφόρος ὁ Βλεμμίδης (τῷ 1255) πρὸς τῇ μοναστικῇ φιλοσοφίᾳ καὶ τῷ ἀξιώματι τῆς ἱερωσύνης ἠγλαϊσμένος, καὶ πολλαῖς περιηνθισμένος ταῖς ἀρεταῖς, καὶ διὰ πάσης παιδείας ἐλθών, τῆς τε ἱερᾶς καὶ τῆς θύραθεν (οὗ καὶ ὁ ῥηθεὶς Θεόδωρος ὁ Αὐτοκράτωρ διήκουσε). Τοῦτον τὸν ἄνδρα τῶν τινες τῆς Δυτικῆς Ἐκκλησίας σοφῶν, καὶ πρὸ πάντων ὁ μηδεμίαν θρασύτητος ὑπερβολὴν ἀπολιπὼν παποσεβὴς Ἀλλάτιος, προδότην ἄντικρυς τῶν πατρῴων, καὶ Λατινόφρονα γενέσθαι λίαν ἀναιδῶς τερατολογοῦσι, κόσμον ἀλλότριον σφετερίσασθαι πειρώμενοι. Ἀλλ' εἰσὶ καὶ ταῦτα τῆς παπαίας συμμορίας τὰ λογάρια, Δωδωναίου χαλκείου ψόφοι, καὶ διάκενα πλαταγήματα (α). Ὁ δὲ Βλεμμίδης συνέγραψε *Περὶ*

(α) Ἴδε τὴν ὑπὸ τοῦ ἀοιδίμου Εὐγενίου φιλοπονηθεῖσαν Ἀνάκρισιν περὶ Νικηφόρου τοῦ Βλεμμίδου, ἐν τῷ τέλει τοῦ γ, τόμου τῶν ὑπ' αὐτοῦ ἐκδοθέντων συγγραμμάτων τοῦ Βρυεννίου προστεθειμένην· καὶ παρ' αὐτῇ, τὴν ὑπὲρ τοῦ Βλεμμίδου ἀπολογίαν τοῦ ἀειμνήστου Δοσιθέου Ἱεροσολύμων. βλ. τούτου καὶ Τόμον Ἀγάπης, προλόγ. καὶ σελ. 494.

τῆς *ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος* λόγους δύω, καὶ ἕτερα δύω περὶ τῆς αὐτῆς ὑποθέσεως πονημάτια κατὰ Λατίνων, καὶ Ἐγκώμιον εἰς τὸν θεολόγον Ἰωάννην, καὶ εἴ τι ἕτερον, καὶ Ἑρμηνείαν εἰς τὸ Ψαλτήριον, καὶ εἰς τὰς Θ Ὠδὰς, τὰ θεῖα τῶν Ο, λόγια ὀρθοδόξως διατρανῶν (βλ. τὸν Καβέον σελ. Τόμ. α. 502, καὶ Τόμ. Β. σελ. 249. καὶ Μελέτ. Ἐκκλ. Ἱστορ. Τόμ. γ. σελ. 134).

§. σπη. Νικόλαος ὁ Καβάσιλας (τῷ 1350) ἀδελφιδοῦς τοῦ θεσπεσίου Νείλου τοῦ Θεσσαλονίκης (ὃς τὸ κατὰ τῶν πρωτείων τοῦ Πάπα θαυμαστὸν συνέγραψε βιβλίον· καὶ ἕτερον περὶ τῶν αἰτίων τῆς διαιρέσεως τῶν Ἐκκλησιῶν, καὶ ἄλλα πολλά)· καὶ αὐτὸς ὁ Νικόλαος, ἐν τῇ μητροπόλει τῆς Θεσσαλονίκης διεδέξατο τὸν μητρόθειον, θείᾳ τε καὶ κοσμικῇ σοφίᾳ πλουτῶν, καὶ λόγοις καὶ συγγραφαῖς ὑπὲρ τῆς Ὀρθοδόξου πίστεως κατὰ τῶν λατινικῶν καινοτομιῶν ἰσχυρῶς ἀντιταξάμενος. Συνέγραψε δὲ ἄλλα τε θεοφιλῆ, καὶ *Ἑρμηνείαν τῆς θείας Λειτουργίας*, ἐν ᾗ καὶ τὰς ἐν τῇ θεοπρεπεῖ τοῦ μυστηρίου τελετουργίᾳ προφητικὰς φωνὰς ἐξηγεῖ, καὶ καθόλου δὲ τῶν ἐν τῇ Ἐκκλησίᾳ τεταγμένων ἀναγνωσμάτων τῆς θείας Γραφῆς τὸν σκοπὸν ἐξετάζει, καὶ περὶ τῶν ἱερῶν ψαλμῳδιῶν ἀποφαίνεται, ὅτι « τὸν θεὸν ἡμῖν ἐξιλεοῦσι, καὶ τὴν ἐκεῖθεν ἐπισπῶνται ῥοπήν· Θῦσον γάρ φησι καὶ ὁ προφήτης τῷ θεῷ *θυσίαν αἰνέσεως*, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με » (ἴδε τὴν ἑρμηνείαν ἐν τῇ τῶν Πατέρων Βιβλιοθήκῃ, τόμ. β. σελ. 208 κτξ.).

§. σπθ. Νικηφόρος ὁ τό, τε γένος, καὶ τὴν ἱερὰν παιδείαν, καὶ τὸ ἐπώνυμον *Κάλλιστος*, υἱὸς Καλλίστου τοῦ Ξανθοπούλου, Κωνσταντινουπολίτης (τῷ 1333), μοναχὸς τὴν ἐπαγγελίαν· συνέγραψεν ἐκκλησιαστικὴν ἱστορίαν, ἐμμελῆ καὶ εὔμουσον, ἐν βιβλίοις κγ, ἧς μόνα τὰ ιη, σῴζονται καὶ καθ' ἡμᾶς ἐκδεδομένα. Βεβαιοῖ δὲ καὶ τὴν ὑφ' ἑκάστου τῶν Ο χωρὶς, ἐν ἰδίοις δωματίοις, γενομένην ἑρμηνείαν, τοὺς Εἰρηναίου λόγους ἀντιγράφων (Δ, ιδ. βλ. ὄπισθ. Βιβλ. Β. σελ. 338). Ἔτι δὲ καὶ Σύνοψιν πάσης τῆς ἱερᾶς Γραφῆς ἐν στίχοις ἐνέτεινεν ἰαμβείοις, πάντα τὰ τῆς παλαιᾶς Γραφῆς κατὰ τοὺς Ο, καταγράφων, καὶ μετὰ τῶν Κανονικῶν καὶ τ' Ἀναγινωσκόμενα ἐπίσης

ὡς τεύχη τῆς θείας Γραφῆς ἀριθμῶν· καὶ τὸν Ἀρφαξάδειον Καϊνᾶν γενεαλογεῖ· καὶ τὸν ἐν Δανιὴλ Ἀββακοὺμ ἀναφέρει, καὶ τὸν Α, Ἔσδραν· καὶ καθόλου πᾶσαν καὶ μόνην τὴν τῶν Ο, Γραφὴν συνοψίζει. Ἐπιγράφει δὲ τὴν Σύνοψιν, « *Νικηφόρου πόνημα τοῦ Ξανθοπούλου* -- Γραφῆς πάσης σύνοψις ἠκριβωμένη (α).

§. σῃ. Γρηγόριος, ὁ θεσπέσιος Παλαμᾶς (τῷ 1354), ὁ τῆς ἐν τοῖς Βυζαντινοῖς Ἀνακτόροις, ἐν οἷς ἐκ παίδων ἐτέθραπτο, δόξης τὴν ἐν Ἄθωνι μοναστικὴν φιλοσοφίαν προτιμήσας, καὶ μετὰ μακρὰν ἔν τε θεωρίᾳ καὶ πράξει παντοίας ἀρετῆς ἄσκησιν, μητροπολίτης προχειρισθεὶς τῆς μεγαλοπόλεως Θεσσαλονίκης, ἣν καὶ μέχρι σήμερον ἐπισκοπεῖ, καὶ κατακοσμεῖ διὰ τοῦ σῴου κατ᾽ αὐτὴν καὶ ἀκεραίου θείᾳ χάριτι τηρουμένου πανιέρου αὐτοῦ σκήνους (τελεῖται δὲ ἡ μνήμη τοῦ θεηγόρου τούτου κήρυκος τῆς Ὀρθοδοξίας Νοεμβρ. ιδ. καὶ τῇ Β, Κυριακῇ τῶν νηστειῶν, εὐθὺς μετὰ τὴν α, Κυριακὴν τῆς Ὀρθοδοξίας· τὴν δ᾽ ἀκολουθίαν ἐμελῴδησεν ὁ ἁγιώτατος πατριάρχης Φιλόθεος). Τούτου τοῦ Πατρὸς ἀοίδιμοι μὲν οἱ στεῤῥοὶ καὶ βαρεῖς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνες, δι᾽ ὧν κατέῤῥαξεν εἰς γῆν τόν τε Καλαβρὸν Βαρλαάμ, κατὰ τῶν ἱερῶν ἡσυχαστῶν καὶ μοναχῶν ἀγρίως λυττήσαντα (μοναχὸν *ὄντα καὶ αὐτὸν*), καὶ πρὸς τὸ λάμψαν ἐν τῷ Θαβωρίῳ πᾶσι τοῖς πιστοῖς θεῖον καὶ ἄκτιστον φῶς ἑκοντὶ καμμύσαντα τοὺς ὀφθαλμούς, καὶ τυφλωθέντα· εἶτα δὲ καὶ τὸν δύστηνον ἐκείνου μαθητὴν Ἀκίνδυνον, οἳ τὴν Ἐκκλησίαν συνετάραξαν· (μετὰ δὲ τοῦ Ἀκινδύνου καὶ ὁ σεμνὸς ἱστορικὸς Νικηφόρος ὁ Γρηγορᾶς πολυκινδύνως συμμαχήσας, ἀπέλαβε τὰ τῆς ἀνοίας ἐπίχειρα, τό, τε κλέος ἀμαυρώσας, καὶ τὸν σοφὸν αὐτοῦ

(α) Ἐν ταύτῃ τῇ Συνόψει μετὰ τὰ Μακκαβαϊκὰ προστίθησιν ὁ Νικηφόρος καὶ συνοπτικὴν ἀκολουθίαν τῆς ἱστορίας ἐκ τῶν Ἰωσήπου, καὶ ἔκθεσιν συγκριτικὴν τῶν βασιλέων τῶν ἄλλων ἐθνῶν, ἐν οἷς καὶ τοὺς Αἰγυπτίων βασιλεῖς ἀριθμῶν, λέγει· « Ὁ Φιλάδελφος δεύτερος Πτολεμαῖος — Ὅς καὶ μετεγλώττισεν ἑβραίων βίβλους» Καὶ ἐν αὐτοῖς τοῖς Μακκαβαϊκοῖς. «Ὁ Φιλάδελφος — Μεταφράσας ἄριστα βίβλους Ἑβραίων. Φαληρεὺς Δημήτριος σὺν Ἀριστέᾳ. Λύσις δι᾽αὐτῶν Ἑβραίων ἀνδραπόδων». Ἴδε τὴν Σύνοψιν ἐκδεδομένην ἐν τῷ, Κυροῦ Θεοδώρου τοῦ Προδρόμου Ἐπιγράμματα, κτλ. Basil. 1536.

κάλαμον μολύνας ταῖς κατὰ τοῦ θείου Παλαμᾶ δυσφημίαις, ἐφ' αἷς καὶ Συνοδικῶς ἐξελήλεγκται συκοφάντης· σῴζονται δὲ καὶ αὐτοῦ τοῦ μακαρίου Παλαμᾶ βίβλοι δύω *περὶ τῆς τοῦ Γρηγορᾶ ψευδογραφίας* κτλ.). Ἀλλὰ καὶ πρὸς τὰς λατινικὰς καινοτομίας βριαρᾷ καὶ μεγάλῃ παλάμῃ καιρίας ἐπήνεγκε τὰς τῶν ἐλέγχων πληγὰς, τὸ πυρίπνουν στόμα τῆς ἀχράντου θεολογίας, ὁ καλλίνικος Παλαμᾶς· ὅθεν οἱ Ποντιφήκειοι σφόδρα τοῦτον ἀποστυγοῦσι, φρίσσοντες οὐχ ἧττον, ἢ τὸν μάκαρα Φώτιον, καὶ Μάρκον, τὸν τρισόλβιον Εὐγενικόν (α). Τῶν δὲ καὶ εἰς ἡμᾶς περισωθέντων αὐτοῦ συγγραμμάτων ὀλίγα τύποις ἐξεδόθησαν, τὰ δὲ πλεῖστα περιμένουσι τὴν ἔκδοσιν, ἐν ταῖς Βιβλιοθήκαις χειρόγραφα τεθησαυρισμένα, τῷ τε πλήθει πολλὰ, καὶ πάντα θεολογίας καὶ σοφίας πνευματικῆς, καὶ λόγου χάριτος καὶ λαμπρότητος ἔμπλεα. Οἷον, *Κατὰ Ἀκινδύνου βιβλία δέκα*. *Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων*, βιβλία δύω· καὶ δύω *Ἀποδεικτικῶν* (πρὸς τοὺς Λατίνους), καὶ Ἐπιστολαὶ, καὶ Κεφάλαια, καὶ *Ὁμιλίαι*, καὶ Λόγοι Ἐκκλησιαστικοὶ, ξε. καὶ *Ἐκλογαὶ μαρτυριῶν τῆς θείας Γραφῆς*, καὶ τὰ λοιπά (β). Ἐν πᾶσι δὲ τούτοις αἱ ῥήσεις τῶν θείων λογίων, ὡς ἀστέρες ἐν αἰθέρι καθαρῷ φεγγοβολοῦσιν. Ἴδε μικρὸν δεῖγ-

(α) Βλέπε ἀντὶ πάντων τὸν Ἀλλάτιον (τούτῳ γὰρ ἐξόχως πρόσεστι πάντα τὰ πρέποντα συκοφάντῃ· ἀ φ ω ν ὴ μ ι α ρ ὰ, γ έ γ ο ν ε κ α κ ῶ ς· καὶ τὰ λοιπὰ τοῦ κωμικοῦ), ἐν τῷ De Libris Eccles. Graecor. p. 133 — 148. Ἐν δὲ τούτῳ τῷ συγγράμματι (ἐπειδὴ καὶ ἀλλαχοῦ τούτου ἐμνημονεύσαμεν) ὁ περίσοφος Ἀλλάτιος συναθροίσας περὶ ἑαυτὸν ἀξιοπίστους μάρτυρας, πάντα τινὰ, εἴ τις κατ' αὐτὸν ἀποστάτης ἐγένετο καὶ δραπέτης τῆς πατρῴας ὀρθοδοξίας, κάθηται ἐπὶ τοῦ σκίμποδος τῆς ἀναιδείας, καὶ γράφει συντετριμμένῳ καλάμῳ ἀνάκρισιν (Examen) τῶν βιβλίων τῆς ἱερᾶς ἡμῶν Ἀκολουθίας, (τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου), καταδικάζων ὡς βλασφημίας πάντα τὰ δόγματα τῆς ἀποστολικῆς καὶ πατρικῆς διδασκαλίας, ὅσα ἀντιβαίνουσι πρὸς τὰς κακοδοξίας τῆς παπαίας καὶ σχολαστικῆς θεολογίας, καὶ μάλιστα τοῦ Θωμᾶ τοῦ Ἀκυνάτου, τοῦ Δ ό κ τ ο ρ ο ς τ ο ῦ Ἀ γ γ ε λ ι κ ο ῦ!

(β) Βλ. τὰ συγγράμματα τοῦ Πατρὸς ἐν Fabric. Bibl. Graec. T. XI. p. 496. Harl. Σῴζονται δὲ τούτων κώδηκες καὶ ἐν τῷ Ἁγιωνύμῳ Ὄρει, καὶ ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει πατριαρχικοῦ Μετοχίου τῶν Ἱεροσολύμων, καὶ ἀλλαχοῦ.

μα ἐκ θατέρου τῶν παρ' ἡμῖν χειρογράφων δύω λόγων, τῶν εἰς τὰ *Εἰσόδια τῆς Θεοτόκου*· « Καθάπερ, εἴ τις ἐπιχειροίη τῶν ἄστρων ἅπτεσθαι χειρὶ, κἂν εὐμήκης ᾖ, κἂν ὑπὲρ τοὺς ἄλλους ἀνατείνῃ τὴν χεῖρα, τοῖς πολλοῦ δέουσι τοῦ κατὰ τὸ σῶμα μεγέθους—ἐπίσης ἀπέχει τῶν αἰθερίων ὑψωμάτων ἐκείνων, οὕτω κἂν τοῖς ὑπὲρ λόγον πράγμασιν οἱ ἐλλόγιμοι, τῶν μὴ τοιούτων ἀξιολόγῳ μέτρῳ, οὐδὲν ἀμείνους » — « Ἐπὶ δὲ τῆς τῶν ἁγίων ἁπάντων κορυφαίας ἀκρότητος, δηλαδὴ τῆς τοῦ Θεοῦ μητρὸς, διαβαινούσης, ψαλμικῶς εἰπεῖν, *ἐν τόπῳ σκηνῆς θαυμαστῆς*, καὶ τὰ ἅγια τῶν ἁγίων εἰσιούσης, *ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἐνθέου ἤχου*, τῶν τε τηνικαῦτα προπεμπόντων, καὶ τῶν ἑορταζόντων νῦν ἡμῶν· ἐπὶ ταύτης οὖν, τῆς καὶ τῶν κατ' οὐρανὸν ἁγίων ὑπερτέρας, μὴ ὅτι τῶν ἁπάντων εἷς ὁστισοῦν ἀπολειφθεὶς, ἥκιστ' ἂν ἐφίκοιτο τοῦ πρὸς ἀξίαν, ἀλλ' οὐδ' ὁμοῦ πάντες, εἰ καὶ πάντας [ἐνῆν] συνελθεῖν εἰς ἓν, στόμα γεγονότες ἓν, ὅσοι τῷ ταύτης τόκῳ διεσώθησαν ». Ἐν δὲ τοῖς ἐφεξῆς καὶ ζωγραφικώτερον εἰκονίσας τῆς ἤδη τριετιζούσης Ἀειπαρθένου τὴν εἰς τὸν ναὸν πρόοδον, ἐπιφέρει· « Καὶ τὸν κύκλῳ περὶ αὐτὴν χορὸν τῶν παρθένων παραμείψασα, προῆγεν αὕτη, πασῶν αὐτῆς κατόπιν ἀγομένων, ὡς εἶναι καταφανὲς ἐπ' αὐτῇ τὸ ψαλμικὸν ἐκεῖνο, « *Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως*». Ἤδη δὲ καὶ τοῦ ἀρχιερέως ἐπιφανέντος εἰς ἀπάντησιν, καὶ τὸ προφητικὸν ἐκεῖνο πάντως που φθεγξαμένου πρὸς αὐτήν· *Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου*», σεμνοπρεπῶς μικρὸν ἔστη τε, καὶ ὑπανέστη, τούτων ἐπαΐουσα. Εὐθὺς δὲ καταλιποῦσα πάντας, γονέας, τροφοὺς, ἡλικιώτιδας, μόνη πάντων, φαιδρὰ φαιδρῶς τῷ ἱεράρχῃ προσχωρεῖ» κτλ. Ἀλλὰ τὴν μὲν ἀξίαν τῶν τοῦ Πατρὸς συγγραμμάτων τήν τε λεκτικὴν, καὶ μάλιστα τὴν πραγματικὴν καὶ πνευματικὴν, οἴδασιν οἱ ἐντυγχάνοντες, *ἄρτον οὐρανοῦ*, καὶ *μέλι*

ἐκ πέτρας εὑρίσκοντες ἐν αὐτοῖς. Φέρεται δὲ καὶ πρόῤῥησις τοῦ θεσπεσίου Γρηγορίου ἐν τῇ τοῦ Μητροφάνους Ὁμολογίᾳ (βλ. ὄπισθ. σελ. 170), ἡ ἑξῆς· «*Γινώσκετε τέκνα, ὅτι ἡ Ἐκκλησία τῆς Ῥώμης μέλλει διαιρεθῆναι εἰς πολλὰ τμήματα*» (σελ. 41).

§. σμχ. Φιλόθεος, Ἀθωνίτης μοναχὸς, εἶτα δὲ καὶ καθηγούμενος τῆς μεγάλης τοῦ Ἄθωνος Λαύρας (τῷ 1354), κἀκεῖθεν Ἡρακλείας Μητροπολίτης, καὶ Κωνσταντινουπόλεως Πατριάρχης, ἐπ' ἀρετῇ καὶ παιδείᾳ καὶ εὐσεβείᾳ διασημότατος. Πολλὰ καὶ οὗτος κατέλιπε συγγράμματα, τῆς ἱερᾶς αὐτοῦ ψυχῆς καὶ εὐγλωττίας κάλλιστα μνημεῖα καὶ τιμαλφέστατα· διαπρέπουσι δ' ἐν τούτοις τὰ ΙΒ, βιβλία τῶν πρὸς Νικηφόρον τὸν Γρηγορᾶν *Ἀντιῤῥητικῶν λόγων*, δι' ὧν τὰ παρ' ἐκείνου κατὰ τοῦ θεσπεσίου Παλαμᾶ διεγερθέντα μηχανήματα προθέλυμνα καθαιρεῖ (ἐξεδόθησαν ὑπὸ Δοσιθ. Ἱεροσολύμων ἐν *Τόμῳ Ἀγάπης*)· καὶ τὸν βίον συνέταξεν ἰδίως τοῦ Παλαμᾶ (α). Ἔτι δὲ καὶ κατὰ τῶν *Βαρλαὰμ καὶ Ἀκινδύνου* φληνάφων *Κεφαλαίων ἀναίρεσιν*. Καὶ ἄλλα δὲ συνέγραψε, καὶ Ὁμιλίας, ἠθικὰς, δογματικὰς, πανηγυρικὰς, καὶ μελέτας ἰδίως εἰς τὴν θείαν Γραφήν· οἷον τὴν πρὸς Ἰγνάτιον ἐπίσκοπον, εἰς τὸ «*Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον*», ἥτις διαιρεῖται εἰς λόγους τρεῖς. Τὰς δὲ εἰς τοὺς ἁγίους ᾀσματικὰς, καὶ πλήρεις γραφικῶν ῥητῶν καὶ ἐννοιῶν Ἀκολουθίας ᾀσματολογεῖ ἡ Ἐκκλησία (β).

§. σμβ. Μακάριος, Φιλαδελφείας Μητροπολίτης, ὁ τοὐπίκλην Χρυσοκέφαλος (τῷ 1350), «*καὶ βίῳ καὶ λόγῳ κεκοσμημένος*» (ὡς Ἱερομνήμων μαρτυρεῖ). Τούτου μνημονεύεται Σειρὰ εἰς τὴν Γέ-

(α) Ἐξέδωκε τοῦτον κοινολεκτικῶς παραφράσας, καὶ ἄλλα εἰς τιμὴν τοῦ ἁγίου προσθεὶς, Ἀθανάσιος ὁ Πάριος, ἐν τῷ, «Ὁ Παλαμᾶς ἐκεῖνος». Βιέννῃ 1784.

(β) Περὶ τῶν συγγραμμάτων τοῦ Φιλοθέου βλ. Fabric. Bibl. Græc. T. XI. p. 513—518. Harl. ὅπου κατὰ λάθος συνηρίθμηται καὶ τὸ, «Φιλοθέου πάρεργα». Τοῦτο δ' ἐστὶ πόνημα Νικολάου Μαυροκορδάτου, τοῦ σοφοῦ Ἡγεμόνος, φέρον τὸ φιλόθεος οὐχ ὡς κύριον, ἀλλὰ προσηγορικῶς. Ἐξέδωκε δὲ τοῦτο ὁ μακαρίτης Γρηγόριος ὁ Κωνσταντᾶς μετὰ καλοῦ προλόγου, (οἷος ἦν ἐκεῖνος περὶ τὸ ἑλληνίζειν), ἐν Βιέννῃ, τῷ 1800.

νεσιν τῆς ἑρμηνείας τῶν Ο, ἐν δυσὶ συνεστηκυῖα βιβλίοις (ὧν τὸ μὲν α, *Κοσμογένειαν*, τὸ δὲ β, *Πατριάρχας* ἐπέγραψε)· καὶ ἄλλη Σειρὰ εἰς τὸν Ματθαῖον, πλήρης σπουδῆς καὶ φιλοπονίας, εἰς *τρία βιβλία* διῃρημένη, ἕκαστον δὲ τούτων ἀνὰ *εἴκοσι λόγους* περιέχει· καὶ ἄλλη δὲ Σειρὰ εἰς τὸν Λουκᾶν (αἱ πᾶσαι ἀνέκδοτοι)· ἔτι δὲ καὶ ἀκριβὴς *Ἔκθεσις* εἰς τοὺς Κανόνας τῶν Ἀποστόλων καὶ τῶν Συνόδων, καὶ εἴ τι ἕτερον, καὶ ἡ εὔοσμος *Ῥοδωνιά*. (Συλλογὴ γνωμικῶν, ἐκ πολλῶν συγγραφέων ἀπηνθισμένη) (α). Ἐκ δὲ τῶν Ἐκκλησιαστικῶν αὐτοῦ λόγων, ἢ Ὁμιλιῶν, ἐξεδόθησαν αἱ εὑρεθεῖσαι ΙΔ (β), αἱ πᾶσαι ἑορταστικαί. Ἐν δὲ ταύταις τά τε περὶ τῆς ὑποθέσεως εὐσεβοφρόνως καὶ μεθοδικῶς πραγματεύεται, καὶ τὰ καθ' ἑκάστην ἑορτὴν ἐμπίπτοντα τῶν ζητημάτων εὐστόχως ἐπιλύεται. Ἐν δὲ τῷ εἰς τὸν Θεολόγον Ἰωάννην, καὶ τῆς εἰς τὸ θεῖον Σύμβολον λατινικῆς προσθήκης δριμέως καθάπτεται, σαφῆ *θεομαχίαν* αὐτὴν ὀνομάζων (σελ. 290). Ἔστι δὲ αὐτῷ ἡ λέξις ἁβρὰ καὶ καθαρὰ, καὶ τὴν λευκὴν τῆς σαφηνείας βύσσον φοροῦσα, καὶ ταῖς ἐκ τῆς θείαις Γραφῆς μαρτυρίαις περιαυγαζομένη. Διαγράφων δὲ καὶ τῶν δύω τοῦ Θεοῦ Διαθηκῶν τὴν συμφωνίαν, ἐπάγει· «Τὰ μὲν γὰρ πρὸ τοῦ νόμου ἀρχή τις ἦν, καὶ, ὡς ἂν εἴποις, πηγὴ τῶν εἰς ἡμᾶς τοῦ Θεοῦ θαυμάτων· τὰ δὲ ἐν τῷ νόμῳ, ποταμὸς πελαγίζων, πολλῶν πολλαχόθεν συντρεχόντων τεραστίων τῆς παντοδυνάμου χάριτος, νῦν μὲν κοινῇ τῷ λαῷ γινομένων, νῦν δὲ ἰδίᾳ τοῖς προφήταις· καὶ συνεισβάλλουσι πάντες εἰς τὴν Καινὴν καὶ ἁγίαν Διαθήκην· ἡ δὲ ἐστὶν ὡς ἀληθῶς θάλασσά τις ἄπλετος καὶ πέλαγος, μηδὲ νοητοῖς ὁριζόμενον ὀφθαλμοῖς» (σελ. 9). Μνημο-

(α) Βλ. Villoison Anecdota Græca T. 2. p. 4-79. πρβλ. Fabric. Bibl. Græc. T. XI. p. 595. VIII. p. 675-683. ed. Harl.

(β) «Λόγοι Πανηγυρικοὶ ΙΔ. τοῦ πανιερωτάτου Ἀρχιεπισκόπου Φιλαδελφείας κυροῦ Μακαρίου τοῦ Χρυσοκεφάλου· νῦν πρῶτον τύποις ἐκδοθέντες, ἐν Κοσμοπόλει» (ἴσ. ἐν Βιέννῃ, καὶ ἐν τῇ τυπογραφίᾳ τῶν αὐταδέλφων Μ. Πουλίου, ὡς δείκνυσι τὸ καὶ ἄλλοθεν γνωστὸν εἶδος τῶν χαλκογραφικῶν χαρακτήρων, περὶ τὸ 1793). Ὁ δὲ Φαβρίκιος ἐκ κωδήκων ἀναγράφει τὰς ἐπιγραφὰς τῶν Ὁμιλιῶν.

νεύει δὲ καὶ τοῦ παρὰ τῷ θείῳ Δανιὴλ Ἀββακοὺμ τοῦ προφήτου (σελ. 75). Καὶ τῶν Ἀναγινωσκομένων κέχρηται ῥητοῖς.

§. σηγ. Συμεὼν, Θεσσαλονίκης μητροπολίτης (τῷ 1416), ὁ ἀείμνηστος ὑπέρμαχος καὶ διεκδικητὴς τῆς μὲν Ὀρθοδοξίας κατὰ τῶν λατινικῶν καινοτομιῶν, τῆς δὲ μητροπόλεως κατὰ τῆς τοῦ Μουράτου πολιορκίας, καθ' ἣν οὐκ ἐπέτρεψε τοῖς Θεσσαλονικεῦσι, διωχθέντων τῶν Λατίνων, παραδοῦναι τὴν πόλιν τῷ πολιορκητῇ, μήτε δώροις ὑπ' αὐτοῦ πεισθεὶς, μήτε τὰς ἀπειλὰς δειλιάσας (ἐτελεύτα δὲ τῷ 1429, ἕκτῳ μηνὶ πρὸ τῆς ἁλώσεως). Τούτου τοῦ κατά τε τὴν ἐκτὸς καὶ τὴν πνευματικὴν σοφίαν καὶ παντοίαν ἀρετὴν διαλάμψαντος Πατρὸς συγγράμματα ἐξέδωκεν ὁ ἀοίδιμος Δοσίθεος, ὁ Ἱεροσολύμων Πατριάρχης, ἐν Ἰασίῳ (τῷ 1683). Ταῦτα δ' ἐν ἑνὶ περιέχονται τεύχει, τὰ ἑξῆς». *Κατὰ αἱρέσεων, καὶ περὶ τῆς μόνης ὀρθῆς τῶν Χριστιανῶν ἡμῶν Πίστεως, τῶν τε ἱερῶν τελετῶν καὶ Μυστηρίων τῆς Ἐκκλησίας Διάλογοι.* Καὶ, *Ἑρμηνεία τοῦ θείου Ναοῦ καὶ τῶν ἐν αὐτῷ ἱερέων τε, καὶ διακόνων, καὶ ἀρχιερέων, καὶ ὧν ἕκαστος τούτων στολῶν ἱερῶν περιβάλλεται. Καὶ περὶ τῆς θείας Μυσταγωγίας. Καὶ, Ἑρμηνεία εἰς τὸ Σύμβολον τῆς πίστεως. Καὶ περὶ Ἱερωσύνης* κτλ.» (α). Τοῦ δ' αὐτοῦ Πατρός

(α) Τὸ αὐτὸ τεῦχος καὶ κοινολεκτικώτερον παραφρασθὲν, ἐξεδόθη πολλάκις Ἑνετίῃσι. «Συμεὼν Θεσσαλονίκης τὰ ἅπαντα, εἰς ἓξ μέρη διαιρεθέντα» κτλ. Τὸ περὶ τοῦ Ναοῦ καὶ τῶν ἐν αὐτῷ τελουμένων, μετὰ τοῦ περὶ τῆς θείας Μυσταγωγίας καὶ Ἰάκωβος ὁ Ποντανὸς (δυτικὸς θεολόγος) ἐξελατίνισεν εὖ μάλα, καὶ ἐξέδωκε, πλεῖστα χωρία περικόψας, καὶ διανοθεύσας (ὡς μαρτυρεῖ Cave Append. p. 61). Ἐντεῦθεν ἐξηγεῖται καὶ τί ποτε νοεῖ ὁ δεινὸς Ἀλλάτιος, λέγων περὶ τοῦ θεσπεσίου Συμεὼν τὰ ἑξῆς· ὅτι ἄρα «Εὐσεβής ἐστι καὶ σοφὸς (pius et doctus), καὶ ἄξιος ἰδεῖν ποτε (τοῦ τύπου) τὸ φῶς· ἀλλὰ χειραγωγούμενος ὑπὸ καθολικοῦ» (ἤγουν ἄλλου Ποντανοῦ!). Καὶ Νικόλαος ὁ Κομνηνὸς, ὁ Παπαδόπουλος, (δραπετίδης καὶ οὗτος τῆς πατρῴας ὀρθοδοξίας, καὶ ποντιφήκειος Ἀββᾶς) ὀνομάζει τὸν ἱερὸν Συμεὼν, «Μεταξὺ τῶν Φωτιανῶν» (ἤγουν τῶν Ὀρθοδόξων) «τῆς Φωτιανῆς ἀμαθείας» (ἤγουν τῆς τοῦ Εὐσταθίου τοῦ Θεσσαλονίκης, τοῦ Νικαίας Εὐστρατίου, τοῦ Ψελλοῦ, τοῦ Νείλου, τοῦ Παλαμᾶ, καὶ ἄλλων τοιούτων ἀγραμμάτων) «ἀμέτοχον ἄνδρα, καὶ, εἰ μὴ περὶ τὰ δόγματα ἠμάθαινεν, οὐδενὸς τῶν νεωτέρων θεολόγων ἧττονα» (ἴσως οὐδ' αὐτοῦ τοῦ Δόκτορος τοῦ ἀγγελικοῦ!!).

ἐστι καὶ τὸ «Περὶ ὧν καινοτομοῦσι Λατῖνοι», καὶ ἄλλα, περὶ ὧν ὁ Φαβρίκιος (Ἑλλην. Βιβλιοθ. Τόμ. ια. σελ. 328). Οὗτός ἐστιν, ὡς ἔγραψεν ὁ Πατριάρχης Δοσίθεος (ἐν τῷ προλόγῳ τῆς ἐκδόσεως). «Ὁ τῆς θεσπεσίου καὶ ἀοιδίμου μνήμης Συμεὼν ὁ Θεσσαλονίκης ἀρχιεπίσκοπος, ὁ Σύνοψιν τῆς τε *Γραφῆς* καὶ τῶν Πατέρων, ἄριστα ποιησάμενος. —Τὴν γὰρ ἀκτῖνα τῆς θεαρχικωτάτης αἴγλης πληρέστατα εἰσδεξάμενος, ἥλιος πνευματικὸς τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ χρηματίζει, καταφωτίζων καὶ σοφοὺς καὶ ἰδιώτας ταῖς ἀκτῖσι τῆς διδασκαλίας αὐτοῦ.— Διὸ καὶ τοῖς θεοφόροις Πατράσιν ἐν τῇ Ἐκκλησίᾳ τῶν πρωτοτόκων συναγάλλεται».

§. σϙδ. Ἰωσὴφ ὁ Βρυέννιος (τῷ 1420), Κωνσταντινουπολίτης, μοναχὸς, καὶ Διδάσκαλος τῆς Ἐκκλησίας, τὸν θεῖον λόγον κηρύττων, ψήφῳ τοῦ Πατριάρχου καὶ κελεύσματι τοῦ Βασιλέως ἐκ τῆς μοναστικῆς ἡσυχίας μετακληθείς. «Καλῶν γὰρ διδασκάλων ἄριστος μαθητὴς γεγονὼς, διὰ τοῦτο καὶ τοῖς ἄλλοις ἐν διδασκάλου τάξει γεγένηται» (ὡς ἔλεγε περὶ αὐτοῦ Γεώργιος ὁ Σχολάριος). Τούτου τοῦ βρύοντος ἐννοίαις θείαις καὶ ἠθικαῖς Διδασκάλου λόγους εὐφραδεῖς, καὶ ἄλλα πονημάτια, καὶ κε, ἐπιστολὰς, πρῶτος ὁ ἡμέτερος Εὐγένιος ἐξέδωκεν ἐν τόμοις τρισὶν (α). Ἐν δὲ τοῖς λόγοις τούτοις (καὶ μάλιστα τοῖς θεολογικοῖς καὶ δογματικοῖς) ὁ μακάριος Βρυέννιος ἀείποτε τὰς τῆς Παλαιᾶς Γραφῆς μαρτυρίας ἐκφέρει κατὰ τοὺς Ο, καὶ ταῖς ἀποστολικαῖς παρασυνάπτει ῥήσεσιν, ὡς ὁμοδυνάμους, πρὸς ἀπόδειξιν κεφαλαίων δογματικῶν. Οἷον (τόμ. α. σελ. 28) «Τί δὲ τὴν πρὸς τὰς *Γραφὰς* μάχην καὶ ἐναντίωσιν αὐτῶν (τῶν ἀντιλεγόντων) παραμυθήσεται;» (ποίας Γραφάς;) «τὸ, *Κάθου ἐκ δεξιῶν μου* (Ψαλμ. β), καὶ τὸ, *Ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης* ἐν τοῖς ὑψηλοῖς (Ἑβρ. α, 3), λεγόμενον περὶ τοῦ Υἱοῦ, καὶ τὸ, *Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βα-*

(α) «Ἰωσὴφ μοναχοῦ τοῦ Βρυεννίου τὰ εὑρεθέντα, δι' ἐπιμελείας Εὐγενίου Διακόνου τοῦ Βουλγάρεως ἤδη πρῶτον τύποις ἐκδοθέντα, ἐν Λειψίᾳ τῆς Σαξονίας, 1768—1784.

σιλεῖς» (ψαλμ. ογ). Καὶ· «Ὅτι δὲ καὶ φυτῷ καρποφόρῳ παρεικάζεται ἄνθρωπος, ὅ,τε Προφήτης, καὶ ὁ Ἀπόστολος, καὶ ὁ Κύριος μαρτυρεῖ· ὁ μὲν, λέγων· «Ὡς τὸ ξύλον τὸ πεφυτευμένον» κτλ. (Ψαλμ. α)· ὁ δὲ, Ὁ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη» κτλ. (Ἐφεσ. ε)· ὁ δὲ, «Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτοὺς» κτλ. (Ματθ. ζ). Οὕτω καὶ ἀλλαχοῦ πολλαχοῦ (σελ 38, 51, 53 κτλ.). Καθόλου δὲ τὴν Παλαιὰν καὶ τὴν Καινὴν διαθήκην ὡς μίαν Γραφὴν, θεόπνευστον καὶ κατ' ἔννοιαν καὶ κατὰ λέξιν, ὁ ἀοίδιμος Βρυέννιος θεωρεῖ ἐν τοῖς θεηγόροις αὐτοῦ λόγοις, οὓς τοῖς Ὀρθοδόξοις κατέλιπεν, ἱερὰν ὁπλοθήκην τῶν θείων δογμάτων κατὰ τῶν δυτικωτέρων πολεμίων τῆς ἀληθείας. Καὶ δικαίως ὁ Εὐγένιος (ἐν τῇ προσφωνήσει) τὴν τοῦ Βρυεννίου διδασκαλίαν ὠνόμασε «πανοπλίαν ἐπὶ τοῦ πύργου Δαβὶδ, ἅμα ταῖς λοιπαῖς, προτεθειμένην, *ἔνθα χίλιοι θυρεοὶ κρέμανται, καὶ αἱ βολίδες τῶν δυνατῶν*». Εὔσημος δὲ καὶ ἡ λέξις τοῦ Βρυεννίου (ὡς ἔκρινεν ὁ αὐτὸς), τὰ πολλά. Πρέπουσα δ' ἐπὶ πᾶσι καὶ ἡ τῶν ἐνθυμημάτων οἰκονομία· ὅ,τε λόγος οὐδέν τι τραχυνόμενος, ἠρέμα λεῖός τε πρόεισι καὶ πραῢς, καὶ οἷον αὐτοσχέδιος ῥέων, τῷ ἀπεριέργῳ θέλει καλλύνεσθαι· καὶ τῇ ἐμφύτῳ χάριτι πεποιθὼς, τὴν ἐκ περιεργείας μόρφωσιν παραιτεῖται. Ἀλλ' ἔστιν ἃ μεταξύ που καὶ ψυχρὰ παρέῤῥιπται, καὶ περιττῶς ἐπιφορεῖται (οἷον τὸ περὶ τὴν ἀπόδειξιν τῶν θειοτάτων μυστηρίων ἄγαν διαλεκτικὸν καὶ σχολαστικόν)· ἀλλ' οὐδὲν κωλύει τὰ χρήσιμα ἐκλεγομένους, εἴ τι καὶ λυποῦν ἐν τούτοις, ἐπιεικῶς παρορᾶν.

§. σϘε. Μάρκος, *Μητροπολίτης Ἐφέσου*, Κωνσταντινουπολίτης, ὁ τὸ γένος καὶ τοὐπίκλην *Εὐγενικὸς* (τῷ 1436· ἐτελεύτα δὲ τῷ 1449). Ἔχεις ἐν τούτοις, ἀναγνῶστα, τοῖς ὀλίγοις γνωρίσμασι τὸ πᾶν τῆς μεγάλης ψυχῆς καὶ ἀρετῆς καὶ σοφίας ἐκείνου τοῦ καλλινίκου μονομάχου καὶ παμμάχου, τοῦ κατὰ τῆς Φεραραίας καὶ Φλωρεντινῆς Ψευδοσυνόδου λαμπρῶς ἀριστεύσαντος· ἣν, ὡς Νεβρώδειον πύργον κατὰ τῆς θείας γνώσεως ἀναβαίνουσαν καὶ τραχηλιῶσαν, κατέστρεψεν ὁ αἰώνιος νυμφίος τῆς Ἐκκλησίας, ἕνα καὶ

μόνον διὰ τέλους ἀκαταγώνιστον ἱερὸν αὐτοῦ στρατιώτην ἀποστείλας, τὸν Μάρκον τοῦτον, τὸν Ἐφέσου, τὸν Εὐγενικόν. Ὅςις ἐν γῇ πολεμίᾳ πρὸς ποικίλας μεθόδους καὶ σοφιστείας, πρὸς δυνάμεις ἐξουσίας κοσμικῆς, πρὸς μυρίας ὑποσχέσεις καὶ κολακείας, πρὸς παντοίας θλίψεις καὶ κακουχίας καὶ σωματικὰς καὶ πνευματικὰς, δι' ὅλου ἐνιαυτοῦ καὶ ἐπέκεινα, ἐν μέσῳ πιπτόντων καὶ πιπρασκομένων ἀδελφῶν, εἷς αὐτὸς καὶ μόνος ἀτρόμητος πύκτης διατελέσας, διέῤῥηξε τὴν πεφρικυῖαν φάλαγγα τῆς πονηρίας, καὶ ἁρπάσας τὴν ὑπ' αὐτῆς πολιορκουμένην θεόσδοτον *παρακαταθήκην τῆς καλῆς* καὶ Ἀποστολικῆς Ὁμολογίας, διέσωσεν, ἄχραντον καὶ ἀκήρατον ἀποκομίσας εἰς τὴν ἀδούλωτον καὶ ἀτυράννητον *πόλιν τοῦ ζῶντος Θεοῦ*, τὴν πατρίδα τῶν Προφητῶν, τῶν Ἀποστόλων, τῶν Συνόδων τῶν Οἰκουμενικῶν, τῶν πρώτων Μαρτύρων, καὶ Διδασκάλων, καὶ θεσμοθετῶν τῆς ἐν πνεύματι *ἐλευθερίας τῶν τέκνων τοῦ Θεοῦ*. « *Ἰοὺ, φίλοι φράτορες, ἐποιήσαμεν οὐδὲν* » ἀνέκραξεν ὀδυνώμενος ὁ Πάπας Εὐγένιος, ὡς ἤκουσεν, ὅτι *Μάρκος, ὁ Ἐφέσου πρόεδρος, καὶ Ἔξαρχος τοῦ Συλλόγου τῶν Ἀνατολικῶν* ἐξέπτη, ὡς ὑπόπτερος ἀετὸς, ἐκ τῆς δυτικῆς ἐκείνης ἀχλύος πρὸς τὴν ἀνατολὴν τοῦ πηγαίου τῆς ὀρθοδοξίας φωτὸς, μήθ' ὁμολογήσας, μήθ' ὑπογράψας μετὰ τῶν λοιπῶν τὸν κακόδοξον Ὅρον τῆς διεῤῥωγυίας καὶ κατεσχισμένης ἐκείνης ἑνώσεως. Ἀλλὰ ταῦτα μὲν διηγεῖται ἡ ἱστορία (α). Τοῦ δὲ θεσπεσίου καὶ ἐν ἁγίοις πατρὸς

(α) Βλ. Τὴν ἱστορίαν τῆς ἐν Φλωρεντίᾳ Συνόδου, τὴν ὑπὸ Σιλβέστρου τοῦ Συροπούλου· οὐχὶ Σγουροπούλου, καθὰ πολλαχοῦ γέγραπται ἡμαρτημένως. Συρόπουλος ἰδιοχείρως φαίνεται ὑπογεγραμμένος καὶ ἀλλαχοῦ (βλ. Fabr. Bib. Gr. T. XI. p. 712. Harl.), καὶ μάλιστα ἐν τῷ ψευδωνύμῳ Ὅρῳ τῆς Φλωρεντινῆς Συνόδου, οὗ ἡ ἀρχή· «Εὐφραινέσθωσαν οἱ οὐρανοί». Συνέταξε δὲ τοῦτον ὁ ἀπὸ Νικαίας Καρδινάλις Βησσαρίων, καὶ αὐτὸς ἰδίᾳ χειρὶ γέγραφεν ἐν τῷ κατὰ τὴν Φλωρεντινὴν Βιβλιοθήκην ἐν μεμβράναις τηρουμένῳ πρωτοτύπῳ. Φαίνονται δ' ἐν τούτῳ αἱ ἰδιόχειροι ἑκάςων ὑπογραφαί· δεξιόθεν μὲν, ἡ τοῦ Πάπα Εὐγενίου (μετὰ μολυβδίνης σφραγῖδος προσηρτημένης), καὶ τεσσάρων μετ' αὐτοῦ Καρδιναλίων· ἀριστερόθεν δὲ, ἡ τοῦ δυστυχοῦς αὐτοκράτορος Ἰωάννου (μετὰ χρυσῆς σφραγῖδος προσηρτημένης), καὶ ἐφεξῆς ὅλων τῶν αὐτῷ συναιχμαλώτων Ἀνατολικῶν. Πρβλ. καὶ τὴν

ἡμῶν Μάρκου (οὗ ἡ μνήμη Ἰαννουαρ. ιθ) (α), πάμπολλα φέρονται συγγράμματα (ἐξ ὧν ὀλίγα ἐξεδόθησαν), οἷον, ἡ *Περὶ τῆς ἐν Φλωρεντίᾳ Συνόδου πρὸς πάντας τοὺς χριστιανοὺς ἐγκύκλιος ἐπιστολὴ*, καὶ ἄλλαι διάφοροι ἐπιστολαὶ, Ὁμιλίαι, Κεφάλαια Θεολογικὰ, ἄλλα Κεφάλαια Συλλογιστικὰ *περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος* (Ζοιρνικάβ. τόμ. β. σελ. 710), κατὰ Λατίνων, κατὰ τῆς αἱρέσεως τῶν Ἀκινδυνιστῶν, Γραφικῶν ῥήσεων Συλλογὴ, καὶ ἕτερα, περὶ ὧν ἡ ἐκκλησιαστικὴ φιλολογία. Καὶ ἑρμηνείαν δὲ τῆς Ἐκκλησιαστικῆς Ἀκολουθίας συνέταξε, καὶ Κανόνας ᾀσματικοὺς, ἐν οἷς καὶ τοὺς εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου ὀκτὼ (ἐπὶ τῶν ὀκτὼ ἤχων), καὶ μέλει καὶ λέξει καὶ διανοίᾳ διαπρεπεῖς, ψαλλομένους ἔν τισι τῶν ἱερῶν Μονῶν κατὰ τὴν δεκαπενθήμερον νηστείαν τοῦ Αὐγούστου (βλ. Ὑμνῳδῶν Ἀνέκδοτα σελ. 189). Ἐν πᾶσι δὲ τούτοις ὁ ἀοίδιμος καὶ πανευκλεέστατος Μάρκος, ἡ εὔλαλος αὕτη καὶ εἰς αἰῶνας ἀσίγητος γλῶσσα τῆς ἀκηράτου Θεολογίας, τὰς προφητικὰς ῥήσεις ὡς θείας ἀναφέρει φωνάς.

§. σϙϛ. Γεννάδιος, ὁ πρῶτος μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως Πατριάρχης (τῷ 1454), ὁ δ' αὐτὸς καὶ (πρὶν ἢ μονάσῃ) *Γεώργιος Σχολάριος*, ἀνὴρ περὶ τὰ θεῖα σοφὸς, καὶ παντοίας λόγων ἰδέας ἐγκρατής· καὶ Μάρκῳ δὲ τῷ ἀοιδίμῳ λίαν ἀγαπητὸς καὶ φίλος υἱός. Ἀλλὰ καὶ τῷ Αὐτοκράτορι Ἰωάννῃ οἰκεῖος ἦν καὶ ἀξιωματικὸς, μεθ' οὗ καὶ συναπεδήμησεν ἐκείνην τὴν ἀποφράδα

ὑπὸ τοῦ μακαρίτου Θεοφάνους τοῦ Προκοπόβιτζ Ἱστορίαν τῆς διαφορᾶς, τῆς περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος (ἥν ὁ ἡμέτερος Εὐγένιος ἐξελληνίσας, ἐξέδωκεν ἐν τόμ. γ. τοῦ Βρυεννίου, σελ. 183 κτλ.). ἴδε καὶ Ζοιρνικαβίου Πραγματ. ιθ. τόμ. β. σελ. 637. - Νεκταρ. Ἱεροσολ. Ἀντίῤῥησ. σελ. 169. - Δοσιθ. Δωδεκάβιβλ. σελ. 906 - Μελετ. Ἐκκλ. Ἱστορ. τόμ. γ. σελ 289 - Ἀθανασίου τοῦ Παρίου τὸν Ἀντίπαπαν (ἤτοι ἀγῶνες, καὶ κατορθώματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μάρκου), τῷ 1785.

(α) Βλ. Νικοδήμ. Συναξαρ. πρβλ. καὶ Νεκταρ. Ἱεροσολ. Ἀντιῤῥήσ. σελ. 186. - Δοσιθ. Ἱεροσ. Τόμον Ἀγάπης, προλεγόμ. σελ. 25. καὶ Τόμον Καταλλαγῆς σελ. 417. Σῴζονται καὶ δύω ἀκολουθίαι τοῦ ἐν ἁγίοις Πατρὸς Μάρκου, ἡ μὲν ἀρχαιοτέρα, ἡ δὲ ὑπὸ τοῦ μακαρίτου Νικοδήμου συνταχθεῖσα, ἐξεδόθη ἐν Κωνσταντινουπόλει ἐν τοῖς Πατριαρχείοις, 1834.

ἀποδημίαν, κἀν τῇ Φλωρεντινῇ ψευδοσυνόδῳ παρῆν (τῷ 1438). Οὐ μὴν ἔκλινε τὸ γόνυ πρὸς τὴν ἑξηκοντάπηχυν εἰκόνα τῆς παπικῆς ματαιοφροσύνης· ἀλλὰ, πρὶν ἢ ἠχήσῃ ἡ *σαμβύκη* τοῦ παναθέσμου τῆς ἑνώσεως Ὅρου, προλαβὼν, συναπῆρεν ἐκ Φλωρεντίας εἰς Ἐνετίαν μετὰ τοῦ Δεσπότου Δημητρίου, ἀδελφοῦ τοῦ αὐτοκράτορος, καὶ μετὰ Γεωργίου τοῦ σοφοῦ Πλήθωνος, ἢ Γεμιστοῦ, φεύγων τὴν τοῦ Ὅρου ὁμολογίαν. Ἐπανελθὼν δὲ εἰς τὴν Κωνσταντινούπολιν, καὶ μονάσας (α), καὶ διαφυγὼν τὴν ἐπὶ τῆς ἁλώσεως πανωλεθρίαν, ἐτάχθη ὑπὸ τῆς θείας Προνοίας πρῶτος ποιμενάρχης τῶν ἤδη αἰχμαλώτων μὲν κατὰ κόσμον, ἐλευθέρων δὲ ἐν Χριστῷ, καὶ ἀδουλώτων υἱῶν τῆς Ὀρθοδόξου Ἐκκλησίας. Πόσον μεγαλόψυχος ἅμα καὶ κατανυκτικὴ προσπίπτει καὶ αὐτὴ ἡ ἐπιγραφὴ τοῦ πονήματος, ὅπερ ἐξέδωκε πρὸς τὸν δορυκτήτορα Σουλτάνον, συνδιαλεχθεὶς ἐνώπιον αὐτοῦ μετὰ τῶν ὁμοθρήσκων αὐτῷ σοφῶν, περὶ τῆς πίστεως τῶν χριστιανῶν, καὶ θεὸν τὸν Σωτῆρα Χριστὸν ἀτρόμητος ὁμολογήσας· «Γενναδίου μοναχοῦ καὶ πατριάρχου τῶν τοῦ Χριστοῦ πενήτων, περὶ τῆς μόνης ὁδοῦ πρὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων. Ἐξεδόθη δὲ τῷ Σουλτάνῳ, αἰτήσαντι, μετὰ τὰς ἐνώπιον αὐτοῦ διαλέξεις, ἐν τῷ Πατριαρχείῳ τότε γεγενημένας. Καὶ μετὰ τοῦτο ἄλλο συντομώτερον ἐξεδόθη. Ἡρμηνεύθη δὲ ἀμφότερα ἀραβικῶς» (τουτέστιν ἀραβοτουρκιστί)· «καὶ οὕτως ἐδόθησαν»· (τὸ δεύτερον μετὰ τῆς Τουρκικῆς μεταφράσεως ἐξέδωκεν ὁ Κρούσιος ἐν τῇ Τουρκογραικίᾳ). Πολλὰ δὲ καὶ ἄλλα συγγράμ-

(α) «Ὁ καθολικὸς τῆς τῶν Ὀρθοδόξων Ἐκκλησίας διδάσκαλος, ταπεινὸς μοναχὸς Γεννάδιος» ὑπογέγραπται ἐν τῇ πρὸς τὴν Κοινότητα τῆς Πράγας καὶ πάσης τῆς Βοημίας (ὀρθοδοξούσης ἔτι τότε, καὶ πολὺ ὕστερον) Συνοδικῇ ἐπιστολῇ· ἣν ἐπέστειλε πρὸς τοὺς Βοημοὺς, στηρίζουσαν αὐτοὺς εἰς τὴν πάτριον εὐσέβειαν, ἡ ἐν Κωνσταντινουπόλει ἁγία Ἐκκλησία τῷ 1451 (δυσὶν ἔτεσι πρὸ τῆς ἁλώσεως)· βλ. τὴν ἐπιστολὴν ἑλληνιστὶ καὶ λατινιστὶ ἐκδεδομένην (καὶ λατινιστὶ ὑπὸ τῆς Πραγαίας κυβερνήσεως κεκυρωμένην) παρὰ τῷ Le Moyen Varia Sacra T. 1. p. 301. κεῖται δὲ ἑλληνιστὶ καὶ ἐν τῇ ἀνωνύμῳ «Ἀποκρίσει Ὀρθοδόξου τινὸς πρός τινα ἀδελφὸν περὶ τῆς τῶν Καθολίκων δυναστείας» κτλ. (ἣν συνέγραψεν οὐχ ὁ Εὐγένιος, καθώς τινες εἶπον, ἀλλ' ὁ Θεοτόκης) σελ. 58. Χάλλῃ, 1775.

ματα τοῦ ἀοιδίμου σῴζονται Γενναδίου, τὰ πλεῖστα ἀνέκδοτα, φιλοσοφικὰ, γραμματικὰ, καὶ ἄλλα, καὶ μάλιστα Ἐκκλησιαστικὰ καὶ Θεολογικὰ, οἷον Ἐπιστολαὶ, Ὁμιλίαι πολυπληθεῖς εἰς ἑορτὰς, καὶ ἄλλας ὑποθέσεις (ἔλεγε δὲ ταύτας *ἀπὸ στόματος ἀγράφως*· μετὰ δὲ τὴν ἐκφώνησιν ἔγραφε πολλὰς, *παρακλήσει φίλων*, ὡς διαλαμβάνουσιν αἱ ἐπιγραφαὶ), Λόγοι ἐπιτάφιοι (ἐν οἷς καὶ Μονῳδία ἐπικήδειος εἰς τὸν τρισόλβιον Μάρκον τὸν Ἐφέσου). Δύω βιβλία (περὶ τοῦ ἁγίου Πνεύματος) κατὰ Λατίνων, καὶ ἄλλα κατ' αὐτῶν φιλοπονήματα (ἀριθμοῦνται δὲ πάντα τὰ πρὸς τοὺς Λατίνους περίπου, κζ). Ἔτι δὲ κατὰ *Αὐτοματιστῶν* καὶ Πολυθέων· καὶ *Ἔλεγχος τῶν Ἰουδαίων ἔκ τε τῆς Γραφῆς καὶ τῶν πραγμάτων*· Ἔγραψε καὶ πρὸς Θεὸν εὐχὰς, καὶ ἐμμέτρους ὕμνους, σὺν οἷς καὶ ἔκφρασιν τοῦ «*Μάρτυρες στεφανῖται*» (ᾄσματος ἐκκλησιαστικοῦ), καὶ τὰ λοιπὰ λεγέτω ἡ φιλολογία (α). Ὅτι δὲ καὶ ὁ θεόφρων Γεννάδιος μίαν ἠπίστατο Κανονικὴν καὶ θεόπνευστον τῆς Παλαιᾶς ἑρμηνείαν, τὴν Ἐκκλησιαστικὴν καὶ Ἀποστολικὴν τῶν Ο, καὶ ἐκ ταύτης πανταχοῦ τὰς μαρτυρίας ἐξέφερε, περιττὸν καὶ ὅλως λέγειν, καὶ παραδείγματα προστιθέναι. Ὁ δὲ τοῦ λόγου χαρακτὴρ σαφὴς ἐστιν αὐτῷ, τὴν κυρίαν λέξιν θηρεύων, καὶ ῥέων μετὰ καλλιεπείας· εὐχα-

---

(α) Βλ. τὸν Γάλλον Ῥενωδότην (ἐν τῷ **Gennadij Patriarchæ Constant. Homiliæ etc. ed. Renaudot, Paris. 1709**· καὶ τὴν αὐτόθι ἔκδοσιν τῆς «Περὶ τοῦ μυστηριώδους σώματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» θαυμαστῆς Ὁμιλίας τοῦ Γενναδίου, δι' ἧς θεοπρεπῶς ἐκφράζει τὸ ὕψος τοῦ θειοτάτου μυστηρίου (ἐκδέδοται δὲ αὕτη καὶ ἀλλαχοῦ, καὶ ἐν τῷ τοῦ ἀοιδίμου Χρυσάνθου τοῦ Ἱεροσολύμων Συνταγματίῳ· σελ. 146. κτξ.)· Ἀξιόλογα δὲ, καὶ οἱ πρὸς τὸν Σχολάριον ἔσχατοι τοῦ Μάρκου λόγοι, τελευτῶντος ἤδη· καὶ ἡ πρὸς αὐτὸν ἀπόκρισις τοῦ Σχολαρίου, ἃ προσέθηκε μετ' ἄλλων τοῦ Μάρκου τεμαχίων ὁ Ῥενωδότης (σελ. 70 κτλ.) πρβλ. καὶ **Fabric. Bibl. Græc. T. XI. p. 341-392**· ὅστις καὶ αὐτὸς ἐσημείωσε τὰ σωζόμενα τοῦ μακαρίου Γενναδίου. Καὶ ἐν τῷ τόμῳ τῆς Ἀγάπης (σελ. 229-315) ἐξέδωκέ τινα ὁ ἀοίδιμος Δοσίθεος (ᾳχϥη). Ἴσως δὲ καὶ ἄλλα διαλανθάνουσιν ἐν τῷ κατὰ τὸ ὄρος Μενοικέως παρὰ τῇ πόλει τῶν Σερρῶν Μοναστηρίῳ τοῦ τιμίου Προδρόμου, ὅπου, τέλος, παραιτηθεὶς τῆς πενταετοῦς πατριαρχείας ὁ Γεννάδιος, ἡσύχαζε, καὶ συνέγραφε, καὶ ἐκοιμήθη ἐν Κυρίῳ περὶ τὸ 1464.

ρις δὲ πολλάκις καὶ ὅπου πρὸς τὸ τῆς φράσεως ἀτημέλητον καὶ ταπεινότερον ἀποκλίνει· τὰ δ' ἐπιχειρήματα, νευρώδη καὶ ἰσχυρά· καὶ διὰ πάντων ἀστράπτει τὸ φέγγος τῶν θείων δογμάτων ἀνέφελον καὶ σταθερόν (α). Λαλεῖ καὶ ὁ μακάριος οὗτος Πατὴρ τὴν ὑπὲρ πάσας τὰς ἀνθρωπίνους φωνὰς ἀρτιστομωτάτην καὶ λαμπροτάτην διάλεκτον, τὴν γλῶσσαν τῆς Ἀληθείας τοῦ Θεοῦ.

§. σϥζ. Μανουὴλ Πελοποννήσιος, ἐκ Κορίνθου, Ματθαίου τοῦ Καμαριώτου μαθητής, καὶ ῥήτωρ τῆς μεγάλης Ἐκκλησίας (τῷ 1500) (β), ὁ *σοφώτατος καὶ θεολογικώτατος* (κατὰ τὸν Μαλα-

---

(α) Ἐν τοῖς νενοθευμένοις πρακτικοῖς τῆς ἐν Φλωρεντίᾳ Συνόδου (Δοσιθ. Δωδεκαβ. σελ. 908) φέρονται καὶ λόγοι τρεῖς πρὸς τοὺς ἐν τῇ αὐτῇ τῇ Συνόδῳ Γραικοὺς περὶ εἰρήνης καὶ τῆς πρὸς τοὺς Λατίνους ὁμονοίας, εἰς Γεώργιον τὸν Σχολάριον ἐπιγεγραμμένοι· καὶ, Γενναδίου τοῦ Σχολαρίου Πατριάρχου Κωνσταντινουπόλεως συντάγματα πέντε» κτλ. τὰ πάντα τάχα τοῦ αὐτοῦ Σχολαρίου, πλήρη λατινοφροσύνης. (ἴδε τὰ Πρακτικὰ τῆς ψευδοσυνόδου ταύτης ἐκδεδομένα διαταγῇ Γρηγορίου τοῦ ιϛ, ἐν Ῥώμῃ τῷ 1577). Ἐπειδὴ γὰρ τοσαῦτα γνήσια συγγράμματα τοῦ Ὀρθοδόξου Γεωργίου, τοῦ αὐτοῦ καὶ Γενναδίου, τοῦ Σχολαρίου, ἐξελέγχουσι τὸ νόθον τῶν εἰρημένων λόγων, δύω πλάττουσιν οἱ Δυτικοὶ τοὺς Σχολαρίους Γεωργίους, τὸν μὲν ἐν τῇ Φλωρεντινῇ Συνόδῳ παρόντα, σοφώτατον διδάσκαλον καὶ ζηλωτὴν ὑπέρμαχον τοῦ Λατινισμοῦ, τὸν καὶ Πατριαρχεύσαντα Γεννάδιον, τὸν δὲ σχισματικόν τινα μοναχὸν, εἰς ὃν ἀπονέμουσι τὰ ὀρθόδοξα συγγράμματα (ἴδε τὸν θερμὸν Ἀλλάτιον ἐν τῇ περὶ Γεωργίων διατριβῇ). Ἀλλὰ καὶ πρὸς τοῦτο τὸ πλάσμα ἀπήντησεν ὁ ἀοίδιμος Δοσίθεος (Δωδεκαβίβλῳ σελ. 913, 914, καὶ Τόμ. Ἀγάπης· προλεγ. σελ. 21). Νόθους τοὺς λόγους ἔκριναν καί τινες τῶν νεωτέρων (ἢ τὸ πλεῖστον κεκιβδηλευμένους ὑπό τινων Γραικύλλων, δραπετιδῶν τῆς ὀρθοδοξίας, οἷοι ἐφάνησαν καὶ τότε καὶ ἐφεξῆς), καὶ ἕνα Σχολάριον, τὸν ὀρθόδοξον· R. Simonius, καὶ Fabric. l. c. p. 351. - Rivetus (Crit. Sacr.) - Kreyghtonus (præf. ad Sguropul.)

(β) Ὅτι ὁ Φαβρίκιος συγχέει τοῦτον τὸν Μανουὴλ πρὸς ἄλλον πολλῷ παλαιότερον Μανουὴλ, τὸν Ὁλόβολον (τὸν ἐπὶ τοῦ αὐτοκράτορος Μιχαὴλ τοῦ Παλαιολόγου) προείπομεν ἀλλαχοῦ (ἐν Ὑμνῳδῶν Ἀνεκδότ. προλόγ. σελ. ιϛ). Τὰ δὲ περὶ τοῦ ἀνωτέρω Μανουὴλ διέγραψε καὶ ὁ κλεινὸς Μουστοξύδης ἐν τῷ Ἑλληνομνήμονι (Τόμ. α. φυλλαδ. ε. σελ. 313). Περὶ ἄλλων ἀνεκδότων ἔτι πονημάτων τοῦ Πελοποννησίου τούτου Μανουὴλ διέλαβεν ὁ σοφὸς Φιλητᾶς ἐν τῷ προλόγῳ τῆς ὑπὸ Στυλιανοῦ Βλασοπούλου τοῦ Κερκυραίου ὑπερασπίσεως τῆς Γραικικῆς Ἐκκλησίας, ἣν ἐν ἐκ τοῦ Ἰτατικοῦ μεταφράσας καὶ σημειώσεσι πλουτίσας, τῆτες ἐξέδωκεν ἐν Ἀθήναις, 1848.

ξὸν), συνέγραψεν *Ἀπολογίαν*, ἢ *Ἀνατροπὴν τῶν I κεφαλαίων*, ἅπερ ἔπεμψε αὐτῷ τῶν τις δυτικῶν φρατόρων (Φραγκῖσκος ἐκ τοῦ τάγματος τῶν Κηρύκων). Ἐν δὲ ταύτῃ τῇ Ἀπολογίᾳ ὀξὺν ἤλασε τὸν κάλαμον ὁ ῥήτωρ Μανουὴλ, πάσας ἀνατρέπων ἐπιτόμως τὰς προβαλλομένας κακοδοξίας, τρανοῖς ἀποδείξεσι χρώμενος, ἐν αἷς καὶ λογίοις Γραφικοῖς· οἷα, τὸ «Πνεῦμα Κυρίου ἐπ' ἐμὲ» κτλ. (ἐκ τοῦ Ἡσαΐου, κζ), τὸ «Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι»; (Ψαλμ. ς) κτλ. (α). Καὶ κατὰ Γεωργίου δὲ τοῦ Πλήθωνος συνέταξεν ὁ Μανουὴλ οὗτος πονημάτιον, ὡς μὴ θεολογικῶς πραγματευσαμένου τὸ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος (ἴδε Καβέον Α. σελ. 127).

§. σηη. Ἰωάννης Λάσκαρις, ὁ Ῥυνδακηνὸς (τῷ 1510), Βυζάντιος, υἱὸς Κωνς. τοῦ Λασκάρεως συνέγραψεν ἄλλα τε, καὶ ὑπὲρ τῶν Ο, (β).

§. σηθ. Παχώμιος μοναχὸς, Ζακύνθιος τὴν πατρίδα, ὁ καὶ *Ῥουσάνος* τὸ ἐπώνυμον, καὶ *Ῥακενδύτης* (ὡς ὠνόμαζον ἑαυτοὺς πολλάκις οἱ μοναχοὶ) ἤκμαζε τῷ 1530. Τοῦτον ὁ βιβλιακώτατος Ἀλλάτιος «*νήπιον περὶ τὰ θεολογικὰ, καὶ ἄγλωσσον*» καλεῖ (περὶ Συμφωνίας). Ἀλλὰ καὶ ταῦτα γέγραφεν ὁ Ἀλλάτιος, ὡς Ἀλλάτιος, ἀντίςροφα πάντα βλέπων, καὶ ληρῶν, ὁσάκις ὀρθοδόξου Γραικοῦ μνημονεύει! Ὁ δὲ μακαρίτης Παχώμιος καὶ περὶ τὴν ἀληθῆ θεολογίαν *ἀνὴρ* ὑπῆρχε *τέλειος, εἰς μέτρον* ἀφικόμενος *ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ*, καὶ περὶ τὴν ἑλληνίδα γλῶσσαν τρανόφθογγος καὶ σπουδαιότατος, αὐτός τε γράφων ἑλληνιστὶ φιλοτίμως (οἷον ἐν ταῖς ἐπιστολαῖς), καὶ πολλαχοῦ τὸν Ἕλληνα λόγον διδάξας μετὰ καρποφορίας, ἱκανώτατα δὲ καὶ τὰς αὐτοῦ τε τοῦ Ἀλλατίου καὶ ἄλλων ἑτεροδόξων πλάνας κατεξελέγξας. Μαρτυροῦσι δὲ τὸ γόνι-

(α) Ἀτελῆ καὶ κολοβὴν (ἑνὸς μόνου κεφαλαίου παραλειφθέντος) τὴν Ἀπολογίαν ἐξέδωκεν ὁ Λεμοῦνος (Le Moyen, Varia Sacra T. 1. p. 270-292). Ἔχει δὲ συνεκδεδομένα καὶ αὐτὰ τὰ κεφάλαια τοῦ Φ ρ α ρ Φ ρ α ν τ ζ ή σ κ ο υ τ ο ῦ π ρ α ι δ ι κ α τ ό ρ ο υ. α) Ὅτι τὸ πνεῦμα καὶ ἐκ τοῦ υἱοῦ. β) Ὅτι τοῦτο προσθετέον ἐν τῷ Συμβόλῳ. γ) Περὶ Ἀζύμων. δ) Περὶ τοῦ Καθαρτηρίου πυρός. ε) Τὸ περὶ ἀπολαύσεως τῶν ἁγίων ψυχῶν. ς) Ὅτι πρῶτος τῆς Ἱερωσύνης Θρόνος ὁ τῆς Ῥώμης Πάπας. ζ) Ἓν βάπτισμα Φράγγων καὶ Γραικῶν κτλ. αὐτόθ. σελ. 268, — (β) Βλ. Fabric. Bibl. Graec. T. XI. p. 646.

μον τῆς λιπαρᾶς σπουδῆς καὶ φιλοπονίας τοῦ περὶ τὴν πάτριον εὐσέβειαν καὶ γλῶσσαν ζηλωτοῦ Παχωμίου, τὰ κατὰ τὴν Μαρκιανὴν Βιβλιοθήκην χειρόγραφα σωζόμενα αὐτοῦ πονήματα. Ὁμιλίαι, καὶ Λόγοι δογματικοί, καὶ Ἐπιστολαί, καὶ ἄλλα ποικίλα, τὰ πάντα τὸν ἀριθμὸν λϐ (α). Ἐν δὲ τούτοις τὰς μὲν ῥήσεις ἐκφέρει πάσας ἐκ τῆς ἑρμηνείας τῶν Ο, πολλὰ δὲ καὶ καλὰ διαλέγεται ἐν τῇ Ὁμιλίᾳ τῇ «*περὶ τῆς ἐκ τῶν Γραφῶν ὠφελείας, καὶ ὅτι οὐκ αἴτιοι οἱ ταύτας συγγραψάμενοι τῆς ἀσαφείας, ἀλλ' ἡ ἡμετέρα ἀμαθία, καὶ ἀμέλεια· καὶ περὶ διδασκάλων* (Χειρόγρ. Ὁμιλ. γ.), ὅπου τὴν ἐκ τῶν θείων Γραφῶν πνευματικὴν καὶ κοινωνικὴν ὠφέλειαν λαμπρῶς ἀποδείξας (συνάμα δὲ καὶ τὴν ἐν αὐταῖς ἰδίαν ἑαυτοῦ ἄσκησιν καὶ μελέτην), διαλεχθεὶς δὲ καὶ περὶ τῆς ἑλληνίδος γλώσσης, καὶ τῶν ἀρχαίων αὐτῆς διαλέκτων, καὶ περὶ τῶν κατὰ τόπους τῆς καθ' ἡμᾶς συνηθείας ἰδιωμάτων (ϐ), συμπεραίνει τὰ ἑξῆς.

(α) Βλέπε τούτων τὴν καταγραφὴν ἐξ αὐτῶν τῶν χειρογράφων τῆς Μαρκιανῆς βιβλιοθήκης ἐκτεθεῖσαν ὑπὸ Μουστοξύδου, ἐν τῷ Ἑλληνομνήμονι (Τόμ. α. σελ. 623 πρβλ. καὶ σελ. 445 καὶ 581). Κατάλογον τούτων ἐξέδωκε καὶ ὁ Μιγγαρέλις ἐν τῷ Græci codices manu scripti apud Nanios etc. p. 259-279. Bonon. 1784. προσέθηκε δ' Ἑλληνιστὶ καὶ τὴν Περὶ τῆς ἐκ τῶν Γραφῶν ὠφελείας, κτλ. ὁμιλίαν (σελ. 261 περὶ ἧς ἀνωτέρω λέγομεν εὐθύς). Ἴδε καὶ Fabric. Bibl. Græc. T. IX. p. 312. Harl.

(ϐ) Ἐν ταύτῃ τῇ θεωρίᾳ ὁ γεραρὸς Παχώμιος ἀριθμεῖ πολλὰ τῆς καθ' ἡμᾶς κοινῆς γλώσσης ὀνόματα, ἄλλως παρ' ἄλλοις ἐν τῇ συνηθείᾳ κεκρατηκότα· ἐξ ὧν φαίνεται περιηγηθεὶς οὐ μόνον τὴν Ἑπτάνησον, ἀλλὰ καὶ τὴν Κρήτην, Κύπρον, Κάρπαθον, Χίον, Λέσβον, Θρᾴκην, τὰς περὶ τὸν Πόντον χώρας (οἷον τὴν Σωζούπολιν, καὶ ἄλλας), Μακεδονίαν (ἐν δὲ τῷ Ἄθωνι καὶ ἐμόναζεν), Ἀχαΐαν, καὶ τὰ πολλὰ τῆς Πελοποννήσου. Μνημονεύει δὲ καὶ Ἀπουλήΐας καὶ Σικελίας (ὅπου φησὶ «καί τινα προφέρουσι κατὰ τὸν νόμον τῆς Γραφῆς, οἷον ἔκλασε τὸν ἄρτον, καὶ ἄρτι παραγέγονα»)· ποικίλα δὲ τὰ παρ' αὐτῷ μνημονευόμενα ὀνόματα· οἷον σκευῶν, φυτῶν, λαχάνων, πτηνῶν, τετραπόδων, ὀστρακοδέρμων κτλ. Καὶ τὰς παραφθορὰς τῶν ἄλλως ἑλληνικῶν ὀνομάτων εὐστοχώτατα εἰκάζει, παράγων, φερ' εἰπεῖν, τὸ κυττάζειν ἐκ τοῦ κυπτάζειν, καὶ ἄλλα τοιαῦτα «Καὶ σχεδὸν» (συμπεραίνει) «Οὐδὲν τῆς (ἁγίας) Γραφῆς ῥῆμα, ὅπερ μὴ ἐν τῇ οἰκουμένῃ» (παρὰ τοῖς κατὰ τόπον Ἕλλησι) «φέρεται. Εἰ δὲ καί τινα οὐ φέρεται, οὐδὲν θαυμαστόν· πολλὰ γὰρ ἐν λήθῃ καὶ ἀλλοιώσει γεγόνασιν ἐξ ἐπιμιξίας τῶν βαρβάρων». Καὶ ἄλλα δὲ περὶ τῆς ἑλ-

«Οὐκοῦν μανθάνειν χρὴ τὴν ἰδίαν διάλεκτον (τὴν Ἑλληνικὴν), καὶ μὴ ὀλιγωρεῖν, ἢ μέμφεσθαι τῶν συγγραφέων· ἐπεί περ οὐκ ἦν ἄλλως γράφειν, εἰ μὴ *κατὰ τὴν ἀρχαίαν διάλεκτον*. Καὶ γὰρ, εἴπερ, ὡς οἱ ἀμαθεῖς νομίζουσιν, ἐξεδίδουν (οἱ ἱεροὶ συγγραφεῖς) τὸ εὐαγγέλιον καὶ τἄλλα, κατὰ τὴν ἑκάστης χώρας καὶ πόλεως διάλεκτον, ὥστε νοεῖν αὐτὰ ἅπαντας· [τότε] τὸ ἓν Εὐαγγέλιον κατὰ [τὴν] ἐναλλαγὴν τῶν διαλέκτων, γέγονεν ἂν ἑκατόν. Εἶτα μετὰ χρόνον τινὰ, τῶν διαλέκτων μεταβαλλομένων, ἐχρῆν καὶ τὰ Εὐαγγέλια μεταβάλλεσθαι, καὶ μὴ δέχεσθαι τόπον ἐκ τόπου τὸ Εὐαγγέλιον, εἰ μὴ διαγραφείη ἅπερ [εἰσὶν] ἐγγεγραμμένα ἐν αὐτῷ καθ' ἑτέραν διάλεκτον· καὶ οὕτως εἰς μυρία εἴδη τμηθῆναι τὴν Γραφὴν, μᾶλλον δὲ ἀφανισθῆναι» (Χειρόγρ. σελ. 17). Οὕτως ὁ σοφὸς Παχώμιος ἀφελῶς ἅμα καὶ πάνυ σοφῶς συνεῖδε καὶ διέγραψε τὸ λίαν ἐπιβλαβὲς τῆς τῶν θείων Γραφῶν μεταβολῆς ἐκ τῆς ἑλληνίδος γλώσσης, καθ' ἣν τὸ πρῶτον ὑπὸ τοῦ Πνεύματος συνεγράφησαν, εἰς ἄλλα χυδαῖα καὶ *κοινότερα τῶν Ἑλλήνων ἰδιώματα*, παντοίως κατὰ τόπους ποικιλλόμενα, καὶ ἀστατοῦντα. Ἀλλαχοῦ δὲ (ἐν τῷ λόγῳ τῷ *περὶ τῆς τῶν Ὀρθοδόξων καὶ τῶν Σαρακηνῶν πίστεως πρὸς τὸν Λέσβιον*) τὸ ἀνόθευτον καὶ γνήσιον τῆς θείας Γραφῆς (Παλαιᾶς τε καὶ Καινῆς) λαμπρῶς ἀνακηρύξας, ἐπάγει· «Εἰ δέ που τις διαφωνία ἐν λέξει, τοῦτο οὐ κατὰ τὸ νόημα, ἀλλὰ κατὰ τὴν ἑρμηνείαν τῆς διαλέκτου, ἢ τοῦ μεταγράφοντος ἀπροσεξία» (Χειρόγρ. σελ. 109). Θεολογικώτατα δὲ διαλέγεται καὶ ἐν τοῖς ἄλλοις δογματικοῖς· οἷον ἐν τῷ, *Ὅτι ἔστι Θεὸς*, καὶ, *Περὶ τῆς δημιουργίας*, καὶ *Περὶ τῆς ἐνσάρκου Οἰκονομίας* κτλ. Οὐδὲ νηπιωδῶς (κατὰ τὸν

ληνικῆς διαλέγεται γλώσσης τρεῖς αἰῶνας ἤδη πρὸ ἡμῶν ὁ σοφὸς Παχώμιος παραβάλλων πρὸς αὐτὴν τὰ τῆς λαλουμένης ἰδιώματα (ὅσον αἱ τότε περιστάσεις καὶ γνώσεις συνεχώρουν), καὶ συνελαύνων πρὸς τὴν σωτήριον μάθησιν καὶ χρῆσιν τῆς ἑλληνικῆς, ἵνα κατ' αὐτὴν πάντως τοὺς ἀρχαίους συγγραφεῖς ἀναγινώσκωμεν, καὶ μάλιστα τὰς θείας Γραφάς. Τοῦτον οὖν τὸν οὕτω κ α τ ε γ λ ω τ τ ι σ μ έ ν α, συνετῶς καὶ πολυπείρως, περὶ τῆς ἑλληνικῆς συγγράψαντα γλώσσης, ὁ Ἀλλάτιος εἶπεν ἄ γ λ ω σ σ ο ν!

Ἀλλάτιον), ἀλλὰ καὶ λίαν ἀνδρικῶς πυκτεύει κατὰ τῶν πολεμίων τῆς εὐσεβείας ἔν τε τῷ *πρὸς Λατίνους* (λόγ. ις), καὶ (λόγ. ιζ) ἐν τῇ *Ἀπολογίᾳ τῇ διαλεκτικῇ πρὸς Λατίνους*, καὶ ἐν τῷ «Κατὰ *Ἁγιοκατηγόρων, ἤτοι τῶν κωλυόντων τοὺς ἀπερχομένους εἰς προσκύνησιν τῶν ἁγίων καὶ σεβασμίων τόπων*» κτλ. Ἔγραψε δὲ καὶ Σύντομον ἑρμηνείαν εἰς τὴν καθ' ἡμᾶς Ἐκκλησιαστικὴν μουσικήν. Ἔν τινι δὲ *πρὸς τοὺς ἐν τῇ* (Ἀθωνίτιδι) *Μονῇ τοῦ Σταυρονικήτα* ἐπιστολῇ (Χειρογρ. σελ. 213) καταφέρεται κατά τινων τότε λεγόντων, ὅτι «*δεῖ τινα τῶν στιχηρῶν τὸν ἕνα τῶν χορῶν ψάλλειν*». — Μηδὲν μεταβάλλειν παρεγγυᾷ, ὡς ἐναντίον ὂν τῇ τῶν Πατέρων παραδόσει, καὶ ἔριδας καὶ μάχας γεννῶν, σχισμάτων παραιτίους». «Μηδείς (φησιν) ὑμᾶς ὑπερόπτης ἀπατάτω, ἀλλ' ἀκούσωμεν τοῦ ἀποστόλου πρὸς Κορινθίους (Α, α, ιδ) γράφοντος. *Παρακαλῶ ὑμᾶς, ἀδελφοὶ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα*· καὶ πάλιν. «*Ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει, πάντα πρὸς οἰκοδομὴν γινέσθω*». Μὴ δῆτα ἀποσχιζώμεθα τῆς καθολικῆς Ἐκκλησίας, ἄλλα νοοῦντες καὶ ἄλλα πράττοντες. Οὐδὲ γὰρ ἐντεῦθέν τις οἰκοδομὴ, ὡς δέδεικται, εἰ μὴ σκάνδαλα» κτλ. Συνέταξε δὲ καὶ ὀκτὼ κανόνας ᾀσματικοὺς, ἐν οἷς καὶ Ἀκολουθίαν εἰς τὸν *σύγχρονον αὐτῷ* ἅγιον Βησσαρίωνα, Λαρίσσης μητροπολίτην (τῷ 1540—1550), καὶ τὸν τούτου βίον συνέγραψε (α), καὶ

(α) Ἐκ τοῦ Βίου τούτου (ἐξ οὗ φαίνεται συντεταγμένον καὶ τὸ εἰς τὸν ἅγιον Βησσαρίωνα βιογραφικὸν ὑπόμνημα τοῦ Συναξαριστοῦ, ἐκδόσ. Νικοδήμου, Σεπτεμβρίου ιε), βεβαιοῦται ὑπὸ συγχρόνου μάρτυρος καὶ ὁ χρόνος, καθ' ὃν ὁ θεσπέσιος Βησσαρίων ἐχειροτονήθη τὸ πρῶτον Ὀ λ ο ο σ σ ό ν ο ς (ὡς ὁ Παχώμιος ὁμηρικῶς (Ἰλιαδ. β.) ἔγραψε τὴν κοινότερον ὀνομασθεῖσαν Ἐλασσῶνα). Μάρκος, Μητροπολίτης Λαρίσσης, ἐχειροτόνησεν αὐτὸν Ἐλασσῶνος ἐπίσκοπον ἐπὶ Πατριάρχου Θ ε ο λ ή π τ ο υ τοῦ Α (πατριαρχεύσαντος ἀπὸ τοῦ 1511, ἕως τοῦ 1520)· ἡ δὲ τότε τῆς Ἐλασσῶνος ἐπισκοπὴ, πρῴην ὑπῆρχε τετιμημένη εἰς θρόνον Ἀρχιεπισκοπῆς. Ἐπειδὴ δὲ καὶ πρότερον ἐπὶ τῶν Σταυροφόρων, κρατησάντων τῆς Ἑλλάδος (ὅπου εἶχον καὶ ἰδίους ἐπισκόπους παρανόμως ἐγκαταστήσαντες), οὐκ ὀλίγη σύγχυ-

ἐγκώμιον· οὗ ἡ ἀρχή· «Ὁ μὲν Ζοροβάβελ, ὁ Δαρείου σωματοφύλαξ, ὑπὲρ πάντα νικᾷν ἔφη τὴν ἀλήθειαν» (ἐκ τοῦ Α. Ἔσδρ. γ).

§. τ. Μάξιμος (καὶ πρὶν ἢ μονάσῃ, *Μανουὴλ*), ὁ Μαργούνιος, τὴν πατρίδα Κρής, Κυθήρων ἐπίσκοπος (τῷ 1571-1602), ἐπίσημος ἀνὴρ ἐπ' ἀρετῇ καὶ παιδείᾳ, καὶ λέγειν καὶ ποιεῖν ἱκανώτατος, τῶν τε θείων Γραφῶν σπουδαιότατος μύστης, καὶ τῆς λατινίδος γλώσσης ἐγκρατής· συνέγραψε πολλὰ πολυμαθοῦς εὐσεβείας πλήρη· οἷον· Ἐγχειρίδιον περὶ τῆς τοῦ παναγίου Πνεύματος

σις ἐγένετο περὶ τὴν τάξιν καὶ τὰ ὅρια τῶν ἐπισκοπῶν· καὶ ὕστερον δὲ πάλιν ἐπὶ τῆς τῶν Τούρκων ἐπιδρομῆς τὰ πλεῖστα τῆς πεδινωτέρας Θεσσαλίας, καὶ αὐτὴ ἡ Λάρισσα, πολλὴν ἔπαθον ὀλιγανθρωπίαν, προσετέθη (καθὼς φαίνεται) καὶ ἡ τῆς Ἐλασσῶνος ἀρχιεπισκοπὴ πρὸς ταῖς λοιπαῖς ἐπισκοπαῖς τῆς Μητροπόλεως Λαρίσσης. Ἤδη δὲ, τῶν μεγάλων δεινῶν λωφησάντων, ἀνεκάλεσαν πάλιν τὸ δικαίωμα τῆς αὐτονομίας τῆς ἀρχιεπισκοπῆς οἱ τῆς Ἐλασσῶνος πολῖται (μετὰ τὴν τελευτὴν τοῦ τότε ἐπισκόπου), λαβόντες παρὰ τοῦ Πατριάρχου Θεολήπτου ἴδιον ἀρχιεπίσκοπον, τὸν Νεόφυτον (περὶ τὸ 1519). Τὸν δὲ μακάριον Βησσαρίωνα, καί τοι ἄλλως τιμῶντες, οὐ προσεδέξαντο ὡς ἐπίσκοπον παρὰ τοῦ Μητροπολίτου Λαρίσσης πεμφθέντα. Ἔμεινε δὲ οὗτος παρὰ τῷ ἰδίῳ Μητροπολίτῃ, προεδρεύσας ἐν τῷ μεταξὺ καὶ τῆς Σταγῶν ἐπισκοπῆς· ἕως οὗ διεδέξατο τελευτήσαντα τὸν Μάρκον, προβληθεὶς παμψηφεὶ Μητροπολίτης Λαρίσσης. Καὶ ταῦτα μὲν ταύτῃ. Καὶ ἄλλα δὲ χρήσιμα πρὸς τὴν νεωτέραν ἐκκλησιαστικὴν ἱστορίαν ἀνέγνωμεν ἐν ταῖς τοῦ μακαρίτου Παχωμίου χειρογράφοις ἐπιστολαῖς· ἐν οἷς καὶ ἀρχιερέων κατὰ τόπους ὀνόματα, καὶ πρόσωπα, λανθάνοντα παρὰ πολλοῖς· οἷον, Ἰγνάτιον Ἀντίσσης, Ἀθανάσιον Ναυπάκτου, καὶ ἄλλους ἀλλαχοῦ, καὶ δύω ἱεράρχας Ἀθηνῶν, πρὸς οὓς ἐπιστέλλει. «Καλλίστῳ νεωστὶ χειροτονηθέντι»· καὶ τῷ τούτῳ προκατόχῳ «Λαυρεντίῳ Ἀθηνῶν, ποδαλγοῦντι»· κομψὴ δὲ ἡ πρὸς τοῦτον ἐπιστολὴ (Χειρογρ. σελ. 211)· ἄρχεται δὲ οὕτως. «Ὁ μὲν λυρικὸς Πίνδαρος, παρηγορῶν ἅμα καὶ ἐκθειάζων τὸν Συρακούσιον Ἱέρωνα, ὑπὸ τοῦ τῆς δυσουρίας δριμυτάτου πάθους πιεζόμενον, πολλὰς δὲ καὶ οὕτω νίκας κατορθοῦντα, τὸν παρὰ ποιηταῖς ὑμνούμενον Φιλοκτήτην παρήγαγεν, ἐκ τοῦ δρακοντείου δήγματος τῷ ποδὶ πάσχοντα· οὗ τοῖς Ἡρακλείοις τόξοις ἑάλω τὸ Ἴλιον. Λουκιανὸς δὲ ὁ Σαμοσατεὺς Κυϊντίλῳ εἰς εὐθυμίαν τινὰ οἰόμενος χαρίζεσθαι, τοὺς Μακροβίους κατέγραψε » κτλ. (φαίνονται δὲ ἑκάτεροι οὗτοι οἱ Ἀθηνῶν, καὶ οἱ ἄλλοι δὲ πρὸς οὓς ἐπέστειλε, λόγων παιδείας μετειληχότες). Προσθετέον οὖν καὶ τούτους εἰς τὸν κατάλογον τῶν Ἀθήνησιν ἐπισκοπησάντων. Καὶ πρὸς τοὺς ἐν Βενετίᾳ χαλκογραφεῖς (τοὺς τυπογράφους) ἐπέστειλεν ὁ ἀκάματος Παχώμιος, τὴν ἀσφαλῆ τῶν ἱερῶν βιβλίων τύπωσιν αὐτοῖς παρεγγυῶν.

ἐκπορεύσεως, καὶ *Ἀντιῤῥητικοὺς* δύω κατ᾽ Ἀνδρέου ἀρχιεπισκόπου Κολοσσῶν (Λατίνου), ὑπὲρ Μάρκου τοῦ Ἐφέσου· καὶ *Διάλογον Γραικοῦ καὶ Λατίνου*, (ὃν ὁ σοφὸς Ἀλλάτιος μετὰ τῆς αὐτῷ συνήθους αἰδοῦς ψευδεπίγραφον ἐπεχείρησεν ἀποδεῖξαι), καὶ ἄλλα, καὶ πολυαρίθμους ἐπιστολάς, ὧν οὐκ ὀλίγαι κατὰ καιροὺς ἐξεδόθησαν. Τούτων μίαν ἐξέδωκεν ὁ Μαφεΐς, πρὸς Γαβριὴλ τὸν Σεβῆρον ὑπὸ Μαργουνίου πεμφθεῖσαν ἐκ Παταυΐου (τῷ 1575), ἐν ᾗ ὁ σοφὸς Μαργούνιος φαίνεταί (φασι) σφόδρα τοῖς λατινικοῖς δόγμασιν ἀρεσκόμενος· (τοῦτο δὲ καί τινες τῶν νεωτέρων, ἄνδρες ῥῖνα φέροντες ἀπομεμυγμένην καὶ δριμεῖαν, ὅμως ἐπίστευσαν) (α). Ἀλλ᾽ ὅστις ἀναγνῷ τὰς τοῦ Πατριάρχου Μελετίου τοῦ Πηγᾶ πρὸς ἑκατέρους, τὰς δὲ καὶ πρὸς ἀμφοτέρους (τόν τε Σεβῆρον καὶ τὸν Μαργούνιον) εἰρηνοποιοὺς ἐπιστολάς, βλέπει τοὺς δύω τούτους σοφοὺς διαφερομένους πρὸς ἀλλήλους ἐπὶ μακρόν· διότι ὁ Μαργούνιος ἤθελεν (ὑπ᾽ ἀκρίτου ζήλου) θεραπεῦσαι, εἴπως ἐνῆν, τὴν λατινικὴν περὶ τῆς *Ἐκπορεύσεως* προσθήκην, πρὸς τὸ εὐσεβέστερον ἐξηγῶν, ἵνα τι προὔργου πρὸς τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν συντελέσῃ, μηδόλως τοῦ ὀρθοδόξου δόγματος παραβλαπτομένου· ἀντέλεγε δ᾽ ὁ Σεβῆρος, καὶ ἡ ἔρις ἐξήφθη· μέχρις οὗ διήλλαξε μὲν αὐτοὺς ὁ θεσπέσιος Πηγᾶς, ἔμαθε δὲ καὶ αὐτὸς ὁ Μαργούνιος ἐκ τῶν πραγμάτων, ὅτι ματαίως ἐπόνει. Ἀφικόμενος εἰς Ῥώμην, προσήνεγκε τῷ Πάπᾳ δύω Λόγους, οὓς ἐπόνησε περὶ τῆς Ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. Τούτων δ᾽ ἀνακριθέντων, ἤκουσε παρὰ τοῦ Ποντίφηκος (Σίξτου τοῦ Ε) κἄτι πλέον, ἢ *τὴν ἀπὸ Σκυθῶν ῥῆσιν*· ὅτι πάντως ὀφείλει τὴν Ῥωμάναν Ὁμολογίαν ἐνώπιον τῶν ἱερῶν Ἐξεταστῶν τῆς πίςεως ὁμολογῆσαι. Εἰ δὲ στραγγεύοιτο, ἐῤῥίφθω εἰς εἱρκτήν. Ταῦτα μαθὼν ὁ Μαργούνιος, προλαβών, ἐξώλισθε κρυφίως ἐκ τῆς

(α) Βλ. Fabric. Bibl. Græc. T. XI. p. 693. Harl. ὅπου καταγράφονται καὶ πάντα τὰ σῳζόμενα τοῦ Μαργουνίου φιλοπονήματα. Ἐν δὲ τούτοις ἀριθμοῦνται καὶ Ὁμιλίαι εἰς τὴν κοινοτέραν διάλεκτον ἐπ᾽ ἄμβωνος ἐκφωνηθεῖσαι· καὶ παρομοία παράφρασις Β ί ω ν τ ι ν ῶ ν Ἁ γ ί ω ν (ἐκδοθ. Ἐνετ. 1621). Περὶ δὲ τῆς Κλίμακος προείπομεν (σελ. 708).

Ῥώμης πεζὸς, νυκτὸς καὶ ἡμέρας, ᾗ ποδῶν εἶχεν, ὁδοιπορῶν, ἕως ἔφθασε πνευστιῶν εἰς Ἐνετίαν· κἀκεῖθεν, τέλος, ἀνέπνευσεν εἰς Κωνσταντινούπολιν. Ταῦτα ἱστορεῖ Νικόλαος αὐτὸς, ὁ Παπαδόπουλος, ἄνθρωπος, «*οὔ τι μάλοις, οὐδὲ κικίννοις, ἀλλ᾽ ὁλοαῖς μανίαις*» Ἀλλατίῳ συμβακχεύων, καὶ συνενθουσῶν περὶ τὴν Παπποδοξίαν, ἐπιφέρων μαρτυρίαν καὶ ἐξ αὐτοῦ τοῦ Μαργουνίου (ἐν τῇ Ἱστορίᾳ τοῦ Παταυϊανοῦ Γυμνασίου, Βιβλ. Β. κεφ. 37. σελ. 264). Ὁ δ᾽ αὐτὸς προστίθησιν, ὅτι καὶ βιβλία ὅλα συνέγραψεν ὁ Μαργούνιος, τὸ μὲν κατὰ Ἰησουϊτῶν, τὸ δὲ κατὰ Φραγκισκανῶν κτλ. Καὶ τἄλλα δὲ τοῦ ἀειμνήστου Μαργουνίου φιλοπονήματα μαρτυροῦσιν αὐτοῦ τὴν ὀρθοδοξίαν. Καὶ ποιημάτια συνέταξεν ἰαμβεῖα καὶ ἡρωϊκὰ, ἐν οἷς εἰσι καὶ ἐπιγράμματα, καὶ οἱ ἐκδεδομένοι Ἀνακρεόντιοι ὕμνοι· μιμεῖται δ᾽ ἐν τούτοις πολλαχοῦ τὸν Θεολόγον Γρηγόριον, «*Πεζὸς παρὰ Λύδιον ἅρμα ἰχνεύων*».

§. τα. Μελέτιος ὁ Πηγᾶς, Πάπας καὶ Πατριάρχης Ἀλεξανδρείας, τὴν πατρίδα Κρὴς (τῷ 1575 — 1602) (α). Τοῦ μακαρίου τούτου καὶ μεγαλόφρονος ἀνδρὸς τήν τε περὶ τὰς θείας Γραφὰς, καὶ τὴν ἄλλην βαθεῖαν παιδείαν, καὶ τὸν ζῆλον τῆς εὐσεβείας, καὶ τὴν ὑπὲρ τῆς Ἐκκλησίας ἀνύστακτον μέριμναν μαρτυροῦσι στεντορείως αἱ πολυειδεῖς αὐτοῦ συγγραφαί· Ὁμιλίαι (*Εὐαγγελικῆς διδασκαλίας περίοδος*), καὶ ὁ *Ὀρθόδοξος χριστιανὸς* (ἐν διαλόγῳ), καὶ Λόγων *Στρωματεῖς*, οὓς καὶ αὐτὸς, ὁ νέος

(α) Ὁ Παπαδόπουλος (ἔνθ. ἀνωτέρ. σελ. 279) παρεκτείνει τὸν βίον τοῦ Πηγᾶ μέχρι καὶ τοῦ 1620. Ὡσαύτως καὶ Fabr. Bibl. Græc. T. XI. p. 475. Harl. Ἀλλ᾽ ὁ μακάριος Πηγᾶς ἐτελεύτησεν ὀλίγῳ πρότερον τοῦ Μαργουνίου (οὗτινος καὶ δύω λόγοι σῴζονται ἐπιτάφιοι εἰς τὸν Πηγᾶν), κατὰ τὸ αὐτὸ ἔτος τελευτήσαντος, τὸ 1602. Καὶ τοῦτο μαρτυροῦσι, α) Μάξιμος ὁ Πελοποννήσιος, μαθητὴς τοῦ Πηγᾶ (βλ. ἑξῆς §. τβ), ἐν τῇ πρὸς Ματθαῖον ἱερομόναχον ἐπιστολῇ, γεγραμμένῃ τῷ αχβ, Γαμηλιῶνος ζ (βλ. Κορυδαλέως Ἔκθεσ. περὶ Ἐπιστολικ. τύπων σελ. 74. Ἄλλῃ, 1768). 2) Κύριλλος ὁ Λούκαρις διεδέχθη Μελέτιον τὸν Πηγᾶν ἐν τῇ Πατριαρχικῇ καθέδρᾳ τῆς Ἀλεξανδρείας τῷ 1602. βλ. Μελετ. Ἐκκλ. Ἱς. Τ. γ. σελ. 430.

Κλήμης τῆς Ἐκκλησίας, μνημονεύει (ἐν τῷ τέλει τῆς πρὸς Γαβριὴλ τὸν Φιλαδελφείας ἐπιστολῆς. ἐκδ. Ῥενωδότου· σελ. 149), καὶ ἄλλα πονήματα, καὶ αἱ πολλαχοῦ τῆς Οἰκουμένης πρὸς τοὺς ὀρθοδόξους ὑπόπτεροι καὶ ἀλλεπάλληλοι φοιτῶσαι παρ' αὐτοῦ ἐπιστολαὶ, στηλιτεύουσαι τὰς παρὰ τῶν ἑτεροδόξων, καὶ μάλιστα τῶν Λατίνων, ἀδιαλείπτως τεκταινομένας κατὰ τῆς εὐσεβείας παντοίας ἐπιβουλάς. Πρὸς Ῥώσσους, καὶ τὸν Ὀστροβίας ἡγεμόνα Βασίλειον, πρὸς Πολωνοὺς, καὶ τὸν Γ. Σιγισμοῦνδον, Βασιλέα τῆς Πολωνίας, πρὸς Λιθουανοὺς, Μολδαυοὺς, Οὐγγροβλάχους, Κρῆτας, Χίους, Μιτυληναίους, πρὸς ἄλλους παντοίους ἔγραφεν ὑπὲρ τοῦ θείου δόγματος, καὶ μάλιστα περὶ τῆς Ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, καὶ κατὰ τῶν ἀθέσμων δυτικῶν καινοτομιῶν, καὶ τῆς ἀρχῆς τοῦ Πάπα, καὶ τῆς Φλωρεντινῆς ψευδοσυνόδου. Ὀλίγαι δὲ τούτων τῶν πολλῶν ἐπιστολῶν, (300 ὅλας ἔχει τὸ παρ' ἡμῖν χειρόγραφον), καί τινες βραχεῖαι τῶν ἄλλων συγγραφῶν τούτου τοῦ πηγαίου τῆς εὐσεβοῦς διδασκαλίας Πατριάρχου μέχρι νῦν εἴσιν ἐκδεδομέναι (α). Ἐν πᾶσι δὲ τούτοις αὐτοσχέδιος μὲν πολλάκις καὶ ἀκατάσκευος, ἀλλὰ πολὺς αὐτῷ καὶ πελάγιος ὁ λόγος χωρεῖ, καθαρὸν τὸ φρόνημα τῆς εὐσεβείας ἐξερευγόμενος, καὶ διαυγάζον ταῖς ἀκτῖσι τῶν θεοπνεύστων λογίων· οἷον (ἐν τῇ πρὸς Γαβριὴλ τὸν Σεβῆρον ἐπιστολῇ, σελ. 121)· «Ὁ λόγος ὁ τοῦ Θεοῦ Πατρὸς, καὶ Θεὸς ὁμοούσιος τῷ Πατρὶ, τὴν ἐν Παραδείσω ποτὲ τοῦ γένους ἡμῶν πανωλεθρίαν ἐπανορθούμενος, — κατεληλυθὼς τῇ διὰ σαρκὸς ἐπιδημίᾳ, *Παράδεισον* (ἐφύτευσεν) *ἐν Ἐδὲμ κατὰ ἀνατολὰς* (τὴν Ἐκκλησίαν),- λαμπρότατος *ἥλιος* ὢν αὐτὸς *δικαιοσύνης*, ᾧ *Ἀνατολὴ ὄνομα*, ἡ *ἡμᾶς ἐξ ὕψους ἐπισκεψαμένη*.— Καὶ *ξύλον* ζωῆς ὤν· « ἡ *Σοφία γὰρ ὄντως ξύλον ἐστὶ ζωῆς*· - προὔτεινε τὸν

(α) Βλ. Fabric. Bibl. Græc. T. XI. p. 475. Harl. καὶ Renaudot in Gennadij Homil. pag. 91-149. ὅπου κεῖνται δύω τοῦ Μελετίου ἐπιστολαί· ἡ πρὸς Γαβριὴλ τὸν Σεβῆρον, καὶ ἡ πρὸς Φωτεινόν. Καὶ ἐν τῷ Τόμῳ τῆς Χαρᾶς ἐξέδωκεν ὁ Πατριάρχης Δοσίθεος λόγον κατὰ τῆς ἀρχῆς τοῦ Πάπα.

φυσίζωον ἐκεῖνον καρπὸν, τὸν σωτήριόν φημι τοῦ Εὐαγγελίου τῆς χάριτος λόγον, τοῖς περιστοιχοῦσιν αὐτὸν οὐκ εἰς θάνατον, ἀλλ' εἰς ζωὴν καὶ ἀθανασίαν· ἀρδεύων θεοῤῥύτοις ἐπιῤῥοαῖς τὸν Παράδεισον, [καὶ] ἐμπαρεχόμενος *χειμάῤῥουν τρυφῆς*, ὅν φησιν ὁ Προφήτης, καὶ *ποταμὸν Θεοῦ*, *πλήρη* τῶν τοῦ *Πνεύματος Θεοῦ* ὑδάτων, τῶν μετ' οὐ πολὺ τετραῤῥύτων ἀρχῶν (τῶν Δ, Εὐαγγελίων), ποταμείων, ὠκεάνειον. Οὕτως οὖν ἦρδεν, οὕτως ἔτρεφε τὴν ἀρχὴν τὸν Παράδεισον· οὕτως ἐν εἰσαγωγῇ κρειττόνων, *ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος*» κτλ. καὶ (ἐπιστ. πρὸς Φωτεινὸν σελ. 109)· «Μάτην ζητεῖται, τίνα τόπον ἔχουσιν ἐν τῇ Χριστοῦ Ἐκκλησίᾳ τὰ *ἄζυμα*, οἷς οὐδεὶς ὅλως ἐν Ἐκκλησίᾳ Χριςοῦ τόπος ἐστίν· εἰ μή που τις βούλοιτο εἰς τὰς ἑλίξεις ἐκείνας τὰς σκιώδεις, καὶ [τὰς] σκολιὰς ἐκείνας περιόδους ἀναστρέφεσθαι, *μετὰ τὰς εὐθείας ὁδοὺς καὶ τὰς ἡτοιμασμένας τρίβους*, τὰς τοῦ Σωτῆρος Χριστοῦ, μετὰ τὴν ἐξ ὕψους ἐλλάμψασαν (ἴσ. ἐκλάμψασαν) ἀνατολὴν, μετὰ τὸ φῶς ἐκεῖνο, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, πρὸς δὲ τοῖσδε μετὰ τὸ, τὸν τρισουράνιον ἐκεῖνον κήρυκα, *ἀναβάντα ἐπ' ὄρους ὑψηλοῦ*, ὃ διέταττεν Ἡσαΐας, καὶ *τὴν φωνὴν ὑψώσαντα ἐν ἰσχύϊ*, τὸ καινὸν ᾆσμα, τὸ, *τὰ ἀρχαῖα παρῆλθε, καὶ ἰδοὺ γέγονε τὰ πάντα καινὰ*, πάσης σάλπιγγος εὐηχέστερον σαλπίσαι» καὶ τὰ ἑξῆς.

§. τϐ. Γαβριὴλ, Μητροπολίτης Φιλαδελφείας, «ὁ θαυμάσιος καὶ ἐπ' ἀρετῇ διαβόητος· ὁ Φιλαδελφείας μὲν (τῆς ἐν Λυδίᾳ) προβληθεὶς μητροπολίτης, μετακληθεὶς δὲ ὑπὸ τῆς Γαληνοτάτης ἀρχῆς [τῶν] Ἐνετῶν (ἐπὶ Πατριάρχου Ἱερεμίου κατὰ τὸ, 1577), προΐστασθαι τοῦ ἐκεῖσε τότε μετοικισθέντος τῶν Ἑλλήνων γένους, καὶ πάσης τῆς συναγηγερμένης τούτων ἱερᾶς ἀδελφότητος» (α), Πελοποννήσιος τὴν πατρίδα ἐκ Μονεμβασίας. Συνέγραψε τὸ «*Περὶ τῶν ἁγίων Μυστηρίων*», καὶ τὸ Περὶ *τῶν πέντε διαφορῶν*, καὶ ἄλλα τινὰ (ϐ),

---

(α) Νεκτάρ. Ἱεροσολ. πρὸς τὰ παρὰ τοῦ Γάλλου Κλαυδίου κατὰ τῶν Γραικῶν σκώμματα κτλ. ἐν **Renaud. Gennadij etc. p. 172.** πρβλ. **G. Veludo, Sulla colon. Greca orient. stabil. in Venezia. p. 12.**

(ϐ) Βλ. Δοσιθ. Δωδεκαβ. σελ. 1180, καὶ **Fabric. Bibl. Græc. T. XI. p. 625.**

τὰ πάντα βεβηκότα ἐπ' ἀκραδάντων θεμελίων, τῶν θεοπνεύστων ῥητῶν τῆς Γραφῆς. Πρὸς τοῦτον καὶ ἐπιστολαὶ τοῦ ἀοιδίμου Μελετίου τοῦ Πηγᾶ σώζονται ἱκαναί (α).

Μετὰ τοῦ Πελοποννησίου Γαβριὴλ συνάπτομεν καὶ Μάξιμον, τὸν Πελοποννήσιον, ἱερομόναχον, μαθητὴν τοῦ ἀοιδίμου Μελετίου τοῦ Πηγᾶ, συγγράψαντα χυδαΐζον μὲν τῇ φράσει (πρὸς κατάληψιν τῶν ἁπλουστέρων), ἰσχυρὸν δὲ ταῖς Γραφικαῖς ἀποδείξεσιν, «*Ἐγχειρίδιον κατὰ τοῦ Σχίσματος τῶν Παπιστῶν*» (ἐτυπώθη ἐν Βουκορεστίῳ τῷ 1690, ἐπὶ τῷ διαδίδοσθαι δωρεάν)· ἔχει σελίδας 210, ἔτι δὲ καὶ πρὸς τῷ τέλει προσφωνητικὴν ἐπιστολὴν πρὸς τοὺς Ὀρθοδόξους, ὡς ἐκ τοῦ ἀνωνύμου ἐκδότου, ὅς ἐστι Δοσίθεος ὁ Πατριάρχης Ἱεροσολύμων, ὡς αὐτὸς διεκοίνωσεν ὕστερον (ἐν Δωδεκαβίβλῳ σελ. 1182). Ὁ δ' αὐτὸς καὶ Ὁμιλίας τοῦ Μαξίμου εἰς πάσας τὰς Κυριακὰς προσαριθμεῖ, καὶ Συλλογὴν χρήσεων πολλῶν ἐκ τῆς Παλαιᾶς θείας Γραφῆς, μαρτυρούσας τὴν ἔνσαρκον τοῦ Σωτῆρος Οἰκονομίαν (β).

§. τγ. Ἱερεμίας ὁ Β, ὁ ἀπὸ Λαρίσσης, Πατριάρχης Κωνσταντινουπόλεως, ὁ *Τρανὸς* κοινῶς ἐπιλεγόμενος, καὶ μέγας ὄντως καὶ πολὺς ἀναφανεὶς τήν τε θείαν καὶ ἀνθρωπίνην σοφίαν, καὶ τὴν εὐσέβειαν, καὶ τὴν ἀρετὴν, καὶ περὶ τὴν πατριαρχείαν πανευκλεὴς καὶ πολύαθλος. Τρὶς ἐπατριάρχευσε (τῷ 1572, καὶ μετὰ μικρὰν διακοπὴν, τῷ 1580, καὶ πάλιν τῷ 1587, ἕως τοῦ 1594, ὅτε καὶ γηραιὸς ἤδη μετέστη πρὸς Κύριον). Πρὸς τοῦτον τὸν ἀοίδιμον (ἐπὶ τῆς πρώτης αὐτοῦ πατριαρχείας, τῷ 1574. Σεπτεμ. ιε), ἔγραψαν ἀπὸ Τυβίγγης οἱ Λουθηροκαλβῖνοι θεολόγοι, πέμποντες τὴν παρ' αὐτοῖς

(α) Καὶ ἄλλων δὲ τούτοις συγχρόνων μνημονεύονται πονήματα, τὰ πλεῖστα κατὰ τῶν λατινικῶν καινοτομιῶν συνταχθέντα (πολλαὶ γὰρ ἦσαν τότε κατὰ τόπους τῆς Ἑλλάδος τῶν ἐκ τῆς Ῥώμης ἐρχομένων Ἀποστολατόρων αἱ πρὸς τοὺς Ὀρθοδόξους ἐπιβουλαὶ καὶ διενέξεις)· οἷον Ζαχαρίου ἱερέως τοῦ Σκορδύλη (καὶ ἄλλως Μαραφαρᾶ) τοῦ Κρητὸς (βλ. Ἑλληνομνήμονα σελ. 306), καὶ Ναθαναὴλ Χύχα τοῦ Ἀθηναίου (βλ. Φιλητᾶ ἔνθ. ἀνωτ. σελ. 15). Τούτου καὶ Δοσίθεος τοῦ Χύκα (ὡς γράφει) μνημονεύει (Δωδεκ. σελ. 1144).

(β) Βλ. καὶ Δημήτρ. Προκοπ. ἐπιτετμ. ἀπαρίθμ. τῶν λογίων Γραικῶν §. 5.

Αὐγουσταίαν *Ὁμολογίαν*, καὶ ἅμα δηλοῦντες τὰ δεδογμένα κατὰ τὴν ἐκκλησιαστικὴν αὐτῶν ἀναμόρφωσιν, καὶ πλαγίως ἀφορῶντες, εἴπως ἐνῆν, πρὸς ἕνωσιν τῶν Ἐκκλησιῶν. Ἀπήντησε δὲ πρὸς τούτους ὁ ἀοίδιμος Ἱερεμίας διὰ μακρῶν, τὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας ἀναλλοίωτα δόγματα καὶ διδάγματα διατρανῶν ἔκ τε τῆς θείας Γραφῆς, καὶ τῶν πατρικῶν καὶ Συνοδικῶν παραγγελμάτων· καὶ αὖθις ἀντιγράψασιν ἀνταπήντησε, καὶ τρίτον ὡσαύτως (τῷ 1581) (α). Περὶ ἄλλων συγγραμμάτων τοῦ ἀειμνήστου Ἱερεμίου, ἴδε τὴν Ἑλληνικὴν τοῦ Φαβρικίου Βιβλιοθήκην (τόμ. ια σελ. 638) (β).

§. τδ. Ματθαῖος ὁ Κιγάλας, Κύπριος, ἱερεὺς (τῷ 1630), ὁ Χρονογράφος. Καὶ οὗτος ἐν τῇ *Συνόψει τῶν διαφόρων ἱστοριῶν* ἐξιστόρησε τὰ περὶ τῶν Ο (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 170, 193, 275, 339).

(α) Βλ. τὰς Ἐπιστολιμαίας ταύτας Διαλέξεις ἐκδεδομένας ἐν τῷ « Acta et Scripta Theologorum Wirtembergensium » etc. (πρακτικὰ καὶ γράμματα τῶν Βιρτεμβεργείων θεολόγων κτλ.). Wirtebergae, 1584.

(β) Οὗτος ὁ ἀοίδιμος Πατριάρχης Ἱερεμίας ἀναβὰς εἰς Μόσχαν μετὰ τοῦ Μητροπολίτου Μονεμβασίας Ἱεροθέου, καὶ τοῦ Ἀρχιεπισκόπου Ἐλασσῶνος Ἀρσενίου (τῷ 1588), ἐπὶ Θεοδώρου Ἰωαννίδου, τοῦ εὐσεβεστάτου βασιλέως τῆς Ῥωσσίας, Συνόδου πληρεστάτης συγκροτηθείσης, κοινῇ ψήφῳ καὶ συναινέσει, τὴν ὑπὸ τὸν Οἰκουμενικὸν θρόνον πρότερον διατελοῦσαν Ἐκκλησίαν τῆς βασιλευούσης καὶ μυριοπληθεστάτης Ῥωσσίας, αὐτόνομον ἀνηγόρευσε, καὶ εἰς Πατριαρχεῖον ἐτίμησεν, (ἡ δὲ πρᾶξις καὶ ὑπὸ τῶν ἄλλων Πατριαρχῶν καὶ πάσης τῆς Ἐκκλησίας ἐπεκυρώθη ὕστερον ἐν Κωνσταντινουπόλει), πρῶτον πατριάρχην τῆς Ῥωσσίας ἀναδείξας τὸν τότε διάσημον μητροπολίτην τῆς Μόσχας Ἰὼβ (τῷ 1589, Ἰαννουαρίου κς.). Βλ. Χρυσάνθου Ἱεροσολύμων Συνταγμάτ. σελ. 79, καὶ τὴν πολύτομον Ῥωσσικὴν «Συλλογὴν Βασιλικῶν Γραμμάτων καὶ Διαλέξεων». Τόμ. Β. Μόσχ. 1819; (πρβλ. καὶ τὴν Ῥωσσιστὶ ἐκδεδομένην Ἱστορίαν τῆς Ῥωσσικῆς Ἐκκλησίας, σελ. 163. κτξ. ἐν Πετρουπόλει 1838). Ὁ δὲ Ἐλασσῶνος Ἀρσένιος συνέγραψεν ἁπλοελληνιστὶ, ἐν εἴδει ἐπιστολῆς, διὰ στίχων πολιτικῶν καὶ ἱστορικὴν Διήγησιν, πάντα τὰ κατὰ τὴν ἐπισημοτάτην ταύτην πρᾶξιν εὐρύθμως καὶ ἐξηκριβωμένως, ὡς αὐτόπτης, ἐξιστορῶν, καὶ αὐτοὺς τοὺς λόγους, οὓς ὅ,τε βασιλεὺς Θεόδωρος, καὶ ἡ βασιλὶς Εἰρήνη, καὶ οἱ περὶ αὐτοὺς εἶπον, καὶ οὓς οἱ περὶ τὸν Πατριάρχην Ἱερεμίαν. Ἴδε ταύτην τὴν Διήγησιν ἐκδεδομένην (καί τοι μὴ μετὰ τῆς ἀπαιτουμένης ἀκριβείας) ἐν Codic. manusc. Regij Taurin. T. 1. p. 433—469.

§. τε. Γεώργιος ὁ Κορέσσιος (τῷ 1641, ἐτελεύτα ἐτῶν 82) θεολόγος τῆς Μεγάλης Ἐκκλησίας (ἀλλ' οὐχὶ καὶ μοναχὸς, οὐδὲ πρεσβύτερος, ὡς ὑπέλαβεν ὁ Σιμώνιος· ἄγαμος δὲ καὶ παρθένος διαβιώσας, κατὰ τὸν ἱερὸν Δοσίθεον)· ἀνὴρ διὰ πάσης παιδείας ἐλθὼν, καὶ τὴν ἰατρικὴν καὶ φιλοσοφίαν ἐν Παταυΐῳ σπουδάσας (α). Ὅθεν καὶ ἰατροφιλόσοφος, καὶ ἰατρὸς, ἔν τισι συγγράμμασιν ἐπιγέγραπται. Πρέπει δὲ μάλιστα τῷ σοφωτάτῳ τούτῳ ἀνδρὶ καὶ τὸ θεολόγος. Πολλὰ γὰρ καὶ ὀρθόδοξα θεολογικὰ συντάγματα ὑπὲρ τῶν θείων δογμάτων συνέγραψε, λόγων τε δυνάμει κεκαλλιεπημένων, καὶ ταῖς ἐκ τῶν *ζώντων* τοῦ *Θεοῦ ῥημάτων* ἀποδείξεσι κατωχυρωμένα, δι' ὧν κρατύνει τὴν ἀλήθειαν, ἄγχων τοὺς ἀντιδιατιθεμένους, καὶ τὰ νόθα καὶ *νήπια* τῆς κακοδοξίας γεννήματα προσαῤῥάσων *πρὸς τὴν πέτραν* τῆς ἀμωμήτου πίστεως. Ἐξέχουσι δὲ ἐν τοῖς πολυτίμοις αὐτοῦ φιλοπονήμασι τό,τε μέγα καὶ τὸν ὄγκον καὶ τὴν ἀξίαν Θεολογικὸν (σῴζεται δὲ χειρόγραφον ἔν τισι τῶν καθ' ἡμᾶς βιβλιοθηκῶν), ὃ προσήνεγκε τῷ ἀπὸ Βεῤῥοίας πατριαρχεύσαντι Κυρίλλῳ (τῷ 1637) (β). Ἔτι δὲ καὶ τὰ, περὶ Μυστηρίων, Περὶ Μετουσιώσεως, Περὶ προορισμοῦ, Χάριτος, καὶ Αὐτεξουσίου, Περὶ ἐπικλήσεως τῶν ἁγίων, καὶ προσκυνήσεως τῶν ἁγίων εἰκόνων, Ἀντίῤῥησις κατὰ τῆς ἐν Βελγίῳ

(α) Δοσίθ. Δωδεκαβίβλ. σελ. 1176. - Nicol. Comn. Papadop. Histor. Gymnas. Patav. L. II. p. 296. - Fabric. Bibl. Græc. T. XI. p. 628. Harl.

(β) Τοῦτο μαρτυρεῖ αὐτοῦ τοῦ Κορεσσίου πρὸς τὸν Πατριάρχην Κύριλλον ἐπιστολὴ, κειμένη ἐν τῷ προμετωπίῳ τοῦ χειρογράφου, μετὰ τῆς πρὸς τὸν Κορέσσιον ἀπαντήσεως τοῦ Πατριάρχου. Οὐ χεῖρον δὲ καὶ ταύτην προσθεῖναι· « Κύριλλος ἐλέῳ » κτλ. « Ἐχρονίσαμεν γράψαι σοι, λογιώτατε καὶ σοφώτατε ἰατρὲ, οὐχ ὅτι ἀχάριστοι και ἀμνήμονες, ἀλλ' ὅτι πολλάκις βαπτιζόμενοι ταῖς τηκεδόσιν, οὐ σχολάζομεν ἑαυτοῖς ζῆν. Εὐχαριστοῦμεν γοῦν τῇ καλῇ σου κἀγαθῇ προαιρέσει, τῇ πολὺν καρπὸν χαρισαμένῃ τῇ Ἐκκλησίᾳ ἐν τῷ θησαυρῷ τούτῳ, ἐν ᾧ καὶ ὑψηλαὶ ἑρμηνεῖαι, καὶ τὰ δόγματα λαμπρὰ, καὶ αἱ ἄλλαι χάριτες, ἃς ἔχειν ὀφείλουσιν οἱ συγγραφεῖς, καθεξῆς λάμπουσιν. Ἐξ οὗ φαίνεται οὐ σὸν, ἀλλὰ τοῦ Πνεύματος εἶναι τὸ ἔργον. Παρ' ἀνθρώπων οὖν ὁ μισθὸς οὐ προσδοκητέος, ἀλλὰ παρὰ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὗ ἡ χάρις μετὰ τῆς σῆς λογιότητος· αψλζ. Φεβρ. κς ».

Συνόδου. Καὶ κατὰ Βελλαρμίνου δὲ συνέγραψε, καὶ Ἐγχειρίδιον περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος (ὅπερ ὁ Δοσίθεος ἐξέδωκεν ἐν Τόμῳ Καταλλαγῆς), καὶ ἄλλα περὶ τούτου πονημάτια, καὶ (ἵνα τὰ λοιπὰ παραλίπωμεν) τὸ *κατὰ Λατίνων* (λατινιστὶ γεγραμμένον, ὃ καὶ πυρὶ παρεδόθη ἐν Ῥώμῃ, Οὐρβανοῦ τοῦ πάπα κελεύσαντος)· διὸ καί τινες τῶν Προτεσταντῶν, καὶ μάλιστα ἐκ τῶν Λατινοφρόνων οἱ περὶ τὸν Ἀλλάτιον, καὶ τὸν Παπαδόπουλον, καὶ Ματθαῖον τὸν Καρυοφύλλην (Κρῆτα καὶ τοῦτον δραπετίδην) ἐστίλβωσαν καὶ ἔβαψαν κατ' αὐτοῦ τὸν κάλαμον, μάτην ἐπαλείψαντες τὸν χάρτην τὸν λευκὸν γραμμάτων ἀψύχων μελαίνῃ βαφῇ καὶ χολῇ. Ἐν τοῖς Ἀνεκδότοις τοῦ Κορεσσίου ὑπάρχουσι καὶ τὰ ἑξῆς· 1) Προοίμιον εἰς τὴν Ἰωάννου Ἀποκάλυψιν. 2) Περὶ τῆς μάχης τοῦ Γὼγ καὶ Μαγὼγ (ἐκ τοῦ Ἰεζεκιὴλ). 3) Εἰς τὸ Ἱερεμίου λγ, κεφάλαιον, ἐν ᾧ καὶ περὶ τῆς ἀπὸ Κ. Κ. χρονολογίας (κατὰ τοὺς Ο) (α). Καὶ ἄλλο δὲ τούτου χειρόγραφον προμνημονευθὲν (ὄπισθ. σελ. 223), περιέχει σημειώσεις εἰς τὴν Πεντάτευχον, καὶ εἰς τὰ πρῶτα κεφάλαια τοῦ Ἡσαΐου καὶ Ἰεζεκιὴλ, ἐν αἷς καὶ τῶν ἄλλων ἑρμηνευτῶν (τοῦ Ἀκύλα κτλ.) ἀναγνώσεις ἀναφέρει, ἐξηγῶν τοὺς Ο. Ἐπάγει δὲ καὶ χρήσεις ἐκ τῆς Ἰουδεὶθ, καὶ τοῦ Τωβὶτ, καὶ τῶν λοιπῶν τῶν Ἀναγινωσκομένων.

§. ϛ. Μελέτιος, ὁ Συρίγος τὸ ἐπώνυμον, τὴν πατρίδα Κρὴς, ἐνάρετος καὶ σοφώτατος πρωτοσύγκελλος καὶ ἱεροκήρυξ τῆς Μεγάλης Ἐκκλησίας (τῷ 1639· ἐτελεύτα τῷ 1662) συνέταξε τῷ 1642 (ἐπὶ Παρθενίου πατριαρχεύοντος) *Ἀντίῤῥησιν κατὰ τῶν Κεφαλαίων καὶ ἐρωτήσεων Κυρίλλου τοῦ Λουκάρεως* (τῶν περιεχομένων ἐν τῇ ἐπ' ὀνόματι αὐτοῦ δημοσιευθείσῃ Λουθηροκαλβινικῇ Ὁμολογίᾳ, περὶ ἧς προείπομεν σελ. 131) (β). Ἐν δὲ ταύτῃ τῇ

(α) Βλ. Kollar. ad Petr. Lambec. Commentariorum etc. p. 246.

(β) Ὁ Ἱεροσολύμων Δοσίθεος ἐν Τόμῳ Ἀγάπης (σελ. 547—554) ἐξέδωκε δύω πονήματα τοῦ Λουκάρεως, τὸ μὲν, Ἐπιστολὴν πρὸς Ῥάδουλαν ἡγεμόνα Οὐγκροβλαχίας· τὸ δὲ, Διδασκαλίαν πρὸς τοὺς ἐν Τριγοβύστῳ τῆς Οὐγκροβλαχίας Ὀρθοδόξους, ἐξ ὧν (φησι) δείκνυται φανερῶς, ὅτι ὁ Λούκαρις ἦν ὀρθόδο-

Ἀντιῤῥήσει καὶ τὰς κανονικὰς βίβλους τῆς Παλαιᾶς θείας Γραφῆς κατὰ τὸν Κανόνα τῆς Ἐκκλησίας διεκδικεῖ, καὶ τὰ δόγματα τῆς ὀρθοδόξου Ἐκκλησίας ἐκ τῶν θεοπνεύστων Γραφῶν, τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς, τρανῶς ἀποδείκνυσιν. Ἐξέδωκε δὲ καὶ ταύτην τὴν παντὸς ἀξίαν λόγου Ἀντίῤῥησιν ὁ ἀοίδιμος πατριάρχης Ἱεροσολύμων Δοσίθεος (ἐν Ἰασίῳ, τῷ 1690), προτάξας καὶ βιογραφίαν τοῦ ἀειμνήστου Συρίγου. Καὶ Νεκτάριος δὲ τῷ Συρίγῳ συγχρονίσας, ἐπαινεῖ καὶ τὴν Ἀντίῤῥησιν καὶ τὸν συγγραφέα, λέγων· «Μετὰ δὲ τὸν Κυρίλλου (τοῦ Λουκάρεως) θάνατον, κοινῇ παρὰ πάσης τῆς ἐν Κωνσταντινουπόλει ἱερᾶς Συνόδου ἡ τῶν Κεφαλαίων ἐκείνων τοῦ Κυρίλλου Ἀντίῤῥησις ἅπασα καὶ ἀνατροπὴ Μελετίῳ τῷ Συρίγῳ ἐπετράπη, ἀνδρὶ σοφωτάτῳ, διδασκάλῳ καὶ εὐαγγελικῷ κήρυκι τοῦ ὀρθοῦ τῆς ἀνατολικῆς Ἐκκλησίας φρονήματος, ἣν καὶ πεποίηκεν ἄριστα» κτλ. (ἐπιστολῇ πρὸς τοὺς Σιναΐτας) (α).

§. τζ. Νεκτάριος Πατριάρχης Ἱεροσολύμων (τῷ 1660), τὴν πατρίδα Κρὴς, ἐν Σιναίῳ τοὺς ἀσκητικοὺς ἄθλους τὸ πρῶτον μετελθὼν, διάσημος ἐπ' ἀρετῇ, καὶ δυνατὸς ἐν λόγοις. Συνέγραψε τὴν περίφημον «*Ἀντίῤῥησιν πρὸς τὰς αὐτῷ προσκομισθείσας παρὰ τῶν ἐν Ἱεροσολύμοις φρατόρων περὶ τῆς ἀρχῆς τοῦ Πάπα θέσεις*», ἃς ἀθέτους πάσας καὶ ψευδομένας ἐξήλεγξεν ἱστορικῶς τε καὶ θεολογικῶς, ἔκ τε τῶν οἰκουμενικῶν Συνόδων καὶ τῶν ἁγίων Πατέρων ἀντιτιθεὶς τὰς ἀληθεῖς τῆς εὐσεβείας φωνὰς, καὶ πρώτιστα «τὰς *ἐν τῷ λάρυγγι αὐτοῦ ὑψώσεις τοῦ Θεοῦ*», τὰς ῥήσεις τῶν θεοπνεύστων Γραφῶν. Αὐτίκα τοῦ λόγου ἀρχόμενος, ἐπικαλεῖται «Χριςὸν, τὴν αὐτοαλήθειαν, τὸν *τὰς ἀνειμένας χεῖρας ἐνισχύοντα, καὶ τὰ παραλελυμένα γόνατα παρηγοροῦντα*» (Ἡσαΐ.). Προϊὼν δὲ καὶ δεινοπαθῶν, οἷα ποιοῦσιν οἱ πε-

---

ξος· τὰ δ' ἐπ' ὀνόματι αὐτοῦ τυπωθέντα Κεφάλαια πλάσματά εἰσι τῶν Καλβίνων, καὶ συκοφαντία τῶν Παπιστῶν (προλόγ. τοῖς ἐντευξομένοις).

(α) Περὶ Μελετίου τοῦ Συρίγου βλ. καὶ Fabric. Bibl. Graec. T. XI. p. 474. Harl. καὶ Renaudot. Gennadij etc. p. 151.

ριφρονοῦντες μὲν Συνόδους Οἰκουμενικάς, καὶ δογματικοὺς τῆς Πίστεως ὅρους, καὶ θεοφόρων Πατέρων ὁμοφώνους διδασκαλίας, ἐπιστηριζόμενοι δὲ, ὡς ἐπ' ἀκλονήτῳ στύλῳ, ταῖς καινοτόμοις εἰσηγήσεσι, μιᾶς τινος καθέδρας (ὡς οἱ Λατῖνοι τῆς Ῥωμαϊκῆς), ἐπιφέρει· «Ἀλλ' ἐν Ἡσαΐᾳ (λϛ) γέγραπται· Ὅτι «πεποίθατε ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην ταύτην, ὡς ἂν ἐπιστηριχθῇ ἀνὴρ ἐπ' αὐτῆς, εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ, καὶ τρήσει αὐτήν».

§. τη. Νικόλαος, ὁ τοὐπίκλην Κεραμεὺς, ἐξ Ἰωαννίνων (ἐτελεύτα τῷ 1672), ἰατρὸς, καὶ περὶ τὰ θεῖα πεπαιδευμένος, συνέγραψε τὸ καλὸν «Ἀ*ντέγκλημα* κατὰ τῶν ἐγκαλούντων ἀδίκως κατὰ τῆς μιᾶς καὶ μόνης ἁγίας καθολικῆς καὶ Ἀποστολικῆς θεονύμφου τοῦ Χριστοῦ Ἐκκλησίας» (προτροπῇ τοῦ Παρθενίου Πατριάρχου καὶ τῆς Συνόδου, τῷ 1656). Ἄρχεται δὲ οὕτω· «*Δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν. Ἀδικίαν δὲ ἐμίσησα καὶ ἐβδελυξάμην τὸν δὲ νόμον σου ἠγάπησα*» φησί που τῶν αὐτοῦ θεοπνεύστων λογίων ὁ θεοπάτωρ Δαβὶδ, μᾶλλον δὲ τὸ ἐν αὐτῷ φθεγξάμενον ἅγιον Πνεῦμα». Καὶ ἄλλας δὲ πολλὰς τῆς τῶν Ο Γραφῆς ῥήσεις ἐπιφέρει. Ἐξέδωκε δὲ τὸ σύγγραμμα τοῦτο ἐν Τόμῳ Χαρᾶς ὁ Πατριάρχης Δοσίθεος (τῷ 1705). Ὁ δ' αὐτὸς (ἐν Τόμῳ Χαρᾶς, σελ. 13· καὶ Δωδεκαβίβλῳ σελ. 1177) καὶ ἑτέρων ἀνεκδότων τοῦ μακαρίτου Νικολάου συγγραφῶν μνημονεύει, οἷον «*Κατὰ τῆς ἀρχῆς τοῦ Πάπα τῆς Ῥώμης*», καὶ «*Περὶ ἀρχῶν θεολογικῶν*», καὶ «*Κατὰ τῶν συκοφαντούντων μέρη τινὰ τῆς Γραφῆς μὴ εἶναι γνήσια*» (οἷον τὸν Βαροὺχ, καὶ τὰ λοιπὰ τῶν Ο, μετὰ καὶ *τῶν Ἀναγινωσκομένων*).

§. τθ. Δοσίθεος, ὁ ἀοίδιμος Πατριάρχης Ἱεροσολύμων (τῷ 1669· ἐπατριάρχευσεν ἔτη 38· ἐξεδήμησε πρὸς Κύριον τῷ 1707, ἐτῶν 66), τὴν πατρίδα Πελοποννήσιος (ἐκ τῆς Ἀραχόβης, κώμης τῆς Κορινθίας). Οὗτος ὁ πανευκλεὴς καὶ τρισμακάριστος Πατριάρχης, οὐ μόνης τῆς ἁγίας Πόλεως ἐγένετο ποιμὴν, ἀλλὰ καὶ παντὸς τοῦ τῶν Ὀρθοδόξων πληρώματος διδάσκαλος ἀνεφάνη σοφώτατος, καὶ καθηγητὴς, τῶν ἀρχαίων Πατέρων τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ὁμόζηλος,

πολλὰ μὲν ὑπὲρ τῆς Ὀρθοδοξίας ζηλώσας, πολλὰ δὲ καὶ λόγοις καὶ ἔργοις πονήσας, καὶ κάλλιστα κειμήλια τοῖς εὐσεβέσι καταλιπὼν τὰς βίβλους, ἃς ἐξέδωκεν. Εἰσὶ δὲ αὗται· α) *Τόμος Καταλλαγῆς* (ἐξεδόθη τῷ 1691), καὶ β) *Τόμος Ἀγάπης* (τῷ 1698), καὶ γ) *Τόμος Χαρᾶς* (τῷ 1705), καὶ δ) *Ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων*, ἡ μεγάλη *Δωδεκάβιβλος*, μετὰ θάνατον αὐτοῦ ἐκδοθεῖσα (τῷ 1715). Ἐν μὲν οὖν τοις Τόμοις συνέγραψε μὲν ἴδιά τινα καὶ αὐτὸς, τὸ δὲ πλεῖςον ἐξέδωκεν ἄλλων Ἐκκλησιαστικῶν συγγραφέων, πρὸ τοῦ Φλωρεντινοῦ Συνεδρίου, τινῶν δὲ καὶ ὕστερον ἀκμασάντων, ἀνέκδοτα συγγράμματα, δι᾽ ὧν τὰ δόγματα τῆς μιᾶς, τῆς ἁγίας καὶ Ἀποστολικῆς Ἐκκλησίας διατρανοῦνται, τὰ δὲ τῆς δυτικωτέρας καινοτομίας μοχθηρὰ σπουδάσματα, καὶ αἱ κατὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας κραυγάστριαι συκοφαντίαι, ὡς ἄνυδροι νεφέλαι ὑπὸ μάστιγι βολῶν ἡλιακῶν, διασκεδάζονται. Ἡ δὲ Δωδεκάβιβλος οὐ μόνον τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων καὶ συμβάντων, ἀλλὰ καί τινων κατὰ πᾶσαν τὴν καθολικὴν Ἐκκλησίαν ἀξιομνημονεύτων συμβεβηκότων ἔκθεσίς ἐστιν ἱστορικὴ, πολλὰ περιέχουσα συντελοῦντα εἰς τὴν νεωτέραν ἐκκλησιαστικὴν ἱστορίαν· (εἰ δέ που τις ἀπαντᾷ καὶ παλιλλογία, ἀλλ᾽ ἐν ἀχανεῖ συγγραφῇ παραβλέπεται· ἔστι δ᾽ ὅπου καὶ συμβάλλει πρὸς βοήθειαν τῆς μνήμης τοῦ ἀναγνώστου). Μεταξὺ δὲ τῶν ἱστορημάτων, καὶ διδάγματα πάλιν καὶ ἀποδείξεις τῆς εὐσεβείας παρασυνάπτονται. Κεῖνται δὲ πυκνὰ καὶ ἀλλεπάλληλα τὰ νοήματα, ὡς ἄν τινες ἀδάμαντες, ἢ μαργαρῖται, σωρηδὸν ἐπικεχυμένοι· ἀλλ᾽ εἴ γε πίναξ τῶν ἐμπεριεχομένων τῇ βίβλῳ προσῆν (οἷος πάντως μετά τινων σημειωμάτων προστεθήσεται ἐν τῇ σὺν θεῷ ἐλπιζομένῃ μετατυπώσει τῆς ἤδη ἐκλειπούσης Δωδεκαβίβλου), ῥᾷον ἂν καὶ ἀπονώτερον ὁ ἀναγνώστης περιηγεῖτο τοῦτο τὸ καρποφόρου μελέτης πολυσχιδὲς ἐνδιαίτημα. Καὶ ἄλλα δὲ πονήματα ἀξιόλογα ὁ ἀοίδιμος Δοσίθεος αὐτός τε συνέταξε, καὶ ὑπ᾽ ἄλλων συγγραφέντα τύποις ἰδίως ἐξέδωκεν· οἷον τὰ προμνημονευθέντα (§. σπα. §. σπγ. §. σπς. §. τβ. §. τη.), καὶ εἴ τι ἕτερον. Ἀλλὰ τὴν

μὲν ὑπὲρ τῆς Ἐκκλησίας τοῦ Πατριάρχου Δοσιθέου πάγκαρπον φιλοπονίαν, καὶ *τὸν ἔπαινον αὐτοῦ ἀναγγελεῖ ἡ Ἐκκλησία.* Περὶ δὲ τῆς ἑρμηνείας τῶν Ο, γράφει ταῦτα. α) «Ὅτι τινὲς τῶν νέων αἱρετικῶν σπουδάζουσι δεῖξαι τὴν ἑρμηνείαν τῶν Ο μὴ εἶναι τὴν αὐτὴν τῇ ἀρχαιοτάτῃ ἀναγραφῇ. Ἡμεῖς ὅμως μᾶλλον πειθόμεθα καὶ πιστεύομεν Ἰουστίνῳ, Εὐσεβίῳ, Χρυσοστόμῳ, Ἀθανασίῳ, καὶ τοῖς λοιποῖς ἀρχαίοις Πατράσιν ἡμῶν (ἐξ ὧν οἱ πολλοὶ οὐ μόνον ἦσαν σοφώτατοι, ἀλλὰ καὶ ἁγιώτατοι, Ἀνατολικοὶ καὶ Δυτικοὶ) τόσον διὰ τὸν θρυλλούμενον τρόπον, καθ᾽ ὃν ἐξηγήσαντο οἱ Ο τὴν ἁγίαν Γραφὴν, ὅσον καὶ διὰ τὴν ἀλήθειαν αὐτῆς. Ταύτην οἱ Ἀπόστολοι παρέδωκαν τῇ Ἐκκλησίᾳ - β) Ὅτι ἡ νῦν εὑρισκομένη αὕτη ἑρμηνεία τῶν Ο, αὐτή ἐστιν ἐκείνη ἡ ἀρχαία καὶ ἀνόθευτος, καὶ κατὰ πάντα ἀπαραχάρακτος. γ) Ὅτι οἱ Ο ἔν τισι τῆς ἁγίας Γραφῆς μέρεσιν οὐκ ἀπεῖδον ἠκριβολογημένως εἰς τὰς λέξεις, ἀλλ᾽ εἰς τὸν νοῦν τῆς Γραφῆς· ὅθεν καὶ κατὰ τὸν νοῦν μάλιστα ἡρμήνευσαν καὶ τὰ ῥήματα καὶ τὰ ὀνόματα. δ) Ὅτι πολλοὶ τῶν Πατέρων ἐξηγούμενοι τὴν Γραφὴν, ἔν τισι λέξεσιν ἐχρήσαντο καὶ ταῖς ἑρμηνείαις Ἀκύλα, Θεοδοτίωνος, καὶ Συμμάχου· καὶ τοῦτο, οὐχ ὅτι παρεῖχον προτίμησιν τῇ ἑρμηνείᾳ τῶν εἰρημένων μᾶλλον τῆς τῶν Ο, ἀλλὰ διὰ σαφήνειαν τῶν ἑρμηνευομένων γραφικῶν ῥητῶν· ε) Ὅτι μετὰ τὴν ἐπιδημίαν τοῦ Σωτῆρος ἔν τισι τόποις τὴν παλαιὰν οἱ Ἰουδαῖοι ἐνόθευσαν, φερόμενοι κατὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου. Ὅθεν πολλὰ παρήλλαξαν τῆς Γραφῆς μέρη, καὶ προσέτι τινὰ μέρη τῆς Γραφῆς ἀρνοῦνται, ὡς τὰ τοῦ Ἰὼβ καὶ ἑτέρων, περὶ ὧν οὐ τοῦ παρόντος λέγειν. ς) Ἐπειδή τινες τῶν ἐθνικῶν, ὡς ὁ Πορφύριος καὶ ἄλλοι, καί τινες τῶν ἀρχαίων καὶ νέων Αἱρετικῶν τινα μέρη τῆς Παλαιᾶς καὶ Νέας Γραφῆς ἀρνοῦνται, τινὰ δὲ παραλλάττουσι καὶ παρερμηνεύουσιν,— ἡμεῖς τὴν ἁγίαν Γραφὴν οὕτως ἐννοοῦμεν, ὡς ἐνόησαν καὶ ἡρμήνευσαν αὐτὴν οἱ ἅγιοι Πατέρες· [καὶ] ὡς ἡ ἐν Τρούλλῳ Σύνοδος ὁρίζει (Καν. ιθ), καὶ πᾶσαι αἱ λοιπαὶ Οἰκουμενικαὶ Σύνοδοι ἔκριναν καὶ ἐβεβαίωσαν.

ζ) Οἱ ἅγιοι Πατέρες ἐξηγοῦντες τὴν Γραφὴν, εἰ (γρ. εἰ καὶ) ἔν τισι μέρεσι νομίζονται ἀσύμφωνοι παρὰ τῶν νέων αἱρετικῶν, διότι τάχα οὐ λέγουσι τὰ αὐτὰ, καὶ (ἴσ. γρ. ἀλλ') ὅμως ῥητέον, ὅτι οὐ λέγουσιν ἀντικείμενα καὶ ἀσύμφωνα τῇ καθολικῇ Ἐκκλησίᾳ· καὶ πάντα συντρέχουσιν εἰς τὴν κοινὴν δόξαν αὐτῆς. η) Τὸ τοὺς νέους αἱρετικοὺς φρονεῖν τε καὶ λέγειν, ὅτι οὐ καλῶς ἡρμήνευσαν τὴν Ἱερὰν Γραφὴν οἱ ἅγιοι Πατέρες, ἀλλὰ καθὼς τὸ πνεῦμα δίδωσιν ἑκάστῳ, οὕτως ὀφείλει ταύτην ἐννοεῖν, τοῦτο ὡς ἀλλότριον τοῦ ἐκκλησιαστικοῦ φρονήματος, καὶ ὡς μυρίων αἱρέσεων αἴτιον, καὶ μάλιστα ὡς ἐφεύρεμα ὂν τοῦ ἀντικειμένου καὶ πονηροῦ πνεύματος, πᾶσι τρόποις ἀναθεματίζομεν». Ταῦτα κατ' ἐπιτομὴν ὁ ἱερὸς Δοσίθεος περὶ τῆς ἑρμηνείας ἐφθέγξατο, λέξει μὲν (ὡς εἴωθε πολλάκις) αὐτοσχεδίῳ καὶ ταπεινοτέρᾳ καὶ ἀκαλλεῖ, διανοίᾳ δὲ θεόφρονι καὶ φιλαληθεστάτῃ (Δωδεκαβίβλ. Βιβλ. Β. κεφ. κα. §. δ, σελ. 214 κτξ.). Τοῦ μακαρίου Δοσιθέου συγγενὴς τῷ τε γένει καὶ τῷ τρόπῳ, καὶ συμπατριώτης (Κορίνθιος), καὶ διάδοχος ἐγένετο Χρύσανθος ὁ Νοταρᾶς, ὁ ἀείμνηστος, πατριαρχεύσας τῶν Ἱεροσολύμων (τῷ 1707), καὶ συνεχίσας καὶ αὐτὸς τὴν χρυσείαν σειρὰν τῶν ἀρετῇ πρακτικῇ, τῶν δὲ καὶ σοφίᾳ πολυμαθεῖ τὸν Ἀδελφοθέου θρόνον κεκοσμηκότων. Τούτου φέρονται Ὁμιλίαι ὀλίγαι ἐκ πολλῶν εὑρεθεῖσαι (ἐκδ. Ἐνετ. 1734), καὶ τὰ λοιπὰ παραλείπομεν ὡς γνωστότερα, ἐν οἷς καὶ τὸ Συνταγμάτιον. Οὗτος ἐξέδωκε καὶ τὴν Δωδεκάβιβλον τοῦ σοφοῦ Δοσιθέου. (α).

(α) Κατὰ τὰς ἀρχὰς τοῦ ιη, αἰῶνος (τῷ 1711) ἤκμαζε καὶ ὁ ἀείμνηστος Ἠλίας ὁ Μηνιάτης, τὴν πατρίδα Κεφαλλὴν, κῆρυξ ἱερὸς τοῦ θείου λόγου, καὶ τῆς ἐν Πελοποννήσῳ Κερνίκης καὶ Καλαβρύτων Ἐπίσκοπος. Τούτου τοῦ εὐφυεστάτου καὶ θεοφιλοῦς ἱεροδιδασκάλου αἱ Διδαχαὶ, καὶ ἐξ αὐτῆς, ἐν ᾗ συνεγράφησαν, χυδαίας διαλέκτου, ῥητορείας ἡδίστην ἀποστάζουσαι χάριν, καὶ ῥήσεσι δὲ τῆς θείας τῶν Ο Γραφῆς κατηγλαϊσμέναι, φέρονται καὶ νῦν κοινὸν παρὰ τοῖς πλείστοις καὶ ψυχωφελὲς ἀνάγνωσμα. Καὶ ἄλλων προγενεστέρων τοῦ Μηνιάτου, καὶ μεταγενεστέρων, ἱεροκηρύκων ἔχομεν λόγους ἐκκλησιαστικοὺς, κοινολεκτικῶς ἐκδεδομένους (Ἐνετίῃσι τὸ πλεῖστον), ὧν τοὺς ἐπιστημοτέρους οὐ πάντῃ περιττὸν (οἶμαί γε) διαμνημονεῦσαι. Μιχαὴλ Χορτακίου τοῦ Κρητὸς Λόγος περὶ ἱερω-

§. τι. Ἀλέξανδρος Μαυροκορδάτος (ἐγεννήθη τῷ 1627, ἐτελεύτα δὲ τῷ 1719), μέγας Λογοθέτης τῆς Ἐκκλησίας, καὶ ἐξ ἀποῤῥήτων μὲν αὐτὸς, καὶ μέγας τῆς ὑψηλῆς Πύλης Διερμηνεὺς γεγονὼς, ἡγεμόνων δ' ἀπογόνων πατὴρ (καὶ πρώτιστα Νικολάου, τοῦ υἱοῦ καὶ κληρονόμου τῆς πατρῴας σοφίας καὶ ἀρετῆς, τοῦ καὶ συγγραφέως τῆς τε *περὶ Καθηκόντων* βίβλου, καὶ τῶν καλλίστων τοῦ *Φιλοθέου Παρέργων*, περὶ ὧν προείπομεν ἐν τοῖς προλαβοῦσι). Τούτου τοῦ μεγαλοπράγμονος καὶ θεοφιλοῦς ἀνδρὸς τὴν ἀρίζηλον εὐσέβειαν, καὶ τὴν παντοδαπῆ σοφίαν, καὶ ἔγκαρπον πολυγλωττίαν (ἠπίστατο γὰρ πρὸς τῇ πατρῴα Ἑλληνικῇ καὶ τὴν Σλαβονικὴν, Λατινικὴν, Ἰταλικὴν, Γαλλικὴν, Ἀραβικὴν, Περσικὴν, Τουρκικὴν), ἔτι δὲ καὶ τὴν περὶ τὰς θείας Γραφὰς βαθεῖαν μελέτην διηγεῖται μὲν ἡ ἱστορία, κηρύττουσι δὲ καὶ τὰ σῳζόμενα συγγράμματα, καὶ χειρόγραφα καὶ ἐκδεδομένα. Τούτων εἰσὶ καὶ τὰ Ἰουδαϊκὰ, ἐν οἷς τὴν ἱστορίαν τῆς ἰουδαϊκοῦ λαοῦ ἐκ τῶν θείων Γραφῶν κατ' ἐπιτομὴν πραγματεύεται. Περὶ δὲ τῆς ἑρμηνείας τῶν Ο, γράφει τὰ ἑξῆς (α). Προτάξας εὐρύθμως τὰ περὶ τῆς Ἀριστέου ἱστορίας, ἣν ἀληθεστάτην καὶ βεβαίαν ἐπιγινώσκει καὶ

σύνης (τῷ 1642), Φραγκίσκου Σκούφου Λόγος εἰς τὸ Γενέσιον τοῦ Προδρόμου (1670), Νικολάου Μαυροειδῆ τὸ Ἀποσολικὸν δίκτυον (Λόγοι εἰς τὴν μεγάλην Μ. ἐν Ἰασίῳ. 1756), Ἱερεμίου τοῦ Καββαδίου (διδασκάλου τοῦ Εὐγενίου καὶ Θεοτόκη) ἱερομονάχου, Λόγος πανηγυρικὸς εἰς τὴν Θεοτόκον (βλ. Ἄνθη νεοθαλῆ τοῦ κατὰ τὴν Κέρκυραν κοινοῦ φροντιστηρίου Λειψίᾳ 1766), Μακαρίου Ἱερὰ Σάλπιγξ (Ἀμστελοδ. 1765), Διονυσίου μητροπολίτου Ἀνδριανουπόλεως Ὁμιλίαι διάφοροι (1777), Ἀθανασίου Βεροὺκα ἱερομονάχου Λόγοι εἰς τὸ σωτήριον πάθος (1779). Σεραφεὶμ Πισίδου τοῦ πρῴην Ἀγκύρας Πνευματικὴ κιθάρα (1783). Ἰω. Λινδίου (τοῦ Μυρέων) Ἀποστολικὴ Σαγήνη (1780). Μακαρίου Χριστιανοπούλου Βιβλίον Χριστοπανηγυρικὸν (1783), Κορνηλίου Λόγοι πανηγυρικοὶ κτλ. (2 Τόμ. τῷ 1788), Νικοδήμου Ἁγιορείτου Χρησοήθεια τῶν Χριστιανῶν (λόγοι, τῷ 1803), Ἀθανασίου τοῦ Παρίου Λόγος εἰς τὸν Παλαμᾶν, Ἀγαπίου Κυριακοδρόμιον (1803) κτλ. Περὶ δὲ τῶν τοῦ Μαργουνίου καὶ τοῦ Μαξίμου Ὁμιλιῶν προείπομεν (§. τ, καὶ §. τβ).

(α) Ἱστορία Ἱερὰ, ἤτοι τὰ Ἰουδαϊκὰ κατ' ἐπιτομὴν συγγραφέντα κτλ. Βιβλ. Ε, Τμήμ. β. σελ. τιβ - τιγ, ἐκδ. Βουκουρεσ. αψις.

ἀποδέχεται, ἐπιφέρει· «Ἐκεῖνο δ᾽ ἐνταῦθα ἔπεισί μοι θαυμάζειν· ὅτι τὴν τῶν Ο μετάφρασιν, τῶν Ἀποστόλων καὶ τῶν Εὐαγγελιστῶν καὶ τῶν ἱερῶν διδασκάλων τῆς καθ᾽ ἡμᾶς ἁγίας Ἐκκλησίας ἀναδεξαμένων, καὶ, τὸ δὴ κορυφαιότατον κεφάλαιον, αὐτοῦ τοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν ὡς ἀσφαλῆ καὶ ἀναμφίλεκτον ἐπιβεβαιώσαντος ταῖς χρήσεσιν» (ἃς ἔγραψαν οἱ Εὐαγγελισταὶ), «εἰσί τινες, οὓς ἡ πρὸς τὰς καινοτομίας ὁρμὴ εἰς τοσοῦτον ἀνοίας ἐξετραχήλισεν, ὥστε, *διανοίας δεινὸν ἀῤῥώστημα νενοσηκότας, τοὺς μὲν παραχαράττειν αὐτὴν, τοὺς δὲ καὶ ἀθετεῖν, καὶ ὡς ὑπ᾽ Αἰγυπτίων Ἑβραίων ἐκπονηθεῖσαν, καὶ τοῦ κανονικοῦ ἀπολειπομένην ἀξιώματος, ἐξουθενεῖν ἀναιδῶς ἐπιχειρῆσαι. Ἡμεῖς δὲ καὶ ταύτης ἕνεκα, Θεῷ μὲν τῷ πρωταιτίῳ χαριστηρίους ἀναπέμπομεν αἴνους*· εἶτα δὲ καὶ Πτολεμαίῳ χάριτας ὀφείλομεν, ὅτι *χρῆμα σωτήριον* ἡμῖν ἅπασι κατέλιπε. Καὶ τοὺς μὲν ἐν πολλοῖς τοῦ ἐκλειποῦς ἐγκαλοῦντας αὐτῇ, ὡς μακρᾶς δεομένους ἀνασκευῆς παρεάσαντες, φέρε ἴδωμεν, ὁποίοις ἐνθυμήμασι τὴν οἰκείαν ἐμπεδοῦσιν ἐπίνοιαν, οἱ περὶ τῶν μεταφραστῶν νεωτερίζοντες· καὶ τούτοις βραχεῖαν ἀντιτάξωμεν ἀπολογίαν». – Καὶ θεωρήσας πάντα τὰ κατ᾽ Ἀριστέου προβαλλόμενα παρὰ τῶν κατηγόρων, ἄρδην ἀνατρέπει· λέγω δὲ τὴν περὶ Δημητρίου τοῦ Φαληρέως ὡς ἐκ τοῦ Ἑρμίππου δῆθεν μαρτυρίαν (ἧς πολλῷ πιστοτέρους ἀναδείκνυσι τὸν Ἰώσηπον καὶ τὸν Ἀριστόβουλον), καὶ τὰ περὶ τῶν δώδεκα φυλῶν (ἃς ἐκ τοῦ *δωδεκαφύλου* τῶν Πράξεων (κϛ) ἀποδείκνυσιν, ἐπάγων καὶ τὸν ὑπὸ Ἰεζεκιὴλ (κεφ. μη) προφητευθέντα ἀναδασμὸν τῆς γῆς εἰς τοὺς ἐκ τῶν ιβ φυλῶν ἐπιστρέψοντας ἀπὸ τῆς αἰχμαλωσίας), καὶ τὸ μεμεμυθευμένον ἐπὶ τῇ μεταφράσει πένθος τῶν Ἰουδαίων· (περὶ τούτων ἁπάντων εἰς πλάτος ἡμῖν πεπραγμάτευται, Βιβλ. Α. κεφ. ε, καὶ κα, καὶ Β. κεφ. ε). Καὶ περὶ τῆς ἑβραΐδος δὲ γλώσσης διαλαμβάνων, « Παρ᾽ Ἑβραίοις, φησὶ, καὶ Χαλδαίοις καὶ Ἄραψι, τῶν στοιχείων μόναις ταῖς ὑπὲρ αὐτὰ, καὶ ὑπ᾽ αὐτὰ, ἢ ἄλλως πως κειμέναις στιγμαῖς πρὸς ἄλληλα διαφερόντων, ἡ τῶν στιγμῶν ἐναλλαγὴ καὶ τα-

ραχὴ πολλάκις τὰς φωνὰς μετέβαλε, καὶ τοὺς ἐντυγχάνοντας καὶ μεταφράζοντας ἀθλίως ἐξηπάτησε» κτλ. (σελ. ις). Ὅτι δὲ καὶ τὰ Ἀναγινωσκόμενα μετὰ τῶν κανονικῶν τευχῶν τῆς Γραφῆς, κατὰ τὸν Ἐκκλησιαστικὸν κανόνα, συγκαταλέγει, προείπομεν (σελ. 223).

§. τια. Μελέτιος ὁ ἐξ Ἰωαννίνων, πρότερον μὲν Ναυπάκτου καὶ Ἄρτης (τῷ 1692), εἶτα δὲ Ἀθηνῶν μητροπολίτης (τῷ 1703· ἐτελεύτα τῷ 1714), ἀρετῆς ἐργάτης φιλοπονώτατος, καὶ παιδείας κάτοχος, συνέγραψεν ἄλλα τε καὶ τὴν γνωστὴν Ἐκκλησιαστικὴν *ἱστορίαν*, ἐκ τῶν καθ' ἡμᾶς ἀρχαιοτέρων καὶ τῶν νεωτέρων Εὐρωπαίων ἱστοριογράφων ἀναλεξάμενος, ὡς αὐτῷ συνεχώρησαν αἱ περιστάσεις (α). Γράφει καὶ οὗτος ἐπιτόμως τὴν ἱστορίαν τῆς ἑρμηνείας τῶν Ο, ὡς Ἀριστέας καὶ Ἰώσηπος καὶ Φίλων παρέδωκαν. Ὁμολογεῖ, καὶ «*ὅτι φωτισθέντες παρὰ τοῦ ἁγίου Πνεύματος ἐξήγησαν τὴν θείαν Γραφήν*». Καὶ τὸν κατάλογον δὲ τῶν ἱερῶν τευχῶν τῆς Π. Διαθήκης κατὰ τὴν Σύνοψιν τοῦ ἱεροῦ Ἀθανασίου καταγράφει (Ἐκκλησιας. Ἱσορίας τόμ. α. σελ. 13).

§. τιβ. Ἀναστάσιος ὁ Γόρδιος, ἱερομόναχος σοφὸς, ἐξ Ἀκαρνανίας (τῷ 1700). Συνέγραψεν ἑρμηνείαν εἴς τινα κεφάλαια τῆς ἱερᾶς Ἀποκαλύψεως, ἢ *Ἐγχειρίδιον*, ἄλλα τε διεξετάζον, «καὶ περὶ τοῦ *τίς ὁ Ἀντίχριστος*» (ἀνέκδοτον)· συνάπτει δ' οὐκ ὀλίγα καὶ τῆς Π. Διαθήκης ῥητά· (τούτου σῴζονται παρ' ἡμῖν καὶ 35 ἐπιστολαὶ χειρόγραφοι, λίαν εὐφραδεῖς, καὶ πλήρεις ἑλληνισμοῦ).

§. τιγ. Εὐστράτιος Ἀργέντης (τῷ 1719), χῖος, ἰατρὸς, διὰ πάσης παιδείας διελθὼν, καὶ τῆς ἑβραΐδος ἔμπειρος, ἀκριβῶς δὲ καὶ περὶ τὴν μελέτην τῶν θείων Γραφῶν καὶ τῶν ἁγίων Πατέρων

(α) Ταύτην παρέφρασε μὲν εἰς κοινοτέραν φράσιν ὁ μακαρίτης Γεώργιος ὁ Βενδότης, προσθεὶς καί τινας ὑποσημειώσεις, ἐξέδωκε δὲ Πολυζώης ὁ Λαμπανιτζιώτης ἐν Βιέννῃ τῷ 1783, ἐν τόμοις τρισὶν, ὧν ὁ τελευταῖος καταλήγει εἰς τὸ 1700, ἔτος. Καὶ Δ, δὲ προσέθηκεν ὕστερον ὁ Βενδότης, περιέχοντα τὰ ἐκκλησιαστικὰ συμβεβηκότα ἀπὸ τοῦ 1700, μέχρι τοῦ 1795.

ἐξησκημένος, καὶ τῆς πατρῴας εὐσεβείας κατ᾽ ἐπίγνωσιν ζηλωτής. Οὗτός ἐστιν ὁ τῆς περὶ τὴν θείαν Μυσταγωγίαν μάλιστα λατινικῆς καινοτομίας Τενέδιος πέλεκυς, συντάξας τὸ «*κατὰ Ἀζύμων Σύνταγμα*», ἐν ᾧ διαλύει τὰς ἐνστάσεις τῶν Δυτικῶν δι᾽ ἀποδείξεων ἰσχυρῶν, καὶ πρώτιστα διὰ τῆς μαχαίρας τοῦ Πνεύματος, τῶν θείων Γραφῶν, οὐ μόνον τῆς Καινῆς, ἀλλὰ καὶ τῆς Παλαιᾶς, ἐκφέρων τὰς ῥήσεις κατὰ τοὺς Ο (βλ. σελ. 13, 15, 19, 20, 23, 47, 73, 119 κτλ. ἐκδ· Λειψ. αψξ). (α).

§. τιδ. Ἀνώνυμον θεολογικὸν χειρόγραφον (ἴσως περὶ τὰς ἀρχὰς τοῦ ιη, αἰῶνος γεγραμμένον), τηρούμενον ἐν τῇ βιβλιοθήκῃ τῆς ἑλληνικῆς ἐν Τεργέστῃ Σχολῆς, διδάσκει τὰ ἑξῆς. «Ἡ τῶν Ο (Γραφὴ) προκριτοτέρα τοῦ ἑβραϊκοῦ πρωτοτύπου καὶ τῆς Βουλγάτας. α) Ὅτι ἅπασαι αἱ μαρτυρίαι αἱ ἐν τῇ Καινῇ Διαθήκῃ τοῦ Ἰησοῦ Χριστοῦ ἀπὸ τῶν Ο ἐλήφθησαν, καὶ οὐκ ἀπὸ τοῦ ἑβραϊκοῦ· ἄρα προκριτοτέρα τῆς ἑβραϊκῆς καὶ τῶν ἄλλων, ὡς καὶ ἡ Νέα Διαθήκη, ἑλληνιστὶ γεγραμμένη, τῶν ἄλλων προκέκριται. β) Ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ Ἀποστόλων ἡ τῶν Ο μετάφρασις ἢ ἰσοδύναμος ἦν τῷ ἑβραϊκῷ, ἢ οὐ. Ἀλλ᾽ εἴ περ οὐ, τίνος χάριν οἱ ἑλληνισταὶ Ἰουδαῖοι ἐν ταῖς Συναγωγαῖς αὐτὴν ἀνεγίνωσκον; ἵνα τί καὶ τὴν ἡμέραν, ἐν ᾗ μετεφράσθη, ἑώρταζον; τοῦ χάριν ὁ Ἰησοῦς Χριστὸς καὶ οἱ ἅγιοι Ἀπόστολοι αὐτὴν ἀναφέρουσιν; Ὅθεν, εἰ μὲν τότε ἦν ἰσοδύναμος ἡ ἑβραϊκὴ τῇ τῶν Ο, τὰ δὲ νῦν οὐκέτι ἐστὶ, χρεὼν εἰπεῖν, ἢ ὅτι ἡ τῶν Ο. ἢ ὅτι ἡ τῶν Ἰουδαίων διέφθαρται. Ἀλλὰ μὴν πάσας τὰς μαρτυρίας τὰς ἐν τῇ Καινῇ Διαθήκῃ ἀναφερομέ-

(α) Ἄλλος Ἀργέντης καὶ Κορέσσιος διαπρέπει καὶ καθ᾽ ἡμᾶς ὁ σοφὸς ἰατρὸς Στέφανος, ὁ Καραθεοδωρῆς· ὅστις οὐκ ἔλασσον ἐκείνων ὑπὲρ τῆς πατρῴας Ὀρθοδοξίας κατ᾽ ἐπίγνωσιν ζηλῶν, πολλῇ δὲ καὶ ἀμφιλαφεῖ τῇ περὶ τὰς θείας Γραφὰς μελέτῃ συγκεκροτημένος, συνέταξεν ὑπὲρ τῆς ἑρμηνείας τῶν Ο τὸ τὴν ἔκδοσιν ἀπεκδεχόμενον ὁσημέραι Γεῦμα κριτικόν τε καὶ ἱσορικὸν τοῦ θείου Γράμματος. Ἐξέδωκε δὲ καὶ τὴν Κριτικὴν ἐπιστασίαν εἰς ἱερόν τι λόγιον, περὶ ὧν προείπομεν ἐν τοῖς ἔμπροσθεν Βιβλ. Α, σελ. 333.

νὰς ὁμοίως ἀδιαφθόρους ἐν τῇ τῶν Ο μεταφράσει εὑρίσκομεν, ἐν δὲ τῇ νῦν ἑβραϊκῇ διεφθαρμένας, ἄρα» κτλ.

§. τιε. Εὐγένιος ὁ Βούλγαρις, ὁ ἀοίδιμος, τὴν πατρίδα Κερκυραῖος (ἐγεννήθη τῷ 1716, ἐτελεύτα τῷ 1806), ἀρχιεπίσκοπος τῆς ἐν Ῥωσσίᾳ *Σλαβηνίου καὶ Χερσῶνος* ἀρχιεπισκοπῆς. Οὗτος ὁ νεολαμπὴς καὶ ἄδυτος τῆς Ἐκκλησίας καὶ τῆς Ἑλλάδος φωστὴρ ἔλαμψε καὶ ζῶν διὰ τῆς αὐτοῦ σοφίας καὶ ἀρετῆς, εὐσεβείᾳ γνησίᾳ, καὶ παιδείᾳ παντοδαπῇ, καὶ λόγων δυνάμει, καὶ περινοίᾳ, καὶ κρίσει, καὶ φαντασίᾳ περίφαντος· λάμπει δὲ καὶ μετὰ θάνατον διὰ τῶν σοφῶν αὐτοῦ συγγραμμάτων, ἀρίζηλος καὶ περικλεέστατος. Οὐδ' ἔστι τῶν λογίων οὐδεὶς, ὃς μὴ δι' εὐφήμου γλώσσης ἄγει τὸν ἄνδρα· πλὴν εἰ μή που τύχοι τις φθόνου κώφωσιν παθὼν, εἴ γε «*Κωφὸς ἀνὴρ, ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλλοι*». Στεφανοῦσι δὲ τούτου τὴν μνήμην καὶ αἱ πόλεις, ἐν αἷς, ἱεροδιάκονος ἔτι διατρίβων ἐν Ἑλλάδι, προέστη Σχολῶν, ἄλλων ἀλλαχοῦ, καὶ τῆς ἐπ' αὐτοῦ συστάσης Ἀθωνιάδος Ἀκαδημίας, ἐξ ὧν προῆλθον πολλοὶ τῶν αὐτοῦ μαθητῶν, ἄνδρες ἐπίσημοι, φιλολογίᾳ παντοίᾳ, καὶ ἐπιστήμαις, καὶ φιλοσοφίᾳ θείᾳ τε καὶ ἀνθρωπίνῃ, κεκοσμημένοι, καὶ τὸ πιστευθὲν τάλαντον τῆς παιδείας πολλαπλασιάσαντες παρὰ τοῖς ὁμογενέσιν. Ἀλλὰ ταῦτα μὲν ἔργον ἱστορικῶν. Τῶν δὲ συγγραμμάτων τοῦ μεγαλωφελοῦς Εὐγενίου ποικίλων ὄντων, φιλοσοφικῶν, μαθηματικῶν, φιλολογικῶν, θεολογικῶν (ἐν οἷς καὶ Λόγοι ἐπ' Ἐκκλησίας ῥητορικώτατοι), τὰ μὲν πλεῖστα ἐξεδόθησαν ἤδη, τὰ δέ τινα καὶ ἐκδοθήσονται, οἷον Λόγοι τε, καὶ ἐπιστολαὶ, κατὰ μικρὸν ἀναφαινόμενα. Τῶν ἐκδοθέντων ἐστὶ καὶ ἡ δίτομος Φιλόθεος Ἀδολεσχία, ἐν ᾗ πολλὰ χωρία τῆς τῶν Ο Πεντατεύχου μετὰ τῆς εὐσεβεῖ φρονήματι πρεπούσης ἀκριβείας ἅμα τε, καὶ πολυχεύμονος εὐγλωττίας, ὡς θείους χρησμοὺς, ἐξηγεῖ καὶ διασαφοῖ. Ἐν δὲ τοῖς ἔτι διὰ τύπου ἀνεκδότοις ἀριθμεῖται καὶ τὸ *θεολογικὸν* αὐτοῦ *Σύνταγμα* (φέρονται δὲ τούτου παρὰ τοῖς ἡμετέροις ἀντίγραφα πολλαχοῦ), ἐν ᾧ καὶ περὶ τῆς πρώτης καὶ πρεσβυτάτης ἑλληνίδος τῶν ἑβραϊκῶν Γραφῶν ἑρμηνείας διαλα-

δων, ὅπως ταύτην οἱ Ο, «Πτολεμαίῳ τῷ Φιλαδέλφῳ, βασιλεῖ Αἰγυπτίων, αἰτήσαντι, καὶ Ἐλεαζάρου τοῦ ἀρχιερέως ἐπινενευκότος, καὶ πεπομφότος [αὐτοὺς], οὐχ ὅπως τὴν Πεντάτευχον (ὡς ἀπισχύριστο Σκαλίγηρος, καί τινες τῶν νεωτεριστῶν), ἀλλὰ δὴ καὶ πᾶσαν τὴν Παλαιὰν Διαθήκην (καθὰ μαρτυρεῖ Ἰουστῖνος, Εἰρηναῖος, Κλήμης Ἀλεξανδρεύς, καὶ ἄλλοι) ἀπὸ τῆς ἑβραΐδος ἐπὶ τὴν ἑλληνίδα φωνὴν μετωχέτευσαν»· προσθεὶς δὲ καὶ περὶ τῶν λοιπῶν μ. Χ. ἑρμηνειῶν, «ὅτι *οὐδέποτε ἐδοκιμάσθησαν*», ἐπιφέρει· «Ἀλλὰ τούτων οὕτως ἐχουσῶν, παρὰ τὸ εἰκός, οἶμαι, διαμφισβητεῖται παρὰ Λατίνοις περὶ τῆς ἐκδόσεως τῶν Ο, ἣν ἤδη περιφέρεσθαι ἐλλειπῆ, εἷς ἐκ πολλῶν διϊσχυρίζεται, ὁ Ἰησουΐτης Βελλαρμῖνος.—Ἀλλὰ τὴν τῶν Ο ἔκδοσιν γνησιωτάτην, καὶ τῇ Ἐκκλησίᾳ ἄνωθεν δεδοκιμασμένην καὶ κεκυρωμένην, καὶ Βελλαρμῖνος αὐτός, ἑκών, *ἀέκοντί γε θυμῷ*, καθομολογήσειεν· ὅτι ταύτῃ καὶ οὐκ ἄλλῃ ἐχρήσαντο οἱ θεῖοι Ἀπόστολοι, καὶ ἅπασα ἡ Ἐκκλησία, καὶ αὐτὴ δὲ ἡ Λατινίς, πρὶν ἢ τὴν Ἱερωνύμου ἑρμηνείαν ἐκτεθῆναι. Ἐκείνη γὰρ (ἴσ. γρ. καὶ) παρὰ τοῖς Ἑλληνισταῖς Ἰουδαίοις μεγίστου ἐπεποίητο λόγου, πρό τε, καὶ μετὰ Χριστόν. Καὶ Φίλων ὁ Ἰουδαῖος τοὺς Ο, οὐ μόνον ὡς διερμηνευτὰς τῶν Γραφῶν, ἀλλὰ καὶ ὡς προφήτας, θείῳ πνεύματι ἐμπνευσθέντας, ἐκθειάζει. Ταύτην ἐξυμνοῦσι καὶ ὁ χορὸς τῶν θείων Πατέρων, δυτικὸς οὐχ ἧττον καὶ ἀνατολικός. Καὶ γὰρ Αὐγουστῖνος μυριαχοῦ «ἐμπνεύσει τοῦ θείου Πνεύματος ἐκδιδάσκει διερμηνευκέναι ἐκείνους τὰς θείας δέλτους· ὃ δή, καθαπερεὶ ἱστορεῖται, πολλοί τε καὶ ἀξιόπιστοι μαρτυροῦσιν»· (οἷον ὁ θεῖος Ἰουστῖνος, καὶ Τερτυλλιανός κτλ.)· εἴ περ ἕκαστος ἰδίᾳ ἐν οἰκίσκοις κεχωρισμένοις διηρμήνευσαν, καὶ οὐδὲν ἐπί τινος αὐτῶν κώδηκος ἐφωράθη, ὃ μὴ ταὐτὸ ταῖς λέξεσι καὶ ἀπαραλλάκτως ἐν τοῖς λοιποῖς εὕρηται. Τίς ἡ τοιαύτη μαρτυρία;» (ἴσ. γρ. τίς ἀντερεῖ τῇ τοιαύτῃ μαρτυρίᾳ;), «ἢ τίς εἰσενεγκεῖν, μή τι γε προτιμῆσαι, ἑτέραν τολμήσειεν; ἀλλὰ ταῦτα μὲν πρὸς Βελλαρμῖνον, καὶ ὅσοι ἐκείνῳ συμφωνοῦσιν. Ἡμῖν δὲ ἄνωθεν ἡ Ἐκκλησία τὴν ἔκδοσιν ταύτην ἀποδεξαμένη, καὶ πάντες οἱ Πατέρες συνασπασάμενοι, μέχρις

ἡμῶν τοιαύτην ἤκουσαν συνιστῶσι, καὶ ὡς θείαν ἐπιμαρτυροῦσι καὶ ἀναμφίλεκτον» κτλ. (εἰς τὴν Θεολογ. προλεγόμ. κεφ. θ).

§. τις. Νεόφυτος ἱεροδιάκονος, ὁ Καυσοκαλυβίτης (τῷ 1750-1780), Πελοποννήσιος τὴν πατρίδα, τὸ δὲ γένος ἐξ Ἑβραίων εἰς Χριστὸν πεπιστευκότων, τρόφιμος τῆς ἱερᾶς τοῦ Ἄθωνος πολιτείας, ἐπίσημος ἐπὶ παιδείᾳ ἑλληνικῇ τε καὶ Ἐκκλησιαστικῇ, καὶ τῇ τῶν θείων Γραφῶν μελέτῃ ἐνησκημένος. Ἐγένετο δὲ καὶ τῷ ἀοιδίμῳ Εὐγενίῳ σύνεδρος μέχρι τινὸς ἐν τῇ Ἀθωνιάδι Ἀκαδημίᾳ, τὴν ἑλληνικὴν διδάσκων φιλολογίαν. Συνέγραψε τὸν διασημότατον *Νομοκάνονα*, μέγαν μὲν ὄγκῳ, πεπυκασμένον δὲ θεωρίαις, καὶ ζητήμασιν ἐκκλησιαστικοῖς, οἷς καὶ τὰς λύσεις δεόντως (τὸ πλεῖστον) ἐπάγει, καὶ πολλὰ προστίθησιν ἄξια λόγου, μεθοδικῶς τε ἅμα καὶ σαφῶς καὶ εὐφραδῶς διατάττων τὰς ὑποθέσεις· (ὀλίγιστα τούτου φέρονται ἀντίγραφα· ἀπόκειται δὲ τὸ πρωτότυπον ἐν τῷ κατὰ τὸν Ἄθωνα *Ῥωσσικῷ* ἐπιλεγομένῳ μοναστηρίῳ, φέρον καὶ ἰδιοχείρους τοῦ συγγραφέως σημειώσεις). Ἐν τούτῳ τοίνυν τῷ *Νομοκάνονι* κέχρηται πολλαῖς καὶ ταῖς ἐκ τῆς Π. Γραφῆς μαρτυρίαις. Ὡσαύτως καὶ ἐν ᾧ συνέταξεν *εἰς τὴν Θεοδώρου* τοῦ Γαζῆ *γραμματικὴν Ὑπομνήματι* (ἐξεδόθη τῷ 1768 ἐν Βουκορεστίῳ), ὀγκηρῷ μὲν καὶ τούτῳ γε καὶ πολυσελίδῳ (οὐ γάρ τις ἦν ἐκεῖνος «*ἀκόλους αἰτίζων*» καὶ μικροφιλότιμος περὶ τὰ τοιαῦτα)· ἔστι δὲ ὅμως οὐκ *ἄχθος ἀρούρης* ἡ βίβλος (ὥς τισιν ἔδοξεν), ἀλλὰ μελέτημα πολύτιμον καὶ ὀνησιμώτατον τοῖς περὶ τὴν φιλολογίαν λιπαρώτερον ἀσκουμένοις, ἅτε γυμνάζον μάλιστα καὶ ἐξακριβοῦν τὴν γραμματικὴν περὶ τοὺς ἐνδόξους συγγραφεῖς θεωρίαν πολυειδῶς, καὶ φράσει καὶ μεθόδῳ γνησίᾳ ἑλληνικῇ· οὐκ ἀπαξιοῖ δὲ παράγειν παραδείγματα καὶ ἐκ τῆς φράσεως τῶν ἁγίων ἡμῶν Πατέρων, καὶ ἐκ τῶν θείων Γραφῶν· (οὐ γὰρ δή που ξένος τις ἡμῖν στήσεται καὶ ἀμύητος τοῦ καθ' ἡμᾶς Ἐκκλησιαστικοῦ ἰδιώματος ὁ Ἕλλην γραμματικός, καὶ μάλιστα ὁ πρὸς τὴν ἱερὰν θεολογίαν προγυμναζόμενος, ἀπὸ ταῤῥοῦ περιφρονῶν, ὡς σόλοικον καὶ βάρβαρον, πᾶν ὅ,τι μὴ Πλατωνίζοι, καίτοι πολλάκις ἐξ αὐτοῦ θειοτέρας τινὸς ἐννοίας ἐξαρ-

τωμένης). Ὁ δ' οὖν Νεόφυτος παράγει παραδείγματα συντάξεως καὶ χρήσεως τῶν φωνῶν ἔκ τε τῆς Καινῆς, καὶ ἐκ τῆς Παλαιᾶς τῶν Ο Γραφῆς (ὡς, σελ. 134, 127, 290, 218. κτλ. Εἰς τοῦτο τὸ γραμματικὸν Ὑπόμνημα καὶ ὁ πολὺς Εὐγένιος ἐξέδωκε *Κριτικὰς ἐπιστάσεις* ἰσχνοτέρας θεωρίας). Τοῦ δὲ μακαρίτου Νεοφύτου καὶ ἐπιστολαί τινες φέρονται ἀνέκδοτοι. (Οὗτος συνέταξε καὶ τὴν ἐκδοθεῖσαν ἐν Λειψίᾳ τῷ 1775 *Ἀκολουθίαν τῶν ἁγίων, Σωφρονίου καὶ Χριστοφόρου, τῶν ἐν τῷ Μελᾷ* (τῷ καὶ Σουμελᾷ, παρὰ τὸν Πόντον) *ὄρει ἀσκησάντων*).

§. τιζ. Νικηφόρος ὁ Θεοτόκης, Κερκυραῖος τὴν πατρίδα (τῷ 1760), νεώτερος μὲν Εὐγενίου καὶ γεννηθεὶς καὶ ἀποβιώσας (τῷ 1800), μαθητὴς δὲ τούτου, καὶ φίλος γενόμενος, καὶ διάδοχος, παραιτηθέντος, ἐν τῇ Ῥωσσικῇ Σλαβηνίου καὶ Χερσῶνος ἀρχιεπισκοπῇ. Καὶ ἦσαν ἄρα θεόθεν εἰς τὸν αὐτὸν τεταμιευμένοι καιρὸν Εὐγένιος ὁ Βούλγαρις καὶ Νικηφόρος ὁ Θεοτόκης, ἡ καλὴ τῆς ἐναρέτου σοφίας ξυνωρὶς, ἵνα καὶ αὐτοὶ, ὡς *Δίδυμοι ἀστέρες, τὸν πολύφωτον* τῆς Ὀρθοδόξου Ἐκκλησίας κοσμήσωσιν οὐρανόν. Ποικίλα δὲ καὶ τὰ τοῦ Θεοτόκη συγγράμματα, καὶ γνωστὰ τοῖς ὁμογενέσι, δωρηθέντα καὶ ταῦτα (τά γε πλεῖστα καὶ κυριώτατα), ὑπὸ τῶν ἐκδόντων ἀοιδίμων Ζωσιμάδων (ὡς καὶ τὰ τοῦ Εὐγενίου), πρὸς κοινὴν τῶν Ἑλλήνων ὠφέλειαν. Διαπρέπουσι δ' ἐν τούτοις τὰ εἰς τοὺς Εὐαγγελιστὰς, καὶ τὰς Πράξεις, καὶ τὰς τοῦ Παύλου ἐπιστολὰς μελίῤῥυτα καὶ κοινωφελῆ *Κυριακοδρόμια*, δι' ὧν ἡ ἱλαρὰ καὶ μειλίχιος, ἀλλὰ καὶ ἰσχυρὰ καὶ δραστήριος φωνὴ τοῦ τῶν ἀρχαίων Πατέρων ὁμοζήλου διδασκάλου τῆς Ἐκκλησίας διαπλάττει πρὸς τὴν χριστιανικὴν εὐσέβειαν τὰ ἤθη τῶν ἀναγινωσκόντων· (ἔτι δὲ νεώτερος ἐν Κερκύρᾳ τὴν εὐαγγελικὴν κηρύττων διδασκαλίαν, καὶ ἄλλους συνέταξε λόγους, ῥητορείας ἄνθεσιν ὡραϊσμένους, καί τοι κοινολεκτικοὺς ἐν φράσει ἁπλουστέρᾳ. ἐκδ. Λειψίᾳ τῷ 1766). Ἐν πᾶσι γοῦν τούτοις συνάπτει μετὰ τῶν Ἀποστολικῶν καὶ Προφητικὰς κατὰ τοὺς Ο ῥήσεις, ὡς Θεοῦ φωνὰς ἰσοδυνάμους, πρὸς ἀποδείξεις δογματικάς. Ἀλλὰ καὶ ἣν ἐξέδωκεν Ὀκτά-

τευχον τῶν Ο, καθιερῶν τῇ Καθολικῇ Ἐκκλησίᾳ τῶν Ὀρθοδόξων, «Σοὶ πρέπει (φησιν) ἡ τῆςδε τῆς βίβλου . . ἀνάθεσις. Ἐνίων μὲν γὰρ προσθήκαις, τινῶν δ' ἀφαιρέσεσι, παντοίαις δὲ ἄλλων μεταβολαῖς τε καὶ ἀλλοιώσεσι τὸ θεοπαράδοτον κατακιβδηλευσάντων σέβας, - Σὺ μόνη ἐπὶ τὴν Πέτραν, τὸν Χριστὸν, θεμελιωθεῖσα, ἐν τῇ Ἀποστολικῇ μένεις εὐσεβείᾳ, ἃ παρ' αὐτῶν παρέλαβες τῶν θεσπεσίων Ἀποστόλων, ἀπαραχάρακτα καὶ μέχρι κεραίας διαφυλάττουσα ἀνέπαφα. - Ἐπεὶ οὖν τῆς Νέας, ἡ Παλαιὰ Διαθήκη προκατασκευή τις ἐστὶ καὶ προοδοποίησις-, κατὰ πάντα δ' αὐτῇ *ὁμοφωνοῦσά τε καὶ συνᾴδουσα*· εἴγε δὴ ἑκατέρας εἷς καὶ ὁ αὐτὸς δοτὴρ, ὁ Θεός· διὰ τοῦτο θατέρας ἀναπτυσσομένης, ἀκράδαντα (ἴσ. *ἀκράδαντος*) τῆς ἑτέρας ὁ λόγος ἐπιστηρίζεται» κτλ. Ἐν δὲ τῇ *τῆς τελευταῖον διερμηνευθείσης Διαθήκης Ἀνασκευῇ* (ἣν ἐκ τοῦ Γαλλικοῦ ἐξελληνίσας, ἐξέδωκεν ἀνωνύμως ἐν Βιέννῃ τῷ 1794), πολλὰς καὶ σοφὰς προσθεὶς σημειώσεις, ἀποδείκνυσι καὶ ἰδίως τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο, ἔκ τε τῆς Ἀριστέου καὶ Ἰωσήπου ἱςορίας, καὶ τῶν Ἀριστοβούλου καὶ Φίλωνος λόγων, καὶ ἐκ τῆς τῶν θείων Πατέρων μαρτυρίας· καὶ ἐπιφέρει τὰ ἑξῆς. «Ἡμεῖς δὲ τοὺς μετὰ Χριστὸν, ὅσοι τὴν τῶν Ο μετάφρασιν εὐφήμησαν καταλιπόντες,- σιωπήσαντες δὲ καὶ τὸ, ὅτι, εἰ κακὴ ἦν ἡ τῶν Ο μετάφρασις, οὐκ ἂν οἱ ἑλληνισταὶ Ἰουδαῖοι ἐν ταῖς Συναγωγαῖς αὐτῶν ταύτην ἀνεγίνωσκον, καὶ τὸ ταύτης αἰδέσιμον διὰ τὴν ἐξ ἀρχῆς χρῆσιν αὐτῆς ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις, καὶ τὸ προτέρημα αὐτῆς, ὅπερ ἐστὶ τὸ μετὰ τὴν πρωτότυπον ἑβραϊκὴν μητέρα γενέσθαι σχεδὸν πασῶν τῶν ἄλλων μεταφράσεων, τοὺς θεοκήρυκας προτείνομεν Ἀποστόλους, τοὺς τὴν τῶν Ο μετάφρασιν μετελθόντας ἔν τε τοῖς ἱεροῖς Εὐαγγελίοις, καὶ ἐν ταῖς Πράξεσι, κἀν ταῖς οἰκείαις Ἐπιστολαῖς. Τοῦτο δὲ τί ἄλλο ἐμφαίνει, εἰ μὴ τὸ, ὅτι ἡ τῶν Ο μετάφρασις θεόθεν ἔχει τὸ κῦρος»; (σελ. 492. πρβλ. σελ. 570, 610). Περὶ δὲ τοῦ νῦν ἑβραϊκοῦ κειμένου ὀρθῶς ἐσημείωσεν, ὅτι οὔτε τῆς ἀρχαίας ἑβραϊκῆς, οὐδ' αὐτοὶ οἱ τῶν Ἰουδαίων διδάσκαλοι τελείαν ἐν πᾶσι καὶ ἀκριβῆ γνῶσιν ἔχουσι· καὶ αἱ ἐκ τοῦ νῦν ἑβραϊκοῦ κώ-

δηκος γενόμεναι μεταφράσεις οὐκ ἀπ' ἀρχαιοτάτου μετεφράσθησαν κώδηκος, καὶ αὐτοῖς, ὡς ἂν εἴποι τις, τοῖς πρωτοτύποις παραβεβλημένου, οἷος ἦν, ὡς εἰκὸς, ὁ κώδηξ ἐκεῖνος, ᾧ ἐχρήσαντο οἱ Ο. Τούτοις (φησὶ) πρόσθες καὶ ὅτι πολλοὶ καὶ αὐτῶν τῶν ἑβραϊκῶν κωδήκων, ὡς ὑπ' αὐτῶν τῶν Ἑβραίων περικαρέντες καὶ ἀλλοιωθέντες, ὕποπτοί εἰσι» κτλ. (σελ. 490).

§. τιη. Ἀθανάσιος ὁ Πάριος (τῷ 1790), ἱερομόναχος, ἔν τε Θεσσαλονίκῃ καὶ Χίῳ διδάσκαλος χρηματίσας, ἄλλα τε συνέγραψε, καὶ *Ἐπιτομὴν τῶν θείων δογμάτων*, ἐκ τοῦ Θεολογικοῦ τοῦ Εὐγενίου συντάγματος συνοψίσας, καὶ ἐπαυξήσας (βλ. ὄπισθ. σελ. 59)· ἐν ταύτῃ γοῦν περὶ τῶν Ο, διαλαμβάνων, καὶ τὴν ἱστορίαν τῆς ἱερᾶς ἐκτιθέμενος ἑρμηνείας, θείαν καὶ ἀξιόπιστον αὐτὴν ἀνακηρύττει, (σελ. 33), τά τε ἄλλα, καὶ «ὅτι *οἱ θεῖοι Ἀπόστολοι, τὰ πνξία τοῦ Πνεύματος, ἐκ τῆς ἑρμηνείας ταύτης τὰς γραφικὰς ἐπήγαγον χρήσεις*».

§. τιθ. Ἄνθιμος, Πατριάρχης Ἱεροσολύμων (τῷ 1793-1808), οὗ τῆς Εὐαγγελικῆς πολιτείας καὶ τῆς ἐνθέου σοφίας ἡ μνήμη ἀοίδιμος· τὴν πατρίδα Παλαιστινὸς, συνέγραψεν Ἑλληνιστὶ καὶ Ἀραβιστὶ ἀξιόλογον *ἑρμηνείαν εἰς τοὺς ρν Ψαλμούς*.

§. τκ. Ἐν τῷ τῶν ἱερῶν καὶ θείων Κανόνων Πηδαλίῳ, τῷ διαγνώσει τῆς Ἐκκλησίας κεκυρωμένῳ, οἱ τούτου ἐκδόται, Ἀγάπιος καὶ Νικόδημος ὁ ἀείμνηστος, ἀνακηρύττουσι τὸ θεῖον τῶν Ο κῦρος ἐν τῇ εἰς τὸν ἔσχατον τῶν Ἀποστολικῶν Κανόνων ὑποσημειώσει, ἣν συνέταξαν ἀπανθίσαντες μάλιστα, ἐξ ὧν διέλαβον οἱ δύω πανευκλεεῖς ἱεράρχαι, ὅ,τε Πατριάρχης Δοσίθεος, καὶ Εὐγένιος ὁ πάνυ.

§. τκα. Ἐπὶ τῆς εὐκλεοῦς πατριαρχείας Γρηγορίου τοῦ ς, τὸν θρόνον κοσμοῦντος τὸν Οἰκουμενικὸν (τῷ 1836), πᾶσα ἡ Ὀρθόδοξος τοῦ Χριστοῦ Ἐκκλησία, μίαν καὶ μόνην, τὴν τῶν Ο ἑρμηνείαν, θείαν καὶ ἀδιάψευστον ἀνέκαθεν καὶ εἰς αἰῶνας ἐπιγινώσκουσα καὶ διακρατοῦσα, ἀπεκήρυξε πᾶσαν ἄλλην μετάφρασιν γενομένην ἐκ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ. (α)

(α) Ἴδε τὴν «Ἐγκύκλιον Ἐκκλησιαστικὴν καὶ Συνοδικὴν

§. τκϐ. Οὕτως ἀπ' ἀρχῆς, ἀφ' οὗ θείᾳ νεύσει καὶ βουλῇ διέλαμψε τὸ τῆς ἑρμηνείας τῶν Ο κάλλιστον φέγγος, ταύτην ἥ, τε πρὸ Χριστοῦ τῶν Ἑλληνιστῶν Ἰουδαίων Συναγωγὴ, ὡς ὁμότιμον καὶ ἰσοδύναμον τῷ θεοπνεύστῳ πρωτοτύπῳ τῆς ἑϐραΐδος, ἐξεθείαζε (ϐλ. ὄπισθ. §. ιϐ), καὶ οἱ χριστοκήρυκες Ἀπόστολοι ὡς θεόπνευστον ἐν ταῖς ἀκηράτοις αὐτῶν συνεξύφαναν συγγραφαῖς (§. να-νε)· Καὶ τῇ Ἐκκλησίᾳ μετὰ τῶν θείων Εὐαγγελίων ὡς θείαν καὶ ταύτην παρέδωκαν (§. νε). Διὸ καὶ οἱ ἀποστολικοὶ Πατέρες (§. νη-ξα) καὶ οἱ ἐφεξῆς τῶν Ἀποστόλων διάδοχοι, καὶ αἱ πνευματέμφοροι Σύνοδοι (§. ųθ, - σμη), καὶ πᾶσα ἡ σειρὰ τῶν θεοφόρων Πατέρων καὶ Διδασκάλων, ταύτην καὶ μόνην ἁγίαν καὶ ἀποστολικὴν διεπρέσϐευον· καὶ ἰδίᾳ, καὶ δημοσίως ἐπ' Ἐκκλησίας, καὶ ἐν ταῖς Σχολαῖς ἀνεγίνωσκον, καὶ ἐδίδασκον, καὶ ἐσπούδαζον, καὶ ἡρμήνευον ἐν ταῖς ἐξηγήσεσι (§. οη). Ἐκ ταύτης καὶ τῶν θείων τῆς Πίστεως δογμάτων τὴν ἀλήθειαν ἀπεδείκνυον καὶ ἐκράτυνον, καταϐάλλοντες τὰς ἀναφυομένας παντοίας αἱρέσεις· (ὅτι δὲ καὶ τούτων ἅπαντες οἱ δύστηνοι πλαστουργοὶ, ταύτῃ καὶ μόνῃ ἐχρῶντο, θείαν αὐτὴν εἰδότες, καίτοι πρὸς τὰς ἑαυτῶν παρανοίας παρεξηγοῦντες τὰς ἀκηράτους ἐννοίας καὶ ῥήσεις τοῦ θείου Πνεύματος, εἴπομεν περὶ αὐτῶν, ἕνα μόλις καὶ δύω κατονομάσαντες πρὸς παράδειγμα, τοὺς δὲ λοιποὺς ἐάσαντες χαίρειν· βλ. §. ο. §. ογ. §. οθ). Ἀλλὰ καὶ τὰς φιλολογικὰς αὐτῶν συγγραφὰς οἱ πάλαι πατέρες ἡμῶν ταῖς ἐκ τῶν Ο ῥήσεσι κατηγλάϊζον (α). Οὕτως ἐξ ἀρχῆς οἱ Χριστῷ τῷ Θεῷ πεπιστευκότες, παῖς παρὰ πατρὸς παραλαμϐάνοντες, ἐτήρουν τῶν

Ἐπιστολὴν, παραινετικὴν πρὸς τοὺς ἁπανταχοῦ Ὀρθοδόξους». κτλ. §. η. Ἐκδ. Ἐν Κωνσταντινουπόλει 1836.

(α) Οἷον Αἰνείας ὁ Γαζαῖος, καὶ Ζαχαρίας (βλ. ὄπισθ. σελ. 679, 700)· πρόσθες καὶ τὸν φιλόσοφον (εἶτα δὲ καὶ Ἐμέσης ἐπίσκοπον) Νεμέσιον (τῷ 380), ὅστις, περὶ φύσεως ἀνθρώπου φιλοσοφῶν, ἐπάγει πρὸς ἀποδείξεις τῶν φιλοσοφουμένων καὶ ῥήσεις τῆς Γραφῆς, ὡς μαρτυρίας πιστὰς καὶ ἀναντιῤῥήτους· οἷον καὶ τὸ «Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ» (Γεν. γ) καὶ τὸ, παρασυνεϐλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις (ψαλμ. μη) καὶ ἄλλα οὐκ ὀλίγα (κεφ. α, κτλ. in Bibl. Patr. Tom. 2. p. 466).

Ἀποστόλων τὰ δόγματα καὶ τῶν Προφητῶν τὰ θεσπίσματα, *κατὰ τὰς Γραφὰς*, τήν τε Παλαιὰν καὶ τὴν Καινήν· καὶ πᾶσα ἡ ἁγία καὶ ἄμωμος Ἐκκλησία τοῦ Θεοῦ, οἵας παρέλαβεν ἐν τοῖς ἀχράντοις αὐτῆς κόλποις τὰς δύω ταύτας τὰς θεοτυπώτους τοῦ Θεοῦ Διαθήκας, τοιαύτας δι' αἰῶνος καὶ εἰς αἰῶνας ἐκράτησε καὶ διακρατήσει, ὡς θέμεθλα τῆς Πίστεως, ὡς ζωηῤῥύτους τῆς αἰωνίου σωτηρίας πηγὰς, ὡς ἀμφοτέρας ἀποτελούσας τὴν ὁμόῤῥυθμον «*Ἐκκλησιαστικὴν συμφωνίαν Νόμου καὶ Προφητῶν ὁμοῦ, καὶ Ἀποστόλων σὺν καὶ τῷ Εὐαγγελίῳ* (Κλήμ. Στρωμ. ς. σελ. 474).

§. τκγ. Καὶ αὐτὴ ἡ Δυτικὴ Ἐκκλησία, καὶ ἀφ' οὗ παρ' αὐτῇ κατεξενίκησεν ἀντὶ τῆς Ἰτάλας τῶν Ο, ἡ ἐκ τῆς Ἑβραΐδος Ἱερωνύμειος ἑρμηνεία τῶν καθ' Ἑβραίους κανονικῶν (πλὴν τοῦ Ψαλτῆρος) τευχῶν, αὐτόν τε τὸν Ψαλτῆρα, καὶ τὸν Βαροὺχ, καὶ τὰς τοῦ Δανιὴλ καὶ τῆς Ἐσθὴρ περικοπὰς, καὶ πάντα τ' Ἀναγινωσκόμενα (τὰ παρ' αὐτῇ *Δευτεροκανονικὰ*) παρὰ τῶν Ο παραλαβοῦσα, κατέχει. Καθόλου δὲ τὴν παρ' ἡμῖν ἀναλλοίωτον καὶ ἄχραντον διαμένουσαν ἑρμηνείαν τῶν Ο, *ἁγίαν*, *καὶ κανόνα πίστεως δημοσίως ὁμολογεῖ* (α)· καὶ τὴν χρονολογίαν τῶν Ο κατ' ἔτος ὡς γνησίαν ἀνακηρύττει (βλ. Βιβλ. Γ. σελ. 788). Καὶ ἐκ τῶν κατὰ μέρος δὲ λατίνων συγγραφέων τῶν καὶ πρὸ τοῦ σχίσματος καὶ ὕστερον γενομένων, οὐκ ὀλίγοι κατὰ καιροὺς τὸ κῦρος τῶν Ο διεκήρυξαν. Εἴδομέν τινας ἐν τῇ προηγηθείσῃ σειρᾷ τῶν συγγραφέων (§. σκ. §. σκδ. §. σλη. §. σλθ. §. σμβ)· ἄλλους ἀριθμεῖ καὶ αὐτὸς ὁ κλεινὸς Ὅδιος, ἀπὸ τοῦ Ι αἰῶνος καὶ ἐφεξῆς ἀκμάσαντας (β). Διαπρέ-

(α) Βλ. τοῦ Πάπα Σίξτου τοῦ Ε τὰ προλεγόμενα εἰς τὴν ἔκδοσιν τῶν Ο (τῷ 1587). Καὶ ἡ ἐν Τριδέντῳ Σύνοδος οὐκ ἠρνήσατο τὴν κανονικὴν ἀξίαν τῆς ἑρμηνείας τῶν Ο. (Πῶς γὰρ ἔμελλεν; ὁπότε καὶ ἡ Βουλγάτα φέρει τ' ἀνωτέρω τεύχη τῶν Ο, καὶ πᾶς ὁ μέχρις Ἱερωνύμου θίασος τῶν ἁγίων, Πατέρων καὶ τῆς Δύσεως καὶ τῆς Ἀφρικῆς ταύτην μίαν καὶ μόνην ἀνεγίνωσκε καὶ ἐπεγίνωσκε κυρίαν καὶ θεόπνευστον ἑρμηνείαν τῆς Παλαιᾶς). Ὅθεν ἔλεγε καὶ ὁ Montfaucon «v e r a m e s s e e t s a n c t a m fidei morumque n o r m a m» (Prælim. ad Orig. Hexap. p. 35).

(β) Οἷον· Ἀγόβαρδος, Λουγδούνου ἀρχιεπίσκοπος, τῇ τῶν Ο Ἰτάλᾳ κεχρημένος, ἀναμίγνυσι καὶ τὴν Ἱερωνύμειο μετάφρασιν (Ὅδιος σελ. 412). Ῥαβανὸς

πουσι δ' ἐν τούτοις ὅ,τε Φρ. Τουῤῥιανὸς, λέγων· «Ὅτι τὸ περιφρονεῖν τοὺς Ο, προτιμᾷν δὲ τὸ ἑβραϊκὸν, οὐδέν ἐστιν ἕτερον, ἢ τοῖς

ὁ Μαῦρος, ἡμετέραν (nostram) ἑρμηνείαν ἐφρόνει καὶ ὠνόμαζεν ἔτι καὶ τότε τὴν Ἰτάλαν. Ἀνσέλμος Καντουαρίας ἐπίσκοπος «θείῳ, λέγει, πνεύματι ἀγόμενοι οἱ Ο προσέθηκαν τὸν νεώτερον Καϊνᾶν, ἀναπληροῦντες ὃ παρέλιπε Μωσῆς ἐν τῷ ἑβραϊκῷ». Καὶ αὐτὸς δὲ καὶ Βερνάρδος καὶ Ῥούπερτος καὶ Πέτρος ὁ Λομβαρδὸς, τοῦ ια, αἰῶνος συγγραφεῖς, καὶ ἔτι νεώτεροι, ὡς ὁ Βοναβεντούρας καὶ αὐτὸς ὁ Ἀκυνάτης ἐκ τῆς ἀρχαίας Ἰτάλας οὐκ ὀλίγοις ἐχρήσαντο ῥητοῖς, παραλείποντες τὴν Βουλγάταν. Οὔγων ὁ τοῦ Βίκτωρος (τῷ 1120) τὸ θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο καθομολογεῖ, καὶ ὅτι ταύτην ἀπ' ἀρχῆς ἀνεγίνωσκεν ἡ Ἐκκλησία. Ἐπελθοῦσαν δὲ τὴν Ἱερωνύμου μετάφρασιν πᾶσα (φησὶν) ἡ λατινικὴ Ἐκκλησία τῶν ἄλλων προετίμησεν, ὡς μᾶλλον συμφωνοῦσαν τῇ ἑβραίᾳ ἀληθείᾳ· ἀλλά, φησι, καὶ ταύτην (τὴν ἱερωνύμειον) ἤδη μετ' ἄλλων μεταγενεστέρων ἑρμηνειῶν εὑρίσκομεν συγκεχυμένην». Νικόλαος Λυρανὸς ὁ ἐξ Ἰουδαίων (τῷ 1330) ἐξελέγχει τινὰς ἀναγνώσεις τοῦ ἑβραϊκοῦ κώδηκος ὡς διεφθαρμένας, μαρτυρίοις χρώμενος τῶν Ο. Ὡσαύτως καὶ Ἀλφόνσος ὁ Τόστατος (τῷ 1454). Ὁ δὲ Πάπας Πῖος ὁ β, ἐν τῇ πρὸς τὸν Σουλτάνον Μωάμεθ ἐπιστολῇ, διαλεγόμενος περὶ τῆς ἀδιαφθορίας τῶν Γραφῶν, «εἰ δέ τις (λέγει) διαφθορὰ συνέπεσε, διέμεινεν ἐν τῷ ἑβραϊκῷ, καὶ οὐκ ἐν τοῖς λατινικοῖς καὶ ἑλληνικοῖς δεδημοσιευμένοις βιβλίοις». Ἰάκωβος Περέζας ὁ ἀπὸ Βαλεντίας (τῷ 1491) προλόγῳ εἰς τοὺς Ψαλμοὺς, διαβεβαιοῖ, ὅτι «ἡ Ῥωμάνα Ἐκκλησία ἀπεδέξατο μὲν τὴν Ἱερωνύμου μετάφρασιν ὡς ἀληθινὴν καὶ καθολικὴν, ἀλλ' οὔτε ταύτην, οὔτ' ἄλλην οὐδεμίαν ἠβουλήθη προτιμᾶσθαι τῆς τῶν Ο. Καὶ μὴν καὶ ὡς προφήτας ἠθέλησε νομίζεσθαι τούτους ἐν πᾶσιν οἷς ἡρμήνευσαν, καὶ ἐν οἷς προσέθηκαν». Ἰωάννης Πῖκος ὁ Μιράνδουλος συνέγραψε διατριβὴν «ὑπὲρ τῆς ὑπὸ τῶν Ο ἑρμηνείας τῶν Ψαλμῶν κατὰ τῶν Ἰουδαίων», καὶ ἄλλο ἐγχειρίδιον «περὶ τῆς ἀληθείας τῆς ἑρμηνείας (τῶν Ο), κατὰ τῆς τῶν Ἰουδαίων συκοφαντίας». Ματθαῖος ὁ Βόσσος (τῷ 1465) κατὰ τοὺς Ο χρονολογεῖ, καὶ ἄλλοι οὐκ ὀλίγοι μετ' αὐτοῦ. Αἴλιος Ἀντώνιος ὁ Νεβρισσηνὸς (τῷ 1520) «ἔγωγε δὲ (λέγει) πολλῷ μᾶλλον τῶν ἄλλων τοῖς Ο συγκατατίθεμαι, οἵτινες (ὡς εἶπεν Αὐγουστῖνος) ἡρμήνευσαν ἐξ ἐπιπνοίας τοῦ παναγίου πνεύματος». Πέτρος ὁ Σκυτεὺς (Sutor) οὐ μόνον τοὺς Ο θεοπνεύστως ἑρμηνεῦσαι, ἀλλὰ καὶ αὐτὸν τὸν Ἱερώνυμον, διατείνεται (τῷ 1525). Ἰω. ὁ Δριέδος (1533) «τὸ πνεῦμα (λέγει) τὸ ἅγιον ἐν τοῖς Ο, λαλεῖ». Ι. Κοχλαῖος (τῷ 1544) κακίζει πᾶσαν νεωτέραν ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείαν, καὶ αὐτὴν τοῦ μᾶλλον τῷ Ἰουδαίῳ Βαραββᾷ, ἢ τοῖς Ο πιστεύσαντος Ἱερωνύμου». Ὁ Σαλμέρων (τῷ 1567) κηρύττει διαπρυσίως τὸ θεόπνευστον τῶν Ο· καὶ ἄλλους παραλείπομεν (ὅλ. Hody p. 411—550).

Ἰουδαίοις συγκαταινεῖν» (α). Καὶ Φερδινάνδος ὁ Δεσκαλάντης (τῷ 1613) «Ἐξαίρετον καὶ τρισσέβαστον, καὶ ὅλως *θείαν* λέγει τὴν *βίβλον* τῶν Ο· καὶ οὕτω περίσεπτον ἔχουσαν κῦρος, ὥστε δικαίως ἂν λέγοιτο *θείων ῥημάτων ἅγιον θησαυροφυλάκιον*» (β). Καὶ ὁ σοφὸς Βομφρέριος (τῷ 1625) τοῦ τε Ἀριστέου τὴν ἱστορίαν, καὶ τὰ τῶν δωματίων ἀληθεύειν μετὰ τοῦ μάρτυρος Ἰουστίνου καὶ πάντων τῶν ἀρχαίων Πατέρων συνομολογῶν, καὶ πρὸς τὸν Ἱερώνυμον (μετὰ τῆς προσηκούσης αἰδοῦς) ἀντιλέγων, λαμπρᾷ τῇ φωνῇ διακηρύττει τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο· « Ἧ (φησιν) ἐχρήσαντο οἱ Ἀπόστολοι, ἔν τε τῷ θείῳ κηρύγματι, κἀν ταῖς θεοπνεύστοις αὐτῶν συγγραφαῖς· ἣν πᾶσα ἡ ὑπ' οὐρανὸν Ἐκκλησία δι' ὅλων 600 ἐτῶν καὶ ἐπέκεινα κατεῖχε γεραίρουσα, ὡς ἁγίαν καὶ αὐθεντικήν· ἣν τοσοῦτοι θεῖοι Πατέρες ἐξήγησαν καὶ ὑπεμνημάτισαν· ἣν ἡ ἀνατολικὴ Ἐκκλησία διὰ παντὸς ἐκθειάζει καὶ διακρατεῖ, οὐδὲ μίαν ἄλλην ἀντ' αὐτῆς ἀνταλλαξομένη, οὐδ' ἥν μετὰ τῆς Ῥωμάνας Ἐκκλησίας» (ἀρθέντων τῶν αἰτίων τοῦ σχίσματος) «συμφωνήσῃ· ἣν αὐτοὶ οἱ Ἰουδαῖοι (Φίλων, Ἰώσηπος ὁ ἱερεύς, Ἰώσηπος ὁ Γοριωνίδης, καὶ πᾶσα ἡ ἀρχαία Συναγωγὴ), κυρίαν καὶ θείαν ὡμολόγουν· ἥν, τέλος, Ἑβραῖοι πάλιν μεθηρμήνευσαν ἄνδρες, ἐκ θείας ἐπιπνοίας ἀγόμενοι, καὶ ἐπιστήμονες κατ' ἀμφοτέρας τὰς διαλέκτους (ὅσοι δέ, φησι, τούτων ἀμάθειαν τῆς ἑβραΐδος κατηγοροῦσι, τοὺς τοιούτους *κυνικῆς ἀναιδείας μέτωπον* φέρειν δικαίως νομιστέον)». – «Ὥστε (συμπεραίνει) οὐθ' ὁ Ἱερώνυμος εὖ ἐποίησεν, ἑτέρᾳ μεταφράσει ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ ἐπιχειρήσας, οὔθ' ἡ Δυτικὴ Ἐκκλησία, τὴν Ἱερωνύμου μᾶλλον ἀντὶ τῆς τῶν Ο παραδεξαμένη». (πειρᾶται δ' ἐφεξῆς περὶ τούτων ἀπολογεῖσθαι, κατὰ τὸ δυνατὸν, προτείνων, ὅτι καὶ τὴν τῶν Ο, ἑρμηνείαν ἡ Δυτικὴ Ἐκκλησία σέβεται κτλ.). Ταῦτα, ὡς ἐπίπαν εἰπεῖν, ὁ περινούστατος Βομφρέριος (γ).

(α) Franc. Turrian. Defens. contr. A. Sadeelem.
(β) Ferd. de Escalante in Clypeo Concionatorum Verbi Dei. Venet. 1613.
(γ) Bonfrer. Praeloq. c. 16. Sect. 1—8. pag. 53—65.

Ἀλλὰ καὶ Ἰωάννης ὁ Δεσπιῆρος (τῷ 1651) *αὐθεντικὴν* τὴν ἑρμηνείαν τῶν Ο καὶ κυρίαν ὁμολογεῖ· «*διότι* (φησὶ) *τοῦ Θεοῦ ὑπαγορεύοντος, κινοῦντος, ἐμπνέοντος συνεγράφη*» (α). Τοὺς δὲ περὶ τὸν σοφώτατον Μορῖνον, καὶ Καπελλάνιον, καὶ Παῦλον τὸν Πεζρώνιον, καὶ Νικόλαον τὸν Νουῤῥῦν, κτλ. εἴδομεν ἐν τοῖς προλαβοῦσι (Βιβλ. Γ. κεφ. κγ). Ὁ δὲ Δεμάγιστρος δῆλος. Οὕτω καὶ Μηχαῆλος ὁ ἐξ Ἰωσὴφ (τῷ 1740), διάσημος ἐν τοῖς κριτικοῖς τῶν Ἰσπανῶν, γνησίαν καὶ ἀληθῆ τὴν Ἀριςέου ἱστορίαν ὁμολογεῖ, καὶ τὴν περὶ τὴν ἑρμηνείαν θαυμαστὴν τῶν Ο συμφωνίαν ἐπιγινώσκει, «κεχωρισμένων, φησὶν, ἀπ' ἀλλήλων, καὶ συμφώνως πάντων ἑρμηνευσάντων *μιᾷ καρδίᾳ, ἑνὶ στόματι, καὶ οἷον ἑνὶ καλάμῳ*–. Αὐτὴ δὲ (φησιν) ἡ ἑρμηνεία μέγιστον καὶ ἀκρότατον ἔσχε κῦρος ἔν τε τῇ Συναγωγῇ, καὶ ἐν τῇ Ἐκκλησίᾳ. Ταύτῃ ὁ Χριστὸς καὶ οἱ Ἀπόστολοι ἐχρήσαντο, καὶ νῦν ἔτι χρῶνται οἱ Ἀνατολικοί. Ταύτην εἶχε καὶ πᾶσα καθόλου ἡ Ἐκκλησία δἰ ὅλων ἐξ αἰώνων» (μέχρι τῆς Βουλγάτας Ἱερωνύμου)· «καὶ πάντες οἱ Πατέρες θείαν ἐπίπνοιαν, καὶ πνεῦμα προφητικὸν, ἀπένεμον τοῖς Ο ἑρμηνευταῖς, συνομολογήσαντος, τέλος, καὶ αὐτοῦ τοῦ Ἱερωνύμου». – Ἐφεξῆς δὲ κακίσας καὶ ἀνατρέψας τοὺς λόγους τῶν νοθιζόντων μὲν τὴν Ἀριςέου ἱστορίαν, ψεγόντων δὲ καὶ τὴν ἱερὰν ἑρμηνείαν κριτικῶν, ἐπιφέρει· «Ἀλλ' ἡμεῖς τὰ τοιαῦτα φρονήματα θρησκευτικὸν καθῆκον νομίζομεν ἀποῤῥίπτειν, ἀθέμιτον εἶναι κρίνοντες, εἴτις λέγοι τοὺς κανονικοὺς (τῆς θείας Γραφῆς) συγγραφεῖς, ὡς αὐτοί τε ἐσφάλησαν, καὶ ἡμᾶς ἀποπλανῶσι δἰ αὐτὸ τοῦτο, διότι τούτους *ἀπλανεῖς καὶ ἀσφαλεῖς* πεπιστεύκαμεν εἶναι» (β). Κατὰ ταῦτα καὶ νεώτατος (τῷ 1825) Δράχος ὁ ἐξ Ἰουδαίων διεκήρυξεν, «Ὅτι οἱ Ο προτιμητέοι τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ» (βλ. ὄπισθ. Βιβλ. Γ. κεφ. κγ. §. ριθ) (γ).

(α) Joh. D' Espieres, De auctorit. Textus Hebr. Versicnis LXX. pag. ult.

(β) Michael à S. Ioseph, Biblographia critica sacra, et profana. T. 4. p. 144. Matriti, 1740.

(γ). Οὕτω καὶ ὁ Δράχος καὶ ὁ προῤῥηθεὶς Μιχαῆλος ὁ κριτικὸς, συνεῖδον τὴν

§. τκδ. Εἴδομεν ὡσαύτως καὶ ἐκ τῶν Λουθηροκαλβίνων, καὶ ἄλλων νεωτεριστῶν, αὐτὸν πρῶτον τὸν πολυμαθέστατον Λούθηρον, τίποτε ἐφρόνει καὶ ἔγραψε περὶ τῶν Ο, «*μεθ' ὧν ἠβούλετο συμπαραμένειν, ὡς θειότερόν τι νόημα ἐχόντων*» (βλ. Βιβλ. Γ. κεφ. κγ, §. ν)· καὶ τὸν Ζβίγγλιον ἠκούσαμεν ἀνευφημοῦντα τοὺς Ο (αὐτόθ. §. μη). Ἀλλὰ καὶ ὁ Μελάγχθων, «Οὐ καταφρονητέαν εἶναι, λέγει, τὴν (ἐκ τῶν Ο) ὠφέλειαν. Ἐπειδὴ γὰρ οἱ Ἀπόστολοι ἑλληνιστὶ συγγράψαντες, ἐκ ταύτης τῆς βίβλου (τῶν Ο) τὴν φράσιν μετέλαβον, κρεῖττον κατανοοῦσι τῶν ἀποστολικῶν ῥημάτων τὸ βάρος, οἱ τὴν βίβλον ταύτην ἀναγινώσκοντες μετὰ προσοχῆς. Τηρητέον οὖν καὶ ταῦτα τὰ μνημεῖα» (πρὸς τοὺς Διαμαρτυρουμένους ὁ λόγος)· «πᾶν γὰρ ὅ,τι πρὸς διασάφησιν τῆς οὐρανίου διδασκαλίας ὁπωσδήποτε συντελεῖ, τοῦτο διατηρητέον ἐπιμελῶς» (α). Καὶ Κ. ὁ Πελλικάνος ὡμολόγησε «Σοφώτατον ἐπίσης καὶ εὐσεβέστατον, *καὶ προφητικῷ τῷ ὄντι πνεύματι δεδωρημένον, τὸν* (ἧ φησὶν) ἑρμηνέα τοῦ Ψαλτῆρος, τόν τε Γραικὸν» (τοὺς Ο λέγων) «καὶ τὸν λατῖνον» (τὴν ἐκ τῶν Ο, Ἰτάλαν). «Καί τοι γέ (φησι) διαφωνοῦσιν, ἔστιν ὅπου, πρὸς τὰ τῶν ἑβραϊκῶν λέξεων φωνήεντα στίγματα, οἷς χρῶνται τανῦν οἱ Ἰουδαῖοι· εἰκὸς δὲ ταῦτα

ἀλήθειαν πολλῷ δή που συνετώτερον, παρὰ τὸν σοφὸν (Δυτικὸν καὶ τοῦτον) Ἰανσένιον· ὅστις ὁμολογεῖ μὲν ὅτι «μέγα καὶ νῦν ἔχει κῦρος ἡ ἑρμηνεία τῶν Ο, ἀλλά (φησιν) ἐν οἷς συμφωνεῖ πρὸς τὸ ἑβραϊκὸν, καὶ τὰς ἐπισημοτέρας μεταφράσεις» (Janssens Hermeneut. Sacr. p. 400). Ἀλλ' (ἡδέως ἄν τις ἔροιτο τὸν σοφὸν) ἐν οἷς ἡ ἑρμηνεία τῶν Ο τῷ ἑβραϊκῷ μὲν οὐ συμφωνεῖ, συμφωνεῖ δὲ, τοῖς Ἀποστόλοις, μῶν ἐν τούτοις οὐκ ἔχει κῦρος; Ἐν οἷς δὲ πάλιν τὸ ἑβρ. μήτε τοῖς Ο, μήτε ταῖς, αἷς λέγεις, ἑρμηνείαις συμφωνεῖ, τί ποτε περὶ τούτου ψηφίσῃς; τί δὲ περὶ τῆς ὁμοίας διαφωνίας καὶ αὐτῶν τῶν ἐπισήμων ἑρμηνειῶν; (ἐν αἷς καὶ τὴν Βουλγάταν πάντως τίθης). Πόθεν δ' ἔχεις δεῖξαι τὴν ἀπαραχάρακτον αὐθεντίαν τοῦ μ. Χ. (καὶ μάλιστα τοῦ Μασοραίου) ἑβραϊκοῦ (ἐξ οὗ καὶ αἱ ἑρμηνεῖαι), πρὸς ὅπερ, ὡς πρὸς στάθμην καὶ κανόνα, παραβάλλων διορίζεις τὸ κῦρος τῶν Ο; ἐκ ποίων θεοφόρων Πατέρων; ἐκ ποίων Συνόδων Οἰκουμενικῶν; ἐκ ποίας ψήφου τῆς καθόλου Ἐκκλησίας τοῦ Χριστοῦ.

(α) Melanchton in praef. edit. Vet. et N. Testam. Basil. 1545.

διάφορα γενέσθαι τὸ πάλαι. Καί τινων στοιχείων (συμφώνων ἑβραϊκῶν) συμβῆναι μεταβολὴν ὑπόνοια ὑπεισέρχεται τοῖς ἕκαστα παραβάλλουσι» (α). Ἀλλὰ καὶ Εἴνσιος εἶπε τὴν ἑρμηνείαν τῶν Ο «*Σπάνιον καὶ ἀνεκτίμητον θησαυρόν*» (β). Καὶ Φαβρίκιος τὸ μέγα τῶν Ο κῦρος ὁμολογεῖ, «καὶ ὅτι διὰ πολλῶν ἑκατονταετηρίδων *αὕτη μόνη ἡ ἑρμηνεία ἠκούετο ἐν πάσῃ καθόλου τῇ Ἐκκλησίᾳ, ὡς θεία νενομισμένη*· οὐδ᾽ ὑπ᾽ αὐτῶν (φησι) τῶν Ἀποστόλων καὶ Εὐαγγελιστῶν κατεφρονήθη» (τί δ᾽ οὐχὶ μᾶλλον καὶ ἐτιμήθη, καὶ Γραφὴ θεόπνευστος ἀνεκηρύχθη, καὶ ταῖς θεοπνεύστοις αὐτῶν συγγραφαῖς αὕτη μόνη κατά τε ῥήσεις καὶ φράσεις συνεξυφάνθη, ὡς εἶπεν ἀκριβέστερον ὁ Μελάγχθων;) (γ). Εἴδομεν δὲ καὶ Πήρσωνα τὸν κλεινὸν (ὄπισθ. σελ. 104), καὶ τὸν σοφὸν Ἰώσηπον τὸν Μέδην (βλ. Βιβλ. Γ. κγ. §. οζ), καὶ Βάλτωνα τὸν γεραρὸν (αὐτόθ. §. πς), καὶ τὸν Βίσωνα (αὐτόθ. §. ρδ), καὶ ἐπὶ πᾶσι τούτοις ὑπερέχοντα, τὸν ἔνδοξον Ἔκδικον (τὸν Αὔην). Τὸν δὲ μεγάτιμον Καπέλλιον, καὶ τὸν περικλεέστατον Οὐόσσιον καὶ ὡς ἐξαιρέτους προμάχους τῶν Ο πολλάκις ἐμνημονεύσαμεν· καὶ τούτους δι᾽ εὐφήμου στόματος ἕξουσιν ἀείποτε πάντες οἱ φίλοι τῆς ἀληθείας· μεθ᾽ ὧν συντετάχθωσαν καὶ οἱ τῆς γνησίας χρονολογίας ὑπέρμαχοι, Ῥύσσελος, καὶ Σεϋφάρθος, καὶ Κυνιγχάμος ὁ πολύς. (βλ. Βιβ. Γ. σελ. 704).

§. τκε. Ἐνταῦθα περαίνομεν τὸ σχοινοτενὲς τοῦτο κεφάλαιον, τὸ πλεῖστον τοῦ βιβλίου κατασχὸν ἐξ ἀνάγκης, διὰ τὸ πλῆθος τῶν ἀπ᾽ ἀρχῆς μέχρι καὶ τῶν καθ᾽ ἡμᾶς χρόνων συνειρομένων μαρτυριῶν· καί τοι γε πολλοὺς καὶ ἄλλους τῶν ἡμετέρων παρελίπομεν (καὶ ἐξ αὐτῶν δέ τινας τῶν ἀρχαίων Δυτικῶν), θηρεύοντες, ὅσον ἐνῆν, τὸ εὐσύνοπτον· ἀλλ᾽ οὐδὲ τῶν μνημονευθέντων κατεγράψαμεν ὅλας τὰς μαρτυρίας καὶ συγγραφάς· (οὐδὲ γὰρ ἐκκλησιαστικῶν συγγραμμάτων βιβλιοθήκην συντάττομεν). Ἅλις δ᾽ οὖν (δοκοῦμεν) καὶ ἐκ τῶν ἐκτεθέντων ἀπελογισάμεθα ὑπὲρ

(α) Conrad. Pellicani praef. Comment. posteriorum Psalter.

(β) D. Heins. Aristarch. Sacer L. II. c. 15.

(γ) Fabric. Bibl. Graec. T. 3. p. 687. Harl.

τῶν μακαρίων ἡμῶν Πατέρων, οὓς γραφίδες συκοφάντριαι θρασέως ἐπειράθησαν ἀποδεῖξαι, τετιμηκότας δῆθεν ἐν πᾶσι τὸ μ. Χ. ἑβραϊκὸν, καὶ τὰς ἰουδαΐζούσας ἐξ αὐτοῦ μεταφράσεις, ἐπίσης καὶ ὁμοίως, ἢ καὶ πολλῷ δὴ πλέον τῆς Ἀποστολικῆς ἑρμηνείας τῶν Ο· ἣν ἡ τοῦ Χριστοῦ Ἐκκλησία μίαν καὶ μόνην θείαν καὶ κυρίαν πρεσβεύουσα, κέχρηται διὰ παντὸς, *μέχρις οὗ καταγγέλλεται τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ*». Ἤδη δὲ καὶ ἐπ' ἄλλα μεταβαίνομεν.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ τῶν εἰς ἄλλας γλώσσας ἀρχαίων μεταφράσεων τῆς ἑρμηνείας τῶν Ο.

§. α. Χαριέντως ἅμα καὶ λίαν ὀρθῶς εἶπεν ὁ ἱερὸς Αὐγουστῖνος, ὅτι τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν οἷον *ἐμαίευσε* γεννωμένην ἡ ἑρμηνεία τῶν Ο. Κἀκεῖνο δὲ τὸ λόγιον τὸ προφητικὸν «*Ἐκ Σιὼν ἐξελεύσεται Νόμος, καὶ Λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ*», φαίνεται προκηρύξαν τὴν ἐξέλευσιν τοῦ λόγου τοῦ *Εὐαγγελικοῦ*, συνάμα μετὰ τῆς ἑρμηνείας τοῦ *Νόμου καὶ τῶν Προφητῶν* ἐξελθόντος διὰ τοῦ Ἀποστολικοῦ κηρύγματος, τοῦ «*ἀπὸ Ἱερουσαλὴμ ἀρξαμένου, καὶ ἕως ἐσχάτου τῆς γῆς*» ἐξηχήσαντος, εἰς σωτηρίαν τοῦ σύμπαντος κόσμου. Διὰ ταῦτα καὶ πᾶσαι αἱ ὑπ' οὐρανὸν Ἐκκλησίαι συγχρόνως μετὰ τῆς *Καινῆς* τοῦ Θεοῦ Διαθήκης παρελάμβανον καὶ τὴν *Παλαιὰν*, οἵαν αὐτὴν οἱ Ἀπόστολοι παρεδίδουν, κατὰ τὴν ἑρμηνείαν τῶν Ο. Οὐδ' ὑπῆρξεν ἓν οὐδὲ ἓν τῶν χριστιανισάντων τῆς Οἰκουμένης ἐθνῶν, ὃ μὴ μετὰ τῶν Εὐαγγελίων παρέλαβεν ἐξ ἀρχῆς καὶ τὴν Ἀποστολικὴν τῶν Ο Γραφὴν, ὡς καὶ ταύτην κυρίαν καὶ *θεόπνευστον*. (Β. Τιμ. γ, 16). Ὅθεν καὶ ἐξ αὐτῆς τὸ πρῶτον ἐγένοντο παρὰ τοῖς ἑτερογλώσσοις λαοῖς αἱ πρῶται τῆς παλαιᾶς Γραφῆς μεταφράσεις εἰς τὰς ἑκάστοις ἐγχωρίους διαλέκτους. Καὶ τοῦτο Θεοῦ τὸ δῶρον. Ἐπειδὴ γὰρ ἡ πρώτη τῆς ἑβραΐδος Γραφῆς ἑλληνικὴ ἑρμηνεία θείᾳ ψήφῳ γέγονεν εἰς παρασκευὴν καὶ προπαίδειαν τῶν ἐθνῶν, πρὸς

ὑποδοχὴν τῆς μελλούσης ἀνατέλλειν Εὐαγγελικῆς πίστεως, ἡ αὐτὴ πάντως ἑρμηνεία καὶ μετὰ τὴν θείαν ἐπιφάνειαν ὤφειλε γενέσθαι καὶ μήτηρ τῆς κατὰ διαφόρους γλώσσας τῶν ἐθνῶν μεταφράσεως τῆς Παλαιᾶς Διαθήκης· ὡς καὶ τὸ θεῖον ἀρχέτυπον τῆς Καινῆς ἀπέβη πηγὴ τῆς εἰς ἄλλας γλώσσας μεταφράσεως αὐτῆς. Εἰ δέ τινες καὶ ἄλλαι κατὰ τὸν β, αἰῶνα μ. Χ. ἐκ τῆς ἑβραΐδος ἑλληνικαὶ γεγόνασιν ἑρμηνεῖαι, ὡς ἡ τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν, ἀλλ' αὗται πᾶσαι ὑπ' ἀνθρώπων ἐτεκτονήθησαν Ἰουδαϊστῶν, καὶ χάριν τῶν Ἰουδαίων· οὐδεμία δὲ οὐδαμοῦ τῆς γῆς Ἐκκλησία τῶν πιστῶν, οὔτε κατὰ τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην, οὔτε κατὰ τὴν Ἀφρικὴν, οὐδεμίαν ἐκ τῶν τοιούτων ἑρμηνειῶν, ἀλλ' οὐδ' ἐξ αὐτοῦ τοῦ μ. Χ. ἑβραϊκοῦ παρεδέξατο νεωτέραν τῆς τῶν Ο μετάφρασιν. Ὅθεν πάλιν ἀποδείκνυται τὸ θεῖον τῶν Ο κῦρος, ὑπὸ πάσης τῆς καθόλου Ἐκκλησίας ὁμολογούμενον (α).

§. β. Δύω δὲ πρῶτον ἀπαντῶσι τῆς τῶν Ο Γραφῆς εἰς ἄλλας διαλέκτους ἀρχαιόταται μεταφράσεις, ἤ,τε παλαιὰ λατινικὴ (ἡ Ἰτάλα), τελευτῶντος τοῦ Α, αἰῶνος, ἢ καὶ τοῦ Β, ἀρχομένου, φιλοπονηθεῖσα, καὶ ἡ ταύτης σύγχρονος Συριακή. Ἐφεξῆς δὲ ἡ Ἀραβικὴ, ἡ Αἰθιοπικὴ, ἡ Κοπτικὴ, ἡ Περσικὴ, ἡ Γοτθικὴ, ἡ Ἀρμενικὴ, ἡ Ἰβηρικὴ, ἡ Σλαβονική. Λέγομεν περὶ τούτων ἑκάστης χωρίς.

ΙΤΑΛΑ.

§. γ. Ἡ μὲν οὖν λατινὶς *Ἰτάλα* (ἡ καὶ *παλαιὰ Βουλγάτα*, ἢ *Κοινὴ* καλουμένη) (β), οὐ μόνον κατὰ τὴν ἑσπερίαν Εὐρώπην

(α) « Nulla alia à Catholicis versio praeter 70 admittebatur. Neque alij, praeter aut Judaeos, aut semi Judaeos, novas struxere versiones ». — Καὶ, « (ἡ τῶν) 70 interpretatio pro genuina — Scriptura habebatur, et Hebraeum ad Synagogas relegebatur ». Simon. Histor. Crit V. Test. L. II. c. X. p. 48, καὶ cap. XI. p. 52.

(β) Italam αὐτὴν ὀνομάζει ὁ ἱερὸς Αὐγουστῖνος (de Doctr. Christ. L. II. c. 16), ἐϛι δ' οὖ καὶ Usitatam, ἤτοι χρήσιμον, ἢ χρηϛὴν, ὡς ταύτην οὖσαν ἐν χρήσει κοινῶς (de Consens. Evang, 11, 66), ὅθεν καὶ Βουλγάτα, τουτέϛι Κοινὴ·

ἐκράτει, παρ' οἷς οὐκ ἦν κοινὴ τοῖς πᾶσι καὶ συνήθης ἡ ἑλληνικὴ διάλεκτος, ἀλλὰ δὴ καὶ κατὰ τὴν Ἀφρικήν. Καὶ ταύτῃ ἐχρήσαντο πάντες οἱ λατινιστὶ συγγράψαντες ἀρχαῖοι Πατέρες τῆς Δυτικῆς καὶ τῆς Ἀφρικανῆς Ἐκκλησίας· φαίνονται δὲ καὶ ἄλλαι λατινίδες ἐκ τῶν Ο μεταφράσεις μετὰ τὴν πρώτην γενόμεναι κατὰ τόπους· ὅθεν ὁ θεῖος Αὐγουστῖνος (Διδασκαλ. Χριστιαν. Β, κεφ. α) ἔοικε δεινοπαθοῦντι διὰ τὸ πλῆθος τῶν ἐπ' αὐτοῦ λατινικῶν τούτων ἐκδόσεων, λέγων· «Τοὺς μὲν ἐκ τῆς ἑβραΐδος εἰς τὴν ἑλληνίδα γλῶσσαν ἑρμηνεύσαντας τὰς Γραφὰς, ἀριθμητοὺς εἶναι, τοὺς δὲ λατίνους ἑρμηνεῖς, ἀναριθμήτους». Πλὴν ἀλλὰ καὶ οὕτω μία παρὰ Λατίνοις ἐκράτει, προτιμωμένη τῶν ἄλλων (ὡς αὐτὸς πάλιν ὁ Αὐγουστῖνος μαρτυρεῖ, αὐτόθ. κεφ. ιε), καὶ μέγιστον εἶχε κῦρος, καὶ ἰδίᾳ καὶ κοινῶς ἔν τε ταῖς λοιπαῖς τῶν Ἐκκλησιῶν, καὶ ἐν τῇ τῶν Ῥωμαίων, ἡ ἀρχαία ἐκείνη, ἡ *Ἰτάλα* καὶ *Κοινὴ* λεγομένη, καὶ συνάμα μετὰ τῆς λατινικῆς Ἐκκλησίας συγγεννηθεῖσα. Καὶ τίς μὲν ὁ ταύτην φιλοπονήσας, ἄδηλον· ὅτι δὲ μετὰ τὸ κήρυγμα τῶν θείων Ἀποστόλων ἤνθουν καὶ κατ' αὐτὸν τὸν β, αἰῶνα ἔν τε τῇ Ἰταλίᾳ καὶ Γαλλίᾳ καὶ Ἀφρικῇ Χριστιανῶν Ἐκκλησίαι, πρόδηλον καὶ βέβαιον ἐκ τῆς ἱστορίας. Ἐπειδὴ δὲ διὰ τὰς συχνὰς ἀνά τε τὴν Δύσιν καὶ τὴν Ἀφρικὴν τῶν κωδήκων ἀντιγραφὰς, καὶ τὴν κατ' ἐκείνους τοὺς χρόνους καὶ τόπους ὀλιγότητα τῶν πολυμαθῶν ἀντιγραφέων, οὐκ ὀλίγα παραναγνώσματα παρεισέφρησαν εἰς τὸ κείμενον τῆς Ἰτάλας, διώρθωσεν αὐτὴν ὁ μακάριος Ἱερώνυμος (Δαμάσου τοῦ Πάπα προτρέψαντος), ἔτι νέος τὴν ἡλικίαν, πρὸς τὸ ἑλληνικὸν κείμενον παραβαλών.

ἐκαλεῖτο (Vulgata, καὶ Communis. Hieron. in Eccles. I. 5), κατὰ τὴν Κοινὴν ἔκδοσιν τῶν Ο, ἐξ ἧς μετεφράσθη· παρὰ δὲ τῷ Ἱερωνύμῳ καὶ Παλαιὰ (Vetus), ὠνομάσθη (ἀναφορικῶς, ὡς πρὸς τὴν ὑπ' αὐτοῦ νεωτέραν ἐκ τοῦ ἑβραϊκοῦ γενομένην). Τὸ δ' οὖν Ἰτάλα ὄνομα Βεντλήϊος καὶ Ἐρνέστις, καί τινες ἄλλοι τῶν σοφῶν, οὐκ οἶδ' ὅ,τι παθόντες, ἐκβάλλουσι παντάπασι, κρίναντες αὐτογνωμόνως σφάλμα γραφικὸν, προελθὸν ἐκ τοῦ illa. (βλ. Hug, Einleit. in die Schrif. des N. Test. I. Bd. p. 463), ἀλλ' οὐδεὶς αὐτοῖς παρακολουθήσει, φησὶν ὀρθῶς ὁ Μύντερος (F. Münter Fragmenta version. antiq. Latin. p. 2).

Διὸ καὶ ταύτην ὕστερον, ἅτε πιστὴν θυγατέρα τῆς ἑρμηνείας τῶν Ο, πολλάκις καὶ ἁπλῶς, *τοὺς Ο*, ἐκάλει· καὶ δὴ καὶ εἰς τούτους ἀπ' εὐθείας ἀπέῤῥιπτε πᾶν εἴτι μὴ πάντῃ ἀκριβῶς ἡρμήνευτο, τυχὸν, ὑπὸ τοῦ πρώτου τῆς Ἰτάλας μεταφραστοῦ, ἢ καὶ ὑπὸ τῶν λατίνων ἀντιγραφέων ἠλλοίωτο, ἢ καὶ παντελῶς παροραθὲν, ἐξεπεπτώκει. Οὕτως, ἐν οἷς διώρθου κώδηξι τῆς Ἰτάλας τὸ τεῦχος τοῦ Ἰὼϐ, πολλὰ τὰ λείποντα παρατηρήσας, ἔψεγε διὰ ταῦτα ἀπ' εὐθείας αὐτοὺς τοὺς πάντα πλήρη, καθὰ σῴζονται καὶ νῦν, ἐν τῇ ἑλληνίδι Γραφῇ γεγραφότας Ο, ὁ πολλάκις ἀδίκως πρὸς τοὺς ἀοιδίμους ἐκείνους γέροντας προσενεχθεὶς Δαλμάτης Πατήρ. (βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 602). Ἡ δ' οὖν γηραιὰ καὶ σεμνοτάτη Ἰτάλα κατεῖχε δικαίως πᾶσαν τὴν δυτικωτέραν Εὐρώπην καὶ Ἀφρικὴν, καὶ διῴκει τὰς Ἐκκλησίας, καὶ ἀφ' οὗ ἐφάνη ἡ μεταγενεστέρα Βουλγάτα κατὰ τὴν Ἱερωνύμου μετάφρασιν, μέχρι τοῦ Πάπα Γρηγορίου τοῦ Μάγνου, ὁπότε ἤρξατο καὶ αὕτη συμπαραλαμϐάνεσθαι μετὰ τῆς Ἰτάλας (ὄπισ. σελ. 713)· ἕως οὗ κατίσχυσε μὲν ἡ Ἱερωνύμειος, παρημελήθη δὲ ἡ παλαιά. Ἀλλὰ καὶ οὕτω σεϐασμίαν πάλιν αὐτὴν εἶχον· οὐδ' ἡ κεκρατηκυῖα τοῦ Ἱερωνύμου Βουλγάτα ὑπῆρχε καὶ δημοσίως κεκυρωμένη οὔτ' ἐκ διατάγματός τινος τῶν Παπῶν, οὔτε μὴν Συνοδικῇ ψήφῳ τῆς Δυτικῆς Ἐκκλησίας· ὑπερίσχυσε δὲ σιωπηλῇ συγκαταθέσει μέχρι τῆς ἐν Τριδέντῳ Συνόδου (τῷ 1590), ὁπότε τὸ πρῶτον ἐκυρώθη ὡς αὐθεντική (α). Ἀλλὰ περὶ τῆς Βουλγάτας ταύτης προείπομεν καὶ ἐν τοῖς ἔμπροσθεν (Βιϐλ. Γ. σελ. 103).

§. δ. Τῆς δ' ἀρχαίας Βουλγάτας, ἢ Ἰτάλας, σῴζονται καὶ νῦν οἱ Προφῆται, οὓς μετὰ τῆς ἑβραϊζούσης αὐτοῦ μεταφράσεως παραλλήλους συνεξέδωκεν ὁ Ἱερώνυμος. Καὶ ἄλλα δὲ τῆς Ἰτάλας καὶ τῶν ἄλλων τῶν προειρημένων ἀρχαίων λατινίδων ἑρμηνειῶν ἀποσπάσματα συνάξας ἐκ κωδήκων παλαιῶν, καὶ συγγραμμάτων

(α) Βλ. Walton. Proleg. X. §. 9. pag. 480. — Simon. Hist. Crit. V. Test. L. II. c. XI—XIV. — Carpzov. Crit. Sacr. p. 671. — Eichhorn Einleit. in d. A. Test. 2 Bd. p. 398—436.

τῶν ἀρχαίων τῆς λατινικῆς Ἐκκλησίας Πατέρων, ἐξέδωκε μετὰ τὸν Φάβρον, ὁ Νοβίλιος, εἶτα δὲ καὶ Μαρτιαναῖος, καὶ ἄλλοι, καὶ ἐπὶ πᾶσιν ὁ Σαβατιῆρος (α), ἔστι δ' ἃ καὶ πολλῷ νεώτερος, ὁ προμνημονευθεὶς Μύντερος (β).

ΣΥΡΙΑΚΗ.

§. ε. Ὅτι ἡ ἀρχαιοτάτη καὶ Ἀποστολικὴ Ἐκκλησία τῶν Σύρων παρέλαβεν ἐξ ἀρχῆς τὴν ἑρμηνείαν τῶν Ο, πρόδηλον· εἴ γε καὶ ἡ θεούπολις τῆς Συρίας μητρόπολις Ἀντιόχεια, «*ἐν ᾗ πρῶτον ὠνομάσθησαν οἱ μαθηταὶ Χριστιανοὶ*», καὶ ἄλλαι πόλεις τῆς Συρίας ἦσαν ἑλληνίζουσαι. Ἕπεται λοιπὸν, ὅτι ἐκ τῶν Ο γέγονε καὶ ἡ πρώτη Συριακὴ μετάφρασις τῆς Παλαιᾶς Γραφῆς, εἰς χρῆσιν τῶν Συριστὶ κατὰ τόπους λαλούντων Χριστιανῶν. Οὐδ' ἂν ἔστερξαν οἱ ἀρχαῖοι ποιμένες τῆς Συριακῆς Ἐκκλησίας ἐκ τῆς μ. Χ. ἑβραΐδος γενέσθαι τὴν Συριακὴν μετάφρασιν, παροραθείσης τῆς ὑπὸ τῶν Ἀποστόλων παραδοθείσης τοῖς πιστοῖς· Ἡ δ' ὑπ' αὐτῶν τῶν Ἀποστόλων, ἢ καὶ πρὸ Χριστοῦ, μεμυθολογημένη μετάφρασις τῆς Πεσχίτας, πλάσμα φαίνεται τῆς τῶν νεωτέρων Σύρων φιλοτιμίας, καθὰ προείπομεν. Ταύτης δὲ τῆς πρώτης ἐκ τῶν Ο, ἑρμηνείας τῆς Γραφῆς τρανώτατα δείγματα εὑρίσκονται καὶ παρὰ τῷ μακαρίῳ Ἐφραὶμ, καὶ ἐν αὐτῇ τῇ Πεσχίτᾳ. Ἴδε τὰ περὶ ταύτης προεκτεθέντα διὰ μακρῶν (Βιβλ. Γ. κεφ. κ).

§. ς. Ἀλλὰ καὶ περὶ τῆς ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν, κατὰ τὸ 616, φιλοπονηθείσης Συριακῆς ἑρμηνείας τῶν Ο σεσημείωται τὰ εἰκότα (Βιβλ. Γ. κεφ. β. σελ. 93). Παῦλος, ὁ Τέλλας, Σύρας πόλεως, ἐπίσκοπος, λέγεται ὁ ταύτης ἑρμηνεύς. Ἀκολουθεῖ δὲ καθόλου τῷ κειμένῳ τῆς Ἀλεξανδρινῆς ἐκδόσεως ἡ Ἑξαπλαία αὕτη Συριακὴ, σπανίως ἀποκλίνουσα πρὸς τὸ Βατικανὸν, ἢ τὸ τῆς Κομπλουτείας.

(α) Bibliorum Sacrorum Latinae versiones antiquae, seu Vetus Itala et ceterae, quaecunque in Codd. Mss. et antiquorum libris reperiri potuerunt etc. Studio D. P. Sabatier, 3 vol. Remis, 1743.

(β) Münter, Fragmenta versionis antiquae latinae antehieronym. Prophetarum Ieremiae, Ezech., Danielis et Hoseae. Hafniae, 1819.

Καὶ ἔστι κάλλιστον βοήθημα πρὸς διάγνωσιν τοῦ κειμένου τῶν Ο, ὅπως Ὠριγένης ἀνέγνω τοῦτο, καὶ γέγραφεν ἐν τοῖς Ἐξαπλοῖς (α). Ἔστι δὲ καὶ ἄλλη Σύρα ἑρμηνεία, ἡ Φιλοξένειος, ἐκ τῶν Ο καὶ αὕτη μεθερμηνευθεῖσα ὑπὸ Φιλοξένου, ἐπισκόπου Ἱεραπόλεως, (τῷ 488-518), ἢ παρά τινος αὐτοῦ χωρεπισκόπου, Πολυκάρπου. Οἱ δέ τινες καὶ ἄλλην ἐφήμισαν, Θωμᾶ τινος ἐπισκόπου Ἡρακλείας (τῷ 616), μεταφράσαντος ἐν Ἀλεξανδρείᾳ τὰ Ἀναγινωσκόμενα, ἢ καὶ ὅλην τὴν Γραφήν (β).

ΑΡΑΒΙΚΗ.

§. ζ. Πρῶτος ἐν Ἀραβίᾳ φαίνεται κηρύξας τὸν θεῖον λόγον αὐτὸς ὁ μέγας Ἀπόστολος τῶν ἐθνῶν· « Ὅτε δέ (φησιν) ηὐδόκησεν ὁ Θεὸς - ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, *ἵνα εὐαγγελίζωμαι αὐτὸν τοῖς ἔθνεσιν*, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, - ἀλλ' ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν » (Γαλάτ. α, 15-17). « Εὐθὺς » (ἑρμηνεύει ὁ ἱερὸς Θεοδώρητος αὐτόθι) « τοῦ κηρύγματος ἡψάμην, τοῖς μηδέπω τῆς θεογνωσίας ἠξιωμένοις προσφέρων τὸ Εὐαγγέλιον ». Μετὰ ταῦτα δὲ καὶ Θωμᾶς, καὶ Βαρθολομαῖος ὁ Ἀπόστολος, καὶ ὁ εὐνοῦχος δυνάστης Κανδάκης τῆς βασιλίσσης ἐκήρυξε τὸ Εὐαγγέλιον ἐν Ἀραβίᾳ τῇ Εὐδαίμονι (κατὰ τὸν Δωρόθεον). Ἀλλὰ καὶ μετὰ τὴν ἐπὶ Τίτου καταστροφὴν τῶν Ἱεροσολύμων οὐκ ὀλίγη τῶν Ἰουδαίων πληθὺς ἐξέφυγεν εἰς τὴν Χερσόνησον τῆς Ἀραβίας· ἔνθα καὶ διῆγον ἡσύχως, ὥστε καὶ βασιλείαν ἰδίαν συνέστησαν, Δουναὰν τοῦ Ἰουδαίου τυραννήσαντος Ὁμηριτῶν, καὶ πολλὴν φθορὰν τοῖς ἐκεῖ Χριστιανικοῖς ἐπενεγκόντος· καθεῖλε δὲ τοῦτον Ἐλεσβαὰν, Αὐξουμιτῶν βασιλεὺς, ἀντικαταστήσας Ἀβράμιον (περὶ τὸ 528)· ὃς ἠπιώτατος ἐγένετο περὶ τοὺς

(α) Βλ. Wiseman Horae Syriacae T. 1. p. 90, 91. — Herbst Einleit. 1. Bd. p. 207. — Horne An Introduct. vol. 2. part. 1. p. 225. — Eichhorn, Repertor. für Bibl. und morg. Liter. III. Th. p. 225-250, καὶ VIII. Th. p. 85-112. καὶ Einleit. in das A. Testam. 2. Bd. p. 181-199.

(β) Βλ. Assemani Bibl. Orient. T. 2. p. 10—46, 283. — Horne l. c. p. 224. — Eichhorn, Einleit. in d. A. Test. 2. Bd. p. 214-219. — Herbst. l. c. p. 207.

χριστιανοὺς, καὶ τὰς Ἐκκλησίας ἀνήγειρε (α). Καὶ ὑπῆρχον λοιπὸν ἔκπαλαι χριστιανοὶ ἐν τῇ Ἀραβίᾳ, οἱ μὲν ἔξωθεν μετοικήσαντες (ὡς καὶ οἱ Ἰουδαῖοι), οἱ δὲ καὶ ἐγχώριοι, μετὰ τὸ κήρυγμα τῶν Ἀποστόλων καταστάντες, καὶ Ἐκκλησίας κατὰ μικρὸν καθιδρύσαντες, καὶ μάλιστα τοῦ Μ. βασιλεύσαντος Κωνσταντίνου· ὅθεν καὶ ἀρχιερεῖς Ἄραβας ὁρῶμεν πεμπομένους εἰς τὰς Συνόδους, καὶ εἰς τὴν Α, αὐτήν (βλ. τὸν Εὐσέβ. Βίῳ Κωνστ. Γ, ζ). Κατὰ δὲ τὸ 530 ὑπῆρχεν ἀρχιεπίσκοπος Τεφρῶν (ἐν τῇ εὐδαίμονι Ἀραβίᾳ, ὅπου ἦν καὶ τὸ βασίλειον τῶν Ὁμηριτῶν, τῶν αὐτῶν καὶ Σαβαίων, ἐπὶ τοῦ προῤῥηθέντος βασιλέως Ἀβραμίου), ὁ ἅγιος Γρηγέντιος· ὅστις διαλεγόμενος μετὰ τοῦ Ἰουδαίου Ἑρβὰν, ἐξέφερε τὰς Γραφικὰς ῥήσεις κατὰ τοὺς Ο· καὶ ὁ Ἰουδαῖος ὡσαύτως, ὡς προσεσημείωται (κεφ. ε. §. ρπη). Ἐκ τῶν Ο, λοιπὸν εἶχον καὶ Ἀραβικὴν τῆς παλαιᾶς Γραφῆς ἑρμηνείαν εἰς χρῆσιν δημοσίαν.

§. η. Ἀλλ' ὅμως ἐκ τῶν ἀρχαίων ἐκείνων χρόνων οὐδὲν ὑπολέλειται ἴχνος Ἀραβικῆς ἑρμηνείας, ἢ ὅλης, ἢ μέρους τινὸς τῆς θείας Γραφῆς, ὡς ἔδοξε τοῖς κριτικοῖς. Αἱ δὲ καθ' ἡμᾶς σωζόμεναι Ἀραβικαὶ μεταφράσεις λέγονται νεώτεραι τοῦ Ζ, αἰῶνος, ὁπότε (φασὶ) μετὰ τοῦ Μωάμεθ καὶ τοῦ Κουρανίου συνεβασίλευσε κατὰ τὰς χώρας ἐκείνας καὶ ἡ Ἀραβικὴ διάλεκτος. Ἀλλὰ τοῦτο φαίνεταί πως παράδοξον. Ποίαν γὰρ ἄλλην διάλεκτον ἐλάλουν ἐξ ἀρχῆς πανταχοῦ τῆς Ἀραβίας οἱ ἐγχώριοι ἰθαγενεῖς, εἰ μὴ τὴν πάτριον Ἀραβικήν; Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, αὐτοὶ πάλιν ψηφιοῦσιν οἱ Κριτικοί.

§. θ. Δύω δὲ γένη Γραφῶν Ἀραβικῶν σώζονται τὴν σήμερον· τὸ μὲν Ἰουδαϊκὸν, τὸ δὲ χριστιανικόν. Πρῶτος ὁ Σααδίας Γαὼν (τῷ 900 μ. Χ.) ἡρμήνευσεν Ἀραβιστὶ, γράμμασι χρησάμενος ἑβραϊκοῖς, ὅλην (ὡς λέγουσι) τὴν ἑβραϊκὴν Γραφὴν, εἰς χρῆσιν τῶν ἐν Ἀραβίᾳ ὁμοθρήσκων, ὡς προείπομεν (Βιβλ. Γ. κεφ. β. §. μθ). Ταύτης

(α) Βλ. Act. Sanct. Surij Octobr. XXIV. num. 29, 30 — 1. Cave τ. 2. p. 110. πρβλ. Νικοδ. Συναξ. 'Οκτωβρ. κδ, καὶ Νικηφ. Ἐκ. Ἱστορ. Βιβλ. ιζ, κ. κγ, ὅστις οὐ μέμνηται τοῦ Ἀβραμίου.

μόνη ἡ Πεντάτευχος σῴζεται (τῷ 1546, ἐν Κωνσταντινουπόλει ἐκδεδομένη), καὶ τὸ τεῦχος τοῦ Ἡσαΐου. Καὶ ἄλλην δὲ μεταγενεστέραν ἀραβικὴν ἑρμηνείαν τῆς Πεντατεύχου γράμμασιν ἑβραϊκοῖς ἐξέδωκεν ὁ Ἑρπένιος (τῷ 1622), ᾗ χρῶνται οἱ ἐν Μαυριτανίᾳ Ἰουδαῖοι. Λέγεται δὲ καί τις ἰουδαϊκὴ μετάφρασις τῶν Βασιλειῶν.

§. ι. Τῶν δὲ χριστιανικῶν μία μέν ἐςιν ἀρχαιοτάτη (ᾗ χρῶνται οἱ χριστιανοὶ Ἄραβες) ἐκ τῶν Ο, κατὰ τὸ Ἀλεξανδρινὸν κείμενον, ἡρμηνευμένη· περιέχει δὲ τοὺς μικροὺς καὶ τοὺς μεγάλους Προφήτας, καὶ τὰ ἁγιόγραφα (πλήν τινων)· καὶ ἄλλην ὁμοίαν ἔχουσιν ἑρμηνείαν ὁλόκληρον (πλὴν τῆς Ἐσθὴρ, τῆς Ἰουδεὶθ, τοῦ Τωβὶτ, καὶ τῆς Β καὶ Γ, τῶν Μακκαβαίων). Ἔστι δὲ παρ᾽ αὐτοῖς καὶ ἡ Πεντάτευχος ἰδίως ἐκ τῆς Συριακῆς κατὰ τοὺς Ο, μεθηρμηνευμένη (τῷ 1513). Οἱ δέ τινες καὶ ὅλης τῆς Γραφῆς λέγουσιν ἑρμηνείαν γενομένην ἐκ τῶν Ο τῶν κατὰ Σύρους Ἑξαπλῶν. Καὶ ἐκ τῆς Σύρας Πεσχίτας σῴζεται μετάφρασις Κριτῶν, Ῥοὺθ, Βασιλειῶν, Νεεμίου (πλήν τινων ἐν τούτοις μικτῶν ἐκ τοῦ ἑβραϊκοῦ). Καὶ τοῦ Ψαλτῆρος δὲ ἰδίως ἐκ τῶν Ο μετάφρασις, πολλάκις ἐκδεδομένη (α). Τῷ δὲ 1792 (Βιέννῃ) καὶ μετὰ τῆς Ἀραβικῆς ἐξηγήσεως τοῦ Πατριάρχου Ἱεροσολύμων Ἀνθίμου (ὄπισθ. σελ. 824).

ΑΙΘΙΟΠΙΚΗ.

§. ια. Κατὰ ποίαν διάλεκτον ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν ὁ τῆς Κανδάκης, Αἰθιόπων βασιλίσσης, εὐνοῦχος, ὃν ὁ Ἀπόστολος ἐβάπτισε Φίλιππος, οὐ γέγραπται (Πράξ. η, 27)· φαίνεται δὲ οὐκ ἀπίθανον, ὅτι ἑλληνιστὶ (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 75). Ἀλλ᾽ ὅπως ἂν ἔχῃ τὸ περὶ τούτου, ὅτι ὁ δυνάστης οὗτος τῆς Κανδάκης ἐγένετο καὶ κήρυξ τοῦ Εὐαγγελίου παρὰ τοῖς Αἰθίοψι, τίς ἂν ἀμφιβάλοι δικαίως; Ἀλλὰ καὶ Θωμᾶς ὁ Ἀπόστολος ἐκήρυξεν εἰς τοὺς Ἰνδοὺς καὶ τοὺς Αἰθίοπας· καὶ

(α) Βλ. Walt. Proleg. XIV. §. 15. 17. — Simon. Hist. Crit. V. Test. L. II. c. 16. — Eichhorn, Einleit. in d. A. Test. 2. Bd. p. 230-319.— Herbst, Einleit. 1. Bd. p. 216.

τούτου ἴχνη εὗρον κατ' ἐκείνας τὰς χώρας οἱ Λυσιτανοὶ (Πορτουγάλλοι). Καὶ τῶν θείων δὲ Πατέρων οἱ ἀρχαιότατοι τὸν εὐνοῦχον τῆς Κανδάκης λέγουσι καὶ κήρυκα τοῦ Εὐαγγελίου γενόμενον ἐν Αἰθιοπίᾳ· Ἐπ' αὐτῷ (φησὶν ὁ θεῖος Εἰρηναῖος) ἐπληρώθη τὸ τοῦ προφήτου, « *Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ* » (Ψαλμ. ξζ). Τοῦτο μετ' ἄλλων ἱστόρησε καὶ Εὐσέβιος, λέγων· « Τοῦτον πρῶτον, ἐπὶ τὴν πάτριον παλινοστήσαντα γῆν, εὐαγγελίσασθαι τὴν τοῦ τῶν ὅλων Θεοῦ γνῶσιν » κτλ. (α).

§. ιϐ. Καὶ ὑπῆρχεν ἄρα τὸ δένδρον τῆς ἐν Χριστῷ ζωῆς ἀνέκαθεν πεφυτευμένον ἐν τῇ Αἰθιοπίᾳ κατὰ τόπους, καὶ μᾶλλον ἴσως πρὸς τὰ ἐξώτερα μέρη τῆς γῆς ἐκείνης. Κατὰ δὲ τὸ 330 Αἰδέσιος καὶ Φρουμέντιος, δύω Τύριοι χριστιανοί, ὑπὸ τῶν Αἰθιόπων αἰχμαλωτισθέντες, προσήχθησαν τῷ βασιλεῖ τῆς ἐνδοτέρας Αἰθιοπίας, ἢ Ἀβυσσηνίας, καὶ παρ' αὐτῷ εὐδοκιμήσαντες, ἐτιμήθησαν. « Ἐν δὲ τούτῳ τῷ χρόνῳ ὁ Φρουμέντιος ἐπυνθάνετο, εἴ τινες εἶεν χριστιανοὶ παρ' Ἰνδοῖς » (Ἰνδοὺς ἔλεγον οἱ πάλαι καὶ τοὺς ἐξ Ἰνδῶν μετοικήσαντας Αἰθίοπας), « ἢ Ῥωμαῖοι, τῶν εἰσπλεόντων ἐμπόρων· ἐπιμελῶς δὲ τούτους ἀναζητῶν, - εὐχῆς ἕνεκα συνιέναι ἐποίει· - καὶ διὰ πάντων προὐτρέπετο τὸ θεῖον πρεσβεύειν, εὐκτηρίους οἴκους οἰκοδομήσας » (Σωζόμ. Ἐκκλ. ἱς. Β, κδ). Ἐκ τούτων οὖν βλέπομεν ὀλίγους ὄντας (εἴπερ ἦσαν) ἐν Ἀβυσσηνίᾳ τοὺς χριστιανούς, οὓς μετὰ τῶν Ῥωμαίων συνῆγεν ὁ Φρουμέντιος, καὶ οὐδὲ ἐκκλησίας ἔχοντας δημοσίας. Τοῦτον οὖν τὸν τρίτον τῆς Αἰθιοπίας ἀπόστολον ἐπανελθόντα εἰς Ἀλεξάνδρειαν, ὁ Μέγας Ἀθανάσιος χειροτονήσας, ἀπέστειλε πάλιν πρῶτον *Ἰνδικῆς* (Αἰθιοπίας) *ἐπίσκοπον* (ϐ). Ὁ δὲ Σκαλίγηρος ἄγαν ἐπλανήθη, εἰσάγων εἰς τὴν Αἰθιοπίαν τὸν χριστιανισμὸν μόλις τῷ 25 ἔτει τῆς βασιλείας τοῦ Ἰουστινιανοῦ, ὁπότε τὸ πρῶτον ἐπίστευσεν ὁ βασιλεὺς τῶν

(α) Εὐσέβ. Ἐκκλησ. ἱστορ. Β, α. Κύριλ. Ἱεροσολ. Κατηχ. ιζ. Hieron. Com. in Ezech. 53. καὶ Epist. 10. Θεοδώρητ. εἰς ψαλμ. ξζ. Νικηφ. Ἐκκλησ. Ἱστορ. Β, 6. 7. Δωρόθ. ἐν Συνόψ.

(ϐ) Τοῦ ἁγίου Φρουμεντίου τὴν μνήμην ἄγει ἡ Ἐκκλησία, Νοεμβρίου λ.

Αὐξουμιτῶν. Εἰ γὰρ ὁ τῶν Αὐξουμιτῶν (Ἀράβων εἰδωλολατρῶν, μετοικισάντων εἰς τὴν Αἰθιοπίαν) τοπάρχης ἐχριστιάνισε περὶ τὸ 550, τί τοῦτο πρὸς τοσούτους ἄλλους τῆς πολλὰς βασιλείας ἐχούσης Αἰθιοπίας λαοὺς, οἵτινες πολλοῖς πρότερον ἐνιαυτοῖς ἐπίστευσαν εἰς Χριστόν;

§. ιγ. Εἰς τὸν ἅγιον Φρουμέντιον ἀποδίδοται καὶ ἡ ἐκ τῶν Ο κατὰ τὸ Ἀλεξανδρινὸν Αἰθιοπικὴ μετάφρασις τῆς παλαιᾶς Γραφῆς, ᾗ χρῶνται καὶ τὴν σήμερον οἱ Αἰθίοπες. Ἐξεδόθησαν δὲ τύποις τὸ Ψαλτήριον, τὸ Ἆσμα τῶν Ἀσμάτων, Σοφονίας, Ἰωνᾶς, Ἰωὴλ, Μαλαχίας, καὶ τὰ πρῶτα τέσσαρα κεφάλαια τῆς Γενέσεως (α). Ἄλλοι δὲ καὶ παλαιτέραν κρίνουσι τὴν Αἰθιόπισσαν ταύτην ἑρμηνείαν, κατὰ τὸν β, ἢ γ, αἰῶνα πηγάσασαν ἐκ τῶν Ο. Ταύτης καὶ ὁ θεῖος Χρυσόστομος μνημονεύει (Ὁμιλ. Β, εἰς Ἰωάν.).

§. ιδ. Ἄξιον δὲ μάλιστα ὑπομνήσεως καὶ τὸ ἐφεξῆς. Μέγας Ἰουδαίων ἀριθμὸς ὑπῆρχε καὶ πρὸ Χριστοῦ Σωτῆρος εἰς Αἰθιοπίαν μεταναστάντες, ἐν τῇ ἐπαρχίᾳ Σαμὲν (ὅπου καὶ βασιλέα ἴδιον εἶχον μέχρι τοῦ 1800). Οὗτοι τοίνυν οἱ Ἰουδαῖοι καὶ εἶχον καὶ ἔχουσι καὶ νῦν τὴν ἑρμηνείαν τῶν Ο (βλ. ὄπισθ. Βιβλ. Γ. κεφ. ιε. §. ιε) (β).

ΑΙΓΥΠΤΙΑΚΗ, Η ΚΟΠΤΙΚΗ.

§. ιε. Ἀφ' οὗ ἡ Αἴγυπτος ὑπετάγη ὑπὸ τὸ σκῆπτρον τῶν Πτολεμαίων, καὶ ἡ γλῶσσα τῶν Ἑλλήνων ἀπέβη ἡ βασιλεύουσα διάλεκτος, ἔμελλε καὶ ἡ ἄνω Αἴγυπτος ταύτης μεθέξειν, ἀναμιγνῦσα μετὰ τῆς ἐγχωρίου Αἰγυπτιακῆς, οὐ μόνον λέξεις ἑλληνίδας, ἀλλὰ καὶ γράμματα ἑλληνικά. Ἐκ δὲ ταύτης τῆς μίξεως προῆλθεν ἡ Κοπτικὴ λεγομένη γλῶσσα, παρονομασθεῖσα ἀπὸ τῆς Κοπτοῦ,

---

(α) Βλ. Ludolph. Comment. in Hist. Aethiopic. pag. 295.— Walt. Prol. c. XV. §. 10. — Carpzov. Crit. Sacr. p. 668. — Jahn, Einleit. 1. Bd. p. 213. — Eichhorn, Einleit. 2. Bd. p. 349. — Herbst, Einleit. 1. Bd. p. 280. — Hasse, Lectionar. Syro-Arabico-Samarintano-Aethiopic. Regiomont. 1788. — Brucês Travels vol. 2. p. 416—410.

(β) Βλ. Journale Asiatique 1829, Juin, Juillet.

πρωτευούσης τῆς ἄνω Αἰγύπτου (α). Ἐπειδὴ δὲ κατὰ τὸν Ι, αἰῶνα κατέσχεν ὅλην τὴν Αἴγυπτον ἡ Ἀραβικὴ, μόνον ἐπ' Ἐκκλησίας ἡ Κοπτικὴ διετηρήθη μετὰ τῶν γραμμάτων αὐτῆς· καὶ ἄλλαι δέ τινες Αἰγυπτίων διάλεκτοι μνημονεύονται, ἡ Θηβαϊκὴ (ἡ Σαϊδικὴ), καὶ ἡ Μεμφῖτις, καὶ ἡ Δελτῖτις (Βασμουρικὴ, κατὰ τὸ μικρὸν Δέλτα), (β), καθ' ἃς εὑρίσκονται μεθηρμηνευμένα τεμάχιά τινα τοῦ Ἡσαΐου, καὶ Ἱερεμίου, καὶ Δανιὴλ (γ). Ἡ δὲ ὅλη τῆς Παλαιᾶς Γραφῆς ἑρμηνεία, ᾗ καὶ νῦν οἱ Κόπται χρῶνται, ὑπῆρχεν ἀνέκαθεν εἰς τὴν Κοπτικὴν διάλεκτον ἐκ τῶν Ο μεθηρμηνευμένη περὶ τὴν β, ἑκατονταετηρίδα (δ). Καὶ ταύτης τῆς ἑρμηνείας ὁ θεῖος Χρυσόστομος μνημονεύει (εἰς Ἰωάν. Ὁμιλ. β). Περιέχει δὲ καὶ τὰ Ἀναγινωσκόμενα βιβλία πάντα, κατὰ τοὺς ἡμετέρους κώδηκας. Ὅτι δὲ ὑπῆρχεν ἤδη ἡ Αἰγυπτιακὴ αὕτη ἑρμηνεία κατὰ τὸν γ, αἰῶνα, μαρτυρεῖ λαμπρῶς ὁ ἱερὸς Ἐπιφάνιος, ἱστορῶν, ὅτι Ἱερακάς τις (ἢ Ἱέραξ) Αἰγύπτιος, ἐκ Λεοντοπόλεως (περὶ τὸ τέλος τῆς γ, ἑκατονταετηρίδος ἀκμάσας) «Συνεγράψατο ἑλληνικῶς τε καὶ Αἰγυπτιακῶς, ἐξηγησάμενος καὶ συντάξας [περὶ] τῆς Ἑξαημέρου» (Αἱρέσ. μζ, §. 3. σελ. 712). Ὁ δὲ Ζώσιμος (περὶ τὸ 400, μ. Χ.), ὁ Πανοπολίτης χημικὸς (οὗ καὶ πρότερον ἐμνημονεύσαμεν, Βιβλ. Β. σελ. 368) ἄγαν ἀπηρχαίωσε τὴν ἑρμηνείαν, λέγων· «Ταῦτα δὲ ἐν ταῖς βιβλιοθήκαις τῶν Πτολεμαίων εὕρηνται, ὅτε παρεκάλεσε Σίμωνα Ἀρχιερέα τῶν Ἱεροσολύμων, πέμψαντα ἑρμηνεύειν πᾶσαν τὴν ἑβραΐδα [Γραφὴν] Ἑλληνιςὶ καὶ Αἰγυπτιστί.» (ἐν τῷ περὶ Ὀργάνων καὶ καμίνων). Τὸ δὲ μᾶλ-

(α) Βλ. Hug, Einleit. in die Schrift. des N. Test. I. Bd. 405, 413. καὶ über die ägyptische Sprahe und Literatur in Ersch und Grubers Encyclopædie 2. Bd. p. 37.

(β) Βλ. Quatremère, Recherches critique et histor. sur la langue et la litter. de l'Egypte. Paris, 1808.

(γ) Βλ. Münter, Specimen version. Copticarum. Romae, 1786. Engelbreth, Fragmenta basmurico-coptica Vet. et Nov. Testamenti. Hafniae, 1811.

(δ) Jahn, Einleit. I. Bd. p. 211.

λον σημειώσεως ἄξιον, ἡ Κοπτικὴ ἑρμηνεία περιέχει πάσας τὰς ὑπὸ τῶν σφόδρα κριτικῶν τετραγωδημένας *προσθήκας* δῆθεν, ἢ *ἐλλείψεις*, ἢ *μεταθέσεις*, τῶν Ο· ὡσαύτως καὶ ἡ Θηβαϊκὴ, ἡ Σαϊδικὴ, καθὰ παρετήρησεν ὁ σοφὸς Ἄγγλος Βοΐδης (α). Ὥστε καὶ ἐκ τούτου τοῦ ἀρχαίου μνημείου ἀποδείκνυται τὸ γνήσιον τῆς ἐν τῇ Ἐκκλησίᾳ ἀπαραχαράκτου σεσωσμένης ἑρμηνείας τῶν Ο, ὡς αὐτὴν παρέδωκαν οἱ Ἀπόστολοι, ἐξελέγχεται δὲ τἀνάπαλιν αὐτὸ τὸ ἑβραϊκὸν κείμενον παθὸν περὶ τὸν β, αἰῶνα τὰς ἀδίκως εἰς τοὺς Ο, ἀποῤῥιφθείσας μεταβολάς.

ΠΕΡΣΙΚΗ.

§. ιϛ. Ὅτι ὑπῆρχον ἔκπαλαι χριστιανοὶ ἐν τῇ Περσίᾳ, μαρτυρεῖ πᾶσα ἡ Ἐκκλησιαστικὴ ἱστορία. Ἔτι ἐπὶ τοῦ Μ. Κωνσταντίνου ἱστορεῖται *Περσίας ἐπίσκοπος ἐν τῇ κατὰ τὴν Νίκαιαν Α, Συνόδῳ παρὼν* (Εὐσέβ. Βίῳ Κωνστ. Γ, 7), Ἰωάννης τ' ὄνομα (Συνόδ. Συλογ. τ. α. σελ. 184). Ἦν δὲ τῇ Ἀντιοχέων Ἐκκλησίᾳ ἡ Περσικὴ ὑποτεταγμένη (ὡς ἐκεῖθεν ἴσως λαβοῦσα τὸν πρῶτον ἐπίσκοπον). Καὶ βασιλέα μὲν Περσῶν οὐδένα χριστιανὸν ἔχομεν ἐκ τῆς ἱστορίας· Διωγμοὺς δὲ τῶν ἐν Περσίᾳ χριστιανῶν ἱστοροῦσι πάντα τὰ ἐκκλησιαστικὰ ὑπομνήματα καὶ μαρτυρολόγια· καὶ πρώτιστα τὸν ὑπὸ Σαβώρου (τῷ 343)· ὁπότε Συμεὼν, ἀρχιεπίσκοπος Σελευκείας καὶ Κτησιφῶντος, καὶ ὁ θεῖος Ἀκεψιμᾶς, καὶ ἄλλοι δὲ πολλοὶ ἐπίσκοποι, ἐξ ὀνόματος ἱστορούμενοι, καὶ ἱερεῖς, καὶ κληρικοὶ, καὶ χριστιανῶν δὲ λαϊκῶν ἄφατον πλῆθος, ἀνεδήσαντο τὸν στέφανον τοῦ μαρτυρίου, καὶ οἱ ναοὶ κατεστράφησαν (β). Τὰ δ' ἐπὶ Χοσρόου (τῷ 622) μεταγενέστερα παραλείπομεν. Ὑπῆρχε λοιπὸν ὁ χριστιανισμὸς ἐν Περσίᾳ πολὺ καὶ πρὸ τοῦ Μ. Κωνσταντίνου διαβάς· Θωμᾶ τὸ πρῶτον τοῦ Ἀποστόλου κηρύξαντος τὸν σωτήριον λόγον, ἴσως δὲ συγχρόνως καὶ

(α) Βλ. Herbst, Einleit. 1. Bd. p. 299. — Horne An Introduct. vol. 2. part. 1. p. 226.

(β) Σωζόμ. Ἐκκλησ. ἱστορ. Β. θ. Hieron. in Chronic. — Θεοδώρ. Ἐκκλησ. ἱστορ. α, 24. — Κεδρην. ἐν βίῳ Κωνσταντ.

τῶν θεοσεβῶν ἐκείνων Περσῶν, (οὓς *Ἐλαμίτας* ἡ Γραφὴ ὀνομάζει), οἵτινες κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς παρῆσαν ἐν Ἱεροσολύμοις μάρτυρες αὐτόπται τοῦ θαύματος τῶν ἀποστολικῶν γλωσσῶν (Πράξ. β.)· καὶ τοῦ χρόνου προϊόντος, ἐπληθύνοντο καὶ οἱ πιστοί· οὕτω δὲ παλαιόθεν πολλῶν Περσῶν προσκυνούντων τὸν ἥλιον τῆς Δικαιοσύνης, ὑπῆρχεν ἀναμφιβόλως οὐ μόνον τῆς Καινῆς, ἀλλὰ καὶ τῆς Παλαιᾶς Γραφῆς Περσὶς ἑρμηνεία, καὶ αὕτη κατὰ τοὺς Ο (α). Ταύτης καὶ ὁ θεῖος Χρυσόστομος μέμνηται (Εἰς Ἰωάν. Ὁμ. Β). Ἀλλ' ἡ κατὰ τὸν Ζ, αἰῶνα ὑπὸ τῶν Ἀράβων καταστροφὴ τῆς βασιλείας τῶν Περσῶν, πολλὴν ἐπέφερε καὶ εἰς τὸν χριστιανισμὸν τὴν ζημίαν, καταστραφεισῶν καὶ τῶν κατὰ τόπους ἐκκλησιῶν. Ἄδηλον, δὲ καὶ εἴπου τινὰ σῴζονται λείψανα τῆς παλαιᾶς Περσικῆς ἑρμηνείας ἐκείνης. Ἡ δὲ νῦν φερομένη μετάφρασις τῶν Εὐαγγελίων καὶ τοῦ Ψαλτηρίου φαίνεται νεωτέρα· ὡσαύτως καὶ ἡ τῆς Πεντατεύχου, ἣν ἐκ τοῦ ἑβραϊκοῦ Ἰουδαῖος ἄνθρωπος Ἰουδαίων χάριν οὐ πρὸ τοῦ ἐννάτου αἰῶνος ἡρμήνευσε (β).

ΓΟΤΘΙΚΗ.

§. ιζ. Καὶ εἰς τὴν Γοτθίαν ὑπῆρχε χριστιανισμὸς κατὰ τὰς ἀρχὰς τοῦ Δ, αἰῶνος (Σῳζόμ. Β, η). Καὶ ἐν τῇ Συνόδῳ δὲ τῆς Νικαίας παρῆν *Γοτθίας ἐπίσκοπος*. Μετὰ ταῦτα Οὐλφίλας ὁ ἀρχιερεὺς αὐτῶν τά τε γράμματα σφίσιν εὗρε τὰ Γοτθικὰ, καὶ τὰς Γραφὰς ἡρμήνευσε Γοτθιστὶ ἐκ τῶν Ο, καθὰ προείρηται (σελ. 532). Μετὰ δὲ τὴν τῶν Γότθων καταστροφὴν, ᾤχοντο φροῦδα καὶ τὰ Γοτθικὰ χειρόγραφα τῆς Γραφῆς, καὶ οὐδ' ἴχνος αὐτῶν ἐφαίνετο διὰ πολλῶν αἰώνων. Ἀλλ' αἴφνης οὐ πρὸ πολλοῦ τοῦ χρόνου ἀνεκαλύφθησαν λείψανά τινα τούτων παλαιὰ, κατὰ τὴν διάλεκτον καὶ τὰ γράμματα τῶν Γότθων γεγραμμένα. Ἦσαν δὲ τὰ τῆς Παλαιᾶς Γραφῆς, τεμάχια ἐκ τοῦ Ἔσδρα καὶ Νεεμίου,

---

(α) Βλ. Walt. Proleg. c. XVI. §. 9. - Eichhorn, Einleit. 2. Bd. p. 376.

(β) Horne, An Introduct. vol. 2. part. 1. p. 233. — Rosenmüller, de versione Pentateuchi Persica commentatio, pag. 4-10. Lipsiae, 1813.

ἐν οἷς πάλιν φαίνεται τρανῶς, ὅτι ἡ τοῦ Οὐλφίλα ἑρμηνεία, ὑπῆρχεν ἀκριβῶς ἐκ τῶν Ο μεθηρμηνευμένη (α).

ΑΡΜΕΝΙΚΗ.

§. ιη. Κατὰ τὰς ἀρχὰς τοῦ Δ, αἰῶνος ἀνέτειλε καὶ τοῖς Ἀρμενίοις ἡ σωτήριος τῆς θείας ἐπιγνώσεως αἴγλη. Τηριδάτης ὁ Μέγας, Ἀρσακιδῶν ἀπόγονος, Ἀρμενίων βασιλεύσας, ἐπίστευσε πρῶτος εἰς Χριστὸν, καὶ ἐβαπτίσθη ὑπὸ Γρηγορίου τοῦ πρώτου ἐπισκόπου τῆς μεγάλης Ἀρμενίας, ὑπ' ἀναδόχῳ Ἰωάννῃ τῷ τῶν Πάρθων (μικρῷ πρότερον κἀκείνων χριστιανισάντων) ἡγεμόνι. Καὶ ἄλλους δὲ πολλοὺς Ἀρμενίους ὁ πρῶτος τούτων ἀπόστολος Γρηγόριος ἐβάπτισεν ἐν τῷ Εὐφράτῃ, καὶ ἐπισκόπους κατέστησεν. Αὐτὸς δὲ ἐχειροτονήθη ἀρχιερεὺς ὑπὸ τοῦ Καισαρείας (ὑφ' οὗ καὶ ἐφεξῆς οἱ Ἀρμένιοι ἀρχιεπίσκοποι ἐχειροτονοῦντο, μέχρι τινός). Ὅθεν καὶ ἐν τῇ Α, Οἰκουμενικῇ τῆς Νικαίας Συνόδῳ ὁ Καισαρείας ὑπογέγραπται οὕτω· « Λεόντιος Καισαρείας, Καππαδοκίας, Γαλατίας, *καὶ Ἀρμενίας μικρᾶς καὶ μεγάλης*, ὑπέγραψα » (Συνόδ. Συλλογ. τόμ. α. σελ. 184). Ἱστορεῖται δὲ καὶ Ἀριστάνης Ἀρμενίας ἐπίσκοπος ἐν τῇ Α, Συνόδῳ παρὼν (διαδεξάμενος τὸν θεῖον Γρηγόριον, πρότερον παραιτηθέντα) (β). Ἤκμαζε λοιπὸν κατὰ τόπους τῆς Ἀρμενίας ἀπὸ τοῦ 300 μ. Χ. καὶ ἐφεξῆς ὁ χριστιανισμός. Ἀλλ' ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τοῦ 430, οὐδεμία φαίνεται παρ' οὐδενὶ μνημονευομένη Ἀρμενικὴ τῆς Γραφῆς ἑρμηνεία. Πᾶν δὲ τοὐναντίον παρ' αὐτοῖς ἱστόρηται τοῖς Ἀρμενίοις, ὅτι ἀνεγίνωσκον τὰς Γραφὰς ἐκ τῆς Συριακῆς τῶν Ο ἑρμηνείας· ἴσως δὲ καὶ αὐτὸ τὸ πρωτότυπον οὐκ ἦν παντάπασιν ἀξύνετον παρά γε τοῖς πεπαιδευμένοις τῶν Ἀρμενίων, ὧν ἡ διάλεκτος « ἐν πολλοῖς *ἐφρύγιζεν* » (γ). Ἀλλ' οὐδ' ἀλφάβητον εἶχον τῆς Ἀρμενικῆς γλώσσης ἴδιον· ἀριθμὸν δέ τινα γραμμάτων σύνθετον ἐξ ἑλληνικῶν

(α) Βλ. Ulphilae Partium ineditarum, in Ambrosianis palimpsestis ab Ang. Majo repertarum specimen, conjunctis curis ejusd. Maij et C. O. Castillionaei editum, pag. XX. Mediolan. 1819.

(β) Βλ. Δοσιθέου Δωδεκάβιβλ. σελ. 1218.—(γ) Βλ. Στέφ. Βυζάντ. λ. Ἀρμενία.

καὶ Περσικῶν στοιχείων. Κατὰ δὲ τὸ 430 πρῶτον ἐξεῦρε τὸ Ἀρμενικὸν Ἀλφάβητον ὁ σοφὸς Μεσρώπιος, ἐπὶ βασιλέως Σαχὰγ, ὅστις ἐξήπλωσεν ἐπὶ πάσης τῆς Ἀρμενίας τὸν χριστιανισμόν. Διὸ καὶ ἀντίγραφον ἑλληνικὸν τῶν Ο παρὰ τῆς ἐν Ἐφέσῳ Γ, Οἰκουμενικῆς Συνόδου μετὰ τῶν αὐτῆς πρακτικῶν λαβόντες, ἐπεχείρησαν τῇ τούτου μεταφράσει διὰ τῶν Μεσρωπίου μαθητῶν, παιδευθέντων πρότερον ἀκριβῶς τὴν ἑλληνικὴν ἐν Ἀλεξανδρείᾳ. Οὗτοι τοίνυν καὶ τὴν ἑρμηνείαν τῆς Π. Γραφῆς, ᾗ χρῶνται καὶ τὴν σήμερον, ἀκριβῶς ἐξετέλεσαν, κατὰ τὸ κείμενον τὸ Ἀλεξανδρινὸν (σπάνια δ' ἐν τούτοις ἀπαντῶνται ἀναγνώσματα τοῦ Βατικανοῦ καὶ τῆς τοῦ Ἄλδου ἐκδόσεως). Ὅτι δὲ μετὰ τὴν λατινοφροσύνην τοῦ βασιλέως αὐτῶν Χαϊθὼ, ἔπαθέ τινας μεταβολὰς τὸ Ἀρμενικὸν, προσβιασθὲν πρὸς τὴν λατινικὴν Βουλγάταν, προείπομεν (Βιβλ. Γ. κεφ. ιε. σελ. 791). Ἐγένοντο δὲ αἱ μεταβολαὶ οὐκ ἐπὶ τῶν ἡμερῶν αὐτοῦ τοῦ Χαϊθὼ, ἀλλὰ τέσσαρας ὅλους αἰῶνας ὕστερον, ὑπὸ τοῦ ἐπισκόπου Ὑσκάνου, ὅστις ἐξέδωκε τὴν Ἀρμενικὴν Γραφὴν ἐν Ἀμστελοδάμῳ, τῷ 1666 (α), ὅπως ἔδοξεν αὐτῷ, προδοὺς τὸ πρὸς οὓς ἐνεπιστεύθη θείους λόγους πάτριον σέβας. Ἐξεδόθη δὲ κριτικώτερον, Ἐνετίησι 1805 (β).

ΙΒΗΡΙΚΗ Η ΓΕΩΡΓΙΑΝΗ.

§. ιθ. Ἀρχαῖον ἔθνος Καυκάσου καὶ Ἴβηρες, οἵ γε καὶ αὐτοὶ συγχρόνως τοῖς γείτοσιν Ἀρμενίοις ἐδέξαντο τὴν εἰς Χριστὸν πίστιν· διηγεῖται δὲ τὸν τρόπον διὰ μακρῶν ἡ Ἐκκλησιαστικὴ Ἱστορία (β). Ὡς δὲ οἱ Ἀρμένιοι, παρομοίως καὶ οἱ Ἴβηρες οὐκ εἶχον ἰδίαν τῶν Γραφῶν ἑρμηνείαν, μέχρι τῶν μέσων τοῦ ϛ. αἰῶνος, χρώμενοι δι' ἑνὸς αἰῶνος καὶ ἐπέκεινα τῇ Συριακῇ πρὸς τὸ παράδειγμα τῆς γείτονος Ἀρμενικῆς Ἐκκλησίας. Ἐπειδὴ δὲ κατὰ τὸ 520, ὡς

(α) Βλ. Hug, Einleit. in die Schrift. d. N. Test. 1. Bd. p. 404.—Ackerman, Introduct. p. 59. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 1030. —(β) Βλ. ὄπισθ. σελ. 207.

(γ) Σωζόμ. Ἐκκλ. ἱστ. Β. 7. Περὶ τῆς εἰς ἄνω, καὶ εἰς κάτω Ἰβηρίαν διαιρέσεως τῆς χώρας, καὶ περὶ τῶν ἐν αὐτῇ ἐπισκοπῶν. βλ. Δοσίθ. Δωδεκαβ. σελ. 509. καὶ Χρυσάνθ. Συνταγμ. σελ. 92.

μὴ ὤφελεν, ἀπεσχίσθη τῆς καθολικῆς Ἐκκλησίας τῶν Ὀρθοδόξων ἡ Ἀρμενικὴ Ἐκκλησία, ἀπεκήρυξαν τὴν μετ᾽ αὐτῆς κοινωνίαν καὶ οἱ γενναῖοι Ἴβηρες, μείναντες πιστοὶ τῇ ἀποστολικῇ τῶν Ὀρθοδόξων μητρί. Τότε δὲ καὶ οἱ εὐσεβεῖς αὐτῶν ἡγεμόνες ἔπεμψαν ἰδίους νέους εἰς τὴν Ἑλλάδα, σπουδάσοντας τὴν Ἑλληνικὴν παιδείαν καὶ γλῶσσαν. Καὶ οὗτοι θαυμαστῶς εὐδοκιμήσαντες, καὶ ἐπανελθόντες, ἡρμήνευσαν τὰς Γραφὰς καὶ πᾶσαν τὴν Παλαιὰν, ἐκ τοῦ Ἑλληνικοῦ πρωτοτύπου τῶν Ο, ᾗ καὶ ἔκτοτε χρῶνται διηνεκῶς. Ἐπαινεῖται δὲ παρὰ τῶν εἰδότων διὰ τὴν κυριότητα καὶ τὴν φραστικὴν δύναμιν τῶν φωνῶν (α).

ΣΛΑΒΟΝΙΚΗ.

§. κ. Τοὺς εἰς τὸ μέγα τῶν Σλάβων ἔθνος Ἀποστόλους καὶ διδασκάλους τῆς εἰς Χριςὸν πίστεως, Κύριλλον καὶ Μεθόδιον, ἐμνημονεύσαμεν ἐν τῷ προηγηθέντι κεφαλαίῳ (§. σξϐ), καὶ ὅπως ἐξεῦρον τὰ γράμματα τοῦ Σλαβονικοῦ Ἀλφαβήτου, καὶ ὅπως μεθηρμήνευσαν Σλαβονιστὶ τὰς θείας Γραφὰς ἀμέσως ἐκ τοῦ Ἑλληνικοῦ κειμένου τῶν Ο. Ὅτι δὲ πᾶσαν καὶ τὴν Καινὴν καὶ τὴν Παλαιὰν μεθηρμήνευσαν, ὅ,τε λόγος αἱρεῖ, καὶ ἡ πάλαι παρὰ πᾶσι μονονοὺ τοῖς Σλαβονικοῖς λαοῖς κεκρατηκυῖα παράδοσις, καὶ μαρτυρίαι, καὶ δείξεις οὐκ εὐκαταφρόνητοι. Τῶν δὲ νεωτέρων φιλολόγων, οἱ μέν τινες ἀμφιβάλλουσιν, εἰ πάσας τὰς Γραφὰς ἡρμήνευσαν οἱ δύω Θεσσαλονικεῖς ἀδελφοί. Οἱ δὲ καὶ πολλῷ παραδοξότερα ἐγνωμάτευσαν, ἀρχαιοτέραν Κυρίλλου καὶ Μεθοδίου Σλαβονικὴν τῶν Γραφῶν ἑρμηνείαν τερατευσάμενοι· λέγωμεν πρῶτον περὶ τῶν πρώτων.

§. κα. Ὁ σοφὸς Δοϐρόϐισκος, Σλάϐος τὸ γένος, πρεσβύτερος τῆς Δυτικῆς Ἐκκλησίας, ἀνὴρ σοφὸς, καὶ περὶ τὴν κρι-

(α) Ἴδε τὰ περὶ τῆς Ἀρμενικῆς ἑρμηνείας πλατύτερον ἐν τῇ Ῥωσσιστὶ ἐκδεδομένῃ «Ἱστορικῇ περιγραφῇ τῆς Ἰϐηρίας, κτλ. σελ. 60-64. Πετρουπόλ. 1802. πρβλ. **Henderson, Biblical Researches and Travels in Russia, pag. 516-522. — Eichhorn Einleit. in das A. Test. 2. Bd. p. 385.**

τικὴν φιλολογίαν τῶν Σλαβονικῶν διαλέκτων πολυμαθέστατος, ἀπονέμει μὲν ὀρθῶς καὶ δικαίως τὴν δόξαν τῆς πρώτης τῶν Σλαβονικῶν γραμμάτων εὑρέσεως τοῖς ἁγίοις αὐταδέλφοις, καὶ ἰδίως τῷ μακαρίῳ Κυρίλλῳ. «Οὐδ' ἔστι, φησὶν, ὅλως ἀμφιβάλλειν, ὅτι πᾶσαι αἱ Σλαβικαὶ Ἐκκλησίαι τούτοις ὀφείλουσι τὴν πρώτην ἑρμηνείαν τῶν ἱερῶν βιβλίων. Ἢν δὲ ζητῇς, ποίας βίβλους εἰδικῶς ἐκ τῆς Ἑλληνίδος Γραφῆς εἰς τὴν Σλαβονικὴν διάλεκτον ἡρμήνευσαν, οὐκ ἂν εὕροις μάρτυρα κατάλληλον, ἀκριβέστερον ἡμᾶς διδάσκοντα περὶ τούτου»· καὶ συμπεραίνει, τέλος, ὡς πιθανὰ τὰ ἐφεξῆς (α).

§. κβ. Ἔγραψε Νέστωρ (ἀρχαῖος χρονογράφος Ῥῶσσος, ἀκμάσας περὶ τὸ 1130. ἐτελεύτα δὲ τῷ 1156), ὅτι Κύριλλος καὶ Μεθόδιος ἡρμήνευσαν ἐκ τῆς Ἑλληνικῆς εἰς τὴν Σλαβονικὴν « *τὸν Ἀπόστολον, καὶ τὰ Εὐαγγέλια, ὡσαύτως καὶ τὸ Ψαλτήριον, καὶ τὴν Ὀκτώηχον, καὶ τὰ ἄλλα* » (β). Ἐκ τούτων ὁ κλεινὸς Δοβρόβισκος συμπεραίνει, Α) ὅτι « μόνον τὰ *Εὐαγγέλια*, τὰς *Πράξεις*, καὶ τὰς *Ἐπιστολὰς* τῶν Ἀποστόλων ἡρμήνευσεν ὁ Κύριλλος μετὰ τοῦ Μεθοδίου, οὐχὶ δὲ καὶ τὴν *Ἀποκάλυψιν*· διότι (φησὶν) αὕτη οὐκ ἀναγινώσκεται δημοσίως ἐν ταῖς τῶν Γραικῶν Ἐκκλησίαις » —. Ἀλλ' ἄτοπος (νομίζομεν) ἡ αἰτία, δι' ἣν ἐξαιρεῖ τῆς ἑρμηνείας τὴν Ἀποκάλυψιν. Οὕτω γὰρ ὤφειλεν ὁ κριτικὸς ἐξελέσθαι παρομοίως καὶ τὴν *Ἰούδα ἐπιστολὴν*, καὶ τὴν Β, καὶ Γ *τοῦ Ἰωάννου*, ὡς μηδὲ ταύτας ἐπ' Ἐκκλησίας παρ' ἡμῖν ἀνέκαθεν ἀναγινωσκομένας. Εἰ δ' ἐκείνας συμπεριέλαβεν ἐν « *τῷ Ἀποστόλῳ* » τοῦ Νέστορος, οὐδὲ τὴν Ἀποκάλυψιν λοιπὸν ὤφειλεν ἀποκλεῖσαι τῆς

(α) Βλ. Jos. Dobrowsky, Institution. Linquæ Slavicae dialecti veteris. Vindobon. 1822. præfat. §. 2. §. 4. καὶ Cyrill und Methodius der Slaven Apostel. Prag, 1823, in den Abhadlungen der Königl. böhmischen Gesellschaft der Wissenschaften, 8. Bd. Prag, 1824, καὶ Slavin, Prag, 1834.

(β) Βλ. Nestor's Russische Annalen etc. übers. und erklärt von A. L. Schlözer, Göttingen, 1802.

ἑρμηνείας. ἢ μήπως οὐχ ὑπάρχει καὶ αὕτη Ἀποστόλου συγγραφή; Καὶ ἄλλως δὲ παντάπασιν ἀπίθανον δοκεῖ τὸ πρᾶγμα, θεωρούμενον καὶ ἐξ αὐτῶν τῶν μεταφραστῶν· εἴγε μεταφράζοντες ὅλα τὰ κανονικὰ βιβλία τῶν Ἀποστόλων ἐκ τοῦ κώδηκος τοῦ ἑλληνικοῦ ἀρχετύπου, παρέλιπον μόνην τὴν θείαν Ἀποκάλυψιν, παραδιδόντες τοῖς Σλάβοις τὸν ἱερὸν τῆς Καινῆς Διαθήκης κώδηκα ἠκρωτηριασμένον. Β) Ἐκ δὲ τῶν βίβλων τῆς Παλαιᾶς Διαθήκης μόνον τὸν Ψαλτῆρα μεθερμηνευθῆναι παρὰ τῶν δύω αὐταδέλφων συνάγουσί τινες ἐκ τῶν τοῦ Νέστορος λόγων· τὸ δέ, « *τὰ ἄλλα* », ἐκλαμβάνουσιν ἐπὶ τῶν ἄλλων τῶν τῇ *Ὀκτωήχῳ* ὁμοειδῶν βιβλίων τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, οἷον τῶν εὐχάς τινας, καὶ ὕμνους περιεχόντων. Ἀλλ' ἡ ἁπλοϊκὴ τοῦ Νέστορος φράσις (ἥτις φαίνεται καὶ ἐκ τῆς τάξεως, πρῶτον τιθεῖσα τὸν *Ἀπόστολον* ἑνικῶς, καὶ ἐφεξῆς τὰ *Εὐαγγέλια* κτλ.) ἔστιν ἡ αὐτὴ καὶ περιληπτική. Εἰπὼν γὰρ πρῶτον τὰ τῆς Καινῆς Διαθήκης, ἔπειτ' ἐπήγαγε τὸ καθ' ἡμέραν ἀναγινωσκόμενον *Ψαλτήριον*, ὡς κεφάλαιον τῆς ὅλης παλαιᾶς Γραφῆς· ἐπισυνάψας δὲ καὶ τὴν Ὀκτώηχον ὡς κράτιστον τῶν ὑμνολογικῶν βιβλίων, ἐπήγαγε, τέλος, τὸ καὶ *τὰ ἄλλα*, συμπεριλαμβάνων μετὰ τῶν ὀνομασθέντων πάντα καθόλου *τὰ ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκόμενα βιβλία* τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς θείας Γραφῆς, ἐν οἷς καὶ τὰς ἱερὰς *Λειτουργίας* (ὧν οὐδ' αὐτῶν ἐξ ὀνόματος ἐπεμνήσθη), καὶ τὰς ἐπὶ τῶν ἄλλων μυστηρίων καὶ τελετῶν συντεταγμένας εὐχὰς καὶ ὑμνολογίας. Ὅτι δὲ ταῦτα οὐ λόγος, αὐτὸς ἡμῖν ὁ Νέστωρ μαρτυρήσει μετ' ὀλίγον – Γ). Ὁ σοφὸς Δοβρόβισκος ὁμολογεῖ, ὅτι ὑπῆρχεν ἤδη κατὰ τὸν ιβ, αἰῶνα Σλαβονιςὶ μεθηρμηνευμένη ἡ βίβλος *τῶν Παροιμιῶν τοῦ Σολομῶντος*· διότι ῥήσεις ἐκ τούτων πυκνὰς ὁ Νέστωρ ἀναφέρει» (Δοβρ. προλ. σελ. 52). Ὀρθῶς. (ἐν δὲ σελ. 9. ςρεβλῶς). Ἀλλ' ἐπειδὴ ὁ Νέστωρ, κατὰ τὸν ιβ, αἰῶνα συγγράφων, ἐμνημόνευσε ῥήσεις τῶν Παροιμιῶν, μήπως ἕπεται παρὰ τοῦτο, ὅτι κατὰ τὸν αὐτὸν αἰῶνα λοιπὸν ἡρμηνεύθησαν Σλαβονιστὶ καὶ αἱ Παροιμίαι; Τί μὴ μᾶλλον κατῆλθε καὶ τῶν Παροιμιῶν ἡ μετάφρασις ἀπὸ τῶν τοῦ Κυρίλλου χρόνων, ὡς βίβλος

ἱερὰ, μετὰ τῆς ἄλλης Γραφῆς παραδοθεῖσα τῇ Σλαβονικῇ Ἐκκλησίᾳ; Τοῦτο μάλιστα παρέχει νοεῖν ἡ παρὰ τῷ Νέστορι χρῆσις τῶν Σολομωντείων ῥημάτων, ὡς ἐκ βίβλου θείας πανδήμως ἀνωμολογημένης. β). Ὁ Νέστωρ χρησάμενος ῥητοῖς τῶν Παροιμιῶν ἐξ ὀνόματος, ἔργῳ μεμαρτύρηκεν, ὅτι καὶ ἐν ᾧ προεῖπεν ἀνωτέρω « *καὶ τὰ ἄλλα* » ἀορίστως, συμπεριέλαβε καὶ τὰς *Παροιμίας*, καὶ τ᾽ ἄλλα τεύχη τῆς Γραφῆς, ὡς ὑπὸ τοῦ Κυρίλλου μεθηρμηνευμένα· τοῦτο δὲ καὶ ὁριστικώτερον ὁ αὐτὸς μετὰ μικρὸν ἐξηγήσει. γ) Ὁ Νέστωρ ἔχει φραστικὸν ἰδίωμα ἐξυφασμένον ἰδίως ἐκ φράσεων ἀνηκουσῶν εἰς τὴν Σλαβονικὴν ἑρμηνείαν οὐ μόνον τῆς Καινῆς, ἀλλὰ καὶ ἄλλων διαφόρων τευχῶν τῆς Παλαιᾶς θείας Γραφῆς, οἷον τῆς Πεντατεύχου, καὶ τῶν λοιπῶν.– Δ). Ἐκ τῆς πρὸς Σφατοπλοῦκον, ἡγεμόνα Μοραβίας, ἐπιστολῆς τοῦ Πάπα Ἰωάννου τοῦ Η, συμπεραίνει ὁ Δοβρόβισκος, ὅτι ὀλίγ᾽ ἄττα ἀναγνώσματα ἡρμήνευσεν ὁ Μεθόδιος ἔκ τινων τευχῶν τῆς Π. Γραφῆς. Ἰδοὺ καὶ ἡ περικοπὴ τῆς τοῦ Πάπα ἐπιστολῆς (ἐξεδόθη δὲ αὕτη τῷ 880). « Οὐδὲ πρὸς τὴν ὑγιᾶ πίστιν καὶ διδασκαλίαν ὅλως ἀντίκειται, εἴτε τὸ τὰς λειτουργίας ἐν τῇ Σλαβονικῇ γλώσσῃ ψάλλειν, εἴτε τὸ ἱερὸν Εὐαγγέλιον, ἢ τὰ *θεῖα ἀναγνώσματα τῆς Καινῆς καὶ τῆς Παλαιᾶς Διαθήκης*, καλῶς μετενηνεγμένα καὶ μεθηρμηνευμένα, ἀναγινώσκειν, ἢ καὶ πᾶσαν τὴν τῶν Ὡρῶν ἀκολουθίαν ψάλλειν» (α). Καὶ κατὰ ταῦτα λοιπὸν, ἦσαν ἤδη ὑπὸ τοῦ Κυρίλλου καὶ Μεθοδίου

(α) « Nec sanae fidei aut doctrinae aliquid obstat sive Missas in eadem Slavonica lingua canere, sive sacrum Evangelium, vel l e c t i o n e s d i v i n a s N o v i e t V e t e r i s T e s t a m e n t i, b e n e t r a n s l a t a s e t i n t e r p r e t a t a s legere, aut horarum officia omnia psallere ». Epistol. ad Svatoplukum. Ἐν τῇ αὐτῇ ἐπιστολῇ ἀναγινώσκονται καὶ ταῦτα· « Literas Slavonicas à Constantino quodam philosopho repertas, quibus Deo laudes debitae resonant, jure laudamus. Et in eadem lingua Christi domini nostri præconia et opera ut enarrentur jubemus » etc. τουτ. τὰ Σλαβονικὰ γράμματα, τὰ ὑπό τινος Κωνσταντίνου φιλοσόφου ἐξευρεθέντα, δι᾽ ὧν οἱ τῷ θεῷ ὀφειλόμενοι αἶνοι ἀντηχοῦσι, δικαίως ἐπαινοῦμεν· καὶ ἐν τῇ αὐτῇ γλώσσῃ τά τε κηρύγματα καὶ τὰ ἔργα Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἐξαγγέλλεσθαι ἐπιτρέπομεν.

Σλαβονιστὶ μεθηρμηνευμέναι αἱ ἐπ' Ἐκκλησίας ἐν ταῖς ἱεραῖς ἀκολουθίαις ἀναγινωσκόμεναι περικοπαὶ τῆς τε Καινῆς καὶ τῆς *Παλαιᾶς*. Ὅτι δὲ ταῦτα τὰ ἀναγνώσματα ὑπῆρχον ἐν τῇ Ἐκκλησίᾳ κατὰ τὸν Θ, αἰῶνα (ἐπὶ Κυρίλλου) τὰ αὐτὰ καὶ ἀπαράλλακτα, οἷα καὶ παρ' ἡμῖν τὴν σήμερον, ἡλίου φανώτερον. Καὶ μετέφρασαν λοιπὸν ὁ Κύριλλος καὶ Μεθόδιος ἀναγνώσματα ἐκ τῆς *Πεντατεύχου, τοῦ Ἰησοῦ, τῶν Κριτῶν, τῶν Βασιλειῶν, τῶν Δ, μεγάλων Προφητῶν* καί τινων ἐκ *τῶν μικρῶν, τοῦ Ἰὼβ, τῶν Παροιμιῶν, καὶ τῆς Σοφίας Σολομῶντος*. Ἀλλὰ πόθεν δῆλον, ὅτι ταύτας μόνον τὰς περικοπὰς ἑρμηνεύσαντες, ἠρκέσθησαν, οὐδ' ἀπέδωκαν ὁλόκληρον τῶν βιβλίων τούτων τὴν ἑρμηνείαν; Πᾶν τοὐναντίον συμπαιρένεται ἐκ τῆς φράσεως τοῦ Πάπα. Συγχωρῶν γὰρ οὗτος τὰ ἀναγνώσματα τῆς *Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης*, φαίνεται νομίζων ἀμφοτέρας ὁλοκλήρους ἡρμηνευμένας. Καὶ αὐτὸς ὁ Δοβρόβισκος ἐκ τῶν παρὰ τῷ Νέστορι φερομένων ῥητῶν τῶν Παροιμιῶν, ὅλον τότε τὸ τεῦχος ἡρμηνευμένον συνήγαγεν ἀνωτέρω. Καὶ ἄλλως δὲ τὰ ἐν τῇ Καινῇ Διαθήκῃ μνημονευόμενα χωρία, ἐξ ἁπάντων σχεδὸν ὄντα τῶν Κανονικῶν τῆς Παλαιᾶς Διαθήκης τευχῶν, ἀπήτουν καὶ τούτων τὴν ἑρμηνείαν πρὸς πληροφορίαν τῶν ἀναγινωσκόντων. Καὶ τοῦτο δὲ σημειωτέον. Τριάκοντα, ἢ γοῦν 25 περίπου ἔτη (ἀπὸ τοῦ 863, ἢ μᾶλλον ἀπὸ τοῦ 870, ἕως τοῦ 894, ὅτε ἐτελεύτα) ἐπεσκόπευσε τῶν Μοραβῶν καὶ Παννόνων, προσκληθεὶς ἐκ Βουλγαρίας ὁ ἱερὸς Μεθόδιος. Ὅσοι δ' ἐν τούτοις ἦσαν ἤδη πρό τινων χρόνων χριστιανίσαντες κατὰ τόπους ἐκ διδασκαλίας τῆς Δυτικῆς Ἐκκλησίας, εἶχον ἐν χρήσει τὴν Λατινικὴν Βουλγάταν. Πῶς λοιπὸν ἠδύνατο ὁ Μεθόδιος καταλιπεῖν αὐτοὺς ἐν ἀγνοίᾳ τῶν Μωσαϊκῶν καὶ τῶν ἄλλων τευχῶν τῆς Παλαιᾶς, παραδοῦναι δὲ τούτοις ἀποσπάσματα μόνον, καὶ οὐχ ὅλην τὴν βίβλον τῶν προφητικῶν Γραφῶν, ἐφέξουσαν τὸν τόπον τοῦ πληρεστάτου κώδηκος τῆς Λατινικῆς Βουλγάτας; (α). – Ε) Τελευταῖον, ὁ Σλάβος φιλολό-

(α) «Ad Moraviam et Pannoniam circa ann. 863 evocatus Methodius

γος καὶ κριτικὸς ὑπολαμβάνει, ὅτι ἡ Βίβλος τοῦ *Ἰώβ*, *οἱ Προφῆται*, *ἡ Σοφία τοῦ Σολομῶντος καὶ ἡ τοῦ Σειρὰχ* μετεφράσθησαν ἐν Σερβίᾳ κατὰ τὴν ιγ, ἢ τὴν ιδ, ἑκατονταετηρίδα, ἡ δὲ Πεντάτευχος καὶ τὰ λοιπὰ βιβλία κατὰ τὴν ιε, *ἐν τῇ Ῥωσσίᾳ καὶ ἐν τῇ Πολωνίᾳ.*» — Τιμῶμεν παρὰ πολὺ τὴν κριτικὴν δεινότητα τοῦ σοφοῦ Δοβροβίσκου, ἀλλὰ καὶ ὧδε φαίνεταί πως ἐπέκεινα πάσης πιθανότητος αὐτογνωμονῶν.

§. κγ. Ἡμεῖς δὲ νομίζομεν πολλῷ πιθανωτέρας, καὶ τοῦ βεβαίου ἐγγύς, τὰς μαρτυρίας τῶν ἀρχαίων, οἵτινες ἐπικυροῦσι τὴν ὅλην τῆς Παλαιᾶς Γραφῆς ἑρμηνείαν. Εἰσὶ δὲ αἱ ἐφεξῆς.

α) Αὐτὴ ἡ τοῦ Πάπα Ἰωάννου σύγχρονος τῷ Μεθοδίῳ καὶ Κυρίλλῳ ἐπιστολή, ἐξ ἧς βεβαιοῦνται ῥητῶς *ἀναγνώσματα τῆς Παλαιᾶς Διαθήκης* ὑπ' αὐτῶν τῶν Ἀποστολικῶν διδασκάλων Σλαβονιστὶ μεθηρμηνευμένα. - β) Ὁ ἱερεὺς Διοκλέας (τῷ 1161) γράφει διαῤῥήδην, ὅτι «Κωνσταντῖνος (ὁ φιλόσοφος, ὁ αὐτὸς καὶ Κύριλλος) μετέβαλε τὸ Εὐαγγέλιον, καὶ τὸ Ψαλτήριον, καὶ *πάντα τὰ θεῖα βιβλία τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης* ἐκ τοῦ ἑλληνικοῦ γράμματος εἰς τὸ Σλαβονικὸν» κτλ. (α). - γ) Αὐτὸς ὁ γηραιὸς Νέστωρ (τῷ 1130) ἱστορεῖ, ὅτι «Ὁ Μεθόδιος καταστήσας δύω ἱερεῖς ταχυγράφους, μετέφρασε πάντα τὰ βιβλία τῆς Γραφῆς ἐκ τοῦ ἑλληνικοῦ εἰς τὸ Σλαβονικὸν ἰδίωμα ἀπὸ τῆς ἀρχῆς τοῦ Μαΐου, μέχρι τῆς 26 τοῦ Ὀκτωβρίου μηνός» (β). - δ) Τοῦ ἐκ

---

inducto ritu Slavico, id effecit, ut populo villescerent missæ et Evangelia, Ecclesiasticum que officium eorum qui hoc latine celebrabant». λέγει αὐτὸς ὁ Δοβρόβισκος (Instit. pag. V).

(α) «Constantinus, vir Sanctissimus, ordinavit presbyteros: et literam lingua Slavonica componens, commutavit Evangelium Christi atque Psalterium, et omnes divinos libros veteris et novi Testamenti de Græca litera in Slavonicam, nec non et missam eis ordinans more Græcorum, confirmavit eos in fide» etc. παρὰ τῷ Lucius De regno Dalmatiæ pag. 288.

(β) Τοῦτο τὸ τοῦ Νέστορος χωρίον ὡς δῆθεν διεσκευασμένον ὁ Βοημὸς κριτικὸς σημειώσας, ἐπάγει· «ἀλλ' ὁ ἀκριβὴς τοῦ χρόνου διορι-

Βουλγαρίας ἁγίου Κλήμεντος, μαθητοῦ καὶ συνεργοῦ Κυρίλλου καὶ Μεθοδίου (ὅτε τοῖς Ἰλλυριοῖς, ἢ Βουλγάροις τὸ πρῶτον οὗτοι εὐηγγελίζοντο τὸν Χριστὸν), καὶ πρώτου Βουλγαρίας ἀρχιεπισκόπου ὑπ' αὐτοῦ τοῦ Μεθοδίου χειροτονηθέντος, τὸν βίον συνέγραψεν ὁ μακάριος

σμὸς ποιεῖ τὴν διήγησιν λίαν ὕποπτον» (βλ. **Dobrowsky, Cyrill und Method etc. p. 58**). Παράδοξος ἡ κρίσις· ὡσανείπερ ὁ λόγος ἦν περὶ τῆς ποσότητος οὐχὶ τῶν βιβλίων, ἀλλὰ τῶν ἡμερῶν· ἀλλ' εἴτε ἐν ὀλίγῳ χρόνῳ, εἴτε καὶ ἐν πλείονι (ὅσον ἄν τις θέλῃ), ἠδύναντο μεταφράσαι πάσας τὰς βίβλους τῆς Γραφῆς ὁ Μεθόδιος μετὰ τοῦ Κυρίλλου. Οὐδεμία γὰρ ὑγιὴς κριτικὴ ἀποβάλλει διήγησιν ὁλόκληρον ἱστορικὴν, πολλαχόθεν μαρτυρουμένην, διά τινα περίστασιν ἐπεισοδιώδη, ἧς ἀρθείσης παντελῶς (ἂν ἄπιστος δόξῃ), μένει πάλιν ἡ διήγησις ἡ αὐτὴ καὶ ἀναλλοίωτος. Μετεφράσθησαν ἆρα πάντα τὰ βιβλία τῆς Παλαιᾶς; ἢ οὔ; τοῦτο ζητεῖται· καὶ τοῦτο μαρτυροῦσιν ἄνδρες ἀξιόπιστοι, καὶ τῶν πραγμάτων ἔγγιστα γενόμενοι· τὸν δὲ χρονικὸν διορισμὸν (ἂν ὑποτεθῇ ψευδὴς) φήμη τις ἀδέσποτος ἔπλασε, λαβοῦσα τὴν ἀφορμὴν (ὡς ἔοικεν) ἐκ τῶν 72 ἡμερῶν, καθ' ἃς οἱ ΟΒ ἑρμηνεῖς ἐξελλήνισαν τὸ πρῶτον πᾶσαν τὴν ἑβραΐδα Γραφὴν (ταύτας δὲ μετέπλασεν ἡ φήμη εἰς μῆνας ἕξ, διακριτικώτερον προσενεχθεῖσα). Μήποτε δὲ καὶ ὁ χρόνος αὐτὸς ἀληθεύει, μεταβληθέντος τοῦ εἴδους τῆς ἐργασίας ἐκ παρακούσματος; ἴσως ὁ Μεθόδιος, τὴν ὑπ' αὐτοῦ καὶ μάλιστα τοῦ Κυρίλλου γεγονυῖαν πρότερον μετάφρασιν πάσης τῆς Γραφῆς (ἧς καὶ τὸ πλεῖστον μέρος, καὶ πρώτιστα τῆς Καινῆς, εἶχον πιθανώτατα μεθηρμηνευμένον, πρὶν ἢ ἐξέλθωσιν εἰς τὸ κήρυγμα. Οὐ γὰρ δήπου μόνοις τοῖς τοῦ ἀλφαβήτου γράμμασι θωρακισθέντες ἐξέβησαν εἰς τὸν μέγαν ἀγῶνα), ταύτην λέγω τὴν μετάφρασιν, ταχυγράφοις χρησάμενος, οὐ μετέφρασεν, ἀλλὰ μετέγραψεν ἐν ἓξ μησὶ, φροντίζων τῆς ἀκριβοῦς καὶ ἀσφαλοῦς ἀντιγραφῆς· καὶ τοῦτο μὲν ἁπλῶς εἰρήσθω. Ὁ δὲ τοῦ χρόνου διορισμὸς οὐδαμῇ οὐδαμῶς ἀναιρεῖ τὴν ἑρμηνείαν τῆς ὅλης Παλαιᾶς Γραφῆς. Εἰ δ' οὖν, κατὰ τὸν αὐτὸν δήπου λόγον, κινδυνεύει ὁ κριτικὸς ἐξελέγξαι καὶ τὸν μακάριον Ἱερώνυμον ψευσάμενον τὴν ἐκ τοῦ Χαλδαϊκοῦ μετάφρασιν τοῦ Τωβὶτ καὶ τῆς Ἰουδεὶθ, διότι γράφει, ὅτι μεθηρμήνευσεν ἀμφότερα ὑπὸ ταχυγράφῳ, ἐν ἡμέρᾳ μιᾷ, ἢ ἐντὸς ἑνὸς ἡμερονυκτίου (βλ. ὄπισθ. σελ. 187). Εἰ δ' ὁ Ἱερώνυμος τριάκοντα κεφάλαια (τῶν δύω τούτων βιβλίων) μετέφρασεν ἐν ὥραις 12, ἢ 24, μηδὲ μίαν γοῦν ὁλόκληρον ὥραν εἰς ἑκάστου κεφαλαίου τὴν ἑρμηνείαν δαπανήσας, μῶν οὐκ ἠδύναντο δύω τῆς Ἑλληνικῆς καὶ Σλαβονίδος ἐγκρατεῖς ἑρμηνεῖς (οὐ γὰρ ἀρνήσεται πάντως ὁ κριτικὸς καὶ τὸν ἀρχηγέτην Κύριλλον συνεργοῦντα μετὰ τοῦ ἀδελφοῦ), ἐντὸς ὅλων 180 ἡμερονυκτίων ἑρμηνεῦσαι πᾶσαν τὴν Γραφήν; Εἰ δὲ καὶ πολὺ μέρος εἶχον, ὡς προείπομεν προπαρεσκευασμένον, σχολῇ γ' ἄν τις ἀμφιβάλοι δικαίως, εἰ ὁ γηραιὸς Νέστωρ ἀληθεύει.

Θεοφύλακτος, Βουλγαρίας καὶ οὗτος ἀρχιεπίσκοπος (τῷ 1077). Ἐκ δὲ τούτου συνέταξε καί τις ἀνώνυμος τὸν βίον τοῦ Κλήμεντος, ἀτελέστερον συνοψίσας (ἐξεδόθη ἐν Βιέννῃ τῷ 1802). Ταύτης τῆς Συνόψεως τεμάχιον εἶχε πολὺ πρότερον δημοσιεύσας καὶ Ἀλλάτιος (α). Ἐξέδωκε δὲ, τέλος, πλατύτερον καὶ ὁλόκληρον ἀπαρτίσας, καὶ κοινολεκτικώτερον παραφράσας, μετὰ σημειωμάτων, ὁ μακαρίτης Ἀθανάσιος ὁ Πάριος (ϐ). Ἐν ταύτῃ τοίνυν τῇ τοῦ Κλήμεντος βιογραφίᾳ, ὡσαύτως κἀν τῇ τοῦ ἁγίου Ναοὺμ (καὶ τούτου μαθητοῦ τῶν δύω αὐταδέλφων, καὶ ὀπαδοῦ τοῦ ἰδίως Βουλγαροκήρυκος ἐπονομασθέντος ἱεροῦ Κλήμεντος) ἱστοροῦνται πᾶσαν τὴν Γραφὴν ἐκσλαϐονίσαντες ὁ Κύριλλος καὶ Μεθόδιος (γ). – ε) Τὸ Δαλματικὸν παλαιὸν χρονικὸν, ὃ μετέφρασε Μάξιμος ὁ Μαρούλης, συνᾴδει μετὰ τοῦ Διοκλέα, τήν τε Παλαιὰν καὶ τὴν Καινὴν ἑρμηνεῦσαι τὸν Κύριλλον καὶ Μεθόδιον ἱστοροῦν. – ς). Καί τι παλαιὸν Συναξάριον τῆς Λουδομίλλης, Δουκίσσης Βοημῆς, λέγει παρομοίως, ὅτι «Ὁ Κύριλλος διὰ τῶν ἐξευρεθέντων νέων κεραιῶν, ἢ γραμμάτων τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην καὶ ἄλλα πλεῖστα ἐκ τοῦ ἕλληνος, ἢ *τοῦ λατίνου*» (παρέγγραπτος ἡ λέξις) «λόγου εἰς τὸ Σλαϐονικὸν μετέφρασεν ἰδίωμα». – ζ) Ταῦτα βεϐαιοῦσι καὶ τὰ Βουλγαρικὰ, καὶ τὰ παρὰ τοῖς ὀρθοδόξοις Σέρϐοις Συναξάρια τῶν ἁγίων Κυρίλλου, Μεθοδίου, Κλήμεντος, Ναούμ. – η) Ὁ ἅγιος Δημήτριος, ὁ Ῥωστοϐίας ἐπίσκοπος, ἐν τῇ Ῥωσσικῇ βιογραφίᾳ τοῦ ἁγίου Κυρίλλου καὶ Μεθοδίου (Μαΐου ια) «πάντα τὰ *εἰς τὸν Ἐκκλησιαστικὸν Κανόνα* ἀνήκοντα βιϐλία» μεθερμηνευθῆναι κα-

---

(α) Βλ. Allat. Exercitat. in Rob. Cleyghtonis Apparatum Vers. et not. ad histor. Concilij Florent. Romæ, 1665.

(ϐ) Βλ. Τὸ «Κρίσις Οὐρανοῦ» ἐπιγεγραμμένον σύνταγμα τοῦ Παρίου Ἀθανασίου, ἐκδ. ἐν Λειψίᾳ 1805.

(γ) Βλ. Νικοδήμου Συναξαρ. Νοεμϐρ. κγ. καὶ Δεκεμϐρ. κγ. (ἐν Βίῳ τοῦ ἁγ. Ναοὺμ). ὅπου καὶ ἰδίως ἱστορεῖται, ὅτι Κύριλλος καὶ Μεθόδιος προσελθόντες τῷ Πάπᾳ Ἀδριανῷ (ὑφ' οὗ προσεκλήθησαν εἰς Ῥώμην), παρέστησαν τὴν Σλαϐονικὴν ἑρμηνείαν τῆς Νέας καὶ τῆς Παλαιᾶς Γραφῆς· ἥτις καὶ ἀντιϐληθεῖσα πρὸς τὸ κείμενον τῶν Ο, ἐκυρώθη ὑπὸ τοῦ Ἀδριανοῦ.

θιστορεῖ. Πάσας τὰς Γραφὰς ὡσαύτως λέγουσι καὶ ἄλλοι τῶν ἐπισήμων Ῥώσσων, ἐν οἷς ἀρκοῦσι δύω μόνον ἐκ τῶν νεωτέρων μνημονευθέντες, ὅ,τε ἱστοριογράφος τῆς Ῥωσσίας Καραμιζῆνος (α), καὶ ὁ σοφὸς Μουραβιὼβ (β). - θ) Ἄνδρες φιλολόγοι καὶ κριτικοὶ νεώτεροι, οἷον Βαλβῖνος, Βέργιος, Στρεδωῦσκυς, Κόχλος (Kohl), Μύλλερος, Φαβρίκιος, Σπίτλερος, Εἴχόρνιος (γ), εἰς τοὺς δύω Θεσσαλονικεῖς τῶν Σλαβονικῶν ἐθνῶν, Ἀποστόλους ἀπένειμαν καὶ τὴν ἐκ τῶν Ο ἑρμηνείαν τῆς Παλαιᾶς Γραφῆς. - ι) Τελευταῖον, καὶ αὐτὸς ὁ ἔνδοξος Δοβρόβισκος ἀποδέχεται μὲν τὴν ὑπὸ Κυρίλλου καὶ Μεθοδίου μετάφρασιν τῶν ἐπ' Ἐκκλησίας ἀναγνωσμάτων τῆς Π. Γραφῆς, ὁμολογεῖ δὲ προϋπάρχουσαν ἤδη ἐπὶ τοῦ Νέςορος καὶ τὴν ἑρμηνείαν τῶν Παροιμιῶν, μνημονεύει δὲ καὶ τόν τε Διοκλέα, καὶ τὸ Δαλματικὸν χρονικὸν, καὶ τὸν βίον τοῦ ἁγίου Κλήμεντος, τοῦ Βουλγαρίας ἀρχιεπισκόπου, καὶ τὸ τῆς Λουδομίλλης Συναξάριον, ἀλλὰ σὺν πᾶσι τούτοις ἀμφιταλαντεύεται· καὶ τέλος, ἀνανεύει· οὐδ' ἔχει τι γενναῖον καὶ ἀναντίῤῥητον πρὸς τὰς μαρτυρίας ταύτας ἀντειπεῖν, εἰμὴ μόνον ἓν, καὶ μέγα ἀληθῶς· ὅτι παρ' οὐδενὶ τῶν Σλαβονικῶν ἐθνῶν, οὐδ' ἄλλοθί που τῆς οἰκουμένης, οὐχ εὑρέθησαν ἀρχαῖα χειρόγραφα Σλαβονικῆς ἑρμηνείας τῆς Παλαιᾶς Γραφῆς (δ). Λέγομεν δὲ καὶ πρὸς τοῦτο ταπεινῶς τὰ δοκοῦντα.

§. κδ. Πάντων τῶν κατὰ τόπους τὴν σήμερον σωζομένων ἀρ-

(α) Karamsin, Histoire de l'Empire de Russie. T. I. p. 272. 312.

(β) Ἐν τῇ ἀνωνύμως ἐκδοθείσῃ ἱστορίᾳ τῆς Ῥωσσικῆς Ἐκκλησίας σελ. 2. 12. Πετρουπόλ. 1838. πρβλ. καὶ Φιλαρέτου Ἐπισκόπου Ῥίγας τὸ Ῥωσσικ. Κύριλλος καὶ Μεθόδιος.

(γ) Boh. Balbini, Epitome histor. rerum Bohem. Pragæ, 1677. — Bergius, De statu Ecclesiæ et relig. Moscovit. §. 13, 14. Lubecæ, 1709. I. G. Stredowsky, Sacra Moraviae Historia etc. Solisbaci, 1710. — P. Kohl, Introductio in histor. et rem liter. Slavorum in primis sacram pag. 193. Alton. 1729. — G. F. Müller, Sammlung Russischer Geschichte. St. 1. p. 14. Petersb. 1732. — Fabric. Bibl. Graec. vol. VII. p. 273. Harl. — Spittler, Geschihte der Christlichen Kirche, pag. 105. Reutlingen, 1814. — Eichhorn, Einleit. in d. Alt. Test. 2. Bd. p. 383.

(δ) Dobrowsky Cyrill und Method p. 56.

χαίων Σλαβονικῶν τῆς Γραφῆς ἀντιγράφων τὸ ἀρχαιότατον, ἕν ἐστι καὶ μόνον, οἷος ὁ τοῦ λόγου φοῖνιξ, τὸ *Ὀστρομίρειον* λεγόμενον χειρόγραφον τῶν Εὐαγγελίων, ὅπερ ἔγραψεν ἐν Νοβογοροδίῳ (Νεαπόλει) τῆς Ῥωσσίας ὁ Διάκονος Γρηγόριος, ἐν ἔτει ἀπὸ Κ. Κ. ,ϛφξε. ἤτοι μ. χ. 1057 (ὡς λέγει τοῦτο τρανῶς αὐτὸς ὁ τοῦ γραφέως ἰδιόγραφος *ἐπίλογος*)· τηρεῖται δὲ τανῦν ἐν τῇ Αὐτοκρατορικῇ δημοσίᾳ βιβλιοθήκῃ τῆς Πετρουπόλεως (α). Ὁμολογεῖ δὲ καὶ Δοβρόβισκος, ὅτι «ἐν τούτῳ καὶ ἄλλοις» (εἴπου εὑρεθεῖεν) «ὁμηλίκοις χειρογράφοις χωρὶς ἀμφιβολίας περιέχεται ἡ ἀρχαία τοῦ Κυρίλλου μετάφρασις» (προλόγ. σελ. 23). Ἀλλὰ, α) ἀπὸ τοῦ 860 (καὶ πρότερον ἴσως), ὁπότε τὸ πρῶτον ἐν Βουλγαρίᾳ καὶ Μοραβίᾳ ἐξέδωκεν ὁ Κύριλλος μετὰ τοῦ Μεθοδίου τὴν ἑρμηνείαν τῆς Καινῆς Διαθήκης (ἐν πολλοῖς πάντως ἀντιγράφοις κατὰ μικρὸν ἀντιγραφεῖσαν, καὶ πανταχόσε τῶν Σλαβονικῶν ἐθνῶν διαδοθεῖσαν) μέχρι τοῦ 1057, παρῆλθον ὅλοι δύω αἰῶνες καὶ ἐπέκεινα. Ποῦ ποτε κατέδυσαν ἀφαντωθέντες πάντες οἱ ἀπὸ Κυρίλλου μέχρι τῆς τοῦ Ὀστρομιρείου χειρογράφου ἐποχῆς, ἐν τοσαύταις ἐκκλησίαις καὶ οἰκίαις τῶν εὐσεβεστάτων Σλάβων φερόμενοι κώδηκες τῆς Καινῆς Διαθήκης; Ποῦ αὐτὸς ὁ κώδηξ, ἐξ οὗ τὸ Ὀστρομίρειον ἀντεγράφη; – β) Πάλιν, ἀπὸ τῆς Ὀστρομιρείας ἐποχῆς μέχρι τοῦ ιγ, αἰῶνος οὐδαμοῦ (φασι) σώζονται κώδηκες τῆς Καινῆς Διαθήκης ὁλόκληροι, πλὴν δύω, ἢ τριῶν τοῦ ιβ, αἰῶνος, κατὰ μέρος (β). Τὸ δ' ἐν Ἱεροσολύμοις εὑρεθὲν, καὶ εἰς Ῥώμην ὑπὸ τοῦ Ἀσσεμάνου κομισθὲν *Εὐαγγελιστάριον* (περιέχον τὰ ἐν ταῖς Κυριακαῖς καὶ ἑορταῖς ἐν

(α) Τούτου δώδεκα πανομοιότυπα μεγάλα τεμάχια ἐξέδωκε Πέτρος ὁ Κοίππην ἐν ᾗ συνηρμολόγησε Συλλογῇ Σλαβονικῶν μνημείων, τῶν ἐν Ῥωσσίᾳ εὑρισκομένων. Πετρουπόλει 1827. Βλ. καὶ τὸ περὶ Προφορᾶς τῆς Ἑλλην. γλώσ. ἡμέτερον βιβλίον, σελ. 447.

(β) Μόνον ἐν Μόσχᾳ (Συνόδ. Βιβλιοθ.) φέρεται Εὐαγγελιστάριον τοῦ ιβ, αἰῶνος (Dobrowsky. Inst. p. 675). Καὶ τὰ Δ. Εὐαγγέλ. γεγραμμένα τῷ 1144 (Griesbach. ἐκδ. N. Test. vol. 1. proleg. p. 130. N. 8). Καὶ ἐν Βιέννῃ ἀναγνώσματά τινα τῶν Εὐαγγελίων κτλ. τοῦ ιβ, ἢ ιγ, αἰῶνος (βλ. Dobrowsky l. c. praef. p. XXVII. καὶ p. 679 καὶ 693).

τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ ἀναγινωσκόμενα Εὐαγγέλια) εἰς μάτην Ματθαῖος ὁ Καραμάνος ἠσπάσατο, ὡς δῆθεν ἀρχαιότερον τοῦ 1083 ἔτους, καὶ αὐτῆς (φησι) τῆς τοῦ Σουΐδα ἡλικίας! (φιλοτιμούμενος ἴσως συσκιάσαι τὸ κλέος τοῦ Ὀστρομιρείου κώδηκος). Πολλῷ γε δικαιότερον καὶ εἰλικρινέστερον ὁ σοφὸς Δοβρόβισκος (αὐτόθ. σελ. 688) ὡμολόγησεν αὐτὸ νεώτερον, δυσὶν ἑκατονταετηρίσιν ὅλαις καὶ ἐπέκεινα. Ὥστε, γ) ἀπὸ τοῦ 850, μέχρι τοῦ 1150, δί ὅλων τριακοσίων ἐτῶν, πλὴν τοῦ Ὀστρομιρείου, οὐχ εὑρίσκονται καθ' ἡμᾶς Σλαβονικὰ τῆς Καινῆς Διαθήκης ἀντίγραφα. Τούτου δὲ διπλῆ τις (τό γ' ἐμοὶ δοκοῦν) ἡ αἰτία. Πρῶτον μὲν, ἡ παρὰ τοῖς ἀρχαίοις Σλάβοις (καὶ παρ' ἄλλοις δὲ τῶν ἐθνῶν) ἁπλοϊκὴ συνήθεια τοῦ μὴ διατηρεῖν τὰ παλαιούμενα καὶ τετριμμένα τῶν ἀντιγράφων, ἀλλὰ τούτων ἀμελεῖν, ἀρκουμένους τοῖς ἐξ αὐτῶν ἀπογραφομένοις· ἔπειτα δὲ καὶ αὐτὸς ὁ μακρὸς χρόνος, πολλὰς ἐπισυρόμενος καὶ ποικίλας περιπετείας, ὧν καὶ τὰ παντοῖα τῶν Σλαβόνων φῦλα πολλάκις ἐπειράθησαν. Αὐτίκα· αὐτὸς ὁ Δοβρόβισκος (Προλόγ. σελ. 14. πρβλ. καὶ σελ. 9) ἀποκλαίεται τὴν ἀπώλειαν (ὡς ἐνόμιζε) τοῦ ἐν Ῥήμοις (Remis· γαλλικῇ πόλει) τηρουμένου Σλαβονικοῦ κώδηκος τῶν Εὐαγγελίων, ἐφ' οὗ οἱ βασιλεῖς τῆς Γαλλίας ὤμνυον τὸν συνήθη τοῖς βασιλεῦσιν ὅρκον, καθ' ἣν ἡμέραν ἐστεφανοῦντο. Ἄφαντος αἴφνης ἀπέβη (οὐ κατεφλέχθη) ἡ βίβλος αὕτη, ἐπὶ τῆς μανίας τῶν ὀχλαγωγῶν τῆς Δημοκρατίας (τῷ 1792)· καὶ εὕρηται μὲν ὕστερον, οὐδ' οὕτως ἀρχαῖος ἦν ὁ κώδηξ, ὡς ἐνομίζετο (ἀποδέδεικται γὰρ γεγραμμένος τῷ 1395) (α), ἀλλ' ἠδύνατο καὶ παλαιότερος εἶναι, καὶ διὰ παντὸς ἀφανισθῆναι.

§. κε. Τοιαύτας οἶμαι τὰς αἰτίας καὶ τῆς παντελοῦς ἐλλείψεως τῶν ἀρχαίων τῆς Παλαιᾶς Γραφῆς χειρογράφων, ὧν καὶ ἡ χρῆσις ἐλάσσων, καὶ ὁ ἀριθμὸς ὑπῆρχεν ὀλιγώτερος τῶν τῆς Καινῆς. Ὁ διαβόητος Πάπας Γρηγόριος Ζ, ὁ Ἰλδεβράνδος (τῷ 1074) ἠνάγκα-

(α) Βλ. La Chronique de Champagne, 1839. T. 1. p. 40. II. p. 204.— Kopitar, Hesychij Glossographi etc. p. 30. 65.

ζε τοὺς ἐν τῷ Σωζαβινῷ Μοναστηρίῳ τῆς Βοημίας μοναχοὺς, ἵνα, καταλιπόντες τὴν ἐν ταῖς ἱεροπραξίαις Σλαβονίδα γλῶσσαν, χρῶνται τῇ Λατινικῇ. Ἐκείνων δὲ μὴ βουληθέντων, καὶ φόβῳ φυγόντων, εἰσήχθησαν ἄλλοι μοναχοὶ λατινίζοντες, καὶ πάντα τὰ ἐν τῷ μοναστηρίῳ τεθησαυρισμένα παλαιὰ Σλαβονικὰ χειρόγραφα παραῤῥιφθέντα, κατεχαώθησαν. Καὶ Πάπας ἄλλος προγενέστερος, Ἰωάννης ὁ ΙΓ, διὰ διατάγματος (ἐκδοθέντος τῷ 968) ἀπηγόρευσε τοῖς δυτικοφρονήσασι Μοραυοῖς, μηκέτι χρῆσθαι γράμμασι καὶ βιβλίοις ἱεροῖς Σλαβονιστὶ γεγραμμένοις, ἀλλὰ λατίνοις. Ὅθεν ἠφανίσθησαν ἐξ αὐτῶν τῶν πρωτοσπόρων χωρῶν τῆς ἀποστολικῆς τοῦ Μεθοδίου διδασκαλίας πάντα τὰ ἀρχαῖα Σλαβονικὰ χειρόγραφα (α). Εἰς τοιαύτας αἰτίας μᾶλλον ἀποδοτέον τὴν ἐν τῇ Δύσει μάλιστα τῶν ἀρχαίων τῆς Παλαιᾶς Σλαβονικῶν χειρογράφων ἔλλειψιν (β). Ὥστε πάμπαν ἀδίκως ἐκ ταύτης τῆς ἐλλείψεως συμπεραίνεται ἡ μόλις κατὰ τὸν ιγ, καὶ ιδ, αἰῶνα μετάφρασις τοῦ Ἰὼβ καὶ τῶν Προφητῶν, καὶ μόλις κατὰ τὸν ιε, αἰῶνα ἡ μετάφρασις τῆς Πεντατεύχου! Καὶ ταῦτα διαπρυσίως ἀντιλέγοντος (καὶ ἄκοντος Δοβροβίσκου) ἐκείνου τοῦ ἀρχαίου καὶ ὁλοκλήρου (πάντα δηλαδὴ τὰ τεύχη τῆς Παλαιᾶς Γραφῆς περιέχοντος) χειρογράφου κώδηκος τῆς Μόσχας, ἐξ οὗ γέγονεν ἡ περίφημος ἔκδοσις ἡ Ὀστρόγειος, περὶ ἧς λέγομεν εὐθὺς, ἐν ἔτι προσθέντες, τὸ ἑξῆς. Ἀπὸ τοῦ μέσου τοῦ Θ, αἰῶνος μέχρι τοῦ ΙΑ, ὁπότε κατὰ μικρὸν διεσπαρὲν, ἤκμαζε καὶ ἐκαρποφόρει τὸ ζωηφόρον τῆς

(α) Βλ. Menken Collet. Scriptor. rer. Germaniæ. T. I. p. 1994. — Abhandlungen der Böhm. Gesellschaft der Wissenschaft. 1785. p. 136.

(β) Ὁ δὲ Κοπιτάριος αἰτίαν τῆς παρὰ τοῖς Δυτικοῖς ἐλλείψεως ταύτης ἄλλην ἐπενόησεν· ὅτι φησὶ τὰ πλεῖστα καὶ ἀρχαιότατα χειρόγραφα συνήχθησαν εἰς τὴν Ῥωσσίαν, ἐξ ἁπάντων τῶν ὀρθοδόξων μάλιστα Σλαβονικῶν χωρῶν (βλ. Glagolita Clozian. p. XII). Ἀλλ' ὤφειλεν ὁ σοφὸς ἀνὴρ προσθεῖναι, ὅτι καὶ ἐν αὐτῇ τῇ Ῥωσσίᾳ διετηρήθησαν ἀρχαῖοι κώδηκες αὐτόχθονες. Εἶχε δὲ τοῦτο μαθὼν παρὰ τοῦ περικλεοῦς Ἀλεξάνδρου Βοστοκόβου, Ῥώσσου φιλολόγου. Οὗτος δὲ πάντα τὰ ἐν τῇ Ῥωσσίᾳ Σλαβονικὰ χειρόγραφα διαιρεῖ εἰς τρεῖς τάξεις· α) ἀπὸ τοῦ Ι. μέχρι τοῦ ΙΓ. αἰῶνος, ἐκ τῶν πρώτων, τῶν ἐπὶ Μεθοδίου καὶ τοῦ Θ. αἰῶνος, μεταγραφέντα. β) Εἰς ἄλλα τοῦ ΙΔ—Ις. αἰῶνος· καὶ γ) τὰ ἀπὸ τοῦ ΙΖ κτλ. Ταύτην τὴν διαίρεσιν καὶ αὐτὸς ὁ Κοπιτάριος ἐπαινεῖ (αὐτόθ.)

Πίστεως δένδρον καθ' ὅλα τὰ πολυσπερῆ Σλαβονικὰ φῦλα, ἐπέμποντο πολλάκις καὶ πρόεδροι καὶ ποιμένες ἔκ τε τῆς Ῥωμαϊκῆς Ἐκκλησίας εἰς τὰς αὐτῇ ὑποκειμένας Σλαβονικὰς χώρας, οἷον τὴν Παννονίαν, Δαλματίαν, Μοραβίαν, καὶ τὰς ἄλλας τὰς τούτων ὁμόρους, καὶ ἐκ τῆς Κωνσταντινουπόλεως εἰς Βουλγαρίαν, καὶ Σερβίαν, καὶ εἰς αὐτὴν τὴν μεγάλην Ῥωσσίαν· καὶ σχολεῖα δὲ, καὶ Μοναστήρια μεγάλα, καὶ πεπαιδευμένοι κατὰ τόπους Ἐκκλησιαστικοὶ Σλάβονες ἱστοροῦνται (οἷος καὶ ὁ Νέστωρ ἐν τῇ Ῥωσσίᾳ, καὶ ἄλλοι ἀλλαχοῦ) (α). Πῶς οὖν ἄν τις πιστεύσειεν, ὅτι καὶ τότε καὶ μέχρι τοῦ ΙΕ, αἰῶνος, δι' ὅλων 700 ἐτῶν, ἔμειναν ὅλαι αἱ Σλαβονικαὶ Ἐκκλησίαι χωρὶς τῆς ἑρμηνείας τῆς Γραφῆς τῶν Προφητῶν; Ἀλλὰ τὸ πλείω λέγειν περὶ τῆς ἀτοπίας ταύτης τῆς γνώμης περιττόν. Ἡμεῖς δὲ προσαποδώσομεν καὶ τὴν περὶ ἧς προείπομεν (§. κ) δευτέραν γνώμην τῶν φιλολόγων, ἣν ἐξέφερον περὶ τῆς ὑπὸ Κυρίλλου καὶ Μεθοδίου μεταφράσεως.

§. κϛ. Ἄλτερος, σοφὸς ἐν Βιέννῃ χρηματίσας καθηγητὴς (τῷ 1793) τὸ γένος Σλάβος, δυτικὸς (ᾧ καὶ Ὅλμης ἐχρήσατο πρὸς ἃς παρέβαλεν ἐκ τῆς Σλαβονικῆς Γραφῆς ἀναγνώσεις ἐν τῇ περιφήμῳ ἐκδόσει τῶν Ο), ἐγνωμάτευσε σφόδρα παράδοξα· ὅτι τάχα οἱ Σλάβοι, διαβάντες ἐκ τῆς Ἀσίας εἰς τὸ Ἰλλυρικὸν καὶ τὰς ὁμόρους χώρας τῆς Ἰταλίας ὀλίγους αἰῶνας πρὸ τοῦ Κυρίλλου καὶ Μεθοδίου, ἐδιδάχθησαν ὑπὸ Λατίνων διδασκάλων τὴν εἰς Χριστὸν πίστιν» - (*Δέχου τὸν ὄρνιν, καὶ τὸν ἄνδρα τοῦ Θεοῦ!* καὶ ποῦ ποτε ἠκούσθη, εἴτ' ἐξ ἱστορίας, εἴτ' ἐκ παραδόσεως, οὕτω πρώϊμος τῶν Σλάβων Χριστιανισμός;). - «Καὶ φαίνεταί (φησιν) ἑρμηνεία τις τῆς παλαιᾶς Γραφῆς γενομένη πολὺ πρὸ τοῦ Κυρίλλου καὶ Μεθοδίου ὑπό τινων ἀγνώστων, οὐκ ἀπὸ τοῦ ἑλληνικοῦ κει-

---

(α) Ὁ Νέστωρ ἱστορεῖ, ὅτι καὶ σχολεῖα ἦσαν ἐν Ῥωσσίᾳ (περὶ τὸ 1050), καὶ ὅτι «Θεοδόσιος ὁ ἡγούμενος τῆς ἐν Κιαιβίῳ Λαύρας διελέγετο πρὸς τοὺς Ἰουδαίους» (πόθεν ἄλλοθεν εἰ μὴ ἐκ τῆς Π. Γραφῆς;). βλ. τῶν εἰς τὴν Ῥωσσικὴν τῶν Πατέρων ἔκδοσιν Προσθηκῶν, ἔτος Γ. σελ. 260 - 262. Μόσχᾳ 1845. — Karamsin, Histoire etc. T. 1. p. 272, 310. T. 2. p. 30, 46.

μένου τῶν Ο, ἀλλ' ἐκ τῆς λατινικῆς *Ἰτάλας*, ὡς μαρτυροῦσιν ἀρχαῖαι λατινίδες λέξεις κείμεναι ἐν τῇ Σλαβονικῇ Γραφῇ»· – (καὶ ὅμως αἱ λέξεις αὗται οὐ προῆλθον τὸ πρῶτον ἐκ τοῦ χριστιανισμοῦ) (α). – « Ἔγραψαν δὲ (λέγει) τὴν μετάφρασιν γράμμασι τοῖς λεγομένοις *Γλαγολικοῖς*, ἢ *Ἱερωνυμείοις*, καί τοι μετὰ τὸν Ἱερώνυμον εὑρεθεῖσιν (β). Ὕστερον δ' ἐπελθὼν ὁ Κύριλλος, ἐξεῦρεν ἕτε-

---

(α) Ἰδοὺ αἱ λέξεις· Krist (Ῥωσ. Krest), τὸ λατ. crux: Oleg (eleu) λατ. oleum. Pagan τὸ λατ. paganus. — Ἀλλ' ὅτι ταῦτα πολὺ καὶ πρὸ τοῦ χριστιανισμοῦ ὑπῆρχον παρὰ τοῖς Λατίνοις (ὡς καὶ παρ' Ἕλλησι τὸ ἔλαιον, καὶ ὁ σταυρός), πρόδηλον· καὶ τὸ λατ. paganus (ἐκ τοῦ ἑλλην. πάγος) εἴθιστο καὶ παρὰ τοῖς μεταγενεστέροις Ἕλλησι (Ἡσύχ. Σουΐδ.). Οὕτως ἔμαθον αὐτὰ καὶ οἱ δυτικώτεροι Σλάβοι τὸ πρῶτον, πολλῷ γε πρὶν ἔτι χριστιανίσωσιν (ὡσαύτως καὶ Γερμανικάς τινας φωνὰς ἐδανείσαντο οἱ τοῖς Γερμανοῖς ἐπιμιγέντες Σλάβοι, καθὰ κἀκεῖνοι παρὰ τούτων)· εἰθισμένοις δὲ ἤδη τοῖς λατίνοις τούτοις ὀνόμασιν ἐν τῇ Σλαβονικῇ διαλέκτῳ, ἐχρήσαντο καὶ οἱ περὶ τὸν Κύριλλον ἑρμηνεῖς τῆς θείας Γραφῆς, οἷς καὶ καθιερωμένοις ὕστερον πολὺ μᾶλλον οἱ Σλάβονες ἐχρῶντο· «Παγανοὶ τῇ τῶν Σκλάβων διαλέκτῳ ἀβάπτιστοι ἑρμηνεύονται» (Κωνστ. Πορφ. πρὸς Ῥωμανὸν κεφ. λϛ.).

(β) Εὐλαβὴς ἀπάτη (pia fraus) ἐγέννησε τὸ Γλαγολικὸν ἀλφάβητον μεταξὺ τοῦ ια καὶ ιγ αἰῶνος, ὡς ἔκρινεν ὀρθῶς παρατηρήσας ὁ σοφὸς Δοβρόβισκος. Κατὰ τὸ 1060 ἡ λατινόφρων ἐπαρχιακὴ Σύνοδος τοῦ Σπαλέτου (χώρας Δαλματικῆς) κατέκρινε τὴν ὑπὸ τοῦ ἁγίου Μεθοδίου γράμμασι καὶ γλώσσῃ Σλαβονικῇ μεθερμηνευθεῖσαν Λειτουργίαν (ᾗ καὶ Δαλμάται ἐχρῶντο), θεωροῦσα καὶ τὸν Μεθόδιον αὐτὸν ὡς αἱρετικὸν Γραικόν! καὶ διέταξε τὴν χρῆσιν τῆς Λατινικῆς. Ἐν δὲ τῷ μεταξὺ τοῦ 1060 καὶ 1222 χρόνῳ μοναχός τις, ἴσως, ἢ πρεσβύτερος Δαλμάτης (πόθῳ τῶν πατρῴων ἱερῶν ἐξοστρακιζομένων), σοφισάμενος, μετέβαλε τὰς μορφὰς τοῦ Κυριλλείου Ἀλφαβήτου (κρατήσας μόνας τὰς ἀρχαίας τούτων ὀνομασίας), εἰς τὰ νῦν Γλαγολικὰ στοιχεῖα, καὶ δι' αὐτῶν ἔγραψε Σλαβονιστὶ τὴν Λειτουργίαν, εὑρέτην τούτων ὀνομάσας τὸν (ἔτει 400 μ. Χ.) μακάριον Ἱερώνυμον, ὡς Δαλμάτην καὶ τοῦτον ὄντα (ἀπὸ Στριδῶνος). Ἤρεσε σφόδρα τοῖς Δαλμάταις ἡ ἀνακάλυψις τοῦ πατρῴου θησαυροῦ· καὶ τοῦ χρόνου προϊόντος ηὔξανεν ὁ πόθος τῆς ἀνακτήσεως αὐτοῦ. Μέχρις οὗ, ποτνιωμένοις αὐτοῖς συνεχώρησε, τέλος, ὁ πάπας Ἰννοκέντιος (τῷ 1248) τὴν χρῆσιν τῆς Σλαβονικῆς Λειτουργίας. Γράφει καὶ τὴν περικοπὴν τούτου τοῦ διατάγματος ὁ Δοβρόβισκος (Instit. præf. pag. VI. πρβλ. pag. 5). Συμφωνεῖ καὶ ὁ σοφὸς Ἐνδερσὼν (Biblical Researches etc. p. 67). Φανερὸν δὲ, ὅτι συνεχώρησε τὴν χρῆσιν τῆς Σλαβονικῆς Λειτουργίας ὁ Ἰννοκέντιος, οὐχ ὡς καὶ πρότερον ὑπὸ τοῦ πάπα Ἰωάννου τοῦ Η, προκεκυρωμένης (ὡς προείρηται), ἀλλὰ

ρὸν Ἀλφάβητον, τὸ ἐξ αὐτοῦ *Κυρίλλειον* ἐπονομασθὲν, καὶ κατ᾿ αὐτὸ μετέγραψε τὴν Λειτουργίαν, καὶ τὸ Ψαλτήριον, καὶ εἴτι ἄλλο

καθὸ γράμμασι γεγραμμένης διαφόροις τῶν τοῖς ὀρθοδόξοις Σλάβοις εἰθισμένων, καὶ ὑπὸ Γραικῶν τὸ πρῶτον ἐξευρημένων! (οὕτω καὶ παρὰ τοῖς λατινοφρονήσασι Πολωνοῖς παπική τις ἀπαίτησις ἐξέβαλε τὴν χρῆσιν τῶν Σλαβονικῶν γραμμάτων, ἀντιτάξασα λατινικοὺς χαρακτῆρας, οἷς χρῶνται καὶ τὴν σήμερον). Τοιαύτη γέγονεν ἡ γέννησις τῶν Γλαγολικῶν στοιχείων. Καὶ χωρὶς δὲ τῶν ἐκ τῆς ἱστορίας καὶ ἄλλων ἀποδείξεων, αὐτὸ τὸ φορτικὸν τῆς ἐκ τῶν Κυριλλείων γραμμάτων παραπλασθείσης αὐτῶν μορφῆς, καὶ τὸ πρᾶγμα δηλοῖ· εἰ γὰρ προϋπῆρχον γράμματα παρὰ τοῖς Σλάβοις, τί μὴ τούτοις οἱ περὶ τὸν Κύριλλον ἐχρήσαντο, καινὰ δέ τινα χωρὶς ἀνάγκης εἰσῆγον; Ἀλλὰ Βαρθολομαῖος ὁ Κοπιτάριος, βιβλιοφύλαξ τῆς ἐν Βιέννῃ Καισαρικῆς βιβλιοθήκης (Σλάβος τὸ γένος, ἐκ Καρνιολίας, Παννονικῆς ἐπαρχίας, δυτικὸς τὸ φρόνημα), τά τε ἄλλα πολυμαθὴς ἀνὴρ, καὶ περὶ τὴν φιλολογίαν τῶν Σλαβονικῶν διαλέκτων ἐξησκημένος, ἀντιλέγει δριμέως καὶ δηκτικῶς (ὡς εἴωθε, canino more) πρὸς τὸν ἐμβριθῆ καὶ ὁμόδοξον Δοβρόβισκον, πειρώμενος ἀποδεῖξαι τὰ Γλαγόλεια γράμματα πανάρχαια· Θέλει δὲ ταῦτα, τὸ μὲν πιθανώτατον, προϋπάρχοντα καὶ πρὸ τοῦ Κυρίλλου, πάντως δὲ ὅμως ἰσόχρονα τοῖς Κυριλλείοις. Καὶ ὁμολογεῖ μὲν, ὅτι πρῶτος ὁ Μεθόδιος διὰ τῶν νεωστὶ ἐξευρεθέντων γραμμάτων μετέφρασε, καὶ εἰσήγαγε τὴν Λειτουργίαν ἀπὸ τῆς ἀγορᾶς ἐπὶ τοῦ θυσιαστηρίου (de foro in aram), ἀλλ᾿ ὅμως πρῶτοι Σλάβων ἁπάντων (φησὶν) οἱ προπάτορες αὐτοῦ Παννόνιοι προϋπῆρχον ἤδη πρόπαλαι, καὶ ἕνα καὶ πλείους πρὸ τοῦ Μεθοδίου αἰῶνας, Χριστιανοὶ, κατηχηθέντες ὑπὸ Δυτικῶν ἱερέων, καὶ τούτων Γερμανῶν! (χάρις τῇ μετριοφροσύνῃ τοῦ Καρνιόλου τούτου σοφοῦ, ὅτι οὐκ ἐπεχείρησεν ἀποδεῖξαι τοὺς πατέρας αὐτοῦ μαθητὰς ἀμέσους αὐτοῦ τοῦ Ἀποστόλου Παύλου, τοῦ κηρύξαντος μέχρι τοῦ Ἰλλυρικοῦ. Ῥωμ. ιε, 19)· καὶ συνείρει πολλὰ, καὶ στρέφει πάντα ἄνω καὶ κάτω, καὶ συγκυκᾷ, ἡ σφενδάμνινος αὕτη τῆς σοφιστείας τορύνη. Καυχᾶται δὲ μάλιστα εἰς ὅπερ ἐξέδωκε τῷ 1836 δεῖγμα σελίδων τινῶν (περιέχουσι δὲ αὗται τρεῖς ἐκ τῶν ἀμφιβαλλομένων λόγους τριῶν πατέρων, Ἐπιφανίου, Χρυσοστόμου, Ἀθανασίου), σεσωσμένων ἔκ τινος ἀρχαίου κώδηκος γλαγολιστὶ γεγραμμένου, ὃν Γλαγολίταν Κλοζιανὸν (ἀπὸ Κλόζου τοῦ κτήτορος) ἐπιγράφει· θέλει δὲ τοῦτον πάντως ὁμήλικα τοῦ Ὀστρομιρείου κώδηκος (τῷ 1057)! Ἀλλὰ τὸ σαθρὸν τῶν αὐτοῦ ἐπιχειρημάτων ἀναλογεῖ πρὸς ἣν ἀείποτε καὶ πανταχοῦ πολλὴν ἐπιδείκνυται δυσμένειαν πρὸς πάντας τοὺς ὀρθοδόξους ὁμογενεῖς αὐτοῦ Σλάβους, καὶ τοὺς Ῥώσσους, ὡσαύτως δὲ καὶ πρὸς τοὺς Γραικούς. Ἴδε Barth. Kopitar, Glagolita Clozianus etc. p. III. IX. Vindobon. 1836. Καὶ τοῦ αὐτοῦ, Hesychij Glossographi discipulus et Ἐπιγλωσσιστὴς Russus etc. Vindobon. 1840. (Ἔχει δὲ τοῦτο ἄλλα τε, καὶ τεμάχιον Ἑλληνικοῦ Λεξικοῦ, Σλαβονιστὶ μεθηρμηνευμένου, καὶ γεγραμμένου ἐν Κωνσταντινουπόλει κατὰ τὸν ΙΒ αἰῶνα· Ῥώσσου τὸ πόνημα).

ἐκκλησιαστικὸν προϋπῆρχε γράμμασι γλαγολικοῖς μεθηρμηνευμένον. Ἡ δ' ἀρχέγονός (φησι) Σλαβονικὴ τῆς Γραφῆς ἑρμηνεία διέμεινεν ἐν χειρογράφοις ἄψαυστος καὶ ἀδιόρθωτος, μέχρι τοῦ ιδ, αἰῶνος· καθ' ὃν, καὶ ἐν τοῖς ἐφεξῆς δὲ χρόνοις, ἤρξαντο καὶ οἱ Σλάβονες *γραικίζειν*» – (ἤτοι τὰ τῆς *Γραικικῆς Ἐκκλησίας φρονεῖν*· ἐπειδὴ πάντες οἱ Σλάβονες ἐξ ἀρχῆς, οὐχ ὁρᾷς; ἐλατινοφρόνουν!!) – «Ὅθεν καὶ τοὺς *γλαγολειογράφους* κώδηκας τῆς ἐκ τῆς Ἰτάλας ἑρμηνείας, *καινονομοῦντες*, μετέπλαττον πρὸς τοὺς ἑλληνικοὺς τῶν Ο», κτλ. (α). Ταύτην τὴν Ἀλτέρειον εἴτε δόξαν, εἴτ' ὀνείρωξιν, κατησπάσαντο καὶ ἄλλοι, καί πως καὶ ὁ Βαταυὸς κριτικὸς Ἀμερσφῶρδος (β)· ἀλλ' ἤρκεσε πρὸς ἔλεγχον τῆς τοιαύτης ματαιοφροσύνης ὁ σοφὸς τοῦ Δοβροβίσκου κάλαμος (γ). Καὶ ταῦτα μὲν οὗτοι, καθ' ἓν μόνον ὁπωσδήποτ' ἀληθεύοντες, ὅτι θεωροῦσιν οὐ χθιζὴν, ἀλλὰ παλαιγενῆ τὴν κατὰ Σλάβονας μετάφρασιν τῶν Γραφῶν.

§. κζ. Τῆς δ' ἀληθογόνου Σλαβονικῆς ἑρμηνείας ἁπάσης τῆς Καινῆς καὶ τῆς Παλαιᾶς Γραφῆς πρώτη ἔκδοσίς ἐστιν ἡ διασημοτάτη, ἡ *Ὀστρόγειος*, δι' ἣν ἅπαντες οἱ Σλάβονες υἱοὶ τῆς Ὀρθοδόξου Ἐκκλησίας χάριτας ὁμολογοῦσι τῷ πρυτανεύσαντι τὴν ἐκτύπωσιν. Κωνσταντῖνος οὗτος ἦν, ὁ καὶ Βασίλειος ἐν τῷ θείῳ βαπτίσματι μετονομασθεὶς, ὁ εὐσεβέστατος Ὀςρογίας (πόλεως ἐν Βολυνίᾳ) καὶ Κιαιβίας ἡγεμών. Οὗτος πρῶτος ἐπεβάλλετο τύποις ἐκδοῦναι ὁλόκληρον τὸν κώδηκα τῆς ἐκ τῶν Ο Σλαβονικῆς Γραφῆς. Πέμψας οὖν εἰς Μόσχαν, ἐζητήσατο παρὰ τοῦ τότε βασιλέως *Ἰωάννου τοῦ Βασιλειάδου* ἀρχαῖα χειρόγραφα· καὶ οὗτος ἀπέστειλεν αὐτῷ χειρό-

(α) Βλ. τὰ Ἀλτέρου παρὰ Holmes præf. in ed. LXX.

(β) Amersfoordt, de var. Lection. Holmes. p. 104. Καὶ ἄλλος δέ τις λῆρος τοῦτο τὸ π ρ ω τ ο σ λ α β ι κ ὸ ν (ὡς φησὶν) ἀλφάβητον ἐφαντάσθη 100 ἐνιαυτοῖς Κυρίλλου παλαιότερον. Καὶ τρίτος δέ τις φιλοψευδὴς, Νικόλαος Ἀρβῆνσις, μεταγενεστέραν τινὰ Σλαβονικὴν μετάφρασιν τῆς Ἱερωνύμου ἐκ τοῦ ἑβραϊκοῦ λατινικῆς ἑρμηνείας τοῦ Ψαλτῆρος ἐξέδωκεν, ὡς ἂν τάχα 200 ἔτεσιν ἀρχαιοτέραν τοῦ Κυρίλλου. Ταῦτα τὰ γελοῖα στηλιτεύει ὁ σοφὸς Δοβρόβισκος (præf. pag. VII).

(γ) Dobrowsky Instit. præf. p. V—VII. καὶ p. 1—5.

γραφον ἀρχαιότατον, ἡλικίας 580 ἐτῶν, κατὰ τὴν ἑρμηνείαν τῶν Ο, ἐπὶ τοῦ ἀοιδίμου Βλαδιμήρου τοῦ μεγάλου γεγραμμένον (ὡς ὁ πρόλογος τῆς ἐκδόσεως διακηρύττει, περὶ οὗ καὶ ἐφεξῆς)· συνήγαγε δὲ καὶ ἐξ ἄλλων τόπων παντοῖα χειρόγραφα, καὶ ἐκ τῶν ἐν Βουλγαρίᾳ καὶ Σερβίᾳ μοναστηρίων· καὶ τέλος, πέμψας καὶ εἰς τὴν Κωνσταντινούπολιν πρὸς τὸν Πατριάρχην Ἱερεμίαν, παρεκάλεσεν, ἵνα πρὸς αὐτὸν ἐξαποστείλῃ ἄνδρας ἐγκρατεῖς τῆς ἑλληνίδος γλώσσης καὶ τῆς Σλαβονικῆς, φέροντας μεθ' ἑαυτῶν διωρθωμένα καὶ αὐθεντικὰ ἀντίγραφα πάσης τῆς θείας Γραφῆς· ἃ καὶ ἀπεστάλησαν αὐτῷ. (α) .Οὕτω παρεσκευάσθη καὶ ἐξεδόθη ἡ ἐν Ὀστρογίᾳ περίφημος ἔκδοσις, συντελεσθεῖσα τῷ 1581· ἔχει δὲ ταύτην Σλαβονιστὶ τὴν ἐπιγραφήν· «*Τὰ βιβλία τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης κατὰ τὴν Σλαβονικὴν διάλεκτον*». — [τὰ τῆς Παλαιᾶς] «Ἐκ τῆς Ἑβραϊκῆς εἰς τὴν Ἑλληνικὴν γλῶσσαν ὑπὸ τῶν ΟΒ θεοσόφων ἑρμηνευτῶν μεταφρασθέντα πρὸ τῆς σαρκώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔτεσι Τ (300), ἐκ πόθου καὶ διαταγῆς Πτολεμαίου τοῦ Φιλαδέλφου βασιλέως Αἰγύπτου. Κατὰ τὸ παραδοθὲν ἄθροισμα, σπουδῇ τε καὶ ἐπιμελείᾳ τῇ κατὰ δύναμιν, Θεοῦ βοηθοῦντος, κατὰ συνέχειαν ἐκδοθέντα καὶ διορθωθέντα, ἔτει ἀπὸ τῆς σαρκώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ͵ΑΦΠΑ». — Ἐφεξῆς ἀκολουθεῖ καὶ αὐτοῦ τοῦ Δουκὸς ἐπιστολή, τὰ περὶ τῆς ἐκδόσεως διαλαμβάνουσα Σλαβονιστὶ καὶ ἑλληνιστί. Λέγει δὲ καὶ ταῦτα κατὰ λέξιν· «Κἀγὼ Κωνσταντῖνος ἀγορευόμενος, καὶ ἐν ἁγίῳ βαπτίσματι *Βασίλειος*, χάριτι Σωτῆρος ἡμῶν Θεοῦ Δοὺξ Ὀστρογίας, Βοηβόδας Κιοβίας, καὶ πρόεδρος Βολινδίας· τοῖς (δὲ) ἐκλεκτοῖς ἐν Χριστῷ, καὶ πεφιλημένοις ἀδελφοῖς μὴ μόνον κατὰ σάρκα, ἀλλ' ἐν Πνεύματι ἁγίῳ, πάσοις (*πᾶσι*) τοῖς εὑρισκομένοις πανταχοῦ ἐν Σλαβικῇ γλώττᾳ (-ττῃ), τοῖς κοι-

---

(α) Βλ. καὶ Karamsin Histoire etc. T. 9. p. 59. — Schlözers Nestor 1. Bd. p. 41. 42.

νωνούσοις (-*νοῦσιν*) ἐν (γρ. *ἐκ*) πάσης τάξεως οὖν (*οἴασοῦν*;) ὀρθοδόξως κατὰ τὴν ἀποστολικὴν καὶ καθολικὴν Ἐκκλησίαν, [*ταπει*]-νῶς ἀγορεύω, ὅτι σὺν εὐλογίᾳ καὶ οἰκτιρμῷ καὶ φιλανθρωπίᾳ Θεοῦ, ἠβουλήθην ἀρχὴν ποιῆσαι καὶ ἰδεῖν με τὸ τέλος . . . τοῦ παρόντος κτλ. — Ἐν *ἔτει ἀπὸ κτίσεως κόσμου ἑπτακισχιλιοστῷ ὀγδοηκοστῷ ἐννάτῳ, καὶ Χριστογονίας, χιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ*· βοηδρομιῶνος ἱσταμένου ι. κτλ.

§. κη. Αὕτη τοίνυν ἡ Ὀστρόγειος ἔκδοσις βάσιν ἔσχε κυρίως τὸ ἐκ Μόσχας πεμφθὲν χειρόγραφον κείμενον τῆς Σλαβονικῆς ἑρμηνείας. Καὶ μένει μὲν διαπαντὸς ἀνεξάλειπτος ἡ μνήμη τοῦ πρώτην ταύτην τὴν ἀρχέγονον ἐν τύποις ἔκδοσιν τῆς θείας Γραφῆς κατωρθωκότος. Ἀλλ' ὅταν τις ἐνθυμηθῇ καὶ τοὺς χρόνους ἐκείνους, καθ' οὓς τὸ πρῶτον ἡ τυπογραφία τὰς βοῤῥειοτέρας χώρας εἰσῄει, καὶ τὴν ἀτέλειαν τῆς κριτικῆς περὶ τὴν τῶν ἀντιγράφων ἀντιβολὴν, οὐδόλως ἀπορήσει, οὐδ' ἀγανακτήσει (ὡς ἠγανάκτησαν οἱ περὶ τὸν Δοβρόβισκον) διὰ τὰ περί τε τὴν ὀρθογραφίαν, καὶ ἄλλα γραμματικὰ καὶ τυπογραφικὰ σφάλματα, καὶ τὴν ἔν τισι χωρίοις μεταλλαγὴν λέξεών τινων καὶ φράσεων τῶν Ο πρὸς τὰς τῆς Βουλγάτας (α). Σημειοῦσι ταύτας τὰς διαφορὰς ἐπιμελῶς οἱ νεώτεροι, νόμῳ κριτικῶν (β)· ἓν μόνον οὐ προστιθέντες· ὅτι πᾶσαι αἱ τοιαῦται παραλλαγαὶ, ὡς πρὸς τὸ ὅλον σῶμα τῆς ἐκ τῶν Ο Σλαβονικῆς ταύτης ἑρμηνείας, φαίνονται ὀλίγαι σταγόνες πρὸς βαθὺν ποταμόν. Ἔπειτα, ὁ τὰ κατ' ἐκείνους τοὺς χρόνους ἄφευκτα τῆς τυπογραφίας σφάλματα, καὶ τὰς παραλλαγὰς, ἐκ-

---

(α) Ἐκ τῆς Βουλγάτας προσέθηκαν οἱ ἐκδόται καὶ τρία τεύχη, τὸν Τωβὶτ, τὴν Ἰουδεὶθ, καὶ τὸν Α, Ἔσδραν, ἅπερ ἔλειπον ἐκ τοῦ τῆς Μόσχας ἐκείνου κώδηκος ἐκπεπτωκότα· διὸ καὶ ταῦτα ἐπισυνῆψαν, ὡς εὑρέθησαν ἴσως Σλαβονιστὶ μεθηρμηνευμένα ἔν τινι τῶν δυτικωτέρων κωδήκων, ὧν μετέφερεν ὁ Δοὺξ ἐκ τῶν ἐν Σερβίᾳ καὶ Βουλγαρίᾳ καὶ τῶν ὁμόρων Μοναστηρίων. Ἡ δὲ μετὰ ταῦτα φιλοπονηθεῖσα διωρθωμένη ἔκδοσις ἐπηνώρθωσε καὶ ταῦτα τὰ τεύχη ἀκριβῶς κατὰ τοὺς Ο, (βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 688—690. καὶ Dobrowsky Slavin p. 149).

(β) Βλ. Dobrowsky, Institut. praef. p. LII—LII. καὶ τὸν Ἄγγλον Henderson, Biblical Researches and Travels etc. pag. 86—88. London, 1826.

τραγῳδῶν δυτικὸς κριτικὸς ἐπελάθετο, ὡς ἔοικε, τὰ κατὰ τὴν αὐτὴν ἐποχὴν (τῷ 1590, 1592) περὶ τὴν ἔκδοσιν *τῆς Βουλγάτας* ἐπισυμβάντα παραπτώματα, καὶ ταῦτα ὑπ' αὐτῶν τῶν Παπῶν τὴν ἐπιτήρησιν. Κἀκεῖνο δὲ παράδοξον αὐτοσχεδιάζει. Οὐκ ἐθέλει παλαιὸν τὸ τῆς Μόσχας ἐκεῖνο χειρόγραφον, ἐφ' οὗ ᾠκοδομήθη ἡ Ὀστρόγειος ἔκδοσις, ἀλλὰ μόλις τοῦ ιε. αἰῶνος, οἷον καὶ ἄλλο (φησὶ) τῆς αὐτῆς ἡλικίας (τῷ 1499) χειρόγραφον, πᾶσαν τὴν παλαιὰν Γραφὴν περιέχον, διατηρεῖται ἐν τῇ τῆς Μόσχας Συνοδικῇ Βιβλιοθήκῃ· τούτου δὲ πάλιν ἕτερα ἀντίγραφα εὑρίσκονται δύω, γεγραμμένα τῷ 1558, «ὧν τὸ ἕτερον *νομίζω* (φησὶν) ἀπεστάλη πρὸς τὸν Δοῦκα Κωνσταντῖνον τὸν Βασίλειον, εἰς ἔκδοσιν τῆς Ὀστρογείας» (α). Καὶ ὅμως οἱ σοφοὶ ἐκδόται τῆς ὕστερον κατὰ τὸ 1751 διωρθωμένης ἐκδοθείσης Σλαβονικῆς Γραφῆς ἀποκλαίονται (οὐ *μάτην*, ὡς εἶπεν ὁ κριτικὸς) τὴν ἀπώλειαν ἐκείνου τοῦ ἀρχαίου χειρογράφου, γεγραμμένου κατὰ τοὺς χρόνους τοῦ Βλαδιμήρου (β). Αὐτὸς δὲ ὁ Δοβρόβισκος (πόθεν

(α) Βλ. Dobrowsky Institut. p. 701. καὶ Slavin pag. 148.

(β) Ἀλλὰ (φησιν ὁ Δοβρόβισκος) ὁ πρόλογος τῆς Ὀστρογείας ἐκδόσεως ἐννοεῖ οὐκ ἀντιγραφεῖσαν ἐπὶ τοῦ μεγάλου Βλαδιμήρου, ἀλλὰ τότε πρῶτον ἑρμηνευθεῖσαν πᾶσαν τὴν Παλαιὰν Γραφήν. - Ναὶ, τοῦτο νοεῖ· ἀλλ' οὐ συνεῖδεν, ἴσως, ὁ ἀνὴρ τὴν αἰτίαν, δι' ἣν ἐν τῷ προλόγῳ τῆς Ὀστρογείας ἐκδόσεως ἐῤῥέθη, ὅτι ἡ Σλαβονικὴ τῶν Ο μετάφρασις ἐγένετο ἐπὶ τοῦ ἁγίου Βλαδιμήρου· ἔστι δ', οἶμαι, ἡ ἑξῆς. Εἷς τῶν ἐκ Κωνσταντινουπόλεως ἀπεσταλμένων πρὸς Βλαδίμηρον διδασκάλων τῆς εὐσεβείας ὠνομάζετο Κύριλλος ὁ φιλόσοφος, ὡς ὁ Πολωνὸς Στρικωῦσκυς (Strikowsky) ἱστορεῖ ἐν τῇ χρονογραφίᾳ (σελ. 136), καὶ μετ' αὐτὸν ὁ ἱερὸς Δημήτριος ὁ Ῥωστοβίας (Συνόψ. χρονογραφ. σελ. 32. Μόσχᾳ, 1817). Κύριλλος δὲ (ὁ καὶ Κωνσταντῖνος) ὁ φιλόσοφος ἐκαλεῖτο καὶ ὁ μετὰ τοῦ ἀδελφοῦ Μεθοδίου (πλέον ἢ 100 ἐνιαυτοῖς πρὸ τοῦ ἁγίου Βλαδιμήρου) μεταφράσας Σλαβονιστὶ τὰς Γραφάς. Ἐκ δὲ ταύτης τῆς τῶν Κυρίλλων ὁμωνυμίας διεσπάρη ἡ δοξασία, ὅτι ἐπὶ Βλαδιμήρου μετεφράσθησαν αἱ Γραφαί· ἀλλὰ τοῦτο τοσοῦτον ἀποδέει τοῦ πρὸς τὴν ἱστορίαν τῆς ἑρμηνείας ποσῶς ἀντιφάσκειν, ὥστε καὶ ἐξ αὐτῆς τῆς τῶν ὁμωνύμων Κυρίλλων συγχύσεως βεβαιοῦται ἡ ὑπὸ Κυρίλλου καὶ Μεθοδίου μετάφρασις τῆς θείας Βίβλου. Ὅτι δὲ ἐπὶ τῆς Βλαδιμήρου βασιλείας καὶ ἓν καὶ πλείω τοῦ ἑνὸς ἀντίγραφα τῆς προϋφεστώσης Σλαβονικῆς τῶν θείων Γραφῶν ἑρμηνείας μετεγράφησαν, καὶ διεδόθησαν κατὰ μικρὸν εἰς

μαθών;) ἀποφαίνεται ἐξ εἰκασίας ἁπλῆς, ὅτι τὸ χειρόγραφον τῆς Ὀστρογείας ἐκδόσεως ὑπῆρχε πάντως θάτερον τῶν (ἐν οὐκ ὀλίγοις αὐτῆς διαφερόντων) δύω ἀντιγράφων, τῶν ἐν τῇ Συνοδικῇ τῆς Μόσχας βιβλιοθήκῃ τανῦν τηρουμένων. Κἀκεῖνο δ' ἐσφάλη βαρέως ὁ κριτικός· ὤφειλε γὰρ πάντως διορίσαι τὴν ἡλικίαν κἀκείνου τοῦ πρωτογράφου, ἐξ οὗ μετεγράφη τῷ 1499 τὸ κατὰ τὴν Μόσχαν ἀντίγραφον. Ὁ δὲ δείκνυσιν ἡμῖν, ὡς δῆθεν προλαβὸν παράδειγμα ὁλοκλήρου κώδηκος, τὴν κατὰ τὸ 1488 Βοημικὴν ἔκδοσιν ὅλης τῆς Παλαιᾶς Γραφῆς, ἥτις οὖσα κἀκείνη τῆς ἐκ τῶν Ο Σλαβονικῆς ἑρμηνείας, διεστράφη παρὰ τῆς Δυτικῆς ἐντρεχείας, συντριβεῖσα ἐν πολλοῖς καὶ προσβιασθεῖσα πρὸς τὸ κείμενον τῆς Βουλγάτας· ἀπέχει δὲ ταύτης ἡ Ὀστρόγειος, ὅσον οὐρανὸς ἄπεστι γαίης. Καὶ ὅμως οὐδὲ τῆς Βοημίδος ταύτης τὴν ἡλικίαν, οὐδ' ἐκ τίνος ἀντεγράφη κώδηκος, ἐξεμάσευσεν, ὡς ὤφειλε πάντως, ὁ κριτικός. Καὶ ταῦτα μὲν τοιαῦτα.

§. κθ. Τὸ δὲ κείμενον τῆς Ὀστρογείας διορθωθὲν ἐν πολλοῖς, ἐξεδόθη καὶ τῷ 1663, ἐν Μόσχᾳ. Καὶ, τέλος, ἐπὶ τῆς ἀοιδίμου αὐτοκρατορίσσης Ἐλισάβετ τῆς Πετρίδος, αὕτη ἡ Σλαβονικὴ Γραφὴ, μετὰ πολυχρονίου καὶ λιπαρᾶς ἐπιμελείας ἀντιβληθεῖσα πρὸς τὸ τῶν Ο κείμενον, καὶ διορθωθεῖσα, ἐξεδόθη ἐν Μόσχᾳ τῷ 1751, μετὰ καὶ καλοῦ προλόγου, ἐν ᾧ οἱ ἐκδόται τὰ περὶ τῆς ἐκδόσεως ἱστοροῦσι. Κατὰ ταύτην τὴν ἔκδοσιν καὶ νῦν ἐκτυποῦται, καὶ ἔστιν ἐν χρήσει ἡ

τὰς ἁπανταχοῦ τῆς Ῥωσσίας συνισταμένας Ἐκκλησίας, πρόδηλον. Διὰ τοῦτο καὶ ὁ πρόλογος τῆς ἐπὶ Ἐλισάβετ ἐκδόσεως (τῷ 1751), μετάφρασιν, ἢ μεταβολὴν (prevod) μετωνυμικῶς ὠνόμασεν αὐτὸ τὸ ἀπὸ τῶν Βλαδιμήρου χρόνων ἔχον τὴν ἀρχὴν ἀντίγραφον τῆς Σλαβονικῆς ἑρμηνείας, ὅπερ ἀπέστειλε πρὸς τὸν Δοῦκα τῆς Ὀστρογίας ἐκ τῆς Μόσχας ὁ βασιλεὺς Ἰωάννης, καὶ οὗ τινος ἀπογράφου (οὐ γὰρ δήπου τῆς παρούσης ἑρμηνείας) τὴν ἀπώλειαν ὁ πρόλογος ἀποκλαίεται. Ὅθεν καὶ ὁ κλεινὸς Καραμιζῆνος ἀπαντῶν πρὸς τὸ ζήτημα· εἰ ἐπὶ τοῦ Βλαδιμήρου, ἢ πολλῷ πρότερον (ὑπὸ Κυρίλλου καὶ Μεθοδίου) μετεφράσθησαν αἱ Γραφαί· προτιμᾷ καὶ ἀποφαίνεται τὸ δεύτερον ὡς ἀληθές. « Εἰ γὰρ (φησιν) ἐπὶ τοῦ μεγάλου Βλαδιμήρου ἐγίνετο ἡ μετάφρασις, οὐκ ἂν τοῦτ' ἀπεσιώπησεν ὁ μικροῦ δεῖν σύγχρονος αὐτῷ γενόμενος Νέστωρ » κτλ. (Karamsin Histoire etc. T. I. p. 312).

Σλαβονικὴ τῶν Ο μετάφρασις παρὰ πᾶσι τοῖς Ὀρθοδόξοις τῶν Σλαβόνων λαοῖς, καὶ ἐν αὐτῇ τῇ ἁγιωτάτῃ Ῥωσσικῇ Ἐκκλησίᾳ, ἥτις ἀνέκαθεν καὶ εἰς αἰῶνας τὴν κατὰ τοὺς Ο Γραφὴν, ἐν ᾗ κατὰ Χριστὸν ἐγεννήθη, ὡς ἁγίαν καὶ αὐθεντικὴν πιστῶς ὁμολογεῖ καὶ διακηρύττει· «Ὅν περ» (φησὶν ἡ ἁγιωτάτη Σύνοδος τῆς Ῥωσσίας ἐν τῇ πρὸς τὴν ἀοίδιμον αὐτοκρατόρισσαν Ἐλισάβετ προσφωνητικῇ ἐπιστολῇ.) «Ὅν περ πάλαι τὸ Πνεῦμα τὸ ἅγιον δακτύλῳ τῶν θείων αὐτοῦ Προφητῶν τε καὶ Ἀποστόλων κατέγραψε λόγον, τοῦτον νῦν, ἐπὶ τῆς εἰρηναίας καὶ εὐθηνούσης βασιλείας τῆς ὑμετέρας αὐτοκρατορικῆς, ἱερωτάτης Μεγαλειότητος, πρὸς ψυχοσωτήριον ὠφέλειαν παντὸς τοῦ ὀρθοδόξου Χριστιανικοῦ ἔθνους (τὸν μὲν, πρωτότυπον, ὑπὸ τῶν *ἐνδόξων ἐκείνων καὶ θεοσόφων ΟΒ ἑρμηνευτῶν* ἐκ τῆς ἑβραϊκῆς [ἣν ὁ Κύριος ἐλάλησε] γλώσσης, εἰς τὴν *ἑλληνικὴν* μεθηρμηνευμένον· τὸν δὲ ἕτερον, ἀρχέγονον, ὑπὸ τῶν Ἀποστόλων αὐτοῦ *ἑλληνιστὶ* γεγραμμένον), συμφωνότερον, σπουδαιότερον, πιστότερον εἰς τὴν Σλαβονικὴν διάλεκτον ἐπιδιορθωθέντα, καὶ τυπωθέντα, – προσφωνεῖ τῇ ὑμετέρᾳ Μεγαλειότητι, – Ἡ ΣΥΝΟΔΟΣ ». Τῶν Ο τὴν ἑρμηνείαν καὶ νῦν καὶ εἰσαεὶ διακρατεῖ, καὶ διδάσκει, ἡ μεγάλη ἐκείνη καὶ ἐν Χριστῷ πολύτεκνος καὶ καλλίτεκνος Ἐκκλησία, καὶ δαψιλῶς διαδίδωσι μετὰ τῶν θείων Εὐαγγελίων εἰς τὴν ἀχανεστάτην αὐτῆς ἐπικράτειαν, μέχρι καὶ τῆς Ἀρκτῴας Ῥωσσικῆς Ἀμερικῆς, καὶ τῶν παραλίων τῆς Καλιφορνίας, ὅπου κᾀκεῖ δι᾽ αὐτῆς καὶ τῶν πολυζήλων αὐτῆς λειτουργῶν *ἀπεκάλυψεν ἤδη τοῖς ἔθνεσιν* ὁ Θεὸς τὸ σωτήριον τῆς Ὀρθοδόξου Πίστεως φῶς (α).

§. λ. Συμπεραίνομεν τὸ περὶ τῶν ἀρχαίων εἰς ἄλλας γλώσσας μεταφράσεων τῶν Ο, κεφάλαιον, χρυσῆν ἐπιθέντες κορωνίδα, τοὺς λόγους

(α) Ἴδε τὸ, Ὁδηγὸς εἰς τὴν βασιλείαν τῶν Οὐρανῶν, ἐπιγεγραμμένον σύνταγμα, ἐκ τῆς Ῥωσσικῆς ἐξελληνισθὲν ὑπὸ Ἀλεξάνδρου τοῦ Παγκάλου, ἐν τῷ Προοιμίῳ σελ. 1-9, ἐκδ. Ὀδησσῷ 1843. Πρβλ. καὶ τῶν Ῥωσσιστὶ ἐκδεδομένων εἰς τὴν ἔκδοσιν τῶν ἁγίων Πατέρων Προσθηκῶν. Ἔτος Α. σελ. 185, 451.—Β. σελ. 91.—Γ. σελ. 319-324. —Δ. σελ. 269-274.

τοῦ Χρυσοῤῥήμονος· «Ἆρ᾽ οὐκ εἰκότως πάντα ἐσβέσθη ἐκεῖνα» (τὰ ψευδῆ τῶν φιλοσόφων δόγματα) «καὶ ἠφανίσθη τέλειον; εἰκότως, καὶ κατὰ λόγον. Ἀλλ᾽ οὐ τὰ τοῦ ἰδιώτου καὶ ἀγραμμάτου οὕτως· ἀλλὰ καὶ Σύροι, καὶ Αἰγύπτιοι, καὶ Ἰνδοὶ (α), καὶ Πέρσαι, καὶ Αἰθίοπες, καὶ μυρία ἕτερα ἔθνη εἰς τὴν αὐτῶν μεταβαλόντες γλῶτταν τὰ παρὰ τούτου δόγματα εἰσαχθέντα, ἔμαθον, ἄνθρωποι βάρβαροι, φιλοσοφεῖν» (εἰς Ἰωάν. Ὁμιλ. Β. σελ. 10, Τόμ. η).

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ τῶν ἐν χειρογράφοις ἀρχαίων ἐκδόσεων τοῦ κειμένου τῶν Ο, καὶ τῶν ἐν ταῖς μεταγενεστέραις ἐπισημοτέρων ἐκτυπώσεων αὐτοῦ.

§. α. Τρεῖς ἀριθμοῦνται παρὰ τοῖς ἀρχαίοις ἐκδόσεις τοῦ κειμένου τῆς ἑρμηνείας τῶν Ο. 1) ἡ τῶν Ὠριγένους Τετραπλῶν καὶ Ἑξαπλῶν. 2) ἡ τοῦ ἱερομάρτυρος Λουκιανοῦ. 3) ἡ τοῦ ἁγίου Ἡσυχίου. Λέγομεν δὲ περὶ τούτων ἑξῆς, διαλαβόντες πρῶτον περὶ τοῦ ὀνόματος τῆς *Κοινῆς*.

§. β. Ἡ *Κοινὴ* λεγομένη ἔκδοσις αὐτή ἐστιν ἐκείνη ἡ μία καὶ μόνη τῶν Ο μετάφρασις, ἣν ἀνέκαθεν ἡ Ἐκκλησία παρέλαβε, καὶ τηρεῖ, καὶ χρήσεται εἰς αἰῶνας ἔν τε ταῖς θείαις αὐτῆς ἁγιστείαις, καὶ ἐν πάσαις ταῖς ἰδίαις καὶ δημοσίαις τῶν Ὀρθοδόξων μελέταις καὶ συγγραφαῖς καὶ διδασκαλίαις. Καὶ μέχρι μὲν Ὠριγένους οὐδ᾽ ὠνομάζετο ὅλως Κοινή, ἀλλ᾽ ἁπλῶς ἡ *Γραφή*, καὶ ἡ κατὰ τοὺς Ο Γραφή, ἢ οἱ Ο. Οὕτως αὐτὸς Ὠριγένης ὠνόμασεν αὐτὴν πολλάκις· οἷον, «τὸ μὲν (ἀντίγραφον) ἦν *κατὰ τοὺς Ο*, τὸ δὲ ἕτερον κατὰ Θεοδοτίωνα» (ἐπιςτ. πρὸς Ἀφρικ. καὶ ἀλλαχοῦ). Εἶπε δέ που *κοινὰ*

(α) Ὅτι καὶ κατὰ τὴν Ἰνδίαν (ὅπου μετὰ τὸν Ἀπόστολον Θωμᾶν, καὶ Πάνταινος ἐκήρυξε τὸ Εὐαγγέλιον. βλ. ὄπισθ. σελ. 435, καὶ Βιβλ. Β. σελ. 301) εὑρίσκετο ἀρχαία τις ἐκ τῶν Ο Ἰνδικὴ ἑρμηνεία, μάρτυς ὁ Πατήρ. Ἀλλὰ καὶ τὴν σήμερον παρὰ τοῖς ἐκεῖ ἑτεροδόξοις χριστιανοῖς ἐπικρατεῖ ἡ χρῆσις τῆς χρονολογίας καὶ τῆς ὅλης ἑρμηνείας τῶν Ο (βλ. καὶ Hody p. 547).

καὶ τὰ ἀντίγραφα τῶν Ο, ὡς κοινῶς παρὰ τοῖς χριστιανοῖς ἀναγινωσκόμενα, πρὸς ἀντιδιαστολὴν τῶν ἑβραϊκῶν. «*Κατὰ μὲν τὰ κοινὰ τῶν ἀντιγράφων οὕτω,-κατὰ δὲ τὸ ἑβραϊκὸν*» κτλ. (κατὰ Κέλσ. ε). Μετὰ δὲ τὴν ἔκδοσιν τῶν Ὠριγένους Ἑξαπλῶν ἡ κοινῶς καὶ συνήθως ἀναγινωσκομένη Γραφὴ τῶν Ο, προσέλαβε παρά τισι τῶν ἐφεξῆς σχολιαστῶν καὶ οἷον ἴδιον ἐπώνυμον τὸ τῆς *Κοινῆς*, πρὸς διαστολὴν τῆς ἐν τοῖς Ἑξαπλοῖς τοῦ Ὠριγένους μετὰ τῶν κριτικῶν σημείων ἐκδοθείσης (α). Ταύτην δὲ καὶ ἰδίως ἀπεκάλουν τοὺς Ο, προστιθέντες, ὡς ἐπὶ τὸ πλεῖστον, καὶ τὸ ὄνομα *τῶν Ἑξαπλῶν*, πρὸς διάκρισιν τῶν ἐν τοῖς Ἑξαπλοῖς παραλλήλως αὐτῇ παρακειμένων ἑρμηνειῶν, τοῦ Ἀκύλα, καὶ Θεοδοτίωνος, καὶ τῶν λοιπῶν. Οὕτως ὁ Θεοδώρητος· «Ταῦτα οὔτε τὸ ἑβραϊκὸν ἔχει, οὔτε οἱ ἄλλοι ἑρμηνευταὶ, οὔτε οἱ Ο ἐν τῷ Ἑξαπλῷ» (εἰς Ψαλμ. ξδ, καὶ ἀλλαχοῦ). Ἄλλος δέ τις παλαιὸς ἀνώνυμος Σχολιαστὴς (εἰς Ζαχαρ. ιϐ) καὶ ῥητῶς διακρίνει τοὺς Ο ἀπὸ τῆς *Κοινῆς* (καὶ μάλιστα ἐν οἷς οὐκ ἔδει)· οἷον, «Ἀναγκαίως ἐσημειωσάμεθα, ἵνα γνωσθῇ, ὅτι ἀδιαφόρως οἱ Ἀπόστολοι *ποτὲ τῇ τῶν Ο, ἄλλοτε τῇ Κοινῇ*, ἄλλοτε τῷ ἑβραϊκῷ ἀκολουθοῦντες, παρατιθενται τὰς χρήσεις» (ὡς ἂν εἴπερ ἦσαν καὶ ἐπὶ τῶν Ἀποστόλων Ἑξαπλᾶ!). πολλάκις δὲ, τέλος, ἁπλῶς καὶ ἀδιαφόρως *οἱ Ο* καλεῖται καὶ ἡ Κοινὴ, καὶ τὸ κείμενον τῶν Ἑξαπλῶν (Εὐσέϐ. Ἐκκλ. Ἱστορ. ς, 16). Καὶ αὐτὸς ὁ Ἱερώνυμος ἀδιακρίτως «*τοὺς Ο*» λέγει, καὶ τὴν Κοινὴν καὶ τὴν Ἑξαπλαίαν. καὶ ἔτι σαφέστερον· «*Ἡ Κοινὴ ἔκδοσις, ἡ αὐτή ἐστι καὶ ἡ τῶν Ο*» (εἰς Ἡσαΐ. κς, 9: λ, 20: Ἐπις. πρὸς Σουν. καὶ Φρετέλ.). Τί γὰρ ἕτερον ὑπῆρχε καὶ ἐν αὐτοῖς τοῖς Ὠριγένους *Ἑξαπλοῖς*, εἰμὴ αὐτὴ ἡ Κοινὴ, ἡ μία καὶ μόνη ἑρμη-

---

(α) Οὕτω καὶ ἡ κατ' Ἀριστοτέλην ἔκδοσις τοῦ Ὁμήρου (ἡ ἀπὸ τοῦ Νάρθηκος) ὠνομάζετο παρὰ τοῖς Ἕλλησι Κοινὴ, ὡς συνηθεστέρα, πρὸς διάκρισιν ἄλλων ἐκδόσεων αὐτῆς (οἷον τῆς τοῦ Ἀριστοφάνους, τοῦ Ζηνοδότου, κτλ. ἢ καὶ τῶν κατὰ τόπους, οἷον τῆς Μασσαλιωτικῆς, καὶ Ἀργολικῆς, καὶ Κρητικῆς καὶ Κυπρίας). Ὅθεν ὁ Εὐστάθιος (εἰς Ἰλιάδ. Ω. στίχ. 214) «Αἱ Κοιναὶ, ἤγουν αἱ πλείους ἐκδόσεις γράφουσι οὕτω» κτλ.

νεία τῶν Ο, φέρουσα τὰ παραρτήματα τῶν κριτικῶν σημείων μετὰ τῶν κατηστερισμένων ἐκ τοῦ Θεοδοτίωνος προσθηκῶν; (α)

§. γ. Πρώτη τοίνυν ἔκδοσις τῆς Κοινῆς παρίσταται πρῶτον ἡ ὑπὸ τοῦ Ὠριγένους ἔν τε τοῖς Τετραπλοῖς κἀν τοῖς Ἑξαπλοῖς καταχωρισθεῖσα, περὶ ὧν προδιελάβομεν (κεφ. ε. §. οη). Καὶ ὅτι μὲν καὶ ἐπ' Ὠριγένους ὑπῆρχον ἐν τῇ Ἐκκλησίᾳ τετηρημένα ἀκριβῆ τῶν Ο ἀντίγραφα, οἷς καὶ οἱ θεῖοι Πατέρες (τοσοῦτοι δὴ καὶ τηλικοῦτοι τὴν θείαν καὶ ἀνθρωπίνην σοφίαν) καὶ ἰδίᾳ καὶ δημοσίως ἐχρῶντο, μόνοις τοῖς πυῤῥωνισταῖς ἔξεστιν ἀμφιβάλλειν· ἵνα γὰρ τ' ἄλλα παραλίπωμεν, αὐτὸς Ὠριγένης μνημονεύει *τὰ ἀκριβέστερα τῶν ἀντιγράφων* (ὄπισθ. σελ. 461). Μήποτε δὲ καὶ ἐν τῇ Κατηχητικῇ Σχολῇ τῆς Ἀλεξανδρείας, ἧς καὶ οὗτος μετὰ τὸν διδάσκαλον αὐτοῦ Κλήμεντα προέστη (καὶ μετ' αὐτὸν Ἡρακλᾶς, καὶ ἄλλοι τοιοῦτοι), μηδὲ κατ' ἐκείνην τὴν Σχολὴν ἐσῴζοντο τῶν Ο ἀκριβῆ ἀντίγραφα; ἐξηγοῦντο δὲ καὶ Πάνταινος καὶ Κλήμης καὶ Ὠριγένης τὰς θείας βίβλους ἐξ ἀντιγράφων διεσφαλμένων; (βλ. Εὐσεβ. Ἐκ. Ἱσ. ς, 14, 15, 24). Ἰουστῖνος δὲ ὁ μάρτυς (Ἀπολογ. β), καὶ ὁ Τερτυλλιανὸς (Ἀπολογ. §. 18), καὶ μετ' αὐτὸν ὁ θεῖος Χρυσόστομος (κατὰ Ἰουδ. ὁμ. α) παραδεδώκασιν, ὅτι καὶ αὐτόγραφα τῆς Ἑρμηνείας τῶν Ο, ἐν ταῖς κατ' Ἀλεξάνδρειαν βιβλιοθήκαις ἔτι κατ' αὐτοὺς ἐσῴζοντο (βλ. καὶ ὄπισθ. σελ. 461). Κἂν ἀντιλέγωσιν οἱ φιλεριστοῦντες, ἀλλ' ἐκεῖνο γοῦν οὐκ ἂν ἀρνηθεῖεν, ὅτι τῶν ἀρχαίων

(α) Ὅθεν ἔλεγε καὶ ὁ Βαλέσιος· « ἡ ἐν τοῖς Ἑξαπλοῖς ἑρμηνεία τῶν Ο, τὸ μὲν ἦν Κοινή, τὸ δ' οὐκ ἦν. Κοινὴ μὲν γὰρ ἦν, ὡς ἐκ τῆς ἐκδόσεως τῆς Κοινῆς εἰλημμένη, Κοινὴ δὲ πάλιν κυρίως οὐκ ἦν, ὡς ὑπ' Ὠριγένους διορθωθεῖσα, καὶ ἐκ τῆς Θεοδοτίωνος κατὰ τόπους ἀναπληρωθεῖσα ». Πρὸς δὲ ταῦτα μάτην ἀντιλέγει Ὅδιος διακρίνων τὸ κείμενον τῆς Κοινῆς ὡς πάντῃ διεφθορός (σελ. 609). Τὰς δ' ὑπὸ τοῦ Ὑσσερίου (πόσον ἀναξίως τῆς αὐτοῦ πολυμαθείας!) ἐπὶ συκοφαντίᾳ τῶν Ο πλασθείσης ματαιολογίας, « ὅτι ἄρα ἦσαν ἐν αὐτοῖς τοῖς Ἑξαπλοῖς δύω ἐκδόσεις τῶν Ο, ἡ μὲν, ἀκριβὴς καὶ γνησία, ἡ δὲ κοινὴ διεφθαρμένη, ᾗ κοινῶς ἐχρῶντο αἱ Ἐκκλησίαι »! ταύτας τὰς σολοικοφωνίας ἐξεῤῥάπισε γενναίως ὁ γεράσμιος Βάλτων, ἐξελέγξας τὸ ψεῦδος τετραγωνικῶς (Walt. Proleg. IX. §. 26-28). πρβλ. Vossij de LXX. p. 296. — Fabricy, Des titres primitifs etc. T. 2. p. 17.

πρωτοτύπων ἀντίγραφα διετηροῦντο πάντως κατὰ τὴν Ἀλεξάνδρειαν. Ὅτι δὲ καὶ αὐτὸς ὁ Ἱερώνυμος (εἰς Ἰεζεκ. δ) μέμνηται κωδήκων τῆς τῶν Ο, ἑρμηνείας ἀδιαφθόρων, ὀψόμεθα μετ' ὀλίγον (α). Ἀλλὰ σὺν πᾶσι τούτοις, οὐκ εἰς μάτην ἐπόνησεν Ὠριγένης τὴν ἔκδοσιν τῶν Τετραπλῶν καὶ Ἑξαπλῶν. Οὐδὲν τῶν βιβλίων τῆς τοῦ κόσμου σοφίας ἀντεγράφη τοσάκις, καὶ ἐν τοσαύταις χώραις τῆς Οἰκουμένης, ὡς τὰ τεύχη τῆς θείας Γραφῆς. Διὰ δὲ τὰς πολλὰς καὶ πυκνὰς ἀντιγραφὰς εἰσεῤῥύησαν καὶ εἰς πολλὰ τῶν Ο, ἀντίγραφα οὐκ ὀλίγα σφάλματα, ὡς αὐτὸς Ὠριγένης φησί (βλ. ὄπισθ. σελ. 460). Ταῦτα τοίνυν τὰ σφάλματα διώρθωσεν Ὠριγένης, πρός τε τὰ ἀκριβέστερα τῶν ἀντιγράφων παραβαλὼν, εἶτα δὲ (χάριν πλείονος βεβαιώσεως) καὶ πρὸς τὰς μεταγενεστέρας καὶ παρὰ τοῖς Ἰουδαίοις θρυλλουμένας ἐκδόσεις τῶν τριῶν, Ἀκύλα, Θεοδοτίωνος, Συμμάχου, ἃς καὶ καταγράψας παρέθηκε πρὸς τῷ κειμένῳ τῶν Ο, δεικνύων συγχρόνως καὶ τὰς πρὸς τούτους ἐκείνων διαφοράς. Ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι ἐσυκοφάντουν τὴν ἐξελέγχουσαν αὐτοὺς Ἑρμηνείαν τῶν Ο, ὡς μὴ γνησίως ἡρμηνευμένην, προβάλλοντες πρὸς ἀπόδειξιν, οὐ μόνον τὰς συμφώνους τῷ κατ' αὐτοὺς ἑβραϊκῷ τρεῖς μεταφράσεις τῶν περὶ τὸν Ἀκύλαν, ἀλλὰ καὶ εἴ τινας εὕρισκον ἔν τισι τῶν ἀντιγράφων τῶν Ο, διεσφαλμένας ἀναγνώσεις, διὰ ταῦτα ὁ θαυμάσιος Ἀδαμάντιος ἐπενόησε τὸ ἔργον τῶν Τετραπλῶν. Ἐν δὲ τούτοις κατέγραψε μὲν τὸ κείμενον τῶν Ο, κατὰ τὰ ἀκριβέστατα τῶν ἀντιγράφων (ὡς προείπομεν). Παρέβαλε δὲ παραλλήλους πρὸς τούτῳ καὶ τὰς εἰρημένας τῶν τριῶν ἰουδαϊζούσας μεταφράσεις, ὅπως ἀθρόας αὐτὰς ἔχωσιν ὑπ' ὄψιν οἱ Χριστιανοί· καὶ θεωροῦντες τὰς διαφορὰς, καταφωρῶσι μὲν πρὸς τοὺς διαλεγομένους Ἰουδαίους αὐτῶν τε τῶν μεταφράσεων, ἑπομένως δὲ καὶ τοῦ, ἐξ οὗ ἐπήγασαν, νεωτέρου ἑβραϊκοῦ τὸ νόθον ἐν πολλοῖς καὶ παρηλλαγμένον, στηρίζωνται δὲ ἐπὶ τῆς ἀληθείας καὶ

(α) Ἴδε τὸν κλεινὸν Βάλτωνα, ὀρθῶς καὶ ἐπιστημόνως τὰ περὶ τούτου διαλαμβάνοντα. Proleg. IX. §. 24.

γνησιότητος τοῦ κειμένου τῆς τῶν Ο ἑρμηνείας, ἣν ὡς μόνην θείαν καὶ κυρίαν εἶχον παραλαβόντες παρὰ τῶν Ἀποστόλων· (Ἐπεγράφη δὲ τὸ πόνημα *Τετραπλᾶ*, καθὸ τέσσαρας περιέχον ἑρμηνείας, κατὰ στήλας ἴσας παραλλήλως γεγραμμένας, καὶ τεταγμένας οὑτωσὶ, Α, Σ, Ο, Θ. βλέπε παρακατιὼν, §. η). Ἀλλ᾽ ἐν τούτοις τρία τινὰ σημειωτέον, ὡς καὶ ὁ κλεινὸς παρετήρησεν Ὅλμης. α) Μόνας τὰς συγχρόνους ἑνός τινος (καὶ τούτου βεβαίως αὐθεντικοῦ καὶ τὰ πάντα γνησίου) πρωτοτύπου κειμένου γενομένας μεταφράσεις ἔνεστιν ἀκινδύνως καὶ ἀσφαλῶς παραβάλλειν πρὸς ἀλλήλας, καὶ διαλλάττειν, καὶ, εἰ δέοι, καὶ πρὸς τὸ κείμενον διορθοῦν. Τὸ δ᾽ ἀρχαίαν τινὰ ἑρμηνείαν, ἐκ τοῦ κατ᾽ ἐκείνους τοὺς χρόνους κειμένου γεγενημένην, ἀντιβάλλειν πρὸς ἄλλας πολλῷ νεωτέρας καὶ ἐκ νεωτέρου πονηθείσας κειμένου, καὶ ταύτας διαλλάττειν ἐπιχειρεῖν (ὡς ἂν τὰς πάσας ἐξ ἑνὸς ἀμεταβλήτου καὶ ὅλως ἀκραιφνοῦς διατηρηθέντος πρωτοτύπου, καὶ ὑπὸ μεταφραστῶν ἐπίσης ἐμπείρων εἰλικρινῶς ἡρμηνευμένας), οὐκ ἂν εἴη πρᾶγμα βέβαιον καὶ ἀσφαλές. Ὅθεν ὁ θαυμάσιος Ὠριγένης καί τοι παραβαλὼν πρὸς τοὺς τρεῖς τὸ κείμενον τῆς τῶν Ο Κοινῆς, οὐ παρέβη τὰ ὅρια τοῦ καθήκοντος τῆς τε συνέσεως καὶ τῆς εὐσεβείας. Καὶ γὰρ, Β) Εἴ τινας εὗρεν ἐν τῇ Κοινῇ τῶν Ο τόπους, περιττῶς προστεθεῖσθαι δοκοῦντας, οὓς οὐκ εἶχον οἱ λοιποὶ ἑρμηνεῖς, οὐδεμίαν εἰς τούτους ἐπήνεγκεν Ὠριγένης μεταβολὴν, ἀλλ᾽ ὡς εἶχον οὕτως ἐξέδωκεν ἐν τοῖς Τετραπλοῖς, εὖγε ποιῶν καὶ λίαν ὀρθῶς. Οὐδὲ γὰρ αὐτὸς ἠπίστατο (καὶ πάντως οὐδ᾽ ἐπίστευεν), οὔτε ὅτι καὶ οἱ τρεῖς (πρὸς οὓς παρέβαλε τὸ κείμενον τῶν Ο) τὰ πάντα πιστῶς ἡρμήνευσαν, μηδὲν μηδόλως ἐκ τοῦ κατ᾽ αὐτοὺς κειμένου παραλιπόντες, οὔτε ὅτι καὶ τὸ κείμενον, ἐξ οὗ μετέφρασαν (μετὰ τέσσαρας αἰῶνας ὅλους καὶ ἐπέκεινα, ἀφ᾽ οὗ μεθηρμήνευσαν οἱ Ο) περιῆλθε καὶ εἰς αὐτοὺς ἁγνὸν τὰ πάντα καὶ ὁλοσχερὲς καὶ ἀκολόβωτον, οἷον ὑπῆρχεν ἐξ ἀρχῆς. Γ) Οὐδὲ τοὺς περιττεύοντας μὲν ἐν ταῖς ἑρμηνείαις τῶν τριῶν, ἐλλείποντας δὲ τῆς Κοινῆς τῶν Ο τόπους, οὐδὲ τούτους προσέθηκεν Ὠριγένης, ἀναμίξας ἐν τοῖς

Τετραπλοῖς (ὥς τινες τῶν κριτικῶν, ἐνόμισαν ψευδῶς). Οὔτε γὰρ αὐτὸς εἶπε τοιοῦτό τι Ὠριγένης, οὔτ' ἐξ ἄλλων ἀρχαίων φαίνεται μαρτυριῶν. Καὶ ἐξέδωκε λοιπὸν ὁ Ἀδαμάντιος ἐν τοῖς Τετραπλοῖς τὸ κείμενον αὐτὸ τῆς Κοινῆς τῶν Ο, καθαρὸν καὶ ἀμετάβλητον, οἷον ἐξ ἀρχῆς ἐν τῇ Ἐκκλησίᾳ διετηρεῖτο, μήτε κολοβωθὲν καὶ περικαρὲν, μήτε πάλιν προσθήκας τινὰς προσλαβὸν, ἢ ὅλως ἀλλοιωθὲν, (πρὸς τὸ παράδειγμα τῶν παρακειμένων τριῶν ἑρμηνειῶν). Μόνας δὲ τὰς ἔν τισι τῶν ἀντιγράφων εἰσρυείσας προφανεῖς πλάνας τῶν γραφέων διώρθωσε· καὶ ταύτας, πρὸς τοὺς ἀκριβεστέρους κώδηκας τῶν Ο παραβαλών.

§. δ. Μετὰ τὴν ἐν τοῖς Τετραπλοῖς ἔκδοσιν τοῦ κειμένου τῆς τῶν Ο Κοινῆς, ἐξέδωκεν Ὠριγένης καὶ ἐν τοῖς Ἑξαπλοῖς τοῦτ' αὐτὸ τὸ κείμενον, ὅπερ εἶχε διορθώσας ἐν τοῖς Τετραπλοῖς (α). Δείκνυται δὲ τὸ πρᾶγμα σαφῶς ἔκ τινων ἀρχαίων παρασημειώσεων, προσγεγραμμένων εἰς τὸν Ἡσαΐαν τοῦ Μαρχαλείου λεγομένου κώδηκος τῶν Ο, ἐν αἷς γέγραπται ταῦτα. «Μετελήφθη ὁ Ἡσαΐας ἀπὸ ἀντιγράφου τοῦ Ἀββᾶ Ἀπολιναρίου, ἐν ᾧ καθυποτέτακτο ταῦτα. Μετελήφθη ὁ Ἡσαΐας ἐκ τῶν κατὰ τὰς ἐκδόσεις Ἑξαπλῶν· ἀντεβλήθη καὶ πρὸς ἕτερον Ἑξαπλοῦν, ἔχον τὴν παρασημείωσιν ταύτην. Διώρθωνται ἀκριβῶς πᾶσαι αἱ ἐκδόσεις· ἀντεβλήθησαν γὰρ πρὸς *Τετραπλοῦν Ἡσαΐαν*, ἔτι δὲ καὶ πρὸς *Ἑξαπλοῦν*» κτλ. Καὶ πάλιν εἰς τὸν Ἰεζεκιὴλ παρασεσημείωται ταῦτα· « Με-

---

(α) Ὁ Εὐσέβιος ἱστορήσας τὰ περὶ τῶν Ἑξαπλῶν, ἐπιφέρει· « ἰδίως τὴν Ἀκύλου καὶ Συμμάχου καὶ Θεοδοτίωνος ἔκδοσιν ἅμα τῇ τῶν Ο ἐν τοῖς Τετραπλοῖς ἐ π ι κ α τ α σ κ ε υ ά σ α ς» (Ἐκ. ἱστ. ς, 16). Τοῦτο δὲ τὸ ἐ π ι κ α τ α σ κ ε υ ά σ α ς παρέσχε τισὶν ἀφορμὴν ὑπολαβεῖν, ὅτι μ ε τ ὰ τὰ Ἑξαπλᾶ κατεσκεύασεν Ὠριγένης τὰ Τετραπλᾶ! Καὶ Ὅδιος μὲν ἐνόμισεν, ὅτι ὁ Εὐσέβιος ἔγραψεν ἁπλῶς, κατασκευάσας, ὡς ἔχουσί, φησι, καί τινες κώδηκες, καὶ Σουΐδας (p. 603). Ἀλλ' οὐ κινητέον (οἶμαι) τὴν γραφήν. Οὔτε γὰρ τὸ ἐ π ι κ α τ α σ κ ε υ ά σ α ς ἀναφέρει τὴν ἔννοιαν εἰς τὰ προηγούμενα Ἑξαπλᾶ, καὶ ἡ ἐ π ὶ σημαίνει τὴν προσθήκην τῶν ἅμα τῇ τῶν Ο παρατεθειμένων ἐκδόσεων τῶν λοιπῶν τριῶν. Ὅτι δὲ πρὸ τῶν Ἑξαπλῶν κατεσκεύασεν Ὠριγένης ἰ δ ί ω ς τὰ Τ ε τ ρ α π λ ᾶ, παρὰ πᾶσι τοῖς ἀρχαίοις, καὶ τοῖς τῶν νεωτέρων ἐπισημοτέροις ὡμολόγηται.

τελήφθη δὲ ἀπὸ ἀντιγράφου τοῦ Ἀββᾶ Ἀπολιναρίου τοῦ κοινοβιάρχου, ἐν ᾧ καθυπόκειται ταῦτα. Μετελήφθη ἀπὸ τῶν κατὰ τὰς ἐκδόσεις *Ἑξαπλῶν*, καὶ διωρθώθη ἀπὸ *τῶν Ὠριγένους αὐτοῦ Τετραπλῶν, ἅτινα καὶ αὐτοῦ χειρὶ διώρθωτο, καὶ ἐσχολιογράφητο*. Ὁ Εὐσέβιος ἐγὼ σχόλια παρέθηκα· Πάμφιλος καὶ Εὐσέβιος διωρθώσαντο» (α). βλ. καὶ ἐφεξῆς §. ις.

§. ε. Ἐν τῷ τῶν Ο κειμένῳ, ὃ κατέστρωσεν Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς, ἐνέγραψε καὶ τὰ τέσσαρα κριτικὰ σημεῖα, τὸν *ὀβελὸν* καὶ τὸν *ἀστερίσκον*, καὶ τὸν *λημνίσκον*, καὶ τὸν *ὑπολημνίσκον*, περὶ ὧν προδιελάβομεν· σημειοῦμεν δὲ καὶ νῦν ἤδη τὰ εἰκότα.

§. ς. Ὁ μὲν οὖν ὀβελὸς ἐδήλου λέξεις τινάς, ἢ φράσεις, ἔστι δ' ὅπου καὶ περιόδους, κειμένας μὲν παρὰ τοῖς Ο ἔν τε τῇ Κοινῇ καὶ ἐν τοῖς Τετραπλοῖς, μὴ κειμένας δὲ ἐν τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς. Ἀλλὰ καὶ ἐν τούτοις σημειωτέον τὰ ἑξῆς. α) Ἐν οἷς προσέγραφε τὸν ὀβελὸν ὁ Ὠριγένης, τοῦτ' ἤθελεν ἀποδεῖξαι· ὅτι ταῦτα τὰ ἀναγνώσματα ἔλειπον *ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ* καὶ τῶν περὶ τὸν Ἀκύλαν ἑρμηνευτῶν, πρὸς ἁπλῆν γνῶσιν τῶν μόνοις τοῖς Ο χρωμένων χριστιανῶν· «ἵνα φησὶ γνώριμον ἡμῖν ᾖ τὸ τοιοῦτο·—ἵνα μὴ προφέρωμεν αὐτοῖς (τοῖς Ἰουδαίοις) τὰ μὴ προσκείμενα ἐν τοῖς ἀντιγράφοις αὐτῶν» (π. Ἀφρικ. §. ε). Καὶ τοῦ παντὸς λοιπὸν ἐσφάλησαν οἱ νομίσαντες, ὅτι Ὠριγένης προσέγραφε τοὺς ὀβελούς, ὑποδεικνύων δῆθεν, ὅτι τὰ ὀβελιζόμενα οὐκ ἔκειντο οὐδ' *ἐν τῷ κατὰ τοὺς χρόνους τῶν Ο ἑβραϊκῷ*! (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 89). β) Ὅσα παρεσημειώθησαν διὰ τοῦ ὀβελοῦ ἐν τοῖς Ἑξα-

---

(α) Ἐκ τοῦ ἀνωτέρω Μαρχαλείου κώδηκος ἐξέδωκεν ὁ Κυρτέριος (Curterius) τὸν Ἡσαΐαν μετὰ τῶν ὑπομνημάτων τοῦ Προκοπίου. Ἐκ δὲ τούτου τοῦ κειμένου λείπουσιν οἱ ὀβελοί, τοὺς δ' ἀστερίσκους προσέθηκεν ὁ ἐκδότης ἐν τῷ περισελίδῳ. Καὶ ἄλλο ἀντίγραφον Ἡσαΐου καὶ Ἱερεμίου γέγραπται χωρὶς ὀβελῶν, καὶ σπανίους ἀστερίσκους ἔχον, οἷον καὶ Ὑσσέριος ἐξέδωκε τὴν βίβλον τῆς Ἐσθήρ, προσθεὶς αὐτὸς τοὺς ὀβελοὺς (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 583). Ἄλλων τῆς Γραφῆς τευχῶν (τῆς Πεντατεύχου, τοῦ Ἰησοῦ, τῶν Κριτῶν) ἀποσπάσματα μετὰ σημείων εἶχεν ὁ Οὐόσσιος (βλ. Hody pag. 619). Περὶ δὲ τῆς περιφήμου Συριακῆς τῶν Ἑξαπλῶν ἑρμηνείας προείπομεν σελ. 836. πρβλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 93.

πλοῖς, διέμειναν ἀπαρασήμαντα καὶ εἰλικρινῆ ἔν τε τοῖς Τετραπλοῖς, καὶ ἐν πᾶσι τοῖς ἀντιγράφοις τῆς Κοινῆς· ὡσαύτως καὶ ἐν ταῖς ἐκδόσεσι τοῦ Λουκιανοῦ καὶ τοῦ Ἡσυχίου (περὶ ὧν ἐφεξῆς). γ) Ὅτι ἦσαν καί τινα τῆς Κοινῆς ἀναγνώσματα, μάτην ὀβελιζόμενα ἐν τοῖς Ἑξαπλοῖς, ὡς μὴ κείμενα παντάπασιν ἐν τῷ ἑβραϊκῷ. Εἰ γὰρ ἀπῆσαν ἐκ τῶν Ὠριγένει συγχρόνων ἑβραίων ἀντιγράφων καὶ τῶν τριῶν ἑρμηνευτῶν, ἀλλ' ἐσῴζοντο ἐν ἄλλοις μερικοῖς ἑβραίοις ἀντιγράφοις, ὡς μαρτυροῦσιν ὀλίγαι μὲν ἀποσωθεῖσαι, σαφεῖς δὲ ὅμως καὶ ἀναντίῤῥητοι δείξεις· οἷον οἱ δύω περίφημοι στίχοι τοῦ κα, κεφ. τοῦ Ἰησοῦ, οὓς Ὠριγένης μὲν ὠβέλισεν ὡς λείποντας ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ, περιέχουσι δὲ τούτους αἱ χαλδαϊκαὶ παραφράσεις, καὶ ἄλλαι τῶν ἀρχαίων ἑρμηνειῶν, καθὰ προείπομεν (Βιβλ. Γ. σελ. 93). Καὶ ταῦτα μὲν περὶ τοῦ Ὀβελοῦ.

§. ζ. Διὰ δὲ τοῦ ἀστερίσκου παρεσημείου Ὠριγένης ὅσα, λείποντα ἐκ τῆς ἑρμηνείας τῶν Ο, προσετίθει ἐκ τοῦ ἑβραϊκοῦ, μεταγράφων ἐκ τῆς ἑρμηνείας τοῦ Θεοδοτίωνος. Σημειωτέον δὲ κἀν τούτοις, α) Ὅτι ὁ Ὠριγένης προσέθηκε τὰ λείποντα ἐκ τῶν Ο, οὐχ ὡς νομίζων (καθά τινες εἶπον), ὅτι οὕτως εἶχε καὶ ἐπὶ τῶν Ο, τὸ κείμενον τὸ ἑβραϊκὸν, ἀλλ' *ἵνα* (φησὶ) *τοῖς Ἰουδαίοις προσδιαλεγόμενοι, συγχρηοώμεθα καὶ τοῖς φερομένοις παρ' ἐκείνοις* (σελ. 459). β) Ὅτι πάνυ γλίσχρως καὶ λεπτολόγως προσετίθει καὶ εἴτι κείμενον ἐξ ἀνάγκης ἐν τῷ ἑβραϊκῷ κατὰ τὴν ἑβραΐζουσαν φράσιν, παρέλιπον οἱ Ο, ὡς ὑπονοούμενον κατὰ τὸ ἰδίωμα τῆς φράσεως τῆς ἑλληνικῆς. Τοῦτο μαρτυρεῖ ὁ θεῖος Ἐπιφάνιος, φέρων παράδειγμα τὸ ἑξῆς ἑβραϊκὸν (Γενέσ. ε)· «ἔζησεν Ἀδὰμ 30 *ἔτος*, καὶ 900 *ἔτος*», ὅπερ οἱ Ο ἑλληνίζοντες, ἔγραψαν «30 καὶ 900 *ἔτη*». Ὠριγένης δὲ πρὸς τῷ 30 κατηστέρισε καὶ τὸ *ἔτη*. γ) Ὅτι κατηστέριζεν ἐνίοτε καὶ προσθήκας ἐσφαλμένας ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ· οἷον τὸ δὶς ἐν τῷ ιζ ψαλμῷ κατὰ παρεγγραφὴν ἐπανειλημένον· «*χάλαζα καὶ ἄνθρακες πυρὸς*», καὶ τὸ «ἐν *μαρμάρῳ*» τοῦ Ἰερεμίου, περὶ ὧν προείπομεν (Βιβλ. Γ. σελ. 94). δ) Ὅτι ὁ ἀστερίσκος τῶν Ἑξαπλῶν, ἀπολύτως θεωρούμενος, προσεκτᾶτο

δικαίωμα ὑπερόριον καὶ ὑπέρμετρον· ἐσήμαινε γάρ, ὅτι τὸ κατηστερισμένον ἀνάγνωσμα ἐξέλειπεν ὁλοτελῶς ἐκ τῆς ἑρμηνείας τῶν Ο· τὸ δ' οὐχ οὕτως εἶχε· περιώριστο δὲ μόνον ἡ δεῖξις ἐν οἷς εἶδεν Ὠριγένης ἀντιγράφοις (εἶδε δὲ πάντως οὐ πάντα). Ὑπῆρχον δὲ δήπου καὶ ἄλλοι τῶν Ο κώδηκες, οὓς οὐκ ἐξήτασεν Ὠριγένης, φέροντές τινα τῶν καταστερισθέντων· καὶ τοιοῦτο φαίνεται τὸ τοῦ Ἱερεμίου (ιζ, 1) «Ἁμαρτία Ἰούδα γέγραπται» κτλ. (βλ. ὄπισθ. σελ. 473)· παράγει δὲ καὶ Ὅλμης τοιαῦτα παραδείγματα (προλόγ. τμ. 7). ε) Ὅσα κατηστέρισεν ἐκ τοῦ Θεοδοτίωνος ἐν τῷ κειμένῳ τῶν Ο, πολλὰ τούτων ὑπῆρχον αὐτῶν τῶν Ο, ἐκπεσόντα μὲν ἐκ τῶν ἀντιγράφων, ἃ διώρθου Ὠριγένης, ἀποσωθέντα δὲ παρὰ τῷ Θεοδοτίωνι, ὅστις συνήθως τοῖς Ο παρηκολούθει, καὶ τἀκείνων πολλάκις ἀντέγραφε κατὰ λέξιν. Ἔδειξε δὲ τὸ πρᾶγμα. «Ἐν γὰρ τῷ Ἡσαΐᾳ (κγ, 13) ἦσαν κατηστερισμένα, ὡς ἂν ἐκ τοῦ Θεοδοτίωνος, τὰ ἑξῆς· «*Ἐθεμελίωσαν αὐτὴν εἰς Σηεὶμ, ἔστησαν ἐπάλξεις αὐτοῦ, ἐξήγειραν βάρεις αὐτῆς*»· ἀλλὰ τούτων τῶν κατηστερισμένων «αὐτὸς Ὠριγένης μέμνηται ὡς τῶν Ο, ἐν τῷ κε, τόμῳ τῶν εἰς Ἡσαΐαν», ὡς μαρτυρεῖ τρανῶς ὁ παλαιὸς Σχολιαστὴς τοῦ Μαρχαλείου κώδηκος (ἴδε καὶ τὸν Ὅδιον σελ. 611). Ἄλλο ῥητὸν τοῦ Ἱερεμίου (ια, 8), κείμενον (ὡς κεῖται καὶ νῦν) ἐν τῷ ἑβραϊκῷ, ἔλειπεν ἐκ τῶν παρ' Ὠριγένει κωδήκων τῶν Ο· (ὡς ἔλειπε καὶ ὕστερον ἐπὶ τοῦ Ἱερωνύμου). Τοῦτο τοίνυν προσέθηκεν Ὠριγένης ἐκ τοῦ Θεοδοτίωνος μετὰ ἀστερίσκου· «*Καὶ οὐκ ἤκουσαν, καὶ ἐξέκλιναν τὸ οὖς αὐτῶν, καὶ ἐπορεύθησαν ἀνὴρ ἐν τῇ εὐθύτητι τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς, καὶ ἐπήγαγον ἐπ' αὐτοὺς πάντας τοὺς λόγους τῆς διαθήκης ταύτης, ἧς ἐνετειλάμην ποιῆσαι αὐτοὺς, καὶ οὐκ ἐποίησαν*» (α). Ἀλλ' αὐτὰ ταῦτα κεῖνται μὲν παρὰ τῷ Θεοδωρήτῳ, κεῖνται δὲ καὶ ἐν τῇ ἀρχαιοτάτῃ, καὶ μήτ' ἐκ τοῦ Θεο-

---

(α) Μόνον τὸ «οὐκ ἐποίησαν» κεῖται ἐν τῷ Βατικανῷ· ἐν δὲ τῷ Ἀλεξανδρινῷ προσέθηκε καὶ τὰ λοιπὰ ὁ Γράβης ὑπ' ἀστερίσκῳ.

δοτίωνος, μήτε ἐκ τῶν Ἑξαπλῶν προελθούσῃ Ἰτάλᾳ, καὶ παρὰ τῷ ταύτῃ χρησαμένῳ γηραιῷ Τερτυλλιανῷ (α). Ὥστε καὶ ὁ Θεοδοτίων ἀντέγραψε τὴν ῥῆσιν αὐταῖς λέξεσιν ἐκ τῶν Ο, ἐκπέπτωκε δ', ὡς ἔοικεν, ἐξ ὧν Ὠριγένης ἐξήταζεν ἀντιγράφων. Καὶ ἦν ἄρα οὐ σμικρὸς ὁ κίνδυνος Ὠριγένει, καταστερίζειν ἐνίοτε εἰς τὸ τῶν Ο κείμενον ὡς ἴδια τοῦ Θεοδοτίωνος ἀναγνώσματα, καὶ ὅσα οὗτος μετέγραψεν ἐξ ἐκείνων. Πολλοὶ δὲ τῶν ἀντιγραφέων, εἴπερ ἤθελον αὐτὸ καὶ ἄκρατον τὸ τῶν Ο κείμενον ἐκ τῶν Ἑξαπλῶν ἀντιγράφειν, παρέβλεπον ἂν τὰ κατηστερισμένα, ὡς πάντα δῆθεν ἐκ τοῦ Θεοδοτίωνος προελθόντα. Οὕτω (φησὶν Ὅλμης) καὶ ὁ Μάσιος οὐκ ὀρθὴν ἔοικε τὴν κρίσιν ἐξενεγκὼν, ἐν οἷς ἔγραψε περὶ τῆς Ἀλδείας, ἢ Ἑνετικῆς ἐκδόσεως τῶν Ο, ὅτι ἄρα ἔστι μὲν αὕτη παράδειγμα τῆς Κοινῆς ἑρμηνείας, ἀλλ' οὐ καθαρὸν, οὐδ' ἀμιγὲς λέξεών τινων τοῦ Θεοδοτίωνος.

§. ζ. Ἐκ τῶν εἰρημένων συμπεραίνεται καθόλου, πόσον ἐπισφαλῶς ἐν πολλοῖς τοὺς Ο κατεδίκασαν, ὅσοι τῆς τούτων ἑρμηνείας κριτήριον ἔστησαν ἀλάνθαστον τοὺς ἐν τοῖς Ἑξαπλοῖς ὀβελοὺς, καὶ τοὺς ἀστερίσκους τῶν ἐκ τοῦ Θεοδοτίωνος προσθηκῶν. Περὶ δὲ τῶν ἑτέρων δύω κριτικῶν τοῦ Ὠριγένους σημείων τοῦ *λημνίσκου* καὶ τοῦ *ὑπολημνίσκου*, ἄλλως παρ' ἄλλοις ἐξηγουμένων, ἱκανοῦσι τὰ προῤῥηθέντα (Βιβλ. Β. σελ. 860).

§. η. Ἡ δὲ τάξις τῶν ἐν τοῖς Ὠριγένους Ἑξαπλοῖς διαφόρων κειμένων τῆς Γραφῆς, κατὰ στήλας παραλλήλως γεγραμμένων, εἶχεν οὕτως (β). Ἡ πρώτη στήλη περιεῖχε τὸ κείμενον τὸ ἑβραϊκὸν,

---

(α) « Et non audierunt, et non adverterunt aurem suum; sed abierunt in ijs quæ concupiscerunt corde suo malo » (τουτ. ἐν τῇ καρδίᾳ αὐτῶν τῇ πονηρᾷ· οὕτω καὶ Θεοδοτίων, ἐν τῇ σκολιότητι τῆς καρδίας αὐτῶν· παρὰ δὲ τῷ Ὠριγένει καὶ Θεοδωρήτῳ « ἐν τῇ εὐθύτητι » ὅπερ ὁ Δρούσιος ὑπώπτευσεν ὡς ἡμαρτημένον· βλ. καὶ Montfauc. Hexapl. in h. l.

(β) Ἡ Στήλη ἐκαλεῖτο καὶ Σελὶς καταχρηστικώτερον, κατ' ἄλλο σημαινόμενον τῆς σελίδος, δηλούσης οὐ μόνον τὴν καὶ παρ' ἡμῖν συνήθη σελίδα (τὸ καταβατὸν), ἀλλὰ καὶ τὸ μεταξὺ δύω στηλῶν, ἢ σειρῶν, ἐμπεριλαμβανόμενον ἄγραφον κενόν. Ὅθεν εἶπον σελίδα καὶ τὴν στήλην αὐτήν. Ὁ δ' Εὐσέ-

γράμμασι γεγραμμένον ἑβραϊκοῖς· ἡ β, τὸ αὐτὸ ἑβραϊκὸν κείμενον γράμμασιν ἑλληνικοῖς (χάριν τῶν μαθητιώντων ἀναγινώσκειν ἑβραϊστί)· ἡ γ, τὴν Ἀκύλα ἑρμηνείαν, ἐπιγεγραμμένην διὰ τοῦ ἀρκτικοῦ στοιχείου Α· ἡ δ, τὴν Συμμάχου διὰ τοῦ Σ. ἡ ε, τὴν τῶν Ο, διὰ τοῦ *οἱ Ο*· ἡ ϛ, τὴν τοῦ Θεοδοτίωνος, διὰ τοῦ Θ. Ἐπειδὴ δὲ ὕστερον εὗρεν Ὠριγένης καὶ ἑτέρας δύω ἀνωνύμους ἑρμηνείας, τὴν μὲν ἐν Νικοπόλει κατὰ τὸ Ἄκτιον, τὴν δ' ἐν Ἱεριχοῦντι κεκρυμμένην ἐν πίθῳ, προσέθηκε καὶ ταύτας κατόπιν τοῦ Θεοδοτίωνος, ἐπιγράψας τῇ μὲν τὸ ϛ, τῇ δὲ τὸ Ζ (ἑβδόμη) (α)· καὶ οὕτως ἀπέ-

---

βιος καὶ κῶλον αὐτὴν ὠνόμασε· «Ταύτας τὰς ἑρμηνείας ἁπάσας εἰς ἓν συναγαγὼν, διελών τε πρὸς κῶλον, καὶ ἀντιπαραθεὶς ἀλλήλαις» κτλ. (Ἐκκλ. ἱστορ. ϛ, 16)· ὅπου τὸ πρὸς κῶλον οὐ σημαίνει τὴν εἰς κῶλα διαίρεσιν τῶν γραφομένων, κατὰ τὴν γραμματικὴν τοῦ κώλου σημασίαν (ὡς ὑπέλαβεν ὁ Βαλέσιος), ἀλλ' αὐτὸ τὸ πρὸς σελίδα, ἤτοι στήλην (ἔστι γὰρ τὸ κῶλον οἷον πούς τις, καὶ σκέλος, ἢ μέλος καὶ μέρος τοῦ εἰς τέσσαρας, ἢ ἓξ στήλας διαιρουμένου καταβατοῦ)· καὶ μάρτυς ὁ Νικηφόρος (Ἐκκλησ. Ἱστορ. ε, 11), ὅστις ἀπέδωκεν αὐτὰ τὰ τοῦ Εὐσεβίου οὑτωσί· «ἀντιπαραθεὶς ἀλλήλαις (τὰς ἐκδόσεις), καὶ διελὼν ἐν μιᾷ ἑκάστῃ (ἴσ. γρ. ἑκάστην) σελίδι» κτλ. Ὅθεν καὶ Τετρασέλιδα, καὶ Ὀκτασέλιδα παρά τισι τῶν Σχολιαστῶν ὠνομάζοντο τὰ Τετραπλᾶ καὶ Ἑξαπλᾶ. Εἶπον δὲ καὶ Πεντασέλιδον, ἐξ οὗ ἔλειπεν ἴσως τὸ κείμενον τὸ ἑβραϊκὸν (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 324). Ὅσοι δὲ τῶν νεωτέρων ἐπλανήθησαν περὶ τὴν διαίρεσιν, καὶ τὴν σημασίαν τῶν Ἑξαπλῶν καὶ Ὀκταπλῶν, τούτους ἐξελέγχει ὀρθῶς Ὅδιος (σελ. 600).

(α) Ὁ Ἱερώνυμος (εἰς Ἀββακ. β, καὶ εἰς Τίτ. γ. καὶ ἐν τῷ Καταλόγῳ, λέξ. Ὠριγένης) καὶ ἑβδόμης μέμνηται ἑρμηνείας, εὑρεθείσης ὑπ' Ὠριγένους. Ὡσαύτως καὶ πρὸ τούτου ὁ Εὐσέβιος ὀνομάζει καὶ ἑβδόμην «ἐν τοῖς Ἑξαπλοῖς τῶν Ψαλμῶν» (Ἐκκλ. Ἱστορ. ϛ, 16). Ὅθεν καὶ ὁ Ζωναρᾶς τὴν ἑβδόμην εἶπεν εἰς μόνους τοὺς ψαλμοὺς (καὶ ἴσως οὐδ' εἰς ὅλους). «Ἐν δὲ τοῖς ψαλμοῖς καὶ ἑβδόμης μέμνηται ἑρμηνείας» (Ζωναρ. εἰς Σεβῆρ. οὕτω καὶ Νικηφόρ. Ἐκκλ· Ἱστορ. Ε. 11. ἴδε καὶ Ὅδιον σελ. 592). Ὅθεν οὐδὲ μετέβαλε τὴν σύστασιν καὶ ἐπιγραφὴν τῶν Ἑξαπλῶν καὶ Ὀκταπλῶν, ἐν οἷς πάντες συμφωνοῦσιν ἓξ καὶ μόνας ἐμφέρεσθαι τὰς ἑρμηνείας (βλ. καὶ Vales. not. εἰς Εὐσέβ. αὐτόθι· πρβλ. Walt. Proleg. IX. §. 20). Ὥστε οὐκ ὀρθῶς ἐξέλαβόν τινες ἀντὶ τῆς ἑβδόμης ταύτης τὴν πολὺ μετὰ τὸν Ὠριγένην ἐκδοθεῖσαν, καὶ οὐδ' ἑρμηνείαν οὖσαν, ἔκδοσιν τοῦ Λουκιανοῦ (βλ. ἑξῆς §. ι). Κἀκεῖνο δὲ σημειωτέον· ὅτι καὶ ἡ Ε, καὶ ἡ ϛ, ἑρμηνεία μόνον περιεῖχε τοὺς ΙΒ μικροὺς Προφήτας, τοὺς Ψαλμοὺς, καὶ τὸ Ἆσμα, τῶν δὲ Θρήνων Ἱερεμίου μόνου τοῦ Συμμάχου ἦν ἑρμηνεία (βλ. Hody p. 584. 590).

6αινον καὶ Ὀκταπλᾶ τὰ Ἑξαπλᾶ. Οὕτω διαγράφει ταῦτα ὁ ἱερὸς Ἐπιφάνιος· «Τετραπλᾶ εἰσι τὰ ἑλληνικὰ, ὅταν αἱ τοῦ Ἀκύλα καὶ καὶ Συμμάχου καὶ τῶν ΟΒ καὶ Θεοδοτίωνος ἑρμηνεῖαι συντεταγμέναι ὦσι. Τῶν τεσσάρων δὲ τούτων *σελίδων* ταῖς δυσὶ ταῖς ἑβραϊκαῖς συναφθεισῶν, *Ἑξαπλᾶ* καλεῖται. Ἐὰν δὲ καὶ ἡ πέμπτη καὶ ἡ ἕκτη ἑρμηνεία συναφθῶσιν ἀκολούθως τούτοις, *Ὀκταπλᾶ* καλεῖται. Τινὲς τοίνυν ταύταις ταῖς βίβλοις ἐντυγχάνοντες, καὶ εὑρίσκοντες τὰς δύω ἑβραϊκὰς ἐν πρώτοις κειμένας, μετὰ ταύτας δὲ τὴν τοῦ Ἀκύλα τεταγμένην, μεθ' ἣν καὶ τὴν τοῦ Συμμάχου, ἔπειτα τὴν τῶν ΟΒ, μεθ' ἃς ἡ τοῦ Θεοδοτίωνος συντέτακται, καὶ ἑξῆς ἡ πέμπτη τε καὶ ἕκτη» κτλ. (Ἐπιφ. π. Μέτρ. §. 19). Οὕτω καὶ Ῥουφῖνος (εἰς Εὐσεβ. Ἐκκλ. ἱστορ. ς, 13). Κατὰ ταῦτα εἶπεν ὁ μακάριος Ἐπιφάνιος, καὶ ὅτι «Ὠριγένης, πειθόμενος τὴν τῶν ΟΒ ἑρμηνευτῶν ἔκδοσιν ἀκριβῆ εἶναι, μέσην ταύτην συνέθηκεν, ὅπως τὰς ἐντεῦθεν καὶ ἐντεῦθεν ἑρμηνείας διελέγχῃ» (αὐτόθ.). Καὶ τὸν μὲν ἰουδαΐζοντα Ἀκύλαν παρέθηκε πρὸς τῷ κατ' αὐτὸν ἑβραϊκῷ, ὡς τούτῳ μάλιστα συμφωνοῦντα, καὶ παρ' αὐτῷ τὸν Σαμαρείτην Σύμμαχον, τὸν δὲ Θεοδοτίωνα μετέθηκε κατόπιν τῶν Ο, ὡς τούτοις μάλιστα περὶ τὴν ἑρμηνείαν ἀκολουθοῦντα (Ἐπιφ. π. Μέτρ. § 17)· περὶ δὲ τῶν ἰδιωμάτων τῶν τριῶν τούτων ἑρμηνευτῶν, καὶ μάλιστα τοῦ Ἀκύλα, προείπομεν καὶ ἀλλαχοῦ (α).

(α) Βλ. Βιβλ. Γ. κεφ. 6. §. κδ-κε. καὶ κεφ. ιη. §. α-γ. Ἐνταῦθα προστιθέμεθα καὶ τὸ προϋπεσχημένον (Βιβλ. Γ. σελ. 963) ἀρχαῖον περὶ τοῦ Ἀκύλα σχόλιον, ὅπερ ἔκ τινος τῆς Βοδληϊανῆς βιβλιοθήκης Βαροκκιανοῦ ἀντιγράφου (ἴσ. τοῦ ιδ, αἰῶνος), τετριμμένου ὑπὸ χρόνου κατὰ τόπους, ἀντιγράψας, ἐξέδωκεν ὁ Βρύνσιος ἐν τῇ τοῦ Κεννικώτου Γ ε ν ι κ ῇ Δ ι α τ ρ ι β ῇ (**Diss. General. §. 69. p. 150**). «Ἐπὶ τοῦ βασιλέως Ἀδριανοῦ· ὁ δὲ Ἀδριανὸς ἐγένετο . . . . καὶ ἐπεθύμησε θεάσασθαι πᾶσαν τὴν ὑπὸ τὴν βασιλείαν αὐτοῦ χώραν, καὶ πάλιν φθάσας εἰς Ἱεροσόλημ· (ἴσ. γρ. ε ἰ ς Ἱ ε ρ ο σ ό λ υ μ α, κ α ὶ) εὑρὼν τὴν πόλιν εἰς τέλος ἐρημωθεῖσαν, ὠργίσθη τοῖς . . . δ . . νοις (ἴσ. γρ. ἑ α υ τ ο ῦ δ ι α κ ό ν ο ι ς)· καὶ συλλαβὼν αὐτω (ἴσ. γρ. αὐτοὺς), καὶ καταγαγὼν ἐν τῇ πανηγύρει τοῦ (γρ. τ ῇ) ἐν Χεβρῶνι γινομένα (γρ. γ ι ν ο μ έ ν ῃ), διέπρασεν (ἴσ. γρ. δ ι ε π ί π ρ α σ κ ε ν) αὐτοῖς (γρ. α ὐ τ ο ὺ ς) ἀνὰ τέσσαρας εἰς μόδιον κριθῶν. Ἤρξατο δὲ κτίζειν τὴν πόλιν καὶ τὰ τείχη αὐτῆς. Οὐ μέν τοι τὸν λαὸν (ἴσ. λείπει τὸ σ υ ν ῆ γ ε). Καὶ

Ὅτι δὲ οὐ μόνον τούτων αἱ ἑρμηνεῖαι, ἀλλὰ καὶ ἡ πέμπτη, καὶ ἡ ἕκτη, καὶ τὸ τῆς ἑβδόμης μόριον ἦσαν πάντως ἔργον ἰουδαίων, ἢ ἰουδαϊστῶν, μαρτυρεῖ καὶ Ἱερώνυμος (πρὸς Ῥουφῖν. λόγ. β). Οὐδεὶς γὰρ τῶν χριστιανῶν ἐτόλμησε μέχρις Ἱερωνύμου ἄλλην ἑρμηνείαν ἐκ τοῦ μετὰ Χριστὸν ἑβραϊκοῦ μεταφράσαι, παρεὶς τὴν τῶν Ο.

§. θ. Αὐτὸς δὲ ὁ μακάριος Ἱερώνυμος πολλαχοῦ τὴν ἐν τοῖς Ἑξαπλοῖς ἔκδοσιν τοῦ κειμένου τῶν Ο λίαν ἐπαινέσας, καὶ τοῦτο μόνον *ἄφθορον καὶ ἄχραντον* ἀνακηρύξας, καὶ προσθεὶς, ὅτι «πᾶν ὅ,τι διαφωνεῖ πρὸς τὸ ἑξαπλαῖον κείμενον, ἀναμφιβόλως καὶ

λαβὼν Ἀδριανὸς τὸν Ἀκύλαν, Ἕλληνα ὄντα, ὡς καὶ αὐτὸς Ἀδριανὸς Ἕλλην ἦν, κατέστησεν αὐτὸν ἐπιστάτην τῶν ἔργων. Θεωρῶν δὲ ὁ Ἀκύλας ἐν ταῖς ἡμέραις ἐκείναις τοὺς Χριστιανοὺς αὔξοντας τῇ πίστει, καὶ σημεῖα ποιοῦντα Κύριον τὸν Θεὸν δι᾽ αὐτῶν, κατανυγεὶς, ἐγένετο χριστιανός· ἦν δὲ οὗτος ἀστρονόμος εἰς ἄκρον. μετὰ δὲ τὸ γενέσθαι αὐτὸν χριστιανὸν, τοῦ ἔργου τῆς ἀστρονομίας οὐκ ἐπαύσατο. Λέγουσιν αὐτῷ οἱ ἱερεῖς τῶν χριστιανῶν· οὐκ ἔξεστί σοι ἀστρονομεῖσθαι· Ὁ δὲ Ἀκύλας ἔχων τὸ βασιλικὸν θράσος (γρ. θάρσος), οὐχ ὑπήκουσεν αὐτῶν. Πάλιν οὖν αὐτοὶ νουθετήσαντες αὐτὸν ἐκ τῶν θείων Γραφῶν, ἐπεὶ οὐδὲν ὀνῆσαι ἴσχυσαν, ἐξέβαλον αὐτὸν ἔξω τῆς Ἐκκλησίας, νομίζοντες αὐτὸν ἐκ τοῦ ἐπιτιμίου ἀποστῆναι [ἂν] τῆς ἀθεμίτου πράξεως τῆς ἀστρονομίας. Αὐτὸς δὲ θυμοῦ πολλοῦ πλησθεὶς, καὶ ἐννοήσας κακὰ ἐν τῇ καρδίᾳ αὐτοῦ, εἰς ζῆλον ἄδικον αἴρεται· καὶ τὸν χριστιανισμὸν ἀναθεματίσας, καὶ τὴν αὐτοῦ ζωὴν ἀρνησάμενος, ἀπελθὼν πρὸς τοὺς ἱερεῖς τῶν Ἑβραίων, καὶ περιτμηθεὶς, ἐγένετο Ἰουδαῖος, καὶ ἐμπόνως μαθὼν τὴν δύναμιν τῶν ἑβραϊκῶν στοιχείων, τῷ τεσσαρακοστῷ ἔτει τῆς ζωῆς αὐτοῦ, καὶ τὴν ἑβραϊκὴν γλῶσσαν ἀκρότατα παιδευθεὶς, ἔκδισον (γρ. ἔκδοσιν) ἑαυτῷ δευτέραν» (δηλονότι μετὰ τὴν τῶν Ο) «ἡρμήνευσε, θέλων τὰς περὶ Χριστοῦ μαρτυρίας καλύψαι. Ὅταν οὖν εὕρῃς εἴτε ἐν τῷ ἑβραϊκῷ, ΚΑΙ ΓΑΡ ΚΑΙ ΕΚΕΙ ΗΦΑΝΙΣΕΝ, εἴτε ἐν τῷ ἑλληνικῷ ἐπικεκαλυμμένως τὰς περὶ Χριστοῦ μαρτυρίας, γίνωσκε, ὅτι Ἀκύλα ἐστὶν ἡ ἐπιβουλή. Ἀξιοπιστότεροι οὖν εἰσὶν οἱ Ο, πολλῷ τοῦ Ἀκύλα πλέον. Ἐν γὰρ τῷ διαχωρισμῷ τῶν λς, οἰκίσκων ὄντες, πάντες ὁμοφρόνως (ἴσ. γρ. ὁμοφώνως) ἐλάλησαν, ὑπὸ τοῦ ἁγίου νικούμενοι (γρ. κινούμενοι) Πνεύματος, καὶ ἀνοθεύτως τὰς θείας Γραφὰς ἡρμήνευσαν, μηδὲν ἀλλοιώσαντες, ἢ ἔλαττον, ἢ πλέον ἀληθευάτερα (ἴσ. γρ. ἀληθείας ἕτερα) φθεγξάμενοι». Τοῦτο τὸ Σχόλιον· λέγει δέ τινα παρόμοια καὶ ὁ ἱερὸς Ἐπιφάνιος (π. Μέτρων §. 15).

πρὸς τὴν ἑβραίαν ἀλήθειαν διαφωνεῖ» (α)· ταῦτα καὶ τοιαῦτα περισαλπίσας ὁ Πατὴρ, ἔπειτ' ἀλλαχοῦ κατέψεξε τὴν Ὠριγένους τόλμαν, ὡς διὰ τῶν ὀβελῶν καὶ τῶν ἀστερίσκων διαφθείραντος τὸ τῶν Ο κείμενον (Προλόγ. α, εἰς τὰ Παραλειπόμ. καὶ ἐν Ἐπιστ. 107. πρβλ. καὶ ὄπισθ. σελ. 459). Καὶ ὅμως αὐτὸς οὗτος πάλιν ἐκαυχᾶτο, ὅτι τὴν λατινίδα Ἰτάλαν διώρθωσεν ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν, προσθεὶς τοὺς ὀβελοὺς καὶ τοὺς ἀστερίσκους. Ἀλλ' ὁ θαυμάσιος Ὠριγένης οὐδὲν ἐκαινοτόμησεν ἐν αὐτῷ τῷ κειμένῳ τῶν Ο, οὐ προσθεὶς, οὐκ ἀφελὼν, οὐκ ἀλλοιώσας οὐδὲν, ὡς αὐτός τε ἀνεκήρυξε, καὶ ὁ Ῥουφῖνος ἀπήντησε πρὸς Ἱερώνυμον, δίκαια λέγων καὶ ἀληθῆ (Στηλιτ. β). Τὰς γὰρ ἐκ τοῦ Θεοδοτίωνος προσθήκας διέκρινεν ὡς ἀλλοτρίας τῶν Ο, προστιθεὶς τὸν ἀστερίσκον. Καὶ μάτην ἄρα ἐκ τῶν Ἱερωνύμου λόγων ὁρμηθέντες τινὲς τῶν νεωτέρων, διετείναντο, ὅτι δῆθεν ἐκ τῆς τῶν ἀντιγραφέων ἀβλεψίας πολλάκις παρορωμένων τῶν ἀστερίσκων, ἀνεμίγη συγχυθὲν τὸ κείμενον τῶν Ο πρὸς τὰς Θεοδοτίωνος, καὶ τὰς τῶν ἄλλων ἑρμηνευτῶν (εἴτινες ἦσαν καὶ τούτων) προσθήκας. Οὐ γὰρ μόνον ὑπῆρχον καὶ ἐπ' Ὠριγένους ἀκριβῆ τῶν Ο ἀντίγραφα, ὡς προείπομεν ἀνωτέρω (ἐκ δὲ τούτων ῥᾶστα διεξηλέγχετ' ἂν ἡ ἀνάμιξις), ἀλλὰ καὶ ἐκ τῶν Ἑξαπλῶν αὐτῶν ὁ Εὐσέβιος μετὰ τοῦ Παμφίλου ἀντέγραψαν ἀκραιφνῆ τοῦ κειμένου τῶν Ο ἀντίγραφα, διατηρούμενα ἐν τῇ τῆς Καισαρείας Βιβλιοθήκῃ. Ὅτι δὲ καὶ ἐν τοῖς Τετραπλοῖς ἀμιγὲς τῶν κριτικῶν σημείων ἐγέγραπτο τὸ κείμενον, προείπομεν. Ὡσαύτως κἀν τῇ τοῦ Λουκιανοῦ καὶ τῇ τοῦ Ἡσυχίου ἐκδόσει. Καὶ αὐτὸς δὲ, τέλος, ὁ Ἱερώνυμος (εἰς Ἰεζεκ. δ) μέμνηται «*κωδήκων μὴ διαφθαρέντων ἐκ τῶν ἀντιγραφέων*» (ἔγραψε δὲ τὴν ῥῆσιν τοῦ Πατρὸς καὶ Ὅδιος ἐκεῖνος, ἀέ-

(α) **Epist. ad Sun. et Fretel.** πρβλ. **Præf. in Esai. I. 16.—Comm. ad Titum c. 3.** Ἴδε καὶ **Hody pag. 613.** ὅστις καὶ αὐτὸς, ἑκὼν ἀέκων, ἐλέγχει τὸν Ἱερώνυμον, ὡς περὶ τοῦτο σφαλέντα, παράγων δύω παραδείγματα ἐκ τοῦ ἑξαπλαίου κειμένου διαφωνοῦντα πρὸς τὸ ἑβραϊκόν.

κοντί γε θυμῷ, καὶ περιημεκτοῦντι· σελ. 613). Ταῦτα περὶ τῆς Ὠριγένους ἐκδόσεως (α)· λέγομεν δὲ ἤδη καὶ περὶ τῶν λοιπῶν.

§. ι. Τὴν τοῦ Ἱερομάρτυρος Λουκιανοῦ κατόπιν Ὠριγένους (περὶ τὸ 295 μ. Χ.) γενομένην ἐν Ἀντιοχείᾳ ἔκδοσιν τῶν Ο, καὶ προλαβόντως ἐμνημονεύσαμεν (σελ. 499)· ἤδη δὲ σημειοῦμεν τὰ ἑξῆς. α) Ὁ Λουκιανὸς, τοὺς Ὠριγένους μιμούμενος πόνους, διώρθου τὰ κατ' αὐτὸν ἀντίγραφα τῶν Ο, ὅσα πόθ' εὗρεν ἐν Συρίᾳ καὶ ταῖς περὶ τὴν Ἀντιόχειαν χώραις ὑπὸ τῶν ἀντιγραφέων κατὰ τόπους διεφθαρμένα. β) Διώρθου δὲ ταῦτα πάντως ἐν τοῖς ἀπογράφοις τῆς Κοινῆς καὶ συνήθους ἐκδόσεως τῶν Ο (ὃ καὶ Ἱερώνυμος εὐθὺς μαρτυρήσει), παραβάλλων τὰ διορθούμενα πρὸς τὰ ἀκριβέστερα τῶν ἀντιγράφων, οἷα πάντως ἐσῴζοντο καὶ ἐν τῇ Ἀποστολικῇ Ἐκκλησίᾳ τῆς Θεουπόλεως Ἀντιοχείας, ἐξ ἧς οὐ διέλιπον συνεχεῖς ποιμένες καὶ διδάσκαλοι τῶν θείων Γραφῶν· ἐν τούτοις διέλαμψε καὶ ὁ ἱερὸς Θεόφιλος (βλ. ὄπισθ. σελ. 431), ἔτει μόλις ἑκατοστῷ πρὸ τῆς ἀκμῆς τοῦ Λουκιανοῦ τελευτήσας (τῷ 181) (β). γ) Ὅτι πρὸς πλείονα πληροφορίαν παρέβαλλε τὰ ἀντίγραφα καὶ πρὸς τὸ ἑβραϊκὸν (ἐν οἷς τόποις οὐ διεφώνει τοῦτο πρὸς τοὺς Ο. βλ. ὄπισθ. σελ. 499) δ) Ὅτι οὐδὲν τῶν Ὠριγένους κριτικῶν σημείων παρενέβαλεν (ὡς Ὑέτιος ἐσφαλμένως ὑπέλαβεν ἐν τοῖς κατ' αὐτὸν Ὠριγενείοις, Βιβλ. Γ. κεφ. β). Οὐδὲ γὰρ Ὠριγένης αὐτὸς ἐχρήσατο τούτοις ἐν τοῖς Τετραπλοῖς (ὡς οὐδ' Ἡσύχιος μετὰ τοῦτον)· ἁπλοῦν δὲ καὶ ἄκρατον αὐτὸ τὸ τῶν

(α) Περὶ τῶν καθ' ἡμᾶς ἐκδόσεων τῶν λειψάνων τῶν Ἑξαπλῶν προείπομεν (Βιβλ. Γ. κεφ. β. §. κη).

(β) Ὅλμης δ' ὁ κλεινὸς (προοιμ. ἐκδ. τῶν Ο, τμ. 8 καὶ 9) καὶ λίαν ἀπιθάνως ὑπέλαβε συνεικάζων, ὅτι δῆθεν ὁ Λουκιανὸς (καὶ ὁ Ἡσύχιος ὡσαύτως) διώρθου τὸ ἐν τοῖς Τετραπλοῖς κείμενον τῶν Ο, παραβάλλων πρὸς τὸ ἑβραϊκὸν, καὶ τὰ μὲν περιττὰ παραλείπων, τὰ δ' ἐλλείποντα προστιθεὶς ἐκ τοῦ Θεοδοτίωνος, ὡς πεποίηκεν Ὠριγένης ἐν τοῖς Ἑξαπλοῖς· τά γε μὴν τοῦ ὀβελοῦ καὶ τοῦ ἀστερίσκου σημεῖα ὁ Λουκιανὸς οὐ προσετίθει». Πάντῃ ἀπίθανος ἡ εἰκασία. Οὕτω γὰρ καὶ ὁ Λουκιανὸς καὶ ὁ Ἡσύχιος οὐ διώρθουν, ἀλλ' ἔφθειρον σαφῶς τὸ θεῖον κείμενον· καὶ ἐτόλμησαν, ὅ,τι μηδ' αὐτὸς Ὠριγένης· «μὴ τολμήσας τὰ ὠβελισμένα περιελεῖν»! Τοῦτο δὲ καὶ ἄλλοις τῶν νεωτέρων οὐκ ἤρεσε· βλ. Herbst, Einleit. 1. Bd. p. 169.

Ο, κείμενον ἐξετίθει. ε) Ὅτι ἡ *ἔκδοσις* τοῦ Λουκιανοῦ κατὰ λάθος ἠριθμήθη παρά τισι τῶν ἀρχαίων (ἐν Συνόψ. Ἀθανασ. καὶ παρ' Εὐθυμ. Ζιγαβ. Προοιμ. εἰς Ψαλμ.) ὡς ἰδία τις *μετάφρασις* ἐκ τοῦ ἑβραϊκοῦ, μετὰ τὰς κυρίως ἑρμηνείας ἑβδόμη καταλεχθεῖσα· (καὶ ἴσως ἐξελήφθη ἀντὶ τῆς παρὰ τῷ Ὠριγένει ἑβδόμης ἀριθμουμένης ἑρμηνείας, ἥτις μόνον τοὺς Ψαλμοὺς περιεῖχεν, ὡς προείπομεν ἀνωτέρω §. η. σημ. πρβλ. σελ. 500), ϛ) Ὅτι ἡ τοῦ Λουκιανοῦ ἔκδοσις συνεφώνει τῇ Κοινῇ (τί δ' οὐχὶ καὶ τῇ Τετραπλαίᾳ;) τῶν Ο· ὡς μαρτυρεῖ σαφῶς ὁ Ἱερώνυμος, λέγων· ὅτι ἐπ' αὐτοῦ «*ἡ Κοινὴ ἐλέγετο παρὰ τοῖς πλείστοις καὶ Λουκιανὶς*» (οὕτω γὰρ γραπτέον, ἀντὶ τοῦ παρ' Ἱερωνύμῳ [ἐν τῷ πρὸς Σούν. καὶ Φρετέλ.] ἑλληνιστὶ *Λουκιανὸς* φερομένου· πλὴν εἰ μή τις χωρὶς ἀνάγκης τρέποι εἰς τὸ *Λουκιάνειος*. Ὅδιος δὲ τὸ *Λουκιανὸς* προτιμῶν, πάντως ἂν μετέγνω καὶ αὐτὸς, ἐνθυμηθεὶς, ὅτι οὔτε *Ὠριγένης*, οὔτε *Ἡσύχιος* ἐκαλοῦντο αἱ ἄλλαι ἐκδόσεις, οὐδὲ *Λουκιανὸς* ἄρα· μόναις γὰρ ταῖς κυρίως ἑρμηνείαις ἀπενέμετο ἡ κυριωνυμία τῶν ἑρμηνευτῶν, οἷον οἱ Ο, ὁ Ἀκύλας, κτλ.). Μαρτυρεῖ δὲ καὶ Εὐθύμιος ὁ Ζιγαβηνὸς, λέγων·· «Ὃς (Λουκιανὸς, ὁ μέγας ἀσκητὴς καὶ μάρτυς) ταῖς προῤῥηθείσαις ἐπιστήσας ἐκδόσεσι » (τουτ. ταῖς ἑρμηνείαις τοῦ Ἀκύλα, καὶ τῶν λοιπῶν), «καὶ τοῖς ἑβραϊκοῖς φιλοπονώτερον ἐντυχὼν, καὶ ἀκριβωσάμενος, ἔκδοσιν ἰδιόκληρον, καὶ μηδὲν ἐλλεῖπον, ἢ περιττὸν ἔχουσαν χριστιανοῖς ἐποιήσατο. — αὕτη συνᾴδει τῇ τῶν Ο, τὰ παρεφθαρμένα τῶν ἄλλων (ἑρμηνειῶν) ἀθετοῦσα» (προοιμ. εἰς τοὺς Ψαλμ.) (α)·

§. ια. Τρίτη, τέλος, ἔκδοσις τῶν Ο ἀριθμεῖται ἡ τοῦ ἱερομάρτυρος Ἡσυχίου, ὅστις καὶ αὐτὸς συγχρόνως τῷ Λουκιανῷ ἐφιλοπόνησε διόρθωσιν τῶν ἐν Αἰγύπτῳ καὶ Ἀλεξανδρείᾳ φερομένων ἀντιγράφων τῆς Κοινῆς, ἀντιβάλλων ταῦτα πάντως πρὸς τὴν ἔν τε τῇ Ἐκκλησίᾳ, καὶ

(α) Ταῦτα πάντως οὐκ ἀνέγνω Μαρτῖνος ὁ Μαρτῖνις (λῆρός τις τῶν ἀκριτωτέρων δυτικῶν), ὅστις εἶπε τὴν ἔκδοσιν τοῦ Λουκιανοῦ «μίγμα τι συμπεπιλημένον ἐκ πασῶν τῶν ἄλλων ἑρμηνειῶν». Τούτῳ δὲ καὶ Ὅδιος ἐπέπληξε (σελ. 628).

τῇ κατηχητικῇ σχολῇ, καὶ ἐν τῇ βιβλιοθήκῃ δὲ τῆς Ἀλεξανδρείας ἀκριβῆ τετηρημένην. Καὶ διώρθου λοιπὸν καὶ οὗτος τὸ κείμενον τῶν Ο, ὡς καὶ ὁ Λουκιανὸς, μηδὲν ἀφαιρούμενος, μηδὲ προστιθεὶς, μηδὲ μεταβάλλων ἐν τῇ κοινῶς παραδεδεγμένῃ ἀναγνώσει τῆς ἑρμηνείας, μόνα δὲ τὰ τῶν ἀντιγράφων σφάλματα πρὸς τὰς ὀρθὰς ἀναγνώσεις τῶν ἀκραιφνεστέρων χειρογράφων εὐθύνων. Καὶ αὗται μὲν ἐγένοντο καὶ μόναι παρὰ τοῖς ἀρχαίοις τρεῖς ἐκδόσεις τῆς ἑρμηνείας τῶν Ο, ἡ Ὠριγένειος, καὶ ἡ Λουκιανὶς, καὶ ἡ Ἡσυχιὰς, οὐδέν τι σχεδὸν, εἰμὴ κατά τινας ἀδιαφόρους καὶ μικρὰς, τυχὸν, παραλλαγὰς ἀπ' ἀλλήλων διαφέρουσαι, ἄλλως δὲ συνᾴδουσαι καὶ σύμφωνοι πρὸς ἀλλήλας, ὡς μίαν καὶ μόνην τὴν πάσαις ταῖς Ἐκκλησίαις κοινὴν ἑρμηνείαν ἐκτιθεῖσαι. παρωνομάζοντο δὲ αὗται σπανίως (καὶ τοῦτο οὐ κοινῶς, ἀλλὰ παρὰ τοῖς φιλολογοῦσι) καὶ ἐκ τοῦ ἰδίου ἑκάστη ἐκδότου, οὐχὶ πρὸς διάκρισιν τῆς καθ' ἑκάστην ἔκδοσιν ποικίλης τάχα τοῦ κειμένου διαφορᾶς, ἀλλὰ μνήμης χάριν ἱστορικῆς, ἢ καὶ πρὸς πίστωσιν τῆς ἀκριβείας τῶν μνημονευομένων χειρογράφων (α).

(α) Οὕτω καὶ ὁ Σύγκελλος ἐμνημόνευσεν ἀντίγραφον ὑπὸ τοῦ Μ. Βασιλείου διωρθωμένον, « ἐν ᾧ καὶ ἐπεγέγραπτο, ὅτι ὁ μέγας καὶ θεῖος Βασίλειος τὰ ἐξ ὧν ἐκεῖνο ἀπεγράφη ἀντιβαλὼν διωρθώσατο βιβλία » (βλ. ὄπισθ. σελ. 547). Ἐκ δὲ τούτου μάτην τινὲς ἔπλασαν καὶ ὅλην ἔκδοσιν τῆς Γραφῆς ὑπὸ τοῦ Μ. Βασιλείου πεπονημένην. Καὶ ἄλλας δὲ ψευδεῖς ἔπλασαν ἐκδόσεις, οἷον τοῦ Ἀπολιναρίου (ἔκ τινος κακῶς ἐκληφθείσης φράσεως τοῦ Ἱερωνύμου), καὶ τοῦ Πατροφίλου (οὕτω Σίξτος ὁ Σενῆνσις, μίαν ὀνομαστικὴν πτῶσιν παριδὼν, καὶ τὸ ῥῆμα μὴ νοήσας, παρεξήγησε τὸν λόγον τὸν ἑξῆς· « Εὐσέβιος ὁ Ἐμεσηνὸς ὑπὸ Πατροφίλου καὶ Εὐσεβίου τὰ ἱερὰ ἡρμηνεύθη βιβλία » (Σωκρ. Ἐκκλ. ἱστ. β, 9), τουτ. ἐδιδάχθη, « καὶ ἠκρίβωσε τὰς θείας βίβλους, φοιτήσας ἐξηγηταῖς Εὐσεβίῳ καὶ Πατροφίλῳ », καὶ διακούσας ἑρμηνεύοντας (ἐξηγουμένους) τὰ ἱερὰ βιβλία (ὡς γράφει ὁ Σωζόμενος γ, 6). Ἴδε τούτους καὶ ἄλλους τινὰς φιλομύθους ἐξελεγχομένους παρ' Ὀδίῳ (σελ. 629, 633). Ὅστις καὶ αὐτὸς μνημονεύσας τὴν ὑπὸ τῶν ἐν Κωνσταντινουπόλει Καρραϊτῶν Ἰουδαίων γράμμασιν ἑβραϊκοῖς ἐκδεδομένην γραικοβάρβαρον μετάφρασιν τῆς Πεντατεύχου, προσέθηκεν, ὅτι καὶ ἄλλην γραικοβάρβαρον μετάφρασιν (πάσης τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης) ἐξέδωκεν ὁ Πατριάρχης Κύριλλος ὁ Λούκαρις (σελ. 633). Ἀλλ' οὔτε Κύριλλος ὁ

§. ιϐ. Ἀλλ᾽ ὁ μακάριος Ἱερώνυμος (ἐν οἷς κατέκρινε παραλόγως τοὺς Ο), τούτων τῶν τριῶν ἐκδόσεων δραξάμενος, παρέστησεν ἡμῖν τὴν μίαν τοῦ Χριστοῦ Ἐκκλησίαν κατὰ ταύτας διῃρημένην περὶ τὴν ἀνάγνωσιν τῶν θεοπνεύστων Γραφῶν. «Ἡ Ἀλεξάνδρεια (κράζει), καὶ ἡ Αἴγυπτος ἐν τοῖς ἰδίοις αὐτῆς Ο, συγγραφέα (auctorem) τὸν Ἡσύχιον ἐπαινεῖ. Ἡ δὲ Κωνσταντινούπολις, μέχρι καὶ τῆς Ἀντιοχείας, τὰ Λουκιανοῦ τοῦ μάρτυρος ἀντίγραφα ἐγκρίνει. Αἱ δὲ μεταξὺ τούτων ἐπαρχίαι τοὺς Παλαιστινοὺς ἀναγινώσκουσι κώδηκας· οὓς ὑπ᾽ Ὠριγένους ἐκπονηθέντας, Εὐσέϐιος καὶ Πάμφιλος διεκοίνωσαν. Ὥστε πᾶσα ἡ Οἰκουμένη περὶ ταύτης *τῆς τριπλῆς ἀληθείας* διαμάχεται πρὸς ἑαυτήν»· (Προλόγ. α, εἰς τὴν ϐίϐλον τῶν Παραλειπ.). Παπαὶ θεῖε Πάτερ! οὕτω δὴ πρὸς ἑαυτὰς διαπληκτιζομένας εἰσάγεις ἁπάσας τὰς ὑπ᾽ οὐρανὸν Ἐκκλησίας τοῦ Θεοῦ, καὶ ἐξ ἀγνοίας πεπλανημένας περὶ τὴν ἀκριϐῆ διάγνωσιν τῆς ἀληθινῆς καὶ γνησίας ἀναγνώσεως καὶ διδασκαλίας τοῦ θείου λόγου; Τὴν δὲ Ῥωμαίαν καὶ τὴν Ἀφρικανὴν Ἐκκλησίαν ἐν ποίᾳ τουτωνὶ τῶν διαμαχομένων *φατριῶν* καταλέγεις; (περὶ τούτων γὰρ σιωπᾷς)· ἢ μήπως ἐκεῖναι μὲν καὶ μεταξὺ τοσούτων ἄλλων *οὐκ ἐκδόσεων*, ἀλλ᾽ αὐτόχρημα *ἑρμηνειῶν* λατινικῶν (ὄπισθ. σελ. 834) ἀντείχοντο πάλιν ἀστεμφῶς μιᾶς μόνον, τῆς ἀρχαίας Ἰτάλας· αἱ δὲ τῆς Ἀνατολῆς ἀποστολικαὶ Ἐκκλησίαι ἀπεστέρηντο τῆς ἑνότητος τῶν θεοπνεύστων Γραφῶν, βαδίζουσαι τριφασίας ὁδούς, καὶ διασχιζόμεναι ἀπ᾽ ἀλλήλων ἐν τῇ ἀναγνώσει τοῦ λόγου τῆς ἀληθείας κατὰ τὴν τρικέφαλον τῶν ἐκδόσεων τριχοτομίαν; Ἀλλὰ τοῦτο πάντως οὐδ᾽ αὐτὸς ὁ Πατὴρ ἐπρεύσϐευεν (ἄπαγε!). Ἔστι δὲ καὶ ταῦτα μία τῶν ὑπερϐολῶν αὐτοῦ καὶ ἀντιφάσεων, εἰς ἃς περιέπιπτε πολλάκις, διαλεγόμενος περὶ τῶν Ο. Αὐτὸς οὗτος ὁ μακάριος ἀλλαχοῦ πάλιν εἶδε πάσας τὰς Ἐκκλησίας συμφώνως μίαν καὶ μόνην ἔκδοσιν ἀναγινωσκούσας, ἀντιφάσκων μὲν καὶ ὧδε πρὸς

Λούκαρις, οὔτε Παλαιὰν, οὔτε Καινὴν, οὐθ᾽ ἑλληνικὴν, οὔτε Γραικοϐάρϐαρον ἐξέδωκε Γραφὴν, καὶ μόνης τῆς Καινῆς χυδαιόγραικον μετάφρασιν ἐξέδωκε Μάξιμος ὁ Καλλιπολίτης, περὶ ἧς εἴπομεν ἀλλαχοῦ (Ἐπικρίσ. σελ. 300).

πρὸς ἑαυτὸν, ἀλλ᾽ οὐχ ἧττον ἀσύστατα καὶ παράδοξα λέγων· ἄκουε. « *Πᾶσαι αἱ τοῦ Χριστοῦ Ἐκκλησίαι, καὶ Γραικῶν, καὶ Λατίνων, καὶ Σύρων, καὶ Αἰγυπτίων*, ταύτην (τὴν ἐν τοῖς Ἑξαπλοῖς ἔκδοσιν τῶν Ο) ὑπ᾽ ἀστερίσκοις καὶ ὀβελοῖς ἀναγινώσκουσι» (Προλόγ. εἰς Δανιήλ). Ἀλλὰ γὰρ καὶ ταῦτα, καὶ εἴ τι ἄλλο *μὴ κατὰ μοῖραν* εἴρηται παρὰ τοῦ θεσπεσίου τούτου Πατρὸς, «*Ἄφαρ πάντα φέροιεν ἀναρπάξασαι ἄελλαι*». Ὅτι δὲ μία καὶ μόνη ἦν καθ᾽ ὅλας τὰς ἐκδόσεις, ἡ Κοινὴ τῶν Ο Γραφὴ, καὶ ταύτῃ πανταχοῦ ἡ Ἐκκλησία ἐχρῆτο, κηρύττουσι στεντορείως, α) Αἱ παρὰ τοῖς θείοις Πατράσι συμφώνως καὶ χωρίς τινος ἐπισήμου διαφορᾶς ἐμφερόμεναι ῥήσεις, καὶ περικοπαὶ, καὶ κεφάλαια ὁλόκληρα, ἔστι δ᾽ ἃ καὶ τεύχη τῆς Γραφῆς. Ὁ τὴν Λουκιανίδα κατά τε τὴν Ἀντιόχειαν, καὶ τὴν Κωνσταντινούπολιν ὕστερον, ἀναγινώσκων Χρυσόστομος (ὡς καὶ πρὸ αὐτοῦ Γρηγόριος ὁ Θεολόγος), καὶ ὁ Σύρος Θεοδώρητος, οὐδὲν τῶν Γραφικῶν χωρίων ἐκφέρουσιν ἀλλοῖον πάντῃ καὶ διάφορον, ἢ ἐναντίον, ἀντιφωνοῦντες πρὸς τὸν ἐν Ἀλεξανδρείᾳ τὰς ῥήσεις τῆς Ἡσυχιάδος (κατὰ τὸν Ἱερώνυμον) ἀναγινώσκοντα καὶ ἐξηγοῦντα θεῖον Κύριλλον, ἢ καὶ τὸν πρὸ τούτου Μ. Ἀθανάσιον· ἀλλ᾽ οὐδὲ πρὸς τούτους πάλιν διαφέρεται παραφωνῶν ὁ τὴν *Παλαιστινὴν* ἀναγινώσκων ἔκδοσιν Ἱεροσολύμων Κύριλλος, οὐδ᾽ αὐτὸς ὁ Παλαιστινὸς Εὐσέβιος, ὁ τὰς Ὠριγένους ἐκδόσεις διακοινώσας, οὐδ᾽ οὗτος, τέλος, αὐτὸς ὁ Ἀδαμάντιος Ὠριγένης, ὁ μίαν καὶ μόνην κυρίαν εἰδὼς καὶ ἐκθειάζων Γραφὴν τὴν τῶν Ο. — β) Ἐκ τῆς Κωνσταντινουπόλεως, ὅπου τὴν Λουκιανίδα λαμπρῶς ἐνεθρόνισεν ὁ Δαλμάτης Πατὴρ, ὁ Μ. Κωνσταντῖνος πρὸς τὸν Παλαιστινὸν Εὐσέβιον ἐπιστείλας, μετέφερεν ἀντίγραφα τῶν Γραφῶν (βλ. ὄπισθ. Βιβλ. Β. κεφ. ζ. §. ια, σημ.). Ταῦτα δὲ πάντως ἦσαν ἐκ τῶν Ὠριγένους ἐκδόσεων *Παλαιστινά*· πῶς οὖν ἔσχον χώραν εἰς τὰς Ἐκκλησίας τῆς βασιλευούσης πόλεως, εἴπερ διεφώνουν πρὸς τὴν ἐκεῖ συνήθη Λουκιανίδα; Ἀλλ᾽ ὁ φίλος Ὅδιος προφθὰς ἀμελητὶ, συνέῤῥαψε τὸ ῥῆγμα τῆς Ἱερωνύμου ἀντιφάσεως, ἄγναφον ῥάκος τῆς ἐργάνης αὐτοῦ φαντασίας ἐπιβαλών· «Μικρῷ δὲ (λέγει) μετὰ τὸν Μ. Κωνσταντῖνον, ἡ Κωνσταν-

τινούπολις εἰς χρῆσιν δημοσίαν ἐδέξατο τὴν Λουκιάνειον» (σελ. 620, πρβλ. 619). Οὕτως ὁ ἄνθρωπος εὐκόλως εἰσάγει καὶ ἐξάγει διαφωνούσας τῶν Γραφῶν ἑρμηνείας εἰς χρῆσιν τῶν Ἐκκλησιῶν! Ἀλλ', ὡς ἔοικεν, ἠγνόει τὸ ἑξῆς.—γ) Κώνστας, ἀδελφὸς τοῦ Κωνσταντίου, καὶ υἱὸς τοῦ Μ. Κωνσταντίνου, ἐν Ῥώμῃ διατρίβων, ζήλῳ τῆς τοῦ πατρὸς φιλοθεΐας, μετέφερε καὶ αὐτὸς ἀκριβῆ ἀντίγραφα τῶν θείων Γραφῶν· πόθεν; ἐκ τῆς Ἀλεξανδρείας. Ἄκουε τὸν Μ. Ἀθανάσιον· «Τῷ ἀδελφῷ σου» (λέγει πρὸς τὸν Αὐτοκράτορα Κωνστάντιον ἐν τῇ Α, ἀπολογίᾳ) «οὐκ ἔγραψα, ἢ μόνον, ὅτε οἱ περὶ τὸν Εὐσέβιον ἔγραψαν αὐτῷ κατ' ἐμοῦ, καὶ ἀνάγκην ἔσχον, ἔτι ὢν ἐν Ἀλεξανδρείᾳ, ἀπολογήσασθαι· καὶ ὅτε *πυκτία τῶν θείων Γραφῶν* κελεύσαντος αὐτοῦ μοι κατασκευάσαι, ταῦτα ποιήσας, ἀπέστειλα» (*πυκτία* δὲ λέγει σαφῶς τοὺς *τόμους*, εἰς οὓς διηροῦντο τὰ χειρόγραφα τῶν θείων Γραφῶν) (α). Ὥστε καὶ τὰ κατ' Ἀλεξάνδρειαν Ἡσυχιανὰ ἀντίγραφα ἐπίσης ἦσαν ἀκριβῆ καὶ σύμφωνα τοῖς τε ἐν Κωνσταντινουπόλει Λουκιανείοις, καὶ τοῖς Παλαιστινοῖς. Περιτυμπανίζει Ὅδιος τὴν ἐκ τῶν Ἑξαπλῶν ὑπὸ Παμφίλου καὶ Εὐσεβίου ἔκδοσιν τῶν Ο, μετ' ὀβελῶν καὶ ἀστερίσκων καθωπλισμένην. Ἀλλὰ τοιαῦτα ἀντίγραφα καὶ σπάνια ἦσαν, καὶ οὐδαμοῦ τῆς γῆς οὐδέποτε ἦλθον εἰς χρῆσιν τῶν Ἐκκλησιῶν (διὸ καὶ πάντα σχεδὸν ἀπώλοντο)· ἀντεγράφοντο δὲ πρὸς μελέτας σχολικάς, καὶ διετηροῦντο μάλιστα ἐν ταῖς δημοσίαις βιβλιοθήκαις, (καθὼς καὶ τὰ τοῦ Ὠριγένους ἐν τῇ βιβλιοθήκῃ τῆς Καισαρείας), μόνον πρὸς ἀπόδειξιν καὶ γνῶσιν τῆς τῶν διαφόρων ἑρμηνειῶν διαφορᾶς. Ἡ δ' αὐτὴ πάλιν ξυνωρὶς, Πάμφιλος καὶ Εὐσέβιος, ἐξέδωκαν καὶ ἐκ τῶν μηδὲν τῶν κριτικῶν σημείων ἐχόντων Τετραπλῶν γυμνὸν καὶ καθαρὸν τὸ τῶν Ο κείμενον (βλ. ὄπισθ. σελ. 501), ἐξ οὗ καὶ ἀντίγραφα πρὸς χρῆσιν ἀντεγράφοντο κοινὴν, μηδεμίαν πρὸς τὰς ἄλλας ἐκδόσεις ἐπίσημον φέροντα διαφοράν. Ἄκουε τὸν μυρίων Ὀδίων καὶ

(α) Βλ. τούτου παραδείγματα παρὰ **Montfaucon, Collect. Nov. Patr. et Script. Græc. T. 2. præf. pag. 39.**

ὁδιακῶν νουνεχέστερον καὶ κριτικώτατον Βάλτωνα. «Ἔγραψέ (φησιν) ὅ,τι δήποτε καὶ ἔγραψεν ὁ Ἱερώνυμος περὶ τῆς (τῶν τριῶν) τούτων ἐκδόσεων διαφορᾶς, διατείνων πάντα τῆς εὐφυΐας αὐτοῦ τὰ νεῦρα, ἵνα τὴν μὲν ἑρμηνείαν τῶν Ο ταπεινώσῃ, τὴν δ' ἐκ τοῦ ἑβραϊκοῦ νεουργηθεῖσαν ὑπ' αὐτοῦ λατινικὴν μετάφρασιν ἀντ' ἐκείνης εἰς τὴν Δυτικὴν Ἐκκλησίαν εἰσαγάγῃ. Ἀλλ' ὅμως, ὅτι αὗται αἱ διαφοραὶ μικραί τινες ἦσαν, οὐδὲ μεγάλην εἶχον ῥοπὴν, δῆλον μὲν καὶ ἐξ ὧν εἰς τοὺς αὐτοὺς τόπους τῆς Γραφῆς ἔγραψαν ὑπομνηματισμῶν οἱ διαλάμψαντες κατ' ἐκείνας τὰς χώρας, ἐν αἷς ἤκμαζεν ἡ τῶν ἐκδόσεων χρῆσις, συμφωνοῦντες τὰ μέγιστα πρὸς ἀλλήλους, καὶ μηδεμιᾶς γοῦν ἐν ταῖς ἐκδόσεσι ταύταις μεμνημένοι διαφορᾶς (ἣν μόνος Ἱερώνυμος διεκήρυξε)· δῆλον δὲ καὶ ἐξ αὐτῶν τῶν ἐπισήμων ἀντιγράφων καὶ ἐκδόσεων, παλαιτέρων καὶ νεωτέρων, καὶ τῆς τούτων ἀντιβολῆς, καὶ μάλιστα τοῦ Ψαλτηρίου τῆς Βουλγάτας, ὅπερ ἐκ τῆς Λουκιανίδος ἐστὶν ἐκδόσεως, ὡς αὐτός τε ὁ Ἱερώνυμος, καὶ πάντες ἄλλοι ὁμολογοῦσι. Τούτου δὲ μεταξὺ καὶ τοῦ ἐν ταῖς καθ' ἡμᾶς ἐκδόσεσι τῶν Ο ἐμφερομένου, οὐδεμία σχεδὸν παρατηρεῖται διαφωνία». Καὶ ταῦτα μὲν ὁ γεράσμιος Βάλτων μετὰ τῆς ἀληθείας (Προλεγ. θ. §. 25).

§. ιγ. Ἀλλ' ὑπάρχουσί τινες τῶν σφόδρα κριτικῶν, οἵ γε θεωροῦντες τὰς ἐν ταῖς καθ' ἡμᾶς ἐκδόσεσι τῶν Ο ἐμφαινομένας κούφας τινας τοῦ κειμένου διαφορὰς, οἷον λέξεων παραλλαγὰς, ἢ προσθήκας, ἢ ἐλλείψεις, ἐν ἄλλαις καὶ ἄλλαις ἐκδόσεσιν ἐμφερομένας, ἢ μὴ κειμένας, ὑπέλαβον τολμηρότερον, ὅτι τὸ καθ' ἡμᾶς κείμενον τῶν Ο συμπεπίληται ἔκ τε τῆς Κοινῆς, καὶ τῶν Ἑξαπλῶν, καὶ ἐκ τῶν εἰρημένων τριῶν ἐκδόσεων, καὶ ἐξ ἄλλων οὐκ οἶδ' ὁποίων διορθώσεων καὶ παρενθηκῶν. Τούτοις οὖν, ἐν μέρει μὲν καὶ πάνυ σεμνῶς, ἀλλ' ὅμως συνυπήχθη καὶ ὁ σοφὸς Ὅλμης, ὑπολαβὼν, ὅτι τὸ σημερινὸν τῶν Ο κείμενον ἐκ τεσσάρων ἀποῤῥέει πηγῶν. Εἰσὶ δὲ αὗται αἱ ἑξῆς.

Α) Ἡ Κοινὴ ἡ προωριγένειος, τουτέστιν ἡ μήπω διορθωθεῖσα ὑπὸ τοῦ Ὠριγένους. Χαρακτηριστικὰ δὲ ταύτης σημεῖα τίθησι τὰ

ἑξῆς. α) Τὸ φέρειν ἐμφανῶς πάντα τὰ παρ' Ὠριγένει ἐν τοῖς Ἑξαπλοῦς *ὠβελισμένα* χωρία. β) Τὸ φέρειν ὀλίγα τῶν ὑπ' *ἀστερίσκῳ* προστεθειμένων ἐκ τοῦ Θεοδοτίωνος ἐν τοῖς Ἑξαπλοῖς. γ) Τὸ φέρειν λέξεις τινὰς καὶ λόγου κατασκευὴν, ἢ ἀνακεχωρηκυίας ἀρχαιότητος, ἢ ἀνωμαλωτέρου ἑλληνισμοῦ. Ταύτην τὴν Κοινήν (φησι) καὶ Μάσιος ἔκρινε διατηρηθεῖσαν σχεδὸν ἐν τῷ χειρογράφῳ τῆς τοῦ Ἄλδου ἐκδόσεως, ὃ καὶ μικρῷ διαφέρειν ἐνόμισε τοῦ Βατικανοῦ. Τῇ τοῦ Ἄλδου (φησὶν) ἐκδόσει προσέοικε καὶ τὸ κείμενον τῆς ὑπὸ τοῦ Θεοτόκη ἐκδοθείσης Ὀκτατεύχου. (ἄλλοι δὲ τοῦτο προσοικειοῦσι τῷ Βατικανῷ. βλ. ἑξῆς §. ιζ).

Β) Πηγή (φησιν Ὅλμης) τοῦ καθ' ἡμᾶς κειμένου φαίνεται ἡ Κοινὴ ἡ *Τετραπλαία*, τουτέστιν ἡ ἐν τοῖς Τετραπλοῖς ὑπ' Ὠριγένους διορθωθεῖσα. Γνωρίσματα δὲ καὶ ταύτης, τριπλᾶ· α) Ἔχει πολλὰ μὴ κείμενα ἐν τῷ Βατικανῷ, καὶ τῷ τοῦ Ἄλδου χειρογράφῳ, καὶ τοῖς ὁμοίοις. β) Ἔχει (χωρὶς ἀστερίσκου) τὰ ἐν τοῖς Ἑξαπλοῖς προστεθειμένα -(ἀλλ' οὕτως ἀπαντήσει τις παρὰ πόδας, οὐδὲ *Τετραπλαία* λοιπὸν ἡ Κοινὴ αὕτη ἐστὶν, ἀλλ' *Ἑξαπλοτετραπλαία*!)· γ) Διατηρεῖ (φησι) πάντα τὰ ἐν τοῖς Ἑξαπλοῖς ὠβελισμένα (καὶ τοῦτο ἔχει κοινὸν μετὰ τῆς προωριγενείου Κοινῆς). Ταύτην περιέχει τὸ Ἀλεξανδρινὸν χειρόγραφον, καὶ τὸ Κοττόνειον, ἢ Κοττονιανὸν (ἀπὸ τῆς τοῦ Κόττονος, ἱππέως Ἄγγλου, βιβλιοθήκης, περὶ οὗ προείπομεν Βιβλ. Γ. σελ. 739).

Γ) Πηγὴ, αὐτὸ τὸ κείμενον *τῶν Ἑξαπλῶν*, ὅπερ ἔδοξεν Ὅλμης εὑρεῖν ἐν πολλοῖς τόποις τῆς Πεντατεύχου τοῦ παρ' αὐτῷ Δ, καὶ τοῦ Ε, κώδηκος, ὡς ἀριθμοῦνται οὗτοι μεταξὺ τῶν πολλῶν ἀντιγράφων, ὧν τὰς διαφόρους ἀναγνώσεις ἐσημείωσεν ἐν τῇ ἐκδόσει τῶν Ο.

Δ) Τέλος, πηγὴ, αἱ δύω συνάμα ἐκδόσεις, ἡ τοῦ Λουκιανοῦ καὶ ἡ τοῦ Ἡσυχίου, περὶ ὧν προείπομεν (§. ι. ια). Καὶ τούτων τὰς ἐκδόσεις, ὁμοίας οὔσας πρὸς ἀλλήλας, ἐνόμισεν Ὅλμης ἐμφερομένας ἐν τῇ Κομπλουτείᾳ ἐκδόσει (ἄλλα δ' ἄλλοι φασὶν, ὡς ἐροῦμεν παρακατιόντες). Ταύτας ὁ θαυμάσιος Ὅλμης τὰς τετρακρούνους ἀνε-

στόμωσε πηγὰς τοῦ καθ' ἡμᾶς κειμένου τῶν Ο. Συμφωνεῖ δὲ τούτῳ καὶ Ἀμερσφῶρδος ἐν μέρει, διαφωνεῖ δὲ πάλιν ἐν ἄλλοις (α). Ἡμεῖς δὲ τί πρὸς ταῦτα φῶμεν;

§. ιδ. Σοφὰ πάντως (εἰ καὶ μὴ πάντα) ταῦτα τὰ τῶν κριτικῶν θεωρήματα· πρόδηλον δὲ, ὅτι τῶν τοιούτων φιλολογικῶν ἐρευνῶν πηγὴ καὶ ῥίζα μία γέγονεν ἀπ' ἀρχῆς, ἡ παρὰ τοῦ μάκαρος Ἱερωνύμου τριπλῆ (κατὰ τὰς τρεῖς ἐκδόσεις) διαίρεσις τῆς ἀληθείας τῶν θείων ἀναγνωσμάτων, καθ' ἣν διεμάχοντο *πρὸς ἑαυτὰς πᾶσαι αἱ ὑπ' οὐρανὸν ἐκκλησίαι τοῦ Θεοῦ*! (φάντασμα πάντων, ὧν ἐκεῖνος ὁ θεῖος Πατὴρ ἔπλασε κατὰ τῶν Ο, τερατωδέστατον, καὶ τῆς ἑαυτοῦ σοφίας ἀναξιώτατον). Οὕτω καὶ τὸ μηδὲν δύναται πολλὰ πρὸς σύστασιν πραγματικῶν ἀριθμῶν. Ἐκ τούτου δὲ τοῦ φάσματος καὶ ἄλλων μέν τινων, καὶ ἡ τοῦ Ὀδίου δὲ μάλιστα φαντασία οἰστρηλατηθεῖσα, κατεῖδεν ἐν τοῖς σῳζομένοις ἀντιγράφοις τὸ κείμενον τῶν Ο, φύρδην καὶ μίγδην συγκεχυμένον, τὸ μὲν ἐκ τῆς Κοινῆς, τὸ δὲ ἐκ τῶν τριῶν, περὶ ὧν ὁ λόγος, ἐκδόσεων, τὸ δὲ καὶ ἐκ τῶν ἄλλων ἑρμηνειῶν (Ἀκύλα, Θεοδοτίωνος, Συμμάχου, καὶ τῶν λοιπῶν τῶν ἐν τοῖς Ἑξαπλοῖς)· καὶ μόλις ἐγνώρισεν ὁ ἄνθρωπος ἐν τῷ καθ' ἡμᾶς κειμένῳ τῶν Ο μέρος μόνον, τὸ γοῦν πλεῖστον (ὡς εἶπεν), ἀποσωθὲν τὸ αὐτὸ, ὃ καὶ κατὰ τοὺς χρόνους τῶν ἀρχαίων Πατέρων *ἐνομίζετό* (φησι) τῶν Ο (Ὄδιος σελ. 634). Ὁ δὲ προμνημονευθεὶς (§. ι, σημ.) Μαρτῖνος Μαρτῖνις, ὁ *ἁμαρτίνοος* ὄντως, καὶ οὐχ ἧττον ἁμαρτοεπὴς καὶ ἀκριτόμυθος, ἔτι θερσιτικώτερον ἐκολῴησε, «μηδόλως εἰδέναι φάσκων, μήτε τίνες οἱ συγγραφεῖς τοῦ καθ' ἡμᾶς κειμένου τῶν Ο, μήτε, εἰ μία τις καὶ τοῦτο τῶν εἰρημένων ἐστιν ἐκδόσεων, ἢ καὶ ἐξ ἁπασῶν ἀνάμικτον καὶ συμπεπιλημένον» (παρ' Ὀδίῳ αὐτόθ.). Τὸν δὲ πορφυρωτὸν Βελλαρμῖνον ποῦ τις ἂν θείη; ὅστις ὁμολογήσας, ὅτι ἐκ θείας ἐπιπνοίας οἱ Ο μεθηρμήνευσαν (β), ἔπειτ' ἀπέβη καὶ αὐτὸς ἄλλος *Μαρτῖνος*, καταδικάσας τὴν καθ' ἡμᾶς

(α) Amersfoordt, de var. Lection. Holmesianis pag. 105—115.
(β) Bellarmin. De verb. Dei L. II. c. 9.

τῶν Ο Γραφὴν ὡς ἐκ πολλῶν ἀνάμικτον καὶ διεφθαρμένην· ὡς ἂν εἴπερ διελέγετο περὶ τῆς κατ᾽ αὐτὸν Βουλγάτας, ἧς τὰς ἐκ πολλῶν ἑρμηνειῶν καὶ διορθώσεων (καὶ ἐξ αὐτῶν τῶν Ο) ποικίλας συῤῥαφὰς ἠπίστατο μὲν καὶ αὐτὸς ὁ σοφώτατος Καρδινάλις (α), διεκήρυττε δὲ καὶ ὁ συναδελφὸς αὐτοῦ Παγνίνης, πανδήμως διαβεβαιῶν, ὡς οὐκέτι τοῦ Ἱερωνύμου γνήσιον ἔργον καταλέλειπται ἡ Βουλγάτα (β). Ὁ δὲ πολυμαθὴς Μοντεφαλκώνιος καὶ προσεκαυχήσατο, «*κύδεϊ γαίων*», ὅτι ἡ Βουλγάτα σύγκειται οὐ μόνον ἐκ τῆς ἑβραϊκῆς ἀληθείας, ἀλλὰ καὶ ἐκ τῶν ἀρίστων ἑρμηνειῶν, Ἀκύλα καὶ Συμμάχου, καὶ τῆς Ε, ἑρμηνείας, ἔστι δ᾽ ὅπου καὶ τῆς τῶν Ο, καὶ ἄλλοτε ἐξ ἰδιαιτέρας ἐξηγήσεως, ἣν αὐτὸς ὁ Ἱερώνυμος ἐποιεῖτο, διδασκάλοις καὶ συμβούλοις χρώμενος τοῖς κατ᾽ αὐτὸν Ῥαββίνοις· ὅθεν, φησὶν, οὐδὲν θαυμαστὸν, εἰ ἀποβέβηκεν ἁπασῶν τῶν ἑρμηνειῶν ἀρίστη! (εἰς Ἑξαπλ. προλόγ. κεφ. η. §. 6). Ἀλλὰ πρὸς τούτους μὲν καὶ τοὺς τοιούτους οὔτε λόγος, οὔτε φθόνος οὐδείς· αἰνείτωσαν, ἢ ψεγέτωσαν τὰ οἰκεῖα, συκοφαντοῦντες ἅπερ ἀπέβαλον. Ὁ δὲ φιλοπονώτατος Ὅλμης εὐκταῖον ἂν ἐποίησεν ἔργον, ἀρκεσθεὶς εἰς μόνην τὴν σημείωσιν τῶν διαφόρων ἀναγνώσεων, ἢ παραλλαγῶν, τοῦ κειμένου τῶν Ο, ὅσας παρέθηκε, συναγαγὼν ἐξ ὧν ἀντέβαλε πλείστων ὅσων ἀντιγράφων. Ὁ δὲ, προσεφιλοτιμήσατο καὶ διακρῖναι τοὺς κώδηκας τούτους, ἀναγαγὼν (ὡς ἔδοξεν αὐτῷ) εἰς τὰς τέσσαρας, ἢ τρεῖς οἰκογενείας τῶν τριῶν ἐκδόσεων (καθ᾽ ἃς εἶδε διῃρημένας τὰς Ἐκκλησίας ὁ Ἱερώνυμος). Ἐπειδὴ δὲ ἐκ τῆς πεπλασμένης ταύτης *τετραγενείας*, ἢ *τριγενείας* τῶν παντοδαπῶν κωδήκων τοῦ κειμένου τῶν Ο

(α) Καὶ αὐτὸς ὁ Βελλαρμῖνος (De verb. Dei L. II. καὶ Epist. ad Luc. Brugens.) ὁμολογεῖ τὰ μετὰ τὴν διπλασίαν (ὑπὸ Σίξτου τοῦ Ε, καὶ Κλήμεντος τοῦ Η) διόρθωσιν τῆς Βουλγάτας ἐμφωλεύοντα ἐν αὐτῇ σφάλματα, καὶ ὁ Bonferius (Præloq. c. 15), καὶ ἄλλοι σύγχρονοι (βλ. Walt. Proleg. X. §. 6), πρβλ. καὶ τὸν ἡμέτερον Θεοτόκην ἐν ᾗ ἐξελληνίσας ἀνωνύμως ἐξέδωκεν Ἀνασκευῇ τῆς τελευταῖον διερμην. Διαθήκης, πολλαχοῦ· ἴδε καὶ τὸν πίνακα τῆς βίβλου, σελ. 41.

(β) Βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 916.

ἰσχυροποιοῦνται, καὶ, οἷον ἄνωθεν ἐξ ἐκκλησιαστικῆς χρήσεως κατιοῦσαι, καθαγιάζονται πολλαί τινες καὶ βέβηλοι κατὰ τῆς τοῦ κειμένου γνησιότητος ὑπόνοιαι, οἵας οἱ πολέμιοι τῆς ἀληθείας ἀνακινοῦσι (προστιθεμένων μάλιστα καὶ τῶν ἀναμὶξ μετὰ τῶν διαφόρων ἀναγνώσεων ἐμφερομένων ἐν τοῖς κώδηξιν ἀντιγραφικῶν καὶ τυπογραφικῶν σφαλμάτων), οὐδεὶς δίκαια φρονῶν ἀνέξεται τῆς τοιαύτης, καὶ οὕτως αἰτιολογουμένης, συμφύρδην τοῦ κειμένου φθορᾶς, ὡς ἀθέσμου καὶ ψευδοῦς ἐξ αὐτῶν τῶν πραγμάτων ἐλεγχομένης· καὶ ἡ δεῖξις πρόχειρος.

Α) Πάντες οἱ θεῖοι Πατέρες παντάπασιν ἀγνοοῦσι, καὶ διὰ τῆς πανηγυρικῆς αὐτῶν σιωπῆς ἀποκηρύττουσιν, ὡς ἀνύπαρκτον, τὴν περὶ τῆς τριπλῆς τῶν ἐν ταῖς Ἐκκλησίαις ἐκδόσεων διαφορᾶς ἐπίνοιαν τοῦ μακαρίου Ἱερωνύμου, ἣν μόνος ἁπάντων, μονώτατος, αὐτὸς ἔγραψε, καὶ αὐτὸς πάλιν δι᾽ ἄλλης παραδοξολογίας πρόῤῥιζον ἀνέτρεψεν, ὡς εἴδομεν ἀνωτέρω.

Β) Πάντες οἱ θεῖοι Πατέρες μίαν ἠπίσταντο, καὶ ἐδίδασκον, καὶ περιτράνως ἀνεκήρυξαν γνησίαν ἑρμηνείαν τῶν Ο, ἐν πάσαις ταῖς ὑπ᾽ οὐρανὸν Ἐκκλησίαις τοῦ Θεοῦ κοινῶς ἀναγινωσκομένην.

Γ) Αὐτὸς ὁ Ὠριγένης, καὶ μετ᾽ αὐτὸν ὅσοι τῶν Πατέρων ἐμνημόνευσαν ἀντιγράφων, διέκριναν διαῤῥήδην τὰ κατ᾽ αὐτοὺς σωζόμενα *ἀκριβέστερα τῶν ἀντιγράφων τῶν Ο*, ἀπὸ τῶν μὴ τοιούτων· καὶ ὅσας ἐπιφέρουσι ῥήσεις καὶ περικοπὰς, τὰς αὐτὰς ἐκ τῶν πλείστων τευχῶν τῆς ἑρμηνείας τῶν Ο, συναδόντως αὐτὰς ἐκφέρουσι καὶ συμφώνως οὐ μόνον πρὸς ἀλλήλους, ἀλλὰ καὶ πρὸς τοὺς ἀρχαιοτέρους Ὠριγένους, τοὺς Ἀποστολικοὺς τῆς Ἐκκλησίας Πατέρας, καὶ πρὸς τοὺς Ἀποστόλους αὐτοὺς (ὅσαι κἀν τῇ Καινῇ μνημονεύονται Διαθήκῃ). Αἱ δὲ παρά τισι τῶν Πατέρων ἐνίοτε ἐμφερόμεναι Γραφικῶν τινων φωνῶν παραλλαγαί, προέρχονται σαφῶς ἢ ἐκ τῆς ἀβλεψίας τῶν διαφόρων εἴτ᾽ ἀντιγραφέων, εἴτε τυπογράφων τῶν Πατρικῶν συγγραφῶν, ἢ καὶ διότι τινὲς τῶν Πατέρων ἀπὸ μνήμης τὰς ῥήσεις ἐξέφερον, συνωνύμους λέξεις ἀντιτιθέντες, ἔστι δ᾽ ὅτε καὶ συντομώτερον, ἢ πλατύτερον μετ᾽ ἐπεξηγήσεως σαφηνίζοντες τὸ ῥητόν.

Δ) Ὁσάκις οἱ θεῖοι Πατέρες ἀνέφερον ἐκ τῶν Ἑξαπλῶν ἀναγνώσεις λέξεών τινων τοῦ κειμένου τῶν Ο, διαφερούσας τῶν τῆς Κοινῆς, ἀνέφερον αὐτὰς ἐξ ὀνόματος, μηδεμίαν μεταβολὴν ἐπιφέροντες εἰς τὰς ἀνέκαθεν ἐν τῇ Ἐκκλησίᾳ παραδεδεγμένας ἀναγνώσεις τῆς Κοινῆς. Καὶ ἐξ ἄλλων δέ τινων ἀνωνύμων ἀντιγράφων παράγοντες φωνάς τινας διαφόρως ἐχούσας πρὸς τὰς τῆς Κοινῆς, ἀνέφερον ταύτας ἁπλῶς καὶ μόνον πρὸς ἐπεξήγησιν τῶν ἐν τῇ Κοινῇ συνήθως ἀναγινωσκομένων (βλ. τοιαῦτα παραδείγματα ἐν τοῖς προηγηθεῖσι σελ. 506).

Ε) Ὁ μακάριος Ἱερώνυμος διαῤῥήδην ἀνεκήρυξε τὴν ἔκδοσιν τοῦ Λουκιανοῦ, ὡς μίαν καὶ τὴν αὐτὴν μετὰ τῆς Κοινῆς (ὄπισθ. σελ. 883). Ἀλλαχοῦ δὲ πάλιν ἐβεβαίωσεν, ὅτι μήτε τῷ Λουκιανῷ μήτε τῷ Ἡσυχίῳ ἐξεγένετο διορθῶσαί τι μετὰ τὴν ἔκδοσιν τῶν Ο (ὡς τούτοις, δηλονότι τῇ Κοινῇ, συμφώνους τὰς ἑαυτῶν φιλοπονήσαντας ἐκδόσεις, καὶ μηδὲν διάφορον, λόγῳ διορθώσεως, εἰσενεγκόντας) (α). Συνᾴδουσαν τοῖς Ο τοῦ Λουκιανοῦ τὴν ἔκδοσιν εἶπε καὶ ὁ Εὐθύμιος ἀνωτέρω.

Ϛ) Πολλοὶ τῶν νεωτέρων κριτικῶν ὁμολογοῦσιν, ὅτι βραχεῖαι καὶ λίαν ἀτελεῖς καὶ ἀμφίβολοι περιφέρονται γνώσεις περί τε τῶν τριῶν ἀρχαίων ἐκδόσεων, καὶ τῆς πρὸς αὐτὰς τῶν σῳζομένων κωδήκων ἀναφορᾶς. Οἱ μέν τινες ἔκριναν, ὡς οὐδαμοῦ διεσῴθη τῶν Τετραπλῶν ἀντίγραφον, οἱ δὲ μᾶλλον αὐστηρότεροι ἠρνήσαντο καὶ ὅλως τὴν ὕπαρξιν αὐτῶν, ἀντιλέγοντες ἀσυστόλως πρὸς Εὐσέβιον, καὶ πᾶσαν τὴν ἀρχαιότητα, καὶ τὴν αὐτοψίαν αὐτῶν τῶν ἀναγνόντων τὰ Τετραπλᾶ· ὁ δὲ Μοντεφαλκώνιος ἐκ τῶν Ἑξαπλῶν κυρίως ἐθέλει μάλιστα συγκείμενον τὸ Ἀλεξανδρινὸν χειρόγραφον.

(α) « Prætermitto eos codices quos à Luciano et Hesychio nuncupatos paucorum hominum asserit perversa contentio, quibus utique nec in toto veteri Instrumento post LXX interpretes emendare quid licuit » etc. (præf. in IV. Evang. ad Damasum). Ὁ δὲ Ὅδιος μάτην διαστρεβλοῖ τοὺς λόγους τοῦ Ἱερωνύμου (σελ. 303). Συνετώτερος δὲ ὁ Σιμώνιος (Simon. Hist. Crit. V. Test. L. II. c. x. p. 51). πρβλ. καὶ Fabricy Des titres primitifs etc. T. 2. p. 58.

Οἱ δ' εὗρον, τέλος, τὰ Τετραπλᾶ ἐν αὐτῷ τῷ Ἀλεξανδρινῷ, καὶ ἔν τισιν ἄλλοις τῶν σῳζομένων ἀντιγράφων. Πάλιν, οἱ μὲν εἶπον, ὅτι καὶ Λουκιανὸς καὶ Ἡσύχιος περὶ τὰς ἐκδόσεις αὐτῶν ὀβελοῖς ἐχρήσαντο καὶ ἀστερίσκοις, ἀπαραλλάκτως ὡς Ὠριγένης, καὶ προσέγραψαν δὲ τὰ σημεῖα ταῦτα ἐν τῷ κειμένῳ, οἱ δ' ἀπαρνοῦνται τὴν ἐγγραφήν. Ἄλλοι δὲ πάλιν (δίκαια λέγοντες), ὅτι μόνοις τοῖς ἀκριβέσιν ἀντιγράφοις τῶν Ο ἐχρήσαντο πρὸς τὰς ἐκδόσεις αὐτῶν. Καὶ οἱ μὲν ὑπέλαβον, ὅτι τούτων αἱ ἐκδόσεις παντελῶς ἀπώλοντο. Τῶν δέ τινες, ὅτι σῴζονται ἀντίγραφα τούτων ἔν τισι τῶν βιβλιοθηκῶν. Ὁ δὲ Μάσιος καὶ τὸ καθ' ἡμᾶς Βατικανὸν ἀντίγραφον ἔκρινε τῆς Λουκιανίδος. Γράβης δὲ τοῦτο παῖδα τῆς Ἡσυχιάδος φησίν· οἱ δὲ πλεῖστοι, τῆς Κοινῆς. Καὶ μὴν πρὸς τὴν Κοινὴν ὑπέλαβον ἄλλοι πολλὴν ὁμοιότητα τῆς Κομπλουτείας ἐκδόσεως. Ἕτεροι δὲ τὴν Κοινὴν κατεχώρισαν ἐν τῇ τοῦ Ἄλδου ἐκδόσει. Οὕτω ποικίλλονται καὶ διαφωνοῦσιν αἱ περὶ τοῦ καθ' ἡμᾶς κειμένου γνῶμαι τῶν κριτικῶν (α). Τὴν δ' αἰτίαν τῆς τοσαύτης διαμάχης διέκριναν ὀρθῶς οἱ περὶ τὸν Ἀμερσφῶρδον· «Οὔτε κώδηκάς (φησι) πολλοὺς (πρὸ τῆς Ὄλμητος ἐκδόσεως) ἀντέβαλον οἱ σοφοί· οὔτε τὸν λόγον τῆς μεταξὺ τῶν ἀντιβληθέντων σχέσεως ἀρκούντως (ἂν ὀλίγους ἐξέλῃς), καὶ δεόντως, ἐξηρεύνησαν» (πρόσθες, ὅτι καί τινες τῶν ἐξερευνησάντων πάθει μᾶλλον, ἢ πόθῳ τῆς ἀληθείας ἀγόμενοι, πεπλάνηνται· καὶ μάρτυς πρὸ πάντων ὁ Ὑσσέριος)· « οὔτε τὰ Λουκιανοῦ καὶ Ἡσυχίου καὶ αὐτοῦ τοῦ Ὠριγένους σπουδάσματα, ὁποῖα ποτ' ἦσαν, ἀκριβῶς καὶ πληρέστατα δεσάφησαν. Ἄλλων δὲ» (καὶ τούτων ὅσων,

(α) Βλ. Masij Annot. in Vers. Græc. Jos. XII, 5. — Morin. Præf. ad Edit. LXX. — Simon. Hist. crit. V. Test. L. II. c. x. — I. Vossij App. De LXX. ad lector. — Huet. Origenian. L. III. c. 2. — Hody pag. 302. 627-634. — Grabe Epist. ad Mill. p. 40. Proleg. C. I. §. 10. §. 50. — Carpzov. Crit. Sacr. p. 532. — Ernesti Opusc. critic. — Fabric. Bibl. Græc. T. 3. p. 715. Harl. — Fabricy, Des titres primitifs etc. T. 2. p. 77. — Holmes prol. in edit. LXX. sect. XI. — Eichhorn Einleit. §. 175. — Amersfordt, De var. Lection. Holmesianis p. 105 sq. — Herbst. Einleit. 1. Bd. p. 170.

καὶ οἴων!) «κατειργάσατο τὴν κρίσιν ἡ δεισιδαιμονία τῶν Ἰουδαίων, ὥςε νομίζειν, ὅτι, ὅσῳ μᾶλλον τὰς τῶν Μασοριτῶν ἀναγνώσεις κώδηξ τις, ὅστις δήποτ', ἐκφράζει, τοσούτῳ κρείττων οὗτός ἐστι τῶν ἄλλων». (καὶ πάλιν) «Περὶ δὲ τῆς ἐκδόσεως τῶν τριῶν ἐκείνων ἀρχαίων κριτικῶν (Ὠριγένους, Λουκιανοῦ, Ἡσυχίου) πολλὰ δὴ καὶ τὴν σήμερον ἄγνωστα, ἀόριστα, ἀμφίβολά εἰσιν, ὅσα τε κατὰ πρῶτον τὴν σπουδὴν τοῦ τε Λουκιανοῦ καὶ τοῦ Ἡσυχίου, καὶ ὅσα τὴν περὶ τὰ Τετραπλᾶ κριτικὴν τοῦ Ὠριγένους μέθοδον ἀφορῶσι» (α).

§. ιε. Καὶ περιττῶς ἄρα, καὶ λίαν περιέργως ἡ νεωτέρα κριτικὴ διεπονήθη, κατόπιν τῶν μακαρίων φασμάτων τῆς καθ' Ἱερώνυμον τριμόρφου κατατομῆς τῆς ἑρμηνείας τῶν Ο κατακολουθοῦσα, καὶ τριγονίας ἀναπλάττουσα, καὶ τετραγονίας τοῦ κειμένου, καὶ τὰ σωζόμενα τῶν ἀντιγράφων εἰς οἰκογενείας ἀνάγουσα παντοδαπὰς, καὶ ταύτας πάλιν, οἷα χρώματα ζωγράφων παῖδες, συμφθείρουσα, καὶ ποικίλως ἀναμιγνῦσα, καὶ παριστῶσα τὰς ἱερὰς τῶν Ο σελίδας, ὡς *παμποικίλους νεβρῶν στολίδας*. Οὐ καλὰ ταῦτα, οὐδ' αἰνετά! Καὶ ὑπάρχουσι μὲν διάφοροι παραλλαγαὶ, ἢ ἀναγνωσμάτων διαφοραὶ ἐν τῷ κειμένῳ τῶν Ο, καὶ τῶν βιβλιογράφων παρεκτροπαὶ κατ' ἄλλο καὶ ἄλλο τῶν ἀντιγράφων, καὶ αὐτῶν δὲ τῶν Ὠριγένους Ἑξαπλῶν εὑρίσκονται κατὰ κώδηκας ἀρχαίους παραδείγματα· τίς ἀντερεῖ; ἀλλ' ἤρκει καὶ μόνον αὐτὰ σημειοῦν, ὡς καὶ οἱ πάλαι Πατέρες τῆς Ἐκκλησίας ἐποίουν, μνημονεύοντες καί τινας τῶν ἀντιγράφων διαφορὰς, καὶ τῶν ἐν τοῖς Ἑξαπλοῖς ἀνα-

---

(α) « Neque codices ita multos ante Holmesium viri docti contulerunt. Neque in eorum, qui collati essent, si perpaucos excipias, rationem mutuam magnopere inquisiverunt. Neque illa Luciani Hesychij que, imo ne Origenis quidem opera, qualis fuerit, juste pleneque explicuerunt » etc. Καὶ « Aliorum Judicium effecit superstitio Judaica, ut quo codex quisque magis Masoretharum lectiones exprimeret, eo quemque meliorem putarent.—Verum de triplici illa veterum Criticorum recensione multa hodie que ignota, incerta, dubia sunt, inprimis quod attinet ad Luciani et Hesychij operam, tum ad crisin ab Origene in Tetraplis usurpatam ». Amersfoordt, De var. Lect. Holmes. p. 106.

γνωσμάτων. Τὸ δὲ καὶ τὰ προφανῆ σφάλματα τῶν ἀντιγράφων μετὰ τῶν διαφόρων ἀναγνώσεων συγκαταριθμεῖν (α), καὶ αὐτὰς τὰς ἀναγνώσεις μὴ διακρίνειν, εἴτε τῶν ἀρίστων καὶ πλείςων εἶεν ἀντιγράφων καὶ ἐκδόσεων, εἴτε τῶν μὴ, καὶ αὐτὰ δὲ τὰ τῶν Ἑξαπλῶν τῇδε κἀκεῖσε διεσπαρμένα σημεῖα (καὶ ταῦτα πολλαχοῦ τῶν ἀντιγράφων ἀτόπως γεγραμμένα) (ϐ), ὡς Ἀψύρτου νεκρὰ μέλη, συλ-

(α) Οὕτως ὁ Μοντεφαλκώνιος μεταξὺ τῶν μεταϐολῶν, ἃς μετὰ τοὺς Ὠριγένους χρόνους εὗρεν ἐπιϐεϐηκυίας εἰς τὰς ἐκδόσεις τῶν Ο (καθ' ἣν ἐξεπόνησεν ἀναντίῤῥητον καὶ ϐεϐαιοτάτην ἔκδοσιν τῶν Ἑξαπλῶν!), ἀριθμεῖ καὶ τὰ ἐκ τῆς συγχύσεως τῶν ὁμοίων γραμμάτων (οἷον τοῦ Δ καὶ Α) ἀϐλεψίᾳ τῶν ἀντιγραφέων εἰσρυέντα σφάλματα· ἐν δὲ τούτοις συγκαταλέγει καὶ τὸ « οἱ κλῆροί μου » (ψαλμ. λ, 16) ἀντὶ τοῦ γνησίου (φησὶ) « καιροί μου » (ὡς ἔχει δηλαδὴ τὸ ἑϐραϊκόν!)· διότι, φησὶ, τὸ Α (τοῦ κΑιροὶ) μετεπλάσθη εἰς τὸ Λ (κΛῆροι)· τὸ δὲ Ι πῶς ποτε μετεμορφώθη εἰς τὸ Η, παρέλιπεν ἀνεξήγητον· προσέθηκεν ὅμως ἄλλα παραδείγματα σφαλμάτων ἐκ τῶν τοῦ Συμμάχου καὶ τῶν ἄλλων ἑρμηνειῶν, ἐν ᾧ θεωρεῖ μόνον τὰ τοῦ κειμένου τῶν Ο (**Prælim. in Hexapl. c. IV. §. 7**). Ἀλλὰ καὶ ἐν τῇ λαμπροτάτῃ τοῦ Ὅλμητος ἐκδόσει μεταξὺ τῶν παραλλαγῶν ἐσημειώθησαν καὶ ἄλλαι μεταγραφέων προφανεῖς ἀϐλεψίαι (δέον ταύτας ἰδίως καταχωρίζειν), καὶ τὸ εἰσεσπάσαντο («Ἐκτείναντες τὰς χεῖρας, εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον». Γεν. ιθ, 10, ἐκ τοῦ ἅπαξ εἰρημένου παρὰ τοῖς Ο εἰσσπάω, ἀχρήστου κατ' ἐνεστῶτα, διὰ τὴν ἐπαλληλίαν τοῦ σ τῆς προθέσεως πρὸς τὸ τῆς λέξεως ἀρκτικὸν) ἄλλος κώδηξ ἔχει εἰσεσπεύσαντο! ἄλλ. ἀπεσπάσαντο, ἄλλ. ἐπεσπάσαντο, ἄλλ. ἔσπασαν, καὶ παρ' Ἰουστίνῳ (Διαλ. σελ. 255) ἐπίασαν (σφάλμα ἐκ τοῦ ἔσπασαν, ἀντὶ ἐσπάσαντο, ὡς ἔγραψεν ἴσως ὁ Ἰουςῖνος συντομώτερον τὸ γραφικὸν εἰσεσπάσαντο, καθὰ καὶ Ὠριγένης, τόμ. α. σελ. 437). Ὁ δὲ κλεινὸς Ὅδιος, καὶ ἐν ᾧ κατέγραψεν ἐκ τοῦ Ὑσσερίου μικρῷ πίνακι παραδειγμάτων τῶν ἐν τοῖς Ψαλμοῖς μεταξὺ τῶν Ἑξαπλῶν καὶ τῆς Κοινῆς παραλλαγῶν, ἀντέγραψε καὶ πλάνας τῶν ἀντιγραφέων σαφεῖς, ὡς παραλλαγὰς, μηδὲν ἐνδοιάσας· οἷον (ψαλμ. οϐ. 7) «Ἐξελεύσεται, ὡς ἐκ στέατος» (ἡ Κοινή· κώδ. Ἀλεξ. Βατικ.)· τὰ δ' Ἑξαπλᾶ, «ἘξελεύσΑτΟ, ὡς ἐκ στέατος». Πάλιν (ψαλμ. ογ. 8) «Καπαύσωμεν . . τὰς ἑορτὰς αὐτῶν». Ἡ Κοινὴ (Βατικαν. Ἀλεξ.)· τὰ δ' Ἑξαπλᾶ, «ΚαταΚαύσωμεν . . τὰς ἑορτὰς αὐτῶν»· (ἀρχαῖον παρανάγνωσμα) κτλ. (σελ. 614· καὶ ἄλλας δὲ λώϐας οὐχ ἧττον τηλαυγεῖς ϐλέπε παρ' αὐτῷ σελ. 616).

(ϐ) Ὅτι ἐν τοῖς καθ' ἡμᾶς σεσωσμένοις παραδείγμασι τῶν Ἑξαπλῶν ἡμαρτημένως ὑπὸ τῶν ἀντιγραφέων διατεθειμένα φαίνονται πολλάκις τὰ Ὠριγένεια σημεῖα, σεσημείωται παρὰ τοῖς κριτικοῖς· (ϐλ. Amersfoordt, l. c. p. 109. καὶ ὄπισθ. σελ. 877). Ὅθεν ὀρθῶς καὶ ὁ σοφὸς Ὅλμης εἶπεν, «Ὅτι οὐ ῥᾳδίως διαγι-

λέγοντας ὡς ἔτυχε, συνάπτειν πλημμελῶς, κἀκ τούτων τὴν ἀκρίβειαν τῶν ἐν τῷ κειμένῳ κατηστερισμένων, ἢ ὠβελισμένων χωρίων πανταχοῦ διορίζειν, ταῦτα πῶς οὐ πολλῆς ἰταμότητος ἔργα; Καὶ ὅμως ἐκ τούτων καὶ τῶν τοιούτων ἐσπούδασαν οἱ καρχαρώτεροι τῶν κριτικῶν ἀποδεῖξαι τὸ τῶν Ο κείμενον *σύμμικτον εἶδος*, καὶ φύραμα δυσδιάκριτον, ἐκ πασῶν τῶν ἀρχαίων ἐκδόσεων πανταχοῦ συμπεπλασμένον, καὶ μηκέτι τὴν γνησίαν ἐκείνην τῶν Ο γραφὴν ἀποσῴζον. Ἀλλ' οὕτως ἠδύναντο καὶ πάντα τὰ τῶν Ἑλλήνων συγγραφέων ἀριστουργήματα κατεξελέγξαι νενοθευμένα. Πολλαὶ τῶν Ὁμήρου ποιημάτων ὑπῆρχον ἐκδόσεις, οἷον Ἀριστάρχου, καὶ Ἀριστοφάνους, καὶ Ζηνοδότου, καὶ ἄλλαι, καὶ ἡ κοινὴ τοῦ Ἀριστοτέλους· ἐνῆσαν δὲ κἀν τοῖς αὐτῶν ἀντιγράφοις τὰ κριτικὰ τῶν ὀβελῶν καὶ ἀστερίσκων σημεῖα· καὶ ταῦτα παλαιόθεν ὑπὸ χρόνου καὶ τῶν βιβλιογράφων ἐξαλειφθέντα, ὅμως διαθρυλλοῦνται· πολλαὶ δὲ φέρονται καὶ νῦν λέξεων παραλλαγαί, καὶ οὐκ ὀλίγα τῶν ἐπῶν ὡς *ἀθετούμενα* μνημονεύονται. ἀλλὰ μὴ παρὰ ταῦτα οὐ περιῆλθε καὶ εἰς ἡμᾶς γνήσιον τὸ κείμενον τοῦ Ὁμήρου; Τοιαῦτα ἄν τις ἔχοι εἰπεῖν καὶ περὶ τῶν τοῦ Πλάτωνος συγγραμμάτων, καὶ τῶν πολλὰ δὴ παθόντων βιβλίων τοῦ Ἀριστοτέλους. Οὐδ' ἔστιν οὐδεμία τῶν ἀρχαίων ἀξιολογωτάτων συγγραφῶν, ἥτις ἀφίκετο καὶ εἰς ἡμᾶς ἀκριβὴς ἐν πᾶσι καὶ ἀναλλοίωτος, οἵα προῆλθεν ἐκ τῶν τοῦ συγγραφέως χειρῶν, χωρίς τινων παραλλαγῶν. Ὅτι δὲ καὶ οἱ τυπογράφοι προστιθέασι τὰ οἰκεῖα, πασίδηλον. Καὶ τί δεῖ περὶ τῶν ἔξω σοφῶν λέγειν; Αὐτοῦ τοῦ θειοτάτου κειμένου τῆς Καινῆς Διαθήκης τὰ ἀρχαῖα ἀντίγραφα καὶ αἱ ἐκδόσεις φέρουσιν ἀναγνώσεων παραλλαγάς, καὶ (ὡς πρὸς τὸν ὄγκον τῆς βίβλου) πλείονας τῶν ἐν τῷ κειμένῳ τῶν Ο (ἴδε τοὺς πίνακας τῆς τοῦ Βάλτωνος Πολυγλώττου)· Τί οὖν ἐροῦμεν; μὴ οὐκ ἔχουσιν αἱ ὑπ' οὐρανὸν Ἐκκλησίαι τὸ θεόπνευστον κείμενον τῶν Ἀπο-

---

νώσκονται οἱ γνήσιοι κώδηκες, ὅσοι τὸ τῶν Ἑξαπλῶν κείμενον ἔχουσιν. Ἔσται μοί (φησιν) Ἑξαπλαῖος ἐκεῖνος ὁ κώδηξ, ὅστις ἅπαντα τὰ ἀναγνώσματα, ὅσα τε ὑπ' ὀβελοῖς, καὶ ὅσα ὑπ' ἀστερίσκοις, ἐναργῶς ἐκτίθησι καὶ ἀκριβῶς καὶ πιστῶς » κτλ. (Holmes l. c.).

στόλων; Ἀλλὰ πρὸς τοὺς τοιούτους ἀκρίτους κριτικισμοὺς ἀπήντησαν γενναίως οἱ περὶ τὸν εὐκλεέστατον Βάλτωνα (Προλεγ. Θ. §. 30). Καὶ ἡ μεγάτιμος, ἣν ἐφιλοπόνησεν Ὅλμης, ἔκδοσις τοῦ Βατικανοῦ κώδηκος, (σύγκειται δὲ αὕτη ἐξ ἀντιβολῆς 136, κωδήκων τῶν Ο, τύποις τε ἐκδεδομένων, καὶ τὸ πλεῖστον χειρογράφων, καὶ τούτων διαφόρων τὴν ἡλικίαν [ἀπὸ τοῦ τετάρτου, μέχρι τοῦ ΙΕ αἰῶνος], μετὰ καὶ προσθήκης τῶν παρὰ τῷ Φίλωνι καὶ Ἰωσήπῳ, καὶ 35 ἀρχαίοις Πατράσι μνημονευομένων ῥήσεων ἐκ τῶν αὐτῶν τόπων τῆς Γραφῆς, καὶ τῶν ἐν τῇ Ἰτάλᾳ καὶ ἄλλαις ἀρχαίαις τῶν Ο μεταφράσεσιν ἀντιστοίχων ἀναγνωσμάτων), αὕτη, λέγομεν, ἡ πάμπλουτος ἔκδοσις ἀπέδειξε τὴν ποσότητα τῶν παραλλαγῶν πολλῷ σμικροτέραν, ἢ ὅσον ἐνομίζετο παρ' Ὑσσερίοις καὶ Ὀδίοις καὶ τοῖς τούτοις ὁμόφροσι κριτικοῖς (α). Θαυμάζει δικαίως ὁ Ἀμερσφῶρδος, θεωρῶν, ὅπως ἐν τοσούτοις τοῦ Ὅλμητος ἀντιγράφοις, καὶ ἐκδόσεσι, καὶ ἑρμηνείαις τῶν Ο, ἡ αὐτὴ διατηρεῖται πανταχοῦ καὶ ἀπαράλλακτος τῶν τε Μωσαϊκῶν βιβλίων ἡ ἱστορία, καὶ τῶν ἄλλων ἱερῶν τευχῶν ἡ κανονικὴ περιοχή. Ἐκ δὲ τούτου (φησὶ) τοῦ ἱστορικοῦ ἐπιχειρήματος ἀποδείκνυται καὶ βεβαιοῦται τῶν ἁγίων Βιβλίων τὸ πιςὸν καὶ βέβαιον, καὶ ἡ ἀκεραιότης (β). Ἀλλὰ τοῦτο μὲν ἀποδείκνυται καὶ ἀλλαχόθεν· ἐκεῖνο δὲ μᾶλλον ἰδιάζον σημειοῦμεν ἡμεῖς· Ὅτι ἐκ τῶν εἰρημένων, τόπῳ τε παντοδαπῶν, καὶ χρόνῳ παλαιτάτων, καὶ ἄλλων νεωτέρων ἀντιγράφων, καὶ ἐκδόσεων, καὶ ἑρμηνειῶν, καὶ παντοίων μαρτυριῶν, Ἰουδαίων ἀρχαίων, Πατέρων ἁγίων, τῶν Ἀποστόλων αὐτῶν, μία παναρμόνιος ἐξηχεῖ συμφωνία τῆς ἀληθείας, ἀπ' αἰώνων εἰς αἰῶνας καὶ ἀπὸ περάτων εἰς τὰ πέρατα τῆς Οἰκουμένης ἄσβεστος χωροῦσα, καὶ κηρύττουσα διαπρυσίως, ὅτι τὸ τῶν Ο κείμενον ἀκέραιον ἐτηρήθη καὶ ἀλώβητον ἐν τοῖς κόλποις τῆς ἀνέκαθεν ἁπανταχοῦ τοῦτο παραδούσης, καὶ ἀεὶ τούτῳ χρωμένης Ἐκκλησίας τοῦ Χριστοῦ· διὸ καὶ δικαίως θεωρεῖται ὡς ἔξοχος καὶ

(α) Hamilton, Introd. to the Study of the Hebrew Scriptur. p. 146.
(β) Amersfoordt, De var. Lect. Holmesian. p. 48.

ἀναντίῤῥητος ἀπόδειξις τῆς ἀδιαφθόρου πίστεως καὶ ὁλοκληρίας τῶν θείων Γραφῶν. Τῶν δὲ ἐμφαινομένων παραλλαγῶν (καὶ τούτων ἀβλαβῶν καὶ ἀθῴων) τὸ κοῦφον καὶ εὐάριθμον, καὶ ὡς πρὸς τὸ ὅλον σῶμα, βραχυτελὲς καὶ ἀπειροστὸν, οὐδεμίαν ἔχει ῥοπὴν κατὰ τῆς γνησιότητος τοῦ ἱεροῦ κειμένου τῶν Ο, ὡς οὐδ᾽ ἐπὶ τοῦ κειμένου τῆς Καινῆς Διαθήκης αἱ κατὰ τὰς ἐκδόσεις αὐτῆς ἐμφερόμεναι παραλλαγαί. Καὶ *ἐψεύσατο* ἄρα καὶ ὧδε *ἡ ἀδικία ἑαυτῇ*, ἥτις τῆς μὲν καθ᾽ ἡμᾶς Ἑβραΐδος Γραφῆς οὐ μόνον τὰ συμπεφυρμένα, καὶ ἐξ ἀντιγράφων καὶ ἐξ ἁπλῶν εἰκασιῶν συμφορηθέντα *ἀναγνωστά τε καὶ γραπτὰ*, ἀλλὰ καὶ αὐτὰ τὰ Μασοραῖα στίγματα καὶ τραύματα, τὰ παρὰ τῶν μισοχρίστων ῥαββίνων εἰς τὸ κείμενον ἐπισεσαγμένα, θεόπνευστα πιστεύει καὶ ὁμολογεῖ, καὶ τὴν νεότητα τῶν σωζομένων ἑβραϊκῶν ἀντιγράφων ἱλαρώτατα περιπέττει. (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 124 καὶ 166). ἐν δὲ τῷ κειμένῳ τῆς Ἀποστολικῆς ἑρμηνείας τῶν Ο παντοῖα βλέπει νοθείας γνωρίσματα! Ἀλλὰ τούτους μὲν ἐῶμεν, «*νόθοις βοσκομένους λογισμοῖς*». Λέγομεν δὲ ἤδη περὶ τῶν ἀρχικῶν καὶ διασήμων ἐν τύποις ἐκδόσεων τῶν Ο.

§. ις. Τέσσαρες ἀριθμοῦνται αἱ πρωτοταγεῖς καὶ κεφαλαιώδεις τοῦ κειμένου τῶν Ο ἐκδόσεις, ἐξ ὧν ἐπήγασαν καὶ ἄλλαι ἐφεξῆς.

Α) Ἡ Κομπλούτειος, ἐκδοθεῖσα τὸ πρῶτον ἐν Κομπλούτῳ τῆς Ἱσπανίας (τῷ 1514-1517), ἐπὶ τοῦ Πάπα Λέοντος Θ, δαπάνῃ (50,000 χρυσῶν), καὶ ἐπιστασίᾳ Ξιμένους τοῦ Καρδινάλεως. Ἐν ταύτῃ συνεκδέδοται καὶ τὸ ἑβραῖον κείμενον, καὶ ἡ λατινικὴ Βουλγάτα (βλ. ὄπισθ. Βιβλ. Γ. §. ξε). Καὶ αὕτη μὲν τὸν μέσον ἐπέχει τόπον· ἡ δὲ τῶν Ο, παράκειται ἐκ πλαγίων πρὸς δεξιὰν, ἑτέρωθεν δὲ τὸ ἑβραϊκὸν σὺν τῇ χαλδαϊκῇ παραφράσει. Διέταξε δ᾽, ὡς ἔοικεν, ὁ Ξιμένης τὰ κείμενα κατὰ ταύτην τὴν διάθεσιν ἐξεπίτηδες, ἵνα λάβῃ ἀφορμὴν θαυμαστοῦ τινος καὶ ἀνηκούστου χαριεντισμοῦ (α). Αὕτη τοίνυν

(α) «Μέσην» (λέγει πρὸς τὸν ἀναγνώστην ἐν τῷ λατινικῷ προλόγῳ) «Μέσην τούτων (τῶν κειμένων) τὴν λατίναν τοῦ μακαρίου Ἱερωνύμου τεθείκαμεν ἑρμηνείαν, οἷον μεταξὺ τῆς Συναγωγῆς, καὶ τῆς Ἀνατολικῆς Ἐκκλησίας. Ταύτας δὲ τοποθετοῦμεν, ὡς τοὺς δύω λῃστὰς, ἐντεῦθεν καὶ ἐντεῦθεν, μέ-

ἡ πρωτοφανὴς καὶ περίφημος ἔκδοσις ὁλοκλήρου τοῦ κώδηκος τῶν Ο (α), ἐφιλοπονήθη μὲν ὑπὸ θεολόγων τῆς Δυτικῆς Ἐκκλησίας (συνεπόνει δὲ τούτοις καὶ Ἕλλην, Δημήτριος ὁ Κρὴς), καὶ ἐξ ἀπογράφων (ὡς αὐτοὶ λέγουσιν ἐν τοῖς προλεγομένοις) «οὐ κοινῶν, οὐδὲ

σον δὲ τὸν Ἰησοῦν, τουτέστι τὴν Ῥωμάναν, ἢ Λατίναν Ἐκκλησίαν». — Βαβαὶ τῆς παρανοίας! Τὴν Ἀνατολικὴν Ἐκκλησίαν, μετὰ τῆς παρ' αὐτῇ τῶν Ο ἑρμηνείας, παραβάλλει ὁ Καρδινάλις πρὸς λῃστὴν μὲν, ἀλλὰ τὸν εὐγνώμονα, συμπεριλαμβάνων πάντως εἰς τὴν ὁμοίωσιν καὶ Πέτρον, καὶ Παῦλον, καὶ πάντας τοὺς Εὐαγγελιστὰς καὶ Ἀποστόλους, καὶ πάντας τοὺς ἁγίους Πατέρας τῆς Δυτικῆς Ἐκκλησίας, οἵτινες καὶ οὗτοι συνάμα μετὰ τῆς Ἀνατολικῆς καὶ πάσης καθόλου τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐχρῶντο, μέχρις Ἱερωνύμου, μόνοις τοῖς Ο! Πρὸς δὲ τὸν ἕτερον, τὸν διὰ τέλους κακοῦργον καὶ βλάσφημον λῃστὴν, παραβάλλει τὴν Συναγωγὴν τῶν σταυρωτῶν Ἰουδαίων, καὶ τὸ παρ' αὐτοῖς ἑβραϊκὸν κείμενον, ἀτιμάζων συγχρόνως οὐ μόνον τὸν ἐξ αὐτοῦ τὰ πλεῖστα μεταφράσαντα Ἱερώνυμον μετὰ καὶ αὐτῆς, ᾗ κέχρηται τανῦν ἡ Δυτικὴ Ἐκκλησία, τῆς Βουλγάτας, ἀλλὰ καὶ αὐτὰς τὰς ἐν τῷ ἑβραϊκῷ (πλὴν τῶν διεφθαρμένων) ἀκηράτους καὶ θεοφθέγκτους φωνάς. Ποτέρα δὲ τῶν παρομοιώσεων τούτων δυσσεβεστέρα, ἄλλοι κρινέτωσαν. Ποία δέ τις καὶ ἡ μέση παρομοίωσις; Ἀποσχίσας (ὡς ἐπέοικεν!) ἀπὸ τῆς ἀρχαίας Δυτικῆς Ἐκκλησίας (ἥτις, ὡς εἴδομεν, συμπεριλαμβάνεται πάντως ὑπὸ τὴν εἰκόνα τοῦ εὐγνώμονος λῃστοῦ), τὴν κατ' αὐτὸν Ῥωμάναν (μετὰ καὶ τῆς παρ' αὐτῇ Βουλγάτας, καὶ ταύτης ὑπὸ τὸν κακοῦργον λῃστὴν προπηλακισθείσης) τὴν αὐτὴν καὶ Λατίναν (ὡς προσίθησιν) Ἐκκλησίαν, ἧς ἄνθρωπος τρισάνθρωπος, ὁ Πάπας, ὡμολόγηται κεφαλὴ, ταύτην παραβάλλει πρὸς τὸν ἐσταυρωμένον Σωτῆρα τοῦ κόσμου, «Ὅς ἐστιν ἡ κεφαλὴ τῆς Ἐκκλησίας». ἀλλὰ περὶ τούτου εὔστομα κείσθω. Αὐτὸν δὲ τὸν πορφυρωτὸν καὶ πολύχρυσον Ξιμένην, ὅστις οὕτως ἀθεοφόβως βεβηλώσας τὴν ἱερὰν ἱστορίαν, καὶ μηδ' αὐτὸ γοῦν φρίξας τὸ θειότατον τῆς παγκοσμίου σωτηρίας μυστήριον, ἐκρέμασεν ἐντεῦθεν καὶ ἐντεῦθεν ἐπὶ σταυρῶν, ὡς κακούργους λῃστὰς, καὶ τὴν Ἐκκλησίαν μετὰ τῆς θείας Γραφῆς, καὶ αὐτὸ τὸ θεόπνευστον (ἐν οἷς οὐ διέφθαρται) κείμενον τῆς ἑβραϊκῆς μετὰ πάσης τῆς δειλαίας Συναγωγῆς, αὐτόν, φημι, τοῦτον τὸν οὕτω Πιλατικῶς καὶ προθύμως περὶ τὰς σταυρώσεις ἔχοντα Καρδινάλιν, εἴ ποθεν ἔβλεπεν ὁ Παλλαδᾶς, ἐφήρμοσεν ἂν γελῶν καὶ εἰς αὐτὸν ἐκεῖνο τὸ κατὰ παρήχησιν εἴς τινα (Ῥωμαῖον, ἴσως, κἀκεῖνον) Μασταύρωνα Μάρκον ποιηθὲν, ἀστεῖον ἐπίγραμμα·

«ΜαΣΤΑΥΡΩΝ, ἀφελὼν δύο γράμματα, Μάρκε, τὰ πρῶτα,
Ἄξιος εἶ πολλῶν τῶν ὑπολειπομένων». (Ἐπιγραμ. Βιβλ. Β. σελ. 243. Brod.)

(α) Ὑπῆρχε δὲ καὶ πρὸ αὐτῆς ἐκδεδομένον τύποις τὸ ἱερὸν Ψαλτήριον, οἷον τὸ ὑπὸ Ἀλεξάνδρου τοῦ ἐκ Χάνδακος τῆς Κρήτης ἑλληνιστὶ ἐκδεδομένον Ἐνετίῃσι τῷ 1486, καὶ ἄλλο Γραικολατῖνον ἐν Μεδιολάνοις τῷ 1481, καὶ ἄλλα ἀλλαχοῦ. Βλ. Fabric. Bibl. Græc. T. 3. p. 673. Harl.

τῶν τυχόντων, ἀλλ᾽ ἀρχαιοτάτων ἅμα καὶ πάνυ διωρθωμένων, ὑπὸ τοῦ Πάπα Λέοντος ἐκ τῆς Ἀποστολικῆς (φασι) βιβλιοθήκης (τοῦ Βατικάνου) πεμφθέντων· τούτοις δὲ καὶ ἄλλα προσετέθησαν, ἐν οἷς ἦν καὶ ἀντίγραφον τοῦ κατὰ τὴν Ἑνετίαν τηρουμένου ἀκριβεστάτου κώδηκος τοῦ Βησσαρίωνος». Καὶ ὅμως ἡ ἔκδοσις αὕτη θεωρεῖται ὑπὸ τῶν κριτικῶν ὡς ἐν πολλοῖς τόποις ὑπαίτιος καὶ ἐπίμεμπτος, διὰ τοὺς ἑξῆς λόγους. α) Οἱ ἐκδόται μετέβαλον τὴν κατὰ τοὺς Ο τάξιν τῶν βιβλίων πρὸς τὴν διάταξιν τῶν δύω παραλλήλων κειμένων, τοῦ Ἑβραϊκοῦ καὶ τῆς Βουλγάτας, ἵνα πρὸς ταῦτα καὶ οἱ Ο συμφωνῶσι. β) Εἴτι εὕρισκον ἐλλεῖπον μὲν ἐν τῷ κατ᾽ αὐτοὺς τῶν Ο κώδηκι, κείμενον δ᾽ ἐν τῷ ἑβραϊκῷ, τοῦτο προσετίθουν (καὶ χωρὶς ἀστερίσκων), ἐξ ἄλλης πολλάκις λαμβάνοντες ἑρμηνείας (οἷον τοῦ Ἀκύλα, ἢ τοῦ Συμμάχου)· καὶ ἐκ τῶν διαφόρων ἀναγνώσεων προέκριναν τὴν μᾶλλον πλησιάζουσαν τῷ ἑβραϊκῷ. γ) Μιμούμενοι τάχα τὸν Ὠριγένην, ἀπέκοψαν πραγματικῶς καὶ οὐχ ἅπαξ τὰ παρ᾽ ἐκείνῳ μόνον δι᾽ ὀβελοῦ σεσημειωμένα. δ) Τὰς τῶν Ο, λέξεις καὶ φράσεις μετέστρεψαν, ἔστιν ὅπου, πρὸς τὸ ἑβραϊκὸν, ἐξ ἑτέρων λαμβάνοντες ἑρμηνευτῶν, ἢ σχολιαστῶν (οἷον ἐν τῷ Ἰὼβ, τὸ τῶν Ο «*ἐν χώρᾳ τῇ Αὐσίτιδι*» ἔγραψαν ἐκ τοῦ Ἀκύλα «*ἐν γῇ Οὒς*, ὡς ἔχει καὶ τὸ ἑβραϊκόν· καὶ ἀντὶ τοῦ τῶν Ο, *θεοσεβὴς*, ἔγραψαν *φοβούμενος τὸν Θεὸν*, ἐξ ἄλλης ἑρμηνείας κτλ.). Σημειωτέον δὲ, ὅτι τὴν τοιαύτην ἀνάμιξιν οὐ διηνεκῶς δι᾽ ὅλου πεποιήκασι τοῦ κειμένου (α), καὶ οὐδ᾽ ἐν πᾶσι τοῖς τεύχεσι τῆς Γραφῆς, οὐδ᾽ οὕτω συχνήν· σώζει δὲ καθόλου καὶ ἡ Κομπλουτεία τὸ τῶν Ο κείμενον. Ὅθεν καί τινες τῶν Κριτικῶν ἔδοξαν ἰδεῖν ἐν ταύτῃ τῇ ἐκδόσει τὸ παράδειγμα τῆς *Κοινῆς* (βλ. ὄπισθ. σελ. 894). Τοῦ δὲ βαθυκλεοῦς Ὑσσερίου τὸν δεινῶς κατὰ τῶν Ο χολῶντα καὶ παραπαίοντα κάλαμον παραλείπομεν· ὅστις καταγράψας εὖ μάλα τὰς παρεκτροπὰς τῶν ἐκδοτῶν τῆς Κομπλουτείας, ἔπειτα παραλαμβάνει ταύτην ὡς ἀπόδειξιν τοῦ μηκέτι (καθὰ βού-

(α) Βλ. **Masij Annot. in Jos. 21. — Nobilij præf. in vers. LXX. latin. — Morinj Exercit. Biblic. p. 202. -- Walt. Proleg. IX. §. 28. — Simon. Hist. crit. V. Test. L. II. c. 3. - Fabric. Bibl. Græc. T. 3. p. 673. Harl.**

λεται) γνησίου σωζομένου κειμένου τῶν Ο (Συντάγμ. σελ. 80-83)· ὡς ἂν εἴπερ οὐχ ὑπῆρχον οὐκέτι, οὔτ' ἐν ταύτῃ τῇ ἐκδόσει (πλὴν τῶν κατὰ μέρη διαστροφῶν) ἀλώβητον καὶ ἀκραιφνὲς τὸ ὅλον τῆς ἑρμηνείας τῶν Ο, οὔτ' αὐτῆς τῆς ἑρμηνείας ἄλλοι κώδηκες καὶ ἐκδόσεις ἀσφαλέστεραι· καὶ ταῦτα μὲν ἐκεῖνος. Ἡ δὲ Κομπλούτειος ἔκδοσις μετετυπώθη ἐν τῇ Κομμελιανῇ τοῦ Βατάβλου Τριγλώττῳ (τῷ 1586), κἀν τῇ Βολδήρου Πολυγλώττῳ (τῷ 1596), κἀν τῇ Πολυγλώττῳ τῶν Παρισίων (τῷ 1645).

Β) Δευτέρα φέρεται τῶν Ο ἔκδοσις ἡ Ἄλδειος, ἢ Ἀλδίνα (ἀπὸ Ἄλδου τοῦ Μανουτίου), Ἐνετίησιν ἐκδοθεῖσα (τῷ 1518), Ἀνδρέου τοῦ Ἀσολανοῦ ἐπιστατοῦντος. Ἐγένετο δὲ ἐξ ἀρχαιοτάτων ἀντιγράφων· ἀλλ' (ὡς ἔκρινεν ὁ Γράβης) οὐχ ἑνὶ καὶ μόνῳ παρηκολούθησε πανταχοῦ ὁ ἐκδότης, ἀλλ' ἐκ πολλῶν ἀντιγράφων ἀναγνώσεις συνεπίλησεν εἰς ἕν. Ταύτην ὁ Μάσιος (ὡς προείδομεν σελ. 894) ἔκρινε παράδειγμα τῆς ἁπλῆς (ἤτοι τῆς Κοινῆς), καί τοι μὴ παντάπασι καθαρεῦον καί τινων ἀναγνωσμάτων ἐκ τοῦ Θεοδοτίωνος· ὅπερ Ὅλμης οὔ φησι. (Σὺ δὲ σημείωσαι, ἀναγνῶστα, τὴν διαφωνίαν τῶν κριτικῶν, ὧν οἱ μὲν τὴν Κομπλούτειον, οἱ δὲ τὴν Ἀλδίναν ὥρισαν παράδειγμα τῆς Κοινῆς). Ἐτυπώθη δὲ ἡ Ἀλδίνα καὶ ἐν Ἀργεντοράτῳ (τῷ 1526), καὶ ἐν Βασιλείᾳ, ἑλληνιστὶ (τῷ 1550). Ἀλλ' ἐν ταύταις ταῖς Γερμανικαῖς μετατυπώσεσιν οἱ καλοὶ ἐκδόται διενόθευσαν τὴν κατὰ τοὺς Ο τάξιν τῶν βιβλίων, καὶ κεφαλαίων, διαστρέψαντες αὐτὴν πρὸς τὴν τοῦ ἑβραϊκοῦ κειμένου διάταξιν, καὶ τὸν κανόνα τῆς Γερμανικῆς μεταφράσεως τοῦ Λουθήρου. Ἐτυπώθη δὲ ἡ Ἀλδίνα καὶ ἐν Φραγκοφούρτῳ (τῷ 1597) μετὰ διαφόρων ἀναγνώσεων, ἐν αἷς ὁ ἐκδότης (Φραγκῖσκος ὁ Ἰούνιος) ἀνέμιξε καὶ τὰς ἰδίας ἑαυτοῦ εἰκασίας. Ὅθεν τινὲς τῶν σοφῶν (ἐν οἷς καὶ Καπέλλιος) ἠπατήθησαν, ἐκλαβόντες καὶ ταύτας ὡς διαφόρους τῆς Γραφῆς ἀναγνώσεις. Καὶ χάρις τῷ τὴν πλάνην ταύτην ἐξελέγξαντι Σχαρφεμβέργῃ. Ὁ δὲ πολὺς Ὑσσέριος ἐνετρύφα πάντως ἐν ταῖς *Ἰουνιαναῖς* εἰκασίαις, ὡς ἂν οὔσαις τῆς Γραφῆς παραλλαγαῖς· μνημονεύει γὰρ καὶ τῆς Φραγκοφουρτείας ἐκδόσεως

(σελ. 84). Ἐν ᾗ πρός τισιν ἄλλοις, ἐσημείωσε καὶ ὅτι ἄρα εὕρηκεν ἐν τῷ Ἰὼβ (α, 17) ἀνάγνωσμα τοῦ Ἀκύλα τὸ, «*κεφαλὰς τρεῖς*» ἀντὶ τοῦ τῶν Ο «*ἀρχὰς τρεῖς*.». Ὅτι δὲ τοῦτ᾽ ἀπαραλλάκτως ἔχει καὶ ἡ Ἐνετίῃσι πρώτη τοῦ Ἄλδου ἔκδοσις, ἐσιώπησε. Προσθεὶς δὲ καί τινα γλωσσήματα, ὡς δῆθεν ἐκ τῆς ᾤας εἰς τὸ κείμενον εἰσπεσόντα (ὧν ἓν ἀπαριθμεῖ καὶ τὸ «*Σῶμα δὲ κατηρτίσω μοι*»! βλ. ὄπισ. σελ. 69), ἄπεισιν ὁ κλεινὸς Ὑσσέριος, *μακρὰ βιβὰς*, καὶ μεγαλαυχῶν, ὡς ἂν ἐκ τῶν τοιούτων ἀποδείξας καὶ κατ᾽ αὐτὴν τὴν Ἄλδειον ἔκδοσιν διόλου νενοθευμένον τὸ καθ᾽ ἡμᾶς κείμενον τῶν Ο! (α).

(α) Μεταξὺ τῶν ἄλλων μεταβολῶν, καθ᾽ ἃς καὶ ἡ Φραγκοφουρτεία μετεποίησε τὴν Ἀλδίναν, μετέβαλε καὶ μέγα μέρος τοῦ κδ᾽, κεφαλαίου τῶν Παροιμιῶν, ὅπου ἡ Ἀλδίνα συμφωνεῖ τῷ Βατικανῷ καὶ Ἀλεξανδρινῷ (συνάπτονται δ᾽ ἐν τούτῳ τῷ κεφαλαίῳ στίχοι τινὲς, οὓς ἔχει τὸ ἑβραϊκὸν ἐν τῷ κδ, καὶ λ, κεφαλαίῳ. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 445). Κατὰ τὸ ἑβραϊκὸν εἶχον καὶ οἱ λοιποὶ ἐν τοῖς Ἑξαπλοῖς. Καὶ ὁ Μοντεφαλκώνιος (ἐν Παροιμ. κδ, 21) γράφει· «Ἄ λ λ ο ς» (ψευδῶς· ἔστι δὲ σχόλιον ἀρχαῖον) «Ἐντεῦθεν ἐξήλλακται ἡ θέσις τῶν μεταξύ· καὶ μετὰ τὰ πρὸς τῷ τέλει, πρὸ τοῦ «γ υ ν α ῖ κ α ἀ ν δ ρ ε ί α ν» ταῦτα ἐφέρετο». (Hexapl. T. 2. p. 42). Ἐν δὲ τῇ βιβλιοθήκῃ τῆς ἐν Πάτμῳ ἱερᾶς μονῆς Ἰωάννου τοῦ Θεολόγου σῴζεται κώδηξ παλαιὸς, διάφορα τεμάχια φέρων ἐκ τῶν ἁγίων Πατέρων, ἐν ᾧ πρὸς τοῖς ἄλλοις γέγραπται (σελ. 186) καὶ μικρὸν ἀπόσπασμα ἀνωνύμων σχολίων εἰς τὰς Παροιμίας, τὸ ἑξῆς. «Σ χ ό λ ι α ε ἰ ς τ ὰ ς Π α ρ ο ι μ ί α ς. Ἀστερίσκος, Ὀβελός. Ὅσοις οἱ ὀβελοὶ πρόσκεινται ῥητοῖς, οὗτοι (οἱ τόποι) οὐκ ἔκειντο, οὔτε παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς, οὔτε ἐν τῷ ἑβραϊκῷ, ἀλλὰ παρὰ μόνοις τοῖς Ο· καὶ ὅσοις οἱ ἀστερίσκοι πρόσκεινται ῥητοῖς, οὗτοι ἐν μὲν τῷ ἑβραϊκῷ καὶ τοῖς λοιποῖς ἑρμηνευταῖς ἐφέροντο, ἐν δὲ τοῖς Ο, οὐκ εἰσι. Τὰ δ᾽ ἠ σ τ ε ρ ι σ μ έ ν α ἐ ν τ α υ τ ῷ κ α ὶ ὠ β ε λ ι σ μ έ ν α ῥητὰ φέρονται μὲν παρὰ τοῖς Ο, φέρονται δὲ καὶ ἐν τῷ ἑβραϊκῷ, καὶ παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς, τὴν θέσιν δὲ μόνον παραλλάττουσιν οἱ λοιποὶ καὶ τὸ ἑβραϊκὸν παρὰ τοὺς Ο. Ὅθεν ὠβέλισται ἐν ταὐτῷ καὶ ἠστέρισται, ὡς παρ᾽ ἅπασι μὲν φερόμενον, οὐκ ἐν τοῖς αὐτοῖς δὲ τόποις. Τὸ μὲν οὖν βιβλίον (τ ῶ ν Π α ρ ο ι μ ι ῶ ν) ἔχει κατὰ τὴν θέσιν καὶ ἀκολουθίαν τῶν Ο, σεσημείωται δὲ καὶ ἡ ἀκολουθία τῶν λοιπῶν, ὡς κεῖνται παρ᾽ αὐτοῖς τὰ ῥητά· καὶ ὅπου μὲν ἐν ὀλίγοις ῥητοῖς ἐγένετο αὐτοῖς ἡ ἐναλλαγὴ, δήλη ἐστὶν αὐτόθεν ἐκ τῶν παρακειμένων σημείων· ὅπου δὲ ἐν πλείοσιν, ἥτις καὶ ἐσχάτη ἐστὶ, ταύτην ἔχει παρὰ τοῖς λοιποῖς τὴν ἀκολουθίαν· Μετὰ τὸ «τ ὰ ς δ ὲ τ ι μ ω ρ ί α ς ἀ μ φ ο τ έ ρ ω ν τ ί ς γ ν ώ σ ε τ α ι;» (Παροιμ. κδ 22), συναπτῶς, «Τ α ῦ τ α δ ὲ λ έ γ ω ὑ μ ῖ ν τ ο ῖ ς σ ο φ ο ῖ ς ἐ π ι γ ι ν ώ σ κ ε ι ν» (κτλ. ὡς σεσημείωται κεφ. κδ, κε, κθ, ἐν τῷ Βατικανῷ ἐκδ. Bos). Εἶτα προστίθησι τὸ σχόλιον τὰ ἑξῆς « Ταῦτα δὲ

Εἰς τὴν Φραγκοφουρτείαν ἔκδοσιν ἀναφέρεται καὶ ἣν ἀπροσέκτως ἐξέδωκεν ὁ ἡμέτερος Νικόλαος ὁ Γλυκὺς, ὁ τυπογράφος (Ἐνετίῃσι, 1687, φύλ.). Καὶ ταύτην ὁ γλυκύτατος Νικόλαος ὁ Παπαδόπουλος (βλέπε τοῦτον ὄπισθ. σελ. 803) ὀνομάζει ἔκδοσιν φροντισθεῖσαν *ὑπὸ τῶν Φωτιανῶν*! (περὶ Μυσταγωγ. σελ. 289).

Γ) Τρίτη ἔκδοσίς ἐστιν ἡ *Ῥωμαία*, ἡ Βατικανὴ, ἐξ ἀρχαιοτάτου (ἀπὸ τοῦ Ε, κατ᾽ ἄλλους δὲ, τοῦ Δ. αἰῶνος) καὶ κρατίστου κώδηκος τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ, παλατίου τῆς Ῥώμης (α), ἐκδοθεῖσα τὸ πρῶτον τῷ 1587, ἐν Ῥώμῃ (φύλ.), ἑλληνιστὶ, μετὰ καὶ σχολίων ἀρχαίων ἑλληνικῶν, κελεύσματι τοῦ πάπα Σίξτου τοῦ Ε, καὶ φροντίσι τοῦ μακρῷ Ξιμένους διαφέροντος Καρδινάλεως, Ἀντωνίου τοῦ Καράφα, καὶ Φλαμινίου τοῦ Νοβιλίου καὶ ἄλλων. Ταύτης οἱ ἐκδόται ἐν τῷ προλόγῳ πρῶτον μὲν ὁμολογοῦσι τὴν ὑπεροχὴν καὶ τὸ κλέος τῆς ἑρμηνείας· «ὅτι δηλαδὴ σοφοὶ ἄνδρες Ο, Ἑβραῖοι, ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου, μεθηρμήνευσαν αὐτὴν, *πλήρεις πνεύματος ἁγίου*». Εἶτα δὲ διαγράφουσι καὶ τὰς ἰδιότητας τοῦ ἐκδιδομένου κώδηκος, καὶ τὴν ἀρχαιότητα, κρίνοντες αὐτὸν ἀρχαιότερον, ἢ πάντως οὐ νεώτερον τοῦ Ἱερωνύμου. Λέγουσι δὲ, καὶ ὅτι συνεχρήσαντο πρὸς τὴν ἔκδοσιν καὶ τῷ μνημονευθέντι τοῦ Βησσαρίωνος, καὶ ἄλλοις ἀντιγράφοις ἀρχαίοις, ἐξ ὧν ἀνεπλήρωσαν καὶ τὰ τοῦ κώδηκος ἐκπεπτωκότα κεφάλαια τῆς Γενέσεως (ἀπὸ τοῦ Α ἕως τοῦ ΜϚ), καὶ τοὺς ἀπὸ τοῦ ΡΕ, μέχρι τοῦ ΡΛΗ, λείποντας Ψαλμούς· ἐπαινεῖται δὲ ἡ τοῦ κώδηκος ἐκτύπωσις ὡς ἀκριβὴς, καί τοι μὴ καὶ παντελῶς ἄπτωτος, μηδ᾽ οὕτως ἐχυρὰ, ὥστε (καθὰ λέγουσιν οἱ ἐκδόται ἐν τῷ προλόγῳ) «μὴ δύνασθαι, *μηδ᾽ ὅσον ὄνυχος ἄκρον*, ἀποκλίνειν τοῦ κύρους τῆς βίβλου ταύτης», ὡς ἀπέδειξεν ὁ Γράβης

παρεθήκαμεν, ἵνα μὴ ἐμπίπτων τις τοιούτῳ ἀντιγράφῳ, δόξῃ τὸ βιβλίον ἐσφάλθαι ». — Ἐφεξῆς ἀκολουθοῦσι καὶ μικρὰ σχόλια ἐξηγητικὰ εἴς τινας στίχους τοῦ α, κεφαλ. τῶν Παροιμ. μέχρι τοῦ 18 στίχου. Ἐν δὲ τῷ τέλει τῶν σχολίων σεσημείωται καὶ ταῦτα (ὡς ἐν τῷ Μαρχαλείῳ) « Μετελήφθησαν ἀφ᾽ ὧν εὕρομεν Ἑξαπλῶν· καὶ πάλιν αὐτὰ χειρὶ » (ἴσ. λείπει τὸ, ἰδίᾳ) « Πάμφιλος καὶ Εὐσέβιος διωρθώσαντο ».

(α) Βλ. Hug, De antiquitate codicis Vaticani Comment. Friburg. 1809.

(ἐπις. πρὸς Μίλλιον) (α). Ἡ δ' αὐτὴ ἔκδοσις ἐτυπώθη καὶ 2) ὑπὸ τοῦ Μορίνου (τῷ 1628, Παρισ.) ἑλληνολατινιστὶ, μετὰ τῶν σχολίων. Καὶ 3), ἐν Λονδίνῳ (1657), ἐν τοῖς Πολυγλώττοις, ὑπὸ τοῦ περιωνύμου Βάλτωνος· ἴδε τῶν σοφῶν αὐτοῦ Προλεγομένων τὸ Θ κεφάλαιον. (Διαφέρει δὲ καὶ ταύτης καὶ τῆς Ῥωμαίας ἡ ἐν Λονδίνῳ πρότερον, τῷ 1653 ἑλληνιστὶ γενομένη ἔκδοσις, ὡς ἄλλα τέ τινα, καὶ περὶ τὴν τάξιν τῶν βιβλίων, καὶ τὸν ἀριθμὸν τῶν Ψαλμῶν πρὸς τὸ ἑβραϊκὸν μεταῤῥυθμισθεῖσα. βλ. Ὑσσέρ. Συντάγμ. κεφ. θ). 4) Ἐν Κανταβριγίᾳ, ἑλληνιστὶ (1665). 5) Ἐν Ἀμστελοδάμῳ (1683) ὑπὸ τοῦ σοφωτάτου Πήρσωνος (Pearson) μετὰ θαυμαστοῦ, καὶ τὴν αὐθεντίαν τῶν Ο διαγράφοντος, *παραινετικοῦ προλόγου* (χωρὶς ὅμως τῶν λεγομένων *Ἀποκρύφων*, καὶ μετὰ σφαλμάτων ἱκανῶν, εἰσρυέντων ἐξ ἀβλεψίας τοῦ περὶ τὴν τύπωσιν ἐπιστατήσαντος). 6) Ἐν Λειψίᾳ, ἑλληνιστὶ (τῷ 1697), ἐκ τῆς προτυπωθείσης ἐν Λονδίνῳ (τῷ 1653), προστεθέντων καὶ τῶν σχολίων τῆς Ῥωμαίας, καὶ τῶν παραλλήλων χωρίων τῆς Γραφῆς, μετὰ καὶ παραλλαγῶν. Φέρει δὲ καὶ πρόλογον, τήν τε παραδεδομένην ἱστορίαν, καὶ τὸ γνήσιον κλέος τῆς ἑρμηνείας διατρανοῦντα κατὰ τῶν πολεμίων, ἀξίως πολλαχοῦ τῆς πολυμαθείας τοῦ συντάξαντος αὐτὸν Ἰω. τοῦ *Φρικκίου* (καί τοι μὴ προσθέντος τὸ ἴδιον ὄνομα διὰ μετριοφροσύνην). Τὴν αὐτὴν ἔκδοσιν μετὰ τοῦ προλόγου (καὶ μάλιστα διὰ τὸν πρόλογον) μετετύπωσε τῷ 1822, καὶ ὁ ἡμέτερος Μιχαὴλ ὁ Γλυκὺς, τυπογράφος Ἐνετίῃσιν (ἐν τόμ. 3). 7) Τὸ Βατικανὸν ἐξεδόθη ἐπισήμως καὶ ἐν Φρανεκυήρᾳ (τῷ 1709) ὑπὸ Λαμβέρτου τοῦ Βόσου (Bos), μετὰ τῶν σχολίων τῆς Ῥωμαίας ἐκδόσεως, καὶ παραλλαγῶν ἐκ διαφόρων χειρογράφων κωδήκων, καὶ τριῶν ἐκδόσεων (Κομπλουτείας, Ἀλδίνης, Φραγκοφ.), καὶ τῶν ἐκ τῶν Ἑξαπλῶν σῳζομένων λειψάνων (Ἀκύλα, Συμμάχου, Θεοδοτίωνος, καὶ τῶν λοιπῶν ἑρμηνειῶν), καὶ μετὰ πολυμαθῶν προλεγομένων. Λέγει δ' ἐν τούτοις ὁ Βόσος, ὅτι τὸ κείμενον ἐτύπωσε καθαρὸν, ἐκ τῆς Ῥωμαίας ἐκδόσεως τοῦ Βατι-

(α) Πρβλ. S. De — Magistr. Δανιὴλ κατὰ τοὺς Ο. præf. p. 33. — Kennicot. Dissert. II. super. rat. etc. p. 391.

κανοῦ, ἐπεξεργασθὲν, καὶ τῶν τυπογραφικῶν σφαλμάτων ἐκκαθαρθέν· πλὴν ὅτι (λέγει) μόνα τὰ *Ἀπόκρυφα* μετετόπισεν εἰς τὴν πέζαν τῆς Βίβλου. (ὤφειλε δὲ ὅμως προσθεῖναι, ὅτι καὶ αὐτὸ τὸ *Ἀπόκρυφα* ἐπώνυμον ἐπέγραψε τοῖς τεύχεσιν αὐτὸς, ὅπερ οὐχ εὑρίσκεται ἐπιγεγραμμένον ἐν τῇ Ῥωμαίᾳ ἐκδόσει· ἀλλ' οὐδὲν ξένον, εἰ καὶ ταύτην τὴν ἐπωνυμίαν αὐτογνωμόνως προσέθηκε καὶ Βόσος, καὶ ἄλλοι πρότερον, ἐπειδὴ καὶ ἅπαξ ἐσφετερίσαντο τὴν ἐξουσίαν τοῦ μεταπλάττειν, μᾶλλον δὲ νοθεύειν, τὴν τῶν βιβλίων τάξιν, ἣν ἔχουσιν οἱ κώδηκες, ὧν τὴν μετ' ἀκριβείας ἔκδοσιν ἐπαγγέλλονται. βλ. ὄπισθ. σελ. 138). Ὁ δ' οὖν κλεινὸς Βόσος οὐδὲ τῇ Ῥωμαίᾳ τοῦ Βατικανοῦ ἐκδόσει φαίνεται κατακολουθήσας, ἀλλ' ἢ τῇ Παρισιανῇ τοῦ Μορίνου, ἢ τῇ Λονδινῇ τῆς Πολυγλώττου τοῦ Βάλτωνος, ἐξ ἧς προσέθηκε καὶ τὰς παραλλαγὰς, πολλαχοῦ τῶν τῆς Ῥωμαίας διαφερούσας, καὶ οὐ μετὰ πολλῆς ἐπιμελείας σεσημειωμένας· τοῦτ' αὐτὸ παρατηροῦσι καὶ περὶ τὰς ἐκ τοῦ Ἀλεξανδρινοῦ καὶ τοῦ Κοττονείου κώδηκος ἐκφερομένας ἀναγνώσεις (βλ. τὰ προλεγόμενα τῆς ὑπὸ Γράβου, καὶ πάλιν ὑπὸ Βρεϊτιγγήρου ἐκδόσεως τοῦ Ἀλεξανδρινοῦ, καὶ τὸν Φαβρίκιον ἔνθα ἀνωτέρω, σελ. 680). Ἐκ τῆς τοῦ Βόσου ταύτης ἐκδόσεως τῆς Φρανεκυρανῆς, ἐπήγασε καὶ ἡ ἐν Ἀμστελοδάμῳ (τῷ 1725) ὑπὸ Μιλλίου τυπωθεῖσα. 8) Τοῦ Βατικανοῦ τὸ κείμενον ἐξέδωκε καὶ Ῥεϊνέκιος ἐν Λειψίᾳ (1730 καὶ 1757). Οὕτω δὲ πιστῶς τῇ Ῥωμαίᾳ ἐκδόσει κατηκολούθησεν οὗτος, ὥστε οὐ μόνον ἐξ ἄλλων ἐκδόσεων τὸ κείμενον διεσκεύασεν, ἀλλὰ καὶ τὴν τάξιν τῶν βιβλίων, τῶν κεφαλαίων, τῶν στίχων μετέστρεψε πρὸς τὸ ἑβραϊκὸν καὶ τὴν γερμανικὴν μετάφρασιν τοῦ Λουθήρου. 9) Καὶ ἡ ἐν Χάλλῃ δὲ (τῷ 1759) τυπωθεῖσα οὐχ ἧττον ἀποπλανᾶται τῆς Ῥωμαίας ἐκδόσεως. 10) Ἐπαινεῖται δὲ ἡ τοῦ Φανέσσου (Van Ess) ἐκδοθεῖσα ἐν Λειψίᾳ (τῷ 1824). Ἀλλ' ἐφάνη, τέλος, ἡ λαμπρὰ τοῦ Βατικανοῦ ἔκδοσις (1798-1827), ἣν Ὅλμης μετὰ κλέους ἐφιλοπόνησεν, ὡς προείπομεν (σελ. 898) (α). Καὶ ταῦτα μὲν περὶ τῶν ἐπισημοτέρων ἐκδόσεων τοῦ Βατικανοῦ.

(α) Ἔτι κατὰ τὸ 1839 διεφημίσθη φιλοπονῶν ἐν Ῥώμῃ ὁ Καρδινάλις Μάϊος

Τὸ δὲ τούτου κείμενον Γράβης μὲν ἔκρινε τὸ αὐτὸ καὶ τῆς Ἡσυχίου ἐκδόσεως, Μάσιος δὲ τοῦτο « τὴν τῶν Ο ἑρμηνείαν αὐτὴν εἶναι λέγει, τὴν Κοινὴν ἐπικεκλημένην, πάσης ἄλλης μεταφράσεως ἄκρατον, πλὴν μόνον ὀλίγῳ (λέγει) χρανθεῖσαν ὑπὸ τοῦ σπουδάσαντος περὶ τὴν διόρθωσιν αὐτῆς Λουκιανοῦ »(Σημ. εἰς Ἰησοῦν). Καὶ θέλει λοιπὸν ὁ Μάσιος τὸ Βατικανὸν τὸ αὐτὸ καὶ τὴν Λουκιανίδα, καὶ Κοινὴν, καὶ (παρὰ μικρὸν) αὐτὴν τὴν ἑρμηνείαν τῶν Ο (α). Πολὺ δὲ τοῦ Μασίου λαμπροτέραν ὁ Μορῖνος ἐξήνεγκε κρίσιν περὶ τοῦ Βατικανοῦ (κατὰ τὴν Ῥωμαίαν ἔκδοσιν), θαυμαστὸν ἔργον αὐτὸ καλέσας, καὶ τῷ ὄντι θεῖον (ὡς ἐκ θείας ἐπιπνοίας ἡρμηνευκότας τοὺς Ο καὶ αὐτὸς ὁμολογῶν), καὶ αὐτὴν ἐκείνην τὴν ἑρμηνείαν τῶν Ο, ἀπὸ πάντων σφαλμάτων καὶ παρεισφρήσεων καθαρθεῖσαν (ὅσον ἔνεστι), καὶ εἰς τὴν πρωτότυπον καλλονὴν καὶ ἀκεραιότητ' ἐπαναχθεῖσαν (β). Ἐπευφήμησαν δὲ καὶ ἄλλοι. Οὐόσσιος δὲ τἀνάπαλιν ἄγαν διεφθαρμένον ἀπεφήνατο τὸ Βατικανὸν (κατὰ τὴν Ῥωμαίαν ἔκδοσιν) (γ). Καὶ Γράβης ὡσαύτως (πρὸς Μίλλιον).

νέαν ἔκδοσιν τοῦ Βατικανοῦ χειρογράφου, ὅπερ, ἀφ' οὗ τὸ πρῶτον ἐξεδόθη, οὐκέτι τῶν θνητῶν οὐδεὶς ἀντέβαλεν, (ὡς ὁ Θήρσιος βεβαιοῖ, De Pentat. Version. Alexandr. σελ. 16). Κατὰ δὲ τὸ 1846, ἐπληροφορήθημεν ἀποπερατωθεῖσαν μὲν τὴν ἔκδοσιν, ἀλλ' οὐ διακοινωθεῖσαν· οὐδ' εἰσέτι καὶ νῦν (φασι) διεκοινώθη. Καὶ εἴθε τάχιον. Μνημονεύει δὲ τῆς ἐκδόσεως ταύτης καὶ Ὅρνος ἁπλῶς (Introduct. vol. 2. part. 2. p. 42).

(α) Ὅθεν καὶ Ὑσσέριος (de LXX. p. 87) δραξάμενος ἀφορμῆς (πρὸς ἔλεγχον τῶν Ο) ἐσημείωσε τινὰς παραλλαγὰς ἐκ τῆς Ῥωμαίας ἐκδόσεως τοῦ Βατικανοῦ, διαφερούσας πρὸς ἃς (φησι) τὰ Σχόλια τοῦ Βαρβερίνου κώδηκος ἐκφέρουσιν ὡς τοῦ Λουκιανοῦ· ἐπιγέγραπται γὰρ αὐταῖς τὸ μονόγραμμα Λ. Καὶ τοῦτο, κατὰ τὸν Ὑσσέριον (καὶ τὸν ἐν τοῖς πλείστοις αὐτοῦ μεταγραφέα Ὅδιον) σημαίνει τὸ Λουκιανός. Καὶ ὅμως τὸ μονόγραμμα σημαίνει τὸ Λοιποὶ (τουτ. οἱ λοιποὶ, οἱ Γ. δηλονότι Α. Σ. Θ), ὡς γράφεται καὶ ὁλόκληρος ἡ λέξις πολλαχοῦ τῶν Ἑξαπλῶν, καὶ ὡς τρανῶς ἀπέδειξεν ὁ Montfaucon (Præl. in Hexapl. p. 66). Ὥστε σημειῶν τὰς διαφορὰς ὁ Ὑσσέριος, ἠγνόει ἀντιγράφων τ' ἀναγνώσματα τῶν λοιπῶν, τῶν τριῶν ἑρμηνευτῶν, ὡς δῆθεν διορθώματα τοῦ 200, περίπου ἐνιαυτοῖς νεωτέρου ἐκείνων Λουκιανοῦ.

(β) J. Morin. Exercit. Bibl. L. I. Exerc. 9. cap. 1. §. 8, 9-12. πρβλ. Bos proleg. cap. 2. — Walt. Proleg. IX. §. 30.

(γ) Vossij De LXX. p. 56, 78.

Ἀλλ' ὅτι μὲν τὸ Βατικανόν ἐστιν ἐπισημότατον, ἀπέδειξεν Ὅλμης ἐν τῇ κατ' αὐτὸν ἐκδόσει· ἔχει δὲ ὅμως καί τινας ἐλλείψεις προσκειμένας ἐκ τῶν βιβλιογράφων (τὰς δ' ἐκ τῶν ἐκδοτῶν παραλείπομεν), καὶ διαφορὰς ἀναγνώσεων, μηδὲν πρὸς τὴν ὁλοκληρίαν καὶ γνησιότητα τοῦ ἱεροῦ τῶν Ο, κειμένου λογιζομένας, καὶ πολλαχοῦ ῥᾳδίως θεραπευομένας ἔκ τε τῆς τῶν ἄλλων ἐκδόσεων (καὶ μάλιστα τοῦ Ἀλεξανδρινοῦ), καὶ τῆς τῶν Πατέρων περὶ τοὺς αὐτοὺς τόπους συμφωνίας (α).

Δ) Τετάρτη, τέλος, ἔκδοσις, καὶ πασῶν τῶν ἄλλων ἐπισημοτάτη κρίνεται ἡ τοῦ Ἀλεξανδρινοῦ χειρογράφου. Κύριλλος ὁ πρῴην Ἀλεξανδρείας, εἶτα δὲ Κωνσταντινουπόλεως Οἰκουμενικὸς Πατριάρχης, ὁ Λούκαρις, ἔφερε μεθ' ἑαυτοῦ ἐκ τῆς Ἀλεξανδρείας εἰς Κωνσταντινούπολιν ἀρχαιότατον τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης ἀντίγραφον. Κἀκεῖθεν ἀπέστειλε τοῦτο δῶρον πρὸς τὸν εὐκλεέστατον βασιλέα τῆς Ἀγγλίας Κάρολον τὸν Α, καὶ νῦν ἤδη διαπρέπει μεταξὺ τῶν ἐν Λονδίνῳ πολυπληθῶν καὶ πολυτιμοτάτων τῆς θείας καὶ ἀνθρωπίνης σοφίας θησαυρισμάτων· κέκριται δὲ τὸ χειρόγραφον τοῦ Δ, αἰῶνος. (Ὁ δὲ Μοντεφαλκώνιος, Παλαιογρ. σελ. 185, καὶ Ὅλμης, περὶ τὸ τέλος τοῦ Ε, αἰῶνος αὐτὸ κατήγαγον, οὐ δίκαια ψηφίσαντες)· ὡς ἔκ τε τῶν ἐσωτερικῶν ἀναφαίνεται χαρακτήρων (β), καὶ ἐκ τῆς ἰδιογράφου μαρτυρίας αὐτοῦ τοῦ δωρητοῦ Πατριάρχου (γ). Ἐκ

(α) Οὕτω, φέρ' εἰπεῖν, τὸ «Θεὸς ἰσχυρὸς» κτλ. λεῖπον ἐκ τοῦ Βατικανοῦ, ἀναπληροῦται ἔκ τε τοῦ Ἀλεξανδρινοῦ, καὶ τῆς Ἄλδου ἐκδόσεως, κυρούμενον καὶ ταῖς τῶν Πατέρων μαρτυρίαις, βλ. ὄπισθ. σελ. 519. πρβλ. καὶ Bonfrer. Præloq. c. xvi. sect. 8.

(β) Βλ. Dietelmaier. Antiquit. codic. Alexandr. §. 7. 8. Halæ, 1739. — Baber, Prolegom. in Vet. Tert. Græc. p. 24.

(γ) Ἐν τῇ ἀρχῇ τοῦ Κώδηκος ἀναγινώσκονται τὰ ἑξῆς Κυρίλλου τοῦ Λουκάρεως τοῦ Πατριάρχου ἰδιόχειρα γράμματα, λατινιστὶ γεγραμμένα. Λέγει δὲ καθ' Ἕλληνας ταῦτα. «Αὕτη ἡ βίβλος τῆς ἱερᾶς Γραφῆς τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, ὡς ἐκ παραδόσεως ἔχομεν, γέγραπται χειρὶ Θέκλης, εὐγενοῦς γυναικὸς Αἰγυπτίας, πρὸ χιλίων καὶ τριακοσίων περίπου ἐτῶν, μικρῷ μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον» (τὴν Α). «Τὸ ὄνομα τῆς Θέκλης ὑπῆρχεν ἐν τῷ τέλει τῆς βίβλου κεχαραγμένον, ἀλλὰ σβεσθέντος τοῦ Χριστιανισμοῦ ἐν Αἰγύπτῳ,..

τούτου τοῦ Ἀλεξανδρινοῦ χειρογράφου μόνης τῆς Παλαιᾶς Διαθήκης κατὰ τοὺς Ο, πλήρης καὶ ἀξιόλογος ἔκδοσις ἀνεφάνη τὸ πρῶτον ἑλληνιστὶ ἐν Ὀξωνίῳ (τῷ 1707-1720) ἐν τόμοις τέσσαρσι, μετὰ σοφῶν προλεγομένων. Καὶ τοὺς μὲν δύω τόμους (τὸν Α καὶ τὸν Δ) ἐξέδοτο Γράβης ὁ κλεινός· τοὺς δὲ δύω μέσους (μετὰ τὴν Γράβου τελευτὴν) ἐξέδοτο Λέης (Δῆς) μετ᾽ ἄλλου συνεργάτου ἀνωνύμου. Καλεῖται δὲ ἡ ἔκδοσις αὕτη *Ἀλεξανδρινὴ* κυρίως διὰ τὸ Ἀλεξανδρινὸν χειρόγραφον (κατὰ δέ τινας τῶν νεωτέρων, καὶ ὡς παριστάνουσα τὴν κατ᾽ Ἀλεξάνδρειαν ὑπὸ Ἡσυχίου ἔκδοσιν τοῦ κειμένου τῶν Ο· ἡ δ᾽ αὐτὴ καὶ *Ὀξωνία*, καὶ *Γραβιανὴ* παρά τισι τῶν Εὐρωπαίων ἤκουσεν, ὡς ἐκ τοῦ τόπου καὶ τοῦ ἐκδό-

---

καὶ τὰ βιβλία συνάμα, τὰ τῶν Χριστιανῶν, εἰς ὁμοίαν κατήντησαν κατάστασιν. Ἀπέσβεσται τοίνυν καὶ τὸ τῆς Θέκλης ὄνομα καὶ ἀπεσπαράχθη, ἀλλ᾽ ἡ μνήμη καὶ ἡ παράδοσις νεάζον τοῦτο διατηρεῖ. Κύριλλος, ὁ Κωνσταντινουπόλεως Πατριάρχης». — Ἴδε καὶ αὐτὴν τὴν λατινικὴν ἐπιγραφὴν ἔν τε τοῖς προλεγομένοις τοῦ Βάλτωνος (Θ. §. 34), καὶ ἐν τῷ προλόγῳ τῆς ὑπὸ τοῦ Γράβου ἐκδόσεως τοῦ ἱεροῦ τούτου κώδηκος (κεφ. α. §. 4). Οἴεται δὲ ὁ Γράβης τὴν Θέκλαν ταύτην εἶναι τὴν αὐτήν, ἧς καὶ ὁ θεῖος Γρηγόριος ὁ Ναζιανζηνὸς μετ᾽ ἐπαίνων μνημονεύει ἐν τρισὶ πρὸς αὐτὴν ἐπιστολαῖς (200, 201, 202. Τόμ. α. σελ. 897 κτλ.). ἣν καὶ ὡς παρθενῶνος (γυναικῶν μοναστηρίου) προϊσταμένην ὁ Γράβης ἐκλαμβάνει, πάντα ταῦτα πιθανώτατα λέγων. Ἠπατήθη δὲ μόνον, παραγαγὼν καὶ ἄλλην μαρτυρίαν ἐκ τῆς βιογραφίας τοῦ θείου Γρηγορίου, ἐξ ἧς ἔκρινεν, ὅτι ὁ Παρθενὼν τῆς Θέκλης ταύτης ὑπῆρχε κατὰ τὴν Σελεύκειαν· λέγει γὰρ ὁ βιογράφος, ὅτι «Τῆς Ἐκκλησίας (ὁ Γρηγόριος) ὑπανεχώρησε, καὶ καταλαβὼν τὴν Σελεύκειαν, τῷ παρθενῶνι τῆς πανάγνου Θέκλης ἐνδιαιτᾶται». Τὰ δ᾽ αὐτά (φησιν ὁ Γράβης) καὶ αὐτὸς ὁ Γρηγόριος ἐν τῷ βίῳ αὐτοῦ λέγει· «Πρῶτον μὲν ἦλθον εἰς Σελεύκειαν, φυγὰς — τὸν παρθενῶνα τῆς ἀοιδίμου κόρης, Θέκλης» κτλ. (Τόμ. β. σελ. 9). Ἀλλ᾽ αὐτὰ τὰ ἐπίθετα, τὰ πάναγνος, καὶ ἀοίδιμος κόρη διδάσκουσι σαφῶς, ὅτι ὁ λόγος ἀναφέρει τὴν ἐπὶ τοῦ Ἀποστόλου Παύλου πρωτομάρτυρα Θέκλαν (καὶ ταύτην οὐκ Αἰγυπτίαν, ἀλλ᾽ ἐξ Ἰκονίου), ἧς ἐπώνυμος ναὸς καὶ παρθενὼν ὑπῆρχεν ἐν Σελευκείᾳ (ὡς ὁ ἅγιος Βασίλειος ὁ Σελευκείας ἱστορεῖ πολλαχοῦ ἐν βίῳ Θέκλης, οἷον ἐν Βιβ. Α, σελ. 276. Β, 299 κτλ.)· καὶ αὐτοῦ κατέφυγεν ὁ θεολόγος Πατὴρ (μέμνηται δὲ τῆς πρωτομάρτυρος καὶ ἀλλαχοῦ· οἷον, Λόγ. εἰς τὸν Μ. Ἀθανάσιον, καὶ Στηλιτ. α, κτλ.). Ἄλλη δὲ πάντως ἦν ἡ ἐπ᾽ αὐτοῦ, πρὸς ἣν ἐπέστειλε, Θέκλα· καὶ αὕτη (κατὰ τὸν Λεύκαριν) Αἰγυπτία, ἥτις ἔγραψε τὸν Ἀλεξανδρινὸν κώδηκα.

του (α). Καὶ ὅτι μὲν τὸ Ἀλεξανδρινὸν χειρόγραφον ὑπερέχει κατὰ τὴν ἀξίαν τοῦ Βατικανοῦ, διὰ πολλῶν ἀπέδειξε Γράϐης ἐν τοῖς προλεγομένοις· καὶ ἡ ἔκδοσις ἐγένετο μετὰ πλείστης ἐπιμελείας. Ἐπειδὴ δὲ ὑπέλαβεν ὁ Γράϐης, ὅτι τὸ κείμενον τοῦ Ἀλεξανδρινοῦ τούτου χειρογράφου πλησιάζει μάλιστα πρὸς τὴν Ὠριγένους ἀρχαίαν ἔκδοσιν τῶν Ἑξαπλῶν, ἐχρήσατο καὶ τοῖς Ὠριγενείοις σημείοις, τῷ ὀβελῷ μάλιςα, καὶ τῷ ἀστερίσκῳ μετὰ καὶ τῶν προσθηκῶν, γράμμασι λεπτοτέροις ἐγγραφομένων (ἵνα τὸ τοῦ χειρογράφου κείμενον ἀμιγὲς διατηρῆται) ἔν τε τοῖς ὑπὸ χρόνου διεφθορόσι καὶ ἐκπεπτωκόσι τόποις τῆς Πεντατεύχου τοῦ χειρογράφου (οὓς ἀνεπλήρωσεν ἐξ ἄλλου κώδηκος νομιζομένου τῶν Ἑξαπλῶν), καὶ ἐν ἄλλοις χωρίοις, ὅπου κέκρικεν ἀναγκαῖον. Δηλοῖ δὲ περὶ τῶν τοιούτων αὐτὸς, σημαίνων καὶ τοὺς τόπους, ἐξ ὧν ὡδηγεῖτο πρὸς τὴν καταγραφὴν τῶν σημείων (Προλεγόμ. κεφ. β. §. 9, 10)· καὶ τὰ κριθέντα δὲ παρ' αὐτοῦ σφάλματα τοῦ μεταγραφέως διώρθου ἐν τῷ κειμένῳ, γράμμασιν ὡσαύτως λεπτοτέροις ἐγκαταχωρίζων τὴν λέξιν τὴν ὀρθοτέραν, τὴν δ' ἐσφαλμένην ἐν τῇ ᾤᾳ παρατιθείς. Ἀλλ' ἐν τούτοις καί τινα παροράματα κατεῖδον οἱ κριτικοί (ϐ). Ἔστι γὰρ ὅπου, ἐκ βίϐλων οὐ τῶν ἀκριϐεστέρων, ἢ καὶ ἐξ ἰδίας εἰκασίας, ἐνέγραψεν ἐν τῷ κειμένῳ τὴν χείρονα λέξιν, ἐκϐαλὼν ἐπὶ τῆς ᾤας (τοῦ περισελίδου) τὴν βελτίονα καὶ ὀρθοτέραν· ἐνιαχοῦ δὲ καὶ οὐδ' ἐπὶ τῆς ᾤας αὐτὴν προσέγραψεν, ἐκλαθόμενος. Καὶ περὶ τὰ σημεῖα δὲ περιττότερος ἔν τισι χωρίοις ἐφάνη (γ), σφόδρα πιστεύσας τῷ νῦν ἑϐραϊκῷ, πρὸς ὃ διέφερε τὸ κατ' Ὠριγένην, ἐξ οὗ παρετίθη τὰ σημεῖα ἐκεῖνος, ὡς παρετήρησεν Ἀμερσφῶρδος (σελ. 32). Τῆς Γραϐίου ταύτης ἐκδόσεως τὸ κείμενον ἐξέδωκε καὶ ὁ προῤῥηθεὶς Ῥεϊνέκιος ἐν τῇ κατὰ τὸ 1713 ἐν Λειψίᾳ ἀρξαμένῃ, καὶ μόλις τὸ 1750 διαπεραιωθείσῃ

(α) Βλ. Stroth in Eichhorns Repertor. für bib. und morg. Literat. 6. Bd. p. 126. — Fabr. l. c. p. 681.

(ϐ) Fabric. ibid. — (ϐ) Βλ. ὄπισθ. Βιϐλ. Γ. σελ. 451, 545, 553 κτλ.

ἐκδόσει τῆς κατ᾽ αὐτὸν Τετραγλώσσου (α). Τὴν αὐτὴν Γραβιανὴν ἔκδοσιν, μικρὰ μεταβαλὼν, ἐξέδωκε καὶ ὁ σοφὸς Βρεϊτιγγῆρος ἐν Τιγυρίῳ (τῷ 1730-1732), ἐν τόμοις τέτρασι, προσθεὶς ἐν τῇ πέζᾳ ἑκάστης σελίδος καὶ τὰς διαφόρους ἀναγνώσεις τοῦ κατὰ τὴν Ῥωμαίαν ἔκδοσιν Βατικανοῦ κειμένου, καὶ καταστρώσας ὑπὸ τὰς ὄψεις τοῦ ἀναγνώστου τὴν μεταξὺ τῶν ἀρχαιοτάτων καὶ διασημοτάτων δύω τούτων ἀντιγράφων περί τινας ἀναγνώσεις φαινομένην διαφοράν. Πρὸς δὲ τοῖς ἐν τῷ Α, τόμῳ τῆς τοῦ Γράβου ἐκδόσεως φερομένοις προλεγομένοις, προσέθηκε καὶ τὰ ἑαυτοῦ, ἐν οἷς τό τε κῦρος τῆς ἑρμηνείας τῶν Ο διακηρύττει, ἀναιρεῖ δὲ καὶ τὰς ὑπὸ Βόσου καὶ ἄλλων κατὰ τῆς αὐθεντίας τοῦ Ἀλεξανδρινοῦ κειμένου ἐπενεχθείσας κατηγορίας (β). Ἤδη δὲ πρὸ εἴκοσι περίπου ἐτῶν (τῷ 1816-1828) Ἐῤῥῖκος ὁ Βάβερος ἐξέδωκεν ἐν Λονδίνῳ τὴν μεγαλοπρεπεστάτην τοῦ Ἀλεξανδρινοῦ κώδηκος ἔκδοσιν, *πανομοιόγραφον*, ἢ *πανομοιότυπον* (fac-simile), ἐν τόμοις τέσσαρσιν (εἰς φύλλ.), ὧν οἱ τρεῖς περιέχουσι τὸ κείμενον τῶν Ο, ὁ δὲ τέταρτος τὰς σημειώσεις καὶ τὰ προλεγόμενα (ἐξέδωκε δὲ μόνον 250 σώματα, ἐν οἷς καὶ 10 ἐν λαμπρᾷ μεμβράνῃ περγαμηνῇ· ἡ δὲ Καινὴ Διαθήκη τοῦ Ἀλεξανδρινοῦ ὑπῆρχεν ἤδη προεκδεδομένη παρομοίως *πανομοιόγραφος*, ὑπὸ Βοΐδου τῷ 1786). Κατὰ δὲ τὸ 1821 ἐξεδόθησαν ἐν Μόσχᾳ δαπάνῃ τῶν ἀοιδίμων Ζωσιμάδων τὰ *Βιβλία τῆς θείας Γραφῆς*· τὰ μὲν τῆς Παλαιᾶς, κατὰ τὸ ἀρχαῖον ἀλεξανδρινὸν χειρόγραφον (ἐκ τῆς ἐκδόσεως τοῦ Γράβου), τὰ δὲ τῆς Καινῆς, ἐξ ἄλλης ἐκδόσεως (γ). Καὶ αὗται μὲν τοῦ Ἀλεξανδρινοῦ χειρογράφου αἱ ἐκδόσεις. Περὶ δὲ τῆς ἰδιότη-

---

(α) Βλ. Fabric. l. c. pag. 682.

(β) Τοὺς περὶ τοῦ Ἀλεξανδρινοῦ κώδηκος πλατύτερον διαλαβόντας ἐξέθηκεν ὁ Στρόθιος (Stroth in Eichhorn's Repertorium etc. 5, Bd. p. 97—104).

(γ) Τῆς ἐν Μόσχᾳ ἐκδόσεως τῆς Παλαιᾶς Γραφῆς μετατύπωσις ἐκδίδοται ἤδη ἐν Ἀθήναις δαπάνῃ τῆς ἐν Ἀγγλίᾳ ἑταιρείας, τῆς πρὸς διάδοσιν τῆς Χριστιανικῆς παιδείας, ἵνα διανεμηθῇ τοῖς κληρικοῖς Ἕλλησι δωρεάν· ἐξεδόθησαν δὲ ἤδη τόμοι δύω, ὁ Α, τῷ 1843, καὶ ὁ Β, τῷ 1846.

τος τοῦ κατ' αὐτὸ κειμένου, καὶ τῶν ἄλλων δὲ τῶν ἐν ταῖς προτεταγμέναις ἐκδόσεσιν ἀρχαίων ἀντιγράφων, ἐπαναλαμβάνομεν συνοπτικώτερον τὰ ἑξῆς.

§. ιζ. Τὸ κείμενον τὸ Ἀλεξανδρινὸν ὁ μὲν Μοντεφαλκώνιος, καὶ Γράβης, ὡς εἴπομεν, ὑπέλαβον παράδειγμα τοῦ ἐν τοῖς Ἑξαπλοῖς κειμένου τῶν Ο. Ὅλμης δὲ μετ' Ἀμερσφώρδου (σελ. 135) μᾶλλον ἔκρινε τοῦτο (καὶ μάλιστα κατὰ τὴν Πεντάτευχον) ἐκ τοῦ κειμένου τῶν Τετραπλῶν, καὶ τῶν φερομένων τετραπλαίων ἀντιγράφων τὸ κράτιστον, καὶ σύμφωνον δὲ πρὸς τὸ πάντων τῶν γνωστῶν κωδήκων (καὶ αὐτοῦ τοῦ Βατικανοῦ καὶ τοῦ Ἀλεξανδρινοῦ) ἀρχαιότατον παρὰ τοῖς πλείστοις κριθὲν (μηκέτι δὲ, κατὰ δυστυχίαν, σῳζόμενον), τὸ *Κοττόνειον* ἀπόγραφον τῆς Γενέσεως. Ὁ δὲ κλεινὸς Οὐόσσιος τῆς Ἡσυχίου ἐκδόσεως ἔκρινε τὸ *Ἀλεξανδρινόν*· τοῦτο φρονοῦσι καὶ οἱ τὴν τοῦ κώδηκος ἐπωνυμίαν παράγοντες καὶ ὡς ἐκ τῆς ἐν *Ἀλεξανδρείᾳ* γενομένης ἐκδόσεως τοῦ Ἡσυχίου (ὡς προείπομεν ἀνωτέρω)· μαρτυροῦσι δὲ καὶ αὐτοῦ τοῦ κώδηκος τὰ γενέθλια. Τὴν δὲ πάλιν Ἡσυχίου ἔκδοσιν ταυτίζουσι πολλοὶ πρὸς τὴν Λουκιανίδα, καὶ ταύτην Ἱερώνυμος τὴν αὐτὴν καὶ τὴν Κοινὴν ὁμολογήσας, ἐγκαθίδρυσεν ἐν Κωνςαντινουπόλει καὶ ταῖς μέχρι Παλαιςίνης καὶ τῆς Αἰγύπτου χώραις τῆς Ἀσίας. Ὥςε κατά τε τὴν γνώμην τῶν Κριτικῶν, καὶ τὴν μαρτυρίαν τῶν αὐτοῦ τοῦ Ἀλεξανδρινοῦ κώδηκος γενεθλίων, ἡ αὐτὴ λοιπὸν ἔκδοσις ἀνεγινώσκετο καὶ ἐν Ἀλεξανδρείᾳ καὶ τῇ Αἰγύπτῳ, ἡ Ἡσυχιὰς, καὶ Λουκιανὶς, καὶ Κοινή. Ἐπειδὴ δὲ καὶ Κωνσταντῖνος ὁ μέγας μετέφερεν ἐν Κωνσταντινουπόλει τὰ παρ' Εὐσεβίου κατασκευασθέντα ἐκ τῆς Παλαιστινῆς, ἢ Τετραπλαίας ἐκδόσεως ἀντίγραφα, συμφωνοῦντα πάντως πρὸς ἃ μετέφερεν εἰς Ῥώμην ὁ Κώνστας διὰ τοῦ Μ. Ἀθανασίου ἐκ τῆς Ἀλεξανδρινῆς, τῆς αὐτῆς καὶ Ἡσυχιάδος (ὄπισθ. σελ. 887), ἀποδείκνυται ἄρα καὶ ἐντεῦθεν, ὅτι καὶ τὰ Παλαιστινὰ Τετραπλαῖα τῶν ἀντιγράφων συνεφώνουν πρὸς τὰ τῆς Ἡσυχιάδος, καὶ Λουκιανίδος τῆς αὐτῆς καὶ τῆς Κοινῆς. Καὶ ἀνεγίνωσκεν ἄρα καὶ ἐπὶ Ἱερωνύμου ἡ Ἐκκλησία πανταχοῦ μίαν καὶ τὴν αὐτὴν ἑρμηνείαν τῶν Ο, τὴν Κοινὴν,

μηδὲν ἐν ταῖς τρισὶν αὐτῆς ἐκδόσεσι καίριον διαφέρουσαν. Ἀλλὰ καὶ ὡς ἐκ τῶν ἐν τύποις καθ' ἡμᾶς φερομένων ἐκδόσεων, τὸ τοῦ Ἄλδου κείμενον εἰς τὴν Κοινὴν οἱ κριτικοὶ ἀναφέρουσι, τὴν αὐτὴν καὶ Λουκιανίδα. Συγγενὲς δὲ τῆς Ἀλδίνης εἶπον καὶ τὸ κείμενον τῆς ἐν τῇ Σειρᾷ τῶν ΝΑ Πατέρων ὑπὸ τοῦ ἡμετέρου Θεοτόκη ἐκ δύω Κωνσταντινουπολιτῶν κωδήκων ἐκδεδομένης Ὀκτατεύχου (βλ. ὄπισθ. σελ. 889, καὶ 894)· οἱ δὲ ταύτην εὕρηκαν μικρῷ διαφέρουσαν τῆς Ῥωμαίας ἐκδόσεως τοῦ Βατικανοῦ (α). Ἀλλὰ καὶ αὐτὸ τὸ Βατικανὸν, τέκνον τῆς Κοινῆς ἐκδόσεως ἔκριναν· οἱ δὲ, τῆς Ἡσυχιάδος (βλ. ὄπισθ. σελ. 906). Τῆς Ἡσυχιάδος εἶπον ἀνωτέρω καὶ τὸ Ἀλεξανδρινόν· πολλὴ δὲ καὶ νῦν ἡ τούτου συμφωνία πρὸς τὸ Βατικανὸν (αἱ δ' ἐμφαινόμεναι κοῦφαι διαφοραὶ μόνον ἐν τρισὶ τεύχεσι μάλιστα συναντῶσιν, ὡς ὁ Βάλτων ἐσημείωσε. Προλεγ. θ. §. 33). Ἀλλὰ καὶ τὸ τῆς Κομπλουτείας (ὁλικῶς ἐν γένει θεωρούμενον), παράδειγμα κρίνουσι τῆς Κοινῆς· οἱ δὲ, τῆς Ἡσυχίου συνάμα καὶ τοῦ Λουκιανοῦ (ὄπισθ. σελ. 901). Ὥστε καὶ ἐκ τῶν ποικίλων τούτων γνωμῶν τῶν κριτικῶν ἀποδείκνυται τρανῶς ἡ ἁπλῆ καὶ ἀναλλοίωτος ἀλήθεια· ὅτι καὶ ἐν τοῖς ἀρχαίοις ἐκείνοις χειρογράφοις, ἐξ ὧν ἡ Κομπλούτειος, καὶ ἐξ ὧν ἡ ἀρχαϊκὴ καὶ παντὸς ἀξία λόγου, ἡ Ἄλδειος, ἐκδέδοται, καὶ ἐν αὐτοῖς δὲ, τέλος, τοῖς ἐπισημοτάτοις ἀντιγράφοις τοῦ Βατικανοῦ καὶ Ἀλεξανδρινοῦ κειμένου, μία καὶ μόνη κρατεῖ ἑρμηνεία τῶν Ο, ἡ Κοινὴ καὶ γνησία καὶ ἀδιάφθορος, ὁπωσδήποτ' ἂν ἐκ τῶν ἐκδόσεων ἐπονομασθῇ.

(α) Βλ. Fabr. Bib. Gr. T. 3. σελ. 682. sq. Harl. ὅπου, ὁ Σχαρφεμβέργης διαλαμβάνει καὶ περὶ τῶν κατὰ μέρος ἐκδοθέντων τευχῶν τινων τῶν Ο· ἐν οἷς καὶ περὶ τῆς ἐν τῇ τοῦ Νικήτα Σειρᾷ ἐκδόσεως τοῦ Ἰὼβ (συμφώνου τῇ Ῥωμαίᾳ τοῦ Βατικανοῦ), καὶ τῆς ἐν τῇ Σειρᾷ τοῦ Κορδερίου ἐκδόσεως τῶν Ψαλμῶν, καὶ τῆς ὑπὸ Μασίου ἐκδόσεως τοῦ Ἰησοῦ (καθ' ἣν περὶ πολλὰ σφαλέντα τὸν Μάσιον ὅ,τε Μοντεφαλκώνιος καὶ ὁ Γράβης ἔκριναν), καὶ τῆς μετὰ τῶν Προκοπίου σχολίων ὑπὸ Κυρτερίου, συμφώνως πρὸς τὰ Ἑξαπλᾶ τοῦ Μαρχαλείου κώδηκος, ἐκδόσεως τοῦ Ἡσαΐου. (Ὁ δὲ χρηστὸς Κυρτέριος, ὅστις καὶ αὐτὸς τὴν διαφθορὰν τοῦ καθ' ἡμᾶς κειμένου τῶν Ο λαμπρῶς ἐπανηγύρισε, ποσάκις ἐν ταύτῃ τῇ ἐκδόσει κύμβαχος ὠλίσθησεν, ἀπέδειξαν ἄλλοι τε, καὶ Μοντεφαλκώνιος καὶ Σιμώνιος, καὶ Γράβης).

§. ιη. Ταύτης τὸ ἱερώτατον κείμενον ἡ καθ' ἡμᾶς ἁγία τοῦ Χριστοῦ Ἐκκλησία καὶ νῦν, ὡς ἀνέκαθεν, καὶ διὰ παντὸς ἀναγινώσκει (καθὰ προείπομεν)· τοῦτο δὲ πρὸς τοὺς φερομένους κώδηκας εἰδικώτερον παραβαλλόμενον, τὸ αὐτὸ σχεδόν ἐστι, καὶ τὸ τοῦ Ἀλεξανδρινοῦ χειρογράφου, ὑπό τε Φίλωνος καὶ Ἰωσήπου, καὶ ὑπὸ τῶν θείων Ἀποστόλων καὶ τῶν ἀρχαίων Πατέρων ἐπιμαρτυρούμενον (α). Τοῦτο κείσεται βάσις καὶ ὅταν παρ' ἡμῖν, διαγνώσει τῆς Ἐκκλησίας, κριτική τις ἔκδοσις τοῦ ἱεροῦ κειμένου συνταχθῇ, καθ' ἣν καὶ αἱ περιθρυλλούμεναι παραλλαγαὶ πολλῷ μείονες ἀποβήσονται. Συμβάλλουσι δὲ πρὸς τὴν τοιαύτην ἔκδοσιν. α) Ἡ τῶν διαφόρων κωδήκων ἀντιβολή, προστεθέντων καὶ τῶν παρ' ἡμῖν ἀντιγράφων, πρὸς οἷς ὁ μεγάτιμος Ὅλμης ἀντέβαλε, καὶ ἄλλων δὲ πολλῶν, ἐν τοῖς θησαυροῖς τῶν ἀνὰ τὴν Εὐρώπην βιβλιοθηκῶν ἀποκειμένων, ἔτι δὲ καὶ αὐτῶν τῶν ἐν ταῖς προειρημέναις ἐκδόσεσιν ἀντιβεβλημένων ἀντιγράφων ἀκριβέστερον ἐξετασθέτων· «αἱ δεύτεραι γὰρ φροντίδες σοφώτεραι» (Καὶ ἄλλως δέ, προσήκει μάλιστα τοῖς Ἕλλησι τὴν ἑλληνίζουσαν τῶν Ο διάλεκτον ἐξετάζειν· Οὕτω γοῦν καὶ πολλαὶ τῶν φωνῶν ὀρθῶς ἔχουσαι φανήσονται, ἃς οὐκ ὀλίγοι τῶν κριτικῶν, μηδὲν δέον, καὶ οὐδ' ἑλληνικῶς διορθοῦσιν· οἱ δέ, καὶ πρὸς τὴν ἔννοιαν τοῦ Μασοραίου κειμένου διαστρεβλοῦσι)· καὶ ὅσαι δὲ προκύψουσιν ἐκ τῆς ἀντιβολῆς παραλλαγαί, διακριθήσονται κατὰ τὴν τῶν κωδήκων ἀξίαν, οὐδ' ἀπὸ πάντων ἀναμὶξ καὶ ἀδιακρίτως συμπιληθήσονται αἱ διαφοραὶ τῶν ἀναγνωσμάτων.– β) Αἱ πρῶται τῶν ἀντιγράφων ἐκδόσεις (ἐκσυριττομένων τῶν κατόπιν ὑπὸ τῶν νεωτεριστῶν πρὸς τὸ δοκοῦν διαςραφεισῶν) (β). – γ)

(α) Καὶ αὐτὰ τὰ λείψανα τοῦ περιφημοτάτου (τοῦ Ε. αἰῶνος). Συριακοῦ κώδηκος τοῦ ἁγίου Ἐφραίμ, συμφωνοῦσι πρὸς τὸ Ἀλεξανδρινόν, ἐν οἷς τοῦτο διαφέρει τοῦ Βατικανοῦ (βλ. Codex Ephræmi Syri rescriptus, sive fragmenta V. Testam. etc. ed. C. Tischendorf. Lipsiae. 1845, prolegom. §. 8). Καὶ ἡ Ἑξαπλαία δὲ Συριακὴ μετὰ τοῦ Ἀλεξανδρινοῦ συμφωνεῖ, καὶ ἡ Ἀραβικὴ ἑρμηνεία, καὶ ἡ Αἰθιοπικὴ κτλ. καὶ τὸ ἀρχαιότατον Κοττόνειον.

(β) Βλ. ὄπισθ. σελ. 902—906. (πρβ. Βιβλ. Γ. σελ. 206). Παράδοξον δέ, πῶς καὶ Ὅλμης αὐτός, τόν τε κατὰ Θεοδοτίωνα (λεγόμενον) Δανιήλ, καὶ τὸν

Οἱ ἐν αὐτῇ τῇ ἑρμηνείᾳ παράλληλοι τόποι· οὐχ ἵνα πρὸς ἀλλήλους πάντως ἐξισωθῶσιν, ἀλλ' ὅπως καὶ ἐκ τῶν πολλῶν κωδήκων καλῶς ἔχοντες, ὡς ἔχουσι, μαρτυρηθῶσι (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 48).–δ) Οἱ ἐκ τῆς ἑρμηνείας ἀρυσάμενοι ἀρχαῖοι συγγραφεῖς, οἷον Φίλων καὶ Ἰώσηπος, καὶ οἱ πρὸ τῆς Σωτηρίου ἐποχῆς, (ὡς οἱ παρὰ τῷ Εὐσεβίῳ, Δημήτριος, καὶ Πολυΐςωρ, καὶ Εὐπόλεμος, καὶ ἄλλοι, μαρτυροῦντες κατὰ τόπους τοῦ καθ' ἡμᾶς κειμένου τὴν ἀκρίβειαν· βλ. ὄπ. Βιβλ. Β. κεφ. Γ. §. β-κς)· καὶ πρὸ πάντων οἱ θεῖοι Ἀπόςολοι, καὶ οἱ Ἀποςολικοὶ καὶ λοιποὶ τῶν ἀρχαίων Πατέρων τῆς Ἐκκλησίας, οἵτινες ἐχρῶντο τοῖς ἀκριβέσι τῶν ἀντιγράφων τῆς μιᾶς καὶ μόνης ἑρμηνείας, τῆς Κοινῆς· πρὸς ταῦτα δὲ καὶ αὐτὸ τὸ ἐν τοῖς Τετραπλοῖς καὶ Ἑξαπλοῖς ἄμικτον διατηρούμενον κείμενον τῶν Ο, συνεφώνει, ὡς ὁ ἱερὸς Ἀναστάσιος ὁ Ἀντιοχείας μαρτυρεῖ, παραπέμπων «*πρὸς τὰ ἀκριβῆ καὶ ἀνόθευτα καὶ ἀρχαῖα τῶν ἀντιγράφων, τὰ ὑπὸ Κλήμεντος καὶ Εἰρηναίου καὶ Φίλωνος τοῦ φιλοσόφου, καὶ τοῦ τὰ Ἑξαπλᾶ συστησαμένου στιχθέντα*» (Ἀναγωγ. βιβ. θ).–ε) Αἱ τῶν Ο, ἀρχαῖαι μεταφράσεις· οἷον ἡ Ἰτάλα, καὶ ἡ Σύρα, μετὰ τῆς Ἑξαπλαίας Συριακῆς καὶ τῶν λοιπῶν, ἐξ ὧν ἀποδείκνυται ἡ τοῦ καθ' ἡμᾶς κειμένου γνησιότης, ἐφ' ὅσον καὶ αὗται διατηροῦσι τὴν ἀκρίβειαν αὐτῶν ἄθικτον ἐκ τῶν ἀντιγραφῶν.–ϛ) Οἱ ταύταις χρησάμενοι Πατέρες (Τερτυλλιανὸς, Ἀμβρόσιος, Αὐγουστῖνος, Ἐφραὶμ κτλ.).–ζ) Παρακείσθω δὲ (τί μή;) καὶ αὐτὸς ὁ καθ' ἡμᾶς Μασοραῖος κώδηξ (ποῦ γὰρ ἐκεῖνο γοῦν τὸ ἑβραϊκὸν, ὅπερ Ὠριγένης ἐξήταζε, καὶ Λουκιανός; ἢ κἀκεῖνο γοῦν τὸ ἐπὶ Ἱερωνύμου;)· καὶ οὗτος, *δι' οὐδὲν ἕτερον*, εἰ μὴ μόνον, «ὅπως ὑπουργήσῃ εἰς μαρτύριον τῆς Ἐκκλησιαστικῆς ἀληθείας», ὡς εἶπεν ὁ ἱερὸς Αὐγουςῖνος (βλ. ὄπισθ. Βιβ. Γ. σελ. 6, 7). ἐπιμαρτυρῶν, ὅπου συμφωνεῖ, τὸ βέβαιον τῆς ἔν τισι, τυχὸν, τῶν κωδήκων ἀμφιῤῥόπου ἀναγνώσεως· δεικνύων δὲ καὶ τὴν ἁπανταχοῦ ἀπαράλλακτον τάξιν τῆς μεθόδου, (ὄπισθ. Βιβλ. Β, κεφ. ιγ), καθ'

δῆθεν κατὰ τοὺς Ο (βλ. ὄπισθ. Βιβλ. Β, κεφ. Ι. §. κδ—κς) συνημμένως ἐκδοὺς, οὔτε τῶν Τριῶν παίδων τὴν Αἴνεσιν, οὔτε τὴν Σωσάνναν, καὶ τὸ Βὴλ καὶ Δράκων, οὐδετέρᾳ τῇ ἐκδόσει προσέθηκε.

ἣν οἱ Ο μεθηρμήνευον, τῷ θείῳ τυπούμενοι Πνεύματι· (Συμπαρέψονται δὲ τῷ ἑβραϊκῷ καὶ Ῥόσσις, καὶ Κεννικῶτος, καὶ ὅσοι τῶν ἐν τοῖς νεωτέροις ἐπισήμων κριτικῶν καταδεικνύουσι τὰς τούτου μυρίας παραλλαγὰς, ἢ καὶ διορθοῦσι τοῦτο κατὰ τόπους, ὅσον δύναται. Ἐκ γὰρ τῶν τοιούτων παραλλαγῶν καὶ διορθώσεων ἀναφαίνονται οὐκ ὀλίγαι, συμφωνοῦσαι τῇ τῶν Ο ἀληθείᾳ). Καὶ τὸ Σαμαρειτικὸν δὲ, διὰ τὸν αὐτὸν λόγον, ἀντιϐλητέον. Παρέσται δὲ πρόχειρος καὶ ἡ νῦν μὲν τῷ ἑϐραϊκῷ, νῦν δὲ τοῖς Ο πολλαχοῦ συμφωνοῦσα Βουλγάτα, καὶ τὰ οἱαδήποτε φερόμενα λείψανα τῶν περὶ τὸν Ἀκύλαν ἑρμηνευτῶν, καὶ εἴ τι ἄλλο τῶν ἐκτὸς τοῦ καθ' ἡμᾶς ἱεροῦ περιϐόλου θρυλλουμένων, ὅταν καὶ τοῦτο τῇ ἀληθείᾳ τοῦ παρ' ἡμῖν ἱεροῦ κειμένου καὶ ἄκον ὑπηρετῇ. - η) Ἡ κριτικὴ τῶν νεωτέρων ἀπαιτεῖ καὶ τὴν εἰκαστικὴν (artem conjecturalem), καθ' ἣν διορίζει τὴν διόρθωσιν, ἢ τὴν ἀναπλήρωσιν λέξεώς τινος, ἢ φράσεως τοῦ κειμένου, ὅταν ἐπιλείπωσιν ἄλλα βοηθήματα πρὸς διάκρισιν τῆς ἀκριϐείας. Ἀλλ' ἡμεῖς, ἐπὶ τοιαύτης περιστάσεως, μηδόλως ὑπερϐαίνοντες τὰ τῶν Πατέρων ὅρια, καὶ τὸν κύκλον τῶν διαφόρων χειρογράφων, καὶ μάλιϛα τῶν ἐν αὐτοῖς ἀκριϐεϛέρων (ἐξ ὧν δὴ καὶ μόνων ἡ καθ' ἡμᾶς κριτικὴ τοῦ θεσπεσίου κειμένου τῶν Ο κατασκευασθήσεται ἔκδοσις), ἀγαπήσομεν τῇ προφερεστέρᾳ τῶν κοινῶς φερομένων ἀναγνώσεων. Οὐδὲ κριτικῆς ἀκριϐείας χάριν ἀθεμίτως καινοτομήσομεν, ἐν ἤχῳ φωνῆς τὸ πρᾶγμα τῆς εὐσεϐείας (κἂν ᾖ τὸ σμικρότατον) παρατόλμως διακυϐεύοντες, καὶ πάροδον παρέχοντες ἀνθρωπίνοις λογισμοῖς, ἀξιοῦσι σοφωτέροις εἶναι τῆς θείας σοφίας· τὴν δ' ἀχάλινον καὶ προπετῆ στοχαστικὴν, ἢ εἰκαστικὴν, Ῥαϐϐίνοις παραλείψομεν Μασορίταις, παρ' οἷς νενομοθέτηται τὰ *στοχαστὰ καὶ εἰκαστὰ* (ὄπισθ. Βιϐ. Γ. κεφ. ζ. §. ιδ, κτξ), ἢ καὶ τοῖς κριτικοῖς τῶν νεωτέρων ἐκείνοις, ὅσοι τὰς θείας Γραφὰς ὡς ἀνθρώπινα συντάγματα μεταχειριζόμενοι, πρὸς τοῖς ἄλλοις τολμήμασιν ἔχουσι καὶ τὴν εἰκαστικὴν, αὐθάδη σοϐοῦσαν ἐν ταῖς κρίσεσιν αὐτῶν. Ἡμῖν δ' οὐχ ὁμοία τῇ περὶ τὰς ἐκδόσεις τῶν τῆς ἔξω σοφίας συγγραφῶν ἡ φροντὶς, ἐν αἷς ὀλίγη τις καὶ πρόσκαιρος ἡ τῆς ἀποτετευγμένης εἰκασίας ζημία· ἀλλὰ περὶ *θείων*

ῥημάτων ὁ κίνδυνος, ἐν οἷς καὶ τὸ σμικρὸν ὑπὸ θράσους σφαλῆναι πόῤῥω βάλλει Θεοῦ· διὸ καὶ ὁ πολὺς ἐκέλευεν Ὠριγένης (Φιλοκαλ. η) μηδὲ τὰ σμικρότατα τῶν ῥημάτων, μηδὲ τὰ παρὰ τὴν ἀκολουθίαν τῆς συντάξεως ματακινεῖν, ὡς καὶ τούτων οὐκ εἰς μάτην τεθέντων ὑπὸ τῶν ἐνθέων ἐκείνων ἑρμηνευτῶν (πλὴν εἰ μή που τὰ τοιαῦτα τρανῶς καὶ προδήλως ἀβλεψίαι καταφαίνονται τῶν ἀντιγραφέων). Ἔχει γὰρ καὶ ἡ θεία Γραφὴ τοὺς ἑαυτῆς ἰδιωτισμοὺς, καὶ τύπους λέξεων ἁπλουστέρους (ὡς ὁ θεῖος εἶπε Χρυσόστομος)· εἰ δ' ἀπαρέσκεται τούτοις ἡ κριτικὴ, ἀλλὰ καὶ οὕτως οὐδὲν ἧττον ἡ τῆς Γραφικῆς λέξεως ἁπλότης θείας πνέει μεγαλοπρεπείας, ἥτις συγγραφικῆς μικρολογίας καταφρονεῖ. (βλ. Βιβλ. Β. σελ. 927. κτξ). Ὅθεν ἔλεγε καὶ ὁ ἱερὸς Αὐγουστῖνος· «Τοῦ οὐρανίου χρηστηρίου τὰ λόγια οὐκ εἰσὶ καταναγκαστέα πρὸς τοὺς κανόνας τοῦ Δονάτου» (Ῥωμαίου γραμματικοῦ, διδασκάλου τοῦ Ἱερωνύμου). Καὶ ταῦτα μὲν ἡμεῖς παροδικώτερον περὶ κριτικῆς ἐκδόσεως τοῦ καθ' ἡμᾶς ἱεροῦ κειμένου τῶν Ο.

§. ιθ. Πολλοὶ δὲ καὶ τῶν νεωτέρων κριτικῶν τοιούτων βοηθημάτων τὴν συνδρομὴν παραγγέλλουσι (κατὰ τὸν σφίσιν ἰδιάζοντα τρόπον), καὶ ἄλλα δέ τινα (μηδὲν κοινὸν ἔχοντα πρὸς ἡμᾶς) γνωματεύουσι (α), τὸν Ἡράκλειον διαγράφοντες ἆθλον τῆς, ἣν ἀπαιτοῦσι, κριτικῆς ἐκδόσεως τῶν Ο, ἑνός γε πράγματος καὶ μόνου, καὶ τούτου πρωτίστου (δοκοῦμεν), καὶ μάλιστα πρὸς τὴν τοιαύτην ἔκδοσιν ἀναγκαιοτάτου παντελῶς ἐπιλελησμένοι· οὐδεὶς τούτων ἐξηκρίβωσε, πῶς ποτε ἀναγινώσκει τὴν ἑρμηνείαν τῶν Ο ἡ ταύτης ἀπ' ἀρχῆς ταμιοῦχος καὶ φρουρὸς, καὶ *πάσης ἐκδόσεως αὐτῆς*, ἐκ θείου τε καὶ ἀνθρωπίνου δικαιώματος, ὑπερτάτη κράντειρα, καὶ θεμιστοπόλος, ἡ *'Ορθόδοξος 'Εκκλησία*. Εἰ δὲ τοῦτ' αὐτοῖς ἐπήρχετο κατὰ νοῦν,

(α) Ἐπαινοῦμεν κἀνταῦθα τὸ κόσμιον καὶ πεφυλαγμένον τοῦ καὶ πρότερον μνημονευθέντος σοφοῦ Θηρσίου (τοῦ νεωτέρου)· ὅςις, καί τοι τὸ Βατικανὸν τοῦ Ἀλεξανδρινοῦ, κατὰ τὸ δοκοῦν αὐτῷ, προτιμῶν, διαλαμβάνει καί τινα περὶ κριτικῆς ἐκδόσεως τῶν Ο, μετὰ τῆς προσηκούσης εὐλαβείας, καὶ τιμῆς. Μέμνηται δὲ καί τινων ἐν Λουγδούνῳ τῶν Βαταυῶν (ὡς φασὶ) τηρουμένων λιθίνων Διπτύχων, ὡς τοῦ α, αἰῶνος τῆς σωτηρίου ἐποχῆς θρυλλουμένων, ἐν οἷς ἐγγέγραπται χωρίον τῆς ἑρμηνείας τῶν Ο· ποῖον δὲ, οὐ δηλοῖ. βλ. **Henr. G. J. Thiersch, De Pentat. vers. Alexandr. p. 14-17.**

οὐκ ἂν (οἵ γε τούτων θερμότεροι) μέχρι καὶ αὐτῆς τῆς γνησιότητος τοῦ καθ' ἡμᾶς τῶν Ο κειμένου κατεξανίσταντο, ὡς μέγα τι προβάλλοντες, τὰς ἐν τοῖς διαφόροις κώδηξι κατὰ τόπους φερομένας παραλλαγὰς, καί τοι τὰς πάσας οὔσας, ὡς ἤδη προείπομεν, ἀβλαβεῖς καὶ ἐπουσιώδεις, καὶ μηδεμίαν ἐπὶ τῆς τοῦ κειμένου γνησιότητος καὶ ὁλοκληρίας ἐχούσας ῥοπήν. Ὀλίγαι δρόσου σταγόνες, ἢ καὶ θαμιναὶ ψεκάδες ὑετοῦ, οὐδόλως μετουσιοῦσι ποταμοῦ καλλιρόου καὶ καθαροῦ τὸ πελάγιον χεῦμα. Οὐδὲ σκιαί τινες ἀστάτως ἐμφαινομένων κηλίδων ἀμαυροῦσι τὸν ὁλόφωτον δίσκον τοῦ πατρὸς τῆς ἡμέρας. Καὶ δικαίως ἄρα καὶ αὐτῶν τῶν ἑτεροδόξων οἱ δικαιότεροι καὶ σοφώτεροι (ὧν πολλάκις δι' ὅλου τοῦ συντάγματος εὐγνωμόνως καὶ μετὰ τιμῆς ἁπάσης, κατὰ τὸ προσῆκον, ἐπεμνήσθημεν) ζηλώσαντες ἠγανάκτησαν, καὶ νικηφόρως ἀντέστησαν πρὸς τοὺς *ἀδικίαν εἰς ὕψος* κατὰ τοῦ ἱεροῦ τῶν Ο κειμένου *λαλήσαντας* σοφούς. Οὕτως (ἵνα παραλίπωμεν ἄλλους) ὁ θαυμάσιος Βάλτων τὴν Ὑσσερίου καὶ τῶν τούτῳ συμφρόνων πλάνην ἐξήλεγξεν, αὐτοὺς τοὺς ἀρχαίους κώδηκας προτείνων, ἐξ ὧν ἐπέσειον ἐκεῖνοι, ὡς δῆθεν δεινὸν πάλαισμα, τὴν τῶν ἀναγνώσεων παραλλαγὴν (α). Ὁ δὲ περικλεὴς Κεννικῶτος «Θησαυρόν (φησιν) ἀνεκτίμητον τὴν ἑρμηνείαν τῶν Ο χαίρων ἔγωγε ἀποφαίνομαι, καὶ δὴ καὶ καθομολογῶ· καὶ χάριτας ὑπὲρ αὐτῆς ἐκ ψυχῆς ἀναπέμπω τῷ παναγάθῳ καὶ ὑψίστῳ Θεῷ» (β).

(α) «Horum vetustissimorum Exemplarium collationes, si quis cum Editionibus hodiernis Veneta (τοῦ Ἄλδου), Romana (τοῦ Βατικανοῦ), aut Alexandrina, quorum discrepantiæ tomo sexto (τῆς Λονδινικῆς Πολυγλώττου) habentur, conferre velit; inveniet inter omnes magnum consensum. varietates etiam pauciores et minoris momenti esse, quam quæ in varijs Græcis Novi Testamenti Exemplaribus congessimus. Adeo ut si quis ex eis inferre velit non eandem esse versionem (τῶν Ο), illam antiquorum cum hodierna, eadem opera etiam probaverit, Evangelia, ut in hodiernis extant codicibus, non esse eadem cum illis, quæ ab Evangelistis scriptis tradita erant: q u o d q u i a s s e r e r e t, h e l l e b o r o o p u s h a b e t» etc. Walt. Proleg. IX. §. 42.

(β) «Et eam (interpretationem τῶν LXX) Thesaurum quantivis prætii

§. κ. Καὶ εἴη λοιπὸν τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. «Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, καὶ ἀπὸ περάτων ἕως περάτων γῆς, αἰνετὸν τὸ ὄνομα Κυρίου», «*τοῦ δόντος τὴν Προφητείαν, καὶ τὴν Ἑρμηνείαν αὐτῆς, οἷον ἑλληνικὴν Προφητείαν ἐνεργήσαντος*» (ὡς ὁ ἱερός φησι Κλήμης) εἰς σωτηρίαν τῶν ἐθνῶν. *Αὕτη ἐστὶν ἡ Διαθήκη*, ἣν μετὰ τοῦ Εὐαγγελίου *διέθετο ἡμῖν Κύριος, κεκυρωμένην εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν*. Ἐκ ταύτης ᾄδομεν τὰς προφητικὰς ᾠδὰς *ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ τῆς καινῆς Ἱερουσαλὴμ*, τῆς μητρὸς ἡμῶν Ἐκκλησίας. Ἐν ταύτῃ τῇ Διαθήκῃ «*εὑρήκαμεν ὃν ἔγραψε Μωσῆς ἐν τῷ Νόμῳ καὶ οἱ Προφῆται*», «*Οἱ περὶ τῆς εἰς ἡμᾶς χάριτος προφητεύσαντες, - οἷς ἀπεκαλύφθη, ἃ ἀνηγγέλη ἡμῖν διὰ τῶν εὐαγγελισαμένων ἡμᾶς ἐν Πνεύματι ἁγίῳ*», καὶ παραδόντων τὸ Εὐαγγέλιον *τῆς σωτηρίας ἡμῶν*. Κατὰ ταύτας τὰς Γραφὰς ὁρῶμεν ἐν τῷ Εὐαγγελίῳ *πληρωθέντα* «*πάντα τὰ γεγραμμένα ἐν τῷ Νόμῳ Μωσέως καὶ Προφήταις καὶ Ψαλμοῖς περὶ Χριστοῦ*, *καὶ ταύτας* «*τὰς Γραφὰς ἐρευνῶντες, εὑρίσκομεν ζωὴν*». Ταῦτα παρὰ τῶν Ἀποστόλων, ταῦτα παρὰ τῶν Πατέρων καὶ διδασκάλων τῆς Οἰκουμένης παρελάβομεν καὶ ὁμολογοῦμεν *λόγια Κυρίου, λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ*». ῥήματα *Πνεύματος ἁγίου*, διὰ λέξεων ἁπλῶν τὰς θειοτάτας ἐννοίας ἡμᾶς διδάσκοντος. «Ὁ μὲν γὰρ» (λέγει πάλιν ὁ ἱερώτατος Κλήμης) «Ὁ μὲν γὰρ Πυθαγόρας ἠξίου μὴ μόνον λογιώτατον, ἀλλὰ καὶ πρεσβύτατον ἡγεῖσθαι τῶν σοφῶν, τὸν θέμενον τὰ ὀνόματα τοῖς πράγμασιν. Ἡμεῖς δὲ τὰς Γραφὰς ἀκριβῶς διερευνῶμεν, *ἀπὸ τῶν ὀνομάτων θηρώμενοι τὰς δόξας, ἅς τὸ ἅγιον Πνεῦμα περὶ τῶν πραγμάτων ἔχον, εἰς τὰς λέξεις, ὡς εἰπεῖν, τὴν αὐτοῦ διάνοιαν ἐκτυπωσάμενον*, διδάσκει» (Κλήμ. Στρωμ. Ἐκλογ. ἐκ τῶν Προφητικῶν σελ. 577).

---

lubens fateor ego, atque etiam profiteor; et pro ea equidem Deo Opt. Max. ex animo gratias ago». Kennicot. Diss. I. p. 545. καὶ Hamilton, A general Introduct. to the Study of the Hebrew Scriptures pag. 149. Dublin, 1813.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Ἀνακεφαλαίωσις.

§. α. Ὡς ἐν τοῖς προηγηθεῖσιν, οὕτω κἀν τούτῳ τῷ τόμῳ, τῷ τελευταίῳ τῆς Τετραβίβλου, προστιθέμεθα τῶν ἐμπεριεχομένων τὴν περίληψιν, συνοπτικῶς εἰς τὰ ἐφεξῆς θεωρήματα συγκεφαλαιοῦντες.

Α) Ὅτι πρὸ τῆς ἑρμηνείας τῶν Ο, ὑπῆρχεν ἐν Αἰγύπτῳ συνοπτική τις καὶ ἀνώνυμος ἐκλογὴ μερῶν τινων τῆς Μωσαϊκῆς ἱστορίας, ἑλληνιστὶ μεθηρμηνευμένων, ὡς ἱστόρησεν Ἀριστόβουλος. Ὅσοι δὲ τῶν νεωτέρων ἐπειράθησαν τὸ ἱστόρημα τοῦτο ψευδοποιῆσαι, ἐσφάλησαν διττῶς· Πρῶτον, ὅτι παρενόησαν τοὺς Ἀριστοβούλου λόγους, ἐκλαβόντες τοῦτο δὴ τὸ συντετμημένον τῆς Μωσαϊκῆς νομοθεσίας ἀπάνθισμα, ὡς ἑρμηνείαν ὅλης τῆς Παλαιᾶς Διαθήκης· καὶ δεύτερον, ὅτι παρεῖδον, ὡς οὐκ ὤφειλον, ἐπισήμους περὶ τούτου μαρτυρίας τῶν ἀρχαίων. Τοῦτο τὸ ἀπάνθισμα τῆς Πεντατεύχου μαρτυροῦσι. α) Ὁ παρὰ τῷ Ἀριςέᾳ Δημήτριος ὁ Φαληρεὺς, λέγων πρὸς τὸν βασιλέα Φιλάδελφον κατὰ λέξιν, ὅτι ἤκουσε περὶ τοῦ ἱστορικοῦ Θεοπόμπου, «ὅτι ἄρα μέλλων τινὰ *τῶν προηρμηνευμένων ἐπισφαλέστερον* ἐκ τοῦ νόμου προσιστορεῖν, ταραχὴν λάβοι τῆς διανοίας». Καὶ τὸν Θεοδέκτην ἐκ τοιαύτης προαιρέσεως γλαυκωθέντα τοὺς ὀφθαλμοὺς, ὁ αὐτὸς Δημήτριος ἀκηκοέναι φησί. β) Αὐτὸ τὸ περὶ τῶν δύω τούτων ἐθνικῶν ἐπὶ τοῦ Φαληρέως περιφερόμενον οἱονδήποτε θρύλλημα μαρτυρεῖ, ὅτι ὑπῆρχον ἤδη κατὰ τοὺς χρόνους τοῦ Θεοπόμπου καὶ Θεοδέκτου τεμάχιά τινα τῆς ἑβραϊκῆς Νομοθεσίας ἑλληνιστὶ μεθηρμηνευμένα, ἐξ ὧν (ὡς ἔλεγεν ἡ φήμη) οἱ δύω οὗτοι Ἕλληνες συγγραφεῖς ἠβουλήθησάν τινα προσλαβεῖν εἰς τὰς ἑαυτῶν συγγραφὰς, ἐπὶ ψόγῳ καὶ διαβολῇ τῆς ἱερᾶς Νομοθεσίας. γ) Αὐτὸς ὁ Ἀριςόβουλος μετὰ πολλῆς πληροφορίας ἐκφέρει πρὸς τὸν βασιλέα τὸν Φιλομήτορα ταυτηνὶ τὴν πρὸ τῶν Ο συνοπτικὴν ἐκ τῆς Πεντατεύχου συλλογὴν, ὡς πρᾶγμα δῆλον τοῖς πᾶσι καὶ φανερόν. «Φανερὸν (φησιν), ὅτι κατηκολούθηκε Πλάτων τῇ ἡμετέρᾳ νομοθεσίᾳ» κτλ. δ) Ὁ ἀρ-

χαιολόγος Ἰώσηπος ἀναγράφων τὴν ἱςορίαν τοῦ Ἀριςέου, μνημονεύει καὶ αὐτὸς τὰ περὶ Θεοπόμπου καὶ Θεοδέκτου, ἐννοῶν συνάμα καὶ τὰ κατ' ἐκείνους τοὺς χρόνους «*ἐπισφαλέστερον προηρμηνευμένα*». ε) Νουμήνιος, ὁ Πυθαγορικὸς φιλόσοφος, «τὴν τοῦ Πλάτωνος διάνοιαν ἤλεγξεν, ὡς ἐκ τῶν Μωσαϊκῶν βιβλίων τὰ περὶ Θεοῦ καὶ κόσμου ἀποσυλήσασαν». ς) Ὁ μάρτυς καὶ φιλόσοφος Ἰουστῖνος λέγει περὶ τοῦ Πλάτωνος, ὅτι «ἐνέτυχε τοῖς Μωσέως, καὶ ἀνέγνω τὰ γεγραμμένα ῥητά». ζ) Κλήμης ὁ Στρωματεὺς ἐκτιθεὶς αὐτὴν τὴν Ἀριστοβούλου μαρτυρίαν κατὰ λέξιν, ἐπιφέρει πρὸς ἀπόδειξιν καὶ τὴν τοῦ Νουμηνίου περιλάλητον γνώμην ἐκείνην· *Τί γάρ ἐστι Πλάτων, ἢ Μωσῆς ἀττικίζων;* η) Καὶ Ὠριγένης λέγει τὸν Πλάτωνα τοῖς προφητικοῖς ἐντυχόντα λόγοις. θ) Ὁ δὲ Εὐσέβιος ἀναγράφων καὶ αὐτὸς τὴν Ἀριστοβούλου περικοπήν, «Μὴ ἀμφιβάλῃς (λέγει) τοὺς τὰ πλεῖστα τῶν ἐθνῶν περιειργασμένους Ἕλληνας, καὶ τὰ τῶν Ἑβραίων μὴ ἀγνοῆσαι, *ἀρχῆθεν ἐπὶ τὴν ἑλλάδα φωνὴν μεταβεβλημένα*». ι) Καὶ ἄλλοι τῶν θείων Πατέρων, οἷον Αὐγουστῖνος, Κύριλλος ὁ Ἀλεξανδρείας, ὁ Κύρου Θεοδώρητος, ἱστοροῦσι τὸν Πλάτωνα, καὶ ἄλλους τῶν Ἑλλήνων φιλοσόφων ἐναύσματα τῆς κατ' αὐτοὺς φιλοσοφίας λαβόντας ἐκ τῆς Μωσαϊκῆς θεολογίας. ια) Ἀλλὰ καὶ αὐτὸς ὁ Ἰουδαῖος Ῥαβδὶς Ἀζαρίας ἀποδέχεται, καὶ περὶ πλείστου ποιεῖται τὴν Ἀριστοβούλου μαρτυρίαν. ιβ) Τελευταῖον, ἄνδρες ἐν τοῖς νεωτέροις σοφοῖς ἐπίσημοι, οὓς προείπομεν (κεφ. β. §. γ) συνομολογοῦσι τὴν ἀλήθειαν τῶν Ἀριστοβούλου λόγων· πρὸς τούτοις προσειρήσθω καὶ Θήρσιος ὁ νεώτερος (α).

Β) Ἐκ τῶν λόγων τοῦ Ἀριστοβούλου τούτων προκύπτουσι συμπεράσματα τὰ ἐφεξῆς. α) Ὅτι πρὸ τῆς Ἀλεξάνδρου κατὰ Περσῶν ἀναβάσεως ὑπῆρξέ τις Ἑλληνικὴ ἑρμηνεία μερῶν τινων τῆς Πεντατεύχου μεταξὺ τῶν Πυθαγόρου καὶ Πλάτωνος χρόνων ὑπό τινων ἀγνώστων ἐν Αἰγύπτῳ συμπεπιλημένη. β) Ὅτι ἡ ἑρμηνεία

(α) « Longe videlicet ab eo absumus, ut Aristobulo de versione librorum Mosis verba facienti fallacia quidquam tribuimus ». G. H. Thierch De Pentat. version. Alexandr. L. I. §. 7. pag. 12.

αὕτη ὑπῆρχεν ἔν τισι χωρίοις *ἐπισφαλέστερον*, καὶ οὐκ ἐπ᾽ ἀκριβὲς ἡρμηνευμένη. Ὅθεν οὐδ᾽ εἰς δημοσίαν ἠδύνατο φέρεσθαι χρῆσιν παρὰ τοῖς ἐν Αἰγύπτῳ ἑλληνίζουσιν Ἰουδαίοις, ἅτε δὴ καὶ ἄκυρος, καὶ ἐπισφαλὴς, καὶ ἀτελής. γ) Ὅτι ἡ ἑρμηνεία αὕτη ὑπῆρχε μία, περιέχουσα τὰ παρὰ τῷ Ἀριστοβούλῳ κατωνομασμένα τεμάχια τῆς Πεντατεύχου. Καὶ ἐπλανήθησαν ἄρα, ὅσοι τῶν ἐν τοῖς νεωτέροις μάλιστα παραδοξολόγων ἐκ τούτου λαβόντες ἀφορμὴν, ἔπλασαν φαντασιώδεις τινὰς καὶ ποικίλας ἑλληνικὰς ἑρμηνείας, ἐξ ὧν ὠνειροπόλησαν συγκειμένην τὴν ἱερὰν ἑρμηνείαν τῶν Ο. δ) Ὅτι ταύτῃ τῇ μιᾷ, καὶ ἀτελεῖ, καὶ ἔν τισιν ἐπισφαλέσερον ἐχούσῃ συνόψει τῆς Πεντατεύχου καὶ Πλάτων ἐν Αἰγύπτῳ περιέτυχε, καὶ ἐξ αὐτῆς οὐκ ὀλίγας τῶν θεοπρεπῶν ἐννοιῶν ἀρυσάμενος, ἐκόσμησε τὴν κατ᾽ αὐτὸν φιλοσοφίαν. Καθὰ καὶ Πυθαγόρας (ὃν ὁ Πλάτων ἐζήλου) πολὺ πρότερον πεποίηκε, τοῖς κατ᾽ Αἴγυπτον καὶ παρὰ Χαλδαίοις καὶ ἀλλαχοῦ τῆς Ἀσίας φιλοσοφοῦσιν Ἰουδαίοις ἐντυχών. Ὅτι δὲ τῶν Ἑλλήνων οἱ πάλαι σοφοὶ πολλὰ τῶν Μωσαϊκῶν δογμάτων ἀκοῇ παραδεξάμενοι εἰς τὰς ἑαυτῶν εἰσεποίησαν συγγραφὰς, οὐ μόνον τῶν θείων Πατέρων οἱ ἀρχαιότατοι διδάσκουσιν, ἀλλὰ καὶ ἐκ τῶν Ἑλλήνων Ἕρμιππός τε ὁ Σμυρναῖος, καὶ, πρὸς τῷ Πυθαγορικῷ Νουμηνίῳ, Χαλκίδιος ὁ Πλατωνικὸς ὁμολογοῦσι· μαρτυροῦσι δὲ καὶ τὰ πράγματα· καὶ τῶν νεωτέρων ἄνδρες ἀγαθοὶ καὶ σοφοὶ συναινοῦσι, κἂν ἄλλοι τῶν ἄγαν ἐφεκτικῶν ἰσχυρῶς ἀντιλέγωσι (§. ε-ια). ε) Ὅτι τελευταῖον ἡ ῥηθεῖσα συνοπτικὴ καὶ πενιχρὰ καὶ ἔν τισιν ἐπισφαλὴς καὶ νώνυμος μετάφρασις τινῶν χωρίων τῆς Πεντατεύχου, ὡς ἀμυδρὸν λυχνάριον, ἔν τινι γωνίᾳ τῆς Αἰγύπτου μέχρι τινὸς ὑποφαύσασα, τέλος, ἀπέσβη καὶ ἠφανίσθη, ὡς ἀνέτειλεν ἐπὶ τοῦ Φιλαδέλφου ἡ πάμφωτος καὶ θεόπεμπτος ἑρμηνεία τῶν Ο.

Γ) Ὅτι κατὰ θείαν ἔμπνευσιν ἡρμήνευσαν οἱ Ο τὰς Γραφάς. Ὅσοι δὲ τῶν νεωτέρων (καὶ οὗτοι πολλοὶ καὶ σφόδρα δεινοὶ) πολλαχῶς ἀντιλέγουσιν, ἁπλοῦς ἑρμηνεῖς καὶ ἀθειάστους γενέσθαι διατεινόμενοι καὶ τοὺς Ο, καθὰ καὶ πᾶς τις ἄλλος γλωσσῶν ἑρμη-

νεὺς, μάτην ἀγωνίζονται κατὰ τῆς ἀληθείας, ἢ ἐθελοκακοῦσι, σκαρδαμύττοντες πρὸς τὸ φῶς. Οἱ Ο, προφῆται μὲν οὐκ ἦσαν, δι' ἀποκαλύψεως τὰ μέλλοντα προφητεύοντες, μετέσχον δὲ θείας ἐπιπνοίας εἰς κατάληψιν καὶ πιστὴν ἀπόδοσιν τῶν θείων ἐννοιῶν, ὑπὸ τοῦ αὐτοῦ ἐν τῷ ἑρμηνεύειν ἐμπνεόμενοι Πνεύματος, ὑφ' οὗ καὶ οἱ Προφῆται, τὰ μέλλοντα προκηρύττοντες. Ταύτης δὲ τῆς ἀληθείας δείξεις αἱ ἐφεξῆς. α) Ἡ φανέρωσις τοῦ θείου θελήματος. Πρῶτος καὶ ἀρχικὸς τῆς μεταφράσεως αἴτιος αὐτός ἐστιν ὁ Θεὸς, ὁ τῷ βασιλεῖ Πτολεμαίῳ τὴν ἑρμηνείαν εἰς νοῦν ἐμβαλὼν, καὶ τοῖς ἑρμηνεῦσι χρησάμενος ὑπηρέταις τῆς θείας αὐτοῦ βουλῆς, ἥτις μένει εἰς τὸν αἰῶνα. β) Ἡ κοινὴ τούτων περὶ τὴν ἑρμηνείαν σύμπνοια καὶ συμφωνία, καίτοι κατὰ μέρος ἑκάστου καὶ χωρὶς ἑρμηνευσάντων. Σφαδάζουσιν, ἀντιβαίνοντες χερσί τε ποσί τε πρὸς ταύτην τὴν ἀλήθειαν πάντες οἱ τῶν τοῦ Θεοῦ θαυμασίων ἀπότομοι δικασταὶ, καὶ τὰ ἱστορούμενα πολλαχῶς διατωθάζουσιν· ἀλλ' ἀντιλέγουσι πρὸς αὐτοὺς ἄλλοι πάλιν ἐκ τῶν νεωτέρων ἄνδρες σοφοὶ, συνίστορες τῆς ἀληθείας (α).

(α) Καὶ αὐτὸς ὁ πάντων μάλιστα σφαδάξας καὶ κραυγάσας κατὰ τῶν Ο, Τύξην ὁ μεγάλαυχος, ἀποδέχεται τὰ δωμάτια· καὶ τὴν παράδοσιν τοῦ Μάρτυρος Ἰουςίνου, καὶ Αὐγουστίνου, καὶ τῶν ἄλλων πατέρων ὁμολογεῖ πιςὴν καὶ ἀληθινὴν, προςτιθεὶς καὶ μαρτυρίας τῶν Ταλμουδικῶν Ῥαββίνων (βλ. ὄπισθ. σελ. 246). Δείκνυσι δὲ καὶ ἐκ τῆς κατασκευῆς τῶν Ἀσιανῶν πλουσίων οἰκιῶν, εἰθισμένον ὂν πολλὰ δωμάτια πλησίον αἰθούσης (ἢ βασιλικῆς) μεγάλης κατασκευάζειν. « Testimonia (λέγει) ista (τοῦ Ἰουστίνου, κτλ.) ita omnino sunt comparata, ut veritate fundata sint. Si enim splendidas Orientalium legationes mente revolvamus non extra fidem est credere, quod singulis oratoribus (τοῖς Ο) ad minimum aedicula (seu conclave) — assignata fuerit etc. Καὶ (τὰ ΟΒ, δωμάτια) in eo quoque, quod omnino gravissimum est, cum Talmudis doctoribus et Justino conveniunt, quod istam transcriptionem S.S. tanta accuratione peractam fuisse tradant, ut collatione facta, nihil discrepantiæ inter archetypum et ejus apographa fuerit repertum, atque hinc vel tacite innuant, singulos in singulis cellulis seperatim fuisse» etc. (Tyschen Tentamen etc. p. 327-328). Οὕτως ὁ Τύξην πάντα ταῦτα πιστὰ καθομολογεῖ. Ἐπιγινώσκει καὶ τὸν Ἀριστέαν καὶ τὸν Φίλωνα ταῦτα τὰ δωμάτια βεβαιοῦντας, ὡς ἐκ τῆς διηγήσεως αὐτῶν συνάγεται· κἂν ἰδίᾳ (φησὶ) περὶ τούτων οὐ διέλαβον, ὡς π ρ ά γ μ α τ ο ς γ ν ω σ τ ο ῦ. Καὶ τέλος, ἀ θ έ μ ι τ ο ν κρίνει, « a u c t o r i-

γ) τὸ θεῖον κῦρος τῆς ἑρμηνείας δείκνυται καὶ ἰδίως ἐκ τῆς ἐκφαντορικῆς καὶ γνησίας ἐκφράσεως τῶν τοῖς Προφήταις ἀποκαλυφθέντων μεγάλων τῆς Πίςεως μυστηρίων, ἣν τὸ Πνεῦμα τὸ ἅγιον κἀν τῇ Καινῇ Διαθήκῃ τρανῶς ἐσφράγισε καὶ ἐκύρωσε. δ) Τοῦτο μαρτυροῦσιν οἱ Ἀπόστολοι, ἐν οἷς προφανῶς ἐκ τῶν Ο ἐκφέρουσι χωρίοις, ἅτινα οὐ κεῖνται ἐν τῷ νῦν ἑβραϊκῷ. ε) Καὶ πάσας τὰς ῥήσεις τὰς προφητικάς, καὶ λέξεις ἰδίας, καὶ φράσεις ὅλας ἐκ τῶν Ο μεταγράψαντες ἀκριβῶς οἱ θεῖοι Ἀπόστολοι, βεβαιοῦσι τὸ κῦρος τῆς ἑρμηνείας. ς) Ὡς τῶν ἐν τῇ ἑβραΐδι Γραφῇ (οἷον ἐν τῷ Δανιὴλ καὶ ἀλλαχοῦ) μεταξὺ τοῦ ἑβραϊκοῦ κειμένου χαλδαϊστὶ γεγραμμένων χωρίων ἡ φράσις θεόπνευστος παρὰ πᾶσι καὶ παρ' αὐτοῖς ὁμολογεῖται τοῖς κριτικοῖς, ὡσαύτως καὶ ὁ λεκτικὸς τῶν Ο χαρακτὴρ, ἐν αἷς μάλιστα φράσεσι τούτων ἐχρήσαντο οἱ Ἀπόστολοι, τὰ θεῖα νοήματα τῆς εὐαγγελικῆς ἑρμηνεύοντες ἀληθείας, θεόπνευστος ἀποδείκνυται. ζ) Βεβαιοῖ τὸ θεῖον κῦρος τῆς ἑρμηνείας καὶ ἡ πανθαύμαστος αὐτῆς ἐνέργεια καὶ δύναμις, δἰ ἧς ἡ θεία χάρις καὶ πρὸ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἐνήργει μὲν εἰς τὰς ψυχὰς τῶν πανταχοῦ τῆς εἰδωλομανούσης οἰκουμένης διεσπαρμένων Ἰουδαίων, συγκρατοῦσα τούτους εἰς τὴν πάτριον εὐσέβειαν, καὶ πάλιν εἰς ὑπακοὴν τοῦ Εὐαγγελίου ἐπιφανέντος εὐπειθεστέρους αὐτοὺς παρέχουσα πολλαχοῦ, ἐνήργει δὲ καὶ εἰς τὰς ψυχὰς τῶν ἐκ τῆς προφητικῆς διδασκαλίας τὸν μόνον Θεὸν ἐπι-

---

tate testium fide dignorum, Aristeæ, Talmudicorum, et Justini martyris (**cui tamen in historia dogmatum** credimus) **fidem derogare**» (Tyshen Tentamen, etc. p. 328-329). Ταῦτα τοίνυν ὁ Τύξην ὀρθῷ στόματι καθομολογήσας, ἔπειτα πρῶτος αὐτὸς ἀπαρνούμενος ἀθεμίτως (ὡς λέγει) τὴν πρὸς οὕτως ἀξιοπίςους μάρτυρας πίστιν, διδάσκει τὰ τῆς ἑαυτοῦ γελοίας αἱρέσεως, ὅτι οὐ μετέφραζον οἱ Ο, ἐν τοῖς δωματίοις, ἀλλὰ μετέγραφον δι' ἑλληνικῶν γραμμάτων τὰς ἑβραϊκὰς λέξεις τῆς Γραφῆς (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 594). Ἀλλὰ τί μάτην ἀλύει καὶ δυσφορεῖ περί τε τῶν δωματίων καὶ τῆς θαυμαστῆς τῶν Ο, συμφωνίας ἡ κριτική; Δεχέσθω, ἢ ἀρνείσθω τὴν συμφωνίαν ἐκείνην· οὐ φροντὶς τοῖς Ο· οἷς συνεφώνησαν οἱ Ἀπόστολοι, καὶ ὅλη ἡ Καινὴ Διαθήκη ἐσφράγισε τὴν ἐν Πνεύματι συμφωνίαν τῆς ἑρμηνείας αὐτῶν (βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 368).

γινωσκόντων ἐθνικῶν, παιδαγωγοῦσα καὶ προπαιδεύουσα τούτους εἰς ὑποδοχὴν τοῦ προφητευθέντος Σωτῆρος τοῦ κόσμου. η) Τὸ θεῖον κῦρος τῆς ἑρμηνείας ὑπεμφαίνει καὶ ἡ ἄδολος τῆς φράσεως ἁπλότης καὶ ἀφέλεια, ἣν καὶ Παῦλος ὁ Ἀπόστολος πρὸς τοὺς Κορινθίους διαγράφει, λαλῶν οὐκ ἐν πειθοῖς *ἀνθρωπίνης σοφίας λόγοις*, ἀλλ' ἐν *διδακτοῖς Πνεύματος ἁγίου*, καὶ συγκρίνων (σαφηνίζων) λόγοις *πνευματικοῖς* (ταῖς ἐκ τῶν Ο προφητικαῖς μαρτυρίαις) τὰ πνευματικὰ διδάγματα τοῦ Εὐαγγελίου. θ) Διαλάμπει τὸ κῦρος τῆς ἑρμηνείας καὶ ἐν οἷς τόποις ἀποδείκνυται λίαν ἐναργῶς καὶ ἐξαιρέτως ἐκ τῆς τῶν Ο φράσεως ἡ ἔκβασις τῶν προφητικῶν προῤῥήσεων (βλ. ὄπισθ. σελ. 83 - 90). ι) Βεβαιοῖ τὸ κῦρος καὶ αὐτῶν τῶν ἑρμηνευτῶν τὸ ἀξιόπιστον σέβας (σελ. 91). ια) Καὶ πάντων τῶν, ἀφ' οὗ συνεγράφη, μακρῶν αἰώνων ἡ συνεχὴς καὶ ἀδιάλειπτος μαρτυρία. ιβ) Πᾶσα ἡ ἀποστολικὴ, ἡ μία καὶ ἁγία καὶ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία ἀπ' ἀρχῆς καὶ ἕως συντελείας τοῦ αἰῶνος ὁμολογεῖ καὶ διακηρύττει τὸ θεῖον κῦρος τῆς ἑρμηνείας τῶν Ο. ιγ) Τοῦτο τρανῶς ἀποδείκνυσι καὶ αὐτὴ ἡ ἀπ' ἀρχῆς τοῦ Εὐαγγελικοῦ κηρύγματος μετ' αὐτοῦ τοῦ Εὐαγγελίου εἰς πᾶσαν τὴν οἰκουμένην ἐξάπλωσις καὶ διάδοσις αὐτῆς. Ὑπῆρξαν καὶ ἄλλαι μετὰ Χριστὸν ἐκ τοῦ ἑβραϊκοῦ ἐξελληνισθεῖσαι μεταφράσεις, ἀλλὰ πᾶσαι ἔμειναν ἐκτὸς τοῦ ἱεροῦ τῆς Ἐκκλησίας θριγγοῦ. Μόνη ἡ ἑρμηνεία τῶν Ο θεόθεν ὡρίσθη περὶ τὴν ἀνάγνωσιν τῶν Προφητῶν οἷον τιθηνήτρια καὶ τροφὸς ἁπασῶν τῶν ὑπ' οὐρανὸν Ἐκκλησιῶν· καὶ κατὰ ταύτην ἐπληροφοροῦντο τὴν ἀσφάλειαν τῆς Πίσεως πάντες οἱ λαοὶ, οἱ οἰκοδομούμενοι *ἐπὶ τῷ θεμελίῳ τῶν Προφητῶν καὶ Ἀποστόλων*. ιδ) Τὸ θεῖον τῆς ἑρμηνείας δείκνυσι λαμπρῶς ἡ ἀγήρως αὐτῆς φύσις, καὶ διηνεκὴς συντήρησις ἀπὸ πάσης βλάβης καὶ ἐπιβουλῆς τῶν ἀπὸ τοῦ β, αἰῶνος καὶ ἐφεξῆς κατ' αὐτῆς ἐπαναστάντων μυρίων ἐχθρῶν. Καὶ Ἰουδαῖοι, καὶ ἐθνικοὶ, καὶ ψευδόχριστοι αἱρετικοὶ πολυτρόπως ἐπῆλθον κατ' αὐτῆς, προσβάλλοντες, καὶ πίπτοντες. τὸ *ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα*. ιε) Καὶ τῶν ἑτεροδόξων αἱ Ἐκκλησίαι καὶ μέχρι σή-

μερον ὁμολογοῦσιν ἠρέμα τὸ θεῖον κῦρος τῆς ἑρμηνείας, οὐ μόνον ἡ Δυτικὴ (ἐφ' ὅσον συμφωνεῖ μετὰ τῶν ἀρχαίων ἁγίων αὐτῆς Πατέρων), ἀλλὰ καὶ αὐταὶ αἱ τῶν τῇ ἑβραΐδι Γραφῇ προσκειμένων Διαμαρτυρητῶν, οἵτινες κατὰ τὴν τῶν Ο Γραφὴν ἀναγινώσκουσιν ἐν ταῖς ἰδίαις αὐτῶν διαλέκτοις τὴν Καινὴν Διαθήκην, ἔν τε ταῖς ἐμπεριεχομέναις ῥήσεσι τῶν Προφητῶν, κἀν ἑτέραις φράσεσι πολλάκις ταῖς αὐταῖς. Συνομολογοῦσι δὲ, καὶ ὅτι χωρὶς τῆς ἑρμηνείας τῶν Ο, οὐκ ἂν ἐξηγηθεῖεν πάμπολλα τῆς Καινῆς Διαθήκης χωρία καὶ ἰδιωτισμοί. ιϛ) Οὐ μόνον κατὰ νόημα, ἀλλα καὶ κατὰ λέξιν θεοπνεύστους *τὰς πρωτοτύπους* θείας Γραφὰς ἡ τῶν Πατέρων εὐσέβεια δογματίζει, συμπαραλαμβάνουσα καὶ μίαν μόνην ἑρμηνείαν, τὴν τῶν Ο (ὡς μετὰ τοῦ Εὐαγγελίου παρὰ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παραδοθεῖσαν)· ἀποκλείουσι δὲ ταύτην οἱ νεωτερισταὶ, καθὸ ἑρμηνείαν. Ἀλλ' ὅμως αὐτὸ τὸ καὶ παρ' αὐτοῖς ὁμολογούμενον κατά τε λέξιν καὶ κατὰ νόημα, καὶ καθόλου καὶ καθ' ἕκαστα μέρη, θεόπνευστον τῆς πρωτοτύπου Καινῆς Διαθήκης, συνεισάγει πάντως καὶ τῆς τῶν Ο ἑρμηνείας τὸ θεόπνευστον. Ἐπειδὴ γὰρ ἐξ αὐτῆς οἱ Ἀπόστολοι ἠρύσαντο πολλὰς μὲν ῥήσεις προφητικὰς, πολλὰς δὲ καὶ λέξεων σημασίας ἰδιαζούσας, καὶ φράσεις ὁλοκλήρους, καὶ περικοπὰς (ὡς ὡμολόγηται καὶ παρ' αὐτοῖς τοῖς νεωτέροις σοφοῖς)· αἱ δ' αὐταὶ καὶ καθ' ἡμᾶς ἀναγινώσκονται (καὶ δι' αἰῶνος ἀναγνωσθήσονται) ἔν τε τῇ Καινῇ Διαθήκῃ κἀν τῇ τῶν Ο ἑρμηνείᾳ· ὅταν ἀπὸ ταύτης ἀφαιρεθῇ τὸ θεόπνευστον, ὡς ἀθειάστου, καὶ κοινῆς λογισθείσης, κατὰ τὴν ὑπέροφρυν κριτικὴν, ἔτι δὲ καὶ διεφθαρμένης κἀν τοῖς χωρίοις ἐκείνοις, ἐν οἷς διαφωνεῖ μὲν πρὸς τὸ νῦν ἑβραϊκὸν, συμφωνεῖ δὲ τοῖς Ἀποστόλοις· οὐκέτι λοιπὸν οὐδ' αὐτῶν τῶν Ἀποστολικῶν συγγραφῶν τὸ θεόπνευστον μένει βέβαιον καθόλου καὶ πάγιον, καὶ πάντῃ πάντως ἄθικτον καὶ ἀνεπιχείρητον. Οὐδὲ τῶν ἐπαγομένων μαρτυριῶν ἄχραντος ἐν πᾶσιν ἡ ἀσφάλεια καὶ πληροφορία· ἀλλὰ ταῦτα τίνι τῶν εὐσεβούντων ἀνασχετά; (βλ. ὄπισθ. σελ. 178).

Καὶ ἐφ' ὅσον ἄρα *κηρύττεται τὸ θεῖον Εὐαγγέλιον ἐν πάσῃ τῇ κτίσει*, συγκηρύττεται καὶ τὸ θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο.

Πολλῷ γὰρ μᾶλλον ἔμελλον οἱ Ο τῆς θείας μετασχεῖν ἐπιπνοίας, πρόδρομοι τῶν Ἀποστόλων θεόθεν ἀποσταλέντες, καὶ τὴν πρώτην ἀρχιτεκτονήσαντες ἑρμηνείαν τῶν προφητικῶν Γραφῶν εἰς ὑποδοχὴν τοῦ Εὐαγγελίου τῆς σωτηρίας τοῦ σύμπαντος κόσμου, ἢ ὁ Βεσελεὴλ, θεοφορήτως ἀρχιτεκτονῶν τὴν τοῦ Νόμου Κιβωτὸν, καὶ οἱ τεχνουργοὶ τῆς Ἀαρωνίτιδος ςολῆς, καὶ Ἐλδὰδ καὶ Μωδὰδ μετὰ τῶν περὶ τὸν Μωσῆν Ο, ἐκ θείου Πνεύματος προφητεύοντες, καὶ Ἰωσὴφ ἐξηγῶν τὰ ἐνύπνια τοῦ Φαραὼ, καὶ παῖς ἔτι ὁ Δανιὴλ θεοπνεύστως διακρίνων τὰ κατὰ τὴν Σωσάνναν, καὶ τ' ἄλλα παραδείγματα τῆς θείας Γραφῆς, ἃ κατὰ μέρος ἀπαριθμοῦνται (σελ. 99 - 102). Εἰ δὲ καὶ «*πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον*, οὐκ ἀδώρητοι λοιπὸν τῆς θείας ἐπιπνοίας ὑπῆρξαν οὐδ' αὐτοὶ οἱ τὸ θεῖον βούλημα πιστῶς πεπληρωκότες Ο, Γέροντες· πρέπει δὲ μάλιστα καὶ εἰς αὐτοὺς τὸ θεόπνευστον ῥῆμα τοῦ Ἰὼβ (λβ, 8) «*Πνεῦμα Θεοῦ ἐστιν ἐν βροτοῖς· πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με*».

Δ) Τὰ παρὰ τοῖς θείοις Πατράσιν *Ἀναγινωσκόμενα* καλούμενα βιβλία τῆς Γραφῆς (Τωβὶτ, Ἰουδεὶθ, Σοφία Σολομῶντος, Σοφία Σειρὰχ, καὶ τὰ Γ, τῶν Μακκαβαίων) ἐκτὸς μέν εἰσι τοῦ ἑβραϊκοῦ κανόνος, οὐχὶ δὲ καὶ Ἀπόκρυφα, καθὼς αὐτὰ φρονοῦσι καὶ καλοῦσιν οἱ μόνῳ τῷ ἑβραϊκῷ κανόνι προσανέχοντες, ἀλλ' ἅγια καὶ ταῦτα καὶ θεῖον ἔχοντα κῦρος, ὡς ὑπὸ τῆς Ἀποστολικῆς Ἐκκλησίας κεκυρωμένα, καὶ συνάμα καὶ ἰσοτίμως μετὰ τῶν τοῦ ἑβραϊκοῦ κανόνος θεοπνεύστων Γραφῶν ἐν τῷ Ἐκκλησιαστικῷ κανόνι συντεταγμένα. Βεβαιοῦσι δὲ τὸ κῦρος καὶ τὴν αὐθεντίαν τῶν ἱερῶν τούτων τευχῶν αἱ ἐφεξῆς ἀποδείξεις. α) Ἐν πᾶσι τοῖς ἀπὸ τοῦ Δ, αἰῶνος καὶ ἐφεξῆς σωζομένοις ἀντιγράφοις τοῦ κώδηκος τῶν Ο (ἐξ ἄλλων πάντως ἀρχαιοτέρων ἀπογραφεῖσιν), ᾧπερ ἀνέκαθεν κέχρηται ἡ Ἐκκλησία, πάντα τὰ τεύχη τῶν Ἀναγινωσκομένων εὑρίσκονται γεγραμμένα ἀναμὶξ καὶ παραλλάγδην μετὰ τῶν βιβλίων τῶν κανονικῶν. Οἱ δὲ πρῶτοι κώδηκες τῆς Γραφῆς, οὓς αὐτοί τε οἱ θεῖοι Ἀπόστολοι ἀνεγίνωσκον, καὶ τῇ Ἐκκλησίᾳ παρέδωκαν, ὑπῆρχον

βεβαίως οἱ αὐτοί, καὶ οἷς ἐν ταῖς Συναγωγαῖς ἐχρῶντο οἱ Ἑλληνισταί. ϐ) Ἐν ταῖς ἀρχαιοτάταις μεταφράσεσι τῆς κατὰ τοὺς Ο Γραφῆς (οἷον ἐν τῇ Ἰτάλᾳ καὶ τῇ Συριακῇ καὶ Αἰθιοπικῇ κτλ.) ἐμπεριέχονται καὶ ταῦτα τὰ τεύχη. γ) Ὁ Φίλων διαιρῶν τὰς θείας Γραφὰς «*εἰς Νόμους καὶ Λόγια θεσπιθέντα διὰ Προφητῶν, καὶ Ὕμνους*», προςίθησι, «*καὶ τὰ ἄλλα, οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονται*». Ταῦτα δὲ *τὰ ἄλλα* ἦσαν πάντως οὐ βέβηλα καὶ ἀπόκρυφα, ἀλλ' ἱερὰ καὶ σεβάσμια, αὐτὰ τὰ καθ' ἡμᾶς *Ἀναγινωσκόμενα*. δ) Καὶ κατὰ τὴν Ἰωσήπου μαρτυρίαν ταῦτα τὰ βιβλία ἐθεώρουν οἱ Ἑβραῖοι οὔτε ἀπόκρυφα, οὔτε πάντῃ ἄκυρα καὶ ἀθείαστα, ἀλλ' *ἠξιωμένα πίστεως* θρησκευτικῆς, καί τοι μὴ παρομοίας τῇ τῶν Κανονικῶν βιβλίων. ε) Καὶ οἱ Ταλμουδικοὶ καὶ ἄλλοι Ῥαββεῖς μνημονεύσι τῶν παρ' ἡμῖν Ἀναγινωσκομένων. ϛ) Κατὰ τὴν Ἱερωνύμου μαρτυρίαν, τὸν Τωβὶτ καὶ τὴν Ἰουδεὶθ συνηρίθμουν οἱ Ἑβραῖοι μετὰ τῶν παρ' αὐτοῖς *Ἁγιογράφων*. Καὶ Ὠριγένης ἀριθμήσας τὰ παρ' Ἑβραίοις Κανονικά, παρεκτὸς καὶ πλησίον τούτων προσηρίθμησε καὶ τὰ Μακκαβαϊκὰ (ὡς καὶ ταῦτα τίμια παρ' ἐκείνοις). ζ) Μαρτυρεῖ καὶ Ἰουνίλιος (ἐπὶ τοῦ ϛ, αἰῶνος), ὅτι τὰ καθ' ἡμᾶς Ἀναγινωσκόμενα παρεδέχοντο καὶ οἱ Ἑβραῖοι ὡς ἱερά, καί τοι μετά τινος διαςολῆς, διακρίνοντες ἀπὸ τῶν Κανονικῶν. η) Ἐν τῇ Καινῇ Διαθήκῃ εὑρίσκονται ῥήσεις ἐκ τῶν ἱερῶν τούτων βιβλίων, καί τοι μὴ ἐξ ὀνόματος μνημονευομένων. θ) Ὅτι ταῦτα τὰ βιβλία συνάμα μετὰ τῶν Κανονικῶν τῆς Παλαιᾶς Γραφῆς, ὡς ἅγια καὶ κύρια παρέδωκαν οἱ Ἀπόστολοι τῇ Ἐκκλησίᾳ, μαρτυρεῖ πρῶτος ὁ ΠΕ Κανὼν τῶν Ἀποστόλων, ὅπου τινὰ τούτων μνημονεύονται κατόπιν τῶν Κανονικῶν. ὡσαύτως γίνεται τούτων μνεία καὶ ἐν ταῖς τῶν Ἀποστόλων Διαταγαῖς. Ἔπειτα δὲ καὶ πάντες οἱ Ἀποστολικοὶ Πατέρες, καὶ οἱ τούτων ἐφεξῆς, ἐκ τῶν πέντε τούτων τευχῶν ὡς ἐκ θείων Γραφῶν ἐκφέρουσι μαρτυρίας ἐν ταῖς ἱεραῖς αὐτῶν συγγραφαῖς. ι) Ὁ Κανὼν τῆς ἐν Καρθαγένῃ Συνόδου συναριθμεῖ καὶ τὰ Ἀναγινωσκόμενα ὡς ἰσότιμα τοῖς Κανονικοῖς τῆς θεοπνεύστου Γραφῆς. ια) Τοῦτον τὸν Κανόνα, καθὰ

τὸν ΠΕ Ἀποστολικὸν ἐβεβαίωσαν καὶ αἱ Οἰκουμενικαὶ Σύνοδοι (Δ, ϛ, Ζ). ιβ) Καὶ κατ' ἰδίαν δὲ πάντες οἱ τῶν θεοφόρων Πατέρων ἀκρέμονες ἐξ ἑνὸς ἑκάστου τούτων, ὡς θείων βιβλίων, ἐκφέρουσι μαρτυρίας οὐ μόνον πρὸς ἠθικὴν διδασκαλίαν, ἀλλὰ πολλάκις καὶ πρὸς ἀποδείξεις δογματικάς. ιγ) Καὶ ἡ Δυτικὴ Ἐκκλησία ὁμολογεῖ τῶν κατ' αὐτὴν Δευτεροκανονικῶν λεγομένων τούτων βιβλίων τὸ κῦρος (α).

Ε) Τὸ θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο ἀποδείκνυται σαφῶς καὶ ὅταν ἐκτεθῶσιν αἱ περὶ τούτου δείξεις καὶ μαρτυρίαι κατὰ χρονολογικὴν ἔκθεσιν, ἀπ' ἀρχῆς μέχρι καὶ τῶν καθ' ἡμᾶς ἡμερῶν. Διαιρεῖται δὲ αὕτη εἰς τμήματα τρία, τὰ ἑξῆς.

Πρῶτον. Μαρτυρίαι τῶν Ἰουδαίων ἀπ' ἀρχῆς τῆς ἑρμηνείας μέχρι τοῦ ϛ, αἰῶνος μ. Χ. - α) Ἅμα τελειωθεῖσαν τὴν ἑρμηνείαν οἱ ἐν Ἀλεξανδρείᾳ καθηγεμόνες καὶ πρεσβύτεροι καὶ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἀνεκήρυξαν, *καλῶς καὶ ὁσίως καὶ κατὰ πᾶν*

(α) Καὶ τὰ ἐν τοῖς τάφοις τῶν Μαρτύρων καὶ ἀλλαχοῦ εὑρεθέντα ἀρχαιότατα μνημεῖα, οἷον εἰκόνες τῆς ἱερᾶς ἱστορίας, καὶ ἀνάγλυφα, καὶ σαρκοφάγοι λάρνακες, καὶ πίνακες χαλκοῖ, καὶ ὑάλινα εἰκονογραφικὰ τεμάχια, μαρτυροῦσι τὸ κῦρος οὐ μόνον τῶν Ἀναγινωσκομένων, ἀλλὰ καὶ ὅλης ἐκ μέρους τῆς ἑρμηνείας τῶν Ο. Περὶ τοῦ Τωβὶτ καὶ τῆς Σωσάννης προείπομεν (ὄπισθ. σελ. 190, καὶ Βιβλ. Γ. σελ. 835). Φέρεται πρὸς τούτοις ἐζωγραφημένος καὶ ὁ Ἀββακοὺμ, δίσκον κομίζων τῷ ἐν τῷ λάκκῳ τῶν λεόντων Δανιὴλ (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 652)· καὶ ὁ Ἰωνᾶς καθήμενος ὑπὸ κολοκύνθῃ (οὐχ' ὑπὸ Kikajon [τουτ. κίκυ], ὡς ἔχει τὸ νῦν ἑβραϊκὸν, ὅπερ ὁ Ἱερώνυμος ἡρμήνευσε κισσόν. βλ. ὄπισθ. σελ. 607). Καὶ ἐν ναοῖς ἀρχαίοις ἱεραὶ ζωγραφίαι παντοῖαι, ἄλλαι τε καὶ διὰ μουσείου (οἷαι φέρονται αἱ ἐπὶ τοῦ Πάπα Λέοντος τοῦ μεγάλου, τῷ 440, μ. Χ.) κηρύττουσι τὸ κῦρος τῶν Ο. Οἷον τὰ ὀνόματα τῶν ἐζωγραφημένων Προφητῶν (Βαροὺχ, Ἰωὴλ, Ἀβδίας, Ζαχαρίας, Ἀββακοὺμ, οὐκ Ἀββακοὺκ, κτλ. ὡς τὸ νῦν ἑβραϊκόν). Ἐν δὲ τούτοις ὁ μὲν Ἱερεμίας κρατεῖ εἰλητάριον, ἐν ᾧ γέγραπται «Οὗτος ὁ Θεὸς ἡμῶν» κτλ. (ἐκ τοῦ Βαρούχ. βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 674). Καὶ ὁ Δαβὶδ ὡσαύτως· «Ἄκουσον θύγατερ,» κτ. (ὅπερ ἄλλως ἔχει ἐν τῷ νῦν ἑβραϊκῷ), καὶ ἄλλος ἄλλα. (Τοιαῦτα τῶν θείων προφητῶν εἰκονίσματα καὶ ἐν τοῖς καθ' ἡμᾶς ἀρχαίοις ναοῖς ἐν τοίχοις φέρονται γεγραμμένα). Βλ. Ciampini Vet. Monument. T. 1. c. 4. - Buonarruoti, Osservat. sopra alcun. framment. di vetri antichi pag. — 18 καὶ 141. - Blanchini Vindicat. Canonicar. Scriptur. praef. pag. XLII.

ἠκριβωμένως ἡρμηνευμένην, καὶ δημοσίαις ἀραῖς κατωχύρωσαν αὐτὴν, ἵνα μένωσι διὰ παντὸς ἀέναα καὶ ἀμετάβλητα τὰ γεγραμμένα λόγια τοῦ Θεοῦ, ὡς ὁ γεραρὸς ἱστόρησεν Ἀριστέας. — β) Καὶ τὸ τῶν Ἱεροσολύμων μέγα Συνέδριον μετὰ τοῦ Ἀρχιερέως ὡς κυρίαν καὶ γνησίαν ἐπεκύρωσε τὴν ἑρμηνείαν. Διὸ ταύτῃ ἐχρῶντο πανταχοῦ τῆς οἰκουμένης οἱ ἑλληνισταὶ Ἰουδαῖοι, σεβόμενοι ὡς θείαν Γραφὴν, ἰσοδύναμον τῇ πρωτοτύπῳ ἑβραϊκῇ. — γ) Ἐν τοῖς ἱεροῖς βιβλίοις τοῦ Τωβὶτ, καὶ τῆς Ἰουδεὶθ, καὶ τῆς Σοφίας Σολομῶντος ἀπαντῶσι καὶ λέξεις καὶ φράσεις τῆς τῶν Κανονικῶν ἑρμηνείας, ἐκφερόμεναι ὡς ἐξ αὐτῆς τῆς πρωτοτύπου θείας Γραφῆς. — δ) Ἐκ τῆς ἑρμηνείας, ὡς παναλήθους καὶ θείας βίβλου παρ' Ἰουδαίοις πεπιστευμένης, ἔλαβον τὰς ὑποθέσεις καὶ ὅσοι Ἕλληνες ἱστόρησαν τὰ Ἰουδαϊκὰ, ὡς αὐτός τε ὁ Φαληρεὺς Δημήτριος, καὶ οἱ ἐφεξῆς, Ἔφορος, Εὐπόλεμος, Ἀρτάπανος, Ἀλέξανδρος ὁ Πολυΐστωρ. — ε) Καὶ οἱ ἐπὶ Πτολεμαίου τοῦ Φιλοπάτορος ἐν Αἰγύπτῳ κινδυνεύοντες Ἰουδαῖοι (τῷ 210 π. Χ.), προσηύχοντο ἐκ τῆς ἑρμηνείας τῶν Ο. — ς) Καὶ ἐπὶ τοῦ Φιλομήτορος (τῷ 175 π. Χ.) κρινόμενοι, προσήνεγκαν τὰς ἀποδείξεις ἐκ τῆς τῶν Ο Γραφῆς, ὡς βίβλου θείας καὶ γνησίας ἀνωμολογημένης. — ζ) Ἰησοῦς ὁ Σειραχίδης ἑρμηνεύων τὴν τοῦ πάπου Σοφίαν, πολλὰ τῶν Ο μετέγραψε. — η) Καὶ Ἰούδας ὁ Μακκαβαῖος μετὰ τῆς Γερουσίας ἐμφαίνουσι τὸ κῦρος τῆς ἑρμηνείας, ἐν τῇ πρὸς Ἀριστόβουλον ἐπιστολῇ. — θ) Καὶ αὐτὸς ὁ Ἀριστόβουλος ἐξήγει τὴν Μωσέως νομοθεσίαν κατὰ τὴν ἑρμηνείαν, ὡς μηδὲν διαφέρουσαν τῆς ἑβραϊκῆς. — ι) Τὴν ἑρμηνείαν τῶν Ο ἀνεγίνωσκεν ἐν Αἰγύπτῳ ὡς θείαν Γραφὴν κἀκεῖνος ὁ σχίστης Ἀρχιερεὺς Ὀνίας, ἐν ᾧ παρανόμως καθίδρυσεν Ὀνιείῳ. — ια) Ἐκ ταύτης συνέγραψε τὰς τραγῳδίας αὐτοῦ καὶ Ἰεζεκιὴλ, ὁ Ἰουδαῖος τραγῳδοποιός. — ιβ) Ὡς ἰσότιμον τῇ ἑβραΐδι ἀνεγίνωσκε τὴν ἑρμηνείαν καὶ ἡ κατὰ τὴν Ἱερουσαλὴμ ἔτι πρὸ Χριστοῦ συνεστηκυῖα Συναγωγὴ τῶν Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρινῶν Ἰουδαίων Ἑλληνιστῶν. — ιγ) Οἱ κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς (τῷ 33 μ. Χ.) τυχόντες ἐν Ἱεροσολύμοις κάτοικοι τοῦ Πόντου, καὶ τῆς μι-

κρᾶς Ἀσίας, καὶ τῆς Κρήτης Ἑλληνισταὶ (Ἰουδαῖοι καὶ προσήλυτοι) ἤκουον τὸν θεῖον Πέτρον ἑλληνιστὶ προφέροντα τὰς περὶ Χριστοῦ μαρτυρίας τῶν Προφητῶν ἐκ τῆς ἑρμηνείας τῶν Ο, ὡς θεοπνεύστου Γραφῆς, - ιδ) Ἐξ αὐτῆς τὰς Γραφικὰς ῥήσεις ἀπαγγέλλοντος καὶ Στεφάνου τοῦ πρωτομάρτυρος ἠκροᾶτο ὅλον τὸ Συνέδριον τῶν Ἰουδαίων. - ιε) Φίλων ὁ Ἰουδαῖος (τῷ 40 μ. Χ) ὕμνησε λαμπρῶς τὸ θεόπνευστον τῆς ἑρμηνείας. - ις) Καὶ Ἰώσηπος, ὁ ἱεροσολυμίτης ἱερεὺς, ταύτῃ ἐχρῆτο· καὶ τὴν Ἀριστέου ἱστορίαν ἀνέγραψε. - ιζ) Ἐκ ταύτης καὶ Ἰουστῖνος ὁ Τιβεριεὺς συνέταξεν ἑλληνιστὶ, Ἰουδαϊκὴν ἱστορίαν. - ιη) Καὶ Τρύφων ὁ Ἰουδαῖος θείαν καὶ κυρίαν αὐτὴν ὡμολόγει πρὸς τὸν Μάρτυρα Ἰουστῖνον. - ιθ) Ἤδη δὲ κατὰ τὸν β, αἰῶνα φρίξαντες καὶ στυγοῦντες τὸν ἐκ τῶν Ο, ἔλεγχον τῆς αὐτῶν ἀπιστίας οἱ μισόχριστοι Ἰουδαῖοι, ἤρξαντο συκοφαντεῖν τὴν ἑρμηνείαν, τυρεύσαντες τὴν ἰουδαΐζουσαν τοῦ Ἀκύλα· ἀλλὰ καὶ οὕτως οὐκ ἴσχυσαν οἱ Ῥαββῖνοι μέχρις Ἰουστινιανοῦ (τῷ 560) παντελῶς ἐξορίσαι ἐκ τῶν κατὰ τόπους Συναγωγῶν τὴν ἑρμηνείαν τῶν Ο. - κ) Καὶ αὐτὸ δὲ τὸ Ταλμοῦδον, καὶ ἐφεξῆς ὁ Γοριονίδης, καὶ ἄλλοι τῶν μεταγενεστέρων ῥαββίνων ὁμολογοῦσι τὴν ἐκ θείας ἐπιπνοίας συμφωνίαν τῶν Ο. Καὶ τὰ μὲν τῶν Ἰουδαίων τοιαῦτα.

Δεύτερον. Μαρτυρίαι τῶν Εὐαγγελιστῶν καὶ Ἀποστόλων. Α) Πάντες οἱ Ἀπόστολοι, ὡς Ἑβραῖοι ἐξ Ἑβραίων, καὶ τῆς Ἑλληνίδος γλώσσης ἐγκρατεῖς, ἀνεγίνωσκον τὴν ἑρμηνείαν τῶν Ο, πάντως ὡς θείαν καὶ ἰσοδύναμον τῷ ἑβραϊκῷ πρωτοτύπῳ, ὁποίαν αὐτὴν ἐφρόνουν καὶ ἐπρέσβευον οἱ πατέρες αὐτῶν, καὶ πᾶσα ἡ Συναγωγὴ τῶν τε Ἑλληνιςῶν, καὶ αὐτῶν τῶν τῇ ἑβραϊκῇ Γραφῇ χρωμένων Ἰουδαίων. Β) Ἀλλὰ καὶ ἐν ταῖς θεοπνεύστοις αὐτῶν συγγραφαῖς ἐσφράγισαν καὶ ἐβεβαίωσαν τὸ θεῖον κῦρος τῆς ἑρμηνείας, ἐξ αὐτῆς λαμβάνοντες τὰς μαρτυρίας τὰς προφητικὰς, πρὸς ἀπόδειξιν τοῦ Εὐαγγελικοῦ κηρύγματος· ὅθεν καὶ *θεόπνευστον ἐθέσπισαν πᾶσαν τὴν Γραφὴν*, καὶ *Γραφὰς ἁγίας* εἶπον αὐτὴν, καὶ *λόγους Θεοῦ ζῶντος*, καὶ *ῥήματα Θεοῦ*· καὶ ὡς τοιαύτην παρέδωκαν τῇ Ἐκκλησίᾳ τὴν ἑρμη-

νείαν (σελ. 300 — 304). Γ) Διακόσιαι τριάκοντα ὀκτὼ ῥήσεις ἐκ τῆς τῶν Ο Γραφῆς σεσημείωνται, ἐν τῷ ὕφει τῆς Καινῆς Διαθήκης ὑπὸ τῶν θείων Ἀποστόλων καὶ Εὐαγγελιστῶν συνεξυφασμέναι, αἱ πλεῖσται κατὰ πόδα καὶ κατὰ λέξιν ἀκριβῶς, αἱ δέ τινες καὶ μετά τινος ἐναλλαγῆς, ἢ καὶ κατὰ νόημα μόνον, ἐν αἷς ὅμως φαίνονται πάλιν τὰ ἴχνη τῆς ἑρμηνείας τῶν Ο (σελ. 305 — 355). Δ) Καὶ χωρὶς τῆς εἰς τοὺς Προφήτας παραπομπῆς πλῆθος λέξεων καὶ φράσεων τῶν Ο συνεξύφαναν οἱ θεῖοι Ἀπόστολοι ἐν ταῖς θεοπνεύστοις αὐτῶν συγγραφαῖς· οἷον α) πάντα τὰ κύρια ὀνόματα (400 περίπου τὸν ἀριθμόν). β) Μετὰ δὲ τῶν ὀνομάτων, καὶ τοὺς γενεαλογικοὺς τύπους. γ) Πάσας τῆς νομικῆς λατρείας καὶ θεσμοθεσίας τὰς κυριολεκτουμένας λέξεις, θρησκευτικάς, νομικάς, πολιτικάς, καὶ ἄλλας παντοίας. δ) Πάντα, τέλος, τὰ ἐκφαντορικὰ τῶν θείων δογμάτων καὶ μυστηρίων ὀνόματα, δι' ὧν παρέδωκαν τοῖς πιστοῖς, τὸ μέγα τῆς εὐσεβείας μυστήριον οἱ Ἀπόστολοι, πάντα σχεδὸν καὶ ταῦτα προϋπήχησαν τοῖς Ἀποστόλοις οἱ θεοφώτιστοι Ο. Οὕτως «*ὁ Νόμος παιδαγωγὸς ἡμῖν γέγονεν εἰς Χριστόν*»· καὶ ὅσα οἱ Προφῆται προεκήρυξαν, σκιωδῶς προδιαγράφοντες *τὴν μέλλουσαν εἰς ἡμᾶς ἀποκαλυφθῆναι Πίστιν*, καθὼς αὐτὰ μεθηρμήνευσαν ἐκ θείας ἐπιπνοίας οἱ Ο, διὰ τῶν αὐτῶν φωνῶν καὶ οἱ Χριστοκήρυκες Ἀπόστολοι, τῆς *Πίστεως ἐλθούσης*, ἐδίδαξαν, καὶ πραγματικῶς παρέδωκαν τῇ Ἐκκλησίᾳ (σελ. 356 — 357).

Τρίτον. Μαρτυρίαι τῶν θείων Πατέρων, καὶ Συνόδων τοπικῶν τε καὶ Οἰκουμενικῶν, καὶ διδασκάλων ἐκκλησιαστικῶν, καὶ ἄλλων νεωτέρων σοφῶν, ἀπὸ τῶν ἀποστολικῶν χρόνων ἄχρι καὶ τῶν καθ' ἡμᾶς ἡμερῶν ἀδιαλείπτως καὶ διηνεκῶς κηρύττουσι τὸ θεόπνευστον τῆς ἑρμηνείας τῶν Ο, (βλ. σελ. 417 — 832).

ϛ) Πᾶσαι αἱ ἀπὸ τοῦ α, αἰῶνος τελευτῶντος, ἢ τοῦ β, ἀρχομένου, καὶ ἐφεξῆς πρῶται γενόμεναι μεταφράσεις τῆς Παλαιᾶς Διαθήκης παρὰ τοῖς κατὰ χώρας ἑτερογλώσσοις λαοῖς τῶν χριστιανῶν, ἅπασαι γεγόνασιν ἐκ τῆς ἑρμηνείας τῶν Ο (οἷον ἡ παλαιὰ Λατινὶς

Ἰτάλα, ἡ Συριακή, ἡ Αἰθιοπική, ἡ Ἀραβική, καὶ αἱ λοιπαὶ αἱ προδιαγραφεῖσαι). Οὐδ' ἔστιν οὐδὲν τῶν κατὰ τὴν οἰκουμένην τὸ πρῶτον χριστιανισάντων ἐθνῶν, ὃ μὴ παρέλαβε καὶ τὴν ἑλληνικὴν τῶν Ο ἑρμηνείαν μετὰ τῆς ἑλληνιστὶ γεγραμμένης Καινῆς Διαθήκης, ἐξ ὧν καὶ τὴν εἰς τὰς ἐγχωρίους ἑκάστοις διαλέκτους μετάφρασιν ἐφιλοπόνουν, ὡς θείας ἀμφοτέρας καὶ πρωτοτύπους τοῦ Θεοῦ Διαθήκας ἀποδεχόμενοι καὶ ὁμολογοῦντες. Οὐδεμία δὲ τῶν ὑπ' οὐρανὸν Ἐκκλησιῶν, οὔτε κατ' Ἀσίαν καὶ τὴν Εὐρώπην, οὔτε κατὰ τὴν Ἀφρικὴν, οὐδεμίαν τῶν μετὰ Χριστὸν ἐκ τοῦ ἑβραϊκοῦ εἰς τὸ ἑλληνικὸν ὑπὸ τῶν Ἰουδαίων γενομένων ἑρμηνειῶν ἀπεδέξατο· ἀλλ' οὐδ' ἄλλην ἀμέσως ἐξ αὐτοῦ τοῦ μ. Χ. ἑβραϊκοῦ οὐδεὶς τῶν χριστιανῶν (μέχρις Ἱερωνύμου) ἐπεχείρησεν ἐκπονῆσαι. Ὅθεν πάλιν ἀποδείκνυται τὸ θεῖον τῶν Ο κῦρος ὑπὸ πάσης τῆς καθόλου καὶ Ἀποστολικῆς Ἐκκλησίας ὁμολογούμενον.

Ζ) Τῆς ἑρμηνείας τῶν Ο τρεῖς ἀριθμοῦνται παρὰ τοῖς ἀρχαίοις ἐν χειρογράφοις ἐκδόσεις. α) Ἡ Ὠριγένειος, ἣν ὁ θαυμάσιος ἐφιλοπόνησεν Ὠριγένης, ἀνακαθαίρων τὰ ἐκ τῆς πυκνῆς ἀντιγραφῆς εἰς πολλὰ τῶν ἀντιγράφων εἰσπεπτωκότα σφάλματα· διώρθου δὲ ταῦτα πρὸς τὰ τῶν ἀντιγράφων ἀκριβέστερα ἀντιβάλλων· παρέβαλλε δὲ καὶ πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκὸν, καὶ τὰς νεωτέρας ἰουδαϊκὰς μεταφράσεις, καταδεικνὺς τοῖς χριστιανοῖς τὴν πρὸς ταύτας διαφορὰν τῆς γνησίας καὶ Ἀποστολοπαραδότου ἑρμηνείας τῶν Ο. Καὶ πρῶτον μὲν ἐξέδωκεν ἐν τοῖς Τετραπλοῖς αὐτὸ καὶ μόνον τὸ τῶν Ο κείμενον, καθαρὸν καὶ ἄμικτον πρὸς τὰς ἄλλας, ἃς εἰς στήλας ἰδίας παρέταττεν, ἑρμηνείας τῶν τριῶν μετὰ Χριστὸν ἑρμηνευτῶν. Ἔπειτα δὲ τοῦτ' αὐτὸ τὸ κείμενον ἐξέδωκε πάλιν καὶ ἐν τοῖς Ἑξαπλοῖς, παρεμβεβληκὼς καὶ σημεῖα κριτικὰ, ἐν οἷς καὶ ὁ ὀβελὸς (δι' οὗ ἐσήμαινε τὰ λείποντα ἐκ τοῦ κατ' αὐτὸν ἑβραϊκοῦ), καὶ ὁ ἀστερίσκος (δι' οὗ προσετίθη τὰ λείποντα ἐν οἷς ἐξήταζεν ἀντιγράφοις τῶν Ο, ἀναπληρῶν ἐκ τῆς τοῦ Θεοδοτίωνος ἑρμηνείας). Ἀλλὰ καὶ οὕτως, ἔμενε καὶ ἐν τοῖς Ἑξαπλοῖς αὐτὸ τὸ κείμενον τῶν Ο, γνήσιον καὶ ἀμιγὲς τῶν παρεντεθειμένων προσθηκῶν, ὡς

κεχωρισμένον διὰ τῶν ἀστερίσκων. Ἐκ δὲ τῶν ὀγκωδεστάτων καὶ πολυτόμων Ἑξαπλῶν μετέγραψαν ἀκριβῶς μόνον τὸ τῶν Ο κείμενον μετὰ τῶν σημείων Πάμφιλος καὶ Εὐσέβιος. Ὡσαύτως καὶ τὸ χωρὶς τῶν σημείων ἐν τοῖς Τετραπλοῖς καταγεγραμμένον, ἐν ἰδίοις καταχωρίσαντες ἀντιγράφοις· ἐκ τῶν Τετραπλαίων τούτων μετεγράφοντο καὶ τὰ ἐν ταῖς Ἐκκλησίαις ἀναγινωσκόμενα, καὶ Παλαιστινὰ λεγόμενα ἀντίγραφα τῶν Ο. - β) Ἄλλην μετὰ τὸν Ὠριγένην ἔκδοσιν τοῦ κειμένου τῶν Ο, ἐξέδωκεν ὁ ἱερομάρτυς Λουκιανὸς ἐν Ἀντιοχείᾳ, καθαρίσας καὶ αὐτὸς ἐκ τῶν εἰσπεπτωκότων σφαλμάτων τὰ κατὰ τὴν Συρίαν φερόμενα ἀντίγραφα, ἃ διώρθου καὶ οὗτος πρὸς τὰ ἀκριβέστερα σῳζόμενα τῶν ἀντιγράφων· παρέβαλλε δὲ καὶ πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν, εἰς πληροφορίαν τῆς ἀκριβείας τῶν ἀναγνωσμάτων, ἐν ὅσοις οὐ διεφώνει κἀκεῖνο πρὸς τὸ κείμενον τῶν Ο. - γ) Τότε συγχρόνως σχεδὸν καὶ ὁ ἱερομάρτυς Ἡσύχιος ἐν Ἀλεξανδρείᾳ τρίτην ἐφιλοπόνησεν ἔκδοσιν τοῦ τῶν Ο κειμένου, διορθῶν καὶ οὗτος τὰ σφάλματα τῶν κατ᾽ Αἴγυπτον ἀντιγράφων, διὰ τῆς πρὸς τὰ ἀκριβέστερα τῶν σῳζομένων ἀντιβολῆς.

Η) Σημειωτέον δὲ, ὅτι αἱ τρεῖς αὗται ἐκδόσεις, ἡ Ὠριγένειος καὶ ἡ Λουκιανὶς καὶ Ἡσυχιὰς, οὐδέν τι σχεδὸν διέφερον ἀπ᾽ ἀλλήλων, εἰ μὴ κατά τινας, τυχὸν, ἀδιαφόρους καὶ μικρὰς παραλλαγάς. Πᾶσαι γὰρ συμφώνως καὶ συνᾳδόντως μίαν καὶ τὴν αὐτὴν ἑρμηνείαν τῶν Ο παρεῖχον, τὴν ἐν πάσαις ταῖς Ἐκκλησίαις Κοινῶς ἀναγινωσκομένην (διὸ καὶ *Κοινὴν* πρὸς διαστολὴν τῶν Ὠριγένους Ἑξαπλῶν ἐπονομασθεῖσαν παρά τισι τῶν σχολιαστῶν). Ὥστε ἡ παρ᾽ Ἱερωνύμῳ τριπλῆ, κατὰ τὰς τρεῖς ἐκδόσεις, διαίρεσις καὶ διαφορὰ τοῦ κειμένου μάτην τε ἐῤῥέθη, καὶ ἀτόπως παρά τισιν ἐπιστεύθη. Ἀποδείκνυται δὲ τοῦτο τρανῶς καὶ ἀλλαχόθεν, καὶ μάλιστα ἐκ τῶν ἔν τε Παλαιστίνῃ καὶ Ἀντιοχείᾳ καὶ Αἰγύπτῳ (ἔνθα καὶ γεγόνασιν αἱ τρεῖς ἐκδόσεις) διαλαμψάντων θείων Πατέρων, οἵτινες ἐκφέρουσι συμφώνως τὰς ἐκ τῶν αὐτῶν τόπων ῥήσεις τῆς Γραφῆς. Τούτοις δὲ πάλιν συμφωνοῦσι καὶ οἱ τοῦ Ὠριγένους ἀρχαιότεροι Πατέρες.

Θ) Τῶν δὲ παρὰ τοῖς νεωτέροις ἐξ ἀρχαίων ἀντιγράφων τύποις

δεδημοσιευμένων ἐκδόσεων τοῦ κειμένου τῶν Ο, αἱ ἐπισημόταται, τέσσαρες καθ' ἡμᾶς ἀριθμοῦνται. α) Ἡ Κομπλούτειος· β) ἡ Ἀλδίνα· γ) ἡ Ῥωμαία τοῦ Βατικανοῦ. δ) Ἡ τοῦ Ἀλεξανδρινοῦ χειρογράφου. Ὑπαίτιος ἔν τισι χωρίοις ἡ πρώτη. Σεμνὴ καὶ γεραρὰ, ἡ Ἀλδίνα. Διασημοτάτη ἡ τοῦ Βατικανοῦ. Κορυφαία δὲ πασῶν ἡ τοῦ Ἀλεξανδρινοῦ, ᾗ χρῆται ἐξ ἀρχῆς ἡ Ὀρθόδοξος Ἐκκλησία. Καὶ ἔνεισι μὲν ἐν πάσαις ταῖς ἐκδόσεσιν ἐλλείψεις ἔκ τε τῶν ἀρχαίων βιβλιογράφων, καὶ τῶν ἐκδοτῶν αὐτῶν προελθοῦσαι· ἀλλὰ καὶ οὕτω τὸ κείμενον τῶν Ο γνήσιον μένει καὶ ἄρτιον καὶ ὁλομελὲς οὐχ ἧττον, ἢ σῶμα καλὸν καὶ γενναῖον, φέρον κατὰ τόπους ἀνόσους ἀκροχορδῶνας. Ἐν πᾶσι τοῖς πολυαρίθμοις ἀρχαίοις ἀντιγράφοις τὰ αὐτὰ φέρονται τεύχη, τὰ αὐτὰ κεφάλαια μετὰ τῶν στίχων τῶν αὐτῶν (κἄν τε διῃρημένως, κἄν τε συνημμένως γράφωνται καὶ ἀδιαιρέτως, κατὰ τὸν ἀρχαϊκώτερον τρόπον τῆς γραφῆς, ὡς ἐν τῷ Ἀλεξανδρινῷ χειρογράφῳ, κἂν τῷ τοῦ Ἄλδου πολλαχοῦ, κτλ.), ἡ αὐτὴ φράσις, ἡ αὐτὴ σύνθεσις, αἱ λέξεις αἱ αὐταὶ περὶ τὰ καθόλου. Αἱ δ' ἔν τισι χειρογράφοις ἐμφερόμεναι διαφοραὶ, πολλάκις θεραπεύονται ἐκ τελειοτέρων ἄλλων ἀντιγράφων, συμμαρτυρούντων καὶ τῶν Πατέρων, ὧν τὰ μερικά τε καὶ καθόλου εἰς πᾶσαν τὴν Γραφὴν σῳζόμενα ὑπομνήματα μαρτυροῦσιν, ὅτι τὸ αὐτὸ καὶ νῦν ἀναγινώσκει κείμενον ἡ Ἐκκλησία, ὅπερ ἀνεγίνωσκε καὶ ἐπ' ἐκείνων (α). Καὶ αἱ μεταξὺ τοσούτων μυριάδων λέξεων, (τῶν αὐτῶν ἐπ' ἀκριβὲς, καθ' ὅλας τὰς ἐκδόσεις), ὀλίγαι κατὰ τόπους ἀπαντῶσαι παραλλαγαὶ, οὐδόλως παραβλάπτουσιν οὔτε τὸ τῶν θείων ἐννοιῶν οὐσιῶδες, οὔτε τὴν θεοκύρωτον ἀξίαν τοῦ τῶν Ο, κειμένου· ὡς οὐδὲ τὸ θεῖον καὶ ἱερὸν ἀρχέτυπον τῆς Καινῆς Διαθήκης, αἱ τῶν κωδήκων κατὰ τόπους παραλλαγαί. Καὶ μάτην ἄρα τοὔλαιον ἐδαπάνησαν οἱ δεινότατοι τῶν κριτικῶν, εἰς ἀρχαίας τριγονίας ἀνάγοντες τοὺς κώδηκας τῶν Ο, κατὰ τὸν φαντασιώδη τοῦ Ἱερωνύμου κανόνα· ἢ μήπως καὶ τῶν τῆς Καινῆς Διαθήκης ἀν-

(α) Walton Proleg. IX. §. 37—44. Πρβλ. καὶ ὄπισθ. Βιβλ. Γ. κεφ. ιβ. §. δ.

τιγράφων αἱ φερόμεναι διαφοραὶ προῆλθον ἔκ τινων ἐκδόσεων τριγενῶν; Ἔπειτα δὲ καὶ αὐτοὶ οὗτοι πάλιν οἱ κριτικοὶ ταῦτα τὰ γένη συγχέουσιν ἐξ ἀνάγκης, νῦν μὲν εἰς ταύτην, νῦν δ' εἰς ἐκείνην τὴν ἀρχαίαν ἔκδοσιν ἀνάγοντες τὰ παλαιὰ τῶν Ο χειρόγραφα, ἅτε μὴ δυνάμενοι καθ' ἕκαστον διορίσαι τῶν τεθρυλλημένων γενῶν τοὺς διακριτικοὺς χαρακτῆρας· καὶ τέλος, ἄλλος ἄλλοθεν ὁρμώμενοι, καταντῶσιν οἱ πάντες ἀνεπαισθήτως εἰς μίαν καὶ μόνην ἔκδοσιν, τὴν Κοινὴν (κεφ. ζ. §. ιζ), αὐτὴν δηλονότι τὴν ἑρμηνείαν τῶν Ο, ἣν μίαν καὶ μόνην καθ' ὅλας τὰς ἐκδόσεις εἶχε καὶ ἔχει καὶ ἕξει δι' αἰῶνος ἡ Ἐκκλησία. Δι' αὐτῆς καὶ μόνης *συμφωνοῦσιν οἱ λόγοι τῶν Προφητῶν* τοῖς λόγοις *τῶν Ἀποστόλων* (Πράξ. ιε, 34), καὶ πᾶσαι αἱ κατὰ τοὺς Ο «*προφητικαὶ Γραφαὶ*» πρὸς τὸ «*διὰ Προφητῶν προεπαγγελθὲν Εὐαγγέλιον τοῦ Θεοῦ*». Κατὰ ταύτας ἀμφοτέρας τὰς *Γραφὰς* ἡ Ἐκκλησία ὁμολογεῖ τὸ μέγα τῆς *εὐσεβείας μυστήριον*. Ἐν ταύταις ταῖς ἁγίαις Γραφαῖς οἱ πιστοὶ διδασκόμενοι καὶ τελούμενοι, ἐλλαμπόμεθα τὰς καρδίας «*τὸν φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ· καὶ πιστεύομεν, διὸ καὶ λαλοῦμεν*» (Β. Κορ. δ). Τούτων ἀμφοτέρων τῶν Γραφῶν τὰ θεοτύπωτα ῥήματα, ἐν οἷς, ὡς εὐαγέσι καὶ καθαροῖς ἐνδύμασιν, ὁ σωτήριος ἐμπεριέχεται λόγος, καθορῶμεν ἀπαστράπτοντα τὸ φῶς τῶν ὑψηλῶν τῆς Πίστεως νοημάτων, ὡς ἔβλεπον ἐπὶ τοῦ Θαβωρίου οἱ Μαθηταὶ τοῦ θεανθρώπου Λόγου *τὰ ἱμάτιά*, «*στίλβοντα καὶ λευκὰ, ὡς τὸ φῶς*, οἷα *γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι*».

§. ϛ. Καταντήσας εἰς τὸ τέλος τῆς, ὡς πρὸς τὴν ἐμὴν ἀσθένειαν, πολυπόνου ταύτης συγγραφῆς, ἠλεημένος ὑπὸ Κυρίου, κλίνω τὸ γόνυ τῆς ψυχῆς μου καὶ τοῦ σώματος, καὶ προσπίπτω, καὶ προσκυνῶ, καὶ δοξάζω τὸν Κύριον καὶ Θεόν μου, τὸν δόντα μοι πνοὴν, καὶ ἐνισχύσαντά με, ὅπως ἂν κἀγὼ κατὰ τὸ μέτρον ἧς παρέλαβον διακονίας, *λαλήσω ἐν τοῖς μαρτυρίοις αὐτοῦ, καὶ* ἐξαγγείλω τὴν *αἴνεσιν* αὐτοῦ *ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιὼν*, τῆς ἁγίας αὐτοῦ Ἐκκλησίας, παρατιθεὶς τοῖς ἀδελφοῖς,

ἃ παρελάβομεν παρὰ τῶν μακαρίων Πατέρων. Καὶ εἴτι μὲν ἀξίως τῆς προθέσεως εἴρηται, Θεοῦ τὸ δῶρον, τοῦ ὑψίστου Νομοθέτου τῆς Παλαιᾶς καὶ τῆς Καινῆς, ὃς *ἀποκαλύπτει τοὺς ὀφθαλμοὺς* τῶν εὐχομένων *κατανοῆσαι τὰ θαυμάσια* τοῦ θείου αὐτοῦ *Νόμου, καὶ δίδωσιν ἀνθρώπῳ γνῶσιν, ἐξάγων τίμιον καὶ ἐξ ἀναξίου*. Ἐν οἷς δὲ τῆς ἀκριβείας, διὰ τὴν τῆς φύσεως ἀσθένειαν καὶ τὴν σύντροφον ἡμῖν πενίαν, ἀπελείφθημεν, ἄλλοι τῶν τὰ πλείω τάλαντα πεπιστευμένων, καὶ προθύμως καὶ πιστῶς ἐν αὐτοῖς ἐργαζομένων, δοῦλοι Κυρίου τὰ τελειότερα πραγματεύσονται· «Οἷς αὐτὸς πάλιν ὁ *Κύριος εὐαγγελιζομένοις, δίδωσι ῥῆμα δυνάμει πολλῇ*».

« ΑΥΤΩ͂Ι Η ΔΟΞΑ ΕΝ ΤΗ͂Ι ΕΚΚΛΗΣΙΑ͂Ι, ΕΝ ΧΡΙΣΤΩ͂Ι ΙΗΣΟΥ, ΕΙΣ ΠΑΣΑΣ ΤΑΣ ΓΕΝΕΑΣ ΤΟΥ ΑΙΩΝΟΣ ΤΩΝ ΑΙΩΝΩΝ ΑΜΗΝ».

(Ἐφεσ. γ. 20).

ΤΕΛΟΣ ΤΗΣ ΠΕΡΙ ΤΩΝ Ο ΕΡΜΗΝΕΥΤΩΝ
ΤΕΤΡΑΒΙΒΛΟΥ.

ΠΑΡΑΡΤΗΜΑ.

Ἐν ᾧ περιέχονται αἱ περὶ τῆς ἑρμηνείας τῶν Ο ἱστορικαὶ μαρτυρίαι τῶν ἀρχαίων συγγραφέων.

Εἰσὶ δὲ οἱ ἑξῆς.

ΑΡΙΣΤΕΑΣ.

Ἰουδαῖοι.

ΑΡΙΣΤΟΒΟΥΛΟΣ.	ΙΩΣΗΠΟΣ ΓΟΡΙΩΝ.
ΦΙΛΩΝ.	ΙΑΡΧΗΣ.
ΙΩΣΗΠΟΣ.	ΓΑΝΖΗΣ.
ΤΑΛΜΟΥΔΟΝ.	ΑΖΑΡΙΑΣ.

Οἱ ἱεροὶ Πατέρες, καὶ ἄλλοι συγγραφεῖς.

ΙΟΥΣΤΙΝΟΣ.	ΚΥΡΙΛΛΟΣ ΑΛΕΞΑΝΔΡ.
ΕΙΡΗΝΑΙΟΣ.	ΘΕΟΔΩΡΗΤΟΣ.
ΚΛΗΜΗΣ ΑΛΕΞΑΝΔΡ.	ΒΑΣΙΛΕΙΟΣ ΣΕΛΕΥΚΕΙΑΣ.
ΤΕΡΤΥΛΛΙΑΝΟΣ.	ΟΛΥΜΠΙΟΔΩΡΟΣ.
ΑΝΑΤΟΛΙΟΣ.	ΠΡΟΚΟΠΙΟΣ ΓΑΖΑΙΟΣ.
ΘΕΩΝΑΣ.	ΙΟΥΣΤΙΝΙΑΝΟΣ ΑΥΤΟΚΡ.
ΕΥΣΕΒΙΟΣ.	ΚΟΣΜΑΣ ΙΝΔΙΚΟΠΛΕΥΣ.
Μ. ΑΘΑΝΑΣΙΟΣ.	ΙΩΑ. ΜΑΛΑΛΑΣ.
ΚΥΡΙΛΛΟΣ ΙΕΡΟΣΟΛ.	ΑΛΕΞΑΝΔΡΙΝΟΝ ΧΡΟΝΙΚ.
ΙΛΑΡΙΟΣ.	ΓΕΩ. ΣΥΓΚΕΛΛΟΣ.
ΕΠΙΦΑΝΙΟΣ.	ΝΙΚΗΤΑΣ ΣΕΡΡΩΝ.
ΦΙΛΑΣΤΡΙΟΣ.	ΓΕΩΡ. ΚΕΔΡΗΝΟΣ.
ΙΕΡΩΝΥΜΟΣ.	ΕΥΘΥΜΙΟΣ ΖΙΓΑΒΗΝΟΣ.
ΡΟΥΦΙΝΟΣ.	ΝΙΚΗΦΟΡΟΣ ΚΑΛΛΙΣΤΟΣ.
ΑΥΓΟΥΣΤΙΝΟΣ.	ΕΥΔΟΚΙΑ ΜΑΚΡΕΜΒΟΛΙΤ.
ΧΡΥΣΟΣΤΟΜΟΣ.	ΙΩ. ΖΩΝΑΡΑΣ.
ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤ.	ΑΝΩΝΥΜΟΣ.
ΗΣΥΧΙΟΣ ΠΡΕΣΒΥΤ.	

ΠΡΟΛΟΓΟΣ.

Πρώτην ἐν τῷ παραρτήματι κατατάσσομεν τὴν περιμάχητον Ἀριστέου συγγραφήν. Καὶ τίς μὲν ὁ Ἀριστέας οὗτος, καὶ πόθεν, καὶ ποία τις ἡ συγγραφὴ, εἴδομεν ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Α. κεφ. β. κτλ.)· ἐν οἷς ἀπηντήσαμεν καὶ πρὸς τὰς κατ' αὐτῆς ποικίλας καὶ πολλὰς καὶ παρὰ πλείστων ὅσων ἐπενεχθείσας διαβολάς. Ἐνταῦθα δὲ προστιθέμεθα μόνον, ὅτι σπανίως εὑρίσκεται βιβλίον ἐν οὕτω σμικρῷ ὄγκῳ τοσαύτας γνώσεις ἐμπερικλεῖον, ἱςορικὰς, πολιτικὰς, χωρογραφικὰς, τεχνολογικὰς, οἰκονομικὰς, φυσιολογικὰς, ἀλληγορικὰς, ἠθικὰς, θεολογικάς· ἐπιπρέπει δὲ πολλαχοῦ καὶ τὸ κύριον τῆς λέξεως καὶ ἀκριβὲς, καὶ τὸ τῆς φράσεως ἀπέριττον καὶ φυσικόν· ὁ δὲ τοῦ λόγου χαρακτὴρ, ἀρχαΐζων Ἀλεξανδρινός. Ἐπιγράφεται δὲ τὸ σύγγραμμα, *Ἀριστέας Φιλοκράτει*, ἐν εἴδει ἐπιστολῆς· (ὁ δὲ Φιλοκράτης ἀδελφὸς Ἀριστέου). Καὶ ταύτην ἐννοεῖ τὴν ἐπιστολὴν ὁ Εὐσέβιος, ἐν οἷς περιφραστικώτερον αὐτὴν χαρακτηρίζων, ἀποκαλεῖ «βιβλίον τοῦ Ἀριστέου, τὸ *περὶ τῆς ἑρμηνείας τοῦ τῶν Ἰουδαίων νόμου*» (Εὐαγγ. Προπαρ. Θ. σελ. 266). Ταύτης τοίνυν τῆς Ἀριστέου συγγραφῆς ποιούμενοι τὴν ἔκδοσιν, προλέγομεν ὀλίγα τινὰ περὶ τῶν προτέρων κατὰ καιροὺς καὶ κατὰ τόπους ἐκδόσεων, καὶ εἰς ἄλλας γλώσσας μεταφράσεων αὐτῆς. α) Ἐξεδόθη ἐν Βασιλείᾳ τῷ 1561, ὑπὸ Σχαρδίου, μετὰ τῆς λατινικῆς μεταφράσεως Ματθίου τοῦ Γαρβιτίου (ταύτην μετετύπωσε τῷ 1624 καὶ Δουκαῖος ἐν τῷ παραρτήματι τῆς τῶν Πατέρων Βιβλιοθήκης τόμ. β. σελ. 856. Ὡσαύτως καὶ τῷ 1654 οἱ ἐκδόται τῆς ἐν Παρισίοις Βιβλιοθήκης τῶν Πατέρων τόμ. ιγ). β) Ἐξεδόθη ἐν Φραγκοφούρτῳ τῷ 1610, ἐκ τοῦ Βατικανοῦ χειρογράφου, ὑπὸ Ἐλδάνου τοῦ Παρχούμου. γ) Τῷ δὲ 1691 καὶ ὁ

φαβρίκιος μετὰ τῶν Ἰωσήπου συγγραμμάτων συνεξέδωκεν ἐν Κολωνίᾳ καὶ τὸν Ἀριστέαν ὡς παράρτημα, προσθεὶς καί τινα σημειώματα· (ἐκ ταύτης τῆς ἐκδόσεως καὶ Ἀβερκάμπης πρὸς τοῖς Ἰωσήπου συγγράμμασιν, ἃ ἐξέδωκεν ἐν Ἀμστελοδάμῳ τῷ 1726, προσέθηκε καὶ τὸν Ἀριστέαν μετὰ τῆς μεταφράσεως τοῦ Γαρβιτίου τόμ. β· σελ. 97 - 136). δ) Κατὰ δὲ τὸ 1692 ἐξέδωκε τὴν Ἀριστέου ἱστορίαν ἐν Ὀξονίῳ τυπογράφος ἀνώνυμος, προτροπῇ τοῦ διασημοτάτου Ἐδ. Βερνάρδου (ὡς λέγει ἐν τῷ προλογῳ). Ἐκ ταύτης τῆς ἐκδόσεως μετετύπωσεν αὐτὴν καὶ Ὅδιος ἐν Ὀξονίῳ (τῷ 1705), ἐν τῷ προμετωπίῳ τῆς *Περὶ τῶν πρωτοτύπων κειμένων* κτλ. ἑβδομηκονταμάχου πραγματείας. Ὁμοίως καὶ Ἀντώνιος ὁ Βανδάλης ἐν τῇ κατὰ τῶν Ο, Διατριβῇ (Ἀμστελοδ. 1705). Καὶ ε) τέλος, πρὸ περίπου 80, ἐτῶν, τῷ 1766, Ἀνδρέας ὁ Γαλλάνδος ἐξέδωκε τὸν Ἀριστέαν ἐν τῷ β, τόμῳ τῆς τῶν Πατέρων Βιβλιοθήκης κατὰ τὴν ἐν Ὀξονίῳ ἔκδοσιν, προσθεὶς, ἐξ αὐτῆς τε καὶ ἄλλων, καὶ τὰς περὶ Ἀριστέου μαρτυρίας τῶν ἀρχαίων (πρὸς αἷς ἡμεῖς καὶ ἄλλας ἐνταῦθα πλείονας προσεθήκαμεν). Πάσας ταύτας τὰς ἐκδόσεις (πλὴν τῆς ἐν Φραγκοφούρτῳ), ἔχομεν πρὸ ὀφθαλμῶν, τὰς πάσας φερούσας, κατὰ τὸ μᾶλλον καὶ ἧττον, τὴν πολλαχοῦ τοῦ Ἀριστεανοῦ κειμένου παρεισπεσοῦσαν ἐν τοῖς ἀντιγράφοις ὑπό τε χρόνου καὶ τῶν βιβλιογράφων ἀλλοίωσιν καὶ διαφθορὰν, καὶ αὐτὰ δὲ τὰ προφανέστατα σφάλματα τῶν ἀντιγραφέων, ἄλλα τε, καὶ τὰ περὶ στίξιν καὶ τὴν ὀρθογραφίαν. Εἶχε δ' ἂν ἡ φιλολογία πολλῷ δήπου τελειοτέραν ἔκδοσιν τοῦ μικροῦ καὶ καλλίστου βιβλίου τοῦ Ἀριστέου, τὴν ὑπὸ τοῦ σοφωτάτου Ἰ. Οὐοσσίου ὑπεσχημένην, εἰ μὴ φθὰς ὁ θάνατος ἀφήρπασεν αὐτὸν, πρὶν ἢ τὸ ἔργον διαπεράνῃ. Καὶ ταῦτα μὲν περὶ τῶν ἐκδόσεων. Τῶν δὲ καὶ εἰς ἄλλας διαλέκτους μεταφράσεων τοῦ Ἀριστέου πρώτη φέρεται ἡ λατινικὴ ὑπὸ Ματθίου τοῦ Παλμερίου μεταφρασθεῖσα, καὶ ἐκδοθεῖσα τὸ πρῶτον ἐν Ῥώμῃ τῷ 1471, ὡς εἰκάζεται, εἶτα δὲ καὶ ἀλλαχοῦ, καὶ ἐν Κολωνίᾳ, τῷ 1578, μετά τινων σημειωμάτων τοῦ Μιδδενδόρπου. Ὁ δ' αὐτὸς Μιδδενδόρπος καὶ ὕστερον τῷ 1593 ἐξέδωκε πολιτικῆς ἰδέας ὑπομνημάτια

εἰς τὰς ΟΒ πρὸς τοὺς Ἑρμηνεῖς ἐρωτήσεις τοῦ Φιλαδέλφου (α). Δευτέρα δὲ, ἡ ὑπὸ Ματθία τοῦ Γαρδιτίου, κρείσσων τῆς προτέρας νομιζομένη. Ἰταλικὴ δὲ μετάφρασις πρώτη ἡ ὑπὸ Ἱερωνύμου Σκουαρκαφίκου (Gerol. Squarciafico) τῷ 1471, καὶ ἑτέρα ἡ ὑπὸ Λουδοβίκου τοῦ Δομενίκου (Lod. Domenichi) ἐν Φλωρεντίᾳ τῷ 1550· καὶ τρίτη ὑπὸ Λεονάρδου τοῦ Κερνότου (Leon. Cernoti) τῷ 1591 ἐν Τρεβιγίῳ. Καὶ Γαλλικὴ δὲ μετάφρασις ἐφιλοπονήθη ὑπὸ Παραδίνου τῷ 1552 ἐν Λουγδούνῳ. Καὶ Γερμανικὴ, ὑπὸ Γοβλέρου τῷ 1562, καὶ ἑτέρα ὑπὸ Σχαρδίου τῷ 1619. Καὶ Ἀγγλικὴ, τῷ 1633 ὑπὸ Δόνου, καὶ ἑτέρα ὑπὸ Λευὶ (Lewis) τῷ 1715, καὶ τρίτη ὑπὸ Βίστωνος τῷ 1727. Ἐκ δὲ τῆς λατινικῆς ἑρμηνείας τοῦ Γαρδιτίου μετεφράσθη καὶ ἑβραϊστὶ ὁ Ἀριστέας ὑπὸ τοῦ ῥαββίνου Ἀζαρία, καὶ ἐξεδόθη ἐν Μαντούῃ τῷ 1574 (β). Πάντες δὲ οὗτοι οἱ μεταφρασταὶ μετὰ πολλῶν ἐπαίνων ὡς γνησίαν καὶ ἀληθινὴν ἡρμήνευσαν τὴν ἱστορίαν τοῦ Ἀριστέου.

Ἡμεῖς δ' ἐν τῇ παρούσῃ ἐκδόσει βάσιν τιθέμεθα τὴν ἐν Ὀξονίῳ, ἧπερ ἐχρήσατο καὶ Γαλλάνδος, ὑποσημειοῦντες καὶ τὰς ἐν ταῖς ἄλλαις ἐκδόσεσι παραλλαγὰς τῶν ἀναγνωσμάτων. Τῶν δὲ προφανεστάτων ἁμαρτημάτων τινὰς μὲν ἐπανορθώσεις ἐτολμήσαμεν ἐν αὐτῷ τῷ κειμένῳ καταχωρίσαι, προσυπογράφοντες καὶ τὰς ἐν ταῖς προτέραις ἐκδόσεσιν ἐσφαλμένας ἀναγνώσεις· (καὶ πᾶν δὲ τὸ προσεθὲν ὀγκίνοις ἐνεκλείσαμεν [ ]· τὰ δὲ παρέλκειν δοκοῦντα διεγράψαμεν δι' ἀστερίσκων, κατὰ τὸ ἔθος τῶν νεωτέρων ἐκδοτῶν)· τινὰς δὲ διορθώσεις μόνον πρὸς τῇ πέζᾳ τῆς σελίδος ὑπετάξαμεν, μηδὲν ἀλλοιοῦντες ἐν τῷ κειμένῳ· ἄλλας δὲ, τέλος, παρελίπομεν τοῖς

(α) Ad Septuaginta duas pulcherimas Quæstiones politicas, quas Ptolemæus Philadelphus LXXII. sacræ Script. interpr. proposuit-Commentarius novus etc. Authore J. Middendorpio. Monaster. Westph. 1593.

(β) Βλ. Maschij præf. ad Biblioth. Sacram etc. vol. 2. part. 2. pag. 7. — Fabric. Bibl. Græc. T. 3. p. 661-663. — Lumper Histor. Theologico-critica etc. T. 7. p. 459.— Rosenmüller Handb. für die Liter. der bibl. Krit. 2 Bd. p. 344–358.

δυνατωτέροις· Ἐν δὲ τῷ τέλει τῆς Ἀριστηΐδος ἱστορίας προσεθήκαμεν καί τινας μικρὰς σημειώσεις, εἴτε τὴν γραφὴν εἴτε τὴν ἐξήγησιν τοῦ κειμένου ἀφορώσας. Τὰ δὲ πρὸ τῶν ὑποσημειουμένων, κατὰ τὰς διαφόρους ἐκδόσεις τοῦ κειμένου, παραλλαγῶν προηγούμενα κεφαλαῖα γράμματα, δηλοῦσι τὰς λέξεις ταύτας.

Ἰω. = Ἰώσηπος (κατὰ τὴν ἐν Ἀρχαιολ. ΙΒ. β. ἔκθεσιν τῆς Ἀριστέου ἱςορίας). - Εὐ. Εὐσέβιος. (ἐν Εὐαγγελ. Προπαρ.) - ΒΣ. Βασιλείας ἔκδοσις. - Ο. Ὀξονίου. - Β. Βατικανὸν χειρόγραφον. - Φ. Φαβρικίου ἔκδοσις. - Γ. Γαλλάνδου. - ΟΔ. Ὁδίου. - ΒΔ. Βανδάλου. - Π. Ε. Πᾶσαι αἱ ἐκδόσεις. - Η. Δ. Ἡμετέρα διόρθωσις.

ΑΡΙΣΤΕΑΣ

ΦΙΛΟΚΡΑΤΕΙ.

§. α. Ἀξιολόγου διηγήσεως, ὦ Φιλόκρατες, περὶ τῆς γενηθείσης ἡμῖν ἐντυχίας [1] πρὸς Ἐλεάζαρον τὸν τῶν Ἰουδαίων ἀρχιερέα συνεσταμένης, διὰ τὸ σὲ περὶ πολλοῦ πεποιεῖσθαι, παρ' ἕκαστα ὑπομιμνήσκοντα, [2] συνακοῦσαι περὶ ὧν ἀπεστάλημεν, καὶ διὰ τί, πεπείραμαι σαφῶς ἐκθέσθαι σοι, κατειληφὼς ἣν ἔχεις φιλομαθῆ διάθεσιν, ὅπερ μέγιστόν ἐστιν ἀνθρώπῳ, προσμανθάνειν ἀεί τι, καὶ προσλαμβάνειν, ἤτοι *τί*[3] ἀπὸ τῆς ἱστορίας, ἢ καὶ κατ' αὐτὸ τὸ πρᾶγμα πεπειραμένων· [4] οὕτω γὰρ κατασκευάζεται ψυχῆς καθαρὰ διάθεσις, ἀναλαβοῦσα τὰ κάλλιστα· καὶ πρὸς τὸ πάντων κυριώτατον νενευκυῖα, τὴν εὐσέβειαν, ἀπλανεῖ κεχρημένη κανόνι, διοικεῖ τὴν προαίρεσιν.

§. β. Ἔχοντες ἡμεῖς περιέργως[5] πρὸς τὸ τὰ θεῖα κατανοεῖν, ἑαυτοὺς ἐπεδώκαμεν εἰς [τὴν πρὸς][6] τὸν προειρημένον ἄνδρα πρεσβείαν, (καλοκαγαθίᾳ καὶ δόξῃ προτετιμημένον ὑπό τε τῶν πολιτῶν καὶ τῶν ἄλλων, καὶ κατεκτημένον μεγίστην ὠφέλειαν τοῖς σὺν ἑαυτῷ, καὶ τοῖς κατὰ τοὺς ἄλλους τόπους πολίταις), πρὸς τὴν ἑρμηνείαν τοῦ θείου νόμου· διὰ τὸ γεγράφθαι παρ' αὐτοῖς ἐν διφθέραις ἑβραϊκοῖς γράμμασιν. Ἣν δὴ καὶ ἐποιησάμεθα ἡμεῖς σπουδῇ, λαβόντες καιρὸν πρὸς τὸν βασιλέα [διαλεχθῆναι][7] περὶ τῶν μετοικισθέντων εἰς Αἴγυπτον ἐκ τῆς Ἰουδαίας ὑπὸ τοῦ

---

[1] Β. εὐτυχίας: — [2] Η. Δ. αἱ δὲ Π. Ε. ὑπομιμνήσκων: — [3] Π. Ε. διαγραπτέον δὲ οἶμαι, τὸ τί, ὡς παρέλκον: — [4] Β. Ο. ἐν δὲ ΒΣ. πεπειραμένῳ· ἀλλ' ἴσ. γρ. «ἢ καὶ ἀπ' αὐτῶν τῶν κατ' αὐτὸ τ. π. πεπειραμένων»: — [5] Η. Δ. αἱ δὲ Π. Ε. «πρὸς τὸ περιέργως τὰ θεῖα κτλ. βλ. ὄπισθ. Βιβλ. Α. σελ. 36. — [6] Η. Δ. αἱ δὲ Π. Ε. «εἰς τὸν προειρημένον»: — [7] Η. Δ. ἐν δὲ Π. Ε. λείπει τὸ πρὸς τὴν ἔννοιαν ἀναγκαιότατον ῥῆμα τοῦτο, ἤ τι τοιοῦτο.

πατρὸς τοῦ βασιλέως, τοῦ πρώτως *κεκτημένου*[1] τήν τε πόλιν, καὶ τὰ κατὰ[2] τὴν Αἴγυπτον παρειληφότος.

§. γ. Ἄξιόν[3] [δ'] ἐστι καὶ ταῦτά σοι δηλῶσαι. Πέπεισμαι γάρ σε, μᾶλλον ἔχοντα πρόσκλισιν[4] πρὸς τὴν σεμνότητα, καὶ τὴν τῶν ἀνθρώπων διάθεσιν, τῶν κατὰ τὴν σεμνὴν νομοθεσίαν διεξαγόντων, περὶ ὧν προαιρούμεθα δηλοῦν, ἀσμένως[5] ἀκούσεσθαι, προσφάτως παραγεγενημένον ἐκ τῆς νήσου πρὸς ἡμᾶς, καὶ βουλόμενον ὑπακούειν, ὅσα πρὸς ἐπισκευὴν ψυχῆς ὑπάρχει. Καὶ πρότερον δὲ διεπεμψάμην σοι περὶ ὧν ἐνόμιζον ἀξιομνημονεύτων εἶναι τὴν ἀναγραφήν,[6] ἣν μετελάβομεν παρὰ τῶν κατὰ τὴν *λογιωτάτην*[7] Αἴγυπτον λογιωτάτων ἀρχιερέων *παρὰ*[8] τοῦ γένους τῶν Ἰουδαίων. Φιλομαθῶς γὰρ ἔχοντί σοι περὶ τῶν δυναμένων ὠφελῆσαι διάνοιαν, δέον μεταδιδόναι[9]· μάλιστα μὲν [οὖν] πᾶσι τοῖς ὁμοίοις, πολλῷ δὲ μᾶλλον σοί, γνησίαν ἔχοντι[10] τὴν αἵρεσιν, [καὶ][11] οὐ μόνον κατὰ τὸ συγγενὲς ἀδελφῷ καθεστῶτι τὸν τρόπον, ἀλλὰ καὶ τῇ[12] πρὸς τὸ καλὸν ὁρμῇ τὸν αὐτὸν ὄντα ἡμῖν. Χρυσοῦ γὰρ χάρις, ἢ κατασκευή τις ἄλλη τῶν τετιμημένων παρὰ τοῖς κενοδόξοις, ὠφέλειαν οὐκ ἔχει τὴν αὐτήν, ὅσον ἡ παιδείας ἀγωγή, καὶ ἡ περὶ τούτων[13] φροντίς. Ἵνα δὲ μὴ περὶ τῶν προλεγομένων μηκύνοντες ἀδόλεσχόν τι ποιῶμεν, ἐπὶ τὸ συνεχὲς τῆς διηγήσεως ἐπανήξομεν.

§. δ. Κατασταθεὶς[14] ἐπὶ τῆς τοῦ βασιλέως βιβλιοθήκης Δημήτριος ὁ Φαληρεύς, ἐχρηματίσθη πολλὰ διάφορα, πρὸς τὸ συναγαγεῖν, εἰ δυνατόν, ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην βιβλία· καὶ ποιού-

---

[1] Π. Ε. πρώτως κεκτημένου (ἀνάρθρως)· καὶ τὸ κεκτημένου δὲ περιττεύει, προστεθὲν ὑπὸ τοῦ ἀντιγραφέως ἐκ τοῦ ἀνωτέρω κατεκτημένου: — [2] Β. ἐν δὲ ΒΣ. Φ. λείπει τὸ τά: — [3] Η. Δ. αἱ δὲ Π. Ε. χωρὶς τοῦ δέ: — [4] Η. Δ. αἱ Π. Ε. πρόσκλησιν: — [5] Η. Δ. αἱ δὲ Π. Ε. δηλοῦντες μὲν ὥστε (διαμελισθέντος τοῦ ἀσ-μέν-ως) κτλ: — [6] Β. Ο. ΒΔ. ἄλλοι, ἀνατροφήν: — [7] Π. Ε. περιττεύει δέ, προστεθὲν ἐκ τοῦ ἑξῆς λογιωτάτων: — [8] Π. Ε. ἀλλὰ καὶ τοῦτο περιττόν: — [9] Φ. Ο. ἀλλ. διδόναι: — [10] Η. Δ. αἱ δὲ Π. Ε. μᾶλλον γνησίαν ἔχοντί σοι: — [11] Η. Δ. αἱ δὲ Π. Ε. χωρὶς τοῦ, καί: — [12] ἴσ. γρ. κατὰ τὸ σ. ἀδελφῷ καθεστῶτι, ἀλλὰ καὶ κατὰ τὸν τρόπον, καὶ τῇ κτλ. — [13]. ἴσ. γρ. τούτου. — 14. Ε. Β. Ο. ΒΔ. ἄλλ. καταταχθείς.

μενος ἀγορασμοὺς καὶ μεταγραφὰς, ἐπὶ τέλος ἤγαγεν, ὅσον ἐφ᾽ ἑαυτῷ, [1] τὴν τοῦ βασιλέως πρόθεσιν. Παρόντων γὰρ ἡμῶν, ἐρωτηθεὶς, πόσαι τινὲς μυριάδες τυγχάνουσι βιβλίων; εἶπεν. Ὑπὲρ τὰς εἴκοσι, βασιλεῦ· σπουδάσω δ᾽ ἐν [2] ὀλίγῳ χρόνῳ πρὸς τὸ πληρωθῆναι πεντήκοντα μυριάδας τὰ λοιπὰ [συναθροίσειν[3]]. προσήγγελται [4] δέ μοι, καὶ τὰ τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς ἄξια, καὶ τῆς παρὰ σοὶ βιβλιοθήκης εἶναι. Τί τὸ κωλύον οὖν, εἶπεν, ἐστί σε τοῦτο ποιῆσαι; πάντα γὰρ ὑποτέτακταί σοι τὰ πρὸς τὴν χρείαν. Ὁ δὲ Δημήτριος εἶπεν· ἑρμηνείας προσδεῖται. Χαρακτῆρσι γὰρ ἰδίοις κατὰ τὴν Ἰουδαίαν χρῶνται, καθάπερ Αἰγύπτιοι, τῇ [δὲ] τῶν γραμμάτων θέσει, καθὰ καὶ φωνῇ, ἣν [5] ἰδίαν ἔχουσιν, ὑπολαμβάνονται συριακῇ χρῆσθαι· τὸ δὲ οὐκ ἔστιν, ἀλλ᾽ ἕτερος τρόπος. Μεταλαβὼν δὲ ἕκαστα ὁ βασιλεὺς, εἶπε, γραφῆναι, πρὸς τὸν ἀρχιερέα τῶν Ἰουδαίων, ὅπως τὰ προειρημένα τελείωσιν λάβωσι.

§. ε. Νομίσας δὲ ἐγὼ καιρὸν εἶναι, περὶ ὧν πολλάκις ἠξιώκειν Σωσίβιόν τε τὸν Ταραντῖνον, καὶ Ἀνδρέαν, τοὺς Ἀρχισωματοφύλακας, περὶ τῆς ἀπολυτρώσεως τῶν μετηγμένων ἐκ τῆς Ἰουδαίας ὑπὸ τοῦ πατρὸς τοῦ βασιλέως· (Ἐκεῖνος γὰρ ἐπελθὼν τὰ κατὰ κοίλην Συρίαν καὶ Φοινίκην ἅπαντα, συγχρώμενος εὐημερίᾳ μετὰ ἀνδρίας, τοὺς μὲν μετῴκιζε, [6] τοὺς δὲ ἠχμαλώτιζε, φόβῳ ἅπαντα ὑποχείρια ποιούμενος· ἐν ᾧ [7] καὶ πρὸς δέκα μυριάδας ἐκ τῆς τῶν Ἰουδαίων χώρας εἰς Αἴγυπτον μετήγαγεν· ἀφ᾽ ὧν ὡσεὶ τρεῖς μυριάδας καθοπλίσας ἀνδρῶν ἐκλεκτῶν, εἰς τὴν χώραν κατῴκισεν ἐν τοῖς φρουρίοις. Ἤδη μὲν καὶ πρότερον ἱκανῶν εἰσεληλυθότων σὺν τῷ Πέρσῃ, καὶ πρὸ τούτων ἑτέρων συμμαχιῶν ἐξαπεσταλμένων πρὸς τὸν τῶν Αἰθιόπων βασιλέα μάχεσθαι σὺν Ψαμμητίχῳ· ἀλλ᾽ οὐ τοσοῦτοι πλήθει παρεγενήθησαν, ὅσους Πτολεμαῖος ὁ τοῦ Λάγου μετήγαγε.

---

[1] Ο. ΒΔ. ἐφ᾽ ἑαυτοῦ: — [2] Ο. οὕτω καὶ Ε. ἄλλ. πληρώσω δ᾽ οὖν: — [3] Οὕτως Ἰώ. ἐν δὲ Π. Ε. λείπει: — [4] Οὕτως Ε. ἐν δὲ Π. Ε. προσαγγέλλεται δ. μ. καὶ τὰ τῶν Ἰουδ. κτλ. — [5] Η. Δ. ἐν δὲ Π. Ε. τῇ τῶν . . . καθὸ . . . φωνὴν ἰδίαν. (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 189): — [6] Η. Δ. ἄλλ. μετῴκισε. — [7] Η. Δ. ἐν δὲ Π. Ε. ἐν ὅσῳ.

§. ς. Καθὼς δὲ προείπομεν, ἐπιλέξας τοὺς ἀρίστους ταῖς ἡλικίαις,καὶ ῥώμῃ διαφέροντας, καθώπλισε· τὸ δὲ λοιπὸν χῦμα πρεσβυτέρων καὶ νεωτέρων, ἔτι δὲ γυναικῶν, εἴασεν εἰς τὴν οἰκετίαν, οὐχ οὕτω τῇ προαιρέσει κατὰ ψυχὴν ἔχων, ὡς κατακρατούμενος ὑπὸ τῶν στρατιωτῶν, δι᾽ ἃς ἐπεποίηντο χρείας ἐν τοῖς πολεμικοῖς ἀγῶσιν). Ἡμεῖς δὲ, ἐπεί τινα παρεύρεσιν[1] εἰς τὴν ἀπόλυσιν αὐτῶν ἀπελάβομεν,[2] καθὼς προδεδήλωται, τοιούτοις ἐχρησάμεθα λόγοις πρὸς τὸν βασιλέα.

Μήποτε ἄλογον ᾖ, ἐλέγχεσθαι ὑπ᾽ αὐτῶν τῶν πραγμάτων, ὦ βασιλεῦ. Τῆς γὰρ νομοθεσίας κειμένης πᾶσι τοῖς Ἰουδαίοις, ἣν ἡμεῖς οὐ μόνον μεταγράψαι ἐπινοοῦμεν, ἀλλὰ καὶ διερμηνεῦσαι· τίνα λόγον ἕξομεν πρὸς ἀποστολὴν, ἐν οἰκετίαις ὑπαρχόντων ἐν τῇ σῇ βασιλείᾳ πληθῶν ἱκανῶν; Ἀλλὰ τελείᾳ καὶ πλουσίᾳ ψυχῇ ἀπόλυσον τοὺς συνεχομένους ἐν ταλαιπωρίαις, κατευθύνοντός σου τὴν βασιλείαν τοῦ τεθεικότος αὐτοῖς τὸν νόμον Θεοῦ,[3] καθὼς περιείργασμαι· τὸν γὰρ πάντων ἐπόπτην καὶ κτίστην Θεὸν οὗτοι σέβονται, ὃν καὶ πάντες, ἡμεῖς δὲ μάλιστα, προσονομάζοντες ἑτέρως Ζῆνα. Καὶ διὰ τούτου[4] δ᾽ οὐκ ἀνοικείως οἱ πρῶτοι διεσήμαναν, δι᾽ ὃν ζωοποιοῦνται τὰ πάντα, καὶ γίγνεται, τοῦτον ἁπάντων ἡγεῖσθαί τε καὶ κυριεύειν. Ὑπερηρκὼς δὲ σύμπαντας ἀνθρώπους τῇ λαμπρότητι τῆς ψυχῆς, ἀπόλυσιν ποίησαι τῶν ἐνεχομένων ταῖς οἰκετίαις.

§. ζ. Ὁ δὲ[5] πολὺν χρόνον ἐπισχὼν· (καὶ ἡμῶν κατὰ ψυχὴν πρὸς τὸν Θεὸν εὐχομένων τὴν διάνοιαν αὐτοῦ κατασκευάσαι πρὸς τὸ τοὺς ἅπαντας ἀπολυθῆναι. Κτίσμα γὰρ ὂν Θεοῦ τὸ γένος τῶν ἀνθρώπων, καὶ μεταλλοιοῦται καὶ τρέπεται πάλιν ὑπ᾽ αὐτοῦ. Διὸ πολλαχῶς καὶ ποικίλως[6] ἐπεκαλούμην τὸν κυριεύοντα κατὰ καρδίαν, ἵνα συναναγκασθῇ, καθὼς ἠξίουν, ἐπιτελέσαι. Μεγά-

---

[1] Ο. Φ. ἐν δὲ ΒΣ. προσεύρεσιν: — [2] ἴσ. γρ· ὑπελάβομεν: — [3] Η. Δ. ἐν δὲ Π. Ε. Θεοῦ τὸν νόμον: — [4] Η. Δ. ἐν δὲ ΒΣ. διὰ τοῦτο. Ο. ΒΔ. διὰ οὗτο. — [5] Η. Δ. αἱ δὲ Π. Ε. Οὐδὲ: — [6] ΒΣ. Πολλαῖς καὶ ποικίλαις.

λην γὰρ εἶχον ἐλπίδα, περὶ σωτηρίας ἀνθρώπων προτιθέμενος λόγον, ὅτι τὴν ἐπιτέλειαν ὁ Θεὸς ποιήσει τῶν ἀξιουμένων. Ὅ,[τι] γὰρ πρὸς δικαιοσύνην, καὶ καλῶν ἔργων ἐπιμέλειαν, ἐν ὁσιότητι νομίζουσιν ἄνθρωποι ποιεῖν, κατευθύνει [1] τὰς πράξεις καὶ τὰς ἐπιβολὰς ὁ κυριεύων ἁπάντων Θεός)· Ὁ δὲ διανακύψας, καὶ προσβλέψας ἱλαρῷ τῷ προσώπῳ, Πόσας ὑπολαμβάνεις ἔσεσθαι μυριάδας; ἔφη. Παρεστὼς δὲ Ἀνδρέας ἀπεφήνατο. Βραχεῖ πλεῖον μυριάδων δέκα [2]. Ὁ δὲ, μικρόν γε, εἶπεν, Ἀριστέας ἡμᾶς ἀξιοῖ πρᾶγμα. Σωσίβιος δὲ καὶ τῶν παρόντων τινὲς, εἶπον [3]· Τοῦτο καὶ γὰρ ἄξιόν ἐστι τῆς σῆς μεγαλοψυχίας, ὅπως χαριστήριον ἀνάθῃ [5] τῷ μεγίστῳ Θεῷ, τὴν τούτων ἀπόλυσιν. Μεγίστως γὰρ τετιμημένος ὑπὸ τοῦ κρατοῦντος τὰ πάντα, καὶ δεδοξασμένος ὑπὲρ τοὺς προγόνους, εἰ καὶ μέγιστα ποιήσεις χαριστήρια, καθῆκόν ἐστί σοι.

§. η. Διαχυθεὶς δὲ εὖ μάλα τούτοις τὴν ὄψιν [4], εἶπε προσθεῖναι, καὶ σώματος [6] ἑκάστου κομίζεσθαι δραχμὰς εἴκοσι [7], καὶ περὶ τούτων ἐκθεῖναι πρόσταγμα· τὰς δὲ ἀπογραφὰς ποιεῖσθαι παρ' αὐτὰ [8], μεγαλείως χρησάμενος τῇ προθυμίᾳ, τοῦ Θεοῦ τὴν πᾶσαν ἐπιτελέσαντος ἡμῶν προαίρεσιν, καὶ συναναγκάσαντος αὐτὸν ἀπολυτρῶσαι μὴ μόνον τοὺς συνεληλυθότας τῷ στρατοπέδῳ τοῦ πατρὸς, ἀλλὰ καὶ εἴτινες προῆσαν, ἢ μετὰ ταῦτα παρήχθησαν [9] εἰς τὴν βασιλείαν· ὑπὲρ [δὲ] τὰ τετρακόσια τάλαντα τὴν δόσιν ἀπέφαινον εἶναι. Καὶ τοῦ προστάγματος δὲ τὸ ἀντίγραφον οὐκ ἄχρηστον, οἴομαι, κατακεχωρίσθαι [10]. Πολλῷ γὰρ ἡ μεγαλομερία [11] φανερωτέρα καὶ εὔδηλος ἔσται τοῦ βασιλέως, τοῦ Θεοῦ κατισχύοντος αὐτὸν, εἰς τὸ σωτηρίαν γενέσθαι πλήθεσιν ἱκανοῖς· ἦν δὲ τοιοῦτο, τοῦ βασιλέως προτάξαντος [12].

---

[1] Ο. Φ. καθευθύνει: —[2] Ἕνδεκα (Ἰώσηπ.) σφάλμα. βλ. ὄπισθ. Βιβλ. Α. σελ. 466, 568. —[3] Η. Δ. ἐν δὲ Π. Ε. τοῦτο, εἶπον, καὶ γὰρ κτλ. —[4] Η. Δ. αἱ Π. Ε. ἀναθῇ: — [5] Η. Δ. ἐν δὲ Π. Ε. τοῖς ὀψωνίοις. Ὁ Ἰώσηπ. γράφει « διαχυθεὶς ὑπ' αὐτῶν (τῶν λόγων). — [6] ἴσ. γρ. ἀντὶ σώματος: — [7] ἑκατὸν εἴκοσιν, ὁ Ἰώσηπ. (ὁ Hudson πιθανώτερον κρίνει τὸ εἴκοσι): — [8] Ο. Φ. πρὸς αὐτὰ (τὸ καὶ συνήθως πάραυτα): — [9] Φ. παρεισήχθησαν. — [10] Η. Δ. ἐν δὲ Π. Ε. κατακεχώρισται: — [11] ἐν ΒΣ. μεγαλομοιρία: — [12] ὁ Γαρβίτιος ἀνέγνω, προστάξαντος.

« Ὅσοι τῶν συνεστρατευμένων τῷ πατρὶ ἡμῶν εἰς τοὺς κατὰ Συρίαν καὶ Φοινίκην τόπους, ἐπελθόντες τῇ τῶν Ἰουδαίων χώρᾳ, ἐγκρατεῖς ἐγένοντο σωμάτων Ἰουδαϊκῶν, καὶ ταῦτα διακεκομίκασιν ἔς τε τὴν πόλιν καὶ τὴν χώραν, ἢ καὶ πεπράκασιν ἑτέροις, ὁμοίως δὲ καὶ εἴτινες προῆσαν, ἢ καὶ μετὰ ταῦτά εἰσιν εἰσηγμένοι τῶν τοιούτων, ἀπολύειν παραχρῆμα τοὺς ἔχοντας, κομιζομένους αὐτίκα[1] ἑκάστου σώματος *τοὺς ἔχοντας*[2] δραχμὰς εἴκοσι·[3] τοὺς μὲν στρατιώτας [σὺν][4] τῇ τῶν ὀψωνίων δόσει, τοὺς δὲ λοιποὺς, ἀπὸ τῆς βασιλικῆς τραπέζης. Νομίζομεν γὰρ καὶ παρὰ τὴν τοῦ πατρὸς ἡμῶν βούλησιν, καὶ παρὰ τὸ καλῶς ἔχον ἠχμαλωτεῦσθαι[5] τούτους· διὰ δὲ τὴν στρατιωτικὴν προπέτειαν, τήν τε χώραν αὐτῶν κατεφθάρθαι, καὶ τὴν τῶν Ἰουδαίων μεταγωγὴν εἰς τὴν Αἴγυπτον γεγονέναι. Ἱκανὴ γὰρ ἦν ἡ παρὰ τὸ πεδίον γεγονυῖα *ἐκ*[6] τῶν στρατιωτῶν ὠφέλεια· διὸ παντελῶς ἀνεπιεικής ἐστι καὶ ἡ τῶν ἀνθρώπων καταδυναστεία. Πᾶσιν οὖν ἀνθρώποις τὸ δίκαιον ἀπονέμειν ὁμολογούμενοι, πολλῷ δὲ μᾶλλον τοῖς ἀλόγως καταδυναστευομένοις, καὶ κατὰ πᾶν ἐκζητοῦντες τὸ καλῶς ἔχον πρός τε τὸ δίκαιον καὶ τὴν κατὰ πάντων εὐσέβειαν, προστετάχαμεν· Ὅσα τῶν Ἰουδαϊκῶν ἐστι σωμάτων ἐν οἰκετίαις, παντὶ καὶ καθ᾽ ὁντινοῦν τρόπον ἐν τῇ βασιλείᾳ, κομιζομένους τοὺς ἔχοντας τὸ προκείμενον κεφάλαιον, ἀπολύειν, καὶ μηδένα κακοσχόλως περὶ τούτων μηδὲν οἰκονομεῖν. Τὰς δὲ ἀπογραφὰς ἐν ἡμέραις τρισὶν, ἀφ᾽ ἧς ἡμέρας ἐκκείσεται[7] τὸ πρόσταγμα, ποιεῖσθαι πρὸς τοὺς ἀπεσταλμένους[8] περὶ τούτων, καταδεικνύντας εὐθὺς καὶ τὰ σώματα. Διειλήφαμεν γὰρ ἡμῖν [τε] συμφέρειν, καὶ τοῖς πράγμασιν, οὕτως[9] ἐπιτελεσθῆναι. Τὸν δὲ βουλόμενον προσαγγέλλειν περὶ τῶν ἀπειθησάντων, ἐπὶ[10] τοῦ φανέντος ἐνόχου τὴν κυ-

---

[1] Ἴσ. γρ. ἀντὶ ἑκάστου, καὶ ὁ Ἰώσηπ. ἔχει ὑπὲρ ἑκάστου : — [2] περιττεύει : — [3] ἑκατὸν εἴκοσιν, Ἰώσηπ. (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 568) : — [4] Η. Δ. καὶ ὁ Ἰώσ. μετὰ καὶ τῶν ὀψωνίων : — [5] Ο. ΒΔ. Φ. ἠχμαλωθεύσθαι: — [6] περιττεύει. βλ. Βιβλ. Α. σελ. 493. — [7] Η. Δ. ἐν Π. Ε. ἐκκεῖται : — [8] Η. Δ. ἐν Π. Ε. κατεσταλμένους : — 9 Η. Δ. ἐν Π. Ε. τούτων. - [10]. ΒΣ. Ο. ἔφη.

ρίαν ἕξειν. τὰ δὲ ὑπάρχοντα τῶν τοιούτων εἰς τὸ βασιλικὸν ἀναληφθήσεται».

§. θ. Εἰσδοθέντος δὲ τοῦ προστάγματος, ὅπως ἐπαναγνωσθῇ τῷ βασιλεῖ, τὰ ἄλλα πάντα ἔχοντος, πλὴν τοῦ, «καὶ εἴ τινες προῆσαν, ἢ καὶ μετὰ ταῦτά εἰσιν εἰσηγμένοι τῶν τοιούτων», αὐτὸς τοῦτο ὁ βασιλεὺς προσέθηκε, μεγαλομερίᾳ καὶ μεγαλοψυχίᾳ χρησάμενος· ἐκέλευσέ τε [τὴν] τῶν διαφόρων δόσιν ἀθρόαν οὖσαν, ἀπομερίσαι τοῖς ὑπηρέταις τῶν πραγμάτων [1], καὶ βασιλικοῖς τραπεζίταις· οὕτω δοχθὲν, ἐκεκύρωτο ἐν ἡμέραις ἑπτά. Πλείων δὲ ταλάντων ἑξακοσίων ἑξήκοντα [2] ἡ δόσις ἐγεγόνει. Πολλὰ γὰρ καὶ τῶν ἐπιμαστιδίων τέκνων σὺν ταῖς μητράσιν ἠλευθεροῦντο· προσανενεχθέντος δὲ, εἰ καὶ περὶ τούτων εἴκοσι δραχμία [3] δοθήσεται, καὶ τοῦτ' ἐκέλευσεν ὁ βασιλεὺς ποιεῖν, ὁλοσχερῶς περὶ τοῦ δόξαντος ἅπαντα ἐπιτελῶν.

§. ι. Ὡς δὲ κατεπράχθη ταῦτα, τὸν Δημήτριον ἐκέλευσεν εἰσδοῦναι [4] περὶ τῆς τῶν Ἰουδαϊκῶν βιβλίων ἀντιγραφῆς [5]. Πάντα γὰρ διὰ προσταγμάτων καὶ μεγάλης ἀσφαλείας [6] τοῖς βασιλεῦσι τούτοις διῳκεῖτο [7], οὐδὲν [δ'] ἀπεῤῥιμένως, οὐδὲ εἰκῇ· διόπερ καὶ τὰ τῆς εἰσδόσεως καὶ τὰ τῶν ἐπιστολῶν ἀντίγραφα κατακεχώρικα, καὶ τὸ τῶν ἀπεσταλμένων πλῆθος, καὶ τὴν ἑκάστου κατασκευὴν, διὰ τὸ μεγαλομερίᾳ [8] καὶ τέχνῃ διαφέρειν ἕκαστον αὐτῶν. Τῆς δὲ εἰσδόσεώς ἐστιν ἀντίγραφον τόδε· «Βασιλεῖ μεγάλῳ παρὰ Δημητρίου.

Προστάξαντός σου, βασιλεῦ, περὶ τῶν ἀπολειπόντων [9] εἰς τὴν συμπλήρωσιν τῆς βιβλιοθήκης βιβλίων, ὅπως ἐπισυναχθῇ, καὶ τὰ διαπεπτωκότα [10] τύχῃ τῆς προσηκούσης ἐπισκευῆς, πεποιημένος οὐ παρέργως [11] τὴν ἐν τούτοις ἐπιμέλειαν, προσαναφέρω σοι τάδε.

---

[1] Ο. Ἰώσ. τὸ δὲ Β. ταγμάτων : — [2] ὁ Ἰώσ. ὑπὲρ ἑξήκοντα καὶ τετρακόσια : — [3] Ο. Β. ἄλλ. δὲ εἰκοσαδραχμία· ὁ δὲ Ἰώσ. δραχμαὶ ἑκατὸν εἴκοσι : — [4] Ἰώσ. Ε. ἐκδοῦναι : — [5]. Ἰώσ. Ε. ἀναγραφῆς. — [6] Ἰώ. ἐπιμελείας. Ε. ἀκριβείας : — [7] ἴσ. γρ. διοικεῖται : — [8] ΒΣ. μεγαλομοιρίᾳ : — [9] ὁ Ἰώσ. ἔτι λειπόντων· ἄλλοι, ἀπολειφθέντων : — [10] ὁ Ἰώσ. (περιφράζει) «καὶ περὶ τῶν διαπεπτοκότων, ὅπως τῆς δεούσης ἐπιμελείας τύχῃ». — [11] Ο. ΒΔ. οὐ πὲρ ἄργως.

Τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισὶν ἀπολείπει. Τυγχάνει γὰρ ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα· ἀμελέστερον δὲ, καὶ οὐχ ὡς ὑπάρχει, σεσήμανται, καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται· προνοίας γὰρ βασιλικῆς οὐ τέτευχε[1]· δέον δέ ἐστι, καὶ ταῦτα ὑπάρχειν παρὰ σοὶ διηκριβωμένα· διὰ τὸ καὶ φιλοσοφωτέραν εἶναι, καὶ ἀκέραιον τὴν νομοθεσίαν ταύτην, ὡς ἂν οὖσαν θείαν. Διὸ πόῤῥω γεγόνασιν οἵτε συγγραφεῖς καὶ ποιηταὶ, καὶ τὸ τῶν ἱστορικῶν πλῆθος, τῆς ἐπιμνήσεως τῶν προειρημένων βιβλίων, καὶ τῶν κατ' αὐτὰ πεπολιτευμένων καὶ πολιτευομένων ἀνδρῶν, διὰ τὸ ἁγνήν τινα καὶ σεμνὴν εἶναι τὴν ἐν τούτοις θεωρίαν, ὥς φησιν Ἑκαταῖος ὁ Ἀβδηρίτης. Ἐὰν οὖν φανεῖται,[2] βασιλεῦ, γραφήσεται πρὸς τὸν ἀρχιερέα τὸν ἐν Ἱεροσολύμοις, ἀποστεῖλαι τοὺς μάλιστα καλῶς βεβιωκότας, καὶ πρεσβυτέρους ὄντας ἄνδρας, ἐμπείρους τῶν κατὰ τὸν νόμον τὸν ἑαυτῶν, ἀφ' ἑκάστης φυλῆς ἕξ, ὅπως τὸ σύμφωνον ἐκ τῶν πλειόνων ἐξετάσαντες, καὶ λαβόντες τὸ κατὰ τὴν ἑρμηνείαν ἀκριβὲς, ἀξίως καὶ τῶν πραγμάτων, καὶ τῆς σῆς προαιρέσεως, θῶμεν εὐσήμως. Εὐτύχει διὰ παντός».

§. ια. Τῆς δὲ εἰσδόσεως[3] ταύτης γενομένης, ἐκέλευσεν ὁ βασιλεὺς γραφῆναι πρὸς τὸν Ἐλεάζαρον περὶ τούτων, σημάναντας καὶ τὴν γενομένην ἀπολύτρωσιν τῶν αἰχμαλώτων. Ἔδωκε δὲ καὶ εἰς κατασκευὴν κρατήρων, καὶ φιαλῶν, καὶ τραπέζης, καὶ σπονδείων, χρυσίου μὲν ὁλκῆς τάλαντα πεντήκοντα, *καὶ* ἀργυρίου [δὲ] τάλαντα ἑβδομήκοντα, καὶ λίθων ἱκανόν τι πλῆθος, (ἐκέλευσε δὲ τοὺς ῥισκοφύλακας[4], τοῖς τεχνίταις, ὧν ἂν προαιρῶνται, τὴν ἐκλογὴν διδόναι), καὶ νομίσματος, εἰς θυσίας καὶ ἄλλα, πρὸς τάλαντα ἑκατόν. Δηλώσομεν δέ σοι περὶ τῆς κατασκευῆς, ὡς ἂν τὰ τῶν ἐπιστολῶν ἀντίγραφα διέλθωμεν. Ἦν δὲ ἡ τοῦ βασιλέως ἐπιστολὴ τὸν τύπον ἔχουσα τοῦτον.

---

1. Ε. τετύχηκε: — 2 Εὐσ. φαίνηται: — 3 Εὐ. Ἰωσ. ἐκδόσεως: ὁ ΒΣ. Ο. εἰσόδου. βλ. Βιβλ. Α. σελ. 498. — 4 Ὁ Εὐσ. «χρηματοφύλακας». Ὁ Ἰώσ. «φύλακας τῶν κιβωτῶν».

ΒΑΣΙΛΕΥΣ ΠΤΟΛΕΜΑΙΟΣ

Ἐλεαζάρῳ ἀρχιερεῖ χαίρειν, καὶ ἐῤῥῶσθαι.

Ἐπεὶ συμβαίνει πλείονας τῶν Ἰουδαίων εἰς τὴν ἡμετέραν χώραν κατῳκίσθαι,[1] γενηθέντας ἀναστάτους[2] ἐκ τῶν Ἱεροσολύμων ὑπὸ Περσῶν, καθ' ὃν ἐπεκράτουν χρόνον· ἔτι δὲ καὶ συνεληλυθέναι τῷ πατρὶ ἡμῶν εἰς τὴν Αἴγυπτον αἰχμαλώτους, ἀφ' ὧν πλείονας εἰς τὸ στρατιωτικὸν σύνταγμα κατεχώρισεν ἐπὶ μείζοσι μισθοφορίαις· ὁμοίως δὲ καὶ τοὺς προόντας κρίνας πιστοὺς[3], φρούρια κτίσας, ἀπέδωκεν αὐτοῖς, ὅπως τὸ τῶν Αἰγυπτίων ἔθνος φόβον ἔχῃ[4] διὰ τούτων· καὶ ἡμεῖς δὴ[5] παραλαβόντες τὴν βασιλείαν, φιλανθρωπότερον ἀπαντῶμεν τοῖς πᾶσι, πολὺ δὲ μᾶλλον τοῖς σοῖς πολίταις· ὧν ὑπὲρ δέκα μυριάδας αἰχμαλώτων ἠλευθερώκαμεν, ἀποδόντες τοῖς κρατοῦσι τὴν κατ' ἀξίαν ἀργυρικὴν τιμὴν, διορθούμενοι, καὶ εἴτι κακῶς ἐπράχθη διὰ τὰς τῶν ὄχλων ὁρμάς· (διειληφότες εὐσεβῶς τοῦτο πρᾶξαι, καὶ τῷ μεγίστῳ Θεῷ χαριστικὸν ἀνατιθέντες, ὃς ἡμῖν τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δόξῃ κρατίστῃ παρ' ὅλην τὴν οἰκουμένην διατετήρηκεν). Εἴς τε τὸ στράτευμα τοὺς ἀκμαιοτάτους τῇ ἡλικίᾳ τετάχαμεν· τοὺς δὲ δυναμένους καὶ περὶ ἡμᾶς εἶναι, τῆς περὶ τὴν αὐλὴν πίστεως ἀξίους ἐπιχείρων κατεστάκαμεν.[6] Βουλομένων δὲ ἡμῶν καὶ τούτοις[7] χαρίζεσθαι, καὶ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην Ἰουδαίοις, καὶ τοῖς μετέπειτα, προῃρήμεθα τὸν νόμον ὑμῶν μεθερμηνευθῆναι γράμμασιν ἑλληνικοῖς ἐκ τῶν παρ' ὑμῖν λεγομένων ἑβραϊκῶν γραμμάτων, ἵνα ὑπάρχῃ καὶ ταῦτα παρ' ἡμῖν ἐν βιβλιοθήκῃ σὺν τοῖς ἄλλοις βασιλικοῖς βιβλίοις. Καλῶς οὖν ποιήσεις, καὶ τῆς ἡμετέ-

---

[1] Εὐσ. ἐν δὲ Π. Ε. κατοικεῖσθαι — [2] Ἀναρπάστους, Εὐσέβ. καὶ Β: — [3] Εὐσ. Β. τὸ δὲ Ο. ΒΣ. καὶ ἄλλ. πλείστους. Καὶ πάλιν, ἀντὶ τοῦ π ρ ο ό ν τ α ς, τὸ Β. παρόντας: — [4] Εὐσέβ. αἱ δὲ Π. Ε. φόβον μὴ ἔχῃ: — [5] Η. Δ. ἐν Π. Ε. δὲ (βλ. Βιβλ. Λ. σελ. 282)[6]. Οὕτως, Ο. ΒΣ. Φ. καὶ ΟΔ. ἐπικείρων κατεστάκαμεν. ΒΔ. ἐπιχείρων κατεστήκαμεν· ἀλλ' ἡ ἀληθὴς ἀνάγνωσις, παρ' Εὐσεβ. «ἐπικρίνων κατέστησα». καὶ ἴσως ὁ Ἀριστέας ἔγραψε «ἐ π ι κ ρ ί ν α ν τ ε ς κ α τ ε σ τ ή σ α μ ε ν» (βλ. ἐφεξῆς τὰ παρ' Ἰωσήπ.): — [7] Εὐσ. καὶ σοί.

ρας σπουδῆς ἀξίως, ἐπιλεξάμενος ἄνδρας καλῶς βεβιωκότας, πρεσβυτέρους, ἐμπειρίαν ἔχοντας τοῦ νόμου, καὶ δυνατοὺς ἑρμηνεῦσαι, ἀφ' ἑκάστης φυλῆς ἕξ· ὅπως ἐκ τῶν πλειόνων τὸ σύμφωνον εὑρεθῇ, διὰ τὸ περὶ μειζόνων εἶναι τὴν σκέψιν. Οἰόμεθα γὰρ, ἐπιτελεσθέντος τούτου, μεγάλην ἀποίσεσθαι δόξαν. Ἀπεστάλκαμεν δὲ περὶ τούτου Ἀνδρέαν τὸν ἀρχισωματοφύλακα,[1] καὶ Ἀριστέαν, τιμωμένους παρ' ἡμῖν, διαλεξομένους σοι, καὶ κομίσοντας ἀπαρχὰς εἰς τὸ ἱερὸν ἀναθημάτων, καὶ εἰς θυσίας, καὶ τὰ ἄλλα, ἀργυρίου τάλαντα ἑκατόν. Γράφων δὲ καὶ σὺ πρὸς ἡμᾶς περὶ ὧν ἂν βούλῃ, κεχαρισμένος ἔσῃ,[2] καὶ φιλίας ἄξιόν τι πράξεις· ὡς ἐπιτελεσθησομένων τὴν ταχίστην, περὶ ὧν ἂν αἱρῇ. Ἔῤῥωσο». Πρὸς ταύτην τὴν ἐπιστολὴν ἀντέγραψεν ἐνδεχομένως ὁ Ἐλεάζαρος ταῦτα.[3]

ΕΛΕΑΖΑΡΟΣ ΑΡΧΙΕΡΕΥΣ

Βασιλεῖ Πτολεμαίῳ, φίλῳ γνησίῳ, χαίρειν.

«Εἰ αὐτός τε ἔῤῥωσαι[4], καὶ ἡ βασίλισσα Ἀρσινόη, ἡ ἀδελφὴ, καὶ τὰ τέκνα, καλῶς ἂν ἔχοι, καὶ ὡς βουλόμεθα· καὶ αὐτοὶ δὲ ὑγιαίνομεν. Λαβόντες τὴν παρὰ σοῦ ἐπιστολὴν, μεγάλως ἐχάρημεν διὰ τὴν προαίρεσίν σου, καὶ τὴν καλὴν[5] βουλήν. Καὶ συναγαγόντες τὸ πᾶν πλῆθος, ἀνέγνωμεν[6] αὐτοῖς, ἵνα ἴδωσιν, ἣν ἔχεις πρὸς τὸν Θεὸν ἡμῶν εὐσέβειαν. Ἐπεδείξαμεν δὲ καὶ τὰς φιάλας, ἃς ἀπέστειλας, χρυσᾶς εἴκοσι, καὶ ἀργυρᾶς τριάκοντα, [καὶ] κρατῆρας πέντε, καὶ τράπεζαν εἰς ἀνάθεσιν· καὶ εἰς προσαγωγὴν[7] θυσιῶν, καὶ εἰς ἐπισκευὰς, ὧν ἂν δέηται τὸ ἱερὸν, ἀργυρίου τάλαντα ἑκατὸν, ἅπερ ἐκόμιζον[8] Ἀνδρέας, τῶν τετιμημένων παρὰ σοὶ, καὶ Ἀριστέας, ἄνδρες καλοὶ κἀγαθοὶ, καὶ παιδείᾳ διαφέροντες, καὶ τῆς σῆς ἀγωγῆς καὶ δικαιοσύνης ἄξιοι κατὰ πάντα· οἳ καὶ μετέ-

[1] Εὐσ. τῶν ἀρχισωματοφυλάκων: —[2] Π. Ε. καὶ χαρισάμενος ἔσῃ, ὁ Εὐσ. Γράφε δὲ καὶ σὺ π. ἡ. κεχαριτμένος γὰρ ἔσῃ. —[3] Εὐσέβ. «Πρὸς ταῦτα ἀ. ἐ. ὁ Ἐ. οὕτως: —[4] Εὐ. ἐν δὲ Π. Ε. Αὐτός τε ἔῤῥωσο. βλ. ὄπισθ. Βιβλ. Α. κεφ. ϛ. §. ε.): — [5] Εὐ. Καλλίστην : — [6] Εὐ. παρανέγνωμεν αὐτὴν αὐτοῖς: Ἰώσ. «ἀνέγνωμεν αὐτήν»: — [7] ΒΣ. Οξ. προαγωγήν : — [8] Εὐ. ἐκόμισεν.

δωκαν ἡμῖν τὰ παρὰ σοῦ, πρὸς ἃ καὶ παρ' ἡμῶν ἀκηκόασιν ἁρμόζοντα τοῖς σοῖς γράμμασι. Πάντα γὰρ, ὅσα σοι συμφέρει, καὶ εἰ παρὰ φύσιν[1] ἐστὶν, ὑπακουσόμεθα. Τοῦτο γὰρ φιλίας καὶ ἀγαπήσεως σημεῖόν ἐστι. Μεγάλα γὰρ καὶ σὺ, καὶ ἀνεπίληστα τοὺς πολίτας ἡμῶν κατὰ πολλοὺς[2] εὐηργέτηκας. Εὐθέως οὖν προσηγάγομεν ὑπὲρ σοῦ θυσίας, καὶ τῆς ἀδελφῆς,[3] καὶ τῶν τέκνων, καὶ τῶν φίλων· καὶ ηὔξατο πᾶν τὸ πλῆθος, ἵνα σοι γένηται, καθὼς προαιρῇ, διὰ παντός· καὶ διασώζῃ σοι τὴν βασιλείαν ἐν εἰρήνῃ μετὰ δόξης ὁ κυριεύων ἁπάντων Θεός· καὶ ὅπως γένηταί σοι συμφερόντως καὶ μετὰ ἀσφαλείας ἡ τοῦ ἁγίου νόμου μεταγραφή. Παρόντων δὲ πάντων, ἐπελεξάμεθα ἄνδρας καλοὺς[4] καὶ ἀγαθοὺς, πρεσβυτέρους, ἀφ' ἑκάστης φυλῆς ἓξ, οὓς καὶ ἀπεστείλαμεν ἔχοντας τὸν νόμον. Καλῶς οὖν ποιήσεις, βασιλεῦ δίκαιε, προστάξας, ὡς ἂν ἡ μεταγραφὴ γένηται τῶν βιβλίων, ἵνα πάλιν ἀποκατασταθῶσι πρὸς ἡμᾶς ἀσφαλῶς οἱ ἄνδρες. Ἔῤῥωσο.

Εἰσὶ δὲ πρώτης φυλῆς. Ἰώσηφος, Ἐζεκίας, Ζαχαρίας, Ἰωάννης, Ἐζεκίας, Ἐλισσαῖος·

Δευτέρας. Ἰούδας, Σίμων, Σομόηλος, Ἀδαῖος, Ματταθίας, Ἐσχλεμίας.

Τρίτης. Νεεμίας, Ἰώσηφος, Θεοδόσιος, Βασαῖος, Ὀρνίας, Δάκης.

Τετάρτης. Ἰωνάθας, Ἀβραῖος, Ἐλισσαῖος, Ἀνανίας, Χαβρίας, Σάτους.

Πέμπτης. Ἴσακος, Ἰάκωβος, Ἰησοῦς, Σαββαταῖος, Σίμων, Λευΐς.

Ἕκτης. Ἰούδας, Ἰώσηφος, Σίμων, Ζαχαρίας, Σομόηλος, Σελεμίας.

Ἑβδόμης. Σαββαταῖος, Σεδεκίας, Ἰάκωβος, Ἴσαχος, Ἰωσίας, Ναττθαῖος.

Ὀγδόης. Θεοδόσιος, Ἰάσων, Ἰησοῦς, Θεόδοτος, Ἰωάννης, Ἰωνάθας.

Ἐννάτης. Θεόφιλος, Ἄβραμος, Ἄρσαμος, Ἐνδεμίας, Ἰάσων, Δανίηλος.

Δεκάτης. Ἰερεμίας, Ἄρσαμος, Ἰάσων, Ἐνδεμίας, Ἐλεάζαρος, Δαθαῖος.

---

[1] « Κἂν ᾖ τι παρὰ φύσιν » Ἰώσηπ. — [2] Β. κατὰ πολύ· ὁ δ' Εὐσ. κατὰ πολλοὺς τρόπους (ὀρθῶς)· ὁ Ἰώσ. πολυμερῶς: — [3] ἀδελφῆς σου. Ἰώσ: — [4] Ὀξ. κακούς.

Ἑνδεκάτης. Σαμούηλος, Ἰώσηφος, Ἰούδας, Ἰωνάθας, Χαβεῦ, Δοσίθεος. Δωδεκάτης. Ἰσάηλος, Ἰωάννης, Θεοδόσιος, Ἄρσαμος, Ἀβιήτης, Ἐζεκίηλος· Οἱ πάντες ἑβδομήκοντα δύο».

§. ιβ. Καὶ τὰ μὲν πρὸς τὴν τοῦ βασιλέως ἐπιστολὴν τοιαύτης ἐτύγχανεν ἀντιγραφῆς ὑπὸ τῶν περὶ Ἐλεάζαρον. Ὡς δὲ ἐπηγγειλάμην καὶ τὰ τῶν κατασκευασμάτων διασαφῆσαι, ποιήσω. Πολυτεχνίᾳ γὰρ διαφέροντα συνετελέσθη, τοῦ βασιλέως πολλὴν ἐπίδοσιν ποιουμένου, καὶ παρ᾽ ἕκαστον[1] ἐπιθεωροῦντος τοὺς τεχνίτας. Διὸ παριδεῖν οὐδὲν ἠδύναντο, οὐδὲ εἰκῇ συντελέσαι· πρῶτον δὲ τὰ περὶ τῆς τραπέζης ἐξηγήσομαι.

§. ιγ. Προεθυμεῖτο μὲν οὖν ὁ βασιλεὺς ὑπέροπλόν τι ποιῆσαι τοῖς μέτροις τὸ κατασκεύασμα· προσέταξε δὲ πυθέσθαι τῶν ἀνὰ τὸν τόπον, πηλίκη τις[2] ἡ προοῦσα, καὶ κειμένη κατὰ τὸ ἱερὸν ἐν Ἱεροσολύμοις; Ὡς δὲ ἀπεφήναντο τὰ μέτρα, προσεπηρώτησεν, εἰ κατασκευάσει μείζονα; τινὲς οὖν καὶ τῶν ἱερέων, καὶ τῶν ἄλλων, ἔλεγον, μηδὲν ἐπικωλύειν. Ὁ δὲ εἶπε, βούλεσθαι καὶ πενταπλῆν τοῖς μεγέθεσι ποιῆσαι· διστάζειν δέ, μήποτε ἄχρηστος γένηται πρὸς τὰς λειτουργίας· οὐ γὰρ αἱρεῖσθαι τὸ κεῖσθαι μόνον ἐν τῷ τόπῳ παρ᾽ αὐτοῦ. Πολὺ δὲ μᾶλλον χάριν ἕξειν, ἐὰν τὰς καθηκούσας λειτουργίας ἐπὶ τῶν ὑπ᾽ αὐτοῦ κατεσκευασμένων, οἷς καθῆκε, ποιῶνται δεόντως. Οὐ γὰρ ἕνεκα σπάνεως χρυσοῦ τὰ προσυντετελεσμένα βραχύμετρα καθέστηκεν· ἀλλὰ φαίνεται πρός τινα λόγον, εἰπεῖν,[3] οὕτω συνεστηκέναι τοῖς μέτροις. Εἰ γὰρ ἐπὶ τὰ τῆς οὔσης,[4] οὐδὲν ἂν ἐσπάνιζε· διόπερ οὐ παραβατέον, οὐδ᾽ ὑπερθετέον τὰ καλῶς ἔχοντα. Τῇ μὲν οὖν ποικιλίᾳ τῶν τεχνῶν, ἐκέλευσεν, ὅτι μάλιστα χρήσασθαι, σεμνῶς ἅπαντα διανοούμενος, καὶ φύσιν ἔχων ἀγαθὴν εἰς τὸ συνιδεῖν πραγμάτων ἔμφασιν· ὅσα δ᾽ ἂν ᾖ ἔγγραφα, πρὸς καλλονὴν ἐκέλευσε ποιεῖν· ὅσα δὲ δι᾽ ἀ-

---

[1] ΒΣ. πρὸς ἕκαστον. — [2] Β. Πηλίκη τις ἐστιν· ὁ δὲ Ἰώσηπ. « πόσον τε ἐστι »: — [3] Β. εἶπεν: — [4] Οὕτω Π. Ε. ἀλλ᾽ ἴσ. γρ. « ὡς γὰρ ἀπὸ τῆς οὐσίας » (δηλ. τῆς περιουσίας, τοῦ πλούτου)· ἢ « εἰ δὲ μή γε, ἐπὶ τὰ τῆς οὔσης» (δηλαδὴ τραπέζης)·

γράπτων, μέτρα αὐτοῖς παρακολουθῆσαι. Δύο γὰρ πήχεων [1] τὸ μῆκος, τὸ δὲ ὕψος, πήχεος καὶ ἡμίσους συνετέλουν, χρυσίου δοκίμου, στερεὰν πάντοθεν τὴν ποίησιν ἐργασάμενοι. Λέγω δὲ, οὐ περί τι περιεπτυγμένου τοῦ χρυσοῦ, τὸν δὲ ἐλασμὸν αὐτὸν ἐπιδεδέσθαι. Στεφάνην δὲ ἐποίησαν παλαιστιαίαν κυκλόθεν· τὰ δὲ κυμάτια στρεπτὰ, [2] τὴν ἀναγλυφὴν ἔχοντα σχοινίδων [3] ἔκτυπον, τῇ τορείᾳ θαυμαστῶς ἔχουσαν ἐκ τῶν τριῶν μερῶν· ἦν γὰρ τριγωνία· καὶ καθ' ἕκαστον μέρος ἡ διατύπωσις τῆς ἐνεργείας τὴν αὐτὴν διάθεσιν εἶχεν· ὥστε, καθ' ὃ ἂν μέρος στρέφοιτο, τὴν πρόσοψιν εἶναι τὴν αὐτήν. Κειμένου [4] δὲ κατὰ τῆς στεφάνης, τὸ μὲν εἰς τὴν *αὐτὴν* τράπεζαν ἀπόκλιμα τὴν διατύπωσιν ἔχειν τῆς ὡραιότητος· τὸ δὲ ἐκτὸς κλίμα, πρὸς τὴν τοῦ προσάγοντος εἶναι [5] θεωρίαν. Διὸ τὴν ὑπεροχὴν ὀξεῖαν εἶναι τῶν δύο κλιμάτων συνέβαινε, μετέωρον ἐπικειμένην, ὡς προειρήκαμεν, τριγώνου κατεσκευασμένου, καθ' ὃ ἂν μέρος στρέφοιτο. Λίθων τε πολυτελῶν ἐν αὐτῇ [6] διαθέσεις ὑπῆρχον, ἀνὰ μέσον τῶν σχοινίδων[7]. Ἕτερος [δὲ] παρ' ἕτερον πλοκὴν εἶχον ἀμίμητον τῇ ποιήσει· πάντες δὲ ἦσαν διὰ τρημάτων κατειλημμένοι χρυσαῖς περόναις, πρὸς τὴν ἀσφάλειαν. Ἐπὶ δὲ τῶν γωνιῶν αἱ κατακλεῖδες συνέσφιγγον πρὸς τὴν συνοχήν. Ἐκ πλαγίων δὲ [8] κατὰ τὴν στεφάνην κυκλόθεν, τὰ πρὸς τὴν ἄνω πρόσοψιν, ᾠοθεσία κατεσκεύαστο διάλιθος, ἐκτύπωσιν ἔχουσα προσοχῆς [9] συνεχέσιν ἀναγλυφαῖς ῥαβδωταῖς, πυκνὴν ἐχούσαις τὴν πρὸς ἄλληλα θέσιν περὶ ὅλην τὴν τράπεζαν. Ὑπὸ δὲ τὴν ἐκτύπωσιν τῶν λίθων τῆς ᾠοθεσίας, στέφανον ἐποίησαν οἱ τεχνῖται πάγκαρπον, ἐν ὑπεροχῇ προδήλως ἔχοντα, βοτρύων καὶ σταχύων, ἔτι δὲ φοινίκων καὶ μήλων, ἐλαίας τε καὶ ῥοῶν, καὶ τῶν παραπλησίων. Τοὺς δὲ λίθους ἐργασάμενοι, πρὸς τὴν τῶν προειρημένων καρπῶν διατύπωσιν, ἔχοντας ἑκάστου γένους τὴν

---

[1] Δύο μὲν καὶ ἡμίσους, (Ἰώσ. Ἐπιφάν.): — [2] ΒΣ. τρεπτά. — [3] Π. Ε. σχοινιδῶν: — [4] Π. Ε. Ἀλλ' ἴσ. γρ. (ἐξ Ἰωσ.). Τῆς δὲ στεφάνης τὸ μὲν ἐπὶ τὴν τράπ. κείμενον ἀπόκλ. τ. δ. εἶχε κτλ. — [5] ἴσ. γρ. ἦν: — [6] Ο. αὐτῶν. ΣΒ. αὐτῷ: — [7] Π. Ε. σχονιδῶν: — [8] Β. λείπει ὁ δέ. — [9] Π. Ε. ἀλλ', ἴσ. γρ. προσεχῶς.

χροὰν, ἀνέδησαν τῷ χρυσῷ κύκλῳ περὶ ὅλην τὴν τῆς τραπέζης κατασκευὴν κατὰ κρόταφον. Μετὰ δὲ τὴν τοῦ στεφάνου διάθεσιν, ὁμοίως κατὰ τὴν τῆς ᾠοθεσίας διασκευὴν, *ᾗ* κατεσκεύαστο καὶ τὰ λοιπὰ τῆς ῥαβδώσεως καὶ διαγλυφῆς· καὶ [1] κατ᾽ ἀμφότερα τὰ μέρη τὴν τράπεζαν πρὸς τὴν χρῆσιν πεποιῆσθαι, καθ᾽ ὃ ἂν μέρος αἴρωνται, [2] ὥστε καὶ τὴν τῶν κυμάτων θέσιν, καὶ τὴν τῆς στεφάνης εἶναι κατὰ τὸ τῶν ποδῶν μέρος. [3] Ἔλασμα γὰρ ἐποίησαν καθ᾽ ὅλου τοῦ πλάτους τῆς τραπέζης στερεὸν, δακτύλων τεσσάρων, ὥστε τοὺς πόδας ἐνίεσθαι εἰς τοῦτο, περόνας κατάκλεισιν ἔχοντας, ἐσφίγχθαι [δὲ] κατὰ τὴν στεφάνην, ἵνα, καθ᾽ ὅ ἂν αἴρωνται μέρος, ἡ χρῆσις ᾖ· τοῦτο δὲ κατ᾽ ἐπιφάνειαν θεωρῆται[4], ἀμφοτεροδεξίου τῆς κατασκευῆς οὔσης. Ἐπ᾽ αὐτῆς[5] δὲ τῆς τραπέζης μαίανδρον ἔκτυπον ἐποίησαν, ἐν ὑπεροχῇ λίθους ἔχοντα κατὰ μέσον πολυτελεῖς, τῶν πυλιάδων,[6] ἀνθράκων τε καὶ σμαράγδων, ἔτι δὲ καὶ ὄνυχος, καὶ τῶν ἄλλων γενῶν τῶν διαφερόντων ἐν ὡραιότητι. Μετὰ δὲ τὴν τοῦ μαιάνδρου διάθεσιν, ἐπέκειτο σχιστὴ πλοκὴ, θαυμασίως ἔχουσα, ῥομβωτὴν ἀποτελοῦσα τὴν ἀνὰ μέσον θεωρίαν· ἐφ᾽ ᾗ κρυστάλλου λίθου, καὶ τὸ λεγόμενον ἤλεκτρον ἐνετετύπωτο, ἀμίμητον θεωρίαν ἀποτελοῦν τοῖς θεωροῦσι. Τοὺς δὲ πόδας ἐποίησαν τὰς κεφαλίδας ἔχοντας κρινωτὰς, ἀνάκλασιν [τῶν] κρίνων ὑπὸ τὴν τράπεζαν λαμβανόντων· τὰ δὲ τῆς ἐκτὸς προσόψεως ὀρθὴν ἔχοντας τὴν πετάλωσιν. Ἡ δὲ ἐπ᾽ ἐδάφους ἔρεισις τοῦ ποδὸς, ἄνθρακος λίθου, πάντοθεν παλαιστιαία, κρηπῖδος ἔχουσα τάξιν κατὰ τὴν πρόσοψιν, ὀκτὼ δὲ δακτύλων τὸ πλάτος ἔχουσα, ἐφ᾽ ὃν [7] ἐπίκειται τὸ πᾶν ἔλασμα [8] τοῦ ποδός. Κατεσκεύασαν δὲ [καὶ] ἐκφύοντα κισσὸν, ἀκάνθῳ πλεκόμενον ἐκ τοῦ λίθου, σὺν ἀμπέλῳ περιειλούμενον κυκλόθεν τῷ ποδὶ σὺν τοῖς βότρυσιν· οἱ λιθουργεῖς ἦσαν μέχρι τῆς κεφαλῆς. Ἡ δὲ αὐτὴ διάθεσις ἦν τῶν τεσ-

[1] Ἴσ. γρ. ὡς: – [2] ἴσ. γρ. ὁρῶνται. – [3] ἴσ. γρ. εἶναι τὴν αὐτὴν μέχρι καὶ τῶν ποδῶν (Ἰώσ.) – [4] ἴσ. γρ. ἡ χρῆσ. ἡ αὐτὴ καὶ κατ᾽ ἐπιφ. – [5] Π. Ε. ὑπ᾽ αὐτῆς. – [6] ἴσ. γρ. τῶν πολυειδῶν. – [7] ἐφ᾽ ἣν (τουτ. κρηπῖδα). – [8] Ἰώσ. αἱ δὲ Π. Ε. τὸ παρέλασμα. (ἴδε καὶ ἑξῆς παρ᾽ Ἰωσ. τὰ τῆς τραπέζης).

σάρων ποδῶν· πάντα ἐνεργῶς πεποιημένα καὶ προσηγμένα, τῆς ἐμπειρίας καὶ τέχνης τὰς ὑπεροχὰς ἀπαραλλάκτως ἔχοντα πρὸς ἀλήθειαν, ὥστε καὶ ῥιπίζοντος τοῦ πνεύματος τοῦ κατὰ τὸν ἀέρα, κίνησιν ἐπιδέχεσθαι τὴν τῶν φύλλων θέσιν, πρὸς τὴν τῆς ἀληθείας διάθεσιν τετυπωμένων ἁπάντων. Ἐποίησαν δὲ τριμερὲς τὸ σχῆμα[1] τῆς τραπέζης, οἱονεὶ τρίπτυχον, πελεκίνοις συναρμοζόμενον[2] γομφωτοῖς πρὸς ἑαυτὸ κατὰ τὸ πάχος τῆς κατασκευῆς, ἀθέατον καὶ ἀνεύρετον τὴν τῶν ἁρμῶν κατασκευάσαντες συμβολήν. Ἡμιπηχίου δὲ οὐκ ἔλασσον ἦν[3] τὸ πάχος τῆς ὅλης τραπέζης, ὥστε πολλῶν εἶναι ταλάντων τὴν ὅλην διασκευήν. Ἐπειδὴ γὰρ[4] οὐ προήρητο τοῖς μεγέθεσιν οὐδὲν προσθεῖναι ὁ βασιλεύς, ὅσον ἔδει δαπανηθῆναι κατασκευαζομένων μειζόνων, ταῦτα ἀπέδωκε πλείονα· καὶ κατὰ τὴν προαίρεσιν αὐτοῦ πάντα ἐπετελέσθη θαυμασίως καὶ ἀξιολόγως ἔχοντα, κατά [τε] τὴν τέχνην ἀμίμητα, καὶ τῇ καλλονῇ διαπρεπῆ.

§. ιδ. Τῶν δὲ κρατήρων, δύο μὲν ἦσαν τὴνκατασκευὴν φολιδωτὴν ἔχοντες, ἀπὸ τῆς βάσεως μέχρι τοῦ μέσου· τὴν διασκευὴν τῇ τορείᾳ,[5] καὶ τὴν τῶν λίθων ἀνὰ μέσον τῶν φολίδων σύνδεσιν πολυτέχνως ἔχοντες. Εἶτα μαίανδρος ἐπέκειτο, πηχυαῖος ὕψει· τὴν δὲ ἐκτύπωσιν ἐνυπῆρχε διὰ λιθώσεως ποικίλης, ἐμφαῖνον[6] σὺν ὡραιότητι τὸ τῆς τέχνης φιλόπονον. Ἐπὶ δὲ τούτου, ῥάβδωσις, ἐφ' ᾗ διαπλοκὴ ῥόμβων, δικτυωτὴν ἔχουσα τὴν πρόσοψιν, ἕως ἐπὶ τὸ στόμα. Τὸ δὲ ἀνὰ μέσον, ἀσπιδίσκοι λίθων ἑτέρων παρ' ἑτέροις, τοῖς γένεσι παραλλαγὴν ἐχόντων, τετραδακτύλων οὐκ ἔλαττον, ἀνεπλήρουν τὸ τῆς καλλονῆς ἐναργές. Ἐπὶ δὲ τῆς στεφάνης τοῦ στόματος κρίνων τύπωσις, σὺν ἀνθεμίσι καὶ βοτρύων σχοινίαις[7] διάπλοκος διετυποῦτο κυκλόθεν. Οἱ μὲν οὖν διὰ τοῦ χρυσοῦ τοιαύτην εἶχον τὴν κατασκευήν, χωροῦντες ὑπὲρ δύο μετρητάς[8]. Οἱ δὲ ἀργυροῖ λείαν[9] εἶχον τὴν διασκευήν, ἔνοπτρον

---

[1] Ἰώσ. ἄλλ. στόμα : — [2]. ΒΣ. Ο. ΟΔ. ΒΔ. συναρμεζόμενον. — [3] Η. Δ. ἐν δὲ Π. Ε. ᾗ : — [4]. ΒΣ. καὶ ἄλλ. δ ὲ : — [5]. Γ. πορείᾳ. — [6] ἴσ. γρ. ἐμφαίνων : — [7] Ἰώσ. ἐν δὲ Π. Ε. σχοινίῳ : — [8] Ἰώσ. δύο χωροῦντες ἑκάτεροι ἀμφορέας : — [9] Η. Δ. ἐν Π. Ε. λίαν.

δὴ γεγονυῖαν, [και] πρὸς αὐτὸ τοῦτο θαυμασίως ἔχουσαν, ὥστε πᾶν τὸ προσαχθὲν ἀπαυγάζεσθαι σαφέστερον μᾶλλον, ἢ ἐν τοῖς κατόπτροις. Οὐκ ἐφικτὸν δέ ἐστιν ἐξηγήσασθαι τὰ συντελεσθέντα[1] πρὸς τὴν τῆς ἀληθείας ἔμφασιν. Ὡς γὰρ[2] ἐπετελέσθη, τεθέντων τῶν κατασκευασμάτων ἑτέρου παρ'[3] ἕτερον, λέγω δὲ, πρῶτον ἀργυροῦ κρατῆρος, εἶτα χρυσοῦ, πάλιν ἀργυροῦ καὶ χρυσοῦ, παντελῶς ἀνεξήγητος ἐγίνετο τῆς προσόψεως ἡ διάθεσις· *καὶ* τῶν πρὸς τὴν θεωρίαν προσιόντων οὐ δυναμένων ἀφίστασθαι διὰ τὴν περιέργειαν[4], καὶ τὸ τῆς ὄψεως τερπνόν. Ποικίλη γὰρ ἦν ἡ τῆς ἐπιφανείας ἐνέργεια. Προσορώντων γὰρ πρὸς αὐτὴν τὴν τοῦ χρυσίου κατασκευὴν, ψυχαγωγία τις ἦν μετὰ θαυμασμοῦ, συνεχῶς ἐφ' ἕκαστον ἐπιβαλλούσης τῆς διανοίας τεχνίτευμα· καὶ πάλιν, ὅτε πρὸς τὴν τῶν ἀργυρῶν προσβλέψαι τις θέσιν ἤθελεν, ἀπέλαμπε τὰ πάντα κυκλόθεν, ὡς ἄν τις ἕστηκε[5], καὶ διάχυσιν ἐποίει μείζονα τοῖς θεωμένοις, ὥστε παντελῶς ἀνεξήγητον εἶναι τῶν ἐνηργημένων τὴν πολυτεχνίαν.

§. ιε. Τὰς δὲ χρυσᾶς[6] φιάλας διετόρευσαν στεφάνοις ἀμπέλου κατὰ μέσον· περὶ δὲ τὰ χείλη κισσοῦ τε καὶ μυρσίνης, ἔτι δὲ ἐλαίας ἀνέπλεξαν στέφανον ἔκτυπον, πολυτελεῖς ἐνέντες λίθους· καὶ τὰς λοιπὰς δὲ τορείας διηλλαγμένας ἐπετέλεσαν, ἅπαντα φιλοτιμηθέντες εἰς ὑπεροχὴν δόξης τοῦ βασιλέως ποιῆσαι. Καθόλου γὰρ οὔτε ἐν τοῖς βασιλικοῖς ὑπῆρχε ῥισκοφυλακίοις τοιαύτη κατασκευὴ τῇ πολυτελείᾳ καὶ τεχνουργίᾳ, οὔτε ἔν τινι ἄλλῳ· πρόνοιαν γὰρ οὐ μικρὰν ἐποιεῖτο ὁ βασιλεὺς, φιλοδοξῶν εἰς τὰ καλῶς ἔχοντα· πολλάκις γὰρ τὸν δημόσιον χρηματισμὸν παρίει, τοῖς δὲ τεχνίταις παρήδρευεν ἐπιμελῶς, ἵνα καθηκόντως τῷ τόπῳ συντελέσωσιν, εἰς ὃν ἀπεστέλλετο τὰ τῶν ἔργων· διὸ πάντα σεμνῶς ἐγεγόνει, καὶ καταξίως τοῦ τε ἀποστέλλοντος βασιλέως, καὶ τοῦ προστα-

---

1 Η. Δ. ἐν δὲ Π. Ε. προσυντελεσθέντα: — 2 ΒΣ. καὶ ἄλλ. δέ: — 3 ΒΣ. πρὸς ἕτερον: — 4 ΒΣ. Ο. Φ. ΟΔ. περιαύγειαν: — 5 ΒΣ. ἔτηκε: — 6 Ὁ Ἰώσ. προστίθησι τριάκοντα.

τοῦντος ἀρχιερέως τοῦ τόπου. Καὶ γὰρ τὸ τῶν λίθων πλῆθος ἄφθονον, καὶ μεγάλοι τοῖς μεγέθεσιν, οὐκ ἔλαττον πεντακισχιλίων, καὶ ταῖς τέχναις κρατιστεύοντα πάντα [1], ὥστε πενταπλασίως τοῦ χρυσοῦ τιμιωτέραν εἶναι τὴν τῶν λίθων δόσιν, καὶ τὴν τῶν τεχνῶν ἐνέργειαν.

§. ιϛ. Ὑπολαμβάνων οὖν καὶ τούτων τὴν ἀναγραφὴν ἀναγκαίαν οὖσαν, δεδήλωκά σοι· τὰ δὲ ἑξῆς περιέχει τὴν πρὸς τὸν Ἐλεάζαρον ὁδὸν ἡμῖν γενομένην· τὴν δὲ θέσιν τῆς ὅλης χώρας πρῶτον δηλώσω. Ὡς γὰρ παρεγενήθημεν ἐπὶ τοὺς τόπους, ἐθεωροῦμεν τὴν πόλιν μέσην κειμένην ἐπ' ὄρους, ὑψηλὴν ἔχοντος τὴν ἀνάτασιν. Ἐπὶ δὲ τῆς κορυφῆς κατεσκεύαστο τὸ ἱερὸν ἐκπρεπῶς ἔχον· καὶ οἱ περίβολοι τρεῖς· ὑπὲρ ἑβδομήκοντα δὲ πήχεις τῷ μεγέθει, καὶ τὸ πλάτος ἀκόλουθον, καὶ τὸ μῆκος τῆς κατὰ τὸν οἶκον διασκευῆς ὑπῆρχε· μεγαλομερίᾳ καὶ χορηγίᾳ κατὰ πάντα ὑπερβαλλούσῃ [2] διῳκοδομημένων ἁπάντων· καὶ [ἐπὶ] τοῦ θυρώματος δὲ, καὶ τῶν περὶ αὐτὸ συνδέσμων κατὰ τὰς φλιὰς, καὶ τῆς τῶν ὑπερθύρων ἀσφαλείας, ἔκδηλος ἦν ἡ τῶν χρημάτων γεγονυῖα ἀφειδὴς δαπάνη· τοῦ τε καταπετάσματος ἡ διατύπωσις, θύρωσις [3] κατὰ πᾶν ὁμοιοτάτη ὑπῆρχε, καὶ μάλιστα διὰ τὴν τοῦ πνεύματος ὑποδρομὴν, ἀδιάλειπτον κίνησιν λαμβανούσης τῆς διϋφῆς, διὰ τὸ ἀπ' ἐδάφους γενομένης τῆς ὑποδρομῆς κατὰ τὴν κόλπωσιν, μέχρι τῆς ἄνω διατάσεως, ἡδεῖάν τινα καὶ [4] δυσαπάλλακτον τὴν θεωρίαν ἔχοντος τοῦ πράγματος.

§. ιζ. Ἥ τε τοῦ θυσιαστηρίου κατασκευὴ, σύμμετρον ἔχουσα [5] πρὸς τὸν τόπον, καὶ τὰ θύματα διὰ πυρὸς ἐξαναλούμενα, τὴν διοικοδομὴν εἶχε. Τῆς δὲ ἀναβάσεως [6] τῆς πρὸς αὐτὸ, πρὸς τὴν εὐκοσμίαν ἔχοντος τοῦ τόπου, καθηκόντως τὸ κλίμα τῶν λειτουργιῶν· τῶν ἱερέων κεκαλυμμένων μέχρι τῶν σφυρῶν βυσσίνοις χιτῶσιν. Ὁ δὲ οἶκος βλέπει πρὸς ἕω, [7] τὰ δὲ ὀπίσθια αὐτοῦ πρὸς ἑσπέραν [8].

---

[1] B. κρατιστεύων τὰ πάντα. – [2] H. Δ. ἐν δὲ Π. E. περιβαλλούσῃ : – [3] Ἴσ. γρ. θυρώσει : – [4] B. ἐν δὲ O. BΣ. BΔ. χωρὶς τοῦ κ α ὶ : – [5] Ἴσ. γρ. ἔχουσαν : – [6] ἴσ. γρ. Τὰ δὲ τῆς ἀναβάσεως τῆς εἰς αὐτὸ πρός τε τὴν εὐκοσμίαν εἶχε τοῦ τόπου καθηκόντως, καὶ τὸ κλίμα κτλ. – [7] Εὐσ. ἀποβλέπει πρὸς ἠῶ : – [8] BΣ. ἑσπέρας.

Τὸ δὲ πᾶν ἔδαφος λιθόστρωτον καθέστηκε, καὶ κλίματα πρὸς τοὺς καθήκοντας τόπους ἔχει τῆς τῶν ὑδάτων ἐπιφορᾶς ἕνεκεν, ἣ γίνεται διὰ τὴν σμῆξιν τῶν ἀπὸ τῶν θυσιῶν αἱμάτων. Πολλαὶ γὰρ μυριάδες κτηνῶν προσάγονται κατὰ τὰς τῶν ἑορτῶν ἡμέρας. Ὕδατος δὲ ἀνέκλειπτός ἐστι σύστασις, ὡς ἂν καὶ πηγῆς ἔσωθεν πολυῤῥύτου φυσικῶς ἐπιῤῥεούσης. Ἔτι δὲ θαυμασίων καὶ ἀδιηγήτων ὑποδοχείων ὑπαρχόντων ὑπὸ γῆν, καθὼς ἀπέφαινον, πέντε σταδίων κυκλόθεν τῆς κατὰ τὸ ἱερὸν καταβολῆς· καὶ ἑκάστου τούτων σύριγγας ἀναρίθμους, καθ᾽ ἕκαστον μέρος ἑαυτὰ [1] συναπτόντων τῶν ῥευμάτων, καὶ πάντα [2] ταῦτα μεμολιβδῶσθαι [3] κατ᾽ ἐδάφους καὶ τοῦ τοίχου. Ἐπὶ δὲ τούτων κεχύσθαι πολύ τι πλῆθος κονίας [4], *ἕως* [5], ἐνεργῶς γεγενημένων ἁπάντων· Εἶναι δὲ πυκνὰ τὰ στόματα πρὸς τὴν βάσιν, ἀοράτως ἔχοντα τοῖς πᾶσι, πλὴν αὐτοῖς, οἷς ἐστι λειτουργία· ὡς ῥοπῇ καὶ νεύματι [6] πάντα καθαρίζεσθαι τὰ συναγόμενα παμπληθῆ τῶν θυμάτων αἵματα. Πεπεισμένος δὲ καὶ αὐτὸς, τὴν τῶν ὑποδοχείων κατασκευὴν δηλώσω, καθὼς ἐπιστώθην. Προήγαγον γὰρ πλέον σταδίων τεσσάρων ἐκ τῆς πόλεως· καὶ πρός τινα τόπον ἐκέλευσέ τις κατακύψαντα συνακοῦσαι τοῦ γινομένου ψόφου τῆς ἀπαντήσεως τῶν ὑδάτων· ὥστε συμφανές μοι γεγονέναι τὸ μέγεθος τῶν ἀγγείων, καθὼς δεδήλωται.

§. ιη. Τῶν δὲ ἱερέων ἡ λειτουργία κατὰ πᾶν ἀνυπέρβλητός ἐστι τῇ ῥώμῃ, καὶ τῇ τῆς εὐκοσμίας καὶ σιγῆς διαθέσει. Πάντες γὰρ αὐτοκελεύστως διαπονοῦσι, πολλῆς γινομένης κακοπαθείας· καὶ ἑκάστῳ τὸ διατεταγμένον μέλει. Καὶ ἀδιαλείπτως ὑπηρετοῦσιν, οἱ μὲν τὴν ξυλείαν, οἱ δὲ ἔλαιον, οἱ δὲ σεμίδαλιν, οἱ δὲ τὰ τῶν ἀρωμάτων, ἕτεροι τὰ τῆς σαρκὸς ὁλοκαυτοῦντες, ἰσχύϊ διαφερόντως συγχρώ-

---

[1] Ὁ Εὐσ. ἑαυταῖς (ἴσ. γρ. αὐταῖς): — [2] πάντων Ο. — [3] Η. Δ. ἐν δὲ ΒΣ. Ο. μεμολιβοῦσθαι. ΟΔ. μεμολιβδοῦσθαι. — [4] Εὐσ. κονιάσεως (ὀρθῶς): — [5] Τὸ ἕως (ἐν Π. Ε.) περιττεύει, προελθὸν ἐκ τῆς ἀτόπου διαιρέσεως τοῦ κονιάσεως εἰς τὸ κονίας ἕως. Ὅθεν οὐδ᾽ Εὐσέβ. ἔχει τὸ ἕως. — [6] Ο. ΟΔ. ΒΔ. πνεύματι.

μενοι. Διαλαβόντες γὰρ ἀμφοτέραις τῶν μόσχων τὰ σκέλη, πλεῖον ὄντα ταλάντου σχεδὸν ἕκαστον [1], ἀναῤῥίπτουσιν ἑκατέραις θαυμασίως [εἰς] ὕψος ἱκανὸν, καὶ οὐχ ἁμαρτάνουσι τῆς ἐπιθέσεως· ὁμοίως δὲ καὶ τὰ τῶν προβάτων, ἔτι δὲ [τῶν] αἰγῶν τοῖς βάρεσι καὶ [τῇ] πιμελῇ θαυμασίως ἔχει. Κατὰ πᾶν γὰρ ἐκλεγομένων, οἷς ἐπιμελές ἐστιν, ἀμώμητα [2] καὶ τῇ παχύτητι διαφέροντα, τὸ προειρημένον ἐπιτελεῖται. Πρὸς δὲ τὴν ἀνάπαυσιν τόπος αὐτοῖς ἐστιν ἀποτεταγμένος, οὗ καθίζουσιν οἱ διαναπαυόμενοι. Τούτου δὲ γενομένου, τῶν διαλελοιπότων [3] ἐγείρονται πρόθυμοι, οὐδενὸς ἐπιτάσσοντος τὰ τῆς λειτουργίας. Ἥ τε πᾶσα σιγὴ καθέστηκεν, ὡς τύπον [4] λαμβάνειν, μηδένα ἄνθρωπον ἐν τῷ τόπῳ παρεῖναι, πρὸς τοὺς ἑπτακοσίους παρόντων τῶν λειτουργῶν, καὶ τῶν προσαγόντων δὲ τὰ θύματα πολύ τι πλῆθος· ἀλλὰ φόβῳ καὶ καταξίως μεγάλης θειότητος ἅπαντα ἐπιτελεῖται.

§. ιθ. Μεγάλην δὲ ἔκπληξιν ἡμῖν παρέσχεν, ὡς ἐθεασάμεθα τὸν Ἐλεάζαρον ἐν τῇ λειτουργίᾳ, τά τε τοῦ στολισμοῦ καὶ τῆς δόξης, ἣ συνίσταται διὰ τὴν ἔνδυσιν οὗ φορεῖ χιτῶνος, καὶ τῶν περὶ αὐτὸν λίθων. Χρυσοῖ γὰρ κώδωνες περὶ τὸν ποδήρη εἰσὶν αὐτοῦ, μέλους ἦχον ἀνιέντες ἰδιάζοντα. Παρ᾽ ἑκάτερον δὲ τούτων ἄνθεσι πεποικιλμένοι ῥοΐσκοι, τῇ χρόᾳ θαυμασίως ἔχοντες· κατέζωστο δὲ διαφόρῳ ζώνῃ διαπρεπεῖ, διϋφασμένῃ καλλίστοις χρώμασιν. Ἐπὶ δὲ τοῦ στήθους φορεῖ τὸ λεγόμενον *Λογεῖον*, ἐν ᾧ συνεσφιγμένοι λίθοι δεκαδύο, διαλλάσσοντες τοῖς γένεσι, χρυσῷ κεκολλημένοι [5], τὰ τῶν φυλάρχων ὀνόματα, κατὰ τὴν ἐξ ἀρχῆς διάταξιν γεννηθεῖσαν, ἀπαυγάζοντες ἕκαστος ἀνεξήγητον τῆς ἰδιότητος τὴν φυσικὴν χρόαν. Ἐπὶ δὲ τῆς κεφαλῆς ἔχει τὴν λεγομένην κίδαριν· Ἐπὶ δὲ ταύτης τὴν ἀμίμητον μίτραν, τὸ καθηγιασμένον βασίλειον, ἐκτυποῦν [6] ἐπὶ πετάλῳ χρυσῷ γράμμασιν ἁγίοις τὸ ὄνομα τοῦ

---

[1]. Η. Δ. ἐν δὲ ΒΣ. Ο. ΟΔ. ἑκάστου· — [2] Ἴσ. γρ. « π ά ν τ α γ ὰ ρ ἐκλ. οἷς ἐπιμ. ἐςὶ κ α τ ὰ π ᾶ ν ἀμώμητα κτλ : — [3] ἴσ. γρ. οἱ δ ι α λ ε λ ο ι π ό τ ε ς : — [4] ΒΣ. Ο. ΟΔ. τόπον : — [5] Ἐν Π. Ε. λείπει τὸ ῥῆμα· δ η λ ο ῦ σ ι ν (ἤ τι ἄλλο), ἵνα ᾖ, δηλοῦσι τὰ τῶν φυλάρχων κτλ : — [6] Οὕτω Β. οἱ δὲ ἄλλ. ἐκ τόπων.

Θεοῦ, κατὰ μέσον τῶν ὀφρύων, δόξῃ πεπληρωμένον[1]· ὁ κριθεὶς ἄξιος τούτων ἐν ταῖς λειτουργίαις. Ἡ δὲ συμφάνεια τούτων ἐμποιεῖ φόβον καὶ ταραχὴν, ὥστε νομίζειν εἰς ἕτερον[2] ἐληλυθέναι ἐκτὸς τοῦ κόσμου· καὶ διαβεβαιοῦμαι πάντα ἄνθρωπον προσελθόντα, τῇ θεωρίᾳ εἰς ἔκπληξιν ἥξειν, καὶ θαυμασμὸν ἀδιήγητον, μετατραπέντα τῇ διανοίᾳ διὰ τὴν περὶ ἕκαστον ἁγίαν κατασκευήν.

§· κ. Πρὸς δὲ τὴν ἐπίγνωσιν ἁπάντων, ἐπὶ τὴν παρακειμένην ἄκραν τῆς πόλεως ἀναβάντες, ἐθεωροῦμεν· ἣ κεῖται μὲν ἐν ὑψηλοτάτῳ τόπῳ, πύργοις ἐξησφαλισμένη πλείοσι μέχρι κορυφῆς, εὐμήκεσι λίθοις ἀνῳκοδομημένων αὐτῶν, ὡς μεταλαμβάνομεν, πρὸς φυλακὴν τῶν περὶ τὸ ἱερὸν τόπων. Ἵνα, ἐὰν ἐπίθεσίς τις, ἢ νεωτερισμὸς, ἢ πολεμίων ἔφοδος γένηται, μή τις δύνηται ὁδὸν εἰς τοὺς περιβόλους ποιήσασθαι τοὺς περὶ τὸν οἶκον· ἐπικειμένων καὶ ὀξυβελῶν ἐπὶ τῶν πύργων τῆς ἄκρας, καὶ ὀργάνων ποικίλων, καὶ τοῦ τόπου κατὰ κορυφὴν ὄντος τῶν προειρημένων περιβόλων, ὡσανεὶ[3] φυλασσομένων τῶν πύργων ὑπὸ τῶν πιστοτάτων ἀνδρῶν, καὶ τῇ πατρίδι μεγάλας ἀποδείξεις δεδωκότων· οἵτινες οὐκ εἶχον ἐξουσίαν ἐξιέναι τῆς ἄκρας, εἰμὴ [ἐν] ταῖς ἑορταῖς, καὶ τοῦτο ἐκ μέρους. Οὐδὲ εἰσοδεύειν εἴων οὐδένα· μετὰ ἀκριβείας δὲ πολλῆς εἶχον, εἰ καί τις ἐπιταγὴ γένοιτο διὰ τοῦ προκαθημένου, πρὸς θεωρίαν δέξασθαί τινας· οἷον καὶ καθ' ἡμᾶς ἐγεγόνει· μόλις γὰρ[4] ἀνόπλους ὄντας ἡμᾶς δύο παρεδέξαντο, πρὸς τὸ κατανοῆσαι τὰ τῶν θυσιῶν· ἔλεγον δὲ καὶ δι' ὅρκων πεπιστῶσθαι τὸ τοιοῦτο. Τοὺς γὰρ[5] πάντας ὀμωμοκέναι, κατ' ἀνάγκην ἐπιτελουμένους[6] θείως τὸ κατὰ τὸν ὁρισμὸν πρᾶγμα, ὄντας πεντακοσίους, μὴ παραδέξασθαι πλεῖον ἀνθρώπων πέντε κατὰ τὸ αὐτό· τοῦ γὰρ[7] ἱεροῦ τὴν πᾶσαν εἶναι φυλακὴν τὴν ἄκραν· καὶ τὸν καταβαλόμενον αὐτὴν[8] τὴν προφυλακὴν τῶν εἰρημένων, οὕτως ἠσφαλίσθαι.

---

[1] Ἴσ. λείπει «ὃ φέρει» ὁ κριθεὶς κτλ. — [2] λείπει τόπον. — [3] ἴσ. γρ. ὡς ἂν. — [4] ΒΣ. δέ: — [5] Ο. δή: — [6] Η. Δ. ἐν δὲ Π. Ε. ἐπιτελουμένου: — [7] Ο. ΒΔ. ἄλλ. δή: — [8] ἴσ. γρ. ταύτην.

§. κα. Τῆς δὲ πόλεώς ἐστι τὸ χύμα συμμέτρως ἔχον, οἷον τεσσαράκοντα σταδίων ὄντος τοῦ περιβόλου, καθόσον εἰκάσαι δυνατόν. Ἔχει δὲ τὴν τῶν πύργων θέσιν θεατροειδῆ, καὶ [τῶν] φαινομένων διόδων, τῶν [μὲν] ὑποκειμένων, τῶν δὲ ἐπάνωθεν εἰθισμένων, *καὶ* τὰς διὰ τούτων διεξόδους· ἀνάκλασιν γὰρ [1] ἔχει τὰ τῶν τόπων, ὡς ἂν ἐπ' ὄρους τῆς πόλεως ᾠκοδομημένης. Εἰσὶ δὲ καὶ διαβάθραι πρὸς τὰς διόδους, αἱ [2] μὲν μετέωροι τὴν ὁδείαν, αἱ δὲ ὑπ' αὐτὰς ποιοῦνται, καὶ μάλιστα διεστηκυίας τῆς ὁδείας, διὰ τοὺς ἐν ταῖς ἁγνείαις ὄντας· ὅπως μηδενὸς θιγγάνωσιν, ὧν οὐ δέον ἐστίν.

§. κβ. Οὐκ ἀλόγως δὲ τὴν πόλιν συμμετρίᾳ καθηκούσῃ κατεσκεύασαν οἱ πρῶτοι, σοφῶς δὲ ἐπινοήσαντες. Τῆς γὰρ χώρας πολλῆς οὔσης καὶ καλῆς, καί τινων μὲν πεδινῶν, τῶν κατὰ τὴν Σαμαρεῖτιν λεγομένην [3], καὶ τῶν συναπτόντων τῇ τῶν Ἰδουμαίων [4] χώρᾳ· τινῶν δὲ ὀρεινῶν, τῶν πρὸς τὴν γεωργίαν καὶ τὴν ἐπιμέλειαν τῆς γῆς γίνεσθαι συνεχῶς [5], ἵνα διὰ τοῦτο καὶ οὗτοι [6] τὴν εὐκαρπίαν ἔχωσιν· οὗ γενομένου [7], γεωργεῖται *μὲν* πάντα, [μετὰ] δαψιλείας [8] πολλῆς ἐν πάσῃ τῇ προειρημένῃ χώρᾳ. Τῶν δὲ πόλεων ὅσαι μέγεθος ἔχουσι, καὶ τὴν ἀκόλουθον εὐδαιμονίαν, ταύταις συμβέβηκε [μὲν] εὐανδρεῖν, ἀμελεῖσθαι δὲ τὰς χώρας, πάντων ἐπὶ τὸ κατὰ ψυχὴν ἱλαροῦσθαι νενευκότων, [τῷ] καὶ τῇ κατασκευῇ πάντας ἀνθρώπους ἐπὶ τὰς ἡδονὰς εὐκαταφόρους εἶναι· τοῦτο δὲ ἐγένετο ἐπὶ τὴν Ἀλεξάνδρειαν, ὑπερβάλλουσαν πάσας τῷ μεγέθει καὶ εὐδαιμονίᾳ τὰς πόλεις. Οἱ γὰρ ἀπὸ τῆς χώρας εἰς αὐτὴν ἐπιξενούμενοι, καταμένοντες ἐφ' ἱκανὸν, εἰς ἐλάττωσιν ἦγον τὰ τῆς ἐργασίας. Ὅθεν ὁ βασιλεὺς, ἵνα μὴ καταμένωσι, προσέταξε μὴ πλέον εἴκοσιν ἡμερῶν παρεπιδημεῖν· καὶ τοῖς ἐπὶ τῶν χρειῶν ὁμοίως δι' ἐγγράπτων διαστολὰς ἔδωκεν, ἐὰν ἀναγκαῖον ᾖ κατα-

---

[1] Ἄλλ. δέ. — [2] Η. Δ. ἐν δὲ Π. Ε. οἱ μὲν — οἱ δέ: — [3] Η. Δ. ἐν δὲ Π. Ε. λεγομένων: — [4] ΒΣ. καὶ ἄλλοι, Ἰουδαίων: — [5] ἴσ. γρ. ἐχρῆν ἐπὶ τούτων τὰ πρὸς τὴν γεωργίαν καὶ τὴν ἐπιμ. κτλ. — [6] Η. Δ. ἐν δὲ Π. Ε. καὶ διὰ τοῦτο οὗτοι: — [7] ἴσ. γρ. γινομένου: — [8] ἴσ. γρ. μετὰ δαψιλείας (ἤ, δαψιλείας οὔσης).

καλέσαι, διακρίνειν ἐν ἡμέραις πέντε· περὶ[1] πολλοῦ δὲ ποιούμενος καὶ χρηματιστὰς, καὶ τοὺς τούτων ὑπηρέτας, ἐπέταξε κατὰ νόμους, ὅπως μὴ πορισμὸν λαμβάνοντες οἵ [τε] γεωργοὶ, καὶ [οἱ] προστάται τῆς πόλεως, ἐλαττῶσι τὰ ταμεῖα·[2] λέγω δὲ τὰ τῆς γεωργίας πρόσφορα.

§. κγ. Παρεξέβημεν δὲ ταῦτα, διὰ τὸ καλῶς ἡμῖν τὸν Ἐλεάζαρον ὑποδεδειχέναι τὰ προειρημένα. Μεγάλη γάρ ἐστιν ἡ τῶν γεωργουμένων φιλοπονία· καὶ γὰρ ἐλαϊκοῖς[3] πλήθεσι σύνδενδρός ἐστι, καὶ σιτικοῖς καρποῖς αὐτῶν ἡ χώρα, καὶ ὀσπρίοις, ἔτι δὲ ἀμπέλῳ, καὶ μέλιτι πολλῷ· τὰ δὲ[4] τῶν ἄλλων ἀκροδρύων καὶ φοινίκων οὐδὲ ἀριθμεῖται παρ' αὐτοῖς· κτήνη τε[5] πολλὰ [καὶ] παμμιγῆ· καὶ δαψιλὴς ἡ τούτων νομή. Διὸ καλῶς ἔβλεψαν, ὅτι πολυανθρωπίας οἱ τόποι προσδέονται· καὶ τὴν κατασκευὴν τῆς πόλεως, καὶ τῶν κωμῶν ἔθεντο κατὰ λόγον[6]. Πολὺ δὲ πλῆθος καὶ τῶν ἀρωμάτων, καὶ λίθων πολυτελῶν, καὶ χρυσοῦ παρακομίζεται διὰ τῶν Ἀράβων εἰς τὸν τόπον· ἐργάσιμος γὰρ καὶ πρὸς τὴν ἐμπορίαν ἐστὶν ἡ χώρα κατεσκευασμένη, καὶ πολύτεχνος ἡ πόλις. Οὐ σπανίζει δὲ οὐδὲν τῶν διακομιζομένων διὰ τῆς θαλάσσης. Ἔχει γὰρ καὶ λιμένας εὐκαίρους χορηγοῦντας, τά τε κατὰ τὴν Ἀσκάλωνα, καὶ Ἰόππην, καὶ Γάζαν, ὁμοίως δὲ [καὶ] Πτολεμαΐδα, τὴν ὑπὸ τοῦ βασιλέως ἐκτισμένην. Μέση δὲ κεῖται πρὸς τοὺς προειρημένους τόπους, οὐκ ἀπέχουσα τούτων πολύ. Ἔχει δὲ πάντα δαψιλῆ, κάθυγρος[7] οὖσα πάντοθεν ἡ χώρα, καὶ μεγάλην ἀσφάλειαν ἔχουσα. Περιῤῥεῖ δὲ αὐτὴν ὁ λεγόμενος Ἰορδάνης, ποταμὸς ἀείῤῥους, οὐκ ἔλαττον ἑξακισχιλίων μυριάδων ἀρουρῶν κατὰ τὸ ἀρχαῖον οὖσαν[8]· (Μετέπειτα δὲ οἱ γειτνιῶντες ἐπέβησαν αὐτῆς)· ἑξήκοντά [τε] μυριάδες ἀνδρῶν ἔγκληροι καθειστήκεισαν ἑκατονταρούροις. Πληρούμενος δὲ [ὁ] ποταμὸς, καθὼς

---

[1] Η. Δ. ἐν δὲ Π. Ε. πρό. — [2] ΒΣ. Ο. ταμιεῖα. — [3] Οὕτως Ο. ΒΣ. τὸ Β. ἐν ἐλαϊκοῖς· ἀλλ' ἴσ. γρ. «καὶ γὰρ σύνδενδρός ἐστιν, ἐλαϊκοῖς πλήθουσα, καὶ σιτικοῖς» κτλ: — [4] Η. Δ. ἐν δὲ Π. Ε. μέν: — [5] Ἐν δὲ Π. Ε. τά: — [6] Η. Δ. ἐν δὲ Π. Ε. κατάλογον: — [7] ΒΣ. καθύγρατος: — [8] Η. Δ. οἱ ἄλλ. οὔσης.

ὁ Νεῖλος, ἐν ταῖς πρὸς τὸν θερισμὸν ἡμέραις, πολλὴν ἄρδεύει τῆς γῆς· ὅς εἰς ἕτερον ποταμὸν ἐκβάλλει τὸ ῥεῦμα, κατὰ τὴν Πτολεμαίων χώραν· οὗτος δὲ ἔξεισιν εἰς θάλασσαν· ἄλλοι δὲ χείμαῤῥοι λεγόμενοι κατίασι, περιλαμβάνοντες τὰ πρὸς τὴν Γάζαν μέρη, καὶ τὴν Ἀζωτίων χώραν. Περιέχεται δὲ ἀσφαλείαις αὐτοφυέσι[1], δυσείσβολος οὖσα, καὶ πλήθεσιν ἀπραγμάτευτος, διὰ τὸ στενὰς εἶναι τὰς παρόδους, κρημνῶν παρακειμένων, καὶ φαράγγων βαθέων· ἔτι δὲ τραχείας οὔσης τῆς περιεχούσης τὴν χώραν ὀρεινῆς.

§. κδ. Ἐλέγετο δὲ καὶ ἐκ τῶν παρακειμένων ὀρέων τῆς Ἀραβίας μέταλλα χαλκᾶ καὶ σιδηρᾶ συνίστασθαι πρότερον. Ἐκλέλειπται δὲ ταῦτα, καθ᾽ ὃν ἐπεκράτησαν χρόνον Πέρσαι· τῶν τότε προστατούντων ποιησαμένων διαβολὴν, ὡς ἄχρηστος ἡ κατεργασία γίνεται καὶ πολυδάπανος· ὅπως μὴ διὰ τὴν μεταλλείαν τῶν εἰρημένων συμβῇ καὶ τὴν χώραν καταφθείρεσθαι, καὶ σχεδὸν διὰ τὴν ἐκείνων δυναστείαν ἀλλοτριωθῆναι, παρεύρεσιν λαβόντων εἰς τοὺς τόπους εἰσόδου· διὰ τοῦτο[2] τὴν διαβολὴν γεγονέναι τοιαύτην. Ὅσον οὖν καὶ περὶ τούτων ἔδει, κεφαλαιωδῶς σεσήμαγκά σοι, ὦ Φιλόκρατες ἀδελφέ· τὰ δὲ τῆς ἑρμηνείας ἑπομένως δηλώσομεν.

§. κε. Ἐπιλέξας γὰρ[3] τοὺς ἀρίστους ἄνδρας, καὶ παιδείᾳ διαφέροντας, ἅτε δὴ γονέων τετευχότας ἐνδόξων, οἵτινες οὐ μόνον τὴν τῶν Ἰουδαϊκῶν γραμμάτων ἕξιν περιεποίησαν αὑτοῖς, ἀλλὰ καὶ [τῆς] τῶν Ἑλληνικῶν ἐφρόντισαν οὐ παρέργως[4] κατασκευῆς. διὸ καὶ πρὸς τὰς πρεσβείας εὔθετοι καθεστήκεισαν, καὶ τοῦτ᾽ ἐπετέλουν, ὅτε δέοι· καὶ πρὸς τὰς ὁμιλίας καὶ ἐπερωτήσεις τοῦ νόμου μεγάλην εὐφυΐαν εἶχον, τὸ μέσον ἐζηλωκότες κατάστημα (τοῦτο γὰρ κάλιστόν ἐστιν), ἀποτεθειμένοι τὸ τραχὺ καὶ βάρβαρον τῆς διανοίας. Ὁμοίως δὲ καὶ τὸ κατοίεσθαι[5] καὶ νομίζειν ὑπερφρονεῖν ἑτέρους, ὑπερβεβηκότες· τῇ δὲ ὁμιλίᾳ, καὶ τῷ συνακούειν, καὶ

---

[1] Οἱ ἄλλ. ἀσφαλείας. — [2] Η. Δ. οἱ ἄλλ. διὰ τό: — [3] ἴσ. γρ. Ὁ γὰρ Ἐλεάζαρος ἐπιλέξας κτλ. ὁ δὲ λόγος ἔχει τὴν ἀπόδοσιν ἐν §. κθ. τὰ δ᾽ ἐν μέσῳ παρέκβασις: — [4] Γ. περιέργως: — [5] Οὕτω καὶ Β. Ὁ δὲ Ο. ΒΣ. ΒΔ. Γ. κατοεῖσθαι. Οἱ δὲ Φ. ΩΔ. κατανοεῖσθαι· (τὸ κατοιόμενος καὶ παρὰ τοῖς Ο. βλ. ἑξῆς ἐν ταῖς σημ.).

πρὸς ἕκαστον ἀποκρίνεσθαι δεόντως, παραδεδεγμένοι ὑπερφέρειν ἕτερον ἑτέρου·[1] καὶ τοῦ καθηγουμένου πάντες ἄξιοι, καὶ τῆς περὶ αὐτὸν ἀρετῆς. Νοῆσαι δὲ ἦν, ὡς ἠγάπησαν τὸν Ἐλεάζαρον, δυσαποσπάστως ἔχοντες, καὶ ἐκεῖνος αὐτούς· χωρὶς γὰρ[2] τοῦ πρὸς τὸν βασιλέα γεγραφέναι περὶ τῆς ἀποκαταστάσεως αὐτῶν, πολλὰ παρεκάλεσε [καὶ] τὸν Ἀνδρέαν ποιῆσαι, συναντιλαμβάνεσθαι παρακαλῶν, καθ' ὃ ἂν δυνώμεθα. Καὶ ἡμῶν ἐπαγγελλομένων, [ὡς] ἀφροντιστεῖν[3] περὶ τούτων, ἔφη. Καὶ λίαν διαγωνιᾷν. Εἰδέναι γὰρ ὅτι φιλάγαθος ὢν ὁ βασιλεὺς, πάντων μέγιστον ἡγεῖται τὸ μεταπέμπεσθαι, καθ' ὃν ἂν τόπον ὠνομάσθη τις ἄνθρωπος διαφέρων ἀγωγῇ καὶ φρονήσει παρ' ἑτέρους. Μετείληφα γὰρ καλῶς αὐτὸν λέγειν, ὅτι περὶ ἑαυτὸν ἔχων ἄνδρας δικαίους καὶ σώφρονας, τὴν μεγίστην ἂν φυλακὴν τῆς βασιλείας ἕξειν, συμβουλευόντων παῤῥησίᾳ πρὸς τὸ συμφέρον τῶν φίλων· ὃ δὴ σύνεστι τοῖς ἀποστελλομένοις ὑπ' αὐτοῦ. Καὶ δἰ ὅρκων ἐπιστοῦτο, μὴ προΐεσθαι τοὺς ἀνθρώπους, εἴ τις ἑτέρα χρεία πρὸς τὰ κατ' ἰδίαν αὐτῷ κατεπείγοι· πρὸς δὲ τὴν κοινὴν πᾶσι τοῖς πολίταις ἐπανόρθωσιν, ἐξαποστέλλειν αὐτούς· τὸ γὰρ καλῶς ζῆν, ἐν τῷ τὰ νόμιμα συντηρεῖν εἶναι· τοῦτο δὲ ἐπιτελεῖσθαι διὰ τῆς ἀκροάσεως πολλῷ μᾶλλον, ἢ διὰ τῆς ἀναγνώσεως. Προτιθέμενος[4] οὖν ταῦτα καὶ τὰ τούτοις παραπλήσια, φανερὸς ἦν τὴν διάθεσιν, οἷος[5] ἦν πρὸς αὐτούς.

§. κϛ. Ἄξιον δὲ ἐπιμνησθῆναι βραχέων[6] τῶν ὑποδειχθέντων ὑπ' αὐτοῦ, πρὸς τὰ δἰ ἡμῶν ἐπιζητηθέντα[7]. Νομίζειν γὰρ [ἔφημεν] τοὺς πολλοὺς[8] περιεργίαν ἔχειν τινὰ τῶν ἐν τῇ νομοθεσίᾳ περί τε[9] βρωμάτων, καὶ ποτῶν, καὶ τῶν νομιζομένων ἀκαθάρτων εἶ-

---

[1] Η. Δ. ἐν δὲ Π. Ε. τὴν δὲ ὁμιλίαν κ. τὸ . . . παραδεδειγμένοι ὑπερφέρ. ἕτερος ἑτέρῳ. —[2] Η. Δ· οἱ ἄλλ. καὶ: —[3]. Η. Δ. ἐν δὲ Π. Ε. ἀφροντίσειν (δοκεῖ δὲ καὶ ἄλλως ἐλλειπές· καὶ ἴσ. γρ. ἀφροντιστεῖν τε περὶ τούτου ε ἰ π ό ν τ ω ν). —[4] Οἱ ἄλλ. προτιθέμενοι: —[5]. Η. Δ. οἱ ἄλλ. ὅς. —[6] « Διὰ βραχέων » διορθοῖ Βιγέρος: —[7] Οὕτως Εὐσέβ. ᾧ παρηκολούθησαν ΟΔ. Γ. οἱ δὲ Ο. ΒΣ. Φ. πρὸς δ' ἡμῶν ἐπιζητηθέντων: —[8] Η. Δ. ἐν δὲ Π. Ε. τοῖς πολλοῖς (καὶ χωρὶς τοῦ ἔφημεν): —[9] Εὐσ. λέγω δὲ περί τε βρωμάτ. ἐν δὲ Π. Ε. περὶ τῆς τῶν βρωμάτ. Μόνος Ὄδιος περί τε τῶν βρωμάτ.

ναι κνωδάλων. Πυνθανομένων γάρ[1] ἡμῶν, διὰ τί μιᾶς καταβολῆς οὔσης, τὰ μὲν ἀκάθαρτα νομίζεται πρὸς βρῶσιν, τὰ δὲ καὶ πρὸς τὴν ἁφήν; (δεισιδαιμόνως γὰρ τὰ πλεῖστα τὴν νομοθεσίαν ἔχειν, ἐν δὲ τούτοις πάλιν πάνυ[2] δεισιδαιμόνως), πρὸς ταῦτα οὕτως ἐνήρξατο.

§. κζ. Θεωρεῖς, ἔφη, τὰς ἀναςροφὰς καὶ τὰς ὁμιλίας, οἷον ἐνεργάζονται πρᾶγμα· διότι κακοῖς ἐνομιλήσαντες, διαστροφὰς ἐπιλαμβάνουσιν ἄνθρωποι, καὶ ταλαίπωροι δι' ὅλου τοῦ ζῆν[3] εἰσιν. Ἐὰν δὲ σοφοῖς καὶ φρονίμοις συζῶσιν ἐξ ἀγνείας, ἐπανορθώσεως εἰς τὸν βίον ἔτυχον. Διαστειλάμενος οὖν[4] τὰ τῆς εὐσεβείας καὶ δικαιοσύνης πρῶτον ὁ νομοθέτης[5] ἡμῶν, καὶ διδάξας ἕκαστα περὶ τούτων οὐκ ἀπαγορευτικῶς μόνον, ἀλλ' ἐνδίκως[6], καὶ τὰς βλάβας προδηλώσας[7], καὶ τὰς ὑπὸ τοῦ Θεοῦ γινομένας ἐπιπομπὰς τοῖς αἰτίοις· (ὑπέδειξε[8] γὰρ πάντων πρῶτον, ὅτι [εἷς] μόνος Θεός ἐστι, καὶ διὰ πάντων ἡ δύναμις *τοῦ* αὐτοῦ ἐςι, [καὶ] φανερὰ γίνεται, πεπληρωμένου παντὸς τόπου[9] τῆς δυναστείας [αὐτοῦ], καὶ οὐθὲν αὐτὸν λανθάνει τῶν ἐπὶ γῆς γινομένων ὑπ' ἀνθρώπων κρυφίως· ἀλλ' ὅσα ποιεῖ τις, αὐτῷ φανερὰ καθέστηκε, καὶ τὰ μέλλοντα γίνεσθαι. ταῦτα οὖν ἐξεργασάμενος[10] ἀκριβῶς, καὶ πρόδηλα θείς, ἔδειξεν, ὅτι κἂν ἐννοηθῇ[11] τις κακίαν ἐπιτελεῖν, οὐκ ἂν λάθοι, μὴ ὅτι καὶ πράξας, διὰ πάσης τῆς νομοθεσίας τὸ τοῦ Θεοῦ δυνατὸν ἐνδεικνύμενος). Ποιησάμενος οὖν τὴν καταρχὴν ταύτην, καὶ δείξας, ὅτι πάντες οἱ λοιποὶ παρ' ἡμᾶς ἄνθρωποι πολλοὺς θεοὺς εἶναι νομίζουσιν, αὐτοὶ δυναμικώτεροι πολλῷ καθεστῶτες, ὧν σέβονται ματαίως· Ἀγάλματα γὰρ ποιήσαντες ἐκ λίθων καὶ ξύλων, εἰκόνας φασὶν εἶναι τῶν ἐξευρόντων τι πρὸς τὸ ζῆν αὐτοῖς

---

[1] Ἴσ. γρ. οὖν. – [2]. Μάτην ὁ Βιγέριος ἐν τούτοις χάσμα ὑπονοήσας, διορθοῖ οὑτωσί. «Πάλιν πάνυ δεισιδαιμόνως τοὺς Ἰουδαίους, ἢ ἀρχομένους, διακεῖσθαι»: – [3]. Εὐσ. διὰ τοῦ ζῆν. – [4] Οὕτως Εὐσ. ἐν δὲ Π. Ε. λείπει τὸ οὖν – [5] Εὐσέβ. ΟΔ. οἱ δ' ἄλλ. ὁ πρῶτος νομ. – [6] Εὐσ. ἐνδεικτικῶς: – [7] Η. Δ. ἐν Π. Ε. προδήλους – [8] Εὐσ. Β. προϋπέδειξε: – [9] τὸ τόπου λείπει ἐν Γ. – [10]. Η. Δ. ἐν δὲ ΒΔ. Εὐσ. ἐξεργαζόμενος, οἱ ἄλλ. ἐξεργαζόμενον. – [11] Γ. ἐννοθῇ.

χρήσιμον· οἷς προσκυνοῦσι, παρὰ πόδας ἔχοντες τὴν ἀναισθησίαν. Εἴτε γὰρ [1] κατ᾽ ἐκείνους τις θείη [τὸ] κατὰ τὴν ἐξεύρεσιν, παντελῶς ἀνόητον. Τῶν γὰρ ἐν τῇ κτίσει λαβόντες τινὰ, συνέθηκαν, καὶ προσυπέδειξαν [2] εὐχρηστοτάτην τὴν κατασκευὴν αὐτῶν, οὐ ποιήσαντες αὐτοί· διὸ κενὸν καὶ μάταιον τοὺς ὁμοίους ἀποθεοῦν. Καὶ γὰρ ἔτι [3] καὶ νῦν εὑρετικώτεροι [4] καὶ πολυμαθέστεροι τῶν ἀνθρώπων τῶν πρίν εἰσι πολλοὶ, καὶ οὐκ ἂν φθάνοιεν αὐτοὺς προσκυνοῦντες. καὶ νομίζουσιν οἱ ταῦτα διαπλάσαντες καὶ μυθοποιήσαντες, τῶν Ἑλλήνων οἱ σοφώτατοι καθεστάναι. τῶν γὰρ [5] ἄλλων [τῶν] πολυματαίων τί δεῖ καὶ λέγειν; Αἰγυπτίων τε καὶ τῶν παραπλησίων· οἵτινες ἐπὶ θηρία, καὶ τῶν ἑρπετῶν τὰ πλεῖστα καὶ κνωδάλων, τὴν ἀπέρεισιν πεποίηνται, καὶ ταῦτα προσκυνοῦσι, καὶ θύουσι τούτοις, καὶ ζῶσι καὶ τελευτήσασι. Συνθεωρήσας οὖν ἕκαστα, σοφὸς ὢν ὁ νομοθέτης, ὑπὸ Θεοῦ κατεσκευασμένος εἰς ἐπίγνωσιν τῶν ἁπάντων, περιέφραξεν ἡμᾶς ἀδιακόποις χάραξι, καὶ σιδηροῖς τείχεσιν· ὅπως μηθενὶ τῶν ἄλλων ἐθνῶν ἐπιμισγώμεθα κατὰ μηδὲν, ἁγνοὶ καθεστῶτες κατὰ σῶμα, καὶ κατὰ ψυχὴν ἀπολελυμένοι ματαίων δοξῶν, τὸν μόνον Θεὸν καὶ δυνατὸν σεβόμενοι παρ᾽ ὅλην τὴν πᾶσαν κτίσιν. Ὅθεν οἱ Αἰγυπτίων καθηγεμόνες ἱερεῖς, ἐγκεκυφότες εἰς πολλὰ, καὶ μετεσχηκότες πραγμάτων, ἀνθρώπους Θεοῦ προσονομάζουσιν ἡμᾶς· ὃ τοῖς λοιποῖς οὐ πρόσεστιν, εἰμή τις σέβεται τὸν κατ᾽ ἀλήθειαν Θεὸν, ἀλλ᾽ εἰσὶν ἄνθρωποι βρωτῶν καὶ ποτῶν καὶ σκέπης. Ἡ γὰρ πᾶσα διάθεσις αὐτῶν ἐπὶ ταῦτα καταφεύγει. Τοῖς δὲ παρ᾽ ἡμῖν [6] ἐν οὐδενὶ ταῦτα λελόγισται, περὶ δὲ τῆς τοῦ Θεοῦ δυναστείας δι᾽ ὅλου τοῦ ζῆν ἡ σκέψις αὐτοῖς ἐστίν. Ὅπως οὖν [7] μηθενὶ συναλισγούμενοι, μηδ᾽ ὁμιλοῦντες φαύλοις, διαστροφὰς λαμβάνωμεν, πάντοθεν ἡμᾶς περιέ-

---

[1] Οὕτως Εὐσ. καὶ Π. Ε. ἀλλ᾽ ἴσ. γρ. εἴπερ γὰρ ἐκεῖνό τις θείη, τὸ κατὰ τὴν ἐξεύρεσιν, κτλ. — [2] Οὕτως Εὐσέβ. οἱ ἄλλοι προσυπέδειξαν εὔχρηστα, τὴν κ. α. κτλ. — [3] ΟΔ. Γ. ἐν δὲ Ο. ΒΣ. εἰ: — [4] Π. Ε. εὑρηματικώτερ. — [5] παρ᾽ Εὐσ. Τῶν μὲν γὰρ ἀλλ᾽ ἴσ. γρ. Περὶ γὰρ τῶν. — [6] Οὕτως Εὐσεβ. (ὀρθῶς)· αἱ δὲ Π. Ε. παρ᾽ ἡμῶν οὐδενί· — [7] Εὐσ. ἐν δὲ Π. Ε. ἐν.

φραξεν ἁγνείαις, καὶ διὰ βρωτῶν, καὶ ποτῶν, καὶ ἁφῶν, καὶ ἀκοῆς, καὶ ὁράσεως νομικῶς. Τὸ [μὲν] γὰρ καθόλου, πάντα πρὸς τὸν φυσικὸν λόγον ὅμοια καθέστηκεν, ὑπὸ μιᾶς δυνάμεως οἰκονομούμενα, καὶ καθ᾽ ἓν [δὲ][1] ἕκαστον ἔχει λόγον βαθὺν, ἀφ᾽ ὧν [τε] ἀπεσχόμεθα κατὰ τὴν χρῆσιν, καὶ οἷς συγχρώμεθα. Χάριν δὲ ὑποδείγματος[2], ἓν, ἢ καὶ δεύτερον ἐπιδραμὼν σοι σημανῶ. Μὴ γὰρ εἰς τὸν καταπεπτωκότα λόγον ἔλθῃς[3], ὅτι μυῶν, καὶ γαλῆς, ἢ τῶν τοιούτων χάριν, περιεργείας ποιούμενος, ἐνομοθέτει ταῦτα Μωϋσῆς· ἀλλὰ πρὸς ἁγνὴν ἐπίσκεψιν, καὶ τρόπων ἐξαρτισμὸν, δικαιοσύνης ἕνεκεν σεμνῶς πάντα ἀνατέτακται. Τῶν γὰρ πτηνῶν, οἷς χρώμεθα, πάντα ἥμερα καθέστηκε, [καὶ] διαφέρει καθαρότητι, πυροῖς καὶ ὀσπρίοις χρώμενα πρὸς τὴν τροφήν· οἷον περιστεραὶ, τρυγόνες, ἀτταγαὶ[4], πέρδικες, ἔτι χῆνες, καὶ τὰ ἄλλα, ὅσα τοιαῦτα. Περὶ ὧν δὲ ἀπηγόρευται πτηνῶν, εὑρήσεις ἄγριά τε καὶ σαρκοφάγα καὶ καταδυναστεύοντα τῇ περὶ αὐτὰ[5] δυνάμει τὰ λοιπὰ, καὶ τὴν τροφὴν ἔχοντα δαπάνησιν τῶν προειρημένων ἡμέρων μετὰ ἀδικίας. Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τοὺς ἄρνας καὶ ἐρίφους ἀναρπάζουσι, καὶ τοὺς ἀνθρώπους ἀδικοῦσι, νεκρούς τε καὶ ζῶντας. Παράσημον οὖν ἔθετο διὰ[6] τούτων, ἀκάθαρτα προσονομάσας· ὅτι δέον ἐστὶ κατὰ ψυχὴν, οἷς ἡ νομοθεσία διατέτακται, δικαιοσύνῃ συγχρῆσθαι, καὶ μηδένα καταδυναστεύειν, πεποιθότας ἰσχύϊ τῇ καθ᾽ ἑαυτούς· μηδ᾽ ἀφαιρεῖσθαι μηδὲν, ἀλλ᾽ ἐκ δικαίου τὰ τοῦ βίου κυβερνᾷν[7], ὡς τὰ τῶν προειρημένων πτηνῶν ἥμερα ζῶα, τὰ φυόμενα τῶν ὀσπρίων ἐπὶ γῆς δαπανᾷ, καὶ οὐ καταδυναστεύει πρὸς τὴν ἐπαναίρεσιν[8] τῶν συγγενικῶν. Διὰ τῶν τοιούτων οὖν παραδέδωκεν ὁ νομοθέτης σημειοῦσθαι τοῖς συνετοῖς, εἶναι δικαίους τε, καὶ μηδὲν ἐπιτελεῖν βίᾳ, μηδὲ τῇ περὶ αὐτοὺς[9] ἰσχύϊ πεποιθότας, ἑτέ-

[1] Ὁ Βιγέρ. προστίθησι τὸν δὲ (εὐλόγως). παρ᾽ Εὐσεβ. καὶ καθ᾽ ὃν ἕκαστα. — [2] περιδείγματος Φ. — [3] Εὐσ. εἰσέλθῃς : — [4] Εὐσ. ἐν δὲ Π. Ε. ἀτταχοὶ (οὐκ ὀρθῶς)· — [5] Η. Δ. ἐν Π. Ε. ταῦτα: — [6] ἴσ. γρ. ἐπί : — [7] Εὐσ. ἐκ δικαιοτάτου βίου διακυβερνᾷν· » (οὐκ ἔρρωται ἡ γραφή). — [8] Εὐσ. πρὸς τ. ἐπαν. οὔτε τῶν ὑποβεβηκότων, οὔτε τῶν συγγεν. κτλ. (πληρέστερον). — [9] Εὐσέβ. αἱ δὲ Π. Ε. τῇ παρ᾽ αὐτούς.

ρους καταδυναστεύειν· ὅπου γὰρ οὐδ᾽ ἅψασθαι καθῆκε τῶν προειρημένων διὰ τὴν περὶ ἕκαστα διάθεσιν, πῶς οὐ [1] φυλακτέον παντάπασιν τοὺς τρόπους εἰς τοῦτο κατακλασθῆναι [2]; Πάντων τῆς συγχωρήσεως ἡμῖν ἐπὶ τούτων καὶ τῶν κτηνῶν τροπολογῶν ἐκθέοιται [3]. Τὸ γὰρ διχηλεύειν, καὶ διαστέλλειν ὁπλῆς ὄνυχας, σημεῖόν ἐστι τοῦ διαστέλλειν ἑκάστην [4] τῶν πράξεων ἐπὶ τὸ καλῶς ἔχον. Ἡ γὰρ ἰσχὺς τῶν ὅλων σωμάτων μετ᾽ ἐνεργείας ἀπέρεισιν ἐπὶ τοὺς ὤμους ἔχει καὶ τὰ σκέλη· μετὰ διαστολῆς οὖν ἅπαντα ἐπιτελεῖν πρὸς δικαιοσύνην ἀναγκάζει τὸ σημειοῦσθαι διὰ τούτων. Ἔτι δὲ, διότι παρὰ πάντας ἀνθρώπους διεστάλμεθα· οἱ γὰρ πλείονες τῶν λοιπῶν ἀνθρώπων ἑαυτοὺς μολύνουσιν ἐπιμισγόμενοι, συντελοῦντες μεγάλην ἀδικίαν· καὶ χῶραι καὶ πόλεις ὅλαι σεμνύνονται ἐπὶ τούτοις· οὐ μόνον γὰρ προσάγουσι τοὺς ἄρσενας [5], ἀλλὰ καὶ τεκούσας, ἔτι δὲ καὶ θυγατέρας μολύνουσιν· ἡμεῖς δὲ ἀπὸ τούτων διεστάλμεθα· Περὶ ὃ δέ ἐστιν ὁ προειρημένος τῆς διαστολῆς τρόπος, περὶ τοῦτο εἶναι καὶ τὸν τῆς μνήμης κεχαρακτήρικε [6]. Πάντα γὰρ ὅσα διχηλεῖ [7], καὶ μηρυκισμὸν ἀνάγει, σαφῶς τοῖς νοοῦσιν ἐκτίθεται τὸ τῆς μνήμης. Ἡ γὰρ ἀναμηρύκισις οὐδὲν ἕτερον, ἀλλὰ τῆς ζωῆς καὶ συστάσεως ἐπίμνησις· τὸ γὰρ ζῆν διὰ τῆς τροφῆς συνεστάναι νομίζεται [8]. Διὸ παρακελεύεται καὶ διὰ τῆς Γραφῆς ὁ λέγων οὕτως [9]: «Μνείᾳ μνησθήσῃ τοῦ κυρίου, τοῦ ποιήσαντος ἐν σοὶ τὰ μεγάλα καὶ θαυμαστά». Κατανοούμενα

---

[1] Β. πῶς οὖν (οὐκ ὀρθῶς). – [2] Εὐσ. κατακλεισθῆναι. – [3] Οὕτω Π. Ε. ὅτι δὲ διέφθαρται τὸ χωρίον, δῆλον· ὁ δ᾽ Εὐσ. «Πάντα οὖν τὰ συγχωρηθέντα ἡμῖν ἐπὶ τούτων, καὶ τῶν κτηνῶν, τροπολογῶν ἐκτέθειται»· ἀλλ᾽ ἴσ. γρ. Καὶ πάντα οὖν τὰ συγχωρηθέντα τῶν κτηνῶν ἐπὶ τούτοις ἡμῖν τροπολογῶν ἐκτέθειται». – [4] Η. Δ. ἐν δὲ Π. Ε. ἕκαστα. – [5] Εὐσ. πρὸς ἄῤῥενας προσάγουσιν ἀλλ. ἴσ. γρ. οὐ μόν. γὰρ προσάγουσιν ἄρσενας πρὸς ἄρσενας· (οὕτω καὶ Βιγέρ.)· ἢ γοῦν τὸ προσάγουσι τρεπτέον εἰς τὸ προαγωγεύουσι. – [6] Οὕτω καὶ Εὐσέϐ. «περὶ ὃν» (γρ. ὃ, ὡς καὶ Βιγέρ. διορθοῖ) δὲ ἐν ὁ π. τ. δ. τρόπος, περὶ τοῦτον (γρ. τοῦτο) κτλ. Αἱ δὲ Π. Ε. ἡμαρτημένως. Περὶ ὃ ν δὲ ἐ. ὁ π. τ. δ. τ ό π ο ς, π. τ ο ῦ τ ο ν ε. κ. τ. τ. μ. κ ε χ α ρ α κ τ η ρ ι κ έ ν α ι : – [7] Β. Εὐσ. οἱ δ᾽ ἄλλοι διχηλῆ. – [8] Η. Δ. ἐν δὲ Π. Ε. νομίζει. – [9] Δευτερον. ζ, 18.

γὰρ καὶ μεγάλα καὶ ἔνδοξα φαίνεται· πρῶτον μὲν ἡ σύμπηξις τοῦ σώματος, καὶ ἡ τῆς τροφῆς διοίκησις, καὶ ἡ περὶ ἕκαστον μέλος [1] διαστολή· πολλῷ δὲ μᾶλλον ἡ τῶν αἰσθήσεων διακόσμησις, διανοίας [τε] ἐνέργεια [2], καὶ κίνησις ἀόρατος, ἥτε ὀξύτης τοῦ πρὸς ἕκαστόν τι πράσσειν, καὶ τεχνῶν εὕρεσις ἀπέραστον περιέχει τρόπον· διὸ παρακελεύεται μνείαν ἔχειν, ὡς συντηρεῖται τὰ προειρημένα θείᾳ δυνάμει, σὺν [τῇ] κατασκευῇ [3]. Πάντα γὰρ χρόνον καὶ τόπον ὥρικε, πρὸς τὸ διαπαντὸς μνημονεύειν τοῦ κρατοῦντος Θεοῦ καὶ συντηροῦντος [4]· καὶ γὰρ [καὶ] ἐπὶ τῶν βρωτῶν καὶ ποτῶν ἀπαρξαμένους εὐθέως, [5] τότε συγχρῆσθαι [6], κελεύει. Καὶ μὴν καὶ ἐπὶ [7] τῶν περιβολαίων παράσημον ἡμῖν μνείας δέδωκεν. Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πυλῶν καὶ θυρῶν [8] προστέταχε *μὲν* ἡμῖν τιθέναι τὰ λόγια, πρὸς τὸ μνείαν εἶναι Θεοῦ· καὶ ἐπὶ τῶν χειρῶν δὲ διαῤῥήδην τὸ σημεῖον κελεύει περιῆφθαι, σαφῶς ἀποδεικνὺς, ὅτι πᾶσαν ἐνέργειαν μετὰ δικαιοσύνης ἐπιτελεῖν δεῖ, μνήμην ἔχοντας τῆς ἡμῶν συστάσεως [9], ἐπὶ πᾶσι δὲ τὸν περὶ Θεοῦ φόβον [10]. Κελεύει δὲ καὶ κοιταζομένους, καὶ διανισταμένους [11], μελετᾷν τὰς τοῦ Θεοῦ κατασκευάς, οὐ μόνον λόγῳ, ἀλλὰ [καὶ] διαλήψει θεωροῦντας τὴν κίνησιν, καὶ ὑπόληψιν ἑαυτῶν, ὅταν εἰς ὕπνον ἔρχωνται, καὶ τὴν ἔγερσιν, ὡς θεία τίς ἐστι καὶ ἀκατάληπτος [ἡ] τούτων μετάθεσις.

§. κη. Δέδεικται δέ σοι καὶ τὸ περισσὸν τῆς λογείας, τῆς κατὰ τὴν διαστολὴν καὶ [τὴν] μνείαν, ὡς ἐξεθέμεθα τὴν διχηλίαν, καὶ τὸν

---

[1] Εὐ. μέρος. – [2] ΒΣ. ἐν δὲ Ο. Εὐσ. ΟΔ. ἐνέργημα. – [3] παρ' Εὐσ. μετὰ τὸ συντηρεῖται, προστίθεται, ἐνέργημα συνεχόμενα, καὶ τὸ σὺν τῇ κατασκευῇ. λείπει. – [4] Οὕτω Π. Ε. ἐν Εὐσ. συντηροῦντας καὶ τὰς ἀρχὰς καὶ μεσότητας καὶ τελευτὰς» (πιθανὸν): – [5] ἴσ. γρ. ἐνθέως, ἢ θεῷ: – [6] Εὐσ. ἐν δὲ Π. Ε. συγχωρῆσαι. – [7] Η. Δ. ἐν δὲ Π. Ε. ἐκ: – [8] ἐκ τοῦ Δευτερ. ϛ, 9. Οὕτω Π. Ε. παρ' Εὐσ. δὲ προστίθεται (πρὸ τοῦ κ. ἐ. τ. πυλῶν) καὶ ἐπὶ τῶν πόλεων καὶ οἰκήσεων διὰ τὸ σκεπάζεσθαι » (περιττῶς): – [9] Οὕτω Π. Ε. ἐν δ' Εὐσ. τῆς ἑαυτῶν κατασκευῆς: – [10] ἡ αἰτιατικὴ ἀναφέρεται εἰς τὸ ἔχοντας. Μάτην ὁ Βιγέριος ὑποτίθησι γρ. τοῦ περὶ θεὸν φόβου: – [11], Ἐκ τοῦ Δευτερ. ϛ, 7. ὁ δ' Εὐσ. προστίθησι καὶ πορευομένους.

μηρυκισμόν· οὐ γὰρ εἰκῇ,[1] κατὰ τὸ ἐμπεσὸν εἰς ψυχὴν νενομοθέτηται, πρὸς δὲ ἀλήθειαν καὶ σημείωσιν ὀρθοῦ λόγου. Διατάξας γὰρ ἐπὶ βρωτῶν καὶ τῶν κατὰ τὰς ἁφὰς ἕκαστα, κελεύει μηθὲν εἰκῇ μήτε πράσσειν, μήτε ἀκούειν· μήτε τοῦ λόγου δυναστείᾳ συγχρωμένους, ἐπὶ τὴν ἀδικίαν τρέπεσθαι. Καὶ ἐπὶ τῶν κνωδάλων δὲ ταὐτόν ἐστιν εὑρεῖν. Κακοποιητικὸς γὰρ ὁ τρόπος ἐστὶ καὶ γαλῆς, καὶ μυῶν, καὶ τῶν τούτοις ὁμοίων, ὅσα διηγόρευται. Πάντα γὰρ λυμαίνονται καὶ κακοποιοῦσι μύες, οὐ μόνον πρὸς τὴν ἑαυτῶν τροφὴν, ἀλλὰ καὶ παντελῶς ἄχρηστον γίνεται ἀνθρώπῳ ὅ,τι δήποτε ἦν[2] ἐπιβάλλωνται[3] κακοποιεῖν. Τό,τε τῆς γαλῆς γένος ἰδιάζον ἐστί· χωρὶς γὰρ τοῦ προειρημένου, ἔχει λυμαντικὸν κατάστημα· διὰ γὰρ τῶν ὤτων συλλαμβάνει, τεκνοποιεῖ δὲ τῷ στόματι[4]· καὶ διὰ τοῦτο ὁ τοιοῦτος τρόπος τῶν ἀνθρώπων ἀκάθαρτός ἐστιν. Ὅσα γὰρ διὰ ἀκοῆς λαβόντες, [καὶ][5] ταῦτα τῷ λόγῳ σωματοποιήσαντες, κακοῖς ἑτέρους ἐνεκύλισαν, ἀκαθαρσίαν οὐ τὴν τυχοῦσαν ἐπετέλεσαν, μιανθέντες αὐτοὶ παντάπασι τῷ τῆς ἀσεβείας μολυσμῷ. Καλῶς δὲ ποιῶν ὁ βασιλεὺς ὑμῶν, τοὺς τοιούτους ἀναιρεῖ, καθὼς μεταλαμβάνομεν. Ἐγὼ δὲ εἶπον· τοὺς ἐμφανιστὰς οἴομαί σε λέγειν· καὶ γὰρ αἰκίαις καὶ θανάτοις ἐπαλγέσιν αὐτοὺς περιβάλλει[6] συνεχῶς. Ὁ δὲ, τούτους γὰρ καὶ λέγω. Ἡ γὰρ ἐπαγρύπνησις, ἀνθρώπων ἀπώλεια ἀνόσιος[7], Ὁ δὲ νόμος ἡμῶν κελεύει, μήτε λόγῳ, μήτε ἔργῳ μηδένα κακοποιεῖν. Καὶ περὶ τούτων οὖν [τοσαῦτα][8] ὅσον ἐπὶ βραχεῖ διεξελθεῖν, προσυποδείξαντά σοι, ὅτι[9] πάντα κεκανόνισται πρὸς δικαιοσύνην, καὶ οὐδὲν εἰκῇ κατατέτακται διὰ τῆς Γραφῆς, οὐδὲ μυθωδῶς[10], ἀλλ'

---

[1] Εὐσ. καὶ κατὰ τ. ἐ. — [2] ὁ Εὐσ. ὅ,τι ἂν δηποτοῦν. Ἐν δὲ Π. Ε. ὅταν δηποτοῦν : — [3] οὕτω Βιγ. (ὀρθῶς;) ἐν δὲ Π. Ε. ἐπιβάληται : — [4] Βλ. ἑξῆς ἐν ταῖς σημ. — [5] Η. Δ. ἐν δὲ Π. Ε. λαβόντες (ὃ μάτην εἰς τὸ ἔλαβον ὁ Βιγέρ. τρέπει): — [6] ὁ Εὐσ. ἐπ' ἄλγεσιν . . . παραβάλλει : — [7] οὕτω Π. Ε. ὁ δ' Ε. « ἐπαγρυπνοῦσιν εἰς ἀνθ. ἀπώλειαν ἀνόσιον »· ἀλλ' ἴσ. γρ. καὶ γὰρ ἐπαγρυπνοῦσιν εἰς ἀ. ἀπώλ. ἀνόσιον. — [8] Η. Δ. ὁ δὲ Βιγ. διορθοῖ τὸ ἐφεξῆς προσυδείξαντα εἰς τὸ προσυπέδειξα: — [9] Ὁ Εὐσ. διότι : — [10] Ὁ Εὐσεβ. (ὀρθῶς)· ἐν δὲ Π. Ε. θυμωδῶς.

ἵνα δι' ὅλου τοῦ ζῆν καὶ ἐν ταῖς πράξεσιν ἀσκῶμεν δικαιοσύνην πρὸς πάντας ἀνθρώπους, μεμνημένοι τοῦ δυναστεύοντος Θεοῦ. Περὶ βρωτῶν οὖν, καὶ τῶν ἀκαθάρτων, καὶ κνωδάλων[1], ὁ πᾶς[2] λόγος ἀνατείνει πρὸς δικαιοσύνην, καὶ τὴν τῶν ἀνθρώπων συναναστροφὴν δικαίαν. Ἐμοὶ μὲν οὖν [εὖ] ἐνομίζετο[3] περὶ ἑκάστων ἀπολογεῖσθαι·[4] καὶ γὰρ [καὶ] περὶ τῶν προσφερομένων ἔλεγε μόσχων τε, καὶ κριῶν, καὶ χιμάρων, ὅτι ἀεὶ[5] ταῦτα ἐκ βουκολίων καὶ ποιμνίων λαμβάνοντες, ἥμερα θυσιάζουσι[6], καὶ μηθὲν ἄγριον· ὅπως οἱ προσφέροντες τὰς θυσίας, μηθὲν ὑπερήφανον ἑαυτοῖς συνιστορῶσι, σημειώσει κεχρημένοι τοῦ διατάξαντος. Τῆς γὰρ ἑαυτοῦ ψυχῆς τοῦ παντὸς τρόπου τὴν προσφορὰν ποιεῖται ὁ τὴν θυσίαν προσάγων. Καὶ περὶ τούτων οὖν νομίζω τὰ τῆς ὁμιλίας ἄξια λόγου[7] καθεστάναι, διὸ τὴν σεμνότητα καὶ φυσικὴν διάνοιαν τοῦ νόμου, ἣν προῆγμαι διασαφῆσαί σοι, Φιλόκρατες[8], δι' ἣν ἔχεις φιλομάθειαν.

§. κθ. Ὁ δὲ Ἐλεάζαρος ποιησάμενος θυσίαν, καὶ τοὺς ἄνδρας ἐπιλέξας, καὶ πολλὰ δῶρα τῷ βασιλεῖ κατασκευάσας, προέπεμψεν ἡμᾶς μετὰ ἀσφαλείας πολλῆς. Ὡς δὲ παρεγενήθημεν εἰς Ἀλεξάνδρειαν, προσηγγέλη τῷ βασιλεῖ περὶ τῆς ἀφίξεως ἡμῶν. Παρεῖμεν δὲ εἰς τὴν αὐλὴν Ἀνδρέας τε καὶ ἐγὼ, [καὶ] φιλοφρόνως ἠσπασάμεθα τὸν βασιλέα, καὶ τὰς ἐπιστολὰς ἀποδεδώκαμεν τὰς παρὰ τοῦ Ἐλεαζάρου· περὶ πολλοῦ δὲ ποιούμενος τοῖς ἀπεσαλμένοις ἀνδράσιν ἐντυχεῖν, ἐκέλευσε τοὺς λοιποὺς πάντας ἀπολῦσαι τοὺς ἐπὶ τῶν χρειῶν, καλεῖν δὲ τοὺς ἀνθρώπους· (οὗ πᾶσι παραδόξου φανέντος[9],

---

[1] Ὁ Εὐσ. ἀκαθ. ἑρπετῶν κ. κνωδ: – [2] Εὐσ. (ὀρθῶς)· αἱ δὲ Π. Ε. καὶ πᾶς: – [3] Η. Δ. ἐν δὲ Π. Ε. ἐνόμιζε: – [4] Οὕτω Π. Ε. ἐν δ' Εὐσ. καλῶς ἐνόμιζε π. ε. ἀπολελογῆσθαι: – [5] Γ. ἐξ. Εὐσ. δεῖ: – [6] Η. Δ. ἐν δὲ Π. Ε. λαμβάνοντας ἥμ. θυσιάζειν· ὁ δ' Εὐσ. κατασκευάζειν: – [7] Η. Δ. ἐκ τοῦ Εὐσ. ἄξια λόγου· ἐν δὲ Π. Ε. ἀξιολόγου: – [8] Εὐσ. « διὰ τ. σεμνότητα τοῦ νόμου » (χωρὶς τοῦ φυσικὴν διάνοιαν), ἣν κτλ. ἐν δὲ Π. Ε. « διὸ τὴν σεμν. κ. φυσ. διάνοιαν τοῦ νόμ. προῆγμαι διασαφῆσαί σοι Φιλοκράτη: – [9] Ὀρθωτέον. γρ. « ὃ πᾶσι παράδοξον ἐφάνη ».

διὰ τὸ κατ᾽ ἔθος εἶναι, πεμπταίους εἰς πρόσωπον ἔρχεσθαι βασιλεῖ τοὺς περὶ χρησίμων ἀφικνουμένους· Τοὺς δὲ παρὰ βασιλέων, ἢ πόλεων ἐν ὑπεροχαῖς, μόλις ἐν τριάκοντα[1] εἰς τὴν αὐλὴν παρίεσθαι. Τούτους δὲ[2] ἥκοντας τιμῆς ἀξιῶν μείζονος, καὶ τὴν ὑπεροχὴν κρίνων τοῦ πέμψαντος, ἀπολύσας οὓς ἐνόμιζε περισσοὺς, ὑπέμεινε περιπατῶν, ἕως ἂν παραγενομένους[3] ἀσπάσηται). Παρελθόντων δὲ σὺν τοῖς ἀπεσταλμένοις δώροις, καὶ ταῖς διαφόροις διφθέραις, (ἐν αἷς [ἦν] ἡ νομοθεσία γεγραμμένη χρυσογραφίᾳ τοῖς Ἰουδαϊκοῖς γράμμασι, θαυμασίως εἰργασμένου τοῦ ὑμένος, καὶ τῆς πρὸς ἄλληλα συμβολῆς ἀνεπαισθήτου κατεσκευασμένης), ὡς εἶδεν ὁ βασιλεὺς τοὺς ἄνδρας, ἐπηρώτα[4] περὶ τῶν βιβλίων· ὡς δὲ ἀπεκάλυψαν *τὰ* τῶν ἐνειλημάτων[5], καὶ [τοὺς] ὑμένας ἀνείλιξαν, πολὺν ἐπιστὰς χρόνον, καὶ προσκυνήσας σχεδὸν ἑπτάκις, εἶπεν· Εὐχαριστῶ μὲν, ἄνδρες, ὑμῖν, τῷ δὲ ἀποστείλαντι μᾶλλον, μέγιστον δὲ τῷ Θεῷ, οὗ τινός ἐστι τὰ λόγια ταῦτα. Ὁμοθυμαδὸν δὲ πάντων εἰπόντων ὑπὸ μίαν φωνὴν, τῶν τε παραγεγονότων καὶ τῶν συμπαρόντων, Εὖ βασιλεῦ· προήχθη δακρῦσαι, τῇ χαρᾷ πεπληρωμένος. Ἡ γὰρ τῆς ψυχῆς ἔντασις καὶ τὸ τῆς τιμῆς ὑπερτεῖνον, δακρύειν ἀναγκάζει κατὰ τὰς ἐπιτυχίας. Κελεύσας δὲ εἰς τάξιν ἀποδοῦναι τὰ τεύχη, τὸ τηνικαῦτα ἀσπασάμενος τοὺς ἄνδρας, εἶπε· Δίκαιον ἦν, θεοσεβεῖς ἄνδρες, ὧν χάριν ὑμᾶς μετεπεμψάμην, ἐκείνοις πρῶτον σεβασμὸν ἀποδοῦναι· μετὰ ταῦτα [δὲ] τὴν δεξιὰν ὑμῖν προτεῖναι· διὸ πεποίηκα τοῦτο πρῶτον. Μεγάλην δὲ τέθειμαι τὴν ἡμέραν ταύτην, ἐν ᾗ παραγεγόνατε· καὶ κατ᾽ ἐνιαυτὸν ἐπίσημος ἔσται πάντα τὸν [τῆς] ζωῆς ἡμῶν χρόνον. Συνέτυχε δὲ καὶ κατὰ τὴν νίκην ἡμῖν προσπεπτωκέναι τῆς πρὸς Ἀντίγονον ναυμαχίας· διὸ δειπνῆσαι σήμερον μεθ᾽ ὑμῶν βουλήσομαι· πάντα δύναμιν εἶπε παρεστάναι καθηκόντως, οἷς συγ-

---

[1] Ἰώσ. (ἐπιτέμνων)· τοὺς δὲ πρεσβεύοντας, διὰ μηνός: — [2] Η. Δ. ἐν δὲ Π. Ε. τοὺς δέ: — [3] Π. Ε. παραγινομένους: — [4] Π. Ε. ἐπερώτα: — [5] οὕτως Ἰώσ. ἐν δὲ Π. Ε. ἀνειλιμμάτων.

χρήσεσθε κἀμοὶ μεθ' ὑμῶν[1]. Τῶν δὲ ἀσμενισάντων, ἐκέλευσε καταλύματα δοθῆναι τὰ κάλλιστα πλησίον τῆς ἄκρας αὐτοῖς· καὶ τὰ κατὰ τὸ συμπόσιον ἑτοιμάζειν.

§. λ. Ὁ δὲ ἀρχίατρος [2] Νικάνωρ Δωρόθεον προσκαλεσάμενος, ὃς ἦν ἐπὶ τούτων ἀποτεταγμένος ἐκέλευσε τὴν ἑτοιμασίαν εἰς ἕκαστον ἐπιτελεῖν[3]· ἦν γὰρ οὕτω διατεταγμένον ὑπὸ τοῦ βασιλέως· (ἃ μὴν[4] ἔτι καὶ νῦν ὁρᾷς). Ὅσαι γὰρ πόλεις εἰσὶν, αἷς συγχρῶνται πρὸς τὰ ποτὰ καὶ βρωτὰ καὶ στρωμνὰς, τοσοῦτοι καὶ προεστῶτες ἦσαν· καὶ κατὰ τοὺς ἐθισμοὺς οὕτως ἐσκευάζοντο, ὅταν παραγένοιντο πρὸς τοὺς βασιλεῖς, ἵνα κατὰ μηθὲν δυσχεραίνοντες, ἱλαρῶς διεξάγωσιν· ὃ καὶ περὶ τούτους ἐγεγόνει. Προσεχέστατος γὰρ ὢν ἄνθρωπος ὁ Δωρόθεος, εἶχε τὴν τῶν τοιούτων προστασίαν. Συνέστρωσε [5] δὲ πάντα τὰ δι' αὐτοῦ χειριζόμενα, πρὸς τὰς τοιαύτας ὑποδοχὰς διαμεμερισμένα· διμερῆ τε [6] ἐποίησε τὰ τῶν κλισιῶν, καθὼς προσέταξεν ὁ βασιλεύς. Τοὺς γὰρ ἡμίσεις ἐκέλευσεν ἄναρχα κατακλῖναι, τοὺς δὲ λοιποὺς μετὰ τὴν ἑαυτοῦ κλισίαν, οὐδὲν ἐλλείπων εἰς τὸ τιμᾷν τοὺς ἄνδρας.

§. λα. Ὡς δὲ ἀνεκλίθησαν, ἐκέλευσε τῷ Δωροθέῳ, οἷς ἐθισμοῖς [7] χρῶνται πάντες οἱ παραγινόμενοι πρὸς αὐτὸν ἀπὸ τῆς Ἰουδαίας, οὕτως ἐπιτελεῖν· διὸ τοὺς ἱεροκήρυκας καὶ θύτας, καὶ τοὺς ἄλλους, οἷς ἔθος ἦν τὰς κατευχὰς ποιεῖσθαι, παρῃτήσατο. Τῶν δὲ παραγεγονότων σὺν ἡμῖν, Ἐλεάζαρον [8] ὄντα τῶν ἱερέων πρεσβύτερον, παρεκάλεσαν ποιεῖσθαι κατευχήν· ὃς ἀξιολόγως στὰς, εἶπεν.

---

[1] ΒΣ. μεθ' ἡμῶν· βουλάντ. πήσ. δύν. κτλ. Ἡμάρτηται δὲ προφανῶς τὸ χωρίον· (ὁ δὲ Λατῖνος οὐδὲν πρὸς ἔπος ἑρμηνεύει καὶ παρεμβύει)· οἶμαι δὲ γραπτέον οὑτωσί: «πάντα δ' ἡμῖν εἶπον παριστάναι καθηκόντως, οἷς συχρήσεσθε καὶ ὑμεῖς μεθ' ἡμῶν»· (ὁ δὲ λόγος αἰνίττεται τὰς περὶ τὰ βρώματα νομικὰς τῶν Ἰουδαίων διαφορὰς, περὶ ὧν ὁ βασιλεὺς θαῤῥεῖν τοὺς Ο, προτρέπεται, ὡς μηδενὸς τῶν ἀκαθάρτων ἐν τῇ τραπέζῃ γευσομένους). — [2] ἐν δὲ Π. Ε. ἀρχίητρος (Ἰωνικῶς): — [3] Ἰώσ. «ἐκ. ἑτοιμάζειν ἑκάστῳ τὰ δέοντα πρὸς τὴν δίαιταν» (σαφέστερον): — [4] Β. μέν: — [5] Π. Ε. καὶ Ἰώσ. ἀλλ' ἴσ. γρ. συνέστρωτο: — [6] Ἰώσ. ἐν δὲ ΒΣ. Ο. διαμερῆ: — [7] Ἰώσ. ἐν δὲ Π. Ε. τοῖς ἐθισμοῖς, οἷς χρῶνται κτλ: — [8] Ἰώσ. Ἐλισσαῖον.

«Πληρῶσαί σε Βασιλεῦ, πάντων τῶν ἀγαθῶν, ὧν ἔκτισεν, ὁ παντοκράτωρ Θεὸς, καὶ δῴη σοι ταῦτα ἔχειν, καὶ γυναικὶ, καὶ τέκνοις, καὶ τοῖς ὁμονοοῦσι, πάντα ἀνέκλειπτα τὸν τῆς ζωῆς χρόνον». Εἰπόντος δὲ ταῦτα τούτου, κατεῤῥάγη κρότος μετὰ κραυγῆς, καὶ χαρᾶς εὐφροσύνου πλείονα χρόνον· καὶ τὸ τηνικαῦτα πρὸς τὸ τέρπεσθαι διὰ τῶν ἡτοιμασμένων ἐτράπησαν, τῶν λειτουργιῶν ἁπασῶν διὰ τῆς τοῦ Δωροθέου συντάξεως ἐπιτελουμένων· ἐν οἷς καὶ βασιλικοὶ παῖδες ἦσαν, καὶ τῶν τιμωμένων ὑπὸ τοῦ βασιλέως.

§. λϐ. Ὅτε δὲ καιρὸν ἔλαϐεν ἐκ διαστήματος, ἠρώτησε τὸν ἔχοντα τὴν πρώτην ἀνάκλισιν· (ἦσαν γὰρ καθ᾽ ἡλικίαν τὴν ἀνάπτωσιν πεποιημένοι). ά. Πῶς ἂν τὴν βασιλείαν μέχρι τέλους ἄπταιστον ἔχων διατελοῖ; Βραχὺ δὲ [1] ἐπισχὼν, εἶπεν· Οὕτως ἂν μάλιστα διευθύνοις, μιμούμενος τὸ τοῦ Θεοῦ διὰ παντὸς ἐπιεικές. Μακροθυμίᾳ γὰρ χρώμενος, καὶ βλιμάζων τοὺς ἀξίους ἐπιεικέστερον, καθὼς εἰσιν ἄξιοι, μετατιθεὶς ἐκ τῆς κακίας [2], καὶ εἰς μετάνοιαν ἄξεις.

Ἐπαινέσας [δὲ τοῦτον] ὁ βασιλεὺς, τὸν ἐχόμενον ἠρώτα· ϐ'. Πῶς ἂν ἕκαστα πράττοι; ὁ δὲ ἀπεκρίθη. Τὸ δίκαιον εἰ πρὸς ἅπαντας διατηροῖ ἑαυτὸν, καλῶς τὰ ἕκαστα πράξοι [3]· διαλαμϐάνων, ὅτι πᾶν ἐννόημα σαφές ἐστι Θεῷ· καταρχὴν δὲ θείου φόϐου λαμϐάνων, ἐν οὐδενὶ [ἂν] διαπίπτοις.

Καὶ τοῦτον δὲ εὖ μάλα παραδεξάμενος, ἕτερον ἐπηρώτα· γ'. Πῶς ἂν ὁμόνους ἑαυτῷ ἔχοι τοὺς φίλους; κακεῖνος εἶπεν. Εἰ θεωροίησαν πολλήν σε πρόνοιαν ποιούμενον, ὧν ἄρχεις ὄχλων. Σὺ

---

[1] Ἴσ. γρ. Βραχὺ δ᾽ ὅς: — [2] Οὕτω Π. Ε. ἐλλειπῶς· ἔοικε δὲ καὶ ἄλλως συντεταράχθαι τὸ χωρίον· καὶ ἴσ. γρ. «καὶ βλιμάζων τοὺς μὲν ἀξίους, καθὼς εἰσιν ἄξιοι· τοὺς δ᾽ ἀναξίους, ἐπιεικέστερον, μετατίθης ἐκ τῆς κτλ. (οὕτω καὶ ὁ λατῖνος ἀναγνοὺς φαίνεται): — [3] Οὕτως αἱ Π. Ε. ἡμαρτημένως· οἶμαι δὲ διορθωτέον οὑτωσί: Εἰ δίκαιον πρὸς ἅπ. διατηροῖς σεαυτὸν, καλῶς ἂν ἕκαστα πράξοις» (ἢ γοῦν, «Εἰ τὸ δίκαιον π. ἅ. διατηροῖ, καλῶς αὐτὸν τὰ ἕκ. πράξειν· (καὶ τὸ ἑξῆς) διαλαμϐάνοντα. κτλ. καὶ ἐν τῷ τέλει δὲ τῆς ἐρωτήσεως ἀναγνωστέον ἂν εἴη. διαπίπτοι· ἀλλὰ τὸ πρῶτον ἔμοι γε πιθανώτερον δοκεῖ.

δὲ τοῦτο πράξεις, ἐπιβλέπων, ὡς ὁ Θεὸς εὐεργετεῖ τὸ τῶν ἀνθρώπων γένος, *ὁ* ὑγιείαν αὐτοῖς καὶ τροφὴν καὶ τὰ λοιπὰ κατὰ καιρὸν παρασκευάζων ἅπαντα.

Συνεπιμαρτυρήσας δὲ τούτῳ, τὸν ἐχόμενον ἠρώτα· δ΄. Πῶς ἂν ἐν τοῖς χρηματισμοῖς καὶ διακρίσεσιν εὐφημίας τυγχάνοι[1] καὶ ὑπὸ τῶν ἀποτυγχανόντων; ὁ δὲ εἶπεν· Εἰ πᾶσιν ἴσος γένοιο τῷ λόγῳ, καὶ μηδὲν ὑπερηφάνως, μηδὲ τῇ περὶ σεαυτὸν ἰσχύϊ πράσσοις κατὰ τῶν ἁμαρτανόντων. Τοῦτο δὲ ποιήσεις, τὴν διάταξιν βλέπων τὴν ὑπὸ τοῦ Θεοῦ· τὰ γὰρ ἱκετευόμενα, συντελεῖσθαι τοῖς ἀξίοις· τοῖς δὲ ἀποτυγχάνουσιν, ἢ δι' ὀνείρων, ἢ πράξεων, σημαίνεσθαι τὸ βλαβερὸν αὐτοῖς· οὐ κατὰ [τὰς] ἁμαρτίας, οὐδὲ κατὰ τὴν μεγαλωσύνην τῆς ἰσχύος τύπτοντος αὐτοὺς, ἀλλὰ ἐπιεικείᾳ χρωμένου τοῦ Θεοῦ.

Ὁ δὲ καὶ τοῦτον κατεπαινέσας, ἠρώτα τὸν καθεξῆς. έ. Πῶς ἂν ἐν ταῖς πολεμικαῖς χρείαις ἀήττητος εἴη; ὁ δὲ εἶπεν. Εἰ μὴ πεποιθὼς ὑπάρχοι τοῖς ὄχλοις, μηδὲ ταῖς δυνάμεσιν· ἀλλὰ τὸν Θεὸν ἐπικαλοῖτο διὰ πάντων, ἵνα τὰς ἐπιβολὰς αὐτῷ κατευθύνῃ, δικαίως διεξάγοντι πάντα.

Ἀποδεξάμενος δὲ καὶ τοῦτον, τὸν ἕτερον ἠρώτα. ϛ΄. Πῶς ἂν φοβερὸς εἴη τοῖς ἐχθροῖς; ὁ δὲ εἶπεν· Εἰ τῇ τῶν ὅπλων καὶ δυνάμεων κατασκευῇ πολλῇ χρώμενος εἴη, εἰ δὴ εἴη[2], ταῦτα ὄντα κενὰ ἐπὶ πλείονα χρόνον, πρὸς τὸ συμπέρασμα δρᾷν τι. Καὶ γὰρ ὁ Θεὸς διδοὺς ἀνοχὰς, καὶ ἐνδεικνύμενος τὸν τῆς δυναστείας φόβον, ἐγκατασκευάζει πάσῃ διανοίᾳ.

Καὶ τοῦτον δὲ ἐπαινέσας, εἶπε πρὸς τὸν ἐχόμενον· ζ΄. Τί κάλλιστον αὐτῷ πρὸς τὸ ζῆν ἂν εἴη; κἀκεῖνος ἔφη. Τὸ γινώσκειν ὅτι ὁ Θεὸς δυναστεύει τῶν ἁπάντων, καὶ ἐπὶ τῶν καλλίστων πράξεων οὐκ αὐτοὶ κατευθύνομεν τὰ βουλευθέντα[3]· Θεὸς δὲ τελειοῖ τὰ πάντα, καὶ καθηγεῖται δυναστεύων.

Ἐπιφωνήσας δὲ καὶ τούτῳ καλῶς λέγειν, τὸν ἕτερον ἠρώτα.

---

[1] Η. Δ. ἐν Π. Ε. τυγχάνω: — [2] ἴσ. γρ. καὶ εἰ δεικνύοι: — [3] Β. βουληθέντα.

ή. Πῶς ἂν ἀκέραια συντηρήσας ἅπαντα, τοῖς ἐγγόνοις τὴν αὐτὴν παραδοίη[1] διάθεσιν ἐπὶ τέλει; ὁ δὲ εἶπεν. Εὐχόμενος ἀεὶ πρὸς τὸν Θεὸν, ἀγαθὰς ἐπινοίας λαμβάνειν πρὸς τὰ μέλλοντα πράσσεσθαι· καὶ τοῖς ἐγγόνοις παρακελευόμενος, μὴ ἐκπλήττεσθαι τῇ δόξῃ, μηδὲ τῷ πλούτῳ· Θεὸν γὰρ εἶναι τὸν χαριζόμενον ταῦτα· καὶ οὐ δἰ ἑαυτῶν ἔχειν τὴν ὑπεροχὴν πάντων.

Ἐπιμαρτυρήσας δὲ τούτοις, τοῦ μετὰ ταῦτα ἐπυνθάνετο. θ'. Πῶς ἂν τὰ συμβαίνοντα μετρίως φέροι; ἐκεῖνος δὲ ἔφησεν. Εἰ πρόληψιν λαμβάνοις, ὅτι γεγόνασιν ὑπὸ Θεοῦ πάντες ἄνθρωποι, μετασχεῖν[2] τῶν μεγίστων κακῶν, ὡσαύτως δὲ καὶ ἀγαθῶν· καὶ οὐκ ἔστιν, ἄνθρωπον ὄντα, τούτων ἀμιγῆ γενέσθαι. Ὁ Θεὸς δὲ τὴν εὐψυχίαν δίδωσιν· ὃν ἱκετεύειν ἀναγκαῖον.

Φιλοφρονηθεὶς δὲ καὶ τοῦτον, καλῶς εἶπεν ἅπαντας ἀποφαίνεσθαι· ἐπερωτήσας δὲ ἔτι ἕνα, καταλήξω τὸ νῦν ἔχον, ἵνα καὶ πρὸς τὸ τέρπεσθαι τραπέντες, ἡδέως διεξάγωμεν· ἐν δὲ ταῖς μετὰ ταῦτα ἓξ *ἑξῆς* ἡμέραις, καὶ παρὰ τῶν λοιπῶν ἑξῆς μαθήσομαί τι πλέον. Εἶτ' ἐπηρώτα τὸν ἄνδρα. ί. Τί πέρας ἀνδρίας ἐστίν; ὁ δὲ εἶπεν· Εἰ τὸ βουλευθὲν ὀρθῶς, ἐν ταῖς τῶν κινδύνων πράξεσιν ἐπιτελοῖτο κατὰ πρόθεσιν. Τελειοῦται δ' ὑπὸ τοῦ Θεοῦ πάντα σοι, καλῶς βουλευομένῳ[3], βασιλεῦ, συμφερόντως. Ἐπιφωνησάντων δὲ πάντων, καὶ κρότῳ σημηναμένων, πρὸς τοὺς φιλοσόφους εἶπεν ὁ βασιλεὺς (οὐκ ὀλίγοι γὰρ παρῆσαν). Τούτους[4] οἴομαι διαφέρειν τοὺς ἄνδρας ἀρετῇ, καὶ συνιέναι πλεῖον· οἵτινες ἐκ τοῦ καιροῦ τοιαύτας ἐρωτήσεις λαμβάνοντες, ὡς δέον ἐστὶν ἀποκέκρινται, πάντες ἀπὸ Θεοῦ τοῦ λόγου τὴν καταρχὴν ποιούμενοι.

Μενέδημος δὲ ὁ Ἐρετριεὺς φιλόσοφος εἶπε. Ναὶ βασιλεῦ· προνοίᾳ γὰρ τῶν ὅλων διοικουμένων, καὶ ὑπειληφότων ὀρθῶς τοῦτο, ὅτι θεόκτιστόν ἐστιν ἄνθρωπος, ἀκολουθεῖ πᾶσαν δυναστείαν, καὶ λόγου καλλονὴν ἀπὸ Θεοῦ κατέρχεσθαι[5]. Τοῦ δὲ βασιλέως ἐπι-

---

[1]. Π. Ε. παραδιδοῖ. — [2] Ἴσ. γρ. πρὸς τὸ (ἢ ἐπὶ τῷ) μετασχεῖν κτλ. — [3] Η. Δ. ἐν δὲ Π. Ε. βουλομένῳ: — [4] Η. Δ. ἐν δὲ Π. Ε. παρεῖσαν, τούτοις οἴομαι κτλ. — [5]. Β. οἱ δ' ἄλλ. κατάρχεσθαι.

νεύσαντος, τὰ περὶ τούτων ἔληξεν· ἐτράπησαν δὲ πρὸς εὐφροσύνην. Ἐπιλαβούσης δὲ τῆς ἑσπέρας, τὸ συμπόσιον ἐλύθη.

§. λγ. Τῇ δὲ μετὰ ταῦτα πάλιν κατὰ τὴν αὐτὴν διάταξιν τὰ τῆς ἀναπτώσεως καὶ συμποσίας ἐπετελεῖτο. Καθὸ δὲ ἐνόμιζεν ὁ βασιλεὺς εὔκαιρον εἶναι πρὸς τὸ πυνθάνεσθαί τι τῶν ἀνδρῶν, ἐπηρώτα τοὺς ἑξῆς τῶν ἀποκεκριμένων τῇ προτέρᾳ ἡμέρᾳ. Πρὸς τὸν ἑνδέκατον δὲ ἤρξατο τὴν κοινολογίαν ποιεῖσθαι· (δέκα γὰρ ἦσαν ἠρωτημένοι τῇ προτέρᾳ). Σιγῆς δὲ γενομένης, ἐπυνθάνετο· ιά. Πῶς ἂν πλούσιος διαμένοι; βραχὺ δὲ ἐπισχὼν ὁ τὴν ἐρώτησιν ἐκδεξάμενος [1], εἶπεν. Εἰ μηδὲν ἀνάξιον τῆς ἀρχῆς, μηδὲ ἀσελγὲς πράσσοι· μηδὲ δαπάνην [2] εἰς τὰ κενὰ καὶ μάταια συντελοῖ· [καὶ εἰ [3]] τοὺς ὑποτεταγμένους εὐεργεσίᾳ πρὸς εὔνοιαν ἄγοι τὴν ἑαυτοῦ. Καὶ γὰρ ὁ Θεὸς πᾶσιν αἴτιος ἀγαθῶν ἐστιν· ᾧ κατακολουθεῖν ἀναγκαῖον.

Ἐπαινέσας δὲ ὁ βασιλεὺς τοῦτον, ἕτερον ἐπηρώτα. ιβ΄. Πῶς ἂν τὴν ἀλήθειαν διατηροῖ; ὁ δὲ πρὸς τοῦτο [4] ἀπεκρίθη. Γινώσκων, ὅτι μεγάλην αἰσχύνην ἐπιφέρει [5] τὸ ψεῦδος πᾶσιν ἀνθρώποις, πολλῷ [δὲ] μᾶλλον τοῖς βασιλεῦσιν. Ἐξουσίαν γὰρ ἔχοντες, ὃ βούλονται πράσσειν, τίνος ἕνεκεν ἂν ψεύσαιντο; Προσλαμβάνειν δὲ δεῖ τοῦτό σε, βασιλεῦ· διότι φιλαλήθης ὁ Θεός ἐστιν.

Ἀποδεξάμενος δὲ εὖ μάλα καὶ τοῦτον, ἐπιβλέψας εἰς ἕτερον εἶπεν. ιγ΄. Τί ἐστι σοφίας διδαχή; Ὁ δὲ *ἕτερος* ἀπεφήνατο· Καθὼς οὐ βούλει σεαυτῷ τὰ κακὰ παρεῖναι, μέτοχος δὲ τῶν ἀγαθῶν ὑπάρχειν ἁπάντων, εἰ πράσσοις τοῦτο πρὸς τοὺς ὑποτεταγμένους, καὶ τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων [6] ἐπιεικέστερον νουθετοῖς· καὶ γὰρ ὁ Θεὸς τοὺς ἀνθρώπους ἅπαντας ἐπιεικείᾳ ἄγει.

---

[1]. Π. Ε. ἐκδεχόμενος. – [2]. Π. Ε. δαπάνῃ: – [3]. Ἐν δὲ Π. Ε. τοὺς ὑποτεταγμένους (χωρὶς τοῦ, καὶ εἰ, ἢ ἄλλου συνδετικοῦ): – [4] Β. Οἱ δ' ἄλλ. χωρὶς τῆς πρός. – [5] ΒΣ. Ο. ἐπιφέροι. ΒΔ. ἀποφέροι: – [6]. Οὕτως οἱ ἄλλ. τὸ δὲ Β. « πρὸς τ. ὑποτ. καὶ τοὺς ἁμαρτάνοντας καὶ τοὺς καλοὺς καὶ ἀγαθοὺς κτλ. (ἀλλ' εἴπερ ἔῤῥωται ἡ γραφὴ, τὸ « καὶ τοὺς ἁμαρτάνοντας γραπτέον πρὸ τοῦ ἐπιεικέστερον).

Ἐπαινέσας [δ'] αὐτὸν, τῷ μετ' αὐτὸν εἶπε· ιδ'. Πῶς ἂν φιλάνθρωπος εἴη; κἀκεῖνος ἔφη· Θεωρῶν, ὡς ἐν πολλῷ χρόνῳ, καὶ κακοπαθείαις μεγίσταις, αὔξει τε καὶ γεννᾶται τὸ τῶν ἀνθρώπων γένος. Ὅθεν οὔτε εὐκόπως δεῖ κολάζειν, οὔτε αἰτίαις περιβάλλειν· γινώσκων, ὅτι τὸ τῶν ἀνθρώπων ζῆν ἐν ὀδύναις τε καὶ τιμωρίαις καθέστηκεν· ἐπινοῶν οὖν ἕκαστα, πρὸς τὸν ἔλεον τραπήσῃ. Καὶ γὰρ ὁ Θεὸς ἐλεήμων ἐστίν.

Ἀποδεξάμενος δὲ τοῦτον, ἐπυνθάνετο τοῦ καθεξῆς. ιέ. Τίς ἀναγκαιότατος τρόπος βασιλείας; Τὸ συντηρεῖν, εἶπεν, αὑτὸν ἀδωροδόκητον· καὶ νήφειν τὸ πλεῖον μέρος τοῦ βίου· καὶ δικαιοσύνην προτιμᾷν· καὶ τοὺς τοιούτους φιλοποιεῖσθαι. Καὶ γὰρ ὁ Θεὸς φιλοδίκαιός ἐστιν.

Ἐπισημήνας καὶ τούτῳ, [1] πρὸς τὸν ἕτερον εἶπε· ις. Τί τὸ [τῆς] εὐσεβείας ἐστὶ κατάστημα; Ἐκεῖνος δὲ ἔφη. Τὸ διαλαμβάνειν, ὅτι πάντα διὰ παντὸς ὁ Θεὸς ἐνεργεῖ, καὶ γινώσκει· καὶ οὐθὲν ἂν λάθοι ἄδικον ποιήσας, ἢ κακὸν ἐργαζόμενος ἄνθρωπος. Ὡς γὰρ ὁ Θεὸς εὐεργετεῖ τὸν ὅλον κόσμον, οὕτω καὶ σὺ μιμούμενος, ἀπρόσκοπος ἂν εἴης.

Ἐπιφωνήσας δὲ τούτῳ, πρὸς τὸν ἕτερον εἶπε· ιζ'. Τίς ὅρος τοῦ βασιλεύειν ἐστίν; ὁ δὲ ἔφη· Τὸ καλῶς ἄρχειν ἑαυτοῦ· καὶ μὴ τῷ πλούτῳ, καὶ τῇ δόξῃ φερόμενον, [2] ὑπερήφανον καὶ ἄσχημόν τι ἐπιθυμήσαιο· [3] εἰ [γὰρ] καλῶς λογίζοιο, πάντα *γάρ* σοι πάρεστιν, ὡς οὐδέν. Ὁ Θεὸς δὲ ἀπροσδεής ἐστι, καὶ ἐπιεικής· καὶ σὺ, καθόσον ἄνθρωπος, ἐννόει· καὶ μὴ πολλῶν ὀρέγου, τῶν δ' ἱκανῶν πρὸς τὸ βασιλεύειν.

Κατεπαινέσας δὲ αὐτὸν, ἐπηρώτα τὸν ἕτερον. ιη'. Πῶς ἂν τὰ κάλλιστα διαλογίζοιτο; ἀπεκρίθη δὲ ἐκεῖνος. Εἰ τὸ δίκαιον ἐπὶ παντὸς προβάλλοι συνεχῶς· καὶ νομίζοι [4] τὴν ἀδικίαν, τοῦ ζῆν

---

[1] Η. Δ. ἐν Π. Ε. ἐπισημάνας καὶ τοῦτον: — [2] Β. οἱ δ' ἄλλ. φαινόμενον: — [3] οὕτω Π. Ε. ἀλλ' ἴσ. γρ. «ὑπερηφάνων καὶ ἀσχήμων ἐπιθυμεῖν». καὶ τὰ ἑξῆς δὲ διορθωτέον, οἶμαι, οὑτωσί. «Εἰ γὰρ καλῶς λογίζοιο, πάντα σοι πάρεστιν, ὡς οὐδενί: — [4] οὕτω Π. Ε. ἀλλ' ἴσ. γρ. προβάλλοιτο.

στέρησιν [1] εἶναι. Καὶ γὰρ ὁ Θεὸς διὰ παντὸς τοῖς δικαίοις ἀγαθὰ προσημαίνει μέγιστα.

[Καὶ] τοῦτον δὲ ἐπαινέσας, εἶπε πρὸς τὸν ἑξῆς: ιθ'. Πῶς ἂν ἐν τοῖς ὕπνοις ἀτάραχος εἴη; ὁ δὲ ἔφη. Δυσαπολόγητον ἠρώτηκας πρᾶγμα. Συναναφέρειν γὰρ οὐ δυνάμεθα ἐν τούτοις, τοῖς κατὰ τὸν ὕπνον, ἑαυτούς· ἀλλὰ περιεχόμεθα ἀλογίστῳ κατὰ τάδε [2] αἰσθήσει. Πάσχομεν [μὲν] γὰρ κατὰ ψυχὴν [3] ἐν τοῖς ὑποπίπτουσιν, ὡς θεωρουμένοις· ἀλογιστοῦμεν δὲ, καθόσον ὑπολαμβάνομεν, [4] καὶ ἐπὶ πέλαγος, καὶ ἐν πλοίοις, ἢ πλεῖν [5], ἢ πέτεσθαι φερόμενοι, [6] καὶ διαίρειν εἰς ἑτέρους τόπους, καὶ τοιαῦτα ἕτερα· καὶ ὁ ταῦτα ὑπολαμβάνων μὴ καθεστάναι. [7] Πλὴν ὅσον ἔμοι γ' ἐφικτὸν, οὕτω διείληφα. Κατὰ πάντα τρόπον σε, βασιλεῦ, καὶ τὰ λεγόμενα καὶ τὰ πραττόμενα, πρὸς εὐσέβειαν ἐπανάγειν· ὅπως ἑαυτῷ συνιστορῇς, [8] ὅτι τὸ κατ' ἀρετὴν συντηρῶν, οὔτε χαρίζεσθαι προαιρῇ παρὰ λόγον, οὔτε [9] ἐξουσίᾳ χρώμενος, τὸ δίκαιον αἴρεις. Ἐπὶ πλεῖον γὰρ, ἐν οἷς ἕκαστος πράγμασιν ἐγρηγορὼς τὴν διαγωγὴν ποιεῖται, καὶ καθ' ὕπνον ἐν τοῖς αὐτοῖς ἡ διάνοια τὴν ἀναστροφὴν ἔχει. Ὃς δὲ πάντα διαλογισμὸν, καὶ πρᾶξιν ἐπὶ τὰ κάλλιστα τρεπομένην [ἔχει], [10] κατευθύνει καὶ ἐγρηγορὼς [11] καὶ ἐν ὕπνῳ. Διὸ καὶ περὶ σὲ διὰ παντός ἐστιν εὐστάθεια.

Κατευφημήσας δὲ καὶ τοῦτον, εἶπε πρὸς τὸν ἕτερον· Ἐπεὶ σὺ δέκατος τὴν ἀπόκρισιν ἔχεις, ὡς [12] ἂν ἀποφήνῃ, ἐπὶ τὸ δεῖπνον τραπησόμεθα· ἠρώτα δέ· κ'· Πῶς ἂν μηδὲν ἀνάξιον ἑαυτῶν πράσσοιμεν; ὁ δὲ εἶπεν. Ἐπίβλεπε διὰ παντὸς εἰς τὴν σεαυτοῦ δόξαν καὶ ὑπεροχὴν, ἵνα τούτοις ἀκόλουθα καὶ λέγῃς καὶ διανοῇ· γινώσκων, ὅτι πάντες, ὧν ἄρχεις, περὶ σοῦ καὶ διανοοῦνται, καὶ λα-

---

[1] Β. ὑστέρησιν: — [2] αἱ δὲ Π. Ε. τῇ δε: — [3] Β. οἱ δ' ἄλλ. τύχην. — [4] Η. Δ. ἐν δὲ Π. Ε. ὑπολαμβανόμενοι — [5] ἐν δὲ Π. Ε. πωλεῖν: — [6] Π. Ε. φερομένους: — [7] οὕτω Π. Ε. Διορθωτέον δ' ἂν εἴη ὧδέ πως «Καίτοι ὁ ταῦτα ὑπολαμβάνων, οἶδε μὴ καθ.» — [8] Π. Ε. ἑαυτοῦ συνιστορεῖς: — [9] Π. Ε. οὐδέ: — [10] Λεῖπον ἐν Π. Ε. προσθετέον πάντως τὸ ἔχει (παρορθὲν ὑπὸ τοῦ μεταγραφέως διὰ τὸ προηγηθὲν ἔχει): — [11] ΒΣ. Ο. ΒΔ. ἐγρηγόρως:— [12] Η. Δ. ἐν δὲ Π. Ε. ὃς ἄν.

λοῦσιν. οὐ γὰρ ἐλάχιστόν σε δεῖ τῶν [1] ὑποκριτῶν φαίνεσθαι. Τὸ γὰρ πρόσωπον, οὐδὲ αὐτό ἐστιν ὑποκρίνεσθαι, [2] τοῦτο συνθεωροῦντες, ἀκόλουθα πάντα πράσσουσιν. Σὺ δὲ οὐχ ὑπόκρισιν ἔχεις, ἀλλὰ ἀληθῶς βασιλεύεις, Θεοῦ δόντος σοι καταξίως τῶν τρόπων τὴν ἡγεμονίαν.

Τοῦ δὲ βασιλέως εὖ μάλα συγκροτήσαντος μετὰ φιλοφροσύνης ἐπὶ πλείονα χρόνον τοὺς ἀνθρώπους, ἐπὶ δεῖπνον [3] παρεκάλουν. Καὶ τὰ μὲν πρὸς τούτους, ὡς ἔληξεν, ἐπὶ τὴν ἑξῆς ἐτράπησαν τῆς συμποσίας διάταξιν.

§. λδ. Τῇ δὲ ἐχομένῃ, τῆς αὐτῆς διατάξεως γενηθείσης, ὅτε *καὶ* καιρὸν ὑπέλαβεν ὁ βασιλεὺς τοῦ πυνθάνεσθαί τι τῶν ἀνδρῶν, ἠρώτα τὸν πρῶτον τῶν ἀπολιπόντων, *πρὸς* τὴν ἑξῆς ἐρώτησιν. κα. Τίς ἐστιν ἀρχὴ κρατίστη; ἐκεῖνος δὲ ἔφη: Τὸ κρατεῖν ἑαυτοῦ, καὶ μὴ συγκαταφέρεσθαι ταῖς ὁρμαῖς. Πᾶσι γὰρ ἀνθρώποις φυσικὸν εἶναι, τὸ πρός τι τὴν διάνοιαν ῥέπειν. Τοῖς μὲν οὖν πολλοῖς ἐπὶ τὰ βρωτὰ, καὶ ποτὰ, καὶ τὰς ἡδονὰς, εἰκός ἐστι κεκλίσθαι· τοῖς δὲ βασιλεῦσιν, ἐπὶ χώρας κατάκτησιν, κατὰ τὸ τῆς δόξης μέγεθος. Πλὴν ἐν πᾶσι μετριότης καλόν· ἃ δὲ ὁ Θεὸς δίδωσι, ταῦτα λαμβάνων, σύνεχε· τῶν δὲ ἀνεφίκτων μὴ ἐπιθύμει.

Τοῖς δὲ ῥηθεῖσιν ἀρεσθεὶς, πρὸς τὸν ἐχόμενον εἶπε. κβ'. Πῶς ἂν ἐκτὸς εἴη φθόνου; διαλιπὼν δὲ ἐκεῖνος, ἔφη. Πρῶτον, εἰ νοήσαις, [4] ὅτι ὁ Θεὸς πᾶσι μερίζει δόξαν τε καὶ πλούτου μέγεθος τοῖς βασιλεῦσι· καὶ οὐδεὶς παρ' ἑαυτοῦ ἐστι βασιλεύς. Πάντες γὰρ θέλουσι μετασχεῖν ταύτης τῆς δόξης, ἀλλ' οὐ δύνανται. Θεοῦ γάρ ἐστι δόμα.

Ἐπαινέσας δὲ τὸν ἄνδρα διὰ πλειόνων, ἠρώτα τὸν ἕτερον. κγ'. Πῶς ἂν καταφρονοίη τῶν ἐχθρῶν; ὁ δὲ εἶπεν. Ἠσκηκὼς πρὸς πάντας ἀνθρώπους εὔνοιαν, καὶ κατεργασάμενος φιλίας, λόγον οὐ-

---

[1] Β. διὰ τῶν: — [2] Διόρθου τὸ στρεβλὸν οὕτως (εἰ δοκεῖ). «Τὸ γὰρ πρόσ., ὃ δεῖ αὐτὸν ἕκαστον ὑποκρίν., τοῦτο» κτλ. — [3] Π. Ε. καθυπνοῦν ἀλλ' οὐχ ὕπνου, συμποσίου δ' ἦν ὥρα: — [4] Π. Ε. νοήσαιο.

θενὸς ἂν ἔχοις· Τὸ δὲ κεχαριτῶσθαι πρὸς πάντας ἀνθρώπους, * καὶ * καλὸν δῶρον εἰληφέναι παρὰ Θεοῦ, [καὶ] τοῦτ᾽ ἐστι κράτιστον.

Συναινέσας δὲ τούτοις, τὸν ἑξῆς ἐκέλευσεν ἀποκριθῆναι, πρὸς αὐτὸν εἴπας· κδ'. Πῶς ἂν δοξαζόμενος διαμένοι; εἶπε δέ. Τῇ προθυμίᾳ [1] καὶ ταῖς χάρισι πρὸς τοὺς ἄλλους μεταδοτικὸς ὢν, καὶ μεγαλομερὴς, οὐδέποτ᾽ ἂν ἀπολίποιο [2] δόξης. Ἵνα δὲ τὰ προειρημένα σοι διαμένῃ, τὸν Θεὸν ἐπικαλοῦ διὰ παντός.

Εὐφημήσας δὲ τοῦτον, ἕτερον ἠρώτα. κέ. Πρὸς τίνας [3] δεῖ φιλότιμον εἶναι; ἐκεῖνος δὲ ἔφη· Πρὸς τοὺς φιλικῶς ἔχοντας ἡμῖν, οἴονται πάντες, ὅτι πρὸς τούτους δέον· ἐγὼ δὲ ὑπολαμβάνω, πρὸς τοὺς ἀντιδοξοῦντας φιλοτιμίαν δεῖ χαριστικὴν ἔχειν, ἵνα τούτῳ τῷ τρόπῳ μετάγωμεν αὐτοὺς ἐπὶ τὸ καθῆκον καὶ συμφέρον ἑαυτοῖς. Δεῖ δὲ τὸν Θεὸν λιτανεύειν, ἵνα ταῦτα ἐπιτελῆται· τὰς γὰρ ἁπάντων διανοίας κρατεῖ.

Συνομολογήσας δὲ τούτοις, τὸν ἕκτον ἐκέλευσεν ἀποφήνασθαι, πυνθανόμενος· κς'. Τίσι δεῖ χαρίζεσθαι; ἐκεῖνος δὲ ἀπεκρίθη· Γονεῦσι διὰ παντός. Καὶ γὰρ ὁ Θεὸς πεποίηται ἐντολὴν μεγίστην περὶ τῆς τῶν γονέων τιμῆς. Ἑπομένως δὲ τὴν τῶν φίλων ἐγκρίνει διάθεσιν, προσονομάσας ἴσον τῇ ψυχῇ τὸν φίλον. Σὺ δὲ καλῶς ποιεῖς, ἅπαντας ἀνθρώπους εἰς φιλίαν πρὸς ἑαυτὸν καθιστῶν.

Παρακαλέσας [4] δὲ καὶ τοῦτον, ἐπυνθάνετο *καὶ* τοῦ μετέπειτα. κζ'. Τί καλλονῆς ἄξιόν ἐστιν; ὁ δὲ εἶπεν· Εὐσέβεια. Καὶ γὰρ αὕτη καλλονή τις ἐστὶ πρωτεύουσα. Τὸ δὲ δυνατὸν αὐτῆς ἐστιν ἀγάπη· Αὕτη γὰρ θεόσδοτός [5] ἐστιν, ἣν καὶ σὺ κέκτησαι, [6] πάντα περιέπων ἐν αὐτῇ τὰ ἀγαθά.

Λίαν δὲ φιλοφρόνως ἐπικροτήσας, εἶπε πρὸς τὸν ἕτερον· κή. Πῶς ἂν πταίσας, πάλιν τῆς αὐτῆς κρατῆσαι δόξης; ὁ δὲ ἔφη: Σὲ μὲν οὐ δυνατὸν πταῖσαι· πᾶσι γὰρ χάριτας ἔσπαρκας [7], αἳ βλαστάνουσιν εὔνοιαν, ἣ τὰ μέγιστα τῶν ὅπλων κατισχύουσα, περι-

---

[1] Β. προμηθείᾳ :— [2] Π. Ε. ἀπολίποι :— [3] Π. Ε. τίνα :— [4] Β. παρακελεύσας. — [5] Π. Ε. θεοδόσιος :— [6] Β. αἱ δὲ ἄλλ. Π. Ε. συγκέκτησαι :— [7] ΒΣ. Φ. ΟΔ. ἔπαρκας.

λαμβάνει[1] τὴν μεγίστην ἀσφάλειαν. Εἰ δέ τινες πταίουσιν, ἐφ' οἷς πταίουσιν, οὐκέτι χρὴ ταῦτα πράσσειν· ἀλλὰ φιλίαν καταικτησαμένους, δικαιοπραγεῖν. Θεοῦ δὲ δῶρον, ἀγαθῶν ἐργάτην εἶναι, καὶ μὴ τῶν ἐναντίων.

Συναρεσθεὶς τούτοις, πρὸς τὸν ἕτερον εἶπε· κθ'. Πῶς ἂν ἐκτὸς γένοιτο λύπης; ὁ δὲ ἔφησεν· Εἰ μηδένα βλάπτοι, πάντας δὲ ὠφελοῖ, τῇ δικαιοσύνῃ κατακολουθῶν. Τοὺς γὰρ ἀπ' αὐτῆς καρποὺς, ἀλυπίαν κατασκευάζειν. Ἱκετεύειν δὲ τὸν Θεὸν, ἵνα μὴ τὰ παρὰ τὴν προαίρεσιν ἡμῶν ἀνακύπτοντα βλάπτῃ.[2] Λέγω δὲ, οἷον θάνατοί τε, καὶ νόσοι, καὶ λῦπαι, καὶ τὰ τοιαῦτα. Σοὶ δὲ εὐσεβεῖ καθεστῶτι, τούτων οὐδὲν ἂν προσέλθοι.

Καλῶς δὲ καὶ τοῦτον ἐπαινέσας, τὸν δέκατον ἠρώτα. λ'. Τί μέγιστόν ἐστι δόξης; ὁ δὲ εἶπε· Τὸ τιμᾶν τὸν Θεόν· τοῦτο δέ ἐστιν, οὐ δώροις, οὐδὲ θυσίαις, ἀλλὰ ψυχῆς καθαρότητι, καὶ διαλήψεως ὁσίας, καθὼς ὑπὸ τοῦ Θεοῦ πάντα κατασκευάζεται, καὶ διοικεῖται κατὰ τὴν αὐτοῦ βούλησιν· ἣν καὶ σὺ διατελεῖς ἔχων γνώμην, ᾗ πάρεστι σημειοῦσθαι πᾶσιν ἐκ τῶν ὑπὸ σοῦ συντετελεσμένων καὶ συντελουμένων. Μετὰ μείζονος δὲ φωνῆς ὁ βασιλεὺς πάντας αὐτοὺς ἠσπάζετο, καὶ παρεκάλει, συνεπιφωνούντων τῶν παρόντων, μάλιστα δὲ τῶν φιλοσόφων. Καὶ γὰρ ταῖς ἀγωγαῖς καὶ τῷ λόγῳ πολὺ προέχοντες αὐτῶν [ἦσαν][3], ὡς ἂν ἀπὸ Θεοῦ τὴν καταρχὴν ποιούμενοι. Μετὰ δὲ ταῦτα, ὁ βασιλεὺς εἰς τὸ φιλοφρονῆσαι ἦλθε διὰ τῶν προπόσεων.

§. λε. Τῇ δὲ ἐπιούσῃ κατὰ τὰ αὐτὰ τῆς διατάξεως τοῦ συμποσίου γενομένης, καθὼς εὔκαιρον ἐγένετο τῷ βασιλεῖ, τοὺς ἑξῆς ἠρώτα τῶν προαποκεκριμένων· εἶπε δὲ τῷ πρώτῳ. λά. Τὸ φρονεῖν εἰ διδακτόν ἐστιν; ὁ δὲ εἶπε. Ψυχῆς ἐστι κατασκευὴ, διὰ θείας δυνάμεως ἐπιδέχεσθαι πᾶν τὸ καλὸν, ἀποστρέφεσθαι δὲ τἀναντία.

Συνομολογήσας δὲ, τὸν ἐχόμενον ἠρώτα. λϐ'. Τί πρὸς ὑγιείαν

---

[1] Ἴσ. γρ. περιβάλλει: — [2] Β. Βλάστῃ. — [3] Π. Ε. λείπει τὸ ῥῆμα (ἀναγκαῖον ὄν).

μάλιστα συντείνει; ἐκεῖνος δὲ ἔφη. Σωφροσύνη· ταύτης δ' οὐκ ἔςι τυχεῖν, ἐὰν μὴ Θεὸς κατασκευάσῃ τὴν διάνοιαν εἰς τοῦτο.

Παρακαλέσας δὲ τοῦτον, πρὸς τὸν ἕτερον ἔφη. λγʹ. Πῶς ἂν γονεῦσι τὰς ἀξίας ἀποδῴη χάριτας; ὁ δὲ εἶπε· Μηδὲν αὐτοὺς λυπήσας·[1] τοῦτο δὲ οὐκ ἔστιν, εἰμὴ Θεὸς τῆς διανοίας ἡγεμὼν γένοιτο πρὸς τὰ κάλλιστα.

Προσεπινεύσας δὲ τούτῳ, τὸν ἑξῆς ἠρώτα. λδʹ. Πῶς ἂν φιλήκοος εἴη; ἐκεῖνος δὲ εἶπε· Διαλαμβάνων, ὅτι πάντα συμφέρει γινώσκειν· ὅπως ἂν πρὸς τὰ συμβαίνοντα ἐκλεγόμενός τι τῶν ἀκροαμάτων, ἀνθυποτιθῇς[2] πρὸς τὰ τῶν καιρῶν ἀντιπράσσοντα,[3] σὺν χειραγωγίᾳ Θεοῦ· τοῦτο δέ ἐστιν, αἱ τῶν πράξεων τελειώσεις ὑπ' αὐτοῦ[4].

Τοῦτον δὲ ἐπαινέσας, πρὸς τὸν ἕτερον εἶπε. λέ. Πῶς ἂν μηδὲν παράνομον πράσσοι; πρὸς τοῦτο ἔφησε. Γινώσκων, ὅτι τὰς ἐπινοίας ὁ Θεὸς δέδωκε τοῖς νομοθετήσασι πρὸς τὸ σῴζεσθαι τοὺς βίους τῶν ἀνθρώπων, ἀκόλουθος ἂν εἴη αὐτοῖς.

Ἀποδεξάμενος δὲ αὐτὸν, πρὸς ἕτερον εἶπε. λϛʹ. Τὶς ὠφέλεια συγγενείας ἐστίν; ὁ δὲ ἀπεφήνατο. Ἐὰν [ἐπὶ] τοῖς συμβαίνουσι νομίζωμεν, ἀτυχοῦσι[5] μὲν, ἐλαττοῦσθαι καὶ κακοπαθεῖν, ὡς [ἂν] αὐτῶν φαίνηται τὸ συγγενὲς, ὅσον ἰσχύον ἐστί· τελουμένων δὲ τούτων, καὶ δόξα καὶ προκοπὴ παρὰ τοῖς τοιούτοις ὑπάρξει. (Τὸ γὰρ συγγενὲς,[6] εὐνόως[7] γινόμενον, ὡς ἐξ ἑαυτοῦ ἀδιάλυτον πρὸς ἅπαντα). Μετὰ δὲ εὐημερίας, μηδὲν προσδεῖσθαι τῶν ἐκείνων· ἀλλὰ δέον [τὸν Θεὸν] ἱκετεύειν, πάντας ἀγαθοποιεῖν.

Ὡσαύτως δ' ἐκεῖνος[8] ἀποδεξάμενος * αὐτὸν, * ἄλλον ἠρώτα: λζʹ. Πῶς ἀφοβία γίνεται; εἶπε δέ. Συνιστορούσης τῆς διανοίας, μηδὲν κακὸν πεπραχέναι. Θεοῦ κατευθύνοντος, εἰς τὸ καλῶς ἅπαντα βουλεύεσθαι.

---

[1] Η. Δ. ἐν δὲ Π. Ε. λυπῆσαι:— [2] Η. Δ. ἐν δὲ Π. Ε. ἠκροαμένων, ἀνθυποτιθεὶς ..— [3] Π. Ε. ἀντιπράσσηται:— [4] ἴσ. γρ. ἡ ὑπ' αὐτοῦ τῶν πρ. τελείωσις.— [5] Β. οἱ δ' ἄλλ. ἀτυχῶσι:— [6] ΒΣ. Φ. συνεργές:— [7] Π. Ε. εὐνόως· ἀλλ' ἴσ. γρ. εὔνουν:— [8] ΒΣ. ἐκείνοις. ἀλλ' οἶμαι γρ. «Ὡσαύτ. δὲ κἀκεῖνον» (τὸ δ' ἐφεξῆς αὐτὸν, παρέλκει).

[Καὶ] τούτῳ δὲ ἐπιφωνήσας, πρὸς ἄλλον εἶπε. λή. Πῶς ἂν προχείρως ἔχοι τὸν ὀρθὸν λόγον; ὁ δὲ εἶπεν. Εἰ τὰ τῶν ἀνθρώπων ἀτυχήματα διὰ παντὸς ἐπιβλέπει· γινώσκων, ὅτι ὁ Θεὸς ἀφαιρεῖται τὰς εὐημερίας, ἑτέρους δὲ δοξάζων, εἰς τὸ τιμᾶσθαι προάγει.

Καλῶς δὲ καὶ τοῦτον ἀποδεξάμενος, τὸν ἑξῆς ἀποκριθῆναι παρεκάλει. λθ'. Πῶς ἂν μὴ εἰς ῥαθυμίαν, μηδὲ ἐπὶ τὰς ἡδονὰς τρέποιτο; ὁ δὲ προχείρως ἔχων (εἶπεν). Ὅτι μεγάλης βασιλείας κατάρχει, καὶ πολλῶν ὄχλων ἀφηγεῖται· καὶ οὐ δεῖ περὶ ἕτερόν τι τὴν διάνοιαν εἶναι, τῆς δὲ τούτων ἐπιμελείας φροντίζειν. Θεὸν δὲ ἀξιοῦν, ὅπως μηδὲν ἐλλείπῃ τῶν καθηκόντων.

Ἐπαινέσας δὲ καὶ τοῦτον, τὸν δέκατον ἠρώτα. μ'. Πῶς [ἂν] ἐπιγινώσκοι τοὺς δόλῳ τινὶ πρὸς αὐτὸν πράσσοντας; ὁ δὲ ἀπεφήνατο πρὸς τοῦτο· Εἰ παρατηροῖτο τὴν ἀγωγὴν ἐλευθέριον οὖσαν, καὶ τὴν εὐταξίαν διαμένουσαν ἐν τοῖς ἀσπασμοῖς, καὶ ταῖς συμβουλίαις, καὶ τῇ λοιπῇ συναναστροφῇ τῶν σὺν αὐτῷ· καὶ μηδὲν ὑπερτείνοντας τοῦ δέοντος ἐν ταῖς φιλοφρονήσεσι, καὶ τοῖς λοιποῖς τοῖς κατὰ τὴν ἀγωγήν. Θεὸς δὲ τὴν διάνοιαν ἕξει σοι,[1] βασιλεῦ, πρὸς τὰ κάλλιστα. Ὁ δὲ βασιλεὺς συγκροτήσας, πάντας τ' ἐπαινέσας κατ' ὄνομα, καὶ τῶν παρόντων ταῦτα ποιούντων, ἐπὶ τὸ μέλπειν ἐτράπησαν.

§. λς. Τῇ δὲ ἐχομένῃ τὸν καιρὸν λαβὼν, ἐπηρώτα τὸν ἑξῆς. μά. Τίς ἐστιν ἀμέλεια μεγίστη; [ὁ δὲ] πρὸς τοῦτ' ἔφη: Εἴ [τις] τέκνων ἄφροντις εἴη,[2] καὶ μὴ κατὰ πάντα τρόπον ἀγαγεῖν.[3] Εὐχόμεθα γὰρ ἀεὶ πρὸς τὸν Θεὸν οὐχ οὕτως περὶ ἑαυτῶν, ὡς περὶ τῶν ἐγγόνων, ἵνα παρῇ πάντ' αὐτοῖς τἀγαθά. Τὸ δὲ ἐπιδεῖσθαι παιδείαν[4] σωφροσύνης μετασχεῖν, Θεοῦ δυνάμει τοῦτο γίνεται.

Φήσας δὲ[5] εὐλογεῖν, ἄλλον ἠρώτα: μβ'. Πῶς ἂν φιλόπατρις εἴη; Προτιθέμενος (εἶπεν), ὅτι καλὸν ἐν ἰδίᾳ καὶ ζῆν καὶ τε-

---

[1] ἴσ. γρ. ἄξει:—[2] Η. Δ. ἐν δὲ Π. Ε. ἢ:—[3] Οὕτω Π. Ε. πληρωτέον δὲ τὸ χαῖνον, ἴσως οὑτωσί· «καὶ μὴ φροντίζοι κ. π. τρ. εὖ ἀγαγεῖν.—[4] ἴσ. γρ. παιδείας καὶ σωφ.—[5] ἴσ. γρ. φήσας δ' αὐτὸν εὖ λέγειν.

λευτᾷν. Ἡ δὲ ξενιτεία τοῖς μὲν πένησι καταφρόνησιν ἐργάζεται, τοῖς δὲ πλουσίοις ὄνειδος, ὡς διὰ κακίαν ἐκπεπτωκόσιν. Εὐεργετῶν οὖν ἅπαντας, καθὼς συνεχῶς τοῦτο ἐπιτελεῖς, Θεοῦ διδόντος σοι πρὸς πάντας χάριν, φιλόπατρις φανήσῃ.

Τούτου δὲ ἀκούσας, τοῦ καθεξῆς [1] ἐπυνθάνετο: μγ'. Πῶς ἁρμόσαι γυναικί; ὁ δὲ ἔφη· Ὅτι *μὲν* θρασὺ [μέν] ἐστι τὸ θῆλυ γένος, καὶ δραστικὸν, ἐφ' ὃ βούλεται πρᾶγμα, καὶ μεταπίπτον εὐκόπως διὰ παραλογισμοῦ, καὶ [2] τῇ φύσει κατεσκεύασται ἀσθενές· δέον δέ ἐστι κατὰ τὸ ὑγιὲς χρῆσθαι, καὶ μὴ πρὸς ἔριν ἀντιπράσσειν. Κατορθοῦται γὰρ βίος, ὅταν ὁ κυβερνῶν ἴδῃ, [3] πρὸς τίνα σκοπὸν δεῖ τὴν διέξοδον ποιεῖσθαι· Θεοῦ δ' ἐπικλήσει καὶ βίος κυβερνᾶται κατὰ πάντα.

Συνανθομολογησάμενος δὲ τούτῳ, τὸν ἑξῆς ἠρώτα. μδ.' Πῶς ἀναμάρτητος εἴη; ὁ δὲ ἔφησεν οὕτως. [4] Ἅπαντα πράσσων μετὰ διαλογισμοῦ, καὶ μὴ πειθόμενος διαβολαῖς, ἀλλ' αὐτὸς ὢν δοκιμαστὴς τῶν λεγομένων, καὶ κρίσει κατευθύνων τὰ τῶν ἐντεύξεων, καὶ διὰ κρίσεως ἐπιτελῶν ταῦτα, ἀναμάρτητος (ἔφη) ἂν εἴης, ὦ Βασιλεῦ. Τὸ δὲ ἐπινοεῖν ταῦτα, καὶ ἐν τούτοις ἀναστρέφεσθαι, θείας δυνάμεώς ἐστιν ἔργον.

Διαχυθεὶς δὲ τοῖς εἰρημένοις, τὸν ἕτερον ἠρώτα: με'. Πῶς ἂν ἐκτὸς θυμοῦ γένοιτο; [ὁ δὲ] πρὸς τοῦτον εἶπεν· Γινώσκων, ὅτι πάντων ἐξουσίαν ἔχει, καὶ εἰ χρήσαιτο θυμῷ, θάνατον ἐπιφέρει· ὅπερ ἀνωφελὲς καὶ ἀλγεινόν ἐστιν, εἰ τὸ ζῆν ἀφελεῖται πολλῶν, διὰ τὸ κύριος [5] εἶναι. Πάντων δὲ ὑπηκόων ὄντων, καὶ μηδενὸς ἐναντιουμένου, τίνος χάριν θυμωθήσεται; Γινώσκειν οὖν δεῖ, διότι Θεὸς τὸν πάντα κόσμον διοικεῖ μετ' εὐμενείας, καὶ χωρὶς ὀργῆς ἁπάσης. Τούτῳ δὲ κατακολουθεῖν ἀναγκαῖόν ἐστί σοι, ἔφησεν, ὦ βασιλεῦ.

Καλῶς δὲ ἀποκεκρίσθαι φήσας τοῦτον, ἐπυνθάνετο τοῦ μετέπειτα. μς'. Τί ἐστιν εὐβουλία; Τὸ καλῶς ἅπαντα πράττειν,

---

[1] ἐν Π. Ε. κατὰ τὸ ἑξῆς: — [2] Ὁ δὲ Β. κἄν: — [3] ἴσ. γρ. εἰ δῆ: — [4] Η. Δ. ἐν δὲ Π. Ε. ὡς: — [5] Π. Ε. κύριον.

ἀπεφήνατο, μετὰ διαλογισμοῦ, κατὰ τὴν βουλὴν παρατιθέντα καὶ [τὰ] βλαβερὰ, *τῶν* κατὰ τὸ ἐναντίον τοῦ λόγου διάστημα· ἵνα πρὸς ἕκαστον ἐπινοήσαντες, ὦμεν εὖ βεβουλευμένοι, καὶ τὸ προτεθὲν ἡμῖν ἐπιτελῆται. Τὸ δὲ αὖ κράτιστον, Θεοῦ δυναστεία [1] πᾶν βούλευμα, ἵνα ἐξισοῖ [2] τὴν εὐσέβειαν ἀσκοῦντι.

Κατωρθωκέναι δὲ καὶ τοῦτον εἴπας, ἄλλον ἠρώτα. μζ΄. Τί ἐστι φιλοσοφία; Τὸ καλῶς διαλογίζεσθαι πρὸς ἕκαστα τῶν συμβαινόντων, ἀπεφήνατο, καὶ μὴ ἐκφέρεσθαι ταῖς ὁρμαῖς, ἀλλὰ τὰς βλάβας καταμελετᾷν, τὰς ἐκ τῶν ἐπιθυμιῶν ἐκβαινούσας· καὶ τὰ πρὸς τὸν καιρὸν πράσσειν δεόντως, μετριοπαθῆ καθεστῶτα. Ἵνα δ' ἐπίστασιν τούτων λαμβάνωμεν, θεραπεύειν δεῖ τὸν Θεόν.

Ἐπισημήνας δὲ καὶ τούτῳ [3], ἕτερον ἠρώτα· μή. Πῶς ἂν [τις] ἀποδοχῆς ἐν [4] ξενιτείᾳ τυγχάνοι; Πᾶσιν ἴσος γινόμενος, ἔφη, καὶ μᾶλλον ἥττων, ἢ καθυπερέχων φαινόμενος, πρὸς οὓς [5] ξενιτεύει. Κοινῶς γὰρ ὁ Θεὸς, τὸ ταπεινούμενον προσδέχεται κατὰ φύσιν, καὶ τὸ τῶν ἀνθρώπων γένος τοῖς ὑποτασσομένοις φιλανθρωπεῖ.

Ἐπιμαρτυρήσας δὲ τούτοις, ἄλλον ἠρώτα· μθ΄. Πῶς ἃ ἂν κατασκευάσῃ, καὶ μετὰ τοῦτο διαμένοι; πρὸς τοῦτο εἶπεν. Εἰ μεγάλα καὶ σεμνὰ ταῖς ποιήσεσιν ἐπιτελοῖ, πρὸς τὸ φείσασθαι τοὺς θεωροῦντας, διὰ τὴν καλλονήν· καὶ [εἰ] μηδένα κατεργαζόμενον τὰ τοιαῦτα παραπέμποι· μηδὲ τοὺς ἄλλους ἀμισθὶ συντελεῖν ἀναγκάζοι τὰ πρὸς τὴν χρείαν. Διανοούμενος γὰρ, ὡς Θεὸς πολυωρεῖ τὸ τῶν ἀνθρώπων γένος, χορηγῶν αὐτοῖς καὶ ὑγείαν καὶ εὐαισθησίαν καὶ τὰ λοιπὰ, καὶ αὐτὸς ἀκόλουθόν τι πράξει, τῶν κακοπαθειῶν ἀντιδιδοὺς τὴν ἀντάμειψιν. Τὰ γὰρ ἐκ δικαιοσύνης τελούμενα, ταῦτα καὶ διαμένουσιν.

Εὖ δὲ καὶ τοῦτον εἰρηκέναι φήσας, τὸν δέκατον ἠρώτα. ν΄. Τίς ἐστι σοφίας καρπός; ὁ δὲ εἶπε. Τὸ μὴ συνιστορεῖν ἑαυτῷ κακὸν

---

[1] Π. Ε. δυναστείᾳ (δοτικ.): — [2] οὕτω Π. Ε. ἀλλ' ἴσ. γρ. Θ. δυναστεία πᾶν βούλευμα ἰθύνει ἀξίως σοι κτλ.: — [3] Η. Δ. οἱ ἄλλ. τοῦτον. — [4] Η. Δ. αἱ δὲ Π. Ε. ἡ ξενιτεία τυγχάνῃ (καὶ χωρὶς τοῦ τις): — [5] Π. Ε. ἀλλ' ἴσ. γρ. παρ' οἷς.

πεπραχότι, τὸν δὲ βίον ἐν ἀληθείᾳ διεξάγειν. Ἐκ τούτων γὰρ κρατίστη χαρὰ, καὶ ψυχῆς εὐστάθειά σοι γίνεται, μέγιστε βασιλεῦ, καὶ ἐλπίδες ἐπὶ Θεῷ καλαὶ, κρατοῦντός σου τῆς ἀρχῆς εὐσεβῶς.[1] Ὡς δὲ συνήκουσαν οἱ πάντες, ἐπεφώνησαν σὺν κρότῳ πλείονι. Καὶ μετὰ ταῦτα πρὸς τὸ προπιεῖν ὁ βασιλεὺς *λαμβάνειν*[2] ἐτράπη, χαρᾷ πεπληρωμένος.

§. λζ. Τῇ δὲ ἑξῆς καθὰ [καὶ] πρότερον ἡ διάταξις ἦν τῶν κατὰ τὸν πότον ἐπιτελουμένων· καιροῦ δὲ γενομένου, τοὺς ἀπολειπομένους ὁ Βασιλεὺς ἐπηρώτα. Πρὸς τὸν πρῶτον δὲ ἔφη· να΄. Πῶς ἂν μὴ τραπείη τις εἰς ὑπερηφανίαν; ἀπεκρίθη δέ· Εἰ τὴν ἰσότητα τηροῖ, καὶ παρ' ἕκαστα[3] ἑαυτὸν ὑπομιμνήσκοι, ὡς[4] ἄνθρωπος ὢν, ἀνθρώπων ἡγεῖται, καὶ ὅτι ὁ Θεὸς τοὺς ὑπερηφάνους καθαιρεῖ, τοὺς δὲ ἐπιεικεῖς καὶ ταπεινοὺς ὑψοῖ.

Παρακαλέσας δὲ αὐτὸν, τὸν ἑξῆς ἐπηρώτα. νβ΄. Τίσι δεῖ συμβούλοις χρῆσθαι; Τοῖς διὰ πολλῶν, ἔφη, πεπειραμένοις πραγμάτων, καὶ τὴν εὔνοιαν συντηροῦσιν ἀκέραιον πρὸς αὐτὸν, καὶ τῶν τρόπων ὅσοι μετέχουσιν αὐτῷ. Θεοῦ δὲ ἐπιφάνεια γίνεται πρὸς τὰ τοιαῦτα τοῖς ἀξίοις.

Ἐπαινέσας δὲ καὶ αὐτὸν, ἄλλον ἠρώτα· νγ΄.[5] Τίς ἐστι βασιλεῖ κτῆσις ἀναγκαιοτάτη; [Ἡ] τῶν ὑποτεταγμένων φιλανθρωπία, καὶ ἀγάπησις, ἀπεκρίνατο· διὰ γὰρ τούτων ἄλυτος εὐνοίας δεσμὸς γίνεται. Τὸ δὲ γίνεσθαι κατὰ προαίρεσιν ταῦτα, ὁ Θεὸς ἐπιτελεῖ.

Κατεπαινέσας δὲ αὐτὸν, ἑτέρου διεπυνθάνετο: νδ΄. Τί πέρας ἐστὶ λόγου; κἀκεῖνος *δ* ἔφησε: Τὸ πεῖσαι τὸν ἀντιλέγοντα, διὰ τῆς ὑποτεταγμένης τάξεως τὰς βλάβας ἀποδεικνύντα· οὕτω γὰρ λήψῃ τὸν ἀκροατὴν, οὐκ ἀντικείμενος, συγχρώμενος δὲ ἐπαίνῳ πρὸς τὸ πεῖσαι. Θεοῦ δ' ἐνεργείᾳ κατευθύνεται πειθώ.

---

[1] Π. Ε. εὐσεβέως: — [2] οὕτω Π. Ε. ἀλλ' ἔοικε παρέλκειν τὸ λαμβάνειν (ἴσως ἐκ τῆς ὁμοιότητος τῶν γραμμάτων τοῦ προηγουμένου ὁ βασιλεὺς ἐκτρωθὲν ὑπὸ τῆς ἀβλεψίας τοῦ ἀντιγραφέως)· οὐδ' ὁ Λατῖνος ἀνέγνω: — [3] Ο. ΒΔ: παρ' ἕκαστον. — [4] Π. Ε. καθώς; — [5] Η. Δ. ἐν δὲ Π. Ε. τί ἐστι.

Εὖ δὲ λέγειν φήσας αὐτὸν, ἕτερον ἠρώτα. νε'. Πῶς ἂν, παμμιγῶν ὄχλων ὄντων ἐν τῇ βασιλείᾳ, τούτοις ἁρμόσαι; Τὸ πρέπον ἑκάστῳ συναποκρινόμενος, εἶπε, καθηγεμόνα λαμβάνων δικαιοσύνην· ὡς καὶ ποιεῖς, Θεοῦ σοι διδόντος εὖ λογίζεσθαι.

Φιλοφρονηθεὶς δὲ τοῦτον, πρὸς ἕτερον εἶπεν: νς'. Ἐπὶ τίσι δεῖ λυπεῖσθαι; πρὸς ταῦτα ἀπεκρίθη. [Ὅταν] τὰ συμβαίνοντα τοῖς φίλοις, *ὅταν* θεωρῶμεν [1] πολυχρόνια καὶ ἄφευκτα γινόμενα. Τελευτήσασι γὰρ, καὶ κακῶν ἀπολελυμένοις, οὐχ ὑπογράφει λύπην ὁ λόγος, ἀλλ' ἐφ ἑαυτοὺς ἀναφέροντες, καὶ τὸ πρὸς ἑαυτοὺς συμφέρον, λυποῦνται πάντες ἄνθρωποι. Τὸ δὲ ἐκφυγεῖν πᾶν κακὸν, Θεοῦ δυνάμει γίνεται.

Ὡς δὲ ἔδει φήσας αὐτὸν ἀποκρίνασθαι, πρὸς ἕτερον εἶπε: νζ'. Πῶς ἀδοξία γίνεται; ἐκεῖνος δὲ ἔφησεν· Ὅταν ὑπερηφανία καθηγῆται, καὶ θράσος ἄληκτον, ἀτιμασμὸς ἐπιφύεται, καὶ δόξης ἀναίρεσις. Θεὸς δὲ δόξης πάσης κυριεύει, ῥέπων οὗ βούλεται.

Καὶ τούτῳ δὲ ἐπικυρώσας τὰ τῆς ἀποκρίσεως, τὸν ἑξῆς ἠρώτα· νή. Τίσι δεῖ πιστεύειν ἑαυτόν; Τοῖς διὰ τὴν εὔνοιαν (εἶπε) συνοῦσί σοι, καὶ μὴ διὰ τὸν φόβον, μηδὲ διὰ πολυωρίαν, ἐπανάγουσι [2] πάντα πρὸς τὸ κερδαίνειν. Τὸ μὲν γὰρ, ἀγαπήσεως σημεῖον, τὸ δὲ, δυσνοίας καὶ καιροτηρησίας. Ὃς γὰρ ἐπὶ τὸ πλεονεκτεῖν ὁρᾷ [3], προδότης πέφυκε. Σὺ δὲ πάντας εὐνόους ἔχεις, Θεοῦ σοι καλὴν βουλὴν διδόντος.

Σοφῶς δὲ αὐτὸν εἴπας ἀποκεκρίσθαι, ἑτέρῳ εἶπε· νθ'. Τί βασιλείαν διατηρεῖ; Πρὸς τοῦτ' ἔφη. Μέριμνα καὶ φροντὶς, ὡς οὐδὲν κακουργηθήσεται διὰ τῶν ἀποτεταγμένων εἰς τοὺς ὄχλους ταῖς χρείαις· καθὼς σὺ τοῦτο πράσσεις, Θεοῦ σοι τὴν σεμνὴν ἐπίνοιαν διδόντος.

Θαρσύνας [4] δὲ τοῦτον, ἕτερον ἐπηρώτα. ξ'. Τί διαφυλάσσει χάριτα καὶ τιμήν; Ὁ δὲ εἶπεν· Ἀρετή· καλῶν γὰρ ἔργων ἐστὶν ἐπι-

---

[1] Π. Ε. θεωρώμεθα: — [2] Π. Ε. ἐπανάγοντας: — [3] Π. Ε. ὁρᾶται: — [4] Π. Ε. Θρασύνας.

τέλεια[1], τὸ δὲ κακὸν ἀποτρίβεται· καθὼς σὺ διατηρεῖς τὴν πρὸς ἅπαντας καλοκἀγαθίαν, παρὰ Θεοῦ δῶρον τοῦτο ἔχων.

Κεχαρισμένως δὲ καὶ τοῦτον ἀποδεξάμενος, τὸν ἑνδέκατον ἐπηρώτα, (διὰ τὸ δύο πλεονάζειν τῶν Ἑβδομήκοντα). ξα'. Πῶς ἂν κατὰ ψυχὴν καὶ ἐν τοῖς πολέμοις εἰρηνικῶς ἔχοι; ὁ δὲ ἀπεφήνατο· Διαλαμβάνων, ὅτι κακὸν οὐδὲν εἴργασται τῶν διατεταγμένων οὐδέν[2]. Πάντες δὲ ἀγωνιοῦνται περὶ τῶν εὐεργετημάτων, εἰδότες, κἂν ἐκ τοῦ ζῆν ἀποτρέχωσιν, ἐπιμελητήν σε τῶν βίων [ὄντα]. Οὐδὲ γὰρ διαλείπεις ἐπανορθῶν ἅπαντας, τοῦ Θεοῦ σοι κατ' εὐφροσύνην[3] δεδωκότος.

Ἐπισημήνας δὲ κρότῳ, πάντας αὐτοὺς ἀπεδέξατο, φιλοφρονούμενος, καὶ προπίνων ἑκάστῳ πλεῖόν τι πρὸς τὸ τερφθῆναι, μετ' εὐφροσύνης τοῖς ἀνδράσι συνὼν, καὶ μετὰ χαρᾶς πλείονος.

§. λη. Τῇ δὲ ἑβδόμῃ τῶν ἡμερῶν πλείονος παρασκευῆς γενομένης, προσπαραγενομένων[4] ἑτέρων πλειόνων ἀπὸ τῶν πόλεων (ἦσαν γὰρ[5] ἱκανοὶ πρέσβεις), ἐπηρώτησεν ὁ βασιλεὺς, καιροῦ γενομένου, τὸν πρωτεύοντα τῶν ἀπολιπόντων τῆς ἐρωτήσεως. ξβ'. Πῶς ἂν ἀπαραλόγιστος εἴη; ἐκεῖνος δέ ἔφη· Δοκιμάζων καὶ τὸν λέγοντα, καὶ τὸ λεγόμενον, καὶ περὶ τίνος λέγει· καὶ ἐν πλείονι χρόνῳ τὰ αὐτὰ δι' ἑτέρων τρόπων ἐπερωτῶν. Τὸ δὲ νοῦν ἔχειν ὀξὺν, καὶ δύνασθαι κρίνειν ἕκαστα, Θεοῦ δώρημα καλόν ἐστιν: ὡς σὺ τοῦτο κέκτησαι, βασιλεῦ.

Κρότῳ δὲ ἐπισημηνάμενος ὁ βασιλεὺς, ἕτερον ἐπηρώτα. ξγ'. Διὰ τί τὴν ἀρετὴν οὐ παραδέχονταί τινες τῶν ἀνθρώπων, οἱ πλείονες; Ὅτι φυσικῶς ἅπαντες, εἶπεν, ἀκρατεῖς, καὶ ἐπὶ τὰς ἡδονὰς τρεπόμενοι γεγόνασιν· ὧν χάριν ἀδικία πέφυκε, καὶ τὸ τῆς πλεονεξίας χύμα· τὸ δὲ τῆς ἀρετῆς κατάστημα κωλύει τοὺς ἐπιφερομένους ἐπὶ τὴν ἡδονοκρασίαν, ἐγκράτειαν δὲ κελεύει καὶ δικαιοσύνην προτιμᾶν· ὁ δὲ Θεὸς πάντων ἡγεῖται τούτων.

---

[1] οὕτω Π. Ε. ἀλλ' ἴσ. γρ. ἐπιμέλεια :— [2] ἴσ. γρ. ὅτι κακὸν οὐδὲν εἴργασαι τῶν ὑποτεταγμένων οὐδένα :— [3] ἴσ. γρ. σωφροσύνην :— [4] Η. Δ. ἐν δὲ Π. Ε. προσπαραγινομένων :— [5] ΒΣ. Φ. ἐν δ' Ο. ΒΔ. ΟΔ. δή.

Εὖ δὲ ἀποκεκρίσθαι τοῦτον εἴπας ὁ βασιλεὺς, τὸν μετ' αὐτὸν ἠρώτα. ξδ'. Τίσι δεῖ κατακολουθεῖν τοὺς βασιλεῖς; ὁ δὲ ἔφη· Τοῖς νόμοις· ἵνα δικαιοπραγοῦντες, ἀνακτῶνται τοὺς δήμους [1] τῶν ἀνθρώπων· καθὼς σὺ τοῦτο πράσσων, ἀέναον μνήμην καταβέβλησαι σεαυτοῦ, θείῳ προστάγματι κατακολουθῶν.

Εἴπας δὲ καὶ τοῦτον καλῶς λέγειν, τὸν ἐχόμενον ἠρώτα. ξέ. Τίνας δεῖ καθιστάνειν στρατηγούς; ὁ δὲ εἶπεν· Ὅσοι μισοπονηρίαν ἔχουσι· καὶ τὴν ἀγωγὴν αὐτοῦ μιμούμενοι, πρὸς τὸ διὰ παντὸς εὐδοξίαν ἔχειν αὐτοὺς, τὰ δίκαια πράσσουσι· καθὼς σὺ τοῦτο ἐπιτελεῖς, βασιλεῦ, Θεοῦ σοι στέφανον δικαιοσύνης δεδωκότος.

Ἀποδεξάμενος δὲ αὐτὸν ὁ βασιλεὺς μετὰ φωνῆς, ἐπὶ τὸν ἐχόμενον ἐπιβλέψας, εἶπε. ξς'. Τίνας δεῖ καθιστάνειν ἐπὶ τῶν δυνάμεων ἄρχοντας; ὁ δὲ ἀπεφήνατο· Τοὺς ἀνδρίᾳ διαφέροντας καὶ δικαιοσύνῃ, καὶ περὶ πολλοῦ ποιουμένους τὸ σῴζειν τοὺς ἄνδρας, ἢ τὸ νικᾷν τῷ θράσει, παραβάλλοντας [2] τὸ ζῆν. Ὡς γὰρ ὁ Θεὸς εὖ ἐργάζεται πᾶσι, καὶ σὺ τοῦτον μιμούμενος, εὐεργετεῖς τοὺς ὑπὸ σεαυτόν.

Ὁ δὲ ἀποκεκρίσθαι φήσας αὐτὸν εὖ, ἄλλον ἠρώτα. ξζ'. Τίνα θαυμάζειν ἄξιόν ἐστιν ἄνθρωπον; ὁ δὲ ἔφη· Τὸν κεχορηγημένον δόξῃ καὶ πλούτῳ καὶ δυνάμει, καὶ [τῇ] ψυχῇ ἴσον πᾶσιν ὄντα. Καθὼς σὺ, [ἐν] δοξῃ καὶ πλούτῳ καὶ δυνάμει τοῦτο ποιῶν, ἀξιοθαύμαστος εἶ, τοῦ Θεοῦ σοι διδόντος εἰς ταῦτα τὴν ἐπιμέλειαν.

Ἐπιφωνήσας δὲ καὶ τούτῳ, πρὸς τὸν ἕτερον εἶπεν. ξή. Ἐν τίσι δεῖ πράγμασι τοὺς βασιλεῖς τὸν πλείω χρόνον διάγειν; ὁ δὲ εἶπεν· Ἐν ταῖς ἀναγνώσεσι, καὶ ἐν ταῖς τῶν πορειῶν [3] ἀπογραφαῖς διατρίβειν, ὅσαι πρὸς τὰς βασιλείας ἀναγεγραμμέναι τυγχάνουσι, πρὸς ἐπανόρθωσιν καὶ διαμονὴν ἀνθρώπων. Ὃ σὺ πράσσων, οὐκ ἐφικτὴν [4] ἄλλοις δόξαν κέκτησαι, Θεοῦ σοι τὰ βουλήματα συντελοῦντος.

---

[1] Β. τοὺς βίους: — [2] Η. Δ. ἐν δὲ Π. Ε. περιβάλλοντας. καὶ ἀντὶ δὲ τοῦ τὸ νικᾷν τῷ θράσει, ἴσ. γρ. τῷ θράσει τοῦ νικᾷν: — [3] ἴσ. γρ. πρεσβειῶν (οὕτω καὶ ὁ Λατῖνος ἀνέγνω). — [4] Π. Ε. ἐφικτόν.

Ἐνεργῶς δὲ καὶ τοῦτον προσείπας, ἕτερον ἠρώτα. ξθʹ. Τίνας δεῖ ποιεῖσθαι τὰς ἀγωγὰς [1] ἐν ταῖς ἀνέσεσι καὶ ταῖς ῥαθυμίαις; ὁ δὲ ἔφη· Θεωρεῖν, ὅσα ὁπλίζεται μετὰ περιστολῆς· [2] καὶ πρὸ ὀφθαλμῶν τιθέναι τὰ τοῦ βίου, μετ' εὐσχημοσύνης καὶ καταστολῆς γινόμενα [3]· βιοῖς σωφρονῶν καὶ κατέχων· ἔνεστι γὰρ καὶ ἐν τούτοις ἐπισκευή τις· πολλάκις γὰρ καὶ ἐκ τῶν ἐλαχίστων αἱρετόν τι δείκνυται. Σὺ δὲ πᾶσαν ἠσκηκὼς καταστολὴν διὰ τῶν ἐνεργειῶν, φιλοσοφεῖς διὰ καλοκἀγαθίαν, ὑπὸ Θεοῦ τιμώμενος.

Εὐαρεστήσας δὲ τοῖς προειρημένοις, πρὸς τὸν ἔννατον εἶπε· οʹ. Πῶς δεῖ διὰ τῶν συμποσίων διεξάγειν; ὁ δὲ ἔφησε· Παραλαμβάνοντα τοὺς φιλομαθεῖς, καὶ δυναμένους ὑπομιμνήσκειν τὰ χρήματα τῆς βασιλείας, καὶ τοὺς τῶν ἀρχομένων βίους· ἐμμελέστερον, ἢ μουσικώτερον οὐκ ἂν εὕροις τι τούτων. Οὗτοι γὰρ θεοφιλεῖς εἰσι, πρὸς τὰ κάλλιστα πεπαιδευκότες τὰς διανοίας· καθὼς καὶ σὺ τοῦτο πράσσεις, ὡς ἂν ὑπὸ Θεοῦ σοι κατευθυνομένων ἁπάντων.

Διαχυθεὶς δὲ ἐπὶ τοῖς εἰρημένοις, ἐπυνθάνετο τοῦ μετέπειτα. οαʹ. Τί κάλλιστόν ἐστι τοῖς ὄχλοις, ἐξ ἰδιώτου βασιλέα κατασταθῆναι ὑπ' αὐτῶν, ἢ ἐκ βασιλέως βασιλέα; ἐκεῖνος δὲ ἔφη. Τὸ ἄριστον τῇ φύσει· καὶ γὰρ ἐκ βασιλέων βασιλεῖς γινόμενοι, πρὸς τοὺς ὑποτεταγμένους ἀνήμεροί τε καὶ σκληροὶ καθίστανται· Πολλῷ δὲ μᾶλλον καί τινες τῶν ἰδιωτῶν, *καὶ* κακῶν πεπειραμένοι, καὶ πενίας μετεσχηκότες, ἄρξαντες ὄχλων, χαλεπώτεροι τῶν ἀνοσίων τυράννων ἐξέβησαν. Ἀλλὰ, ὡς προεῖπον, ἦθος χρηστὸν, καὶ παιδείας κεκοινωνηκὸς, δυνατὸν ἄρχειν ἐστί· καθὼς σὺ, βασιλεῦ, μέγας ὑπάρχεις, οὐ τοσοῦτον τῇ δόξῃ τῆς ἀρχῆς καὶ τῷ πλούτῳ προέχων, ὅσον ἐπιεικείᾳ καὶ φιλανθρωπίᾳ πάντας ἀνθρώπους ὑπερῆρκας, Θεοῦ σοι δεδωρημένου ταῦτα ἐπὶ πλείονα χρόνον.

Καὶ τοῦτον ἐπαινέσας, τὸν ἐπὶ πᾶσιν ἠρώτα. οβʹ. Τί μέγιστόν ἐστι βασιλείας; πρὸς τοῦτο εἶπε· Τὸ διὰ παντὸς ἐν εἰρήνῃ καθεστάναι τοὺς ὑποτεταγμένους, καὶ κομίζεσθαι ταχέως τὸ δίκαιον

---

[1] Ἴσ. γρ. διαγωγάς:— [2] Β. Περιβολῆς.— [3] ἴσ. λείπει οὕτω.

ἐν ταῖς διακρίσεσι. Ταῦτα δὲ γίνεται διὰ τὸν ἡγούμενον, ὅταν μισοπόνηρος ᾖ, καὶ φιλάγαθος, καὶ περὶ πολλοῦ ποιούμενος ψυχὴν ἀνθρώπου σώζειν. καθὼς καὶ σὺ μέγιστον [κακὸν] ἥγησαι τὴν ἀδικίαν· δικαίως δὲ πάντα κυβερνῶν, ἀέναον τὴν περὶ σεαυτὸν δόξαν κατεσκεύασας· τοῦ Θεοῦ σοι διδόντος ἔχειν ἁγνὴν, καὶ ἀμιγῆ παντὸς κακοῦ τὴν διάνοιαν.

§. λθ. Καταλήξαντος δὲ τούτου, κατεῤῥάγη κρότος μετὰ φωνῆς καὶ χαρᾶς ἐπὶ πλείονα χρόνον. Ὡς δὲ ἐπαύσατο ὁ βασιλεὺς λαλῶν, ποτήριον ἐπεχέατο, καὶ τῶν [1] παρόντων ἁπάντων, καὶ τῶν εἰρημένων λόγων· ἐπὶ πᾶσι δὲ εἶπε. Τὰ μέγιστά μοι γέγονεν ἀγαθὰ, παραγενηθέντων ὑμῶν· πολλὰ γὰρ ὠφέλημαι, καταβεβλημένων ὑμῶν διδαχὴν ἐμοὶ πρὸς τὸ βασιλεύειν. Ἑκάστῳ δὲ τρία τάλαντα προσέταξεν ἀργυρίου δοθῆναι, καὶ τὸν ἀποκαταστήσοντα [2] παῖδα. Συνεπιφωνησάντων δὲ πάντων, χαρᾶς ἐπληρώθη τὸ συμπόσιον, ἀδιαλείπτως τοῦ βασιλέως εἰς εὐφροσύνην τραπέντος.

§. μ. Ἐγὼ δὲ εἶπα πλείονα· καὶ τούτοις, ὦ Φιλόκρατες, συγγνώμην ἔχειν. Τεθαυμακὼς [3] γὰρ τοὺς ἄνδρας ὑπὲρ τὸ δέον, ὡς ἐκ τοῦ καιροῦ τὰς ἀποκρίσεις ἐποιοῦντο, πολλοῦ χρόνου δεομένας· * καὶ * (τοῦ μὲν ἐρωτῶντος, μεμεριμνηκότος ἕκαστα, τῶν δὲ ἀποκρινομένων καταλλήλως ἔχοντα [4] τὰ πρὸς τὰς ἐρωτήσεις)· [καὶ] ἄξιοι θαυμασμοῦ κατεφαίνοντό μοι, καὶ τοῖς παροῦσι, μάλιστα δὲ τοῖς φιλοσόφοις. Οἴομαι δὲ, καὶ πᾶσι τοῖς παραληψομένοις τὴν ἀναγραφὴν, ἄπιστον φανεῖται. Ψεύσασθαι μὲν [οὖν] οὐ καθῆκόν ἐστι περὶ τῶν ἀναγραφομένων. Εἰ δὲ καί τι παραβαίην, οὐχ ὅσιον ἐν τούτοις· ἀλλὰ, ὡς γέγονεν, οὕτω διασαφοῦμεν, ἀφοσιούμενοι [5] πᾶν ἁμάρτημα. Διόπερ ἐπειράθην, ἀποδεξάμενος αὐτῶν τὴν τοῦ λόγου δύναμιν, παρὰ τῶν ἀναγραφομένων ἕκαστα τῶν γινομένων ἔν τε τοῖς χρηματισμοῖς τοῦ βασιλέως, καὶ ταῖς συμποσίαις, μεταλαβεῖν. (Ἔθος γάρ ἐστι, καθὼς καὶ σὺ γινώσκεις, ἀφ' ἧς ἂν ἡμέρας [6] ὁ βασιλεὺς

---

[1] Οὕτω Π. Ε. ἀλλ' ἴσ. γρ. ἐπὶ τιμῇ τῶν: — [2] Π. Ε. ἀποκαταστήσαντα: — [3] ἴσ. γρ. τεθαύμακα: — [4] Η. Δ. ἐν δὲ Π. Ε. ἀλλήλως ἐχόντων: — [5] Π. Ε. ἀφοσιώμενοι: — [6] ἴσ. γρ. ἀφ' ἧς ἂν ὥρας τῆς ἡμέρας.

ἄρξηται χρηματίζειν, μέχρις οὗ κατακοιμηθῇ, πάντα ἀναγράφεσθαι τὰ λεγόμενα καὶ πρασσόμενα· καλῶς γινομένου καὶ συμφερόντως. τῇ γὰρ ἐπιούσῃ, τὰ τῇ πρότερον πεπραγμένα καὶ λελαλημένα, πρὸ τοῦ χρηματισμοῦ παραναγινώσκεται· καὶ εἴτι [εἴη μὴ] δεόντως γεγονὸς [1], διορθώσεως τυγχάνει τὸ πεπραγμένον)· πάντα οὖν, ἀκριϐῶς πάντων ἀναγεγραμμένων, ὡς ἐλέχθη, μεταλαϐόντες, κατακεχωρίκαμεν, εἰδότες, ἣν ἔχεις φιλομάθειαν εἰς τὰ χρήσιμα.

§. μα. Μετὰ δὲ τρεῖς ἡμέρας ὁ Δημήτριος παραλαϐὼν αὐτοὺς, καὶ διελθὼν τὸ τῶν ἑπτὰ σταδίων ἀνάχωμα τῆς θαλάσσης πρὸς τὴν νῆσον, καὶ διαϐὰς τὴν γέφυραν, καὶ προσελθὼν ὡς ἐπὶ τὰ βόρεια μέρη, συνέδριον ποιησάμενος εἰς κατεσκευασμένον οἶκον παρὰ τὴν ἠϊόνα, διαπρεπῶς ἔχοντα, καὶ πολλῆς ἡσυχίας ἔφεδρον, παρεκάλει τοὺς ἄνδρας τὰ τῆς ἑρμηνείας ἐπιτελεῖν, παρόντων, ὅσα πρὸς τὴν χρείαν ἔδει, καλῶς. Οἱ δὲ [2] ἐπετέλουν ἕκαστα, σύμφωνα ποιοῦντες πρὸς ἑαυτοὺς ταῖς ἀντιϐολαῖς. Τὸ δὲ ἐκ τῆς συμφωνίας γινόμενον πρεπόντως, ἀναγραφῆς οὕτως ἐτύγχανε παρὰ τοῦ Δημητρίου. Καὶ μέχρι μὲν ὥρας ἐννάτης τὰ τῆς συνεδρίας ἐγίνετο· μετὰ δὲ ταῦτα περὶ τὴν τοῦ σώματος θεραπείαν ἀπελύοντο γίνεσθαι, χορηγουμένων αὐτοῖς δαψιλῶς, ὧν προῃροῦντο, πάντων. Ἐκτὸς δὲ [τῶν] καθ' ἡμέραν, ὅσα βασιλεῖ παρεσκευάζετο, καὶ τούτοις ὁ Δωρόθεος ἐπετέλει· προστεταγμένον γὰρ ἦν αὐτῷ διὰ τοῦ βασιλέως. Ἅμα δὲ τῇ πρωΐᾳ παρεγίνοντο εἰς τὴν αὐλὴν καθ' ἡμέραν, καὶ ποιησάμενοι τὸν ἀσπασμὸν τοῦ βασιλέως, ἀπελύοντο πρὸς τὸν ἑαυτῶν τόπον. Ὡς δὲ ἔθος ἐστὶ πᾶσι τοῖς Ἰουδαίοις, ἀπονιψάμενοι τῇ θαλάσσῃ τὰς χεῖρας, ὡς ἂν [3] ηὔξαντο πρὸς τὸν Θεὸν, ἐτρέποντο πρὸς τὴν ἀνάγνωσιν, καὶ τὴν ἑκάστου διασάφειαν.

§. μϐ. Ἐπηρώτησαν δὲ καὶ τοῦτο· τίνος χάριν ἀπονιζόμενοι τὰς χεῖρας, τὸ τηνικαῦτα εὔχονται; Διεσάφουν δὲ, ὅτι μαρτύριόν ἐστι, τοῦ μηδὲν εἰργάσθαι κακόν· Πᾶσα γὰρ ἐνέργεια διὰ τῶν χειρῶν γίνεται· καλῶς καὶ ὁσίως μεταφέροντες ἐπὶ τὴν δικαιοσύνην καὶ

---

[1] Η. Δ. ἐν δὲ Π. Ε: καὶ εἴτι δεόντως μὴ γεγονὸς : — [2] Π. Ε. οἱ δή. — [3] Β. εὔξωνται.

τὴν ἀλήθειαν πάντα. Καθὼς δὲ προειρήκαμεν, οὕτω καθ' ἑκάστην εἰς τὸν τόπον, ἔχοντα τερπνότητα διὰ τὴν ἡσυχίαν καὶ καταύγειαν, συναγόμενοι, τὸ προκείμενον ἐπετέλουν. Συνέτυχε δὲ οὕτως, ὥστε ἐν ἡμέραις ἑβδομήκοντα δυσὶ τελειωθῆναι τὰ τῆς μεταγραφῆς· οἱονεὶ κατὰ πρόθεσίν τινα τοῦ τοιούτου γεγενημένου.

§. μγ. Τελείωσιν δὲ ὅτε ἔλαβε, συναγαγὼν ὁ Δημήτριος τὸ πλῆθος τῶν Ἰουδαίων εἰς τὸν τόπον, οὗ καὶ τὰ τῆς ἑρμηνείας ἐτελέσθη, παρανέγνω πᾶσι, παρόντων καὶ τῶν διερμηνευσάντων· οἵτινες καὶ μεγάλης ἀποδοχῆς παρὰ τοῦ πλήθους ἔτυχον, ὡς ἂν μεγάλων ἀγαθῶν παραίτιοι γεγονότες· ὡσαύτως δὲ καὶ τὸν Δημήτριον ἀποδεξάμενοι, παρεκάλεσαν, δοῦναι τοῖς ἡγουμένοις αὐτῶν μεταγράψαντα τὸν πάντα νόμον. Καθὼς δὲ ἀνεγνώσθη τὰ τεύχη, στάντες οἱ ἱερεῖς, καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι, καὶ τῶν ἀπὸ τοῦ πολιτεύματος, οἵ τε ἡγούμενοι τοῦ πλήθους, εἶπον· Ἐπεὶ καλῶς καὶ ὁσίως διηρμήνευται, καὶ κατὰ πᾶν ἠκριβωμένως·[1] καλῶς ἔχον ἐστὶν, ἵνα διαμένῃ ταῦτα οὕτως ἔχοντα, καὶ μὴ γένηται μηδεμία διασκευή. Πάντων δὲ ἐπιφωνησάντων τοῖς εἰρημένοις, ἐκέλευσαν[2] διαράσασθαι, καθὼς ἔθος αὐτοῖς ἐστὶν, εἴτις διασκευάσει, προστιθεὶς, ἢ μεταφέρων τι τὸ σύνολον τῶν γεγραμμένων, ἢ ποιούμενος ἀφαίρεσιν· καλῶς τοῦτο πράσσοντες, ἵνα διὰ παντὸς ἀέναα καὶ μένοντα φυλάσσηται.

§. μδ. Προσφωνηθέντων δὲ καὶ τούτων τῷ βασιλεῖ, μεγάλως ἐχάρη. Τὴν γὰρ πρόθεσιν, ἣν εἶχεν, ἀσφαλῶς ἔδοξε τετελειῶσθαι. Παρανεγνώσθη δὲ αὐτῷ πάντα, καὶ λίαν ἐξεθαύμασε τὴν τοῦ νομοθέτου διάνοιαν, καὶ πρὸς τὸν Δημήτριον εἶπε· Πῶς τηλικούτων[3] συντετελεσμένων, οὐδεὶς ἐπεβάλετο τῶν ἱστορικῶν, ἢ ποιητῶν, ἐπιμνησθῆναι; ἐκεῖνος δὲ ἔφη. Διὰ τὸ σεμνὴν εἶναι τὴν νομοθεσίαν, καὶ διὰ Θεοῦ γεγονέναι· καὶ τῶν ἐπιβαλομένων [δέ] τινες, ὑπὸ τοῦ Θεοῦ πληγέντες, τῆς ἐπιβολῆς ἀπέστησαν· καὶ γὰρ ἔφησεν

---

[1] Εὐσ. ἀκριβῶς : — [2] Οὕτως Εὐσέβ. (ὀρθῶς. ἀπόδειξις δὲ, καὶ ἡ ἑξῆς πληθυντ. μετοχὴ, ἤ, πράσσοντες)· ἐν δὲ Π. Ε. ἐκέλευσε. — [3] Εὐσ. τηλ. πραγμάτων κτλ.

ἀκηκοέναι [περὶ] Θεοπόμπου, διότι μέλλων τινὰ τῶν προηρμηνευμένων ἐπισφαλέστερον ἐκ τοῦ νόμου προσιστορεῖν, ταραχὴν λάβοι[1] τῆς διανοίας, πλεῖον ἡμερῶν τριάκοντα· κατὰ δὲ τὴν ἄνεσιν[2] ἐξιλάσκεσθαι τὸν Θεὸν, σαφὲς αὐτῷ γενέσθαι, τίνος χάριν τὸ συμβαῖνόν ἐστι· δἰ ὀνείρου δὲ σημανθέντος[3], ὅτι τὰ θεῖα βούλεται περιεργασάμενος εἰς κοινοὺς ἀνθρώπους ἐκφέρειν, ἀποσχόμενον, *δὲ* οὕτως ἀποκαταστῆναι. Καὶ περὶ Θεοδέκτου[4] δὲ, τοῦ τῶν τραγῳδιῶν ποιητοῦ, μετέλαβον ἐγώ· διότι παραφέρειν μέλλων τι[5] τῶν ἀναγεγραμμένων ἐν τῇ βίβλῳ πρός τι δρᾶμα, τὰς ὄψεις ἀπεγλαυκώθη[6]· καὶ λαβὼν ὑπόνοιαν, ὅτι διὰ τοῦτο αὐτῷ τὸ σύμπτωμα γέγονεν, ἐξιλασάμενος τὸν Θεὸν ἐν πολλαῖς ἡμέραις, ἀποκατέστη.

§. με. Μεταλαβὼν δὲ ὁ βασιλεὺς, καθὼς προεῖπον, [ταῦτα] παρὰ τοῦ Δημητρίου[7], [καὶ] προσκυνήσας, ἐκέλευσε μεγάλην ἐπιμέλειαν ποιεῖσθαι τῶν βιβλίων, καὶ συντηρεῖν[8] ἁγνῶς. Παρεκάλεσε[9] δὲ καὶ τοὺς ἑρμηνεῖς, ἵνα παραγίνωνται πυκνότερον πρὸς αὐτὸν, ἐπὰν[10] ἀποκαταστῶσιν εἰς τὴν Ἰουδαίαν. Δίκαιον γὰρ, εἶπε, τὴν ἐκπομπὴν αὐτῶν γενέσθαι. Παραγενηθέντας δὲ, ὡς θέμις, ἕξειν[11] αὐτοὺς φίλους, καὶ πολυδωρίας τῆς μεγίστης τεύξεσθαι παρ' αὐτοῦ. Τὰ δὲ πρὸς τὴν ἐκπομπὴν αὐτῶν ἐκέλευσεν ἑτοιμάζειν, μεγαλομερῶς τοῖς ἀνδράσι χρησάμενος· ἑκάστῳ [γὰρ] στολὰς ἔδωκε τῶν κρατίστων τρεῖς, καὶ χρυσίου τάλαντα δύο, καὶ κυλίκιον ταλάντου, καὶ τρικλίνου πᾶσαν κατάστρωσιν.

§. μς. Ἔπεμπε δὲ καὶ τῷ Ἐλεαζάρῳ μετὰ τῆς ἐκπομπῆς αὐτῶν, ἀργυρόποδας κλίνας δέκα, καὶ τὰ ἀκόλουθα πάντα, καὶ κυλίκιον

---

[1] Η. Δ. αἱ δὲ Π. Ε. λαβεῖν (τὸ δὲ διότι, ἀντὶ τοῦ ὅτι· ὡς τὸ «πυνθάνομαι διότι». Δημοσθ.).– [2] Εὐσ. τὴν αἴτησιν· ἀλλ' ὁ Ἰώσηπ. παρὰ τὰς ἀνέσεις:– [3] Εὐσ. Μαθόντος (ἀλλὰ διορθωτέον τὰ τοιαῦτα τοῦ Εὐσεβίου). – [4] Β. Θεοπόμπου (ἐσφαλμένως):– [5] Π. Ε. μέλλοντός τι:– [6] παρ' Ἰωσήπ. καὶ Εὐσεβ. μόνοις· ἐν δὲ ταῖς Ἀριστέου Π. Ε. ἀπεγλυκλώθη· καὶ Β. ἀπεγυιώθη!– [7] Οὕτως ἴσ. γρ. τὰ ἐν Π. Ε. ἡμαρτημένως (Μετ. δὲ ὁ βασ.) περὶ τῶν τοῦ Δημητρίου ἐ(ἴδ. καὶ Βιγέρ. εἰς Εὐσέβ.)– [8] Εὐσ. συντηρεῖσθαι. – [9] Ο. παρακαλέσας.– [10] Η. Δ. ν δὲ Π. Ε. ἐάν. – [11] ΒΣ. Ο. ἕξει.

ταλάντων τριάκοντα, καὶ στολὰς δέκα, καὶ πορφύραν, καὶ στέφανον διαπρεπῆ, καὶ βυσσίνων ὀθονίων ἱστοὺς ἑκατὸν[1], καὶ φιάλας, καὶ τρυβλία, καὶ κρατῆρας χρυσοῦς δύο πρὸς ἀνάθεσιν. Ἔγραψε δὲ καὶ παρακαλῶν, ἵνα, ἐάν τινες τῶν ἀνδρῶν προαιρῶνται πρὸς αὐτὸν ἀνακομισθῆναι, μὴ κωλύσῃ· περὶ πολλοῦ ποιούμενος τοῖς πεπαιδευμένοις συνεῖναι, εἰς τοιούτους τε τὸν πλοῦτον κατατίθεσθαι δαψιλῶς, καὶ οὐκ εἰς μάταια.

§. μζ. Σὺ δὲ[2], καθὼς ἐπηγγειλάμην, ἀπέχεις τὴν διήγησιν, ὦ Φιλόκρατες· Τέρπειν γὰρ οἴομαί σε ταῦτα, ἢ τὰ τῶν μυθολόγων βιβλία· νένευκας γὰρ πρὸς περιεργίαν, καὶ ἐν τούτοις τὸν πλείονα χρόνον διατελεῖς. Πειράσομαι δὲ καὶ τὰ λοιπὰ τῶν ἀξιολόγων ἀναγράφειν· ἵνα διαπορευόμενος αὐτὰ, κομίζῃ τοῦ βουλεύματος[3] τὸ κάλλιστον ἔπαθλον.

---

[1] Ἰώσ. Ο. ἐν δὲ ΒΣ. ΒΔ. εἰς τοὺς ἑκατόν. — [2] Η. Δ. ἐν δὲ Π. Ε. Εὖ δέ: — [3] Β. βουλήματος.

ΤΕΛΟΣ ΤΟΥ ΑΡΙΣΤΕΟΥ.

ΣΗΜΕΙΩΣΕΙΣ ΕΙΣ ΑΡΙΣΤΕΑΝ.

Σελ. 644. στίχ. 1–7. Ὁ Ἀριστέας (ὡς αὐτός τε ἑαυτὸν γράφει, καὶ παρ' ἄλλοις κυρίως ἀκούει) γέγραπται καὶ Ἀρισταῖος, καὶ Ἀριστεύς. Ἕλλην, ἐκ τῶν θεοσεβῶν, Κύπριος, ὡς καὶ ὁ ὁμόφρων, ἀδελφὸς αὐτοῦ Φιλοκράτης· νῆσον δὲ τὴν Κύπρον ἀποκαλεῖ (βλ. ὄπισθ. Βιβλ. Α σελ. 13, 28). — στίχ. 18. πολίταις=ὁμογενέσι· βλ. ὄπισθ. Βιβλ. Α. σελ. 517.

Σελ. 945. στίχ. 11. «Λογιωτάτων ἀρχιερέων». Ἀρχιερεῖς ὀνομάζει τοὺς οὐ κατὰ βαθμὸν, ἀλλὰ τῇ τάξει πρωτεύοντας τῶν Ἰουδαίων ἱερέων ἐν ταῖς κατ' Αἴγυπτον συναγωγαῖς· οὓς καὶ λογιωτάτους ἀποκαλεῖ. Οὕτω καὶ Πλούταρχος· «τοῖς περὶ Ψένωφιν–λογιωτάτοις οὖσι τῶν ἱερέων» (βίῳ Σόλων. §. κς). — στίχ. 23. «πολλὰ διάφορα» τουτέστι τὰ πρὸς ὠνὴν καταβαλλόμενα χρήματα, ὡς «ὠνεῖσθαι πολλοῦ διαφόρου μικρά». πρβλ. Λουκιαν. Ἑρμότ. §. 81.

Σελ. 946. στίχ. 13. Μεταλαβὼν, ἀντὶ τοῦ καταλαβὼν, κατανοήσας, γνοὺς, μαθὼν, ἀκοῇ παραλαβών. Οὕτω καὶ «μεταλαβὼν Ἀντίοχος (β. Μακκ. δ, 21, καὶ ἀλλαχοῦ). Εἶπε δὲ καὶ ὁ ἀττικίζων Φιλόστρατος «μεταλαμβάνω (κατανοῶ) πάσας τὰς φωνάς» (βίῳ Ἀπολ. α, 19)· ἡ χρῆσις Μακεδόνων, καὶ τῆς κοινῆς Ἑλληνικῆς.

Σελ. 947. στίχ. 26. «Τρέπεται πάλιν ὑπ' αὐτοῦ». Ταῦτα τοῦ Ἀριστέου φαίνεταί πως καὶ πρὸς τὸ Ὁμηρικὸν ἀποκλίνειν ἐκεῖνο· «Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, Οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε» (Ὀδυσ. Σ. 136).

Σελ. 948. στίχ. 14. «Διαχυθεὶς τὴν ὄψιν». Οὕτω καὶ διακεχυμένους τὰ πρόσωπα (Πλούταρχ.)· λέγεται καὶ διαχυθῆναι τῇ ψυχῇ (Συνέσ.). καὶ ἁπλῶς διαχυθεὶς (σελ. 994), «διακεχυμένοι» (Πολυβ. π, 22) «εὐφραινόμενον διαχεῖται» (Πλάτ. Συμποσ.)· Τὸ δὲ τοῖς ὀψωνίοις παλαιὸν ἁμάρτημα μεταγραφῆς, ὑφ' οὗ καὶ Γαρβίτιος παραχθεὶς, ἡρμήνευσε exhilaratus convivio (ἐξιλαρωθεὶς τῷ συμποσίῳ). Ἀλλ' οὔτε τράπεζα καὶ συμπόσιον, οὔτε μὴν ὄψα, ἢ ὀψώνια παρῆσαν τῷ βασιλεῖ, διαλεγομένῳ πρὸς τοὺς περὶ τὸν Ἀριστέαν. — σίχ. 26. προτάξαντος· δῆλον, ὅτι γραπτέον προςάξαντος· Δηλοῖ δὲ τὸ ῥῆμα καὶ τὸ τάξαι πρῶτον, (ἐν ἐπιγραφῇ), ἐπιγράψαι τὸ οἰκεῖον ὄνομα ἄνω τοῦ διατάγματος, (ἢ ἄλλου γράμματος, καὶ μάλιστα δημοσίου)· ὡς καὶ τὸ ὑποτάξαι ἀντὶ ὑπογράψαι τὸ ὄνομα. Σύνηθες δὲ τοῦτο παρὰ τοῖς ὕστερον, καὶ μάλιςα τοῖς Βυζαντινοῖς (νομικοῖς καὶ ἐκκλησιαστικοῖς)· οἷον (ἐν χειροτονίαις ἀρχιερέων) «Ὁ δεῖνα οἰκείᾳ χειρὶ προέταξα»· καὶ, «Οἰκείᾳ χειρὶ ὑπέταξα» (ἐπέγραψα ἄνω, καὶ ὑπέγραψα κάτωθι τὴν ἔγγραφον ὁμολογίαν τῆς πίστεως· πρὸς ἐπικύρωσιν τῆς ὅλης ἀπ' ἀρχῆς μέχρι τέλους τοῦ γράμματος περιοχῆς).

Σελ. 949. στίχ. 4. «Τὴν πόλιν καὶ τὴν χώραν»· (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 98)· Ἡ δὲ πόλις, «τὸ μέγα τοῦ Μακεδόνος ἄστυ» (Ζαχαρ. Διαλόγ. Ἄμμων. §. 1)· «ἡ Ἀλεξάνδρεια ἡ Αἰγυπτία, ἤτοι Λίβυσσα, ἐλέγετο κατ' ἐξοχὴν Πόλις, καὶ Πολῖται [οἱ] ἐξ αὐτῆς· ὡς Ἄστυ αἱ Ἀθῆναι, καὶ Ἀστοὶ καὶ Ἀστυκοί· ὡς καὶ ἐπὶ Ῥώμης λέγεται Οὖρψ» (Στέφ. Βυζάντ.). Οὕτω καὶ ἡ (Κωνσταντίνου) Πόλις, καὶ Πολῖται. — στίχ. 13. ἡ παρὰ τὸ πεδίον ὠφέλεια· βλ. ὄπισθ. Βιβλ. Α. σελ. 493.

Σελ. 950. στίχ. 9. Ταλάντων ἑξακοσίων ἑξήκοντα». Ὁ Ἰώσηπος, τετρακοσίων ἑξήκοντα, καὶ αὐτὸς Ἀριστέας ἀνωτέρω ὑπὲρ τὰ τετρακόσια τάλαντα γράφει. Ὥστε ἀντὶ τοῦ ἑξακοσίων γραπτέον καὶ ὧδε τετρακόσια· (ἀλλὰ περὶ τοῦ ἀριθμοῦ τῶν λύτρων καὶ τῶν αἰχμαλώτων ἴδε καὶ ὄπισθ. Βιβλ. Α. κεφ. ιδ, ιθ). — στίχ. 16. καὶ 951 στίχ. 18. Εἰσδοῦναι, Εἴσδοσις. βλ. ὄπισθ. Βιβλ. Α. σελ. 498.

Σελ. 951. στίχ. 3. «Οὐχ ὡς ὑπάρχει». Μάτην τοῦτο ὁ Μεϊβόμιος διορθοῖ εἰς τὸ «οὐχ ὡς ὑπ' ἀρχὴν εἶχε». Τὸ γὰρ ὑπάρχει ἐνταῦθα δηλοῖ, τὸ ὥς ἐστιν ὑπαρκτῶς, πραγματικῶς (κατὰ τὴν ἀληθινὴν καὶ γνησίαν γραφήν· ὅπερ καὶ Ἰώσηπος ἐξέφρασε διὰ τοῦ «ἀμελέστερον ἢ ἔχει (ὃ καὶ τοῦτο γραπτέον, ἢ ὡς ἔχει)· καίτοι γε καὶ τοῦτο ματαίως ἄλλοι τε καὶ Κλέριχος (Art. Critic. P. III. c. 2. §. 5) διώρθου εἰς τὸ ἢ ἐχρῆν. — σίχ. 18. Ἐκέλευσε γραφῆναι.. σημάναντας (ἄλλ. σημάναντα)· καὶ Ἰώσηπος «γραφῆναι.. δηλοῦντας»· ἀλλ' ἴσ. γρ. γράψαι (διὰ τὸ ὀρθὸν

τῆς συντάξεως). — στίχ. 23. Ῥισκοφύλακας = θησαυροφύλακας, ἐκ τοῦ ῥίσκος, δερματοσκεπὲς, ἢ δερμάτινον κιβώτιον εἰς χρημάτων ἀπόθεσιν, ἢ λίθων πολυτίμων. Ἰώσηπ. (τὸ αὐτὸ, μετὰ τοῦ πνευματισμοῦ, καὶ ὁρίσκος, ὑῤῥίσκος, ὑῤῥὶς, κόφινος, κυψέλιον) — στίχ. 25. Θυσίας κτλ. Ἔψεξάν τινες ὡς κἂν τούτοις ψευσάμενον τὸν Ἀριστέαν. Ἀλλ' ὅτι καὶ ὑπὲρ τῶν ἐθνικῶν ἡγεμόνων προσέφερον οἱ Ἰουδαῖοι θυσίας καὶ προσευχὰς, δῆλον ἐκ τῶν ἐφεξῆς χωρίων τῆς Γραφῆς (Β. Ἔσδρα ς, 10: Βαρούχ. ά, 11: Α. Μακκ. ιβ, 11: Β. γ, 3)· πρβλ. Φίλωνα (τόμ. β. σελ. 569, 580. Mang.), καὶ Ἰώσηπον (Ἀρχαιολ. ζ, 17: Ἰουδαϊκ. πολ. Β. β. §. 4: Κατὰ Ἀπίων: β. 6). Ἴδε καὶ Οἰκουμέν. εἰς Πράξ. ε. Ἀλλὰ καὶ ὁ Ἀπόστολος ἐντέλλεται θυσίας μὲν οὔ, «Δεήσεις δὲ, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ βασιλέων ποιεῖσθαι» κτλ. (Α. Τιμ. β. ἐβασίλευε δὲ τότε Νέρων). Βλ. καὶ Ἰουστῖν. Α, Ἀπολογ. §. 17: Ἀθηναγόρ. πρεσβ. §. 17: Ὠριγέν. κ. Κέλσ. Η. §: 73 σελ. 797: Tertullian. ad Scapul. c. 11. κτλ. Λέγει δὲ καὶ ὁ ἱερὸς Θεοδώρητος (εἰς Βαροὺχ α, 11)· «Αἰτοῦσι δὲ ζωὴν καὶ τῷ Ναβουχοδονόσορ, καὶ Βαλτάσαρ τῷ υἱῷ αὐτοῦ. Οὕτω καὶ ὁ θεῖος Ἀπόστολος ὑπὲρ τῶν ἔτι πολεμούντων τῇ εὐσεβείᾳ βασιλέων, καὶ τῶν ἐν ὑπεροχῇ καὶ ἐξουσίᾳ ὄντων ἐνομοθέτησεν εὔχεσθαι. Τοσαύτη [ἡ] συμφωνία τῶν παλαιῶν πρὸς τὰ νέα».

Σελ. 952. στίχ. 3. «Συμβαίνει» (κατ' ἐνεστῶτα, ὡς ἐκ τῆς παρούσης καταστάσεως θεωρουμένων τῶν πρώην συμβεβηκότων), ἀντὶ τοῦ συμβέβηκε (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 282).

Σελ. 953. στίχ. 12. «Ἐνδεχομένως» = ἀποδεκτῶς, εὐαρέστως, ἀσμένως (ὁ Λατῖν. benigne)· ἐκ τοῦ ἐνδέχομαι = τῷ ἀποδέχομαι, εὐμενῶς δέχομαι (Γαλην.) «ὁ δὲ οὐδὲ ταῦτα ἐνεδέχετο» (Θουκυδ. γ, ζ), ἐδοκίμαζεν, ἔστεργε.

Σελ. 956. στίχ. 6. «Κυμάτια», Κυμάτιον, καὶ Κῦμα (λέξις τεχνικὴ, ἀρχιτεκτ. γλυπτ.), τορεύματος εἶδος κυματοειδῶς ἐξέχον (ἐν μετάλλοις, ξύλοις, λίθοις, οἷον κιονοκράνοις, καὶ τοίχων ἐξοχαῖς γλυφόμενον, τὸ Γαλ. Cymaise), πρὸς καλλωπισμὸν τοῦ κατασκευάσματος, καὶ ἰδίως τῆς στεφάνης (οἷον καὶ τὸ γεῖσον ἰδίως ἐπὶ τῶν οἰκοδομῶν· βλ. Ἡσύχ. λ. γεῖσα, κυμάτια· ἴδε καὶ Drusij not. εἰς Ἐξόδ. κε). Οὕτω διαγράφεται καὶ ἡ τῆς Σκηνῆς Μωσαϊκὴ τράπεζα· «Καὶ ποιήσεις τράπεζαν χρυσίου καθαροῦ, δύω πήχεων τὸ μῆκος, καὶ πήχεως τὸ εὖρος, καὶ πήχεως καὶ ἡμίσους τὸ ὕψος αὐτῆς. Καὶ ποιήσεις αὐτῇ στρεπτὸν κυμάτιον χρυσοῦν κύκλῳ, καὶ ποιήσεις αὐτῇ στεφάνην παλαιστοῦ κύκλῳ, καὶ ποιήσεις στρεπτὸν κυμάτιον χρυσοῦν τῇ στεφάνῃ κύκλῳ» (Ἐξόδ. κε. 23–25). Ἐξ ὧν σημειωτέον· 1) Ὅτι τὸ παρὰ τῷ Ἰωσήπῳ «δύω πήχ. καὶ ἡμίσους τὸ μῆκος» ἡμάρτηται. παρὰ δὲ τῷ Ἀριστέᾳ «δύω πήχεων» ἔχει ὀρθῶς. 2) Ὅτι παρὰ τῷ Ἀριστέᾳ φαίνεται ἐκπεπτωκὸς τὸ «πήχεως τὸ εὖρος» (μόνον γὰρ τὸ ὕψος, καὶ τὸ μῆκος ὁρίζει). — στίχ. 6. «Σχοινίδων» (ἐκ τοῦ σχοινὶς, ὡς καὶ Ἰώσηπ.) εἶδος πλέγματος ἐκ σχοίνου, καὶ πᾶν τὸ τούτου ὅμοιον, ἴσως τὸ αὐτὸ καὶ ἡ ἐφεξῆς

σχοινία (ὡς παρ' Ἰωσήπῳ), ἢ κατ' ἄλλους σχοινιά. — στίχ. 7. «Τριγωνία». Οὔτε ὡς οὐσιαστικὸν, οὔτε ὡς ἐπίθετον θηλυκὸν (οἷον ἐκ τοῦ τριγώνιος) εὕρηται παρὰ τοῖς ἀρχαίοις· ἀλλ' ἴσως ἔῤῥωται ἡ λέξις, ὡς καὶ ἡ τετραγωνία (ἢ τετραγωνιά)· ὅθεν καὶ τὸ τετραγώνιον, καὶ ὁ τετραγωνιαῖος — στίχ. 21. «Ὠοθεσία» (ἀρχιτεκτ. γλυπτ.) διατύπωσις τορευμάτων ἐν μορφῇ μικρῶν ὠῶν ἀναγλύφων, ἢ ἐκ λίθων πολυτίμων προστιθεμένων, κατὰ συνεχῆ σύνθεσιν πρὸς καλλωπισμόν (παρ' Ἰωσήπ. «ὠῶν ἐκ λίθων θέσις» Ἀρχ. ιβ. 6. §. 9). Λείπει ἐκ τῶν λεξικῶν αὕτη ἡ σημασία τῆς ὠοθεσίας.

Σελ. 957. στίχ. 12. «Μαίανδρον» «Μαίανδρος κόσμος τις ὀροφικός» (Ἡσύχ.). «Μαίανδρον τὸ σκολιόν φησι κατασκεύασμα· εἴρηται δὲ ἀπὸ τῆς τοῦ Μαιάνδρου ποταμοῦ σκολιότητος· [ὃς] τοσοῦτον τὴν πορείαν ποιεῖ σκολιὰν, ὡς ἐκ τούτου πᾶν τὸ ἐν γλυφαῖς καὶ λοιποῖς κατασκευάσμασι σκολιὸν, μαίανδρον ἐπονομασθῆναι, καθά φησι Στράβων ἐν βιβλ. ιβ. (Σχόλ. ἀρχ. εἰς Ἰώσηπ. τόμ. α. σελ. 591, ἐκδ. Haverc.). — στίχ. 13. «Πυλιάδων». Ἀρχαῖον σφάλμα (ὅπερ ὁ Γαρβίτιος ὡς εἶδος ἐξέλαβε λίθου, lapides pyliades). Πιθανὸν ἡμῖν ἔδοξε τὸ πολυειδῶν (ὡς ἔχει καὶ Ἰώσηπος ἰδέας ποικίλης. Ἀρχαιολ. ΙΒ. 6.). Εἰ δ' οὖν, ἄλλοις παρείσθω τὸ πιθανώτερον εὑρεῖν, διορθώσασθαι δὲ καί τινας ἀνωμαλίας τῶν περὶ τῆς τραπέζης φράσεων τοῦ Ἀριστεανοῦ κειμένου, πρὸς ἃς τὰ παρ' Ἰωσήπῳ διαφωνοῦσι (Ἀρχ. ΙΒ. β. §. 9).

Σελ. 961. στίχ. 9. «Σύριγγας ἀναρίθμους»· ἴσως προσθετέον τὸ ἐχόντων. Περὶ τῶν συρίγγων τούτων καὶ τῆς πηγῆς διέλαβε καὶ Φίλων ὁ ἐποποιὸς παρ' Εὐσεβ. Εὐαγ. Προπ. Θ. σελ. 266.

Σελ. 962. στίχ. 19. Κώδωνες . . . παρ' ἑκάτερον κτλ. Γραπτέον πάντως παρ' ἕκαστον, κατὰ τὸ «κώδωνας χρυσοῦς . . . ἀναμέσον τῶν ῥοΐσκων· κώδων καὶ ῥοΐσκος» (Ἐξόδ. λς.). — στίχ. 23. κεκολλημένοι. Μεταμέλει μοι προβαλόντι τὸ δηλοῦσιν ὡς ἐκπεπτωκός· μᾶλλον ἴσως ἁρμόζει τὸ «καὶ γεγλυμμένοι τὰ τῶν» κτλ. κατὰ τὸ «λίθους γεγλυμμένους ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραήλ». Ἐξοδ. λς.

Σελ. 964. στίχ. 3. Καὶ φαινομένων διόδων... τὴν ὁδείαν. ἄγαν συντεταράχθαι δοκεῖ τὸ χωρίον· παρείσθω δὲ σοφωτέροις ἡ θεραπεία.

Σελ. 965. στίχ. 25. Ἑξακισχιλίων μυριάδων ἀρουρῶν κτλ. ταῦτα πρὶν ἐπιβῶσιν οἱ γειτνιῶντες· ὕστερον δὲ «Τριακοσίας μυριάδας σχεδὸν τῆς ἀρίστης καὶ παμφορωτάτης χώρας (Ἰουδαῖοι) ἐνέμοντο»(Ἑκαταῖος παρ' Ἰωσήπ. κ. Ἀπίων. Α. §. 22).

Σελ. 967 στίχ. 20 Διὰ τῆς ἀκροάσεως, . . . ἢ διὰ τῆς ἀναγνώσεως. Ἀκροώμενοι γὰρ τὸ πλῆθος τῶν ἤδη ἑλληνιζόντων ἰουδαίων ἐν ταῖς Συναγωγαῖς τὴν ἑλληνικὴν ἑρμηνείαν τοῦ νόμου, κατενόουν, καὶ συνετήρουν τὰ νόμιμα μᾶλλον, ἢ ἐκ τῆς ἁπλῆς ἀναγνώσεως τοῦ ἑβραϊκοῦ κειμένου, ὅπερ ἀνεγινώσκετο πρὸ τῆς ἑρμηνείας, τῶν Ο, ἀξύνετον αὐτοῖς ὂν, ὡς ἀπομαθοῦσι παντάπασι τὴν ἑβραϊκήν.

Σελ. 966. στιχ. 28. «Κατοίεσθαι». Τοῦτο καὶ παρὰ τοῖς Ο· «κατοιόμενος» (Ἀββακ. β, 5) «ὁ οἰήσει χρώμενος» (Θεοδώρ.); τουτ. ὁ μετ'

οἰήσεως καταφρονῶν τῶν ἄλλων, ὡς ἐπεξήγησεν Ἀριστέας «νομίζων (οἰόμενος) ἑτέρους ὑπερφρονεῖν (βλ. Ἡσύχ. Σουΐδ. Schleusn. Thes. V. Test. λ. κατοιόμενος).

Σελ. 973. στίχ. 12. «Γαλῆ διὰ τῶν ὤτων συλλαμβάνει». Τοῦτ' αὐτὸ ἀναγινώσκεται καὶ ἐν τῇ Βαρνάβα ἐπιστολῇ (Patr. Ap, vol. 1. p. 35. Cotel.). Ὁ δὲ μῦθος πάνυ ἀρχαῖος. «Καὶ γὰρ καὶ Ἀναξαγόρας, καὶ ἄλλοι τινὲς ἔλεγον κατὰ τὸ στόμα μίγνυσθαι τούς τε κόρακας, καὶ τὴν ἶβιν· καὶ τῶν τετραπόδων κατὰ τὸ στόμα τίκτειν τὴν γαλῆν» (Ἀριστοτ. Ζώων γενέσ. Γ. κεφ. ς). Ἀλλὰ καὶ τὰ τοιαῦτα τῆς φυσιολογίας μυθάρια, ὡς πᾶς καὶ ἄλλος μῦθος, εἰκονίζουσι πολλάκις ἀληθείας πραγματικάς. — στιχ. 18. Ἐμφανιστάς, καταμηνυτάς, καταγγελεῖς (συκοφάντας)· ἐκ τοῦ «ἐμφανίζειν τι κατά τινος· «ἐμφ. τὴν ἐπιβουλὴν τῷ βασιλεῖ» (Διόδ. Σικ. ιδ, 11).

Σελ. 974. στίχ. 12. Προσκυνήσας· βλ. Βιβλ. Α. σελ. 590. — στίχ. 19. Παρεῖμεν· γρ. παρῆμεν.

Σελ. 975. στιχ. 19. Κελεύσας εἰς τάξιν, κτλ. ἴσ. γρ. «τοῖς ἐν τάξει, ὡς καὶ παρ' Ἰωσήπῳ «τοῖς ἐπὶ τῆς τάξεως» (δηλ. τοῖς παρεστηκόσι ταξιάρχαις, ἢ ἀξιωματικοῖς τῆς φρουρᾶς· τοιοῦτο καὶ τὸ παρὰ Πλουτάρχῳ (περὶ παίδ. ἀγωγ.) Ἀρχιμάγειρος «ἐν τάξει ἀχθεὶς» (ἀναχθεὶς εἰς ἀξίωμα ταξιάρχου). βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 735.

Σελ. 977. στίχ. 10. «Ἠρώτησε». Τὸ ζητήματα, ἢ προβλήματα καὶ αἰνίγματα προβάλλεσθαι, ὑπῆρχεν ἔκπαλαι σύνηθες παρὰ τοῖς ἀρχαίοις Ἀσιανοῖς. Οὕτως ἡ Βασίλισσα Σαβὰ πρὸς τὸν Σολομῶντα (Β. Παραλ. θ), οἱ Αἰγύπτιοι (Πλούτ. Συμποσ.), οἱ Ἰνδοὶ (Κλήμ. Στρωμ. ς. σελ. 457), καὶ προὔβαλον καὶ μετέγραφον. — στίχ. 15. Βλιμάζων (ἁπλῶς ἀντὶ τοῦ ψηλαφᾷν, δοκιμάζειν, καὶ μεταχειρίζεσθαι (ὁ Λατ. tractare)· ἀλλ' ὕποπτος ἡ γραφή· καὶ ἴσ. γρ. δοκιμάζων.

Σελ. 978. στίχ. 28. «Θεὸς δὲ τελειοῖ τὰ πάντα». Τοιοῦτό τι καὶ τὸ Ὁμηρικὸν· «Θεὸς διὰ πάντα τελευτᾷ. Ἰλ. Τ. στίχ. 90.

Σελ. 979. στίχ. 11. Θεὸς τὴν εὐτυχίαν δίδωσιν, ὃν ἱκετεύειν». Τοιοῦτό τι καὶ τὸ Θεοκρίτου πρὸς τὸν αὐτὸν Φιλάδελφον· «Ἀρετὴν γέ μεν ἐκ Διὸς αἰτεῦ» Εἰδ. ιζ. στίχ. 137. πρβλ. καὶ Ὀδυσ. ν. 45.

Σελ. 985. στιχ. 14. Διάληψις = ὑπόληψις, γνώμη· καὶ (σελ. 986. στίχ. 8) τὸ διαλαμβάνω = ὑπολαμβάνω, ὑπονοῶ, καταλαμβάνω (οὕτω καὶ Ἰουδεὶθ η, 15: Β. Μακ. ε, 11. γ. 32. καὶ Πολύβ. γ, 6. 31).

Σελ. 993. στίχ. 4. Καταβέβλησαι· βλ. Βιβλ. Α. σελ. 234.

Σελ. 996. στίχ. 24. «Ἀπονιψάμενοι τὰς χεῖρας». (πρὸ τῆς προσευχῆς). Οὕτω καὶ Ἰουδεὶθ ιβ, 7, καὶ ζ, 3. (πρβλ. ψαλμ. κε, 6)· καὶ τοῦτο οὐκ ἦν ῥητῶς νενομοθετημένον, ἀλλ' ἐκ παραδόσεως τῶν ἀρχαίων· βλ. Grot. not. εἰς Μάρκ. ζ, 4. καὶ ὄπισθ. Βιβλ. Α. σελ. 631.

Σελ. 997. στίχ. 18. ἐκέλευσΑΝ διαράσασθαι». Αὕτη πάντως ἡ γνησία ἀνάγνωσις, καὶ οὐ τὸ ἑνικὸν ἐκέλευσεν, (ὅπερ ἀναφέρουσιν εἰς τὸν

Δημήτριον). Εἰ δ' οὕτως ἀνεγίνωσκον οἱ κριτικοί, οὐκ ἂν ἐδαπάνων τοσούτους λόγους, σκιαμαχοῦντες, ὅπως ἀποδείξωσι ψεύστην τὸν Ἀριστέαν, ὡς εἰσάγοντα τὸν Ἕλληνα Δημήτριον διαράσασθαι κελεύοντα τοῖς Ἰουδαίοις, καὶ τ' ἄλλα, πρὸς ἃ διὰ μακρῶν ἐξ ἀνάγκης ἀπηντήσαμεν (Βιϐλ. Α. κεφ. ιη).

Σελ. 998. στίχ. 1 καὶ 7. Περὶ Θεοπόμπου καὶ Θεοδέκτου· ϐλ. Βιϐλ. Α. σελ. 585.

ΑΡΙΣΤΟΒΟΥΛΟΣ.

« Φανερὸν, ὅτι κατηκολούθησεν ὁ Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ· καὶ φανερός ἐστι περιειργασμένος ἕκαστα τῶν ἐν αὐτῇ λεγομένων. Διηρμήνευται (ἴσ. γρ. διηρμήνευτο) γὰρ πρὸ Δημητρίου τοῦ Φαληρέως δἰ ἑτέρων, πρὸ τῆς Ἀλεξάνδρου καὶ (ἴσ. γρ. κατὰ) Περσῶν ἐπικρατήσεως τά τε κατὰ τὴν ἐξαγωγὴν τὴν ἐξ Αἰγύπτου τῶν Ἑϐραίων, ἡμετέρων δὲ πολιτῶν, καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια, καὶ κράτησις τῆς χώρας, καὶ [ἡ] τῆς ὅλης νομοθεσίας ἐπεξήγησις. — Ἡ δ' ὅλη ἑρμηνεία τῶν διὰ τοῦ νόμου πάντων, [γέγονεν] ἐπὶ τοῦ προσαγορευθέντος Φιλαδέλφου ϐασιλέως, σοῦ δὲ προγόνου, προσενεγκαμένου μείζονα φιλοτιμίαν, Δημητρίου τοῦ Φαληρέως πραγματευσαμένου τὰ περὶ τούτων» (Ἀριστόϐ. παρ' Εὐσεϐ. Εὐαγ. Προπ. ΙΓ. σελ. 388. ϐλ. καὶ ὄπισθ. Βιϐλ. Β. σελ. 456).

ΦΙΛΩΝ.

Περὶ Μωσέως. Βιϐλ. ϐ'. τόμ. Β. σελ. 138 ἐκδ. Mangey.

Τὸ δὲ τῆς νομοθεσίας ἱεροπρεπὲς, ὡς οὐ παρ' Ἰουδαίοις μόνον, ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τεθαύμασται, δῆλον ἔκ τε τῶν εἰρημένων ἤδη, κἀκ τῶν μελλόντων λέγεσθαι. Τὸ παλαιὸν ἐγράφησαν οἱ νόμοι γλώσσῃ Χαλδαϊκῇ, καὶ μέχρι πολλοῦ διέμειναν ἐν ὁμοίῳ, τὴν διάλεκτον οὐ μεταϐάλλοντες, ἕως μήπω τὸ κάλλος εἰς τοὺς ἄλλους ἀνθρώπους ἀνέφηναν αὐτῶν. Ἐπεὶ δὲ ἐκ τῆς καθ' ἑκάστην ἡμέραν συνεχοῦς μελέτης καὶ ἀσκήσεως τῶν χρωμένων, αἴσθησις ἐγένετο καὶ ἑτέροις, καὶ τὸ κλέος ἐφοίτα πανταχόσε· (τὰ γὰρ καλὰ, κἂν φθόνῳ πρὸς ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπὶ καιρὸν

αὖθις ἀναλάμπει φύσεως εὐμενείᾳ)· δεινὸν ἡγησάμενοί τινες, εἰ οἱ νόμοι παρὰ τῷ ἡμίσει τμήματι τοῦ ἀνθρώπων γένους ἐξετασθήσονται, μόνῳ τῷ βαρβαρικῷ, τὸ δ' Ἑλληνικὸν εἰσάπαν ἀμοιρήσει, πρὸς ἑρμηνείαν τὴν τούτων ἐτράποντο. Τὸ δ' ἔργον, ἐπεὶ καὶ μέγα ἦν καὶ κοινωφελὲς, οὐκ ἰδιώταις, οὐδ' ἄρχουσιν, ὧν οὐ πολὺς ἀριθμὸς, ἀλλὰ βασιλεῦσι, καὶ βασιλέων ἀνετέθη τῷ δοκιμωτάτῳ. Πτολεμαῖος ὁ Φιλάδελφος ἐπικληθεὶς, τρίτος μὲν ἦν ἀπ' Ἀλεξάνδρου τοῦ τὴν Αἴγυπτον παραλαβόντος. Ἀρεταῖς δὲ τῶν ἐν ἡγεμονίᾳ πάντων, οὐχὶ τῶν καθ' αὑτὸν μόνον, ἀλλὰ καὶ τῶν πάλαι πώποτε γεγενημένων ἄριστος. Οὗ καὶ μέχρι νῦν τοσαύταις ὕστερον γενεαῖς ᾄδεται τὸ κλέος, πολλὰ δείγματα καὶ μνημεῖα τῆς μεγαλοφροσύνης κατὰ πόλεις καὶ χώρας ἀπολιπόντος, ὡς ἤδη καὶ ἐν παροιμίας εἴδει τὰς ὑπερόγκους φιλοτιμίας καὶ μεγάλας κατασκευὰς Φιλαδελφείους ἀπ' ἐκείνου καλεῖσθαι. Συνόλως μὲν οὖν ἡ τῶν Πτολεμαίων οἰκία διαφερόντως παρὰ τὰς ἄλλας βασιλείας ἤκμασεν, ἐν δὲ τοῖς Πτολεμαίοις ὁ Φιλάδελφος. Ὅσα γὰρ εἷς ἔδρασεν οὗτος ἐπαινετὰ, μόλις ἐκεῖνοι πάντες ἀθρόοι διεπράξαντο, γενόμενος καθάπερ ἐν ζώῳ τὸ ἡγεμονεῦον, κεφαλὴ τρόπον τινὰ τῶν βασιλέων. Ὁ δὲ τοιοῦτος ζῆλον καὶ πόθον λαβὼν τῆς νομοθεσίας ἡμῶν, εἰς ἑλλάδα γλῶτταν τὴν Χαλδαϊκὴν μεθαρμόζεσθαι διενοεῖτο· καὶ πρέσβεις εὐθὺς ἐξέπεμπε πρὸς τὸν τῆς Ἰουδαίας ἀρχιερέα καὶ βασιλέα, ὁ γὰρ αὐτὸς ἦν, τό,τε βούλημα δηλῶν, καὶ προτρέπων, ἀριστίνδην ἑλέσθαι τοὺς τὸν νόμον διερμηνεύσοντας. Ὁ δ', οἷα εἰκὸς, ἡσθεὶς, καὶ νομίσας, οὐκ ἄνευ θείας ἐπιφροσύνης περὶ τὸ τοιοῦτον ἔργον ἐσπουδακέναι τὸν βασιλέα, σκεψάμενος τοὺς παρ' αὐτῷ δοκιμωτάτους Ἑβραίων, οἳ πρὸς τῇ πατρίῳ καὶ τὴν ἑλληνικὴν ἐπεπαίδευντο παιδείαν, ἄσμενος ἀποστέλλει. Ὡς δ' ἧκον, ἐπὶ ξενίαν κληθέντες, λόγοις ἀστείοις καὶ σπουδαίοις τὸν ἑστιάτορα εὐώχουν ἀνθεστιῶντες· Ὁ μὲν γὰρ ἀπεπειρᾶτο τῆς ἑκάστου σοφίας, καινὰς, ἀλλ' οὐ τὰς ἐν ἔθει ζητήσεις προτείνων· οἱ δ' εὐστόχως καὶ εὐθυβόλως, οὐκ ἐπιτρέποντος μακρηγορεῖν τοῦ καιροῦ, καθάπερ ἀποφθεγγόμενοι, τὰ προταθέντα διελύοντο.

Δοκιμασθέντες δ' εὐθὺς ἤρξαντο τὰ τῆς καλῆς πρεσβείας ἐπιτελεῖν· καὶ λογισάμενοι παρ' αὐτοῖς, ὅσον εἴη τὸ πρᾶγμα θεσπισθέντας νόμους χρησμοῖς διερμηνεύειν, μήτ' ἀφελεῖν τι, μήτε προσθεῖναι, μήτε μεταθεῖναι δυναμένους, ἀλλὰ τὴν ἐξ ἀρχῆς ἰδέαν καὶ τὸν τύπον αὐτῶν διαφυλάττοντας, ἐσκόπουν τὸ καθαρώτατον τῶν περὶ τὸν τόπον χωρίων, ἔξω [τῆς] πόλεως· τὰ γὰρ ἐντὸς τείχους, ἅτε παντοδαπῶν πληρωθέντα ζώων διὰ νόσους καὶ τελευτὰς, καὶ τὰς ὑγιαινόντων οὐκ εὐαγεῖς πράξεις, ἦν ὕποπτα.

Νῆσος, ἡ Φάρος, πρόκειται τῆς Ἀλεξανδρείας, ἧς αὐχὴν ὑποταίνιος τέταται πρὸς τὴν πόλιν, περικλυζόμενος οὐκ ἀγχιβαθεῖ, τὰ δὲ πολλὰ τεναγώδει θαλάττῃ, ὡς καὶ τῆς τῶν κυμάτων φορᾶς τὸν πολὺν ἦχον καὶ πάταγον ἐκ πάνυ μακροῦ διαστήματος προεκλύεσθαι. Τοῦτον ἐξ ἁπάντων τῶν ἐν κύκλῳ κρίνοντες ἐπιτηδειότατον εἶναι τὸν τόπον ἐνησυχάσαι, καὶ ἐνηρεμῆσαι, καὶ μόνῃ τῇ ψυχῇ πρὸς μόνους ὁμιλῆσαι τοὺς νόμους, ἐνταυθὶ κατέμειναν. Καὶ τὰς ἱερὰς βίβλους λαβόντες, ἀνατείνουσιν ἅμ' αὐταῖς καὶ τὰς χεῖρας πρὸς τὸν οὐρανὸν, αἰτούμενοι τὸν Θεὸν μὴ διαμαρτεῖν τῆς προθέσεως. Ὁ δ' ἐπινεύει ταῖς εὐχαῖς, ἵνα τὸ πλεῖστον, ἢ καὶ τὸ σύμπαν γένος τῶν ἀνθρώπων ὠφεληθῇ, χρησόμενον εἰς ἐπανόρθωσιν βίου φιλοσόφοις καὶ παγκάλοις διατάγμασι. Καθίσαντες δὲ ἐν ἀποκρύφῳ, καὶ μηδενὸς παρόντος, ὅτι μὴ τῶν τῆς φύσεως μερῶν, γῆς, ὕδατος, ἀέρος, οὐρανοῦ, περὶ ὧν πρῶτον τῆς γενέσεως ἔμελλον ἱεροφαντήσειν· κοσμοποιΐα γὰρ ἡ τῶν νόμων ἐστὶν ἀρχή· καθάπερ ἐνθουσιῶντες προεφήτευον· οὐκ ἄλλα ἄλλοι, τὰ δ' αὐτὰ πάντες ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως ἑκάστοις ἀοράτως ἐνηχοῦντος. Καί τοι τίς οὐκ οἶδεν, ὅτι πᾶσα μὲν διάλεκτος, ἡ δ' ἑλληνικὴ διαφερόντως, ὀνομάτων πλουτεῖ, καὶ ταὐτὸν ἐνθύμημα οἷόν τε μεταφράζοντα καὶ παραφράζοντα σχηματίσαι πολλαχῶς, ἄλλοτε ἄλλας ἐφαρμόζοντα λέξεις; Ὅπερ ἐπὶ ταύτης τῆς νομοθεσίας οὔ φασι συμβῆναι· συνενεχθῆναι δ' εἰς ταὐτὸ κύρια κυρίοις ὀνόμασι, τὰ Ἑλληνικὰ τοῖς Χαλδαϊκοῖς, ἐναρμοσθέντα εὖ μάλα τοῖς δηλουμένοις πράγμασιν. Ὃν γὰρ τρόπον, οἶμαι, γεωμετρίας καὶ διαλε-

κτικῆς τὰ σημαινόμενα ποικιλίαν ἑρμηνείας οὐκ ἀνέχεται, μένει δὲ ἀμετάβλητος ἡ ἐξ ἀρχῆς τεθεῖσα, τὸν αὐτὸν, ὡς ἔοικε, τρόπον καὶ οὗτοι συντρέχοντα τοῖς πράγμασιν ὀνόματα ἐξεῦρον, ἅπερ δὴ μόνα, ἢ μάλιστα τρανώσειν ἔμελλεν ἐμφαντικῶς τὰ δηλούμενα. Σαφεστάτη δὲ τούτου πίστις. Ἐάν τε [γὰρ] Χαλδαῖοι τὴν ἑλληνικὴν γλῶτταν, ἐάν τε Ἕλληνες τὴν Χαλδαίων ἀναδιδαχθῶσι, καὶ ἀμφοτέραις ταῖς γραφαῖς ἐντύχωσι, τῇ τε Χαλδαϊκῇ καὶ τῇ διερμηνευθείσῃ καθάπερ ἀδελφὰς, μᾶλλον δ' ὡς μίαν καὶ τὴν αὐτὴν ἔν τε, τοῖς πράγμασι καὶ τοῖς ὀνόμασι τεθήπασι, καὶ προσκυνοῦσιν, οὐχ ἑρμηνεῖς ἐκείνους, ἀλλ' ἱεροφάντας καὶ προφήτας προσαγορεύοντες, οἷς ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰλικρινέσι τῷ Μωσέως καθαρωτάτῳ πνεύματι. Διὸ καὶ μέχρι νῦν ἀνὰ πᾶν ἔτος ἑορτὴ καὶ πανήγυρις ἄγεται κατὰ τὴν Φάρον νῆσον, είς ἣν οὐκ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ παμπληθεῖς ἕτεροι διαπλέουσι, τό,τε χωρίον σεμνύνοντες, ἐν ᾧ πρῶτον τὸ τῆς ἑρμηνείας ἐξέλαμψε, καὶ παλαιᾶς ἕνεκα εὐεργεσίας ἀεὶ νεαζούσης εὐχαριστήσοντες τῷ Θεῷ. Μετὰ δὲ τὰς εὐχὰς καὶ τὰς εὐχαριστίας, οἱ μὲν πηξάμενοι σκηνὰς ἐπὶ τοῦ αἰγιαλοῦ, οἱ δ' ἐπὶ τῆς αἰγιαλίτιδος ψάμμου κατακλίναντες (ἴσ. γρ. *κατακλιθέντες*) ἐν ὑπαίθρῳ, μετ' οἰκείων καὶ φιλων ἑστιῶνται, πολυτελεστέραν τῆς ἐν βασιλείοις κατασκευῆς τότε τὴν ἀκτὴν νομίζοντες. Οὕτω μὲν οἱ νόμοι ζηλωτοὶ καὶ περιμάχητοι πᾶσιν ἰδιώταις τε καὶ ἡγεμόσιν ἐπιδείκνυνται, καὶ ταῦτα ἐκ πολλῶν χρόνων τοῦ ἔθνους οὐκ εὐτυχοῦντος· τὰ δὲ τῶν μὴ ἐν ἀκμαῖς πέφυκέ πως ἐπισκιάζεσθαι. Εἰ δὲ γένοιτό τις ἀφορμὴ πρὸς τὸ λαμπρότερον, πόσην εἰκὸς ἐπίδοσιν γενήσεσθαι; Καταλιπόντας ἂν, οἶμαι, τὰ ἴδια, καὶ πολλὰ χαίρειν φράσαντας τοῖς πατρίοις ἑκάστους, μεταβαλεῖν ἐπὶ τὴν τούτων μόνην τιμήν. Εὐτυχίᾳ γὰρ τοῦ ἔθνους οἱ νόμοι συναναλάμψαντες, ἀμαυρώσουσι τοὺς ἄλλους, καθάπερ ἀνατείλας ἥλιος τοὺς ἀστέρας.

ΙΩΣΗΠΟΣ.

Εὗρον τοίνυν, ὅτι Πτολεμαίων μὲν ὁ δεύτερος μάλιστα δὴ βασιλεὺς (ἴσ. γρ. *βασιλέων*) περὶ παιδείαν καὶ βιβλίων συναγωγὴν σπου-

δάσας, ἐξαιρέτως ἐφιλοτιμήθη τὸν ἡμέτερον νόμον, καὶ τὴν κατ' αὐτὸν διάταξιν τῆς πολιτείας, εἰς τὴν ἑλλάδα φωνὴν μεταβαλεῖν· ὁ δὲ τῶν παρ' ἡμῖν ἀρχιερέων οὐδενὸς ἀρετῇ δεύτερος Ἐλεάζαρος, τῷ προειρημένῳ βασιλεῖ ταύτης ἀπολαῦσαι τῆς ὠφελείας οὐκ ἐφθόνησε. — Οὐδὲ γὰρ πᾶσαν ἐκεῖνος ἔφθη λαβεῖν τὴν ἀναγραφὴν, ἀλλ' αὐτὰ μόνα τὰ τοῦ νόμου παρέδοσαν οἱ πεμφθέντες ἐπὶ τὴν ἐξήγησιν εἰς τὴν Ἀλεξάνδρειαν». (Ἰουδαϊκ. Ἀρχαιολ. Βιβλ. Α. προοίμ. §. 3. Τόμ. α. σελ. 2 ἐκδ. Havercamp).

Ὁ αὐτὸς αὐτόθ. Βιβλ. ΙΒ. Κεφ. 6.

§. α. Βασιλεύσαντος δὲ Ἀλεξάνδρου ἔτη δώδεκα, καὶ μετ' αὐτὸν Πτολεμαίου τοῦ Σωτῆρος, τεσσαράκοντα, ἔπειτα τὴν βασιλείαν τῆς Αἰγύπτου παραλαβὼν ὁ Φιλάδελφος, καὶ κατασχὼν αὐτὴν ἐπ' ἔτη ἑνὸς δέοντος τεσσαράκοντα, τόν τε νόμον ἡρμήνευσε, καὶ τοὺς δουλεύοντας ἐν Αἰγύπτῳ τῶν Ἱεροσολυμιτῶν ἀπέλυσε τῆς δουλείας, ὄντας περὶ δώδεκα μυριάδας, ἐξ αἰτίας τοιαύτης. Δημήτριος ὁ Φαληρεὺς, ὃς ἦν ἐπὶ τῶν βιβλιοθηκῶν τοῦ βασιλέως, σπουδάζων, εἰ δυνατὸν εἴη, πάντα τὰ κατὰ τὴν οἰκουμένην συναγαγεῖν βιβλία, καὶ συνωνούμενος, εἴ τί που μόνον ἀκούσειε σπουδῆς ἄξιον, ἢ ἡδὺ τῇ τοῦ βασιλέως προαιρέσει, (μάλιστα γὰρ περὶ τὴν συλλογὴν τῶν βιβλίων εἶχε φιλοκάλως), συνηγωνίζετο. Ἐρομένου δὲ αὐτόν ποτε τοῦ Πτολεμαίου, «πόσας ἤδη μυριάδας ἔχοι συνειλεγμένας βιβλίων»; Τῶν μὲν ὑπαρχόντων, εἶπεν, εἶναι περὶ εἴκοσιν, ὀλίγου δὲ χρόνου εἰς πεντήκοντα συναθροίσειν· μεμηνῦσθαι δὲ ἔλεγεν αὐτῷ, πολλὰ εἶναι καὶ παρὰ τοῖς Ἰουδαίοις τῶν παρ' αὐτοῖς νομίμων συγγράμματα, σπουδῆς ἄξια καὶ τοῖς βασιλέως βιβλιοθήκης, ἃ τοῖς ἐκείνων χαρακτῆρσι καὶ τῇ διαλέκτῳ γεγραμμένα, πόνον αὐτοῖς οὐκ ὀλίγον παρέξειν εἰς τὴν ἑλληνικὴν μεταβαλλόμενα γλῶτταν. Δοκεῖ μὲν γὰρ εἶναι τῇ ἰδιότητι τῶν Σύρων γραμμάτων ἐμφερὴς ὁ χαρακτὴρ αὐτῶν, καὶ τὴν φωνὴν ὁμοίαν αὐτοῖς ἀπηχεῖν, ἰδιότροπον δὲ αὐτὴν εἶναι συμβέβηκεν. Οὐδὲν οὖν ἔλεγε κωλύειν καὶ ταῦτα μεταβαλόντα, (δύνασθαι γὰρ, τῆς εἰς ταῦτα χορηγίας εὐποροῦντα), ἔχειν ἐν τῇ βιβλιοθήκῃ καὶ τὰ

παρ' ἐκείνοις. Δόξας οὖν ὁ βασιλεὺς ἄριστα τὸν Δημήτριον φιλοτιμούμενον περὶ τοῦ πλήθους αὐτῷ τῶν βιβλίων ὑποτίθεσθαι, γράφει τῷ τῶν Ἰουδαίων ἀρχιερεῖ ταῦτα γίνεσθαι.

§. β. Ἀρισταῖος δέ τις, φίλος ὢν ἐν τοῖς μάλιστα τῷ βασιλεῖ, καὶ σπουδαζόμενος ὑπ' αὐτοῦ διὰ μετριότητα, πολλάκις μὲν καὶ πρότερον ἔγνω παρακαλέσαι τὸν βασιλέα, ὅπως ἀπολύσῃ τοὺς αἰχμαλώτους Ἰουδαίους, ὅσοι κατὰ τὴν βασιλείαν ἦσαν αὐτοῦ. Καιρὸν δ' ἐπιτήδειον εἶναι τοῦτον δοκιμάσας τῆς δεήσεως, πρώτοις περὶ τούτου διαλέγεται τοῖς ἄρχουσι τῶν σωματοφυλάκων, Σωσιβίῳ τῷ Ταραντίνῳ καὶ Ἀνδρέᾳ, συναγωνίσασθαι περὶ ὧν ἐντυγχάνειν μέλλει τῷ βασιλεῖ παρακαλῶν αὐτούς· προσλαβὼν οὖν καὶ τὴν τῶν προειρημένων γνώμην ὁ Ἀρισταῖος, προσελθὼν τῷ βασιλεῖ, λόγους πρὸς αὐτὸν τοιούτους ἐποιήσατο. «Οὐ χρὴ ἀπατωμένους ἡμᾶς, ὦ βασιλεῦ, περιορᾶν, ἀλλὰ τ' ἀληθὲς ἀπελέγχειν· Τοὺς γὰρ τῶν Ἰουδαίων νόμους οὐ μεταγράψαι μόνον, ἀλλὰ καὶ μεθερμηνεῦσαι διεγνωκότες εἰς τὸ σοὶ κεχαρισμένον, τίνι λόγῳ χρώμενοι, τοῦτο πράξαιμεν ἂν, πολλῶν Ἰουδαίων ἐν τῇ σῇ βασιλείᾳ δουλευόντων; οὓς, τῇ σαυτοῦ μεγαλοψυχίᾳ καὶ χρηστότητι ποιῶν ἀκολούθως, ἀπόλυσον τῆς ταλαιπωρίας, τὴν βασιλείαν σου διέποντος τοῦ θεμένου τοὺς νόμους αὐτοῖς Θεοῦ, καθὼς ἐμοὶ πολυπραγμονήσαντι μαθεῖν ὑπῆρξε. Τὸν γὰρ ἅπαντα συστησάμενον Θεὸν καὶ οὗτοι καὶ ἡμεῖς σεβόμεθα, Ζῆνα καλοῦντες αὐτὸν ἐτύμως, ἀπὸ τοῦ σύμπασιν ἐμφύειν τὸ ζῆν τὴν ἐπίκλησιν αὐτοῦ νοήσαντες. Ὅθεν εἰς τιμὴν τοῦ Θεοῦ, τοῖς ἐξαίρετον τὴν εἰς αὐτὸν θρησκείαν πεποιημένοις, ἀπόδος αὐτοῖς τὴν πατρίδα, καὶ τὸν ἐν αὐτῇ βίον ἀπειληφόσιν. Ἴσθι μέντοι γε, ὦ βασιλεῦ, ὡς οὔτε γένει προσήκων αὐτοῖς, οὔτε ὁμόφυλος αὐτῶν ὢν, ταῦτα περὶ αὐτῶν ἀξιῶ. Πάντων δὲ ἀνθρώπων δημιούργημα ὄντων τοῦ Θεοῦ, καὶ γινώσκων αὐτὸν ἡδόμενον τοῖς εὖ ποιοῦσιν, ἐπὶ τούτῳ καὶ σὲ παρακαλῶ.

§. γ. Ταῦτα εἰπόντος τοῦ Ἀρισταίου, ἀναβλέψας εἰς αὐτὸν ὁ βασιλεὺς ἱλαρῷ καὶ γεγηθότι τῷ προσώπῳ, «Πόσας, εἶπεν, ὑπο-

λαμβάνεις τῶν ἀπολυθησομένων ἔσεσθαι μυριάδας;» ὑποτυχόντος δὲ Ἀνδρέου, παρειστήκει γάρ, καὶ φήσαντος ὀλίγου πλείονας ἔσεσθαι τῶν δέκα μυριάδων· «Ἦ μικρὰν ἄρα ἡμᾶς, εἶπεν, Ἀρισταῖε, δωρεὰν αἰτεῖς». Σωσιβίου δὲ καὶ τῶν παρόντων φησάντων, ὡς ἄξιον αὐτὸν δεῖ τῆς αὐτοῦ μεγαλοψυχίας τῷ παρεσχηκότι τὴν βασιλείαν Θεῷ χαριστήριον ποιήσασθαι, διαχυθεὶς ὑπ' αὐτῶν, ἐκέλευσεν, ὅταν τοῖς στρατιώταις ἀποδιδῶσι τὸ μισθοφορικὸν, καὶ ὑπὲρ ἑκάστου τῶν παρ' αὐτοῖς αἰχμαλώτων καταβαλεῖν δραχμὰς *ἑκατὸν* εἴκοσι. Καὶ περὶ ὧν ἠξίουν, προθεῖναι γράμματα ὑπέσχετο, μεγαλοπρεπῶς τε ἔχοντα, καὶ τὴν Ἀριςαίου προαίρεσιν βεβαιοῦντα, καὶ πρὸ ταύτης τὴν τοῦ Θεοῦ βούλησιν, καθ' ἣν οὐ μόνον τοὺς ὑπὸ τοῦ πατρὸς ἀχθέντας αὐτοῦ καὶ τῆς ἐκείνου στρατιᾶς ἀπολύσειν ἔλεγεν, ἀλλὰ καὶ τοὺς προϋπάρχοντας ἐν τῇ βασιλείᾳ, καὶ εἴ τινες αὖθις ἐπεισήχθησαν. Πλειόνων δὲ ἢ τετρακοσίων ταλάντων τῆς ἀπολυτρώσεως (ἴσ. *τὴν ἀπολύτρωσιν*) γενήσεσθαι φαμένων, ταῦτά τε (ἴσ. γρ. *καὶ ταῦτα*) συνεχώρει· καὶ τὸ ἀντίγραφον τοῦ προστάγματος, εἰς δήλωσιν τῆς τοῦ βασιλέως μεγαλοφροσύνης, ἔγνωσαν διαφυλάξαι. Ἦν δὲ τοιοῦτο· «Ὅσοι τῶν συστρατευσαμένων ἡμῶν τῷ πατρὶ τήν τε Συρίαν καὶ Φοινίκην ἐπέδραμον, καὶ τὴν Ἰουδαίαν καταστρεψάμενοι, σώματα λαβόντες αἰχμάλωτα, διεκόμισαν εἴς τε τὰς πόλεις ἡμῶν καὶ τὴν χώραν, καὶ ταῦτα ἀπημπώλησαν, τούς τε πρὸ αὐτῶν ὄντας ἐν τῇ ἐμῇ βασιλείᾳ, καὶ εἴτινες νῦν εἰσήχθησαν, τούτους ἀπολυέτωσαν, οἱ παρ' αὐτοῖς ἔχοντες, ὑπὲρ ἑκάστου σώματος λαμβάνοντες δραχμὰς *ἑκατὸν* εἴκοσιν, οἱ μὲν στρατιῶται μετὰ καὶ τῶν ὀψωνίων, οἱ δὲ λοιποὶ ἀπὸ τῆς βασιλικῆς τραπέζης κομιζόμενοι τὰ λύτρα. Νομίζω γὰρ αὐτοὺς καὶ παρὰ τὴν τοῦ πατρὸς προαίρεσιν καὶ παρὰ τὸ δέον ᾐχμαλωτίσθαι, τὴν δὲ χώραν αὐτῶν διὰ τὴν στρατιωτικὴν αὐθαδίαν κεκακῶσθαι, καὶ διὰ τὴν εἰς Αἴγυπτον αὐτῶν μεταγωγὴν πολλὴν ὠφέλειαν ἐκ τούτου τοῖς στρατιώταις γεγονέναι. Τὸ δίκαιον οὖν σκοπῶν, καὶ τοὺς καταδυναστευομένους παρὰ τὸ προσῆκον ἐλεῶν, ἀπολύειν κελεύω τοὺς ἐν ταῖς οἰ-

κετίαις ὄντας Ἰουδαίους, τὸ προγεγραμμένον κομιζομένους ὑπὲρ αὐτῶν κεφάλαιον τοὺς κεκτημένους, καὶ μηδένα περὶ τούτων κακουργεῖν, ἀλλ᾽ ὑπακούειν τοῖς προστεταγμένοις. Βούλομαι δὲ τὰς ἀπογραφὰς, ἀφ᾽ ἧς ἐξεπέμφθησαν, ἐπὶ τρεῖς ἡμέρας ποιεῖσθαι πρὸς τοὺς ἐπ᾽ αὐτῷ ὑπάρχοντας, παραδεικνύντας αὐτοῖς καὶ τὰ σώματα. Τοῦτο γὰρ καὶ τοῖς ἐμαυτοῦ πράγμασιν ἡγοῦμαι συμφέρειν. Προσαγγελλέτω δὲ τοὺς ἀπειθήσαντας ὁ βουλόμενος, ὧν τὰς οὐσίας εἰς τὴν βασιλικὴν κτῆσιν ἀνενεχθῆναι βούλομαι». Τούτου δὲ τοῦ προστάγματος ἀναγνωσθέντος τῷ βασιλεῖ, καὶ τὰ μὲν ἄλλα ἔχοντος, μόνου δὲ λείποντος τοῦ περὶ τῶν πρότερον καὶ τῶν αὖθις εἰσηγμένων Ἰουδαίων μὴ διεστάλθαι [1], προσέθηκεν αὐτὸς μεγαλοφρόνως καὶ τὸ περὶ τούτων φιλάνθρωπον· καὶ τὴν τῶν διαφόρων δόσιν οὖσαν ἀθρόαν ἐκέλευσε τοῖς ὑπηρέταις τῶν πραγμάτων ἀπομερίσαι, καὶ τοῖς βασιλικοῖς τραπεζίταις. Γενομένου δὲ τούτου ταχέως, ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις τέλος εἰλήφει τὰ δοχθέντα τῷ βασιλεῖ, τάλαντα δὲ ὑπὲρ ἑξήκοντα καὶ τετρακόσια τῶν λύτρων ἐγένετο. Καὶ γὰρ ὑπὲρ τῶν νηπίων εἰσέπραττον οἱ δεσπόται τὰς εἴκοσι *καὶ ἑκατὸν* δραχμὰς, ὡς τοῦ βασιλέως καὶ ὑπὲρ τούτων διδόναι κελεύσαντος, ἐν τῷ προσγράψαι ὑπὲρ ἑκάστου σώματος λαμβάνειν τὸ προειρημένον.

§. δ. Ἐπειδὴ δὲ ταῦτα ἐγένετο κατὰ τὴν τοῦ βασιλέως βούλησιν μεγαλοπρεπῶς, ἐκέλευσε τὸν Δημήτριον ἐκδοῦναι καὶ τὸ περὶ τῆς τῶν Ἰουδαϊκῶν βιβλίων ἀναγραφῆς δόγμα. Οὐδὲν γὰρ εἰκῆ τοῖς βασιλεῦσι τούτοις ᾠκονόμητο, πάντα δὲ μετὰ πολλῆς ἐπιμελείας ἐπράττετο. Διὸ καὶ τὸ τῆς ἐκδόσεως ἀντίγραφον καὶ τὸ τῶν ἐπιστολῶν κατατέτακται, καὶ τὸ πλῆθος τῶν ἀπεσταλμένων ἀναθημάτων, καὶ τὸ ἐφ᾽ ἑκάστου κατασκευασθὲν, ὡς ἀκριβεστάτην εἶναι τὴν τοῦ τεχνίτου τοῖς ὁρῶσι μεγαλουργίαν, καὶ διὰ τὴν τῶν κατασκευασμάτων ἐξοχὴν, τὸν ἑκάστου δημιουργὸν εἶναι εὐθέως γνώριμον. Τῆς μέντοι γε ἐκδόσεως τὸ ἀντίγραφον ὑπῆρχε τοιοῦτο. «Βασιλεῖ μεγάλῳ παρὰ Δημητρίου. Προστάξαν-

---

[1] Παρὰ τῷ Ἀβερκ. διεστάωθαι· ὀρθῶς δ᾽ ἐν ἐκδ. Richter, Lips. 1826.

τός σου, ὦ βασιλεῦ, περί τε τῶν ἔτι λειπόντων εἰς ἀναπλήρωσιν τῆς βιβλιοθήκης συγγραμμάτων, ὅπως συναχθῇ, καὶ περὶ τῶν διαπεπτωκότων, ὅπως τῆς δεούσης ἐπιμελείας τύχῃ, πάσῃ κεχρημένος περὶ ταῦτα σπουδῇ, δηλῶ σοι τὰ τῆς Ἰουδαίων νομοθεσίας βιβλία λείπειν ἡμῖν σὺν ἑτέροις· χαρακτῆρσι γὰρ ἑβραϊκοῖς γεγραμμένα, καὶ φωνῇ τῇ ἐθνικῇ, ἐστιν ἡμῖν ἀσαφῆ. Συμβέβηκε δὲ αὐτὰ καὶ ἀμελέστερον, ἢ [ὡς] ἔχει, σεσημάνθαι, διὰ τὸ βασιλικῆς οὔπω τετυχηκέναι προνοίας. Ἔστι δὲ ἀναγκαῖον εἶναι καὶ ταῦτα παρὰ σοὶ διηκριβωμένα. Φιλοσοφωτέραν γὰρ καὶ ἀκέραιον τὴν νομοθεσίαν εἶναι συμβέβηκεν, ὡς ἂν οὖσαν Θεοῦ. Διὸ καὶ τοὺς ποιητὰς αὐτῆς καὶ συγγραφεῖς τῶν ἱστοριῶν οὐκ ἐπιμνησθῆναι, φησὶν Ἑκαταῖος ὁ Ἀβδηρίτης, οὐδὲ τῶν κατ᾽ αὐτὴν πολιτευσαμένων ἀνδρῶν, ὡς ἁγνῆς οὔσης, καὶ μὴ δέον αὐτὴν βεβήλοις στόμασι διασαφεῖσθαι. Ἐὰν οὖν σοι δοκῇ, βασιλεῦ, γράψεις τῷ τῶν Ἰουδαίων ἀρχιερεῖ, ὅπως ἀποστείλῃ τῶν πρεσβυτέρων ἓξ ἀφ᾽ ἑκάστης φυλῆς, τοὺς ἐμπειροτάτους τῶν νόμων, παρ᾽ ὧν τὸ τῶν βιβλίων σαφὲς καὶ σύμφωνον ἐκμαθόντες, καὶ τὸ κατὰ τὴν ἑρμηνείαν ἀκριβὲς λαβόντες τῶν πραγμάτων, ἀξίως ταῦτα τῆς σῆς προαιρέσεως συναγάγωμεν.»

§. ε. Τοιαύτης οὖν τῆς ἐκδόσεως γενομένης, ὁ βασιλεὺς ἐκέλευσεν Ἐλεαζάρῳ, τῷ ἀρχιερεῖ τῶν Ἰουδαίων, γραφῆναι περὶ τούτων, ἅμα καὶ τὴν ἄφεσιν τῶν δουλευόντων παρ᾽ αὐτοῖς Ἰουδαίων δηλοῦντας αὐτῷ. Καὶ πρὸς παρασκευὴν δὲ κρατήρων καὶ φιαλῶν καὶ σπονδείων ἔπεμψε χρυσοῦ μὲν ὁλκῆς τάλαντα πεντήκοντα, λίθων δὲ πολυτελῶν ἀσυλλόγιστόν τι πλῆθος. Προσέταξε δὲ καὶ τοὺς φύλακας τῶν κιβωτῶν, ἐν αἷς ἐτύγχανον οἱ λίθοι, τὴν ἐκλογὴν τοῖς τεχνίταις αὐτῶν, οὗπερ ἂν ἐθελήσωσιν εἴδους ἐπιτρέπειν. Διετάξατο δὲ καὶ νομίσματος εἰς θυσίας καὶ τὰς λοιπὰς χρείας πρὸς ἑκατὸν τάλαντα τῷ ἱερῷ δοθῆναι. Διηγήσομαι δὲ τὰ κατασκευάσματα, καὶ τὸν τρόπον τῆς δημιουργίας αὐτῶν, μετὰ τὸ προεκθέσθαι τὸ ἀντίγραφον τῆς ἐπιστολῆς τῆς γραφείσης Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ, ταύτην λαβόντι τὴν τιμὴν ἐξ αἰτίας

τοιαύτης. Τελευτήσαντος Ὀνίου τοῦ ἀρχιερέως, ὁ παῖς αὐτοῦ Σίμων γίνεται διάδοχος, ὁ καὶ Δίκαιος ἐπικληθεὶς, διά τε τὸ πρὸς τὸν Θεὸν εὐσεβὲς, καὶ τὸ πρὸς τοὺς ὁμοφύλους εὔνουν. Ἀποθανόντος δὲ τούτου, καὶ νήπιον υἱὸν καταλιπόντος, τὸν κληθέντα Ὀνίαν, ὁ ἀδελφὸς αὐτοῦ Ἐλεάζαρος, περὶ οὗ τὸν λόγον ποιούμεθα, τὴν ἀρχιερωσύνην παρέλαβεν, ᾧ γράφει Πτολεμαῖος τοῦτον τὸν τρόπον. «Βασιλεὺς Πτολεμαῖος Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ χαίρειν. Πολλῶν ἐν τῇ ἐμῇ βασιλείᾳ κατῳκισμένων Ἰουδαίων, οὓς αἰχμαλωτισθέντας ὑπὸ Περσῶν, ὅτ᾽ ἐκράτουν, ὁ ἐμὸς πατὴρ ἐτίμησε, καὶ τοὺς μὲν εἰς τὰ στρατιωτικὰ κατέταξεν ἐπὶ μείζοσι μισθοφορίαις· τισὶ δὲ γενομένοις ἐν Αἰγύπτῳ σὺν αὐτῷ, τὰ φρούρια καὶ τὴν τούτων φυλακὴν παρέθετο, ἵνα τοῖς Αἰγυπτίοις ὦσι φοβεροί· τὴν ἀρχὴν ἐγὼ παραλαβὼν, πᾶσι μὲν φιλανθρώπως ἐχρησάμην, μάλιστα δὲ τοῖς σοῖς πολίταις, ὧν ὑπὲρ δέκα μὲν μυριάδας αἰχμαλώτων δουλευόντων ἀπέλυσα, τοῖς δεσπόταις αὐτῶν ἐκ τῶν ἐμῶν λύτρα καταβαλών. Τοὺς δὲ ἀκμάζοντας ταῖς ἡλικίαις εἰς τὸν ςρατιωτικὸν κατάλογον κατέταξα· τινὰς δὲ τῶν περὶ ἡμᾶς καὶ τῆς ἐμῆς αὐλῆς (ἴσ. γρ. *τὴν ἐμὴν αὐλὴν*) πιστῶν εἶναι δυναμένων, ταύτης ἠξίωκα, νομίζων ἡδὺ τῷ Θεῷ τῆς ὑπὲρ ἐμοῦ προνοίας ἀνάθημα τοῦτο καὶ μέγιςον ἀναθήσειν. Βουλόμενος δὲ καὶ τούτοις χαρίζεσθαι, καὶ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην Ἰουδαίοις, τὸν νόμον ὑμῶν ἔγνων μεθερμηνεῦσαι, καὶ γράμμασιν ἑλληνικοῖς ἐκ τῶν ἑβραϊκῶν μεταγραφέντα, κεῖσθαι ἐν τῇ ἐμῇ βιβλιοθήκῃ. Καλῶς οὖν ποιήσεις, [εἰ] ἐπιλεξάμενος ἄνδρας ἀγαθοὺς, ἓξ ἀφ᾽ ἑκάστης φυλῆς, ἤδη πρεσβυτέρους, πέμψας (γρ. *πέμψεις*), οἳ καὶ διὰ τὸν χρόνον ἐμπείρως ἔχουσι τῶν νόμων, καὶ δυνήσονται τὴν ἑρμηνείαν αὐτῶν ἀκριβῆ ποιήσασθαι. Νομίζω γὰρ, τούτων ἐπιτελεσθέντων, μεγίστην δόξαν ἡμῖν περιγενήσεσθαι. Ἀπέσταλκα δέ σοι περὶ τούτων διαλεξομένους Ἀνδρέαν τὸν ἀρχισωματοφύλακα, καὶ Ἀρισταῖον, ἐμοὶ τιμιωτάτους, δι᾽ ὧν καὶ ἀπαρχὰς ἀναθημάτων εἰς τὸ ἱερὸν, καὶ [ὑπὲρ] θυσιῶν, καὶ τῶν ἄλλων, ἀπέσταλκα τάλαντα ἀργυρίου ἑκατόν. Καὶ σὺ δὲ ἡμῖν ἐπιστέλλων, περὶ ὧν ἂν ἐθέλῃς, ποιήσεις κεχαρισμένα».

§. ς. Τῆς οὖν ἐπιστολῆς τοῦ βασιλέως κομισθείσης πρὸς Ἐλεάζαρον, ἀντιγράφει πρὸς αὐτὴν ὡς ἐνῆν μάλιστα φιλοτίμως. «Ἀρχιερεὺς Ἐλεάζαρος βασιλεῖ Πτολεμαίῳ χαίρειν. Ἐῤῥωμένων σοῦ τε καὶ τῆς βασιλίσσης Ἀρσινόης καὶ τῶν τέκνων, καλῶς ἡμῖν ἔχει πάντα. Τὴν δ' ἐπιστολὴν λαβόντες, μεγάλως ἥσθημεν ἐπὶ τῇ προαιρέσει σου· καὶ συναθροίσαντες τὸ πλῆθος, ἀνέγνωμεν αὐτὴν, ἐμφανίζοντες αὐτῷ ἣν ἔχεις πρὸς τὸν Θεὸν εὐσέβειαν. Ἐπεδείξαμεν δὲ αὐτῷ καὶ τὰς φιάλας, ἃς ἔπεμψας, χρυσᾶς εἴκοσι, καὶ ἀργυρᾶς τριάκοντα, καὶ κρατῆρας πέντε, καὶ τράπεζαν εἰς ἀνάθεσιν, ἅ τε (ἴσ. *ἔτι τε*) εἰς θυσίαν, καὶ εἰς ἐπισκευὴν ὧν ἂν δέηται τὸ ἱερὸν, τάλαντα ἑκατὸν, ἅπερ ἐκόμισαν Ἀνδρέας καὶ Ἀρισταῖος, οἱ τιμιώτατοί σου τῶν φίλων, ἄνδρες ἀγαθοὶ, καὶ παιδείᾳ διαφέροντες, καὶ τῆς σῆς ἀρετῆς ἄξιοι. Ἴσθι δὲ ἡμᾶς τὸ σοὶ συμφέρον, καὶ ἂν ᾖ τι παρὰ φύσιν, ὑπομενοῦντας. Ἀμείβεσθαι γάρ ἡμᾶς δεῖ τὰς σὰς εὐεργεσίας, πολυμερῶς εἰς τοὺς ἡμετέρους πολίτας κατατεθείσας. Εὐθὺς οὖν ὑπὲρ σοῦ, καὶ τῆς ἀδελφῆς σου, καὶ τῶν τέκνων, καὶ φίλων προσηγάγομεν θυσίας· καὶ τὸ πλῆθος εὐχὰς ἐποιήσαντο γενέσθαι σοι τὰ κατὰ νοῦν, καὶ φυλαχθῆναί σου τὴν βασιλείαν ἐν εἰρήνῃ, τήν τε τοῦ νόμου μεταγραφὴν, ἐπὶ συμφέροντι τῷ σῷ, λαβεῖν ὃ προαιρῇ τέλος. Ἐπελέξαμεν δὲ καὶ πρεσβυτέρους ἄνδρας, ἓξ ἀπὸ φυλῆς ἑκάστης, οὓς πεπόμφαμεν ἔχοντας τὸν νόμον. Ἔσται δὲ τῆς σῆς εὐσεβείας καὶ δικαιοσύνης τὸ μεταγραφέντα τὸν νόμον εἰς ἡμᾶς ἀποπέμψαι μετὰ ἀσφαλείας τῶν κομιζόντων. Ἔῤῥωσο.

§. ζ. Ταῦτα μὲν ὁ ἀρχιερεὺς ἀντέγραψεν. Ἐμοὶ δὲ οὐκ ἀναγκαῖον ἔδοξεν εἶναι τὰ ὀνόματα τῶν ἑβδομήκοντα πρεσβυτέρων, οἳ τὸν νόμον ἐκόμιζον ὑπὸ Ἐλεαζάρου πεμφθέντες, δηλοῦν· ἦν γὰρ ταῦτα ὑπογεγραμμένα ἐν τῇ ἐπιστολῇ. Τὴν μέντοι γε τῶν ἀναθημάτων πολυτέλειαν καὶ κατασκευὴν, ἣν ἀπέστειλεν ὁ βασιλεὺς τῷ Θεῷ, οὐκ ἀνεπιτήδειον ἡγησάμην διελθεῖν, ὅπως ἅπασιν ἡ τοῦ βασιλέως ἐπὶ τὸν Θεὸν φιλοτιμία φανερὰ γένηται. Ἄφθονον γὰρ τὴν εἰς ταῦτα δαπάνην χορηγῶν ὁ βασιλεὺς, καὶ παρὼν ἀεὶ τοῖς τεχνίταις, καὶ τὰ ἔργα ἐπιβλέπων, οὐδὲν ἀμελῶς οὐδὲ ῥαθύμως εἴα

γίνεσθαι τῶν κατασκευασμάτων. Ὧν ἑκάστου, ὡς οἷόν τε, τὴν πολυτέλειαν διηγήσομαι, τῆς μὲν ἱστορίας ἴσως οὐκ ἀπαιτούσης τὴν ἀπαγγελίαν, τὸ δὲ τοῦ βασιλέως φιλόκαλον καὶ μεγαλόφρον οὕτω συστήσειν τοῖς ἐντευξομένοις ὑπολαμβάνων.

§. η. Πρῶτον δὲ τὰ περὶ τῆς τραπέζης ἐκθήσομαι. Εἶχε μὲν οὖν δι' ἐννοίας ὁ βασιλεὺς ὑπερμεγεθέστατον τοῖς μέτροις ἀπεργάσασθαι τὸ κατασκεύασμα. Προσέταξε δὲ μαθεῖν τὸ μέγεθος τῆς ἀνακειμένης ἐν τοῖς Ἱεροσολύμοις τραπέζης, πόσον τέ ἐστιν, καὶ εἰ δύναται μεῖζον τούτου κατασκευασθῆναι. Μαθὼν δὲ καὶ τὴν οὖσαν, ἡλίκη τις ἦν, καὶ ὅτι αὐτῆς οὐδὲν κωλύει μείζονα γενέσθαι, φήσας [τε] καὶ πενταπλασίονα τῆς ὑπαρχούσης τῷ μεγέθει βούλεσθαι κατασκευάσαι, φοβεῖσθαι δὲ, μὴ πρὸς τὰς λειτουργίας ἄχρηστος διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους γένηται, βούλεσθαι γὰρ οὐκ ἀνακεῖσθαι μόνον εἰς θέαν τὰ ἀναθήματα, ἀλλὰ καὶ πρὸς τὰς λειτουργίας εὔχρηστα, καὶ διὰ τοῦτο λογισάμενος σύμμετρον κατεσκευάσθαι τὴν προτέραν τράπεζαν, ἀλλ' οὐ διὰ σπάνιν τοῦ χρυσοῦ, τῷ μεγέθει μὲν οὐκ ἔγνω τὴν προϋπάρχουσαν ὑπερβαλεῖν, τῇ δὲ ποικιλίᾳ καὶ τῷ κάλλει τῆς ὕλης ἀξιολογωτέραν κατασκευάσαι. Δεινὸς δὲ ὢν κατιδεῖν πραγμάτων παντοδαπῶν φύσιν, καὶ λαβεῖν ἐπίνοιαν ἔργων καινῶν καὶ παραδόξων, καὶ ὅσα ἦν ἄγραφα, τὴν εὕρεσιν αὐτὸς παρέχων διὰ τὴν σύνεσιν, καὶ ὑποδεικνὺς τοῖς τεχνίταις, ἐκέλευσε ταῦτα κατασκευάζεσθαι, καὶ τὰ ἀναγεγραμμένα πρὸς τὴν ἀκρίβειαν αὐτῶν ἀποβλέποντας ὁμοίως ἐπιτελεῖν.

§. θ. Ὑποσχησάμενοι τοίνυν ποιήσασθαι τὴν τράπεζαν, δύο μὲν *καὶ ἡμίσους* πηχῶν τὸ μῆκος, ἑνὸς δὲ τὸ εὖρος, τὸ δὲ ὕψος ἑνὸς καὶ ἡμίσους [κατεσκεύαζον], ἐκ χρυσοῦ τὴν ὅλην κατασκευὴν τοῦ ἔργου ποιούμενοι. Τὴν μὲν οὖν στεφάνην παλαιστιαίαν εἰργάσαντο, τὰ δὲ κυμάτια στρεπτὰ, τὴν ἀναγλυφὴν ἔχοντα σχοινοειδῆ, τῇ τορείᾳ θαυμαστῶς ἐκ τῶν τριῶν μερῶν μεμιμημένην· Τριγώνων γὰρ ὄντων αὐτῶν, ἑκάστη γωνία τὴν αὐτὴν τῆς ἐκτυπώσεως εἶχε διάθεσιν, ὡς στρεφομένων αὐτῶν, μίαν καὶ μὴ διάφορον τὴν ἰδέαν

αὐτοῖς συμπεριφέρεσθαι. Τῆς δὲ στεφάνης τὸ μὲν ὑπὸ τὴν τράπεζαν ἐγκεκλεισμένον ὡραίαν εἶχε τὴν διατύπωσιν, τὸ δ' ἔξωθεν περιηγμένον ἔτι μᾶλλον τῷ κάλλει τῆς ἐργασίας ἦν ἐκπεπονημένον, ὡς ὑπ' ὄψιν καὶ θεωρίαν ἐρχόμενον. Διὸ καὶ τὴν μὲν ὑπεροχὴν ἀμφοτέρων τῶν μερῶν ὀξεῖαν συνέβαινε γίνεσθαι, καὶ μηδεμίαν γωνίαν, τριῶν οὐσῶν, ὡς προειρήκαμεν, περὶ τὴν μεταγωγὴν τῆς τραπέζης ἐλάττονα βλέπεσθαι. Ἐνδιέκειντο δὲ ταῖς σχοινίσι τῆς τορείας λίθοι πολυτελεῖς παράλληλοι, περόναις χρυσαῖς διὰ τρημάτων κατειλημμένοι. Τὰ δὲ ἐκ πλαγίου τῆς στεφάνης καὶ ὑπ' ὄψιν ἀνατείνοντα, ὠῶν ἐκ λίθου καλλίστου πεποιημένων θέσει κατακεκόσμητο, ῥάβδοις τὴν ἀναγλυφὴν ἐοικότων πυκναῖς, αἳ περὶ τὸν κύκλον τῆς τραπέζης εἴληντο. Ὑπὸ δὲ τὴν τῶν ὠῶν διατύπωσιν ϛέφανον περιήγαγον οἱ τεχνῖται, παντοίου καρποῦ φύσιν έντετορευμένον, ὡς ἀποκρέμασθαί τε ϐότρυς, καὶ ϛάχυς ἀναστῆναι (ἴσ. γρ. *ἀνατείνειν*), καὶ ῥοὰς ἀποκεκλεῖσθαι (ἴσ. *ἀποκεκλίσθαι*). Τοὺς δὲ λίθους εἰς πᾶν γένος τῶν προειρημένων καρπῶν, ὡς ἑκάϛῳ τὴν οἰκείαν ἐντετυπῶσθαι χρόαν, ἐξεργασάμενοι, συνέδησαν τῷ χρυσῷ περὶ ὅλην τὴν τράπεζαν. Ὑπὸ δὲ τὸν στέφανον ὁμοίως ἡ τῶν ὠῶν διάθεσις πεποίητο, καὶ ἡ τῆς ῥαϐδώσεως ἀναγλυφὴ, τῆς τραπέζης ὡς ἐπ' ἀμφότερον μέρος ἔχειν τὴν αὐτὴν τῆς ποικιλίας τῶν ἔργων καὶ γλαφυρότητος θέαν κατεσκευασμένην, ὡς καὶ τὴν τῶν κυμάτων θέσιν, καὶ τὴν τῆς στεφάνης· μηδὲ τῆς τραπέζης ἐφ' ἕτερον μέρος ἐναλλαττομένης, γίνεσθαι διάφορον, τὴν δ' αὐτὴν ἄχρι καὶ τῶν ποδῶν ὄψιν τῆς ἐπιτεχνήσεως διατετάσθαι. Ἔλασμα γὰρ χρυσοῦ, τὸ πλάτος τεσσάρων δακτύλων, ποιήσαντες καθ' ὅλου τοῦ τῆς τραπέζης πλάτους, εἰς τοῦτο τοὺς πόδας αὐτῆς ἀνέθεσαν· ἔπειτα περόναις καὶ κατακλείσεσιν αὐτοὺς ἐνέσφιγγον τῇ τραπέζῃ κατὰ τὴν στεφάνην, ἵνα τὴν θέαν τῆς καινουργίας καὶ πολυτελείας, ἐφ' ᾧ τις ἂν στήσῃ τὴν τράπεζαν μέρει, παρέχωσι τὴν αὐτήν. Ἐπὶ δὲ τῆς τραπέζης μαίανδρον ἐξέγλυψαν, λίθους αὐτῷ κατὰ μέσον ἀξιολόγους, ὥπερ ἀστέρας, ποικίλης ἰδέας ἐνθέντες, τόν τε ἄνθρακα καὶ τὸν σμάραγδον, ἥδιστον προσαυγάζοντας αὐ-

τῶν ἑκάτερον τοῖς ὁρῶσι, τῶν τε ἄλλων γενῶν, ὅσοι περισπούδαστοι καὶ ζηλωτοὶ πᾶσι διὰ τὴν πολυτέλειαν τῆς φύσεως ὑπάρχουσι. Μετὰ δὲ τὸν μαίανδρον πλέγμα τι σχοινοειδὲς περιῆκτο, ῥόμβῳ τὴν κατὰ μέσον ὄψιν ἐμφερὲς, ἐφ' οὗ κρύσταλλός τε λίθος καὶ ἤλεκτρον ἐντετύπωτο, τῇ παραλλήλῳ τῆς ἰδέας γειτνιάσει ψυχαγωγίαν θαυμαστὴν παρέχον τοῖς βλέπουσι. Τῶν δὲ ποδῶν ἦσαν αἱ κεφαλίδες εἰς κρίνα μεμιμημέναι, τὰς ἐκφύσεις τῶν πετάλων ὑπὸ τὴν τράπεζαν ἀνακλωμένων, εἰς ὀρθὸν δὲ τὴν βλάστησιν ἔνδοθεν παρεχόντων ὁρᾶν. Ἡ δὲ βάσις αὐτοῖς ἦν ἐξ ἄνθρακος λίθου παλαιστιαία πεποιημένη, σχῆμα κρηπῖδος ἀποτελοῦσα, τὸ δὲ πλάτος ὀκτὼ δακτύλων ἔχουσα, καθ' οὗ τὸ πᾶν ἔλασμα τῶν ποδῶν ἐρήρειστο. Ἀνέγλυψαν δὲ λεπτομερεῖ καὶ φιλοπόνῳ τῇ τορείᾳ τῶν ποδῶν ἕκαστον, κισσὸν αὐτοῖς καὶ κλήματα ἀμπέλων σὺν βότρυσιν ἐκφύσαντες, ὡς εἰκάσαι μηδὲν ἀποδεῖν τῆς ἀληθείας. Καὶ γὰρ πρὸς τὸ πνεῦμα διὰ λεπτότητα καὶ τὴν ἐπ' ἄκρον αὐτῶν ἔκτασιν κινούμενα, φαντασίαν τῶν κατὰ φύσιν μᾶλλον, ἢ τέχνης μιμημάτων παρεῖχεν. Ἐκαινούργησαν δὲ, ὥστε τρίπτυχον οἱονεὶ τὸ σχῆμα τῆς ὅλης κατασκευάσαι τραπέζης, τῆς ἁρμονίας πρὸς ἄλληλα τῶν μερῶν οὕτω συνδεδεμένης, ὡς ἀόρατον εἶναι, καὶ μηδ' ἐπινοεῖσθαι τὰς συμβολάς. Ἥμισυ δὲ πήχεως οὐκ ἔλαττον τῇ τραπέζῃ τὸ πάχος συνέβαινεν εἶναι. Τὸ μὲν οὖν ἀνάθημα τοῦτο κατὰ πολλὴν τοῦ βασιλέως φιλοτιμίαν τοιοῦτο, τῇ τε πολυτελείᾳ τῆς ὕλης, καὶ τῇ ποικιλίᾳ τῆς καλλονῆς, καὶ τῇ μιμήσει τῇ κατὰ τὴν τορείαν τῶν τεχνιτῶν συνετελέσθη, σπουδάσαντος, εἰ καὶ μὴ τῷ μεγέθει τῆς προανακειμένης τῷ Θεῷ τραπέζης ἔμελλεν ἔσεσθαι διάφορος, τῇ μέντοι γε τέχνῃ καὶ τῇ καινουργίᾳ καὶ τῇ λαμπρότητι τῆς κατασκευῆς πολὺ κρείττονα καὶ περίβλεπτον ἀπεργάσασθαι.

§. ι. Τῶν δὲ κρατήρων χρύσεοι μὲν ἦσαν δύο, φολιδωτὴν δὲ εἶχον ἀπὸ τῆς βάσεως μέχρι τοῦ διαζώσματος τὴν τορείαν, λίθων ταῖς σπείραις ποικίλων ἐνδεδεμένων. Εἶτα ἐπ' αὐτῇ μαίανδρος, πηχυαῖος τὸ ὕψος, ἐξείργαστο, κατὰ σύνθεσιν λίθων παντοίων τὴν

ἰδέαν· κατ' αὐτοῦ δὲ ῥάβδωσις ἀνεγέγλυπτο, καθ' ἧς πλέγμα ῥομβωτὸν δικτύοις ἐμφερὲς ἕως τοῦ χείλους ἀνείλκυστο. Τὰ δὲ μέσα λίθων ἀσπίδια τετραδακτύλων ἀνεπλήρου τὸ κάλλος. Περιεστέφετο δὲ τὰ χείλη τοῦ κρατῆρος κρίνων σμίλαξι καὶ ἀνθεμίσι, καὶ βοτρύων σχοινίαις εἰς κύκλον περιηγμέναις. Τοὺς μὲν οὖν χρυσέους κρατῆρας, δύο χωροῦντας ἑκάτερον ἀμφορέας, τοῦτον κατεσκεύασαν τὸν τρόπον. Οἱ δ' ἀργύρεοι τῶν ἐσόπτρων τὴν λαμπρότητα πολὺ διαυγέστεροι γεγόνεισαν, ὡς τρανωτέρας διὰ τούτων τὰς τῶν προσφερομένων ὄψεις ὁρᾶσθαι. Προσκατεσκεύασε δὲ τούτοις ὁ βασιλεὺς καὶ φιάλας τριάκοντα, ὧν ὅσα χρυσὸς ἦν, ἀλλὰ μὴ λίθῳ πολυτελεῖ διείληπτο, σμίλαξι κισσοῦ καὶ πετάλοις ἀμπέλων ἐσκίαστο, φιλοτέχνως ἐντετορευμένων. Ταῦτα δὲ ἐγίνετο μὲν καὶ διὰ τὴν ἐμπειρίαν τῶν ἐργαζομένων, θαυμασίων ὄντων περὶ τὴν τέχνην, πολὺ δὲ μᾶλλον ὑπὸ τῆς τοῦ βασιλέως σπουδῆς καὶ φιλοτιμίας διαφερόντως ἀπηρτίζετο. Οὐ γὰρ τῆς χορηγίας τὸ ἄφθονον καὶ μεγαλόψυχον τοῖς τεχνίταις παρεῖχε μόνον, ἀλλὰ καὶ τὸ χρηματίζειν τοῖς δημοσίοις πράγμασιν ἀπειρηκὼς, αὐτὸς τοῖς κατασκευάζουσι παρῆν, καὶ τὴν ὅλην ἐργασίαν ἐπέβλεπεν. Αἴτιον δὲ ἦν τοῦτο τῆς τῶν τεχνιτῶν ἐπιμελείας, οἳ πρὸς τὸν βασιλέα καὶ τὴν τούτου σπουδὴν ἀποβλέποντες, φιλοπονώτερον τοῖς ἔργοις προσελιπάρουν.

§. ια. Ταῦτα μὲν τὰ πεμφθέντα εἰς Ἱεροσόλυμα ὑπὸ Πτολεμαίου ἀναθήματα. Ὁ δὲ ἀρχιερεὺς Ἐλεάζαρος ἀναθεὶς αὐτὰ, καὶ τιμήσας τοὺς κομίσαντας, καὶ δῶρα δοὺς τῷ βασιλεῖ κομίζειν, ἀπέλυσε πρὸς τὸν βασιλέα. Παραγενομένων δὲ εἰς τὴν Ἀλεξάνδρειαν, ἀκούσας Πτολεμαῖος τὴν παρουσίαν αὐτῶν, καὶ τοὺς ἑβδομήκοντα τῶν πρεσβυτέρων ἐληλυθότας, εὐθὺς μεταπέμπεται τὸν Ἀνδρέαν καὶ τὸν Ἀρισταῖον, τοὺς πρέσβεις. Οἱ δὲ ἀφικόμενοι, τάς τε ἐπιστολὰς, ἃς ἐκόμιζον αὐτῷ παρὰ τοῦ ἀρχιερέως, ἀπέδοσαν, καὶ ὅσα φράζειν ἀπὸ λόγων ἐπύθετο, (ἴσ. γρ. *ἐπέθετο*), ταῦτα ἐδήλωσαν. Σπεύδων δ' ἐντυχεῖν τοῖς ἀπὸ τῶν Ἱεροσολύμων ἥκουσι πρεσβυτέροις ἐπὶ τὴν ἑρμηνείαν τῶν νόμων, τοὺς μὲν ἄλλους, οὓς χρειῶν ἕνεκα παρεῖ-

ναι συνέβαινεν, ἐκέλευσεν ἀπολῦσαι, παράδοξον τοῦτο ποιῶν καὶ παρὰ τὸ ἔθος. Οἱ μὲν γὰρ ὑπὸ τοιούτων αἰτιῶν ἀχθέντες, διὰ πέμπτης ἡμέρας αὐτῷ προσήεσαν· οἱ δὲ πρεσβεύοντες, διὰ μηνός· Τότε τοίνυν ἀπολύσας ἐκείνους, τοὺς πεμφθέντας ὑπὸ Ἐλεαζάρου περιέμενεν. Ὡς δὲ παρῆλθον μετὰ καὶ τῶν δώρων οἱ γέροντες, ἃ τῷ βασιλεῖ κομίσαι ὁ ἀρχιερεὺς αὐτοῖς ἔδωκε, καὶ τῶν διφθερῶν, αἷς ἐγγεγραμμένους εἶχον τοὺς νόμους χρυσοῖς γράμμασιν, ἐπηρώτησεν αὐτοὺς περὶ τῶν βιβλίων. Ὡς δ' ἀποκαλύψαντες τῶν ἐνειλημάτων ἐπέδειξαν αὐτῷ, θαυμάσας ὁ βασιλεὺς τῆς ἰσχνότητος τοὺς ὑμένας, καὶ τῆς συμβολῆς τὸ ἀνεπίγνωστον, οὕτω γὰρ ἥρμοστο, καὶ τοῦτο ποιήσας χρόνῳ πλείονι, χάριν εἶπεν ἔχειν αὐτοῖς τε ἐλθοῦσι, καὶ μείζονα τῷ πέμψαντι, πρὸ δὲ πάντων τῷ Θεῷ, οὗ τοὺς νόμους εἶναι συμβέβηκεν. Ἐκβοησάντων δὲ ὑφ' ἓν καὶ τῶν πρεσβυτέρων, καὶ τῶν συμπαρόντων γίνεσθαι τὰ ἀγαθὰ τῷ βασιλεῖ, δι' ὑπερβολὴν ἡδονῆς εἰς δάκρυα προὔπεσε, φύσει τῆς μεγάλης χαρᾶς πασχούσης καὶ τὰ τῶν λυπηρῶν σύμβολα. Κελεύσας δὲ τὰ βιβλία δοῦναι τοῖς ἐπὶ τῆς τάξεως, τότε τοὺς ἄνδρας ἠσπάσατο, δίκαιον εἰπὼν εἶναι πρῶτον περὶ ὧν αὐτοὺς μετεπέμψατο ποιησάμενον τοὺς λόγους, ἔπειτα καὶ ἐκείνους προσειπεῖν· Τὴν μέντοι γε ἡμέραν καθ' ἣν ἦλθον πρὸς αὐτὸν, ἐπιφανῆ ποιήσειν, καὶ κατὰ πᾶν ἔτος ἐπίσημον εἰς ὅλον τὸν τῆς ζωῆς χρόνον ἐπηγγέλλετο. Ἔτυχε γὰρ ἡ αὐτὴ εἶναι τῆς παρουσίας αὐτῶν καὶ τῆς νίκης, ἣν Ἀντίγονον ναυμαχῶν ἐνίκησε. Συνεστιαθῆναί τε αὐτῷ αὐτοὺς ἐκέλευσε, καὶ καταλύσεις αὐτοῖς προσέταξε δοθῆναι τὰς καλλίστας πρὸς τῇ ἄκρᾳ.

§. ιϐ. Ὁ δὲ ἐπὶ τῆς τῶν ξένων ἀποδοχῆς τεταγμένος Νικάνωρ Δωρόθεον καλέσας, ὃς εἶχε τὴν περὶ τούτων πρόνοιαν, ἐκέλευσεν ἑτοιμάζειν ἑκάστῳ τὰ δέοντα πρὸς τὴν δίαιταν. Διετέτακτο δὲ τοῦτον ὑπὸ τοῦ βασιλέως τὸν τρόπον. Κατὰ γὰρ πόλιν ἑκάστην, ὅσαι οὐ τοῖς αὐτοῖς χρῶνται περὶ τὴν δίαιταν, ἦν τούτων ἐπιμελόμενος· καὶ κατὰ τὸ τῶν ἀφικνουμένων πρὸς αὐτὸν ἔθος, πάντ' αὐτοῖς παρεσκευάζετο, ἵνα τῷ συνήθει τρόπῳ τῆς διαίτης εὐω-

χούμενοι, μᾶλλον ἥδωνται, καὶ πρὸς μηδὲν ὡς ἀλλοτρίως ἔχον δυσχεραίνωσιν. Ὃ δὴ καὶ περὶ τούτους ἐγένετο, Δωροθέου διὰ τὴν περὶ τὸν βίον ἀκρίβειαν ἐπὶ τούτοις καθεστῶτος. Συνέστρωσε δὲ πάντα δι' αὐτοῦ τὰ πρὸς τὰς τοιαύτας ὑποδοχὰς, καὶ διμερῆ τὴν κλισίαν ἐποίησεν, οὕτω προστάξαντος τοῦ βασιλέως. Τοὺς μὲν γὰρ ἡμίσεις ἐκέλευσεν ἀνὰ χεῖρα κατακλιθῆναι, τοὺς δὲ λοιποὺς, μετὰ τὴν αὐτοῦ κλισίαν, οὐδὲν ἀπολιπὼν τῆς εἰς τοὺς ἄνδρας τιμῆς. Ἐπεὶ δὲ οὕτω κατεκλίθησαν, ἐκέλευσε τὸν Δωρόθεον, οἷς ἔθεσι χρώμενοι διατελοῦσι πάντες οἱ ἀπὸ τῆς Ἰουδαίας πρὸς αὐτὸν ἀφιγμένοι, κατὰ ταῦτα ὑπηρετεῖν. Διὸ καὶ τοὺς ἱεροκήρυκας, καὶ θύτας, καὶ τοὺς ἄλλους, οἳ τὰς κατευχὰς ἐποιοῦντο, παρῃτήσατο. Τῶν δὲ παραγενομένων ἕνα, Ἐλισσαῖον ὄνομα, ὄντα ἱερέα, παρεκάλεσεν ὁ βασιλεὺς ποιήσασθαι κατευχάς. Ὃ δὲ στὰς εἰς μέσον, ηὔχετο τῷ βασιλεῖ τὰ ἀγαθὰ καὶ τοῖς ἀρχομένοις ὑπ' αὐτοῦ. Εἶτα κρότος ἐξ ἁπάντων μετὰ χαρᾶς καὶ βοῆς ἤρθη· καὶ παυσάμενοι, πρὸς εὐωχίαν καὶ τὴν ἀπόλαυσιν τῶν παρεσκευασμένων ἐτράπησαν. Διαλιπὼν δὲ ὁ βασιλεὺς ἐφ' ὅσον ἔδοξεν ἀποχρῶντα καιρὸν εἶναι, φιλοσοφεῖν ἤρξατο, καὶ ἕκαστον αὐτῶν λόγους ἐπηρώτα φυσικοὺς, καὶ πρὸς τὴν τῶν ζητουμένων θεωρίαν. Ἀκριβῶς δ' ἐκείνων περὶ παντὸς οὑτινοσοῦν, ὃ λέγειν αὐτοῖς προβληθείη, διασαφούντων, ἡδόμενος, τοιοῦτον ἐφ' ἡμέρας δώδεκα[1] συμπόσιον ἐποιήσατο, ὡς τῷ βουλομένῳ τὰ κατὰ μέρος γνῶναι τῶν ἐν τῷ συμποσίῳ ζητηθέντων εἶναι μαθεῖν, ἀναγνόντι τὸ Ἀρισταίου βιβλίον, ὃ συνέγραψε διὰ ταῦτα.

§. ιγ. Θαυμάζοντος δ' αὐτοὺς, οὐ μόνον τοῦ βασιλέως, ἀλλὰ καὶ Μενεδήμου τοῦ φιλοσόφου, προνοίᾳ διοικεῖσθαι πάντα φήσαντος, καὶ διὰ τοῦτ' εἰκὸς καὶ τοῦ λόγου δύναμιν καὶ κάλλος εὑρῆσθαι, παύονται μὲν περὶ τούτων ἐπιζητοῦντες. Γεγενῆσθαι δὲ αὐτῷ τὰ μέγιστα τῶν ἀγαθῶν ὁ βασιλεὺς ἔλεγεν, ἤδη παρόντων αὐτῶν· ὠφελῆσθαι γὰρ παρ' αὐτῶν, μεμαθηκότα, πῶς δεῖ βασιλεύειν. κελεύει τε αὐτοῖς ἀνὰ τρία δοθῆναι τάλαντα, καὶ τοὺς

[1] Ἑπτὰ, παρ' Ἀριστέᾳ (§. λϐ.).

ἀποκαταστήσοντας ἐπὶ τὴν κατάλυσιν. Διελθουσῶν δὲ τριῶν ἡμερῶν, παραλαβὼν αὐτοὺς ὁ Δημήτριος, καὶ διελθὼν τὸ ἑπταστάδιον χῶμα τῆς θαλάσσης πρὸς τὴν νῆσον, καὶ διαβὰς *πρὸς* τὴν γέφυραν, προελθὼν ἐπὶ τὰ βόρεια μέρη, συνέδριον ἐποιήσατο ἐν τῷ παρὰ τὴν ἠϊόνα κατεσκευασμένῳ οἴκῳ, πρὸς διάσκεψιν πραγμάτων ἠρεμίας καλῶς ἔχοντι. Ἀγαγὼν οὖν αὐτοὺς ἐκεῖ, παρεκάλει, πάντων, ὧν ἂν δεηθεῖεν εἰς τὴν ἑρμηνείαν τοῦ νόμου, παρόντων, ἀκωλύτως ἐπιτελεῖν τὸ ἔργον. Οἱ δὲ ὡς ἔνι μάλιστα φιλοτίμως καὶ φιλοπόνως τὴν ἑρμηνείαν ἀκριβῆ ποιούμενοι, μέχρι μὲν ὥρας ἐννάτης πρὸς τοῦτο διετέλουν ὄντες. Ἔπειτ᾽ ἐπὶ τὴν τοῦ σώματος ἀπηλλάττοντο θεραπείαν, ἀφθόνως αὐτοῖς τῶν πρὸς τὴν δίαιταν χορηγουμένων, καὶ προσέτι τοῦ Δωροθέου πολλὰ καὶ τῶν παρασκευαζομένων τῷ βασιλεῖ, προσέταξε γὰρ αὐτοῖς, παρέχοντος. Πρωῒ δὲ πρὸς τὴν αὐλὴν παραγινόμενοι, καὶ τὸν Πτολεμαῖον ἀσπαζόμενοι, πάλιν ἐπὶ τὸν αὐτὸν ἀπῄεσαν τόπον, καὶ τῇ θαλάσσῃ τὰς χεῖρας ἀπονιπτόμενοι, καὶ καθαίροντες αὐτοὺς, οὕτως ἐπὶ τὴν τῶν νόμων ἑρμηνείαν ἐτρέποντο. Μεταγραφέντος δὲ τοῦ νόμου, καὶ τοῦ κατὰ τὴν ἑρμηνείαν ἔργου τέλος ἐν ἡμέραις ἑβδομήκοντα καὶ δυσὶ λαβόντος, συναγαγὼν ὁ Δημήτριος τοὺς Ἰουδαίους ἅπαντας εἰς τὸν τόπον, ἔνθα καὶ μετεβλήθησαν οἱ νόμοι, παρόντων καὶ τῶν ἑρμηνέων, ἀνέγνω τούτους. Τὸ δὲ πλῆθος ἀπεδέξατο μὲν καὶ τοὺς διασαφήσαντας πρεσβυτέρους τὸν νόμον, ἐπῄνεσαν δὲ καὶ τὸν Δημήτριον τῆς ἐπινοίας, ὡς μεγάλων ἀγαθῶν αὐτοῖς εὑρετὴν γεγενημένον, παρεκάλεσάν τε δοῦναι καὶ τοῖς ἡγουμένοις αὐτῶν ἀναγνῶναι τὸν νόμον. Ἠξίωσάν τε πάντες, ὅ,τε ἱερεὺς καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι, καὶ τοῦ πολιτεύματος οἱ προεστηκότες, ἐπεὶ καλῶς τὰ τῆς ἑρμηνείας ἀπήρτισται, καὶ διαμεῖναι ταῦθ᾽, ὡς ἔχει, καὶ μὴ μετακινεῖν αὐτά. Ἁπάντων δὲ αὐτῶν ἐπαινεσάντων τὴν γνώμην, ἐκέλευσαν, εἴ τις ἢ περισσόν τι προσγεγραμμένον ὁρᾷ τῷ νόμῳ, ἢ λεῖπον, πάλιν ἐπισκοποῦντα τοῦτο, καὶ ποιοῦντα φανερὸν, διορθοῦν· σωφρόνως τοῦτο πράττοντες, ἵνα τὸ κριθὲν ἅπαξ ἔχειν καλῶς, εἰς ἀεὶ διαμείνῃ.

§. ιδ. Ἐχάρη μὲν οὖν ὁ βασιλεὺς καὶ ἐπὶ τούτῳ, τὴν αὐτοῦ προαίρεσιν εἰς τὸ χρήσιμον ὁρῶν τετελειωμένην, ἥσθη δὲ μάλιστα τῶν νόμων ἀναγνωσθέντων αὐτῷ, καὶ τὴν διάνοιαν καὶ τὴν σοφίαν ἐξαπλάγη τοῦ νομοθέτου. Καὶ πρὸς τὸν Δημήτριον ἤρξατο ποιεῖσθαι λόγους· «Πῶς, οὕτω θαυμαστῆς οὔσης τῆς νομοθεσίας, οὐδεὶς οὔτε τῶν ἱστορικῶν αὐτῆς, οὔτε τῶν ποιητῶν ἐπεμνήσθη;». Ὁ δὲ Δημήτριος, μηδένα τολμῆσαι τῆς τῶν νόμων τούτων ἀναγραφῆς ἅψασθαι, διὰ τὸ θείαν αὐτὴν εἶναι καὶ σεμνὴν, ἔφασκε, καὶ ὅτι βλαβεῖεν ἤδη τινὲς, τούτοις ἐπιχειρήσαντες, ὑπὸ τοῦ Θεοῦ· δηλῶν, ὡς Θεόπομπός τε βουληθεὶς ἱστορῆσαί τι περὶ τούτων, ἐταράχθη τὴν διάνοιαν πλείοσιν ἢ τριάκοντα ἡμέραις, καὶ παρὰ τὰς ἀνέσεις ἐξιλάσκετο τὸν Θεὸν, ἐντεῦθεν αὐτῷ γενέσθαι τὴν παραφροσύνην ὑπονοῶν· οὐ μὴν ἀλλὰ καὶ ὄναρ εἶδεν, ὅτι τοῦτ' αὐτῷ συμβαίη περιεργαζομένῳ τὰ θεῖα, καὶ ταῦτ' ἐκφέρειν ἐπὶ κοινοὺς ἀνθρώπους θελήσαντι· καὶ ἀποσχόμενος, κατέστη τὴν διάνοιαν. Ἐδήλου δὲ καὶ περὶ Θεοδέκτου, τοῦ τῶν τραγῳδιῶν ποιητοῦ, ἀναφέρεσθαι, ὅτι βουληθεὶς ἔν τινι δράματι τῶν ἐν τῇ ἱερᾷ βίβλῳ γεγραμμένων μνησθῆναι, τὰς ὄψεις γλαυκωθείη, καὶ συνιδὼν τὴν αἰτίαν, ἀπαλλαγείη τοῦ πάθους, ἐξευμενισάμενος τὸν Θεόν.

§. ιε. Παραλαβὼν δὲ ταῦτα ὁ βασιλεὺς παρὰ τοῦ Δημητρίου, καθὼς προείρηται, προσκυνήσας αὐτοῖς, ἐκέλευσε πολλὴν ποιεῖσθαι τῶν βιβλίων τὴν ἐπιμέλειαν, ἵνα διαμείνῃ ταῦτα καθαρῶς. Τούς τε ἑρμηνεύσαντας παρεκάλεσε συνεχῶς πρὸς αὐτὸν ἐκ τῆς Ἰουδαίας παραγίνεσθαι. Τοῦτο γὰρ αὐτοῖς καὶ πρὸς τιμὴν τὴν παρ' αὐτοῦ, καὶ πρὸς τὰς ἀπὸ τῶν δωρεῶν ὠφελείας λυσιτελήσειν· νῦν μὲν γὰρ εἶναι δίκαιον αὐτοὺς ἐκπέμπειν ἔλεγεν· ἑκουσίως δὲ πρὸς αὐτὸν ἐλθόντας, τεύξεσθαι πάντων, ὧν ἥ τε αὐτῶν ἐστι σοφία δικαία τυχεῖν, καὶ ἡ ἐκείνου μεγαλοφροσύνη παρασχεῖν ἱκανή. Τότε μὲν οὖν ἐξέπεμψεν αὐτοὺς, δοὺς ἑκάστῳ στολὰς ἀρίστας τρεῖς, καὶ χρυσοῦ τάλαντα δύο, καὶ κυλίκιον ταλάντου, καὶ τὴν τοῦ συμποσίου στρωμνήν. Καὶ ταῦτα μὲν ἐκείνοις ἔχειν ἐδωρήσατο. Τῷ δ' ἀρχιερεῖ Ἐλεαζάρῳ δι' αὐτῶν ἔπεμψε κλίνας ἀργυρόποδας

δέκα, καὶ τὴν ἀκόλουθον αὐτῶν ἐπισκευὴν, καὶ κυλίκιον ταλάντων τριάκοντα· πρὸς τούτοις δὲ καὶ στολὰς δέκα, καὶ πορφύραν, καὶ στέφανον διαπρεπῆ, καὶ βυσσίνης ὀθόνης ἱστοὺς ἑκατόν· ἔτι γε μὴν φιάλας, καὶ τρυβλία, καὶ σπονδεῖα, καὶ κρατῆρας χρυσοῦς πρὸς ἀνάθεσιν δύο. Παρεκάλεσε δὲ αὐτὸν καὶ διὰ τῶν ἐπιςολῶν, ὅπως, εἰ τῶν ἀνδρῶν τούτων θελήσειέν τινες πρὸς αὐτὸν ἐλθεῖν, ἐπιτρέψῃ, περὶ πολλοῦ ποιούμενος τὴν μετὰ τῶν ἐν παιδείᾳ τυγχανόντων συνουσίαν, καὶ τὸν πλοῦτον εἰς τοὺς τοιούτους ἡδέως ἔχων κατατίθεσθαι. Καὶ τὰ μὲν εἰς δόξαν καὶ τιμὴν τῶν Ἰουδαίων τοιαῦτα παρὰ Πτολεμαίου τοῦ Φιλαδέλφου συνέβη γενέσθαι.

Ἄλλην μαρτυρίαν τοῦ Ἰωσήπου βλ. κατ. Ἀπίων: Β. §. δ. πρβλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 384, 438, 479.

ΤΑΛΜΟΥΔΟΝ.

Ἐν τμήματι Μεγιλλᾶ (κεφ. α. §. 8).

Περὶ τοῦ βασιλέως Πτολεμαίου (λέγουσιν οἱ Γεμαρισταὶ) φέρεται ἡ ἱστορία αὕτη. Προσκαλεσάμενος οβ, ἑρμηνεῖς, ἐνέκλεισεν ἐν ἰσαρίθμοις δωματίοις, ἀγνοοῦντας ὅλως ἐφ᾽ ᾧ συνῆλθον. Τότε τοίνυν ὁ βασιλεὺς ἐκέλευσεν ἕκαστον αὐτῶν, ἵνα τὸν νόμον Μωσέως, τοῦ διδασκάλου αὐτῶν, μεταγράψωσιν (ἑρμηνεύσωσιν) ἑλληνιστί. Ὁ δὲ Θεὸς οὕτω θαυμαςῶς ἑκάςου τὴν διάνοιαν κατεύθυνεν, ὥςε ἐν τῇ μεταφράσει τοῦ νόμου πάντες κατὰ πάντα συνεφώνησαν, ἑρμηνεύσαντες ἕκαστος τὸν νόμον κατ᾽ ἰδίαν» (τὰ αὐτὰ καὶ ἐν τῷ Massacheth Sopherim cap. 1, 8). Βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 266.

Ἐν τμήματι Γραμματέων (Sopherim).

Πτολεμαῖος ὁ βασιλεὺς μετεκαλέσατο τοὺς οβ, πρεσβυτέρους καὶ ἐγκατέστησεν αὐτοὺς ἐν τοσούτοις δωματίοις. Πρὶν ἢ δὲ τούτοις δηλώσῃ διὰ τί συνήθροισεν αὐτοὺς, εἰσελθὼν πρὸς ἕκαστον αὐτῶν, εἶπεν αὐτοῖς· γράψατέ μοι (ἑρμηνεύσατε) τὸν νόμον Μωσέως, τοῦ διδασκάλου ὑμῶν. κτλ.

ΙΩΣΗΠΟΣ Ο ΓΟΡΙΩΝ.

Πτολεμαῖος ὁ Μακεδὼν, ὃς Αἰγύπτου κατέστη βασιλεὺς, ἀνὴρ

ἦν ἐλεήμων καὶ σοφὸς καὶ συνετός.— Οὗτος ἐκέλευσε δύω τῶν παρ' αὐτῷ ἀρχόντων, Ἀριστέαν καὶ Ἀνδρέαν, ἵνα συναθροίσωσι βιβλία πολλά. — Λέγει πρὸς αὐτὸν Ἀριστέας, . . . εἰ δοκεῖ τῷ βασιλεῖ, γραφήτω πρὸς τὸν Ἱεροσολύμων ἀρχιερέα, ἵνα πέμψῃ σοι σοφούς, οἷοί εἰσιν ἐν ἐκείνῃ τῇ πόλει, ἐπισταμένους τὴν ἑλληνικὴν γλῶσσαν, οἵ σοι μεταφράσουσι τὸν Νόμον αὐτῶν. Οὗτος γὰρ περιέχει ἅγια πράγματα γεγραμμένα· πάντα δὲ τ' ἄλλα βιβλία οὐκ ἔχουσιν, εἰμὴ ματαιότητα. Καὶ ἐποίησεν οὕτως ὁ βασιλεύς, πέμψας γραμματεῖς (πρέσβεις) καὶ δῶρα πρὸς τὸν ἀρχιερέα, ὃς ἦν ἐν ταῖς ἡμέραις ἐκείναις, βουλευσομένους μετ' αὐτοῦ περὶ τοῦ πράγματος. Τότε ἀπέστειλε πρὸς αὐτὸν ὁ ἀρχιερεὺς Ο, ἄνδρας, ἐν οἷς ἔξοχος Ἐλεάζαρος ἦν, ἀνὴρ ἐμβριθής. — Ὡς οὖν ἦλθεν ὁ Ἐλεάζαρος μετὰ τῶν Ο ἱερέων καὶ μεταφραστῶν εἰς τὴν Αἴγυπτον, διώρισεν αὐτοῖς ὁ βασιλεὺς ἰδιαίτερα δωμάτια, διαχωρίζων αὐτοὺς ἀπ' ἀλλήλων, καὶ ἐπέστησεν ἑκάστῳ γραφεῖς προθύμους. Οἱ δὲ ἱερεῖς ἐκεῖνοι ἡρμήνευσαν ὅλον τὸν νόμον καὶ τὰ λοιπὰ βιβλία, πάντα δηλαδὴ τὰ ΚΔ τεύχη, ἀπὸ τῆς ἁγίας γλώσσης εἰς τὴν ἑλληνικήν· καὶ προσήνεγκεν Ἐλεάζαρος τὰ ὑπ' αὐτῶν γεγραμμένα τῷ βασιλεῖ. Τότε ἀνέγνω ὁ βασιλεὺς ὃ γέγραφεν ἕκαστος, καὶ ὡς ἡρμήνευσαν. Καὶ ἰδοὺ πάντων τῶν ἑρμηνευτῶν μία ἦν καὶ σύμφωνος ἡ ἐξήγησις, καὶ τὸ αὐτὸ νόημα. Διὸ καὶ ὁ βασιλεὺς λίαν ἐχάρη.

ΑΖΑΡΙΑΣ.

Ὅστις διέλθῃ πάντας τοὺς λόγους τοῦ Ἀριστέα κατὰ τὴν ἁπλῶς φαινομένην αὐτῶν σημασίαν, διαλογίζεται ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι περὶ τῆς ἑρμηνείας μόνον τοῦ Νόμου (τῆς Πεντατεύχου) διαλέγεται διηνεκῶς. Ἀλλ' ὅμως ἔστι καὶ πλατύτερον τὴν σημασίαν τῶν λόγων αὐτοῦ ἐκλαβεῖν, ὡς ὑπὸ τ' ὄνομα τοῦ Νόμου δηλούντων ὅλην τὴν Γραφήν. Καὶ μάλιστα σαφῶς ἑκάστου θεωροῦντος, ὅτι ἡ αἰτία, ἡ κινήσασα τὸν Πτολεμαῖον ἐξαιτήσασθαι τοῦ Νόμου τὴν ἑρμηνείαν, ἡ αὐτὴ τοῦτον ἐκίνησε καὶ πάντων τῶν Προφητῶν καὶ τῶν Ἁγιογράφων τὴν ἑρμηνείαν αἰτῆσαι· ἵνα

δηλαδὴ τελειοποιήσῃ δι᾽ αὐτῶν τὴν αὐτοῦ βιβλιοθήκην, ὥστε μηδὲν βιβλίον ἐξ αὐτῆς ἀπολείπειν. Καὶ χωρὶς δὲ τούτου παρὰ τοῖς ἡμετέροις τῆς εὐδαίμονος μνήμης σοφοῖς πολλὰ χωρία εὑρίσκονται, ἐν οἷς τὸ ὄνομα τοῦ Νόμου περιλαμβάνει καὶ τοὺς Προφήτας καὶ τὰ Ἁγιόγραφα (βλ. Morin. Exercit. Bibl. I. 8. c. 2). Τοιαῦτά τινα καὶ Σ. Ἰάρχης, καὶ Ζακοῦθος, καὶ Γάνζης, καὶ Α. ὁ Λευΐτης, ὁ καὶ τὸ θαῦμα τῶν οἰκίσκων μάλιστ᾽ ἀποθαυμάζων (βλ. Morin. ibid. c. 1. p. 181, καὶ τῆς ἐν Ὀξον. ἐκδ. τοῦ Ἀριστέου σελ. 141).

ΙΟΥΣΤΙΝΟΣ.

Ἐκ τοῦ παραινετικοῦ λόγου τοῦ πρὸς Ἕλληνας [1].

Εἰ δέ τις φάσκοι καὶ τὴν (ἴσ. τὰ) Μωϋσέως καὶ τῶν ἄλλων προφητῶν τοῖς [τῶν] Ἑλλήνων γεγράφθαι γράμμασι, γνώτω ταῖς ἔξωθεν ἐντυχὼν ἱστορίαις, ὅτι Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς, βιβλιοθήκην ἐν τῇ Ἀλεξανδρείᾳ κατασκευάσας, καὶ πανταχόθεν συναγαγὼν βιβλία, καὶ πληρώσας αὐτὴν, ἔπειτα μαθὼν, ὅτι ἀρχαίας ἱστορίας τοῖς τῶν Ἑβραίων γράμμασι γεγραμμένας σώζεσθαι ἀκριβῶς συμβαίνει, γνῶναι τὰ γεγραμμένα βουλόμενος, σοφοὺς ἄνδρας ἑβδομήκοντα, τοὺς καὶ τὴν Ἑλλήνων καὶ Ἑβραίων διάλεκτον εἰδότας, ἑρμηνεῦσαι αὐτοῖς τὰς βίβλους προσέταξεν, ἀπὸ τῆς Ἱερουσαλὴμ μεταστειλάμενος. Καὶ ἵνα πάσης ὀχλήσεως ἐκτὸς ὄντες θᾶττον ἑρμηνεύσωσι, προσέταξεν αὐτοῖς, μὴ ἐν αὐτῇ τῇ πόλει, ἀλλὰ ἀπὸ ἑπτὰ σταδίων, ἔνθα τὴν Φάρον ᾠκοδομῆσθαι συμβαίνει, ἰσαρίθμους τῶν ἑρμηνευόντων οἰκίσκους γενέσθαι μικροὺς, ἐπὶ τῷ ἕκαστον ἰδίᾳ καθ᾽ ἑαυτὸν τὴν ἑρμηνείαν πληρῶσαι· προστάξας τοῖς ἐφεστῶσιν ὑπηρέταις, πάσης μὲν αὐτοὺς θεραπείας τυγχάνειν, εἴργεσθαι δὲ τῆς πρὸς ἀλλήλους ὁμιλίας, ἵνα τὸ τῆς ἑρμηνείας ἀκριβὲς καὶ διὰ τῆς τούτων συμφωνίας γνωσθῆναι δυνηθῇ. Ἐπεὶ δὲ ἔγνω τοὺς ἑβδομήκοντα ἄνδρας μὴ μόνον τῇ αὐτῇ διανοίᾳ, ἀλλὰ καὶ ταῖς αὐταῖς λέξεσι χρησαμένους, καὶ

---

[1] Βλ. Justini Philos. et mart. Opera edit. Otto, T. 1. p. 44. Jenæ, 1842.

μηδὲ ἄχρι μιᾶς λέξεως τῆς πρὸς ἀλλήλους συμφωνίας διημαρτηκότας, ἀλλὰ τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν γεγραφότας, ἐκπλαγεὶς, καὶ θείᾳ δυνάμει τὴν ἑρμηνείαν γεγράφθαι πιστεύσας, πάσης μὲν τιμῆς ἀξίους αὐτοὺς, ὡς θεοφιλεῖς ἄνδρας, διέγνω· μετὰ πολλῶν δὲ δώρων αὐτοὺς εἰς τὴν ἑαυτῶν πατρίδα ἐπανελθεῖν προσέταξε· τὰς δὲ βίβλους θαυμάσας,[1] ὡς εἰκὸς, καὶ ἐκθειάσας, ἐκεῖσε ἀνέθηκε. Ταῦτα οὐ μύθους ὑμῖν, ὦ ἄνδρες Ἕλληνες, οὐδὲ πεπλασμένας ἱστορίας ἀπαγγέλλομεν, ἀλλ᾽ αὐτοὶ ἐν τῇ Ἀλεξανδρείᾳ γενόμενοι, καὶ τὰ ἴχνη τῶν οἰκίσκων ἐν τῇ Φάρῳ ἑωρακότες ἔτι σωζόμενα, καὶ παρὰ τῶν ἐκεῖ, ὡς τὰ πάτρια παρειληφότων, ἀκηκοότες, ταῦτα ἀπαγγέλομεν· ἃ καὶ παρ᾽ ἑτέρων ἔξεστιν ἡμῖν μανθάνειν, καὶ μάλιστα παρ᾽ αὐτῶν τῶν περὶ τούτων ἱστορησάντων σοφῶν καὶ δοκίμων ἀνδρῶν, Φίλωνός τε καὶ Ἰωσήπου, καὶ ἑτέρων πλειόνων. Εἰ δέ τις φάσκοι τῶν προχείρως ἀντιλέγειν εἰθισμένων, μὴ ἡμῖν τὰς βίβλους ταύτας, ἀλλ᾽ Ἰουδαίοις προσήκειν, διὰ τὸ ἔτι καὶ νῦν ἐν ταῖς συναγωγαῖς αὐτῶν σῴζεσθαι, καὶ μάτην ἡμᾶς ἐκ τούτων φάσκειν τὴν θεοσέβειαν μεμαθηκέναι λέγοι, γνώτω ἀπ᾽ αὐτῶν τῶν ἐν ταῖς βίβλοις γεγραμμένων, ὅτι οὐκ αὐτοῖς, ἀλλ᾽ ἡμῖν ἡ ἐκ τούτων διαφέρει διδασκαλία· Τὸ δὲ παρὰ Ἰουδαίοις ἔτι καὶ νῦν τὰς τῇ ἡμετέρᾳ θεοσεβείᾳ διαφερούσας σῴζεσθαι βίβλους, θείας προνοίας ἔργον ὑπὲρ ἡμῶν γέγονεν· ἵνα γὰρ μὴ, ἐκ τῆς Ἐκκλησίας προκομίζοντες, πρόφασιν ῥᾳδιουργίας τοῖς βουλομένοις βλασφημεῖν ἡμᾶς παράσχωμεν, ἀπὸ τῆς τῶν Ἰουδαίων συναγωγῆς ταύτας ἀξιοῦμεν προκομίζεσθαι, ἵνα ἀπ᾽ αὐτῶν τῶν ἔτι παρ᾽ αὐτοῖς σῳζομένων βιβλίων, ὡς ἡμῖν τὰ πρὸς διδασκαλίαν ὑπὸ τῶν ἁγίων ἀνδρῶν γραφέντα δίκαια σαφῶς καὶ φανερῶς προσήκει, φανῇ.

Ἐκ τῆς πρώτης Ἀπολογίας (σελ. 200).

Ἄνθρωποι οὖν τινες ἐν Ἰουδαίοις γεγένηνται Θεοῦ προφῆται, δι᾽ ὧν τὸ προφητικὸν πνεῦμα προεκήρυξε τὰ γενήσεσθαι μέλλοντα, πρὶν

[1] Ἐν τῇ ἐκδ. Ott. λείπει τὸ θαυμάσας.

ἢ γενέσθαι· καὶ τούτων οἱ ἐν Ἰουδαίοις κατὰ καιροὺς γενόμενοι βασιλεῖς τὰς προφητείας, ὡς ἐλέχθησαν ὅτε προεφητεύοντο, τῇ ἰδίᾳ αὐτῶν ἑβραΐδι φωνῇ ἐν βιβλίοις ὑπ' αὐτῶν τῶν προφητῶν συντεταγμένοις κτώμενοι, περιεῖπον. Ὅτε δὲ Πτολεμαῖος ὁ Αἰγυπτίων βασιλεὺς βιβλιοθήκην κατεσκεύαζε, καὶ τὰ πάντων ἀνθρώπων συγγράμματα συνάγειν ἐπειράθη, πυθόμενος καὶ περὶ τῶν προφητειῶν τούτων, προσέπεμψε τῷ τῶν Ἰουδαίων τότε βασιλεύοντι Ἡρώδῃ, (γρ. *ἱερεῖ*), ἀξιῶν διαπεμφθῆναι αὐτῷ τὰς βίβλους τῶν προφητειῶν. Καὶ ὁ μὲν βασιλεὺς Ἡρώδης, (γρ. *βασιλεύων ἱερεύς*) τῇ προειρημένῃ ἑβραΐδι αὐτῶν φωνῇ γεγραμμένας διεπέμψατο. Ἐπειδὴ δὲ οὐκ ἦν γνώριμα τὰ ἐν αὐταῖς γεγραμμένα τοῖς Αἰγυπτίοις, πάλιν αὐτὸν ἠξίωσε πέμψας, τοὺς μεταβαλοῦντας αὐτὰς εἰς τὴν ἑλλάδα φωνὴν ἀνθρώπους ἀποστεῖλαι. Καὶ τούτου γενομένου, ἔμειναν αἱ βίβλοι καὶ παρ' Αἰγυπτίοις μέχρι τοῦ δεῦρο, καὶ πανταχοῦ παρὰ πᾶσίν εἰσιν Ἰουδαίοις· οἳ καὶ ἀναγινώσκοντες, οὐ συνίασι τὰ εἰρημένα, ἀλλ' ἐχθροὺς ἡμᾶς καὶ πολεμίους ἡγοῦνται, ὁμοίως ὑμῖν ἀναιροῦντες καὶ κολάζοντες ἡμᾶς, ὁπόταν δύνωνται, ὡς καὶ πεισθῆναι δύνασθε.

Ἐκ τοῦ πρὸς Τρύφωνα Ἰουδαῖον διαλόγου (τόμ. β. σελ. 240).

Ἀλλ' οὐχὶ τοῖς διδασκάλοις ὑμῶν πείθομαι, μὴ συντεθειμένοις καλῶς ἐξηγεῖσθαι τὰ ὑπὸ τῶν παρὰ Πτολεμαίῳ τῷ Αἰγυπτίων γενομένῳ βασιλεῖ ἑβδομήκοντα πρεσβυτέρων· ἀλλ' αὐτοὶ ἐξηγεῖσθαι πειρῶνται. Καὶ ὅτι πολλὰς γραφὰς τέλεον περιεῖλον ἀπὸ τῶν ἐξηγήσεων, τῶν γεγενημένων ὑπὸ τῶν παρὰ Πτολεμαίῳ *γεγενημένων* πρεσβυτέρων, ἐξ ὧν διαῤῥήδην οὗτος αὐτὸς ὁ σταυρωθείς, ὅτι Θεὸς καὶ ἄνθρωπος, καὶ σταυρούμενος, καὶ ἀποθνήσκων κεκηρυγμένος ἀποδείκνυται, εἰδέναι ὑμᾶς βούλομαι (§. 71). Ἀπὸ μὲν οὖν τῶν ἐξηγήσεων, ὧν ἐξηγήσατο Ἔσδρας εἰς τὸν νόμον τὸν περὶ τοῦ πάσχα, τὴν ἐξήγησιν ταύτην ἀφείλοντο· «Καὶ εἶπεν Ἔσδρας τῷ λαῷ. Τοῦτο τὸ πάσχα ὁ σωτὴρ ἡμῶν καὶ ἡ καταφυγὴ ἡμῶν». —Καὶ ἀπὸ τῶν διὰ Ἱερεμίου λεχθέντων ταῦτα περιέκοψαν. «Ἐγὼ ὡς ἀρνίον ἄκακον φερόμενον τοῦ θύεσθαι» . . . Καὶ ἐπειδὴ αὕτη ἡ περικοπὴ ἡ ἐκ τῶν λόγων τοῦ Ἱερεμίου ἔτι ἐστὶν ἐγγεγραμ-

μένη ἔν τισιν ἀντιγράφοις τῶν ἐν συναγωγαῖς Ἰουδαίων (πρὸ γὰρ ὀλίγου χρόνου ταῦτα ἐξέκοψαν), ἐπειδὰν καὶ ἐκ τούτων τῶν λόγων ἀποδεικνύηται, ὅτι ἐβουλεύσαντο Ἰουδαῖοι περὶ αὐτοῦ τοῦ Χριστοῦ, ἀναιρεῖν αὐτὸν σταυρώσαντες κτλ. (§. 72). Βλ. καὶ ὄπισθ. σελ. 426.

ΕΙΡΗΝΑΙΟΣ.

(Παρ' Εὐσεβ. Ἐκκλ. Ἱστορ. Ε, η. ἐκ τοῦ κατὰ Αἱρέσ. Γ. κεφ. 23).

Πρὸ γὰρ τοῦ Ῥωμαίους κρατύναι τὴν ἀρχὴν αὐτῶν, ἔτι τῶν Μακεδόνων τὴν Ἀσίαν κατεχόντων, Πτολεμαῖος ὁ Λάγου φιλοτιμούμενος τὴν ὑπ' αὐτοῦ κατεσκευασμένην βιβλιοθήκην ἐν Ἀλεξανδρείᾳ κοσμῆσαι τοῖς πάντων ἀνθρώπων συγγράμμασιν, ὅσα γε σπουδαῖα ὑπῆρχεν, ᾐτήσατο παρὰ τῶν Ἱεροσολυμιτῶν, εἰς τὴν ἑλληνικὴν διάλεκτον σχεῖν αὐτὸν μεταβεβλημένας τὰς Γραφάς. Οἱ δὲ, ὑπήκουον γὰρ ἔτι τοῖς Μακεδόσι τότε, τοὺς παρ' αὐτοῖς ἐμπειροτάτους τῶν Γραφῶν καὶ ἀμφοτέρων τῶν διαλέκτων, ἑβδομήκοντα πρεσβυτέρους ἔπεμψαν Πτολεμαίῳ, ποιήσοντας τοῦθ', ὅπερ ἠβούλετο. Ὁ δὲ ἰδίᾳ πεῖραν αὐτῶν λαβεῖν θελήσας, εὐλαβηθείς τε, μήτι ἄρα συνθέμενοι ἀποκρύψωσι τὴν ἐν ταῖς Γραφαῖς διὰ τῆς ἑρμηνείας ἀλήθειαν, χωρίσας αὐτοὺς ἀπ' ἀλλήλων, ἐκέλευσε τοὺς πάντας τὴν αὐτὴν ἑρμηνείαν γράφειν. Καὶ τοῦτο ἐπὶ πάντων τῶν βιβλίων ἐποίησε. Συνελθόντων δὲ αὐτῶν ἐπὶ τὸ αὐτὸ παρὰ τῷ Πτολεμαίῳ, καὶ συναντιβαλόντων ἑκάστου τὴν ἑαυτοῦ ἑρμηνείαν, ὁ μὲν Θεὸς ἐδοξάσθη, αἱ δὲ Γραφαὶ ὄντως θεῖαι ἐγνώσθησαν, τῶν πάντων τὰ αὐτὰ ταῖς αὐταῖς λέξεσι καὶ τοῖς αὐτοῖς ὀνόμασιν ἀναγορευσάντων ἀπ' ἀρχῆς μέχρι τέλους· ὥστε καὶ τὰ παρόντα ἔθνη γνῶναι, ὅτι κατ' ἐπίπνοιαν τοῦ Θεοῦ εἰσὶν ἡρμηνευμέναι αἱ Γραφαί. Καὶ οὐδέν γε θαυμαστὸν, τοῦτο ἐνηργηκέναι τὸν θεόν· ὅς γε καὶ ἐν τῇ ἐπὶ Ναβουχοδονόσορ αἰχμαλωσίᾳ τοῦ λαοῦ, διαφθαρεισῶν τῶν Γραφῶν, καὶ μετὰ ἑβδομήκοντα ἔτη τῶν Ἰουδαίων ἀνελθόντων εἰς τὴν χώραν αὐτῶν, ἔπειτα ἐν τοῖς χρόνοις Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως, ἐνέπνευσεν Ἔσδρᾳ τῷ ἱερεῖ ἐκ τῆς φυλῆς Λευῒ, τοὺς τῶν προγεγονότων προφητῶν πάντας ἀνα-

τάξασθαι λόγους, καὶ ἀποκαταστῆσαι τῷ λαῷ τὴν διὰ Μωϋσέως Νομοθεσίαν».

(Ἕως ὧδε παρ' Εὐσεβίῳ. Παρὰ δὲ τῷ Εἰρηναίῳ αὐτόθι κεῖνται καὶ τὰ ἑξῆς, λατινιστὶ ἀποσωθέντα).

« Ἐπεὶ τοίνυν μετὰ τοσαύτης ἀληθείας καὶ χάριτος Θεοῦ μεθηρμηνεύθησαν αἱ Γραφαὶ, δι' ὧν ὁ Θεὸς προητοίμασε τὴν ἡμετέραν εἰς τὸν Υἱὸν αὐτοῦ πίστιν, καὶ τὰ πρωτότυπα δὲ τούτων τῶν (ἡρμηνευμένων) Γραφῶν διετήρησεν ἡμῖν ἐν Αἰγύπτῳ, — ἡ δὲ μετάφρασις αὐτῶν ἐγένετο πρὸ τῆς τοῦ Κυρίου ἡμῶν ἐπιφανείας, καὶ πρὶν ἢ Χριστιανοὶ ἀναδειχθῶσιν, — ἧπου λίαν ἀναιδεῖς καὶ θρασεῖς ἐξελέγχονται, ὅσοι νῦν ἐθέλουσιν ἄλλας ἑρμηνείας ποιεῖν» (ὡς οἱ περὶ τὸν Ἀκύλαν) - «Βέβαια δὲ καὶ ἄπλαστος καὶ μόνη ἀληθὴς ἡ καθ' ἡμᾶς ἐστι Πίστις, σαφεστάτην τὴν ἀπόδειξιν ἐκ τούτων ἔχουσα τῶν Γραφῶν (οὕτως, ὡς προείπομεν, ἡρμηνευμένων)· καὶ τὸ κήρυγμα τῆς Ἐκκλησίας ἀπαραποίητον. Οἵ τε γὰρ Ἀπόστολοι συμφωνοῦσι τῇ προειρημένῃ ἑρμηνείᾳ, καὶ ἡ ἑρμηνεία τῇ τῶν Ἀποςόλων παραδόσει. Καὶ γὰρ Πέτρος, κτλ. (ὡς ὄπισθ. σελ. 417).

ΚΛΗΜΗΣ ΑΛΕΞΑΝΔΡΕΥΣ.

Ἑρμηνευθῆναι δὲ τὰς Γραφὰς, τάς τε τοῦ νόμου, καὶ τὰς προφητικὰς, ἐκ τῆς τῶν Ἑβραίων διαλέκτου εἰς τὴν ἑλλάδα γλῶττάν φασιν ἐπὶ βασιλέως Πτολεμαίου τοῦ Λάγου, ἢ, ὥς τινες, ἐπὶ τοῦ Φιλαδέλφου ἐπικληθέντος, τὴν μεγίστην φιλοτιμίαν εἰς τοῦτο προσενεγκαμένου Δημητρίου τοῦ Φαληρέως, καὶ τὰ περὶ τὴν ἑρμηνείαν ἀκριβῶς πραγματευσαμένου. Ἔτι γὰρ Μακεδόνων τὴν Ἀσίαν κατεχόντων, φιλοτιμούμενος ὁ βασιλεὺς τὴν ἐν Ἀλεξανδρείᾳ πρὸς αὐτὸν (γρ. *αὐτοῦ*) γενομένην βιβλιοθήκην πάσαις κατακοσμῆσαι γραφαῖς, ἠξίωσε καὶ τοὺς Ἱεροσολυμίτας τὰς παρ' αὐτοῖς προφητείας εἰς τὴν ἑλλάδα διάλεκτον ἑρμηνεῦσαι. Οἱ δὲ, ἅτε ἔτι ὑπακούοντες Μακεδόσι, τῶν παρὰ σφίσιν εὐδοκιμωτάτων, περὶ τὰς γραφὰς ἐμπείρους, καὶ τῆς Ἑλληνικῆς διαλέκτου εἰδήμονας, ἑβδομήκοντα πρεσβυτέρους ἐκλεξάμενοι, ἀπέστειλαν αὐτῷ μετὰ καὶ τῶν θείων βίβλων. Ἑκάστου δὲ ἐν μέρει κατ' ἰδίαν

ἑκάστην ἑρμηνεύσαντος προφητείαν, συνέπνευσαν αἱ πᾶσαι ἑρμηνεῖαι συναντιβληθεῖσαι, καὶ τὰς διανοίας καὶ τὰς λέξεις. Θεοῦ γὰρ ἦν βούλημα μεμελετημένον εἰς Ἑλληνικὰς ἀκοάς. Οὐ δὴ ξένον ἐπιπνοίᾳ Θεοῦ, τοῦ τὴν προφητείαν δεδωκότος, καὶ τὴν ἑρμηνείαν, οἱονεὶ Ἑλληνικὴν προφητείαν, ἐνεργεῖσθαι. Ἐπεὶ κἀν τῇ Ναβουχοδονόσορ αἰχμαλωσίᾳ διαφθαρεισῶν τῶν Γραφῶν, κατὰ τοὺς Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως χρόνους, ἐπίπνους Ἔσδρας ὁ Λευΐτης, ὁ ἱερεὺς, γενόμενος, πάσας τὰς παλαιὰς αὖθις ἀνανεούμενος προεφήτευσε Γραφάς. (Κλήμ. Ἀλεξ. Στρωμ. Βιβλ. Α. σελ. 250. Ἐκδ. Λουγδ.).

ΤΕΡΤΥΛΛΙΑΝΟΣ.

(ἐκ τοῦ Λατινικοῦ).

Ὁ τῶν Πτολεμαίων πολυμαθέστατος (ὃν ἐπονομάζουσι Φιλάδελφον), καὶ πάσης παιδείας θηρευτικώτατος, ἐπειδὴ καὶ περὶ τὴν εἰς τὰς βιβλιοθήκας σπουδὴν τὸν Πεισίστρατον (ὡς οἶμαι) ἐζήλωσε, μεταξὺ τῶν λοιπῶν ὑπομνημάτων, ἅπερ ἤτοι ἡ ἀρχαιότης, ἢ καὶ περιέργειά τις εἰς φήμην ἐξῆρε, Δημητρίου τοῦ Φαληρέως, δοκιμωτάτου τῶν τότε γραμματικῶν, ὑποθεμένου, (ᾧ καὶ τὴν ἐπιστασίαν ἐπεπιστεύκει), ᾐτήσατο καὶ παρ' Ἰουδαίων βίβλους, δηλονότι τὰς σφίσιν οἰκείας καὶ γνησίας Γραφὰς, ἃς οὗτοι μόνοι εἶχον. — Ἀλλ' ἵνα μὴ λανθάνωσιν ἄγνωστοι, καὶ τοῦτο Πτολεμαίῳ γράψαντι ὑπήκουσαν οἱ Ἰουδαῖοι, τοὺς ΟΒ πέμψαντες ἑρμηνεῖς, οὓς καὶ Μενέδημος, ὁ φιλόσοφος τῆς Προνοίας ἔκδικος, διὰ τὴν τῆς γνώμης κοινωνίαν (*συμφωνίαν*) ἐσεβάσθη. Ταῦτα δὲ καὶ Ἀριστέας ὑμῖν ἐβεβαίωσεν. Οὕτω τὰ (τῶν Ἑβραίων) ὑπομνήματα ἑλληνιστὶ μεθηρμηνευμένα κατέλιπεν (ὁ Πτολεμαῖος). Καὶ σήμερον ἐν τῇ πρὸς τῷ Σεραπείῳ βιβλιοθήκῃ τοῦ Πτολεμαίου μετ' αὐτῶν τῶν ἑβραϊκῶν γραμμάτων ἐκτέθεινται. Ἀλλὰ καὶ οἱ Ἰουδαῖοι δημοσίως ἀναγινώσκουσι κατὰ πᾶν σάββατον· προστίθεται δ' αὐτῶν τῷ κοινῷ ἡ τοῦ φόρου ἐλευθερία».-(Vectigalis libertas. *οὕτως ἐκαλεῖτο ὁ φόρος, ὃν ἐτησίως ἐτέλουν τοῖς Ῥωμαίοις οἱ Ἰουδαῖοι*

πρὸς τὸ συνέρχεσθαι ἐλευθέρως ἐν ταῖς Συναγωγαῖς). Tertul. Apolog. c. 18. (βλ. καὶ ὄπισθ. σελ. 438).

ΑΝΑΤΟΛΙΟΣ.

Ἐκ τῶν περὶ τοῦ πάσχα κανόνων.

(παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. Ζ. λϐ. ἐκδ. Zimmerman.)

«Μαθεῖν δ' ἔστιν ἐκ τῶν ὑπὸ Φίλωνος [καὶ] Ἰωσήπου, Μουσαίου (ἴσ. γρ. *τοῦ Ἰουδαίου*) λεγομένων· καὶ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν ἔτι παλαιοτέρων ἀμφοτέρων Ἀγαθοβούλων, τῶν ἐπίκλην διδασκάλων, Ἀριστοβούλου «(ἴσ. γρ. *ἀλλὰ καὶ τοῦ ἔτι παλαιοτέρου ἀμφοτέρων, Ἀριστοβούλου τοῦ ἐπίκλην διδασκάλου*)» τοῦ πάνυ, ὃς ἐν (ἴσ. *ὃς ὡσαεὶ*) τοῖς ἑβδομήκοντα κατειλεγμένος, τοῖς τὰς ἱερὰς καὶ θείας [τῶν] Ἑβραίων ἑρμηνεύσασι Γραφὰς Πτολεμαίῳ τῷ Φιλαδέλφῳ καὶ τῷ τούτου πατρί, καὶ βίβλους ἐξηγητικὰς τοῦ Μωϋσέως νόμου τοῖς αὐτοῖς (ἴσ. γρ. *τοῖς ἐξ αὐτῶν*) προσεφώνησε βασιλεῦσιν» (βλ. ὄπισθ. Βιβλ. Α. κεφ. ιϐ. §. ς. σελ. 410).

ΘΕΩΝΑΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

(Ἐν τῇ πρὸς Λουκιανὸν Πραιπόσιτον λατινιστὶ μόνον σωζομένῃ ἐπιστολῇ βλ. ὄπισθ. Βιβλ. Α. σελ. 572).

Πτολεμαῖος ὁ Φιλάδελφος Ἀριστέαν τὸν ἀρχισωματοφύλακα.. πρὸς Ἐλεάζαρον μετὰ μεγίστων δώρων ἀπέστειλε πρέσβυν ὑπὲρ τῆς ἑρμηνείας τῆς θείας Γραφῆς. Οὗτος αὐτὸς (ὁ Ἀριστέας) καὶ τὴν περὶ τῶν Ο, ἑρμηνευτῶν ἱστορίαν πληρέστατα συνέγραψε». (Καὶ μετ' ὀλίγα). «Τὰς θείας Γραφὰς μετὰ θαυμαστῆς ἐπιμελείας καὶ δαψιλεστάτης δαπάνης Πτολεμαῖος ὁ Φιλάδελφος εἰς τὴν ἡμετέραν γλῶσσαν ἐφρόντισε μεθερμηνευθῆναι.

ΕΥΣΕΒΙΟΣ.

Προπαρασκευῆς Εὐαγγελικῆς Βιβλ. Η. κεφ. α. σελ. 205.

Ἐπειδὴ γὰρ ὅσον οὔπω τὰ τῆς τοῦ Σωτῆρος ἡμῶν βιωφελοῦς κηρύξεως ἔμελλεν ἐπὶ τῆς Ῥωμαίων ἀρχῆς εἰς πάντας ἐκλάμπειν ἀνθρώπους, λόγος τε οὐχ ὁ τυχὼν ᾔρει τὰς περὶ αὐτοῦ προφητείας, τόντε βίον τῶν πάλαι θεοφιλῶν Ἑβραίων

καὶ τὰ τῆς εὐσεβοῦς διδασκαλίας αὐτῶν μαθήματα, τῇ πατρίῳ αὐτῶν φωνῇ ἐξ αἰῶνος μακροῦ κεκαλυμμένα, ἤδη ποτὲ εἰς πάντα τὰ ἔθνη, οἷς τὰ τῆς θεογνωσίας ἔμελλε προξενεῖσθαι, παρελθεῖν· Θεὸς αὐτὸς, ὁ τῶνδε τῶν ἀγαθῶν αἴτιος, προλαβὼν τὸ μέλλον, ὡς ἂν Θεὸς, τῇ προγνώσει, τὰς περὶ τοῦ πάντων ἀνθρώπων οὐκ εἰς μακρὸν ἀναφανησομένου Σωτῆρος, διδασκάλου τε εὐσεβείας ἑνὸς τοῦ ἐπὶ πάντων Θεοῦ πᾶσι τοῖς ὑφ᾽ ἥλιον ἔθνεσι καταστησομένου, προῤῥήσεις ἀποκαλυφθῆναι τοῖς πᾶσιν, εἰς φῶς τε ἐλθεῖν ἐπ᾽ ἀκριβὲς μεταβληθείσας, δημοσίαις τε βιβλιοθήκαις ἀνατεθείσας, διοικεῖται, βασιλεῖ Πτολεμαίῳ τοῦτο πρᾶξαι κατὰ νοῦν ἐμβαλὼν, εἰς προπαρασκευὴν, ὡς ἔοικε, τῆς τῶν ἐθνῶν ἁπάντων ὅσον οὔπω μελλούσης ἐξ αὐτῶν ἔσεσθαι μεταλήψεως. Ὧν γὰρ οὐκ ἂν ἄλλως ἐτύχομεν παρὰ Ἰουδαίων, ἀποκρυψάντων ἂν τὰ παρ᾽ αὐτοῖς λόγια διὰ τὸν πρὸς ἡμᾶς φθόνον, τούτων ἐκ τῆς θεόθεν οἰκονομηθείσης ἑρμηνείας ἠξιώθημεν, πρὸς τῶν παρ᾽ αὐτοῖς ἐπί τε συνέσει καὶ τῇ πατρίῳ παιδείᾳ δεδοκιμασμένων ἀνδρῶν, μεταβληθέντων. Γράφει δὲ ταῦτα Ἀρισταῖος, ἀνὴρ λόγιος μὲν ἄλλως, οὐ μὴν ἀλλὰ καὶ παρατυχὼν τοῖς πραχθεῖσι κατὰ τὸν δεύτερον Πτολεμαῖον, τὸν ἐπικληθέντα Φιλάδελφον, καθ᾽ ὃν τὰ τῆς ἑρμηνείας τῶν Ἰουδαϊκῶν Γραφῶν διὰ σπουδῆς τοῦ βασιλέως γενόμενα, τῶν κατὰ τὴν Ἀλεξάνδρειαν βιβλιοθηκῶν ἠξιώθη. Ἐπακοῦσαι δὲ αὐτοῦ καιρὸς, τόν δε πρὸς λέξιν ἱστοροῦντος τὸν τρόπον.

Ἀρισταίου περὶ τῆς ἑρμηνείας τῶν παρὰ Ἰουδαίοις Γραφῶν.

« Κατασταθεὶς ἐπὶ τῆς τοῦ βασιλέως βιβλιοθήκης Δημήτριος ὁ Φαληρεὺς, ἐχρηματίσθη πολλὰ διάφορα, πρὸς τὸ συναγαγεῖν ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην βιβλία· καὶ ποιούμενος ἀγορασμοὺς καὶ μεταγραφὰς, ἐπὶ τέλος ἤγαγεν, ὅσον ἐφ᾽ ἑαυτῷ, τὴν τοῦ βασιλέως πρόθεσιν. Παρόντων οὖν ἡμῶν, ἐρωτηθεὶς, πόσαι τινὲς μυριάδες τυγχάνουσι βιβλίων; εἶπεν, ὑπὲρ τὰς εἴκοσι, βασιλεῦ. Σπουδάσω δ᾽ ἐν ὀλίγῳ χρόνῳ, πρὸς τὸ πληρωθῆναι πεντήκοντα μυριάδας, τὰ λοιπὰ [συναθροίσειν]. Προσήγγελται δέ μοι καὶ τὰ τῶν Ἰουδαίων

νόμιμα, μεταγραφῆς ἄξια καὶ τῆς παρά σοι βιβλιοθήκης εἶναι. Τί τὸ κωλύον οὖν, εἶπεν, ἐστί σοι τοῦτο ποιῆσαι; πάντα γὰρ ἀποτέτακταί σοι (ἴσ. ὑποτέτακται) τὰ πρὸς τὴν χρείαν. Ὁ δὲ Δημήτριος εἶπεν· Ἑρμηνείας προσδεῖται· χαρακτῆρσι γὰρ ἰδίοις κατὰ τὴν Ἰουδαίαν χρῶνται, καθάπερ Αἰγύπτιοι· τῇ [δὲ] τῶν γραμμάτων θέσει, καθὸ καὶ φωνὴν ἰδίαν ἔχουσιν, ὑπολαμβάνονται *δὲ* συριακῇ χρῆσθαι· τόδ' οὐκ ἔστιν, ἀλλ' ἕτερος τρόπος. Μεταλαβὼν δὲ ἕκαστα ὁ βασιλεὺς, εἶπε γραφῆναι πρὸς τὸν ἀρχιερέα τῶν Ἰουδαίων, ὅπως τὰ προειρημένα τελείωσιν λάβῃ». Καὶ μεθ' ἕτερα ἐπιλέγει· «Ὡς δὲ κατεπράχθη ταῦτα, τὸν Δημήτριον ἐκέλευσεν ἐκδοῦναι περὶ τῆς τῶν Ἰουδαϊκῶν βιβλίων ἀναγραφῆς. Πάντα γὰρ διὰ προσταγμάτων, καὶ μεγάλης ἀκριβείας τοῖς βασιλεῦσι τούτοις διῳκεῖτο, καὶ οὐδὲν ἀπεριμερίμνως, οὐδὲ εἰκῇ· διόπερ καὶ τὸ τῆς ἐκδόσεως, καὶ τὰ τῶν ἐπιστολῶν ἀντίγραφα κατακεχώρικα, καὶ τὸ τῶν ἀπεσταλμένων πλῆθος, καὶ τὴν ἑκάστου κατασκευήν, διὰ τὸ μεγαλομερείᾳ καὶ τέχνῃ διαφέρειν ἕκαστον αὐτῶν. Τῆς δ' ἐκδόσεώς ἐστιν ἀντίγραφον τόδε.

Ἐπιστολὴ Δημητρίου τοῦ Φαληρέως πρὸς Πτολεμαῖον τὸν Αἰγυπτίων βασιλέα.

« Βασιλεῖ μεγάλῳ παρὰ Δημητρίου. Προστάξαντός σου, Βασιλεῦ, περὶ τῶν ἀπολειφθέντων εἰς τὴν συμπλήρωσιν τῆς βιβλιοθήκης, βιβλίων, ὅπως ἐπισυναχθῇ, καὶ τὰ διαπεπτωκότα τύχῃ τῆς προσηκούσης ἐπισκευῆς, πεποιημένος οὐ παρέργως τὴν ἐν τούτοις ἐπιμέλειαν, προσαναφέρω σοι τάδε. Τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισὶν ἀπολείπει. Τυγχάνει γὰρ ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα. ἀμελέστερον δὲ, καὶ οὐχ ὡς ὑπάρχει σεσήμανται, καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται· προνοίας γὰρ βασιλικῆς οὐ τετύχηκε. Δέον δὲ ἐστὶ καὶ ταῦθ' ὑπάρχειν παρὰ σοὶ διηκριβωμένα, διὰ τὸ καὶ φιλοσοφωτέραν εἶναι καὶ ἀκέραιον τὴν νομοθεσίαν ταύτην, ὡς ἂν οὖσαν θείαν· διὸ πόῤῥω γεγόνασιν οἵ τε συγγραφεῖς καὶ ποιηταὶ, καὶ τὸ τῶν ἱστο-

ρικῶν πλῆθος, τῆς ἐπιμνήσεως τῶν προειρημένων βιβλίων, καὶ τῶν κατ᾽ αὐτὰς πεπολιτευμένων ἀνδρῶν, διὰ τὸ ἁγνήν τινα καὶ σεμνὴν εἶναι τὴν ἐν αὐτοῖς θεωρίαν, ὥς φησιν Ἑκαταῖος ὁ Ἀβδηρίτης. Ἐὰν οὖν φαίνηται, βασιλεῦ, γραφήσεται πρὸς τὸν ἐν Ἱεροσολύμοις ἀρχιερέα, ἀποστεῖλαι τοὺς μάλιστα καλῶς βεβιωκότας καὶ πρεσβυτέρους ἄνδρας, ἐμπείρους τῶν κατὰ τὸν νόμον ἑαυτῶν, ἀφ᾽ ἑκάστης φυλῆς ἕξ, ὅπως τὸ σύμφωνον ἐκ τῶν πλειόνων ἐξετάσαντες, καὶ λαβόντες τὸ κατὰ τὴν ἑρμηνείαν ἀκριβὲς, ἀξίως καὶ τῶν πραγμάτων, καὶ τῆς σῆς προαιρέσεως θῶμεν εὐσήμως. Εὐτύχει διὰ παντός». Τῆς δὲ ἐκδόσεως ταύτης γενομένης, ἐκέλευσεν ὁ βασιλεὺς γραφῆναι πρὸς τὸν Ἐλεάζαρον περὶ τούτων, σημάναντας καὶ τὴν γενομένην ἀπολύτρωσιν τῶν αἰχμαλώτων. Ἔδωκε δὲ καὶ εἰς κατασκευὴν κρατήρων τε, καὶ φιαλῶν, καὶ τραπέζης, καὶ σπονδείων, χρυσίου μὲν ὁλκῆς τάλαντα πεντήκοντα, καὶ ἀργυρίου τάλαντα ἑβδομήκοντα, καὶ λίθων ἱκανόν τι πλῆθος (ἐκέλευσε δὲ τοὺς χρηματοφύλακας τοῖς τεχνίταις ὧν ἂν προαιρῶνται τὴν ἐκλογὴν διδόναι), καὶ νομίσματος εἰς θυσίας, καὶ τὰ ἄλλα, πρὸς τάλαντα ἑκατόν. Δηλώσομεν δέ σοι περὶ τῆς κατασκευῆς, ὡς ἂν τὰ τῶν ἐπιστολῶν ἀντίγραφα διέλθωμεν· ἦν δὲ ἡ τοῦ βασιλέως ἐπιστολὴ τὸν τύπον ἔχουσα τοῦτον.

Ἐπιστολὴ βασιλέως Πτολεμαίου πρὸς Ἐλεάζαρον, ἀρχιερέα Ἱεροσολύμων.

«Βασιλεὺς Πτολεμαῖος ἀρχιερεῖ Ἐλεαζάρῳ χαίρειν καὶ ἐῤῥῶσθαι. Ἐπεὶ συμβαίνει πλείονας τῶν Ἰουδαίων εἰς τὴν ἡμετέραν χώραν κατῳκίσθαι, γενηθέντας ἀναρπάστους ἐκ τῶν Ἱεροσολύμων ὑπὸ Περσῶν, καθ᾽ ὃν ἐπεκράτουν χρόνον, ἔτι δὲ καὶ συνεληλυθέναι τῷ πατρὶ ἡμῶν εἰς τὴν Αἴγυπτον αἰχμαλώτους, ἀφ᾽ ὧν καὶ πλείονας εἰς τὸ στρατιωτικὸν σύνταγμα κατεχώρισεν ἐπὶ μείζοσι μισθοφορίαις· ὁμοίως δὲ καὶ τοὺς προόντας κρίνας πιστοὺς, φρούρια κτίσας, ἀπέδωκεν αὐτοῖς, ὅπως τὸ τῶν Αἰγυπτίων ἔθνος φόβον ἔχει διὰ τούτων· Καὶ ἡμεῖς δὲ (ἴσ. δὴ) παραλαβόντες τὴν βασιλείαν, φιλανθρωπότερον

ἀπαντῶμεν τοῖς πᾶσι, πολὺ δὲ μᾶλλον τοῖς σοῖς πολίταις, [ὧν] ὑπὲρ δέκα μυριάδας αἰχμαλώτων ἠλευθερώκαμεν, ἀποδόντες τοῖς κρατοῦσι τὴν κατ' ἀξίαν ἀργυρικὴν τιμὴν, διορθούμενοι καὶ εἴτι κακῶς ἐπράχθη διὰ τὰς τῶν ὄχλων ὁρμὰς, (διειληφότες εὐσεβῶς τοῦτο πράσσειν, καὶ τῷ μεγίστῳ Θεῷ χαριστικὸν ἀναθέντες, ὃς ἡμῖν τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δόξῃ τῇ κρατίστῃ παρ' ὅλην τὴν οἰκουμένην διατετήρηκεν)· εἴς τε τὸ στράτευμα τοὺς ἀκμαιοτάτους ταῖς ἡλικίαις τετάχαμεν· τοὺς δὲ δυναμένους καὶ περὶ ἡμᾶς εἶναι, καὶ τοὺς (γρ. τῆς) περὶ τὴν αὐλὴν πίστεως ἀξίους ἐπικρίνων (ἴσ. γρ. ἐπικρίνας) κατέστησα. Βουλομένων δὲ ἡμῶν καίσοι χαρίζεσθαι, καὶ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην Ἰουδαίοις, καὶ τοῖς μετέπειτα, προῃρήμεθα τὸν νόμον ὑμῶν μεθερμηνευθῆναι γράμμασιν ἑλληνικοῖς, ἐκ τῶν παρ' ὑμῖν ἑβραϊκῶν λεγομένων γραμμάτων· ἵν' ὑπάρχῃ καὶ ταῦτα παρ' ἡμῖν ἐν βιβλιοθήκῃ σὺν τοῖς ἄλλοις βασιλικοῖς βιβλίοις. Καλῶς οὖν ποιήσεις, καὶ τῆς ἡμετέρας σπουδῆς ἀξίως, ἐπιλέξας ἄνδρας καλῶς βεβιωκότας, πρεσβυτέρους, ἐμπειρίαν ἔχοντας τοῦ νόμου, καὶ δυνατοὺς ἑρμηνεῦσαι, ἀφ' ἑκάστης φυλῆς ἓξ, ὅπως ἐκ τῶν πλειόνων τὸ σύμφωνον εὑρεθῇ, διὰ τὸ περὶ μειζόνων εἶναι τὴν σκέψιν. Οἰόμεθα γὰρ, ἐπιτελεσθέντος τούτου, μεγάλην ἀποίσεσθαι δόξαν. Ἀπεστάλκαμεν δὲ περὶ τούτων Ἀνδρέαν τῶν σωματοφυλάκων, καὶ Ἀρισταῖον, τιμωμένους παρ' ἡμῖν, διαλεξομένους σοι, καὶ κομίζοντας ἀπαρχὰς εἰς τὸ ἱερὸν ἀναθημάτων, καὶ εἰς θυσίας καὶ τὰ ἄλλα, ἀργυρίου τάλαντα ἑκατόν. Γράφε [δὲ] καὶ σὺ πρὸς ἡμᾶς περὶ ὧν ἂν βούλῃ. Κεχαρισμένος γὰρ ἔσῃ, καὶ φιλίας ἄξιόν τι πράξεις, ὡς ἐπιτελεσθησομένων τὴν ταχίστην περὶ ὧν ἂν αἱρῇ· ἔρρωσο ». Πρὸς ταῦτα ἀντέγραψεν ἐνδεχομένως ὁ Ἐλεάζαρος οὕτως.

Ἐπιστολὴ Ἐλεαζάρου ἀρχιερέως πρὸς Πτολεμαῖον βασιλέα.

« Ἐλεάζαρος ἀρχιερεὺς βασιλεῖ Πτολεμαίῳ, φίλῳ γνησίῳ, χαίρειν. Εἰ αὐτός τε ἔρρωσαι, καὶ ἡ βασίλισσα Ἀρσινόη, ἡ ἀδελφὴ, καὶ τὰ

τέκνα, καλῶς ἂν ἔχοι, καὶ ὡς βουλόμεθα· καὶ αὐτοὶ δὲ ὑγιαίνομεν. Λαβόντες τὴν παρὰ σοῦ ἐπιστολὴν, μεγάλως ἐχάρημεν διὰ τὴν προαίρεσίν σου, καὶ τὴν καλλίστην βουλήν· καὶ συναγαγόντες τὸ πᾶν πλῆθος, παρανέγνωμεν αὐτὴν αὐτοῖς, ἵν' εἰδῶσιν ἣν ἔχεις πρὸς τὸν Θεὸν ἡμῶν εὐσέβειαν. Ἀπεδείξαμεν (γρ. *Ἐπεδείξαμεν*) δὲ καὶ τὰς φιάλας, ἃς ἀπέστειλας χρυσᾶς εἴκοσι, καὶ ἀργυρᾶς τριάκοντα, [καὶ] κρατῆρας πέντε, καὶ τράπεζαν εἰς ἀνάθεσιν, καὶ εἰς προσαγωγὴν θυσιῶν, καὶ εἰς ἐπισκευὰς, ὧν ἂν προσδέηται τὸ ἱερὸν, ἀργυρίου τάλαντα ἑκατὸν, ἅπερ ἐκόμισαν Ἀνδρέας τῶν τετιμημένων παρὰ σοὶ, καὶ Ἀρισταῖος, ἄνδρες καλοὶ καὶ ἀγαθοὶ, καὶ παιδείᾳ διαφέροντες, καὶ τῆς σῆς ἀγωγῆς καὶ δικαιοσύνης ἄξιοι κατὰ πάντα· οἳ καὶ μετέδωκαν ἡμῖν τὰ παρὰ σοῦ, πρὸς ἃ καὶ παρ' ὑμῶν ἀκηκόασιν ἁρμόζοντα τοῖς σοῖς πράγμασι. Πάντα γὰρ ὅσα συμφέρει, καὶ εἰ παρὰ φύσιν ἐστὶν, ὑπακουσόμεθα· τοῦτο γὰρ φιλίας καὶ ἀγαπήσεώς ἐστι σημεῖον. Μεγάλα γὰρ καὶ ἀνεπίληστα τοὺς πολίτας ἡμῶν κατὰ πολλοὺς τρόπους εὐηργέτηκας. Εὐθέως οὖν προσηγάγομεν ὑπὲρ σοῦ θυσίας, καὶ τῆς ἀδελφῆς, καὶ τῶν τέκνων, καὶ τῶν φίλων· καὶ ηὔξατο πᾶν τὸ πλῆθος, ἵνα σοι γένηται καθὼς προαιρῇ διὰ παντὸς, καὶ διασώζῃ σοι τὴν βασιλείαν ἐν εἰρήνῃ μετὰ δόξης ὁ κυριεύων ἁπάντων Θεὸς, καὶ ὅπως γένηται συμφερόντως καὶ μετὰ ἀσφαλείας ἡ τοῦ ἁγίου νόμου μεταγραφή. Παρόντων [οὖν] πάντων, ἐπελεξάμην ἄνδρας καλοὺς καὶ ἀγαθοὺς, πρεσβυτέρους, ἀφ' ἑκάστης φυλῆς ἓξ, οὓς καὶ ἀπεστάλκαμεν ἔχοντας τὸν νόμον. Καλῶς οὖν ποιήσεις, βασιλεῦ δίκαιε, προστάξας, ὡς ἂν ἡ μεταγραφὴ γένηται τῶν βιβλίων, ἵνα πάλιν ἀποκατασταθῶσι πρὸς ἡμᾶς ἀσφαλῶς οἱ ἄνδρες. Ἔῤῥωσο». Τούτοις ἑξῆς πολλὰ διὰ μέσου περὶ τῆς προτεθείσης εἰπὼν πραγματείας, μετὰ τὴν τῶν Γραφῶν ἑρμηνείαν ἐπιφέρει αὐτοῖς ῥήμασι· «Καθὼς δ' ἀνεγνώσθη ταῦτα τὰ τεύχη, στάντες οἱ ἱερεῖς, καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι, καὶ τῶν ἀπὸ τοῦ πολιτεύματος, οἵτε ἡγούμενοι τοῦ πλήθους, εἶπον· Ἐπεὶ καλῶς καὶ ὁσίως διηρμήνευται, καὶ κατὰ πᾶν ἀκριβῶς, καλῶς ἔχον ἐστὶν, ἵνα διαμένῃ ταῦθ' οὕτως ἔχοντα, καὶ μὴ γένηται μηδεμία διασκευή.

Πάντων δὲ ἐπιφωνησάντων τοῖς εἰρημένοις, ἐκέλευσαν ἐπαρᾶσθαι, καθὼς ἔθος ἐστὶν αὐτοῖς, εἴτις διασκευάσει προστιθεὶς, ἢ μεταφέρων τι τὸ σύνολον τῶν γεγραμμένων, ἢ ποιούμενος ἀφαίρεσιν· καλῶς τοῦτο πράσσοντες, ἵνα διὰ παντὸς ἀέναα μένοντα φυλάσσηται. Προσφωνηθέντων δὲ καὶ τούτων τῷ βασιλεῖ, μεγάλως ἐχάρη. Τὴν γὰρ πρόθεσιν, ἣν εἶχεν, ἀσφαλῶς ἔδοξε τετελειῶσθαι· Παρανεγνώσθη δὲ αὐτῷ πάντα, καὶ λίαν ἐξεθαύμασε τὴν τοῦ νομοθέτου διάνοιαν, καὶ πρὸς τὸν Δημήτριον εἶπε· Πῶς τηλικούτων πραγμάτων συντετελεσμένων, οὐδεὶς ἐπεβάλετο τῶν ἱστορικῶν, οὐδὲ ποιητῶν ἐπιμνησθῆναι; ἐκεῖνος δὲ ἔφη· Διὰ τὸ σεμνὴν εἶναι τὴν νομοθεσίαν, καὶ διὰ Θεοῦ γεγονέναι· καὶ τῶν ἐπιβαλομένων τινὲς ὑπὸ τοῦ Θεοῦ πληγέντες, τῆς ἐπιβολῆς ἀπέστησαν. Καὶ γὰρ, ἔφησεν, ἀκηκοέναι Θεοπόμπου, διότι μέλλων τινὰ τῶν προηρμηνευμένων ἐπισφαλέστερον ἐκ τοῦ νόμου προσιστορεῖν, ταραχὴν λάβοι τῆς διανοίας πλεῖον ἡμερῶν τριάκοντα. Κατὰ δὲ τὴν αἴτησιν (γρ. *ἄνεσιν*) ἐξιλάσκεσθαι τὸν Θεὸν, σαφὲς αὐτῷ γενέσθαι, τίνος χάριν τὸ συμβαῖνόν ἐστι· δἰ ὀνείρου δὲ μαθόντος (γρ. *σημανθέντος*), ὅτι τὰ θεῖα βούλεται περιεργασάμενος εἰς κοινοὺς ἀνθρώπους ἐκφέρειν, ἀποσχόμενον *δὲ* οὕτως ἀποκαταστῆναι· Καὶ παρὰ (γρ. *περὶ*) Θεοδέκτου δὲ τοῦ τῶν τραγῳδιῶν ποιητοῦ μετέλαβον ἐγώ· διότι παραφέρειν μέλλοντός τι (γρ. *μέλλων τι*) τῶν ἀναγεγραμμένων ἐν τῇ βίβλῳ πρός τι δρᾶμα, τὰς ὄψεις ἀπεγλαυκώθη· καὶ λαβὼν ὑπόνοιαν, ὅτι διὰ ταῦτα αὐτῷ γέγονεν, ἐξιλασάμενος τὸν Θεὸν ἐν πολλαῖς ἡμέραις, ἀποκατέστη. Μεταλαβὼν δὲ ὁ βασιλεὺς, καθὼς προεῖπε (γρ. προεῖπον) περὶ τούτων, τὰ περὶ (γρ. *ταῦτα παρὰ*) τοῦ Δημητρίου, προσκυνήσας, ἐκέλευσε μεγάλην ποιεῖσθαι τῶν βιβλίων ἐπιμέλειαν, καὶ συντηρεῖσθαι ἁγνῶς. Ταῦθ' ἡμῖν ἐκ τῆς τοῦ δηλωθέντος ἐπιτετμήσθω γραφῆς.

(Καὶ ἐν τοῖς ἑξῆς κεφ. θ. σελ. 218 ἀντιγράφει ὁ Εὐσέβιος ἐκ τοῦ Ἀριστέου τὴν Ἐλεαζάρου πρὸς τοὺς περὶ τὸν Ἀριστέα ὑποτύπωσιν τῆς ἐν τοῖς ἱεραῖς νόμοις ἀλληγορουμένης διανοίας, ὡς κεῖται ὄπισθ. σελ. 968–974. Ἴδε καὶ ἄλλας χρήσεις τοῦ Εὐσεβίου σελ. 509).

Μ. ΑΘΑΝΑΣΙΟΣ.

(Ἐκ τῆς Συνόψεως τῆς θείας Γραφῆς τόμ. β. σελ. 135).

«Πρώτη ἐστὶν ἡ τῶν οϐ. ἑρμηνευτῶν (ἔκδοσις)· Οὗτοι Ἑβραῖοι ὄντες, ἐξελέγησαν ἀπὸ ἑκάστης φυλῆς ἕξ, καὶ ἡρμήνευσαν τὴν θείαν Γραφὴν ἐπὶ Πτολεμαίου βασιλέως, τοῦ Φιλαδέλφου, πρὸ διακοσίων τριάκοντα ἐνιαυτῶν τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». (βλ. ὄπισθ. Βιϐλ. Α. σελ. 286).

ΚΥΡΙΛΛΟΣ ΙΕΡΟΣΟΛΥΜΩΝ.

(Κατήχ. δ′. σελ. 36. ἐκδόσ. Παρισ. 1640).

Καὶ φιλομαθῶς ἐπίγνωθι παρὰ τῆς Ἐκκλησίας, ποῖαι μέν εἰσιν αἱ τῆς Παλαιᾶς Διαθήκης βίϐλοι, ποῖαι δὲ τῆς Καινῆς –· Ἀναγίνωσκε τὰς θείας Γραφὰς, τὰς εἴκοσι δύο βίϐλους τῆς Παλαιᾶς Διαθήκης, τὰς ὑπὸ τῶν ἑϐδομήκοντα δύο ἑρμηνευτῶν ἑρμηνευθείσας. Ἀλεξάνδρου γὰρ τοῦ Μακεδόνων βασιλέως τελευτήσαντος, καὶ τῆς βασιλείας εἰς τέσσαρας διαιρεθείσης ἀρχὰς, εἴς τε τὴν Βαϐυλωνίαν, καὶ τὴν Μακεδονίαν, Ἀσίαν τε, καὶ τὴν Αἴγυπτον, εἷς τῶν τῆς Αἰγύπτου βασιλευόντων, Πτολεμαῖος ὁ Φιλάδελφος, φιλολογώτατος γενόμενος βασιλεὺς, τὰς *κατὰ* πανταχοῦ βίϐλους συναθροίζων, παρὰ Δημητρίου Φαληρέως τοῦ τῆς βιϐλιοθήκης προνοητοῦ, περὶ τῶν νομικῶν καὶ προφητικῶν θείων Γραφῶν ἐπακούσας, καὶ πολὺ κάλλιον κρίνας, οὐ παρὰ ἀκόντων ἀναγκαστῶς τὰ βιϐλία κτήσασθαι, ἀλλ᾽ ἐξιλεώσασθαι δώροις μᾶλλον καὶ φιλίᾳ τοὺς ἔχοντας, *καὶ* (γινώσκων, ὅτι τὸ μὲν ἀναγκαστὸν δολοῦται πολλάκις, ἀπροαιρέτως διδόμενον, τὸ δ᾽ ἐκ προαιρέσεως διδόμενον, σὺν ἀληθείᾳ τοῖς πᾶσι δωρεῖται), Ἐλεαζάρῳ, τῷ τότε Ἀρχιερεῖ, πλεῖστα δῶρα πέμψας εἰς τὸν ἐνταῦθα τῶν Ἱεροσολύμων ναὸν, ἓξ κατὰ φυλὴν τῶν δώδεκα τοῦ Ἰσραὴλ φυλῶν πρὸς ἑαυτὸν εἰς ἑρμηνείαν ἐποίησεν ἀποστεῖλαι· Εἶτα καὶ τοῦ θείας, ἢ μὴ, τὰς βίϐλους εἶναι λαμϐάνων ἀπόπειραν, καὶ τὸ *μὴ* συνδυάσαι πρὸς ἀλλήλους τοὺς ἀποσταλέντας ὑποπτεύσας, ἐν τῇ λεγομένῃ Φάρῳ, τῇ πρὸς Ἀλεξάνδρειαν κειμένῃ, τῶν παραγε-

νομένων ἑρμηνευτῶν ἑκάστῳ ἴδιον οἶκον ἀπονείμας, ἑκάστῳ πάσας τὰς γραφὰς ἐπέτρεψεν ἑρμηνεῦσαι. Τούτων δ᾽ ἐν ἑβδομήκοντα καὶ δύο ἡμέραις πληρωσάντων τὰς ὁμοῦ πάντων ἑρμηνείας κατὰ διαφόρους οἴκους, ἀλλήλοις μὴ προσιέντες, (γρ. *προσιόντων*), ἐποίησαν (γρ. *ἐποίησε*) τὸ συνάγωγον ἐπὶ τὸ αὐτὸ· [καὶ] οὐ μόνον ἐν νοήμασιν, ἀλλὰ καὶ ἐν λέξεσιν εὗρε συμφωνοῦντας. Οὐ γὰρ εὑρεσιλογίᾳ καὶ κατασκευῇ σοφισμάτων ἀνθρωπίνων ἦν τὸ γινόμενον, ἀλλ᾽ ἐκ τοῦ Πνεύματος τοῦ ἁγίου ἡ τῶν ἁγίῳ Πνεύματι λαληθεισῶν θείων γραφῶν ἑρμηνεία συνετελεῖτο· Τούτων τὰς εἴκοσι δύο βίβλους ἀναγίνωσκε· πρὸς δὲ τὰ ἀπόκρυφα μηδὲν ἔχε κοινόν. Ταύτας μόνας μελέτα σπουδαίως, ἃς καὶ ἐν Ἐκκλησίᾳ μετὰ παῤῥησίας ἀναγινώσκομεν· πολύ σου φρονιμώτεροι ἦσαν οἱ Ἀπόστολοι, καὶ οἱ ἀρχαῖοι ἐπίσκοποι, οἱ τῆς Ἐκκλησίας προστάται, οἱ ταύτας παραδόντες. Σὺ οὖν τέκνον τῆς Ἐκκλησίας ὤν, μὴ παραχάραττε τοὺς θεσμούς.

ΙΛΑΡΙΟΣ Ο ΠΙΚΤΑΥΩΝ.

(ἐκ τοῦ λατινικοῦ).

Οἱ ΟΒ, πρεσβύτεροι κατὰ τὴν Μωσέως παράδοσιν, πρὸς τὸ φυλάττειν τὴν τοῦ νόμου διδασκαλίαν ἐν τῇ Συναγωγῇ παραμένοντες, ἐπειδὴ τούτοις ὕστερον ὑπὸ Πτολεμαίου τοῦ βασιλέως ἀνετέθη ἡ φροντὶς τῆς ἐκ τῆς ἑβραΐδος εἰς τὸν ἕλληνα λόγον ἑρμηνείας ὅλου τοῦ νόμου, πνευματικῇ καὶ οὐρανίᾳ ἐπιστήμῃ τὰς τῶν Ψαλμῶν δυνάμεις (σημασίας) κατανοοῦντες, εἰς ἀριθμοὺς καὶ τάξιν αὐτοὺς κατέστησαν (S. Hilar. Prooem. ad Libr. Psalm.).

Μεσούντων ἤδη τῶν χρόνων τοῦ νόμου, πρὶν ἢ ὁ Μονογενὴς, υἱὸς τοῦ Θεοῦ καὶ προαιώνιος Θεὸς Λόγος ἄνθρωπος γεννηθῇ, κατ᾽ αἴτησιν Πτολεμαίου τοῦ βασιλέως οἱ Ο πρεσβύτεροι τὰς βίβλους τῆς Παλαιᾶς Διαθήκης ἐκ τῶν ἑβραίων γραμμάτων ἑλληνιστὶ μετέφρασαν. Διετέτακτο δὲ πρότερον ἤδη ὑπὸ τοῦ Μωϋσέως, ἐν πάσῃ συναγωγῇ Ο διδασκάλους εἶναι. Αὐτὸς γὰρ ὁ Μωϋσῆς καίτοι τὰ ῥήματα τῆς Παλαιᾶς Διαθήκης διὰ γραμμάτων ἐξέθετο, ἀλλ᾽ ὅμως καί τινα τῶν ἀποκρύφων τοῦ νόμου βαθύτερα

μυστήρια τοῖς Ο πρεσβυτέροις (οἱ διδάσκαλοι μετὰ ταῦτα παρέμειναν) ἀπεκάλυψε κατ' ἰδίαν. — Τούτων τοιγαροῦν ἡ διδασκαλία διέμεινε καὶ ὕστερον, διατηρηθεῖσα κἀν τούτῳ τῷ ἀριθμῷ καὶ τῷ ἐπαγγέλματι τῶν (*ἐπὶ Φιλαδέλφου*) πρεσβυτέρων. Οἵτινες τὰς βίβλους ταύτας ἐξελληνίζοντες, καὶ τὴν ἐκ τῆς Μωσαϊκῆς παραδόσεως πνευματικὴν ἐπιστήμην τῶν ἀποκρύφων γνώσεων κεκτημένοι, τὰς ἀμφιβόλους τῆς ἑβραΐδος λέξεις, καί τινας ἰδιοσημάντους ποικιλίας, κατὰ τὰς πραγματικὰς αὐτῶν δυνάμεις καὶ σημασίας διὰ βεβαίων καὶ κυρίων λέξεων μεθηρμήνευσαν, τὴν πολύτροπον ἐκείνην ἔννοιαν τῶν φωνῶν συγκιρνῶντες τῇ τῆς διδασκαλίας ἐπιστήμῃ. Ἐκ τούτου συμβέβηκε τοὺς ὕστερον (*μετὰ τοὺς Ο*) διαφόρως (*ἐκ τοῦ ἑβραϊκοῦ*) μεταφράσαντας πολλὴν τοῖς ἔθνεσι πλάνην ἐπενεγκεῖν. Τῆς γὰρ ἀπὸ τοῦ Μωσέως κατιούσης ἀποκρύφου καὶ τελείας ἐκείνης παραδόσεως ἀδαεῖς ὄντες, τὰ ἐν τῇ ἑβραίᾳ γλώσσῃ ἀμφιβόλως ἐκφραζόμενα μεθηρμήνευσαν αὐτοὶ κατὰ τὰς ἀστάτους ἰδίας αὐτῶν κρίσεις (Tract. in Psalm. II. T. 2. p. 31. Βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 271).

Τοῦτον τὸν λίθον (τὸν τοπάζιον) κοσμικῶν ὑπομνημάτων συγγράμματα φέρουσιν, ἐν Τοπάζῃ τῇ νήσῳ ὑπὸ τῶν κατοίκων αὐτῆς, τουτέστι τῶν τρωγλοδυτῶν Ἀράβων εὑρεθῆναι, καὶ τῇ μητρὶ τοῦ βασιλέως τῆς Αἰγύπτου Πτολεμαίου, ἐφ' οὗ αἱ τοῦ Νόμου Γραφαὶ ἐκ τοῦ ἑβραϊκοῦ εἰς τὴν Ἑλληνικὴν μεταφράσθησαν, δῶρον προσενεχθῆναι (Tract. in Psalm. CXVIII. §. 16 ibid. p. 384).

ΕΠΙΦΑΝΙΟΣ.

Περὶ μέτρων καὶ σταθμῶν. τόμ. β. σελ. 160, 163, 165 — 168.

Ἀφ' ἑαυτῶν γὰρ οἱ ἑβδομηκονταδύο ἑρμηνευταὶ ταύτας τὰς λέξεις προσέθηκαν, οὐκ εἰς μάτην, ἀλλὰ μᾶλλον εἰς ὠφέλειαν. Ταῖς γὰρ ἐλλειπῶς ἐχούσαις λέξεσι προστεθεικότες, εἰς σαφήνειαν τὴν ἀνάγνωσιν παρήγαγον· ὥσθ' ὑπολαμβάνειν ἡμᾶς, καὶ εὐμοίρους αὐτοὺς γεγενῆσθαι Πνεύματος ἁγίου· [*περὶ*] ὧν γὰρ οὐκ ἦν χρεία, δισσολογεῖν, παρῆκαν· ὅπου δὲ χωλὸν ἐδόκει τὸ ῥῆμα εἶναι, εἰς

ἑλληνικὴν διάλεκτον μεταφερόμενον, ἐκεῖ τὴν προσθήκην ἐποιήσαντο. Θαυμάσαι δέ ἐστιν ἐπὶ τούτῳ, καὶ μὴ τολμᾷν μέμψιν ἐπάγειν, ἀλλὰ μᾶλλον ἔπαινον, ὡς ἐκ βουλῆς Θεοῦ γεγενημένον συνιέναι τὸν εὐλαβῆ.

Ἑβδομηκονταδύο γὰρ ὄντες τὸν ἀριθμὸν, καὶ ἐν τῇ Φαρίᾳ νήσῳ, καλουμένῃ δὲ ἄνω γῇ, ἄντικρυ τῆς Ἀλεξανδρείας ἐν τριάκοντα καὶ ἓξ οἰκίσκοις, ζυγὴ ζυγὴ κατ᾽ οἰκίσκον, ἀπὸ ἕωθεν ἕως ἑσπέρας συγκλειόμενοι, καὶ τὸ ἑσπέρας ἐν τριακονταὲξ σκαφιδίοις περαιούμενοι εἰς τὸ Πτολεμαίου τοῦ Φιλαδέλφου παλάτιον, καὶ μετ᾽ αὐτοῦ ἑστιώμενοι, καὶ κατὰ ζυγὴν ἐν κοιτῶσι τριακονταὲξ καθεύδοντες, εἰς τὸ μὴ συνδυάσαι μετ᾽ ἀλλήλων, ἀλλ᾽ ἀνοθεύτως ἑρμηνεῦσαι, οὕτω διετέλουν. Τοὺς γὰρ προειρημένους τριακονταὲξ οἰκίσκους ὁ ῥηθεὶς Πτολεμαῖος κατασκευάσας ἐν τῷ πέραν εἰς τὴν νῆσον, διπλοῦς τε αὐτοὺς ποιήσας, δύο δύο ἐνέκλεισεν, ὡς ἔφην, καὶ παῖδας δύο ὑπηρετεῖν αὐτοῖς ἅμα ἐνέκλειεν, ὀψοποιΐας ἕνεκεν, καὶ ὑπηρεσίας, μετὰ καὶ ταχυγράφων· ἀλλ᾽ οὔτε θυρίδας τοῖς οἰκίσκοις ἐκείνοις ἐκ τῶν τοίχων ἐποίησεν, ἀλλ᾽ ἄνωθεν ἐκ τῶν δωμάτων τὰς καλουμένας ἀναφωτίδας ἀνέῳξεν. Οἱ δὲ οὕτω διάγοντες, ἀπὸ πρωΐας ἕως ἑσπέρας ὑπὸ κλεῖδα συγκεκλεισμένοι, οὕτως ἡρμήνευσαν. Ἑκάστῃ δὲ ζυγῇ βίβλος μία ἐπεδίδοτο· ὡς εἰπεῖν, ἡ βίβλος τῆς τοῦ κόσμου Γενέσεως μιᾷ ζυγῇ· ἡ Ἔξοδος τῶν υἱῶν Ἰσραὴλ τῇ ἄλλῃ ζυγῇ· Λευϊτικὸν τῇ ἄλλῃ· καὶ καθεξῆς ἄλλη βίβλος τῇ ἄλλῃ. καὶ οὕτως αἱ εἰκοσιεπτὰ βίβλοι αἱ ῥηταὶ καὶ ἐνδιάθετοι, εἴκοσι δὲ καὶ δύο κατὰ τὴν τοῦ ἀλφαβήτου παρ᾽ Ἑβραίοις στοιχείωσιν ἀριθμούμεναι, ἡρμηνεύθησαν.

Ὅτε δὲ ἐτελειώθησαν, ἐκαθέσθη ὁ βασιλεὺς ἐπὶ θρόνου ὑψηλοῦ, καὶ τριακονταὲξ ἀναγνῶσται ἔχοντες ἑκάστης βίβλου τὰ τριακονταὲξ ἰσότυπα, ἐξ εἷς (γρ. ἐξ ὧν εἷς) ἔχων τῆς βίβλου τῆς ἑβραϊκῆς ἀντίγραφον· ἑνὸς δὲ ἀναγινώσκοντος ἀναγνώστου, καὶ τῶν ἄλλων ἐπεχόντων, [οὐχ] εὑρέθη διαφωνία· ἀλλὰ Θεοῦ θαυμάσιον ἔργον, εἰς τὸ γνωσθῆναι, ὅτι Πνεύματος ἁγίου ἔχοντες δωρεὰν ἐκεῖνοι οἱ ἄνδρες, ὡμοφώνησαν ἐν τῇ ἐρήμῳ (ἴσ. *ἑρμηνείᾳ*)· καὶ ὅπου προσετέθει-

το λόγος, ὑπὸ πάντων εὑρέθη προστεθειμένος· ὅπου δὲ ἀφείλοντο, πάντες ἐπίσης εὑρέθησαν ἀφελόμενοι. καὶ ὧν μὲν ἀφείλοντο οὐκ ἔστι χρεία, ὧν δὲ οὐκ ἀφείλοντό ἐστι χρεία. Εἰς δὲ τὸ γενέσθαι σοι σαφὲς τὸ εἰρημένον, ὅτι θαυμαστῶς, κατὰ Θεοῦ οἰκονομίαν, καὶ ἐκ συμφωνίας Πνεύματος ἁγίου συμφώνως ἡρμήνευσαν, καὶ πρὸς ἀλλήλους οὐ διηνέχθησαν, παρέξω σοι διὰ μακροῦ λόγου τὴν τούτων ἀπόδειξιν· ὡς ἄν, ἐκ τούτου γνοὺς καὶ πεισθείς, συναινέσῃς τῷ ἡμετέρῳ λόγῳ. — Δεῖ δὲ καὶ ἡμᾶς καὶ αὐτῶν τῶν εἰρημένων τὴν ὑπόθεσιν δηλῶσαι. Χρησιμεύσει γάρ σοι καὶ ἡ περὶ τούτων γνῶσις ἐξ αὐτῆς τῆς ἐπιβολῆς τῆς περὶ αὐτῶν διηγήσεως, ὑποδεικνύουσα, τίνες, πόθεν, καὶ πότε, [καὶ] γένους ποίου ἕκαστος αὐτῶν ὑπῆρξε, καὶ τοῦ ἑρμηνεῦσαι τίς αὐτῷ γέγονεν ἡ αἰτία.

Καὶ πρῶτοι μὲν ἑρμηνευταὶ γεγόνασι τῆς αὐτῆς θείας Γραφῆς, ἀπὸ Ἑβραϊκῆς διαλέκτου εἰς Ἑλληνίδα, ἑβδομηκονταδύο ἄνδρες τὸν ἀριθμόν, τὴν αὐτὴν πρώτην ἑρμηνείαν ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου ἑρμηνεύσαντες· Οἵτινες ἐξελέγησαν ἐκ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ, ἓξ ἄνδρες κατὰ φυλήν, ὡς ἐξέδωκεν Ἀρισταῖος ἐν τῷ αὐτῷ συντάγματι.— Ὁ γὰρ μετὰ τὸν Πτολεμαῖον δεύτερος βασιλεύσας Ἀλεξανδρείας Πτολεμαῖος, ὁ ἐπικληθεὶς Φιλάδελφος, ὡς προείρηται, φιλόκαλός τις ἀνὴρ καὶ φιλολόγος γεγένηται· ὅστις βιβλιοθήκην κατασκευάσας ἐπὶ τῆς αὐτῆς Ἀλεξάνδρου πόλεως, ἐν τῷ Βρουχίῳ καλουμένῳ κλίματι (Καὶ ἔστι τοῦτο τῆς αὐτῆς πόλεως, ἔρημον τανῦν ὑπάρχον), ἐνεχείρισε Δημητρίῳ τινὶ τῷ Φαλαρηνῷ (γρ. Φαληρεῖ) τὴν αὐτὴν βιβλιοθήκην, προστάξας συναγαγεῖν τὰς πανταχοῦ γῆς βίβλους, γράψας ἐπιστολάς, καὶ προσλιπαρήσας ἕκαστον τῶν ἐπὶ γῆς βασιλέων τε καὶ ἀρχὴν (ἴσ. *ἀρχῶν*), μὴ κατοκνῆσαι ἀποσεῖλαι, ποιητῶν τε λέγω καὶ λογογράφων, ῥητόρων τε καὶ σοφιστῶν, καὶ ἰατρῶν καὶ ἰατροσοφιστῶν, καὶ ἱστοριογράφων καὶ λοιπῶν βίβλους. Τοῦ δὲ ἔργου προκόπτοντος, καὶ τῶν βιβλίων πανταχόθεν συναγομένων, ἠρώτησεν ὁ βασιλεὺς τὸν τὴν βιβλιοθήκην πεπιστευμένον ἐν μιᾷ τῶν ἡμερῶν. ὅτι, πόσαι δ' ἂν εἶεν βίβλοι εἰς τὴν βιβλιοθήκην συναχθεῖσαι; Ὁ δὲ ἀπεκρίθη τῷ βασιλεῖ, λέγων· ὅτι

ἤδη μέν εἰσι μυριάδες πέντε (γρ. εἴκοσι) βίβλων, καὶ τετρακισχίλιαι ὀκτακόσιαι, πλεῖον ἢ ἔλασσον. Ἀκούομεν δ' ἔτι πολὺ πλῆθος ἐν τῷ κόσμῳ ὑπάρχειν, παρά τε Αἰθίοψι, καὶ Ἰνδοῖς, Πέρσαις τε καὶ Ἐλαμίταις, καὶ Βαβυλωνίοις, Ἀσσυρίοις τε καὶ Χαλδαίοις, παρὰ Ῥωμαίοις τε καὶ Φοίνιξι, Σύροις τε καὶ τοῖς ἐν τῇ Ἑλλάδι, οὔπω Ῥωμαίοις καλουμένοις ἀκμὴν, ἀλλὰ Λατίνοις». (βλ. ὄπισθ. Βιβλ. Α. σελ. 50, 52). «Ἀλλὰ καὶ παρὰ τοῖς [ἐν] Ἱεροσολύμοις, καὶ ἐν τῇ Ἰουδαίᾳ ὑπάρχουσι βίβλοι θεϊκαὶ τῶν προφητῶν, διηγούμεναι περὶ Θεοῦ καὶ τῆς κοσμοποιΐας, καὶ τῆς ἄλλης πάσης κοινωφελοῦς διδασκαλίας. Εἰ οὖν δοκεῖ τῷ κράτει σου, βασιλεῦ, καὶ αὐτὰς μεταστείλασθαι, γράψον τοῖς ἐν Ἱεροσολύμοις διδασκάλοις, καὶ ἀποστελοῦσί σοι· ὅπως καὶ τὰς αὐτὰς βίβλους καταθῶ ἐν τῇ αὐτῇ τῆς σῆς εὐσεβείας βιβλιοθήκῃ. Τότε τοίνυν γράφει ὁ βασιλεὺς ἐπιστολὴν, ἔχουσαν τάδε.

«Βασιλεὺς Πτολεμαῖος τοῖς ἐν Ἱεροσολύμοις τῶν Ἰουδαίων, πλεῖστα χαίρειν. Βιβλιοθήκην κατασκευάσας, καὶ πλῆθος συναγαγὼν βιβλίων ἐξ ἑκάστου ἔθνους, ἐν αὐτῇ ἀπεθέμην. Ἀκούσας δὲ ὡς παρ' ἡμῖν ἐμφέρονται βίβλοι προφητῶν, περὶ Θεοῦ τε καὶ κοσμοποιΐας δηλοῦσαι, καὶ ταύτας [σὺν] ταῖς ἄλλαις ἀφιερῶσαι ἐπιθυμῶ (γρ. ἐπιθυμῶν), γέγραφα, ὅπως ταύτας ἡμῖν ἀποστείλητε. Ὅτι γὰρ τιμῆς ἕνεκεν καὶ οὐ περιεργείας χάριν, οὔτε κακονοίας, τῆς τοιαύτης αἰτίας εἰμὶ ἐπιθυμητὴς, ἀλλὰ πίστεως ἕνεκα, καὶ τῆς περὶ ὑμᾶς φιλίας τὴν τούτων αἴτησιν ποιοῦμαι, ἐκ τῆς ὑφ' ἡμῶν περὶ ὑμᾶς γενομένης εὐνοίας ἀναμνησθέντες εἴσεσθε. Μέμνησθέ που, ὡς αἰχμαλώτων πολλῶν ἐκ τῆς ὑμετέρας πατρίδος ληφθέντων, καὶ εἰς Αἴγυπτον, τὴν ἡμετέραν πατρίδα ἀχθέντων, ἀνῆκα, καὶ μετ' ἐφοδίων πολλῶν, καὶ θεραπείας οὐ τῆς τυχούσης, ἐπιμελησάμενος αὐτῶν, ἐλευθέρους ἀπέπεμψα. Ἀλλὰ καὶ τοὺς ἐν αὐτοῖς πεπληγμένους ἰασάμενος ἀνῆκα, καὶ τοὺς γυμνοὺς ἐνέδυσα· καὶ νῦν δὲ τράπεζαν χρυσῆν μετὰ πολυτελεστάτης λιθίας κεκοσμημένην, ἐξ ὁλκῆς ταλάντων φ'. ἀντὶ τῆς τραπέζης τῆς ληφθείσης ἀπὸ τοῦ ἁγίου τόπου [τῶν] Ἱεροσολύμων, ἀπέστειλα, μετὰ καὶ δώρων καὶ κειμη-

λίων τῷ ἱερῷ τόπῳ. Τούτων τοίνυν τὴν διήγησιν ἐποιησάμην, ὅπως γνῶτε, ὅτι ὑπὲρ εὐχῆς καὶ εὐσεβείας τὰς βίβλους αἰτῶ».

Καὶ ἡ μὲν ἐπιστολὴ ἀπεστάλη, καὶ τὰ ἀπεσταλμένα δῶρα· αὐτοὶ δὲ δεξάμενοι καὶ τὴν ἐπιστολὴν καὶ τὰ δῶρα ἀσμένως, διὰ χαρᾶς ἔσχον σφόδρα· καὶ ἀμελητὶ χρυσέοις γράμμασιν ἑβραϊκοῖς τὰς βίβλους μεταγραψάμενοι, τὰς ἤδη μοι προτεταγμένας, ἀπέσειλαν, κβ'. μὲν τὰς ἐνδιαθέτους, ἑβδομηκονταδύο (γρ. *εἰκοσιδύο*) δὲ τὰς ἀποκρύφους. Ὁ δὲ βασιλεὺς κομισάμενος, καὶ ἐντυχὼν, καὶ μὴ δυνάμενος ἀναγνῶναι, τῶν στοιχείων ἑβραϊκῶν ὑπαρχόντων, καὶ διαλέκτῳ τῇ ἑβραϊκῇ γεγραμμένων, δευτέραν ἐπιστολὴν ἀναγκάζεται αὐτοῖς γράψαι, καὶ αἰτῆσαι ἑρμηνευτὰς τοὺς δυναμένους αὐτῷ φράσαι (ἴσ. γρ. μεταφράσαι) τὰς βίβλους εἰς τὴν ἑλληνικὴν διάλεκτον διὰ τῆς ἑβραΐδος. περιεῖχε δὲ ἡ ἐπιστολὴ τάδε.

Βασιλεὺς Πτολεμαῖος τοῖς τῆς εὐσεβείας διδασκάλοις, τοῖς ἐν Ἱεροσολύμοις, πλεῖστα χαίρειν.

«Θησαυροῦ κεκρυμμένου, καὶ πηγῆς ἐσφραγισμένης, τίς ὠφέλεια ἐν ἀμφοτέροις; Οὕτω καὶ ἡ παρ' ὑμῶν ἀπεσταλμένη ἡμῖν τῶν βιβλίων ὑπόθεσις. Ἡμῶν γὰρ μὴ δυναμένων ἀναγνῶναι τὰ γράμματα τούτων, εἰς οὐδὲν ὄφελος ἡμῖν γενήσεται. Ἀλλὰ καταξιώσατε ἑρμηνευτὰς ἡμῖν ἀποστεῖλαι, τοὺς ἀκριβῶς ἐκπεπαιδευμένους τήν τε τῶν Ἑβραίων, καὶ τὴν τῶν Ἑλλήνων γλῶτταν». Τότε τοὺς ἑβδομηκονταδύο ἑρμηνευτὰς ἐκλεξάμενοι οἱ τῶν Ἑβραίων διδάσκαλοι, ἀποστέλλουσι, κατὰ τὸν τύπον, ὅν ποτε ἐποίησε Μωϋσῆς, ἡνίκα ἀνῆλθεν εἰς τὸ ὄρος διὰ προστάγματος κυρίου, ἀκούσας, ὅτι «Παράλαβε μετὰ σεαυτοῦ ἄνδρας ἑβδομήκοντα, καὶ ἀνάβηθι εἰς τὸ ὄρος». Αὐτὸς δὲ διὰ τὴν πρὸς τὰς φυλὰς εἰρήνην, ἵνα μὴ ἐξ ἐνίων λάβῃ πέντε ἄνδρας, ἐξ ἄλλων ἓξ, [καὶ] ποιήσῃ στάσιν ἐν ταῖς φυλαῖς, διενοήθη μᾶλλον ἑβδομηκονταδύο παραλαβεῖν, καὶ τῷ ἀριθμῷ προσθεῖναι· Τῷ αὐτῷ δὴ τρόπῳ, ὡς ἔφην, καὶ τούτους ἀπέστειλαν, οἵτινες ἡρμήνευσαν τὰς βίβλους ἐν τῇ Φαρίᾳ καλουμένῃ νήσῳ, καθάπερ ἄνω προείπομεν. Καὶ οὕτως αἱ βίβλοι εἰς

Ἑλληνίδα ἐκτεθεῖσαι, ἀπετέθησαν ἐν τῇ πρώτῃ βιβλιοθήκῃ, τῇ ἐν τῷ Βρουχίῳ οἰκοδομηθείσῃ. Ἔτι δὲ ὕστερον καὶ ἑτέρα ἐγένετο βιβλιοθήκη ἐν τῷ Σεραπείῳ, μικροτέρα τῆς πρώτης, ἥτις καὶ θυγάτηρ ὠνομάσθη αὐτῆς· ἐν ᾗ ἀπετέθησαν αἱ τοῦ Ἀκύλα, καὶ Συμμάχου, καὶ Θεοδοτίωνος, καὶ τῶν λοιπῶν ἑρμηνεῖαι, κτλ.

ΦΙΛΑΣΤΡΙΟΣ.

(Ἐκ τοῦ λατινικοῦ).

Αὕτη γὰρ ἡ τῶν ΟΒ δηλονότι ἑρμηνεία (τῆς θείας Γραφῆς) ἐπὶ Πτολεμαίου, βασιλεύσαντος Αἰγύπτου μετὰ τὸν Μ. Ἀλέξανδρον, μεθερμηνευθεῖσα, πᾶσι δέδοται, καὶ τῷ λαῷ τῶν Ἰουδαίων ἐν Ἱεροσολύμοις, ἔνθα κατῴκουν οὐ πολλοὶ Ἰουδαῖοι, οἷον ὑποτεταγμένοι τῷ βασιλεῖ τῆς Αἰγύπτου διατελοῦντες. Οὗτοι τοίνυν ὑπ᾽ αὐτοῦ τοῦ Πτολεμαίου παρακληθέντες, ἀπέστειλαν ἑρμηνεῖς εἰς τὴν Ἀλεξάνδρειαν. Καὶ δὴ ἀφικόμενοι εἰς αὐτὴν οἱ ΟΒ ἑρμηνεῖς, ἄνδρες σοφοὶ καὶ συνετοί, κατὰ τὴν ἐπιταγὴν τοῦ βασιλέως, τὴν ἑβραίαν γλῶσσαν ἑλληνιστὶ μεθηρμήνευσαν, καὶ γράμμασιν ἐξέδωκαν ἑλληνικοῖς. Ὁ δὲ βασιλεὺς Αἰγύπτου Πτολεμαῖος, ὡς ἀπεδέξατο αὐτούς, βουλόμενος πεῖραν λαβεῖν, εἰ θεία ὑπῆρχεν ἡ παρ᾽ Ἰουδαίοις ἀναγινωσκομένη Γραφή, διέταξεν ἕκαστον χωρὶς εἰς οἰκίσκον ἐγκλεισθῆναι, καὶ μηδένα βλέπειν ἄλλον, εἰ μὴ μόνον τὸν ὑπογραφέα, τοῦ ἑρμηνέως ὑπαγορεύοντος. Αὐτὸς δὲ παρὰ πάντων ἑκάστοτε λαμβάνων τὴν ἑρμηνείαν, ὡς εὕρηκεν εἰς ἓν συνερχομένους (*συμφωνοῦντας*), ἐπέταξεν εἰς πάντας (τοὺς Ο) ἐπιγραφῆναι τὴν ἔκδοσιν, καὶ ἀνατεθῆναι ἐν τῷ ναῷ (Philast. de Haeres. CXXXVIII). βλ. καὶ ὄπισθ. σελ. 574.

ΙΕΡΩΝΥΜΟΣ.

(Ἐκ τοῦ λατινικοῦ).

Οὐκ οἶδα τίς πρῶτος συγγραφεὺς διὰ τῆς αὐτοῦ ψευδοσύνης κατεσκεύασεν ἐν Ἀλεξανδρείᾳ ἑβδομήκοντα οἰκίσκους, ἐν οἷς οἱ ἑρμηνεῖς διῃρημένοι, τὰ αὐτὰ πάντες συνέγραφον· ὁπότε *Ἀριστέας ὁ τοῦ Πτολεμαίου αὐτοῦ ὑπερασπιστὴς*, καὶ πολλῷ δὲ μετὰ τοῦτον ὁ Ἰώσηπος, οὐδὲν τοιοῦτο ἀνέφερον. Ἐν μιᾷ δὲ βασιλικῇ συ-

νηγμένους αὐτοὺς γράφουσιν ἀντιβαλεῖν τὴν μετάφρασιν, οὐ προφητεῦσαι. Ἄλλο γάρ ἐστι προφήτην, ἄλλο δὲ μεταφραστὴν εἶναι· ἐκεῖ τὸ πνεῦμα προλέγει, ἐνταῦθα παιδεία καὶ λόγος τὰ νοούμενα μεταφράζει (Praefat. in Pentat. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 388).

Οὔτε τῶν Ο ἑρμηνευτῶν, ὡς οἱ φθονοῦντες ὑλακτοῦσι, πλάνας ἐξελέγχομεν, οὔτε τὸν ἡμέτερον πόνον νομίζομεν ψόγον ἐκείνων. εἴγε ἐκεῖνοι Πτολεμαίῳ, τῷ βασιλεῖ τῆς Ἀλεξανδρείας, οὐκ ἠθέλησαν προδοῦναι πάντα τὰ μυστηριώδη τῶν ἁγίων Γραφῶν, καὶ μάλιστα τὰ τὴν ἔλευσιν τοῦ Χριστοῦ προκαταγγέλλοντα, μήποτε δόξωσιν οἱ Ἰουδαῖοι σεβόμενοι καὶ ἄλλον Θεόν, οὓς ὁ τοῦ Πλάτωνος ἐκεῖνος αἱρετιστὴς (ὁ Μενέδημος) διὰ τοῦτο μάλιστα περὶ πολλοῦ ἐποιεῖτο, διότι ἕνα Θεὸν σέβοντες ἐλέγοντο. Ἀλλὰ καὶ οἱ Εὐαγγελισταί, καὶ αὐτὸς ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ, καὶ Παῦλος ὁ Ἀπόστολος πολλὰ ὡς ἐκ τῆς Παλαιᾶς ἐκφέρουσι Γραφῆς, ἅπερ ἐν τοῖς ἡμετέροις ἀπογράφοις οὐχ εὑρίσκονται· — ἐκ τούτου πρόδηλον, ὅτι ἐκεῖνα τῶν ἀντιγράφων ἀληθέστερά εἰσιν, ὅσα συμφωνοῦσι μετὰ τοῦ κύρους τῆς Καινῆς Διαθήκης. Κἀκεῖνο δὲ συμβέβηκεν· ὅτι ὁ *Ἰώσηπος τὴν τῶν Ο ἑρμηνευτῶν ἱστορίαν ἐκτιθεὶς*, τὰς πέντε τοῦ Μωσέως βίβλους ὑπ' αὐτῶν ἑρμηνευθῆναι λέγει (Praef. Quaest. in Genes. βλ. καὶ ὄπισθ. Βιβλ. Β. σελ. 414, 466).

Οὗτός ἐστι Πτολεμαῖος ὁ Φιλάδελφος, δεύτερος Αἰγύπτου βασιλεὺς, υἱὸς Πτολεμαίου τοῦ πρώτου, ἐφ' οὗ οἱ Ο ἑρμηνεῖς ἐν Ἀλεξανδρείᾳ τὴν ἁγίαν Γραφὴν εἰς τὴν ἑλληνίδα γλῶσσαν ἑρμηνεῦσαι λέγονται· ὃς καὶ τῷ ἀρχιερεῖ τῶν Ἱεροσολύμων Ἐλεαζάρῳ πολλὰ, καὶ εἰς τὸν ναὸν ἀναθήματα καὶ σκεύη ἀπέστειλε. Τούτου τῆς βιβλιοθήκης ἐπεστάτει Δημήτριος ὁ Φαληρεὺς, ὁ αὐτὸς παρ' Ἕλλησι καὶ ῥήτωρ καὶ φιλόσοφος (Comment. in Dan. c. XI. 5. πρβλ. καὶ IX. 24).

Ἄλλας τοῦ μακαρίου Ἱερωνύμου περὶ τῶν Ο μαρτυρίας βλ. ὄπισθεν σελ. 593 — 596.

ΡΟΥΦΙΝΟΣ.

Τοὺς λόγους τούτου βλ. ὄπισθ. σελ. 601.

ΑΥΓΟΥΣΤΙΝΟΣ.

(Ἐκ τοῦ λατινικοῦ).

Τοῦτον (τὸν Λάγου Πτολεμαῖον) διεδέξατο Πτολεμαῖος ἕτερος, ὁ ἐπικληθεὶς Φιλάδελφος. — ὅς ᾐτήσατο παρὰ τοῦ ἀρχιερέως Ἐλεαζάρου δοῦναι αὐτῷ τὰς Γραφάς, ἃς τῷ ὄντι ἠκηκόει τῆς φήμης κηρυττούσης θείας (εἶναι). Διὸ καὶ ἐπεθύμησεν ἔχειν ἐν τῇ βιβλιοθήκῃ, ἣν ἐπισημοτάτην εἶχε κατασκευάσας. Ἐπειδὴ δὲ ταύτας ὁ ἀρχιερεὺς ἀπέστειλεν ἑβραίας » (ἑβραϊστὶ γεγραμμένας), « ἐζήτησεν ἔπειτα καὶ ἑρμηνεῖς· καὶ ἐδόθησαν αὐτῷ ΟΒ, ἐξ ἑκάστης τῶν ΟΒ, φυλῶν ἀνὰ ἓξ ἄνδρες, ἑκατέρων τῶν γλωσσῶν εἰδημονέστατοι, τῆς ἑβραΐδος δηλαδὴ καὶ τῆς ἑλληνικῆς, ἐξ ὧν ἡ ἑρμηνεία *τῶν Ο* καλεῖσθαι κεκράτηκεν ἤδη συνήθεια. Παραδέδοται δὲ δήπου οὕτω θαυμαστὴν καὶ ἐκπληκτικὴν καὶ θείαν ἄντικρυς συμφωνίαν ἐν τοῖς λόγοις αὐτῶν γενέσθαι, ὥστε, καί τοι χωρὶς καὶ ἰδίᾳ ἕκαστοι καθεσθέντες πρὸς τὸ ἔργον τῆς ἑρμηνείας (οὕτω γὰρ ἤρεσε τῷ βασιλεῖ τὴν πίστιν αὐτῶν δοκιμάσαι), ἐν οὐδεμιᾷ λέξει συνωνύμῳ, ἀλλ' οὐδὲ περὶ τὴν τάξιν τῶν λέξεων πρὸς ἀλλήλους διεφώνησαν, ἀλλ' ὡς ἂν εἴπερ εἷς ὑπῆρχεν ἑρμηνεύς, οὕτως ἓν ἀπέβη τὸ παρὰ πάντων ἑρμηνευθέν. Ἓν γὰρ ὑπῆρχεν ἐν πᾶσι τὸ Πνεῦμα. (De Civit. Dei L. XIII. c. 42).

Ἄλλην μαρτυρίαν τοῦ ἱεροῦ Αὐγουστίνου βλέπε προγεγραμμένην ὄπισθ. σελ. **604. Τοῦ δ' αὐτοῦ** καὶ ἄλλα, καὶ τὰ ἑξῆς.

Εἴπερ οὖν, ὡς προσήκει, οὐδὲν ἕτερον ἐν ταῖς Γραφαῖς καθορῶμεν, εἰμὴ ὅ,τι δι' ἀνθρώπων ἐλάλησε τὸ Πνεῦμα τοῦ Θεοῦ. — ὅ,τι λοιπὸν κεῖται παρ' ἀμφοτέροις (τοῖς Ἑβραίων Προφήταις, καὶ τοῖς Ο ἑρμηνευταῖς), τοῦτο δι' ἀμφοτέρων ἠθέλησεν εἰπεῖν τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα τοῦ Θεοῦ. Οὕτω γέ μην, ὥστε, ἐκεῖνοι μὲν προηγήσαντο προφητεύοντες, οὗτοι δὲ παρηκολούθησαν προφητικῶς ἑρμηνεύοντες. Ὥσπερ γὰρ ἐν ἐκείνοις τἀληθῆ καὶ σύμφωνα φθεγγομένοις ἓν τὸ Πνεῦμα τῆς εἰρήνης ἐνῆν, οὕτω δὴ κἀν τούτοις πρὸς ἀλλήλους μὴ συνιοῦσι, τὰ δ' αὐτὰ ὡς ἐξ ἑνὸς στόματος ἑρμηνεύουσιν, ἓν καὶ τὸ αὐτὸ Πνεῦμα ἐπεφάνη. (αὐτόθ. κεφ. 43).

ΙΩ. Ο ΧΡΥΣΟΣΤΟΜΟΣ.

(Λόγ. Α. κατὰ Ἰουδαίων τόμ. α. σελ. 392. ἐκδ. Francof.)

Πτολεμαῖος ὁ Φιλάδελφος τὰς πανταχόθεν βίβλους συναγαγὼν, καὶ μαθὼν, ὅτι παρὰ Ἰουδαίοις εἰσὶ γραφαὶ περὶ Θεοῦ φιλοσοφοῦσαι καὶ πολιτείας ἀρίστης, μεταπεμψάμενος ἄνδρας ἐκ τῆς Ἰουδαίας, ἡρμήνευσεν αὐτὰς δἰ ἐκείνων, καὶ ἀπέθετο εἰς τὸ τοῦ Σεράπιδος ἱερόν· (καὶ γὰρ ἦν Ἕλλην ὁ ἀνήρ)· καὶ μέχρι νῦν ἐκεῖ τῶν προφητῶν αἱ ἑρμηνευθεῖσαι βίβλοι μένουσι. Τί οὖν, ἅγιος ἔσται τοῦ Σεράπιδος ὁ ναὸς διὰ τὰ Βιβλία; μὴ γένοιτο· ἀλλ᾽ ἐκεῖνα μὲν ἔχει τὴν οἰκείαν ἁγιότητα, κτλ.

Τοῦ αὐτοῦ Ὁμιλ. Δ'. εἰς Γένεσ. τόμ. β. σελ. 28.

Πᾶσαι αἱ θεῖαι βίβλοι τῆς Παλαιᾶς Διαθήκης τῇ Ἑβραίων γλώττῃ ἐξ ἀρχῆς ἦσαν συντεθειμέναι, καὶ τοῦτο πάντες ἂν ἡμῖν συνομολογήσαιεν. Οὐ πρὸ πολλῶν δὲ τῶν ἐτῶν τῆς τοῦ Χριςοῦ παρουσίας, βασιλεύς τις Πτολεμαῖος περὶ τὴν τῶν βιβλίων συναγωγὴν πολλήν τινα σπουδὴν ποιησάμενος, καὶ πολλὰ ἕτερα συναγαγὼν καὶ διάφορα, ἔγνω δεῖν καὶ ταύτας τὰς βίβλους συναγαγεῖν, καὶ, μεταπεμψάμενός τινας τῶν ἐν Ἱεροσολύμοις Ἰουδαίων, μεταβαλεῖν εἰς τὴν ἑλλάδα γλῶτταν. καὶ δὴ τοῦτο εἰς ἔργον αὐτῷ ἐξενήνεκται· Ἐγένετο δὲ καὶ τοῦτό τῆς τοῦ Θεοῦ οἰκονομίας ἔργον, ὥστε μὴ μόνον τοὺς τὴν Ἑβραίων γλῶτταν κεκτημένους, ἀλλὰ καὶ πάντας τοὺς τὴν οἰκουμένην οἰκοῦντας τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπώσασθαι. Καὶ τὸ δὴ θαυμαςὸν καὶ παράδοξον, ὅτι οὐ τῶν [τὰ] Ἰουδαϊκὰ φρονούντων τις τὴν σπουδὴν ταύτην ἐποιήσατο, ἀλλ᾽ ἀνὴρ τοῖς εἰδώλοις προστετηκὼς, καὶ ἀπεναντίας τῇ θρησκείᾳ διακείμενος. Τοιαῦτα γάρ ἐστιν ἅπαντα τὰ ὑπὸ τοῦ Δεσπότου τοῦ ἡμετέρου οἰκονομούμενα· ἀεὶ διὰ τῶν ἐναντίων αὔξει τὰ τῆς ἀληθείας προστάγματα.

Τοῦ αὐτοῦ Ὁμιλ. Η'. εἰς τὴν πρὸς Ἑβρ. ἐπιστολ. σελ. 776.

Ὁρᾶτε ἄνωθεν, ἵνα μάθητε τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν. Ἐνέπνευσε τῷ μακαρίῳ Μωϋσεῖ . . . . Μετὰ δὲ ταῦτα προφήτας

ἔπεμψε μυρία παθόντας δεινά. Ἐπῆλθε πόλεμος· ἀνεῖλον πάντας, κατέκοψαν, ἐνεπρήσθησαν αἱ βίβλοι. Ἑτέρῳ πάλιν ἀνδρὶ θαυμαστῷ ἐνέπνευσεν, ὥστε αὐτὰς ἐκθέσθαι, τῷ Ἔσδρᾳ λέγω· καὶ ἀπὸ λειψάνων συντεθῆναι ἐποίησε. Μετὰ δὲ τοῦτο ᾠκονόμησεν ἑρμηνευθῆναι αὐτὰς ὑπὸ τῶν Ἑβδομήκοντα».

Ἄλλην χρῆσιν τοῦ Χρυσοστόμου βλ. ὄπισθ. σελ. 611.

ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ.

Ἀλλ' ἀνόητον εἴη ἄν, ἀφέντας τῆς Ἑβραΐδος τὴν φωνὴν, καθ' ἣν ὁ Προφήτης ἐφθέγξατο, ἥν περ οὖν ἡμῖν διὰ τῆς οἰκείας ἑρμηνείας σαφῆ κατέστησαν ἄνδρες ἑβδομήκοντα, δόκιμοί τε καὶ ἀκριβῶς τῆς γλώττης ἐπιστήμονες ἐκείνης, Σύρῳ προσέχειν, μεταβεβληκότι τὴν Ἑβραίων εἰς τὴν Σύρων» κτλ. (Θεοδώρ. Μοψουεστ. ἑρμην. εἰς Ἀββακ. β. σελ. 185). Καὶ πάλιν ὁ αὐτός.

Εἰς δὲ τὴν Ἑλλήνων (τὰς Γραφὰς) ἑβδομήκοντα μετεννηνόχασιν ἄνδρες, πρεσβύτεροι τοῦ λαοῦ, ἐπιστήμονες μὲν ἀκριβῶς τῆς γλώττης τῆς οἰκείας, ἐπιστήμονες δὲ καὶ τῶν θείων Γραφῶν, ὑπό τε τοῦ ἱερέως καὶ παντὸς τοῦ Ἰσραηλιτικοῦ λαοῦ δοκιμασθέντες, ὡς ἂν πάντων μάλιστα πρὸς τὴν ἑρμηνείαν ἄξιοι, ὧν τήν τε ἑρμηνείαν καὶ τὴν ἔκδοσιν καὶ οἱ μακάριοι Ἀπόστολοι δεξάμενοι φαίνονται προδήλως· οἳ καὶ τοῖς ἀπὸ ἐθνῶν πεπιστευκόσιν, οὐδόλως προσέχουσι πρότερον τοῖς τῆς Παλαιᾶς Διαθήκης, παρέδωκαν τὰς θείας Γραφὰς ἐπὶ τῆς Ἑλλήνων κειμένας γλώττης, κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν· Παρ' ὧν δὲ (ἴσ. γρ. δὴ) καὶ παραλαβόντες αὐτὰς, νῦν ἔχομεν ἅπαντες οἱ ἐξ ἐθνῶν τῷ δεσπότῃ πεπιστευκότες Χριστῷ, ἔν τε ταῖς Ἐκκλησίαις ἀναγινώσκοντες, καὶ κατ' οἶκον ἔχοντες. Πῶς οὖν οὐκ ἀνόητον νομίζειν, ὅτι οἱ μὲν Ἑβδομήκοντα, καὶ τοσοῦτοι καὶ τοιοῦτοι, καὶ οὕτω δεδοκιμασμένοι, διεσφάλλοντο περὶ λέξιν, αἱ (ἴσ. γρ. οἳ) καὶ πρὸ πάσης ἑρμηνείας ᾔδεσαν πάντως τὸ ἐν τῇ θείᾳ κείμενον Γραφῇ; κτλ. (ἑρμην. εἰς Σοφον· α. σελ. 194. πρβλ. καὶ σελ. 202. ἐν Maii Script. vet. Nov. Collet. T. VI).

ΗΣΥΧΙΟΣ ΠΡΕΣΒΥΤΕΡΟΣ.

Πτολεμαῖος ὁ Φιλάδελφος ἐβασίλευσεν ἔτη ΛΗ. Οὗτος προ-

τρέπει τοὺς ἐκ τῶν Ἰουδαίων νομομαθεῖς ἑρμηνεῦσαι τὰς θείας Γραφὰς ἐκ τῆς ἑβραΐδος εἰς τὴν ἑλληνικὴν γλῶσσαν. καὶ ποιοῦνται τὴν ἑρμηνείαν ἄνδρες Ο, ἐν σοφίᾳ παρὰ τοῖς Ἑβραίοις ἐπαινούμενοι, ἐν ἑβδομήκοντα ἡμέραις, καθίσας αὐτοὺς ἐν τῇ Φάρῳ ἀνὰ δύω, καὶ συγκρίνας τὰς πάντων ἑρμηνείας (βλ. ὄπισθ. Βιβλ. Β. σελ. 352).

ΚΥΡΙΛΛΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Πτολεμαῖος δὲ οὑτοσὶ τῶν ὅτι μάλιστα φιλολογωτάτων γεγονὼς, ἕνα τῶν ἐπιτηδείων αὐτῷ πέπομφεν εἰς τὴν Ἰουδαίαν, Ἐλεαζάρῳ, τῷ τηνικάδε κατὰ νόμους ἱερεῖ, γράψας, ὥστε πάντα τὰ βιβλία Μωσέως τε καὶ τῶν ἁγίων Προφητῶν ἀποστεῖλαι οἱ, μαθητιῶντι λίαν· συνεκπέμψαι δὲ καὶ τοὺς δυναμένους εἰς [τὴν] ἑλλάδα φωνὴν αὐτὰ μεταθεῖναι· ὃ δὴ καὶ γέγονε. (πρὸς τὰ τοῦ Ἰουλιαν. λόγ. α.).

ΘΕΟΔΩΡΗΤΟΣ.

Ἐμοὶ δοκεῖ τολμηρὸν εἶναι τὰς ἀνέκαθεν ἐμφερομένας ἐπὶ Πτολεμαίου, τοῦ τῆς Αἰγύπτου μετὰ τὸν Ἀλέξανδρον βασιλεύσαντος, ἀνατρέπειν ἐπιγραφὰς, ἃς οἱ ἑβδομήκοντα πάντες πρεσβύτεροι μετέθεσαν εἰς τὴν ἑλλάδα φωνὴν, ὡς καὶ τὴν ἄλλην ἅπασαν θείαν Γραφήν. Πρὸ πεντήκοντα δὲ καὶ ἑκατὸν τῆς ἑρμηνείας ἐνιαυτῶν θείας ἀναπλησθεὶς χάριτος ὁ θαυμάσιος Ἔσδρας, τὰς ἱερὰς ἀνέγραψε βίβλους, ὑπὸ τῆς τῶν Ἰουδαίων ἀμελείας, καὶ τῆς τῶν Βαβυλωνίων δυσσεβείας, πάλαι διαφθαρείσας· Εἰ δὲ κἀκεῖνος ὑπὸ τοῦ παναγίου Πνεύματος τὴν τούτων ἀνενεώσατο μνήμην, καὶ οὗτοι μὴ δίχα τῆς θείας ἐπιπνοίας, μετὰ πολλῆς συμφωνίας μετήνεγκαν ταύτας εἰς τὴν ἑλλάδα φωνήν. (Ἑρμην. εἰς τοὺς Ψαλμ. τ. α. σελ. 304).

ΒΑΣΙΛΕΙΟΣ ΣΕΛΕΥΚΕΙΑΣ.

Φιλάδελφος ἔτη ΛΗ (ἐβασίλευσεν)· Οὗτος ἀπολύσας τοὺς αἰχμαλώτους τῶν Ἰουδαίων, ἐφιλοτιμήσατο μεταγράψασθαι εἰς [τὴν] ἑλληνίδα γλῶσσαν τὰς ἑβραϊκὰς βίβλους. (Ἀποδείξ. κατὰ Ἰουδαίων, περὶ τῆς τοῦ Σωτῆρος παρουσίας. σελ. 203).

ΟΛΥΜΠΙΟΔΩΡΟΣ.

Πάλιν τε τοῖς ἱεροῖς Ἀποστόλοις ἀκολουθῶν, καὶ τοῖς ἁγιωτάτοις ἡμῶν Πατράσιν, οἵτινες ἐκ τῶν Ἀποστόλων τὸ βιβλίον παρειληφότες, κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν ἐκδεδομένον, ἐν τοῖς ἐνδιαθέτοις τῆς θεοπνεύστου Γραφῆς κατέλεξαν, οὐκ ἐξ ἀνθρωπίνης ἐννοίας (ἴσ. *ἐπινοίας*) συντεθεῖσθαι λέγω τὴν Γραφήν. Ἀλλὰ καὶ τοὺς Ἑβδομήκοντά φημι ἐξ ἐπιπνοίας τοῦ ἁγίου Πνεύματος ὁδηγηθέντας τὰ Ἑβραϊκὰ, αὐτό τε τοῦτο τὸ βιβλίον, καὶ πάντα τὰ τῆς Παλαιᾶς Διαθήκης εἰς τὴν ἑλλάδα μεταβαλεῖν γλῶτταν πρὸ τῆς τοῦ κυρίου ἐπιδημίας, ἐπὶ Πτολεμαίου τοῦ ἐν Αἰγύπτῳ βασιλεύσαντος, Θεοῦ τοῦτο οἰκονομήσαντος, ἵνα μή τις εἴπῃ, ὡς χάριν χριστιανοῖς κατατιθέμενοι, οὕτω τὰς Γραφὰς οἱ Ἑβδομήκοντα διηρμήνευσαν (προοίμ. εἰς Ἰώβ. ἐν Nicet. Caten. Graec. Patr. in Job ed. Junij).

Τοῦ αὐτοῦ εἰς τὸν Ἰώβ, ἐκ τοῦ Βαροκ. χειρογρ.

Ἀπεληλάσθωσαν γοῦν οἱ τὴν συγγραφὴν, ὡς πεπλασμένην καὶ ἐξ ἀνθρωπίνης ἐπινοίας συντεθειμένην, ἀλλ᾽ οὐ θεόπνευστον οὖσαν κωμῳδήσαντες. Ἐκκηρυχθήτωσαν δὲ καὶ οἱ τοὺς θαυμαστοὺς ἐκείνους ἄνδρας διαβεβληκότες, τοὺς Ἑβδομήκοντα, ὡς μὴ καλῶς νενοηκότας τὰ Ἑβραϊκὰ, ἀλλὰ τῇ τῶν λέξεων ὁμωνυμίᾳ πεπλανημένους, κἀντεῦθεν ἐν πολλοῖς τόποις ἕτερα ἀνθ᾽ ἑτέρων ἐκδεδωκότας, ἐν τῷ μεταβάλλειν ἐκ τῆς τῶν Ἑβραίων φωνῆς εἰς τὴν ἑλλάδα τὰ γεγραμμένα· πιστευτέον δὲ μᾶλλον τοῖς θείοις Πατράσιν, οἳ τὸ βιβλίον ἐκ τῶν Ἀποστόλων παρειληφότες κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν ἐκδεδομένον, τοῖς ἐνδιαθέτοις τῆς θεοπνεύστου Γραφῆς κατέλεξαν τὴν τῶν Ἑβδομήκοντα ἔκδοσιν, ὡς ὑπὸ τῆς [ἐπιπνοίας] τοῦ ἁγίου Πνεύματος γεγεννημένην, τῆς τῶν ἄλλων προτετιμηκότες. Οἱ μὲν γὰρ λοιποὶ τῶν ἑρμηνευτῶν μετὰ τὴν ἐπιδημίαν Χριστοῦ γεγονότες, καὶ μὴ ὄντες χριστιανοὶ, πρὸς τὸν ἴδιον σκοπὸν τὴν ἑρμηνείαν ἐποιήσαντο, καὶ εἷς ἕκαστος αὐτῶν καθ᾽ ἑαυτὸν, ὡς ἠβουλήθησαν· οἱ δὲ Ἑβδομήκοντα καὶ πρὸ τῆς ἐπιδημίας, καὶ διηρμηνέως τὴν Παλαιὰν πᾶσαν ἡρμήνευσαν,

κατὰ συζυγίαν ὑπὸ Πτολεμαίου διαιρεθέντες, καὶ πάντες ἀλλήλοις συνεφώνησαν, ὡς ἐκ μιᾶς γλώττης φθεγξάμενοι, καὶ μήτε πρὸς χάριν, μήτε πρὸς ἀπέχθειαν τὴν μεταβολὴν τῶν ἑβραϊκῶν ποιησάμενοι· διόπερ αὐτὴν ὡς ἀνύποπτον οὖσαν, καὶ ὑπὸ πολλῶν πρεσβυτέρων τοῦ Ἰσραὴλ σὺν ἀληθείᾳ ἐκδεδομένην οἱ τῆς ἀληθείας μυσταγωγοὶ τῇ Ἐκκλησίᾳ παραδεδώκασιν. Ὥστε περιτταὶ τῶν μυθολόγων Ἑβραίων αἱ παρεξηγήσεις. Εἰ γὰρ καὶ κατὰ τὸ σπάνιον χρησόμεθα λέξει τινί, κειμένην (γρ. κειμένῃ) παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς, σαφηνείας καὶ μόνης χάριν τοῦτο ποιοῦμεν, οὐ μὴν συνιστῶντες, ὅτι ἐκεῖνοι τούτων ἄμεινον ἡρμήνευσαν· ἄπαγε· τοῦτο γὰρ Ἰουδαϊκῆς, ἢ καὶ Σαμαρείτιδος γνώμης παρεγχείρημα. (παρ' Ὀδίῳ σελ. 330, καὶ Δεμαγίστρ. σελ. 646).

ΠΡΟΚΟΠΙΟΣ ΓΑΖΑΙΟΣ.

Δευτέρα δὲ αἰτία (τῆς ἀσαφείας), τὸ ἀπὸ τῆς Ἑβραίων εἰς τὴν ἑλλάδα μεταληφθῆναι φωνήν, τοῦ Θεοῦ τοῦτο διὰ Πτολεμαίου γενέσθαι πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας οἰκονομήσαντος, ὅτε κοινῇ πᾶσιν ἔμελλεν ἐγνῶσθαι τοῖς ἔθνεσι. (βλ. Σειρὰν εἰς τὴν Ὀκτάτευχ. τόμ. α. σελ. λβ).

ΙΟΥΣΤΙΝΙΑΝΟΣ Ο ΑΥΤΟΚΡΑΤΩΡ.

Πλὴν οἱ διὰ τῆς ἑλληνίδος ἀναγινώσκοντες,» (ἐν ταῖς συναγωγαῖς Ἰουδαῖοι), «τῇ τῶν Ἑβδομήκοντα χρήσονται παραδόσει, [ὡς] πάντων ἀκριβεστέρᾳ, καὶ παρὰ τὰς ἄλλας ἐγκεκριμένῃ, διὰ τὸ μάλιστα περὶ τὴν ἑρμηνείαν συμβεβηκός· ὅτι κατὰ δύο διαιρεθέντες, καὶ κατὰ διαφόρους ἑρμηνεύσαντες τόπους, ὅμως μίαν ἅπαντες ἐκδεδώκασι σύνθεσιν. Πρὸς δέ γε τούτοις, τίς οὐκ ἂν τῶν ἀνδρῶν κἀκεῖνο θαυμάσειεν; ὅτι πολλῷ πρεσβύτεροι τῆς σωτηριώδους ἐπιφανείας τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γεγονότες, ὅμως ἐκείνην μέλλουσαν ὥσπερ ὁρῶντες, τὴν τῶν Ἱερῶν βίβλων παράδοσιν ἐποιήσαντο, προφητικῆς ὥσπερ χάριτος περιλαμψάσης αὐτούς· (Ἐν Βασιλ. Βιβλ. Α. τιτλ. α. §. νζ. σελ. 32, ἐκδ. Heimb.). βλ. καὶ ὄπισθ. Βιβλ. Γ. σελ. 107.

ΚΟΣΜΑΣ Ο ἸΝΔΙΚΟΠΛΕΥΣΤΗΣ.

Τοπογραφ. Χριστιαν. Βιβλ. ΙΒ. σελ. 344. ἐκδ. Μοντεφ.

Πτολεμαῖος ὁ ἐπίκλην Φιλάδελφος, περιεργασάμενος, καὶ μαθὼν παρὰ Τρύφωνος (γρ. Δημητρίου) τοῦ Φαληρέως περὶ τῶν Ἰουδαϊκῶν βιβλίων, σπουδαίως ζητήσας παρὰ τῷ ἀρχιερεῖ Ἐλεαζάρῳ, ἀποστείλας δῶρα πολλὰ καὶ τῷ ναῷ καὶ τῷ ἀρχιερεῖ, ταύτας ἐδέξατο σὺν Ο πρεσβυτέροις, οἵτινες *καὶ* ἀπὸ τῆς ἑβραΐδος γλώττης μετέφρασαν εἰς τὴν Ἑλλήνων γλῶτταν, καὶ ἐν τῇ ἰδίᾳ βιβλιοθήκῃ ἀνέθηκεν. Ἦν δὲ καὶ τοῦτο θείας προνοίας ἔργον, ἵνα πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας προητοιμασμένον ᾖ, καὶ μὴ ὕστερον γινόμενον ἐπὶ τῶν Ἀποστόλων, ὕποπτον γένηται τοῖς πολλοῖς, ὡς πρὸς τὸ κεχαρισμένον ἑαυτοῖς ἑρμηνεύσαντες (ἴσ. ἑρμηνευσάντων) τὰ παρὰ τῶν Προφητῶν πάλαι εἰρημένα περί τε τοῦ Χριστοῦ, καὶ τῆς κλήσεως τῶν ἐθνῶν. (βλ. καὶ ὄπισθ. Βιβλ. Α. σελ. 383).

ΚΟΣΜΑΣ Ο ΑΓΙΟΠΟΛΙΤΗΣ.

(Ὡς εἰκάζεται. Βλ. Φαβρικ. Ἑλλην. Βιβλ. τόμ. ια, σελ. 181).

Πρὸ χρόνων γὰρ τριάκοντα σὺν τοῖς τετρακοσίοις (γρ. τριακοσίοις). Τῆς τοῦ Θεοῦ σαρκώσεως, τοῦ Λόγου καὶ Δεσπότου. Ὁ μετὰ τὸν Ἀλέξανδρον Αἰγύπτου βασιλεύσας, Φιλάδελφος καλούμενος, τὴν κλῆσιν Πτολεμαῖος, Ἠθέλησε συναγαγεῖν τὸ τοῦ Δαβὶδ βιβλίον. Τῆς σῆς, Χριστέ μου, γνώρισμα καὶ τοῦτο προμηθείας. Ἀνὴρ γὰρ ὄντως βάρβαρος τὴν γλῶσσαν (ἴσ. *τὴν γνώμην*) καὶ τοὺς τρόπους, Σπουδὴν εἰσήγαγε πολλὴν Δαβὶδ εὑρεῖν τὴν βίβλον. Καὶ δὴ συγκαλεσάμενος Ἑβραίων σοφωτάτους, Τοὺς ὅλους ἑβδομήκοντα τυγχάνοντας ἐν μέτρῳ, καὶ φιλοσόφους Ἕλληνας, οὐ πλείους τῶν Ἑβραίων, Προσέταξε συναγαγεῖν τὸ τοῦ Δαβὶδ βιβλίον, Ἐξελληνίσαι τε σαφῶς πρὸς τὴν ἑλλάδα γλῶτταν. (Προλόγ. τῆς διὰ στίχων παραφράσεως τῶν Ψαλμῶν). Βλ. καὶ ὄπισθ. Βιβλ. Α. σελ. 287.

ΙΩΑΝΝΗΣ ΜΑΛΑΛΑΣ.

(Χρονογραφ. Βιβλ. Η. σελ. 196 ἐκδ. Βόν.)

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας, τοῦ αὐτοῦ Πτολεμαίου τοῦ υἱοῦ

Λάγου, ἡρμηνεύθησαν αἱ βίβλοι τῶν Ἰουδαίων Ἑλληνιστὶ, παρὰ τῶν οβ' διδασκάλων, δι' ἡμερῶν οβ'· ἦσαν γὰρ γεγραμμέναι ἑβραϊστί· οἷα τοῦ αὐτοῦ Πτολεμαίου βουληθέντος ἀναγνῶναι δι' ἑλληνικῆς φράσεως τὴν δύναμιν τῶν Ἰουδαϊκῶν βιβλίων.

ΑΛΕΞΑΝΔΡΙΝΟΝ ΧΡΟΝΙΚΟΝ.

(τόμ. α. σελ. 326. ἐκδ. Βόν.)

Πτολεμαῖος ὁ Φιλάδελφος τοὺς κατ' Αἴγυπτον αἰχμαλώτους Ἰουδαίους, ὑπὸ Πτολεμαίου τοῦ πατρὸς αὐτοῦ γενομένους, ἐλευθέρους ἀνῆκεν· ἀναθήματά τε βασιλικὰ ἐν Ἱεροσολύμοις Ὀνίᾳ Σίμωνι ἀρχιερεῖ, ἀδελφῷ Ἐλεαζάρου, (ἴσ. γρ. τῷ ἀντ' Ὀνίου Σίμωνος ἀρχιερεῖ, ἀδελφῷ Σίμωνος, Ἐλεαζάρῳ) διαπεμψάμενος, τὰς Ἰουδαίων Γραφὰς ἐκ τῆς Ἑβραίων φωνῆς εἰς τὴν ἑλλάδα μεταβληθῆναι ἐσπούδασε διὰ τῶν ἑβδομηκονταδύο παρ' Ἑβραίοις σοφῶν, ἐν Φάρῳ, τῇ νήσῳ Πρωτέως, ἐν οβ' οἴκοις αὐτοὺς ἀποκλείσας· καὶ ἐν ταῖς κατὰ τὴν Ἀλεξάνδρειαν κατασκευασθείσαις αὐτῷ βιβλιοθήκαις ἀπέθετο, μετὰ καὶ ἄλλων πλείστων, ἀπὸ ἑκάστης πόλεως φορολογήσας, παντοίων βιβλίων. Θεασάμενος δὲ τὰς ἀπὸ Ἱεροσολύμων κομισθείσας βίβλους χρυσοῖς γράμμασι γεγραμμένας, ἐθαύμασε, καὶ μεταγραφῆναι ποιήσας, μετέπεμψε σὺν δώροις. Ἡρμηνεύθησαν δὲ αἱ βίβλοι ἐν Φάρῳ τῇ νήσῳ ἐν οβ' ἡμέραις· καὶ ἐθαυμάσθη, ὅτι χωρισθέντες ἀλλήλων οἱ οβ', καὶ ἑρμηνεύσαντες τὰς Γραφὰς, εἰσελθόντες παρὰ Πτολεμαίῳ, παραντέβαλον· καὶ εὗρον (ἴσ. *εὑρέθησαν*) ὡσαύτως ἔχειν. Ὁ δὲ Θεὸς ἐδοξάσθη· αἱ δὲ Γραφαὶ ὄντως θεῖαι ἐγνώσθησαν, τῶν πάντων ὡσαύτως ἑρμηνευσάντων, ὡς καὶ τὰ παρόντα ἔθνη γνῶναι, ὅτι κατ' ἐπίπνοιαν τοῦ Θεοῦ εἰσιν ἑρμηνευθεῖσαι αἱ Γραφαὶ ἐν οβ ἡμέραις, ἐν Φάρῳ τῇ νήσῳ. (βλ. ὄπιθ. Βιβλ. Α. σελ. 297).

ΓΕΩΡ. ΣΥΓΚΕΛΛΟΣ·

Πτολεμαῖος ὁ Φιλάδελφος τοὺς κατ' Αἴγυπτον αἰχμαλώτους Ἰουδαίους - ἐλευθέρους ἀνῆκε, πόθῳ τῆς μεταφράσεως τῶν παρ' αὐτοῖς θείων Γραφῶν εἰς τὴν ἑλλάδα γλῶσσαν, ὑπὲρ ὧν ανα-

θήματα πολυτελῆ, χρυσῷ πολλῷ καὶ λίθοις τιμίοις ἐμμελῶς κατεσκευασμένα, τῷ Θεῷ ἐν Ἱεροσολύμοις ἐξέπεμψεν, Ἐλεαζάρῳ τε τῷ τηνικαῦτα ἀρχιερεῖ δῶρα πλεῖστα, καθὼς ἐν τοῖς Πτολεμαϊκοῖς γέγραπται, πρεσβευσάμενος σταλῆναι τὰς ἱερὰς δέλτους εἰς Ἀλεξάνδρειαν, καὶ ἄνδρας ἱερούς, ἀκριβῶς [τε] ἐπιστήμονας *τε* αὐτῶν, καὶ τῆς τῶν Ἑλλήνων ἐμπείρους παιδεύσεως, ὡς ἂν ἀσφαλῶς ἐκ τῆς Ἑβραίων φωνῆς ἑρμηνευθεῖεν αὐτῷ. Τοῦτο δ' ἦν, οἶμαι, θείας ἔργον ῥοπῆς, πόῤῥωθεν φιλούσης τῶν μεγάλων πραγμάτων [τὰς] ὑποθέσεις προκαταβάλλεσθαι, καὶ τοῖς ἔθνεσι πρὸ τῆς θείας σαρκώσεως ὁδοποιούσης τὴν θεόφραστον παίδευσιν. Ἑβδομήκοντα γὰρ ἄνδρας ἱεροὺς καὶ σοφοὺς κατ' ἄμφω τὰς γλώσσας ὁ αὐτὸς σοφώτατος βασιλεὺς ἐξ Ἱερουσαλὴμ σὺν ταῖς ἱεραῖς βίβλοις κεχρυσογραφημέναις ἀποδεξάμενος, καὶ τὴν αὐτῶν ἑτοιμότητα πρὸς πᾶσαν φυσικὴν καὶ μαθηματικὴν πεῦσιν ἐκπλαγείς, δώροις πρέπουσι φιλοθέῳ βασιλεῖ, καὶ λόγοις ἠπίοις ἐξελιπάρησε, πάσῃ σπουδῇ ταύτην ἀφθόνως ἑρμηνευθῆναι, χωρίον εὐκραέστατον αὐτοῖς ἀφορίσας, τὴν Φάρον. Οἱ δὲ θεοφιλεῖς ὄντες, καὶ ταῖς ψυχαῖς ἡνωμένοι, κατὰ συζυγίας διαιρεθέντες, ἐν ἑβδομηκονταδύο ταῖς ὅλαις ἡμέραις ὁμοφώνως, ἐπιπνοίᾳ Θεοῦ, τὴν ὅλην Ἑβραίων φωνὴν (ἴσ. γρ. Γραφὴν) μετέφρασαν· ἧς ἐπαναγνωσθείσης Πτολεμαίῳ τῷ Φιλαδέλφῳ, καὶ τοῖς περὶ αὐτὸν σοφοῖς, Δημητρίῳ τῷ Φαληρεῖ, παρ' Ἕλλησιν ἀνδρὶ σπουδαίῳ καὶ πολυμαθεῖ, Μενεδήμῳ τε [τῷ] φιλοσόφῳ, καὶ ἑτέροις ἀνθοῦσι τὸ τηνικαῦτα, ὡμολογήθη μόνη θεόπνευστος εἶναι παρὰ πᾶσαν γραφὴν ἐγνωσμένην αὐτοῖς. (Χρονογραφ. σελ. 516. ἐκδ. Βόν).

ΝΙΚΗΤΑΣ ΣΕΡΡΩΝ.

Ὅτε μετ' Ἀλέξανδρον τὸν Μακεδόνα Πτολεμαῖος ὁ Φιλάδελφος κατ' Αἴγυπτον ἐβασίλευσε πρὸ τριακοσιοστοῦ καὶ τριακοστοῦ ἐνιαυτοῦ τῆς τοῦ Σωτῆρος ἐπιδημίας» (καὶ ἐφρόντισε τῆς διὰ τῶν Ο, ἑρμηνείας). . . Οἱ δὲ ἐν διαφόροις οἰκίσκοις κατὰ δύω—, ἢ καὶ καθ' ἕνα— διαιρεθέντες, πᾶσαν τὴν ἱερὰν Γραφήν, καὶ αὐτοὺς τοὺς Ψαλμοὺς ἡρμήνευσαν, καὶ πάντες ἐν τῇ ἑρμηνείᾳ ὡμοφώνησαν, οὐδὲν

ἀλλήλων παραλλάξαντες, οὔτε κατὰ τὴν ἔννοιαν, οὔτε κατὰ λέξιν.— Ἡμεῖς δὲ τὴν τοιαύτην ἔκδοσιν (τοῦ Λουκιανοῦ) σεβαζόμενοι, τῇ τῶν Ο προσκείμεθα μάλιστα· ὅτι διῃρημένως τὴν τῆς διαλέκτου μεταβολὴν ποιησάμενοι, μίαν ἐν ἑκάστοις ἔννοιαν καὶ λέξιν ἀποδεδώκασι» (ὅλ. ὄπισθ. σελ. 775, καὶ Βιβλ. Α. σελ. 287. καὶ Β. σελ. 353).

ΓΕΩΡ. ΚΕΔΡΗΝΟΣ.

Πτολεμαῖος ὁ Φιλάδελφος τὴν μεταβολὴν τῶν θείων Γραφῶν εἰς τὴν ἑλλάδα γλῶσσαν μετεποίησε διὰ τῶν Ο σοφωτάτων Ἑβραίων· ἃς καὶ ἐν ταῖς κατὰ τὴν Ἀλεξάνδρειαν βιβλιοθήκαις αὐτοῦ ἐναπέθετο· γέγονε δὲ ἡ μεταβολὴ πᾶσα τῶν ἑβραϊκῶν βιβλίων ἐν ὅλαις ἡμέραις οβ'. κτλ. (Συνοπτ. Ἱστορ. τόμ. α. σελ. 165. ἐκδ. Παρισ.).

ΕΥΘΥΜ. ΖΙΓΑΒΗΝΟΣ.

«Μεθηρμηνεύθησαν δὲ ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου διέποντος τῆς Αἰγύπτου τὴν βασιλείαν. Ἑπτὰ δὲ τῆς παλαιᾶς Γραφῆς μεθερμηνεύσεις γεγόνασι· πρώτη ἡ τῶν Ἑβδομήκοντα, οἵτινες ἑβραῖοι ὄντες, ἐξελέγησαν κατὰ ἀριθμὸν τῶν ὑπὸ Μωσέως ἐκλεγέντων ἑβδομήκοντα πρεσβυτέρων, κατὰ παράκλησιν τοῦ δηλωθέντος βασιλέως, καὶ σύμφωνον εἰς ἅπαν ἑρμηνείαν ἐξέθεντο» (Προοίμ. ἑρμην. εἰς τοὺς ψαλμ. ἐν Le Moyen Var. Sacr. T. 1. p. 191).

ΙΩ. ΖΩΝΑΡΑΣ.

Πτολεμαῖος ὁ Φιλάδελφος τὰς Γραφὰς τὰς ἑβραϊκὰς ἐκ τῆς πατρίου γλώττης εἰς τὴν ἑλλάδα μεταβληθῆναι διάλεκτον ἔσπευσε. — Γράφει γοῦν ὁ βασιλεὺς πρὸς Ἐλεαζάρον τὸν ἀρχιερέα.— ἀξιῶν τούς τε νόμους αὐτῶν πεμφθῆναι, καὶ ἄνδρας ἓξ ἀφ' ἑκάστης φυλῆς, τήν τε πάτριον ἠσκημένους διάλεκτον εἰς ἀκρίβειαν, καὶ τὴν ἑλληνίδα φωνήν, ἵνα παρ' ἐκείνων εἰς τὴν ἑλλάδα γλῶτταν μεταβληθεῖεν αἱ παρ' αὐτοῖς Γραφαί.—Ὁ γοῦν Ἐλεάζαρος τὴν ἐπιστολὴν τοῦ Πτολεμαίου καὶ τὰ ἀναθήματα κομισάμενος, ἐπελέξατο

ἄνδρας ἐκ φυλῆς ἑκάστης ἕξ, καὶ πέπομφε, φέροντας καὶ τὸν νόμον. Ὧν εἰς Ἀλεξάνδρειαν παραγενομένων, καὶ τῷ βασιλεῖ τάς τε διφθέρας, χρυσοῖς γράμμασι τὸν νόμον ἐχούσας ἐγγεγραμμένον, καὶ τὰ παρὰ τοῦ Ἀρχιερέως αὐτῷ σταλέντα δῶρα προσκεκομικότων, ὁ βασιλεὺς ἥσθη διαφερόντως, καὶ ἠσπάσατο τοὺς ἄνδρας, καὶ συνειστιάθη αὐτοῖς. — Εἶτα παραλαβὼν αὐτοὺς ὁ Δημήτριος, καὶ εἰς ἕνα οἶκον ἀπαγαγὼν ἤρεμον, ἔργου ἔχεσθαι παρεκάλει. Οἱ δὲ, ὡς ἐνῆν φιλοτίμως, ἀκριβῆ τὴν ἑρμηνείαν ἐτίθεντο. Τοῦ δ' ἔργου ἐν ἑβδομήκοντα καὶ δυεῖν ἡμέραιν τετελεσμένου, καὶ τῶν μεταγραφέντων ἀναγνωσθέντων τῷ Βασιλεῖ, ἐκεῖνος καὶ ἔχαιρεν, ὅτι εἰς ἔργον αὐτοῦ προήχθη τὸ βούλημα, καὶ τὴν διάνοιαν τοῦ νομοθέτου, καὶ τὴν σοφίαν ὑπερεθαύμασε. (Χρονικ. Βιβλ. Δ. κεφ. ις).

ΕΥΔΟΚΙΑ Η ΜΑΚΡΕΜΒΟΛΙΤΙΣΣΑ.

Οἱ δὲ τῆς Αἰγύπτου βασιλεύσαντες μετὰ Ἀλέξανδρόν εἰσιν οἵδε. Πτολεμαῖος ὁ Λάγου.—Πτολεμαῖος ὁ Φιλάδελφος, ἐφ' οὗ οἱ Ο, Ἑβραῖοι σοφοὶ τὸν νόμον ἡρμήνευσαν· (παρὰ Δουκαγγ. Σημ. εἰς Ζωναρ. τ. β.).

ΝΙΚΗΦ. Ο ΚΑΛΛΙΣΤΟΣ.

Τούτου τοὺς στίχους βλ. ὄπισθ. σελ. 784.

ΑΝΩΝΥΜΟΣ.

Πτολεμαῖος ὁ Φιλάδελφος—Ἑβραίους καταδουλωσάμενος, εἰς τὴν ἑλληνίδα μεταβαλεῖν ἠνάγκαζε φωνὴν ἐκ τῆς ἑβραΐτιδος (γρ. ἑβραΐδος) πάσας τὰς θείας Γραφάς· καὶ ποιοῦντες (γρ. ποιοῦνται) τὴν ἑρμηνείαν ἄνδρες Ο, ἐν σοφίᾳ παρὰ τοῖς Ἑβραίοις ἐπαιρούμενοι (γρ. ἐπαινούμενοι). (παρὰ Δουκαγγ. Σημ. εἰς Ζωναρ. τόμ. β. σελ. 12).

ΕΤΕΡΟΣ ΑΝΩΝΥΜΟΣ.

Ἔστι γὰρ (ἡ ἐπιγραφὴ) τῶν Ο. οἳ διὰ τῆς πρὸς ἀλλήλους συμφωνίας ἐδήλωσαν *τὴν γενομένην αὐτοῖς χορηγίαν τοῦ Πνεύματος* (βλ. ὄπισθ. σελ. 549).

ΤΕΛΟΣ ΤΟΥ ΠΑΡΑΡΤΗΜΑΤΟΣ.

ΠΡΟΣΘΗΚΑΙ.

ΕΙΣ ΤΟΝ Α'. ΤΟΜΟΝ.

Σελ. 15. στίχ. 25. Οὐ μόνον Ἰταλιστὶ, καὶ Γερμανιστὶ, καὶ Γαλλιστὶ (κατὰ τὴν ἀρχαίαν τῶν Γάλλων διάλεκτον), καὶ Ἀρμενιστὶ, καὶ Ἀραβιστὶ, ἀλλὰ καὶ Λατινιστὶ (κατὰ τὴν Μαΐου ἔκδοσιν) φέρεται μεθηρμηνευμένος ὁ μυθώδης οὗτος βίος τοῦ Ἀλεξάνδρου (οἷος καὶ ὁ καθ' ἡμᾶς χυδαιόγραικος φερόμενος)· Σώζεται δὲ καὶ ἑλληνιστὶ χειρόγραφος ὁ βίος οὗτος, εἰς Καλλισθένην, ἢ Ἀντισθένην ψευδῶς ἐπιγραφόμενος. Ἔστι δὲ Συμεὼν τοῦ Σὴθ μετάφρασις ἐκ τοῦ Περσικοῦ (βλ. Φαβρικ. Ἑλλην. Βιβλ. Τόμ. 3. σελ. 36.). – Σ. 21. στ. 8. Πρόσθες καὶ τὸν ἄριστον ποιητὴν καὶ μαθηματικὸν Ἰωσ. Τορέλλιν ἐν Animadversion. in Hebræum Exodi librum et in Græcam LXX. interpretationem (Veron. 1744). Καὶ πρὸ τούτου δὲ Φραγκῖσκος ὁ Βιαγχίνης, περίφημος φιλολόγος καὶ ἀρχαιολόγος Ἰταλὸς (οὗ συνέγραψεν ἐγκώμιον ὁ Φοντενέλλης) ἐν τῷ ἐπισημοτάτῳ ἱστορικῷ αὐτοῦ συγγράμματι, La Istoria universale provata con monumenti, et figurata con simboli degli antiqui (Roma, 1697) ἀποδέχεται τὴν ἐπὶ τῆς διετοῦς μετὰ τοῦ πατρὸς συμβασιλείας τοῦ Φιλαδέλφου γενομένην ὑπὸ τῶν Ο ἑρμηνείαν τῶν Γραφῶν. – Σ. 65. στ. 10. Τοῦ Ἑρμίππου μνημονεύει καὶ ὁ τὰς εἰς τοὺς Ἰσοκράτους λόγους συνταξάμενος ὑποθέσεις, ἃς ὁ κλεινὸς ἐξέδωκε Μουστοξύδης (ἐν τοῖς Ἀνεκδότοις, Τ. α). – ς. 26. Σμυρναῖον τὸν Ἕρμιππον ἐθέλει καὶ Σπέγκερος, ἀντιλέγων πρὸς τὸν Γεράρδον (Spencer not. εἰς Ὠριγ. κ. Κέλσ. α. §. 15 Delar.). – Σ. 69. στ. 20. Ἀλλ' ἐὰν τεθῇ πάντως ὁ παρὰ τῷ Λαερτίῳ Ἕρμιππος ὁ αὐτὸς καὶ ὁ Σμυρναῖος, καὶ εἶδε λοιπὸν οὗτος, καὶ κατῴκησεν ἐπὶ πολὺ τὴν Ἀλεξάνδρειαν, ὡς Καλλιμάχου μαθητής. – Σ. 106. στ. 37. Τὰς καθ' Ὅμηρον ἀρχαιότητας ὁ ἀοίδιμος Εὐγένιος ἀξιολόγως μετέφρασεν ἐκ τῶν τοῦ Quirini primordiæ Corcyræ (κεφ. ιε). – Σ. 135. στ. 35. (πρόσθες) Σημ. ἡμετ. – Σ. 141. στ. 14. Ἀλλὰ καὶ Πυθαγόρας νεανίαν ἔλεγε τὸν ἄνδρα. « Ἔστι δὲ αὐτῷ (τῷ Πυθ.), ὁ μὲν νεηνίσκος, μειράκιον· ὁ δὲ νεηνίης, ἀνήρ » (Λαέρτ. Η', α, 7). – Σ. 158. στ. 8. Letronne, Recherches p. s. à l'hist. de l'Egypte p. 30. – Σ. 160. στ. 6. Καὶ ἐν ἀρχαίᾳ Κερκυραίων ἐπιγραφῇ (ἣν μετὰ Μουστοξύδην ἐξέδωκε καὶ Βοίκχιος Ἐπιγρ. Τ. Β.) ζῶν ἔτι Μάρκος ὁ αὐτοκράτωρ ἐπονομάζεται Σωτήρ. « Ὁ δᾶμος ὁ τῶν Κορκυραίων Μάρκον Ἀγρίππαν αὐτοκράτορα τὸν αὐτοῦ πάτρωνα καὶ σωτῆρα, θεοῖς ». Αὐτὸ δὲ τὸ, Θεὸς καὶ παρὰ λατίνοις divus, εἰς τοὺς τεθνεῶτας ἀναφέρεται· ἴδε τὴν ἀστείαν τοῦ Σενέκα Ἀποκολοκύνθωσιν Κλαυδίου. – Σ. 173. στ. 29. Καὶ Ἰωσὴφ ὁ Σκαλίγηρος ἔγραψε σημειώσεις εἰς τὸν λατινίζοντα τοῦ Κατούλλου πλόκαμον τῆς Βερενίκης, ὡς ὁ Φαβρίκιος ἐσημείωσεν (Ἑλληνικ. Βιβλ. Τ. 3. σελ. 817). – Σ. 221. στ. 27. Καὶ Ὀβίδιος τὸν Ἀγαμέμνονος Ὀρέστην ἀδελφὸν ὀνομάζει τῆς Μενελάου θυγατρὸς Ἑρμιόνης (τουτ. ἐξάδελφον). – Σ.

224. στ. 21. Καὶ ἐν Ἑλικῶνι ἵστατο τῆς Ἀρσινόης εἰκὼν ὑπὸ στρουθοῦ χαλκῆς φερομένη (Παυσ. Θ. λα). Τοῦτο δὲ παρέσχε τὴν ἀφορμὴν εἰς τὰς εὐφυεστάτας ἐπιστολὰς τοῦ **Monti, Del cavallo alato d'Arsinoe.** – Σ. 291. στ. 39. Μακκαβαίων. (πρόσθες) βλ. Βιβλ. Δ. κεφ. δ. §. λγ. – Σ. 287. στ. 19. Οὐχ ὁ Αἰγύπτιος Κοσμᾶς (ὡς γράφει Δεμάγιστρος), ἀλλ' ἕτερος ὁ τῶν στίχων τούτων πατὴρ (βλ. ὄπισθ. σελ. 1053). – Σελ. 313. στ. 32. βλ. τοὺς περὶ Δημητρίου στίχους παρὰ Δεμαγίστρῳ σελ. 484. – Σ. 315. στ. 9. Δύω πλειάδες ἐνδόξων τραγικῶν ἐπὶ τοῦ Φιλαδέλφου φέρονται. — Σ. 363. στ. 31. Καὶ αὐτὸς δὲ ὁ καθ' ἡμᾶς τῶν Γάλλων Βασιλεὺς, Λουδοβῖκος ὁ Φίλιππος (**Louis Philippe**) τὴν διδασκαλικὴν ἐπαγγελίαν μετῆλθε. Μάρκος δὲ Φοσκαρηνὸς, ὁ Ἐνετὸς ἐκεῖνος, ὁ κοσμήσας πάσας τὰς ἀρχὰς τῆς ἑαυτοῦ πατρίδος, ὁ αὐτὸς ἐχρημάτισε καὶ ἐ π ι μ ε λ η τ ὴ ς τοῦ ἁ γ ί ο υ Μ ά ρ κ ο υ (**procuratore**· πρῶτον μετὰ τὸν Δοῦκα ἀξίωμα), καὶ ἐπιστάτης τῆς δημοσίας βιβλιοθήκης. – Σ. 394. στ. 21. Καὶ ἄλλως δὲ ὁ χρόνος αὐτὸς, καθ' ὃν Ἀριστόβουλος ἔζη, δείκνυσι πρὸς τίνα τῶν Πτολεμαίων προσεφώνει τὰς ἐξηγήσεις. Ὥστε περιττὸν ἂν ἦν προστεθῆναι καὶ τὸ ἐπώνυμον (τὸ Φιλομήτορα). – Σ. 563. στ. 4. Ἡμαρτημένος φαίνεται ὁ κατὰ τὸν Ἔκδικον ὑπολογισμὸς τοῦ ταλάντου. Τὸ μὲν γὰρ Ἀ τ τ ι κ ὸ ν τάλαντον ἰσοδυναμεῖ 5,400 φράγκοις, ἤτοι 216 στερλιγγίοις (βλ. Βαρθολ. περιήγ. Ἀναχάρσιδος), ἢ 206, στερλιγγ. καὶ 5. σελιγ. (κατὰ τὸν Πριδών)· τὰ ἄρα 7,754 ἀργυρᾶ τάλαντα (εἰς ἃ συγκεφαλαιοῦνται τὰ παρὰ τῷ Ἀριστέᾳ 1046 ἀργυρᾶ σὺν τοῖς 516 χρυσοῖς, βλ. σελ. 544) ἀποτελοῦσιν 1,599,262 στερλίγγ. καὶ 10 σελίγγ. Ἐὰν δὲ πάλιν τεθῶσι τὰ τάλαντα Ἀλεξανδρινὰ (ὧν ἕκαστον=4,200 φράγγοις [βλ. σελ. 566], δηλονότι 168 στερλιγγίοις), τὰ ἄρα 7,754 τάλαντα ἀποτελοῦσι 1,302,672 στερλίγγ. ἓν ἑκατομμύριον περίπου πλεῖον τοῦ κατ' Ἔκδικον κεφαλαίου. Ἀλλὰ καὶ οὕτω μάτην ὁ Πριδὼς ἐπτώχιζε τὸν Φιλάδελφον ἕνεκα τῶν εἰς εὐεργεσίαν ἔθνους ὁλοκλήρου δαπανηθέντων 7,754 ταλάντων ἀργυρῶν, οὗ καὶ μόνα τὰ κυλίκια καὶ ποτήρια ἀνέβαινον κατὰ τὴν ἀξίαν εἰς 10,000 τάλαντα ἀργυρίου (σελ. 559). – Σ. 585. στ. 28. Τὴν πρὸ τοῦ Θεοπόμπου ἔκπτωσιν τῆς π ε ρ ὶ δείκνυσι καὶ ἡ ἐφεξῆς φράσις τοῦ Ἀριστέου (αὐτόθ.) «καὶ π ε ρ ὶ Θ ε ο δ έ κ τ ο υ δ ὲ» κτλ. (βλ. καὶ ἐφεξῆς Βιβλ. Δ. σελ. 14, καὶ 998). – Σ. 594. στ. 15. Καὶ αὐτῆς δὲ τῆς Μωσαϊκῆς νομοθεσίας ἔθιμα μετέλαβον οἱ τῶν Αἰγυπτίων ἱερεῖς· περιετέμνοντο γὰρ, καὶ ὑείων ἀπείχοντο, καὶ μίαν ἐγάμουν (βλ. Διόδ. Α. 80: Γ. 32. πρβλ. Ἡρόδ. Β, 47, 92. – βλ. καὶ ὄπισθ. σελ. 34.)· ὅθεν ἐτίμων καὶ τὰ Μωσαϊκὰ, ὡς ἀνώτεροι τοῦ κοινοῦ τῶν Αἰγυπτίων ὄχλου, βδελυττομένων τοὺς Ἰουδαίους, ὡς ἐχθροὺς παλαιούς.

ΕΙΣ ΤΟΝ Β'. ΤΟΜΟΝ.

Σελ. 10. στίχ. 17. ἑ ρ μ η ν ε ί α (πρόσθες) μερῶν τινων τῆς Μωσαϊκῆς νομοθεσίας. – Σ. 119. στ. 13. μετὰ τὸ Ὀνίᾳ Ἄρειος (πρόσθες) βλ. καὶ **Trendelenburg in Eichhorn's Repertor. Th. 15. p. 137.** – Σ. 123. στ. 8. Καὶ ἐξ αὐτῆς τῆς Ἡροδότου γνώμης, ἥτις κατάγει τοὺς Σπαρτιάτας, ἢ Λα-

κεδαιμονίους ἐξ Αἰγυπτίων, φαίνεταί τις ἀμυδρὰ ἀπόδειξις τῆς πρὸς Ἰουδαίους συγγενείας τῶν Λακεδαιμονίων. « Συμφέρονται (λέγει, περί τινα) Αἰγύπτιοι Ἑλλήνων μούνοισι Λακεδαιμονίοισι » κτλ. (Β, §. 80)· αὐτῶν δὲ πάλιν τῶν Αἰγυπτίων ἠθῶν πολλὰ διαγράφει ταὐτὰ τοῖς τῶν Ἰουδαίων. Ὁ δὲ περίφημος Δικκινσὼν οὐ μόνον Ἑβραίων ἀποίκους καὶ συγγενεῖς θεωρεῖ τοὺς Λακεδαιμονίους (κατὰ τὴν τοῦ Ὀνίου ἐπιστολὴν), ἀλλὰ καὶ τὸ ὄνομα αὐτῶν ἑβραϊκὸν ὑπέλαβε, λέγων, ὅτι τὸ αὐτό ἐστι καὶ Κ α δ μ ο ν ὶ μετὰ τοῦ προτεταγμένου προθετικοῦ λ (lamed. οἷον Λακαδμονοὶ) τουτ. Κάδμειοι, ὡς πολλῶν Ἑβραίων μετὰ Κάδμου ἀποικησάντων (Dickinson, Delphi phœniciz. c. 12. p. 134). Ἀλλ' ὅσον περὶ τὴν παράδοξον ἐτυμολογίαν ταύτην, οὐχ ἕξει τοὺς συναινοῦντας ὁ Δικκινσών. – Σ. 124. στ. 24. Καὶ νῦν οἱ ἐν Κερκύρᾳ καὶ ἀλλαχοῦ τῆς Ἑλλάδος κατοικοῦντες Ἰουδαῖοι Ἰ α υ α ν ὶ ν καλοῦσι τοὺς Ἕλληνας. – Σ. 141. στ. 25, Θ ε ό δ ο τ ο ς, ἴσως ὁ αὐτὸς καὶ Θεόδοτος ὁ Φοῖνιξ ἐν τῷ περὶ Ἰουδαίων (Εὐσέβ. Εὐαγ. Προπ. Θ. 2). – Σ. 144. στ. 26. Τὰς περὶ Μωϋσέως καὶ τῆς Ἰουδαϊκῆς θρησκείας σαφεστάτας ἐννοίας καὶ φράσεις τοῦ Στράβωνος γελοίως ἐπειράθη διαστρέψαι ὁ δυσσεβὴς Τολάνδος (Origin. Judaicar. Hagae Comit. 1709. ἴδε καὶ Fabric. Bibl. Græc. T. 4. p. 576. Harl.). – Σ. 146. στ. 32. βλ. Bocharti, Phaleg, L. II. c. 7. p. 855: F. L. Vibe, Comm. de Sanchuniathone ejusque Interpret. Philone Byblio. Christianae, 1842. – στ. 33. Τὸν Πλούταρχον ἐπαινεῖ ὁ ἱερὸς Θεοδώρητος καὶ λόγ. Ι. περὶ χρησμῶν (τόμ. δ. σελ. 624). – Σ. 191. στιχ. 3, γράφε μόλις 180. κατὰ δὲ τὸν ἱερὸν Θεοδώρητον « Π ρ ὸ π ε ν τ ή κ ο ν τ α κ α ὶ ἑ κ α τ ὸ ν τ ῆ ς ἑ ρ μ η ν ε ί α ς (τ ῶ ν Ο) ἐ ν ι α υ τ ῶ ν θείας ἀναπλησθεὶς χάριτος Ἔσδρας» κτλ. (Προθεωρ. ἑρμ. εἰς τοὺς Ψαλμ.)· ἀλλ' ἡ περὶ τὴν ἀνάβασιν τοῦ Ἔσδρα καὶ Νεεμία (ἐφ' οὗ ἐκλείσθη ὁ κατάλογος) χρονολογικὴ θεωρία φέρει τινὰς ἀνωμαλίας (βλ. Βιβλ. Γ. σελ. 53 σημ.). – Σ. 203. στίχ. 19. Περὶ τοῦ χρόνου τῆς ἑρμηνείας τῆς Σοφίας Σειρὰχ βλ. Βιβλ. Δ. σελ. 203. – Σ. 208. στίχ. 7. μετὰ τὸ Ἀ λ ε ξ α ν δ ρ ι ν ῶ ν μνῶν (πρόσθες καὶ τὰ ἐκπεπτωκότα) « ὡς ἱστορεῖ ὁ Λαέρτιος» καὶ ὅμως οὔτε Λαέρτιος αὐτὸς, οὐθ' ὁ παρ' αὐτῷ Πλάτων κτλ. – Σελ. 216. στίχ. 5. Περὶ τοῦ Λογίου βλ. καὶ Ἰσίδωρ. Πηλουσιώτ. Ἐπιστ. Γ. 10. – Σελ. 225. στιχ. 10. γρ. καὶ ἐν τῷ λ ε γ ο μ έ ν ῳ ἀποκρύφῳ Α. Ἔσδρᾳ. — Σελ. 233 στίχ. 11. Γ έ ν ε σ ι ν κ ό σ μ ο υ καλεῖ τὸ τεῦχος καὶ Θεόφιλος ὁ Ἀντιοχείας (π. Αὐτόλυκ. Β. §. 39), καὶ Ἐπιφάνιος (π. Μέτρ.). ἴδε καὶ praef. εἰς Ἰουστίν. (ἔκδοσ. Venet. 1747), ὅπου (pag. 112) οἱ σοφοὶ ἐκδόται τὸ παρὰ τῷ Θεοφίλῳ Γέν. κ ό σ μ ο υ ὑπωπτεύθησαν ὡς ἴδιον αὐτοῦ σύγγραμμα. – Σελ. 239. στίχ. 25. Καὶ Ἡρόδοτος (Β, 100) ἔδειξε τὴν βύβλον (τὸν πάπυρον) χρήσιμον εἰς γραφήν· ὥστε λίαν ἠπατημένως ὁ Πλίνιος ἔγραψεν ἄγνωστον πρὸ τῆς Ἀλεξάνδρου ἀναβάσεως τὴν ἐκ παπύρου κατασκευὴν τῶν χαρτῶν (βλ. σελ. 180). Ὁ δ' αὐτὸς Ἡρόδοτος (Βιβλ. Β, 92) γράφει καὶ « τ ὴ ν β ύ β λ ο ν τ ὴ ν ἐ π έ τ ε ι ο ν γινομένην » (ὡσανεὶ διακρίνων ἄλλο τι εἶδος βύβλου). Τὸ δ' οὖν π ά π υ ρ ο ς ὡς ὄνομα ἑλληνικὸν οἶδε καὶ ἡ παρ' ἡμῖν συνήθεια, ἥτις καὶ ἀλλαχοῦ καὶ ἐν Κερκύρᾳ Π α π ύ ρ α ν λέγει τὸ φυτὸν (Typham Latifoliam)· ὅθεν καὶ Πα-

πυρολίμνη (ἐν Κερκύρᾳ), παρ' ἣν φύεται ὁ πάπυρος· χρήσιμος δὲ τανῦν εἰς ψιάθων κατασκευήν. Pavera καλοῦσι τοῦτον καὶ οἱ Ἐνετοί· pavero παρ' αὐτοῖς καὶ τὸ ἐλλύχνιον, ὡς ἐκ τῆς παπύρου ξηρανθείσης γινομένων τῶν ἐλλυχνίων παρὰ τοῖς ἀρχαίοις· ὅθεν εἶπε καὶ Ἀντίπατρος τὸν Κρόνου τυφήρεα λύχνον (σελ. 180). — Σελ. 246. στίχ. 35. Τὸν παρ' Αἰγυπτίοις ζύθον καὶ Ἡρόδοτος ὠνόμασε περιφραστικῶς «οἶνον ἐκ κριθέων» (Β, 77)· εἰ δ' ἦν Αἰγύπτιον τὸ ζύθος, ἔλεγεν ἂν αὐτὸ τοῦτο, καθὰ καὶ μικρὸν ἀνωτέρω εἶπεν «ἄρτους, τοὺς ἐκεῖνοι (οἱ Αἰγύπτιοι) κυλλήστις ὀνομάζουσιν» (αὐτόθ.). Ἀλλ' οὐδὲ τῷ ζύθος πάλιν ἐχρήσατο, καθὸ γενικωτέρῳ ὀνόματι, καὶ μὴ σημαίνοντι ἰδίως τὸ ἐκ κριθῆς παρ' Αἰγυπτίοις σκευαζόμενον ποτὸν (τὴν Εὐρωπαίων βίῤῥαν)· ὅθεν καὶ ὁ Κολουμέλλας, διορίζων τὴν σημασίαν, ἔγραψε μετ' ἐπιθέτου, ζύθον πηλουσιακὸν (pelusiacum zythum). — Σελ. 289. στίχ. 19. Καὶ Σευῆρος· «Πᾶσι τοῖς ἔθνεσι διαμερισθεῖσιν ἰσαρίθμους ἀγγέλους ἐπέστησεν, ἑκάστῳ πρὸς φυλακὴν ἀφορίσας ἕνα τινά. Καὶ γὰρ «εἶναι αὐτοὺς πνεύματα λειτουργικὰ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν» πάλιν παρὰ τῶν θεοπνεύστων γραφῶν ἀκούομεν. Ἐπεὶ καὶ ἑκάστῳ δεδόσθαι πρὸς φυλακὴν ἄγγελον ἡ τῶν Εὐαγγελίων πιστοῦται φωνή» κτλ. Σειρ. εἰς τὰς ᾠδὰς τῆς Γραφῆς ἐν Corder. Cat. in Psal. Tom. 3. p. 868). — Σελ. 291. στ. 13. Οὕτω καὶ ὁ θεῖος Παῦλος· «Καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν» κτλ. (Πράξ. ιγ, 19). — Σελ. 294. στίχ. 27. Πολὺ πρὸ τοῦ Φραγκέλου καὶ Τύξην ὠνειρεύθη τὸ ΗΛ ἐκ τοῦ ΙΗΛ (Tychsen, Tentam. p. 87). — Σελ. 301. στ. 8. Johnston. Ἴδε καὶ Adelung, Litteratur der Sanskrit. Sprache. p. 94. — Σ. 302. στ. 39. βλ. Cahen εἰς Δευτερον. σελ. 75–76. — Σ. 336. στ. 27. Μαϊουμᾶς Γαζαίων ἐπίνειον, καὶ πόλις, ἐπὶ τοῦ Μ. Κωνσταντίνου εἶχε καὶ ἴδιον ἐπίσκοπον· ὁ πολίτης Μαϊουμίτης (Σωζόμ. Ἐκ. Ἱστ. β, 5. ε, 3). — Σελ. 339. στίχ. 15. Οὐ μόνον οἱ σημειούμενοι Δυτικοὶ ἀποδέχονται τὴν τῶν Θ δωματίων μαρτυρίαν τοῦ Ἰουστίνου, ἀλλὰ καὶ αὐτὸς ὁ Διαμαρτυρούμενος Τύξην, καί τοι πρὸς τὸ ἴδιον φρόνημα παρασπῶν (βλ. Βιβλ. Δ. σελ. 923). — Σελ. 365. στίχ. 12· Σαμαρείτης τὴν πατρίδα δηλονότι, τὸ δὲ γένος κυρίως Ἕλλην ἦν ὁ μάρτυς Ἰουστῖνος (βλ. Βιβλ. Δ. σελ. 425). — Σελ. 443. στιχ. 24. Μετὰ τούτων τῶν συγγραμμάτων συμπεριλαμβάνει ὁ Ἰώσηπος καὶ τὰ καθ' ἡμᾶς Ἀναγινωσκόμενα, ὡς φαίνεται σαφῶς ἐκ τῶν Μακκαβαϊκῶν, ἐξ ὧν ἔλαβεν ὅσα περὶ τούτων ἱστόρησε (βλ. Βιβλ. Δ. σελ. 160). — Σελ. 539 στίχ. 27. Ὅτι τὴν ὀρθὴν ἀνάγνωσιν τοῦ παρ' Ἱερωνύμῳ Ἁγιογράφων στρεβλῶς μεταποιοῦσιν εἰς τὸ Ἀποκρύφων, ἴδε ἐν τοῖς ἑξῆς. Βιβλ. Δ. κεφ. δ. §. ια. — Σελ. 583. στίχ. 25. Ὅθεν καὶ ἐν τῇ Συριακῇ ἑρμηνείᾳ παρὰ τῷ θείῳ Ἐφραὶμ ἀντὶ τοῦ αἱ προφητεῖαι, γέγραπται οἱ προφῆται (κατὰ τὸ σημαινόμενον). — Σελ. 606. στίχ. 35. Προστεθείσθωσαν καὶ οἱ Παλίβοθροι τῶν Ἰνδῶν. «Τὸν δὲ βασιλεύοντα ἐπώνυμον δεῖ τῆς πόλεως εἶναι, Παλίβοθρον καλούμενον πρὸς τῷ ἰδίῳ τῷ ἐκ γενετῆς ὀνόματι, καθάπερ τὸν Σανδρόκοττον, πρὸς ὃν ἧκεν ὁ Μεγασθένης πεμφθείς. Τοιοῦτον δὲ καὶ τὸ παρὰ Παρθυαίοις· Ἀρσάκαι γὰρ καλοῦνται πάντες· ἰδίᾳ δὲ ὁ μὲν Ὀρώδης, ὁ δὲ Φραάτης, ὁ δ' ἄλλο

τι» (Στράβ. ιε, 702). – Σ. 637. στιχ. 30. Ἔςι τὸ ἔ κ θ ε σ ι ς ὡς καὶ τὸ π α ρ ά θ ε σ ι ς, τὸ παρατιθέμενον ἐπὶ τῆς τραπέζης ὄψον· «τοὺς τὰς παραθέσεις κομίζοντας διακόνους» (Πολύβ.)· διαφέρει δ' ἂν ἴσως τὸ ἔ κ θ ε σ ι ς, καθὸ δηλοῦν τὸ τοῖς ἐκτὸς τῆς κυρίας τραπέζης καθ' ἑαυτοὺς δειπνοῦσι παρατιθέμενον ἑκάστοτε, τὸ τῆς ἡμέρας (ὡς καὶ συνήθως τὸ κ α θ η μ ε ρ ι ν ὸ ν = ἐπιούσιον, καὶ λατ. Diarium). – Σελ. 662. στιχ. 20. Οὕτω καὶ Ἐλύμας, ὁ μάγος (Πράξ. ιγ). Τὸ γὰρ Ἐ λ ύ μ α ς αὐτὸ σημαίνει τὸ μ ά γ ο ς, σοφός· ὡς δ' ἐκ τοῦ ἐπαγγέλματος αὐτοῦ ἐπέσχε τόπον καὶ κυριωνυμίας (βλ. Drus. not. in Act. 16). Οὕτω μετ' ἐπεξηγήσεως καὶ τὸ «Ἀ β ε ν έ ζ ε ρ, λ ί θ ο ς τοῦ β ο η θ ο ῦ (Α. Βασ. ζ, 12). – Σελ. 684. στ. 35. Περὶ τοῦ Elah καὶ Elon βλ. Cahen not. εἰς Ἰησ. κδ, 26. – Σελ. 727. στ. 18. βλ. καὶ Φωτ. Ἐπιστ. ρξβ. – Σελ. 760. στίχ. 10. Ὅτι τὸ π ρ ῶ τ ο ς φ ί λ ο ς τὸ αὐτὸ καὶ ἀ ρ χ ι ε τ α ῖ ρ ο ς, μαρτυρεῖ καὶ ἡ Β, Μακκαβ. (η, 9) «Νικάνορα τὸν τοῦ Πατρόκλου τ ῶ ν π ρ ώ τ ω ν φ ί λ ω ν» (τοῦ Πτολεμαίου). – Σελ. 768. στιχ. 36. σημασίαν (πρόσθες). Ὁ ἱερὸς Ἐπιφάνιος ἀναφέρει πόλεις, Β ο ύ γ ε α ν καὶ Λίβαν (Αἱρ. ξϛ. §. 83), ὅπου ὁ Πεταυΐος (Animadvers. T. 2. p. 272) σημειοῖ, ὅτι Βούγεαν μὲν πόλιν ἰδίως οὐχ εὗρεν ἄλλοθι οὐδαμοῦ· οὐδὲν δὲ ξένον, εἴ τις ὑπῆρχεν ἐν Συρίᾳ τόπος ἄσημος, ὅπου γεννηθεὶς ὁ Ἀμὰν ἐπωνομάσθη Β ο υ γ α ῖ ο ς. Τὸ δὲ Μακεδὼν (φησιν) ὁ ἑρμηνεὺς τῆς Ἐσθὴρ» (ἤτοι οἱ Ο) «ἐξέλαβε γενικώτερον ἀντὶ τοῦ Εὐρωπαῖος, ἢ ἐξ Εὐρωπαίων καταγόμενος, πρὸς διαστολὴν τῶν Ἀσιανῶν καὶ Αἰγυπτίων. Οὕτω (φησὶ) καὶ οἱ Τοῦρκοι πάντας τοὺς Χριστιανοὺς ἐπονομάζουσι Φ ρ ά γ γ ο υ ς (ὡς ἐκ τῶν ἐν Εὐρώπῃ δηλαδὴ κατοικούντων Φράγγων)». Ἀλλ' ἡ τοιαύτη παρὰ τῷ Πεταυΐῳ ἐξήγησις τοῦ Μακεδὼν τοσοῦτον ἀληθεύει, ὅσον καὶ τὸ ὅτι οἱ Μωαμεθανοὶ πάντας ἁπλῶς τοὺς Χριστιανοὺς ὀνομάζουσι Φράγγους (Φρέγγ.)! – Σελ. 799. στίχ. 34. παρασιωπῶμεν (πρόσθες) βλ. καὶ Morin. Exercit. Bibl. pag. 193. – Σελ. 809. στίχ. 14. Τὸ «Ἰδοὺ ὁ βουνὸς» κτλ. κεῖται παρὰ τοῖς Ο, ἐν Γεν. λα, στίχ. 47. ὡς καὶ ἐν τῷ ἑβρ. ἐν δὲ στιχ. 51 καὶ 52 ἐπανελήφθησαν αἱ λέξεις ἐν τῷ ἑβρ. πλατύτερον, ἢ ὡς ἀνέγνων καὶ ἔγραψαν οἱ Ο (βλ. ἐφεξῆς Βιβλ. Γ. σελ. 441). – Σελ. 849. στίχ. 1. Περὶ τοῦ τετραγραμμάτου ἴδε διεξοδικώτερον ἑξῆς Βιβλ. Δ. σελ. 65. – Σελ. 921. στίχ. 25. περὶ τοῦ ἐπεπότησε βλ. ἐφεξῆς Βιβλ. Δ. σελ. 570.

ΕΙΣ ΤΟΝ Γ'. ΤΟΜΟΝ.

Σελ. 25. στ. 18. Καὶ ἐν τῷ κατὰ τὴν Ἀρμενικὴν μετάφρασιν ἐκδοθέντι Χρονικῷ τοιαῦτα περὶ τοῦ Ἔσδρα γράφει ὁ Εὐσέβιος (Libr. I. pag. 87 ed. Maij). – Σ. 27. στ. 15. Περὶ τοῦ Ἔσδρα ἴδε καὶ Ἀνασκευὴν τῆς τελευτ. διερμηνευθ. Διαθήκης (σελ. 443, 447). – Σ. 137. ἐν δὲ τοῖς νεωτέροις διέλαβε περὶ στίχων καὶ Morin. Exerc. Bibl. L. II. p. 444. καὶ ὁ Ritschel, die Alexandr. Bibliotheken, pag. 91—136. – Σ. 160. στ. 35. πρόσθες καὶ De-Rossi Apparat. Hebraeobiblic. p. 21. Parmae 1782. – Σ. 187. στ. 7. τοῦτο μαρτυρεῖ καὶ De-Rossi αὐτόθ. p. 9. – Σ. 202. στ. 14. Περὶ τοῦ Χ ι λ ε ὰ β ἴδε καὶ Bochart. Hierozoic. P. I. L. II. p. 663, καὶ τοὺς παρ' αὐτῷ μύθους τῶν Ῥαββίνων. – Σ.

209. στ. 1. βλ. ἐφεξῆς σελ. 577. – Σ. 220. στ. 13. ἑβραϊκὸν). βλ. ἐφεξῆς κεφ. ιγ. §. γ. – στ. 20. αὐτοῦ. βλ. ἐν τοῖς ἑξῆς κεφ. ιγ. §. γ. σελ. 484. – Σ. 232· στ. 8. Καὶ Διονύσιος ὁ Ἀλεξανδρείας (βλ. Βιβλ. Δ. σελ. 491). – Σ. 423. στ. 31. Οἱ δὲ περὶ τὸν Γλάσιον καὶ Ὀττιγγῆρον ματαίως περιπέττουσι τὴν ῥαββινικὴν ταύτην μοχθηρίαν. – Σ. 454. στ. 27. Ὅτι παρέγγραπτος ἡ περὶ ἧς ὁ λόγος περικοπὴ τοῦ Μ. Βασιλείου, ἴδε καὶ ἄλλην σαφεστάτην ἀπόδειξιν Βιβλ. Δ. σελ. 537. – Σ. 470. στ. 23. Ὅτι οἱ Ο, παρεῖδον τὴν παρωνυμίαν τοῦ ἰσσὰ (ἀνδρίς), ἀφορῶντες εἰς τὴν πραγματικὴν ἀναλογίαν τοῦ ἀνὴρ πρὸς τὸ γυνὴ (σελ. 469), φαίνεται καὶ ἀλλαχόθεν, ἐν οἷς, ὁπότε ἐνεχώρει, διετήρουν καὶ τὴν παρωνυμίαν· αὐτίκα αὐτὸ τὸ κύριον Εὔα μεθηρμήνευσαν ἅπαξ καὶ Ζωὴν, «ὅτι μήτηρ πάντων τῶν ζώντων» (Γεν. γ. 20). – στ. 32 πρόσθες καὶ τὸν Ἀβραὰμ (ὃ δηλοῖ πατὴρ πλήθους), ὡσαύτως ἐπεξηγούμενον· «ὅτι πατέρα πολλῶν ἐθνῶν». κτλ. (Γεν. ιζ΄ 5). Ἐπειδὴ δὲ τοῦ Ἀβραὰμ ὁ λόγος ἐμνήσθη, ψιλοῦσι τοῦτο οἱ νεώτεροι (καθὰ καὶ τὸ ἑβραϊκὸν ἀπὸ τοῦ aleph ἄρχεται, δίχα δασύτητος. Ὅθεν καὶ τὸ λατιν. Abraham)· ἀλλὰ παρὰ τοῖς ἀρχαίοις (κώδ. Ἀλεξανδριν. Βατικαν. Ἄλδου), γέγραπται δασυνόμενον· ἴσως κατ' ὀρθογραφικὴν ἀναλογίαν πρὸς τὰ ἁβρὸς, ἅβρα) – Σ. 480. στ. 44. πρόσθες καὶ αὐτὸν τὸν Σκαλίγηρον, ὁμολογοῦντα τὴν ἀλήθειαν, (Σημ. εἰς Ματθ. ιζ΄. 11, ἐν Critic. Sacr. T. VI. p. 520). – Σ. 527. στ. 23. γνησίως (πρόσθες) Τοῦ γὰρ Le τὸ λάμεδ ἀναμφιβόλως ἀνεφύη ἐκ τοῦ βαῦ, ῥαββινικῆς κεραίας ἐπ' αὐτοῦ τεθείσης ἐξ ἀβλεψίας. – Σ. 541. στ. 24. Οὐδ' ὁ Φίλων ἔοικεν ἀναγνοὺς τὸν Συμεών. «Δύο μέν, φησιν, ἀριθμῷ Συμεὼν καὶ Λευΐ, γνώμῃ δὲ εἷς· διὸ κἂν ταῖς εὐλογίαις ὁ μὲν πατὴρ αὐτοὺς ἐν τάξει ἑνὸς κατηρίθμει (Γεν. μθ). Ὁ δὲ Μωσῆς οὐδὲ δυάδος ἔτι μέμνηται, ἀλλ' ὅλον τὸν Συμεὼν εἰς τὸν Λευῒ ἐνεχάραξε» (T. α. σελ. 608. Μ)· ἐκ τοιούτου κώδηκος ἐλλειποῦς ἀνέγνω καὶ ὁ Θεοδώρητος (Ἀπόρ. εἰς Γεν. ἐρ. μδ). Ἀλλ' ἡ φυλὴ τοῦ Συμεὼν ἀριθμεῖται ἐν τῇ διανομῇ τῆς γῆς (Ἰησ. ιθ΄ 1), ἐν ταῖς γενεαλογίαις (Α. Παραλ. β. 1. δ΄. 24. πρβλ. Ἀριθμ. β. 12.), καὶ ἐν τῇ Ἀποκαλύψει (Ζ΄. 7) – Σ. 574. στ. 3. πρόσθες καὶ ἄλλας παρομοίας φράσεις τῆς Γραφῆς· «Καὶ ἔδωκε Κύριος φωνὰς καὶ ὑετόν» (Α. Βασιλ. ιβ. 17.–18. πρβλ. καὶ Κλήμ. Στρωμ. ς. 454.). καί, «Φωνὴ τῶν ποδῶν τοῦ κυρίου αὐτοῦ» (Δ. Βασιλ. ς΄ 32). Σ. 577 στ. 13. βλ. καὶ σελ. 209. – Σ. 592. στ. 19. βλ. καὶ Bruns not. in Kennic. Dissert. gener. p. 178. – Σ. 601. στ. 29. Λείπει ἐκ τοῦ ἑβρ. καὶ Ἰὼβ. κβ΄. ὁ 3. σίχ. βλ. Morin. Exer. σελ. 481. – Σ. 606. στ. 14. ὡς καὶ τὸ «Ποίμαινε λαόν σου ἐν ῥάβδῳ σου» (Μιχ. ζ΄. 14). πρβλ. Ψαλμ. κζ΄. 9, οζ΄. 72. – Σ. 608. στ. 2. πρβλ. Ἱερεμ. λη. (ἑβρ. λα) 12. «Ἐπὶ γῆν σίτου, καὶ οἴνου, καὶ καρπῶν» (Ἀλεξ. Βατ.)· ἡ Κομπλ. «σίτου, οἴνου, καὶ ἐλαίου καὶ καρπῶν»· τὸ νῦν ἑβρ. «σίτου, οἴνου, καὶ ἐλαίου». – Σ. 616. στ. 4. ἀντὶ τοῦ Αι ἀνάγνωθι, ἐλαΐ. – Σ. 648. στ. ι. Ὁ Εὐσέβιος λέγει· «Τὸ παρὰ τῷ Δανιὴλ εἰρημένον πρὸς θάτερον τῶν κατειπόντων τῆς ἁγίας Σωσάννης πρεσβυτέρων, «Ἤδη γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ λαβὼν φάσιν παρὰ τοῦ Θεοῦ, σχίσει σε μέσον». (Ἑρμην. εἰς Λουκᾶν ἐν Maij Scr. Vet. n. Coll. T. 1. σελ. 120)· καὶ ἐπρέσβευε λοιπὸν τὴν Σωσάνναν γνήσιον μέρος τοῦ Δανιὴλ ὁ Εὐσέ-

βιος. (τὰ δὲ Ἱερωνύμεια, οὔτι πάντῃ πιστά. βλ. ἐφεξ. σελ. 659). — Σ. 654. στ. 16. Καὶ Κύριλλος ὁ Ἱεροσολύμ. « Εἰ γὰρ ὁ Ἀββακοὺμ ὑπ' ἀγγέλου μετετέθη, βασταχθεὶς ἀπὸ τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ, πολὺ μᾶλλον ὁ καὶ προφητῶν καὶ ἀγγέλων Δεσπότης ». κτλ. (Κατηχ. ιδ' σελ. 155). — Σ. 661. στ. 17. πρόσθ. καὶ Κύριλλος ὁ Ἱεροσολύμων. — Σ. 673. στ. 24. Δεσμώτης (φησὶν ὁ Σουΐδας) καὶ αὐτὸς ὁ δέσμιος, καὶ ὁ δεσμῶν. Κρατῖνος, ἐπὶ τῶν δεσμοφυλάκων· « πρὸς τοῖσι δεσμώταισι καταπιπτουμένην » (γρ. καταπιττουμένην)· οὕτω καὶ Σχολ. εἰς Σοφοκ. Αἴαντ. στ. 105. πρβλ. Ζαχαρ. Σχολας. ἐν Ἀμμων. σελ. 93: — Σ. 684. ς. 4. Καὶ ἡ ἐκκλησία ἐν ταῖς δημοσίαις εὐχαῖς (Ὥρ. καὶ Ἑσπεριν. τῆς Χριστοῦ γεννήσ.) ἀναγινώσκει τὰ τοῦ Βαρούχ· « Οὗτος ὁ Θεὸς ἡμῶν » κτλ. ὡς τοῦ προφήτου Ἱερεμίου. — Σ. 685. στ. 14. Καὶ ὁ Χρυσόστομος· « Τέλος δὲ, καὶ Θρήνους (ὁ Ἱερεμ.) ποιεῖται, καὶ παραίνεσιν δι' ἐπιστολῆς τίθεται πρὸς τοὺς ἐν ἀποικίᾳ τυγχάνοντας· ἐν ᾗ ἐλέγχει τὸ τῶν εἰδώλων μάταιον ». κτλ. (Ὑποθ. τῆς Ἱερεμ. προφητ.)· πρβλ. καὶ Critic· Sacr. T. VIII p. 42. Lond. — Σελ. 692. στ. 5. Πρόσθες καὶ Ὠριγένης: Μ. Βασίλειος: Γρηγόρ. ὁ Θεολόγος: Κύριλλος: Σύγκελλος (βλ. ὄπισθ. σελ. 649)· καὶ Μάξιμος ὁ Ὁμολογητὴς (παρὰ Φωτ. Ἀναγν. ρμα). — Σ. 693. στ. 19. καὶ Ἐφραὶμ ὁ Σύρος (σελ. τνβ, τνθ). — Σ. 637. στ. 13. καὶ Γρηγόριος ὁ Θεολόγος. « Ἐννοῶ δὲ τὸν εἰκοστὸν πρῶτον Ἀβραὰμ τῇ Πατριαρχείᾳ δεδοξασμένον, μυστηρίου προσθήκη μείζονος· τρισσουμένη γὰρ ἡ ἑβδόμη ἑβδομὰς τὸν ἀριθμὸν τοῦτον ἐργάζεται » (Λόγ. μδ'. τ. α. σελ. 707)· καὶ Κύριλλος ὁ Ἀλεξ. (κ. Ἰουλιαν. γ) ἀπὸ Ἀδὰμ τὸν Νῶε δέκατον ἀριθμεῖ (βλ. ἐφεξῆς σελ. 783). — Σ. 742. στ. 11. « Καὶ ἐλθόντος Ἰησοῦ ἐπὶ τὸν Ἰορδάνην, καὶ νομιζομένου Ἰωσὴφ τοῦ τέκτονος υἱοῦ ὑπάρχειν » (Ἰουστῖν. π. Τρύφ. σελ. 319). — Σ. 767. στ. 38. πρόσθες καὶ Σαβέλιος, καὶ Ἰδελῆρος (βλ. σελ. 831). Καὶ Γρότιος (De verit. Relig. Christian. L. I. §. XVI. σημ. 02). « Πρὸς ταύτην (λέγει) τὴν Καλλισθένους ἀρίθμησιν συμφωνεῖ καὶ ἡ τῶν Σιαμιτῶν (Siamensis) Ἰνδῶν χρονολογία, 6000 ἐτῶν, ἀπὸ Κ. Κ. ἀριθμούντων· — Σ. 778. στ. 31. γράφε μᾶλλον ἀπὸ τῆς χρίσεως τοῦ Δαυῒδ μέχρι Χ. ἔτη 1072. βλ. ἐφεξῆς σελ. 789. — Σελ. 782. στ. 6. Σύνοψιν τῆς τοῦ ἱεροῦ Θεοφίλου χρονολογίας σενέταξε μετὰ πολλῆς ἐπιμελείας Ἰωάννης ὁ Φέλλος, ἐπίσκοπος Ὀξονίου, ἐν ᾗ τρανῶς ὁ Θεόφιλος ἀριθμεῖ ἀπὸ Κ. Κ. μέχρι Χ. ἔτη 5507. Ἴδε τὸν πίνακα ἐκδεδομένον καὶ ἀλλαχοῦ, καὶ ὑπὸ τοῦ Lumper Histor. Theologico-crit. T. 3. p. 177–183. — Σ. 783. στ. 11. Ὁ δὲ Κύριλλος Ἀλεξανδρ. « Οἱ λεπτῶς (φησιν) — ἀπαριθμησάμενοι, καταφέρουσι μὲν ἀπὸ Ἀδὰμ εἰς Νῶε, τὸν ἐξ αὐτοῦ δέκατον, ἐτῶν ἀριθμὸν διακοσίων που τάχα, δύω τε καὶ τεσσαράκοντα (ἴσ. ἑξήκοντα). πρὸς τοῖς δισχιλίοις » (κ. Ἰουλιαν. γ. σελ. 110. Spanh.)· στ. 25. (ἀναπλήρου τὸ συγκεχυμένον). Καὶ Σεβῆρος ἴσ. ὁ Ἀντιοχείας· (ὁ δὲ Γαβάλων, οὐ Σευῆρος, ἀλλὰ κυριώτερον Σευηριανός· βλ. Βιβλ. Δ. σελ. 619). — Σ. 789. στ. 24. Γράφε. Ἀπὸ τῆς Ἐξόδου τῷ 1684, ἀπὸ δὲ τῆς χρίσεως Δαυῒδ τῷ 1072. (Ἡ μὲν γὰρ Ἔξοδος τίθεται παρὰ Συγκέλ. τῷ Κ. Κ. 3816· ἡ δὲ χρίσις τοῦ Δαυῒδ τῷ 4428 [Χρονογρ. σελ. 238, 332].

Ἐπειδὴ δὲ ἡ τοῦ Συγκέλλου χρονολογία ἐνδεῖ τῆς ἀκριβείας ἔτεσιν ὀκτὼ (τίθησι γὰρ τὴν γέννησιν τοῦ Σωτῆρος τῷ 5500), προστεθέντων καὶ τῶν 8 τούτων, ἡ μὲν Ἔξοδος πίπτει τῷ Κ. Κ· 3824 (+1684=5508)· ἡ δὲ χρίσις τοῦ Δαυῒδ τῷ Κ. Κ. 4436 (+1072=5508). – στ. 33. Ἴδε καὶ ἄλλους Δυτικοὺς συγγραφεῖς τηροῦντας τὴν χρονολογίαν τῶν Ο, παρὰ Μορίνῳ (Exercit. p. 164). – Σ. 812. στ. 25. Περὶ τῶν Οὐϊργιλίου ἐπῶν βλ. καὶ Nourry Apparat. ad Biblioth. Maxim. vet. Patr. Diss. XII. c. 3. p. 462 (Paris, 1694). – Σ. 821. στ. 22. Περὶ τοῦ Ἰουβιλαίου βλ. καὶ Demag. ἐν Δανιὴλ κατὰ τ. Ο, pag. 99. – Σ. 834. στ. 31. Καὶ αὐτὸς ὁ ματαιόσοφος Γιββὼν (Τ. 3. p. 50) «τὸ ἑβραϊκὸν (φησι) καὶ ἡ Βουλγάτα ἐδίδαξαν τοὺς νεωτέρους Δυτικοὺς καὶ Προτεστάντας, ἵνα συστείλωσιν εἰς 4000 τὰ κατὰ τοὺς Ο, 5500 Κ. Κ. μέχρι Χ. (ὡς ἠρίθμει ἀπ' ἀρχῆς πᾶσα ἡ Οἰκουμενικὴ Ἐκκλησία)· ἀλλ' ὅταν οὗτοι σπουδάζωσι τὰς ἀρχαιολογίας τῶν ἐθνικῶν, εὑρίσκουσιν ἑαυτοὺς σφιγγομένους ἐντὸς τῶν στενῶν τούτων ὁρίων. – Σ. 871. στ. 22. πρὸς τὸ Ἀ ν α τ ο λ ὴ τοῦ Ζαχαρίου ἀποβλέπων καὶ ὁ θεῖος Παῦλος, εἶπεν «ἐ ξ Ἰ ο ύ δ α ἀ ν α τ έ τ α λ κ ε ν ὁ Κύριος ἡμῶν» (Ἑβρ. ζ.). – Σ. 889. στ. 10. Ἐν δὲ τοῖς γνωστοῖς ἀπογράφοις τῆς Γραφῆς, μόνος ὁ κώδηξ τῆς 'Οδησσοῦ φαίνεται πολλαχοῦ ἄνωθεν καὶ κάτωθεν ἐστιγμένος (βλ. σελ. 276). στ. 12. (πρόσθες) βλ. Morin. pag. 358. – στ. 33. ἴδε καὶ ἄλλα βιβλ. ῥαββινικὰ παρὰ τῷ Pfeiffer Crit. Sacr. p. 395. – Σ. 899. στ. 9. Περὶ τῆς ἐν 'Οξονίῳ ἐκδόσεως τῶν τοῦ θείου Ἐφραὶμ βλ. Βιβλ. Δ. κεφ. ε. §. ριδ. – Σελ. 938. στ. 5. Ὅθεν καὶ ὁ Ἀπόστολος· «Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε» (Ἑβρ. ιβ, 26). – Σ. 939. στ. 18. Πρόσθες καὶ τὴν ἐπὶ Ἡσαΐου ἀναστροφὴν τοῦ ἡλίου, «ὅτε ἀνέβη ὁ ἥλιος ἐπὶ δέκα ἀναβαθμοὺς» κτλ. (Ἡσαΐ. λη, 8: Δ. Βασ. κ, 10. Β, Παραλ. λβ, 24, 31). – Σ. 946. στ. 8. Περὶ τούτου τοῦ βιβλίου βλ. Morin. Exercit. p. 418–428. – Σ. 339. στ. 32· Περὶ τοῦ Δοσιθέου. Βλ. Ὠριγ. Ἐξηγητ. Τ. Β. σελ. 219: ἐκδ. Huet. – Σ. 694. στ. 7. Μανασσῆ Καὶ ἐν τῇ πρὸ τῆς Χ. γεννήσεως Κυριακῇ τῶν ἁγίων Προπατόρων γίνεται μνεία τοῦ Μανασσῆ ἐν τοῖς Ἰαμβείοις (τοῖς μετὰ τὴν ς, ᾠδὴν) «Σωτηριῶδες πρὸς μετάγνωσιν βάθρον Μανασσῆς ἡμῖν (γρ. ἡμῖν Μαν.) τὴν προσευχὴν πηγνύει». Ἀλλὰ καὶ τοῦ β. Καϊνᾶν (βλ. σελ. 740). «Καϊνάν ἡμῖν ἐξεγήγερται νέος, Τοῦ πρὶν Καϊνᾶν ἐμφερὴς ἐκ τοῦ τρόπου». Ὡσαύτως καὶ τῆς Σωσάννης· «Κανὼν πρόκειται σωφρονούσαις ἐν βίῳ Ὁ τῆς Σωσάννης σωφρονέστατος τρόπος».

ΕΙΣ ΤΟΝ Δ'. ΤΟΜΟΝ.

Σελ. 6. στίχ. 17. (πρόσθες) Καὶ Πασσῖνις (De Præcip. S. S. Biblior. version. p. 39). – Σ. 12. ς. 7. Καὶ Λύμπερος (Histor. Theologico-critic. vol. 1. p. 480). – Σ. 34. ς. 32. βλ. Coteler. Patr. Apost. vol. 1. p. 28. – Σ. 58. ς. 30. (πρόσθες) Τερτυλλιανὸς (Apolog. c. 18, 31. καὶ de anima c. 28), καὶ Ἰουνίλιος (De partib. Legis divin. L. II. c. 29). – Σ. 87. ς. 35. Καὶ ἐν Παλάγκῃ τῆς Ἀμερικῆς εὑρέθησαν ἀρχαιότατα παλάτια φέροντα μικρὰς θυρίδας, ἐχούσας τὴν μορφὴν τοῦ Τ (βλ. Incididents of Travels in central America, Chiapas and Jucatan. vol. 2. p. 313. New-York, 1342). – Σ. 98. ς. 13. βλ. Griesbach Opu-

scul. T. 2. p. 288; Müncher, Handb. der Christlich. Dogmengeschichte 1. Th. p. 290. 3. Th. p. 78; Credner, De librorum. N. Test. inspiratione quid statuerunt christiani ante sec. med. tertium. P. I. 1828. – Σ. 114. ς. 25. πρὸς τοῖς Παραλειπομένοις συμπαρακολουθοῦσι καὶ ὁ Ἔσδρας καὶ ἡ Ἐσθήρ· ἐν δὲ τοῖς ἐφεξῆς μετὰ τοῦ Ἰὼβ συνυπακούονται οὐ μόνον ὁ Τωβὶτ καὶ τὰ Μακκαβαϊκὰ, ἀλλὰ καὶ ἡ Ἰουδείθ. καὶ ἐφεξῆς μετὰ τῶν τῆς Σοφίας ὑποθηκῶν συνυπονοοῦνται καὶ αἱ δύω Σοφίαι, ἡ τοῦ Σολομῶντος καὶ ἡ τοῦ Σειράχ. Καὶ οὕτω φαίνονται καὶ τὰ Ἀναγινωσκόμενα μετὰ τῶν ἁγιογράφων δέλτων τῆς θείας Γραφῆς, κατα τὸν ἐκκλησιαστικὸν κανόνα, συναριθμούμενα, εἰ καὶ μὴ ὡς ἀνέκαθεν καὶ ταῦτα Κανονικὰ, ἀλλὰ γοῦν ὡς κεκανονισμέναι προεισαγωγαὶ τῶν θείων λογίων, ὡς ὠνόμασεν αὐτὰ ἀνωτέρω ὁ θεῖος Διονύσιος, ἐν αἷς ἔταξε διαῤῥήδην τὴν Σοφ. τοῦ Σολομῶντος· (ὡς καὶ ὁ ΠΕ. κανὼν τῶν Ἀποστόλων τὴν Σοφ. τοῦ Σειρὰχ καὶ τὰ Μακκαβαϊκά). Οὕτως ἐξήγησαν τὸν περιληπτικὸν κατάλογον τοῦ θείου Διονυσίου καὶ τῶν νεωτέρων ἄλλοι τε, καὶ ὁ σοφὸς Λύμπερος (Histor. Theologico - crit. T. 2. p. 421). – Σ. 119. στ. 21. ὑπὲρ τοῦ ἐσχάτου κανόνος τῆς ἐν Λαοδικείᾳ Συνόδου ἐπραγματεύσατο καὶ ὁ Schröckh, Christliche Kirchengeschichte Th. VI. p. 252. – Σ. 171. ς. 34. Ὅτι ὁ Μητροφάνης ἐπατριάρχευσε τῆς Ἀλεξανδρείας, δεῖξις ἀναντίῤῥητος καὶ αὐτὸς ὁ ἐν τῷ Πατριαρχείῳ τῆς Ἀλεξανδρείας κατάλογος τῶν Πατριαρχῶν, (ἐν Καΐρῳ διατηρούμενος), ἐν οἷς ὁ Μητροφάνης ἀριθμεῖται οὐχὶ 90 τῶν Ἀλεξανδρείας Πατριαρχῶν (κατὰ τὸν Le Quien), ἀλλὰ 102, πατριαρχεύσας τῷ 1635. Ἔχει δὲ ἡ σημείωσις οὕτω· «Γεράσιμος τῷ 1610. Μητροφάνης τῷ 1635. Νικηφόρος τῷ 1640» κτλ. Σῴζεται δὲ καὶ εἰκὼν αὐτοῦ χαλκίνη ἐν τοῖς Πατριαρχείοις ἐπιγεγραμμένη λατινιστί· Metrophanes Cretopulos ex Beroea Macedoniae, aetatis suæ. an. 38. Καὶ ταῦτα μὲν οὕτω. Τοῦ δὲ Μητροφάνους πολὺ παρὰ τὴν ὕποπτον ὁμολογίαν γνησιώτερον ἔχομεν ἀνὰ χεῖρας λατινικὸν ἐγχειρίδιον, περιέχον διορθώσεις καὶ ἐπιστασίας εἰς τὸ γραικοβάρβαρον λεξικὸν τοῦ Μευρσίου, Emendationes et animadversiones in I. Meursii Gloss. Graecob. ex autographo (τοῦ Μητροφάνους). Stendaliae, 1787. ἐκδ. J. Franzij. – Σ. 200. στ. 13. Καὶ ὁ θεῖος Εἰρηναῖος (βλ. ἐφεξῆς σελ. 430). – Σελ. 201. ς. 36. Καὶ ὁ Γρότιος ἑρμηνεύων τὸ τοῦ Ἀποστόλου (Α, Κορ. ι, 3)· «βρῶμα πνευματικὸν» (τὸ μάννα) «ὁ γὰρ Θεός (φησιν) ἐν αὐτῷ ἐνήργει γεύσεις ποικίλας». (Ταῦτα λέγει καὶ ἑρμ. εἰς Ἐξόδ. ις). Ὥστε συνομολογεῖ καὶ οὗτος (ὡς καὶ ἄλλοι τῶν νεωτέρων) τὰ τῆς Σοφίας (ις. 22). Ὅπως δὲ «τὸ πνευματικὸν» (βρῶμα, πόμα) ἐξηγοῦσιν οἱ θεῖοι Πατέρες βλ. Χρυσόστ. Θεοδώρ. Θεοφύλακτ. (εἰς Α, Κορ. ι. 3). – Σ. 531. ς. 31. Καὶ ὁ Συνέσιος, Νεκρὸν ὕδωρ (βλ. παρακατιὼν σελ. 765). – Σελ. 532. ς. 29. Τὰ σῳζόμενα τοῦ Τίτου Βοστρῶν ἐξεδόθησαν ἑλληνιστὶ ὑπὸ Basnag. in Nova Oper. Canissian. edit. T. 1. p. 59–162. – Σ. 756. ς. 31. Ἀμφιλοχίων (πρόσθες). Ἔφθη τὴν εὐχὴν ἡμῶν πεπληρωκὼς ὁ κλεινὸς Μάϊος, ἐκδοὺς καὶ τὰ ὑπόλοιπα τῶν Φωτίου Ἀμφιλοχίων (Script. vet. nov. Coll. T. IX. p. 1–158). – Σ. 875. ς. 13.

Οὕτως ὠβέλισε καὶ τὸ «ἐν διανοίᾳ αὐτοῦ», καὶ τὸν Β Καϊνᾶν (βλ. ὄπισθ. Βιβλ. Γ. σελ. 489, καὶ σελ. 731).— ς. 27. Ἄλλα παραδείγματα ματαίων ἀςερισμῶν βλ. ἐν Montfauc. Ἑξαπλ. Τ. α. σελ. 39. — Σ. 917. ς. 15. Ἀξιόλογος φαίνεται καὶ ἡ τοῦ σοφοῦ Συνεσίου περὶ τὴν διόρθωσιν καὶ αὐτῶν τῶν ἀνθρωπίνων συγγραφῶν σφόδρα πεφυλαγμένη εὐλάβεια καὶ προσοχή «Εἰ δέ» (φησι πρὸς τὸν αὐτοῦ υἱὸν) «ὅτι σοι [μὴ διώρθωσα τὰ Δίωνος γράμματα, — διὰ τοῦτο δυσχεραίνεις πρὸς τὸν πατέρα, ἀλλ' οὐδ' ἄλλο τί σοι διώρθωται τῶν τῆς ὁμοίας ἕξεως. Δίωνι γὰρ οὐκ ἀπολογίας πρὸς τοῦτο δεήσει» καὶ τὰ ἑξῆς παρεπόμενα (Συνέσ. ἐν Δίωνι σελ. 59—60. Lutet. 1640). Ἀλλὰ καὶ Τίμων ὁ Φλιάσιος (ψέγων τὰς προχείρους καὶ τολμηρὰς διορθώσεις τῶν συγγραμμάτων) ἐρωτηθεὶς ὑπὸ Ἀράτου, «πῶς ἂν τὴν Ὁμήρου ποίησιν ἀσφαλῶς κτήσαιτο, ἀπεκρίνατο, εἰ τοῖς ἀρχαίοις ἀντιγράφοις ἐντυγχάνοι, καὶ μὴ τοῖς ἤδη διωρθωμένοις» (Λαέρτ. Θ. ιβ. 6). Καίτοι γε καὶ αὐτὸς Ἄρατος (θεραπεύων ἴσως τὰ κακῶς διωρθωμένα) ἐξήνεγκεν Ὁμήρου διόρθωσιν, τὴν ἀπ' αὐτοῦ Ἀράτειον ἐπονομασθεῖσαν· (Ἵππαρχ. ἐν βίῳ Ἀράτ.). — Σ. 765. ς. 32. Πρόσθες πρὸς τῷ Εὐσεβίῳ καὶ τὸν ἱερὸν Ἐπιφάνιον (Αἱρ. κθ.), καὶ τὸν Ἱερώνυμον (καταλόγ. λ. Philo), εἴ γε καὶ οὗτοι χριστιανίζοντας ἀποφαίνονται τοὺς παρὰ τῷ Φίλωνι Θεραπευτάς. Συμφωνοῦσι τοῖς Πατράσι καὶ ἐκ τῶν νεωτέρων ἄλλοι τε καὶ ὁ κλεινὸς Βευερέγιος, πάντη διαφόρους τῶν Θεραπευτῶν τοὺς Ἐσσηνοὺς ἀποδεικνύων (Codic. Canon. V. E. vindicat. L. III. c. V. §. 2—8). Ἐπειδὴ δὲ τῶν Ἐσσηνῶν ἐπεμνήσθημεν, ἀναφέρει τούτους καὶ Δίων ὁ Προυσαεύς· ἐκ δὲ τούτου καὶ Συνέσιος (ἐν Δίωνι σελ. 39) «Πόλιν ὅλην εὐδαίμονα τὴν παρὰ τὸ Νεκρὸν ὕδωρ ἐν τῇ μεσογείῳ τῆς Παλαιστίνης κειμένην παρ' αὐτὰ τὰ Σόδομα» (ὅτι δὲ καὶ τὸ Νεκρὸν ὕδωρ=τῇ Νεκρᾷ θαλάσσῃ, προφανές· βλ. ὄπισθ. σελ. 531). — Σ. 846. ς. 27. Ἑλληνιστὶ τὰς Γραφὰς ἐν τῇ Ἰβηρίᾳ ἀναγινώσκεσθαι μέχρις οὗ μετεφράσθησαν Ἰβηριστί, πιθανώτερον ἱστοροῦσιν ἄλλοι τε καὶ Πλάτων ὁ Ἰοσσελιανός. Ὅτι δὲ κατὰ τὸν Ι. αἰῶνα ὑπῆρχεν ἤδη πληρεστάτη ἡ Ἰβηρικὴ μετάφρασις τῶν Γραφῶν, ἀπόδειξις ἀναντίρρητος ἡ ἑξῆς. Ἐν τῇ κατὰ τὸν Ἄθωνα εὐαγεστάτῃ τῶν Ἰβήρων μονῇ σῴζεται χειρόγραφον τῆς ἐκ τῶν Ο, Ἰβηρικῆς μεταφράσεως ὅλης τῆς Παλαιᾶς Γραφῆς, γεγραμμένον (ὡς σεσημείωται ῥητῶς) τῷ 970 μ. Χ. (ἐξ ἄλλου πάντως ἀρχαιοτέρου ἀντιγράφου μεταγραφέν). Εἶδε δὲ καὶ ἀνέγνω πρὸ μικροῦ τοῦτο τὸ πολύτιμον χειρόγραφον καὶ ὁ προμνημονευθεὶς Ἰοσσελιανὸς, Ἴβηρ ἀνὴρ σοφὸς, Σύμβουλος τοῦ Ῥωσσικοῦ Κολλεγίου, καὶ ἀπὸ διαφόρων αὐτοῦ συνταγμάτων γνωστός. Ἐκ δὲ τούτου τοῦ χειρογράφου, παρεξετασθέντος, ἴσως ἐκδοθήσεται καὶ νεωτέρα ἔκδοσις τῆς Ἰβηρικῆς κατὰ τοὺς Ο, Γραφῆς· (βλ. τοῦ αὐτοῦ Πλ. Ἰοσσελιανοῦ καὶ τὴν Ῥωσσιστὶ ἐκδεδομένην σύντομον Ἱστορίαν τῆς Ἰβηρικῆς Ἐκκλησίας. σελ. 27· Πετρουπόλ. 1843). — Σελ. 868. σίχ. 3. Περὶ τῶν κατὰ τὸν ς. αἰῶνα ἐν Ἰνδίᾳ Χριςιανῶν βλ. Κοσμ. Ἰνδικοπλεύςην Βιβλ. Γ. σελ. 178. — Σ. 1003. ς. 20. Καὶ Ζητήματα δὲ παντοῖα παρὰ τοῖς σοφοῖς ἐγίνοντο ἀλλαχοῦ τε καὶ κατ' Ἀλεξάνδρειαν (βλ. ὄπισθ. Βιβλ. Α σελ. 430).

ΠΑΡΟΡΑΜΑΤΑ.

ΤΟΥ Α΄. ΤΟΜΟΥ.

Σελ. 15. στίχ. 25. γράφε σύγγραμμά τινος. Σ. – 46. στίχ. 21. παρέμειναν. στίχ. 30. ἐπεὶ δὲ. — Σ. 59. στίχ. 9. τεμαχίων. — Σ. 61. στίχ. 23. προτιμᾶν. — Σ. 92. στίχ. 18. ἀντὶ τοῦ Ὀδυσσεὺς γρ. Κάλχας. — Σ. 105. στίχ. 1. ἀναγνῶστα. — Σ. 113. στίχ. 31. οἱονεί. — Σ. 130. στίχ. 31 ᾐχμαλωτεῦσθαι. — Σ. 131. στίχ. 11. ὡσανεὶ συνέγρ. — Σελ. 146. στίχ. 5. κατεληλυθέναι. — Σ. 147. στίχ. 4. ἀξιεπαίνως. — Σ. 149. στίχ. 13. Φιλάδελφον. — Σ. 165. στίχ. 35. 1601. — Σ. 168. στίχ. 28 διθυραμβική. — Σ. 214. στίχ. 4. ἐπάνιμεν. — Σ. 300. στίχ. 17. ἧττα. — Σ. 303. στίχ. 22. ἑαυτόν. — Σελ. 309. στίχ. 10. ἀντὶ μήπως γρ. οὐκ ἄν. — Σ. 331. στίχ. 33. μετὰ τὸν. — Σ. 350. στίχ. 5. τρόπον. — Σ. 385. στίχ. 13. Δημ. τοῦ Φαληρέως. — Σ. 387. στίχ. 26 θερμουργότερος. — Σ. 396. στίχ. 27. δικαιότερος. — Σ. 410. στίχ. 25. ἀκριβές. — 439. στίχ. 29. παρεισφέρουσι. στίχ. 31. ἀντὶ Ὠριγέν. γρ. Εἰρηναῖος — Σ. 470. σίχ. 23. μ. Χ. — Σ. 506. σίχ. 32. Αἰσχίν. — Σ. 523. σίχ. 20. ἐκέλευσαν (οἱ Ἰουδαῖοι. ϐλ. Βιϐλ. Δ. σελ. 1003). – Σ. 538 στίχ. 9. προστέθεικα. — Σ. 553. στίχ. 16. καίρια. — Σ. 556. στίχ. 22. τρισκαιδεκήρεις. — 613. στίχ. 17. Ζιγαϐηνός. — Σ. 636. στι. 1. Ἀϐραάμ. — Σ. 644. στίχ. 31. τῶν.

ΤΟΥ Β΄. ΤΟΜΟΥ.

Σελ. 29. στίχ. 11. αὐτοκάϐδαλα. — Σ. 30. στίχ. 1. ἀπεφήνατο. — Σ. 36. στίχ. 24. Elohim. Σ. 54. στίχ. 23. Kerethim. — Σ. 55. σίχ. 18. ὁποσονοῦν. — Σ. 64. στίχ. 18. λαγωοῦ. — Σ. 98. στίχ. 24. Alexandrinae. — Σ. 105. στίχ. 5. ψηλαφήσαιαν. στίχ. 36. πολιτογραφηθεῖσαν. — Σ. 125. στίχ. 17. ἀπροσδεεῖς. Σ. 133. στίχ. 25. διαλλάττων. — Σ. 135. στίχ. 26. Παραλ. ς. 44. — Σ. 137. στίχ. 34. προσφέρεσθαι. — Σ. 155. στίχ. 32. ἐξηκριϐωκότας. — Σ. 158. στίχ. 27. τὰ παρ'. — Σελ. 172. στίχ. 28. choschen. — Σ. 173. στίχ. 1. Tummim. Σ. 175. στίχ. 11. καὶ (ὡς τὰ νῦν τονίζουσι) Kibrath. — Σ. 179. στίχ. 6. ἡ chomer. — Σ. 182. στίχ. 16. achu. — Σ. 184. στίχ. 5. Tsedah (Γέν. κε, 28 tsaid). — Σ. 186. στίχ. 7. ἡ pigul. — Σελ. 193. στίχ. 14. ἐπεμνήσθης. στίχ. 32. Τ. ΧΙ. — Σελ. 213. στίχ. 8. Τεραφίμ. — Σ. 216. σίχ. 28. Tamim. – Σ. 220. στίχ. 6. Ταμίμ. – Σ. 226. στίχ. 37 ἐτυμηγορεῖ. – Σ. 232. σίχ. 10. Tholedoth. σίχ. 13. Κτίσις ἐστί· σίχ. 14. Bereschith. – Σ. 234. σίχ. 25. μεθερμηνεῦσαι. — Σ. 245. στίχ. 8. Schechar. — Σ. 234. στίχ. 31. μετ' ἤχου. – Σ. 250. στίχ. 1. Chebel. – Σ. 259. στίχ. 11. ϐρωθήσεται. — Σ. 256. στίχ. 16. Tebach. – Σ. 264. στίχ. 31. Thakkiphu. – Σ. 269. στίχ. 12. πρὸς τὸ τοσοῦτ. στίχ. 14. ἀντιπαρέϐαλλον τὰ ῥήματα τῆς ἑαυτ. ἑρμην. — Σ. 280. στίχ. 2. ἐπονομασίας. Σ. 293. στίχ. 5 ἦσαν ἀπὸ. – Σ. 294. στίχ. 19. Benei. —

Σ. 297. σίχ. 31. Φιλόπονος π. Κοσμοποιΐας. — Σ. 326. σίχ. 20. τῆς. — Σ. 332. σίχ. 2. ἀπατεῶνας. — Σ. 348. σίχ. 5. ἀπὸ θειοτέρου πνεύματος τῶν Θ συμφ. ὡς ἂν εἶπερ. — Σ. 354. σίχ. 21 ὕδατος. — Σ. 357. σίχ. 29. ἐξάλειψον τὸ ἴ σ ω ς. — Σ. 359. σίχ. 25. διορθωτάς. — Σ. 372 σίχ. 6. εὑρεῖα. — Σ. 405. σίχ. 20. προφήταις. – Σ. 485. σίχ. 22. ἀνθ' οὗ . . . τόμος γράφει κ. π. τ. ἐσφ. τόπ. — Σ. 499. σίχ. 2. ἐτυμολ. — Σ. 510. σίχ. 1. κατ' ἐτυμ. — Σ. 513. σίχ. 5. γαισᾶται. — Σ. 550. σίχ. 22. συνεθισθεῖσα. σίχ. 23. ὡς φωνὴν γαλατικ. – Σ. 551. στίχ. 25. ἐπᾶραι. — Σ. 575. σίχ. 19. ἀγυιαῖς. — Σ. 583. σίχ. 5. ὡμολόγησε. — Σ. 585. σίχ. 19. 1200. στ. 37. Aramith. — Σ. 598. σίχ. 21. κορωνίδα. — Σ. 600 σίχ. 16. καίτοι. – Σ. 605. στίχ. 25. Achijach. στίχ. 30. Essarchaddon (Δ. Βασιλ. 27). – Σ. 606. στίχ. 5. Chobab. στίχ. 7. Jephunneh. στίχ. 10. Obad-edom. – Σ. 607. στίχ. 17. Aschtaroth. στίχ. 14. ἢ (ὡς τανῦν) Behalim. – Σ. 609. στίχ. 7. Achzib. στίχ. 10. Aschur. στίχ. 17. Beth-Schemesch. – Σ. 610. στίχ. 1. Chitti (Α. Παραλ. ια, 41). στίχ. 4. Μωαβῖται. Ἀμμωνῖται, Mitzrai. – Σ. 611. στίχ. 2. Maschech. στίχ. 6. Hai ἢ Ghai. σίχ. 16. Schinehr. στίχ. 10. Pherizi. στίχ. 17. τοῦ. – Σ. 612. στίχ. 5. Peloni. στίχ. 13. Tsor. σίχ. 17. Schittim, Tarschisch. – Σελ. 613. σίχ. 1. Topheth. σίχ. 14. Tinschemeth. – Σ. 614. στ. 2. Schaphach. – Σ. 616. στίχ. 1. Mor. στίχ. 3. Ahaloth. σίχ. 6. Kessil. — Σ. 618. σίχ. 4. Schatan. — Σ. 623. σίχ. 2. ἡμέραις. — Σ. 631. σίχ. 29. καθαρεύουσα. — Σ. 634. σίχ. 27. Psalmos vol. 3. — Σ. 648. στίχ. 20. Chepher. hammacherathi. – Σελ. 649. στίχ. 1. Sannach. στίχ. 4. Schelach. ς. 18. Riphath. Diphath. στίχ. 20. χοδχοδ (τανῦν προφέρουσι χαδχώδ). – Σ. 650. στίχ. 26. Daleth. – Σ. 651. στίχ. 35. Chavran. – Σ. 652. σίχ. 7. Charocheth. στίχ. 9. χενερὲθ (ἑβρ. chinareth, χινάρεθ). – Σ. 653. στίχ. 7. Hai, Haja, καὶ κατ' ἄλλην προφορὰν Ghai, Ghaia, Ghaiath. – Σ. 658 στίχ. 28. Kenahan, Critjm Pilischtim. – Σ. 671. ς. 3. Meschech. στίχ. 8. Tubal. – 673. στίχ. 9. Kirah. – Σ. 678. στίχ. 1. Σαβὲκ (Γενεσ. κβ, 13. ὅπου τανῦν Sibach ἢ σιβαχ). – Σ. 679. στίχ. 18. Mittah. – Σ. 680. στίχ. 3. Mattah. ς. 26. Echad. – Σ. 683. στίχ. 20. Benoth jahanah. – Σ. 684. στίχ. 10. elah. – Σ. 685. στίχ. 9. Aeschel. στίχ. 19. Rethem. – Σ. 686. στίχ. 10. 23. Schittah. στίχ. 23. Schemen. στίχ. 29. Aruzim. – Σ. 687. ς. 9. Schorec. – Σ. 693. στίχ. 2. Kimah. στίχ. 4. Hasch. στίχ. 26. Lot. στίχ. 29. Nataph. – Σ. 696. στίχ. 11. Tsion, ἢ Tsijun. στίχ. 19. Tsijunim. – Σ. 697. στίχ. 15. Tsammath. στίχ. 17. συσφίγγειν. – Σ. 705. στίχ. 2. ἀπέδωκαν. στίχ. 16. Aeth. – Σ. 708. στίχ. 30. Tahenach. στίχ. 31. Haner. Bileham. στίχ. 32. Ibleham – Σ. 709. στίχ. 14. Beheschterah, Chammon, Chammoth. στίχ. 16. Kartam. – Σ. 711. ς. 24. Netsach. – Σ. 712. στίχ. 18. Chalutz. στίχ. 20. jacharim. – Σ. 713. στίχ. 26. Halmah. βλ. Βιβλ. Δ. σελ. 612. – Σ. 719. στίχ. 24. Thohu va Bohu. – Σ. 722. στίχ. 13. αὐτὸ δὲ τὸ ῥῆμα. – Σ. 723. στίχ. 3. Γαζαῖος. – Σ. 730. στίχ. 18. vajascheb. – 732. στίχ. 28. – Cassaph. – Σ. 736. στίχ. 15. Schor (τανῦν προφέρουσι). – Σ. 738. στίχ. 1. νοτιωτέρων. – Σ. 737. ς. 3. Chamuschim. – Σ. 744. στίχ. 10. καὶ ἀδιανόητ. – Σελ. 748. στίχ. 4. Had-

dam. στίχ. 5. Hatim.– Σ. 750. στίχ. 39. Kodesch, Kodeschim.– Σ. 757. ςίχ. 1. vajareb.–Σ. 659. στ. 3. Chuschai haarki. –Σ. 761. στ. 4. Aepho.– Σ. 764. στ. 29. τῶν τούτου.–Σ. 777. στ. 18. μαστάζω.–Σ. 780. στ. 21. Torah. – Σ. 781. στ. 4. Tivare. στ. 20. Schem. – Σ. 782. στ. 11. Assurim.–Σ. 783. ς. 14. Tsar, Tsir.–Σ. 787. στίχ. 14. Emim.–Σ. 791. στίχ. 18. arbahim, schalosch.–Σ. 805. στίχ. 15. πρὸς τό. – Σ. 809. στίχ. 21. Schanats.–Σ. 815. στίχ. 2. κάτισχνον. — Σ. 824. στίχ. 10. Rathats. στίχ. 18. Tsammath. — Σ. 828. στίχ. 9. Scheol. – Σ. 830. στίχ. 20. παρεξέτεινε. – Σ. 833. στίχ. 7. Schedim. – Σ. 835. στίχ. 5. τὰς δέ. – Σ. 837. στίχ. 4. ἐν ἀρχῇ. – Σ. 840. στίχ. 17. Temonah. – Σ. 849. στίχ. 2. Ehéjé. – Σ. 873. στίχ. 27. σαλπίγγων. – Σ. 898. στίχ. 19. ἐξείλκυσε. – Σ. 901. στίχ. 4. διακοπεύς. – Σ. 902. στίχ. 14. Mei. Tabeherah.–Σ. 904. στίχ. 1. Chatseroth. στίχ. 2. Chuzoth. στίχ. 11 Bekah. στίχ. 18. Keschitah. – Σ. 910. στίχ. 22. Imtsachu.—Σ. 917. ς. 7. Hoalthi. στίχ. 26. Caheth chajah. ς. 24. Thalchu.–Σ. 918. στίχ. 2. Schelach. στίχ. 6. Pharaschim. ς. 19. Schelal.–Σ. 923. στίχ. 10. ταῖς ἄλλαις. – Σ. 928. στ. 27. βεβαρβαρωμένων.– Σ. 929. στίχ. 10. κρίνοντες. – Σ. 931. στίχ. 15. ἐνθυμήματα. – Σ. 933. στίχ. 20. χρυσοεπείας. – Σ. 940. στίχ. 25 τὸν ὁδ. – Σ. 941. στίχ. 5. Κἀκεῖνο δὲ μάτην.

ΤΟΥ Γ'. ΤΟΜΟΥ.

Σελ. 10. στίχ. 32. ἀντίποινα. – Σ. 11. στίχ. 1. ἀπετεθησαύριστο. – Σ. 18. στίχ. 22. Βιβλ. α. κεφ. κα. – στίχ. 29. Ἔσδραν. – Σ. 20. στίχ. 15. οἵ. – Σ. 28. στίχ. 9. δεδανεισμένην. – Σ. 31. στίχ. 11. Βενεϊακάν. – Σ. 44. στίχ. 16. οὖν. – Σ. 60. στίχ. 5. τινῶν. στίχ. 16. ἑνός. – Σ. 62. στίχ. 32. ἑξῆς (πρόσθες) §. λα. – Σ. 65. 1. ναῷ. – Σελ. 69. στίχ. 10. πηγῆς. στ. 18. Λω. – στίχ. 27. ἀνερυθριάστως. – Σ. 85. στίχ. 17. τὴν Ε, – Σ. 101. στίχ. 31. πολυμαθής. – Σ. 112. στίχ. 8. ἀναγνῶστα, – 16. 720 ἢ 750. – Σ. 116. στίχ. 4. συναντιβαλόντες. – Σ. 121. στίχ. 2. θεωροῦσι. – Σ. 140. στίχ. 14. Καί. – Σ. 145. στ. 13. τοιούτοις. – Σ. 172. στ. 30. Ἰεχωυὰ, ἢ Ἰεωυὰ (ἢ διὰ τοῦ υ, γραφὴ ἀντιστοιχεῖ μᾶλλον πρὸς τὸ ἑβρ. vav, καὶ οὕτω γραπτέον ἑκασταχοῦ). – Σ. 185. στ. 29. προασπιστήν. – Σ. 197. στ. 5. Σαλούμ. Μασουλλάμ. – Σ. 201. στ. 21 ὑπάρχουσι. – Σ. 202. στ. 5. Ἀσὲμ (Ἑβρ. Haschem) Ἰασσὲμ (jaschem). στ. 8. Σιμεὰ (ἑβρ.) Σαμμούα (ἑβρ.) Ἰάχαθ (ἑβρ.), Βαθσσούα (Bath - Schuah), Βαθσσέβα (Bath – schebah), Ὀχοζίας, ἑβρ. Ἀχαζειάου (Δ. Βασιλ. Θ. 21) στ. 23. Ἰωσσὲβ Βασσέβεθ Ταχχμωνὶ (joscheb, Baschebeth Tachmoni). ς. 24. Ἰασσοβεὰμ υἱὸς χαχμονὶ (Iaschobeham ben chachmoni). ς. 25. Τὸ δὲ Ἰωσσεβ βασσέβεθ καὶ τὸ Ταχχμονί. – Σ. 205. ς. 10. Νοορὰ υἱὸς Ἀζβί – ς. 11. Νααραΐ υἱὸς Ἀζββαΐ. ς. 27. paharai haarbi. –Σ. 207. ς. 1. ἄλλαις. – 211. στ. 15. ιζ. ς. 23. Harim. – Σ. 212. ς. (Schehorim) ς. 3. Hadaschim στ. 16. μαρεαὶ ἢ mareaeh. – Σ. 216. στ. 21. ἑβρ. Teman. στ. 22. ἑβρ. Ghaetam, Kenaz. – Σ. 218. στ. 5. Βουλγάτα. – Σ. 219. στ. 19. Αἱμὰν καὶ Ἰδουθοὺν ἑβρ. στ. 24. Elohei – Σ. 227. στ. 28 Κωλ (col). – Σ. 231. στ. 3 Jaschimoveth. στ. 4. Jaschi moveth. – Σ. 239. στ, 10. Schachab.

Sehagal. – Σ. 243. στ. 24. βε σαλ μαυάθ (Be Tsal maveth). – Σ. 245 στ. 2. μόρφωσιν. – Σ. 249. στ. 6. Δω. – Σ. 251 στ. 21. Ecabda. στ. 23. Ecabdah. – Σ. 270. στ. 9. περισελίδιον. – Σ. 280. στ. 6. Ἰὼδ . . Λάμεδ. – Σ. 283. στ. 31. Βαιθ. – Σ. 287. στ. 31. ἀρχαιότητος. – Σ. 294. στ. 26. φυτοκομούμενα – Σ. 296. στ. 12. βαϊῶμερ στ. 15. Moscheh. στ. 17. στ. Λεχωθνώ. στ. 33. Χάταν (καὶ δασύτερ.) χάθαν. – Σ. 297. στ. 25. Χεθάν. – Σ. 312. Βερεσὶθ 6αρὰ ἐλωχὶμ αἰθ ἀ σαμαΐμ. – Σ. 313. στ. 2, 6. Γενεσ. μζ. 31. Σικεῦθ. – Σ. 314. στ. 35. Προτιμᾷν. – Σ. 320. στ. 5, 10. Aschur. Beaschau, Keashau. – Σ. 321. στ. 1. – 8. jechallu. jeballu, jehudah. – Σ. 324. στ. 30. L. II. c. 17. Clericus Comm. – Σ. 327. στ. 27. Amersfoordt. Σ. 335. στ. 20. παρά. στ. 29. Bahaburechu. Σ. 343 στ. 5. τῆς. – Σ. 346. στ. 3. οὐκ. – Σ. 365. στ. 23. θεραπεύονται – Σ. 372. στ. 30. ὑπετόπαζεν. – Σ. 389. στ. 15—29. (κατὰ τὸν 6αθύτερον λαρυγγισμὸν) Χανώχ. Chavah (Αὐά). Methuschelach, Mahalalel, Itschac, Iehoschuah, Ischai, Schemuel, Elischah, Ioschijahu, Chizkijahu, Iehojakim; Tsidkijahu. Achaschverosch. Choresch, Ἰερουσαλαΐμ. – Σ. 395. στ. 18. chikor cherum. ς. 19. kikar karim. — Σ. 396. στίχ. 33. Schablul. — Σελ. 397. στίχ. 5. Schabal. — Σελ. 399. στ. 8. 9. esch escheth. – Σ. 401. στ. 11. el zohem. – Σ. 404. στ. 21. jalidticha. – Σ. 405. στ. 9. Schackar. στ. 10. ἑωθινόν. στ. 15. jalduthecka. στ. 17. Μασορ. – παρὰ τὸ jaled=ἐγέννησε, καὶ πρωτοπροσώπως jalidti. λ. 18. jalduth. – Σ. 408. ς. 18. Μαρέχαμ. – Σ. 410. ς. 7. chabusch. – Σ. 411. ς. 8. ὦ Θαιμ. ὄρους. – Σ. 513. στ. 20. Hatser. στ. 23. Hotsar. – Σ. 414. στ. 12. zaruah. στ. 28. Mascaleth. στ. 29. Mascareth. – Σ. 415. στ. 1. Mithmaschra. — Σ. 416. στ. 10. vejodah. στ. 16. arredd (ἄλλ. ardde) στ. 17. ai = ποῦ. στ. 25. chalku. – Σ. 417. στ. 2. viraucha. στ. 8. Beschari, Bessuri, στ. 19. Melech, meleach. — Σ. 418. στ. 4. 5, Harim, heschrim. Le sachachoth. στ. 17. 19. Harum, Bilcham. στ. 22. jemei, mei. — Σ. 422. στ. 27. Mitshar. στ. 32. Βάθερ (Bather). — Σ. 423. στ. 1, 2. chaor cullah, chajor chollah. — Σ. 424. στ. 8. Βαναΐ μιν ἀκκααθί. — Σ. 425. στ. 17. Σικουθ. — Σ. 426. στ. 4, 5, holim, hal-jam. στ. 12. halamoth, hal moth. στ. 14. lachem haniei, Lichenahani. στ. 16, 17. Meschicho, Mah-Schecho. — Σ. 427. στ. 3. Heschrim. — Σ. 428. στ. 5. jaschia moth. στ. 6. jaschimaveth. στ. 12. Ναοὺμ 6, 1, τὸ ἑ6ρ. στ. 17. Belijahal. στ. 20, 21. ba chaleb (τὸ 6αὶθ μετὰ τοῦ ἄλεφ=ἦλθε). be chaleb (τὸ βαὶθ ἄνευ ἄλεφ=ἔν). στ. 23. ἐν δὲ. στ. 26, 27. lo chen (οὐχ οὕτω), la chen (εἰς τοῦτο). στίχ. 29. Hebed jah. Ἑ6έδ. στ. 31. Hibri. — Σ. 429. στ. 1–2. Hibrim, Habadim. στίχ. 9. jaddir jah. στ. 11. veaddirei. — Σελ. 437. στίχ. 26. vaschti. — Σελ. 438. στίχ. 9. Lo. – Σελ. 439. στίχ. 5. Pighei. – Σελ. 441. στίχ. 24. dabar. στίχ. 26. Pabad. – Σελ. 442. στίχ. 20. οἱ περὶ τόν. — Σελ. 444. στίχ. 11. διάφορα. — Σελ. 454. στίχ. 10. Βασίλειος. στίχ. 11. εἶπε. — Σελ. 456. στίχ. 9. Betselem. — — Σελ. 466. στίχ. 33. thohu va bohu. — Σελ. 467. στίχ. 2. σέφερ. —

Σελ. 468. στίχ. 29. mikkedem. — Σελ. 476. στίχ. 12. Lacach. στίχ. 21. ἐπῆρεν. — Σ. 499. στ. 10. ἦρεν. — Σ. 480. στ. 37. τούς. — Σ. 490. στ. 8. ἔλεος. – Σ. 493. ς. 1. ὅ ἐστι. – Σ. 495. στ. 14, Μασοριτικοί. — Σ. 498. στ. 4. ἀπέλθετε. στ. 26, 27. Matteh, Mittah. — Σ. 499. στ. 7. κτλ. ἐν δὲ A, Βασιλ. ιδ, 17, ἔχει τὸ ἑβρ. καὶ αὐτὴν τὴν λέξιν ματτὲ (hammatteh). – Σ. 500. στ. παδδάν. — Σ. 505, στ. 1. Μαλεαχ. στ. 8. χαθάν. στ. 16. Ἁμρὰμ ἑβρ. Hamram (δασύ). – Σ. 508. στ. 14. ἀραφὲλ (haraphel). – Σ. 512. στ. 24. γενομένων. – Σ. 521. ς. 10. Μέλεχ, Μολεχ, habir (καὶ ς. 16). – Σ. 527. ς. 11. colbaschar. – Σ. 536. στ. ἐκείνοις. – Σ. 544. στ. 5, Meadam, had. – Σ. 545. στ. 11. Λ ὸ, ἢ Λ ῶ, διὰ τοῦ λάμεδ καὶ βαῦ. = αὐτῷ. καὶ λὸ διὰ τοῦ λάμεδ καὶ ἄλεφ = οὐ. — στ. 32. σαλπίγγων. — Σ. 566. στ. 6. ἢ χαμὼρ, χωμὲρ. — Σ. 567. στ. 8. ἀδωμί. — Σ. 570. στ. 21. (ὅλ. Γράβ.). — Σ. 573. στ. 26. Ἁμών. — Σ. 573. στ. 19. τόμ. β – ὅλ. ὄπισθ. σελ. 209. — Σ. 579. στ. 17. διφὰθ (ἐν τῷ περισελίδῳ) στ. 21. Ῥωδανὶμ, Δωδανὶμ. — Σ. 580. στ. 27. Elohei. στ. 32. Αἰμὰν καὶ Ἰδουθοὺν ἢ jeduthum. – Σ. 581. στ. Μαχαλαθ, Ἱεριμώθ. — Σ. 583. στ. 3. Οὐάλλην. στ. 15. Ἀδασσά. — Σ. 585. στ. 29. Ἀχασσουήρου. — Σ. 598. στ. 34. αἴφερ. — Σ. 605. στ. 22. κατέστησα (ἢ ἔ χ ρ ι σ α, ὡς ἑρμηνεύουσι πολλοὶ τὸ ἐν τῷ ἑβραϊκῷ κειμένῳ Νασάχτι). — Σελ. 638. στίχ. 13. ἐτυμολογίας. — Σελ. 648. στίχ. 9. πρεσβεύει. στίχ. 20 ζημιωθείς. – Σελ. 649. στίχ. 9. συγκαλεῖν. — Σελ. 652. στίχ. 23. ποῦ ποτε. — Σελ. 656. στίχ. 20. ἢ cohanim καὶ κ ο ὲ ν (cohen) συγγενὲς τῷ ἑλληνικῷ κ ό η ς, ὁ ἱερεὺς (Ἡσύχ.). στίχ. 32. κοινῇ. — Σελ. 657. στίχ. 32. παρ' ᾧ — Σ. 664. στ. 18. Minchah. στ. 23. ἀμφοτέροις. — Σ. 668. στ. 1. ἐξάλειψον τὸ πρῶτον μ ε τ ά. – Σ. 669. στ. 14. ἔτος. – Σ. 673. στ. 39. μασεγγέρ. – Σ. 674. στ. 37. ἐκκρούονται. – Σ. 686. στ. 14. ὁμογενέσι. — Σ. 687. στ. 5. γενεάς. – Σ. 688. στ. 6. κεῖνται. – Σ. 689. στ. 35. καθαρεύει. – Σ. 711. στ. 32. κατὰ τὸν ζ. – Σ. 721. στ. 27. ἀντὶ τῶν. – Σ. 729. στ. 28. Λουκᾶ (γ, 36). – 733. στ. 22. πρότερον. – Σ. 741. στ. 17, (Βάλτων δ, §. 15 καὶ θ). – Σ. 751 στ. 14. – παλαιότατον. – Σ. 764. στ. 25. Αἴγυπτον. – Σ. 777. στ. 29. κοχὲν (cohen). – Σ. 800. στ. 32. πρόδηλον. – Σ. 801. στ. 20. ἀρχαιόγονα. – Σ. 813. στ. 35. γνωσθήσῃ. – Σ. 816. στ. 16. tochu. – Σ. 848. στ. 29 τῷ ὄντι. – Σ. 836. στ. 21. Ἰσσαΐ. – Σ. 837. στ. 9. Adonai στ. 19. debar. – Σ. 840. στ. 17. ἥτις. – Σ. 858. στ. 20 Ἑλληνιστῶν. – Σ. 865. στ. 23. kenaph. – Σ. 874. στ. 33. Λευϊαθάν. – Σ. 876. στ. 31. Tsidkenu. – Σ. 883. στ. 5. σοῦ. – Σ. 891. στ. 3. τρανῶς. – Σ. 894. στ. 14. ἄν. – Σ. 909. στ. 28. Βρετανικῷ. – Σ. 935. στ. 8. ἑκάστη. – Σ. 953. στ. 8. δ υ ν α τ ό ν. – Σ. 954. στ. 12. ὑπερασπίζονται. – Σ. 960. ςίχ. 1. ἴσ. ἀντὶ τοῦ περὶ γρ. – Σ. 976. ςίχ. 20. μεθηρμ. – Σ. 992. στίχ. 13. Καὶ Ὀτιγγῆρος. – Σ. 993. στ. 9. προλαβοῦσι ὅλ. σελ. 161, 246, κτλ. – Σ. 996. στίχ. 25. Τετυπωμένοις. – Σ. 999. στίχ. 16. διεφθορότων. – Σ. 1017. στίχ. 3. Ἰουδαίοις. στίχ. 26. κατεφρόνουν.

ΤΟΥ Δ'. ΤΟΜΟΥ.

Σελ. 6. στίχ. 12. Μακκαβαίων. – Σ. 12. στ. 12. ἄλλη. – Σ. 16. στ. 1. βι-

θλίψ. — Σ. 19. στ. 26. μαντεύει. — Σ. 28. στ. 9. ἐπειράθησαν. στ. 21. ὧδε. — Σ. 29. στ. 18. Μεγασθένης. — Σ. 30. στ. 29. ἐτύμως. — Σ. 31. στ. 8. Ἀβρααμικῆς, στ. 17. οὖν. — Σ. 33. στ. 16. Σιμωνίδη. — Σ. 35. στ. 25. Londin. στ. 31. ὁμοίως. — Σ. 37. στ. 26. Σημιτικῶν. στ. 27. Petersburg. — Σ. 42. στ. 30. Test. Lib. I. — Σ. 43. στ. 1. παρατηρήσεων. στ. 19. ἀναγινώσκει. στ. 33. οὐκ ἐτυμολογεῖ. — Σ. 47. στ. 3. ὄζοντα. — Σ. 49. στιχ. 29. θουμμίμ. — Σ. 52. στ. 8. Βαθ — κώλ. στ. 23. φλυναφίας. — Σ. 53. στ. 6. ἴλην. στ. 16. καὶ — Σ. 54. στ. 18. (φησίν) ἐστε. — Σ. 57. στ. 20. ὑπερορῶντος. στ. 24. αὐτοῦ. — Σ. 59. στ. 29. γρ. ἐν οἷς καὶ οἱ Αεδ. λεγ. θεολόγοι. ἄλλοι δὲ ὡς. — Σ. 65. στ. 22. Ehéjeh. στ. 22. ἀσσέρ. — Σ. 68. στ. 21. Iehovah. στ. 34. Elohecha. — Σ. 69. στ. 7. οὗς. — Σ. 70. στ. 10. Iechoschuah. — Σ. 71. στ. 1. Meschiah. — Σ. 85. στ. 7. Ἑβραίων. — Σ. 87. στ. 8. ἦρεν. — Σ. 90. στ. 12. εὗρέ πού ποτε. — Σ. 94. στ. 6. εἱρκτῶν εὑρώεντα. — Σ. 96. στ. 29. Γραφῶν. — Σ. 100. στ. 13. πνεύματος. — Σ. 109. στ. 1. αἱ βίβλοι. — Σ. 116. στ. 33. πλατῦναι, στ. 34. κἀκεῖνοι. — Σ. 119. 33. οἷα. — Σ. 122. στ. 27. Πικταύων. — Σ. 124. στ. 30. Ruach hakkodesch. — Σ. 125. στ. 23. ἤ. — Σ. 131. στ. 21. ἀντὶ Πετρουπ. γρ. Μόσχᾳ. 1839. — Σ. 140. στ. 3. ψυχόλεθρα. — Σ. 142. στ. 7 Ἰώσηπος. στ. 24. Σειραχίδης. — Σ. 145. στ. 35. διατηρήσει. — Σ. 148. στ. 15. τεθησαυρισμένη. — Σ. 149. στ. 12. εἴδομεν. — Σ. 154. στ. 8. ἔψημα. — Σ. 165. στ. 11. τοῦ Τωβίου. στ. 39. καθ' Ἱε- ρώνυμον. — Σ. 166. στ. 7. κἄν. — Σ. 169. στ. 28. ἀνάγνωσιν. — Σ. 174. στ. 1. παρεῤῥιμένος. στ. 4. Σωσάνναν. — Σ. 184. στ. 10. λαμπρῶς. — 191. στ. 10. ἐθνῶν. αἱ χριστ. — Σ. 196. στ. 23. βρενθυομένους. — Σ. 199. στ. 39. ἐν ταῖς. — Σ. 204. στ. 12. συντέτακται. — Σ. 205. στ. 26. οὐχ ὡσανεί. — Σ. 207. στ. 28. ἐκδοθείσῃ. — Σ. 209. στ. 2. μήπω μεσαζούσης. στ. 28. περιπεπτωκός. — Σ. 214. στίχ. 17. Μακκαβαϊκῆς. — Σ. 219. στ. 9. διάσωσιν. — Σ. 220. στ. 5 — καταχώρισις. — Σ. 221. στ. 33. Φύσκωνα. — Σ. 222. στ. 13. Πατριάρχης. στ. 14. παρασιωπῶμεν. — Σ. 223. στ. 16. ἐν τῇ θείᾳ. — Σ. 224. στ. 19. κατανευσάσης. — Σ. 230. στ. 25. Χιννὶμ (Chinim). — Σ. 232. στ. 11. Σαραπείῳ. — Σ. 240. στ. 6. Ἰουδαίοις. — 249. στ. 4. οὖν. — Σ. 262. στ. 12. νέτσερ (netzer). — Σ. 270. στ. 33. Συνυποκρέκει — Σ. 272. στ. 26. αὐτὸς ἔσται σου ἐπίφοβος. στ. 27. ἄλλοι. στ. 28. οὐδέ. — Σ. 274. στ. 27. Ἰτάλᾳ. — Σ. 281. στ. 29. multum. — Σ. 286. στ. 27. καί. — Σ. 288. στ. 9. (τσαΐρ, ἢ tsaihir). — Σ. 289. στ. 14. εὐοδωθήσεται. — Σ. 300. στ. 2. Ἀπόστολοι. στ. 24. κατοικοῦντας. — Σ. 302. στ. 26. τὸν. στ. 27. παρεδίδου — Σ. 308. στ. 32. Habad. — Σ. 310. στ. 31. ἶσον. — Σ. 313. στ. 29. ἑστώς. — Σ. 317. στ. 7. λόγος. — Σ. 318. στ. 6. ἐμίσησάν με. — Σ. 323. στ. 2. ἕστηκας. — Σ. 329. στ. 20. αὐτοῖς. 24. ἦ. — Σ. 330. στ. 32. διαπεράσῃ. — Σ. 332. στ. 9. ἀπέκτειναν. στ. 28. γεννηθήτω. — Σ. 334. στ. 12. ὀμόσει. — Σ. 344. στ. 4. ὑμῶν. — Σ. 352. στ. 14. αὐτούς. — Σ. 353. στ. 24. γενεαλογίαν. — Σ. 359. στ. 24. ἀνοῖξαί σοι. — Σ. 364. στ. 35. εἰ. — Σ. 366. στ. 9. Ὁρκίζω. — Σ. 367. στ. 32. ἔωθεν. — 368. στ. 8. ὑπόδυσαι. — Σ. 371. στ. 36. ἐπεσκέψατο. — Σ. 378. στ. 25. ὄρθριζε. — Σ. 379. στ. 14. Διανοῖξαι. — Σ. 381. στ. 26. ἐλαιών. στ. 34. κιδρὼν (Kidron). — Σ. 384.

στ. 10. ᾠκοδόμησε. – Σ. 385. στ. 10. βραχίονι. – Σ. 400. 30. ὅρους. – Σ. 402. στ. 17. τόν. – Σ. 403. στ. 17. κρῖμα. – Σ. 404. στ. 18. περιεζωσμένον. – Σ. 405. στ. 13. ὅρασις. – Σ. 411. στ. 10. εὑρέθη. – Σ. 426. στ. 15. εὐαγγελίσασθαι. – Σ. 437. στ. 6. οὗ. στ. 15. Στρωματεύς. – Σ. 442. στ. 13. Schebet. – Σ. 445. στ. 3. συγκαταινοῦντος. στ. 31. ἀθετεῖν. στ. 32. νομοθετῆσαι. – Σ. 448. στ. 29. Chanah. – Σ. 450. στ. 32. περιστοιχιζόμενος. – Σ. 460. στ. 24. κἂν. – Σ. 462. στ. 18. ἀναγνώσεων. – Σ. 470. στ. 34. Schichor. – Σ. 471. στ. 13. διπλᾶς. – Σ. 476 στ. 19. ᾠκτείρησας. – Σ. 478. στ. 25. 26. Χαθάν, Χαθάμ. – Σ. 484. στ. 15. ἐνθουσιασμοῦ. – Σ. 490. στ. 32. πλεισταχοῦ. – Σ. 492. στ. 6. τὸν. – Σ. 494. στ. 13. Σύμβολον. στ. 28. οὐχί – Σ. 498. στ. 19. Ἐξηρεύξατο. – Σ. 500. στ. 30. τοῦ. – Σ. 501. στ. 14. Ὠριγ. Ἑξαπλῶν καὶ Τετραπλῶν. στ. 20. ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ. – Σ. 505. στ. 1. οἱ Ο. – Σ. 507. στ. 31. παρακατιών. – στ. 33. τά. – Σ. 513. στ. 20. ἀπαγγέλλουσι. – Σ. 520. στ. 20. ὥσπερ. – Σ. 522. στ. 18. πρὸς τὰ Ἄπος. – Σ. 527. στ. 26. Πικταύων. – Σ. 548. στ. 21. οὐκ εἰσί. – Σ. 553· στ. 23. ἐπιγεγραμμένον. – Σ. 553. στ. 5. ταὐτά. – Σ. 558. στ. 4. παρεντιθείς. – Σ. 560. στ. 12. Ψαλμούς. – Σ. 562. στ. 31. tohdat. – Σ. 573. στ. 21. μετελήφθη – Σ. 575. στ. 21. Ὠριγένην. – Σ. 576. στ. 32· Simon. Hist. Crit. V. T. – Σ. 581. στ. 2. vaigvah vajamoth. – Σ. 583. στ. 10. mikkedem. – Σ. 584. στ. 14. βεταχ. στ. 20. labetach. – Σ. 587. στ. 16. ναῒδ (τὸ δὲ νῦν ἑβρ. Νωδ). – Σ. 597. στ. 12. δριμέος. – Σ. 606. στ. 20. καταγνῷ. – Σ. 609. στ. 13. ἐνόν. στ. 31. τοῦτ' ἐστὶν. – Σ. 614. στ. 29. διασημότατος. – Σ. 621. στ. 19. Ἑλενουπόλεως. – Σ. 622. στ. 30. ἀποπτῦσαι. – Σ. 623. στ. 6. ἀπεμπολῇ. – Σ. 624. στ. 15. ἐπιγεγραμμένον. – Σ. 636. στ. 30. παραλιπόντα. – Σ. 640. στ. 4. ᾠδάς. – Σ 644. στ. 26. Οἷον. – Σ. 647. στ. 29. ἀπαριθμησάμενοι. – Σ. 658. στ. 25. ἑρμηνευταῖς. – Σ. 661. στ. 18. παλαιᾶς. – Σ. 662. στ. 12. προστεθέντα. – Σ. 666. στ. 28. Εὐθήριον. – Σ. 672. στ. 15. πάσας. – Σ. 676. στ. 2. δυσσεβείας. – Σ. 688. στ. 7. παρείληφεν. – Σ. 689. στ. 23. ὅρος. – Σ. 695. στ. 9. Ἀφθαρτοδοκητῶν. – Σ. 702. στ. 30. ἐν ᾧ περί τε τοῦ. – Σ. 708. στ. 21. αὐτοῦ. – Σ. 709. στ. 17. καλλιεπής. – Σ. 712. στ. 24. αὐτῆς. – Σ. 717. στ. 3. τρεῖς (φησίν) εἰσιν. – Σ. 730. στ. 15. βασίλισσαι. – Σ. 737. στ. 28. Βελλαρμῖνος. – Σ. 745. στ. 21. ἐθίσης. – Σ. 747. στ. 9. Αἰγαιοπελαγιτῶν. – Σ. 749. στ. 10. Κατηχητική. – Σ. 754. στ. 34. ἀλαζονίαν – Σ. 755. στ. 26. θαῤῥαλεότητα. – Σ. 760. στ. 5. Ἀββουκαρᾶς. – Σ. 762. στ. 13. Στουδῖται. – Σ. 764. στ. 24. πολυπληθεῖς. στ. 29. Ἀσμάτια – Σ. 768. στ. 23. κατὰ τοὺς Ο. – Σ. 777. στ. 31. ἁγιορείτης. – Σ. 789. στ. 35. ἧττονα. – Σ. 796. στ. 36. ἐξάλειψον τὴν ἐν. – Σ. 801. στ. 36. Βενετίᾳ. – Σ. 803. στ. 5. συνενθουσιῶν. στ. 13. Ἀνακρεόντειοι – Σ. 816. στ. 15. (ἴσ. γρ. ἐλλειποῦς). – Σ. 819. στ. 7. ζῶν. – Σ. 821. στ. 1. ἤκουσαν. – Σ. 824. στ. 16. 1793. – Σ. 827. στ. 12. πᾶσά φησιν. – Σ. 831. στ. 18. ἔξουσι. – Σ. 838. στ. 16. ὑπολέλειπται. – Σ. 843. στ. 15. Συλλογ. – Σ. 847. στ. 29. ἀντὶ Ἀρμενικῆς γρ. Ἰβηρικῆς. – Σ. 848. στ. 1. πολυμαθέστατος. – Σ. 851. στ. 12. συμπεραίνεται. – 870. στ. 21. Κἂν. στ. 29. πλασθείσας. – Σ. 872. στ.

20. δοκοῦντας. – Σ. 373. στ. 17. τοῦ. – Σ. 875. στ. 30. – ἐπανειλημμένον. – Σ. 876. ττ. 24. οὗς. – Σ. 885. στ. 22. ἑνότητος. – Σ. 889. στ. 17. Ἐξαπλοτετραπλαία. – Σ. 911. στ. 3. τέτταρσι. – Σ. 614. στ. 15. ἐξετασθέντων – Σ. 925. στ. 22. ὡρίσθη. – Σ. 928. στ. 5. θεσπισθέντα. – Σ. 961. στ. 6. ἔτι. – Σ. 987. στ. 3. ἐπιβλέποι. στ. 7. προχείρως ἔχ. εἶπεν, ὅτι. – Σ. 998. στ. 32. ἴδε. – Σ. 1001. στ. 4. Σελ. 954. στίχ. 6. Θυσίας κτλ. – Σ. 1008. στ. 12. Πτολεμαίου. Σ. 1026. στ. 10. σωζόμενα. – Σ. 1056. στ. 26. Ἐλεάζαρον.

Οἱ κατὰ τὰς ἐκδόσεις διορθωθέντες συγγραφεῖς.

Ἀδουλιτανοῦ μνημείου ἐπιγραφή. Βιβλ. Α. 136. – Ὁ Μέγ. Ἀθανάσιος Β. 545. Γ. 538, 682. Δ. 516. – Αἰνείας ὁ Γαζαῖος. Δ, 680. – Ἀκύλας, Β. 611. Γ. 435. – Ἀλεξανδρινὸς τῶν Ο, κώδηξ. Γ. 205. καὶ 231 (ἐκδ. Γράβ.). Ἀλεξανδρινὸν Χρονικὸν Α. 297. 645. Δ. 1054. – Ἀνατόλιος. Α. 410. – Ἀνέκδοτα Βεκκήρου. Β, 254. – Ἀποστόλων Διαταγαί. Α, 395. – Ἀππιανός. Β. 498. – Ἀριστέας. Α, 36, 135, 234, 238, 282, 314. 337. 468. 493. 499. 508. 517. 519. 570. 581. 583. 585. Β. 189, 534, 436. Δ. 10. 940 –– 999. — Ἀριστόβουλος. Β, 456 — 458. –– Ἀρχίλοχος. Β. 246. –– Ἀφρικανὸς Α, 277. — Βαρνάβας. Γ. 106. 462. — Βασίλειος ὁ Μ. Γ, 241, 654. – Βατικανὸς τῶν Ο. κώδηξ (ἐκδ. Βὼς). Γ, 205, 232. – Γαληνὸς Α, 246. – Γερμανὸς Δ. 741. – Γερμανὸς ὁ Νέος, Δ, 781. – Γρηγέντιος Δ, 677. – Γρηγόριος ὁ Θαυματ. Δ, 494. – Γρηγόριος ὁ Νύσσης, Δ, 550, 551. – Δέξιππος. Α, 84. – Διόδωρος Πρεσβ. Ἀντιοχείας. Δ. 569. – Διόδ. Σικελιώτης. Α, 156, 457. Β. 59, 531. – Διόδ. Ταρσεύς. Δ, 441. – Δωρόθεος. Δ, 728. – Ἐπιφάνιος Α, 50, 257, 661. Β. 307, 350, 351, 438. Γ. 19, 79, 433. Δ, 119, 534, 1040. – Εὐγένιος ὁ Βούλγ. Δ. 820. – Εὐδοκία. Δ, 649. – Εὐλόγιος. Γ. 332. – Εὐσέβιος, Α, 80. Β. 94, 130. 137, 175, 251, 418, 864. Γ. 200, 605, 735, 751. 804. Δ. 70, 102, 508, 509, 512, 873, 1032. – Εὐσέβ. ὁ Ἐμεσηνός. Β. 679. Γ. 906. Δ, 525. – Εὐφορίων, Β, 513. – Ζώσιμος. Β. 329. – Ἡσύχιος Λεξικ. Β. 253, 518, 692, 777, 848. Γ. 686. – Ἡσύχ. Πρεσβύτερ. Β. 353. – Θεοδώρητος. Β. 243, 673, 689. Γ. 549. Δ. 66. – Θεόδωρος Ἡρακλ. Δ, 523, 524. – Θεόδωρ. Μοψουεστίας. – Δ, 634, 1049. — Θεόδωρ. Τριμυθοῦντος, Δ, 622. — Θεόκριτος Α, 29. — Ἰουστῖνος. Γ. 775, 777, 780, Δ. 88, 1025. — Ἰώσηπος. Α, 280, 466, 568, 637. Β, 126, 130. Γ. 203, 206, 483. Δ. 9, 1007–1016. – Καλλίμαχος. Α. 30. – Κάλλιστος. Δ, 878. – Καμενιάτης. Δ, 769, – Κεδρηνός. Β, 419. – Θεοφάν. ὁ Κεραμεὺς Δ. 777. — Κλήμης Ἀλεξανδ. Α, 377, 398. Β, 87. Δ, 32, 436. – Κοσμᾶς Ἰνδικοπλεύστης. Α, 383, Δ. 1053. – Κοσμᾶς Ἁγιοπολ. Δ. 1053. – Κύριλλος Ἀλεξανδρ. Β. 754, Δ. 25, 645. – Λαέρτιος. Α, 60, 104, 300. – Λουκιανὸς Β, 286. – Μανέθων. Α. 38. – Μαυρίκιος. Δ. 721. Μακκαβαίων Α καὶ Β. Α. 427, Β. 119, (Βατικ.). – Μένανδρος. Β, 95, 97. – Νεῖλος. Δ, 654. – Νικήτας Παφλαγ. Δ. 753. Νικήτ. Σεῤῥῶν. Α, 287. Β. 353. – Νουμήνιος. Δ. 30. – Ὀλυμ-

πιόδωρος. Δ. 1054. — Ὁρμίσδας. Δ. 685. — Ὀνομάτων ἀττικῶν ξυλλογή. Β. 171. — Ὀρειβάσιος. Β. 253. — Παλλάδιος. Δ, 580, 599. — Παυσανίας. Α. 170, 179. 203. — Πολύβιος. Α, 603, — Πολυδεύκης. Α, 14. — Πολυχρόνιος. Δ, 637. — Πολυΐστωρ. Α. 32. — Πορφύριος. Α, 84, 142. Β. 96, 301. — Προκόπιος Γαζαῖος. Β. 500. 661. Γ. 24· — Σειρὰχ πρόλογος. Δ, 47. — Σολομῶντος ἐπιστολαὶ (παρ' Εὐσεβ.) Β. 129. — Σουΐδας, Α, 13, 329, 328, 339, Γ. 548. Δ. 43, 499, 538, 642. — Σοφοκλῆς. Α, 480· — Στέφανος Βυζάντ. Β. 52, 83. Δ. 628. — Στεφάνου Γραμ. σχόλια. Β. 360. — Σύγκελλος. Α, 51· Γ. 695. Δ. 44, 1055. — Σχολιαστὴς Θεοκρίτου. Α, 165, 190. — Σχολ. Λουκιανοῦ Β. 153. — Σχολιαστὴς τῆς Π. Διαθήκης Α, 287. Β. 522, 744. Γ. 435, 467. Δ, 268. 549, 879. — Σύμμαχος. Δ· 561. — Τατιανός. Δ, 35, 435. — Τίτος Βοστρῶν. Δ. 532. — Φίλων. Β, 225. 281, 723. Δ, 1007. — Φιλοστόργιος. Δ. 184. — Φώτιος. Β. 700. Γ. 27, 1030. Δ. 711, 759. — Χρυσόστομος. Δ. 611. Ὠριγένης Γ, 25, 340, 535, 597, 960. Δ. 448, 453.

ΠΙΝΑΞ

Κατ' ἐπιτομὴν τῶν ἐν τῇ Τετραβίβλῳ ἐπισημοτέρων πραγμάτων καὶ ὀνομάτων.

Ἀγαγαῖος. Β. 768.
Ἀγάθων. Δ. 735.
Ἄγγελοι φύλακες ἀνθρώπων. Β. 296.
Ἁγιογερμανικὸν ψαλτήριον. Γ. 613.
Ἁγιόγραφα. Β. 405, 429—430.
Ἁγιογραφικὴ διάλεκτος. Β. 205.
Ἀδάμ. Δ. 32.
Ἀδελφὸς-φή. Α. 136. 171. 221. 661.
Ἀδουλιτανὸν, ἢ Ἀδουλαῖον μνημεῖον. Α. 136.
Ἀδριανοῦ εἰσαγωγή. Δ. 669.
Ἀετὸς, παράσημον Λακεδαιμονίων. Β. 126.
Ἀζαρίας. Γ. 353. Δ. 1024.
Ἀθανασία ψυχῆς ἐν τῇ Πεντατεύχῳ (πρὸς ταῖς ἄλλαις ἀποδείξεσι) καὶ τὸ Γ. 527.
Ἀθανάσιος ὁ μέγας. Α. 55. Β, 431. Γ. 462. Δ. 116. 514. 2) ὁ Πάριος. Δ. 59.
Ἀθάρα. Β. 252.
Ἄθυτον. Β. 185. 259.
Ἀθηναῖοι Αἰγυπτίων ἄποικοι. Β. 123.
Ἀθηνῶν ἐπίσκοποι. Δ. 801.
Αἰγύπτιοι παρέλαβον πολλὰ παρ' Ἑβραίων. Β. 224. Ἡ ἱστορικὴ περίοδος αὐτῶν συμφωνεῖ τῇ τῶν Ο. χρονολογίᾳ. Γ. 769. — Αἰγυπτιακὴ ἑρμηνεία τῶν Ο. Δ. 841.
Αἰθιοπικὴ τῶν Ο ἑρμηνεία. Δ. 839.
Αἰνείας ὁ Γαζαῖος. Δ. 679.
Αἰχμαλωτάρχης. Γ. 74.
Ἀκη, ἡ καὶ Ἄρκη. Α. 225. 226.
Ἀκάκιος. Δ. 663. 678.
Ἀκιβᾶς. Γ. 73. 75. 84.
Ἄκρον τῆς ῥάβδου. Γ. 498.
Ἀκτάζειν. Β. 283. 334.
Ἀκύλας. Β. 267. 705. Γ. 69. 76. 82. 218. 220.
Ἀλεξάνδρεια. Δ. 960. — Φόροι. Α. 555.
Ἀλεξανδρέων περὶ τὰ θεάματα ἀκρασία. Β. 176.
Ἀλεξανδρινὴ διάλεκτος. Β. 105. 114. 189. 195. — Κώδηξ Ἀλεξανδρινός. Δ. 909.
Ἀλεξανδρινὸν χρονικόν. Δ. 731.
Ἀλεξανδρινο-Σαμαρειτανὴ (πλαστὴ) ἔκδοσις τῆς Πεντατεύχου. Γ. 353.
Ἀλεξανδρίζω, Ἀλεξανδρινίζω. Ἀλεξανδρεώτης. Ἀλεξανδρῶδες. Β. 185.

Ἀλέξανδρος. 1) ὁ μέγας, Α. 58. 116. 140. 196. 324. — Ἀνάβασις αὐτοῦ εἰς Ἱεροσόλυμα, Α. 602. Β. 114. Δ. 17.—Βίος αὐτοῦ μυθώδης. Δ. 1058. 2) Ἀλέξανδρος ὁ Ἀλεξανδρείας. Δ. 498.
Ἀλδίνης ἐκδόσεως κείμενον τῶν Ο. Δ. 902. — Ἄλδου Γραφὴ τρίγλωσσος Γ. 175.
Ἀλήθεια. Β. 173. 210.
Ἀλληγορικὴ ἑρμηνεία. Β. 155.
Ἀλύπιος. Δ. 664.
Ἀμανά. Γ. 419.
Ἀμβρόσιος. Δ. 564.
Ἀμερικανὶς (φυτὸν). Α. 16.
Ἀμμών. Β. 913.
Ἀμνὸς (νόμισμα). Β. 904.
Ἀμφιλόχιος. Δ. 559.
Ἀναγινωσκόμενα. ταῦτα καὶ οἱ Ἀπόστολοι ἀνεγίνωσκον. Β. 592. Καὶ αἱ σύνοδοι ἐκύρωσαν. Δ. 165. τὰ κατ' αὐτῶν ἐπιχειρήματα ματαιολογοῦσι. Δ. 141—158.
Ἀναγνώσματα τῆς Γραφῆς ἐν ταῖς ἐκκλησιαστικαῖς ἀκολουθίαις. Δ. 145.
Ἀνάγνωσις τοῦ νόμου καὶ τῶν ψαλμῶν, εἶτα καὶ τῶν Προφητῶν ἐν ταῖς Συναγωγαῖς. Β. 474. 475. 482.
Ἀναγνώστης. Β. 475. 483.
Ἀναγραφή. Β. 380. 382. 440. 547.
Ἀναφορά. Α. 502.
Ἀνάστασις νεκρῶν. Β. 165. 587.
Ἀναστάσιος ὁ Ἀντιοχείας. Δ. 706.— 2) Ἀναστάσιος ὁ Σιναΐτης. Δ. 721.
Ἀναχρονισμὸς παρὰ τοῖς ἐνδόξοις συγγραφεῦσι. Α. 45,
Ἀνατόλιος. Α. 403. Δ. 495.—Ἀνατόλιος Κωνσταντινουπ. Δ. 674.
Ἀνδρέας ὁ Κρήτης. Δ. 732.
Ἀνδρίς, ἡ. Γ. 469.
Ἀνέκδοτα. Δ. 695.
Ἄνθιμος Ἱεροσολ. Δ. 824.
Ἄνθρωπος καὶ = κάτοικος, 2) δοῦλος Α. 473. 594. 3). Ἀδάμ. Γ. 470.
Ἄννης ᾠδή. Β. 451.
Ἀννιανός. Δ. 617.
Ἀντιβολή. Β. 380.
Ἀντιλεγόμενα. Δ. 139.
Ἀντίοχος Παλαιστιν. Α. 729.
Ἀντιόχου διωγμὸς κατὰ τῶν θείων Γραφῶν. Β. 126. 128. 471. 538. 591. Γ. 56.
Ἀντώνιος ὁ Μ. Δ. 522.
Ἀνωνύμου Θεολογικὸν χειρόγραφον. Δ. 818.
Ἀξιώσεις ἔγγραφοι. Α. 502.
Ἄπαις. Α. 193.
Ἀπαμέων μεταλλόσημα. Β. 156.
Ἀπίων ὁ Πλειστονίκης. Α. 35. Β. 37. 48. 145.
Ἀπόκρυφοι βίβλοι. Β. 277. 420. Δ. 138.
Ἀπολλινάριος. Δ. 529. 556.
Ἀπολλόδωρος ἱστορ. Β. 142.
Ἀπολλώνιοι. ὁ ποιητής. Β. 102.—2) ὁ Μόλων. Β. 140.
Ἀπολύσεις. Β. 417.
Ἀποστάσεις καὶ ὑπερπηδήσεις παρὰ τοῖς συγγραφεῦσι. Α. 278. Γ. 42.
Ἀπόστολοι Ἰουδαίων. Γ. 74. 110.
Ἀραβικὴ τῆς ἑβρ. Πεντατεύχου μετάφρασις. Γ. 113. 2) τῆς τῶν Ο. ἑρμηνείας. Δ. 837.
Ἀραί. Α. 526. Β. 383.
Ἄρατος ὁ Σολεύς. Β. 116.
Ἀργάριζον. Γ. 34.
Ἀργέντης. Δ. 817.
Ἄρειος ὁ καὶ Ἀρεύς Β. 119.
Ἀρείου βλάσφημοι ᾠδαί. Α. 168, Δ. 764.
Ἀρέθας. Δ. 700.
Ἀριαράθης. Α. 133. 140.
Ἀριθμός. « κατὰ ἀριθμ. ἀγγέλων Θεοῦ ». Β. 178, 233. 289.
Ἀριμάσπια ἔπη. Α. 27.
Ἀριστέας Α. 10, κτξ. τίνες τῶν νεωτέρων πολέμιοι, καὶ τίνες ὑπέρμαχοι Ἀριστέου. Α. 11.—23. ἑλ. καὶ 28. 38. 578. Β. 94. Δ. 945.
Ἀριστεομάχοι. Α. 19.
Ἀριστόβουλος ὁ Ἰουδαῖος. Α. 385. Β. 410. 455. 536. Δ. 12. 2) ὁ Ἕλλην Α. 69.
Ἀριστοτέλους βιβλιοθήκη. Α. 248. Συντυχία μετὰ Ἰουδαίου. Β. 577.
Ἀριφάνης. Β. 136.
Ἀρμενικὴ μετάφρασις τῆς Γραφῆς. Δ. 845. Καὶ τοῦ χρονικοῦ Εὐσεβίου. Α. 77. 80. 84. 142.
Ἀρσινόαι τρεῖς. Α. 177.
Ἀρχαῖοι συγγραφεῖς μνημονεύοντες δημόσια γράμματα, μεταβάλλουσι τὴν φράσιν πρὸς τὴν τῆς ἑαυτῶν συγγραφῆς. Α. 513.
Ἀρχέλαος Κασχάρων. Δ. 495.

Ἀρχιμάγειρος. Β. 257. 734.
Ἀρχισωματοφύλαξ. Α. 32. 660.
Ἀρχιφερεκῖται (ἀρχικεφαλαῖοι). Γ. 108.
Ἀστερίσκος (Ὠριγένους). Β. 861.
Ἀρτάβη. Β. 179. 236.
Ἀρτάπανος. Β. 41. 136.
Ἀρών. Γ. 13. 19.
Ἄσημον (ἀσήμιον) Γ. 392.
Ἀσουρές. Β. 254.
Ἀστάρτη καὶ Ἀσταρώθ. Β. 661.
Ἀστέριος. Δ. 615.
Ἄτεκνος. Α. 193.
Ἀττική. Δ. 42.
Ἀττικὸς ὁ Κωνσταντινουπ. Δ. 630.
Αὐγουστῖνος ἀνέγνω τὸν Ἰουστῖνον. Α. 57. Περὶ τῶν Ο. Β. 169. Δ. 604. 10. Βλέπε καὶ Β. 266. 269. 308. 338. 37. 497. 571. Γ. 110. Δ. 1047.
Ἀφόμοιον. Β. 581.
Ἀφρικανός. Δ. 443.
Ἀφροδίτης ἄγαλμα ἐπὶ τοῦ Παναγίου Τάφου. Γ. 147.
Ἄχει. Β. 182. 242.
Βαβυλώνιος κώδηξ. Γ. 160. 254.
Βαλσαμών. Δ. 780.
Βαραχίας. Β. 489.
Βαρβερίνειος κώδηξ. Γ. 417. Δ. 907.
Βαρκοχεβᾶς. Γ. 75.
Βαρνάβας. Γ. 462. Δ. 417.
Βαροὺχ προφητεία. Γ. 663.
Βασίλειος ὁ Μέγας. Β. 431. Γ. 453. Δ. 536. 2) ὁ Σελευκείας. Δ. 673. 3) ὁ Μακεδών, ὁ Αὐτοκράτωρ. Δ. 760.
Βασιλειδιανοί. Β. 289. 297. 344.
Βασιλεῖς νέοι παρὰ τοῖς ἀρχαίοις. Α. 140.
Βασιλική. Β. 372. 388.
Βατικανὸς κώδηξ τῶν Ο. Δ. 904.
Βέδας. Β. 406. Γ. 787.
Βέζας. Γ. 740. Δ. 585.
Βελλονόφυλλα φυτά. Α. 572.
Βὲν Ἀσήρ. Γ. 115.
Βερενίκη. Βερενίκειον. Βερενίκης πλόκαμος. Α. 162. 172.
Βερνισδορφίου πλάναι. Β. 121.
Βὴλ καὶ Δράκων. Γ. 654.
Βησιακόν. Β. 230.
Βίβης. Α. 10.
Βιγίλιος. Δ. 679.
Βίκτωρ. Δ. 630.
Βικτωρῖνοι. Δ. 496. 532.
Βιβλία. Β. 326. 463.—Βιβλίον τοῦ νόμου. Β. 377. — Βίβλοι θεϊκαί. Β. 438. 445.
Βιβλιοθῆκαι. Ἀλεξανδρείας. Α. 274. 332. Αἰγύπτου. Α. 334. — Ἀθηνῶν, Περγάμου, Πολυκράτους τοῦ Σαμίου, Νικοκράτους τοῦ Κυπρίου. Ἀριστοτέλους καὶ Θεοφράστου. Α. 248. 335. 371. Ῥώμης. 370. Νεεμίου Γ. 48.
Βόρδων. Α. 63.
Βουλγάτα. Γ. 96. 102. 268. 392. 909. 914.
Βούτσμον. Β. 240.
Βουσιρῖται. Α. 110.
Βροῦλον. Β. 239.
Βρούχιον. Α. 333.
Βρυέννιος (Ἰωσήφ). Δ. 790.
Βρύτον. Β. 248.
Βύβλος. Β. 239.
Γάβις. Β. 615.
Γαβριὴλ Φιλαδελφ. Δ, 805.
Γαδαρηνοί. Δ. 465.
Γαιβάλ, Γαριζείν. Γ. 34. 37.
Γαισός. Β. 495.
Γαλάται διέβησαν εἰς Ἀσίαν πρὸ τῆς τοῦ Βρέννου καταστροφῆς. Β. 530. 532.
Γαληνός. Β. 152.
Γαμβρός. Γ. 296.
Γαμαλιὴλ Ἰουδ. πατριάρχης. Γ. 74.
Γάμος παρ' ἑβραίοις τελεῖται μετ' εὐλογίας· καὶ πότος ἑπταήμερος. Γ. 425. 558. — Μέγα μυστήριον. Γ. 471. — γάμοι ἄθεσμοι. Α. 183.
Γαστρίοικος. Β. 764.
Γαυδέντιος. Δ. 617.
Γελάσιος. Δ. 128. 678.
Γεμάρα. Γ. 105.
Γενεά. Γ. 512. 686. 706. 735.
Γεννάδιοι δύο Κωνσταντ. Δ. 676. 793.
Γένεσις. Γένεσις κόσμου. Β. 177. 231. 458. 719. Δ. 1060.
Γεργεσηνοί. Δ. 465.
Γερουσία Ἰουδαίων. Β. 304. Γ. 111.
Γερμανὸς Κωνσταντιν. Δ. 740.
Γεώργιος Νικομηδ. Δ. 767.
Γίγαντες. Β. 612.
Γόρδιος. Δ. 817.
Γοριωνίδης. Α. 342. Β. 267. 412. Δ. 1023.
Γοτθικὴ ἑρμην. τῶν Ο. Δ. 844.
Γραμματεῖον, καὶ — μάτιον. Α. 502.
Γραμματικοὶ ΟΒ. ἐπὶ Πεισιστράτου. Β. 218. 359.

Γραμματικός. Α. 328. 365.
Γράμματα τοῦ ἀλφαβήτου καὶ ἀντὶ λέξεων ἀριθμητικῶν. Γ. 207. Γραμμάτων ὁμοίων σύγχυσις. Β. 649. Γ. 196. 559.
Γραφεῖα. Β. 429. 430.
Γραφή,—φαί. Β. 324. 326.
Γρηγέντιος. Δ. 677.
Γρηγόριοι. 1) ὁ Θεολόγος. Δ. 555. 2) ὁ Νύσσης. 548. 3) ὁ Διάλογος. 711. 4). Γρηγ. ὁ Β. Πάπας Ῥώμης. 738. 5). ὁ Κωνσταντινουπόλεως Πατριάρχ. Γρηγόριος ὁ ς. 824.
Γυνή. Α. 213. Γυνὴ ἀγαθή· Γ. 415.
Γλωσσηματικὰ ὀνόματα. Β. 701.
Γλωσσόκομον. Γ. 13.
Δαβὶδ ψαλμοὶ κατὰ πᾶν σάββατον ἐψάλλοντο. Β. 475. ἰδιόγραφος ψαλμός. Γ. 634.
Δαλεκάμπης ἐπλανήθη. Α. 155.
Δαμασκηνὸς (Ἰωάν) Δ. 742.
Δαμωδὸς (Βικεντ.). Δ. 223.
Δανιὴλ ἑρμηνεία κατὰ τοὺς Ο. Β. 546. 602.
Δεκάλογος ἐν Ἐξόδῳ καὶ Δευτερονομίῳ, καὶ τούτου διαφοραί τινες. Β. 714. Γ. 228. παράφρασις. Γ. 337.
Δευτερονόμιον. Β. 484. Γ. 13. 16. 105.
Δευτερώσεις. Γ. 104—108.
Δευτεροκανονικὰ, τὰ καθ' ἡμᾶς Ἀναγινωσκόμενα. Β. 592. Γ. 702. Δ. 136.
Δημήτριος ὁ Φαληρεὺς καὶ τὰ κατ' αὐτόν. Α. 71. 74, 82—87. 91. 101. 319. Β. 78.
Δημώδης φήμη μεταποιεῖ τὴν ἀλήθειαν. Α. 48.
Δήλωσις. Β. 210.—225.
Διάβολος. Β. 678.
Διάδοχοι. Α. 181.
Διάδοχος ὁ Φωτικῆς. Δ. 675.
Διαθήκη. Β. 423. Διαθήκης κιβωτός. Γ. 13.
Διακοπή, διάλειμμα (χάσμα ἐν τῷ κειμένῳ). Γ. 246. 247.
Διάπτωσις. Β. 664.
Διασπορά. Α. 612.
Διαταγαὶ τῶν Ἀποστόλων. Β. 427. Δ. 419.
Διαφθορὰ ποία λέγεται τοῦ κειμένου τῶν συγγραφῶν. Γ. 1001.
Διάφοροι ἐκδόσεις ἑνὸς καὶ τοῦ αὐτοῦ τεύχους τῆς Γραφῆς. Γ. 329. 336.
Διγέστων κώδηξ ἐν Φλωρεντίᾳ. Γ. 287.
Δίδραχμον. Β. 208.
Δίδυμος ὁ Ἀλεξανδρεύς. Δ. 560.
Διόδωροι. 1) ὁ Σικελιώτης. Β. 31. 57. 142. 2). ὁ Ἀντιοχεύς. Δ. 566.
Διονύσιοι. 1) ὁ Ἀρεοπαγίτης. Δ. 421. 2) ὁ Ἀλεξανδρείας. Δ. 491.
Δίστεγα δωμάτια. Β. 391.
Δίων ὁ Κάσσιος. Β. 65.
Διωνυμία. Α. 76. Β. 709. Γ. 201.
Δορύξους. Β. 500.
Δοσίθεος ὁ Ἱεροσολύμων. Δ. 133. 811. 2). Δοσίθεος ὁ στρατηγός. Β. 569. 3) ὁ Σαμαρείτης. Γ. 332. 349.
Δούκας ὁ Κρής. Γ. 176. Δ. 900.
Δυτικὴ ἐκκλησία κατέχει τὰ Ἀναγινωσκόμενα. Δ. 826. τὴν χρονολογίαν τῶν Ο κατ' ἔτος δημοσίως ἀνακηρύττει. Γ. 788.
Δώδεκα. Β. 288
Δωρόθεος. Δ. 727.
Ἑβδομήκοντα δύω. 1) οἱ ὑπὸ Μωσέως ἐκλεγέντες. Β. 307. 2) οἱ Ἀπόστολοι (καὶ συντομώτερον. Ο). 308. 3) οἱ Ἑρμηνευταὶ τῆς θείας Γραφῆς· Β. 268. Ἱστορία τῆς ἑρμηνείας. Β. 27. Κατὰ θεῖαν ἔμπνευσιν ἡρμήνευσαν. Β. 396. Δ. 47. καὶ ἐξ ἀδιαστρόφου καὶ γνησίου κώδηκος τῶν Ἱεροσολύμων. Β. 799. Ἀποδείξεις τοῦ θείου κύρους τῆς ἑρμηνείας. Δ. 57–102. Πόσα βιβλία τῆς θείας Γραφῆς οἱ Ο μεθηρμήνευσαν. Β. 403. καὶ πότε. Α, 125. Πρώτη αὕτη γέγονεν ἑρμηνεία ὅλων τῶν ἑβραϊκῶν κανονικῶν Γραφῶν. Ἡ δὲ πρὸ τῶν Ο μνημονευομένη ἑλληνικὴ ἑρμηνεία, σύνοψίς τις ἦν μερῶν τινων τῆς Πεντατεύχου, ἀκύρωτος, ἀνώνυμος, καὶ ἔν τισιν ἐπισφαλής, καὶ τέλος, ἠφανίσθη. Δ, 4. κτλ. Ὅτι καὶ τῶν ἐκτὸς τοῦ Ἑβρ. κανόνος κεκανονισμένων ἐν τῇ Ἐκκλησίᾳ βιβλίων τῆς Π. Διαθήκης, δηλονότι τῶν Ἀναγινωσκομένων θεῖόν ἐστι τὸ κῦρος. Δ. 186—224. Κανὼν καθ' Ἑβραίους τῶν βιβλίων τῆς θείας Γραφῆς. Δ. 105. Κανὼν Ἐκκλησιαστικός. Δ. 106—134. Ἀκολουθία τῆς ἀποδείξεως τοῦ θείου κύρους τῶν Ο, κατὰ χρονολογικὴν ἔκθεσιν τῶν μαρτυριῶν. α) Μαρτυρίαι τῶν παλαιῶν Ἰουδαίων. Δ. **226.** β) τῶν θείων Εὐαγγελιστῶν καὶ Απο-

στόλων. 243. Παραβολὴ τῶν παρὰ τοῖς Ἀποστόλοις ῥήσεων τῆς Παλ. Γραφῆς. Ὅθεν δεικνύεται τρανῶς, ὅτι οὐκ ἐκ τοῦ ἑβραϊκοῦ ἐξέφερον τὰς ῥήσεις οἱ Ἀπόστολοι, ἀλλ' ἐκ τῶν Ο· καὶ ταύτην τὴν Γραφὴν μετὰ τοῦ Εὐαγγελίου παρέδωκαν τῇ Ἐκκλησίᾳ (249—417)· γ) Μαρτυρίαι τῶν θείων Πατέρων, καὶ ἄλλων ἐκκλησιαστικῶν καὶ νεωτέρων σοφῶν, ἀπὸ τοῦ Α, μ. Χ. αἰῶνος μέχρι τοῦ καθ' ἡμᾶς. 417—332. Ποία ἡ φράσις καὶ τὸ ἰδίωμα τῶν Ο. Β. 598. 658· καὶ ἡ ἑρμηνευτικὴ μέθοδος αὐτῶν. Β. 895. Ἀρχαῖαι μεταφράσεις τῶν Ο εἰς ἄλλας διαλέκτους. α) ἡ Ἰτάλα. β) ἡ Συριακή. γ) ἡ Ἀραβική. δ) ἡ Αἰθιοπική. ε) ἡ Κοπτική. στ) ἡ Περσική. ζ) ἡ Γοτθική. η) ἡ Ἰνδική. θ) ἡ Ἀρμενική. ι) ἡ Ἰβηρική. ια) ἡ Σλαβονική. Δ. 833.

Ἑβδομηκονταδικὸς ἀριθμός. Β. 321.

Ἑβδομήκοντα πέντε ψυχαὶ αἱ μετὰ Ἰακὼβ εἰς Αἴγυπτον εἰσελθοῦσαι. Γ. 430. 534.

Ἐβιωναῖοι. Δ. 433.

Ἑβραϊκὴ γλῶσσα συγγενὴς τῇ τῶν Φοινίκων. Β. 190. Ἑβραϊκὰ γράμματα. 190. Γ. 86.. Ἑβραϊκῆς γλώσσης διαφθορά. Γ. 57, 931.

Ἑβρ. χειρογράφων ἀρχαίων ἔλλειψις. Γ, 160. 166,168,172. Ἑβρ. χειρόγρ. παλαιόθεν ἐσφαλμένα κατὰ τὴν Αἴγυπτον καὶ Παλαιστίνην καὶ ἀλλαχοῦ. Γ, 52,63,67,76,85,88,103,117,133 155,168,170,178,229,332.

Ἑβραϊκὴ Γραφὴ θεόπνευστος καὶ νῦν, ἐν οἷς οὐ διεφθάρη μ. Χ. Γ. 5. Ἑβρ. κειμένου ἱστορία, κατὰ τὰς διαφόρους αὐτοῦ ἐποχάς. Γ. 9. κτξ.—Ἑβρ. κειμένου Κ ε ρὶ Κ ε τ ὶ β (Ἀναγνωστὰ Γραπτὰ), Ἰ α σ ε ρ ὼ θ, Χ α σ ε ρ ὼ θ, Π ι σ κ ά. 224—249. Διάφοροι ἀναγνώσεις, καὶ τούτων εἴδη. Γ. 192. 226. Σφάλματα ἐκ προσθήκης, ἐλλείψεως, μεταθέσεως, ἐναλλαγῆς περὶ γράμματα, λέξεις, κόμματα, περιόδους. Γ. 211. κτλ. Μάσορα (ὅθεν Μασοραῖον καὶ τὸ νῦν κείμενον τὸ ἑβραϊκὸν) Στίξις, καὶ στίγματα φωνηέντων, καὶ προσῳδιῶν σημαντικὰ, καὶ πότε ταῦτα εὑρέθησαν. Γ. 117. 273. Ἑβρ. κειμένου ἡ κατὰ τόπους διαφθορὰ ἐξελέγχεται 1) ἐκ τῆς διαφωνίας τῶν διαφόρων ἀντιγράφων, τῆς πρὸς ἑαυτὰ καὶ πρὸς τὰς διαφόρους ἐκδόσεις. Γ. 316. 2) ἐκ τοῦ Σαμαρειτανοῦ. Γ. 323 κτλ. 3) ἐκ τῆς πρὸς τοὺς Ο διαφωνίας, κατὰ διαφόρους παραλλαγάς. Γ. 382—446. καὶ ἰδίως ἐκ τῶν ἐλλείψεων, λέξεων, στίχων, περιόδων, 447—637. καὶ κεφαλαίων ὅλων, καὶ μεγάλων περικοπῶν. 637—702, καὶ μάλιστα ἐκ τῆς χρονολογίας. 703—835. 4) ἐκ τῶν πρὸς τὴν Καινὴν Διαθήκην ἐπισήμων διαφορῶν. 835 κτξ. 5) ἐκ τῶν πρὸς τὸν Ἰώσηπον καὶ Φίλωνα. 849. 6) ἐκ τῶν μ. Χ. ἑλλην. ἑρμηνειῶν (Ἀκύλα, Συμμάχου κτλ.) 872.— 7) ἐκ τῶν πρὸς τὰ Χαλδαϊκὰ Ταργούμια. 877.— 8) ἐκ τῶν πρὸς τὴν Σύραν Πεσχίταν. 891. 9) ἐκ τῶν πρὸς τὴν Ἱερωνύμου Βουλγάταν. 10) ἐκ τῶν νεωτέρων μεταφράσεων. 914 κτλ. 11) ἐκ τῶν διαφόρων ἐπισήμων μαρτυριῶν ἄλλων τε, καὶ αὐτῶν τῶν Ἰουδαίων. 942 κτξ.—Ἑβρ. Γραφῆς ἐκδόσεις, καὶ τούτων διαφωνίαι. Γ. 173.—192. 916,935.-Ἑβραϊκῆς Γραφῆς μ.Χ. ἑλληνικαὶ ἑρμηνεῖαι. α) ἡ τοῦ Ἀκύλα. β) ἡ τοῦ Θεοδοτίωνος. γ) ἡ τοῦ Συμμάχου. δ) καὶ ἡ Ε, καὶ στ, καὶ Ζ. ἐν τοῖς Ἑξαπλοῖς. Γ. 76. Δ. 85. Νεωτέρα δὲ, ἡ Ἑνετική. Γ. 151· καὶ δύω εἰς τὴν χυδαίαν, ἢ ἁπλοελληνικὴν διάλεκτον. Γ. 192. Εἰς ἄλλας διαλέκτους. 1) ἡ Συριακὴ, 2) ἡ τοῦ Ἱερωνύμου Βουλγάτα. 3) ἡ Ἀραβική. 4) αἱ νεώτεραι· Λατινικαὶ, Ἰταλικαὶ, Γερμανικαὶ, Γαλλικαὶ, Ἱσπανικαὶ κτλ. Γ. 915.

Ἑβραϊκὴ ἀλήθεια. Γ. 101.

Ἑβραῖος=Περάτης Β. 611.

Ἑβραιοελληνικὴ διάλεκτος. Β. 204.

Ἔγκατα. Γ. 874.

Ἐγώ εἰμι. Β. 699—704.

Ἐδὲν (Ἐδέμ). Γ. 468.

Ἐθνάρχης. Γ. 74.

ΕΙ, τὸ ἐν Δελφοῖς. Β. 849.

Εἰκαστά. Γ. 243.

Εἰλητόν. Β. 485.

Εἰρηναῖος ὁ θεῖος. Β. 338. Δ. 428·

Εἴσδοσις. Α, 498. 503.

Ἑκαταῖος. Α. 34,469,478,634, Β. 61.

Ἐκδόσεις τῶν Ο χειρόγραφοι παρὰ τοῖς ἀρχαίοις. α) ἡ τοῦ Ὠριγένους ἐν τοῖς Τετραπλοῖς καὶ Ἑξαπλοῖς. β) ἡ Λουκιανίς. γ) ἡ τοῦ Ἡσυχίου. Δ. 870—884. Κατὰ πάσας ταύτας τὰς ἐκδόσεις ἡ αὐτὴ ὑπῆρχε τῶν Ο. Γραφὴ, ἡ μία καὶ κοινὴ, ἐν πάσαις ταῖς Ἐκκλησίαις· ἡ δὲ παρὰ τοῦ Ἱερωνύμου, καὶ παρὰ τοῖς νεωτέροις, ὡς ἐκ τῶν τριῶν ἐκδόσεων πλασθεῖσα διαφορὰ τοῦ κειμένου τῶν Ο, ψευδής. 885—898). Αἱ δὲ διὰ τύπου πρωτοταγεῖς καὶ ἐπίσημοι ἐκδόσεις τοῦ κειμένου τῶν Ο, τέσσαρες· α) Ἡ Κομπλούτειος. 899· β) ἡ Ἄλδειος. 902. γ) ἡ Ῥωμάνα τοῦ Βατικανοῦ. 904. δ) ἡ τοῦ Ἀλεξανδρινοῦ. 908. — Κριτικὴ ἔκδοσις τῶν Ο. 914.
Ἐκκλησιαστοῦ ἑρμηνεία. Β. 541.
Ἐκκλησιαστικός. Β. 579.
Ἐλασσῶνος ἀρχιεπίσκοποι. Δ. 800. 807.
Ἐλεάζαρος. Β. 577, 590.
Ἑλένη Βασιλὶς Ἀδιαβηνῶν. Β. 145.
Ἑλλήλειος κώδηξ. Γ. 156, 165. Ἑλληλιανοί. Γ. 60, 156.
Ἕλληνες πολλὰ παρέλαβον ἐκ τῶν πατριαρχικῶν παραδόσεων, καὶ τῶν Μωσαϊκῶν καὶ προφητικῶν βιβλίων, Β. 298. Δ. 25.
Ἕλληνες θεοσεβεῖς. Β. 74.
Ἑλληνισμός. Β. 540,577,659.—Ἑλληνισταί. Β. 171. Ἑλληνιστικὴ διάλεκτος. Β. 202.
Ἑλληνικὴ παιδεία καὶ ἐν Αἰθιοπίᾳ. Β. 577.
Ἐλωείμ. Β. 36.
Ἐνθυμοῦμαι. Α. 129.
Ἐντομίς. Β. 262.
Ἐνώχ. Β. 277. Γ. 476.
Ἑξαπλᾶ. Γ. 90. Δ. 871. Πότε ἀπώλοντο. Γ. 91.
Ἑξηκοντάβιβλος. Δ. 134.
Ἐξηγητής. Β. 185,257.
Ἑνωτικόν.—Δ. 172.
Ἐπαναλήψεις συνήθεις τῇ Ἑβρ. γλώσσῃ. Γ. 480.
Ἐπαφρόδιτος. Β. 148.
Ἐπίγονοι. Α. 182.
Ἐπιθύμημα. Γ. 379. ἐπιθυμητής. Δ. 390.
Ἐπικήδεια δεῖπνα. Δ. 215.
Ἐπίκτητος. Β. 147.
Ἐπιποτάω. Β. 921. Δ. 570.
Ἐπιφάνιος. Α. 39. Β. 270, 276, 305—419. Δ. 122. 533, 1035. 2). Ἄλλος, κἀκεῖνος Κύπρου. Δ. 767.
Ἑπτά. Β. 285.
Ἑπταστάδιον. Α. 640.
Ἐρέννιος Φίλων. Α, 34,469.
Ἑρμᾶς. Δ. 422.
Ἑρμηνεία. Γ. 164.—Ἑρμηνευτικὴ τῶν νεωτέρων Κριτικῶν. Γ. 936.
Ἕρμιππος. Α, 60,113—116.
Ἔσδρας ἀναβαίνει εἰς Ἱεροσόλυμα. Γ. 53. Ἀνακαινίζει θεοπνεύστως τὰς Γραφάς. Β. 189. Γ. 24,252,440. Πότε τὸ Ἐσδραῖον αὐτόγραφον ἀπώλετο. Γ. 56,61,65,254. Β. 489,232.
Ἔσδρας ὁ Α: Β. 225. Γ. 222. 687.
Ἐσθήρ. Β. 566. 765. Γ. 583.
Ἐσσήνης. Β. 218.
Ἐσσηνοί. Β. 297. Δ. 1067.
Εὐαγγέλιον. Β. 404,425.
Εὐάγριος. Α. 571.,720.
Εὐαρεστεῖν τῷ Θεῷ. Γ. 475.
Εὐγένιος ὁ Βούλγαρις. Δ. 59. 657. 819.
Εὐδοκίαι· ἡ Ἀθηναΐς· (ἡ καὶ παράτισιν ἀκυρώτερον Εὐδοξία). Α. 369· 2) ἡ Μακρεμβολίτισσα. Δ. 1057.
Εὔδοξος. Δ. 639.
Εὐθήριος. Δ. 665.
Εὐθοῦς βιβλίον. Γ. 549.
Εὐλαβεῖς. Α. 35. Β. 74. 332.
Εὐλόγιος Ἀλεξανδρ. Δ. 708.
Εὐπόλεμος. Β. 41. 78. 129. 591.
Εὐσέβιος. 1) ὁ Παμφίλου. Β. 338, 387. Δ. 502.— 2) ὁ Ἐμέσης. Δ. 524. 3) ὁ Θεσσαλον. 729.
Εὐστάθιοι. 1) ὁ Ἀντιοχείας. Δ. 520.— ὁ Θεσσαλον. 778.
Εὐστράτιος ὁ Νικαίας. Δ. 775.
Εὐφημισμὸς Ῥαββινικός. Β. 1. 832. Γ. 239.
Ἔφορος. Β. 316.
Ἐφραὶμ ὁ Σύρος Γ. 899. Δ. 535.
Ἐφραίμιος. Δ. 692.
ΕΧΕΪΕ. Δ. 8. 5.
Ζαχαρίας ὁ Σχολαστικ. Δ. 699.
Ζιγαβηνὸς (ὁ Εὐθύμ.) Β. 270,449. Δ. 776.
Ζοχάρ. Γ. 889.
Ζῦθος. Β. 183,244. Δ. 1061.
Ζωδιακοί· ὁ ἐν Τενδυρίδι, καὶ ὁ ἐν Λατοπόλει. Γ. 832.
Ζωὴ (ἡ Εὔα). Δ. 1063.

Ζώϊλος. Α. 593.
Ζωναρᾶς· Β. 353. Δ. 1056·
Ζώσιμος. Β. 280. 328.
Ἠγαπημένος. Γ. 390. 540.
Ἡγήσιππος. Δ. 431.
Ἠλίας ὁ Κρήτης. Δ. 746.
Ἠλιοῦ Ἀποκάλυψις. Β. 42, Ἀνάληψις. Γ. 478.
Ἡλιοτρόπιον ἐν Σύρῳ. Β. 508.
Ἠλιοτυπία Δ. 218.
Ἡλιούπολις. Β. 563.
Ἡρακλείδης. Α. 89. 2) ὁ ἀσκητής. Δ. 623.
Ἡρώων πόλις. Β. 897.
Ἡσαΐου μετάφρασις. Β. 599. 576.
Ἡσιόδου γένη. Γ. 808.
Ἡσύχιος. 1) ὁ Πρεσβύτ. Β. 352. Γ. 781. Δ. 727. — 2) ὁ Ἱεροσολύμ. Δ. 726.
Θανόντων καὶ ἀλλαχοῦ ταφέντων παραδείγματα. Α. 107.
Θάλασσα ἁλυκή, καὶ Νεκρὰ (καὶ Ὕδωρ νεκρὸν) καὶ Ἁλμυρά, καὶ Σοδομῖτις λίμνη, καὶ Ἀσφαλτῖτις (ἡ ἐν Σοδόμοις Σερβωνὶς) Δ. 529. 1067.
Θαρσὶς Β. 612.
Θεμιστοκλῆς. Α. 116.
Θεοδέκτης. Α. 587.
Θεοδοτίωνος ἑρμην. Β. 268. Γ. 78.
Θεόδοτος. Β. 135. 2) ὁ Ἀγκύρας. Δ. 663.
Θεόδουλος. Δ. 679.
Θεοδώρητος. Β. 277. 463. Δ. 654.
Θεόδωροι. 1) ὁ Μοψουεστίας. Δ. 631. — 2) ὁ Ἡρακλείας. Δ. 522. — 3) ὁ Γραπτός. Δ. 750. — 4) ὁ Στουδίτης. 748. — 5) ὁ Ἀββουκαρᾶς. Δ. 760. — 6) ὁ Ἀναγνώστης. Δ. 686. — 7) ὁ Βρεττανίας. Δ. 735.
Θεόκριτος. Α. 486. Β. 103.
Θεοπνευστία τῶν Προφητῶν. Δ. 52 καὶ αὐτῶν τῶν θείων Γραφῶν. Δ. 59. τοῦ Ἔσδρα Γ. 22. — τῶν Ο. Β. 340,936. Δ. 62. Καὶ τῶν ἐν τῇ Συναγωγῇ τὸ πάλαι διακρινόντων τὰ θεόπνευστα τεύχη τῆς Γραφῆς ἀπὸ τῶν μὴ τοιούτων. Δ. 102.
Θεόπομπος. Α. 585.
Θεὸς (ἐπ' ἀνθρώπων). Α. 156. 160. Θεοὶ ἀδελφοί. Α. 157. Θεοὶ Σωτῆρες· Α. 1158.
ΘΕΟΣ ἰσχυρός. Γ. 231—236. Δ. 491.
Θεοσεβεῖς. Β. 74,332.
Θεοτόκης (ὁ Νικηφόρος). Δ. 822.
ΘΕΟΤΟΚΟΣ. Δ. 69,491. 692.
Θεοφάναι. 1) ὁ Ὁμολογητής. Δ. 747. — 2) ὁ Γραπτός. 750. — 3) ὁ Κεραμεύς. Δ. 777.
Θεόφιλος ὁ Ἀντιοχείας. Δ. 431. — 2) ὁ Ἀλεξανδρείας. Δ. 574.
Θεοφύλακτος Βουλγ. Δ. 771.
Θεωνᾶς Ἀλεξανδρ. Α. 572. Δ. 1031.
Θήρα. Β. 184, 250.
Θίβη. Β. 256.
Θόβελ. Β. 654.
Ἰάκωβος ὁ Νισίβεως. Δ. 521.
Ἰάμβλιχος. Β. 270, 299.
Ἰαννῆς καὶ Ἰαμβρῆς. Β. 38.
Ἰβηρικὴ ἑρμηνεία τῶν Ο. Δ. 846. καὶ ὁ Ἰοσσελίνης. 1067.
Ἰγνάτιοι. 1) ὁ Θεοφόρος. Δ. 421. — 2) ὁ Κωνσταντινουπ. 752.
Ἰδαῖοι. Β. 34. 54.
Ἰεζεκιῆλος ὁ τραγῳδοποιός. Β. 139. 458. Γ. 434.
Ἱερα κριτική. Γ. 178.
Ἱερεμίας ὁ Κωνσταντιν. Πατρ. Δ. 806.
Ἱερεμίου τοῦ προφήτου ἐπιστολή. Γ. 684. τῶν ἐν τῇ προφητείᾳ κεφαλαίων παραλλαγή. Γ. 445.
Ἱεροβάαλ. Γ. 200. Δ. 43.
Ἱεροκηρύκων λόγοι ἐκδοθέντες. Δ. 814.
Ἱεροσόλυμα. Γ. 68. 66. Ἱεροσόλυμοι = Ἰουδαῖοι. Β. 65.
Ἱερώνυμος ὁ πρῶτος χριστιανῶν ἑρμηνεύσας λατινιστὶ ἐκ τοῦ μ. Χ. Ἑβρ. τὴν Γραφήν. Γ. 96. τούτου ἡ ἑρμηνεία (ἡ Βουλγάτα) πότε ἦλθεν εἰς χρῆσιν παρὰ τοῖς Δυτικοῖς. Γ. 972. 1013. Διάφοροι τούτου γνῶμαι. Β. 172. — 608. Ἐσφάλη εἰς τὴν μετάφρασιν τῶν Εὐσεβίου χρονικῶν. Α. 77. 79. Β. 388. Ἀντιγράφει ἐκ τῶν Εὐσεβίου. Β. 80. 388. Ἀντιφάσεις αὐτοῦ. Β. 467. 625. 630. Ἀτοπίαι τινῶν φράσεων. Δ. 589. Γράφει ὑπὲρ τῶν Ο. Β. 817. καὶ κατὰ τῶν Ο. Γ. 443. Ἀλλὰ τῶν τοιούτων (ὡς ἐξ ἀπάτης μᾶλλον, ἢ ἐκ προαιρέσεως) παρορωμένων, διὰ τὴν ἄλλην τὴν αὐτοῦ ὀρθόδοξον σοφίαν καὶ ἀρετήν, τιμᾶται ὡς πατὴρ τῆς Ἐκκλησίας. Δ. 579. 598.
ΙΕΥΩ, ΙΕΧΟΒΑ, ἢ ΙΕΧΩΥΑ. Β. 596. Γ. 242. Δ. 67.
Ἰησοῦς τοῦ Ναυῆ. Β. 495. 550. 2) ὁ Σειραχίδης. Β. 579.

Ἱλάριος ὁ Πικταύων. Β. 271.—404. Δ. 122. 527.
Ἱλαρίων. Δ. 615.
Ἶλος (ὁ Κρόνος). Β. 36.
Ἰνδοί. Α. 324. 442. Β. 300. 319. Γ. 771. Δ. 25.—27. βλ. Ἑβδομήκοντα.
Ἰννοκέντιος ὁ Α. Δ. 614.
Ἰορδάνης πληρούμενος. Δ. 42.
Ἰουδαῖοι. τούτων ἔθιμα. Α. 35. 53. 581. 631. κτλ. Β. 69. 284. 334. κατῴκουν πολλαχοῦ τῆς γῆς καὶ ἐν Αἰγύπτῳ. Α. 490. λαμβάνουσιν ἐν Ἀλεξανδρείᾳ τὴν Μακεδόνων ἰσοπολιτείαν. Α. 471. 496. Διαδικάζονται πρὸς τοὺς Σαμαρεῖς ἐπὶ Φιλομήτορος. Β. 362. 592. Ἑλληνίζοντες μετὰ τὴν Ἀλεξάνδρου ἀνάβασιν. Β. 201. Συγγενεῖς Λακεδαιμονίων, Β. 119. Συναγωγαὶ πολλαχοῦ καὶ ἐν Κύπρῳ. Α. 36. Ἀκαδημίαι ἐν Παλαιστίνῃ. Γ. 70. Ἡ ἐσχάτη τούτων ἅλωσις καὶ εἰς τὴν Οἰκουμένην διασπορά. Γ. 65. Κατὰ τόπους διαφόρως προφέρουσι τὴν Ἑβραϊκὴν γλῶσσαν. Γ. 307. ῥαδιουργίαι περὶ τὰς Γραφάς, ὡς τὰ περὶ τὴν χρονολογίαν, καὶ ἄλλα. Γ. 144. 955. Ἐπὶ Φίλωνος ἐν Αἰγύπτῳ οὐκ ἐλάσσονες ἑνὸς ἑκατομμυρίου. Β. 28. Ἰουδαῖοι ἐν Ἰνδίᾳ. Δ. 213.
Ἰουδεὶθ (τὸ τεῦχος) ἐν τῷ καταλόγῳ τῆς Ἐκκλησίας. Δ. 191.
Ἰουστῖνος ὁ μάρτυς. Β. 338. 345. καὶ ἀλλαχοῦ. Γ. 82. Δ. 962. 423.
Ἰουστινιανὸς ὁ Αὐτοκράτωρ. Β. 352. Δ. 695.
Ἱππόδρομος. Β. 175. 227.
Ἱππόλυτος ὁ ἱερομάρτυς. Δ. 440.
Ἰσαὰκ ὁ Σύρος. Δ. 701.
Ἰσίδωρος ὁ Πηλουσιώτης. Δ. 641. 2) ὁ Ἱσπάλεως. 720.
Ἰτάλα. Γ. 961. Δ. 422. 833.
Ἰωάνναι. 1) ὁ Χρυσόστομος Β. 269. 274. —565. Γ. 969. Δ. 611.— 2) ὁ Καππάδοξ Κωνσταντινουπόλ. Δ. 686.—3) ὁ τῆς Κλίμακος. 707.—4) ὁ Νηστευτής. 709.— 5) ὁ Σκυθοπολίτης. 689.
Ἰώβ. τίς ὁ συγγραφεύς.— διαφορὰ πρὸς τὸ νῦν ἐβρ.— ἡ λεγομένη περὶ τὸ τέλος προσθήκη. Β. 398. 405. 452. 550. 584. 604. Γ. 595—604.
Ἰώβιος μοναχός. Δ. 697.
Ἰωνάθαν ταργουμιστής. Γ. 879.
Ἰώσηπος ὁ Ἰουδαῖος. Β. 69. 174. 346. 479. 567. Γ. 850. 864. Δ. 1007. κτξ. — 2) ὁ Χριστιανός. Δ. 661.
Κάββαλα. Καββαλισταί. Β. 276. Γ. 184.
Καβάσιλας (ὁ Νικόλαος). Δ. 783.
Κάδης. Β. 903.
Καϊνᾶν. Γ. 740.
Καισάριος. Δ. 556.
Καλλίμαχος. Β. 98. 589.
Καλλίξενος. Α. 149.
Καλλισθένης Α. 103. 112. Γ. 765.
Κάλλιστος (ὁ Νικηφόρ.). Δ. 783.
Καμενιάτης. Δ. 769.
Καπέλλιος (Λουδοβῖκ.) Γ. 178. 212. 278. 985.
Καππάδοκες. Β. 610.
Καραῖται. Γ. 112. 102. 285.
Καραθεοδωρῆς (Στέφανος). Α. 333. Δ. 818.
Καρθαγένης Σύνοδος. Δ. 125. 610.
Καρχηδών. Β. 612.
Κασσιανός. Δ. 650.
Κασσιόδωρος. Β. 277. 420. 493. Δ. 685.
Κάστωρ. Β. 141.
Καταβατόν. Δ. 268.
Καταπεπελτωμένα σανδάλια. Γ. 548.
Κατατομὴ τῶν συγγραμμάτων. Β. 485.
Καταχωρίζω. Β. 158.
Καυσοκαλυβίτης (Νεόφυτ.). Δ. 821.
Κάτεια. Β. 516.
Κατοίκησις τῶν υἱῶν Ἰσραὴλ ἐν Αἰγύπτῳ καὶ γῇ Χαναάν. Γ. 509.
Κεδρηνός. Β. 274. 419.
Κεδρών. Δ. 381.
Κεννικῶτος. Γ. 34. 185. 1000.
Κελεστῖνος. Δ. 663.
Κέλσος. Β. 50. 156.
Κελτοί. Β. 496. 529.
Κερὶ, Κετὶπ. Γ. 119. 124 κτλ.
Κεραμεύς (Νικόλ.). Δ. 811. 2) ἐλ. Θεοφάνης.
Κεφαλίς. Β. 485.
Κηρουλάριος (Μιχαὴλ ὁ Πατριάρχης). Δ. 772.
Κιβωτὸς τῆς Διαθήκης. Β. 476.
Κιγάλας. Β. 171. 193. Δ. 807.
Κισσιανὸν ἀπόγραφον. Β. 637.
Κίτιοι. Β. 110.
Κίων. Α. 153.
Κλεάνθης. Β. 82. 116.
Κλέαρχος. Β. 65.
Κλεόδημος ὁ Μάλχος. Β. 43. 134.

Κλημέντια. Β. 232.
Κλήμης ὁ Ῥώμης, Δ. 419.— 2) ὁ Ἀλεξανδρεύς. Β. 338. 369. 379 κτλ. Δ. 436.
Κοινὴ (τῶν Ο) Γραφή. Δ. 868.
Κοπτικὴ ἑρμηνεία τῶν Ο. Δ. 842.
Κόρακες ὑπηρέται τοῦ προφήτου Ἠλιοῦ. Γ. 572.
Κορέσσιος (Γεώργ.). Δ. 222. 808.
Κοσμᾶς ὁ Ἰνδικοπλεύσ. Δ. 705.— 2) ὁ Ἱεροσολυμίτης. 742.
Κούρσουλας (Νικόλ.). Δ. 223.
Κρῆτες. Β. 610. Κρήτη. Β. 54.
Κρικύλλια. Γ. 119. 225.
Κριταί. Β. 452. 548.
Κριτικοί. Α. 366. κριτικίδαι. Α. 18.
Κριτόπουλος (Μητροφ.) Δ. 170. 1062.
Κυπριανός. Δ. 489.
Κύριλλοι. 1) ὁ Ἱεροσολύμων. Δ. 122. 527. 2) ὁ Ἀλεξανδρ. 644.— 3) ὁ Σκυθοπολίτης. 706.— 4) ὁ φιλόσοφος. 770.— 5) ὁ Λούκαρις (Κωνσταντ. πατρ.) 131.
ΚΥΡΙΟΣ. Β. 596. Γ. 87. Δ. 65.
Κωνσταντῖνος ὁ Μ. Β. 418. Δ. 512. –2) ὁ Πορφυρογέννητος. 769. Κώνστανς. 887.
Κωνσταντίου τοῦ Α, (πατριάρχ. Κωνσταν.) Αἰγυπτιακά. Α. 110. Γ. 833.
Κωδήκων ἀρχαίων διαίρεσις εἰς τεύχη. Β. 377. 484. Κώδηκ. τῶν ἑβρ. Γραφῶν μονότομοι, δίτομοι, κτλ. Β. 492. 484. χρυσόγραφοι. Α. 629. Β. 379. 488. Ἐκ τοιούτου καὶ οἱ Ο, μετέφρασαν Β. 797. Γ. 53.
Κώδηξ ἑβρ. τῆς ἐν Βιέννῃ Βιβλιοθήκης. Γ. 168.
Λαγκία. Β. 516.
Λακτάντιος. Δ. 497.
Λαοδικείας Σύνοδος. Δ. 118, 555.
Λάσκαρις(Θεόδ.)Δ. 782. 2)Ἰωάν. Δ. 897.
Λατῖνοι. Α. 53. Λατινικὴ ἀλήθεια. Γ. 191.
Λαυδιανὸς κώδηξ. Γ. 166, 172.
Λειμωνάριον. Δ. 730.
Λεόντιος ὁ Βυζάντιος. Δ. 718.–2) ὁ Νεαπόλεως. 719. 3) ὁ Ἀραβισσοῦ. 723.
Λέων ὁ Αὐτοκρ. ὁ σοφὸς. Δ. 767. 2) ὁ Μάγνος Δ. 671.
Λημνίσκος. Β. 860.
Λιτραῖον δικαστήριον. Β. 304.
Λογεῖον. Β. 172. 216.
Λονζάνος ὁ Ἰουδαῖος. καὶ Μανασσῆς. καὶ Νόρζης (Γ. 954), Ἰουδαῖοι τῶν νεωτέρων διάσημοι, τὴν ἀνίατον διαφθορὰν τοῦ νῦν ἑβραϊκοῦ καθομολογοῦντες.
Λουζάτος ὁ Ἰουδαῖος. Γ. 314.
Λουκιανὸς. 1) ὁ Σαμοσατεύς. Β. 153. –2)ὁ Ἱερομάρτυς. Γ. 96 Δ. 498. Λουκιανὶς ἔκδοσις τῶν Ο (αὐτόθι.).
Λυκάβας. Α. 212.
Λυκόφρων. Β. 105, 590.
Μάϊος (ὁ Καρδινάλις). Δ. 755. 1066.
Μαϊουμᾶς. Β. 336. Δ. 1061.
Μακάριος ὁ Φιλαδελφείας. Δ. 787.
Μακκαβαίων βίβλοι Γ. ἐν τῷ Κανόνι τῆς ἐκκλησίας. Δ. 207.
Μακροβίων παραδείγματα. Β. 310.
Μαλαβαρικὴ Πεντάτευχος. Δ. 213.
Μαλαλᾶς. Δ. 726, 1053.
Μανέθων. Β. 37, 117.
Μανουὴλ Πελοπον. Δ. 796.
Μαξιμινιανός. Δ. 666.
Μάξιμος ὁ Ὁμολογητής. Δ. 733. –2) ὁ Μαργούνιος 801. –3) ὁ Πελοποννήσιος .806.
Μάρκος 1) ὁ Αὐτοκράτωρ. Β. 150. – 2) ὁ ἀσκητής. Δ. 616. – 3) ὁ Εὐγενικὸς, μητροπολ. Ἐφέσου. 791.
Μαρτῖνος ὁ Πάπας Δ. 734.
Μαρωνῖται. Β. 414. Γ. 902.
Μάσορα, Μασορῖται Γ. 115. – 147. 306. 388.
Μάταρις. Β. 517.
Ματθαίου Εὐαγγέλιον. Δ. 295.
Μαυροκορδάτος (Ἀλέξανδρος). Β. 193. Δ. 815.
Μεθόδιος ὁ Κωνσταντινουπ. Δ. 751. – 2) ὁ Πατάρων. 496. 3) ὁ Μοραβίας. 761. 851.
Μελέτιος, ὁ Πηγᾶς (πατρ. Ἀλεξάνδρ.) Δ. 803 – 2) ὁ Ἀθηνῶν. Δ. 817. – 3) ὁ. Συρίγος. 133. 809.
Μελίτων ὁ Σάρδεων. Δ. 106, 149. 428.
Μέλη, Μελοποιοὶ τῆς Ἐκκλησίας. Δ. 762.
Μεμβράναι. Β. 463.
Μένανδρος. Β. 94. 298.
Μεταγράφω, – φή. Β. 376, 381, 595.
Μεταξουργὸς σκώληξ. Β. 127.
Μεχίλτα. Γ. 889.
Μητέρες ἀναγνώσεως. Γ 119.
Μιχαὴλ Ὁμολογητ. Δ. 751.
Μισιουδαῖος Ἑρέννιος. Α. 609.

Μισομακκαβαῖος. Β. 121.
Μισχνὰ (Μισνὰ), Μισνικοὶ Β. 304. Γ. 104.
Μνημεῖα ἀρχαῖα μαρτυροῦσι τὸ κῦρος τῆς ἑρμηνείας τῶν Ο. Δ. 927.
Μνημόσυνον τῶν κεκοιμημένων Δ. 215.
Μογίλας (Πέτρ.). Δ. 131.
Μορῖνος. Β. 348, 355.
Μουσεῖον. Α. 331.
Μουστοξύδης (Ἀνδρέας). Β. 508. Δ. 1058.
Μυθολατρις, Μυθοθρησκεία. Δ. 147, 148.
Μωϋσῆς. Β. 59. 162. 895. 919. Μωσαϊκοῦ νόμου ἀνάγνωσις. Β. 481. αὐτόγραφον τῆς Πεντατεύχου. Γ. 10, 13, 124.
Ναὶ καὶ Οὐ, ἐν τῇ Μασόρᾳ. Γ. 69.
Ναζωραῖοι. Δ. 433.
Νεανίας, νεανίσκος. Α. 141. Δ. 1058.
Νεεμίου βιβλιοθήκη. Β. 480. Γ. 21.
Νεῖλος. Δ. 652.
Νεκτάριος ὁ Ἱεροσολύμ. Δ. 810.
Νεμέσιος. Δ. 825.
Νεστόριος. Δ. 665.
Νέστωρ Ῥῶσσος Χρονογρ. Δ. 848.
Νεύτων. Γ. 10, 811.
Νεφθαλίδης. Γ. 115.
Νηλεὺς ὁ Σκήψιος. Α. 250, 248, 371.
Νηστεία ῥαββίνων ἕνεκα δῆθεν τῆς ἑρμηνείας τῶν Ο. Α. 460. Β. 187, 333. Γ. 86.
Νικάνωρ. Α. 476.
Νικήτας ὁ Σερρῶν. Δ. 774. — 2) ὁ Στηθάτος. 771.
Νιόβης μῦθος. Β. 107.
Νικηφόρος Κωνσταντινουπόλ. Δ. 129, 747. 2) ὁ Βλεμμίδης. Δ. 782.
Νικόλαος ὁ Δαμασκηνός. Β. 144.
Νομοθέτης, Νομοθεσία. Β. 407. 440. 460.
Νόμος. Β. 324. 404, 422, 437.
Νουμήνιος. Β. 46, 154.
Ὀβελός. Δ. 874.
Ὄγκελος. Γ. 78. 878.
Ὀδησσείου ἀρχαιολογικῆς ἑταιρείας ἑβραϊοι κώδηκες ἐπίσημοι. Γ. 166, 267.
Οἰκίας διαίρεσις παρὰ τοῖς ἀρχαίοις. Β. 374, 391.
Οἰκουμενικός. Δ. 714.
Οἰκουμένιος. Δ. [illegible]70.
Οἰφί. Β. 172[illegible]9.
Ὀκταπλᾶ Ὠριγένους. Δ. 879.
Ὀκτάτευχος. Β. 485.
Ὁλοσχερὴς ἀριθμὸς πολλάκις ἐν τῇ Γραφῇ, παραλειπομένων τῶν ὀλίγῳ περιττευουσῶν, ἢ ἐλλειπουσῶν μονάδων, καὶ δεκάδων. Γ. 434.
Ὀλυμπιόδωρος. Β. 352, 398. Δ. 680.
Ὅμηρος. Α. 335, 574, 584. Β. 56. 205. Δ. 38.
Ὀμνύειν ἐλλειπτικῶς. Β. 850.
Ὁμοιότης. Γ. 455.
Ὄνομα (τὸ ἀνεκφώνητον). Β. 850.
Ὀντωτής. Γ. 151, 533.
Ὀρεγίμ. Γ. 214.
Ὀρθολογισταὶ, ὀρθολογισμός. Ε. 25. 302.
Ὅρκος. Δ. 630, 745.
Ὁρμίσδας. Δ. 685.
Ὅρμος. Β. 220.
Οὐαφρῆς. Β. 606.
Οὐδιγάντης. Γ· 185. 919.
Οὐλαμλούζ. Β. 667.
Οὐλφίλας. Δ. 532.
Οὐρανοσκόπος. Δ. 154.
Οὐόσσιος (Ἰσαάκ). Α, 20. Γ. 988.
Οὐ πρὸ πολλοῦ. Α. 286.
Οὐφελάνδου Μακροβιωτική. Β. 310.
Οὐφείρ. Β. 608.
Παγίς. Γ. 400.
Παγνίνη ἑρμηνεία τῆς Γραφῆς Γ. 916.
Παῖς. Α. 141. παῖς Θεοῦ. Γ. 485.
Παλαμᾶς (Γρηγόριος) Δ. 784.
Παλίβοθροι. Δ. 1061.
Παλλάδιος. Δ. 620.
Παλιλλογία συνήθης παρ' Ἑβραίοις καὶ Ἕλλησι. Γ. 450.
Πάμφιλος ὁ ἱερομάρτ. Δ. 501.
Πανάρετος (Σοφία)· Β. 579. Δ. 114.
Πανόδωρος· Δ. 617.
Πάνταινος. Δ. 435.
Πανομοιόγραφος. Δ. 911.
Πάπυρος. Β. 180, 200, 238. Δ. 1060.
Παράδεισος. Γ. 468.
Παραλειπόμενα. παρ' Ἑβραίοις, βίβλοι ἡμερῶν. Γ. 48. Δ. 110.
Παράκλησις. Α. 500.
Παραλλαγαὶ τοῦ κειμένου τῆς Νέας Διαθήκης. Γ. 140.
Πάρδος (ὁ Κορίνθου). Β. 275.
Παρθένος. Β. 713. Γ. 81, 965.
Πᾶς. Γ. 539.
Πάτμου μονῆς κώδηξ. Δ. 903
Παχώμιος. Δ. 797.
Παῦλος Ἐμέσης. Δ. 666.
Πενταετηρίς. Α. 166.
Πεντασέλιδον. Β. 324.
Πεντάτευχος. Β, 644. Γ. 10, 32 50

Πέντε. Β. 205, 446.
Πέραν. Β. 644.
Περιδέραιον. Β. 220.
Περικοπαὶ (ἀναγνωσμάτων). Β. 417.
Περιστερά. Γ. 573.
Περιστήθιον. Β. 172. 220·
Περιτομῆς ἀρχή. Δ. 33.
Περσικὴ τῶν Ο ἑρμηνεία. Δ. 843. Ἱερὰ Βίβλος. Β. 300.
Πεσχίτα. Γ. 891.
Πέτρος ὁ Σεβαστείας. Δ. 555. – 2). ὁ Ἀλεξανδρείας. 562.– 3) ὁ Χρυσολόγος 669.
ΠΙΠΙ. Γ. 87.
Πισίδης (Γεώργ.). Δ. 733.
Πισχά. Γ. 120, 246.
Πίστις. πιστὸς τόπος. Γ. 421.
Πλάτων κατηκολούθησε τῇ Μωσέως νομοθεσίᾳ. Δ. 15.
Πλίνιος. Β. 38.
Πλούταρχος. Β. 38, 66, 146.
Ποιῶ (δημιουργικῶς). Β. 718.
Πολέμων. Β. 128.
Πολίων. Β. 40.
Πολύ. Β. 447.
Πολύβιος. Β, 142.
Πολύγλωττοι τῆς Γραφῆς ἐκδόσεις. Γ. 175.
Πολυΐστωρ. Α. 33. Β. 43. 66, 138.
Πολυχρόνιος. Δ. 636.
Πομήριος (Ἰουλιανὸς). Δ. 738.
Πομπὴ ἡ πολύχρυσος (ἐπὶ Φιλαδέλφου). Α. 159.
Πορφύριος ὁ καὶ Μάλχος. Β. 135, 159.
Πρεσβύτεροι τοῦ Ἰσραήλ. Β. 304.
Προαίρεσις. Β. 541.
Προηγιασμένων Λειτουργία. Δ. 712·
Πρόκλος ὁ Λύκιος. Β. 160. – 2) ὁ Κωνσταντινουπ. Δ. 667.
Προκόπιος ὁ ἱστορικός. Δ. 695. — 2) ὁ Γαζαῖος. Δ. 686.
Προσήλυτοι. Α. 36.
Προσκυνῶ. Α. 590.
Προφητεύω. — φήτης. Β. 135, 396, 445. Δ. 64. 100.
Πτολεμαΐς. Α. 227.
Πτολεμαῖος ὁ Ἡφαιστίωνος. Β. 39, 147. –2) ὁ Μενδήσιος. Β. 144.
Πτολεμαίων (βασιλέων Αἰγύπτου) ἐπωνυμίαι, καὶ ἐπίθετα ἐκ τακτικῶν ἀριθμῶν. Α. 181. Β. 88. – Πτολεμαίου (τοῦ Φιλαδέλφου) προτομῶν ἀνάγλυφα. Α. 190. ἠρίθμει τὰ ἔτη ἀπὸ τῆς ἐποχῆς τοῦ ἰδίου πατρός. συμβασιλεία μετὰ τοῦ πατρός· ἔπαινος αὐτοῦ. γαμεταὶ, τέκνα. Α. 132, 149, 170. 212. Β. 569. Πτολ. ὁ Φιλομήτωρ. Β. 119.
Πτωχοπρόδρομος. Δ. 777.
Πυθαγόρας. Δ. 15, 38.
Πυκτία. Δ. 887.
Πυραψία ἐν ταῖς πλατείαις. Β. 746. Πῦρ ἱερόν. Δ. 153. – Διάγειν (τινα) ἐν πυρὶ (ἐπὶ καθαρμοῦ), διάφορον τοῦ κατακαίειν ἐν πυρί. Β. 947.
Ῥαββανισταὶ, Ῥαββάνοι. Γ. 74, 112 — Ῥαββῖνοι. ἱεροσυλοῦσι πολλὰ τῶν Εὐαγγελίων. 146.
Ῥεμφάν. Β. 178, 234. Δ. 299.
Ῥηγῖνος. Δ. 666.
Ῥοστοβίας Δημήτριος. Δ. 131.
Ῥουφῖνος. Δ. 599.
Ῥωμαῖοι Α. 56. Β. 110, 500. Γ. 641. 529.
Ῥωσσίας θεολόγοι. Δ. 131.
Ῥωσσικῆς Ἀμερικῆς Χριστιανισμὸς Δ. 867.
Σααδίας. Γ. 152. 946.
Σαβαὼθ. Β. 677.
Σάββατον Β. 33, 39, 64.
Σαδδουκαῖοι. Γ. 58.
Σαμαρειτανοί. Σαμαρειτανὸν κείμενον. Β. 596. Γ. 18, 22, 39. 47, 323. Σαμαρειτανοῦ διασκευαὶ καὶ παρεγγραφαί· 335. Ψευδῶς ταυτίζεται τῇ τοῦ Συμμάχου ἑρμηνείᾳ. 315.
Σεβῆρος. Δ. 682.
Σαράφης (Γρηγόρ.). Β, 448.
Σεβουραῖται. Γ. 153, 243.
Σελίς. Δ. 877.
Σεσήμανται. Δ, 9, 21.
Σειραχίδης ἀνεγίνωσκε τὰ βιβλία τῆς Ἑρμην. τῶν Ο. Β. 551, 582 592.
Σεραπίων ὁ μοναχός. Δ. 526.
Σερβωνὶς λίμνη (διττή), καὶ Σιρβωνὶς, Σίρβων. Β. 108. Δ. 529, 1067.
Σευηριανός. Δ. 619,
Σιβύλλειοι χρησμοί. Β. 146.
Σίκερα. Β. 245.
Σίκλος. Β. 171, 207.
Σιμπλίκιος. Β. 162.
Σινῶν χρονολογία, [illegible]ωνεῖ τῇ τῶν Ο. Γ. 770.
Σισόη. Β. 182. 264.
Σκνίψ. Δ. 231.
Σλαβονικὴ τῶν Ο, ἑρμηνεία Γ. 590, 688. Δ. 847.

Σμικρογραφία μιλτωτή. Β. 622.
Σολομῶντος ἐπιστολαί. Β. 129, 131.
Σουΐδας. Δ. 770.
Σουλπίκιος. Δ. 618.
Σοφία Σολομῶντος, καὶ Σοφία Σειρὰχ ἐν τῷ κανονικῷ καταλόγῳ τῆς Ἐκκλησίας Δ. 193, 203.
Σοφοί. Σοφισταί. Β. 185.
Σταυροῦ καὶ ἐσταυρωμένου τύπος παρ' Ἰνδοῖς Β. 301.
Σταυροῦ τύπος. βλ. Ταῦ.
Στεφανώματα. Α. 163.
Στέφειν, στεφανοῦν τύμβον. Α. 152.
Στηλογραφία. Δ. 521.
Στίζειν τὸ σῶμα σύνηθες τοῖς ἀρχαίοις λαοῖς. Β. 264.
Στιχομετρία. Γ. 135.
Στόμα. Β. 919.
Στούρζας (Ἀλέξανδρος). Δ. 130.
Στράβων. Β. 34, 62, 144. Δ. 1062.
Στράτων ὁ Λαμψακηνός. Α. 187.
Σύγκελλος. Δ. 747.
Σύμβολον τῆς σωτηρίας. Δ. 199.
Συμβολαίων χρηματισμός. Β. 3.
Συμεὼν ὁ θεοδόχος. Β. 309. 2) Ὁ Στυλίτης. Δ. 693. 3) ὁ Μεταφραστής. Δ. 768. 4) Ὁ Νέος. Δ. 773. 5) Ὁ Θεσσαλονίκ. 789.
Συμμάχου ἑρμην. Β. 267. Γ. 79.
Συνέδρα, Συνέδριον τὸ μέγα. Β. 271. 366, 302, 322.
Συνεληλυθότες. Β. 402.
Συνέσιος. Δ. 640.
Σύνοδοι Οἰκουμενικαὶ καὶ τοπικαὶ τοῖς Ο, μόνοις χρώμεναι, Δ. 513, 525, 570, 610, 664, 675, 698, 703, 736, 744, 759.
Συριακὴ τῶν Ο ἑρμηνεία. Δ. 836. Συριακὴ ἑξαπλαία ἑρμηνεία. Γ. 93. Σύρων γλῶσσα. Β. 542. 585.
Σχοινία. Β. 711
Σχοῖνος. Β. 183. 248.
Σχολαὶ Ἰουδαίων ἐν Τιβεριάδι, Ἰαμνείᾳ κτλ. Γ. 70, 127.
Σωκράτης καὶ Σωζόμενος (οἱ ἱστορικοὶ) Δ. 670.
Σωσάννα. Γ. [illegible]. 653.
Σωσίβιος. [illegible]8.
Σωτάδης. Σωτάδειον μέτρον. Α. 102, 168.
Σωτήρ. Α. 156, 160.
Σωφρόνιος. Δ. 626. 730.
Τάλαντον αἰγύπτιον. Α. 556. ἀττικόν. Α. 563. Δ. 1059.
Ταράσιος. Δ. 744.
Ταλμοῦδον δισσόν. ἱεροσολυμικὸν καὶ βαβυλώνιον. Γ. 103. 103. Ταλμουδοὶ τιμῶσι τοὺς Ο, Β. 363. Δ. 1010.
Ταργούμια. ταργουμισταί. Γ, 877.
Τατιανός. Β. 229. Δ. 434.
Ταῦ. Δ, 84, 88, 189.
Τελεσφόρος. Γ. 538.
Τεμένη. Α. 162.
Τερτυλλιανός. Β. 80, Δ. 438.
Τεσσαρακοστὸς ἀριθμὸς συμβολικός. Β. 319.
Τετραγράμματον. Β. 846–850. Γ. 87, 242, 327. Δ. 65.
Τετραπλᾶ (Ὠριγένους) Δ. 872.
Τετρακτύς. Β. 285.
Τιτᾶνες Β. 912.
Τῖτος Βοστρῶν. Δ. 532
Τόπος. Α. 98.
Τραπέζης εὐλογία. Α. 137.
Τρισάγιος ὕμνος. Γ. 624.
Τριέσπερος. Β. 109, 590.
Τριφύλλιος. Β. 929.
Τριχοτομία τῶν Γραφῶν. Β. 405, 429.
Τριῶν παίδων αἴνεσις. Γ. 648–652.
Τριωνυμία. Α. 76.
Τρομμίου Συμφωνίαι. Β. 717. Γ. 142.
Τρυπή. Γ. 550.
Τρύφων ὁ Ἰουδαῖος Γ. 83. 777.
Τωβίτ. ἐν τῷ κανονικῷ καταλόγῳ τῆς Ἐκκλησίας. Δ. 165. 187.
Ὑπασπιστής. Α. 31.
Ὑπογραφαὶ εἰς τὰς ἐπιστολὰς τοῦ θείου Παύλου. Β. 572.
Ὕσγη (ὕσκα). Β. 527.
Ὑσσός. Β. 496, 523.
Ὕψος. Β. 780.
Φαλέγ. Β. 315.
Φάραγξ Ἐννόμ. Β. 663.
Φαραῶνες. Β. 606.
Φαρισσαῖοι. Γ. 59.
Φάρος. Α. 645.
Φῆλιξ Δ. 679.
Φιλάστριος. Δ. 574.
Φιλόθεος ὁ Πατριάχης Δ. 787.
Φιλολόγος. Α. 364.
Φιλόχορος. Β. 118.
Φιλόπονος (Ἰωάν.). Δ. 724.
Φιλοστόργιος. Δ. 962.
Φίλων ὁ Βύβλιος Α. 34. Β. 146. 2) ὁ

πρεσβύτερος Β. 130. 3) ὁ Ἰουδαῖος μνημονεύει τὰ ἱερὰ βιβλία. Β. 452. ἱστορεῖ τὴν ἑρμηνείαν Δ. 1004. ἀλληγορικός. Β. 453. 835. συμφωνεῖ ἀείποτε τοῖς Ο. Γ. 868. — 4) Φίλων ὁ Καρπάσιος Δ. 627.
Φλαβιανὸς Ἀντιοχείας Δ. 571. — 2) πατριάρχης Κωνσταντινουπόλεως 672.
Φουρίμ. Β. 567.
Φράγγοι. Α. 55. Δ. 1062.
Φύλαργος. Α. 245, 626.
Φωκυλίδης. Β, 162.
Φώτιος Β. 269, 311, 402. Γ, 27, Δ. 752.
Χαβραθᾶ. Β. 175, 227.
Χαιρήμων. Β. 141.
Χαλκίδιος. Β. 161, 269.
Χαναὰν γῆ. Δ. 688.
Χαλδαϊκὴ γλῶσσα Α. 635. – Χαλδαιοσύρα. Γ. 57, 68, 354.
Χειρόχρηστοι Δ. 86.
Χελκίας εὑρίσκει τὸ βιβλίον τοῦ νόμου Γ. 16. 57.
Χιλιετεῖς. Δ. 33.
Χολὴ ἰχθύων εἰς θεραπείας. Δ. 154.
Χουθαῖοι. Γ. 58.
Χρίσμα Γ. 81.
Χριστός. Γ. 80.
Χρησμολογικὰ βιβλία. Β. 494.
Χρωμάτιος. Δ. 62
Χώρα. Α. 98. Β. Γ. 362.
Ψαλμοὶ Δαβὶδ (ἐν Ψαλτηρ. καὶ Β, Βασιλ. κβ) διαφέρουσιν ἔν τισιν ἀπ' ἀλλήλων. Γ. 49. – ἰδιωτικοί. Δ. 119.
Ψελλὸς (Μιχαὴλ). Δ. 771.
Ψιλὸς λόγος — λη λέξις, ψιλομετρία Α. 168.
Ψονθομφανήχ. Β. 173, 225.
Ὠδαὶ Ἐκκλησίας. βλ. Μέλη.
Ὠρ. Β. 652. 911.
Ὠριγέννης Β. 860. Δ. 445. ἔμπειρος τῆς Ἑβραϊκῆς. Γ. 9, 369. βλ. καὶ Ἔκδοσις.

ΤΕΛΟΣ.

Date Due

FACULTY			
[redacted]			
JUN [redacted]			

PRINTED IN U. S. A.

BS44 .039 v.4
Peri ton O' ermeneuton tes palaias
Princeton Theological Seminary–Speer Library
1 1012 00045 8317